3 3433 02266071 0



THEOPHRASTI

CHARACTERES

MARCI ANTONINI COMMENTARII

EPICTETI

DISSERTATIONES AB ARRIANO LITERIS MANDATÆ

FRAGMENTA ET ENCHIRIDION

CUM COMMENTARIO SIMPLICII

CEBETIS TABULA

MAXIMI TYRII DISSERTATIONES

GRÆCE ET LATINE CUM INDICIBUS

THEOPHRASTI CHARACTERES XV ET MAXIMUM TYRIUM

EX ANTIQUISSIMIS CODICIBUS ACCURATE EXCUSSIS EMENDAVIT

FRED. DÜBNER

PARISIIS

EDITORE AMBROSIO FIRMIN-DIDOT

INSTITUTI FRANCIÆ TYPOGRAPHO

VIA JACOB, 56

M DCCC LXXVII

PRÆFATIO.

Comprehenduntur in hoc volumine scriptores aliquot de philosophia morali. Quibus Theophrasti *Notationes morum* præmitti non ab re fore putavit eruditissimus auctor Collectionis. Difficillima est autem, etiam post opem a doctissimis et sagacissimis viris certatim allatam, hodieque harum reliquiarum conditio. Nam et singula in codicibus adeo corrupta feruntur, ut multa nondum potuerint satis probabiliter emendari; et de scriptionis totius forma genuina nemodum ita disseruit, ut in plenam persuasionem traharis. Equidem, ut verbo dicam quod sentio, pleraque Theophrasti esse arbitror, ipsius etiam verbis dicta, ex opere ἠθικῶν χαρακτήρων excerpta *ab rhetoribus*. Non est enim de nihilo, quod horum characterum particulæ, tam inter se diversæ, omnes tamen inventæ sunt in codicibus rhetorum Græcorum *). Rutilius de χαρακτηρισμῷ : *Quemadmodum pictor coloribus figuras describit, sic orator hoc schemate aut vitia aut virtutes eorum, de quibus loquitur, deformat.* En igitur χαρακτηρισμοῦ specimina Theophrastea, quæ rhetores quidni proposuerint discipulis ad hanc partem artis informandam? ut Gorgias, quem transtulit Rutilius, non oratoris, sed philosophi Peripatetici exemplo χαρακτηρισμὸν explicabat. Quam rem si reputasset Astius, non librarium finxisset Palatinorum incrementorum scriptorem; neque Fossius, egregius vir, tam multa ἀφ' ἁμάξης in errorem illum conjecisset. Jam vero quum ex indicio, quod significavi, probabile fiat per rhetorum manus delatas ad nos esse reliquias libri Theophrastei (jam Stobæi ætate, ut credere par est, deperditi), sequitur non tantum abesse ab his characteribus interpolationis suspicionem, quantum removit Fossius. Idem tamen præclare vindicavit additamenta Palatina et magnam partem

*) Conf. L. de Sinner, *Notice sur la vie et les ouvrages de Diamant Coray*, p. 7, not. 14.

reliquis dignitate paria esse evicit. Ceterum, ut dixi, verba ipsa Theophrasti superesse puto, valde depravata et aliquot locis interpolata; plurima autem omissa esse et disjecta ab epitomatoribus, adeo ut *ordinem* notarum in notationibus singulis non ita temere tribuam Theophrasto. Verum de hac re quæ dicenda habeo, in aliud tempus remitto : nunc de editione nostra exponendum est.

Quum multi satis pro arbitrio versati essent in his characteribus, hanc mihi legem scripsi in editione notis et apparatu non instructa, ut optimorum codicum scripturæ essem quam tenacissimus; a qua non discederem nisi summa conjecturarum aut necessitate aut evidentia compulsus. Quare corrupta, manca, disjecta multa relinquere malui quam eorum emendandi viam improbabilem sequi. Quindecim characterum codices longe ceteris antiquiores quum Parisiis serventur, operæ pretium facere putavi si consulerem iterum. Ac vidi amicos Needhami non omnia exhausisse, quædam etiam falso tradidisse, ut infra apparebit : sed non ideo sua laude fraudandi sunt, qui in scriptura minutissima et omne genus compendiis intricatissima pleraque recte intellexerint. At recentiores editores miratus sum omnes multis locis temere deseruisse textum Needhami, ad antiquissima documenta constitutum, chartis quibusdam quinti decimi sæculi magis fidentes. Ex iisdem veteribus membranis et aliis codicibus intellexi, ab recentioribus fictam esse usitatam formam titulorum, περὶ εἰρωνείας, περὶ ἀρεσκείας: quum scripti libri rectiorem modum præcipiant, Θεοφράστου χαρακτῆρες. εἰρωνείας πρῶτος (sic antiquissimus A, non α'). κολακείας β', et Palatinus, ις' χαρακτὴρ δεισιδαιμονίας. — Ultra decimum quintum characterem scripti nihil reperitur Parisiis. De Palatino codice vere dixit Orellius : « Illud quoque dolendum, quod Siebenkeesius quum negligenter descripsisset codicem Pal., negligentius etiam ejus curam ediderit Gœzius. » Nam in quinque versibus æri incisis *ter* male legit Siebenkeesius, ut ad Char. XVI notabo; Gœzii autem negligentia omnibus manifesta. Specimen illud codicis Palatini quum ductus quosdam referat, qui mihi non videbantur esse posse librarii Græci, confugi ad doctrinam et humanitatem excellentissimi Hasii : qui opinionem meam probavit, et specimen illud male fida manu delineatum ostendit; sed idem, ubi ob summam inconstantiam ductuum satis recentem me putare illum codicem dixi, vetuit, addens, Panopliæ Euthymii Zigabeni codicem Regium

THEOPHRASTI CHARACTERES

MARCUS ANTONINUS

EPICTETUS. SIMPLICIUS. CEBES

MAXIMUS TYRIUS

PARISIIS. — EXCUDEBANT FIRMIN-DIDOT, VIA JACOB, 56.

simillima manu scriptum anni nota esse instructum, quæ ad tertium decimum sæculum remittat.

Jam longum esset narrare locos, in quibus vel codicum scripturam reduxerim, vel admiserim conjecturas : facile intelligent quorum interest ex libris editis. Præter codices duos, qui decimi sæculi ineuntis esse judicantur, denuo collatos, inspexi etiam Fonteblandensem bombycinum, sæc. XIII, quem in uno tantum loco ab illis discrepantem vidi. Ex his præter levicula quædam retuli omnia quæ apud Needhamum desiderantur vel non vere traduntur. Inserui etiam aliqua ex codice nescio quo Palatino, quem Neveletus contulit cum exemplo editionis Morelli (Lutet. 1583), quod servatur in bibliotheca Regia. Plerumque consentit ille cum Rhedigerano Schneideri.

Procem. l. 19 Palatinus Neveleti dat ὦ Περίκλεις, quod unde in Heinsianum marginem venerit, quærebat Fischerus. — Char. I, l. 3 codex A ἐν τύπῳ, sine ὡς, l. 6, λαβεῖν. 14 codd. βουλεύεσθαι, non —σεσθαι. Eorumdem scripturam posui in loco interpolato l. 27, quamvis depravatam. Needhamus falsa retulerat. 29 miro consensu omnes ἣ οὓς ἔχεις. — Char. II, 10 παρακείμενος Pal. Neveleti. — III, 29 ἐπὶ τὸ δεῖπνον cod. A solus. 34 πλόϊμον omnes, et 41 κατ' sine τὰ. Ante Ἀπατούρια articulum præbet Monacensis. —IV, 11 δεινὸς omnes superscripto ως, et προαίρων. 19 Casaub. λίαν λέγων. Sigla in codice A non μὲν, sed μενὸν indicat. 25 codd. ὑποκείρασθαι. — V, 41, 42 ita scribuntur in codd., non ut refert Needham. — VI, 12 ἐργασίαν αἰσχρὰν codex A. 16 τοῦτο δ' ἂν omnes, non τοῦτ' ἄν, quod enotatur. 20 cod. A τὴν ἀρχὴν, et 32 idem εἰς λοιδ. 29 omnes —πώλια, non —πωλεῖα.—VII, 45 ἀρχὰς omnes, etiam Pal. Neveleti. Needhami notationem male cepit Fischerus et post eum alii. 4 omnes προδιηγήσασθαι, et 5 τότε, non ποτε. 13 ἐστι omittit Pal. Neveleti, 18 idem et cod. A ὑμᾶς.—VIII, 23 (et XI, 22) ἀπαντ. etiam Pal. ille. 35 καὶ ἂν omnes. 45 πιθανῶς commode omittit codex A. 44 omnes ταῦτα εἶδε. 48 A προσδεδραμηκέναι. 7, 8 posui τοὺς ἀκούοντας, οὓς οὕτω καταπονοῦσι pro vulgato τοὺς ἀκούοντας οὕτω καὶ καταπονοῦντες. Nostri omnes cum Pal. Nev. καταπονοῦσι. — IX, 12 cod. A κέρδους εἵνεκα, 13 ἀποστερεῖται, 14 omnes δανείζεται. 18 Τίβιε etiam Pal. Nev. — X, 39 codd. τὰς (B τὲ) κύλικας πόσας, non ut refertur, et 44 non ἀποβαλούσης, sed ἐκβαλούσης. Est autem ἐκβάλλειν *laisser tomber.* 46 pro καλύμματα mire

Pal. Nev. σκαλίσματα, et 9 θυψιλήματα, 13 τῶν μετρῶν (sic). — XI, 26 cod. A μεταστρ. ποιήσῃ.—XII, 12, idem τόκον, non τόμον. — XIII, 20 codd. δόξει εἶναι. 23 Orellius ingeniose φενακίσας ἐλεγχθῆναι. 25 Pal. Nev. ὅσον, 28 πορεύεται καταλιπεῖν, 33 βουλεύεσθαι. 39 cod. A παρεστηκότας, non περιεστ. In B compendium turbatum. — XIV, 42 cod. A Ἔστι δὲ καὶ, B ἔστι καὶ, et alii multi alterutro modo (Fischer. p. 106), ut videri possit hanc notationem olim præcessisse alia vitii similis. 4 codd. καὶ ἀπαγγέλλοντος αὐτῷ, nimirum eo cui mandatum est invitare ad exsequias. 12, 13 in loco «conclamato» ceteris probabilior est Astii ratio, qui Corais et Schneideri inventa ita conjunxit, Ἡδύ γε τῶν ἄστρων ὄζει! ὅ, τι δὴ καὶ οἱ ἄλλοι λέγουσι τῆς γῆς, *quam suavis est siderum odor! (quem quidem reliqui dicunt terræ odorem.)* Pal. Nev. καὶ ἄλλοι. — XVI, 38, 39 Siebenkeesius in codice Palatino legit ἐπιχρωνῆν falso : postrema litera est οῦ, præcedens videtur esse π, non potest η, et ρω non usquam illo modo exaratur : sed nihil certi extundas e ductibus male redditis; ἐπιχοῶν που, si ductus spectes, omnium est veri simillimum. Fossius conjecerat (ἐπεὶ) ἐπὶ χοῶν ἦν. 40 δάφνην, non δάφνης, in specimine, et 45 ἱερῶον, non ἱερὸν, neque, ut credidit Schneiderus, ἱερῷ. Quæ ex illo codice accesserunt, in lectorum gratiam a ceteris accurate distinguenda erant. 12 in εἴσω haud dubie vocabulum longe aliud latet. — XIX, 44 in ἀναπίπτοντος corruptum puto participium ejus fere sententiæ quam latine reddidi. 46 servavi σφύζεσθαι, quanquam non satisfacit Orellii defensio. — XX, 9 vulgo probata correctio πᾶν ἔργον vel πᾶν τοὔργον hic locum non habet. 12 etiam Pal. Nev. lacunulam explebat, ex quo enotatur ὑποχρῷ ῥήμασιν. 15 in ἀμφότερα οὐκ ἔχοντες quum Fossius ὀρχίπεδα cogitans deleret οὐκ, non meminit loci Lucianei, οἷοι πολλοὶ εἶναι λέγονται ἀμφότερα ἔχοντες, de hermaphroditis, Dial. mer. 5 — XXI (ex Char. V), 17 tres codd. nostri πίθηκον δρέψαι, 21 iidem (et Pal. Nev.) παλαιστριαῖον, 24 ἀποδείξεσιν, 25 ὕστερον ἔπεισιν ἐπὶ τῶν θεωμένων, quæ probabiliter sanavit Needham. — XXIII, 27 εἶθ. scripsi pro καθ', 33 Orellius τοὺς ἀγωνικοὺς π. — XXVIII, 5, 6 in μακρὸν ἀνδριάντα ludi nomen inesse statuerim potius quam mutem παίζειν, quæ mutatio alias præterea postularet. 9 Orellius ὡς ἂν καὶ ἐκείνου δὴ ἐπισταμένου. — XXX (sive XI veterum edd.), 36 ἀποδιδόσθαι codex A, non ἀποδόσθαι : nihil igitur differre ab reliquis cen-

sendus. 42 codd. καὶ ξενίων, 46, ὑπὸ, non πρὸ, 1 ἐκκεκρουμένῳ, sine σ, hæc omnia ut Palatinus. 16 codex A λάβοιεν.

Marci Antonini editionem Schulzianam secuti sumus, ab ipso *Schulzio* passim emendatam et correctam. Idem vir doctissimus ultro nobiscum communicavit translationem latinam prorsus novam, ab ipso diligentissime concinnatam, quæ vulgarem maximo intervallo post se relinquit. Quo nomine persuasum habemus eum summam inivisse gratiam ab lectoribus nostris; qui monendi sunt, asteriscis indicari locos non codicum scripturam, quippe corruptam, latine referentes, sed probabilem conjecturam; in græcis enim Schulzius manuscriptos codices et editiones primas sibi sequendas esse statuit, etiam ubi sententiam pravam aut nullam præberent, perpaucas tantum emendationes admittens.

In Epicteti *Enchiridio* et Cebetis *Tabula* exprimenda erat editio major *Schweighæuseri*, artis criticæ docte, prudenter et circumspecte exercitæ mirificum exemplar. Cujus quum fundamenta examinare neglexisset summus Coraes, in Enchiridio nimium tribuit interpolationibus manifestis. Sed egregias emendationes ejus octo vel novem læti recepimus, et alia quædam correximus ex secundis curis Schweighæuseri in Philosophia Epictetea. L. Odaxius in translatione latina multa Cebetis optime reddiderat; reliqua græcis qualia nunc leguntur accommodavimus.

In *fragmentis* Epicteti quæ Stobæo debentur, codex Parisinus a Gaisfordo collatus perutilis fuit: multa exhibet nitidiora, aliqua quæ pro desperatis habebantur vel integra præbet vel proxima integritati. Cujus rei exempla duo commemorabimus. Fragmentum 29 hoc modo edebatur, τὰς σιτήσεις ποιοῦ μὴ ἀνειμένας, καὶ σκυθρωπάς· ἀλλὰ λαμπρὰς, καὶ εὐτελεῖς· ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται φεναχιζόμεναι, καὶ τῶν ἡδονῶν σωματικῶν ὀλιγωρῶσιν, ἔπειτα βλάπτωνται, τρυφῶντα μὲν παραυτίκα πλοῦτον, νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα. Quæ verba non mirum est si a nemine poterant intelligi: V. Schweighæuser. p. 185 sq. Codicis Parisini scripturam distinctione adjuvimus et unius vocis mutatione: legebatur, μήτε φεναχιζόμεναι πρὸς τῶν ἡδονῶν τῶν σωματικῶν ὀλιγωρῶσιν, quod illud incommodi habet, ut præcedentia verba, διὰ τὰ σωματικὰ, et hæc, τῶν σωματικῶν, non prorsus eadem τοῦ σωματικοῦ acceptione dicta sint.

Apparet autem quam facile σωμάτων ob σωματικὰ eadem phrasi inclusa in hoc vocabulum abire potuerit. Fragmento 32 legebatur πηδήσασα τῷ σώματι, quod faciliore conjectura sanari poterat quam Schweighæuseriana. Fragmenti 35 finem ita scriptum, ἔνθα δὲ ἂν μὴ παρῇ νῆψις, πειθοῦς τέλος εἰκῆ σε παρέχει διατείνεσθαι, et ab editore sine medicina relictum, idem codex præstat integrum. In fragmento 51, codex brevius, οὐδὲν κρεῖσσον μεγαλοψυχίας, καὶ πρᾳότητος, καὶ φιλανθρωπίας. Fragmenti 169 lacunam sarsimus ex codicibus Heerenii. Fragm. 174, οὐδ' ἥδιον (pro vulg. οὐδὲν δι' ὧν) conjecit etiam Coraes ad Enchir. pag 120.

Fragmenta crucis signo notata dubiæ sunt auctoritatis; ea vero quæ plane nullam habere videbantur, delevimus.

Dissertationes Epicteti ab *Arriano* literis mandatæ per hanc editionem ceteris parabiliorem jam frequentius et a pluribus lectum iri confidimus, quam adhuc esse lectas repperimus. Nam, nisi fallit opinio ex scriptis eruditorum hominum concepta, pauci virtutem illorum sermonum, Horatianos sæpissime in mentem revocantium, satis cognitam habuerunt. Expressimus *Corais* recognitionem Schweighæuserianæ recensionis, ita quidem ut in dubia scriptura judicanda utriusque viri docti argumenta examinaremus. Et videbatur nobis præstantissimus Græcus triginta fere locis injuria discessisse ab editore Germanico, aliquoties uterque immerito sprevisse quod in melioribus codicibus scriptum exstat. Eximias quasdam conjecturas, quæ delitescebant in Addendis Schweighæuseri et Corais commentario, in eum, quo dignæ erant, locum recepimus. Vocabula quæ asteriscis cinguntur, delenda esse censet Coraes; quæ uncis, de conjectura inseruntur.

Simplicii *commentarius in Enchiridion*, iis qui philosophiæ studia auspicantur, utilissimus lectu liber, multis locis emendatus est ex annotatione Schweighæuseri. Numeri in summo margine dextro positi paginas indicant *Schweighæuserianæ*, in lævo, *Heinsianæ* editionis.

Maximo Tyrio contigit ut *Dissertationes* ab ipso scriptæ et in optimo codice servarentur et a præstantissimis criticis, *Davisio*, *Marklando*, *Reiskio*, quantum fieri poterat a temporum labe

liberarentur : nihilominus hodieque vitiis inquinatæ leguntur plurimis, quæ dudum a viris quos nominavi sagacissimis erant sublata. Eorum enim quæ Davisius codicum et ingenii ope in integrum restituerat, pars haud exigua neglecta est ab editore Greshamensi, qui ex defuncti Davisii schedis græca constituit, amplis autem et admirabilibus Marklandi inventis non poterat uti, posterius ad eum transmissis. Neque Reiskio lectorem adjuvare licuit, tum demum appellato, quum editio Londinensis jam tota exscripta esset typis Lipsiensibus. Ita nobis relinquebatur ut Maximum Tyrium multis modis emendatiorem emittere possemus. Quod hac ratione instituimus.

Davisius quum ex codice Regio, cujus plane singularis est præstantia, innumeros locos emendasset, fieri potuisse suspicatus sum ut in tam divite messe spicæ quædam intercidere nt. Et memineram ill. Boissonadium in Anecdotis aliqua ex iisdem membranis protulisse; haud dubie quia Davisium fugerant. Exspectationem superavit eventus; codex diligenter excussus integra plurima præbuit pro vitiosis quæ legebantur; multa etiam, quæ nemo poterat suspecta habere, exquisitius aut nitidius enunciata præstat. Sed longe abest ut omnem offensionem tollat ex delicatula dictione hujus scriptoris, quæ criticum sibi poscit in primis subtilem. Ego veritus ne audacius refingendo quæ extra perfectum ferri videbantur, pessumdarem etiam illa quæ maximo jure in orationem græcam recepissem, lenibus modo et summe probabilibus conjecturis locum dedi, ubi vel aperte vitiosa esset scriptura, vel minima mutatione multum nitoris dictioni aut sententiæ accederet. Non raro sciens reliqui vulgatam merito suspectam, sed quam ratiunculis quibusdam speciose tueri posses. Lacunas quoque rarius notavi quam incidisse persuasum habeo. Qua cautione id effeci, ut Maximum multo quam ante emendatiorem sine diffidentia ulla legere possis; iis autem, qui perpolire hunc scriptorem aggredientur, varietatem optimi codicis cum pulvisculo exprompam offero. De qua priusquam disertius exponam, verbo dicendum est versionem latinam esse ex Heinsiana effictam, cujus viri temeritudo sæpe bilem movit, non mihi soli, sed jam Marklando, ad Dorvillium hæc scribenti (p. 337 ed. Lips. Supplicum) : « Dolet quod elegans hæc, sed vaga versio, vel paraphrasis potius, Heinsii in hac nitida editione (Londi-

nensi) servabitur. Mihi nequaquam placent hujusmodi excursus potius quam versiones, quæ ingenium interpretis quidem demonstrant, sensum auctoris incertum et obscurum, ne dicam intactum aliquando, immo sæpissime, relinquunt. » Hujus licentiæ vestigia vel frequentissimâ immutatione et interpolatione obrui non poterant ; et jam pœnitet tam lectorum quam mea gratia me ob Heinsianum nomen Paccii interpretationem neglexisse. Indicem Davisianum, in quo plus centum nomina repperi esse omissa, multum auximus.

Codex Regius est sæculi decimi ineuntis vel exeuntis noni, sine ullo compendio scriptus, « eadem ut videtur manu qua Platonis codex » egregius ejusdem bibliothecæ, quod in schedula codici addita annotatum video. Eum ex antiquissimo libro uncialibus literis scripto derivatum esse hoc indicio colligo : ubi dubium aliquod aut corruptum vocabulum incidit, quod sententiæ tenorem interrumpat aut ab librario non intelligeretur, continuo *accentus omittuntur.* Hinc necessario efficitur aut nostrum librarium aut eum cujus apographum accurate expressit , accentus pinxisse primum , quod fieri non potuit in vocabulis dubiis aut monstrosis. Scholia in margine , argumenta et πίναξ uncialibus literis scripta sunt cum accentuum notis. Ea autem accuratione et integritate est hic liber, ut orthographica ratio ejus universa ab me posset repræsentari, his solummodo exceptis : ν ἐφελκυστικῷ, quod ponit ubique; et illis ὅτ' ἄν, ὅ, τι οὖν, οὐκἄν, quod præter paucissimos locos scribit pro οὐκ ἄν : infinitivos et optativos aoristi bis terve distinguit, ceterum ubique ποιῆσαι scribit quando debebat ποιήσαι ; denique in encliticis fluctuat, modo ἄλλός τις exarans, modo recte : sed in his quoque ea servavi quæ disertis præceptis non refragarentur, in ceteris vero omnibus scito te ipsam scriptionem codicis tenere, nisi aliud significet annotatio. De secunda manu quando loquor, intelligo valde antiquam et primæ fere supparem : est enim alia quoque recentissima, quæ vulgatam modo intulit, modo signis indicavit, a me, ut oportuit, silentio præterita. Quum autem Davisiii quoque varietatem ex eodem codice ductam receperim, ita distinxi ut *Regium* vocem quando a me enotata est, *codicem* quando a Davisio. Qui quanquam multo plura inde eruit quam ego, rara tamen est *codicis* mentio, quia pleraque jam in orationem

Maximi transierant, ego autem nihil nisi varietatem codicis et Davisianæ editionis alterius (litera V. indicatæ) refero.

Bis terve ex Heinsii versione intellexi jam lecta fuisse ab ipso quæ in locis illis ex Regio supplebam; similiter Boissonadius, prolatis emendationibus duabus ex codice, in Heinsiana hæc recte scribi addit. Fuerint igitur inter vitia ab nobis sublata quædam Londinensi et Lipsiensi editionibus propria: quam rem alii examinabunt; mihi ex puro fonte haustus sufficiebat. Criticorum principum Marklandi et Reiskii conjecturas plurimas codex accurate excussus confirmavit, quod annotavi ubique, non ut laureis illorum inseram novum aliquod foliolum, sed ut nudem inconsultos quosdam emendationum ex ingenio natarum obtrectatores et sycophantas.

RELATIO CRITICA DE MAXIMO TYRIO.

Pag. 1. Inscriptio ita concepta in codice. — Lin. 6 δὲ ἵππῳ Regius. V. πότερόν ἐστιν ἵππῳ, ex eodem codice, sed scriptura male intellecta.— 14 οὐ γὰρ ἀεὶ παρέξει τοῖς σοφ. προφάσεις scripsi partim cum Davisio. V. οὐ γὰρ ἕξει τοῖς σ. πρόφασις. — 15 ἔριδος Heinsius. Reg. οιδας (sic). V. διδασκαλίας. — 17 τὰς προσδοχίας Marklandus. V. ταῖς προσδοχίαις. — 19 δυσέλπιδες Reiskius. V. δυσάντιδες. — 20 Reg. ἐντετευχηχότες. — 29 ἢ Reg. V. ἦ. — 31 δσήμεραι Regius ubique.

Pag. 2. Lin. 3 Reg. αὐτῷ τὸν. — 19 Reg. χάλλισται. — 22 Reg. τετραμμένος, ita ut μενος sit in litura duarum literarum. — 23 Reg. ἐπεφύχεσαν. — 30 εἰχὸς Marklandus addidit. — 49 Reg. ἐχπλαγῆς. Idem χατήριπε. V. χατήρειπε.

Pag. 3. Lin. 1 cod. χαὶ ἡ βασιλεία (sic). — 4 ἐμφορέοντο Stephanus. Codd. ἐπιφορέοντο.—7 ᾧ Heinsius. Codd. ὡς.—8 παρεβάλομεν Marklandus. V. παρελάβομεν. — 9 ἡμῖν δρόμον Regius. V. δρόμον ἡμῖν. — 14 δυνηθῇ μηδὲ μεταβάλλειν. Ἂν δὲ δυν. scripsi partim cum Reiskio. V. δυνηθῇ. Εἰ δὲ μεταβάλλειν μὴ δυν. — 17 Reg. δέ πως. — 20 cod. ἐν ἐχ. Præpositionem ejecerat Davisius. — 41 Regius χατέλοντας χαὶ παλο.. (lacuna decem fere literarum)..ἐμπιπλαμένους.. (lac. quinque fere literarum).. οι ἀχούοντας.— 43 Reg. ταρπομένους. — 47 Reg. ἃ δεῖλ' οὔτι.

Pag. 4. Lin. 7 Συραχοσ... Regius ubique. — 19 Reg. τῆς ἄλλης. Deinde idem a pr. m. τὴν ἑδρανὴν τὴν, a correctore τὴν ἕδραν ἢ τὴν. — 30 Reg. a pr. m. βέβαιος; ἦι χαὶ ὁ, a correctore ἢ ὁ. V. βέβαιον· ἢ ὁ. — 31 χαὶ βέβαιον Reiskius. V. ὡς βέβ. — 51 sic Reg. V. τρόπος οὗτος. — 52 in ἀρότρων literæ ότρω recentes in rasura.

Pag. 5. Lin. 17 Reg. a pr. m. ἄστεως.— 20 τῷ Reg. V. τῶν. — 23 χαὶ ἀνθρ. Reg. V. χαὶ τῷ ἀνθρ. — 28 πέτασθαι Reg. V. πέτεσθαι.— 30 εἴ γε νενέμ. Reiskius. Cod. εἰ ἐννενέμηται..—37 pro ὄργανα Reg. ἔργα.—43 προβλημάτων Wakefieldus Silv. cr. III, p. 144. V. περιβλ. Ejusdem χυμῷ pro θυμῷ, l. 42, recipiendum et ipsum fuisse videtur.—44 ἀσχεπῆ idem Wakefieldus. V. ἀσθενῆ.

Pag. 6. Lin. 4 διασῶζον Heinsius. Cod. διῶξον. — 7 Reg. a pr. m. ποτειμίαν (sic). Ibidem ἥδεται χαὶ ὄνος Regius. V. abest ἥδεται. — 14 Reg. initium verbi εὗρες in rasura; ηὗρες videtur fuisse. — 22, 23 sic codex. Addidi lacunæ signa. V. διάλογοί τε θηρίων χαὶ ξυνουσίαι. — 26 δή τις Reg. V. δέ τις. — 35 ἅμα Heinsius in versione et Reiskius. V. ἄρα.—37 Reg. ἂν ᾗ ὁ Ἐπ. — 43 ἃ recenti manu illatum.

Pag. 7. Lin. 5 Reg. om. ἡδονῆς, et 16 τῷ. — 28 ἢ Reg. V. ἦ. — 34 codex μέρη γὰρ, sed η insolentius depressum; in marg. περὶ antiqua manu. — 35 μὴ addidit Reiskius, οὐδὲν om. Reg. — 51 Reg. δυσερασίστερος, in margine repetitum.

Pag. 8. Lin. 1 Reg. σχολη (sic). — 5 Reg. a pr. m. εἴνεκα. — 7 ἐπιτιθῆς. Reg. επιτρ. ης (sic), quod manus recens in ἐπιτρέψῃς vertit. Deinde τούτων ἀ ας, cum lacuna duarum triumve literarum. Recens manus in marg. ἀρετῆς. — 13 Reg. om. τῶν, quod fort. verum. — 26 ὁρῶ Marklandus. V. ἐρῶ. Ibid. ἢ οἴει Davisius. V. ἢ ποιεῖ. — 32 ἄλλό τι ἢ Regius. V. οὐκ ἄλλῳ τινὶ ἤ. — 36 τοὺς om. Reg., et 37 αἷς ab eadem, ut videtur, manu inter lineas additum. — 51 ψυχῆς Regius. V. τῆς ψυχῆς.

Pag. 9. Lin. 5 Reg. ἡλίῳ. — 10 ᾄσματα Marklandus. V. σώματα. — 12 Reg. a pr. m. habebat συνεισέβαλεν, ut videtur. — 16 ταῖς πανταχοῦ Reg. V. sine articulo. — 20 Reg. a pr. m. κράτη. — 22 στένει. Reg. στενει ει στένει (sic). — 30 Reg. ἐπιτομήσαιμιδὰν (sic). — 50 Regius clare ἀντεισάγεις. — 52 Reg. λέξει. Αἱ addidi cum Reiskio.

Pag. 10. Lin. 2 ἀνιαρότερον clare Reg. — 9 Reg. ἦν ὁ Λ. καὶ τῆς. — 10 ὁ accessit ex Reg. — 14 αὐταῖς a pr. m. Αἱ addidit Reiskius. — 16 Reg. σκειροφόρια. — 20 ἢ etiam Reg. — 26 margo Regii: ἢ ὅτι δι' εὐπορίαν φρονήσεως ἀπορία κρίσεως ὧν ἐφρονήσαμεν τοῦ βελτίονος περιγίνεται.

Pag. 11. Lin. 42 Reg. ἀλεεινότατος. — 49 βασιλεῖ Reg. V. τῷ βασ. — 52 Reg. νησαῖον.

Pag. 12. Lin. 24 ποθῶ Regius, ν habens inter lineas. V. ποθῶν. — 26 οὐδὲ codices præter Regium, quo auctore omiserat Davisius. — 30 codex δόρας καὶ, in margine μαγειρικὰ σκεύη. — 32 Μελησίου Reg. V. Μιλησίου. — 34 ποῖ Reg., ut alibi Maximus. V. ποῦ. — 52 Reg. καταβολῆς.

Pag. 13. Lin. 18 ἐνταῦθα τὸ ἔργ. ὅπου τὸ ὄργ. om. Reg. — 23 τοῦ ἀνθρώπου Marklandus. Codex τό τ' ἀνθρώπου. — 26 ἐθέλοι Regius, quod Heinsius conjecerat. — 27 ἢ Regius et Marklandus. V. ἤ. — 30 τῇ om. Reg.

Pag. 14. Lin. 6 Reg. καταμιγνυσιν, sine accentu; et om. verba δυστυχίας· κἂν τ. θ. αὐτ. συγχ. — 7 συγχωρήσῃ Boissonadius Anecd. vol. 5, p. 95. V. συγχωρῆσαι. Omissum in Reg. — 11 Reg. ἀποκρινούμεθασου πηλίκον. — 22 αὖ Davisius. V. ἄν. Regius θᾶττον δανισταιη (sic) ὁ ἥλιος λίαν δ' ἔχοιντο οἱ. — 50 ἀκράτων, vulgatum ante Davisium, servavi suasu Reiskii. Codex ἀκηράτων.

Pag. 15. Lin. 15 ἀρόσιμον etiam Reg. — 18 τἀρότρῳ Regius. V. τῷ ἀρότρῳ. — 23 ἢ addidit Reiskius. — 24 Reg. αὐτῷ. — 35 et 42 Reg. Ἄμασις. — 36 γὰρ accessit ex Regio. — 37 εὔνεω Reg. V. εὐνέων. — 39 cod. Ὀρόντης. — 50 Reg. μᾶλλον αἰσθητω τῆς, positis super τω signis ˙˙, marginalem notam indicantibus quæ non fuit addita. — 52 ᾗ posui. Reg. ἢ. V. ἡ.

Pag. 16. Lin. 1 Reg. ἡδονήν· ἥλιον. — 5 sic Reg. V. Ἀρταξ. — 8 πῶμα Reg. V. πόμα. — 19 scripsi Ἔστιν, οἶμαι, καὶ σιτίων. V. Εἷς μὲν, οἶμαι, σιτίων. — 20 Reg. ἀνιαρότερος. — 22 τοι Marklandus. Regius του. V. omissum. — 24 γηροκομεῖν Reg. V. γηρωκομεῖν. — 26 Reg. a pr. m. νήρυτον, ut videtur. — 28 Reg. Καλυψὼ.. ν (fuit οὖν, ni magnopere fallunt oculi) ἐν. — 35 ἦν accessit ex Regio. — 40, 41 ἢ ἐκ τῆς Davisius. Codex μέσης. V. εἰ μὴ μέσης. Deinde Reg. πρὸς τὰ κακὰ, quod conjecerat Davis. V. πρὸς κακά. Deinde Marklandus ἀνταγωνισαμένης ἀρετῆς. Codex ἀναγωνισαμένης αὐτοῖς της (sic, sine acc.). V. ἀνταγ. αὐτοῖς. — 44 ἢ Reg. V. ἤ. — 51, 52 Reg. ἀγωνιμενος (sic) πρὸς Μέλητον (sic ubique). V. πρὸς τὸν Μέλιτον.

Pag. 17. Lin. 1 Ἀκαδημεὶ — Regius ubique. — 5 Reg. Ἀραῖον. — 10 αὐτόν Reg. V. αὐτόν. — 14 codex τὰ καλὰ. — 21 Reg. ὅτι ἐν οὐδὲ εἰρ. — 22 Reg. αὐταὶ. — 26 ἔχεις Boissonadius Anecd. vol. IV, p. 417. V. ἔχοις. — 31 Reg. Μαχαίωνι, 33 Νηρεῖ. — 38 οὑτωσὶ ἠρέμα πω λέγων Marklandus. Codex ωστωσινη(vel κ)ρεναι (sic sine acc.) πολέγων. V. ὡς πεζῷ τῷ λόγῳ. — 46 Reg. προσειπεῖν. — 49 ἡγεῖ Regius ubique. V. ἡγῇ. Idem ἢ pro vulg. ᾖ.

Pag. 18. Lin. 7 θνητῇ H. Stephanus. V. θνητὴ — 15 τούτῳ Regius, ut conjecerant Davisius et Marklandus. V. τοῦτο. — 23 μεταλλέων Marklandus. V. μετάλλων. — 31 εἰ δὲ Regius, ut conjecerat Markl. V. εἰ δή. — 54 ἐμπεσοῦσα Regius. V. εἰσπεσοῦσα.

Pag. 19. Lin. 14 οὐκέτι ὄφελος φιλίας Ἀττικῆς ἦν. Postremum voc. Davisius addidit qui sic: οὐκέτι φιλία Ἀττικὴ ἦν. Regius autem sic: οὐκέτι οφειλ (hoc loco unius literæ rasura) ιασ αττικην. — 15. μεστὰ Regius, ut conjecerat Davis. V. μετὰ. — 27 Reg. ἰέντας. — 44 ἀπαγάγῃς Regius. V. ἀπαγάγῃ. — 45 Reg. ἡ καρυερια (sic), et παιδικων. — 46 καταμύσῃς scripsi. V. καταμύσῃ. — 53 πολλάς σε Regius. V. πολλὰς δέ.

Pag. 20 Lin. 11 Reg. a pr. m. habuit, ut videtur, ἔχουσιν οὐχ ὑπὲρ εὐνοίας. — 13, 14 μέχρις ἂν οὗ τὸ φιλεῖν τὸ ὠφελεῖν νομίζωσιν Marklandus. Regius μεχρὶς ἄνω (sic) τὸ φιλεῖν νομίζωσιν. V. μέχρι τὸ φιλεῖν νομίζωσι τὴν ἀντίδοσιν. — 15 τὴν ἀντίδοσιν ex codice. V. deest hoc loco. — 19 πάλαι Marklandus et Reiskius. V. πάλιν. — 33 λυμανεῖται Regius. V. λυμαίνεται. — 36 εὕρῃ Regius. V. εὕροι. — 40 γυμνοπαιδίαι Reg., non γυμνοποδ. — 41 Reg. οἱ χροοι (sic). Idem ἀλλὰ Ἀγ. V. ἀλλὰ καὶ Ἀγ. — 42 Reg. Ἄγιν. — 49 Reg. Νέμεα.

Pag. 21. Titulus ex codice. Lin. 8 τῇ παιδιᾷ Davisius. V. τὴν παιδιάν. — 9 Reg. ἰαμβίων. — 11 τέχνῃ Marklandus. V. τέχνης. — 26 ἢ parti-

culam addidi. — 31 ἄλλος Regius. V. ἄλλοι. — 33 Reg. ἄρα. — 39 codex ᾗ (sic) εἴπερ. — 45 Reg. ἄγησι', qui et ὑπὲρ 46.

Pag. 22. Lin. 1 cod. ὁ Σπερχ. — 14 Reg. κένῳ ἕως, pro κενώσεως. — 28, 29 τίς γὰρ ἂν ἐπινοῆσαι (sic) Regius. V. τί γ. ἂν ἐπινοήσαις. — 40 δρᾷς ἢ Marklandus. Reg. δράσης. V. δράσεις. — 41 ὑπὸ Regius. V. ἀπὸ. — 46 ἀγαθῷ δὲ Reg., ut emendarat Marklandus. V. ἀγ. καὶ. — 50, 54 Reg. ut vulgo Ὀλυμπιάσιν.

Pag. 23. Lin. 10 Reg. ὠφελιαν, sine acc. — 13 πᾶν Ἑλλ. Reiskius. V. πλὴν Ἑλλ. — 17 ἀφιχνούμενον Davisius. V. ἀφιχνομένους. — 18 ζηλώσαντα fuit a pr. m. in Reg., ut videtur. — 22 Reg. χονιωμένων. — 23 ἢ τυπτόντων addidit Reiskius. — 30 τούτου Regius. V. τούτων. — 35 Reg. τιτόλμῳ. — 40 Reg. ἢ ἐρ. — 42 idem ἔχειν. — 45 προεξεργάζεται Regius, ut conjecerat Marklandus. V. προσεξεργ. — 54 ἐῶσιν, quod item conjecerat Marklandus, Regius. V. ἐῶσαι.

Pag. 24. Lin. 14 Reg. αὐτοις, sine acc. — 16 Reg. ἀνθρωπίνων ἢ ἐπιθυμημάτων. — 20 cod. ἄξῃ. V. ἥξῃ. — 27 τῶν ex Regio accessit. — 29 Reg. ἀχονιτεὶ. Ib. αὐτός Marklandus. Cod. αὐτάς. V. αὐτούς. — 34 συγχονιόμενος Reiskius. V. συγχονιούμενος. Ibidem εὐδοχιμῶ Davisius. Codex εὐδοκίμως. — 39. Reg. δόξαν. — 46 Ἡ Reg. V. Ἤ.

Pag. 25. Lin. 12 Reg. εἰπεῖν, pro εἰπὼν, 21, ἀρρατος (sic), pro ἄρρηκτος. — 24 cod. ἐντεῦθεν ἐκ (sic, non εἰ) ποιητικῆς, τὸ. — 44 Reg. ὅση. — 45, 46 idem διαφεύγομεν, et χαλλωπιζόμεθα, et, ut videtur, ἢ γὰρ.

Pag. 26. Lin. 11 Reg. ἀθρητέον, non ἀθροιτέον. — 13 ἐάν τε ἄδοξος addidit HStephanus. Reg. ἐὰν ἔνδοξος, sine τε. — 19 Reg. ὠνάμεθα (μ superscr.). — 23 ἡγεῖτο et 29 οὐδὲ etiam Reg. — 35 παρεσκευάσατο Regius. V. παρασκευάσαιτο. — 50 τοῦ Τηλέφου ἢ τοῦ Ἀγαμέμνονος codd., quod temere mutatum. V. τοῦ Ἀγ. ἢ τοῦ Τηλ. — 54 αὐτοῦ Marklandus. V. αὐτούς.

Pag. 27. Lin. 13 Reg. ζητῶν μὲν τὸν. — 29 Reg. τιμὴ η (hoc erasum) κατ' ὠφέλιαν. — 36 τιμῶσι θεὸν ἑκάστης ἔφορον Marklandus, quod interim recepi, quanquam alia subesse statuo. V. τιμῆς θεῶν, ἑκάστης ὑπ' ὅρος. — 37 ἄλλη προστησαμένη codex. V. ἄλλης προστησαμένης.

Pag. 28. Lin. 3 cod. ὅσον οὐρανὸς γῆς. — 4 Reg. a pr. m. ἀπωθήσεται. — 26 codex ψυχῆς. — 32 Reg. ἐρπιστικὸν, qui alibi ubique ἐρπηστ—. V. ἐρπυστ—. 38 Reg. εὔχνουν. — 39 idem εὐσταθές. — 41 μὲν ἄπ. Reg. V. ἄπ. μὲν.

Pag. 29. Lin. 13 Reg. χροχόδειλος σχύλαξ. — 14, 15 Reg. θεόν· τινας αυτῶν (sic) καὶ. — 15 προσετρέποντο Jacobsius Anim. in Eurip. p 125. Cod. προσετρίπτοντο. V. προσεθρύπτοντο. — 30 Reg. a pr. m. ποταμὸς μεγίστου. — 37 Reg. καὶ ὄεις. — 39 γῆς Heinsius. Codd. γῆν. — 48 Reg. ὀπτεύσας. et ὡσπερισφρεατίας ἔλαφος. — 51 Reg. τῇ ἴόνι (sic). V. deest τῇ, quod supplet Marklandus.

Pag. 30. Lin. 24 ὑποδύντα σὺν τῷ ὕδ. scripsi, quo ducebat sententia et codex, ὑποδύντα οὖν (sic, non ὢν) τῷ ὕδ. V. ὑπ. τῷ ὕδ. — 32 τὰ δὲ δι' ἐκπλ. Reg. V. sine δὲ. — 36 καταστήσασθαι Regius. V. καταχτήσ. — 39 Reg. νομοθετοῦμεν, 41 προμηθείας, 44 προσκυνοῦνται, 50 καινὸς.

Pag. 31. Lin. 3 νομοθέταις Reiskius. V. νομοθέτης. — 15 θεῖον ἴστωσαν γένος, ἴστωσαν μόνον Reiskius. Codex θεῖον ἴστωναν (sic) γένος ἴστω μόνον. V. θ. εἰς γνώμην ἔστω μόνον. — 20 μόνον om Reg. — 26 Reg. a pr. m. αὐτοὺς. — 41 αὐτῷ Reiskius. V. αὐτῶν.

Pag. 32. Lin. 2 Reg. Σωχράτη, addito ν ab recentiore m. Idem Ἄνυτός τε. — 8 αὐτὸν Reg., ut emendarat Davis. V. αὐτῶν. — 17 Reg. καταγελαστότατον. — 20 Reg. a pr. m. οὖν ἐστιν σοι. — 24 Reg. a pr. m. νηφάλαιος, a sec. νηφάλοιος. — 31 lacunam Marklandus significavit. — 35 ἐπὶ Reiskius. V. ἔτι. — 38 ἐπαγωγὴν et 48 καὶ ἀφ. etiam Reg. — 49 Ὦ om. Reg. — 52 pro ἐπανιόντα Reg. σπάνιον τὸ.

Pag. 33. Lin. 3 Reg. ἐπ' ἐκείνῳ. — 12, 13 δ' ἐχρῆν Regius, ut correxerat Marklandus. V. δὲ χρῆν. — 14 Reg. κενὰ. — 15 Reg. πείθει. — 22 scholium ad Ἡλιαίᾳ: Μέγιστον δικαστήριον Ἀθήνησιν, ἐν ᾧ τὰ μεγάλα τῶν δημοσίων πραγμάτων ἐκρίνετο· ἐκαλεῖτο δὲ οὕτως ἀπὸ τοῦ αὐλίζεσθαι (sic). — 26 Reg. δεῖ, καὶ. — 42 πίστεις Davisius. Codd. πίστις. — 48 Reg. ηὐλαβεῖτο ἐν τῷ ἀγ.

Pag. 34. Lin. 5 δὲ ἕκαστοι Reg., ut correxerat Marklandus V. καὶ ἕκ. — 7 λιποτάκτην... λειπόνεων, prius ε puncto notans, Regius. V. λειπ—. — 13 ἢ Reg. V. ἤ. Reiskius addidit μὲν. — 20 ἀχόλαστον Reg. V. ἀχολάστων. — 34 Reg. βραχὺσ. — 35 δυναμένου Marklandus. V. δυνάμενος. — 37 et 47 Λεωνίδην Reg. V. Λεωνίδαν. — 39, 40 σφενδονήτης Reiskius. V. συχοφάντης. Reg. συχοφάντηι, ηι in rasura.

Pag. 35. Lin. 9 αἱ om. Reg. — 13 στασιωτικοὶ Reg. V. στασιαστικοὶ. — 18 διαφέρον οὐδὲν ἑαυτοῦ Reiskius. V. δ. οὐ δι' ἑαυτοῦ. Codex δ. τὸ αὐτου (sic). — 19 Reg. πίπτον. — 28 τι voculam delendam censeo. — 30 ἢ Reg. V. ἤ. — 36 ἣν χρὴ sententia duce scripsi. V. sine sensu ἂν ἀρχῇ. — 37 Reg. τῇ κρατήσει τῶν. — 46 θρυπτικοῖς scripsi. Reg. θρεπτικοῖς. V. τρεπτικοῖς. — 47 αὐτῆς Reg. V. αὐτοῖς. — 48 Reg. ἔπει τ' ἤπ.

Pag. 36. Lin. 3 prius καὶ addidit Reiskius

Reg. a sec. m. μετέβαλλεν. — 21 βαυκαλῶσι Valckenarii emendatio a Piersono probata, quam recepi et ob elegantiam et ob scripturam Regii βουκολῶσι. V. βουκολοῦσι. — 42 θύουσιν corruptum. Heinsius μεθύουσιν. — 35 οὐδὲ addidit Marklandus. — 44 τὸν Ζῆνα Regius. V. καὶ τὸν Ζ. — 47, 48 ἄνθρωποι corrector codicis Harleiani. Codd. θεοὶ.

Pag. 37. Lin. 3 Reg. μετέλαβον. — 6 ἢ a m. sec. additum. — 7 Reg. περιέβαλον, correctum eadem m. Deinde τελέσται. — 8 ταύτῃ Davisius. Codex τα (sic). V. τούτοις. — 42 Reg. καὶ ἂν φιλ. — 48 τὴν præbuit Regius. — 52 Reg. δψομαι, recenti m. correctum.

Pag. 38. Lin. 1, 2 δέξομαι καὶ ἀγαπήσω τὴν ῥᾳστ. Regius. V. δέξομαι καὶ ῥᾳστ. — 22 δὲ præbuit Reg. — 32 Reg. μεταλάβῃς. — 37 τὴν præbuit Reg. — 41 μύθων Reg. V. μύθῳ. — 48 ἐκ recenti m. additum Regio.

Pag. 39. Lin. 11 Valckenar. Diatrib. p. 281 χρυσηλάτου. — 28 ἐπεὶ δὲ Reg. V. ἐπεὶ δὴ. Deinde Reg. ἐχρύσωτο. — 33 ὁ μὲν etiam Reg. — 41 οὐχ recepi ex codice et Apostolio. V. deest. — 44 αἱ Apostolius. V. deest — 46 ὁ etiam Reg.

Pag. 40. Lin. 11 Reg. ὄεις. — 18, 19 αὐτοὺς καὶ ὀρεῖς Davisius. Regius αὐτοὺς καὶ ὄεις. V. αὐτοὺς ὀὀρῆας καὶ ὄϊς. — Ad πονηρῶς l. 28 glossa ἐπιπόνως, l. 29, μοχθηρῶς. — 36 Reg. hoc loco εὔξατο. — 43 ad κᾶτα (sic) schol. : κυρίως ἐξ· ἐπί· ἐκ· ἀπό· καὶ ἀντὶ τοῦ εἶτα, ὡς νῦν· ἔτι δὲ καὶ ἀντὶ τοῦ ἆρα.

Pag. 41. Lin. 2 ἡ ante εἱμαρμ. addidit Marklandus. — 7 Reg. ὕλαι. — 14 ἡ omittit codex. — 24 λοιμώττ. Reg. — 28, 29 καὶ τῶν ... προνοεῖ Regius. V. κἂν τῶν ... προνοῇ. — 31 pro ἀνύσιμον Reg. ἄνυτι (sic). — 34 sic Regius, nisi quod ἡ. — 37 et 39 ψάλιον et ἀγωγαῖς codex. — 44 Reg. πολέμῳ Ὅμηρος.

Pag. 42. Lin. 1 ἡ ante Ἄτροπος addidit Marklandus. — 19 Reg. ἀνδρίαν. — 21 Reg. ἡ τί τοίν. — 29 codex ἐὰν. — 30-32 locus corruptus. Codex pro verbis οὐκ ἔχει ad πορνοβοσκῶν : ὁ δὲ χρηστὸς ἦν, μετάθου τὸν τρόπον, εὔξαιο (super ξ posito χ, ac si voluisset εὔχαιο) μοχθηρίαις (quod recepi pro vulg. μοχθηρίας), ἐπιτήδευσον τὸ πρᾶγμα, καὶ ἡ πλοῦτον καὶ πρᾶγμα λαμβάνεις, πορν. — 51 vulgo λέγει, εἰ ἀγαθὰ ἐπὶ ἀγ., refragante codice.

Pag. 43. Lin. 1 Reg. Πειρεᾶ. — 8 ἡ Reg. V. ἦ. — 9 γένηται et ἄρξει Regius. V. γένοιτο et ἄρξῃ. — 20 βίου etiam Reg. — 23 gl. ad ἐναύσματος : ἀρχῆς ἐμπυρεύματος, ὑπεκκαύματος. — 31 ἐξέτεμες Reg., ut Maximus alibi. V. ἐξέταμες. — 37 ἐλαττοῦσθαι σοφίᾳ Marklandus, quod prorsus necessarium esse videtur. — 39 Reg. οὐ· μὰ. — 46 αὐτοῖς Davisius. Codex αὐτῆς. V. αὐτῇ. — 49 Regius ταύτην ἐστὴν τῶν. Debebam scribere ταυτηνεὶ (ταυτηνὶ) τὴν, ut p. 54, 30, et alibi Maximus; nam siglæ ει et εσ in hoc codice simillimæ.

Pag. 44. Lin. 14 φορυτὸν Marklandus. V. φόρτον. — 17 Reg. κινῷ a pr. m. — 24 αὑτοῦ Reg. — 30 διαψήσας Reiskius, quod non sine dubitatione recepi. V. διψήσας. — 31 τῷ κάμνοντι Reg., ut correxerat Marklandus. V. deest articulus. — 39 ἡ Reg. V. ἦ. — 45 τῆς Σκυθῶν Regius, ut correxerat Reiskius. V. τῶν Σκ.

Pag. 45. Lin. 4 ἐπὶ κέρως Portus. Codd. ἐπικαίρως. — 6 Reg. οὐραιον sine acc. — 11 μήποτε etiam Reg. — 12 ἂν εἴη Reg., ut Marklandus correxerat. V. sine ἂν. — 21 ῥώμῃ et αὐτῶν codex. V. ῥύμῃ et ἀνθρώπων. — 27 ἡ ex Homero addidit Heinsius. De sequentibus v. Markland. — 31 ἐπιστήμαις etiam Reg. — 38 codex θείῳ καὶ ξυνάπτει. — 46 Reg. δέ τοι. — 49 vulgo ἀρχιτεκτόνων· ἡ δὲ τέχνη. Delevi δὲ. Similiter Marklandus, sed plura mutans.

Pag. 46. Lin. 18 οἱ δὲ ἄλλοι, οἱ καλ. Marklandus. Codex οἱ δὲ ἄλλως οἱ καλ. V. οἱ δὲ ἄλλως καλ· — 32 codex Μῆδος. — 33 καθαίρεται Reiskius. V. καθαιρεῖται. — 47 Reg. sine ι adscriptis et hic et alibi sæpe in versibus.

Pag. 47. Lin. 1 ἐπετείχισεν Reg. V. — χιζεν. — 5 Reg. Λυκίου. — 15 ἀρετὴν ἐπιστήμην Heinsius. V. ἐπ. ἀρ. — 20 καὶ ἅρπ. etiam Reg. — 30 codex σοῦ νέοιμι. Frustra Davisius σεῦ. — 40 Reg. εἰ μὲν οὖν οὐ, deinde οὖν erasum. — 41 idem εὐχῆσ σώματος. — 42 ὑγείας ἐρῶντος Davisius. Codex ὑγειατερωννος (sic). V. ὑγείᾳ ῥᾴονος. — 47 Reg. τὴν πλεονεξ.

Pag. 48. Lin. 14 παράβαλε Regius. V. παράβαλλε. — 17 lacunam indicavit Marklandus. — 18 συγκεκραμένον addidi ex Regio. — 25 ἐν addidit Marklandus. — 31 ἀνιαρότ. Reg. — 46 κακοδαιμονίαν abest ab Regio. — 54 πόλεμον οὐ κινεῖ νόσος scripsi. Codex πόλεμον οὐκ εἶναι νόσον. V. π. οὐκ εἶναι διὰ νόσον, unde Reiskius conjecerat, π. οὐδεὶς κινεῖ διὰ νόσον.

Pag. 49. Lin. 3 lacunam vidit Marklandus. — 19 δὴ Reg. V. δὲ, quod servari poterat. — 20 ἐπέπαυτο Reg. V. — παυστο. — 23 Reg. μανίᾳ. — 27 συναπώλλυτο Stephanus. Reg. συναπώλλετο. V. συναπωλλύετο. — 28 ἄλλοσε Regius. V. ἄλλοτε. — 32 Reg. πυρέττων. — 42 ἀκούσῃ Marklandus. Codex ἀκούσης. V. ἀκοῦσαν. — 46 Reg. ἐλευθερίαν τοῦ ερμου (sic). Reiskius addit ἀπὸ. — 48 ἡ Reg. V. ἦ.

Pag. 50. Lin. 1 ἡ omittit Reg., qui l. 2 ut editur. — 12 συγκάεται Reg. V. — καίεται. — 14 οᾶ in rasura. — 19 Reg. παιᾶν. — 28 idem φῦλλα, 30 ut editur. — 43 μεταβαλὼν Marklandus. V. μεταλαβὼν.

Pag. 51. Lin. 3 Reg. Λυκίου. — 10 ἀθρὸς Mark-

landus. V. ἁδρὸς. — 17 ἐρπηστ — Reg. ubique. V. ἑρπυστ —. — 21 an ὧδε καὶ? Wakefield. S. C. I, p. 112, ὡς δὴ ... et alia quæ nemo probabit. — 43 ὅσαι ἡμέραι Regius. V. ὁσημέραι. — 45 ἢ idem. V. ἡ.

Pag. 52. Lin. 1 Reg. τε μὴν. — 14 ἰδεῖν καὶ Regius. V. καὶ ἰδεῖν. — 20 εἰ δὲ Heinsius. V., ut codex, ὅτι δέ. Alii codd. ἔτι δέ. — 22 ἔτι λέλειπται Reiskius. V. ἐκλέλειπται. Deinde αὐτὰ Davisius. Codd. αὐτό. — 31 τοῦτον Marklandus. V. τοῦτο. — 40 Reg. ὁσημεραι sine acc. — 41 ἰατρῶν codex. V. ἰατρῶν ἄριστος. — 42 ὁ ἄριστος Davisius. V. ὁ αὐτός. — 45 Reg. συγγιγνόμενος τε ὅτι; sine enclisi. — 53 δαιμονίων Regius, ut conjecerat Davisius. V. δαιμόνιον.

Pag. 53. Lin. 1 ἂν ἐρωτᾶν codex. V. ἀνερωτᾶν. — 5 ἀνερωτῴη codex. V. ἂν ἐρ. In Regio bis βουκεφαλας sine accentu. — 8 Τί δὲ, οἱ νῦν scripsi. V. τί δὴ νῦν. — 9, 10, οὐ addidit Marklandus, idemque conjecit ταῦτα ἃ ἐκεῖνος διηγεῖτο; codex ut vulgo αὐτῷ ἐκείνῳ ἃ διηγεῖτο: quare scripsi quod græce dici potest ταῦτα ἐκείνῳ ἃ διηγεῖτο, sed apud Maximum eam structuram non memini. — 16 deesse quædam videntur. Interim scripsi λέγει ἐπὶ τοῦ. V. λέγει καὶ τοῦ. — 19 codex γινώσκοι. — 39 οὐ δημ. Davisius. V. καὶ δημ. — 41 κωλύον addidit Davisius.

Pag. 54. Lin. 16 εἰ μὲν γὰρ μηδεμίαν Regius. V. εἰ γὰρ οὐδεμίαν. — 19 ψέγειν Reiskius. V. φεύγειν. — 35 ἐρρωμ. etiam Reg. — 41 δεῦρο Reiskius. V. δευτέρῳ. — 46 Reg. τάφῳ.

Pag. 55. Lin. 7 Marklandus ἀνταράττει. Deinde αἰθέρια Davisius. Codd. αἰθέρι. — 11 Reg. τά τε ἄλλα. — 12 δὴ Reg., non δεῖ. — 16 αὐτῷ codex. V. αὐτοῦ. — 17 δεύτεραι, θεοὶ καλούμεναι (sic) Davisius. Codex δεύτεροι οἱ καλούμενοι, quod postremum servari debebat. — 18 μεθορίᾳ Reg. V. μεθορίῳ. — 21 Reg. τὸ pro τῷ. — 22 codex τῷ θνητῷ πρός. — 29 ἑκατέρων Regius. V. ἑκατέρου. — 31 δ' ἂν Regius. V. δ' αὖ. — 33 Regius προσφθεγγόμενον καὶ φανταζόμενον. — 34 ἐπωφελοῦν Reiskius. V. ἀπωφελοῦν. — 35 θνητῶν Reg. V. θνητόν. — 37 τρις sine acc. Reg., et 48 ἐπιστροφῶσι.

Pag. 56. Lin. 7 Regius νύ τι, 16 σκεδαστέον. — 17 τίς delendum, punctis notatum in Regio, quæ ab antiqua manu esse possunt. V. τί. — 21 τοίνυν ψυχὴν Reiskius. Regius τοιντὴν ψ., non τοίνυν τὴν ψ., quod ex eo se sumpsisse Davisius refert. — 22 vulgo ἐξ ἑκατέροιν συγκεκραμένον. Codex ἐκ. συγκεκρατημένον, quod correxit Davisius. — 29 Reg. τὸ βαρ. — 32 ὥσπερ Regius, ut conjecerat Reisk. V. ὅπερ. — 38 ἐπεὶ Davisius. V. ἐπί. — 39 περισκοπούμεθα codex. V. -πώμεθα. — 40 Reg. εἰδῶμεν. — 42 idem a pr. m. ἀθάνατον μὲν γὰρ, deinde γὰρ erasum.

Pag. 57. Lin. 1 θερμὸν ὂν Reiskius. Pro vocibus ξηρῷ δὲ Reg. καί. — 4 Reg. μεταβάλοι. — 9 Reg. ποτὲ μὲν pro ἀπὸ μ. — 14 μετέβαλέ Reg. eadem m. V. μετέβαλέ. — 19 ἀνὰ δύο Regius. V. ἐκ δύο. — 24 ἀνακίρνανται Regius. V. ἀνακιρνᾶται. — 29 sic Regius. V. ἄνθρωπος δὲ ... θηρίον δέ .. — 34 Reg. θρὶγξ a pr. m. — 50 Regius πᾶν ἢ τρέπεται ἢ διαλύεται ἢ τήκ. Ego hic addidi ἢ ῥήγνυται, quod delevi post ἢ κόπτεται, ubi vulgo et in codice legitur. — 51 verba καὶ τρέπ. omittit Reg.

Pag. 58. Lin. 3, 4 hoc ordine Heinsius. V. μὴ τρέπεσθαι, μὴ ῥήγνυσθαι καί. — 7 ἢ γὰρ καὶ τῷ Regius. V. εἰ γὰρ τῷ. — 9 Reg. αὐτῇ, pro αὐτήν. — 17 ξυνείη Regius. V. ξυνίῃ. — 34 Reg. φασὶν ἐκεῖνον. — 44 τῷ αὐτοῦ Marklandus. Regius τῷ αὐτοῦ. V. τῷ αὐτῷ. — 45 Reg. δαίμων τ' ἀνθρώπου.

Pag. 59. Lin. 3 τὴν γῆν Regius. V. τῇ γῇ. — 18 προσέλθοι Regius. V. προσέλθῃ. — 19 νεώς. In margine Regii νήσου, antiqua manu. — 22 Reg. παιωνίζοντος. — 33 νὴ τὸν Valckenarius Anim. ad Ammon. p. 218. V. καὶ τόν. — 36 Reg. Κρῆς. — 44 ἦν ἂν Reg. V. ἂν ἦν.

Pag. 60. Lin. 3 χάρου scripsit Wakefieldus Silv. cr. II, p. 81, quod ipsum præbet Regius altero loco l. 7. V. utrobique χόρου. — 18 πολλὰ ἦν Regius. V. πολλὰ μὲν ἦν. — 20 ὑπὸ δὲ Reg. V. ἀπὸ δέ. — 25 Reg. Προχονησίῳ. — 30 ἔθη Marklandus. V. ἔθνη. — 29 Reg. ἐντυγχάνει. — 44 αὐτὴν codex, non αὐτῇ. — 47 ὀνομάζοιμεν scripsi. Reg. ὀνομάζομεν. V. ὀνομάζωμεν. — 54 παραναγαγοῦσα Reg. V. παραγαγοῦσα.

Pag. 61. Lin. 1 δὴ Reg., ut correxerat Marklandus. V. δέ. — 4 ἦν addidit Reiskius. — 6 Reg. εὖ pro οὐ. — 7 μήπω Reiskius. V. μήπως. — 12 ὠδῖνας Regius, de quo falsa refert Davisius. V. ὀδύνας. Etiam sequens ὀδύνης, l. 13, in ὠδῖνος vertit Wakefieldus. — 24 ἀλλ' addidi cum Reiskio, plura mutante. — 37 Regius distinguit ut Marklandus. — 38 Reg. ἔμπλεκτον. — 39 οὔτε ἀναμ. scripsi. V. οὐδὲ ἀν. — 49 Reg. Αὐτοδίδακτός δ'. — 51 εὖ delet Reiskius. — 52 ἢ Reg. V. ἦ.

Pag. 62. Lin. 3 ἐμηχανήσαντο Reg. V. —σατο. Codex καλειάδας. — 5 Reg. χειραμούς. — 6 ἆρα Reg. V. ἄρα. — 7 οὐκοῦν ἥξει πόθεν Marklandus, verum sententiâ, si non verbis. V. οὔκουν (Reg. οὐκουν sine acc.) ἥξει ποτέ. — 11 τὴν χρείαν αὐτοῦ Reg. V. αὐτοῦ τὴν χρ. — 14 ὅτε μαθὼν Davisius. V. ὅθεν μ. — 15 Regius ἐρῇ vel ἐρῇ (nam ι non satis certum) μοι τόν. — 19 Marklandus πάλιν ἤδη ἐκεῖνον δεῖ ἐρέσθαι. — 25 τί ἄλλο Davisius. Codd. τί δ' ἄλλο. — 27 ταύτῃ Stephanus. V. ταύτης. — 28 λεγόμενον codex. V. γινόμενον. — 36 Reg. ἔστησεν. — 41 Reg. τούτων (sic), deinde mutatum in τοῦτον.

Pag. 63. Lin. 9 Reg. τοῦτο χειρου (sic) προάγονς. — 20 super Θ ἴσθην antiqua manu scriptum

Μέσην. — 44 αὐτός Reiskius. V. αὐτά. Deinde Reg. ἀποκρίνεται.

Pag. 64. Lin. 10 Reg. ὑποτουανεδηποτου (sic). — 21 idem ἀληθείας, et 22 omittit νῦν. — 25 χυχηθμῷ Reg. V. μυχηθμῷ, nisi est typographi vitium. — 30 δὲ γενν. Regius. V. καὶ γενν. — 35 ἀμφισβητεῖν scripsi, Marklandus ἀμφισβητοῦντα, sed illud sufficere videtur. V. ἀμφισβητῶν. — 39 ἄδηλον Marklandus. V. δῆλον. Ibidem Davisius de conjectura ἀφανὲς edidit. — 42 Reg. περιβαλλόμενος. — 43 ἐκλόγου vertit Paccius. V. ἐκ λόγου. — 45 Reg. τῶν οντων (sic). — 46 idem Πλάτωνι καὶ, recentiori m. correctum. — 49 idem σχολή.

Pag. 65. Lin. 8 τὸ addidit Stephanus. — 13 Reg. ἔχει ἀτρ. — 17 βασανίζον Regius. V. βασανιζόντων. — 21 οὐ πυρὶ Regius. V. ὡς πυρί. — 31 περὶ Reiskius. V. ἢ περί. — 33 Reg. a pr. m. ὑμῶν. Deinde idem ἀξιώσει. — 35 idem ὅτὰν, pro ὧ τάν. Deinde ὅτι Marklandus. V. ὅ τι. — 36 ὥμοιιν codd. V. ὡμοισιν. — 38 Reg. χυανὰς ... χρυσὰς. — 40 Wakefieldus Silv. cr. II, p. 94 ἀσθενείᾳ ὄψεως καὶ ἀπορίᾳ δηλώσεως. — 42 lacunam indicarunt Heinsius et Marklandus. — 50 Reg. εἴδοις. Deinde codex bis τοῖς ἄλλοις pro τοῖς ἄλλα. — 51 idem omitt. καὶ οὐ, et præbet ταὐτό.

Pag. 66. Lin. 1 φύρεται Regius. V. φέρεται. — 6 Reg. ἄγησι, 8 εἴδοις. — 10 συνάρχοντες θεοῦ Reg. V. σ. θεῷ. Deinde Reg. καὶ, vulgo δέ. — 12 ὁ σοφὸς καὶ ὁ omissa in Reg. — 14 idem εἰ pro οἴει. — 28 Reg. γένουσ· ησπεύσει (sic) V. πεύσῃ. — 33 Reg. τι. — 36 idem αὐτοῖς δὲ. — 37 ἀπείπωμεν scripsi cum Reiskio pro ἢ εἴπωμεν, et οὐδὲ ἴχνη pro τὰ ἴχνη ob Regium qui ita : δράσωμεν η (deinde litera erasa, quam intenta acie δ fuisse ægre cognovi) επιμεν (sic) ἐκ τοῦ λοξίου δὲ ἴχνη (ita potius quam ἴχνη). — 40 codex τέχνη pro τὰ ἴχνη. — 46 Reg. εἰδόντες. εἶθέ μοι, 49 a pr. m. ἀνοητότου.

Pag. 67. Lin. 4 Reg. ἢ omitt. ante τις. — 13 idem αἰσθητὸν ὅσαν. — 17 χυμοὶ καὶ ὀσμαὶ Marklandus; posterius confirmat Regius, in quo θυμοὶ καὶ ὀρμαὶ, ut vulgo, sed ρ positum in rasura literæ σ. — 19 Reg. ἀναχιρναμένη, 20 ἡγεισθαι sine acc., 22 ὑπὸ τούτου pro τοῦ νοῦ, 29 χνίσσης hic semel, alibi uno σ. — 31 χαρτερεῖν Marklandus. V. χαρτεροῦ. — 33 πρὸς τὸ omittit codex. — 51 εφη (sic) Regius pro ἔπου. — 52 ἡγήσεται Reiskius. V. ἐρήσεται.

Pag. 68. Lin. 9, 10 Reg. τὸ ἄψυχον πρὸς τὸ ἔμψυχον, deinde omittens τὸν αὐτὸν, porro ἢ ἔννους ψ. αὐτὸ τοῦτο πρὸς τήν. — 16 alterum τὸν addidit Reiskius. Reg. νοῦν αὖ τὸν ἀρχ. — 18 καὶ νοεῖ codex omitt. — 27 Regius τὴν περιβολὴν, quod fortasse recipiendum erat. — 28 ἐν γῇ Reg V. ἐν τῇ γῇ. Deinde Reg. πορίαν.

Pag. 69. Lin. 1 ἐπισπωμένῳ Reiskius. V. ἐπισταμένῳ. — 2 Reg. πορίας. — 14 πέπταται Regius. V. πέπτεται.. — 17 χυχηθμοῦ Regius. V. μυχηθμοῦ. — 18 et 21 scripsi συνείη. V. utrobique συνίῃ. — 19 ταραττόμενος Davisius. V. ταραττομένων. — 20 ἢ addidit Davisius. — 22 ap. Hom. ἀκούσαι. — 25 αὐτὴν Marklandus. V. αὐτή. — 26 Reg. ὑπολαβοῦσα. — 28 ἂν οὖν Reg. V. οὖν ἄν. Deinde Reg. ἐκνήσαιτ' — 29 αὐτὸν Marklandus. V. αὐτόν. — 35 διηγήσεται Regius. V. διηγήσηται. — 36 Reg. ἄλλοθεν καί. — 37 λειμῶνα Marklandus. V. λειμών. Reg. hic et 38 λειμῶν. — 38 fortasse ἀλλ' ὅθεν : nam Reg. ἄλλοποθεν, et puncta ponit super literis πο. — 41 δὲ accessit ex Regio.

Pag. 70. Lin. 15 Reg. τὴν pro γῆν, et ἀλιτρῶν. — 20 codex βασιλεῖς. — 21 αὐτοῦ Reiskius. V. αὐτούς. — 27, 41, 43 Reg. δίκα. — 30 idem ἀτρεκίαν. — 42 idem καὶ pro ναὶ, et μεταλαβών. — 43 ἢ σχολ. scripsi. V. καὶ μὴ σχολ. Regius καὶ σχολ. Deinde ἀναβαίνει dedi. V. ἀναβαίνειν.

Pag. 71. Lin. 3 Reg. φέρ' εἴδιω τί καὶ λέγων, in quibus puncta notant literas ι et ν. — 11 codex ὁ μὲν pro ὁρᾶται μ. — 12 idem ὁρᾶν, punctis notato ν. — 13 idem omitt. ἀδικεῖν καί. — 15 ὡς in Reg. secunda m. addidit. — 16, 17 idem om. ἐλέγχεσθαι οὔτε τοῦ ἀγν. τὸ. — 29 lacunam indicavi. — 31 Reg. μηδὲν ἀδ. — 33 ὅ, τι καὶ ἀφ. scripsi. V. ὅ τι ἀφ. Sed codices omnes ὅ, τι μὴ ἀφ. — 38 Reg. om. τοῦ. — 39 sic Davisius. Codd. ἂν ἔχῃ δὴ ἀφ. — 44 φθάσῃ Marklandus. V. λάθῃ. — 46 Reg. ἔστι δέον. — 49, 50 οὐχ ἀδ. δὲ δ. τ. ἀπ. omittit Reg.

Pag. 72. Lin. 4 Reg. ἡμῖν. — 5 ἐγὼ ἐπιχειρῶ Reiskii est. V. ἐρῶ πονηρῷ. Regius ἐρωπονηρωνυν (sic sine acc.) βούλεται. — 9 εἰς ὅ, τι ἀδικῆται οὐκ ἔχει Davisius. Regius εἰς ὅ, τι ἀδικη οὐκ ἀδικη ὅτι οὐκ ἔχει (sic), aperta repetitione. V. εἰς ὅ, τι ἀδικῆ οὐκ ἀδικεῖ, ὅτι οὐκ ἔχει. — 10 Regius μοχθηροσοση (sic) οὔτ' οὖν. — 14 idem μέρος. — 19 idem om. ἑ. — 20 ad προϋπαρξ. glossa : τῷ προαρξαμένῳ χαρίζεσθαι οἶμαι. — 27 codex ἐπεξεῖναι. — 29 Ὅσον addidit Reiskius. — 33 Reg. γὰρ ομειλει, eraso ει priore. — 37 idem φθίσασαν a secunda m. — 42 πολυπλασ. Reg. V. πολλαπλ. — 48 ἢ codices. V. ἧ, ex mala conj. Davisii. — 49 Reg. δηώσεως, et ubique fere δηοῦν. — 54 idem a pr. m. ἀγαπῷς, ut videtur

Pag. 73. Lin. 10 Reg. τρήρεις, 13 Μαντινίᾳ. — 20 idem ταύτην. V. ταὐτήν. — 21 οὐδ' αἱ Reiskius. V. οὐδέ. — 24 Reg. δεῖ τοῦ τῆς ἐπ. — 26 στῆσαι Wakefieldus Silv. cr. III, p. 155. — 37 μαρίλης, glossa : τοῦ χνοῦ καὶ τοῦ λεπτοῦ τῶν ἀνθράκων. Ἐμπεπλησμένῳ Stephanus. Codex ἐμπεπλεγμένῳ. — 38 Reg. συμπλεκέντα. — 47 προεληλ. Markl. — 53 οὗ πον. Regius. V. ᾧ πον.

Pag. 74. Lin. 5 τὸν ἄδικον codices recte. V. τῶν

ἰδίων. . . 15 tria verba ἢ οὐ καταγελ. omitt. Reg. — 16 τοῦ τοιούτου Marklandus et Reisk. V. ἐκ τοιούτου. 26 τοῖς ἀφαιρουμένοις iidem. V. ἀφαιρουμένους sine art. — 28 Reg. ἀποκτεινν῀υντας.

Pag. 75. Lin. 2 Reg. ἐξίστασθαι. — 13 idem μαντεῖα, et ἀνθρώπου. V. ἀνθρώπων. — 31 paullo plura desunt quam quæ in latinis supplevi secundum Davisium. — 37 Reg. ἀξίως. — 43 ἀνθρωπίνου etiam Reg. — 49 idem ἀρξαμενην sine acc., 51 ἐμπεσουσᾶν (sic).

Pag. 76. Lin. 3 εἰκόνος τοιᾶσδε. Ἤδη ποτὲ scripsi; ἤδη π. Reiskii est. Codex εἰκόνος · ἢ (sic, non ἢ) οἷα δήποτε. V. εἰκ. οἷα δήποτε. — 11 μαντικὴν Marklandus. V. ἀνθρωπίνην. — 14 Reg. σύνθεμα. — 17 τὴν μοχθ. Regius, ut Marklandus correxit. Aberat articulus. — 30 μέρος ὅσον Regius. V. μέρος ὄν. — 32 βουλεύσεται Regius. V. βουλὴ ἔσεται. Post ἢ μὴ ego addidi ἡ γνώμη. — 33 prius ἡ addidit Marklandus, et habet Regius, sic, ἀναγκαίου ἡ γνώμη μαντικῇ δηλ. — 35 codex ἀνομβρίας. — 41 ἄλλος Regius, non ἄλλοι, ut vulgo. Ibidem Reg. τῶν ὅσα. V. τὰ ὅσα. — 43 ἅπερ codex. V. βίᾳ. — 45 Reg. φῦς. — 52 διοικίσεις Harleianus codex. V. διοικήσεις.

Pag. 77. Lin. 1 καὶ διέλ. codex. V. sine καὶ. — 4 Reg. ἑστία ἢ ὀχήματα τὰ ἀθάνατα. Τὰ vulgo lectum delevit Marklandus. — 8 ἀνηρτημένη Reiskius, et 9 γῆν μὲν γὰρ. — 14 Reg. περιλαμπῆ. — 15 χόροις Davisius. Codd. χόραις. — 21 ita Reiskius. V. κοινωνίαν. Πολιτείαν ὁρᾷς τὸν. — 23 δίκην addidit Reiskius. V. ἀλλὰ διὰ νεώς. Præpositionem διὰ omittunt codices. — 25 ὑπηρεσία ναυτῶν Regius, non ut refert Davis. — 31 ἀντερείδει tentavi. Codices ἀντετύχει. Davisius ἀντιτυπεῖ, sed ἀντε tenendum erat. V. ἀντιπίπτει. Deinde ἡ addidit Reiskius. Reg. κράσεις. — 40 Marklandus διαπιστεύειν ἔᾳ. — 42 desunt quædam. — 50 μέν τοι Regius. V. μέν τις. — 52 Reg. θεῶν.

Pag. 78. Lin. 10 αἱ δὲ recens manus in Regio correxit, qui ut vulgo οἱ δὲ. — 12 codex δράματι, non δράματι, ut retulit Davisius. Deinde scripsi ταῦτα τὰ κενὰ, et ἥ τε Reiskius. V. ταῦτα κενά. Ἡ δὲ. — 13 δι' ἀνοίας Grotius. V. διανοίας. — 19 καὶ τὸν Οἰδ. Regius, ut correxit Marklandus. V. δὲ τὸν Ο. — 25 ἐπὶ τὴν Κατάνην ῥεῖ Toupius Emend. vol. 2, p. 305. — 27 μαντείων Reg. V. μαντειῶν, quod servari poterat. — 38 voculas ἡ δὲ recte delet Boissonadius ad Aristænet. p. 509. — 40 ἁπλῆ Davisius. Paccius *simplicissimi amictus*. Codd. ἀνέτη. V. ἄνετος. Deinde Reg. ἐπίχρηστος.

Pag. 79. Lin. 1 Reg. διαφέρετον. — 5 χυδαίνων Reiskius, Dorvill. ad Charit. p. 228, Toupius Emend. III, p. 404. — 6 εἰ λαβ. Reiskius. Codd. ἢ λαβ. V. ἢ λ. — 12 Reg. λέγει. — 18 ἀποκρινώμεθα Reg. V. ἀποκρινόμεθα. — 22 ἀηδῆ Regius, ut emendarant Davis. et Markl. V. ἀειδῆ. — 31 Reg. μεταλαβὼν, 32 omittit τῷ. — 36 ἀλλ' ἡ βλ. Reiskius. — 40 κρινοῦμεν Regius. V. κρίνωμεν. — 43 εὐψυχίαν Reiskius, quod non satisfacit. Sed vitiosa vulgata εὐτυχίαν. — 51 βλάβη Reg. V. βλάβει. — 54 ὁ ἡδ. Regius. V. sine articulo, quem addendum esse dixerat Markl.

Pag. 80. Lin. 7 Reg. ὡς πολλὰ. — 13 idem αὐτῷ, in quo ἰδὼν vel simile participium latere putaverim. — 20 Reg. καὶ διεπιβουλ. — 23 τάξαι dubitationem movebat, et vidi in Regio τάξε scriptum ita, ut ε positum sit in spatio literarum trium. — 31 idem θυμῳ sine acc., 32 ἡ.

Pag. 81. Lin. 7 Reg. ὠφελίας. — 16 ὁ γάρ του Regius. V. ὁ γὰρ τοῦ. — 21 ἐλαττοῦται Reiskius. V. ἐλέγχεται. — 24 ὁ, et 25 κόλαξ θεοῦ addidit Marklandus. — 28 Reg. δεδειὼς. — 30 idem εὔελπις et δύσελπις. — 34 τῷ idem præbuit ante γρ. vulgo omissum. — 38 ἀντέχεται Reiskius. V. ἀνέχεται. — 46 Reg. ἡδόναι (sic), 53 Νεικίᾳ.

Pag. 82. Lin. 6 αὐτοῦ τοῦ Marklandus. V. deest art. — 9 Reg. Ἡρακλέως. — 11 idem δεσποτικὸν. — 14 κολακείας codex. V. κόλακας. — 17 ἦ συνῆσαν scripsi cum Reiskio. V. nihil nisi ἦσαν. — 18 Ἰαχῶν idem Reiskius. V. ἤχων, cujus prima litera in Regio rasuræ antiquæ imposita, in qua siglam ει agnoscere videor. — 32 Reg. om. καὶ. — 38 αὐτῶν, et 47 αὐτοῦ Regius, non αὐτ. — 42 Reg. καὶ τίς θ., sine εἰ. — 47 τὰ codex. V. τῶν. — 52 κομῶντες Reg V. κομοῦντες.

Pag. 83. Lin. 3 Reg. αὐτοὺς ἐγχειροῦσιν. — 5 καλῶς Reiskius. V. καλῷ. — 6 ὑπηρεσίας Reg. V. ὑπηρεσιῶν. — 18 Reg. κἂν. — 19, 20 codex οἱ δὲ θεωρητικοῖς ἐφαμίλλω ὄντε καὶ. — 28 τί ἑκάστῳ Davisius. Codex τὸ ἑκάστῳ. V. τὸ ἑκάστου. — 32 Reg. ὑφαντην sine acc., 37 δεῖσθαι πολ., 44 χρεία, 46 Νηρέως, 52 κηφῆν. — 53 Reiskius νομοῦ. Idem cum Marklando αὐτῷ. V. αὐτό.

Pag. 84. Lin. 1 Τυχίον Leopardus. Codd. Τυχεῖον. — 4 Reg. ἄφιλος. — 14 ἢ Reg. V. ἦ. — 17 μᾶλλον · ἐν νηὶ μὲν γὰρ Reiskius. V. μᾶλλον ἐν γῇ · εἰ μὲν (γὰρ hoc loco addunt codices) ὀλίγ. — 18 Reg. omitt. ἐκ. — 24 idem Φρῦξ. — 28, 29 quædam corrupta. Regius αὖ τῷ γομφίῳ ὡς ἀλοῦντι καὶ ἐργαζομένῳ τρ. τ. ὄχλῳ ἀρκῶν (sic enim, non σαρκῶν : σ insertum recentissima manu) κ. ἔρ. ἀπειπαμένων. — 31 ἄλλο τι Regius. V. τί ἄλλο. — 35 κωλύει Reg. V. κωλύοι. — 36 ἡ Reg. V. ἦ. — 42 λιποτ. Reg. V. λειπ. — 45 τῇ ᾠδῇ Reg. V. ᾠδῇ. — 50 Reg. ὁ μὴ κυβ. — 51 στρατηγικὸς Marklandus. V. στρατηγός. — 54 αὐτῆς ὀνίνασθαι Reg. V. αὐτοῦ ὀνήσασθαι.

Pag. 85. Lin. 3 συνῶμεν Regius. V. συνιῶμεν — 17 πρὸς τούτῳ Regius. V. πρὸς τούτοις. —

— 25 οὐδεὶς ἂν αὐτὸν Regius. V. sine ἄν. — 38 ὁ accessit ex Reg. — 44 idem μονωτὴν. V. μονώτην. — 45 Reg. χυχλώπιον, 47 φυτεύουσι χερσί.

Pag. 86. Lin. 5 Reg. εἰλαδόν, 7 δέ, 8 ἀνιδρωτεί. — 18 ποσὶ δὲ Reg., ut Marklandus voluit. V. π. δή. — 39 προπέμπει Marklandus. — 52 codex αὐτὸν μέν.

Pag. 87. Lin. 2 Reiskius τοὺς μοχθηρούς. — 3 βέλτιστον Reg. V. βέλτιον. — 6 πᾶν ἂν ἀπέπλ. codices. V. sine ἄν. — 12 Reg. ἔβαλλον, 13 a m. secunda κατέβαλλον. — 16 δρῶν Regius. V. δρῶ. — 28 ἔθους? — 30 Reg. φέρειν. — 33 idem ἀποτειναμένῳ. — 47 ἐπλημμελῆσθαί (sic) τι Regius. V. ἐπλημμελεῖσθέ τι. — 48 τὴν πόλιν Regius, ut Marklandus. V. πόλιν.

Pag. 88. Lin. 5 Reg. ἐμαυτοῦ χαιτήμασι. — 10 codex μέλλω. — ἐνθύμημα Scaliger et Reiskius. V. ἐπιθύμημα. — 15 εἰς addidi ex Regio. — 18 Reg. μοχθηρονουσι sine acc. — 23 πολλὴ Marklandus. V. πολλῇ. Codex πολυαμαθίᾳ. — 24 Reg. εὐπορίᾳ. — 25 codices ἡγούμην δεῖν φρ., et 26 ἀλλ' οὐ μή. — 28 Reg. εἰ omitt., 34 πορίᾳ. — 35 οὐχ omittit Regius. Reiskius οὐχ οἷς τελοῦμεν Παν. Regius λέγομεν παναθηναια (sic) ὁδοί, sine καὶ αἱ. — 45 Reg. νεὼς οἶκοι, 47 ποπια (sic) pro πομπεῖα.

Pag. 89. Lin. 8 Reg. οὐδεν et ι ab antiqua manu inter lineas, ut esset οὐδενὶ. — 11 Regium expressi, de quo falsa testatur Davisius. V. ἄξιον φῇς. Emendationem probabilem non habui. — 12 δὲ Marklandus. V. ἀλήθειάν γε. — 20 Reg. omittit ἄξιοι. — 22 Reg. ἀπελογησάμην. — 26 περιγίγνεσθαι Heinsius. Codd. περιγίγνεται. — 27 Reg. ψηφιεῖσθαι. — 34 λαχὼν Reiskius. V. λαχόντος. Deinde Reg. ἧπερ (vel ἧπερ) δὴ χειροτονίᾳ δ. μόνη, 37 Κλαζομεναις sine acc. — 39 Ἐλέᾳ Heinsius. Codd. Ἐλαίᾳ.

Pag. 90. Lin. 2 δὴ Regius. V. δέ. — 3 τῇ οἰκονομίᾳ et πόλεσι Reiskius. V. τὴν οἰκονομίαν et πόλει. — 8 Reg. ἐλλειπεστέρα. — 20 ταῦτα μιμ. Reiskius. V. τ' αὖ μιμ. Regius τ' αὖ τιμήματα. — 32 προτιμητέον Marklandus. V. τιμητέον.

Pag. 91. Lin. 1 Reg. περιέβαλλε, 3 μακαριζόμενον καί. — 14, 15 idem Θήβαισιν θυμους, sic sine acc. Scaliger μύθους. — 20 Ἀλκινόου etiam Regius, qui alibi Ἀλκίνου. — 25 πρόεισιν ἐπὶ πᾶσαν Davisius. Codex πρόεισιν πᾶσαν. V. περίεισι π. — 27 διιπταμένη Reiskius. V. ἀνιπταμένη. — 28 συνδεδινημένη Marklandus; sed præsenti participio est opus. — 36 κενολογίαν? Regius γενεολογίαν, cum puncto super altero ε. — 43 κλέος ἐν τοῖς Scaliger. Codex καὶ ὅσον τοῖς. V. καὶ ὄνομα τοῖς. — 46 ἀνήρ? — 47 Reg. εὐδοκίμον (sic).

Pag. 92. Lin. 1 Reg. ἐξεῖναι. — 6 ἀπιέναι Davisius. — V. ἀπεῖναι. — 22 ἄλλων Stephanus. Codd. πολλῶν. — 24 δρόμων corruptum. — 28 οὐ ταὐτὰ ἑκάστοις scripsi, sed nondum sanatus locus. Regius οὐ ταὐτὰ ἕκαστον. V. οὔτ' αὐτῶν ἕκαστον. — 34 Reg. αὐτῶν. — 36 οὐκ præbuit Regius, quod Maximi mentem restituit. — 38 Reg. παραβάλλομεν. — 43 σκοποὶ Marklandus et Reiskius. V. σκοπεῖ. Reg. διαμαρτύρων. — 44 idem οὕτω γὰρ ἄν. Crediderim apodosin excidisse post μή. — 45 οἷς ἄνθρωποι Davisius. Codex ὅσα ἄνθρ. V. ὅσοις ἄνθρ. — 46 Reg. διατελοῖεν ἀμφ., 54 σκοποῦμεν.

Pag. 93. Lin. 4 τὰ Πλάτ. Regius. V. τὰ τοῦ Πλ. — 9 Reg. Ὁμήρου. — 11 σὺν ἤθει Reisk. — 15, 16 Reg. παντὸς παρ'. — 19 εὗρες Regius. V. εὕροις. — 27 ὥς γε Reiskius. V. ὥστε. Regius ἀπέφηναν ὥστε εἰκὸς ἂν σῶμα ἀδεὲς φαρμάκου. V. σ. ἀνενδεὲς φαρμάκων. — 33 Reg. ἄλλου, 35 Ἀσκληπιάδων, 48 ἐκεῖ pro εἰκῇ, 50 ἀθύρματα, 52 τρέφοντος.

Pag. 94. Lin. 2 sensus postulare videtur διαπιστεῖν, et sequentia ἀλλ' εἰδ. defecta vel vitiosa sunt. — 8 ὁ δὲ omittit Regius, et induci poterat. — 12 ἡ δὴ Regius. V. ἡ δέ. — 24 Reg. σχολή, 32 ὄρθριον, cum puncto super altero ρ. — 38 δεινὰ δρᾷς Reiskius. V. ᾄδειν ἄνδρας. — 44 αυτο sine acc.

Pag. 95. Lin. 3 Reg. Βαχχιάδων. — 17 δὲ accessit ex Reg. — 19 Reg. ἐρομένου. — 44 ταῖς ἀρεταῖς additum e codice.

Pag. 96. Lin. 3 εἰ omittit Reg. Articulus offendit; Markl. διττούς. — 6 Reg. τίθεμεν. — 15 ἀθρητέον Heinsius. Cod. ἀρθρητέον. — 25 Reg. Αὖσιν. — 29 ἰδίειν Boissonadius Anecd. vol. 4, p. 430. Codex ᾔδειν. V. οἰδεῖν. — 33 ἀριστεῦσιν Reg. V. ἀριστεύουσιν. — 42 ἀλλὰ certe delendum, nisi plura hic turbata.

Pag. 97. Lin. 2 ἐρίῳ addidit Marklandus. — 16 σοφίας Reg. V. τῆς σοφίας. — 20 γὰρ ὁ Reiskius. V. καὶ ὁ. — 27 Reg. διατεθρυλημμένος, 44 ὠφελοῦν pro ὠφελεῖν. — 46 ἂν præbuit Regius, quod Markl. addendum esse vidit. — 48 κενὰ Reiskius. V. ἱκανά. — 51 τῶν λόγων Marklandus. V. τῷ λόγῳ.

Pag. 98. Lin. 1 οἷον et οἱ κινδ. idem Marklandus. V. οἷαν et ἡ κινδ. Regius omittit οἱ ante εἰς. — 5 Reg. αὐτῶν. — 12 ἐτυράννησε Reg. V. ἐτυράννευσε. — 13 Ἀλκιβιάδης Davisius. Codd. Ἀλκιβιάδην. — 25 ἀμαχώτ. etiam Reg. — 29 ἐξομνύμενον Marklandus. V. αὐξανόμενον. — 31 Reg. Μυρινουσίου, 32 συγγεγραμμένου. — 39 codex ἴδιοι οἱ τοῦ. — 40 vulgo οἱ ἐρωτ., invito codice. — 45 ἰᾶσθαι Davisius. V. ἰδέσθαι, Regius ειδεσθαι, sine acc. et sp. — 52 Regius ἑξῆς δεισιν (sic).

Pag. 99. Lin. 1 ἔστιν ἐν τοιούτοις Regius. V. ἔστιν τοῖς τοιούτοις. Marklandus: « Insere præpos. ἐν ante τοῖς. » — 2 Reg. δεινῶς. — 10 ὁ Ἀλ. Re-

gius. V. sine artic. Deinde R. ἐπανεῖναι. — 12 ὁ addidit Markl.— 16 χαμαιεύνην Regius. V. χαμεύνην. — 34 Davisius ἀνέμων, Reiskius βοτανῶν, Toupius (Emend. II, p. 305) ἄλσεων. — 36 sic codex, non ἄλλο εἴη. — 37 ἢ αὐτὸ ἢ codex. V. ἢ ἡ. — 38 τὴν καθ' αὐτὸν Regius, uti conjecerat Reiskius. V. τὴν κατὰ ταὐτό. — 42 Reg. γυριννα sine acc. V. Γύριννα. — 48 codex τὸν (non τὰν) Πολυανακτιδα sine acc., a pr. m. Πολυνναχτιδα. V. ex Harleiano Πολυανάκτιδα. — 51 καὶ Davisius. V. καὶ. — 55 Regius αὕτη (vulgo αὐτὴ) τίς δὲ ἀγροιωτιν (sine acc.) ἐπεμμένα

Pag. 100. Lin. 3, 4 Reg. καλὸς, in quibus λ adrasum est. — 10 codex ἀναθεται (sine acc.) τῇ Ξ. — 17 Reg. καὶ pro κἄν, 18 ὁρᾶ, et addit φησὶ, quod vulgo deest. — 22 ᾄδω Valckenarius. V. Bergkium p. 155. V. διέω. — 23 τοῦτο καὶ Regius, ut conjecerat Marklandus. V. τοῦτο γάρ. — 31 Reg. παρεκαλέσαντες. — 33 γάρ τι Regius. V. γάρ τοι. — 44 codex Κλειδοσθένης, puncto super δ posito. — 45 διὰ delendum videtur. Davisius τῶνδε δύν. — 50 προελθοῦσα Marklandus. Regius, ut vulgo, προσελθοῦσα, sed σ delendum esse significans puncto imposito.

Pag. 101. Lin. 2 Reg. τοιανδέ τινα, 8 τὶς ὡς ἑκάτερος. — 10 τὴν codex. V. καὶ τὴν, invito Davisio. — 11 uncis inclusa absunt a codice et Harl. — 13 τούτῳ . . . ἔθη non sana. Codex ἐξαρκέσειαν κ. — 40 τὴν ἀρχὴν Reiskius. V. τὴν ἀρετήν. — 42 καὶ præbuit Regius. — 47 Reg. μελούσης.

Pag. 102. Lin. 5 προμνᾶται τοῖς ζ. πόνους Davisius, probante Reiskio, quocum facere debebat etiam Dorvillius ad Charit. p. 470. Codex προμνατε (sic) τοῖς ζ. πονοῦσα. V. προοίμιά γε τ. ζ. πονοῦσα. — 12 Reg. τὴν μὲν Πην., 13 ἄλλως δὲ, non ἀλλοίως. — 38 ἐν ἀτυχίαις συνατυχεῖ Marklandus. V. ἐν εὐτ. συνευτ. — 43 Reg. ἐρημίας. — 47 vulgo δέ τ' ἀγ. ex Harleiano. — 50 Markl. ἐγκάρποις.

Pag. 103. Lin. 4 Reg. ἀνερχόμενον ενόησα, 9 Λυκίῳ, 14 μαχίμων, ut ceteri, sed distinctione posita ante hoc vocab., non post; 20 ἀρίστεια. — 19 vulgo (etiam in Reg.) προσελθών. — 28 Reg. Θρᾷξ. Deinde ἀλοὺς emendatio est Leopardi: codd. κάλλους. — 37 Reg. ποτέρῳ ἂν, 39 ἔργον ὅσου, pro θεοῦ, 46 τὸ διὰ, non τὸ δὲ διὰ, 48 ἀνάγκη καὶ δέει, quæ postrema vocabula duo vulgo omittuntur.

Pag. 104. Lin. 17 Reg. ἀστοχεῖ, 25 ὅμοια ἂν ὅτῳ, ἀνάγκη, mediis omissis, 34 δίχα ἐνεμημένης, 42 ῥεγομένῳ πάθος, non ᾧ π., ut refert Davis. Deinde δεῖ codex, vulgo καὶ δεῖ. — 50 πάθος μὲν Marklandus. V. τὸ πάθος μ.

Pag. 105. Lin. 9 Piersonus ad Mœr. p. 39 ὁ ἄδωρος, quod male defendit Davisius, mutat in ὁ μωρὸς, non probabiliter. — 15 Reg. ἀναμιγνύει, 33 ἐκὼν ηξω (sic) τῷ λ., 38 εἰλυσπωμένῳ. — 39 ὧδε scripsi. V. ὡς δὲ, Reg. ὡς δὲ. — 50 idem ἐπ' αὐτόν.

Pag. 106. Lin. 17, 18 τιαραφ. . . . μιτρηφ. Regius. V. τιαροφ. . . . μιτροφ. — 31 Reg. λιγνεύουσιν. — 37 ἀνέραστον Davisius. Reg. ἐραστὸν. V. ἐραστήν. — 44 μόνος Marklandus. V. μόνον. — 46 codex πολυσαρκέστερον, sed literam σ puncto notat. — 49 Reg. πονηροι, sine acc.

Pag. 107. Lin. 5 Reg. καὶ ἐν γειτόνων ἤδη. — 6 codex ὡραιον, sic, et puncto notatur μ. — 18 ὁ τὴν Marklandus. V. τὴν. — 20 ὁ νεκρὸς Reg. V. ὁ ν. — 21 Reg. ἔτλης ἐν νεκροῦ θίγειν. — 23 ὅταν αὐτὸν Reg. V. ὅταν αὐτήν. — 26 Reg. θίγειν σ. ἄρρ. καθικτοῦ χρ. — 34 idem αυτοῦ sine sp. — 43 δεῖν φημὶ Marklandus. V. λίαν φ. — 44 Reg. τελέστου, 45 ἀνταλοὺς pro ἑπτὰ δοὺς, 48 πονηρῷ χρηστόν.

Pag. 108. Lin. 1 Πανιωνίῳ Leopardus. Codd. Πανίῳ. — 2 ᾄδων Davisius, quod « unice verum » Markl. judicavit. V. ἄκων. — 5 ἐπεύξατο in gl. rem breviter referente redditum verbo κατευξαμένης. — 7 Reg. ἐπηράσατο. — 13 καὶ addidit Davisius. — 14 γὰρ omitt. Reg. — 17 καὶ additum ex Regio. — 19 Reg. hic et 53 σχολὴ, 20 ὁπότ' ἂν a pr. m., deinde λέγωμεν, 30 χρήμασι καλλίστῳ πάντων. — 35 οὐδ' εἴ μοι νὴ Δία Marklandus. Codex εἰ δέ μοι ἢ διὰ. V. οὐδέ μοι ἢ. — 43 οὐδὲ σφαλ. Marklandus. V. οὐδὲ εἰς σφ. — 50 καὶ τὸ adjecit Reiskius.

Pag. 109. Lin. 8 τῇ desideratum ab Reiskio Regius præbuit. — 18 Reg. ἀφαιροῦμεν, 25 αἴσθομαι γάρ. — 30 ὑποτροφῆς Heinsius. Codd. ὑποστροφῆς. Deinde cod. τὸν Ἐπικούρου, 36 χλιδὴν sine acc. — 37 ὀνόματα Marklandus. V. ὄνομα. — 38 τὴν τροφὴν Regius. V. sine articulo. — 43 μετέβαλλεν Reg. a sec. m., 49 εὐπρεπίσαντες. — 52 ὅσα Regius. V. ὡς. — 54 διαπλάττουσαι Reg.

Pag. 110. Lin. 1 Reg. οἱ τῇ, 4 ἡδονῇ σήσαντες, 6 κρατῆρα. — 11 κατὰ μὲν Marklandus et Reisk. V. κατὰ δὲ. — 15 Reg. μόνην, 17 μὲν ὁ κατὰ, 19 ἐπιθυμία. — 44 ὑπεκχύψῃ Reiskius. V. ὑπερκύψῃ. — 47-49 Reg. θαλάττιος συνήθης τῷ ποταμῷ, διὰ μνήμης ἔχων τὴν ἐκείνου φύσιν, ὁρῶν αὐτὴν αὐ. . . . φύσει, ὁ δὲ ἐπειδὰν ἐντ., 50 αὐτῶν φανῇ. — 51 πρὸς adjecit Reiskius.

Pag. 111. Lin. 2 ἀμιγὴς addidit Marklandus, scil. μοῖρα. V. ἐπιφοιτῶσα φύσις, quod vocab. omittit codex. — 6 ὁ adjecit idem Markl. — 12 ἐρᾷ, πρόφασιν μὲν Marklandus. Regius ἐρᾶν φασι (sic)

μὲν, non φησὶ, ut est apud Heinsium. V. ἐρῶν οὔ φησι μέν. — 21 Reg. ἢ διὰ φιλ. — 26 ἐκπεσὼν Regius, quod Reiskius conjecerat. V. ἐμπεσών. — 32 γὰρ ἂν Regius, ut correxerat Markl. V. sine ἄν. — 37 Reg. πλήρης, 41 εἰσδῦντες, 48 φῆς.

Pag. 112. Lin. 6 Reg. ἔπαινος δὲ. — 8 μιμήσεται Reg. V. μιμήσηται. — 11 Reg. ἀκοας sine acc., 12 ἀναίδην, 21 δείδια, 24 συντελεῖ. — 22 τέχνης idem. V. τῆς τέχνης. — 27 κἂν εὐοδμῇ Marklandus. Sed codex καὶ ἐνοδμὴ, non ut Davis. refert εὐοδμή, quasi καὶ ἐν ὀδμῇ, ut καὶ ἐν τροφῇ. V. καὶ ἡ ὀδμή. Deinde idem Reg. κιβδηλότατον εν χρῆμα, 32 δεξιούς τινας. — 33 ἆρα οἱ Marklandus. V. ἄρα; οἱ. — 36 vulgo κιβδ. δὲ τἀληθῆ. Particulam omittit Reg. — 43 idem περιέβαλλε a sec. m.

Pag. 113. Lin. 2 vulgo τὰ τραύμ., invitis codd. — 17 Reg. λόγοισοιγαροῦν, in quibus alterum οι posterius illatum, sed eadem, ut videtur, manu. — 19 ἆρα οἱ Regius et Marklandus. V. ἄρα; οἱ. — 32 Reg. Πανθίᾳ, 33 Κυαξάρει (vulgo — ρῃ), 35 ἄστη, 46 Κροῖσσος, 48 ἐθνῶν, 51 Ἰώνιον, 52 Ταλάντιοι.

Pag. 114. Lin. 11, 12 Reg. στρατηγία· καὶ νῦν ἔτι ἡ Ἀρ. — 21 παρέχεσθαι ὑμῖν Reg. V. παρέχεσθε ὑμεῖς. — 26 Reg. Χίοι, qui deinde præbuit γάρ. — 32 πόλεμοι etiam Reg., 50 idem μήτε . . . μηδὲ, 52 λήϊνον, deinde ν erasum.

Pag. 115. Lin. 7 Reg. χρησμοῦ, 8 εὖξαι, 13 omittit ἡ. — 17 ὀρέων Davisius. V. ὀρνέων. — 37 βεβλημένων etiam Reg. — 48 δὴ τοῦτο ἔργων idem. V. δὲ τοῦτο ἔργον. — 49 ὁ ex eodem accessit.

Pag. 116. Lin. 10 Reg. τρηχεῖα. — 15 προφερομένῳ Regius, ut conjecerat Davisius. V. προσφ. — 18, 19 Reg. ὅσου pro οὐ σοῦ, 21 μαντεύομαι. — 27 ἔχουσι Regius, quod Reiskius conjecerat. V. ἔχωσι. — 29 codex εγγησον (sine acc.) καὶ ὄρθριον. — 35 συναγωνίζεται καὶ πείθεται Regius. V. συναγωνίζεσθαι καὶ πείθεσθαι. — 38 Reg. θυρεᾶ, puncto super ε posito, ἠρίστευεν, 39 οὐδ' ὁ Γύλ., pro quo οὐδὲ Γύλ. edidit Davisius frustra. — 42 Reg. ἐλευθέρου, 45 εἱλωτικὰ. — 47 αὕτη idem, ut correxerat Marklandus. V. αὐτή.

Pag. 117. Lin. 6 δὲ Regius præbuit. — 8 idem Κυνέγειρος et ἐλευθέρου, 13 ὑπολειπόμενοι. — 30 an non κἀνταῦθα? — 31 codex εγγης (sic) βίον. — 36 τὰ ἀγρ. Regius, ut a Marklando correctum. V. καὶ ἀγρ. — 47 Reg. Ἀχελῶον, 48 ἀενάους. V. ἀενν. — 49 γεωργοῦσι Davisius. V. γεωργίας.

Pag. 118. Lin. 3 cod. τὰ ἄσπαρτα. — 10, 11 Reg. $\overset{\nu}{\text{γεωργῶμεν}}$ πανταсс ῥίψας (sic). — 14 ἄριστος codex Harleianus. V. ὁ ἄρ. — 21 σχολαίτερος Reg. V. σχολαιότερος. — 25, 26 Eretriæ nomen bis sine accentu, Μαραθῶν, 28 Ἀργιάδων. — 47 δέδια δέ τοι μὴ τοῦτο ᾖ Marklandus, quo ducit codex, δέδια δέ τῳ μὴ τοῦτο ᾖ, sic enim, non τοιοῦτο, ut refert Davisius. V. δέδια δὲ τὸ μὴ τοιοῦτον ᾖ. — 50 ἀεὶ omittit Reg. In margine Θουκυδίδης. — 51 λεπτόγεω idem. V. λεπτόγεων.

Pag. 119. Lin. 8 γίγνεται Reg. V. γίγνηται. — 18 Reg. ἐπάσαντο, 20 δυσχερέστερον, 23 ἆρα. — 29 ταυτὶ Reg. V. ταῦτα. — 34 χρη sine acc. — 37 ἡ addidit Marklandus. — 39 Reg. δέξοιντο.

Pag. 120. Lin. 11 Reg. ἀπίησιν. — 25 ἀπὸ Scaliger. V. ὑπὸ. — 39 Reg. ἠπιώτερον, 42, 43, ἱταμώτερος. — 45 ἀσθενὴς posui. Conf. Markland. V. ἀσθενέστερος. — 47 ἐξετάζοις Regius. V. ἐξετάζεις. — 51 εὐστοχῇ Regius, et ita correxerat Reiskius. V. εὐστοχεῖ.

Pag. 121. Lin. 4 προπροσίων etiam Reg., 6 Φάλλαρις a sec. m. — 12 ἐν ex Regio additum. — 15 Διονύσῳ Davisius. Codd. Διονύσου. — 16 Reg. Δημῆτρι, 24 δὲ δεῖ, 32 ἀροτοῖο δυομενάων. Vulgo ἀρότοιο δὲ δυσσομ. — 36 Reg. ἀνδριας (sine acc.) πόνων, 38 επηγως νηλιπους, utrumque sine acc. — 46 ἐργαζόμενος Marklandus. V. ὀργιζόμενος.

Pag. 122. Lin. 1, 2 ἀμπέλων ἃς . . . ἐλαιῶν ἃς Davisius. Codex ἀμπελῶνας . . . ἐλαῶνας. — 5 συνέπονται argumentum in marg., 15 γάρ ποτε, 17 ἀγὼν κύριος, 18 νενικημένον (quod in ἐνησχημένον mutavit Marklandus, vulgo ἠσκημένον) γῆ τραχεῖα, 21 ἀπέβαλλον. — 37 Μύσων Reg. V. ὁ Μύσων, quibus ascripsit Markl.: « Delendus est articulus. » — 39 Reg. σώφρονος.

Pag. 123. Lin. 7 Reg. ξυνελήλασθαι. — 9 conf. Markland. Codd. et edd. στενοῦ. — 10 συντεταγμένα Marklandus. V. — μένοις. — 22 τὸ τοῦ λέγοντος ἦθος βρυχηθμοῦ λέοντος Davisius. Codex τὸ τοῦ λέοντος ἦ$\overset{\theta}{\chi}$ος βρ. λ. V. τὸν ἄνδρα τοῦ βρ. τοῦ λέοντος. — 25 ἐφίμερος scripsi. V. ἐφήμερος. — 26 Reg. δῆλος pro δεινὸς, 30 ἐστί. — 35 οἷς inseruerunt Marklandus et Reiskius. — 36 εὔτροχος iidem. V. εὔστοχος. — 40 codex λώβη τε τέχνης, · 42 ερη (sic). Ibidem αὐτὸς Marklandus. V. αὐτόν. — 47 ἄπεστι Marklandus. Regius ἀπιστεῖ. V. ἀπιστεῖς. — 50 Reg. φυτῷ.

Pag. 124. Lin. 6 ἡ ὄγχνη Regius. V. ἡ ὄ. — 11 Reg. ἄλλα τε μιν καθυπερθεν ἐπιρρεῖ (sic). — 15 μέρη Marklandus. V. μέλη. — 21 Reg. γύναια μὲν καί, 30 omittit ὑπὸ, 42 ἱταμόν. — 41 τὸ ante τερπνὸν inseruit Marklandus.

Pag. 125. Lin. 2 Reg. ἐπίχρηστον. — 18 Τυρταίου Marklandus. V. τυράννου. Deinde codex τίς et οἴαν. V. οἷα. — 20 τεταγμένην καὶ ἐξορμῶσαν Marklandus. V. τεταγμένη (Regius — μένῃ) καὶ ἐξορμῶσα. 28 δενδροτρόφα codex. V. δενδροφόρα

— 33 ἐν Davisius. V. μὲν. — 32 εὔνεως scripsi secundum Regium qui εὔνως. V. εὔρους.

Pag. 126. Lin. 4 τίνα Reiskius. V. τινὰ. — 25 Reg. αἰνίζομαι, 26 bis ἢ, non ἤ, 31 omittit καὶ, 32 λογισμὸν. — 38 αὐτῶν Regius, ut correxerat Marklandus. V. αὐτοῦ.

Pag. 127. Lin. 3 εἰς τὴν Reg. V. τὴν. — 13 καὶ μὴν omittit codex. — 19 Reg. τοιοῖδε ... τοιαῖδε, 36 τῇ ποτὲ, 41 ὧν τὰ ἔπη, 46 χωρὶς μὲν τὰ γένη τῶν ἡρώων, 47 iterum τὰ γένη, 48 αὐτῶν πεπ., 52 ἀλλα (sine acc.) τε ἦν. — 53 οὓς inseruit Markland.

Pag. 128. Lin. 5 ξυνίῃς etiam Reg. Legendum puto ξυνείης. — 6 παντοδαπὰς ἰὲν Marklandus, sed μὲν servans, quo fortasse non opus est. V. παντ. μὲν φ. Deinde πάσας δὲ ἀλλήλαις Heinsius. V. πάσαις δὲ ἄλλαις. — 16 τούτῳ Davisius. V. τούτων. — 22 Reg. ἐντεταμένον, 29 παλ. τῷ χρόνῳ. V. sine articulo. — 39 Reg. σοι εὐδοκεῖ. Deinde εἶναι ὁ Marklandus. V. εἰ καὶ ὁ. — 41 Reg. Παρμενείδην, 59 δὲ τὸν, ut Harl. — 48 κἀνταῦθα?

Pag. 129. Lin. 4 Νέστορα· Ὀδυσσέα αὐτὸν Davisius. Codex Ὀδυσσέα αὐτὸν. V. Νέστορα αὐτὸν. — 6 ὥστε καὶ Regius. V. ὥστε. — 16 ὁ ex Reg. adjectum. — 22 idem χρυσέης αἰθείρῃσιν κομόωντες. Postremum correxit Davisius. — 24 Reg. ὑπ' αὐτοῦ, 40 Αἰόλος.

Pag. 130. Lin. 1 Reg. οἱ κατὰ, 3 ἄπιστος. — 15, 16 ἀλλήλαις ... χρυσῷ sic constituit Marklandus, sententia optima: ipsa verba felicius fortasse alii assequentur. V. ἄλλας ἀντιτ., δημιουργήσας (codex δημιουργίας) αὐτάς· Ὅμηρος μὲν λ., Ἥφαιστος δὲ χρ. — 20 πλάσματι Marklandus. V. πράγματι. — 29 ἀθρόος Reg., 32 èt 33 ut editur ex Harl. — 39 τιμωρεῖ τῷ Reiskius. V. τιμωρεῖται γ. — 40 post εὐδαίμονα in Regio additur uncialibus literis εὐτυχῶς, Προσδόκιε. — 44 id. σχολῇ, 48 ἅπαντα. Idem ibidem ἑκάστου, quod conjecerat Reisk. V. ἑκάστῳ. — 49 ὠφελίαν Reg.

Pag. 131. Lin. 8 Reg. ἀτεχνῶς, 10 φῇς. — 13 δρᾶν τέχνῃ Marklandus, qui et δρᾶν κατὰ τέχνην. Codex δρᾶν κἂν τέχνῃ. V. δρᾶν solum. — 15 Reg. μαθήσει π., 16 idem οὐχ ὑπὸ. V. οὐκ ἀπὸ. — 18 ἑκάστῳ Davisius. V. ἕκαστον. — 28 Reg. ὑγίειαν, 32 ὕλαι, 34 περιέβαλλεν. — 38, 39 ὑπ' ἀφελείας Scaliger. V. ὑπὸ φιλίας. — 40 χαλοίης scripsi. Reg. χαλεῖς. V. χαλῇς. — 45 σώματι Regius. V. σῶμά τι. — 48 οἷον addidit Marklandus. — 50 Reg. αὐτὸ. — 51 καὶ additum ex Regio, qui 52 περὶ αὐτὸν.

Pag. 132. Lin. 1 Reg. τριῶν τούτων, non ὄντων, fortasse recte. — 6 τι ex codice (qui τί). Conf. Reisk. V. τε. — 17 Reg. Ἀρ. αὐτῷ, 19 Πυθαγορίων. — 29 ἐπικλύσῃ Marklandus. V. ἐπικαύσῃ. — 33 ἡ omittit codex, 37 οἷς adjecit Marklandus. — 51 Reg. Νικείας.

Pag. 133. Lin. 1 Reg. δουλίας. — 18 ἐλευθερία. Marklandus εὐδαιμονία. Turbatum esse hoc loco monstrat Regius, πάθη, καὶ τὸ μὲν σοφίαν, τὸ δὲ ἐξ ... scribens (ex l. 20, 21). — 22 γινόμενον Reg. V. γεν. — 27 Reg. δῷς, 32 ὡς omittit, 34 τέχνης pro ὕλης. — 35 Οὐ adjecerunt Marklandus et Reisk. — 42 οἱ ἐνωμ. Davisius. Codex Harl. οἱ νομοτάρχαι. V. ἐνωμ., sine articulo. — 44 ὅλου ἐπὶ τὸ μέρος, ἀπὸ Marklandus. — 48 μᾶλλον ἢ ἐπ. ἡ ἀρ. idem. Codex μ. ἡ ἐπ. ἢ ἀρ. V. μ. ἡ ἐπ. ἢ ἀρ. — 49 Reg. χαλῆς.

Pag. 134. Lin. 9 Reg. πολύλογον. — 21 συντρεφομένη Regius, uti Reiskius conjecerat. V. συστρεφομένη. — 23 τῶν accessit ex Regio. — 35 idem ὑμῖν. Ibidem ἂν adjecit Marklandus. — 36 37 codex φάρμακα, καὶ πρὸ τῆς διαίτης αὐτὸς τρόπος, quæ emendantem exspectant. — 40 τῷ accessit ex Regio. — 44 πώμασιν idem. V. πόμ. — 49, 50 διεστασίασται codex Harl., Regius διέστησιαντε (sic). V. διέστησέ γε.

Pag. 135. Lin. 3 ὦτα Marklandus. V. νῶτα. — 10 Reg. εἴδω, 11 ταύτης pro αὔτη. — 14 ἐκαλοῦμεν Davisius. V. ὁ καλοῦμεν. Sed in his alia quoque dubia. — 15 Reg. μετέβαλον, antiqua m. λ — 20 Wakefield. Silv. cr. III, p. 53 συνελκύσηται καὶ σ. — 24 Reg. ἀλγεινὸν ἀχαρεῖ θεῖ, 29 προσέβαλλον. — 34 ἐξαίρω (sic) λόγου corrector codicis Harleiani. Codd. ἐξ ἑτέρου λόγου. Deinde ὡς καὶ veteres editt., quod servavi cum Reiskio. V. καὶ γὰρ ex Reg. et Harl. — 38 Reg. ψυχῇ. — 39 μὲν δὴ idem, ut correxerat Markl. V. μὲν δὲ. — 41 ἄρχεται Davisius. V. ἔρχεται. — 43 Reg. τῷ σώματι καὶ. — 46 καὶ αἱ bis Reiskius. V. καὶ sine articulis. — 49 ὅ, τι οὐ Davisius. V. ὁτιοῦν. Regius ὅτι οὖν. — 50 τί δὴ Reg. et Markl. V. τί δὲ. — 53 Reg. Εὔριππος, 54 μὲν ταυτα sine acc. Marklandus μὲν ταύτῃ. V. μ. ταῦτά.

Pag. 136. Lin. 4 Reg. κεῖνον, 5 τεχνιτεύματι, non τεχνητ., 15 Χαρμήδην, 14 ὁμοῦ τὸ. V. ὁμοῦ καὶ τὸ. — 24 ἢ σοὶ Reg. V. ἤ σοι. — 26 ἐκ Marklandus. V. καὶ. — 36 Reg. γλιδῆς sine acc., 39 φίδωλὸς (sic), 42 ὁ βίος. V. abest articulus, a Scaligero deletus. — 49 πίνει Marklandus, quod confirmat Regii πεινεῖ. V. πονεῖ.

Pag. 137. Lin. 1 Ἦ, οἴει Davisius. V. Ἤτοι εἰ. — 2 ἐντετριμμένος idem. V. ἐκτετρ. — 8 καὶ Reg. V. ὁ καὶ. — 9 Reg. Ἄπιν. — 10 ταὐτὸ Davisius. V. ταὐτὰ. — 12 codex αὐτοῦ οἶμαι, 15 Ὁμήρῳ. V. παρ' Ὁμήρῳ. Deinde verba τῷ Διὶ adjecit Stephanus. — 16 εἰς Reg. V. καὶ εἰς. — 46 ὀμμάτων Marklandus. V. σωμάτων. — 48 ἐξανέστησεν Stephanus. Codex ἐξαναισθεν, sine acc., in quo aliud verbum latet. — 49 Reg. χαίρειν τε τῇ.

Pag. 138. Lin. 2 Reg. ἠόσιν. — 17 καὶ τῶν βαράθρων scripsi, ut suasit Marklandus. Ante Davisium καὶ βαράθρων, qui καὶ βόθρων ex Harl. Regius καὶ τῶν βαθρων sine acc. — 22 τῶν πλουσίων Marklandus. V. τῶν πλησίον. 23 θαμβῶν suspectum. Et Reg. θαμων sine acc. — 29 μάζας στέατι Scaliger et Marklandus. Codex ἁμάξας τὲ ἄτε. V. ἁμάξας τινάς. — 39 οἱ δὲ αὐτοί Apostolius qui hæc transtulit in Cent. XX, 100. V. οἱ δὲ οἱ αὐτοί. — 47 Reg. ἵενται, 52 τοῦτο θ. Ibid. φθόγγῳ Marklandus. V. φθόγγου.

Pag. 139. Lin. 1 Reg. bis ἆρα, 3 καὶ omittit, 11 ναῦν. — 12 συνάπτει Marklandus. V. συντάττει. — 17 ἄλλων Reg. V. τῶν ἄλλων. — 22 Reg. ῥίζη, sed, ut dixi, in versibus Homericis iota subscripta nonnunquam omittit. — 44 Φάλανθον Stephanus. Codd. Φίλανθον. Deinde codex Νηρέα. — 48 λογικῇ Marklandus. V. λογιστικῇ.

Pag. 140. Lin. 15 Reg. Θαλῇ, 17 ἐπὶ ἀγνείαν (sic), 19 ποῖ τις. V. πῇ τις. — 20 καταδέξωμαι Reg. V. καταδέξομαι. — 24 τὴν τοῦ Α. Reg. et Marklandus. V. τὴν Α. — 28 οὐρανῷ Reg. V. οὐρανοῦ. — 29 δὴ Reg. V. δέ. — 37 καὶ ante λειμ. inseruit Marklandus.

Pag. 141. Lin. 5 ἐπενέμοντο Marklandus. V. ἐπετέμοντο. — 12 Reg. αὐλίους, 15 χῶραν, 26 καὶ τότε κτηθὲν, 27 δεδειότες. — 29 μὲν adjecit Marklandus. — 38 Reiskius ἀνανάκλητοι. — 47 Reg. οὐδενοντας (sic), 50 φεροντες sine acc., 54 τὸν λόγον, non τῶν λόγων.

Pag. 142. Lin. 9, 10 μετατίθεται καὶ μετοικίζεται Regius. V. μετατίθεσθαι καὶ μετοικίζεσθαι. — 11, 12 τίς μετοικεῖ ex Reg. addidi. — 17 αὐτὸν Reg. et Davis. V. αὐτὸν. — 27 καὶ πτυρομένων conjicit Markl. Jacobsius ad Philostr. p. 797 καὶ ῥυττ. ex dittographia natum et delendum censet. — 31 καὶ μηδὲ corrupta puto. — 35 τὸν δὲ Reg. et Markl. V. τὸν δή. — 36 τὼ πόδε Reg. et Markl. V. καὶ πόδε. — 38 Reg. ἀνατεῖλαντι, 42 τοις δεσμοις sine acc., 44 παιωνίζοντι. V. παιανίζ. — 51 ἅμ' Davisius ex Homero. V. ἄρ'.

Pag. 143. Lin. 2 Reg. Κρόνου καὶ ἀρχὴν. — 5 οὐκ Marklandus. V. οὐδ'. — 29 πώματος Reg. V. πόματος. — 46 ἔργα adjecit Stephanus.

Pag. 144 Lin. 3. Reg. γαμεῖς. — 11 οὐκ ἀκουσίου Marklandus. V. οὐχ ἑκουσίου. — 21 Reg. φῇς. — 25 αὐτὸν Heinsius. Et αὐτο scripserat librarius Regii cod., sed in αὐτὴ mutavit antequam adderet ν. — 28 καὶ τοῦτον Reg. V. καὶ τούτου. — 29 στρατείας Marklandus. V. στρατιᾶς. — 45 ἐκκρίτους Reg. V. καὶ ἐκκρίτους. — 47, 48 πόλεις Reg. V. πόλιν. — 50 ἐῶ Reg. V. ἐῶμεν.

Pag. 145. Lin. 1. ἐν Διὸς Reiskius. V. τοῦ Δ. — 2 codex Μετίλλῳ. Idem Reg. Κλεινίᾳ. V. Κλινίᾳ. — 12 λέγεις Reiskius et Boisson. Anecd. vol. 4, p. 417. V. λέγοις, ex codice. — 19 μὲν adjecit Marklandus. Deinde codex ἐγγύς που τινὸς (non πού τινος) τῆς χρειας (sine acc.) ἀρ. — 21 εἶξαι Marklandus. V. τῷ εἶξαι. — 26 Reg. πολυς sine acc. et εἶξας ὁμολογῆσαι. — 45 τῶν αὐτῆς Reiskius. V. τῶν αὐτῶν. — 53 ᾠδῆς Regius. V. ᾠδῶν.

Pag. 146. Lin. 1 ἐπὶ τὴν ψυχὴν et 3 νοθεῦσαι Marklandus. V. ἐπὶ τῇ ψυχῇ, et νοθεύσασα. — 7 καθάπερ ἑταίρας Eldikius Suspic. p. 11. V. καθὰ περιστερᾶς (Reg. περιστερὰς). — 9 τὴν omittit Reg., 18 ἀκολαστότατοι. — 23 ἡσυχῇ Marklandus. V. ἡ ψυχή. — 27 Reg. habet σώζει πόλιν, 29 ὥσπερ καὶ ἄξιον. V. ὥσπερ ἄξ. — 36 δοκεῖ Davisius. V. ἄσκει.

37 vulgo ὀνομάζων τῶν θεῶν, Regius ὀν. τὸν θεὸν. Conjeci ζάθεον, quod confirmatum video verbis Hesiodi ad quæ respicitur, initio Theogoniæ, ubi v. 23 Ἑλικῶνος ὑπὸ ζαθέοιο. — 48 Reg. σύσιτος. — 49 συστράτηγος Reiskius. V. στρατηγὸς. — 51 πολιτείας Marklandus. V. πολιτείαις.

Pag. 147. Lin. 4 Marklandus κάλλος Βαθύλλου. — 11 μελίας Scaliger. V. μαινὰς. — 13 οὐδὲ ex codice adjeci. — 17 Reg. περιέβαλλεν. — 20 ἐν addidit Reiskius. — 22 οἱ δὲ ὑπ' Regius. V. ὅτε ὑπ'. Deinde Reg. εἴρεσσον, 28 πλέω, 29 ἀγαθὴ ... ξυνεργὸς, quæ in Davisiana exciderant. — 34 τοῖς αὐτῆς Regius, ut conjecerant Davis. et Markl. V. τοῖς αὐτοῖς. — 37 codex αὐτῶν, non αὐτῶν. — 40 τὰ αὐτὰ Regius. V. male αὐτὰ τὰ. — 42 τὸ addidit Reiskius. Deinde τῷ delendum videtur. — 45 αὐτὴ συντ. Marklandus. V. αὐτῆς σ. — 49 Reg. ἐν γεωργιᾳ, 50 ἔργον αὐτὸ, elegantius quam vulg. ἔργον αὐτῆς, et 51 αὕτη, pro quo vulgo αὐτῇ.

Pag. 148. Lin. 1 Reg. χρῶτο, 3 οἴομαι. — 6 εἶχές γε Davis. — 9 Reg. ἐκποδῶν, 10 ἐμηχανευσάμην. — 11 τοῦτό σε Reiskius. V. τοῦτό γε. Deinde Reg. διαπτήσσεται πανταχου (sine acc.). — 23 τὸ πέλαγος locum tenet alius vocabuli, librarii aberrantis culpa obliterati; nec delendum hoc comma est cum Lennepio ad Phalar. p. 44. — 39 καὶ τὰ Stephanus. Codd. κατὰ τὰ. — 43 Reg. περὶ, 49 αὐτοδίδακτός δ', enclitice.

Pag. 149. Lin. 3 ὅπερ ἂν Regius. V. ὥσπερ ἄν. — 19 Reg. τῷ Μίνω, 27 Κρῆς, 34 αὐτῷ οὐχ ἡ σ. — 46 μᾶλλον ἢ Ἀναξαγόρας Davisius. Codex μᾶλλον μηον (sine acc.) ἐξ ἀγορᾶς. — 49 Reg. ὁρᾶν, 50 μέλλει.

Pag. 150. Lin. 1 Reg. τρέψομεν, quod recipi poterat, et Αυκίου. — 4 excidisse quædam videntur. Codex εἰθισμένα δε αυτων τον γε (quattuor vocc. sine acc. et sp.) ἡγεμόνα. Marklandus εἰθισμένη. V. εἰθισμένοι. Αὐτῶν δὲ τὸν ἡγ. — 11 ἐρανίζῃ Regius. V. ἐρανίζεις. — 12 Reg. Εὐήνους, 13 Ἰσχομάχου τὰ γ., παρά τε Θ. — 24 νέου ὄντος Leopar-

dus. Codd. νεύοντος. — 29 ἵνα μή μοι Reiskius. Reg. ἵνα μοι. V. ἵνα μή. — 30 et 31 Reg. ἵνα μοι. — 33 ἢ Davisius. V. ἦν. Regius ἦν ἂν (sic) ἄνθρωποι. — 39 ταῦτα λῆρεῖς Marklandus. V. ταῦτα ἐρεῖς. Reg. hoc loco ἡγῇ, non ἡγεῖ, 47 ἢ πολλοῦ. — 50 ἐκείνῳ Marklandus. V. ἐκείνων. Deinde Regius τελεσιουργεῖσθαι· οσα (sic) ἀνάγκη. Scripsi πᾶσα, quod vulgo abest. — 54 τέχνης Stephanus. Codd. γῆς.

Pag. 151. Lin. 4 ἢ Regius. V. εἰ. — 6 Reg. ἐθέλει, 7 πάντως ποι, 9 ἀφέλοις. V. ἀφελής. Deinde λυμανεῖ Reiskius. V. λυμανεῖς. — 10–12 τελε ... ubique Regius. V. τελει ... 15 Reg. δῶ. — 21 εἰ addidit Reiskius. Regius εἴτι pro ἐστιν, 23 τὸ ἀνθρώπων πᾶν, 28 περιεβάλλετο. — 36 μογθηραῖς Marklandus. V. μοχθηρίαις. — 46 Reg. περὶ, 48 οὖν ut Harl., 51 Λευκόθεα.

Pag. 152. Lin. 2 Reg. καὶ περιστ., 5 Παλαμήδη, 9 ἀλᾶσθαι, 12 προὔβαλλεν, 14 υἱὸν φίλον. V. φίλον υἱὸν. — 26 Reg. τῶν δὲ. — 28 ἦν Reg. V. οὖν. — 29 ὁ Ὀδ. Regius. Articulus deerat, quem non addo ante Διόνυσος. — 31 Reg. τέχνη ἀγαθῇ, 32 ἢ (vulgo ᾖ), deinde λιθοξόοσ (cum puncto super σ) παῖς ἢ παρὰ. — 40, 41, ὄντα καὶ ἐννεάβοια, ἑκατομβοίων ἐλαττουμένω scripsi. Vulgo ὄντα, καὶ ἐννεαβοίων ἑκατομβοίων ἀλλαττομένῳ. Sed Regius ὄντα καὶ ἐννεαβοίω (sic) ἑκατομβοίων ἐλαττουμένῳ, egregie pro tautologicis ἀμείβοντι ... ἀλλαττομένῳ. — 43 idem οἷοί τε πρ., 47 δέ που. V. perperam δήπου.

Pag. 153. Lin. 4 Reg. τὴν ἀπαλλαγήν. — 6 Λήμνου Heinsius. Codices ληνοῦ. — 8 Reg. δέρβινοῖς. Aliquoties enim in versibus longam mensuram literarum α, ι et υ annotat. — 10 id. τοὔλατον. — 12 ὅτι τὸ Reg. V. ὅτι καὶ τό. — 14 Ἡρόδοτον Heinsius. Codex non προδόκτον, sed antiqua manu προ-ιχ δοτον (sic), quod pro specimine esse potest, qua ratione jam ab librariis minime levibus propriorum nominum corruptio ceperit originem: nam noster ιχ haud dubie ut conjecturam allevarat. — 15 γεωπεῖναι Herodoto. V. Davisium. Deinde Reg. ὀργυίαις, 16 τούτοις ἀμφ. — 17 Reisk. πολυγεωργότεροι.. — 27 τό τε γὰρ Marklandus. Vett. edd. τὸ γάρ. Codd. τό τε. — 29 Reg. μᾶλλον ἢ πρ., 34 omittit οὐκ ην ἀγ., quæ verba supplevit corrector codicis Harleiani. — 37 Reg. χαλεῖν δὲ, 42 παντὶ πᾶσιν, 44 δὲ, quod vulgo abest, 49 τά τε ὥσπερ ἡρμ., quod correxit Heinsius.

Pag. 154. Lin. 9 εἰς ὁμοφωνίᾳ Davisius. Codd. εἰς ὁμοφωνίαν. V. εἰς ὁμοφωνίαν, ἕν τι ἐστί, quæ postrema codd. non agnoscunt. — 18 φύσιν Marklandus. V. φυγήν. — 20 ἡ ὑγίεια Regius. V. ὑγεία sine artic. — 27 οὖν accessit ex Regio, qui 31 τοῦτο pro τότε, 33 sqq. ubique Ἁρμ ... — 34 τοῦ Λυδοῦ Davisius. V. τοῦ ἄλλου. — 38 εἶτα Ἰσθμός, εἶτα Μέγαρα Reiskius. V. ε. Μ., ε. Ἰ. — 42 δὲ δὴ Marklandus. V. τε δή, ubi Reg. τε, non τὲ ut solet. — 47 μὲν ἄλλαι Davisius. V. μὲν πολλαί, ex superiore versu repetitum. — 48 prius αἱ δὲ adjecit Davisius.

Pag. 155. Lin. 5 Reg. Ἐλευσῖν, 15 τελεστης sine acc., 20 alterum τὸν omittit. — 21 ὑπ' αὐτῷ Reg. V. ὑπὸ τούτῳ. — 22 γῇ Davisius. V. γῆς. — 23 πολυτρόφον Regius. V. πολύτροπον. — 25 ἀέρος ἐλ. Reg. (vulgo ἐλ. ἀέρος), et καὶ ἀὴρ αἰθ. omittit. — 36, 37 uncis inclusa non legisse videtur Paccius. — 42 ἕκαστοι Regius, quod sanat locum qui sollicitavit viros doctos. V. ἑκάστοις. — 43 sic codex. V. ἄλλοις ἄλλη κλῆσις. — 44 cod. Ἰώνιον. — 45 Κρισαῖον Marklandus. Codd. Κρησαῖον. V. Κρηταῖον. — 52 Reg. ἐλόμεθα, 53 εὐξόμεθα. V. εὐξώμεθα. — 54 Καλλίου Reg. V. τοῦ Κ.

Pag. 156. Lin. 8 ἀποθν. Regius. V. καὶ ἀπ. — 11 παράβαλλε Reg. V. παράβαλε. — 14 Reg. Νικείου, 19 αἰτία. — 23 μή τι γε Davisius sec. veteres edd. Codd. ἦν τι γε. — 24 ἔλαττον vett. editt. V. ex codd. ἢ ἐλ. — 25 ἦν ἐλ. Reiskius. V. ἢ ἐλ. — 30 ἰσοστάσια Reiskius. V. ἰσοστασίᾳ. Toupius Em. III, p. 387 τῆς γνώμης malebat. — 32 Reg. ἐκποδῶν, 33 αὑτοῦ, ut Markl. V. αὐτοῦ. — 47 Reg. δικαστήν γε, 50 κρατῇ δὲ ἕνα τῶν.

Pag. 157. Lin. 11 Reg. ἦδε χάρη, 31 et 32 Νηρεὺς, et, δικαστὴς δέ σοι. Idem εἶχε δὲ, ut conjecerat Marklandus. V. aberat δὲ. — 37 ἀφαιρεῖ recentiori m. in ἀφηρεῖ mutatum. — 46 ἀντεξετάζοις Reg. V. — ζεις.

Pag. 158. Lin. 2 Reg. ὡς, 4 δέ γε. — 15 κἂν Stephanus. V. καί. — 18 Reg. καθέκαστον, 21 ὡς ἐστιν. — 20 ἔστω Marklandus. V. ἔσται. — 25 παράγων idem Marklandus. Codex Ἰσοκράτης (sic) ταάγων. V. περιάγων. — 31 προελθόντα ὡς ἤδη προσεληλυθότα Marklandus. V. προσελθόντα ἤδη ὡς προεληλυθότα. — 39 ἄργυρον ἄργυρος Reg. V. ἄργυρος ἄργυρον. — 40 πάντων Marklandus. V. πάντως. — 42 τὸ δὲ ἀγαθὸν Reg. V. εἰ δὲ τὸ ἀγ. In illa scriptura sequens καὶ non offendit. — 48 Reg. καὶ pro πρὸς.

Pag. 159. Lin. 24, 25 Reg. τέχνη ... τέχνη pro τύχη ... τύχη. Idem καὶ pro κἂν. — 26 ἡ addidit Marklandus. — 32 Reg. χειμῶν, 34 καταδήσεται. Quædam excidisse videntur. Vide Reisk. — 49 τῶν θεῶν τὴν ἰσ. Reg., non ut retulit Davis. V. τὴν τῶν θ. ἰσ. — 52 τιμῆς addidi ex Regio.

Pag. 160. Lin. 1 Reg. ἆδ — bis sine ι subscr., et ὅμοιος. — 3 Ἐγὼ Heinsius. Codd. λέγω. — 4 Reg. προστιμῶ, 7 ἄρισται, 11 Ἀρτοξ. V. Ἀρταξ. — 12 — 14 hoc ordine codex, quem Wardius invito Davisio neglexit. — 16, 17 Reg. εἶθε, 18 Περσίδας, 19 ἡ (vulgo ᾗ), 26 πυνθάνομαι, τί φῄς, ut 28;

30 γλῶττα ἐπώμοσεν, et φρῆν, 33 προσέλθῃς, 35 μετέβαλλες a sec. m., 40 Ἀμμ— ubique. — 49 τούτου ἐνέδει Reiskius. V. τοῦτο ἐν ἔδει, pro quo postremo Reg. ἦδει.

Pag. 161. Lin. 6 vulgo ἀφῆκεν ὁ Ζεὺς, quæ postrema codd. omittunt. — 15 Reg. τῆνδε, 20 κοινωνοὺς, cum punctis super νω. — 29 τὸν ὡρῶν Reg. a. pr. m. V. τὸν τῶν ὡρῶν, quod recentior manus Regio intulit. — 31 Reg. γεννητην sine acc., 35 idem προσβολὴ, ut Reiskius emendavit, et ἐπαφήσηται, ut Marklandus. V. προσβολῇ et ἐπαφήσεται. — 46 Reg. χρησμῳδίας.

Pag. 162. Lin. 4 φυλαξόμεθα Boissonadius Anecd. vol. 4, p. 478. V. φυλαξώμεθα. — 6 Reg. ὑπαλῦξαι, 7 ἢ (vulgo ἦ), et ὁρᾷ τε. — 13 οὐ γεν. et 14 ἐκ μητέρων idem. V. ὁ γεν. et ἐκ μητρῴων — 19 ἀχρειότατον Reiskius. V. ἀχρειότερον. — 20 Reg. δυσεργον sine acc., 22 ἀντέχεται. — 39 ἀπώσῃ Reg. et Reiskius. V. ἀπώσῃς. — 40 Reg. παύσεται, 41 ἐγγειτόνων, 44 ἀκούσομεν, 46 κακ', 48 ἀτασθαλίης. V. —λίας.

Pag. 163. Lin. 15 καὶ delet Reiskius. — 17 ἀναγκαίας καὶ codex, non καὶ ἀγαγκαίας, quod ex eo se dare scripsit Davisius. — 20 codex λιμώττ., 24 λιμός. — 32 θάνατον Heinsius, ex Paccii versione. V. βίον. — 33 et 34 Reg. ζῇ. — 37 ἴθι δὲ Wakefieldus maluit. — 39 codex τοῦτο ἐλ. — 43 δεῦρο Marklandus. V. δεύτερον.

Pag. 164. Lin. 9 παραδοὺς Regius. V. καὶ παραδ. — 12 τῶν ἡνιῶν Regius et Marklandus. V. μὲν ἡνιῶν. — 13 ἑαυτὴν Marklandus. V. ταύτην. — 20 pro οὕτω codex αυτουχ sive potius αυτουη, sine acc., 12 Reg. κᾶτα, 22 ἦξαν φ.

Parisiis, mense Decembri, MDCCCXL.

FR. DÜBNER.

Hoc volumen quum prelo daretur iterum, occasionem arripuimus corrigendi quorum nos admonuit præstantissimus amicus Πίκκολος, majorum literas erudita veneratione colens, æqualium autem suorum provehens eleganti arte et felici. In Simplicio nunc usi sumus Porsonianis, *Tracts* p. 171 sqq. Dübnero quum otium non esset Maximum denuo tractandi, impræsentiarum hæc notat: p. 5, 13 legendum esse εἰς τὴν κάτω auctore Jacobsio; p. 15, 19, πρὶν πονήσῃ μακέλλῃ, auctore Eodem; p. 31, 37, ἀεὶ καινοὺς συκοφάντας auctore Orellio.

Mense Septembri MDCCCXLII.

ΜΑΡΚΟΥ ΑΝΤΩΝΙΝΟΥ

ΑΥΤΟΚΡΑΤΟΡΟΣ

ΤΩΝ ΕΙΣ ΕΑΥΤΟΝ

ΒΙΒΛΙΟΝ Α.

Παρὰ τοῦ πάππου Οὐήρου, τὸ καλόηθες καὶ ἀόργητον.

β'. Παρὰ τῆς δόξης καὶ μνήμης, τῆς περὶ τοῦ γεννήσαντος, τὸ αἰδῆμον καὶ ἀῤῥενικόν.

γ'. Παρὰ τῆς μητρὸς, τὸ θεοσεβὲς καὶ μεταδοτικόν· καὶ ἀφεκτικὸν οὐ μόνον τοῦ κακοποιεῖν, ἀλλὰ καὶ τοῦ ἐπὶ ἐννοίας γίνεσθαι τοιαύτης. Ἔτι δὲ τὸ λιτὸν κατὰ τὴν δίαιταν καὶ πόῤῥω τῆς πλουσιακῆς διαγωγῆς.

δ'. Παρὰ τοῦ προπάππου, τὸ μὴ εἰς δημοσίας διατριβὰς φοιτῆσαι· καὶ τὸ ἀγαθοῖς διδασκάλοις κατ' οἶκον χρήσασθαι, καὶ τὸ γνῶναι, ὅτι εἰς τὰ τοιαῦτα δεῖ ἐκτενῶς ἀναλίσκειν.

ε'. Παρὰ τοῦ τροφέως, τὸ μήτε Πρασιανὸς, μήτε Βενετιανὸς, μήτε παλμουλάριος ἢ σκουτάριος γενέσθαι· καὶ τὸ φερέπονον καὶ ὀλιγοδεὲς καὶ αὐτουργικόν· καὶ τὸ ἀπολύπραγμον· καὶ τὸ δυσπρόσδεκτον διαβολῆς.

ς'. Παρὰ Διογνήτου, τὸ ἀκενόσπουδον· καὶ τὸ ἀπιστητικὸν τοῖς ὑπὸ τῶν τερατευομένων καὶ γοήτων περὶ ἐπῳδῶν, καὶ περὶ δαιμόνων ἀποπομπῆς καὶ τῶν τοιούτων λεγομένοις· καὶ τὸ μὴ ὀρτυγοτροφεῖν, μηδὲ περὶ τὰ τοιαῦτα ἐπτοῆσθαι· καὶ τὸ ἀνέχεσθαι παῤῥησίας· καὶ τὸ οἰκειωθῆναι φιλοσοφίᾳ καὶ τὸ ἀκοῦσαι, πρῶτον μὲν Βακχίου, εἶτα Τανδάσιδος καὶ Μαρκιανοῦ· καὶ τὸ γράψαι διαλόγους ἐν παιδί· καὶ τὸ σκίμποδος καὶ δορᾶς ἐπιθυμῆσαι, καὶ ὅσα τοιαῦτα τῆς Ἑλληνικῆς ἀγωγῆς ἐχόμενα.

ζ'. Παρὰ Ῥουστίκου, τὸ λαβεῖν φαντασίαν τοῦ χρήζειν διορθώσεως καὶ θεραπείας τοῦ ἤθους· καὶ τὸ μὴ ἐκτραπῆναι εἰς ζῆλον σοφιστικὸν, μηδὲ [τὸ] συγγράφειν περὶ τῶν θεωρημάτων, ἢ προτρεπτικὰ λογάρια διαλέγεσθαι, ἢ φαντασιοπλήκτως τὸν ἀσκητικὸν, ἢ τὸν εὐεργετικὸν ἄνδρα ἐπιδείκνυσθαι· καὶ τὸ ἀποστῆναι ῥητορικῆς, καὶ ποιητικῆς, καὶ ἀστειολογίας· καὶ τὸ μὴ ἐν στολῇ κατ' οἶκον περιπατεῖν, μηδὲ τὰ τοιαῦτα ποιεῖν· καὶ τὸ τὰ ἐπιστόλια ἀφελῶς γράφειν, οἷον τὸ ὑπ' αὐτοῦ τούτου ἀπὸ Σινοέσσης τῇ μητρί μου γραφέν· καὶ τὸ πρὸς τοὺς χαλεπήναντας καὶ πλημμελήσαντας εὐανακλήτως καὶ εὐδιαλλάκτως, ἐπειδὰν τάχιστα αὐτοὶ ἐπανελθεῖν ἐθελήσωσι, διακεῖσθαι· καὶ τὸ ἀκριβῶς ἀναγινώσκειν, καὶ μὴ ἀρκεῖσθαι περινοοῦντα ὁλοσχερῶς· μηδὲ τοῖς περιλαλοῦσι ταχέως συγκατατίθεσθαι· καὶ τὸ ἐντυχεῖν τοῖς Ἐπικτητείοις ὑπομνήμασιν, ὧν οἴκοθεν μετέδωκε.

MARCI ANTONINI

IMPERATORIS

COMMENTARIORUM

QUOS IPSE SIBI SCRIPSIT,

LIBER PRIMUS.

1. Avi Veri *exemplo operam me dare oportet*, ut suavibus sim moribus neque iræ indulgeam.

2. Existimatione et recordatione genitoris mei ad verecundiam et animum viro dignum *excitari debeo*.

3. In matre *exemplum habui*, pietatis in Deos et liberalitatis; abstinentiæ non solum a malo perpetrando, verum etiam cogitando; tum frugalitatis in victu, quæ ab opulentorum vita et consuetudine longissime abeat.

4. A proavo *habui*, quod publicos litterarum ludos non frequentavi, et domi bonis præceptoribus usus sum, atque intellexi, in talibus rebus non parcendum esse impensis.

5. Ab educatore, ne *in circo spectator* Prasianus aut Venetianus neve parmularius aut scutarius fierem, ut labores sustinerem, paucis indigerem, ipse operi manus admoverem, rerum alienarum non essem curiosus, nec facile delationem admitterem.

6. Diognetus *me monuit*, ne studium in vanas res conferrem neque iis fidem haberem, quæ a præstigiatoribus et impostoribus de incantationibus et dæmonum expulsione aliisque ejus generis rebus narrantur; neque coturnices alerem, neve insana talium rerum admiratione tenerer; ut libere dicta æquo animo ferrem, philosophiæ me addicerem et primum quidem Bacchium, deinde vero Tandasidem et Marcianum audirem; ut dialogos puer adhuc scriberem, ut grabatum et pellem et ejus generis omnia, quæ ad Græcam disciplinam pertinent, expeterem.

7. Rustico *debeo*, quod in cogitationem veni, mihi morum emendatione et curatione opus esse; quod neque ad æmulationem sophisticam declinavi, neque de theorematis commentatus sum, aut exhortatorias oratiunculas declamavi, aut virum strenue exercitia subeuntem munificumve me ostentando homines in admirationem mei rapere studui; quod a rhetoricæ, poesis et elegantioris dictionis studio abstinui; quod non elegantiore veste indutus domi incedo; quod epistolas simpliciter scribo instar ejus, quam is ipse Sinuessa ad matrem meam dedit; quod, si qui me irritaverint aut aliquid deliquerint, iis placabilem et ad reconciliandum facilem me præbeo, simul atque in gratiam redire volunt; quod diligenter legere soleo, non contentus summaria rei intelligentia, neque garrulis properanter assentior; quod commentarios Epicteti legi, quorum mihi ipse copiam fecit.

η'. Παρὰ Ἀπολλωνίου, τὸ ἐλεύθερον καὶ ἀναμφιβόλως ἀκύβευτον· καὶ πρὸς μηδὲν ἄλλο ἀποβλέπειν, μηδὲ ἐπ' ὀλίγον, ἢ πρὸς τὸν λόγον· καὶ τὸ ἀεὶ ὅμοιον, ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις· καὶ τὸ ἐπὶ παραδείγματος ζῶντος ἰδεῖν ἐναργῶς, ὅτι δύναται ὁ αὐτὸς σφοδρότατος εἶναι καὶ ἀνειμένος· καὶ τὸ ἐν ταῖς ἐξηγήσεσι μὴ δυσχεραντικόν· καὶ τὸ ἰδεῖν ἄνθρωπον σαφῶς ἐλάχιστον τῶν ἑαυτοῦ καλῶν ἡγούμενον τὴν ἐμπειρίαν, καὶ τὴν ἐντρέχειαν τὴν περὶ τὸ παραδιδόναι τὰ θεωρήματα· καὶ τὸ μαθεῖν, πῶς δεῖ λαμβάνειν τὰς δοκούσας χάριτας παρὰ φίλων, μήτε ἐξηττώμενον διὰ ταῦτα, μήτε ἀναισθήτως παραπέμποντα.

θ'. Παρὰ Σέξτου, τὸ εὐμενές· καὶ τὸ παράδειγμα τοῦ οἴκου τοῦ πατρονομουμένου· καὶ τὴν ἔννοιαν τοῦ κατὰ φύσιν ζῆν· καὶ τὸ σεμνὸν ἀπλάστως· καὶ τὸ στοχαστικὸν τῶν φίλων κηδεμονικῶς· καὶ τὸ ἀνεκτικὸν τῶν ἰδιωτῶν, καὶ τὸ ἀθεώρητον τῶν οἰομένων· καὶ τὸ πρὸς πάντας εὐάρμοστον, ὥστε κολακείας μὲν πάσης προσηνεστέραν εἶναι τὴν ὁμιλίαν αὐτοῦ, αἰδεσιμώτατον δὲ αὐτοῖς ἐκείνοις παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν εἶναι· καὶ τὸ καταληπτικῶς καὶ ὁδῷ ἐξευρετικόν τε καὶ τακτικὸν τῶν εἰς βίον ἀναγκαίων δογμάτων· καὶ τὸ μηδὲ ἔμφασίν ποτε ὀργῆς, ἢ ἄλλου τινὸς πάθους παρασχεῖν, ἀλλὰ ἅμα μὲν ἀπαθέστατον εἶναι, ἅμα δὲ φιλοστοργότατον· καὶ τὸ εὔφημον, καὶ τοῦτο ἀψοφητί· καὶ τὸ πολυμαθὲς ἀνεπιφάντως.

ι'. Παρὰ Ἀλεξάνδρου τοῦ γραμματικοῦ, τὸ ἀνεπίπληκτον· καὶ τὸ μὴ ὀνειδιστικῶς ἐπιλαμβάνεσθαι τῶν βάρβαρον, ἢ σόλοικόν τι, ἢ ἀπηχὲς προενεγκαμένων, ἀλλ' ἐπιδεξίως αὐτὸ μόνον ἐκεῖνο, ὃ ἔδει εἰρῆσθαι, προφέρεσθαι, ἐν τρόπῳ ἀποκρίσεως, ἢ συνεπιμαρτυρήσεως, ἢ συνδιαλήψεως περὶ αὐτοῦ τοῦ πράγματος, οὐχὶ περὶ τοῦ ῥήματος, ἢ δι' ἑτέρας τινὸς τοιαύτης ἐμμελοῦς παρυπομνήσεως.

ια'. Παρὰ Φρόντωνος, τὸ ἐπιστῆσαι, οἵα ἡ τυραννικὴ βασκανία, καὶ ποικιλία, καὶ ὑπόκρισις, καὶ ὅτι ὡς ἐπίπαν οἱ καλούμενοι οὗτοι παρ' ἡμῖν εὐπατρίδαι, ἀστοργότεροί πως εἰσί.

ιβ'. Παρὰ Ἀλεξάνδρου τοῦ Πλατωνικοῦ, τὸ μὴ πολλάκις, μηδὲ χωρὶς ἀνάγκης λέγειν πρός τινα, ἢ ἐν ἐπιστολῇ γράφειν, ὅτι ἄσχολός εἰμι· μηδὲ διὰ τούτου τοῦ τρόπου συνεχῶς παραιτεῖσθαι τὰ κατὰ τὰς πρὸς τοὺς συμβιοῦντας σχέσεις καθήκοντα, προβαλλόμενον τὰ περιεστῶτα πράγματα.

ιγ'. Παρὰ Κατούλου, τὸ μὴ ὀλιγώρως ἔχειν φίλου αἰτιωμένου τι, κἂν τύχῃ ἀλόγως αἰτιώμενος, ἀλλὰ πειρᾶσθαι καὶ ἀποκαθιστάναι ἐπὶ τὸ σύνηθες· καὶ τὸ περὶ τῶν διδασκάλων ἐκθύμως εὔφημον, οἷα τὰ περὶ Δομιτίου καὶ Ἀθηνοδότου ἀπομνημονευόμενα· καὶ τὸ περὶ τὰ τέκνα ἀληθινῶς ἀγαπητικόν.

ιδ'. Παρὰ τοῦ ἀδελφοῦ μου Σεουήρου, τὸ φιλοίκειον, καὶ φιλάληθες, καὶ φιλοδίκαιον· καὶ τὸ δι' αὐτὸν γνῶναι Θρασέαν, Ἑλβίδιον, Κάτωνα, Δίωνα, Βροῦτον, καὶ

8. Apollonii *exemplo didici* liberum esse et sine dubitatione cautum et circumspectum, neque aliud quidquam vel minimum respicere, nisi rationem; mei similem semper esse in doloribus acerrimis, in prolis amissione, in morbis diuturnis; *eidem acceptum refero*, quod mihi contigit, ut in vivo exemplo perspecte viderem, eundem et constantissimum esse posse et remissum; *in eo vidi* studium in enarrandis philosophorum scriptis a morositate alienum atque conspexi hominem, qui peritiam ac sollertiam qua in tradendis theorematis pollebat, manifesto bonorum suorum minimum existimabat; *ab eo* didici, quomodo beneficia, quæ putantur, ab amicis sint accipienda, ut neque propterea addicti fiamus, neque ea sine *grati animi* sensu prætermittamus.

9. In Sexto *suspexi* benevolentiam et exemplum domus paterno affectu administratæ, et intelligentiam vitæ secundum naturam institutæ, et gravitatem non simulatam; item sollicitam in explorandis amicorum necessitatibus diligentiam; tolerantiam erga imperitos et temere opinantes; studium ejus ad omnes se accommodandi, ita ut consuetudo ejus omni adulatione gratior esset, eodemque tempore iisdem maxime venerandus videretur; artem per notiones claras et perspicuas via ac ratione præcepta ad vitæ usum necessaria reperiendi et ordine collocandi : *idem* neque iræ unquam neque alius cujusquam perturbationis indicium dedit, sed simul et affectibus maxime immunis et amantissimus fuit, bonæ famæ studiosus, idque sine strepitu, et eruditus sine ostentatione.

10. Alexandrum Grammaticum *observavi* ab increpationibus sibi temperare, neque probrose vituperare, qui barbarum aut solœcum aliquid vel absonum proferunt, sed dextre id modo, quod dici debet, proponere, aut respondendi aut confirmandi aut de re ipsa, non de verbo, deliberandi specie usum, aut alia ejusmodi scita commonefactione.

11. A Frontone *didici* intelligere, qualis sit tyrannorum invidentia et versutia et simulatio; eosque, qui a nobis patricii appellantur, ut plurimum a genuino paterni animi affectu alieniores esse.

12. Ab Alexandro Platonico, ne sæpe nec nisi necessitate coactus alii dicerem vel in epistola scriberem, me esse occupatum, neque hac ratione continuo recusarem officia, quæ rationes ad eos, quibuscum viverem, exigerent, negotia urgentia prætendens.

13. A Catulo, ne parvi facerem amicum aliquid culpantem, etiam si forte temere culparet, quin etiam periculum facerem eum in pristinum statum restituendi; item ut libenter præceptorum laudes celebrarem, quemadmodum de Domitio et Athenodoto memoriæ proditum est; ut liberos meos sincera pietate prosequerer.

14. A fratre meo Severo, propinquorum et veritatis et justitiæ studiosum esse : per eundem Thraseam, Helvidium, Catonem, Dionem, Brutum cognovi et animo concepi imagi-

φαντασίαν λαβεῖν πολιτείας ἰσονόμου, κατὰ ἰσότητα καὶ ἰσηγορίαν διοικουμένης, καὶ βασιλείας τιμώσης πάντων μάλιστα τὴν ἐλευθερίαν τῶν ἀρχομένων· καὶ ἔτι παρ' αὐτοῦ τὸ ὁμαλὲς καὶ ὁμότονον ἐν τῇ τιμῇ τῆς φιλοσοφίας· καὶ τὸ εὐποιητικὸν, καὶ τὸ εὐμετάδοτον ἐκτενῶς, καὶ τὸ εὔελπι, καὶ τὸ πιστευτικὸν περὶ τοῦ ὑπὸ τῶν φίλων φιλεῖσθαι· καὶ τὸ ἀνεπίκρυπτον πρὸς τοὺς καταγνώσεως ὑπ' αὐτοῦ τυγχάνοντας· καὶ τὸ μὴ δεῖσθαι στοχασμοῦ τοὺς φίλους αὐτοῦ περὶ τοῦ, τί θέλει ἢ τί οὐ θέλει, ἀλλὰ δῆλον εἶναι.

ιε'. Παρὰ Μαξίμου, τὸ κρατεῖν ἑαυτοῦ, καὶ κατὰ μηδὲν περίφορον εἶναι· καὶ τὸ εὔθυμον ἔν τε ταῖς ἄλλαις περιστάσεσι, καὶ ἐν ταῖς νόσοις· καὶ τὸ εὔκρατον τοῦ ἤθους, καὶ μειλίχιον, καὶ γεραρόν· καὶ τὸ οὐ σχετλίως κατεργαστικὸν τῶν προκειμένων· καὶ τὸ πάντας αὐτῷ πιστεύειν, περὶ ὧν λέγοι, ὅτι οὕτως φρονεῖ, καὶ περὶ ὧν πράττοι, ὅτι οὐ κακῶς πράττει· καὶ τὸ ἀθαύμαστον, καὶ ἀνέκπληκτον, καὶ μηδαμοῦ ἐπειγόμενον, ἢ ὀκνοῦν, ἢ ἀμηχανοῦν, ἢ κατηφὲς, ἢ προσσεσηρὸς, ἢ πάλιν θυμούμενον, ἢ ὑφορώμενον· καὶ τὸ εὐεργετικὸν, καὶ τὸ συγγνωμονικὸν, καὶ τὸ ἀψευδὲς, καὶ τὸ ἀδιαστρόφου μᾶλλον, ἢ διορθουμένου φαντασίαν παρέχειν· καὶ ὅτι οὔτε ᾠήθη ἄν ποτέ τις ὑπερορᾶσθαι ὑπ' αὐτοῦ, οὔτε ὑπέμεινεν ἂν κρείττονα αὑτοῦ αὑτὸν ὑπολαβεῖν· καὶ τὸ εὖ χαριεντίζεσθαι.

ιϛ'. Παρὰ τοῦ πατρὸς, τὸ ἥμερον, καὶ μενετικὸν ἀσαλεύτως ἐπὶ τῶν ἐξητασμένως κριθέντων· καὶ τὸ ἀκενόδοξον περὶ τὰς δοκούσας τιμάς· καὶ τὸ φιλόπονον καὶ ἐνδελεχές· καὶ τὸ ἀκουστικὸν τῶν ἐχόντων τι κοινωφελὲς εἰσφέρειν· καὶ τὸ ἀπαρατρέπτως τοῦ κατ' ἀξίαν ἀπονεμετικὸν ἑκάστῳ· καὶ τὸ ἔμπειρον, ποῦ μὲν χρεία ἐντάσεως, ποῦ δὲ ἀνέσεως· καὶ τὸ παῦσαι τὰ περὶ τοὺς ἔρωτας τῶν μειρακίων· καὶ ἡ κοινονοημοσύνη· καὶ τὸ ἐφεῖσθαι τοῖς φίλοις μήτε συνδειπνεῖν αὐτῷ πάντως, μήτε συναποδημεῖν ἐπάναγκες· ἀεὶ δὲ ὅμοιον αὐτὸν καταλαμβάνεσθαι ὑπὸ τῶν διὰ χρείας τινὰς ἀπολειφθέντων· καὶ τὸ ζητητικὸν ἀκριβῶς ἐν τοῖς συμβουλίοις, καὶ ἐπίμονον, ἀλλ' οὐ τὸ προαπέστη τῆς ἐρεύνης, ἀρκεσθεὶς ταῖς προχείροις φαντασίαις· καὶ τὸ διατηρητικὸν τῶν φίλων, καὶ μηδαμοῦ ἀψίκορον, μηδὲ ἐπιμανές· καὶ τὸ αὔταρκες ἐν παντὶ, καὶ τὸ φαιδρόν· καὶ τὸ πόῤῥωθεν προνοητικὸν, καὶ τῶν ἐλαχίστων προδιοικητικὸν ἀτραγῴδως· καὶ τὸ τὰς ἐπιβοήσεις καὶ πᾶσαν κολακείαν ἐπ' αὐτοῦ σταλῆναι· καὶ τὸ φυλακτικὸν ἀεὶ τῶν ἀναγκαίων τῇ ἀρχῇ, καὶ ταμιευτικὸν τῆς χορηγίας, καὶ ὑπομενετικὸν τῆς ἐπὶ τῶν τοιούτων τινῶν καταιτιάσεως· καὶ τὸ μήτε περὶ [τοὺς] Θεοὺς δεισιδαῖμον, μήτε περὶ ἀνθρώπους δημοκοπικὸν, ἢ ἀρεσκευτικὸν, ἢ ὀχλοχαρὲς, ἀλλὰ νῆφον ἐν πᾶσι, καὶ βέβαιον, καὶ μηδαμοῦ ἀπειρόκαλον, μηδὲ καινοτόμον. Καὶ τὸ τοῖς εἰς εὐμάρειαν βίου φέρουσί τι, ὧν ἡ τύχη παρέχει δαψίλειαν, χρηστικὸν ἀτύφως ἅμα καὶ ἀπροφασίστως, ὥστε παρόντων μὲν ἀνεπιτηδεύτως ἅπτεσθαι, ἀπόντων δὲ μὴ δεῖσθαι, καὶ τὸ μηδὲ ἄν τινα εἰπεῖν, μήτε ὅτι σοφιστὴς, μήτε ὅτι οὐερνάκλος,

nem reipublicæ liberæ, in qua æquis legibus et eodem jure omnia administrentur, et regni, quod civium libertatem omnium maxime æstimet; præterea ab eodem, æqualem et constantem esse in studio philosophiæ; benefacere et impense largiri, bene sperare et neutiquam dubitare de amicorum amore : is quoque non usus est dissimulatione erga eos, qui vituperandi videbantur, neque amicis ejus opus erat, ut quid vellet aut nollet, conjectura assequerentur, sed id apertum fuit.

15. In Maximo *cognovi* illud, sui compotem esse neque ulla re transversum abripi; animo esse bono tum in aliis rebus adversis, tum in morbis; moribus uti et suavitate et gravitate bene temperatis; negotia, quæ impendent, non gravate perficere. Quidquid ille dixit, id ex animi sententia eum dicere, et quidquid egit, id consilio non malo eum agere, omnes persuasum habebant : porro nihil admirari et ad nihil obstupescere; nec festinare neque cunctari neque consilii expertem aut dejectum esse, neque nunc hilarem esse et rursus irasci et suspiciosum esse; liberalem esse et promptum ad ignoscendum; mendacium fugere, atque hominis non eversi potius, quam erecti specimen exhibere : neque quemquam ab eo contemptui se habitum existimasse, neque ausum esse se illi præferre; denique honeste urbanum esse.

16. A patre mansuetudinem et immotam in iis, quæ diligenter considerata sunt, perseverantiam, vanæ gloriæ ab opinatis honoribus quæsitæ contemptum, amorem laborum et assiduitatem, animum promptum ad audiendos eos, qui aliquid, quod ad publicam utilitatem spectat, afferant, firmam constantiam in tribuendo cuique, quod ejus dignitas postulat, peritiam, ubi intentione opus sit, ubi remissione : coercere amores puerorum; civilitati morum studere; amicis concedere, ut neque cœnæ semper adsint neque in itineribus sese necessario comites præbeant; semper similem sui deprehendi ab iis, qui necessitate aliqua impediti ab eo abfuere; in consiliis diligenter inquirere atque constanter, neque vero « destitit ab indagatione contentus obvia rerum specie. » Amicos retinendi studiosum esse, eos nec fastidio mutantem nec perdite amantem; contentum esse in omnibus et vultu serenum; e longinquo prospicere et etiam ad minima administranda parari sine strepitu; acclamationes et omnem adulationem sub eo repressam esse; opes reipublicæ necessarias semper conservare, sumptus publicos parce erogare et æquo animo ferre quorundam his de rebus reprehensiones; neque circa deos superstitiosum esse, neque circa homines popularem auram captantem, blandientem, plebem demerentem, sed sobrium in omnibus et constantem, nusquam ineptum nec novitatis studiosum; rebus, quæ ad vitæ cursum faciliorem reddendum faciunt, quarum copiam uberrimam affert fortuna, sine fastu pariter atque sine excusatione uti, ita ut præsentibus sine affectatione frueretur, absentibus non indigeret; nec dicere posse quemquam, sophistam eum fuisse aut vernam aut schola-

μήτε ὅτι σχολαστικὸς, ἀλλ' ὅτι ἀνὴρ πέπειρος, τέλειος, ἀκολάκευτος, προεστάναι δυνάμενος καὶ τῶν ἑαυτοῦ καὶ ἄλλων. Πρὸς τούτοις δὲ καὶ τὸ τιμητικὸν τῶν ἀληθῶς φιλοσοφούντων, τοῖς δὲ ἄλλοις οὐκ ἐξονειδιστικὸν, οὐδὲ μὴν εὐπαράγωγον ὑπ' αὐτῶν· ἔτι δὲ τὸ εὐόμιλον, καὶ εὔχαρι οὐ κατακόρως· καὶ τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρῄζειν, ἢ φαρμάκων καὶ ἐπιθεμάτων ἐκτός. Μάλιστα δὲ τὸ παραχωρητικὸν ἀβασκάνως τοῖς δύναμίν τινα κεκτημένοις, οἷον τὴν φραστικὴν, ἢ τὴν ἐξ ἱστορίας νόμων, ἢ ἐθῶν, ἢ ἄλλων τινῶν πραγμάτων· καὶ συσπουδαστικὸν αὐτοῖς, ἵνα ἕκαστοι κατὰ τὰ ἴδια προτερήματα εὐδοκιμῶσι· πάντα δὲ κατὰ τὰ πάτρια πράσσων, οὐδ' αὐτὸ τοῦτο ἐπιτηδεύων φαίνεσθαι, τὸ τὰ πάτρια φυλάσσειν. Ἔτι δὲ τὸ μὴ εὐμετακίνητον καὶ ῥιπταστικὸν, ἀλλὰ καὶ τόποις, καὶ πράγμασι τοῖς αὐτοῖς ἐνδιατριπτικόν· καὶ τὸ μετὰ τοὺς παροξυσμοὺς τῆς κεφαλαλγίας, νεαρὸν εὐθὺς καὶ ἀκμαῖον πρὸς τὰ συνήθη ἔργα· καὶ τὸ μὴ εἶναι αὐτῷ πολλὰ τὰ ἀπόῤῥητα, ἀλλὰ ὀλίγιστα καὶ σπανιώτατα, καὶ ταῦτα ὑπὲρ τῶν κοινῶν μόνον· καὶ τὸ ἔμφρον καὶ μεμετρημένον ἔν τε θεωριῶν ἐπιτελέσει, καὶ ἔργων κατασκευαῖς, καὶ διανομαῖς, καὶ τοῖς τοιούτοις ἀνθρώποις πρὸς αὐτὸ [δὲ] τὸ δέον πραχθῆναι δεδορκότος, οὐ πρὸς τὴν ἐπὶ τοῖς πραχθεῖσιν εὐδοξίαν. Οὐχ ἐν ἀωρεὶ λούστης, οὐχὶ φιλοικοδόμος, οὐ περὶ τὰς ἐδωδὰς ἐπινοητὴς, οὐ περὶ ἐσθήτων ὑφὰς καὶ χρόας, οὐ περὶ σωμάτων ὥρας. Ἡ ἀπὸ Λωρίου στολὴ ἀνάγουσα ἀπὸ τῆς κάτω ἐπαύλεως, γὰ τῶν ἐν Λανουβίῳ τὰ πολλά· τῷ τελώνῃ ἐν Τούσκλοις παραιτουμένῳ ὡς ἐχρήσατο, καὶ πᾶς ὁ τοιοῦτος τρόπος. Οὐδὲν ἀπηνὲς, οὐδὲ μὴν ἀδυσώπητον, οὐδὲ λάβρον, οὐδὲ, ὡς ἄν τινα εἰπεῖν ποτε, « ἕως ἱδρῶτος· » ἀλλὰ πάντα διειλημμένα λελογίσθαι, ὡς ἐπὶ σχολῆς, ἀταράχως, τεταγμένως, ἐῤῥωμένως, συμφώνως ἑαυτοῖς. Ἐφαρμόσειε δ' ἂν αὐτῷ τὸ περὶ τοῦ Σωκράτους μνημονευόμενον, ὅτι καὶ ἀπέχεσθαι καὶ ἀπολαύειν ἐδύνατο τούτων, ὧν πολλοὶ πρός τε τὰς ἀποχὰς ἀσθενῶς, καὶ πρὸς τὰς ἀπολαύσεις ἐνδοτικῶς ἔχουσι. Τὸ δὲ ἰσχύειν καὶ ἔτι καρτερεῖν καὶ ἐννήφειν ἑκατέρῳ, ἀνδρός ἐστιν ἄρτιον καὶ ἀήττητον ψυχὴν ἔχοντος, οἷον ἐν τῇ νόσῳ τῇ Μαξίμου.

ιζ'. Παρὰ τῶν Θεῶν, τὸ ἀγαθοὺς πάππους, ἀγαθοὺς γονέας, ἀγαθὴν ἀδελφὴν, ἀγαθοὺς διδασκάλους, ἀγαθοὺς οἰκείους, συγγενεῖς, φίλους, σχεδὸν ἅπαντας ἔχειν. Καὶ ὅτι περὶ οὐδένα αὐτῶν προέπεσον πλημμελῆσαί τι, καίτοι διάθεσιν ἔχων τοιαύτην, ἀφ' ἧς, εἰ ἔτυχε, κἂν ἔπραξά τι τοιοῦτο· τῶν Θεῶν δὲ εὐποιία, τὸ μηδεμίαν συνδρομὴν πραγμάτων γενέσθαι, ἥτις ἔμελλέ με ἐλέγξειν. Καὶ τὸ μὴ ἐπὶ πλέον ἐκτραφῆναι παρὰ τῇ παλλακῇ τοῦ πάππου· καὶ τὸ τὴν ὥραν διασῶσαι· καὶ τὸ μὴ πρὸ ὥρας ἀνδρωθῆναι, ἀλλ' ἔτι καὶ ἐπιλαβεῖν τοῦ χρόνου. Τὸ ἄρχοντι καὶ πατρὶ ὑποταχθῆναι, ὃς ἔμελλε πάντα τὸν τῦφον ἀφαιρήσειν μου, καὶ εἰς ἔννοιαν ἄξειν

sticum, sed virum maturum, perfectum, adulatione superiorem, qui et suis et aliorum rebus præesse posset. Præter hæc vere philosophantes colere, ceteros neque probro afficere neque tamen ab iis transversum abripi; porro suavem esse in vitæ consuetudine et festivum nec vero ad fastidium usque; corpus suum cum temperantia quadam curare, non ut vitæ avidum, aut ad ornatum luxumve, neque tamen negligenter, quo factum est, ut propter suam diligentiam in paucissimis arte medicorum remediisve internis et externis opus haberet. Potissimum autem sine invidia loco cedere, si qui majore quadam facultate pollebant, ut eloquentia aut doctrina juris morumve aut aliarum rerum cognitione, et simul cum iis operam dare, ut singuli pro iis, quibus quisque excellebat, facultatibus, existimationem consequerentur; omnia more majorum agere, ne illud quidem ipsum affectantem, ut morem majorum servare videretur; tum porro non facile moveri et huc illuc jactari, sed in iisdem et locis et negotiis immorari; post vehementissimos capitis dolores statim juvenilem ac vegetum ad consueta negotia redire; non multa habere arcana, sed paucissima ac rarissima, eaque tantum ad res publicas spectantia; prudentiam ac moderationem in muneribus edendis, operibus exstruendis, congiariis largiendis et ejusmodi rebus, * quæ sunt hominis id ipsum quod agi oportet nec vero laudem e rebus gestis efflorescentem spectantis; non intempestive balneis uti, non de ædibus exstruendis laborare, non de cibariis curiosum esse neve vestimentorum textura et colore neve de servitiorum specie; * vestem e Lorio, villa inferius sita, et Lanuvinis villis ei plerumque in usu fuisse; erga portitorem Tusculanum deprecantem quomodo se gesserit, et qualis fuerit omnis sic agendi ratio. Nihil immite, nihil inverecundum, nihil vehemens, neque ut dixeris « usque ad sudorem : » sed omnia singulatim sumpta esse perpensa, quasi per otium, sine perturbatione, ordine, constantia, convenienter inter se. Conveniret in eum, quod de Socrate memoriæ traditum est, eum et abstinere et frui potuisse iis, quibus plerique nec abstinere per infirmitatem nec frui sine intemperantia possunt; posse autem in altero robustum, in altero temperantem ac sobrium se præstare, id vero viri est firmo animo invictoque præditi, qualem se in Maximi morbo præstitit.

17. A Diis bonos avos, bonos parentes, bonam sororem, bonos præceptores, bonos familiares, necessarios, amicos, omnes fere habui : *iisdem debeo,* quod in neminem eorum temere quidquam deliqui, quamquam ita animo affectus, ut, si res tulisset, utique ejusmodi aliquid admisissem, sed deorum benevolentia non ita ceciderunt res, ut in reprehensionem incurrerem; quod non diutius apud pellicem avi enutritus sum, et quod ætatis florem indelibatum servavi nec ante justum tempus virilitatis specimen dedi, sed ultra etiam distuli; quod principi ac patri subjectus fui, qui

τοῦ, ὅτι δυνατόν ἐστιν, ἐν αὐλῇ βιοῦντα μήτε δορυφορήσεων χρῄζειν, μήτε ἐσθήτων σημειωτῶν, μήτε λαμπάδων, καὶ ἀνδριάντων [τοιῶνδέ τινων], καὶ τοῦ ὁμοίου κόμπου· ἀλλ' ἔξεστιν ἐγγυτάτω ἰδιώτου συστέλλειν ἑαυτὸν, καὶ μὴ διὰ τοῦτο ταπεινότερον, ἢ ῥαθυμότερον ἔχειν πρὸς τὰ ὑπὲρ τῶν κοινῶν ἡγεμονικῶς πραχθῆναι δέοντα. Τὸ ἀδελφοῦ τοιούτου τυχεῖν, δυναμένου μὲν διὰ ἤθους ἐπεγεῖραί με πρὸς ἐπιμέλειαν ἐμαυτοῦ, ἅμα δὲ καὶ τιμῇ καὶ στοργῇ εὐφραίνοντός με· τὸ παιδία μοι ἀφυῆ μὴ γενέσθαι, μηδὲ κατὰ τὸ σωμάτιον διάστροφα· τὸ μὴ ἐπὶ πλέον με προκόψαι ἐν ῥητορικῇ, καὶ ποιητικῇ, καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασιν, ἐν οἷς ἴσως ἂν κατεσχέθην, εἰ ᾐσθόμην ἐμαυτὸν εὐόδως προϊόντα. Τὸ φθάσαι τοὺς τροφέας ἐν ἀξιώματι καταστῆσαι, οὗ δὴ ἐδόκουν μοι ἐπιθυμεῖν, καὶ μὴ ἀναβαλέσθαι ἐλπίδι τοῦ με, ἐπεὶ νέοι ἔτι ἦσαν, ὕστερον αὐτὸ πράξειν. Τὸ γνῶναι Ἀπολλώνιον, Ῥούστικον, Μάξιμον. Τὸ φαντασθῆναι περὶ τοῦ κατὰ φύσιν βίου ἐναργῶς καὶ πολλάκις, οἷός τίς ἐστι· ὥστε, ὅσον ἐπὶ τοῖς Θεοῖς, καὶ ταῖς ἐκεῖθεν δόσεσι καὶ συλλήψεσι καὶ ἐπιπνοίαις, μηδὲν κωλύειν ἤδη κατὰ φύσιν ζῆν με, ἀπολείπεσθαι δὲ ἔτι τούτου παρὰ τὴν ἐμὴν αἰτίαν, καὶ παρὰ τὸ μὴ διατηρεῖν τὰς ἐκ Θεῶν ὑπομνήσεις, καὶ μονονουχὶ διδασκαλίας· τὸ ἀντισχεῖν μοι τὸ σῶμα ἐπὶ τοσοῦτον ἐν τοιούτῳ βίῳ· τὸ μήτε Βενεδίκτης ἅψασθαι, μήτε Θεοδότου, ἀλλὰ καὶ ὕστερον ἐν ἐρωτικοῖς πάθεσι γενόμενον ὑγιᾶναι· τὸ χαλεπήναντα πολλάκις Ῥουστίκῳ, μηδὲν πλέον πρᾶξαι, ἐφ' ᾧ ἂν μετέγνων· τὸ μέλλουσαν νέαν τελευτᾷν τὴν τεκοῦσαν, ὅμως οἰκῆσαι μετ' ἐμοῦ τὰ τελευταῖα ἔτη. Τὸ ὁσάκις ἐβουλήθην ἐπικουρῆσαί τινι πενομένῳ, ἢ εἰς ἄλλο τι χρῄζοντι, μηδέποτε ἀκοῦσαί με, ὅτι οὐκ ἔστι μοι χρήματα, ὅθεν γένηται· καὶ τὸ αὐτῷ ἐμοὶ χρείαν ὁμοίαν, ὡς παρ' ἑτέρου μεταλαβεῖν, μὴ συμπεσεῖν· τὸ τὴν γυναῖκα τοιαύτην εἶναι, οὑτωσὶ μὲν πειθήνιον, οὕτω δὲ φιλόστοργον, οὕτω δὲ ἀφελῆ· τὸ ἐπιτηδείων τροφέων εἰς τὰ παιδία εὐπορῆσαι. Τὸ δι' ὀνειράτων βοηθήματα δοθῆναι, ἄλλα τε, καὶ ὡς μὴ πτύειν αἷμα καὶ μὴ ἰλιγγιᾷν, καὶ τούτου ἐν Καιήτῃ ὥσπερ χρήσῃ· ὅπως τε ἐπεθύμησα φιλοσοφίας, μὴ ἐμπεσεῖν εἴς τινα σοφιστὴν, μηδὲ ἀποκαθίσαι ἐπὶ τοὺς συγγραφεῖς, ἢ συλλογισμοὺς ἀναλύειν, ἢ περὶ τὰ μετεωρολογικὰ καταγίνεσθαι. Πάντα γὰρ ταῦτα θεῶν βοηθῶν καὶ τύχης δεῖται.

Τὰ ἐν Κουάδοις πρὸς τῷ Γρανούᾳ.

mihi omnem fastum demeret et ad intelligentiam adduceret, posse in aula ita degi, ut nec satellitio nec vestitu insigniore nec facibus nec statuis et simili ornatu opus sit; posse *principem* ita contrahere sese, ut proxime ad privati vitam accedat, nec tamen propterea demissius vel remissius negotia publica imperatorie administrare; quod mihi contigit frater, qui moribus suis me ad curam mei excitaret, honore autem et suo in me affectu me exhilararet; quod liberi mihi neque ingenio tardi neque corpore distorti nati sunt; quod non longius progressus sum in rhetorica, poetica et reliquis studiis, quæ me fortasse plane detinuissent, si me feliciter in iis proficere sensissem; quod eos, a quibus educatus sum, ad honores, quos expetere ipsi mihi videbantur, evehere festinavi, nec spe eos lactavi, me, quum juvenes adhuc essent, id in posterum facturum; quod cognovi Apollonium, Rusticum, Maximum; quod imago vitæ secundum naturam institutæ, qualis esset, clare et frequenter animo meo obversata est; ita ut, quod ad Deos ac dona, auxilia et consilia ab iis mihi oblata attinet, nihil obstiterit, quominus jam pridem naturæ convenienter viverem; quod vero nondum id assequutus sim, id mea culpa atque inde quod Deorum submonitiones et tantum non clarissima præcepta neglexi, acciderit; quod in vita, qualis ea fuit, corpus mihi tamdiu perduravit; quod nec Benedictam nec Theodotum attigi, sed etiam postea affectibus amatoriis correptus ad sanitatem redii; quod, quamquam Rustico sæpe succensui, nihil ultra admisi, cujus me pœniteat; quod mater mea, quum mature decessura esset, mecum tamen ultimos ætatis annos transegit; quod, quoties pauperi aut alius rei indigo opitulari volebam, nunquam audivi, mihi deesse pecuniam, unde id facerem, et quod non ulla mihi unquam talis necessitas obtigit, ut ab alio sumere cogerer; et quod talis mihi uxor contigit, tam obsequens, tam amans, tam simplex; quod abunde mihi suppetiverunt viri ad liberos educandos idonei; quod per insomnia mihi remedia data sunt cum alia tum adversus sanguinis excretionem et capitis vertiginem, * idque Caietæ tanquam * chresæ; quod, quum animum ad philosophiam adjecissem, non in sophistam incidi, neque in scriptoribus et syllogismis resolvendis tempus deses contrivi, neque cœlestibus curiose perscrutandis detentus sum. Hæc enim omnia Deorum auxilio et fortuna indigent.

Hæc apud Quados ad Granuam.

ΒΙΒΛΙΟΝ Β.

Ἕωθεν προλέγειν ἑαυτῷ· Συντεύξομαι περιέργῳ, ἀχαρίστῳ, ὑβριστῇ, δολερῷ, βασκάνῳ, ἀκοινωνήτῳ. Πάντα ταῦτα συμβέβηκεν ἐκείνοις παρὰ τὴν ἄγνοιαν τῶν ἀγαθῶν καὶ κακῶν. Ἐγὼ δὲ, τεθεωρηκὼς τὴν φύσιν τοῦ ἀγαθοῦ, ὅτι καλὸν, καὶ τοῦ κακοῦ, ὅτι αἰσχρὸν, καὶ τὴν αὐτοῦ τοῦ ἁμαρτάνοντος φύσιν, ὅτι μοι συγγενὴς, οὐχὶ αἵματος ἢ σπέρματος τοῦ αὐτοῦ, ἀλλὰ

LIBER II.

1. Mane sibi prædicere : Incidam in curiosum, ingratum, contumeliosum, fraudulentum, invidum, insociabilem : omnia ista *vitia* iis ex ignorantia bonorum et malorum evenerunt; ego vero, qui perspectam habeo naturam boni, honestum id esse, ac mali, turpe id esse, porro naturam ipsius qui peccat, eum mihi esse cognatum, non sanguinis aut seminis ejusdem, sed mentis ac divinæ particulæ

νοῦ, καὶ θείας ἀπομοίρας μέτοχος, οὔτε βλαβῆναι ὑπό τινος αὐτῶν δύναμαι· αἰσχρῷ γάρ με οὐδεὶς περιβαλεῖ· οὔτε ὀργίζεσθαι τῷ συγγενεῖ δύναμαι, οὔτε ἀπέχθεσθαι αὐτῷ. Γεγόναμεν γὰρ πρὸς συνεργίαν, ὡς πόδες, ὡς χεῖρες, ὡς βλέφαρα, ὡς οἱ στοῖχοι τῶν ἄνω καὶ τῶν κάτω ὀδόντων. Τὸ οὖν ἀντιπράσσειν ἀλλήλοις, παρὰ φύσιν· ἀντιπρακτικὸν δὲ τὸ ἀγανακτεῖν καὶ ἀποστρέφεσθαι.

participem; nec a quoquam eorum lædi possum: in id enim, quod turpe est, nemo eorum me conjiciet; neque ei, qui mihi cognatus est, succensere possum eumque odio persequi: nam ad mutuam operam nati sumus, ut pedes, ut manus, ut palpebræ, ut ordines superiorum et inferiorum dentium. Itaque invicem sibi adversari contra naturam est; adversantis autem est indignari et aversari.

β'. Ὅ τί ποτε τοῦτό εἰμι, σαρκία ἐστὶ καὶ πνευμάτιον, καὶ τὸ ἡγεμονικόν. Ἄφες τὰ βιβλία· μηκέτι σπῶ. Οὐ δέδοται· ἀλλ' ὡς ἤδη ἀποθνήσκων, τῶν μὲν σαρκίων καταφρόνησον· λύθρος καὶ ὀστάρια, καὶ κροκύφαντος, ἐκ νεύρων, φλεβίων, ἀρτηριῶν πλεγμάτιον. Θέασαι δὲ καὶ τὸ πνεῦμα, ὁποῖόν τί ἐστιν· ἄνεμος· οὐδὲ ἀεὶ τὸ αὐτὸ, ἀλλὰ πάσης ὥρας ἐξεμούμενον, καὶ πάλιν ῥοφούμενον. Τρίτον οὖν ἐστὶ τὸ ἡγεμονικόν. Ὧδε ἐπινοήθητι· γέρων εἶ· μηκέτι τοῦτο ἐάσῃς δουλεῦσαι· μηκέτι καθ' ὁρμὴν ἀκοινώνητον νευροσπαστηθῆναι· μηκέτι τὸ εἱμαρμένον, ἢ παρὸν δυσχερᾶναι, ἢ μέλλον ὑποδύεσθαι.

2. Hoc quicquid tandem sum, caruncula est et animula et animi principatus. Missos fac libros: noli amplius distrahi; sed ut jam moriens carunculam contemne: cruor *est* et ossicula et reticulum, ex nervis, venulis et arteriis contextus. Quin etiam animam contemplare, qualis sit: spiritus, nec semper idem, sed quod singulis momentis evomitur et resorbetur. Tertia igitur pars est animi principatus; ad hunc igitur animum intende: senex es; noli pati, ut ille amplius serviat, aut amplius impetu insociabili raptetur, aut amplius fatum vel præsens inique ferat vel futurum horreat.

γ'. Τὰ τῶν θεῶν προνοίας μεστά. Τὰ τῆς τύχης οὐκ ἄνευ φύσεως, ἢ συγκλώσεως καὶ ἐπιπλοκῆς τῶν προνοίᾳ διοικουμένων. Πάντα ἐκεῖθεν ῥεῖ· πρόσεστι δὲ τὸ ἀναγκαῖον, καὶ τῷ ὅλῳ κόσμῳ συμφέρον, οὗ μέρος εἶ. Παντὶ δὲ φύσεως μέρει ἀγαθὸν, ὃ φέρει ἡ τοῦ ὅλου φύσις, καὶ ὃ ἐκείνης ἐστὶ σωστικόν. Σώζουσι δὲ κόσμον, ὥσπερ αἱ τῶν στοιχείων, οὕτως καὶ αἱ τῶν συγκριμάτων μεταβολαί. Ταῦτά σοι ἀρκείτω, ἀεὶ δόγματα ἔστω. Τὴν δὲ βιβλίων δίψαν ῥίψον, ἵνα μὴ γογγύζων ἀποθάνῃς, ἀλλὰ ἵλεως ἀληθῶς καὶ ἀπὸ καρδίας εὐχάριστος τοῖς θεοῖς.

3. Deorum opera providentia plena; quæ fortuna accidunt, non sejuncta a natura seu complexu et implexu rerum, quæ a providentia administrantur. Inde omnia fluunt. Accedit autem id, quod necessarium est et id, quod universo mundo, cujus tu pars es, conducit; unicuique vero parti bonum, quod natura universi fert et quod ad hanc conservandam facit; conservant autem mundum ut elementorum ita etiam concretarum rerum mutationes. Hæc tibi sufficiant, semper decreta sunto: librorum autem sitim pelle, ne murmurans moriaris, sed vere placidus Diisque ex animo gratias agens.

δ'. Μέμνησο, ἐκ πόσου ταῦτα ἀναβάλλῃ, καὶ ὁποσάκις προθεσμίας λαβὼν παρὰ τῶν θεῶν, οὐ χρᾷ αὐταῖς. Δεῖ δὲ ἤδη ποτὲ αἰσθέσθαι, τίνος κόσμου μέρος εἶ, καὶ τίνος διοικοῦντος τὸν κόσμον ἀπόῤῥοια ὑπέστης· καὶ ὅτι ὅρος ἐστί σοι περιγεγραμμένος τοῦ χρόνου, ᾧ ἐὰν εἰς τὸ ἀπαιθριάσαι μὴ χρήσῃ, οἰχήσεται, καὶ οἰχήσῃ, καὶ αὖθις οὐχ ἥξεται.

4. Memento, quamdiu hæc distuleris, et quoties a diis, opportunitates nactus iis non usus sis. Oportet tandem aliquando sentias, cujus mundi pars sis et abs quo mundi rectore delibatus substiteris; tum vero, circumscriptum tibi esse terminum temporis, quo nisi ad serenitatem usus fueris, id abibit et tu abibis; neque unquam tibi redibit.

ε'. Πάσης ὥρας φρόντιζε στιβαρῶς, ὡς Ῥωμαῖος καὶ ἄῤῥην, τὸ ἐν χερσὶ μετὰ τῆς ἀκριβοῦς καὶ ἀπλάστου σεμνότητος, καὶ φιλοστοργίας, καὶ ἐλευθερίας καὶ δικαιότητος πράσσειν· καὶ σχολὴν σαυτῷ ἀπὸ πασῶν τῶν ἄλλων φαντασιῶν πορίζειν.Ποριεῖς δὲ, ἂν, ὡς ἐσχάτην τοῦ βίου, ἑκάστην πρᾶξιν ἐνεργῇς, ἀπηλλαγμένην πάσης εἰκαιότητος, καὶ ἐμπαθοῦς ἀποστροφῆς ἀπὸ τοῦ αἱροῦντος λόγου, καὶ ὑποκρίσεως, καὶ φιλαυτίας, καὶ δυσαρεστήσεως πρὸς τὰ συμμεμοιραμένα. Ὁρᾷς, πῶς ὀλίγα ἐστὶν, ὧν κρατήσας τις δύναται εὔρουν καὶ θεουδῆ βιῶσαι βίον; καὶ γὰρ οἱ θεοὶ πλέον οὐδὲν ἀπαιτήσουσι παρὰ τοῦ ταῦτα φυλάσσοντος.

5. Singulis horis animo in id incumbe, ut firmiter, quemadmodum decet Romanum et virum, id quod in manibus est, cum diligente nec ficta gravitate, pietate, liberalitate et justitia peragas tibique otium ab omnibus aliis cogitationibus redimas; redimes autem, si quasi ultimam vitæ quamcunque actionem peregeris procul remotam ab omni temeritate et animi commoti aversione ab imperante ratione et simulatione et nimio tui studio et ægritudine suscepta ex iis, quæ a fato tribuuntur. Vides quam pauca sint, quæ si quis tenet, leniter fluentem et divinæ similem vitam degere potest; etenim Dii nihil plus requirent ab eo, qui hæc observat.

ς'. Ὕβριζε, ὕβριζε ἑαυτὴν, ὦ ψυχή· τοῦ δὲ τιμῆσαι σεαυτὴν οὐκέτι καιρὸν ἕξεις· εὖ γὰρ ὁ βίος ἑκάστῳ. Οὗτος δέ σοι σχεδὸν διήνυσται, μὴ αἰδουμένῃ σεαυτὴν, ἀλλ' ἐν ταῖς ἄλλων ψυχαῖς τιθεμένῃ τὴν σὴν εὐμοιρίαν.

6. Ignominia, ignominia te ipse affice, anime! honorem autem tibi vindicandi tempus non amplius habebis: fugit enim vita unicuique; hæc autem tibi tantum non exacta est, nullam tui ipsius reverentiam habenti et in aliorum animis felicitatem tuam collocanti.

ζ'. Περισπᾷ τί σε τὰ ἔξωθεν ἐμπίπτοντα· [καὶ] σχολὴν πάρεχε σεαυτῷ τοῦ προσμανθάνειν ἀγαθόν τι, καὶ παῦσαι ῥεμβόμενος. Ἤδη δὲ καὶ τὴν ἑτέραν περιφορὰν φυλακτέον. Ληροῦσι γὰρ καὶ διὰ πράξεων οἱ κεκμηκότες ἐν τῷ βίῳ, καὶ μὴ ἔχοντες σκοπὸν, ἐφ' ὃν πᾶσαν ὁρμὴν καὶ καθάπαξ φαντασίαν ἀπευθυνοῦσιν.

η'. Παρὰ μὲν τὸ μὴ ἐφιστάνειν, τί ἐν τῇ ἄλλου ψυχῇ γίγνεται, οὐ ῥᾳδίως τις ὤφθη κακοδαιμονῶν· τοὺς δὲ τοῖς τῆς ἰδίας ψυχῆς κινήμασι μὴ παρακολουθοῦντας ἀνάγκη κακοδαιμονεῖν.

θ'. Τούτων ἀεὶ δεῖ μεμνῆσθαι, τίς ἡ τῶν ὅλων φύσις, καὶ τίς ἡ ἐμὴ, καὶ πῶς αὕτη πρὸς ἐκείνην ἔχουσα, καὶ ὁποῖόν τι μέρος ὁποίου τοῦ ὅλου οὖσα, καὶ ὅτι οὐδεὶς ὁ κωλύων τὰ ἀκόλουθα τῇ φύσει, ἧς μέρος εἶ, πράσσειν τε ἀεὶ καὶ λέγειν.

ι'. Φιλοσόφως ὁ Θεόφραστος, ἐν τῇ συγκρίσει τῶν ἁμαρτημάτων, ὡς ἄν τις κοινότερον τὰ τοιαῦτα συγκρίνειε, φησὶ, βαρύτερα εἶναι τὰ κατ' ἐπιθυμίαν πλημμελούμενα τῶν κατὰ θυμόν. Ὁ γὰρ θυμούμενος μετά τινος λύπης καὶ λεληθυίας συστολῆς φαίνεται τὸν λόγον ἀποστρεφόμενος· ὁ δὲ κατ' ἐπιθυμίαν ἁμαρτάνων, ὑφ' ἡδονῆς ἡττώμενος, ἀκολαστότερός πως φαίνεται καὶ θηλύτερος ἐν ταῖς ἁμαρτίαις. Ὀρθῶς οὖν καὶ φιλοσοφίας ἀξίως ἔφη, μείζονος ἐγκλήματος ἔχεσθαι τὸ μεθ' ἡδονῆς ἁμαρτανόμενον, ἤπερ τὸ μετὰ λύπης· ὅλως τε ὁ μὲν προηδικημένῳ μᾶλλον ἔοικε, καὶ διὰ λύπην ἠναγκασμένῳ θυμωθῆναι· ὁ δὲ αὐτόθεν πρὸς τὸ ἀδικεῖν ὥρμηται, φερόμενος ἐπὶ τὸ πρᾶξαί τινα κατ' ἐπιθυμίαν.

ια'. Ὡς ἤδη δυνατοῦ ὄντος ἐξιέναι τοῦ βίου, οὕτως ἕκαστα ποιεῖν καὶ διανοεῖσθαι. Τὸ δὲ ἐξ ἀνθρώπων ἀπελθεῖν, εἰ μὲν θεοὶ εἰσὶν, οὐδὲν δεινόν· κακῷ γάρ σε οὐκ ἂν περιβάλοιεν· εἰ δὲ ἤτοι οὐκ εἰσὶν, ἢ οὐ μέλει αὐτοῖς τῶν ἀνθρωπείων, τί μοι ζῆν ἐν κόσμῳ κενῷ θεῶν, ἢ προνοίας κενῷ; Ἀλλὰ καὶ εἰσὶ, καὶ μέλει αὐτοῖς τῶν ἀνθρωπείων· καὶ τοῖς μὲν κατ' ἀλήθειαν κακοῖς ἵνα μὴ περιπίπτῃ ὁ ἄνθρωπος, ἐπ' αὐτῷ τὸ πᾶν ἔθεντο· τῶν δὲ λοιπῶν εἴ τι κακὸν ἦν, καὶ τοῦτο ἂν προείδοντο, ἵνα ἐπῇ πάντη τὸ μὴ περιπίπτειν αὐτῷ. Ὃ δὲ χείρω μὴ ποιεῖ ἄνθρωπον, πῶς ἂν τοῦτο βίον ἀνθρώπου χείρω ποιήσειεν; Οὔτε δὲ κατ' ἄγνοιαν, οὔτε εἰδυῖα μὲν, μὴ δυναμένη δὲ προφυλάξασθαι ἢ διορθώσασθαι ταῦτα, ἡ τῶν ὅλων φύσις παρεῖδεν ἄν· οὔτε ἂν τηλικοῦτον ἥμαρτεν, ἤτοι παρ' ἀδυναμίαν, ἢ παρ' ἀτεχνίαν, ἵνα τὰ ἀγαθὰ καὶ τὰ κακὰ ἐπίσης τοῖς τε ἀγαθοῖς ἀνθρώποις καὶ τοῖς κακοῖς πεφυρμένως συμβαίνῃ. Θάνατος δέ γε καὶ ζωὴ, δόξα καὶ ἀδοξία, πόνος καὶ ἡδονὴ, πλοῦτος καὶ πενία, πάντα ταῦτα ἐπίσης συμβαίνει ἀνθρώπων τοῖς τε ἀγαθοῖς καὶ τοῖς κακοῖς, οὔτε καλὰ ὄντα, οὔτε αἰσχρά. Οὔτ' ἄρ' ἀγαθὰ, οὔτε κακά ἐστι.

ιβ'. Πῶς πάντα ταχέως ἐναφανίζεται, τῷ μὲν κόσμῳ αὐτὰ τὰ σώματα, τῷ δὲ αἰῶνι αἱ μνῆμαι αὐτῶν, οἷά ἐστι τὰ αἰσθητὰ πάντα, καὶ μάλιστα τὰ ἡδονῇ δελεάζοντα, ἢ τῷ πόνῳ φοβοῦντα, ἢ τῷ τύφῳ διαβεβοημένα· πῶς εὐτελῆ καὶ εὐκαταφρόνητα, καὶ ῥυπαρὰ,

7. Distrahunt te quæ extrinsecus incidunt. — Otium tibi concede ad discendum boni aliquid et desine in gyrum circumagi. Jam vero etiam alia circumcursatio cavenda; nam ii quoque nugantur, qui labore in vita defatigantur nec scopum habent, quo omnem impetum omninoque mentem dirigant.

8. Idcirco, quod non animadvertit ea, quæ in alius animo aguntur, non facile quisquam repertus est infelix; illos autem, qui sui animi motus non percipiunt, necesse est infelices esse.

9. Horum semper oportet memorem esse, quæ sit rerum universitatis natura, quæ mea, quo pacto se hæc ad illam habeat et qualis pars qualis universitatis sit, et neminem esse, qui te prohibeat, quominus ea, quæ naturæ, cujus pars es, consentanea sunt, et facias et loquaris.

10. Subtiliter Theophrastus in comparandis peccatis, prout quis populari quadam ratione hæc inter se contulerit, dicit, graviora esse, quæ ex cupiditate committantur, quam quæ ex ira. Iratum enim cum dolore quodam et occulta *animi* contractione rationem aversari, manifestum est; qui autem ex cupiditate peccat, a voluptate victus, intemperantior quodam modo et effeminatior apparet in peccatis. Recte igitur et philosophiæ convenienter dixit, majori crimini esse, quod cum voluptate peccetur, quam quod cum dolore; omninoque alter ei magis similis videtur, qui antea injuriam passus et dolore ad irascendum coactus est, alter sua sponte ad lædendum accedit, cupiditate ad aliquid faciendum ductus.

11. Quasi fieri possit, ut confestim e vita exeas, ita singula agere et dicere et cogitare *te oportet.* E vivis autem discedere, si quidem Dii sunt, non est quod quis timeat; nam in malum te non conjicient; sin vero aut non sunt aut non curant res humanas, quid mea refert vivere in mundo vacuo Diis aut providentia vacuo? Verum et sunt et curant res humanas, atque ne in ea, quæ vere mala sunt, incidat homo, prorsus in ipsius potestate collocarunt; reliquorum si quid esset malum, id quoque providissent, ut omnino penes ipsum esset, ne in id incideret. Quod autem hominem non deteriorem reddit, quomodo id vitam hominis pejorem redderet? Neque vero ex ignorantia, neque id intelligens, quoniam impotens erat ad hoc cavendum aut emendandum, universitatis natura id neglexisset; non tantum peccasset aut ex impotentia aut ex artis defectu, ut bona et mala pariter bonis hominibus atque malis sine discrimine evenirent. Jam vero mors et vita, honor et ignominia, dolor et voluptas, divitiæ et egestas, hæc omnia pariter bonis hominibus atque malis eveniunt, quippe quæ neque honesta nec turpia sint. Itaque nec bona nec mala sunt.

12. Quomodo omnia celeriter evanescant, in mundum ipsa corpora, in ævum memoriæ eorum, qualia sint omnia, quæ sub sensus cadunt, et potissimum quæ aut voluptate alliciunt aut dolore terrent aut fastu celebrata sunt, quam vilia et contemptu digna et emortua, rationalis facultatis est

καὶ εὔφθαρτα, καὶ νεκρὰ, νοερᾶς δυνάμεως ἐφιστάναι. Τί εἰσιν οὗτοι, ὧν αἱ ὑπολήψεις καὶ αἱ φωναὶ τὴν εὐδοξίαν..... Τί ἐστι τὸ ἀποθανεῖν, καὶ ὅτι, ἐάν τις αὐτὸ μόνον ἴδῃ, καὶ τῷ μερισμῷ τῆς ἐννοίας διαλύσῃ τὰ ἐμφανταζόμενα αὐτῷ, οὐκέτι ἄλλο τι ὑπολήψεται αὐτὸ εἶναι, ἢ φύσεως ἔργον· φύσεως δὲ ἔργον εἴ τις φοβεῖται, παιδίον ἐστί. Τοῦτο μέντοι οὐ μόνον φύσεως ἔργον ἐστὶν, ἀλλὰ καὶ συμφέρον αὐτῇ. Πῶς ἅπτεται θεοῦ ἄνθρωπος, καὶ κατὰ τί αὐτοῦ μέρος, καὶ ὅταν πῶς ἔχῃ, διακέηται τὸ τοῦ ἀνθρώπου τοῦτο μόριον.

ιγ'. Οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου, καὶ τὰ «νέρθεν γᾶς» (φησὶν) ἐρευνῶντος, καὶ τὰ ἐν ταῖς ψυχαῖς τῶν πλησίον διὰ τεκμάρσεως ζητοῦντος, μὴ αἰσθομένου δὲ, ὅτι ἀρκεῖ πρὸς μόνῳ ἔνδον ἑαυτοῦ δαίμονι εἶναι, καὶ τοῦτον γνησίως θεραπεύειν. Θεραπεία δὲ αὐτοῦ, καθαρὸν πάθους διατηρεῖν, καὶ εἰκαιότητος, καὶ δυσαρεστήσεως τῆς πρὸς τὰ ἐκ θεῶν καὶ ἀνθρώπων γινόμενα. Τὰ μὲν γὰρ ἐκ θεῶν αἰδέσιμα δι' ἀρετήν· τὰ δὲ ἐξ ἀνθρώπων φίλα διὰ συγγένειαν· ἔστι δὲ ὅτε καὶ τρόπον τινὰ ἐλεεινὰ, δι'ἄγνοιαν ἀγαθῶν καὶ κακῶν· οὐκ ἐλάττων ἡ πήρωσις αὕτη τῆς στερισκούσης τοῦ διακρίνειν τὰ λευκὰ καὶ μέλανα.

ιδ'. Κἂν τρισχίλια ἔτη βιώσεσθαι μέλλῃς, καὶ τοσαυτάκις μύρια, ὅμως μέμνησο, ὅτι οὐδεὶς ἄλλον ἀποβάλλει βίον, ἢ τοῦτον, ὃν ζῇ· οὐδὲ ἄλλον ζῇ, ἢ ὃν ἀποβάλλει. Εἰς ταὐτὸ οὖν καθίσταται τὸ μήκιστον τῷ βραχυτάτῳ. Τὸ γὰρ παρὸν πᾶσιν ἴσον, εἰ καὶ τὸ ἀπολλύμενον οὐκ ἴσον· καὶ τὸ ἀποβαλλόμενον οὕτως ἀκαριαῖον ἀναφαίνεται. Οὔτε γὰρ τὸ παρῳχηκὸς, οὔτε τὸ μέλλον ἀποβάλλοι ἄν τις. Ὃ γὰρ οὐκ ἔχει, πῶς ἂν τοῦτό τις αὐτοῦ ἀφέλοιτο; Τούτων οὖν τῶν δύο δεῖ μεμνῆσθαι· ἑνὸς μὲν, ὅτι πάντα ἐξ ἀϊδίου ὁμοειδῆ καὶ ἀνακυκλούμενα, καὶ οὐδὲν διαφέρει, πότερον ἐν ἑκατὸν ἔτεσιν, ἢ ἐν διακοσίοις, ἢ ἐν τῷ ἀπείρῳ χρόνῳ τὰ αὐτά τις ὄψεται· ἑτέρου δὲ, ὅτι καὶ ὁ πολυχρονιώτατος, καὶ ὁ τάχιστα τεθνηξόμενος, τὸ ἴσον ἀποβάλλει. Τὸ γὰρ παρὸν ἐστὶ μόνον, οὗ στερίσκεσθαι μέλλει, εἴπερ γε ἔχει καὶ τοῦτο μόνον, καὶ, ὃ μὴ ἔχει τις, οὐκ ἀποβάλλει.

ιε'. Ὅτι πᾶν ὑπόληψις. Δῆλα μὲν γὰρ τὰ πρὸς τοῦ Κυνικοῦ Μονίμου λεγόμενα· δῆλον δὲ καὶ τὸ χρήσιμον τοῦ λεγομένου, ἐάν τις αὐτοῦ τὸ νόστιμον μέχρι τοῦ ἀληθοῦς δέχηται.

ις'. Ὑβρίζει ἑαυτὴν ἡ τοῦ ἀνθρώπου ψυχὴ, μάλιστα μὲν, ὅταν ἀπόστημα καὶ οἷον φῦμα τοῦ κόσμου, ὅσον ἐφ' ἑαυτῷ, γένηται. Τὸ γὰρ δυσχεραίνειν τινὶ τῶν γινομένων, ἀπόστασίς ἐστι τῆς φύσεως, ἧς ἐν μέρει αἱ ἑκάστου τῶν λοιπῶν φύσεις περιέχονται. Ἔπειτα δὲ, ὅταν ἄνθρωπόν τινα ἀποστραφῇ, ἢ καὶ ἐναντία φέρηται, ὡς βλάψουσα, οἷαί εἰσιν αἱ τῶν ὀργιζομένων. Τρίτον ὑβρίζει ἑαυτὴν, ὅταν ἡσσᾶται ἡδονῆς ἢ πόνου. Τέταρτον, ὅταν ὑποκρίνηται, καὶ ἐπιπλάστως καὶ ἀναλήθως τι ποιῇ ἢ λέγῃ. Πέμπτον, ὅταν πρᾶξίν τινα ἑαυτῆς καὶ ὁρμὴν ἐπ' οὐδένα σκοπὸν ἀφίῃ, ἀλλὰ εἰκῇ καὶ

intelligere: quinam sint ii, quorum opiniones et voces nominis claritatem *largiuntur*; quid sit mori, et, quando quis id per se solum spectet et cogitatione ab eo separaverit, quæ simul cum eo concipiuntur animo, eum nihil aliud id esse habiturum, nisi opus naturæ; naturæ autem opus si quis timeat, eum esse puerulum; hoc tamen non solum naturæ opus esse, verum etiam naturæ prodesse; quo pacto homo Deum contingat, et qua sui parte, et quando certo quodam modo ita se habeat illa hominis pars.

13. Nihil miserius est eo, qui omnia undique circumit et quæ subter terram sunt, *ait ille*, rimatur, eaque, quæ in aliorum animis sunt, per conjecturas indagat, non autem sentit sufficere, si quis cum eo, quem intra se gerit, genio versetur et hunc sincere colat: hujus autem cultus in eo cernitur, ut purus servetur a perturbatione animi, et temeritate et ægritudine propter ea, quæ a Diis et hominibus fiunt: nam quæ a Diis proficiscuntur, venerabilia sunt virtutis nomine, quæ ab hominibus, cara cognationis ratione, interdum etiam miseratione digna propter ignorantiam bonorum et malorum: hæc cœcitas haud minor est illa, quæ nos privat facultate alba et nigra discernendi.

14. Etiam si ter mille annos victurus esses, et insuper tricies mille, memento tamen, neminem aliam amittere vitam, quam ipsam eam, quam vivat, neque aliam vivere, quam eam, quam amittat; eodem igitur redit longissimum *vitæ tempus* cum brevissimo: nam præsens par, etiam si id quod perit non par sit, et id, quod amittitur, ita instar puncti videtur: neque enim quod præteriit aut quod futurum est ut quis amittat, fieri potest: quomodo enim eo, quo caret, quis eum privabit? horum igitur duorum meminisse oportet: alterius, omnia ex æterno ejusdem speciei esse et in orbem relabi, nec differre, utrum centum annis an ducentis aut infinito tempore eadem aliquis sit visurus; alterius, et eum, qui diutissime vixerit, et eum, qui celerrime obierit, par amittere; nam præsens solum est, quo privari poterit, si quidem id tantum habet et, quod quis non habet, id non amittit.

15. Omnia in opinione sita: manifesta enim sunt, quæ a Monimo Cynico dicuntur; manifesta quoque utilitas dicti, si quis vim ejus salutarem nec tamen ultra veritatem admittit.

16. Contumelia se afficit animus hominis potissimum tum, quum, quantum per ipsum stat, abscessus et quasi tuber mundi sit: nam ægre ferre aliquid eorum, quæ fiunt, est desistere a natura, cujus in parte uniuscujusque aliarum rerum natura continetur; tum vero, quando hominem aliquem aversatur aut adeo ei nocendi consilio adversatur, quales sunt irascentium *animi;* porro se ipse contumelia afficit, quando voluptati aut dolori succumbit; item, quando simulat ac ficte et fallaciter aliquid vel facit vel loquitur; denique, quando actionem aliquam suam aut conatum ad nullum scopum dirigit, sed temere et inconsulte

ἀπαρακολουθήτως ὁτιοῦν ἐνεργῇ, δέον καὶ τὰ μικρότατα κατὰ τὴν ἐπὶ τὸ τέλος ἀναφορὰν γίνεσθαι· τέλος δὲ λογικῶν ζώων, τὸ ἕπεσθαι τῷ τῆς πόλεως καὶ πολιτείας τῆς πρεσβυτάτης λόγῳ καὶ θεσμῷ.

ιζ'. Τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος, στιγμή· ἡ δὲ οὐσία, ῥέουσα· ἡ δὲ αἴσθησις, ἀμυδρά· ἡ δὲ ὅλου τοῦ σώματος σύγκρισις, εὔσηπτος· ἡ δὲ ψυχή, ῥόμβος· ἡ δὲ τύχη, δυστέκμαρτον, ἡ δὲ φήμη, ἄκριτον· συνελόντι δὲ εἰπεῖν, πάντα, τὰ μὲν τοῦ σώματος, ποταμός, τὰ δὲ τῆς ψυχῆς, ὄνειρος καὶ τῦφος· ὁ δὲ βίος, πόλεμος καὶ ξένου ἐπιδημία· ἡ ὑστεροφημία δέ, λήθη. Τί οὖν τὸ παραπέμψαι δυνάμενον; ἓν καὶ μόνον, φιλοσοφία. Τοῦτο δὲ ἐν τῷ τηρεῖν τὸν ἔνδον δαίμονα ἀνύβριστον, καὶ ἀσινῆ, ἡδονῶν καὶ πόνων κρείσσονα, μηδὲν εἰκῇ ποιοῦντα, μηδὲ διεψευσμένως καὶ μεθ' ὑποκρίσεως, ἀνενδεῆ τοῦ ἄλλον ποιῆσαί τι, ἢ μὴ ποιῆσαι· ἔτι δὲ τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα δεχόμενον, ὡς ἐκεῖθέν ποθεν ἐρχόμενα, ὅθεν αὐτὸς ἦλθεν· ἐπὶ πᾶσι δὲ τὸν θάνατον ἵλεῳ τῇ γνώμῃ περιμένοντα, ὡς οὐδὲν ἄλλο, ἢ λύσιν τῶν στοιχείων, ἐξ ὧν ἕκαστον ζῷον συγκρίνεται. Εἰ δὲ αὐτοῖς τοῖς στοιχείοις μηδὲν δεινὸν ἐν τῷ ἕκαστον διηνεκῶς εἰς ἕτερον μεταβάλλειν, διὰ τί ὑπίδηταί τις τὴν πάντων μεταβολὴν καὶ διάλυσιν; κατὰ φύσιν γάρ· οὐδὲν δὲ κακὸν κατὰ φύσιν.

Τὰ ἐν Καρνούντῳ.

ΒΙΒΛΙΟΝ Γ.

Οὐχὶ τοῦτο μόνον δεῖ λογίζεσθαι, ὅτι καθ' ἑκάστην ἡμέραν ἀπαναλίσκεται ὁ βίος, καὶ μέρος ἔλαττον αὐτοῦ καταλείπεται· ἀλλὰ κἀκεῖνο λογιστέον, ὅτι, εἰ ἐπὶ πλέον βιῴη τις, ἐκεῖνό γε ἄδηλον, εἰ ἐξαρκέσει ὅμοια αὖθις ἡ διάνοια πρὸς τὴν σύνεσιν τῶν πραγμάτων, καὶ τῆς θεωρίας τῆς συντεινούσης εἰς τὴν ἐμπειρίαν τῶν τε θείων καὶ τῶν ἀνθρωπείων. Ἐὰν γὰρ παραληρεῖν ἄρξηται, τὸ μὲν διαπνεῖσθαι, καὶ τρέφεσθαι, καὶ φαντάζεσθαι, καὶ ὁρμᾷν, καὶ ὅσα ἄλλα τοιαῦτα, οὐκ ἐνδεήσει· τὸ δὲ ἑαυτῷ χρῆσθαι, καὶ τοὺς τοῦ καθήκοντος ἀριθμοὺς ἀκριβοῦν, καὶ τὰ προφαινόμενα διαρθροῦν, καὶ περὶ αὐτοῦ τοῦ, εἰ ἤδη ἐξακτέον αὐτόν, ἐφιστάνειν, καὶ ὅσα τοιαῦτα λογισμοῦ συγγεγυμνασμένου πάνυ χρῄζει', προαποσβέννυται. Χρὴ οὖν ἐπείγεσθαι, οὐ μόνον τῷ ἐγγυτέρω τοῦ θανάτου ἑκάστοτε γίνεσθαι, ἀλλὰ καὶ διὰ τὸ τὴν ἐννόησιν τῶν πραγμάτων καὶ τὴν παρακολούθησιν προαπολήγειν.

β'. Χρὴ καὶ τὰ τοιαῦτα παραφυλάσσειν, ὅτι καὶ τὰ ἐπιγινόμενα τοῖς φύσει γινομένοις ἔχει τι εὔχαρι καὶ ἐπαγωγόν. Οἷον, ἄρτου ὀπτωμένου παραῤῥήγνυταί τινα μέρη· καὶ ταῦτα οὖν τὰ διέχοντα οὕτως, καὶ τρόπον τινὰ παρὰ τὸ ἐπάγγελμα τῆς ἀρτοποιΐας ἔχοντα, ἐπιπρέπει πως, καὶ προθυμίαν πρὸς τὴν τροφὴν ἰδίως ἀνακινεῖ. Πάλιν τε τὰ σῦκα, ὁπότε ὡραιότατά ἐστι, κέχηνε. Καὶ ἐν ταῖς δρυπέπεσιν ἐλαίαις, αὐτὸ τὸ ἐγγὺς τῇ σήψει, ἴδιόν τι κάλλος τῷ καρπῷ προστίθησιν. Οἱ

quantillum id est exsequitur, quum etiam minima quæque ita agi oporteat, ut ad finem referantur; finis autem animalium ratione præditorum est, urbis et civitatis antiquissimæ rationi et legi obsequi.

17. Vitæ humanæ tempus, punctum; materia fluens; sensus obscurus; totius corporis compages ad putredinem vergens; animus, turbo; fortuna, res perplexa; fama, judicii expers: ut paucis dicam, omnia corporis, fluvius; omnia animi, somnium et fumus; vita, bellum et peregrini commoratio; fama posthuma, oblivio. Quid igitur est, quod deducere potest? unicum et solum, philosophia. Hæc autem in eo cernitur, ut eum, qui intus est, genium a contumelia et læsione immunem serves, voluptatibus et doloribus superiorem, nihil temere facientem nec ficte simulateve, non indigentem, ut alius quid faciat aut non faciat, porro ea, quæ obveniunt et attribuuntur, accipientem ut quæ inde veniunt, unde ipse venit, post omnia autem mortem placido animo opperientem, quippe nihil aliud, nisi solutionem elementorum, e quibus singula animalia sunt composita. Quod si ipsis elementis nihil timendum est ex eo, quod unumquodque eorum perpetuo in aliud mutatur; quam ob causam quis suspectam habeat omnium rerum mutationem et in partes dissolutionem? nam naturæ conveniens est; nihil autem malum, quod naturæ convenit.

Hæc Carnunti.

LIBER III.

1. Non hoc solum reputari oportet, vitam in dies absumi minoremque ejus partem relinqui, verum etiam illud reputandum est, etiamsi quis diutius victurus sit, tamen obscurum esse, an mens ipsius pariter posthac idoneam habitura sit vim ad intelligentiam rerum ac doctrinæ ejus, quæ ad scientiam rerum divinarum humanarumque spectat. Nam si delirare cœperit, perspirari quidem et nutriri et visis impelli et impetum capere et quæ id genus alia sunt non deficient; sed se ipso uti et officii numeros diligenter ediscere, et quæ apparent articulatim explicare et de eo, num sese jam hinc educat, deliberare et quæ, hujusmodi sunt, quæ judicandi facultatem bene subactam requirunt, ea vero ante exstinguuntur. Festinandum igitur est, non solum idcirco, quod mors in dies propior imminet, verum etiam idcirco, quod intelligentia et perceptio rerum ante desinit.

2. Oportet etiam talia observari, ea quoque, quæ per consequentiam iis, quæ natura fiunt, adnascuntur, suavitatis aliquid et illecebrarum habere: ut, panis quum coquitur, diffinduntur quædam ejus partes; hæc igitur sic hiantia et quodammodo contra professionem artis pistoriæ comparata decoris quid nescio quo modo habent et singulari quadam ratione cupiditatem edendi movent: porro etiam ficus, quum maturuerunt, dehiscunt, et in maturissimis olivis id ipsum, quod prope ad putredinem accedit, propriam

στάχυες δὲ κάτω νεύοντες, καὶ τὸ τοῦ λέοντος ἐπισκύνιον, καὶ ὁ τῶν συῶν ἐκ τοῦ στόματος ῥέων ἀφρὸς, καὶ πολλὰ ἕτερα, κατ' ἰδίαν εἴ τις σκοποίη, πόῤῥω ὄντα τοῦ εὐειδοῦς, ὅμως, διὰ τὸ τοῖς φύσει γινομένοις ἐπακολουθεῖν, συνεπικοσμεῖ καὶ ψυχαγωγεῖ, ὥστε, εἴ τις ἔχοι πάθος καὶ ἔννοιαν βαθυτέραν πρὸς τὰ ἐν τῷ ὅλῳ γινόμενα, σχεδὸν οὐδὲν οὐχὶ δόξει αὐτῷ καὶ τῶν κατ' ἐπακολούθησιν συμβαινόντων ἡδέως πως διασυνίστασθαι· Οὗτος δὲ καὶ θηρίων ἀληθῆ χάσματα οὐχ ἧσσον ἡδέως ὄψεται, ἢ ὅσα γραφεῖς καὶ πλάσται μιμούμενοι δεικνύουσιν· καὶ γραὸς καὶ γέροντος ἀκμήν τινα καὶ ὥραν, καὶ τὸ ἐν παισὶν ἐπαφρόδιτον, τοῖς ἑαυτοῦ σώφροσιν ὀφθαλμοῖς ὁρᾷν δυνήσεται· καὶ πολλὰ τοιαῦτα οὐ παντὶ πιθανὰ, μόνῳ δὲ τῷ πρὸς τὴν φύσιν, καὶ τὰ ταύτης ἔργα γνησίως ᾠκειωμένῳ προσπεσεῖται.

γ'. Ἱπποκράτης πολλὰς νόσους ἰασάμενος, αὐτὸς νοσήσας ἀπέθανεν. Οἱ Χαλδαῖοι πολλῶν θανάτους προηγόρευσαν, εἶτα καὶ αὐτοὺς τὸ πεπρωμένον κατέλαβεν. Ἀλέξανδρος, καὶ Πομπήϊος, καὶ Γάϊος Καῖσαρ, ὅλας πόλεις ἄρδην τοσαυτάκις ἀνελόντες, καὶ ἐν παρατάξει πολλὰς μυριάδας ἱππέων καὶ πεζῶν κατακόψαντες, καὶ αὐτοί ποτε ἐξῆλθον τοῦ βίου. Ἡράκλειτος, περὶ τῆς τοῦ κόσμου ἐκπυρώσεως τοσαῦτα φυσιολογήσας, ὕδατος τὰ ἐντὸς πληρωθεὶς, βολβίτῳ καταχεχρισμένος, ἀπέθανε. Δημόκριτον δὲ οἱ φθεῖρες· Σωκράτην δὲ ἄλλοι φθεῖρες ἀπέκτειναν. Τί ταῦτα; ἐνέβης, ἔπλευσας, κατήχθης· ἔκβηθι. Εἰ μὲν ἐφ' ἕτερον βίον, οὐδὲν θεῶν κενὸν, οὐδὲ ἐκεῖ. Εἰ δὲ ἐν ἀναισθησίᾳ, παύσῃ πόνων καὶ ἡδονῶν ἀνεχόμενος, καὶ λατρεύων τοσούτῳ χείρονι τῷ ἀγγείῳ, ἢ περίεστι τὸ ὑπηρετοῦν· τὸ μὲν γὰρ νοῦς καὶ δαίμων, τὸ δὲ γῆ καὶ λύθρος.

δ'. Μὴ κατατρίψῃς τὸ ὑπολειπόμενον τοῦ βίου μέρος ἐν ταῖς περὶ ἑτέρων φαντασίαις, ὁπόταν μὴ τὴν ἀναφορὰν ἐπί τι κοινωφελὲς ποιῇ. (Ἤτοι γὰρ ἄλλου ἔργου στέρῃ) τουτέστι φανταζόμενος, τί ὁ δεῖνα πράσσει, καὶ τίνος ἕνεκεν, καὶ τί λέγει, καὶ τί ἐνθυμεῖται, καὶ τί τεχνάζεται, καὶ ὅσα τοιαῦτα ποιεῖ ἀποῤῥέμβεσθαι τῆς τοῦ ἰδίου ἡγεμονικοῦ παρατηρήσεως. Χρὴ μὲν οὖν καὶ τὸ εἰκῆ καὶ μάτην ἐν τῷ εἱρμῷ τῶν φαντασιῶν περιίστασθαι, πολὺ δὲ μάλιστα τὸ περίεργον, καὶ κακόηθες· καὶ ἐθιστέον ἑαυτὸν, μόνα φαντάζεσθαι, περὶ ὧν εἴ τις ἄφνω ἐπανέροιτο, « Τί νῦν διανοῇ; » μετὰ παῤῥησίας παραχρῆμα ἂν ἀποκρίναιο, ὅτι τὸ καὶ τό· ὡς ἐξ αὐτῶν εὐθὺς δῆλα εἶναι, ὅτι πάντα ἁπλᾶ καὶ εὐμενῆ, καὶ ζώου κοινωνικοῦ, καὶ ἀμελοῦντος ἡδονικῶν, ἢ καθάπαξ ἀπολαυστικῶν φαντασμάτων, ἢ φιλονεικίας τινὸς, ἢ βασκανίας καὶ ὑποψίας, ἢ ἄλλου τινὸς, ἐφ' ᾧ ἂν ἐρυθριάσειας ἐξηγούμενος, ὅτι ἐν νῷ αὐτὸ εἶχες. Ὁ γάρ τοι ἀνὴρ ὁ τοιοῦτος, οὐκ ἔτι ὑπερτιθέμενος τὸ ὡς ἐν ἀρίστοις ἤδη εἶναι, ἱερεύς τίς ἐστι καὶ ὑπουργὸς θεῶν, χρώμενος καὶ τῷ ἔνδον ἱδρυμένῳ αὐτοῦ, ὃ παρέχεται τὸν ἄνθρωπον ἄχραντον πασῶν ἡδονῶν, ἄτρωτον ὑπὸ παντὸς πόνου, πάσης ὕβρεως ἀνέπαφον, πάσης ἀναίσθητον πονηρίας, ἀθλητὴν ἄθλου τοῦ μεγίστου, τοῦ ὑπὸ μηδενὸς πάθους

quandam amœnitatem baccæ conciliat; spicæ autem deorsum nutantes, et leonis supercilium et aprorum ex ore profluens spuma et multa alia, quæ, si quis separatim spectat, a pulcritudine longe absunt, tamen, quoniam ea, quæ natura fiunt, sequuntur, ad ornatum et delectationem pro sua quæque parte conferunt; ita ut si quis interiorem sensum habeat et profundiorem intelligentiam eorum, quæ in universo fiunt, ei propemodum nihil non etiam eorum, quæ per consequentiam accidunt, grata quadam ratione cum aliis concinnatum videri debeat. Hic etiam veros belluarum rictus non minore cum voluptate spectabit, quam quos pictores et fictores imitando exhibent; atque et vetulæ anus et senis florem quendam ac decus et puerorum venustatem modestis suis oculis intueri poterit. Atque ejus generis multa non cuivis probabilia occurrent, sed ei tantum, qui cum natura ejusque operibus intimam quandam familiaritatem contraxerit.

3. Hippocrates postquam multos morbos sustulit, ipse morbo correptus obiit; Chaldæi multorum mortes prædixere, postea etiam ipsos fatum intercepit; Alexander et Pompeius et Caius Cæsar quum totas urbes toties funditus evertissent et in acie multa millia equitum peditumque interfecissent, et ipsi vita excesserunt; Heraclitus quum rerum naturam scrutatus tam multa de conflagratione mundi disseruisset, aqua intercute distentus et stercore bubulco oblitus interiit; Democritum pediculi, Socratem alii pediculi sustulerunt. Quorsum hæc? Conscendisti, navigasti, ex alto in portum devectus es. Exscende! si in aliam vitam, nihil diis vacuum, ne ibi quidem, sin vero in conditionem sensu privatam, desines labores et voluptates tolerare et inservire vasi tanto deteriori, quanto præstantius est, id quod servit: hoc enim mens et genius, illud terra et sanies.

4. Id quod relinquitur vitæ noli conterere in cogitationibus de aliis, nisi si ad communem utilitatem spectas. *Nam profecto alio negotio privaris,* hoc est, cogitans, quid ille agat et quam ob rem, quid dicat, quid cogitet, quid moliatur et quæ alia sunt hujusmodi, quæ faciunt, ut ab animi principatu diligenter observando divageris. Oportet igitur vanitatem quoque et temeritatem in serie cogitationum declinare, omnium autem maxime curiositatem et malitiam, teque adsuefacere, ut ea tantum cogites, de quibus interrogatus, quid nunc mediteris, libere statim respondeas « hoc vel illud, » ita ut ex iis confestim appareat, omnia *in te* esse simplicia et benevola et animalis communi utilitati prospicientis, despicientis cogitationes, quæ voluptatem omninove oblectationem spectant, itemque æmulationem quandam aut invidentiam aut suspicionem aut aliud quidlibet, quod si animo te agitasse fatearis, pudore te suffundi oporteat. Nam profecto vir talis, non amplius differens, quin in optimorum numero sit, sacerdos quasi quidam est et minister Deorum, numine quoque, quod in pectore gerit, familiariter utens, quod hominem præstat incontaminatum omnibus voluptatibus, omni dolore illæsum, nulli contumeliæ obnoxium, omnisque malitiæ sensu carentem, certaminis maximi, ne ab ulla animi perturbatione prosternatur, lu-

καταδληθῆναι, δικαιοσύνῃ βεβαμμένον εἰς βάθος, ἀσπαζόμενον μὲν ἐξ ὅλης τῆς ψυχῆς τὰ συμβαίνοντα καὶ ἀπονεμόμενα πάντα· μὴ πολλάκις δὲ, μηδὲ χωρὶς μεγάλης καὶ κοινωφελοῦς ἀνάγκης φανταζόμενον, τί ποτε ἄλλος λέγει, ἢ πράσσει, ἢ διανοεῖται. Μόνα γὰρ τὰ ἑαυτοῦ πρὸς ἐνέργειαν ἔχει, καὶ τὰ ἑαυτῷ ἐκ τῶν ὅλων συγκλωθόμενα διηνεκῶς ἐννοεῖ· κἀκεῖνα μὲν καλὰ παρέχεται, ταῦτα δὲ ἀγαθὰ εἶναι πέπεισται. Ἡ γὰρ ἑκάστῳ νεμομένη μοῖρα συνεμφέρεταί τε καὶ συνεμφέρει. Μέμνηται δὲ, καὶ ὅτι συγγενὲς πᾶν τὸ λογικόν· καὶ ὅτι κήδεσθαι μὲν πάντων ἀνθρώπων κατὰ τὴν τοῦ ἀνθρώπου φύσιν ἐστί· δόξης δὲ οὐχὶ τῆς παρὰ πάντων ἀνθεκτέον, ἀλλὰ τῶν ὁμολογουμένως τῇ φύσει βιούντων μόνον. Οἱ δὲ μὴ οὕτως βιοῦντες, ὁποῖοί τινες οἴκοι τε καὶ ἔξω τῆς οἰκίας, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, οἷοι μεθ' οἵων φύρονται, μεμνημένος διατελεῖ. Οὐ τοίνυν οὐδὲ τὸν παρὰ τῶν τοιούτων ἔπαινον ἐν λόγῳ τίθεται, οἵγε οὐδὲ αὐτοὶ ἑαυτοῖς ἀρέσκονται.

ε'. Μήτε ἀκούσιος ἐνέργει, μήτε ἀκοινώνητος, μήτε ἀνεξέταστος, μήτε ἀνθελκόμενος· μήτε κομψεία τὴν διάνοιάν σου καλλωπιζέτω· μήτε πολυῤῥήμων, μήτε πολυπράγμων ἔσο. Ἔτι δὲ ὁ ἐν σοὶ θεὸς ἔστω προστάτης ζώου ἄῤῥενος, καὶ πρεσβύτου, καὶ πολιτικοῦ, καὶ Ῥωμαίου, καὶ ἄρχοντος, ἀνατεταχότος ἑαυτὸν, οἷος ἂν εἴη τις περιμένων τὸ ἀνακλητικὸν, ἐκ τοῦ βίου εὔλυτος, μήτε ὅρκου δεόμενος, μήτε ἀνθρώπου τινὸς μάρτυρος. Ἐν δὲ τὸ φαιδρὸν καὶ τὸ ἀπροσδεὲς τῆς ἔξωθεν ὑπηρεσίας, καὶ τὸ ἀπροσδεὲς ἡσυχίας, ἣν ἄλλοι παρέχουσιν. Ὀρθὸν οὖν εἶναι χρὴ, οὐχὶ ὀρθούμενον.

ϛ'. Εἰ μέν τι κρεῖττον εὑρίσκεις ἐν τῷ ἀνθρωπίνῳ βίῳ δικαιοσύνης, ἀληθείας, σωφροσύνης, ἀνδρίας, καὶ καθάπαξ τοῦ ἀρκεῖσθαι ἑαυτῇ τὴν διάνοιάν σου, ἐν οἷς κατὰ τὸν λόγον τὸν ὀρθὸν πράσσοντά σε παρέχεται, καὶ τῇ εἱμαρμένῃ, ἐν τοῖς ἀπροαιρέτως ἀπονεμομένοις· εἰ τούτου, φημὶ, κρεῖσσόν τι ὁρᾷς, ἐπ' ἐκεῖνο ἐξ ὅλης τῆς ψυχῆς τραπόμενος, τοῦ ἀρίστου εὑρισκομένου ἀπόλαυε. Εἰ δὲ μηδὲν κρεῖττον φαίνεται αὐτοῦ τοῦ ἐνιδρυμένου ἐν σοὶ δαίμονος, τάς τε ἰδίας ὁρμὰς ὑποτεταχότος ἑαυτῷ, καὶ τὰς φαντασίας ἐξετάζοντος, καὶ τῶν αἰσθητικῶν πείσεων, ὡς ὁ Σωκράτης ἔλεγεν, ἑαυτὸν ἀφειλκυκότος, καὶ τοῖς θεοῖς ὑποτεταχότος ἑαυτὸν, καὶ τῶν ἀνθρώπων προκηδομένου· εἰ τούτου πάντα τὰ ἄλλα μικρότερα καὶ εὐτελέστερα εὑρίσκεις, μηδενὶ χώραν δίδου ἑτέρῳ, πρὸς ὃ ῥέψας ἅπαξ καὶ ἀποκλίνας, οὐκ ἔτι ἀπερισπάστως τὸ ἀγαθὸν ἐκεῖνο τὸ ἴδιον καὶ τὸ σὸν προτιμᾷν δυνήσῃ· ἀντικαθῆσθαι γὰρ τῷ λογικῷ καὶ ποιητικῷ ἀγαθῷ οὐ θέμις, οὐδ' ὁτιοῦν ἑτερογενὲς, οἷον τὸν παρὰ τῶν πολλῶν ἔπαινον, ἢ ἀρχὰς, ἢ ἀπολαύσεις ἡδονῶν. Πάντα ταῦτα, κἂν πρὸς ὀλίγον ἐναρμόζειν δόξῃ, κατεκράτησεν ἄφνω, καὶ παρήνεγκεν. Σὺ δὲ, φημὶ, ἁπλῶς καὶ ἐλευθερίως ἑλοῦ τὸ κρεῖττον, καὶ τούτου ἀντέχου. — Κρεῖττον δὲ τὸ συμφέρον. — Εἰ μὲν τὸ ὡς λογικῷ, τοῦτο τήρει· εἰ δὲ τὸ ὡς ζώῳ, ἀπόφηναι, καὶ ἀτύφως

ctatorem, justitiæ colore bene tinctum, ex toto animo quæ eveniunt sibique tribuuntur amplectentem, non sæpe neque sine magna et ad publicam utilitatem spectante necessitate cogitantem, quid tandem alius loquatur aut agat aut meditetur; sola enim sua sunt, in quibus operam collocat atque ea, quæ sibi ex universi natura destinantur, assidue contemplatur, atque illa quidem honesta præstat, hæc autem bona esse habet persuasum : quæ enim cuique adsignata est sors, convenienter infertur et infert. Meminit autem, cognatione contineri quidquid rationis sit particeps, et omnibus hominibus prospicere naturæ hominis esse consentaneum; gloriæ autem non ei, quæ ab omnibus proficiscatur, esse studendum, sed ei tantum, quæ ab iis, qui naturæ convenienter degant. Qui non ita vivunt quales sint domi et foris, noctu et interdiu, quales cum qualibus volutentur, semper memor est; proinde nihili pendit laudem ab iis profectam, qui ne sibi quidem ipsi placent.

5. Noli invitus agere, neque a communione generis humani alienus, neque re non explorata, neque animo in diversa tracto : ne urbanitas animi tui sensum lenociniis exornet; ne sis multorum verborum, neque multorum negotiorum. Præterea Deus, qui in te residet, sit præses animalis masculi, ætate maturi, rei publicæ studiosi, Romani, principis, ita compositi, quasi qui exspectet classicum, facile e vita discessurus, qui neque jurejurando opus habeat neque hominis cujusquam testimonio. * Inest vero serenitas, et neque externo ministerio indigere, neque tranquillitate, quam alii præstant. Rectum igitur esse oportet, non erectum.

6. Si quid in vita humana deprehenderis præstantius justitia, veritate, temperantia, fortitudine, denique animo tuo sic affecto, ut in iis, quæ sanæ rationi convenienter agentem te præstat, se ipso, fato autem in iis contentus sit, quæ sine nostra optione attribuuntur; si quid, inquam, præstantius hoc deprehenderis, eo toto animo fac te vertas, eoque, ut bono præstantissimo, quod inveneris, fruaris. Sin nil præstabilius offenderis eo, qui in te collocatus est, genio, qui et omnes suos motus sibi subjecit et visa quæque diligenter explorat et a sensuum affectionibus, ut dicebat Socrates, se abduxit, et Diis se submisit et hominum curam gerit; si animo sic affecto inferiora vilioraque cetera omnia deprehenderis, nulli alii rei cuiquam locum concede, quo si semel inclinaveris animo devergente, non amplius bonum proprium ac tuum sine distractione omnium maxime colere poteris. Nefas enim est, ullam aliam rem quamcunque diversi generis bono illi rationali et efficienti ex adverso consistere, ut imperitæ multitudinis laudem, magistratus, divitias, voluptatum fructum : quæ omnia, si vel tantulum convenire visa fuerint, confestim prævalebunt et *te* abducent. Tu vero, inquam, quod præstantius est, id simpliciter et libere elegito, eique strenue adhærescito. — Præstat autem, quod prodest. — Si *conducere tibi* videtur, quatenus ratione præditus es, retine; si vero quatenus anima-

φύλασσε τὴν κρίσιν· μόνον ὅπως ἀσφαλῶς τὴν ἐξέτασιν ποιήσῃ.

ζ'. Μὴ τιμήσῃς ποτὲ ὡς συμφέρον σεαυτῷ, ὃ ἀναγκάσει σέ ποτε τὴν πίστιν παραβῆναι, τὴν αἰδῶ ἐγκαταλιπεῖν, μισῆσαί τινα, ὑποπτεῦσαι, καταράσασθαι, ὑποκρίνασθαι, ἐπιθυμῆσαί τινος τοίχων καὶ παραπετασμάτων δεομένου. Ὁ γὰρ τὸν ἑαυτοῦ νοῦν καὶ δαίμονα, καὶ τὰ ὄργια τῆς τούτου ἀρετῆς προελόμενος, τραγῳδίαν οὐ ποιεῖ, οὐ στενάζει, οὐχ ἐρημίας, οὐ πολυπληθείας δεήσεται· τὸ μέγιστον, ζήσει, μήτε διώκων, μήτε φεύγων· πότερον δὲ ἐπὶ πλέον διάστημα χρόνου τῷ σώματι περιεχομένῃ τῇ ψυχῇ, ἢ ἐπ' ἔλασσον χρήσεται οὐδ' ὁτιοῦν αὐτῷ μέλει· κἂν γὰρ ἤδη ἀπαλλάσσεσθαι δέῃ, οὕτως εὐλύτως ἄπεισιν, ὡς ἄλλο τι τῶν αἰδημόνως καὶ κοσμίως ἐνεργεῖσθαι δυναμένων ἐνεργήσων. Τοῦτο μόνον παρ' ὅλον τὸν βίον εὐλαβούμενος, τὸ τὴν διάνοιαν ἔν τινι ἀνοικείῳ νοεροῦ πολιτικοῦ ζώου τροπῇ γενέσθαι.

η'. Οὐδὲν ἂν ἐν τῇ διανοίᾳ τοῦ κεκολασμένου καὶ ἐκκεκαθαρμένου πυῶδες, οὐδὲ μὴν μεμολυσμένον, οὐδὲ ὕπουλον εὕροις. Οὐδὲ ἀσυντελῆ τὸν βίον αὐτοῦ ἡ πεπρωμένη καταλαμβάνει, ὡς ἄν τις εἴποι τὸν τραγῳδὸν, πρὸ τοῦ τελέσαι καὶ διαδραματίσαι, ἀπαλλάσσεσθαι. Ἔτι δὲ οὐδὲν δοῦλον, οὐδὲ κομψὸν, οὐδὲ προσδεδεμένον, οὐδὲ ἀπεσχισμένον, οὐδὲ ὑπεύθυνον, οὐδὲ ἐμφωλεῦον.

θ'. Τὴν ὑποληπτικὴν δύναμιν σέβου. Ἐν ταύτῃ τὸ πᾶν, ἵνα ὑπόληψις τῷ ἡγεμονικῷ σοῦ μηκέτι ἐγγένηται ἀνακόλουθος τῇ φύσει, καὶ τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ. Αὕτη δὲ ἐπαγγέλλεται ἀπροπτωσίαν, καὶ τὴν πρὸς ἀνθρώπους οἰκείωσιν, καὶ τὴν τοῖς θεοῖς ἀκολουθίαν.

ι'. Πάντα οὖν ῥίψας, ταῦτα μόνον τὰ ὀλίγα σύνεχε· καὶ ἔτι συμμνημόνευε, ὅτι μόνον ζῇ ἕκαστος τὸ παρὸν τοῦτο, τὸ ἀκαριαῖον· τὰ δὲ ἄλλα ἢ βεβίωται ἢ ἐν ἀδήλῳ. Μικρὸν μὲν οὖν ὃ ζῇ ἕκαστος, μικρὸν δὲ τὸ τῆς γῆς γωνίδιον, ὅπου ζῇ· μικρὸν δὲ καὶ ἡ μηκίστη ὑστεροφημία, καὶ αὐτὴ δὴ κατὰ διαδοχὴν ἀνθρωπαρίων τάχιστα τεθνηξομένων, καὶ οὐκ εἰδότων οὐδὲ ἑαυτοὺς, οὔτιγε τὸν πρόπαλαι τεθνηκότα.

ια'. Τοῖς δὲ εἰρημένοις παραστήμασιν ἓν ἔτι προσέστω, τὸ ὅρον ἢ ὑπογραφὴν ἀεὶ ποιεῖσθαι τοῦ ὑποπίπτοντος φανταστοῦ, ὥστε αὐτὸ ὁποῖόν ἐστι κατ' οὐσίαν γυμνὸν, ὅλον δι' ὅλων διῃρημένως βλέπειν, καὶ τὸ ἴδιον ὄνομα αὐτοῦ, καὶ τὰ ὀνόματα ἐκείνων, ἐξ ὧν συνεκρίθη, καὶ εἰς ἃ ἀναλυθήσεται, λέγειν παρ' ἑαυτῷ. Οὐδὲν γὰρ οὕτως μεγαλοφροσύνης ποιητικὸν, ὡς τὸ ἐλέγχειν ὁδῷ καὶ ἀληθείᾳ ἕκαστον τῶν τῷ βίῳ ὑποπιπτόντων δύνασθαι καὶ τὸ ἀεὶ οὕτως εἰς αὐτὰ ὁρᾶν, ὥστε συνεπιβάλλειν, ὁποίῳ τινὶ τῷ κόσμῳ ὁποίαν τινὰ τοῦτο χρείαν παρεχόμενον, τίνα μὲν ἔχει ἀξίαν ὡς πρὸς τὸ ὅλον, τίνα δὲ ὡς πρὸς τὸν ἄνθρωπον, πολίτην ὄντα πόλεως τῆς ἀνωτάτης, ἧς αἱ λοιπαὶ πόλεις ὥσπερ οἰκίαι εἰσίν· τί ἐστι, καὶ ἐκ τίνων συγκέκριται, καὶ πόσον

tus es, repudia; et a fastu ahenum serva judicium; modo ut tuto rerum examen instituas!

7. Cave, unquam quidquam tibi prodesse putes, quod te aliquando compellat, ut fidem fallas, verecundiam deseras, oderis aliquem, suspectum habeas, diras impreceris, appetas aliquid quod parietes et velamenta desideret. Qui enim suæ ipsius menti et genio et sacris virtutis ejus primas defert, tragœdias non excitat, gemitus non edit, non solitudine, non frequentia indiget; et, quod maximum est, vivit, neque appetens *vitæ*, nec fugiens; utrum autem longiore an breviore temporis spatio anima sua corpore circumdata utatur, ne tantillum quidem curæ habet: nam si statim demigrandum est, non minus promptus discedit, quam si ad aliam aliquam rem peragendam se conferat, quæ salva verecundia et decore peragi potest; hoc unum per totam vitam cavens, ne mens in ullo deprehendatur conatu, qui animal rationale et sociale dedeceat.

8. In mente hominis castigati et purificati nihil purulenti, nihil impuri, nihil subdoli offendes; neque vitam ejus fatum unquam abrumpit imperfectam, perinde ac si tragœdum dixerit aliquis ante fabulam finitam ac peractam scena cessisse; porro nec servile quidquam, neque affectatum, neque addictum, neque abscissum, nec pœnæ obnoxium, nec latebrosum.

9. Facultatem, e qua opiniones nascuntur, diligenter cole. In ea omnia insunt, ut menti tuæ nulla innascatur opinio, quæ vel naturæ sit contraria vel animalis ratione præditi constitutioni: cujus hæc est promissio, ut a temeritate in assentiendo alieni, et hominibus benevoli atque diis obsequentes reddamur.

10. Missis igitur omnibus, hæc pauca tantum retine: præterea memento, unumquemque præsens tantummodo temporis spatium, quod puncti instar obtinet, vivere: reliquum aut exactum aut in incerto. Exiguum igitur est quod unusquisque vivit; exiguus quoque terræ in quo vitam agit, angulus; exigua denique, quæ vel longissime propagatur, fama posthuma, eaque per successionem homunculorum tradita celerrime moriturorum, ac ne se ipsos quidem cognoscentium, nedum eum, qui jam pridem fato concessit.

11. His, quæ dixi, decretis unum adhuc addendum est, visi cujusvis, quod se offerat, definitionem vel descriptionem esse faciendam, ut quale sit ex natura sua et per omnes ac singulas ejus partes spectatum, clare intelligas, et quodnam sit proprium ejus nomen, quæ item nomina eorum, e quibus conflatum est et in quæ resolvetur, tecum possis disserere. Nihil enim tantam vim habet ad animi magnitudinem gignendam, quam posse singula, quæ in vita occurrunt, via ac ratione explorare eaque semper sic intueri, ut simul tecum reputes, quali mundo qualem usum hæc res præbeat, quam habeat existimationem et universitatis rerum et hominis respectu, utpote civis supremæ illius civitatis, cujus quasi domus sunt ceteræ civitates; quid sit, ex quibus compositum et quamdiu ut permaneat a natura

χρόνον πέφυκε παραμένειν τοῦτο, τὸ τὴν φαντασίαν μοι νῦν ποιοῦν· καὶ τίνος ἀρετῆς πρὸς αὐτὸ χρεία, οἷον ἡμερότητος, ἀνδρείας, ἀληθείας, πίστεως, ἀφελείας, αὐταρκείας, τῶν λοιπῶν. Διὸ δεῖ ἐφ' ἑκάστου λέγειν, τοῦτο μὲν παρὰ θεοῦ ἥκει· τοῦτο δὲ κατὰ τὴν σύλληξιν, καὶ τὴν συμμηρυομένην σύγκλωσιν, καὶ τὴν τοιαύτην σύντευξίν τε καὶ τύχην· τοῦτο δὲ παρὰ τοῦ συμφύλου καὶ συγγενοῦς καὶ κοινωνοῦ, ἀγνοοῦντος μέντοι, ὅ τι αὐτῷ κατὰ φύσιν ἐστίν. Ἀλλ' ἐγὼ οὐκ ἀγνοῶ· διὰ τοῦτο χρῶμαι αὐτῷ κατὰ τὸν τῆς κοινωνίας φυσικὸν νόμον εὔνως καὶ δικαίως· ἅμα μέντοι τοῦ κατ' ἀξίαν ἐν τοῖς μέσοις συστοχάζομαι.

ιβ'. Ἐὰν τὸ παρὸν ἐνεργῇς, ἑπόμενος τῷ ὀρθῷ λόγῳ ἐσπουδασμένως, ἐρρωμένως, εὐμενῶς, καὶ μηδὲν παρεμπόρευμα, ἀλλὰ τὸν ἑαυτοῦ δαίμονα καθαρὸν ἑστῶτα τηρῇς, ὡς εἰ καὶ ἤδη ἀποδοῦναι δέοι· ἐὰν τοῦτο συνάπτῃς, μηδὲν περιμένων, μηδὲ φεύγων, ἀλλὰ τῇ παρούσῃ κατὰ φύσιν ἐνεργείᾳ, καὶ τῇ, ὧν λέγεις καὶ φθέγγῃ, ἡρωϊκῇ ἀληθείᾳ ἀρκούμενος, εὐζωήσεις. Ἔστι δὲ οὐδεὶς ὁ τοῦτο κωλῦσαι δυνάμενος.

ιγ'. Ὥσπερ οἱ ἰατροὶ ἀεὶ τὰ ὄργανα καὶ σιδήρια πρόχειρα ἔχουσι πρὸς τὰ αἰφνίδια τῶν θεραπευμάτων· οὕτω τὰ δόγματα σὺ ἕτοιμα ἔχε πρὸς τὸ τὰ θεῖα καὶ ἀνθρώπινα εἰδέναι, καὶ πᾶν καὶ τὸ μικρότατον οὕτω ποιεῖν, ὡς τῆς ἀμφοτέρων πρὸς ἄλληλα συνδέσεως μεμνημένον. Οὔτε γὰρ ἀνθρώπινόν τι ἄνευ τῆς ἐπὶ τὰ θεῖα συναναφορᾶς εὖ πράξεις, οὔτε ἔμπαλιν.

ιδ'. Μηκέτι πλανῶ· οὔτε γὰρ τὰ ὑπομνημάτιά σου μέλλεις ἀναγινώσκειν, οὔτε τὰς τῶν ἀρχαίων Ῥωμαίων καὶ Ἑλλήνων πράξεις, καὶ τὰς ἐκ τῶν συγγραμμάτων ἐκλογάς, ἃς εἰς τὸ γῆρας σαυτῷ ἀπετίθεσο· σπεῦδε οὖν εἰς τέλος, καὶ τὰς κενὰς ἐλπίδας ἀφείς, σαυτῷ βοήθει, εἴ τι σοι μέλει σεαυτοῦ, ἕως ἔξεστιν.

ιε'. Οὐκ ἴσασι, πόσα σημαίνει τὸ κλέπτειν, τὸ σπείρειν, τὸ ὠνεῖσθαι, τὸ ἡσυχάζειν, τὸ ὁρᾷν τὰ πρακτέα, ὃ οὐκ ὀφθαλμοῖς γίγνεται, ἀλλ' ἑτέρᾳ τινὶ ὄψει.

ις'. Σῶμα, ψυχή, νοῦς· σώματος αἰσθήσεις, ψυχῆς ὁρμαί, νοῦ δόγματα. Τὸ μὲν τυποῦσθαι φανταστικῶς, καὶ τῶν βοσκημάτων· τὸ δὲ νευροσπαστεῖσθαι ὁρμητικῶς, καὶ τῶν θηρίων, καὶ τῶν ἀνδρογύνων, καὶ Φαλάριδος, καὶ Νέρωνος· τὸ δὲ τὸν νοῦν ἡγεμόνα ἔχειν ἐπὶ τὰ φαινόμενα καθήκοντα, καὶ τῶν θεοὺς μὴ νομιζόντων, καὶ τῶν τὴν πατρίδα ἐγκαταλειπόντων, καὶ τῶν ποιούντων, ἐπειδὰν κλείσωσι τὰς θύρας. Εἰ οὖν τὰ λοιπὰ κοινά ἐστι πρὸς τὰ εἰρημένα, λοιπὸν τὸ ἴδιόν ἐστι τοῦ ἀγαθοῦ, φιλεῖν μὲν καὶ ἀσπάζεσθαι τὰ συμβαίνοντα, καὶ συγκλωθόμενα αὐτῷ· τὸν δὲ ἔνδον ἐν τῷ στήθει ἱδρυμένον δαίμονα μὴ φύρειν, μηδὲ θορυβεῖν ὄχλῳ φαντασιῶν, ἀλλὰ ἵλεων διατηρεῖν, κοσμίως ἑπόμενον θεῷ, μήτε φθεγγόμενόν τι παρὰ τὰ ἀληθῆ, μήδε ἐνεργοῦντα παρὰ τὰ δίκαια. Εἰ δὲ ἀπιστοῦσιν αὐτῷ πάντες ἄνθρωποι, ὅτι ἁπλῶς καὶ αἰδημόνως καὶ εὐθύμως βιοῖ, οὔτε χαλεπαίνει τινὶ τούτων, οὔτε παρατρέπεται τῆς ὁδοῦ τῆς ἀγούσης ἐπὶ τὸ τέλος τοῦ βίου, ἐφ' ὃ δεῖ ἐλθεῖν καθαρόν,

comparatum sit id quod nunc mihi visum objicit : quanam ad id virtute opus sit, ut mansuetudine, fortitudine, veritate, fide, simplicitate, moderatione, reliquis. De singulis igitur rebus dicendum est : hæc divinitus venit; hæc per complexum et fati serie connexa et contexta, et tali rerum concursu ac fortuna : hæc a contribuli et cognato et sodali, qui tamen nescit, quid naturæ suæ sit consentaneum. At ego non ignoro; ideoque secundum societatis legem a natura sancitam benevolum et justum me præsto. Neque tamen non in mediis illis rebus ejus pro æstimatione rationem habeo.

12. Si rectæ rationi obsecutus id quod instat, sedulo, strenue et placide peregeris, non opus aliquod accessorium, sed genium tuum purum integrumque servaveris, quasi illum statim esses redditurus; si hoc indesinenter egeris, nihil exspectans aut fugiens, sed præsente actione naturæ consentanea et heroica in singulis dictis ac vocibus veritate contentus, prosperam ages vitam; quod quin facias, nemo est, qui te impedire possit.

13. Quemadmodum medici ad subita mala sananda in promptu habent instrumenta et ferramenta; sic te in promptu habere oportet decreta ad res divinas humanasque cognoscendas et ad omnia, etiam minima, ita agenda, ut memineris utrorumque inter se vinculi. Neque enim rem ullam humanam recte perficies, nisi simul eam ad deos retuleris; neque contra.

14. Noli amplius evagari; neque enim futurum est, ut commentarios tuos perlegas aut priscorum Romanorum et Græcorum res gestas et ex variis scriptis excerpta, quæ tibi in senectute [tractanda] reposuisti. Festina igitur ad finem, et si qua tibi tui cura est, dum licet, missa spe vana, tibi ipse consule.

15. Non intelligunt, quam multiplicem vim habeant vocabula hæc, furari, serere, emere, quiescere, videre quid factu opus sit, quod non oculis fit, sed alio aliquo visu.

16. Corpus, anima, mens : corporis sensus, animæ impetus, mentis decreta. Visorum imaginibus imprimi, etiam pecudum est : interno impetu quasi fidiculis agitari, ferarum quoque est et effeminatorum hominum et Phalaridis et Neronis; mentem ducem habere ad ea, quæ convenire videntur, etiam eorum est, qui deos esse negant et patriam deserunt, qui faciunt, postquam fores clausere. Si igitur cetera his, quæ dixi, communia sunt, restat, quod proprium est viri boni, libenter amplecti ea, quæ accidunt et a fato ei destinantur; genium vero intus in pectore habitantem nec polluere nec turba visorum perturbare, sed placidum servare et decenter Deo obsequentem, nihil a veritate alienum loquentem et nihil nisi justum agentem. Quod si nemo hominum fidem ei habet, eum simpliciter, modeste et tranquille vivere, neque horum cuiquam irascitur, neque declinat a via ea, quæ fert ad vitæ finem; ad

ἡσύχιον, εὔλυτον, ἀβιάστως τῇ ἑαυτοῦ μοίρᾳ συνηρμοσμένον.

ΒΙΒΛΙΟΝ Δ.

Τὸ ἔνδον κυριεῦον, ὅταν κατὰ φύσιν ἔχῃ, οὕτως ἕστηκε πρὸς τὰ συμβαίνοντα, ὥστε ἀεὶ πρὸς τὸ δυνατὸν καὶ διδόμενον μετατίθεσθαι ῥᾳδίως. Ὕλην γὰρ ἀποτεταγμένην οὐδεμίαν φιλεῖ· ἀλλὰ ὁρμᾷ μὲν πρὸς τὰ ἡγούμενα μεθ' ὑπεξαιρέσεως· τὸ δὲ ἀντεισαγόμενον ὕλην ἑαυτῷ ποιεῖ· ὥσπερ τὸ πῦρ, ὅταν ἐπικρατῇ τῶν ἐπεμπιπτόντων, ὑφ' ὧν ἂν μικρός τις λύχνος ἐσβέσθη· τὸ δὲ λαμπρὸν πῦρ τάχιστα ἐξῳκείωσεν ἑαυτῷ τὰ ἐπιφορούμενα, καὶ κατηνάλωσεν, καὶ ἐξ αὐτῶν ἐκείνων ἐπὶ μεῖζον ἤρθη.

β'. Μηδὲν ἐνέργημα εἰκῆ, μηδὲ ἄλλως, ἢ κατὰ θεώρημα συμπληρωτικὸν τῆς τέχνης, ἐνεργείσθω.

γ'. Ἀναχωρήσεις αὐτοῖς ζητοῦσιν, ἀγροικίας, καὶ αἰγιαλοὺς, καὶ ὄρη· εἴωθας δὲ καὶ σὺ τὰ τοιαῦτα μάλιστα ποθεῖν. Ὅλον δὲ τοῦτο ἰδιωτικώτατόν ἐστιν, ἐξὸν ἧς ἂν ὥρας ἐθελήσῃς εἰς ἑαυτὸν ἀναχωρεῖν. Οὐδαμοῦ γὰρ οὔτε ἡσυχιώτερον, οὔτε ἀπραγμονέστερον, ἄνθρωπος ἀναχωρεῖ, ἢ εἰς τὴν ἑαυτοῦ ψυχήν· μάλισθ' ὅστις ἔχει ἔνδον τοιαῦτα, εἰς ἃ ἐγκύψας, ἐν πάσῃ εὐμαρείᾳ εὐθὺς γίνεται· τὴν δὲ εὐμάρειαν οὐδὲν ἄλλο λέγω ἢ εὐκοσμίαν. Συνεχῶς οὖν δίδου σεαυτῷ ταύτην τὴν ἀναχώρησιν, καὶ ἀνανεοῦ σεαυτόν· βραχέα δὲ ἔστω καὶ στοιχειώδη, ἃ εὐθὺς ἀπαντήσαντα ἀρκέσει εἰς τὸ πᾶσαν αὐτὴν ἀποκλεῖσαι, καὶ ἀποπέμψαι σε, μὴ δυσχεραίνοντα ἐκείνοις, ἐφ' ἃ ἐπανέρχῃ. Τίνι γὰρ δυσχεραίνεις; τῇ τῶν ἀνθρώπων κακίᾳ; ἀναλογισάμενος τὸ κρίμα, ὅτι τὰ λογικὰ ζῶα ἀλλήλων ἕνεκεν γέγονε, καὶ ὅτι τὸ ἀνέχεσθαι μέρος τῆς δικαιοσύνης, καὶ ὅτι ἄκοντες ἁμαρτάνουσι, καὶ πόσοι ἤδη διεχθρεύσαντες, ὑποπτεύσαντες, μισήσαντες, διαδορατισθέντες ἐκτέτανται, τετέφρωνται, παύου ποτέ. Ἀλλὰ [καὶ] τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις δυσχεραίνεις; ἀνανεωσάμενος τὸ διεζευγμένον, ἤτοι πρόνοια, ἢ ἄτομοι, ἢ ἐξ ὅσων ἀπεδείχθη, ὅτι ὁ κόσμος ὡσανεὶ πόλις. Ἀλλὰ τὰ σωματικά σου ἅψεται ἔτι; ἐννοήσας, ὅτι οὐκ ἐπιμίγνυται λείως ἢ τραχέως κινουμένῳ πνεύματι ἡ διάνοια, ἐπειδὰν ἅπαξ ἑαυτὴν ἀπολάβῃ καὶ γνωρίσῃ τὴν ἰδίαν ἐξουσίαν, καὶ λοιπὸν ὅσα περὶ πόνου καὶ ἡδονῆς ἀκήκοας καὶ συγκατέθου. Ἀλλὰ τὸ δοξάριόν σε περισπάσει; ἀπιδὼν εἰς τὸ τάχος τῆς πάντων λήθης, καὶ τὸ χάος τοῦ ἐφ' ἑκάτερα ἀπείρου αἰῶνος, καὶ τὸ κενὸν τῆς ἀπηχήσεως, καὶ τὸ εὐμετάβολον καὶ ἄκριτον τῶν εὐφημεῖν δοκούντων, καὶ τὸ στενὸν τοῦ τόπου, ἐν ᾧ περιγράφεται. Ὅλη τε γὰρ ἡ γῆ στιγμὴ, καὶ ταύτης πόστον γωνίδιον ἡ κατοίκησις αὐτη; καὶ ἐνταῦθα πόσοι, καὶ οἷοί τινες οἱ ἐπαινεσόμενοι; Λοιπὸν οὖν μέμνησο τῆς ὑποχωρήσεως τῆς εἰς τοῦτο τὸ ἀγρίδιον ἑαυτοῦ· καὶ πρὸ παντὸς μὴ σπῶ, μηδὲ κατεντείνου, ἀλλὰ ἐλεύθερος ἔσο, καὶ ὅρα τὰ πράγματα, ὡς ἀνὴρ, ὡς ἄνθρωπος, ὡς πολίτης, ὡς θνητὸν ζῶον. Ἐν δὲ τοῖς προχειροτάτοις, εἰς ἃ

quem par est accedere purum, quietum, ad decedendum promptum, et suapte sponte fato suo se accommodantem.

LIBER IV.

1. Quod intus dominatur, id, quando secundum naturam habet, ita stat adversus ea, quæ accidunt, ut semper ad id, quod fieri potest et datum est, facile transeat: materiam enim appensam nullam amat, sed fertur ad præposita cum exceptione: quod vero contra infertur, materiem sibi facit: quemadmodum ignis, ubi ea, quæ insuper incidunt, superat, a quibus parva lucerna exstingueretur: splendidus autem ignis celerrime sibi vindicat ea, quæ inferuntur, eaque consumit, et ex iis altius surgit.

2. Nulla actio temere aut aliter, quam secundum regulam, quæ ad artem complendam spectat, efficiatur.

3. Secessus sibi quærunt, casas rusticas, littora, montes: soles etiam tu ejusmodi loca maxime appetere. Sed totum hoc hominis est maxime rudis et imperiti, quum liceat, quacunque tibi visum fuerit hora, in te ipsum secedere. Nullum enim in locum, ubi major sit tranquillitas altiusve otium, homo secedit, quam in suum ipsius animum: potissimum, quicunque intus habet, in quæ intuens statim in summa sit commoditate: commoditatem vero nihil aliud dico nisi decentiam. Continuo igitur hunc secessum tibi concede et refice te ipse. Brevia autem sunto et elementaria, quæ, simul atque tibi occurrerint, sufficient ad eum *animum* totum occludendum, teque remittendum, nihil eorum moleste ferentem, ad quæ reverteris. Quid enim moleste fers? hominumne pravitatem? Perpendens decretum illud, animalium ratione præditorum alterum alterius causa natum esse, et tolerare partem esse justitiæ, et invitos peccare eos, et quam multi jam, qui infensissimo fuere animo, qui suspiciosi, qui odio incensi, post vehementissimas pugnas porrecti inque cinerem redacti sint, tandem aliquando desine *indignari*. Verum ea, quæ a rerum universitate *tibi* tributa sunt, iniquo animo fers? Revocans tibi in animum disjunctivum illud: aut providentia aut atomi, vel ea omnia, ex quibus demonstratum est, mundum esse instar civitatis; *desine ea iniquo animo ferre.* Verum tangent te etiam posthac quæ corporis sunt? Considerans, spiritui sive leniter sive aspere moto non immisceri mentem, simul atque se ipsa abduxerit suamque cognorit potestatem, et reliqua omnia, quæ de dolore et voluptate audisti et consensu tuo comprobasti, *desine tandem his tangi.* Verum gloriola te trahet in diversa? Respiciens celeritatem oblivionis, qua omnia sepeliuntur, quam vasta sit infinitas temporis in utramque partem, quam vanum, quod resonant, quam mutabiles et judicii expertes ii qui *te* laudare videntur, et quam angustus sit locus, quo circumscribitur *eorum laus, desine tandem gloriola in diversa trahi.* Tota enim terra punctum, ejusque quantillus angulus hæc habitatio, et hic quam pauci sunt et cujusmodi homines, qui *te* celebrabunt! Quod igitur reliquum est, memento secessus in illum tui ipsius agellum, et ante omnia cave distraharis et nimium te intendas, sed liber esto et contemplare res ut homo, ut

ὑπολήψεις, ταῦτα ἔστω τὰ δύο. Ἓν μὲν, ὅτι τὰ πράγματα οὐχ ἅπτεται τῆς ψυχῆς, ἀλλ' ἔξω ἕστηκεν ἀτρεμοῦντα· αἱ δὲ ὀχλήσεις ἐκ μόνης τῆς ἔνδον ὑπολήψεως. Ἕτερον δὲ, ὅτι πάντα ταῦτα, ὅσα ὁρᾷς, ὅσον οὐδέπω μεταβάλλει, καὶ οὐκ ἔτι ἔσται· καὶ ὅσων ἤδη μεταβολαῖς αὐτὸς παρατετύχηκας, συνεχῶς διανοοῦ. Ὁ κόσμος, ἀλλοίωσις· ὁ βίος, ὑπόληψις.

δ'. Εἰ τὸ νοερὸν ἡμῖν κοινὸν, καὶ ὁ λόγος, καθ' ὃν λογικοί ἐσμεν, κοινός· εἰ τοῦτο, καὶ ὁ προστακτικὸς τῶν ποιητέων, ἢ μὴ, λόγος κοινός· εἰ τοῦτο, καὶ ὁ νόμος κοινός· εἰ τοῦτο, πολῖταί ἐσμεν· εἰ τοῦτο, πολιτεύματός τινος μετέχομεν· εἰ τοῦτο, ὁ κόσμος ὡσανεὶ πόλις ἐστί. Τίνος γὰρ ἄλλου φήσει τις τὸ τῶν ἀνθρώπων πᾶν γένος κοινοῦ πολιτεύματος μετέχειν; ἐκεῖθεν δὲ, ἐκ τῆς κοινῆς ταύτης πόλεως καὶ αὐτὸ τὸ νοερὸν καὶ λογικὸν καὶ νομικὸν ἡμῖν· ἢ πόθεν; ὥσπερ γὰρ τὸ γεῶδές μοι ἀπό τινος γῆς ἀπομεμέρισται, καὶ τὸ ὑγρὸν ἀφ' ἑτέρου στοιχείου, καὶ τὸ πνευματικὸν ἀπὸ πηγῆς τινος, καὶ τὸ θερμὸν καὶ πυρῶδες ἔκ τινος ἰδίας πηγῆς (οὐδὲν γὰρ ἐκ τοῦ μηδενὸς ἔρχεται, ὥσπερ μηδ' εἰς τὸ οὐκ ὂν ἀπέρχεται), οὕτω δὴ καὶ τὸ νοερὸν ἥκει ποθέν.

ε'. Ὁ θάνατος τοιοῦτος, οἷον γένεσις, φύσεως μυστήριον. Σύγκρισις ἐκ τῶν αὐτῶν στοιχείων, * * * εἰς ταὐτά. Ὅλως δὲ οὐκ ἐφ' ᾧ ἄν τις αἰσχυνθείη· οὐ γὰρ παρὰ τὸ ἑξῆς τῷ νοερῷ ζώῳ, οὐδὲ παρὰ τὸν λόγον τῆς παρασκευῆς.

ς'. Ταῦτα οὕτως ὑπὸ τῶν τοιούτων πέφυκε γίνεσθαι, ἐξ ἀνάγκης· ὁ δὲ τοῦτο μὴ θέλων, θέλει τὴν συκῆν ὀπὸν μὴ ἔχειν. Ὅλως δ' ἐκείνου μέμνησο, ὅτι ἐντὸς ὀλιγίστου χρόνου καὶ σὺ καὶ οὗτος τεθνήξεσθε· μετὰ βραχὺ δὲ οὐδὲ ὄνομα ὑμῶν ὑπολειφθήσεται.

ζ'. Ἆρον τὴν ὑπόληψιν, ἦρται τὸ, « Βέβλαμμαι. » Ἆρον τὸ « Βέβλαμμαι, » ἦρται ἡ βλάβη.

η'. Ὃ χείρω αὐτὸν ἑαυτοῦ ἄνθρωπον οὐ ποιεῖ, τοῦτο οὐδὲ τὸν βίον αὐτοῦ χείρω ποιεῖ, οὐδὲ βλάπτει, οὔτε ἔξωθεν, οὔτε ἔνδοθεν.

θ'. Ἠνάγκασται ἡ τοῦ συμφέροντος φύσις τοῦτο ποιεῖν.

ι'. Ὅτι πᾶν τὸ συμβαῖνον δικαίως συμβαίνει· ὅ, ἐὰν ἀκριβῶς παραφυλάσσῃς, εὑρήσεις· οὐ λέγω μόνον κατὰ τὸ ἑξῆς, ἀλλ' ὅτι κατὰ τὸ δίκαιον, καὶ ὡς ἂν ὑπό τινος ἀπονέμοντος τὸ κατ' ἀξίαν. Παραφύλασσε οὖν, ὡς ἤρξω· καὶ, ὅ τι ἂν ποιῇς, σὺν τούτῳ ποίει, σὺν τῷ ἀγαθὸς εἶναι, καθ' ὃ νενόηται ἰδίως ὁ ἀγαθός. Τοῦτο ἐπὶ πάσης ἐνεργείας σῷζε.

ια'. Μὴ τοιαῦτα ὑπολάμβανε, οἷα ὁ ὑβρίζων κρίνει, ἢ οἷά σε κρίνειν βούλεται· ἀλλ' ἴδε αὐτὰ, ὁποῖα κατ' ἀλήθειάν ἐστι.

ιβ'. Δύο ταύτας ἑτοιμότητας ἔχειν ἀεὶ δεῖ· τὴν μὲν, πρὸς τὸ πρᾶξαι μόνον, ὅπερ ἂν ὁ τῆς βασιλικῆς καὶ νομοθετικῆς λόγος ὑποβάλλῃ ἐπ' ὠφελείᾳ ἀνθρώπων· τὴν δὲ, πρὸς τὸ μεταθέσθαι, ἐὰν ἄρα τις παρῇ διορθῶν καὶ μετάγων ἀπό τινος οἰήσεως. Τὴν μέντοι μεταγωγὴν ἀεὶ ἀπό τινος πιθανότητος ὡς δικαίου, ἢ κοι-

civis, ut animal mortale. Inter ea, quæ maxime in promptu sint, in quæ intuearis, hæc duo sunto : alterum, res *externas* non attingere animum, sed extra immotas stare, molestias autem ex sola interna opinione *oriri* : alterum omnia ea, quæ vides, jamjam mutari neque amplius fore : atque quam multarum rerum mutationi ipse interfueris fac cogites. Mundus, mutatio; vita, opinio.

4. Si intellectus nobis communis est, etiam ratio, qua rationales sumus, nobis communis; si hæc, etiam ea ratio, quæ, quid faciendum sit, quid non, præcipit, communis; si hæc, etiam lex communis; si hæc, cives sumus; si cives, civitatis alicujus participes; si hoc est, mundus instar civitatis est : cujus enim alius civitatis universum hominum genus particeps dixeris? Illinc autem, e communi hac civitate et ipsa intelligendi vis et rationalis et legis gnara nobis *obvenit*, aut unde? nam ut terrenum mihi e terra aliqua pro parte attributum est, et humidum ex alio elemento, et spirabile e fonte aliquo, et calidum igneumque e proprio quodam fonte — nihil enim ex nihilo oritur, quemadmodum etiam nihil in nihilum redigitur — ita utique etiam intellectus alicunde venit.

5. Mors tale quid est, quale ortus, naturæ actio occulta, concretio ex elementis et dissolutio in eadem, omnino non cujus quemquam pudeat; neque enim ordini animalis intelligendi facultate præditi neque rationi constitutionis *nostræ* repugnat.

6. Natura ita comparatum est, ut hæc non possint non ab hujusmodi hominibus sic fieri; quod qui non vult, idem ficum vult succo carere. Omnino illius memento, intra brevissimum tempus et te et istum morituros; paulo post ne nomina quidem vestra superfutura.

7. Tolle opinionem! sublatum est illud : « læsus sum; » tolle illud, « læsus sum! » sublatum est damnum.

8. Quod hominem se ipso deteriorem non reddit, id vitam quoque ejus non deteriorem reddit, neque damnum ei infert aut extrinsecus aut intrinsecus.

9. Utilitatis natura non potest non hoc agere.

10. Quidquid accidit, juste accidit, idque, si diligenter animadverteris, reperies : non tantum dico secundum id quod consequens est, sed secundum justitiæ rationem, quasi ab aliquo, qui secundum dignitatem distribuat. Animadverte igitur diligenter, ut cœperas, et quidquid agis, cum studio bonitatis age, idque eo sensu, quo quis proprie bonus dicitur. Id in omni actione serva.

11. Noli talia ea opinari, qualia injuriosus judicat aut qualia te ea judicare vult; sed vide ea, qualia revera sint.

12. Duplicem hanc promptitudinem te habere oportet : alteram, ut id tantum agas, quodcunque regiæ ac legiferæ facultatis ratio suggerit ad utilitatem hominum : alteram, ut sententiam mutes, si forte quis adest, qui eam corrigat et te ab opinione deducat : oportet tamen hanc sententiæ mutationem oriri a probabili quadam ratione, quasi ita

νωφελοῦς, γίνεσθαι, καὶ τὰ παραπλήσια τοιαῦτα μόνον εἶναι δεῖ, οὐχ ὅτι ἡδὺ, ἢ ἔνδοξον ἐφάνη.

ιγ'. Λόγον ἔχεις; — Ἔχω — Τί οὖν οὐ χρᾷ; Τούτου γὰρ τὸ ἑαυτοῦ ποιοῦντος, τί ἄλλο θέλεις;

ιδ'. Ἐνυπέστης, ὡς μέρος. Ἐναφανισθήσῃ τῷ γεννήσαντι· μᾶλλον δὲ ἀναληφθήσῃ εἰς τὸν λόγον αὐτοῦ τὸν σπερματικὸν κατὰ μεταβολήν.

ιε'. Πολλὰ λιβανωτοῦ βωλάρια ἐπὶ τοῦ αὐτοῦ βωμοῦ· τὸ μὲν προκατέπεσεν, τὸ δὲ ὕστερον· διαφέρει δ' οὐδέν.

ιϛ'. Ἐντὸς δέκα ἡμερῶν θεὸς αὐτοῖς δόξεις, οἷς νῦν θηρίον καὶ πίθηκος, ἐὰν ἀνακάμψῃς ἐπὶ τὰ δόγματα καὶ τὸν σεβασμὸν τοῦ λόγου.

ιζ'. Μὴ ὡς μύρια μέλλων ἔτη ζῆν. Τὸ χρεὼν ἐπήρτηται· ἕως ζῇς, ἕως ἔξεστιν, ἀγαθὸς γένου.

ιη'. Ὅσην ἀσχολίαν κερδαίνει, ὁ μὴ βλέπων, τί ὁ πλησίον εἶπεν, ἢ ἔπραξεν, ἢ διενοήθη· ἀλλὰ μόνον τί αὐτὸς ποιεῖ, ἵνα αὐτὸ τοῦτο δίκαιον ᾖ, καὶ ὅσιον, ἢ κατὰ τὸν ἀγαθὸν μὴ μέλαν ἦθος περιβλέπεσθαι, ἀλλ' ἐπὶ τῆς γραμμῆς τρέχειν ὀρθὸν, μὴ διερριμμένον.

ιθ'. Ὁ περὶ τὴν ὑστεροφημίαν ἐπτοημένος οὐ φαντάζεται, ὅτι ἕκαστος τῶν μεμνημένων αὐτοῦ τάχιστα καὶ αὐτὸς ἀποθανεῖται· εἶτα πάλιν καὶ αὐτὸς ὁ ἐκεῖνον διαδεξάμενος, μέχρι καὶ πᾶσα ἡ μνήμη ἀποσβῇ διὰ ἐπτοημένων καὶ σβεννυμένων προϊοῦσα. Ὑπόθου δ', ὅτι καὶ ἀθάνατοι μὲν οἱ μεμνησόμενοι, ἀθάνατος δ' ἡ μνήμη· τί οὖν τοῦτο πρὸς σέ; καὶ οὐδὲν λέγω, ὅτι πρὸς τὸν τεθνηκότα, ἀλλὰ πρὸς τὸν ζῶντα· τί ὁ ἔπαινος, πλὴν ἄρα δι' οἰκονομίαν τινά; πάρες γὰρ νῦν ἀκαίρως τὴν φυσικὴν δόσιν, ἄλλου τινὸς ἐχόμενον λόγου λοιπόν.

κ'. Πᾶν τὸ καὶ ὁπωσοῦν καλὸν, ἐξ ἑαυτοῦ καλόν ἐστι, καὶ ἐφ' ἑαυτὸ καταλήγει, οὐκ ἔχον μέρος ἑαυτοῦ τὸν ἔπαινον. Οὔτε γοῦν χεῖρον ἢ κρεῖττον γίνεται τὸ ἐπαινούμενον. Τοῦτό φημι καὶ ἐπὶ τῶν κοινότερον καλῶν λεγομένων· οἷον ἐπὶ τῶν ὑλικῶν, καὶ ἐπὶ τῶν τεχνικῶν κατασκευασμάτων· τό γε δὴ ὄντως καλὸν* τινὸς χρείαν ἔχει; οὐ μᾶλλον, ἢ νόμος, οὐ μᾶλλον, ἢ ἀλήθεια, οὐ μᾶλλον, ἢ εὔνοια, ἢ αἰδώς. Τί τούτων διὰ τὸ ἐπαινεῖσθαι καλόν ἐστιν, ἢ ψεγόμενον φθείρεται; Σμαράγδιον γὰρ ἑαυτοῦ χεῖρον γίνεται, ἐὰν μὴ ἐπαινῆται; Τί δὲ χρυσὸς, ἐλέφας, πορφύρα, λύρα, μαχαίριον, ἀνθύλλιον, δενδρύφιον;

κα'. Εἰ διαμένουσιν αἱ ψυχαὶ, πῶς αὐτὰς ἐξ ἀϊδίου χωρεῖ ὁ ἀήρ; — Πῶς δὲ ἡ γῆ χωρεῖ τὰ τῶν ἐκ τοσούτου αἰῶνος θαπτομένων σώματα; Ὥσπερ γὰρ ἐνθάδε ἡ τούτων πρὸς ἥντινα ἐπιδιαμονὴν μεταβολὴ καὶ διάλυσις χώραν ἄλλοις νεκροῖς ποιεῖ· οὕτως αἱ εἰς τὸν ἀέρα μεθιστάμεναι ψυχαὶ, ἐπὶ ποσὸν συμμείνασαι, μεταβάλλουσι καὶ χέονται καὶ ἐξάπτονται, εἰς τὸν τῶν ὅλων σπερματικὸν λόγον ἀναλαμβανόμεναι, καὶ τοῦτον τὸν τρόπον χώραν ταῖς προσσυνοικιζομέναις παρέχουσι. Τοῦτο δ' ἄν τις ἀποκρίναιτο ἐφ' ὑποθέσει τοῦ τὰς ψυχὰς διαμένειν. Χρὴ δὲ μὴ μόνον ἐνθυμεῖσθαι τὸ πλῆ-

justum aut communioni utile sit : his similia tantum esse oportet, non quod gratum aut gloriosum videtur.

13. Ratione præditus es? — sum. — Cur igitur *ea* non uteris? nam si hæc facit, quod suum est, quid aliud desideras?

14. Substitisti ut pars; evanesces in eum, qui te generavit, seu potius recipieris in ejus rationem seminalem per mutationem.

15. Multæ thuris glebulæ in eandem aram, alia citius, alia tardius, decidunt : nihil autem interest.

16. Intra decem dies Deus videberis iis, quibus nunc bestia ac simia, si ad decreta cultumque mentis redieris.

17. Ne ut qui millia annorum victurus sit; fatum impendet; dum vivis, dum licet, fac bonus fias.

18. Quantum negotii lucrabitur, qui non videt, quid alius dixerit, egerit, cogitarit, sed tantum, quid ipse agat, ut justum sit ac pium, aut, * ut Agathonis verbis utar, « noli nigros circumspicere mores, sed per lineam curre rectus nec vagus. »

19. Qui insana famæ posthumæ admiratione tenetur, non cogitat, unumquemque eorum, qui ejus recordabuntur, perbrevi et ipsum esse moriturum; postea rursus etiam hunc, qui illum exceperit, donec omnis memoria per eos, qui* accenduntur et exstinguuntur, progrediens prorsus exstinguatur. Fac autem, et illos, qui tui meminerint, immortales fore, et immortalem tui memoriam, quid igitur hoc ad te? neque dico, quid ad mortuum, sed ad vivum; quid laus, nisi forte dispensationis causa? * Prætermittis enim nunc intempestive donum a natura datum, dum alii alicui rei adhærescis quam rationi... Reliquum.

20. Quidquid quacunque tandem ratione pulcrum est, id per se pulcrum est, et in se terminatur nec partem sui habet laudem. Igitur certe neque deterius neque melius fit laudando. Atque hoc dico etiam de iis, quæ vulgari usu pulcra dicuntur, ut de rebus corporeis et artificum operibus. Quod revera pulcrum, id scilicet laude indigeat? non magis, quam lex; non magis, quam veritas; non magis, quam benevolentia aut verecundia. Ecquid horum idcirco, quod laudatur, pulcrum est, aut eo, quod vituperatur, corrumpitur? Smaragdus enim num se ipso deterior fit, si non laudatur? Quid vero aurum, ebur, purpura, lyra, gladiolus, flosculus, arbuscula?

21. Si permanent animæ, quo modo eas ab æterno capit aer? — Quo modo vero terra capit corpora eorum, qui ab ævo tam immenso sepulti sunt? Quemadmodum enim hic corporum, postquam ad certum quoddam tempus permanserunt, mutatio et dissolutio aliis cadaveribus locum dat; sic animæ, quæ in aerem transferuntur, postquam aliquamdiu perstiterunt, mutantur et funduntur et succenduntur, in seminalem universitatis rationem receptæ, eoque pacto iis, quæ in easdem sedes recipiuntur, locum faciunt. Hoc igitur aliquis respondere possit posito hoc, animas permanere. Neque vero solum reputanda est multitudo corporum

θος τῶν θαπτομένων οὑτωσὶ σωμάτων, ἀλλὰ καὶ τὸ τῶν ἑκάστης ἡμέρας ἐσθιομένων ζώων ὑφ' ἡμῶν τε καὶ τῶν ἄλλων ζώων. Ὅσος γὰρ ἀριθμὸς καταναλίσκεται, καὶ οὑτωσί πως θάπτεται, ἐν τοῖς τῶν τρεφομένων σώμασι; Καὶ ὅμως δέχεται ἡ χώρα αὕτη, διὰ τὰς ἐξαιματώσεις, διὰ τὰς εἰς τὸ ἀερῶδες ἢ πυρῶδες ἀλλοιώσεις.

Τίς ἐπὶ τούτου ἡ ἱστορία τῆς ἀληθείας; διαίρεσις εἰς τὸ ὑλικὸν, καὶ εἰς τὸ αἰτιῶδες.

κβ'. Μὴ ἀποῤῥέμβεσθαι· ἀλλ' ἐπὶ πάσης ὁρμῆς τὸ δίκαιον ἀποδιδόναι, καὶ ἐπὶ πάσης φαντασίας σώζειν τὸ καταληπτικόν.

κγ'. Πᾶν μοι συναρμόζει, ὃ σοι εὐάρμοστόν ἐστιν, ὦ κόσμε. Οὐδέν μοι πρόωρον, οὐδὲ ὄψιμον, τὸ σοὶ εὔκαιρον. Πᾶν μοι καρπὸς, ὃ φέρουσιν αἱ σαὶ ὧραι, ὦ φύσις· ἐκ σοῦ πάντα, ἐν σοὶ πάντα, εἰς σὲ πάντα. Ἐκεῖνος μέν φησι· « Πόλι φίλη Κέκροπος· σὺ δὲ οὐκ ἐρεῖς· « Ὦ πόλι φίλη Διός; »

κδ'. Ὀλίγα πρῆσσε, φησὶν, εἰ μέλλεις εὐθυμήσειν· μήποτε ἄμεινον τὸ τἀναγκαῖα πράσσειν, καὶ ὅσα ὁ τοῦ φύσει πολιτικοῦ ζώου λόγος αἱρεῖ, καὶ ὡς αἱρεῖ. Τοῦτο γὰρ οὐ μόνον τὴν ἀπὸ τοῦ καλῶς πράσσειν εὐθυμίαν φέρει, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ ὀλίγα πράσσειν. Τὰ πλεῖστα γὰρ, ὧν λέγομεν καὶ πράσσομεν, οὐκ ἀναγκαῖα ὄντα, ἐάν τις περιέλῃ, εὐσχολώτερος καὶ ἀταρακτότερος ἔσται. Ὅθεν δεῖ καὶ παρ' ἕκαστα ἑαυτὸν ὑπομιμνήσκειν, μή τι τοῦτο οὐ τῶν ἀναγκαίων; Δεῖ δὲ μὴ μόνον πράξεις τὰς μὴ ἀναγκαίας περιαιρεῖν, ἀλλὰ καὶ φαντασίας· οὕτως γὰρ οὐδὲ πράξεις παρέλκουσαι ἐπακολουθήσουσι.

κε'. Πείρασον, πῶς σοι χωρεῖ καὶ ὁ τοῦ ἀγαθοῦ ἀνθρώπου βίος, τοῦ ἀρεσκομένου μὲν τοῖς ἐκ τῶν ὅλων ἀπονεμομένοις, ἀρκουμένου δὲ τῇ ἰδίᾳ πράξει δικαίᾳ καὶ διαθέσει εὐμενεῖ.

κϛ'. Ἑώρακας ἐκεῖνα; Ἴδε καὶ ταῦτα. Σεαυτὸν μὴ τάρασσε· ἅπλωσον σεαυτόν. Ἁμαρτάνει τις; ἑαυτῷ ἁμαρτάνει. Συμβέβηκέ σοί τι; καλῶς· ἐκ τῶν ὅλων ἀπ' ἀρχῆς σοι συγκαθείμαρτο, καὶ συνεκλώθετο πᾶν τὸ συμβαῖνον. Τὸ δ' ὅλον, βραχὺς ὁ βίος· κερδαντέον τὸ παρὸν σὺν εὐλογιστίᾳ καὶ δίκῃ. Νῆφε ἀνειμένος.

κζ'. Ἤτοι κόσμος διατεταγμένος, ἢ κυκεὼν, συμπεφορημένος μὲν, ἀλλὰ κόσμος. Ἦ ἐν σοὶ μέν τις κόσμος ὑφίστασθαι δύναται; ἐν δὲ τῷ παντὶ ἀκοσμία; καὶ ταῦτα οὕτως πάντων διακεκριμένων καὶ διακεχυμένων καὶ συμπαθῶν.

κη'. Μέλαν ἦθος, θῆλυ ἦθος, περισκελὲς ἦθος, θηριῶδες, βοσκηματῶδες, παιδαριῶδες, βλακικὸν, κίβδηλον, βωμολόχον, καπηλικὸν, τυραννικόν.

κθ'. Εἰ ξένος κόσμου, ὁ μὴ γνωρίζων τὰ ἐν αὐτῷ ὄντα, οὐχ ἧττον ξένος, καὶ ὁ μὴ γνωρίζων τὰ γιγνόμενα. Φυγὰς, ὁ φεύγων τὸν πολιτικὸν λόγον· τυφλὸς, ὁ καταμύων τῷ νοερῷ ὄμματι· πτωχὸς, ὁ ἐνδεὴς ἑτέρου, καὶ μὴ πάντα ἔχων παρ' ἑαυτοῦ τὰ εἰς τὸν βίον χρήσιμα. Ἀπόστημα κόσμου, ὁ ἀφιστά-

sic sepultorum, sed etiam aliorum animalium, quæ quotidie comeduntur et a nobis et ab aliis animantibus : quantus enim numerus consumitur et hoc modo quasi sepelitur in corporibus eorum, qui iis aluntur? et tamen ea regio illa recipit, dum partim in sanguinem, partim in aeriam igneamve materiam mutantur.

Quænam hac in re veritatis explorandæ ratio? Divisio in materiam et formam.

22. Noli divagari, sed in omni agendi impetu id quod justum est præsta, et in omni viso tene id quod comprehendi potest.

23. Quidquid tibi bene convenit, Munde, id mihi convenit : nihil mihi immaturum, nihil serum, quod tibi tempestivum. Quidquid tuæ, Natura, ferunt Horæ, mihi fructus; ex te omnia, in te omnia, ad te omnia. Ille ait : « O cara civitas Cecropis! » tune : « O cara civitas Jovis! » inquies?

24. « Pauca age, » inquit ille, « si vis tranquillo animo esse! » Nescio an melius sit « necessaria » agere omniaque ea, quæ ratio animalis socialis exigit eoque modo, quo exigit. Hoc enim non solum animi tranquillitatem affert, quæ a bene agendo gignitur, sed etiam eam, quæ a pauca agendo oritur. Si quis enim plurima eorum, quæ dicimus et facimus, utpote non necessaria, sustulerit, et otiosior erit et minus turbatus. Quare oportet in singulis se ipsum commonefacere, numquid hæc sint ex iis, quæ non necessaria sunt? Oportet nos autem non solum actiones non necessarias tollere, verum etiam visa : nam sic neque actiones supervacaneæ subsequentur.

25. Fac periculum, quomodo tibi procedat vita boni hominis, ejus, qui iis, quæ ex universitate rerum ipsi attribuuntur, contentus est atque in justa sua actione et benevola mentis affectione acquiescit.

26. Vidisti illa? Vide etiam hæc : te ipsum ne conturbes; simplicem te redde. Peccat aliquis? sibi ipsi peccat. Accidit tibi aliquid? bene *habet;* ex rerum universitate tibi inde ab initio erat destinatum et quasi nendo connexum id quod accidit. Summa eo redit : brevis vita; lucrandum quod instat tempus considerate et juste agendo; sobrius esto in animo remittendo.

27. Aut consilio dispositus mundus, aut cinnus, fortuito congestus, at mundus tamen; an vero fieri potest, ut in te mundus consistat, in universitate rerum autem mera confusio? præsertim omnibus sic discretis et diffusis et *tamen* consentientibus!

28. Nigri mores, effeminati mores, præfracti mores, belluini, pecuini, pueriles, stolidi, subdoli, scurriles, perfidi, tyrannici.

29. Si peregrinus mundi is est, qui ignorat ea, quæ in mundo sunt, non minus peregrinus etiam is est, qui ignorat, quæ fiunt : profugus, qui rationem civilem fugit; cæcus, qui mentis oculos clausos habet : egenus, qui alius indiget neque in se habet, quibus ad vitam opus est : abscessus mundi, qui abscedit seseque a naturæ communis

μενος καὶ χωρίζων ἑαυτὸν τοῦ τῆς κοινῆς φύσεως λόγου, διὰ τοῦ δυσαρεστεῖν τοῖς συμβαίνουσιν· ἐκείνη γὰρ φέρει τοῦτο, ἣ καὶ σὲ ἤνεγκεν· ἀπόσχισμα πόλεως, ὁ τὴν ἰδίαν ψυχὴν τῆς τῶν λογικῶν ἀποσχίζων, μιᾶς οὔσης.

λ'. Ὁ μὲν χωρὶς χιτῶνος φιλοσοφεῖ, ὁ δὲ χωρὶς βιβλίου· ἄλλος οὗτος ἡμίγυμνος. Ἄρτους οὐκ ἔχω, φησὶ, καὶ ἐμμένω τῷ λόγῳ. — Ἐγὼ δὲ τροφὰς τὰς ἐκ μαθημάτων οὐκ ἔχω, καὶ ἐμμένω.

λα'. Τὸ τεχνίον, ὃ ἔμαθες, φίλει, τούτῳ προσαναπαύου· τὸ δὲ ὑπόλοιπον τοῦ βίου διέξελθε, ὡς θεοῖς μὲν ἐπιτετροφὼς τὰ σεαυτοῦ πάντα ἐξ ὅλης τῆς ψυχῆς, ἀνθρώπων δὲ μηδενὸς μήτε τύραννον μήτε δοῦλον ἑαυτὸν καθιστάς.

λβ'. Ἐπινόησον, λόγου χάριν, τοὺς ἐπὶ Οὐεσπασιανοῦ καιροὺς, ὄψει ταῦτα πάντα· γαμοῦντας, παιδοτροφοῦντας, νοσοῦντας, ἀποθνήσκοντας, πολεμοῦντας, ἑορτάζοντας, ἐμπορευομένους, γεωργοῦντας, κολακεύοντας, αὐθαδιζομένους, ὑποπτεύοντας, ἐπιβουλεύοντας, ἀποθανεῖν τινας εὐχομένους, γογγύζοντας ἐπὶ τοῖς παροῦσιν, ἐρῶντας, θησαυρίζοντας, ὑπατείας, βασιλείας ἐπιθυμοῦντας. Οὐκοῦν ἐκεῖνος μὲν ὁ τούτων βίος οὐκ ἔτι οὐδαμοῦ. Πάλιν ἐπὶ τοὺς καιροὺς τοὺς Τραϊανοῦ μετάβηθι· πάλιν τὰ αὐτὰ πάντα. Τέθνηκε κἀκεῖνος ὁ βίος. Ὁμοίως καὶ τὰς ἄλλας ἐπιγραφὰς χρόνων καὶ ὅλων ἐθνῶν ἐπιθεώρει, καὶ βλέπε, πόσοι κατενταθέντες μετὰ μικρὸν ἔπεσον, καὶ ἀνελύθησαν εἰς τὰ στοιχεῖα. Μάλιστα δὲ ἀναπολητέον ἐκείνους, οὓς αὐτὸς ἔγνως κενὰ σπωμένους, ἀφέντας ποιεῖν τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν, καὶ τούτου ἀπρὶξ ἔχεσθαι, καὶ τούτῳ ἀρκεῖσθαι. Ἀναγκαῖον δὲ ὧδε τὸ μεμνῆσθαι, ὅτι καὶ ἡ ἐπιστροφὴ καθ' ἑκάστην πρᾶξιν ἀξίαν ἔχει καὶ συμμετρίαν. Οὕτως γὰρ οὐκ ἀποδυσπετήσεις, ἐὰν μὴ ἐπὶ πλέον, ἢ προσῆκε, περὶ τὰ ἐλάσσω καταγίνῃ.

λγ'. Αἱ πάλαι συνήθεις λέξεις, γλωσσήματα νῦν· οὕτως οὖν καὶ τὰ ὀνόματα τῶν πάλαι πολυυμνήτων νῦν τρόπον τινὰ γλωσσήματά ἐστι, Κάμιλλος, Καίσων, Οὐόλεσος, Λεοννάτος, μετ' ὀλίγον δὲ καὶ Σκιπίων, καὶ Κάτων, εἶτα καὶ Αὔγουστος, εἶτα καὶ Ἀδριανὸς, καὶ Ἀντωνῖνος. Ἐξίτηλα γὰρ πάντα καὶ μυθώδη ταχὺ γίνεται· ταχὺ δὲ καὶ παντελὴς λήθη κατέχωσεν. Καὶ ταῦτα λέγω ἐπὶ τῶν θαυμαστῶς πως λαμψάντων. Οἱ γὰρ λοιποὶ ἅμα τῷ ἐκπνεῦσαι, « ἄϊστοι, ἄπυστοι. » Τί δὲ καὶ ἔστιν ὅλως τὸ ἀείμνηστον; ὅλον κενόν. Τί οὖν ἐστι, περὶ ὃ δεῖ σπουδὴν εἰσφέρεσθαι; ἓν τοῦτο, διάνοια δικαία, καὶ πράξεις κοινωνικαὶ, καὶ λόγος, οἷος μήποτε διαψεύσασθαι, καὶ διάθεσις ἀσπαζομένη πᾶν τὸ συμβαῖνον, ὡς ἀναγκαῖον, ὡς γνώριμον, ὡς ἀπ' ἀρχῆς τοιαύτης καὶ πηγῆς ῥέον.

λδ'. Ἑκὼν σεαυτὸν τῇ Κλωθοῖ συνεπιδίδου, παρέχων συνυφῆναι, οἷς τισί ποτε πράγμασι βούλεται.

λε'. Πᾶν ἐφήμερον, καὶ τὸ μνημονεῦον, καὶ τὸ μνημονευόμενον.

λς'. Θεώρει διηνεκῶς πάντα κατὰ μεταβολὴν γι-

ratione sejungit eo, quod iis, quæ eveniunt, offenditur; illa enim hoc fert, quæ te quoque tulit: avulsus a civitate, qui suam animam ab anima ratione præditorum, utpote una, avellit.

30. Hic sine tunica philosophatur, ille sine libro, iste tertius seminudus. « Pane careo, » inquit, « et tamen in ratione persisto. » Ego vero victum ex disciplinis non quæro et tamen persisto.

31. Artem, quam didicisti, diligito et in ea acquiescito: quod autem vitæ super est, id *ita* exigito, ut qui Deo omnia ex toto animo commiseris, neque ullius hominis aut dominum aut servum te præbeto.

32. Cogita, verbi gratia, tempora sub Vespasiani imperio acta, et videbis hæc omnia: homines matrimonia ineuntes, liberos alentes, morbis laborantes, morientes, militantes, festa celebrantes, negotiantes, agros colentes, adulantes, insolenter se gerentes, suspicantes, insidiantes, mortem quorundam exoptantes, murmurantes de præsenti rerum statu, amori indulgentes, thesauros colligentes, consulatum, imperium affectantes: nusquam profecto amplius eorum vita. Rursus ad Trajani tempora transi: rursus eadem omnia; hæc quoque vita interiit. Similiter et jam alios *quasi* titulos sepulcrales temporum totarumque gentium contemplare et vide, quam multi eorum, post summam virium contentionem, paulo post occiderint et in elementa dissoluti sint. Potissimum autem ruminandi sunt ii, quos ipse novisti rebus vanis distractos id agere neglexisse, quod propriæ eorum constitutioni conveniebat, huic firmiter adhærescere, hoc contentos esse. Necesse autem est, hac in re illius memineris, diligentiam in singulis actionibus collocandam suam ac propriam habere dignitatem ac mensuram. Ita enim fiet, ut non omnem spem abjicias, quum non plus quam par est in rebus minoribus versatus fueris.

33. Vocabula olim usitata, nunc glossemata. Ita igitur nomina quoque eorum, qui olim longe clarissimi fuerunt, nunc quodammodo glossemata sunt, Camillus, Cæso, Volesus, Leonnatus; paulo post etiam Scipio et Cato: postea Augustus quoque; postea etiam Hadrianus et Antoninus. Evanida enim omnia et cito in fabulas abeunt, cito plena oblivione obruuntur. Atque hoc dico de iis, qui admirabiliter quodammodo splenduerunt. Reliqui enim, simul atque exspirarunt, « ignoti nec fando auditi. » Quid autem est æterna memoria? nil nisi vanitas. Quid igitur est, in quo studium collocari oportet? Hoc unum, mens justa et actiones communioni accommodatæ et sermo mendacii expers, et animi adfectio prompta ad amplectendum quidquid contingit ut necessarium, ut familiare, ut ab ejusmodi principio et fonte promanans.

34. Parcæ sponte te præbe, permittens, ut te quibuscunque tandem libuerit rebus innendo nectat.

35. Unius diei et quod commemorat et quod commemoratur.

36. Continuo contemplare, omnia mutatione fieri, et

νόμενα καὶ ἐθίζου ἐννοεῖν, ὅτι οὐδὲν οὕτως φιλεῖ ἡ τῶν ὅλων φύσις, ὡς τὸ τὰ ὄντα μεταβάλλειν, καὶ ποιεῖν νέα ὅμοια. Σπέρμα γὰρ τρόπον τινὰ πᾶν τὸ ὂν τοῦ ἐξ αὐτοῦ ἐσομένου. Σὺ δὲ μόνα σπέρματα φαντάζῃ τὰ εἰς γῆν ἢ μήτραν καταβαλλόμενα· τοῦτο δὲ λίαν ἰδιωτικόν.

λζ'. Ἤδη τεθνήξῃ, καὶ οὔπω οὔτε ἁπλοῦς, οὔτε ἀτάραχος, οὔτε ἀνύποπτος τοῦ βλαβῆναι ἂν ἔξωθεν, οὔτε ἵλεως πρὸς πάντας, οὔτε τὸ φρονεῖν ἐν μόνῳ τῷ δικαιοπραγεῖν τιθέμενος.

λη'. Τὰ ἡγεμονικὰ αὐτῶν διάβλεπε, καὶ τοὺς φρονίμους, οἷα μὲν φεύγουσιν, οἷα δὲ διώκουσιν.

λθ'. Ἐν ἀλλοτρίῳ ἡγεμονικῷ κακὸν σὸν οὐχ ὑφίσταται· οὐδὲ μὴν ἔν τινι τροπῇ καὶ ἑτεροιώσει τοῦ περιέχοντος. Ποῦ οὖν; ὅπου τὸ περὶ κακῶν ὑπολαμβάνον σοί ἐστι. Τοῦτο οὖν μὴ ὑπολαμβανέτω, καὶ πάντα εὖ ἔχει. Κἂν τὸ ἐγγυτάτω αὐτοῦ, τὸ σωμάτιον, τέμνηται, καίηται, διαπυίσκηται, σήπηται, ὅμως τὸ ὑπολαμβάνον περὶ τούτων μόριον ἡσυχαζέτω· τουτέστι, κρινέτω, μήτε κακόν τι εἶναι, μήτε ἀγαθὸν, ὃ ἐπίσης δύναται κακῷ ἀνδρὶ καὶ ἀγαθῷ συμβαίνειν. Ὃ γὰρ *** καὶ τῷ κατὰ φύσιν βιοῦντι ἐπίσης συμβαίνει, τοῦτο οὔτε κατὰ φύσιν ἐστὶν, οὔτε παρὰ φύσιν.

μ'. Ὡς ἓν ζῶον τὸν κόσμον, μίαν οὐσίαν καὶ ψυχὴν μίαν ἐπέχον, συνεχῶς ἐπινοεῖν· καὶ πῶς εἰς αἴσθησιν μίαν τὴν τούτου πάντα ἀναδίδοται· καὶ πῶς ὁρμῇ μιᾷ πάντα πράσσει· καὶ πῶς πάντα πάντων τῶν γινομένων συναίτια· καὶ οἵα τις ἡ σύννησις καὶ συμμήρυσις.

μα'. Ψυχάριον εἶ, βαστάζον νεκρὸν, ὡς Ἐπίκτητος ἔλεγεν.

μβ'. Οὐδέν ἐστι κακὸν τοῖς ἐν μεταβολῇ γινομένοις· ὡς οὐδὲ ἀγαθὸν τοῖς ἐκ μεταβολῆς ὑφισταμένοις.

μγ'. Ποταμός τις ἐκ τῶν γινομένων καὶ ῥεῦμα βίαιον ὁ αἰών· ἅμα τε γὰρ ὤφθη ἕκαστον, καὶ παρενήνεκται, καὶ ἄλλο παραφέρεται, τὸ δὲ ἐνεχθήσεται.

μδ'. Πᾶν τὸ συμβαῖνον οὕτως σύνηθες καὶ γνώριμον, ὡς τὸ ῥόδον ἐν τῷ ἔαρι, καὶ ὀπώρα ἐν τῷ θέρει· τοιοῦτον γὰρ καὶ νόσος, καὶ θάνατος, καὶ βλασφημία, καὶ ἐπιβουλὴ, καὶ ὅσα τοὺς μωροὺς εὐφραίνει, ἢ λυπεῖ.

με'. Τὰ ἑξῆς ἀεὶ τοῖς προηγησαμένοις οἰκείως ἐπιγίνεται· οὐ γὰρ οἷον καταρίθμησίς τίς ἐστιν ἀπηρτημένως καὶ μόνον τὸ κατηναγκασμένον ἔχουσα, ἀλλὰ συνάφεια εὔλογος· καὶ ὥσπερ συντέτακται συνηρμοσμένως τὰ ὄντα, οὕτως τὰ γινόμενα οὐ διαδοχὴν ψιλὴν, ἀλλὰ θαυμαστήν τινα οἰκειότητα ἐμφαίνει.

μς'. Ἀεὶ τοῦ Ἡρακλειτείου μεμνῆσθαι· ὅτι γῆς θάνατος ὕδωρ γενέσθαι, καὶ ὕδατος θάνατος, ἀέρα γενέσθαι, καὶ ἀέρος πῦρ, καὶ ἔμπαλιν. Μεμνῆσθαι δὲ καὶ τοῦ ἐπιλανθανομένου, ᾗ ἡ ὁδὸς ἄγει· καὶ ὅτι, ᾧ μάλιστα διηνεκῶς ὁμιλοῦσι λόγῳ τῷ τὰ ὅλα διοικοῦντι, τούτῳ διαφέρονται· καὶ οἷς καθ' ἡμέραν ἐγκυροῦσι, ταῦτα αὐτοῖς ξένα φαίνεται. Καὶ, ὅτι οὐ δεῖ ὥσπερ καθεύδοντας ποιεῖν καὶ λέγειν· καὶ γὰρ τότε δοκοῦμεν ποιεῖν καὶ

adsuesce intelligere, nihil æque diligere universitatis naturam atque ea, quæ sunt, mutare et nova similia efficere: semen enim quodammodo quidquid est ejus, quod ex eo oriturum est: tu vero ea tantum semina opinaris, quæ in terram aut uterum sparguntur; id autem est hominis admodum rudis et imperiti.

37. Jamjam morieris, et nondum firmus nec imperturbatus es nec liber suspicione, extrinsecus damnum tibi adferri posse, nec propitius omnibus neque is, qui prudentiam non nisi in juste agendo positam existimes.

38. Mentes eorum intuere, adeoque prudentissimos, qualia fugiant, qualia sectentur.

39. In alterius mente malum tuum non situm est, neque vero in quodam motu aut mutatione ejus, quod te ambit. Ubi igitur? ubi tibi id est quod de malis opinatur: id igitur ne opinetur, et omnia bene habent: etiamsi, quod huic proximum est, corpusculum secetur, uratur, suppuretur, putrescat, id tamen, quod de istis opinatur, quiescat, hoc est, judicet nec malum esse nec bonum, quod similiter viro bono et malo accidere potest: quod enim * ei, qui contra naturam, et ei, qui secundum naturam vivit, similiter contingit, id neque secundum naturam neque contra naturam est.

40. Ut unum animal uno corpore et una anima præditum continuo contemplari mundum: et quomodo in unum hujusce sensum omnia digerantur; et quomodo uno impetu omnia agat; et quomodo omnia cum omnibus, quæ fiunt, ut partes causarum cohæreant, et qualis quidem hic sit connexus et contextus.

41. Animula es, cadaver gestans, ut Epictetus dicebat.

42. Nil mali est rebus mutationem subeuntibus, ut neque boni quidquam iis, quæ per mutationem existunt.

43. Fluvius quidem eorum, quæ fiunt, et rapidus torrens est ævum; simul atque quidquam comparuit, etiam abreptum est, et aliud abripitur et illud inferetur.

44. Quidquid accidit, tam consuetum est et familiare, quam rosa vere et fructus tempore messis. Ejusdem enim generis est morbus, et mors, et infamia, et insidiæ, et omnia, quæ stultos hilares aut tristes reddunt.

45. Subsequentia semper antecedentibus familiari quadam ratione succedunt: non enim est quasi computatio disjunctim et id tantum quod numerando coactum est continens, sed connexio rationi consentanea: et quemadmodum ea, quæ sunt, convenienter sunt ordinata, sic ea, quæ fiunt, non nudam successionem, sed admirabilem quandam familiaritatem præ se ferunt.

46. Semper Heracliti meminisse: terræ mortem fieri aquam, aquæ mortem fieri aerem, aeris ignem, et retro. Meminisse vero etiam illius, qui, qua ducat via, obliviscitur et qua potissimum perpetuo familiariter utantur ratione rerum universitatem administrante, cum ea eos dissidere, et, in quæ quotidie incidant ea ipsis videri peregrina: porro, non oportere nos instar dormientium agere et loqui, — nam etiam tum nobis videmur agere et loqui, — neque instar

λέγειν· καὶ ὅτι οὐ δεῖ παῖδας τοκέων, τοῦτ' ἔστι, κατὰ ψιλὸν, καθότι παρειλήφαμεν.

μζ'. Ὥσπερ εἴ τίς σοι θεῶν εἶπεν, ὅτι αὔριον τεθνήξῃ, ἢ πάντως γε εἰς τρίτην, οὐκ ἔτ' ἂν παρὰ μέγα ἐποιοῦ, τὸ εἰς τρίτην μᾶλλον, ἢ αὔριον, εἴ γε μὴ ἐσχάτως ἀγεννὴς εἶ· πόσον γάρ ἐστι τὸ μεταξύ; οὕτως καὶ τὸ εἰς πολλοστὸν ἔτος μᾶλλον, ἢ αὔριον, μηδὲν μέγα εἶναι νόμιζε.

μη'. Ἐννοεῖν συνεχῶς, πόσοι μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς ὑπὲρ τῶν ἀῤῥώστων συσπάσαντες· πόσοι δὲ μαθηματικοὶ, ἄλλων θανάτους, ὥς τι μέγα, προειπόντες· πόσοι δὲ φιλόσοφοι, περὶ θανάτου, ἢ ἀθανασίας, μυρία διατεινάμενοι· πόσοι δὲ ἀριστεῖς, πολλοὺς ἀποκτείναντες· πόσοι δὲ τύραννοι, ἐξουσίᾳ ψυχῶν μετὰ δεινοῦ φρυάγματος ὡς ἀθάνατοι κεχρημένοι· πόσαι δὲ πόλεις ὅλαι, ἵν' οὕτως εἴπω, τεθνήκασιν, Ἑλίκη, καὶ Πομπήϊοι, καὶ Ἡρκλάνον καὶ ἄλλαι ἀναρίθμητοι. Ἔπιθι δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ' ἄλλῳ· ὁ μὲν τοῦτον κηδεύσας, εἶτα ἐξετάθη, ὁ δὲ ἐκεῖνον· πάντα δὲ ἐν βραχεῖ. Τὸ γὰρ ὅλον, κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα, ὡς ἐφήμερα καὶ εὐτελῆ· καὶ ἐχθὲς μὲν μυξάριον, αὔριον δὲ τάριχος, ἢ τέφρα. Τὸ ἀκαριαῖον οὖν τοῦτο τοῦ χρόνου κατὰ φύσιν διελθεῖν, καὶ ἵλεων καταλῦσαι, ὡς ἂν εἰ ἐλαία πέπειρος γενομένη ἔπιπτεν, εὐφημοῦσα τὴν ἐνεγκοῦσαν, καὶ χάριν εἰδυῖα τῷ φύσαντι δένδρῳ.

μθ'. Ὅμοιον εἶναι τῇ ἄκρᾳ, ᾗ διηνεκῶς τὰ κύματα προσρήσσεται· ἡ δὲ ἕστηκε, καὶ περὶ αὐτὴν κοιμίζεται τὰ φλεγμήναντα τοῦ ὕδατος. — « Ἀτυχὴς ἐγὼ, ὅτι τοῦτό μοι συνέβη. — Οὐμενοῦν· ἀλλ', « Εὐτυχὴς ἐγὼ, ὅτι, τούτου μοι συμβεβηκότος, ἄλυπος διατελῶ, οὔτε ὑπὸ τοῦ παρόντος θραυόμενος, οὔτε τὸ ἐπιὸν φοβούμενος. » Συμβῆναι μὲν γὰρ τὸ τοιοῦτο παντὶ ἐδύνατο· ἄλυπος δὲ οὐ πᾶς ἐπὶ τούτῳ ἂν διετέλεσε. Διὰ τί οὖν ἐκεῖνο μᾶλλον ἀτύχημα, ἢ τοῦτο εὐτύχημα; λέγεις δὲ ὅλως ἀτύχημα ἀνθρώπου, ὃ οὐκ ἔστιν ἀπότευγμα τῆς φύσεως τοῦ ἀνθρώπου; ἀπότευγμα δὲ τῆς φύσεως τοῦ ἀνθρώπου εἶναί σοι δοκεῖ, ὃ μὴ παρὰ τὸ βούλημα τῆς φύσεως αὐτοῦ ἐστι; Τί οὖν; τὸ βούλημα μεμάθηκας· μή τι οὖν τὸ συμβεβηκὸς τοῦτο κωλύσει σε δίκαιον εἶναι, μεγαλόψυχον, σώφρονα, ἔμφρονα, ἀπρόπτωτον, ἀδιάψευστον, αἰδήμονα, ἐλεύθερον, τἄλλα, ὧν παρόντων ἡ φύσις ἡ τοῦ ἀνθρώπου ἀπέχει τὰ ἴδια; Μέμνησο λοιπὸν ἐπὶ παντὸς τοῦ εἰς λύπην σε προαγομένου, τούτῳ χρῆσθαι τῷ δόγματι· οὐχ ὅτι τοῦτο ἀτύχημα, ἀλλὰ τὸ φέρειν αὐτὸ γενναίως εὐτύχημα.

ν'. Ἰδιωτικὸν μὲν, ὅμως δὲ ἀνυστικὸν βοήθημα πρὸς θανάτου καταφρόνησιν, ἡ ἀναπόλησις τῶν γλίσχρως ἐνδιατριψάντων τῷ ζῆν. Τί οὖν αὐτοῖς πλέον ἢ τοῖς ἀώροις; πάντως πού ποτε κεῖνται, Καδικιανὸς, Φάβιος, Ἰουλιανὸς, Λέπιδος, ἢ εἴ τις τοιοῦτος, οἳ πολλοὺς ἐξήνεγκαν, εἶτα ἐξηνέχθησαν· ὅλον μικρόν ἐστι τὸ διάστημα, καὶ τοῦτο δι' ὅσων, καὶ μεθ' οἵων ἐξαντλούμενον, καὶ ἐν οἵῳ σωματίῳ; μὴ οὖν ὡς πρᾶγμα.... βλέπε γὰρ ὀπίσω τὸ ἀχανὲς τοῦ αἰῶνος, καὶ τὸ πρόσω ἄλλο ἄπει-

liberorum parentibus obnoxiorum, quorum est illud: « simpliciter, prout accepimns. »

47. Quemadmodum si quis Deus tibi diceret cras aut ad summum perendie te moriturum, non amplius magni faceres, perendie potius, quam cras, obire, nisi abjectissimi esses animi: quantulum enim est intervallum? sic quoque certo aliquo anno e multis potius, quam crastino die, mori magnum esse noli existimare.

48. Perpetuo reputare: quam multi medici occubuerunt, qui sæpe super ægrotis supercilia contraxerant! quot mathematici, qui aliorum mortem ut rem magnam prædixerant! quot philosopi, qui de morte et immortalitate acerrime et copiosissime disseruerant! quot bellatores, qui multos peremerant! quot tyranni, qui vitæ necisque potestate horribili cum fastu tanquam immortales usi erant! quot urbes, ut ita dicam, emortuæ sunt, Helice et Pompeii et Herculanum et aliæ innumerabiles! Adde quos ipse novisti, qui alium post alium, postquam hic illius exsequias curavit, et ipse elatus est, alius alium, atque hæc omnia brevi tempore. Summa est: semper humana spectari oportere ut in unum diem durantia et vilia, fieri mucum, cras salsuram aut favillam: hoc quod puncti instar obtinet tempus naturæ convenienter transigere et æquo animo hinc discedere, perinde atque oliva maturitatem adepta decideret, genitricem [terram] collaudans arborique gignenti gratias agens.

49. Promontorii instar esse, ad quod fluctus perpetuo alliduntur: illud autem consistit et circa se maris æstum compescit. « O me infelicem, cui hoc acciderit! » Minime vero, sed « O me beatum, qui, quum hoc mihi acciderit, sine dolore vivam, neque a præsente ictu vulneratus, neque futuri metuens! » Nam tale quid accidere poterat cuivis; sed non quivis, si hoc ei accidisset, dolore vacuus mansisset. Quare igitur illud infortunium potius, quam hoc felicitas? Num omnino id infortunium vocas, quo hominis fortuna non frustratur? hominis ne natura frustrari tibi videtur eo, quod non contra voluntatem naturæ ejus fit? Quid igitur? Voluntatem nosti: num igitur id quod tibi accidit, te impediet, quominus justus sis, magnanimus, temperans, prudens, ab assentiendi temeritate alienus, erroris immunis, verecundus, liber ceterisque virtutibus ornatus quæ quando adsunt, natura hominis habet sibi propria? Quod reliquum est, memento in omni re, quæ ad dolorem te impellit, illius decreti, id non esse infortunium, sed generose id ferre esse felicitatem.

50. Plebeium quidem, efficax tamen est adjumentum ad mortem contemnendam, memoria recolere eos qui vitæ pertinaciter inhæsere. Quid igitur plus est iis quam immature defunctis? Omnino alicubi jacent Cæcidianus, Fabius, Julianus, Lepidus aut si quis alius ejus generis est, qui quum multos extulissent, et ipsi elati sunt? Omnino parvum est intervallum, idque per quot *casus* et cum quibus *hominibus* et quali in corpusculo exantlatum? Ne igitur quasi magnum aliquid.... Considera enim præteriti ævi immensitatem, futuri itidem aliam immensitatem! in hac

ρον. Ἐν δὴ τούτῳ, τί διαφέρει ὁ τριήμερος τοῦ τριγερηνίου;

να΄. Ἐπὶ τὴν σύντομον ἀεὶ τρέχε· σύντομος δὲ ἡ κατὰ φύσιν· ὥστε κατὰ τὸ ὑγιέστατον πᾶν λέγειν καὶ πράσσειν. Ἀπαλλάσσει γὰρ ἡ τοιαύτη πρόθεσις κόπων, καὶ στρατείας, καὶ πάσης οἰκονομίας, καὶ κομψείας.

ΒΙΒΛΙΟΝ Ε.

Ὄρθρου, ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι· τί οὖν δυσκολαίνω, εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα, καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον; ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος τοῖς στρωματίοις ἐμαυτὸν θάλπω; — Ἀλλὰ τοῦτο ἥδιον. — Πρὸς τὸ ἥδεσθαι οὖν γέγονας; ὅλως δὲ οὐ πρὸς ποιεῖν, ἢ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας τὸ ἴδιον ποιούσας, τὸν καθ' αὐτὰς συγκοσμούσας κόσμον; ἔπειτα σὺ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν; — Ἀλλὰ δεῖ καὶ ἀναπαύεσθαι.— Δεῖ· ἔδωκε μέντοι καὶ τούτου μέτρα ἡ φύσις· ἔδωκε [μέντοι] καὶ τοῦ ἐσθίειν καὶ πίνειν· καὶ ὅμως σὺ ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς· ἐν ταῖς πράξεσι δὲ οὐχ ἔτι, ἀλλ' ἐντὸς τοῦ δυνατοῦ. Οὐ γὰρ φιλεῖς σεαυτόν. Ἐπεί τοι καὶ τὴν φύσιν ἄν σου, καὶ τὸ βούλημα ταύτης ἐφίλεις. Ἀλλ' οἵ γε τὰς τέχνας ἑαυτῶν φιλοῦντες, συγκατατήκονται τοῖς κατ' αὐτὰς ἔργοις, ἄλουτοι καὶ ἄσιτοι· σὺ (δὲ) τὴν φύσιν τὴν σεαυτοῦ ἔλασσον τιμᾷς ἢ ὁ τορνευτὴς τὴν τορνευτικὴν, ἢ ὁ ὀρχηστὴς τὴν ὀρχηστικὴν, ἢ ὁ φιλάργυρος τὸ ἀργύριον, ἢ ὁ κενόδοξος τὸ δοξάριον. Καὶ οὗτοι, ὅταν προσπαθῶσιν, οὔτε φαγεῖν, οὔτε κοιμηθῆναι θέλουσι μᾶλλον, ἢ ταῦτα συναύξειν, πρὸς ἃ διαφέρονται· σοὶ δὲ αἱ κοινωνικαὶ πράξεις εὐτελέστεραι φαίνονται, καὶ ἥσσονος σπουδῆς ἄξιαι;

β΄. Ὡς εὔκολον ἀπώσασθαι καὶ ἀπαλεῖψαι πᾶσαν φαντασίαν [τὴν] ὀχληρὰν, ἢ ἀνοίκειον, καὶ εὐθὺς ἐν πάσῃ γαλήνῃ εἶναι.

γ΄. Ἄξιον ἑαυτὸν κρίνε παντὸς λόγου καὶ ἔργου τοῦ κατὰ φύσιν· καὶ μή σε παρειπάτω ἡ ἐπακολουθοῦσά τινων μέμψις, ἢ λόγος, ἀλλὰ, εἰ καλὸν πεπρᾶχθαι, ἢ εἰρῆσθαι, μὴ σεαυτὸν ἀπαξίου. Ἐκεῖνοι μὲν γὰρ ἴδιον ἡγεμονικὸν ἔχουσι, καὶ ἰδίᾳ ὁρμῇ χρῶνται· ἃ σὺ μὴ περιβλέπου, ἀλλ' εὐθεῖαν πέραινε, ἀκολουθῶν τῇ φύσει τῇ ἰδίᾳ καὶ τῇ κοινῇ· μία δὲ ἀμφοτέρων τούτων [ἡ] ὁδός.

δ΄. Πορεύομαι διὰ τῶν κατὰ φύσιν, μέχρι πεσὼν ἀναπαύσομαι, ἐναποπνεύσας μὲν τούτῳ, ἐξ οὗ καθ' ἡμέραν ἀναπνέω, πεσὼν δὲ ἐπὶ τούτῳ, ἐξ οὗ καὶ τὸ σπερμάτιον ὁ πατήρ μου συνέλεξε, καὶ τὸ αἱμάτιον ἡ μήτηρ, καὶ τὸ γαλάκτιον ἡ τροφός· ἐξ οὗ καθ' ἡμέραν τοσούτοις ἔτεσι βόσκομαι, καὶ ἀρδεύομαι, ὃ φέρει με πατοῦντα, καὶ εἰς τοσαῦτα ἀποχρώμενον αὐτῷ.

ε΄. Δριμύτητά σου οὐκ ἔχουσι θαυμάσαι. Ἔστω·

vero quid differt, qui triduum vixit, ab eo, qui per tria hominum sæcula vitam extraxit?

51. Ad compendiariam semper fac curras: compendiaria autem, quæ secundum naturam est, ita ut ad sanissimam rationem quidquid loquaris et facias. Tale enim propositum te molestiis liberabit et militia et omni dissimulatione et vafritie.

LIBER V.

1. Mane, quum gravatim expergisceris, promptum sit hoc: ad hominis opus expergiscor: quid igitur moleste fero, quod pergo ad ea agenda, quorum causa natus sum, quorum causa in mundum veni? an vero ad hoc natus sum, ut in stragulis decumbens me foveam? « At hoc magis delectat. » — Ad delectationem igitur natus es, non ad agendum seu opus faciendum? Videsne arbusculas, passerculos, formicas, araneas, apes, quum quod sui officii est, faciant, suum exornantes mundum? itane tu ea, quæ hominum sunt, facere recusas? non properas ad id, quod secundum tuam naturam est? — « Verum etiam quiete opus est. » — Est; dedit tamen etiam hujus mensuram natura; dedit item mensuram edendi ac bibendi; et tu tamen ultra mensuram, ultra ea, quæ sufficiunt, progrederis; in agendo autem non ulterius, sed intra id, quod fieri potest: nam te ipsum non diligis; alioquin etiam naturam tuam ejusque voluntatem diligeres. Atque ii quidem, qui artes suas diligunt, earum operibus intabescunt, illoti et impransi; tu naturam tuam minoris facis quam tornator tornariam quam saltator saltandi artem, quam avarus argentum, quam ambitiosus gloriolam. Etiam hi, ubi his addicti sunt, neque cibum nec somnum magis capere expetunt, quam ea amplificare, quæ ipsos delectant; tibi autem actiones ad societatem pertinentes viliores esse videntur et minore studio dignæ?

2. Quam facile amoliri et abstergere visum quodvis vel molestiam excitans vel societati repugnans, et statim in summa tranquillitate esse.

3. Dignum te habeto quovis sermone et opere naturæ conveniente, neque te avertat quæ sequatur quorundam vituperatio aut sermo, si factu dictuve pulcrum est, noli te eo indignum judicare: illi enim sua utuntur mente suoque ducuntur impetu; hæc tu noli circumspicere, sed recta perge, naturæ propriæ et communi obsequens: una et eadem utriusque via.

4. Proficiscor per ea, quæ secundum naturam sunt, donec occumbens requiescam, in id animam exspirans, unde quotidie spiritum haurio et in id cadens, unde pater semen collegit, sanguinem mater, nutrix lac; unde ex tot annis pascor et potor, quod me fert calcantem eoque ad tot res abutentem.

5. Ingenii tui acumen non est, quod admirentur. Sit

ἀλλὰ ἕτερα πολλά, ἐφ' ὧν οὐκ ἔχεις εἰπεῖν, « Οὐ γὰρ πέφυκα. » Ἐκεῖνα οὖν παρέχου, ἅπερ ὅλα ἐστὶν ἐπὶ σοί, τὸ ἀκίβδηλον, τὸ σεμνόν, τὸ φερέπονον, τὸ ἀφιλήδονον, τὸ ἀμεμψίμοιρον, τὸ ὀλιγοδεές, τὸ εὐμενές, τὸ ἐλεύθερον, τὸ ἀπέρισσον, τὸ ἀφλύαρον, τὸ μεγαλεῖον. Οὐκ αἰσθάνῃ, πόσα ἤδη παρέχεσθαι δυνάμενος, ἐφ' ὧν οὐδεμία ἀφυΐας καὶ ἀνεπιτηδειότητος πρόφασις, ὅμως ἔτι κάτω μένεις ἑκών; ἢ καὶ γογγύζειν, καὶ γλισχρεύεσθαι, καὶ κολακεύειν, καὶ τὸ σωμάτιον καταιτιᾶσθαι, καὶ ἀρεσκεύεσθαι, καὶ περπερεύεσθαι, καὶ τοσαῦτα ῥιπτάζεσθαι τῇ ψυχῇ, διὰ τὸ ἀφυῶς κατεσκευάσθαι, ἀναγκάζῃ; Οὐ μὰ τοὺς θεούς! Ἀλλὰ τούτων μὲν πάλαι ἀπηλλάχθαι ἐδύνασο· μόνον δέ, εἰ ἄρα, ὡς βραδύτερος καὶ δυσπαρακολουθητότερος καταγινώσκεσθαι· καὶ τοῦτο δὲ ἀσκητέον, μὴ παρενθυμουμένῳ, μηδὲ ἐμφιληδοῦντι τῇ νωθείᾳ.

ς'. Ὁ μέν τις ἐστίν, ὅταν τι δεξιὸν περί τινα πράξῃ, πρόχειρος καὶ λογίσασθαι αὐτῷ τὴν χάριν. Ὁ δὲ πρὸς τοῦτο μὲν οὐ πρόχειρος, ἄλλως μέντοι παρ' ἑαυτῷ ὡς περὶ χρεώστου διανοεῖται, καὶ οἶδεν, ὃ πεποίηκεν. Ὁ δέ τις τρόπον τινὰ οὐδὲ οἶδεν, ὃ πεποίηκεν· ἀλλὰ ὅμοιός ἐστιν ἀμπέλῳ βότρυν ἐνεγκούσῃ, καὶ μηδὲν ἄλλο προσεπιζητούσῃ, μετὰ τὸ ἅπαξ τὸν ἴδιον καρπὸν ἐνηνοχέναι. Ἵππος δραμών, κύων ἰχνεύσας, μέλισσα μέλι ποιήσασα, ἄνθρωπος δ' εὖ ποιήσας, οὐκ ἐπιβοᾶται, ἀλλὰ μεταβαίνει ἐφ' ἕτερον, ὡς ἄμπελος ἐπὶ τὸ πάλιν ἐν τῇ ὥρᾳ τὸν βότρυν ἐνεγκεῖν. — Ἐν τούτοις οὖν δεῖ εἶναι, τοῖς τρόπον τινὰ ἀπαρακολουθήτως αὐτὸ ποιοῦσι; — Ναί. — Ἀλλ' αὐτὸ τοῦτο δεῖ παρακολουθεῖν· ἴδιον γὰρ (φησὶ) τοῦ κοινωνικοῦ τὸ αἰσθάνεσθαι, ὅτι κοινωνικῶς ἐνεργεῖ, καὶ νὴ Δία, βούλεσθαι καὶ τὸν κοινωνὸν αἰσθέσθαι. — Ἀληθὲς μέν ἐστιν, ὃ λέγεις· τὸ δὲ νῦν λεγόμενον παρεκδέχῃ· διὰ τοῦτο ἔσῃ εἷς ἐκείνων, ὧν πρότερον ἐπεμνήσθην· καὶ γὰρ ἐκεῖνοι λογικῇ τινι πιθανότητι παράγονται. Ἐὰν δὲ θελήσῃς συνεῖναι, τί ποτέ ἐστι τὸ λεγόμενον, μὴ φοβοῦ, μὴ παρὰ τοῦτο παραλίπῃς τι ἔργον κοινωνικόν.

ζ'. Εὐχὴ Ἀθηναίων, « Ὗσον, ὗσον, ὦ φίλε Ζεῦ, κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων. » Ἤτοι οὐ δεῖ εὔχεσθαι, ἢ οὕτως, ἁπλῶς καὶ ἐλευθέρως.

η'. Ὁποῖόν τί ἐστι τὸ λεγόμενον, ὅτι « Συνέταξεν ὁ Ἀσκληπιὸς τούτῳ ἱππασίαν, ἢ ψυχρολουσίαν, ἢ ἀνυποδησίαν· » τοιοῦτόν ἐστι καὶ τό, « Συνέταξε τούτῳ ἡ τῶν ὅλων φύσις νόσον, ἢ πήρωσιν, ἢ ἀποβολήν, ἢ ἄλλο τι τῶν τοιούτων. » Καὶ γὰρ ἐκεῖ τὸ « Συνέταξε, » τοιοῦτόν τι σημαίνει, ἔταξε τούτῳ τοῦτο, ὡς κατάλληλον πρὸς ὑγίειαν· καὶ ἐνταῦθα τὸ συμβαῖνον ἑκάστῳ τέτακταί πως αὐτῷ κατάλληλον πρὸς τὴν εἱμαρμένην. Οὕτως γὰρ καὶ « συμβαίνειν » αὐτὰ ἡμῖν λέγομεν, ὡς καὶ τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχεσιν, ἢ ταῖς πυραμίσι, « συμβαίνειν » οἱ τεχνῖται λέγουσι, συναρμόζοντες ἀλλήλοις τῇ ποιᾷ συνθέσει. Ὅλως γὰρ ἁρμονία ἐστὶ μία. Καὶ ὥσπερ ἐκ πάντων τῶν σωμάτων ὁ κόσμος τοιοῦτον σῶμα συμπληροῦται, οὕτως ἐκ πάντων τῶν αἰτίων ἡ

ita; verum multa alia sunt, ad quæ te natura aptum esse negare non possis : hæc igitur præsta, quæ tota in tua sunt potestate, sinceritatem, gravitatem, laborum tolerantiam, voluptatibus abstinere, de sorte non queri, paucis indigere, benevolum esse, liberum, a luxuria, nugis et magnificentia alienum. Sentisne, ad quam multa præstanda viribus pollens, ita ut, quin habilis aptusque sis, nihil sit, quod causeris, tamen adhuc infra *ea* sponte consistas? Num etiam murmurare et tenacem esse et adulari et corpusculum incusare et assentari et te ostentare et tot res animo volutare per naturalem ingenii hebetudinem cogeris? Non, per Deos; non; sed his omnibus jampridem liber esse potuisti, et tantum, si modo, propter ingenii tarditatem et hebetudinem notari. Verum etiam in hoc te exerce, nec tarditatem illam negligens neque in ea tibi placens.

6. Alius simul atque gratum alicui aliquid fecit, promptus est ad beneficium illi in accepta referendum; alius ad id non promptus est, ceterum tamen apud se ut de debitore cogitat et novit, quod fecit : alius quodammodo ne novit quidem, quod fecit, sed similis est viti, quæ uvam protulit et nihil præterea appetit, postquam semel fructum suum genuit. Ut equus, qui cucurrit; ut canis, qui *feras* investigavit; ut apis, quæ mel confecit, ita homo qui bene fecit, non clamore rem extollit, sed ad aliud transit, ut vitis ad uvam iterum suo tempore gignendam. — Inter hos igitur esse oportet, qui quodammodo, quod agunt, ipsi nesciunt? — Oportet. — At hoc ipsum intelligere fas est : nam proprium est (inquit) illius, qui ad communionem natus est, ut sentiat, se quemadmodum societatis amantem decet agere, immo etiam velit, ut socius id sentiat. — Verum quidem est, quod dicis, sed hoc dictum non recte accipis; hinc unus eris ex iis, quorum antea mentionem feci : nam hi quoque rationali quadam probabilitate ducuntur. Quod si intelligere volueris, quid tandem hoc dictum sibi velit, noli timere, ne hac de causa quidquam, quod societati prodest, prætermittas.

7. Votum Atheniensium : « Pluviam, pluviam da, care Jupiter, arvis et pratis Atheniensium! » aut non oportet precari, aut sic, simpliciter et ingenue.

8. Cujusmodi id est, quod vulgo dicunt, « Æsculapium huic vel illi, ut equitet aut frigida lavetur aut nudis pedibus incedat, constituisse; « ejusmodi est etiam hoc, « naturam huic vel illi, ut ægrotet, ut membris mutiletur, ut *suos* amittat aut aliud ejus generis constituisse; » nam et illic « constituisse » hujusmodi aliquid significat, « statuisse » huic illud [Æsculapium] ut sanitati conveniens, et hic quod cuique contingit, illi aliquo modo statutum esse, ut fato consentaneum; ita enim hæc quoque nobis « contingere » dicimus, ut lapides quadratos in muris aut pyramidibus « contingere » dicunt artifices, quum sibi inter se quadam positione coaptantur. Omnino concentus est unus; et quemadmodum cunctis corporibus hic mundus, quo ejusmodi corpus sit, perficitur, ita ex universis

εἱμαρμένη τοιαύτη αἰτία συμπληροῦται. Νοοῦσι δὲ, ὃ λέγω, καὶ οἱ τέλεον ἰδιῶται· φασὶ γὰρ, « Τοῦτο ἔφερεν αὐτῷ. » Οὐκοῦν τοῦτο τούτῳ ἐφέρετο, καὶ τοῦτο τούτῳ συνετάττετο. Δεχώμεθα οὖν αὐτὰ, ὡς ἐκεῖνα, ἃ ὁ Ἀσκληπιὸς συντάττει. Πολλὰ γοῦν καὶ ἐν ἐκείνοις ἐστὶ τραχέα· ἀλλὰ ἀσπαζόμεθα τῇ ἐλπίδι τῆς ὑγιείας. Τοιοῦτόν τί σοι δοκείτω ἄνυσις καὶ συντέλεια τῶν τῇ κοινῇ φύσει δοκούντων, οἷον ἡ σὴ ὑγίεια. Καὶ οὕτως ἀσπάζου πᾶν τὸ γινόμενον, κἂν ἀπηνέστερον δοκῇ, διὰ τὸ ἐκεῖσε ἄγειν, ἐπὶ τὴν τοῦ κόσμου ὑγίειαν, καὶ τὴν τοῦ Διὸς εὐοδίαν καὶ εὐπραγίαν. Οὐ γὰρ ἂν τοῦτό τινι ἔφερεν, εἰ μὴ τῷ ὅλῳ συνέφερεν. Οὐδὲ γὰρ ἡ τυχοῦσα φύσις φέρει τι, ὃ μὴ τῷ διοικουμένῳ ὑπ' αὐτῆς κατάλληλόν ἐστι. Οὐκοῦν κατὰ δύο λόγους στέργειν χρὴ τὸ συμβαῖνόν σοι· καθ' ἕνα μὲν, ὅτι σοὶ ἐγίνετο, καὶ σοὶ συνετάττετο, καὶ πρός σέ πως εἶχεν, ἄνωθεν ἐκ τῶν πρεσβυτάτων αἰτίων συγκλωθόμενον· καθ' ἕτερον δὲ, ὅτι τῷ τὸ ὅλον διοικοῦντι τῆς εὐοδίας καὶ τῆς συντελείας, καὶ νὴ Δία τῆς συμμονῆς αὐτῆς καὶ τὸ ἰδίᾳ εἰς ἕκαστον ἧκον αἴτιόν ἐστι. Πηροῦται γὰρ τὸ ὁλόκληρον, ἐὰν καὶ ὁτιοῦν διακόψῃς τῆς συναφείας καὶ συνεχείας, ὥσπερ τῶν μορίων, οὕτω δὴ καὶ τῶν αἰτίων. Διακόπτεις δὲ, ὅσον ἐπὶ σοὶ, ὅταν δυσαρεστῇς, καὶ τρόπον τινὰ ἀναιρῇς.

θ'. Μὴ σικχαίνειν, μηδὲ ἀπαυδᾶν, μηδὲ ἀποδυσπετεῖν, εἰ μὴ καταπυκνοῦταί σοι τὸ ἀπὸ δογμάτων ὀρθῶν ἕκαστα πράσσειν· ἀλλὰ ἐκκρουσθέντα, πάλιν ἐπανιέναι, καὶ ἀσμενίζειν, εἰ τὰ πλείω ἀνθρωπικώτερα, καὶ φιλεῖν τοῦτο, ἐφ' ὃ ἐπανέρχῃ· καὶ μὴ ὡς πρὸς παιδαγωγὸν τὴν φιλοσοφίαν ἐπανιέναι· ἀλλ' ὡς οἱ ὀφθαλμιῶντες πρὸς τὸ σπογγάριον καὶ τὸ ᾠὸν, ὡς ἄλλος πρὸς κατάπλασμα, ὡς πρὸς καταιόνησιν. Οὕτως γὰρ οὐδὲν ἐπιδείξει τὸ πειθαρχεῖν τῷ λόγῳ, ἀλλὰ προσαναπαύσῃ αὐτῷ. Μέμνησο δὲ, ὅτι φιλοσοφία μόνα θέλει, ἃ ἡ φύσις σου θέλει· σὺ δὲ ἄλλο ἤθελες οὐ κατὰ φύσιν. — Τί γὰρ τούτων προσηνέστερον; — Ἡ γὰρ ἡδονὴ οὐχὶ διὰ τοῦτο σφάλλει; Ἀλλὰ θέασαι, εἰ προσηνέστερον μεγαλοψυχία, ἐλευθερία, ἁπλότης, εὐγνωμοσύνη, ὁσιότης. Αὐτῆς γὰρ φρονήσεως τί προσηνέστερον; ὅταν τὸ ἄπταιστον, καὶ εὔρουν ἐν πᾶσι τῆς παρακολουθητικῆς καὶ ἐπιστημονικῆς δυνάμεως ἐνθυμηθῇς.

ι'. Τὰ μὲν πράγματα ἐν τοιαύτῃ τρόπον τινὰ ἐγκαλύψει ἐστὶν, ὥστε φιλοσόφοις οὐκ ὀλίγοις, οὐδὲ τοῖς τυχοῦσιν, ἔδοξε παντάπασιν ἀκατάληπτα εἶναι. Πλὴν αὐτοῖς γε τοῖς Στωϊκοῖς δυσκατάληπτα δοκεῖ· καὶ πᾶσα ἡ ἡμετέρα συγκατάθεσις μεταπτωτή· ποῦ γὰρ ὁ ἀμετάπτωτος; Μέτιθι τοίνυν ἐπ' αὐτὰ τὰ ὑποκείμενα· ὡς ὀλιγόχρονα, καὶ εὐτελῆ, καὶ δυνάμενα ἐν κτήσει κιναίδου, ἢ πόρνης, ἢ λῃστοῦ εἶναι. Μετὰ τοῦτο ἔπιθι ἐπὶ τὰ τῶν συμβιούντων ἤθη, ὧν μόλις ἐστὶ καὶ τοῦ χαριεστάτου ἀνασχέσθαι, ἵνα μὴ λέγω, ὅτι καὶ ἑαυτόν τις μόλις ὑπομένει. Ἐν τοιούτῳ οὖν ζόφῳ καὶ ῥύπῳ καὶ τοσαύτῃ ῥύσει τῆς τε οὐσίας καὶ τοῦ χρόνου, καὶ τῆς κινήσεως, καὶ τῶν κινουμένων, τί ποτ' ἐστὶ τὸ ἐκτιμηθῆναι, ἢ τὸ ὅλως σπουδασθῆναι δυνάμενον, οὐδ' ἐπινοῶ. Τοὐναν-

causis, ut hujusmodi causa sit, fatum perficitur. Intelligunt hoc, quod dico, etiam imperitissimi quique; dicunt enim, « tulit hoc illi. » Hoc igitur illi « ferebatur » et hoc « illi constituebatur. » Accipiamus igitur hæc ut ea quæ Æsculapius « constituit »; multa enim etiam in his aspera sunt, quæ tamen sanitatis spe amplectimur. Ejusmodi igitur aliquid tibi videatur perfectio et absolutio eorum, quæ naturæ communi visa sunt, cujusmodi est bona tua valetudo. Et ita quidquid evenit, etiamsi asperum videatur, amplectere, quoniam eo tendit, ad mundi sanitatem et Jovis prosperitatem et felicitatem : non enim id cuiquam ferret, nisi ad universi bonum conferret : neque enim natura ubique obvia quidquam fert, quod rei a se administratæ non consentaneum est. Duæ igitur sunt rationes, cur singulari quodam amoris adfectu quidquid evenerit id amplecti te oporteat : altera, quod tibi factum est, tibi constitutum erat, certa quadam ratione ad te se habebat, inde a principio ex causis antiquissimis tibi contextum : altera, quod etiam id, quod singulis quibusque privatim contingit, naturæ universitatem administranti in causa est prosperitatis et perfectionis et utique ipsius conservationis : mutilatur enim integrum ipsum, si vel minimum, ut partium, ita et rerum efficientium abscindas : abscindis autem, quantum in te est, quando moleste fers aliquid et quodammodo tollis.

9. Noli fastidire aut animum despondere aut desperare, si tibi secundum recta decreta singula agere cupienti non perinde semper res successerit; sed deturbatus iterum regredere et contentus esto, si plura homine digniora *edideris* et id, ad quod reversus es, fac diligas. Neque tanquam ad pædagogum redi ad philosophiam, sed, ut qui oculis laborant ad penicillum et ovum, ut alius ad emplastrum, alius ad perfusionem : sic nihil * te mordebit obsequium rationi præstandum, sed in eo acquiesces. Illud autem memento, philosophiam ea sola postulare, quæ natura tua postulet : tu autem aliud volebas non convenienter naturæ. — Quid horum blandius est? — Nonne enim eapropter fallit voluptas? — At vide, gratiorne sit magnanimitas, libertas, simplicitas, animi æquitas, sanctitas. Ipsa vero prudentia quid jucundius est? si eam cogitaveris ejus facultatis, in qua intelligentia et scientia inest, præstantiam, quæ in nulla re labitur et in omni re prospere fertur.

10. Res quidem *ipsæ* in tantis quodammodo involutæ sunt tenebris, ut philosophis haud paucis nec vulgaribus omnino non comprehensibiles esse viderentur : præterea ipsis adeo Stoicis perceptu difficiles videntur : etiam omnis noster assensus mutabilis; ubi enim est homo, qui sententiam non mutet? Proinde transi ad res subjectas : quam caducæ, quam viles et quæ etiam a cinædo aut scorto aut latrone possideri possint. Tum porro accede ad mores eorum, quibuscum vivitur, quos sustinere vix festivissimi est, ne dicam, se ipsum quoque vix quemquam sustinere. Tali igitur in caligine et sordibus et in tanto et materiæ et temporis et motus et rerum motarum fluxu quid tandem magna æstimatione aut omnino studio dignum sit, non intelligo. Contra fas est me ipsum consolari et exspectare

τίον γὰρ δεῖ παραμυθούμενον ἑαυτὸν περιμένειν τὴν φυσικὴν λύσιν, καὶ μὴ ἀσχάλλειν τῇ διατριβῇ, ἀλλὰ τούτοις μόνοις προσαναπαύεσθαι· ἑνὶ μὲν τῷ, ὅτι οὐδὲν συμβήσεταί μοι, ὃ οὐχὶ κατὰ τὴν τῶν ὅλων φύσιν ἐστίν· ἑτέρῳ δὲ, ὅτι ἔξεστί μοι μηδὲν πράσσειν παρὰ τὸν ἐμὸν θεὸν καὶ δαίμονα. Οὐδεὶς γὰρ ὁ ἀναγκάσων τοῦτον παραβῆναι.

ια'. Πρὸς τί ποτε ἄρα νῦν χρῶμαι τῇ ἐμαυτοῦ ψυχῇ; παρ' ἕκαστα τοῦτο ἐπανερωτᾷν ἑαυτὸν, καὶ ἐξετάζειν, τί μοί ἐστι νῦν ἐν τούτῳ τῷ μορίῳ, ὃ δὴ ἡγεμονικὸν καλοῦσι; καὶ τίνος ἄρα νῦν ἔχω ψυχήν; μήτι παιδίου; μήτι μειρακίου; μήτι γυναικαρίου; μήτι τυράννου; μήτι κτήνους; μήτι θηρίου;

ιβ'. Ὁποῖά τινά ἐστι τὰ τοῖς πολλοῖς δοκοῦντα ἀγαθὰ, καὶ ἐντεῦθεν λάβοις. Εἰ γάρ τις ἐπινοήσειεν ὑπάρχοντά τινα ὡς ἀληθῶς ἀγαθὰ, οἷον φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρίαν, οὐκ ἂν ταῦτα προεπινοήσας, ἔτι ἀκοῦσαι δυνηθείη τί· ὑπὸ * * τῷ ἀγαθῷ γὰρ (οὐκ) ἐφαρμόσει. Τὰ δέ γε τοῖς πολλοῖς φαινόμενα ἀγαθὰ προεπινοήσας τις, ἐξακούσεται, καὶ ῥᾳδίως δέξεται, ὡς οἰκείως ἐπιλεγόμενον τὸ ὑπὸ τοῦ κωμικοῦ εἰρημένον. Οὕτως καὶ οἱ πολλοὶ φαντάζονται τὴν διαφοράν. Οὐ γὰρ ἂν τοῦτο μὲν οὐ προσέκοπτε καὶ ἀπηξιοῦτο· τὸ δὲ ἐπὶ τοῦ πλούτου καὶ τῶν πρὸς τρυφὴν, ἢ δόξαν, εὐκληρημάτων παρεδεχόμεθα, ὡς ἱκνουμένως καὶ ἀστείως εἰρημένον. Πρόϊθι οὖν καὶ ἐρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ ὑποληπτέον τὰ τοιαῦτα, ὧν προεπινοηθέντων, οἰκείως ἂν ἐπιφέροιτο τὸ τὸν κεκτημένον αὐτὰ ὑπὸ τῆς εὐπορίας οὐκ ἔχειν, ὅποι χέσῃ.

ιγ'. Ἐξ αἰτιώδους καὶ ὑλικοῦ συνέστηκα· οὐδέτερον δὲ τούτων εἰς τὸ μὴ ὂν φθαρήσεται· ὥσπερ οὐδὲ ἐκ τοῦ μὴ ὄντος ὑπέστη. Οὐκοῦν καταταχθήσεται πᾶν μέρος ἐμὸν κατὰ μεταβολὴν εἰς μέρος τι τοῦ κόσμου· καὶ πάλιν ἐκεῖνο εἰς ἕτερον μέρος τοῦ κόσμου μεταβαλεῖ· καὶ ἤδη εἰς ἄπειρον. Κατὰ τοιαύτην δὲ μεταβολὴν κἀγὼ ὑπέστην, καὶ οἱ ἐμὲ γεννήσαντες, καὶ ἐπανιόντι εἰς ἄλλο ἄπειρον. Οὐδὲν γὰρ κωλύει οὕτως φάναι, κἂν κατὰ περιόδους πεπερασμένας ὁ κόσμος διοικῆται.

ιδ'. Ὁ λόγος καὶ ἡ λογικὴ τέχνη δυνάμεις εἰσὶν ἑαυταῖς ἀρκούμεναι, καὶ τοῖς καθ' ἑαυτὰς ἔργοις. Ὁρμῶνται μὲν οὖν ἀπὸ τῆς οἰκείας ἀρχῆς· ὁδεύουσι δὲ πρὸς τὸ προκείμενον τέλος· καθ' ὃ κατορθώσεις αἱ τοιαῦται πράξεις ὀνομάζονται, τὴν ὀρθότητα τῆς ὁδοῦ σημαίνουσαι.

ιε'. Οὐδὲν τούτων ῥητέον ἀνθρώπου, ἃ ἀνθρώπῳ καθὸ ἄνθρωπος, οὐκ ἐπιβάλλει. Οὐκ ἔστιν ἀπαιτήματα ἀνθρώπου, οὐδὲ ἐπαγγέλλεται αὐτὰ ἡ τοῦ ἀνθρώπου φύσις, οὐδὲ τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως. Οὐ τοίνυν οὐδὲ τὸ τέλος ἐν αὐτοῖς ἐστι τῷ ἀνθρώπῳ κείμενον, οὐδὲ τὸ συμπληρωτικὸν τοῦ τέλους, τὸ ἀγαθόν. Ἔτι εἴ τι τούτων ἦν ἐπιβάλλον τῷ ἀνθρώπῳ, οὐκ ἂν τὸ ὑπερφρονεῖν αὐτῶν, καὶ κατεξανίστασθαι, ἐπιβάλλον ἦν· οὐδὲ ἐπαινετὸς ἦν ὁ ἀπροσδεῆ τούτων ἑαυτὸν παρεχόμενος· οὐδ' ἂν ὁ ἐλαττωτικὸς ἑαυτοῦ ἔν τινι τούτων ἀγαθὸς ἦν, εἴπερ ταῦτα ἀγαθὰ ἦν. Νῦν δὲ, ὅσῳ περ πλείω

naturalem dissolutionem, neque moram inique ferre, sed his tantum duobus acquiescere : primo, nihil mihi posse accidere, quod universitatis naturæ non conveniat : altero, in mea situm esse potestate, ut nihil contra dei mei atque genii voluntatem agam : nemo enim est, qui hanc transgredi cogat.

11. Quam tandem ad rem igitur nunc animo meo utor? In singulis hoc me ipsum interrogare me identidem oportet et explorare, quid mihi nunc versetur ea in parte, quam animi principatum vocant? cujus nunc gero animam? numquid pueruli? adolescentuli? mulierculæ? tyranni? jumenti? belluæ?

12. Qualia sint, quæ vulgo bona videntur, etiam hinc intelligas licet : nam si quis cogitaverit quædam ut vera bona, velut prudentiam, temperantiam, justitiam, fortitudinem, non poterit, his animo præconceptis, amplius audire hoc : « Præ.... » Nam cum bono dissonabit. Atqui ea, quæ vulgo bona videntur, si animo præconceperit, exaudiet et facile admittet ut apposite adjectum illud Comici dictum. Sic etiam vulgus animo sibi fingit hoc discrimen. Non enim * illic offenderet et improbaretur, idemque de divitiis atque iis fortunæ commodis, quæ ad luxum et gloriam pertinent, acciperemus ut scite et urbane dictum. Igitur et percontare, num æstimanda et pro bonis habenda sint talia, quibus mente præconceptis apte inferri possit illud, hominem iis instructum præ affluentia rerum non habere, quo ventris onus deponat.

13. Forma et materia consto : harum neutra in nihilum interibit, quemadmodum neque ex nihilo exstitit. Itaque omnis mei pars per mutationem in aliquam mundi partem transferetur; et hæc rursus in aliam mundi partem mutabitur, et sic porro in infinitum. Secundum talem mutationem etiam ego ortus sum et ii, qui me genuerunt, et sic retro in aliud infinitum : nihil enim ita nos loqui vetat, etiamsi secundum periodos certis finibus terminatas mundus administretur.

14. Ratio et ars rationaleis sunt facultates sese ipsis suisque operibus contentæ. Cientur igitur a suo ac proprio principio et pergunt ad *suum* finem propositum : quapropter recte facta appellantur ejusmodi actiones, *ipso nomine* rectam viam significantes.

15. Nihil horum hominis dicendum est, quæ ad hominem, quoad homo est, non pertinent : non requiruntur ab homine, neque promittuntur a natura hominis, neque ad naturam hominis perficiendam faciunt : proinde neque finis homini propositus in iis consistit, neque id, quod ad hunc finem conficiendum facit, bonum. Porro, si quid horum ad hominem pertineret, ea contemnere iisque se opponere non pertineret ad hominem, neque laude dignus esset, qui se his non indigentem præbet, neque qui aliquid ex iis sibi detrahit, bonus esset, si hæc essent bona. Jam vero ut

τις ἀφαιρῶν ἑαυτοῦ τούτων, ἢ τοιούτων ἑτέρων, ἢ καὶ ἀφαιρούμενός τι τούτων ἀνέχηται, τοσῷδε μᾶλλον ἀγαθός ἐστι.

ις'. Οἷα ἂν πολλάκις φαντασθῇς, τοιαύτη σοι ἔσται ἡ διάνοια· βάπτεται γὰρ ὑπὸ τῶν φαντασιῶν ἡ ψυχή. Βάπτε οὖν αὐτὴν τῇ συνεχείᾳ τῶν τοιούτων φαντασιῶν· οἷον, ὅτι ὅπου ζῆν ἔστιν, ἐκεῖ καὶ εὖ ζῆν· ἐν αὐλῇ δὲ ζῆν ἔστιν· ἔστιν ἄρα καὶ εὖ ζῆν ἐν αὐλῇ. Καὶ πάλιν, ὅτι οὗπερ ἕνεκεν ἕκαστον κατεσκεύασται, * * πρὸς ὃ δὲ κατεσκεύασται, πρὸς τοῦτο φέρεται· πρὸς ὃ φέρεται δὲ, ἐν τούτῳ τὸ τέλος αὐτοῦ· ὅπου δὲ τὸ τέλος, ἐκεῖ καὶ τὸ συμφέρον καὶ τἀγαθὸν ἑκάστου· τὸ ἄρα ἀγαθὸν τοῦ λογικοῦ ζῴου, κοινωνία. Ὅτι γὰρ πρὸς κοινωνίαν γεγόναμεν, πάλαι δέδεικται. Ἦ οὐχ ἦν ἐναργὲς, ὅτι τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ κρείττω ἀλλήλων; κρείττω δὲ τῶν μὲν ἀψύχων τὰ ἔμψυχα, τῶν δὲ ἐμψύχων τὰ λογικά.

ιζ'. Τὸ τὰ ἀδύνατα διώκειν μανικόν· ἀδύνατον δὲ τὸ τοὺς φαύλους μὴ τοιαῦτά τινα ποιεῖν.

ιη'. Οὐδὲν οὐδενὶ συμβαίνει, ὃ οὐχὶ πέφυκε φέρειν. Ἄλλῳ τὰ αὐτὰ συμβαίνει, καὶ ἤτοι ἀγνοῶν, ὅτι συμβέβηκεν, ἢ ἐπιδεικνύμενος μεγαλοφροσύνην, εὐσταθεῖ, καὶ ἀκάκωτος μένει. Δεινὸν οὖν ἄγνοιαν καὶ ἀρέσκειαν ἰσχυροτέρας εἶναι φρονήσεως.

ιθ'. Τὰ πράγματα αὐτὰ οὐδ' ὁπωστιοῦν ψυχῆς ἅπτεται· οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχήν· οὐδὲ τρέψαι, οὐδὲ κινῆσαι ψυχὴν δύναται· τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη· καὶ οἵων ἂν κριμάτων καταξιώσῃ ἑαυτὴν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προσυφεστῶτα.

κ'. Καθ' ἕτερον μὲν λόγον ἡμῖν ἐστιν οἰκειότατον ἄνθρωπος, καθ' ὅσον εὖ ποιητέον αὐτοὺς καὶ ἀνεκτέον· καθ' ὅσον δὲ ἐνίστανταί τινες εἰς τὰ οἰκεῖα ἔργα, ἕν τι τῶν ἀδιαφόρων μοι γίνεται ὁ ἄνθρωπος, οὐχ ἧσσον ἢ ἥλιος, ἢ ἄνεμος, ἢ θηρίον. Ὑπὸ τούτων δὲ ἐνέργεια μέν τις ἐμποδισθείη ἄν· ὁρμῆς δὲ καὶ διαθέσεως οὐ γίνεται ἐμπόδια, διὰ τὴν ὑπεξαίρεσιν καὶ τὴν περιτροπήν. Περιτρέπει γὰρ καὶ μεθίστησι πᾶν τὸ τῆς ἐνεργείας κώλυμα ἡ διάνοια εἰς τὸ προηγούμενον· καὶ πρὸ ἔργου γίνεται τὸ τοῦ ἔργου τούτου ἐφεκτικόν· καὶ πρὸ ὁδοῦ, τὸ τῆς ὁδοῦ ταύτης ἐνστατικόν.

κα'. Τῶν ἐν τῷ κόσμῳ τὸ κράτιστον τίμα· ἔστι δὲ τοῦτο τὸ πᾶσι χρώμενον, καὶ πάντα διέπον. Ὁμοίως δὲ καὶ τῶν ἐν σοὶ τὸ κράτιστον τίμα· ἔστι δὲ τοῦτο τὸ ἐκείνῳ ὁμογενές. Καὶ γὰρ ἐπὶ σοῦ τὸ τοῖς ἄλλοις χρώμενον τοῦτό ἐστι, καὶ ὁ σὸς βίος ὑπὸ τούτου διοικεῖται.

κβ'. Ὃ τῇ πόλει οὐκ ἔστι βλαβερὸν, οὐδὲ τὸν πολίτην βλάπτει. Ἐπὶ πάσης τῆς τοῦ βεβλάφθαι φαντασίας τοῦτον ἔπαγε τὸν κανόνα· εἰ ἡ πόλις ὑπὸ τούτου μὴ βλάπτεται, οὐδὲ ἐγὼ βέβλαμμαι· εἰ δὲ ἡ πόλις βλάπτεται, οὐχ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν· τί τὸ παρορώμενον;

κγ'. Πολλάκις ἐνθυμοῦ τὸ τάχος τῆς παραφορᾶς καὶ ὑπεξαγωγῆς τῶν ὄντων καὶ γινομένων. Ἥ τε γὰρ

quisque maxime his et ejus generis aliis sese ipse privat, aut etiam illis se privari sustinet, ita optimus est.

16. Qualia sunt, quæ sæpe cogitaveris, talis tibi erit mens tua; imbuitur enim cogitationibus animus. Itaque eum perpetuo imbue hujuscemodi cogitationibus, ut : ubi vivere licet, ibi etiam bene vivere licet; in aula autem vivere licet; ergo licet etiam bene vivere in aula. Iterum, cujus rei causa aliquid comparatum est, * ad hanc (accommodate) comparatum est; ad quam rem comparatum est, ad hanc fertur; ad quod fertur, in eo finis ipsius est; ubi finis, ibi etiam bonum et utilitas cujusvis: bonum igitur animalis rationalis in colenda societate : nam ad societatem nos esse genitos, dudum est demonstratum. An vero non liquet, deteriora præstantiorum, et ex his alterum alterius causa natum esse? inanimatis autem animata præstantiora, animatis autem ea, quæ ratione prædita sunt.

17. Ea, quæ fieri nequeunt, sectari, insania mentis est; fieri autem non potest, quin mali talia faciant.

18. Nihil cuiquam accidit, ad quod ferendum natura non sit comparatus. Alii eadem accidunt, et aut ignorans, sibi ea accidisse, aut magnanimitatem ostentans, tranquillus manet et illæsus. Indignum igitur, ignorantiam et obsequium plus posse, quam prudentiam.

19. Res ipsæ ne minime quidem animum tangunt, neque ullum aditum habent ad animum, neque vertere nec movere possunt animum : se ipse solus vertit ac movet et qualibus se ipse dignum reddit judiciis, talia sibi reddit ea, quæ extrinsecus ipsi afferuntur.

20. Altera quidem ratione nobis res conjunctissima homo, quatenus iis bene facere eosque ferre nos oportet : quatenus autem quidam nos impediunt in operibus propriis, una e rebus mediis mihi fit homo, non minus quam sol, quam ventus, quam bellua. Ab his autem effectus quidem impediri potest; conatus autem et adfectionis nulla existunt impedimenta propter exceptionem et circumversionem. Convertit enim mens ac transfert unumquodque effectus impedimentum ad id, quod præpositum est : atque operi conducit id, quod hoc opus impedit, et ad viam confert id, quod in hac via obstat.

21. Eorum, quæ in mundo sunt, præstantissimum colito : id autem hoc est, quod omnibus utitur omniaque administrat. Similiter eorum, quæ in te sunt, præstantissimum colito; hoc autem id est, quod illi cognatum est : nam etiam in te id, quod ceteris utitur, hoc est, atque vita tua ab hoc regitur.

22. Quod civitati non nocet, neque civi nocet. Ubicunque cogitatio de damno tibi incidit, hanc adhibe regulam : si civitas ea re damnum non facit, neque ego damnum feci; sin civitati nocetur, non irascendum est ei, qui civitati damnum infert, * sed ostendendum, * quid sit, quod negligitur.

23. Sæpe animo reputa celeritatem, qua omnia, quæ sunt et fiunt, abripiuntur et *oculis* subducuntur. Nam

οὐσία οἷον ποταμὸς ἐν διηνεκεῖ ῥύσει· καὶ αἱ ἐνέργειαι ἐν συνεχέσι μεταβολαῖς, καὶ τὰ αἴτια ἐν μυρίαις τροπαῖς· καὶ σχεδὸν οὐδὲν ἑστώς, καὶ τὸ πάρεγγυς· τὸ δὲ ἄπειρον τοῦ τε παρῳχηκότος καὶ μέλλοντος ἀχανές, ᾧ πάντα ἐναφανίζεται. Πῶς οὖν οὐ μωρὸς ὁ ἐν τούτοις φυσώμενος, ἢ σπώμενος, ἢ σχετλιάζων, ὡς ἔν τινι χρόνῳ καὶ ἐπὶ μικρὸν ἐνοχλήσαντι;

κδ'. Μέμνησο τῆς συμπάσης οὐσίας, ἧς ὀλίγιστον μετέχεις· καὶ τοῦ σύμπαντος αἰῶνος, οὗ βραχὺ καὶ ἀκαριαῖόν σοι διάστημα ἀφώρισται· καὶ τῆς εἱμαρμένης, ἧς ποστὸν εἶ μέρος;

κε'. Ἄλλος ἁμαρτάνει· τί εἰς ἐμέ; ὄψεται· ἰδίαν ἔχει διάθεσιν, ἰδίαν ἐνέργειαν. Ἐγὼ νῦν ἔχω, ὅ με θέλει νῦν ἔχειν ἡ κοινὴ φύσις, καὶ πράσσω, ὅ με νῦν πράσσειν θέλει ἡ ἐμὴ φύσις.

κς'. Τὸ ἡγεμονικὸν καὶ κυριεῦον τῆς ψυχῆς σου μέρος ἄτρεπτον ἔστω ὑπὸ τῆς ἐν τῇ σαρκὶ λείας ἢ τραχείας κινήσεως· καὶ μὴ συγκρινέσθω, ἀλλὰ περιγραφέτω ἑαυτὸ καὶ περιοριζέτω τὰς πείσεις ἐκείνας ἐν τοῖς μορίοις. Ὅταν δὲ ἀναδιδῶνται κατὰ τὴν ἑτέραν συμπάθειαν εἰς τὴν διάνοιαν, ὡς ἐν σώματι ἡνωμένῳ, τότε πρὸς μὲν τὴν αἴσθησιν, φυσικὴν οὖσαν, οὐ πειρατέον ἀντιβαίνειν· τὴν δὲ ὑπόληψιν, τὴν ὡς περὶ ἀγαθοῦ, ἢ κακοῦ, μὴ προστιθέτω τὸ ἡγεμονικὸν ἐξ ἑαυτοῦ.

κζ'. Συζῆν θεοῖς. Συζῇ δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις, ποιοῦσαν δὲ, ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ Ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. Οὗτος δέ ἐστιν ὁ ἑκάστου νοῦς καὶ λόγος.

κη'. Τῷ γράσωνι μήτι ὀργίζῃ; μήτι τῷ ὀζοστόμῳ ὀργίζῃ; Τί σοι ποιήσει; τοιοῦτον στόμα ἔχει, τοιαύτας μάλας ἔχει· ἀνάγκη τοιαύτην ἀποφορὰν ἀπὸ τοιούτων γίνεσθαι. — « Ἀλλ' ὁ ἄνθρωπος λόγον ἔχει (φησὶ), καὶ δύναται συννοεῖν ἐφιστάνων, τί πλημμελεῖ. » — Εὖ σοι γένοιτο! τοιγαροῦν καὶ σὺ λόγον ἔχεις, κίνησον λογικῇ διαθέσει λογικὴν διάθεσιν· δεῖξον, ὑπόμνησον. Εἰ γὰρ ἐπαΐει, θεραπεύσεις, καὶ οὐ χρεία ὀργῆς. Οὔτε τραγῳδὸς, οὔτε πόρνη.

κθ'. Ὡς ἐξελθὼν ζῆν διανοῇ, οὕτως ἐνταῦθα ζῆν ἔξεστιν. Ἐὰν δὲ μὴ ἐπιτρέπωσι, τότε καὶ τοῦ ζῆν ἔξιθι· οὕτως μέντοι, ὡς μηδὲν κακὸν πάσχων. Καπνὸς, καὶ ἀπέρχομαι. Τί αὐτὸ πρᾶγμα δοκεῖς; μέχρι δέ με τοιοῦτον οὐδὲν ἐξάγει, μένω ἐλεύθερος, καὶ οὐδείς με κωλύσει ποιεῖν, ἃ θέλω· θέλω δὲ κατὰ φύσιν τοῦ λογικοῦ καὶ κοινωνικοῦ ζώου.

λ'. Ὁ τοῦ ὅλου νοῦς κοινωνικός. Πεποίηκε γοῦν τὰ χείρω τῶν κρειττόνων ἕνεκεν· καὶ τὰ κρείττω ἀλλήλοις συνήρμοσεν. Ὁρᾷς, πῶς ὑπέταξε, συνέταξε, καὶ τὸ κατ' ἀξίαν ἀπένειμεν ἑκάστοις, καὶ τὰ κρατιστεύοντα εἰς ὁμόνοιαν ἀλλήλων συνήγαγε.

λα'. Πῶς προσενήνεξαι μέχρι νῦν θεοῖς, γονεῦσιν, ἀδελφοῖς, γυναικὶ, τέκνοις, διδασκάλοις, τροφεῦσι, φί-

et materia fluminis instar in perpetuo est fluxu, et effectus in perpetuis mutationibus, et causæ efficientes in innumeris conversionibus; atque propemodum nihil est, quod perstat; * item adjacentem hanc præteriti et futuri temporis immensitatem, in qua omnia evanescunt. Quidni igitur stultus, qui his rebus inflatur aut angitur aut lamentatur, quasi diutius vel minimam molestiam creantibus?

24. Memento et universæ materiæ, cujus minimam obtines partem, et totius ævi, cujus brevissimum et puncti instar obtinens spatium tibi assignatum est, et fati, cujus quantilla pars es!

25. Peccat aliquis. Quid ad me? *ipse* viderit : suam habet affectionem, suam agendi rationem. Ego nunc habeo, quod me habere vult natura communis, et ago, quod me vult agere natura mea.

26. Quæ animæ pars principatum et dominium obtinet, ea immota maneat ad levem asperumve carnis motum, neque ei se immisceat, sed se ipsa circumscribat et illas adfectiones intra limites particularum coerceat : quando autem per alterum consensum usque ad mentem perveniunt, ut in corpore unito, tum contra sensum quidem, quippe naturalem, non luctandum; sed opinionem, quasi bonum aut malum sit, animi principatus ne a se adjiciat.

27. Cum diis vivere. Cum diis autem vivit, qui perpetuo iis exhibet animum suum contentum iis, quæ ipsi sunt assignata, et efficientem ea, quæ jubet genius, quem vitæ moderatorem ac rectorem cuique Jupiter tribuit, particulam a se delibatam; hic autem *genius* cujusque mens est ac ratio.

28. Numquid ei, qui hircum olet, succenses? numquid ei, cui os fœtet? Quid te faciat? ejusmodi os, ejusmodi alas habet, ut necesse sit ejusmodi inde exhalari. — « At homo, inquiet, ratione præditus est atque, modo animum advertat, intelligere potest, quid delinquat. » Quod bene tibi vertat! Proinde etiam tu ratione præditus es; rationali animi affectione move rationalem affectionem; edoce, commonefac! nam si audiverit, eum sanabis, neque opus erit ira. Neque tragœdus neque scortum.

29. Quemadmodum hinc egressus vivere in animum induxisti, ita etiam hic vivere licet; quod si tibi non concesserint, etiam e vita exi, ita tamen, ut qui nihil mali passus sis. Fumus est, et abeo. Cur id rem magnam putas? quamdiu autem nihil ejusmodi me hinc educit, liber maneo, nec quisquam me impediet, quominus faciam, quæ volo : volo autem ea, quæ cum natura animalis ratione præditi et ad societatem nati conveniunt.

30. Universi mens communionis et societatis amans; hinc deteriora præstantiorum causa fecit et præstantiorum alterum alteri conciliavit. Vides, quomodo subjecerit, congesserit, pro dignitate suum cuique tribuerit et præstantissima quæque mutuo inter se consensu devinxerit.

31. Quo modo te usque ad hoc tempus gessisti erga deos, parentes, fratres, uxorem, liberos, præceptores, educato-

λοις, οἰκείοις, οἰκέταις; εἰ πρὸς πάντας σοι μέχρι νῦν ἐστι τὸ,

Μήτε τινὰ ῥέξαι ἐξαίσιον, μήτε (τι) εἰπεῖν.

Ἀναμιμνήσκου δὲ, καὶ δι' οἵων διελήλυθας, καὶ οἷα ἤρκεσας ὑπομεῖναι. Καὶ ὅτι πλήρης ἤδη σοι ἡ ἱστορία τοῦ βίου καὶ τελεία ἡ λειτουργία· καὶ πόσα ὦπται καλά· καὶ πόσων μὲν ἡδονῶν καὶ πόνων ὑπερεῖδες· πόσα δὲ ἔνδοξα παρεῖδες· εἰς ὅσους δὲ ἀγνώμονας εὐγνώμων ἐγένου.

λβ. Διὰ τί συγχέουσιν ἄτεχνοι καὶ ἀμαθεῖς ψυχαὶ ἔντεχνον καὶ ἐπιστήμονα; Τίς οὖν ψυχὴ ἔντεχνος καὶ ἐπιστήμων; ἡ εἰδυῖα ἀρχὴν καὶ τέλος, καὶ τὸν διὰ τῆς οὐσίας διήκοντα λόγον, καὶ διὰ παντὸς τοῦ αἰῶνος κατὰ περιόδους τεταγμένας οἰκονομοῦντα τὸ πᾶν.

λγ'. Ὅσον οὐδέπω σποδὸς, ἢ σκελετὸς, καὶ ἤτοι ὄνομα, ἢ οὐδὲ ὄνομα· τὸ δὲ ὄνομα ψόφος καὶ ἀπήχημα. Τὰ δὲ ἐν τῷ βίῳ πολυτίμητα, κενὰ, καὶ σαπρὰ, καὶ μικρὰ, καὶ κυνίδια διαδακνόμενα, καὶ παιδία φιλόνεικα, γελῶντα, εἶτα εὐθὺς κλαίοντα. Πίστις δὲ καὶ αἰδὼς, καὶ δίκη καὶ ἀλήθεια,

πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης.

Τί οὖν ἔτι τὸ ἐνταῦθα κατέχον; εἴγε τὰ μὲν αἰσθητὰ εὐμετάβλητα, καὶ οὐχ ἑστῶτα· τὰ δὲ αἰσθητήρια ἀμυδρὰ καὶ εὐπαρατύπωτα· αὐτὸ δὲ τὸ ψυχάριον ἀναθυμίασις ἀφ' αἵματος. Τὸ δὲ εὐδοκιμεῖν παρὰ τοιούτοις κενόν. Τί οὖν; περιμένεις ἵλεως τὴν εἴτε σβέσιν, εἴτε μετάστασιν. Ἕως δὲ ἐκείνης ὁ καιρὸς ἐφίσταται, τί ἀρκεῖ; τί δ' ἄλλο, ἢ θεοὺς μὲν σέβειν καὶ εὐφημεῖν, ἀνθρώπους δὲ εὖ ποιεῖν, καὶ ἀνέχεσθαι αὐτῶν καὶ ἀπέχεσθαι· ὅσα δὲ ἐκτὸς ὅρων τοῦ κρεαδίου, καὶ τοῦ πνευματίου, ταῦτα μεμνῆσθαι μήτε σὰ ὄντα, μήτε ἐπὶ σοί.

λδ'. Δύνασαι ἀεὶ εὐροεῖν, εἴγε καὶ ὁδεύειν, εἴγε καὶ ὁδῷ ὑπολαμβάνειν, καὶ πράσσειν. Δύο ταῦτα κοινὰ τῇ τε τοῦ θεοῦ, καὶ τῇ τοῦ ἀνθρώπου, καὶ παντὸς λογικοῦ ζώου ψυχῇ· τὸ μὴ ἐμποδίζεσθαι ὑπ' ἄλλου· καὶ τὸ ἐν τῇ δικαίᾳ διαθέσει καὶ πράξει ἔχειν τὸ ἀγαθὸν, καὶ ἐνταῦθα τὴν ὄρεξιν ἀπολήγειν.

λε'. Εἰ μήτε κακία ἐστὶ τοῦτο ἐμὴ, μήτε ἐνέργεια κατὰ κακίαν ἐμὴν, μήτε τὸ κοινὸν βλάπτεται, τί ὑπὲρ αὐτοῦ διαφέρομαι; τίς δὲ βλάβη τοῦ κοινοῦ;

λϛ'. Μὴ ὁλοσχερῶς τῇ φαντασίᾳ συναρπάζεσθαι· ἀλλὰ βοηθεῖν μὲν κατὰ δύναμιν καὶ κατ' ἀξίαν· κἂν εἰς τὰ μέσα ἐλαττῶνται, μὴ μέντοι βλάβην αὐτὸ φαντάζεσθαι. Κακὸν γὰρ ἔθος. Ἀλλ' ὡς ὁ γέρων ἀπελθὼν τὸν τοῦ θρεπτοῦ ῥόμβον ἀπῄτει, μεμνημένος, ὅτι ῥόμβος· οὕτως οὖν καὶ ὧδε. Ἐπεί τοι γίνῃ κλαίων ἐπὶ τῶν ἐμβόλων. Ἄνθρωπε, ἐπελάθου, τί ταῦτα ἦν; — Ναί· ἀλλὰ τούτοις περισπούδαστα. — Διὰ τοῦτ' οὖν καὶ σὺ μωρὸς γένῃ; — Ἐγενόμην ποτὲ ὁπουδήποτε καταλειφθεὶς, εὔμοιρος ἄνθρωπος· — τὸ δὲ « εὔμοιρος » ἀγαθὴν μοῖραν σεαυτῷ ἀπονείμας· ἀγαθαὶ δὲ μοῖραι, ἀγαθαὶ τροπαὶ ψυχῆς, ἀγαθαὶ ὁρμαὶ, ἀγαθαὶ πράξεις.

res, amicos, familiares, famulos? valetne ad hoc usque tempus erga omnes illud, « nil injusti erga quemquam fecisse aut dixisse ? » Memento autem etiam illius, per qualia pertransieris, et qualibus perferendis par fueris : item, plenam tibi jam esse vitæ contemplationem et absolutum ejus ministerium; quot pulcra visui oblata sint, quot voluptates ac labores contempseris, quot res gloriosas neglexeris, erga quot iniquos æquum te præbueris.

32. Qui fit, ut ingenia artium rudia et imperita confundant artium gnara et perita? Quid igitur est ingenium artis peritum eaque instructum? Quod principium et finem novit rationemque per omnem materiam permeantem et per omne ævum certis quibusdam et definitis temporum cursibus universum administrantem.

33. Jamjam cinis *eris* aut nuda ossa, et aut nomen aut ne nomen quidem; nomen autem nil nisi strepitus et resonantia; quæ in vita magni æstimantur, vana et putida et exilia, caniculæ mordentes, pueruli contentiosi, modo ridentes, modo plorantes. Fides autem et justitia et verecundia et veritas « ad Olympum a terra spatiosa. » Quid igitur amplius est quod hic *te* retineat? si quidem res, quæ sub sensus cadunt, mutationibus obnoxiæ sunt nec persistunt, ipsi sensus obscuri et hebetes, qui facile falsas rerum species admittunt, ipsa animula exhalatio sanguinis, inter tales gloria florere vanitas. Quid igitur? Æquo animo exspectas vel exstinctionem vel translationem. Hujus vero tempus donec advenit, quid sufficit? Quid aliud, nisi ut deos colas celebresque, hominibus bene facias, eos sustineas et ab iis te abstineas, quæcunque autem extra fines carunculæ et animulæ sita sunt, ea memineris nec tua esse neque in potestate tua sita.

34. Potes semper prosperum vitæ cursum tenere, si quidem et certum iter tenere, si quidem via ac ratione et cogitare et agere potes. Hæc duo et dei et hominis et cujusvis animalis ratione præditi animo communia, non ab alio impediri et in animi affectione justitiæ studiosa habere bonum et hic terminare appetitionem.

35. Si neque vitiositas hæc mea est, neque meæ vitiositatis effectus, neque respublica læditur, cur propter hoc differor? Quid autem est damnum civitatis communis?

36. Noli ulla ex parte sinere te abripi visis, sed auxiliare pro viribus et dignitate etiam, quando in mediis illis rebus aliquid damni faciunt, quod tamen cave pro damno habeas : malus enim hic mos est; sed quemadmodum senex abiens petebat pueruli turbinem, memor, turbinem esse, sic igitur etiam hic *agendum*. Atqui in jus vocas pro rostris, Oblitusne es, homo, qualia hæc sint? — Nequaquam, sed illis videntur studio dignissima. — Eapropter tu quoque stultus fias? Fui olim. — * Ubicunque derelictus, bene fortunatus homo : « bene fortunatus, » qui bonam fortunam sibi comparavit; bona autem fortuna, boni animi motus, bona agendi ratio, bonæ actiones.

ΒΙΒΛΙΟΝ ϛ.

α'. Ἡ τῶν ὅλων οὐσία εὐπειθὴς καὶ εὐτρεπής· ὁ δὲ ταύτην διοικῶν λόγος οὐδεμίαν ἐν ἑαυτῷ αἰτίαν ἔχει τοῦ κακοποιεῖν· κακίαν γὰρ οὐκ ἔχει, οὐδέ τι κακῶς ποιεῖ, οὐδὲ βλάπτεταί τι ὑπ' ἐκείνου. Πάντα δὲ κατ' ἐκεῖνον γίνεται καὶ περαίνεται.

β'. Μὴ διαφέρου, πότερον ῥιγῶν ἢ θαλπόμενος τὸ πρέπον ποιεῖς· καὶ πότερον νυστάζων, ἢ ἱκανῶς ὕπνου ἔχων· καὶ πότερον κακῶς ἀκούων, ἢ εὐφημούμενος· καὶ πότερον ἀποθνήσκων, ἢ πράττων τι ἄλλοῖον. Μία γὰρ τῶν βιωτικῶν πράξεων καὶ αὕτη ἐστὶ, καθ' ἣν ἀποθνήσκομεν· ἀρκεῖ οὖν καὶ ἐπὶ ταύτης τὸ παρὸν εὖ θέσθαι.

γ'. Ἔσω βλέπε· μηδενὸς πράγματος μήτε ἡ ἰδία ποιότης, μήτε ἡ ἀξία παρατρεχέτω σε.

δ'. Πάντα τὰ ὑποκείμενα τάχιστα μεταβάλλει, καὶ ἤτοι ἐκθυμιαθήσεται, εἴπερ ἥνωται ἡ οὐσία, ἢ σκεδασθήσεται.

ε'. Ὁ διοικῶν λόγος οἶδε, πῶς διακείμενος, καὶ τί ποιεῖ, καὶ ἐπὶ τίνος ὕλης.

ϛ'. Ἄριστος τρόπος τοῦ ἀμύνεσθαι, τὸ μὴ ἐξομοιοῦσθαι.

ζ'. Ἑνὶ τέρπου καὶ προσαναπαύου, τῷ ἀπὸ πράξεως κοινωνικῆς μεταβαίνειν ἐπὶ πρᾶξιν κοινωνικὴν, σὺν μνήμῃ θεοῦ.

η'. Τὸ ἡγεμονικόν ἐστι, τὸ ἑαυτὸ ἐγεῖρον καὶ τρέπον, καὶ ποιοῦν μὲν ἑαυτὸ, οἷον ἂν ᾖ καὶ θέλῃ, ποιοῦν δὲ ἑαυτῷ φαίνεσθαι πᾶν τὸ συμβαῖνον, οἷον αὐτὸ θέλει.

θ'. Κατὰ τὴν τῶν ὅλων φύσιν ἕκαστα περαίνεται, οὐ γὰρ κατ' ἄλλην γέ τινα φύσιν, ἤτοι ἔξωθεν περιέχουσαν, ἢ ἐμπεριεχομένην ἔνδον, ἢ ἔξω ἀπηρτημένην.

ι'. Ἤτοι κυκεὼν, καὶ ἀντεμπλοκὴ, καὶ σκεδασμός· ἢ ἕνωσις καὶ τάξις καὶ πρόνοια. Εἰ μὲν οὖν τὰ πρότερα, τί καὶ ἐπιθυμῶ εἰκαίῳ συγκρίματι καὶ φυρμῷ τοιούτῳ ἐνδιατρίβειν; τί δέ μοι καὶ μέλει ἄλλου τινὸς, ἢ τοῦ ὅπως ποτὲ « αἶα γίνεσθαι; » Τί δὲ καὶ ταράσσομαι; ἥξει γὰρ ἐπ' ἐμὲ ὁ σκεδασμὸς, ὅ τι ἂν ποιῶ· εἰ δὲ θάτερά ἐστι, σέβω καὶ εὐσταθῶ, καὶ θαῤῥῶ τῷ διοικοῦντι.

ια'. Ὅταν ἀναγκασθῇς ὑπὸ τῶν περιεστηκότων οἱονεὶ διαταραχθῆναι, ταχέως ἐπάνιθι εἰς ἑαυτὸν καὶ μὴ ὑπὲρ τὰ ἀναγκαῖα ἐξίστασο τοῦ ῥυθμοῦ· ἔσῃ γὰρ ἐγκρατέστερος τῆς ἁρμονίας τῷ συνεχῶς εἰς αὐτὴν ἐπανέρχεσθαι.

ιβ'. Εἰ μητρυιάν τε ἅμα εἶχες καὶ μητέρα, ἐκείνην τ' ἂν ἐθεράπευες, καὶ ὅμως ἡ ἐπάνοδός σοι πρὸς τὴν μητέρα συνεχὴς ἐγίνετο. Τοῦτό σοι νῦν ἐστιν ἡ αὐλὴ, καὶ (ἡ) φιλοσοφία· ὧδε πολλάκις ἐπάνιθι, καὶ προσαναπαύου ταύτῃ, δι' ἣν καὶ τὰ ἐκεῖ σοι ἀνεκτὰ φαίνεται, καὶ σὺ ἐν αὐτοῖς ἀνεκτός.

ιγ'. Οἷον δὴ τὸ φαντασίαν λαμβάνειν ἐπὶ τῶν ὄψων καὶ τῶν τοιούτων ἐδωδίμων, ὅτι νεκρὸς οὗτος ἰχθύος, οὗτος δὲ νεκρὸς ὄρνιθος, ἢ χοίρου· καὶ πάλιν, ὅτι ὁ Φά-

LIBER VI.

1. Universi materia obsequens est et *fingenti* bene parata : ratio eam administrans nullam in se habet male faciendi causam; malitiam enim neque habet nec male faciet cuiquam, neque ab ea quidquam læditur. Omnia vero secundum hanc fiunt ac perficiuntur.

2. Nihil tua referat, utrum rigens an calore fotus id, quod te decet, facias, neque utrum dormituriens an somni satur, male audiens an fama florens, moriens an aliquid diversum faciens. Etenim ex hujus vitæ officiis hoc est etiam quod morimur; sufficit igitur et in hoc, quod præ manibus est recte disponere.

3. Acriter intuere; neque propria ullius rei natura nec dignitas te fugiat!

4. Omnia, quæ sunt, celerrime mutantur et aut in exhalationem abibunt, si unita est materia, aut dissipabuntur.

5. Ratio universi gubernatrix novit certo modo se habens, quod agit et in qua materia versatur.

6. Optima ratio ulciscendi, non similem *malis* fieri.

7. Delectet te tibique satisfaciat ab una actione, quæ societati prodest, transire ad aliam ejusdem generis, memorem dei.

8. Principalis animi pars ea est, quæ se ipsa suscitat et vertit et talem se ipsa facit, qualis demum sit et esse velit, quæque facit, ut quidquid contingit tale videatur, quale ipsa vult.

9. Secundum universi naturam singula perficiuntur; neque enim secundum aliam ullam vel extrinsecus ambientem vel intus inclusam vel foris suspensam.

10. Aut confusio et mutuus complexus et dissipatio, aut unitas et ordo et providentia : si priora, quid est, cur huic mixturæ fortuitæ et colluviei immorari cupiam? quid aliud mihi curæ est, quam quomodo « terra fiam? » Cur etiam perturbor? Veniet enim ad me dissipatio, quidquid faciam. Si altera sunt, veneror et tranquillo sum animo et confido rectori.

11. Quando a rebus, quæ circumstant, quasi perturbari coactus es, cito ad te redi, neque ultra, quam necesse est, a tenore dimovearis : eo enim facilius concentum tueberis, quo sæpius ad eum redieris.

12. Si novercam simul et matrem haberes, illam quidem coleres, ad matrem tamen te frequentissime reciperes. Harum instar nunc tibi aula est, et philosophia : ad hanc sæpe revertere et in ea acquiesce, per quam etiam quæ illic sunt tibi tolerabilia videntur, et tu ipse in illis tolerabilis.

13. Quemadmodum jam de obsoniis atque ejusmodi eduliis imaginem animo concipimus, ut, hoc piscis cadaver esse, illud cadaver avis aut porci, item, Falernum esse succulum

λεγνος χυλάριόν ἐστι σταφυλίου· καὶ ἡ περιπόρφυρος, τρίχια προβατίου, αἱματίῳ κόγχης δεδευμένα· καὶ ἐπὶ τῶν κατὰ τὴν συνουσίαν, ἐντερίου παράτριψις, καὶ μετά τινος σπασμοῦ μυξαρίου ἔκκρισις· οἶαι δὴ αὗταί εἰσιν αἱ φαντασίαι, καθικνούμεναι αὐτῶν τῶν πραγμάτων καὶ διεξιοῦσαι δι' αὐτῶν, ὥστε ὁρᾶν, οἷά τινά ποτ' ἐστίν· οὕτως δεῖ παρ' ὅλον τὸν βίον ποιεῖν, καὶ ὅπου λίαν ἀξιόπιστα τὰ πράγματα φαντάζεται, ἀπογυμνοῦν αὐτὰ, καὶ τὴν εὐτέλειαν αὐτῶν καθορᾷν, καὶ τὴν ἱστορίαν, ἐφ' ᾗ σεμνύνεται, περιαιρεῖν. Δεινὸς γὰρ ὁ τῦφος παραλογιστής· καὶ ὅτε δοκεῖς μάλιστα περὶ τὰ σπουδαῖα καταγίνεσθαι, τότε μάλιστα καταγοητεύει. Ὅρα γοῦν, ὁ Κράτης τί περὶ αὐτοῦ τοῦ Ξενοκράτους λέγει.

ιδ'. Τὰ πλεῖστα, ὧν ἡ πληθὺς θαυμάζει, εἰς γενικώτατα ἀνάγεται, τὰ ὑπὸ ἕξεως ἢ φύσεως συνεχόμενα, λίθους, ξύλα, συκᾶς, ἀμπέλους, ἐλαίας· τὰ δὲ ὑπὸ τῶν ὀλίγῳ μετριωτέρων, εἰς τὰ ὑπὸ ψυχῆς, οἷον ποίμνας, ἀγέλας· τὰ δὲ ὑπὸ τῶν ἔτι χαριεστέρων, εἰς τὰ ὑπὸ λογικῆς ψυχῆς, οὐ μέντοι καθολικῆς, ἀλλὰ καθὸ τεχνικὴ, ἢ ἄλλως πως ἐντρεχὴς, ἢ κατὰ ψιλὸν, τὸ πλῆθος ἀνδραπόδων κεκτῆσθαι. Ὁ δὲ ψυχὴν λογικὴν καθολικὴν καὶ πολιτικὴν τιμῶν οὐδὲν ἔτι τῶν ἄλλων ἐπιστρέφεται· πρὸ ἁπάντων δὲ τὴν ἑαυτοῦ ψυχὴν λογικῶς καὶ κοινωνικῶς ἔχουσαν, καὶ κινουμένην διασώζει, καὶ τῷ ὁμογενεῖ εἰς τοῦτο συνεργεῖ.

ιε'. Τὰ μὲν σπεύδει γίνεσθαι, τὰ δὲ σπεύδει γεγονέναι· καὶ τοῦ γινομένου δὲ ἤδη τι ἀπέσβη· ῥύσεις καὶ ἀλλοιώσεις ἀνανεοῦσι τὸν κόσμον διηνεκῶς, ὥσπερ τὸν ἄπειρον αἰῶνα ἡ τοῦ χρόνου ἀδιάλειπτος φορὰ νέον ἀεὶ παρέχεται. Ἐν δὴ τούτῳ τῷ ποταμῷ τί ἄν τις τούτων τῶν παραθεόντων ἐκτιμήσειεν, ἐφ' οὗ στῆναι οὐκ ἔξεστιν; Ὥσπερ εἴ τίς τι τῶν παραπετομένων στρουθαρίων φιλεῖν ἄρχοιτο· τὸ δ' ἤδη ἐξ ὀφθαλμῶν ἀπελήλυθεν. Τοιοῦτον δή τι καὶ αὐτὴ ἡ ζωὴ ἑκάστου, οἷον ἡ ἀφ' αἵματος ἀναθυμίασις, καὶ ἡ ἐκ τοῦ ἀέρος ἀνάπνευσις. Ὁποῖον γάρ ἐστι τὸ ἅπαξ ἑλκύσαι τὸν ἀέρα καὶ ἀποδοῦναι, ὅπερ παρέκαστον ποιοῦμεν, τοιοῦτόν ἐστι καὶ τὸ τὴν πᾶσαν ἀναπνευστικὴν δύναμιν, ἣν χθὲς καὶ πρώην ἀποτεχθεὶς ἐκτήσω, ἀποδοῦναι ἐκεῖ, ὅθεν τὸ πρῶτον ἔσπασας.

ις'. Οὔτε τὸ διαπνεῖσθαι, ὡς τὰ φυτὰ, τίμιον, οὔτε τὸ ἀναπνεῖν, ὡς τὰ βοσκήματα καὶ τὰ θηρία, οὔτε τὸ τυποῦσθαι κατὰ φαντασίαν, οὔτε τὸ νευροσπαστεῖσθαι καθ' ὁρμὴν, οὔτε τὸ συναγελάζεσθαι, οὔτε τὸ τρέφεσθαι· τοῦτο γὰρ ὅμοιον τῷ ἀποκρίνειν τὰ περιττώματα τῆς τροφῆς. Τί οὖν τίμιον; Τὸ κροτεῖσθαι; Οὐχί. Οὐκοῦν οὐδὲ τὸ ὑπὸ γλωσσῶν κροτεῖσθαι· αἱ γὰρ παρὰ τῶν πολλῶν εὐφημίαι κρότος γλωσσῶν. Ἀφῆκας οὖν καὶ τὸ δοξάριον· τί καταλείπεται τίμιον; Δοκῶ μὲν, τὸ κατὰ τὴν ἰδίαν κατασκευὴν κινεῖσθαι, καὶ ἴσχεσθαι, ἐφ' ὃ καὶ αἱ ἐπιμέλειαι ἄγουσι καὶ αἱ τέχναι. Ἥ τε γὰρ τέχνη πᾶσα τούτου στοχάζεται, ἵνα τὸ κατασκευασθὲν ἐπιτηδείως ἔχῃ πρὸς τὸ ἔργον, πρὸς ὃ κατεσκεύασται·

uvulæ, prætextam oviculæ pilos, conchæ cruore infectos; de coitu, esse intestini frictionem et excretionem muci cum convulsione quadam — quales utique sunt rerum imagines, quæ res ipsas assequuntur easque penetrant, ut, quænam tandem eæ sint, videre liceat — sic etiam per totam vitam nos facere oportet ac res, ubi vel maxime fide dignæ videantur, denudare et vilitatem earum spectare et externam speciem, qua superbiunt, tollere. Nam gravis impostor est fastus, et quando maxime putas te res serias agere, tum maxime in fraudem inducit. Vide saltem, Crates quid de ipso Xenocrate dixerit.

14. Pleraque, quæ vulgus hominum admiratur, ad generalia rerum capita referuntur : alia quæ vi copulante aut natura continentur, lapides, arbores, ficus, vites, oleæ : alia, quæ paulo moderatiores admirantur, inter ea, quæ anima continentur, ut greges, armenta; alia, quibus urbaniores capiuntur, inter ea quæ anima rationali prædita sunt, non tamen universali, sed quatenus artium perita aut alia quadam sollertia excellit aut, simpliciter *rationalis est*, ut servitiorum turbam possidere. Qui autem animam rationalem universalem et societatis amantem veneratur, nihil amplius cetera curat, ante omnia vero animum suum ita affectum et se moventem, ut rationi et civitati convenit, conservat et cognatum suum, ut idem consequatur, adjuvat.

15. Hæc properant fieri, illa properant fuisse, quin etiam ejus quod fit, jam aliquid evanuit : fluxus et mutationes mundum perpetuo renovant, quemadmodum immensum illud ævum continuus temporis lapsus novum semper præstat. In hoc igitur flumine ecquis horum, quæ præterlabuntur, quidquam in pretio habeat? perinde ac si quis prætervolantium passerculorum aliquem diligere cœpisset, is vero jam e conspectu abisset. Ejusmodi sane est vita cujusque, cujusmodi est exhalatio sanguinis aut spiritus ab aere attractio. Quale enim est semel animam attrahere et efflare, quod quidem singulis temporis momentis facimus, tale etiam est, omnem illam respirandi facultatem, quam heri aut nudiustertius in ortu accepisti, eo reddere, unde eam primo hausisti.

16. Neque quod perspiramur, ut stirpes, æstimatione dignum est, neque quod respiramus, ut pecudes et belluæ, neque quod species rerum per visa nobis imprimuntur, neque quod agendi impetu huc illuc rapimur, neque quod congregamur et nutrimur : hoc enim perinde est atque alimenti quod superfluum est excernere. Quid igitur est, quod æstimatione dignum sit? Num plausu excipi? Nequaquam. Itaque nec linguarum plausu excipi : multitudinis enim laus quid aliud est, nisi linguarum strepitus? Sustulisti igitur gloriolam quoque; quid restat, quod æstimatione dignum sit? Hoc opinor, secundum propriam constitutionem et moveri et motum sistere, quo etiam et studia et artes ducunt. Nam etiam omnis ars id spectat, ut id, quod paratur aptum sit ad opus, ad quod paratur : et vi-

ὅ τε φυτουργὸς ὁ ἐπιμελούμενος τῆς ἀμπέλου, καὶ ὁ πωλοδάμνης, καὶ ὁ τοῦ κυνὸς ἐπιμελούμενος, τοῦτο ζητεῖ. Αἱ δὲ παιδαγωγίαι, αἱ διδασκαλίαι ἐπί τι σπεύδουσιν· ὧδε οὖν τὸ τίμιον. Καὶ τοῦτο μὲν ἂν εὖ ἔχῃ, οὐδὲν τῶν ἄλλων περιποιήσῃ σεαυτῷ. Οὐ παύσῃ καὶ ἄλλα πολλὰ τιμῶν; οὔτ' οὖν ἐλεύθερος ἔσῃ, οὔτε αὐτάρκης, οὔτε ἀπαθής. Ἀνάγκη γὰρ φθονεῖν, ζηλοτυπεῖν, ὑφορᾶσθαι τοὺς ἀφελέσθαι ἐκεῖνο δυναμένους, ἐπιβουλεύειν τοῖς ἔχουσι τὸ τιμώμενον ὑπὸ σοῦ· ὅλως πεφύρθαι ἀνάγκη τὸν ἐκείνων τινὸς ἐνδεῆ· προσέτι δὲ πολλὰ καὶ τοῖς θεοῖς μέμφεσθαι· ἡ δὲ τῆς ἰδίας διανοίας αἰδὼς καὶ τιμὴ σεαυτῷ τε ἀρεστόν σε ποιήσει, καὶ τοῖς κοινωνικοῖς εὐάρμοστον, καὶ τοῖς θεοῖς σύμφωνον, τουτέστιν, ἐπαινοῦντα, ὅσα ἐκεῖνοι διανέμουσι καὶ διατετάχασιν.

ιζ'. Ἄνω, κάτω, κύκλῳ, φοραὶ τῶν στοιχείων. Ἡ δὲ τῆς ἀρετῆς κίνησις ἐν οὐδεμιᾷ τούτων, ἀλλὰ θειότερόν τι, καὶ ὁδῷ δυσεπινοήτῳ προϊοῦσα εὐοδεῖ.

ιη'. Οἷόν ἐστιν, ὃ ποιοῦσι! τοὺς μὲν ἐπὶ τοῦ αὐτοῦ χρόνου, καὶ μεθ' ἑαυτῶν ζῶντας ἀνθρώπους εὐφημεῖν οὐ θέλουσιν· αὐτοὶ δὲ ὑπὸ τῶν μεταγενεστέρων εὐφημηθῆναι, οὓς οὔτε εἶδον ποτέ, οὔτε ὄψονται, περὶ πολλοῦ ποιοῦνται. Τοῦτο δὲ ἐγγύς ἐστι τῷ λυπηθῆναι ἄν, ὅτι οὐχὶ καὶ οἱ προγενέστεροι περὶ σοῦ λόγους εὐφήμους ἐποιοῦντο.

ιθ'. Μή, εἴ τι αὐτῷ σοι δυσκαταπόνητον, τοῦτο ἀνθρώπῳ ἀδύνατον ὑπολαμβάνειν· ἀλλ' εἴ τι ἀνθρώπῳ δυνατὸν καὶ οἰκεῖον, τοῦτο καὶ σεαυτῷ ἐφικτὸν νόμιζε.

κ'. Ἐν τοῖς γυμνασίοις καὶ ὄνυξι κατέδρυψέ τις, καὶ τῇ κεφαλῇ ἐρράγεὶς πληγὴν ἐποίησεν. Ἀλλ' οὔτε ἐπισημαινόμεθα, οὔτε προσκόπτομεν, οὔτε ὑφορώμεθα ὕστερον, ὡς ἐπίβουλον· καίτοι φυλαττόμεθα, οὐ μέντοι ὡς ἐχθρόν, οὐδὲ μεθ' ὑποψίας, ἀλλ' ἐκκλίσεως εὐμενοῦς. Τοιοῦτόν τι γινέσθω καὶ ἐν τοῖς λοιποῖς μέρεσι τοῦ βίου· πολλὰ παρενθυμώμεθα τῶν οἷον προσγυμναζομένων. Ἔξεστι γάρ, ὡς ἔφην, ἐκκλίνειν, καὶ μηδὲν ὑποπτεύειν, μηδὲ ἀπέχθεσθαι.

κα'. Εἴ τίς με ἐλέγξαι, καὶ παραστῆσαί μοι, ὅτι οὐκ ὀρθῶς ὑπολαμβάνω ἢ πράσσω, δύναται, χαίρων μεταθήσομαι· ζητῶ γὰρ τὴν ἀλήθειαν, ὑφ' ἧς οὐδεὶς πώποτε ἐβλάβη. Βλάπτεται δὲ ὁ ἐπιμένων ἐπὶ τῆς ἑαυτοῦ ἀπάτης καὶ ἀγνοίας.

κβ'. Ἐγὼ [δὲ] ἐμαυτοῦ καθῆκον ποιῶ· τὰ ἄλλα με οὐ περισπᾷ· ἤτοι γὰρ ἄψυχα, ἢ ἄλογα, ἢ πεπλανημένα, καὶ τὴν ὁδὸν ἀγνοοῦντα.

κγ'. Τοῖς μὲν ἀλόγοις ζώοις, καὶ καθόλου πράγμασι καὶ ὑποκειμένοις, ὡς λόγον ἔχων, λόγον μὴ ἔχουσι, χρῶ μεγαλοφρόνως καὶ ἐλευθέρως· τοῖς δὲ ἀνθρώποις, ὡς λόγον ἔχουσι, χρῶ κοινωνικῶς. Ἐφ' ἅπασι δὲ θεοὺς ἐπικαλοῦ· καὶ μὴ διαφέρου πρὸς τὸ πόσῳ χρόνῳ ταῦτα πράξεις· ἀρκοῦσι γὰρ καὶ τρεῖς ὧραι τοιαῦται.

κδ'. Ἀλέξανδρος ὁ Μακεδὼν, καὶ ὁ ὀρεωκόμος αὐτοῦ, ἀποθανόντες εἰς ταὐτὸ κατέστησαν· ἤτοι γὰρ ἐλήφθησαν εἰς τοὺς αὐτοὺς τοῦ κόσμου σπερματικοὺς λόγους· ἢ διεσκεδάσθησαν ὁμοίως εἰς τὰς ἀτόμους.

nitor, qui vites colit, et qui equos domat et qui canes curat huic studet operi. Puerorum educatio et disciplina aliquem finem consequi student; ibi igitur id, quod æstimatione dignum est; quod si bene habuerit, nihil ceterorum tibi comparare studebis. Non desines multa alia æstimare? Itaque nec liber eris, nec tibi sufficiens, neque animi perturbationibus vacuus. Non enim fieri potest, quin invideas, æmuleris eosque suspectos habeas, qui illis te privare possint, et insidias struas iis, qui id, quod a te tanti æstimatur, possident. Omnino necesse est te perturbari, si qua illarum rerum indigeas, præterea sæpe de diis conqueri; sed propriæ mentis verecundia et honor et te tibi gratum reddet et sociis commodum et diis consentientem, hoc est, quæcunque attribuunt et constituunt, laudibus celebrantem.

17. Sursum, deorsum, in orbem feruntur elementa; virtutis autem motus nulla harum viarum fertur, sed divinior quædam res et via difficili comprehensu incedens feliciter progreditur.

18. Quale est, quod faciunt! homines ejusdem ætatis et qui cum ipsis vivunt, eos laudare nolunt, ipsi vero a posteris, quos nec viderunt neque unquam videbunt, celebrari plurimi faciunt. Hoc propemodum idem est, ac si doleres, quod prisci illi te non celebrarunt laudibus.

19. Noli, si quid tibi effectu difficile, opinari, hominem id non posse præstare, sed si quid ab homine effici potest eique est familiare, id te quoque assequi posse persuasum habe.

20. In palæstra vel unguibus *nos* laceravit aliquis vel illiso capite vulnus *nobis* inflixit. Verum neque notamus, neque offendimur, neque in posterum, ut insidiatorem, suspectum habemus, quamquam cavemus, nec tamen tanquam ab hoste, neque cum suspicione, sed benevola cum declinatione. Idem etiam in ceteris vitæ partibus fiat: ad multa eorum, quæ faciunt, qui nobiscum quasi in certamine committuntur, animum non advertamus. Licet enim, ut dixi, declinare, et nec suspiciosum esse, neque odio illos habere.

21. Si quis me convincere mihique ostendere potest, me non recte sentire aut agere, læto animo ad meliorem frugem redibo: veritatem enim sector, a qua nemo unquam læsus est; læditur autem, qui in errore suo et ignorantia persistit.

22. Ego, quod meum est officium, facio: cetera me non distrahunt; aut enim anima aut ratione carent, aut aberrarunt et viam ignorant.

23. Animantibus ratione carentibus omninoque rebus et conditionibus tu, ut ratione præditus, ratione carentibus, magno ac libero animo fac utaris; hominibus ut ratione præditis ita utere, ut communionis ratio postulat; in omnibus deorum auxilium implora nec tua intersit, quam longo tempore hæc facturus sis: nam sufficient tres horæ sic exactæ.

24. Alexander Macedo ejusque mulio post mortem in idem redacti sunt: nam aut in easdem mundi rationes seminales redacti sunt, aut pariter in atomos dispersi.

κε'. Ἐνθυμήθητι, πόσα κατὰ τὸν αὐτὸν ἀκαριαῖον χρόνον ἐν ἑκάστῳ ἡμῶν ἅμα γίνεται, σωματικὰ ὁμοῦ καὶ ψυχικά· καὶ οὕτως οὐ θαυμάσεις, εἰ πολὺ πλείω, μᾶλλον δὲ πάντα τὰ γινόμενα ἐν τῷ ἑνί τε καὶ σύμπαντι, ὃ δὴ κόσμον ὀνομάζομεν, ἅμα ἐνυφίσταται.

κϛ'. Ἐάν τίς σοι προβάλῃ, πῶς γράφεται τὸ Ἀντωνίνου ὄνομα, μήτι κατεντεινόμενος προοίσῃ ἕκαστον τῶν στοιχείων; τί οὖν ἐὰν ὀργίζωνται, μήτι ἀντοργιῇ; μήτι οὐχ ἐξαριθμήσῃ πρᾴως προϊὼν ἕκαστον τῶν γραμμάτων; οὕτως οὖν καὶ ἐνθάδε μέμνησο, ὅτι πᾶν καθῆκον ἐξ ἀριθμῶν τινων συμπληροῦται. Τούτους δεῖ τηροῦντα, καὶ μὴ θορυβούμενον, μηδὲ τοῖς δυσχεραίνουσιν ἀντιδυσχεραίνοντα, περαίνειν ὁδῷ τὸ προκείμενον.

κζ'. Πῶς ὠμόν ἐστι, μὴ ἐπιτρέπειν τοῖς ἀνθρώποις ὁρμᾶν ἐπὶ τὰ φαινόμενα αὐτοῖς οἰκεῖα καὶ συμφέροντα; καίτοι τρόπον τινὰ οὐ συγχωρεῖς αὐτοῖς τοῦτο ποιεῖν, ὅταν ἀγανακτῇς, ὅτι ἁμαρτάνουσι. Φέρονται γὰρ πάντως ὡς ἐπὶ οἰκεῖα καὶ συμφέροντα αὐτοῖς. — Ἀλλ' οὐκ ἔχει οὕτως. — Οὐκοῦν δίδασκε, καὶ δείκνυε μὴ ἀγανακτῶν.

κη'. Θάνατος, ἀνάπαυλα αἰσθητικῆς ἀντιτυπίας, καὶ ὁρμητικῆς νευροσπαστίας, καὶ διανοητικῆς διεξόδου, καὶ τῆς πρὸς τὴν σάρκα λειτουργίας.

κθ'. Αἰσχρόν ἐστιν, ἐν ᾧ βίῳ τὸ σῶμά σοι μὴ ἀπαυδᾷ, ἐν τούτῳ τὴν ψυχὴν προαπαυδᾶν.

λ'. Ὅρα, μὴ ἀποκαισαρωθῇς, μὴ βαφῇς· γίνεται γάρ. Τήρησον οὖν σεαυτὸν ἁπλοῦν, ἀγαθὸν, ἀκέραιον, σεμνὸν, ἄκομψον, τοῦ δικαίου φίλον, θεοσεβῆ, εὐμενῆ, φιλόστοργον, ἐῤῥωμένον πρὸς τὰ πρέποντα ἔργα. Ἀγώνισαι, ἵνα τοιοῦτος συμμείνῃς, οἷόν σε ἠθέλησε ποιῆσαι φιλοσοφία. Αἰδοῦ θεοὺς, σῶζε ἀνθρώπους. Βραχὺς ὁ βίος· εἷς καρπὸς τῆς ἐπιγείου ζωῆς, διάθεσις ὁσία, καὶ πράξεις κοινωνικαί. Πάντα, ὡς Ἀντωνίνου μαθητής· τὸ ὑπὲρ τῶν κατὰ λόγον πρασσομένων εὔτονον ἐκείνου, καὶ τὸ ὁμαλὲς πανταχοῦ, καὶ τὸ ὅσιον, καὶ τὸ εὔδιον τοῦ προσώπου, καὶ τὸ μειλίχιον, καὶ τὸ ἀκενόδοξον, καὶ τὸ περὶ τὴν κατάληψιν τῶν πραγμάτων φιλότιμον· καὶ ὡς ἐκεῖνος οὐκ ἄν τι ὅλως παρῆκε, μὴ πρότερον εὖ μάλα κατιδὼν καὶ σαφῶς νοήσας· καὶ ὡς ἔφερεν ἐκεῖνος τοὺς ἀδίκως αὐτὸν μεμφομένους, μὴ ἀντιμεμφόμενος· καὶ ὡς ἐπ' οὐδὲν ἔσπευδεν· καὶ ὡς διαβολὰς οὐκ ἐδέχετο· καὶ ὡς ἀκριβὴς ἦν ἐξεταστὴς ἠθῶν καὶ πράξεων· καὶ οὐκ ὀνειδιστὴς, οὐ ψοφοδεὴς, οὐχ ὑπόπτης, οὐ σοφιστής· καὶ ὡς ὀλίγοις ἀρκούμενος, οἷον οἰκήσει, στρωμνῇ, ἐσθῆτι, τροφῇ, ὑπηρεσίᾳ· καὶ ὡς φιλόπονος, καὶ μακρόθυμος· καὶ οἷος μὲν ἐν τῷ μέχρι ἑσπέρας διὰ τὴν λιτὴν δίαιταν, μηδὲ τοῦ ἀποκρίνειν τὰ περιττώματα παρὰ τὴν συνήθη ὥραν χρῄζων· καὶ τὸ βέβαιον καὶ ὅμοιον ἐν ταῖς φιλίαις αὐτοῦ· καὶ τὸ ἀνέχεσθαι (τῶν) ἀντιβαινόντων παῤῥησιαστικῶς ταῖς γνώμαις αὐτοῦ, καὶ χαίρειν, εἴ τίς τι δεικνύοι κρεῖττον· καὶ ὡς θεοσεβὴς χωρὶς δεισιδαιμονίας· ἵν' οὕτως εὐσυνειδήτῳ σοι ἐπιστῇ ἡ τελευταία ὥρα, ὡς ἐκείνῳ.

λα'. Ἀνάνηφε καὶ ἀνακαλοῦ σεαυτόν. Καὶ ἐξυπνι-

25. Considera, quam multa uno eodemque temporis puncto in uniuscujusque nostrum et animo et corpore fiunt: atque ita non miraberis, si multo plura, imo vero omnia, in uno hoc atque universo, quod mundum vocamus, simul exsistunt.

26. Si quis te interrogaverit, Antonini nomen quo pacto scribatur, num magna vocis contentione singulas edes literas? Quid igitur? si tibi irascuntur, numquid tu vicissim iis irasceris? nonne *illi* placide omnes ac singulas enumerabis literas? Sic igitur etiam istic memento, omne officium quibusdam numeris absolvi, quos te oportet servare, et nec perturbatum, neque aliis indignantibus vicissim indignantem recta pergere ad id, quod propositum est.

27. Quam durum est, non ea permittere hominibus quæ ad se pertinere sibique conducere opinantur! attamen quodammodo non permittis, ut hoc faciant, quum ægre fers, illos peccare; feruntur enim omnino ad ea, quæ ad se pertinere sibique conducere ipsis videntur. — Verum res non ita habet. — Tu igitur id doce et ostende sine indignatione.

28. Mors, quies a sensuum repercussione, ab impulsu affectuum animi quasi fidiculis trahentium, a discursibus mentis et a carnis ministerio.

29. Turpe est, in qua vita corpus non succumbit, in ea prius succumbere animam.

30. Cave, ne in mores Cæsareos degeneres, ne inficiaris: solet enim fieri. Serva te igitur simplicem, bonum, integrum, gravem, ab elegantiæ studio alienum, justitiæ studiosum, pium in deos, benevolum, tuorum amantem et ad officia præstanda strenuum. Adnitere, ut talis permaneas, qualem te facere voluit philosophia: venerare deos; prospice saluti hominum. Brevis vita est et unus fructus vitæ terrestris, sancta animi affectio et actiones societati utiles. Omnia ut Antonini discipulus: constantem illius firmitatem in iis, quæ naturæ convenienter aguntur, et æquabilitatem in omnibus rebus et sanctitatem et vultus serenitatem et comitatem et gloriæ inanis contemptum et diligens in rebus percipiendis studium et quemadmodum ille omnino nihil prætermisit priusquam sedulo id consideraverat et accurate intellexerat; quemadmodum ille tulit eos, qui immerito eum reprehendebant neque eos vicissim reprehendebat; quemadmodum ad nihil festinabat; ut non delationes admisit; ut accuratus ille erat morum actionumque explorator; neque calumniator, nec meticulosus, nec suspiciosus, nec sophista; et quam paucis erat contentus, velut domo, strato, veste, victu, famulitio; ut laboris tolerans et leni animo. Poterat idem propter victus tenuitatem in eodem usque ad vesperam versari nec nisi consueta hora excernere ei necesse erat: constantiam ejus et æquabilitatem in amicitiis colendis, facile ferre eos, qui sententias ejus libere impugnabant, atque gaudere, si quis melius aliquid proferret; et quam pius in deos sine superstitione — ut tibi bene factorum conscio, sicut illi, obveniat hora novissima.

31. Redi ad sobrietatem et revoca te. Somno iterum

σθεὶς πάλιν καὶ ἐννοήσας, ὅτι ὄνειροί σοι ἠνώχλουν, πάλιν ἐγρηγορὼς βλέπε ταῦτα, ὡς ἐκεῖνα ἔϐλεπες.

excusso quum intellexeris, somnia fuisse, quæ te perturbabant, vigilans denuo hæc intuere, quemadmodum illa intuitus es.

λϐ′. Ἐκ σωματίου εἰμὶ καὶ ψυχῆς. Τῷ μὲν οὖν σωματίῳ πάντα ἀδιάφορα· οὐδὲ γὰρ δύναται διαφέρεσθαι· Τῇ δὲ διανοίᾳ ἀδιάφορα, ὅσα μή ἐστιν αὐτῆς ἐνεργήματα. Ὅσα δέ γε αὐτῆς ἐστιν ἐνεργήματα, ταῦτα πάντα ἐπ᾽ αὐτῇ ἐστιν. Καὶ τούτων μέντοι, ἃ περὶ μόνον τὸ παρὸν πραγματεύεται· τὰ γὰρ μέλλοντα καὶ παρῳχηκότα ἐνεργήματα αὐτῆς, καὶ αὐτὰ ἤδη ἀδιάφορα.

32. Ex corpusculo consto et anima. Corpusculo indifferentia sunt omnia : non enim possunt ejus differre; menti autem indifferentia sunt, quæcunque non sunt ipsius actiones; quæcunque autem sunt ejus actiones, in potestate ejus sitæ sunt omnes. Ex his tamen eæ tantum *ei curæ sunt*, quæ circa id, quod præsens est, versantur : quæ enim futuræ sunt ejus actiones aut præteritæ, et ipsæ ei nunc indifferentes.

λγ′. Οὐκ ἔστιν ὁ πόνος τῇ χειρὶ, οὐδὲ τῷ ποδὶ παρὰ φύσιν, μέχρις ἂν ποιῇ ὁ ποὺς τὰ τοῦ ποδὸς, καὶ ἡ χεὶρ τὰ τῆς χειρός. Οὕτως οὖν οὐδὲ ἀνθρώπῳ, ὡς ἀνθρώπῳ, παρὰ φύσιν ἐστὶν ὁ πόνος, μέχρις ἂν ποιῇ τὰ τοῦ ἀνθρώπου. Εἰ δὲ παρὰ φύσιν αὐτῷ οὐκ ἔστιν, οὐδὲ κακὸν οὐκ ἔστιν αὐτῷ.

33. Neque manui labor est neque pedi contra naturam, quamdiu pes facit, quod pedis est, et manus, quod manus est. Sic igitur neque homini ut homini, labor est contra naturam, quamdiu facit, quod hominis est. Quod si contra naturam ejus non est, nec malum ei est.

λδ′. Ἡλίκας ἡδονὰς ἥσθησαν λῃσταὶ, κίναιδοι, πατραλοῖαι, τύραννοι;

34. Quantis voluptatibus delectati sunt latrones, cinædi, parricidæ, tyranni?

λε′. Οὐχ ὁρᾷς, πῶς οἱ βάναυσοι τεχνῖται ἁρμόζονται μὲν ἄχρι τινὸς πρὸς τοὺς ἰδιώτας, οὐδὲν ἧσσον μέντοι ἀντέχονται τοῦ λόγου τῆς τέχνης, καὶ τούτου ἀποστῆναι οὐχ ὑπομένουσιν; Οὐ δεινὸν, εἰ ὁ ἀρχιτέκτων, καὶ ὁ ἰατρὸς, μᾶλλον αἰδέσονται τὸν τῆς ἰδίας τέχνης λόγον ἢ ὁ ἄνθρωπος τὸν ἑαυτοῦ, ὃς αὐτῷ κοινός ἐστι πρὸς τοὺς θεούς;

35. Videsne, ut qui illiberales profitentur artes, aliquatenus quidem ad imperitos se accommodent, nihilominus tamen artis rationem retineant neque ab ea discedere sustineant? Nonne turpe est, architectum ac medicum artis suæ rationem magis vereri, quam hominem suam ipsius rationem, quæ ei cum diis communis est?

λς′. Ἡ Ἀσία, ἡ Εὐρώπη, γωνίαι τοῦ κόσμου· πᾶν πέλαγος, σταγὼν τοῦ κόσμου· Ἄθως βωλάριον τοῦ κόσμου· πᾶν τὸ ἐνεστὼς τοῦ χρόνου, στιγμὴ τοῦ αἰῶνος. Πάντα μικρὰ, εὔτρεπτα, ἐναφανιζόμενα. Πάντα ἐκεῖθεν ἔρχεται, ἀπ᾽ ἐκείνου τοῦ κοινοῦ ἡγεμονικοῦ ὁρμήσαντα, ἢ κατ᾽ ἐπακολούθησιν. Καὶ τὸ χάσμα οὖν τοῦ λέοντος, καὶ τὸ δηλητήριον, καὶ πᾶσα κακουργία, ὡς ἄκανθα, ὡς βόρϐορος, ἐκείνων ἐπιγεννήματα τῶν σεμνῶν καὶ καλῶν. Μὴ οὖν αὐτὰ ἀλλότρια τούτου, οὗ σέβεις, φαντάζου· ἀλλὰ τὴν πάντων πηγὴν ἐπιλογίζου.

36. Asia, Europa, anguli mundi : omne mare, guttula mundi : Athos, glebula mundi : omne quod instat tempus, punctum ævi : omnia parva, caduca, evanida : omnia inde veniunt, a communi illo principatu profecta, vel per consequentiam. Itaque etiam leonis rictus et venenum mortiferum et noxium quidvis, ut spina, ut lutum, honestarum illarum et pulcrarum rerum appendices agnatæ sunt. Noli igitur ea ab eo, quem colis, aliena opinari, verum omnium fontem tecum perpende.

λζ′. Ὁ τὰ νῦν ἰδὼν, πάντα ἑώρακεν, ὅσα τε ἐξ ἀϊδίου ἐγένετο, καὶ ὅσα εἰς τὸ ἄπειρον ἔσται· πάντα γὰρ ὁμογενῆ, καὶ ὁμοειδῆ.

37. Qui præsentia cernit, omnia vidit, quæ ab æterno fuerunt et in infinitum usque erunt : omnia enim ejusdem generis ejusdemque formæ sunt.

λη′. Πολλάκις ἐνθυμοῦ τὴν ἐπισύνδεσιν πάντων τῶν ἐν τῷ κόσμῳ, καὶ σχέσιν πρὸς ἄλληλα. Τρόπον γάρ τινα πάντα ἀλλήλοις ἐπιπέπλεκται, καὶ πάντα κατὰ τοῦτο φίλα ἀλλήλοις ἐστί· καὶ γὰρ ἄλλῳ ἄλλο ἑξῆς ἐστι· τοῦτο δὲ διὰ τὴν τονικὴν κόνησιν καὶ σύμπνοιαν, καὶ τὴν ἕνωσιν τῆς οὐσίας.

38. Sæpe tecum perpende rerum omnium, quæ in mundo sunt, connexum et mutuam rationem : quodammodo enim omnia inter se sunt implicita, et eatenus inter se amica : nam alii consequens est hoc per tendentem connexum et conspirationem et unitatem materiæ.

λθ′. Οἷς συγκεκλήρωσαι πράγμασι, τούτοις συνάρμοζε σεαυτόν· καὶ οἷς συνείληχας ἀνθρώποις, τούτους φίλει, ἀλλ᾽ ἀληθινῶς.

39. Quibus sorte addictus es rebus, iis te accommoda, et quibuscum forte conjunctus es hominibus, eos amore, eoque vero, prosequere.

μ′. Ὄργανον, ἐργαλεῖον, σκεῦος πᾶν, εἰ, πρὸς ὃ κατεσκεύασται, ποιεῖ, εὖ ἔχει· καίτοι ἐκεῖ ὁ κατασκευάσας ἐκποδών. Ἐπὶ δὲ τῶν ὑπὸ φύσεως συνεχομένων ἔνδον ἐστὶ καὶ παραμένει ἡ κατασκευάσασα δύναμις· καθὸ καὶ μᾶλλον αἰδεῖσθαι αὐτὴν δεῖ, καὶ νομίζειν, ἐὰν κατὰ τὸ βούλημα ταύτης ἔχῃς καὶ διεξάγῃς, ἔχειν σοι

40. Organum, instrumentum, vas quodlibet, si ad quod fabricatum est, id facit, bene habet, quamquam ibi, qui condidit, opifex abiit : in iis vero, quæ a natura continentur, intus est et permanet quæ condidit vis. Proinde vel magis eam vereri te oportet atque existimare, si secundum eam te

πάντα κατὰ νοῦν. Ἔχει δὲ οὕτως καὶ τῷ παντὶ κατὰ νοῦν τὰ ἑαυτοῦ.

μα'. Ὅ τι ἂν τῶν ἀπροαιρέτων ὑποστήσῃς σαυτῷ ἀγαθὸν, ἢ κακὸν, ἀνάγκη κατὰ τὴν περίπτωσιν τοῦ τοιούτου κακοῦ, ἢ τὴν ἀπότευξιν τοῦ τοιούτου ἀγαθοῦ, μέμψασθαί σε θεοῖς· καὶ ἀνθρώπους δὲ μισῆσαι, τοὺς αἰτίους ὄντας, ἢ ὑποπτευομένους ἔσεσθαι, τῆς ἀποτεύξεως, ἢ τῆς περιπτώσεως· καὶ ἀδικοῦμεν δὴ πολλὰ, διὰ τὴν πρὸς ταῦτα διαφοράν. Ἐὰν δὲ μόνα τὰ ἐφ' ἡμῖν ἀγαθὰ καὶ κακὰ κρίνωμεν, οὐδεμία αἰτία καταλείπεται, οὔτε θεῷ ἐγκαλέσαι, οὔτε πρὸς ἄνθρωπον στῆναι στάσιν πολεμίου.

μβ'. Πάντες εἰς ἓν ἀποτέλεσμα συνεργοῦμεν, οἱ μὲν εἰδότως καὶ παρακολουθητικῶς, οἱ δὲ ἀνεπιστάτως· ὥσπερ καὶ τοὺς καθεύδοντας, οἶμαι, ὁ Ἡράκλειτος ἐργάτας εἶναι λέγει, καὶ συνεργοὺς τῶν ἐν τῷ κόσμῳ γινομένων. Ἄλλος δὲ κατ' ἄλλο συνεργεῖ· ἐκ περιουσίας δὲ καὶ ὁ μεμφόμενος, καὶ ὁ ἀντιβαίνειν πειρώμενος, καὶ ἀναιρεῖν τὰ γινόμενα. Καὶ γὰρ τοῦ τοιούτου ἔχρῃζεν ὁ κόσμος. Λοιπὸν οὖν σύνες, εἰς τίνας ἑαυτὸν κατατάσσεις· ἐκεῖνος μὲν γὰρ πάντως σοι καλῶς χρήσεται ὁ τὰ ὅλα διοικῶν, καὶ παραδέξεταί σε εἰς μέρος τι τῶν συνεργῶν καὶ συνεργητικῶν. Ἀλλὰ σὺ μὴ τοιοῦτο μέρος γένῃ, οἷος ὁ εὐτελὴς καὶ γελοῖος στίχος ἐν τῷ δράματι, οὗ Χρύσιππος μέμνηται.

μγ'. Μήτι ὁ ἥλιος τὰ τοῦ ὑετοῦ ἀξιοῖ ποιεῖν; μήτι ὁ Ἀσκληπιὸς τὰ τῆς Καρποφόρου; τί δὲ τῶν ἄστρων ἕκαστον, οὐχὶ διάφορα μὲν, συνεργὰ δὲ πρὸς ταὐτόν;

μδ'. Εἰ μὲν οὖν ἐβουλεύσαντο περὶ ἐμοῦ καὶ τῶν ἐμοὶ συμβῆναι ὀφειλόντων οἱ θεοὶ, καλῶς ἐβουλεύσαντο· ἄβουλον γὰρ θεὸν οὐδὲ ἐπινοῆσαι ῥᾴδιον· κακοποιῆσαι δέ με διὰ τίνα αἰτίαν ἔμελλον ὁρμᾷν; τί γὰρ αὐτοῖς ἢ τῷ κοινῷ, οὗ μάλιστα προνοοῦνται, ἐκ τούτου περιεγένετο; Εἰ δὲ μὴ ἐβουλεύσαντο κατ' ἰδίαν περὶ ἐμοῦ, περί γε τῶν κοινῶν πάντως ἐβουλεύσαντο, οἷς κατ' ἐπακολούθησιν καὶ ταῦτα συμβαίνοντα ἀσπάζεσθαι καὶ στέργειν ὀφείλω. Εἰ δ' ἄρα περὶ μηδενὸς βουλεύονται, πιστεύειν μὲν οὐχ ὅσιον, ἢ μηδὲ θύωμεν, μηδὲ εὐχώμεθα, μηδὲ ὀμνύωμεν, μηδὲ τὰ ἄλλα πράσσωμεν, ἅπερ ἕκαστα ὡς πρὸς παρόντας καὶ συμβιοῦντας τοὺς θεοὺς πράσσομεν. Εἰ δὲ ἄρα περὶ μηδενὸς τῶν καθ' ἡμᾶς βουλεύονται, ἐμοὶ μὲν ἔξεστι περὶ ἐμαυτοῦ βουλεύεσθαι· ἐμοὶ δὲ ἐστὶ σκέψις περὶ τοῦ συμφέροντος. Συμφέρει δὲ ἑκάστῳ τὸ κατὰ τὴν ἑαυτοῦ κατασκευὴν καὶ φύσιν· ἡ δὲ ἐμὴ φύσις λογικὴ καὶ πολιτική· πόλις καὶ πατρὶς, ὡς μὲν Ἀντωνίνῳ μοι ἡ Ῥώμη, ὡς δὲ ἀνθρώπῳ, ὁ κόσμος. Τὰ ταῖς πόλεσιν οὖν ταύταις ὠφέλιμα μόνα ἐστί μοι ἀγαθά.

με'. Ὅσα ἑκάστῳ συμβαίνει, ταῦτα τῷ ὅλῳ συμφέρει· ἤρκει τοῦτο. Ἀλλ' ἔτι ἐκεῖνο ὡς ἐπίπαν ὄψει παραφυλάξας, ὅσα ἀνθρώπῳ, καὶ ἑτέροις ἀνθρώποις. Κοινότερον δὲ νῦν τὸ συμφέρον ἐπὶ τῶν μέσων λαμβανέσθω.

μς'. Ὥσπερ προσίσταταί σοι τὰ ἐν τῷ ἀμφιθεάτρῳ

habeas et degas, omnia tibi ex animi sententia habere: sic etiam universo omnia ex sui animi sententia se habent.

41. Si quid eorum, quæ arbitrii tui non sunt, bonum malumve esse in animum induxeris; non poterit non fieri, quin, si istiusmodi vel in malum incideris vel bono excideris, de diis queraris, homines autem oderis, ut qui auctores sint aut ex suspicione tua futuri sint ut altero excidas, in alterum incidas. Et utique multa injuste facimus idcirco, quod illarum rerum nostra interest. Quod si ea sola, quæ in nostra sunt potestate, bona malaque censeamus, nulla jam restat causa, cur deum accusemus aut contra homines inimici partes geramus.

42. Omnes ad unum eundemque effectum operam conferimus, alii scientes et intelligentes, alii quod faciunt nescientes; quemadmodum etiam dormientes Heraclitus, opinor, operarios esse dixit et conferre ad ea, quæ in mundo fiant. Alius vero alio modo operam confert; ex abundanti vero etiam is, qui queritatur et iis, quæ fiunt, reniti conatur eaque tollere; nam tali quoque homine mundo opus erat. Igitur quod reliquum est tu cogita, quorum in numerum te referas: ille enim, qui rerum universitatem administrat, omnino bene te utetur atque te in partem operariorum eorumque, quæ opus adjuvant, recipiet: tu autem cave, ne talis pars fueris, qualis in fabula vilis ac ridiculus versus, cujus meminit Chrysippus.

43. Numquid sol quæ pluviæ sunt facere cupit? numquid Æsculapius quæ Frugiferæ sunt? Quid siderum quodvis? nonne, quamquam diversa, idem opus adjuvant?

44. Si quidem dii de me iisque quæ mihi evenire oportet, consuluerunt, bene consuluerunt; etenim consilii expertem esse deum ne ad cogitandum quidem facile est; ut autem mihi malefaciendi consilium caperent, quænam eos causa impulisset? Quid enim ipsis aut communitati, cujus maximam curam gerunt, inde accederet? Sin de me privatim nihil, de rebus universi certe consuluerunt, ex quibus quum ea quoque, quæ mihi eveniunt, necessario consequantur, amplecti hæc debeo atque diligere. Sin vero de nulla prorsus re consuluerunt — credere tamen non fas est, aut neque sacra faciamus neque preces fundamus, neque per eos juremus neque alia faciamus, quæ quidem singula facimus tanquam diis nobis præsentibus et nobiscum viventibus — sin vero, inquam, de nulla mearum rerum consulere, mihi quidem licet de me ipso consilium capere. Mea autem deliberatio ad id quod utile est, spectat: utile vero cuivis est, quod constitutioni ipsius ac naturæ convenit: natura autem mea rationalis est et societatis amans: civitas et patria mihi, ut Antonino, Roma, ut homini, mundus; his igitur civitatibus quæ utilia sunt, ea mihi sola sunt bona.

45. Quæcunque singulis eveniunt, ea universo prosunt: hoc suffecerit. Verum præterea illud, quod, si animum adverteris, ubique videbis, quæcunque homini etiam aliis hominibus *prodesse*. Vocabulum « utilis » nunc vulgari sensu de rebus mediis accipias.

46. Quemadmodum te tædio afficiunt, quæ in amphithea-

καὶ τοῖς τοιούτοις χωρίοις, ὡς ἀεὶ τὰ αὐτὰ δρώμενα, καὶ τὸ ὁμοειδὲς προσκορῆ τὴν θέαν ποιεῖ· τοῦτο καὶ ἐπὶ ὅλου τοῦ βίου πάσχειν· πάντα γὰρ ἄνω κάτω τὰ αὐτά, καὶ ἐκ τῶν αὐτῶν. Μέχρι τίνος οὖν;

μζ'. Ἐννόει συνεχῶς παντοίους ἀνθρώπους, καὶ παντοίων μὲν ἐπιτηδευμάτων, παντοδαπῶν δὲ ἐθνῶν, τεθνεῶτας· ὥστε κατιέναι τοῦτο μέχρι Φιλιστίωνος, καὶ Φοίβου, καὶ Ὀριγανίωνος. Μέτιθι νῦν ἐπὶ τὰ ἄλλα φῦλα. Ἐκεῖ δὲ μεταβαλεῖν ἡμᾶς δεῖ, ὅπου τοσοῦτοι μὲν δεινοὶ ῥήτορες, τοσοῦτοι δὲ σεμνοὶ φιλόσοφοι, Ἡράκλειτος, Πυθαγόρας, Σωκράτης· τοσοῦτοι δὲ ἥρωες πρότερον· τοσοῦτοι δὲ ὕστερον στρατηγοί, τύραννοι· ἐπὶ τούτοις δὲ Εὔδοξος, Ἵππαρχος, Ἀρχιμήδης, ἄλλαι φύσεις ὀξεῖαι, μεγαλόφρονες, φιλόπονοι, πανοῦργοι, αὐθάδεις, αὐτῆς τῆς ἐπικήρου καὶ ἐφημέρου τῶν ἀνθρώπων ζωῆς χλευασταί, οἷον Μένιππος, καὶ ὅσοι τοιοῦτοι. Περὶ πάντων τούτων ἐννόει, ὅτι πάλαι κεῖνται. Τί οὖν τοῦτο δεινὸν αὐτοῖς; τί δαὶ τοῖς μηδ' ὀνομαζομένοις ὅλως; ἓν ὧδε πολλοῦ ἄξιον, τὸ μετ' ἀληθείας καὶ δικαιοσύνης εὐμενῆ τοῖς ψεύσταις καὶ ἀδίκοις διαβιοῦν.

μη'. Ὅταν εὐφρᾶναι σεαυτὸν θέλῃς, ἐνθυμοῦ τὰ προτερήματα τῶν συμβιούντων· οἷον, τοῦ μὲν τὸ δραστήριον, τοῦ δὲ τὸ αἰδῆμον, τοῦ δὲ τὸ εὐμετάδοτον, ἄλλου δὲ ἄλλο τι. Οὐδὲν γὰρ οὕτως εὐφραίνει, ὡς τὰ ὁμοιώματα τῶν ἀρετῶν, ἐμφαινόμενα τοῖς ἤθεσι τῶν συζώντων, καὶ ἀθρόα ὡς οἷόν τε συμπίπτοντα. Διὸ καὶ πρόχειρα αὐτὰ ἑκτέον.

μθ'. Μήτι δυσχεραίνεις, ὅτι τοσῶνδέ τινων λιτρῶν εἶ, καὶ οὐ τριακοσίων; οὕτω δὲ καὶ ὅτι μέχρι τοσῶνδε ἐτῶν βιωτέον σοι, καὶ οὐ μέχρι πλείονος· ὥσπερ γὰρ τῆς οὐσίας ὅσον ἀφώρισταί σοι στέργεις, οὕτως καὶ ἐπὶ τοῦ χρόνου.

ν'. Πειρῶμεν πείθειν αὐτούς. Πρᾶττε δὲ καὶ (αὐτῶν) ἀκόντων, ὅταν τῆς δικαιοσύνης ὁ λόγος οὕτως ἄγῃ. Ἐὰν μέντοι βίᾳ τις προσχρώμενος ἐνίστηται, μετάβαινε ἐπὶ τὸ εὐάρεστον καὶ ἄλυπον, καὶ συγχρῶ εἰς ἄλλην ἀρετὴν τῇ κωλύσει· καὶ μέμνησο, ὅτι μεθ' ὑπεξαιρέσεως ὁρμᾷς, ὅτι καὶ τῶν ἀδυνάτων οὐκ ὠρέγου. Τίνος οὖν; τῆς τοιᾶσδέ τινος ὁρμῆς. Τούτου δὲ τυγχάνεις· ἐφ' οἷς προήχθημεν, ταῦτα γίνεται.

να'. Ὁ μὲν φιλόδοξος ἀλλοτρίαν ἐνέργειαν ἴδιον ἀγαθὸν ὑπολαμβάνει· ὁ δὲ φιλήδονος, ἰδίαν πεῖσιν· ὁ δὲ νοῦν ἔχων, ἰδίαν πρᾶξιν.

νϐ'. Ἔξεστι περὶ τούτου μηδὲν ὑπολαμβάνειν, καὶ μὴ ὀχλεῖσθαι τῇ ψυχῇ· αὐτὰ γὰρ τὰ πράγματα οὐκ ἔχει φύσιν ποιητικὴν τῶν ἡμετέρων κρίσεων.

νγ'. Ἔθισον σεαυτὸν πρὸς τὸ ὑφ' ἑτέρου λεγόμενον γίνεσθαι ἀπαρενθυμήτως, καὶ ὡς οἷόν τε ἐν τῇ ψυχῇ τοῦ λέγοντος γίνου.

νδ'. Τὸ τῷ σμήνει μὴ συμφέρον, οὐδὲ τῇ μελίσσῃ συμφέρει.

νε'. Εἰ κυϐερνῶντα οἱ ναῦται, ἢ ἰατρεύοντα οἱ κάμνοντες κακῶς ἔλεγον, ἄλλῳ τινὶ ἂν προσεῖχον, ἢ πῶς

tro et ejusmodi locis spectantur, quippe quæ quum eadem semper ejusdemque generis sint, quæ spectantur, spectandi satietatem afferant, idem te in tota vita pati *necesse est*. Cuncta enim sursum deorsum eadem et ex iisdem. Quousque igitur?

47. Considera perpetuo omnis generis omniumque et studiorum et gentium homines mortuos, ita ut ad Philistionem, Phœbum, Origanionem descendas. Transi nunc ad alia genera. Eodem nos concedere oportet, quo tot oratores diserti, tot philosophi venerabiles, Heraclitus, Pythagoras, Socrates, tot prisci heroes, tot postea imperatores, tyranni, post hos Eudoxus, Hipparchus, Archimedes, alii porro acutis præditi ingeniis, magnanimi, laboriosi, versuti, arrogantes, ipsi denique vitæ hominum caducæ et in diem durantis subsannatores, ut Menippus et omnes hujus generis. Hos omnes cogita jamdudum jacere: quid igitur iis inde mali? quid vero iis, qui ne nominantur quidem? Unum hic magni æstimandum, ut ipse veritatem et justitiam colens erga mendaces et injustos benevolum te præbeas.

48. Si quando te exhilarare tibi libet, in mentem tibi revoca virtutes eorum, qui tecum vivunt, ut hujus alacritatem in negotiis obeundis, illius verecundiam, hujus munificentiam, illius aliam aliquam; nihil enim ita animum oblectat, quam imagines virtutum in moribus eorum, quibuscum vivitur, expressæ et quam frequentissime visui sese offerentes. Quamobrem ad manum eas fac habeas.

49. Numquid ægre fers, te tot pondo nec trecentorum esse? Sic vero etiam, quod tot annos neque ulterius victurus es; quemadmodum enim, quantum materiæ tibi assignatum est, tanto es contentus, sic etiam quod attinet ad tempus.

50. Conemur iis persuadere. Verum etiam iis invitis age, quum justitiæ ratio sic exigit: si quis tamen vi tibi resistit, ad lenitatem et tranquillitatem te transfer et utere impedimento ad aliam virtutem *exercendam;* ac memento, te cum exceptione rem aggredi, neque ea te voluisse, quæ fieri nequeant. Quid igitur? ut talem agendi conatum habeas; atque hunc assequeris: ad quæ impulsi sumus, ea fiunt.

51. Gloriæ cupidus in aliena actione bonum suum situm esse opinatur; voluptati deditus in sua ipsius affectione; ratione utens in sua ipsius actione.

52. Licet de hac re nihil opinari, neque animo perturbari; res enim ipsæ non ea sunt natura, ut judicia nostra cogant.

53. Adsuesce iis, quæ ab alio dicuntur, animum sedulo adhibere, et, quantum fieri potest, in dicentis animo esse.

54. Quod examini non prodest, neque api prodest.

55. Si vectores gubernatori, ægroti medico maledicerent,

αὐτὸς ἐνεργοίη τὸ τοῖς ἐμπλέουσι σωτήριον, ἢ τὸ τοῖς θεραπευομένοις ὑγιεινόν;

νς'. Πόσοι, μεθ' ὧν εἰσῆλθον εἰς τὸν κόσμον, ἤδη ἀπεληλύθασιν;

νζ'. Ἰκτεριῶσι τὸ μέλι πικρὸν φαίνεται· καὶ λυσσοδήκτοις τὸ ὕδωρ φοβερόν· καὶ παιδίοις τὸ σφαιρίον καλόν. Τί οὖν ὀργίζομαι; ἢ δοκεῖ σοι ἔλασσον ἰσχύειν τὸ διεψευσμένον, ἢ τὸ χολίον τῷ ἰκτεριῶντι, καὶ ὁ ἰὸς τῷ λυσσοδήκτῳ;

νη'. Κατὰ τὸν λόγον τῆς σῆς φύσεως βιοῦν σε οὐδεὶς κωλύσει· παρὰ τὸν λόγον τῆς κοινῆς φύσεως οὐδέν σοι συμβήσεται.

νθ'. Οἷοί εἰσιν, οἷς θέλουσιν ἀρέσκειν, καὶ δι' οἷα περιγινόμενα, καὶ δι' οἵων ἐνεργειῶν. Ὡς ταχέως ὁ αἰὼν πάντα καλύψει· καὶ ὅσα ἐκάλυψεν ἤδη.

ΒΙΒΛΙΟΝ Ζ.

α'. Τί ἐστι κακία; — Τοῦτ' ἔστιν, ὃ πολλάκις εἶδες. Καὶ ἐπὶ παντὸς δὲ τοῦ συμβαίνοντος πρόχειρον ἔχε, ὅτι τοῦτό ἐστιν, ὃ πολλάκις εἶδες. Ὅλως ἄνω κάτω τὰ αὐτὰ εὑρήσεις, ὧν μεσταὶ αἱ ἱστορίαι αἱ παλαιαί, αἱ μέσαι, αἱ ὑπόγυιοι· ὧν νῦν μεσταὶ αἱ πόλεις καὶ (αἱ) οἰκίαι. Οὐδὲν καινόν· πάντα καὶ συνήθη καὶ ὀλιγοχρόνια.

β'. Τὰ δόγματα πῶς ἄλλως δύναται νεκρωθῆναι, ἐὰν μὴ αἱ κατάλληλοι αὐτοῖς φαντασίαι σβεσθῶσιν; ἃς διηνεκῶς ἀναζωπυρεῖν ἐπὶ σοί ἐστι. Δύναμαι περὶ τούτου, ὃ δεῖ, ὑπολαμβάνειν· εἰ δύναμαι, τί ταράσσομαι; τὰ ἔξω τῆς ἐμῆς διανοίας οὐδὲν ὅλως πρὸς τὴν ἐμὴν διάνοιαν. Τοῦτο πάθε, καὶ ὀρθὸς εἶ· ἀναβιῶναί σοι ἔξεστιν· ἴδε πάλιν τὰ πράγματα, ὡς ἑώρας· ἐν τούτῳ γὰρ τὸ ἀναβιῶναι.

γ'. Πομπῆς κενοσπουδία, ἐπὶ σκηνῆς δράματα, ποίμνια, ἀγέλαι, διαδορατισμοί, κυνιδίοις ὀστάριον ἐρριμένον, ψωμίον εἰς τὰς τῶν ἰχθύων δεξαμενάς, μυρμήκων ταλαιπωρίαι καὶ ἀχθοφορίαι, μυϊδίων ἐπτοημένων διαδρομαί, σιγιλλάρια νευροσπαστούμενα. Χρὴ οὖν ἐν τούτοις εὐμενῶς μὲν καὶ μὴ καταφρυαττόμενον ἑστάναι· παρακολουθεῖν μέντοι, ὅτι τοσούτου ἄξιος ἕκαστός ἐστιν, ὅσου ἄξιά ἐστι ταῦτα, περὶ ἃ ἐσπούδακεν.

δ'. Δεῖ κατὰ λέξιν παρακολουθεῖν τοῖς λεγομένοις, καὶ καθ' ἑκάστην ὁρμὴν τοῖς γινομένοις. Καὶ ἐπὶ μὲν τοῦ ἑτέρου εὐθὺς ὁρᾷν, ἐπὶ τίνα σκοπὸν ἡ ἀναφορά· ἐπὶ δὲ τοῦ ἑτέρου παραφυλάσσειν, τί τὸ σημαινόμενον.

ε'. Πότερον ἐξαρκεῖ ἡ διάνοιά μου πρὸς τοῦτο, ἢ οὔ; Εἰ μὲν ἐξαρκεῖ, χρῶμαι αὐτῇ πρὸς τὸ ἔργον, ὡς ὀργάνῳ παρὰ τῆς τῶν ὅλων φύσεως δοθέντι. Εἰ δὲ μὴ ἐξαρκεῖ, ἤτοι παραχωρῶ τοῦ ἔργου τῷ δυναμένῳ κρεῖττον ἐπιτελέσαι, ἐὰν ἄλλως τοῦτο μὴ καθήκῃ· ἢ πράσσω, ὡς δύναμαι, προσπαραλαβὼν τὸν δυνάμενον κατὰ πρόσχρησιν τοῦ ἐμοῦ ἡγεμονικοῦ ποιῆσαι τὸ εἰς τὴν κοινωνίαν νῦν καίριον καὶ χρήσιμον. Ὅ τι γὰρ ἂν δι'

num ad aliud aliquid animum adverterent, quam ut ipse navigantibus salutem, ægrotantibus sanitatem pararet?

56. Quam multi, quibuscum mundum intravi, jam excesserunt!

57. Aurigine affectis mel amarum videtur, et iis, qui a cane rabido morsi sunt, aqua formidini est, et pueris pila res pulcra. Quid igitur irascor? an vero minus valere putas falsam opinionem, quam apud lymphaticum bilem, apud arquatum virus?

58. Quominus secundum tuæ naturæ rationem agas, nemo te impediet : contra communis naturæ rationem nihil tibi accidet.

59. Quales sunt, quibus placere student et qualia ob emolumenta et qualibus actionibus! Quam cito ævum omnia abscondet, et quam multa jam abscondidit!

LIBER VII.

1. Quid est malitia? Id est, quod sæpe vidisti. Quidquid accidat, hoc tibi in promptu sit, esse id, quod sæpe videris. Omnino sursum deorsum eadem deprehendes, quibus refertæ sunt historiæ priscæ, mediæ, recentes, quibus nunc refertæ urbes et domus. Nihil novi, omnia et usitata et brevi tempore durantia.

2. Placita qua alia ratione aboleri possunt, quam visis quæ iis respondent, exstinctis? quæ ut * non * suscites continenter, in tua potestate situm est. Possum, quod oportet, hac de re existimare; si possum, quid animo perturbor? quæ extra mentem sunt, omnino nihil ad mentem meam. Sic affectus sis, et rectus es; reviviscere tibi licet; intuere rursus res, ut eas intuitus es : in eo enim situm est reviviscere.

3. Inane pompæ studium, fabulæ scenicæ, greges, armenta, velitationes, ossiculum canibus projectum, offula in piscinas injecta, formicarum ærumnæ et bajulationes, musculorum perterritorum discursus, sigillaria verticillis commota. Oportet igitur in his benevolo animo et sine ferocia consistere, animadvertere tamen, tanti quemvis esse, quanti sint ea, in quibus studium ponat.

4. In sermone iis, quæ dicuntur, animum advertere te oportet, in agendi impetu iis, quæ fiunt, atque hic videre, ad quem finem referantur, illic observare, quid sit, quod significetur.

5. Sufficitne mens mea ad hanc rem, necne? Si sufficit, ea utor ad rem efficiendam, ut instrumento ab universi natura mihi dato : sin minus, aut hoc opus illi concedo, qui me melius id exsequi potest, * si modo id me deceat, aut ipse pro viribus perago, adsumpto mihi auxiliario, qui mentis meæ opera adjutus id efficere possit, quod societati hoc ipso tempore tempestivum et utile est; quidquid enim

ἐμαυτοῦ, ἢ σὺν ἄλλῳ ποιῶ, ὧδε μόνον χρὴ συντείνειν, εἰς τὸ κοινῇ χρήσιμον καὶ εὐάρμοστον.

ϛ'. Ὅσοι μὲν, πολυύμνητοι γενόμενοι, ἤδη λήθῃ παραδέδονται· ὅσοι δὲ, τούτους ὑμνήσαντες, πάλαι ἐκποδών.

ζ'. Μὴ αἰσχύνου βοηθούμενος· πρόκειταί γάρ σοι ἐνεργεῖν τὸ ἐπιβάλλον, ὡς στρατιώτῃ ἐν τειχομαχίᾳ. Τί οὖν, ἐὰν σὺ μὲν χωλαίνων ἐπὶ τὴν ἔπαλξιν ἀναβῆναι μόνος μὴ δύνῃ, σὺν ἄλλῳ δὲ δυνατὸν ᾖ τοῦτο;

η'. Τὰ μέλλοντα μὴ ταρασσέτω· ἥξεις γὰρ ἐπ' αὐτὰ, ἐὰν δεήσῃ, φέρων τὸν αὐτὸν λόγον, ᾧ νῦν πρὸς τὰ παρόντα χρᾷ.

θ'. Πάντα ἀλλήλοις ἐπιπλέκεται καὶ ἡ σύνδεσις ἱερὰ, καὶ σχεδόν τι οὐδὲν ἀλλότριον ἄλλο ἄλλῳ. Συγκατατέτακται γὰρ, καὶ συγκοσμεῖ τὸν αὐτὸν κόσμον. Κόσμος τε γὰρ εἷς ἐξ ἁπάντων, καὶ Θεὸς εἷς διὰ πάντων, καὶ οὐσία μία, καὶ νόμος εἷς, λόγος κοινὸς πάντων τῶν νοερῶν ζώων, καὶ ἀλήθεια μία· εἴγε καὶ τελειότης μία τῶν ὁμογενῶν, καὶ τοῦ αὐτοῦ λόγου μετεχόντων ζώων.

ι'. Πᾶν τὸ ἔνυλον ἐναφανίζεται τάχιστα τῇ τῶν ὅλων οὐσίᾳ· καὶ πᾶν αἴτιον εἰς τὸν τῶν ὅλων λόγον τάχιστα ἀναλαμβάνεται· καὶ παντὸς μνήμη τάχιστα ἐγκαταχώννυται τῷ αἰῶνι.

ια'. Τῷ λογικῷ ζώῳ ἡ αὐτὴ πρᾶξις κατὰ φύσιν ἐστὶ, καὶ κατὰ λόγον.

ιβ'. Ὀρθὸς, ἢ ὀρθούμενος.

ιγ'. Οἷόν ἐστιν ἐν ἡνωμένοις τὰ μέλη τοῦ σώματος, τοῦτον ἔχει τὸν λόγον ἐν διεστῶσι τὰ λογικὰ, πρὸς μίαν τινὰ συνεργίαν κατεσκευασμένα. Μᾶλλον δέ σοι ἡ τούτου νόησις προσπεσεῖται, ἐὰν πρὸς ἑαυτὸν πολλάκις λέγῃς, ὅτι μέλος εἰμὶ τοῦ ἐκ τῶν λογικῶν συστήματος. Ἐὰν δὲ [διὰ τοῦ ῥῶ στοιχείου] « μέρος » εἶναι ἑαυτὸν λέγῃς, οὔπω ἀπὸ καρδίας φιλεῖς τοὺς ἀνθρώπους· οὔπω σε καταληπτικῶς εὐφραίνει τὸ εὐεργετεῖν· ἔτι ὡς πρέπον αὐτὸ ψιλὸν ποιεῖς· οὔπω ὡς αὐτὸν εὖ ποιῶν.

ιδ'. Ὃ θέλει, ἔξωθεν προσπιπτέτω τοῖς παθεῖν ἐκ τῆς προσπτώσεως ταύτης δυναμένοις. Ἐκεῖνα γὰρ, ἐὰν θελήσῃ, μέμψεται τὰ παθόντα· ἐγὼ δὲ, ἐὰν μὴ ὑπολάβω, ὅτι κακὸν τὸ συμβεβηκὸς, οὔπω βέβλαμμαι. Ἔξεστι δέ μοι μὴ ὑπολαβεῖν.

ιε'. Ὅ τι ἄν τις ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ ἀγαθὸν εἶναι, ὡς ἂν εἰ ὁ χρυσὸς, ἢ ὁ σμάραγδος, ἢ ἡ πορφύρα τοῦτο ἀεὶ ἔλεγεν, ὅ τι ἄν τις ποιῇ, ἢ λέγῃ, ἐμὲ δεῖ σμάραγδον εἶναι, καὶ τὸ ἐμαυτοῦ χρῶμα ἔχειν.

ιϛ'. Τὸ ἡγεμονικὸν αὐτὸ ἑαυτῷ οὐχ ἐνοχλεῖ, οἷον λέγω, οὐ φοβεῖ ἑαυτὸ, εἰς ἐπιθυμίαν. Εἰ δέ τις ἄλλος αὐτὸ φοβῆσαι ἢ λυπῆσαι δύναται, ποιείτω. Αὐτὸ γὰρ ἑαυτὸ ὑποληπτικῶς οὐ τρέψει εἰς τοιαύτας τροπάς. Τὸ σωμάτιον μὴ πάθῃ τι, αὐτὸ μεριμνάτω, εἰ δύναται, καὶ λεγέτω, εἴ τι πάσχει· τὸ δὲ ψυχάριον, τὸ φοβούμενον, τὸ λυπούμενον, τὸ περὶ τούτων ὅλως ὑπολαμβάνον, οὐδὲν μὴ πάθῃ. Οὐ γὰρ ἕξεις αὐτὸ εἰς κρίσιν τοιαύτην· ἀπροσδεές ἐστιν, ὅσον ἐφ' ἑαυτῷ, τὸ ἡγεμονι-

vel per me vel per alium facio, eo spectare debet, ut communi societati utile et consentaneum sit.

6. Quam multi, qui clarissimi fuerunt, jam oblivioni traditi sunt! quam multi, qui eos celebrarunt, e medio sublati!

7. Auxilii ne te pudeat : tibi enim propositum est, id quod tuum est facere, ut militi in mœnium oppugnatione. Quid igitur, si claudicans ad propugnaculum solus adscendere nequeas, cum alio autem id fieri possit?

8. Futura ne te perturbent; venies enim ad ea, si opus erit, eadem ratione instructus, qua nunc ad præsentia uteris.

9. Omnia inter se implexa sunt, et sanctum vinculum, et nihil fere alterum ab altero alienum; nam inter se ordine composita sunt et simul eundem mundum exornant. Nam et unus mundus ex omnibus, et unus Deus in omnibus, et una essentia, et una lex, ratio omnibus animalibus ratione præditis communis, et una veritas, si quidem etiam una est perfectio animalium ejusdem generis et ejusdem rationis participum.

10. Quidquid materia constat, id celerrime in universi materiam evanescit, et quidquid causam continet, in omnium rerum rationem celerrime recipitur, et cujusvis rei memoria celerrime in ævo sepelitur.

11. Animali ratione prædito eadem actio et secundum naturam et secundum rationem est.

12. Rectus aut erectus.

13. Quam rationem in unitis membra corporis habent, eandem in dissitis obtinent ea, quæ ratione sunt prædita, ad unam quandam mutuam operam comparata. Magis autem hujus rei cogitatio animum tuum tanget, si sæpius tibi ipse dixeris : « membrum sum ejus, quod ex ratione præditis compositum est, corporis. » Sin vero « partem » illius te esse dicis, nondum ex animo diligis homines : nondum te ex animo delectat bene facere; adhuc tanquam quod fieri decet id duntaxat facis, non tanquam tibi ipsi bene faciens.

14. Quidquid velit, extrinsecus accidat iis, quæ ejusmodi casu affici possunt; illa enim quæ affecta sunt, conquerantur, si velint; ego vero, si id, quod accidit, malum non censeo, nondum lædor : licet autem mihi non opinari.

15. Quidquid aliquis vel faciat vel dicat, me probum esse oportet, non aliter ac si aurum aut smaragdus aut purpura semper hoc diceret : Quidquid vel faciat aliquis vel dicat, me smaragdum esse oportet et colorem meum retinere.

16. Principalis animi pars se ipsa non perturbat, hoc volo, se ipsa non in terrorem* doloremve injicit; si autem quis alius eam terrere aut ei dolorem afferre potest, faciat; nam se ipsa non talibus dabit motibus opinando : corpusculum ne quid patiatur, sibi curæ habeat, si potest, et, si quid patitur, queratur : animula autem quæ terretur et dolet et de his omnino opinatur, nihil patietur; nam eam non *trahes in tale judicium. Nullius rei, quantum ad ipsum attinet, indigens est animi principatus, nisi sibi ipse in-

ἀν, ἐὰν μὴ ἑαυτῷ ἔνδειαν ποιῇ· κατὰ ταῦτα δὲ καὶ ἀτάραχον, καὶ ἀνεμπόδιστον, ἐὰν μὴ ἑαυτὸ ταράσσῃ καὶ ἐμποδίζῃ.

ιζ΄. Εὐδαιμονία ἐστὶ δαίμων ἀγαθὸς, ἢ ἀγαθόν. Τί οὖν ὧδε ποιεῖς, ὦ φαντασία; ἀπέρχου, τοὺς θεούς σοι! ὡς ἦλθες· οὐ γὰρ χρῄζω σου. Ἐλήλυθας δὲ κατὰ τὸ ἀρχαῖον ἔθος. Οὐκ ὀργίζομαί σοι· μόνον ἄπιθι.

ιη΄. Φοβεῖταί τις μεταβολήν; τί γὰρ δύναται χωρὶς μεταβολῆς γενέσθαι; τί δαὶ φίλτερον, ἢ οἰκειότερον τῇ τῶν ὅλων φύσει; σὺ δὲ αὐτὸς λούσασθαι δύνασαι, ἐὰν μὴ τὰ ξύλα μεταβάλῃ; τραφῆναι δὲ δύνασαι, ἐὰν μὴ τὰ ἐδώδιμα μεταβάλῃ; ἄλλο δέ τι τῶν χρησίμων δύναται συντελεσθῆναι χωρὶς μεταβολῆς; Οὐχ ὁρᾷς οὖν, ὅτι καὶ αὐτὸ τὸ σὲ μεταβαλεῖν ὅμοιόν ἐστι καὶ ὁμοίως ἀναγκαῖον τῇ τῶν ὅλων φύσει;

ιθ΄. Διὰ τῆς τῶν ὅλων οὐσίας, ὡς διὰ χειμάῤῥου, διεκπορεύεται πάντα τὰ σώματα, τῷ ὅλῳ συμφυῆ καὶ συνεργὰ, ὡς τὰ ἡμέτερα μέρη ἀλλήλοις. Πόσους ἤδη ὁ αἰὼν Χρυσίππους, πόσους Σωκράτεις, πόσους Ἐπικτήτους καταπέπωκε; τὸ δ' αὐτὸ καὶ ἐπὶ παντὸς οὑτινοσοῦν σοι ἀνθρώπου τε καὶ πράγματος προσπιπτέτω.

κ΄. Ἐμὲ ἓν μόνον περισπᾷ, μή τι αὐτὸς ποιήσω, ὃ ἡ κατασκευὴ τοῦ ἀνθρώπου οὐ θέλει, ἢ ὡς οὐ θέλει, ἢ ὃ νῦν οὐ θέλει.

κα΄. Ἐγγὺς μὲν ἡ σὴ περὶ πάντων λήθη· ἐγγὺς δὲ ἡ πάντων περὶ σοῦ λήθη.

κβ΄. Ἴδιον ἀνθρώπου τὸ φιλεῖν καὶ τοὺς πταίοντας. Τοῦτο δὲ γίνεται, ἐὰν συμπροσπίπτῃ σοι, ὅτι καὶ συγγενεῖς, καὶ δι' ἄγνοιαν, καὶ ἄκοντες ἁμαρτάνουσι, καὶ ὡς μετ' ὀλίγον ἀμφότεροι τεθνήξεσθε, καὶ πρὸ πάντων, ὅτι οὐκ ἔβλαψέ σε· οὐ γὰρ τὸ ἡγεμονικόν σου χεῖρον ἐποίησεν, ἢ πρόσθεν ἦν.

κγ΄. Ἡ τῶν ὅλων φύσις ἐκ τῆς ὅλης οὐσίας, ὡς κηροῦ, νῦν μὲν ἱππάριον ἔπλασε· συγχέασα δὲ τοῦτο, εἰς δένδρου φύσιν συνεχρήσατο τῇ ὕλῃ αὐτοῦ· εἶτα εἰς ἄλλο τι· ἕκαστον δὲ τούτων πρὸς ὀλίγιστον ὑπέστη. Δεινὸν δὲ οὐδὲν τὸ διαλυθῆναι τῷ κιβωτίῳ, ὥσπερ οὐδὲ τὸ συμπαγῆναι.

κδ΄. Τὸ ἐπίκοτον τοῦ προσώπου λίαν παρὰ φύσιν, ὅταν πολλάκις ἐναποθνήσκειν ᾖ πρόσχημα, ἢ τὸ τελευταῖον ἀπεσβέσθη, ὥστε ὅλως ἐξαφθῆναι μὴ δύνασθαι. Αὐτῷ γε τούτῳ παρακολουθεῖν πειρῶ, ὅτι παρὰ τὸν λόγον. Εἰ γὰρ καὶ ἡ συναίσθησις τοῦ ἁμαρτάνειν οἰχήσεται, τίς ἔτι τοῦ ζῆν αἰτία;

κε΄. Πάντα, ὅσα ὁρᾷς, ὅσον οὔπω μεταβαλεῖ ἡ τὰ ὅλα διοικοῦσα φύσις, καὶ ἄλλα ἐκ τῆς οὐσίας αὐτῶν ποιήσει, καὶ πάλιν ἄλλα ἐκ τῆς ἐκείνων οὐσίας, ἵνα ἀεὶ νεαρὸς ᾖ ὁ κόσμος.

κς΄. Ὅταν τις ἁμάρτῃ τι εἰς σὲ, εὐθὺς ἐνθυμοῦ, τί ἀγαθὸν ἢ κακὸν ὑπολαβὼν ἥμαρτε. Τοῦτο γὰρ ἰδὼν, ἐλεήσεις αὐτὸν, καὶ οὔτε θαυμάσεις, οὔτε ὀργισθήσῃ. Ἤτοι γὰρ καὶ αὐτὸς τὸ αὐτὸ ἐκείνῳ ἀγαθὸν ἔτι ὑπολαμβάνεις, ἢ ἄλλο ὁμοειδές. Δεῖ οὖν συγγινώσκειν. Εἰ

digentiam faciat, eaque de causa etiam sine perturbatione est, neque impediri potest, nisi se ipse perturbet et impediat.

17. Felicitas est bonus genius seu bonum. Quid igitur hic facis, phantasia? Abi, per deos! ut accessisti : nihil enim te opus habeo. Accessisti autem e prisca consuetudine : non succenseo tibi; abi tantum!

18. Mutationem quis metuit? Quid vero fieri potest sine mutatione? quid vero gratius aut familiarius universi naturæ? tune ipse balneo uti potes, nisi lignis mutatis? num ali, nisi cibis mutatis? num quid aliud perfici potest sine mutatione? Non igitur vides par esse tui mutationem et pariter necessariam universi naturæ?

19. Per rerum omnium materiam, tanquam per torrentem, transeunt omnia corpora, universo cognata et cooperantia, ut nostræ inter se partes. Quot jam Chrysippos, quot Socrates, quot Epictetos ævum absorpsit! Idem vero et de quovis homine et de quavis re tibi succurrat!

20. Me hoc unum sollicitum tenet, ne quid ipse faciam, quod hominis conditio nolit aut sic nolit aut nunc nolit.

21. Instat tempus, quo tu omnium oblitus eris : instat, quo omnes tui obliti erunt.

22. Homini proprium etiam eos, qui offendunt, diligere : hoc autem fit tum, quum tibi succurrit, et cognatos tibi esse, et inscios invitosque peccare, et paulo post utrumque vestrûm esse moriturum, et ante omnia te ab ea non esse læsum; non enim principatum animi tui deteriorem reddidit, quam antea erat.

23. Universitatis natura ex universa materia, tanquam ex cera, nunc equuleum effinxit, nunc, hoc dissoluto, materia ejus ad arborem gignendam usa est, tum ad homunculum, deinde ad aliud quidpiam : horum autem quodlibet ad brevissimum temporis spatium subsistit. Iniquum autem nequaquam est arculæ dissolvi, ut neque compingi.

24. Iratus vultus admodum contra naturam, quum sæpe immoriatur decus et ad extremum ista exstinguatur, ut omnino suscitari nequeat : atque ex hoc ipso fac intelligas, etiam contra rationem esse. Nam si etiam conscientia peccandi abibit, quænam erit vivendi causa?

25. Quæcunque vides, hæc omnia jamjam natura, quæ res omnes administrat, mutabit, aliaque ex eorum materia faciet, et ex horum rursus alia, ut mundus semper sit novus.

26. Si quando aliquis aliquid in te peccavit, statim considera, qua boni aut mali opinione ductus peccaverit, hoc enim intellecto, misereberis illius, neque aut miraberis aut succensebis; nam aut et ipse idem, quod ille, adhuc bonum opinaris aut aliud ejusdem generis : oportet igitur

δὲ μηκέτι ὑπολαμβάνεις τὰ τοιαῦτα ἀγαθὰ καὶ κακὰ, ῥᾷον εὐμενὴς ἔσῃ τῷ παρορῶντι.

κζ'. Μὴ τὰ ἀπόντα ἐννοεῖν, ὡς ἤδη ὄντα· ἀλλὰ τῶν παρόντων τὰ δεξιώτατα ἐκλογίζεσθαι, καὶ τούτων χάριν ὑπομιμνήσκεσθαι, πῶς ἂν ἐπεζητεῖτο, εἰ μὴ παρῆν. Ἅμα μέντοι φυλάσσου, μὴ, διὰ τοῦ οὕτως ἀσμενίζειν αὐτοῖς, ἐθίσῃς ἐκτιμᾷν αὐτὰ, ὥστε, ἐάν ποτε μὴ παρῇ, ταραχθήσεσθαι.

κη'. Εἰς αὑτὸν συνειλοῦ. Φύσιν ἔχει τὸ λογικὸν ἡγεμονικὸν, ἑαυτῷ ἀρκεῖσθαι δικαιοπραγοῦντι, καὶ παρ' αὐτὸ τοῦτο γαλήνην ἔχοντι.

κθ'. Ἐξάλειψον τὴν φαντασίαν. Στῆσον τὴν νευροσπαστίαν. Περίγραψον τὸ ἐνεστὼς τοῦ χρόνου. Γνώρισον τὸ συμβαῖνον, ἢ σοὶ, ἢ ἄλλῳ. Δίελε καὶ μέρισον τὸ ὑποκείμενον εἰς τὸ αἰτιῶδες καὶ ὑλικόν. Ἐννόησον τὴν ἐσχάτην ὥραν. Τὸ ἐκείνῳ ἁμαρτηθὲν ἐκεῖ κατάλιπε, ὅπου ἡ ἁμαρτία ὑπέστη.

λ'. Συμπαρεκτείνειν τὴν νόησιν τοῖς λεγομένοις. Εἰσδύεσθαι τὸν νοῦν εἰς τὰ γινόμενα καὶ ποιοῦντα.

λα'. Φαίδρυνον σεαυτὸν ἁπλότητι καὶ αἰδοῖ καὶ τῇ πρὸς τὸ ἀνὰ μέσον ἀρετῆς καὶ κακίας ἀδιαφορίᾳ. Φίλησον τὸ ἀνθρώπινον γένος. Ἀκολούθησον θεῷ. Ἐκεῖνος μέν φησιν, ὅτι « Πάντα νομιστί. » Ἔτι εἰ δαίμονα τὰ στοιχεῖα· ἀρκεῖ δὲ μεμνῆσθαι, ὅτι τὰ πάντα νομιστὶ ἔχει· ἤδη λίαν ὀλίγα.

λβ'. Περὶ θανάτου· εἰ σκεδασμὸς, ἢ ἄτομοι, ἢ κένωσις, ἤτοι σβέσις, ἢ μετάστασις.

λγ'. Περὶ πόνου· τὸ μὲν ἀφόρητον ἐξάγει· τὸ δὲ χρονίζον φορητόν· καὶ ἡ διάνοια τὴν ἑαυτῆς γαλήνην κατὰ ἀπόληψιν διατηρεῖ, καὶ οὐ χεῖρον τὸ ἡγεμονικὸν γέγονε. Τὰ δὲ κακούμενα μέρη ὑπὸ τοῦ πόνου, εἴ τι δύναται, περὶ αὐτοῦ ἀποφηνάσθω.

λδ'. Περὶ δόξης· ἴδε τὰς διανοίας αὐτῶν, οἷαι, καὶ οἷα μὲν φεύγουσαι, οἷα δὲ διώκουσαι. Καὶ ὅτι, ὡς αἱ θῖνες ἄλλαι ἐπ' ἄλλαις ἐπιφορούμεναι κρύπτουσι τὰς προτέρας, οὕτως ἐν τῷ βίῳ τὰ πρότερα ὑπὸ τῶν ἐπενεχθέντων τάχιστα ἐκαλύφθη.

λε'. [Πλατωνικόν.] « Ὧι οὖν ὑπάρχει διάνοια μεγαλοπρεπὴς, καὶ θεωρία παντὸς μὲν χρόνου, πάσης δὲ οὐσίας, ἆρα (οἷόν τε) οἴει τούτῳ μέγα τι δοκεῖν εἶναι τὸν ἀνθρώπινον βίον; Ἀδύνατον, ἦ δ' ὅς. Οὐκοῦν καὶ θάνατον οὐ δεινόν τι ἡγήσεται ὁ τοιοῦτος. Ἥκιστά γε. »

λϛ'. [Ἀντισθενικόν.] « Βασιλικὸν, εὖ μὲν πράττειν, κακῶς δὲ ἀκούειν. »

λζ'. Αἰσχρόν ἐστι, τὸ μὲν πρόσωπον ὑπήκοον εἶναι καὶ σχηματίζεσθαι, καὶ κατακοσμεῖσθαι, ὡς κελεύει ἡ διάνοια, αὐτὴν δ' ὑφ' ἑαυτῆς μὴ σχηματίζεσθαι καὶ κατακοσμεῖσθαι.

λη'. Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι χρεών·
μέλει γὰρ αὐτοῖς οὐδέν.
λθ'. Ἀθανάτοις τε θεοῖς καὶ ἡμῖν χάρματα δοίης!
μ'. Βίον θερίζειν, ὥστε κάρπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι, τὸν δὲ μή.
μα'. Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμὼ,

illi ignoscas : si non amplius ejusmodi res bona aut mala esse opinaris, facile benignus eris visu laboranti.

27. Noli absentia cogitare ut jam præsentia, sed ex præsentibus optima quæque elige, eorumque gratia tunc reputa, quanto studio requirerentur, si non adessent. Simul tamen cave, ne idcirco, quod ea libenter accipis, adsuescas, tanti ea æstimare, ut, si quando defuerint, animo perturberis.

28. In temet ipsum te contrahe : ea est natura mentis ratione præditæ, ut sibi sufficiat ipsa, quando justa agit, atque eo ipso tranquillitate fruitur.

29. Dele visum : compesce affectuum motum : circumscribe præsens tempus : cognosce id, quod accidit sive tibi sive alii : divide rem menti subjectam in materiam et formam : cogita horam novissimam : quod ab illo peccatum est, ibi relinque, ubi peccatum est.

30. Intendere animum in ea, quæ dicuntur : mente penetrare in ea, quæ fiunt, et ea, quæ faciunt.

31. Exhilara te ipsum simplicitate, verecundia et indifferentia adversus ea, quæ medio inter virtutem et vitiositatem loco sunt. Dilige genus humanum. Obsequere deo. « Omnia, » inquit ille, « legitime. » Præterea* aut dii aut elementa — sed sufficit illud, omnia ex lege fieri. — * Utique pauca.

32. De morte : si dissipatio, aut atomi, aut exinanitio, aut exstinctio, aut translatio.

33. De dolore : si intolerabilis est, e vita educit; si durat, tolerabilis est : mens, dum in semet se recipit, suam tranquillitatem servat, nec deterior fit principalis animi pars : membra vero, quæ dolore afficiuntur, si possunt, de eo statuant.

34. De gloria : intuere mentes eorum, quales sint, qualia fugiant, qualia sectentur; et, sicut arenarum cumuli alii super alios aggesti priores abscondant, ita etiam in vita priora a succedentibus celerrime abscondi.

35. [Platonicum.] « Qui mente præditus est sublimi et tempus omne omnemque rerum naturam contemplatus est, num is tibi videtur vitam humanam magni æstimare? Non potest fieri, inquit ille. Igitur nec mortem ille terribilem existimabit. Minime vero. »

36. [Antisthenicum.] « Regium est, quum recte facias, male audire. »

37. Turpe est, vultum obsequentem esse atque ita se conformare et componere, ut mens jubet, ipsum autem animum ad suum ipsius arbitrium non conformari et componi.

38. Nam neutiquam homines rebus irasci decet :
nil quippe curant ipsæ.
39. Immortalibus et nobis tu gaudia dones !
40. Vitam metere ut aristam frugiferam,
atque hunc esse; illum non.
41. Si me meosque liberos dii negligant,

ἔχει λόγον καὶ τοῦτο.

μϐ'. Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον.

μγ'. Μὴ συνεπιθρηνεῖν, μὴ σφύζειν.

μδ'. [Πλατωνικά.] « Ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λό« γον ἀντείποιμι· ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ « οἴει, δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι « ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός (ἐστιν)· ἀλλ' οὐχ « ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαια « ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ. »

με'. « Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀλη« θείᾳ, οὗ ἄν τις αὑτὸν τάξῃ ἡγησάμενος βέλτιστον « εἶναι, ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ « δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, « μήτε θάνατον, μήτε ἄλλο (τι) μηδὲν πρὸ τοῦ αἰ« σχροῦ. »

μς'. « Ἀλλ', ὦ μακάριε, ὅρα, μὴ ἄλλο τι τὸ γεν« ναῖον καὶ τὸ ἀγαθὸν ᾖ, ἢ τὸ σώζειν τε καὶ σώζε« σθαι· μὴ γὰρ τοῦτο μέν, τὸ ζῆν ὁποσονδὴ χρόνον, τόν « γε ὡς ἀληθῶς ἄνδρα, ἐατέον ἐστί, καὶ οὐ φιλοψυ« χητέον, ἀλλ' ἐπιτρέψαντα περὶ τούτων τῷ Θεῷ, καὶ « πιστεύσαντα ταῖς γυναιξὶν, ὅτι τὴν εἱμαρμένην οὐδ' « ἂν εἷς ἐκφύγοι, τὸ ἐπὶ τούτῳ σκεπτέον, τίνα ἂν τρό« πον, τοῦτον, ὃν μέλλει χρόνον βιῶναι, ὡς ἄριστα « βιώῃ. »

μζ'. Περισκοπεῖν ἄστρων δρόμους, ὥσπερ συμπεριθέοντα· καὶ τὰς τῶν στοιχείων εἰς ἄλληλα μεταβολὰς συνεχῶς ἐννοεῖν. Ἀποκαθαίρουσι γὰρ αἱ τούτων φαντασίαι τὸν ῥύπον χαμαὶ βίου.

μη'. Καλὸν τὸ τοῦ Πλάτωνος. Καὶ δὴ περὶ ἀνθρώπων τοὺς λόγους ποιούμενον, ἐπισκοπεῖν δεῖ καὶ τὰ ἐπίγεια, ὥσπερ ποθὲν ἄνωθεν, κατὰ ἀγέλας, στρατεύματα, γεώργια, γάμους, διαλύσεις, γενέσεις, θανάτους, δικαστηρίων θόρυβον, ἐρήμους χώρας, βαρβάρων ἔθνη ποικίλα, ἑορτὰς, θρήνους, ἀγορὰς, τὸ παμμιγὲς, καὶ τὸ ἐκ τῶν ἐναντίων συγκοσμούμενον.

μθ'. Τὰ προγεγονότα ἀναθεωρεῖν· τὰς τοσαύτας τῶν ἡγεμονιῶν μεταβολάς. Ἔξεστι καὶ τὰ ἐσόμενα προεφορᾶν. Ὁμοειδῆ γὰρ πάντως ἔσται, καὶ οὐχ οἷόν τε ἐκβῆναι τοῦ ῥυθμοῦ τῶν νῦν γινομένων· ὅθεν καὶ ἴσον, τὸ τεσσαράκοντα ἔτεσιν ἱστορῆσαι τὸν ἀνθρώπινον βίον, τῷ ἐπὶ ἔτη μύρια. Τί γὰρ πλέον ὄψει;

ν'. Καὶ τὰ ἐκ γῆς μὲν

Φύντ' εἰς γαῖαν· τὰ δ' ἀπ' αἰθερίου
βλαστόντα γονῆς εἰς οὐράνιον
πόλον ἦλθε πάλιν.

Ἢ τοῦτο διάλυσις τῶν ἐν ταῖς ἀτόμοις ἀντεμπλοκῶν καὶ τοιοῦτός τις σκορπισμὸς τῶν ἀπαθῶν στοιχείων.

να'. Καὶ

Σίτοισι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν, ὥστε μὴ θανεῖν.

. . . .

Θεόθεν δὲ πνέοντ' οὖρον ἀνάγκη
τλῆναι καμάτοις ἀνοδύρτοις.

hujus quoque constat ratio.

42. Æquum et justum a me est.

43. Noli cum aliis lamentari aut exsultare.

44. [Platonica.] « Ego vero huic haud injuria hoc responderim : Non bene statuis, homo, si putas, viro, qui vel minimi sit usus, consentaneum esse, vitæ discrimen aut mortem respicere, ac non id unum potius considerare, quando agit, utrum justa an injusta agat, ea, quæ probi, an ea, quæ improbi viri sunt. »

45. « Profecto res se ita habet, Athenienses : quo quisque loco se ipse constituerit, id ipsum sibi optimum ratus; aut ab imperatore constitutus fuerit, in eo, ut mihi videtur, oportet eum manentem periclitari et nec mortem neque aliud quidquam magis formidare, quam turpitudinem. »

46. « Verum vide, o bone, ne aliud quid sit generosum et bonum, quam servare et servari, ne ei, qui vere sit vir, hoc, ut quam diutissime vivat, mittendum nec vitæ adhærescendum sit, sed his Deo permissis et fide habita mulierculis, fieri non posse, ut fatum quisquam effugiat, deinde hoc ei sit perpendendum, qua ratione hoc ipso tempore, quo vita fungetur, quam optime vivat. »

47. Contemplare astrorum cursus quasi cum iis circumactus; et elementorum alius in aliud mutationes continenter considera : harum enim rerum considerationes sordes vitæ terrestris abstergunt.

48. Præclarum est illud Platonis : Atque utique eum, qui de hominibus loquitur, oportet etiam terrestria e superiore aliquo loco intueri, singulos greges, exercitus, agricolationes, nuptias, reconciliationes; ortus, interitus, judiciorum strepitus, loca deserta, varias barbarorum gentes, festa, lamentationes, nundinas, promiscuam colluviem et quod e contrariis adornatum est.

49. Præterita animo recolere oportet et tot imperiorum mutationes : licet etiam futura prospicere; ejusdem enim omnino generis erunt neque fieri potest, ut extra numerum eorum, quæ nunc fiunt, se moveant; quamobrem perinde est, per quadraginta annos vitam humanam perlustrare atque per decem millia annorum. Quid enim plus videbis?

50. [Retroque meant,] quæ terra dedit,
iterum in terram : quod ab ætherio
venerat ortu, cœleste poli
repetit templum.

Aut hoc atomorum inter se adhærentium dissolutio et talis aliqua dispersio elementorum sensu carentium.

51. Et :

Cibo potuque et magicis artibus
Fati cursum avertentes, ne moriantur.

Divinitus at spirantem auram
pati necesse est cum labore et lacrimis.

νβ'. Καϐϐαλικώτερος, ἀλλ' οὐχὶ κοινωνικώτερος, οὐδὲ αἰδημονέστερος, οὐδὲ εὐμενέστερος πρὸς τὰ τῶν πλησίον παροράματα.

νγ'. Ὅπου ἔργον ἐπιτελεῖσθαι δύναται κατὰ τὸν κοινὸν θεοῖς καὶ ἀνθρώποις λόγον, ἐκεῖ οὐδὲν δεινόν· ὅπου γὰρ ὠφελείας τυχεῖν ἔξεστι διὰ τῆς εὐοδούσης καὶ κατὰ τὴν κατασκευὴν προϊούσης ἐνεργείας, ἐκεῖ οὐδεμίαν βλάϐην ὑφορατέον.

νδ'. Πανταχοῦ καὶ διηνεχῶς ἐπὶ σοί ἐστι, καὶ τῇ παρούσῃ συμϐάσει θεοσεϐῶς εὐαρεστεῖν, καὶ τοῖς παροῦσιν ἀνθρώποις κατὰ δικαιοσύνην προσφέρεσθαι, καὶ τῇ παρούσῃ φαντασίᾳ ἐμφιλοτεχνεῖν, ἵνα μή τι ἀκατάληπτον παρεισρυῇ.

νε'. Μὴ περιϐλέπου ἀλλότρια ἡγεμονικὰ, ἀλλ' ἐκεῖ βλέπε κατ' εὐθὺ, ἐπὶ τί σε ἡ φύσις ὁδηγεῖ, ἥ τε τοῦ ὅλου διὰ τῶν συμϐαινόντων σοι, καὶ ἡ σὴ τῶν πρακτέων ὑπὸ σοῦ. Πρακτέον δὲ ἑκάστῳ τὸ ἑξῆς τῇ κατασκευῇ· κατεσκεύασται δὲ τὰ μὲν λοιπὰ τῶν λογικῶν ἕνεκεν, ὥσπερ καὶ ἐπὶ παντὸς ἄλλου τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ λογικὰ ἀλλήλων ἕνεκεν. Τὸ μὲν οὖν προηγούμενον ἐν τῇ τοῦ ἀνθρώπου κατασκευῇ τὸ κοινωνικόν ἐστι. Δεύτερον δὲ τὸ ἀνένδοτον πρὸς τὰς σωματικὰς πείσεις· λογικῆς γὰρ καὶ νοερᾶς κινήσεως ἴδιον περιορίζειν ἑαυτὴν, καὶ μήποτε ἡττᾶσθαι μήτε αἰσθητικῆς, μήτε ὁρμητικῆς κινήσεως· ζωώδεις γὰρ ἑκάτεραι· ἡ δὲ νοερὰ ἐθέλει πρωτιστεύειν, καὶ μὴ καταχρατεῖσθαι ὑπ' ἐκείνων. Δικαίως γε· πέφυκε γὰρ χρηστικὴ πᾶσιν ἐκείνοις. Τρίτον ἐν τῇ λογικῇ κατασκευῇ τὸ ἀπρόπτωτον καὶ ἀνεξαπάτητον. Τούτων οὖν ἐχόμενον τὸ ἡγεμονικὸν εὐθέα περαινέτω, καὶ ἔχει τὰ ἑαυτοῦ.

νς'. Ὡς ἀποτεθνηκότα δεῖ, καὶ μέχρι νῦν βεϐιωκότα, τὸ λοιπὸν ἐκ τοῦ περιόντος ζῆσαι κατὰ τὴν φύσιν.

νζ'. Μόνον φιλεῖν τὸ ἑαυτῷ συμϐαῖνον καὶ συγκλωθόμενον. Τί γὰρ ἁρμοδιώτερον;

νη'. Ἐφ' ἑκάστου συμϐάματος ἐκείνους πρὸ ὀμμάτων ἔχειν, οἷς τὰ αὐτὰ συνέϐαινεν, ἔπειτα ἤχθοντο, ἐξενίζοντο, ἐμέμφοντο· νῦν οὖν ἐκεῖνοι ποῦ; οὐδαμοῦ· τί οὖν καὶ σὺ θέλεις ὁμοίως; οὐχὶ δὲ τὰς μὲν ἀλλοτρίας τροπὰς καταλιπεῖν τοῖς τρέπουσι καὶ τρεπομένοις; αὐτὸς δὲ περὶ τὸ πῶς χρῆσθαι αὐτοῖς ὅλος γίνεσθαι; χρήσῃ γὰρ καλῶς· καὶ ὕλη σου ἔσται· μόνον πρόσεχε, καὶ θέλε σεαυτῷ καλὸς εἶναι ἐπὶ παντὸς, οὗ πράσσεις· καὶ μέμνησο ἀμφοτέρων, ὅτι καὶ διάφορον ἐφ' οὗ ἡ πρᾶξις.

νθ'. Ἔνδον βλέπε. Ἔνδον ἡ πηγὴ τοῦ ἀγαθοῦ, καὶ ἀεὶ ἀναϐλύειν δυναμένη, ἐὰν ἀεὶ σκάπτῃς.

ξ'. Δεῖ καὶ τὸ σῶμα πεπηγέναι, καὶ μὴ διεῤῥίφθαι, μήτε ἐν κινήσει, μήτε ἐν σχέσει. Οἷον γάρ τι ἐπὶ τοῦ προσώπου παρέχεται ἡ διάνοια, συνετὸν αὐτὸ καὶ εὔσχημον συντηροῦσα, τοιοῦτο καὶ ἐπὶ ὅλου τοῦ σώματος ἀπαιτητέον. Πάντα δὲ ταῦτα σὺν τῷ ἀνεπιτηδεύτῳ φυλακτέα.

ξα'. Ἡ βιωτικὴ τῇ παλαιστικῇ ὁμοιοτέρα, ἤπερ τῇ

52. Est aliquis luctu peritior; verum non societatis amantior, non verecundior, non constantior in iis, quæ accidunt nec lenior erga aliorum peccata.

53. Ubi effici potest ullum opus secundum rationem diis et hominibus communem, ibi nihil est, quod reformides; nam ubi utilitatem consequi potes per actionem prospere progredientem et secundum constitutionem tuam procedentem, ibi ne suspicio quidem damni esse debet.

54. Ubique ac semper penes te est, et in casu præsente pie acquiescere, et cum hominibus, qui nunc sunt ex justitiæ lege versari, et visum, quod nunc se offert, explorare, ne quid quod comprehendi nequit, subrepat.

55. Noli aliorum mentes circumspicere, sed eo recta intuere, quo natura ducit, universi natura per ea, quæ tibi accidunt, tua per ea, quæ agere debes. Id autem cuique agendum, quod constitutioni ejus consentaneum est; comparata autem cetera ratione præditorum causa, ut in omnibus aliis deteriora meliorum gratia. Præstantissimum vero in hominis natura est societatis studium; secundum, se non permittere corporeis affectionibus; motui enim, qui a ratione et intellectu oritur, proprium est, se ipsum circumscribere, neque unquam sensuum aut impetus affectionibus succumbere : animalium enim utrique motus sunt; sed qui ab intellectu oritur principatum sibi vindicat, neque ab illis se regi patitur : idque jure; natura enim ita est constitutus, ut omnibus illis utatur. Tertium in natura rationali est, a temeritate in assentiendo et errore alienum esse. Hæc igitur firmiter tenens principatus animi recta procedat et habet quæ sua sunt.

56. Ut mortuum et qui ad hoc *duntaxat* tempus vixerit, quod reliquum est ex abundanti vivere naturæ convenienter.

57. Id solum diligere, quod ipsi accidit et fato connexum est. Quid enim concinnius?

58. In singulis, quæ accidunt, eos ante oculos habere, quibus eadem obveniebant et qui deinde ea ægre ferebant, ut nova admirabantur, querebantur; ubi jam sunt illi? nusquam. Cur igitur tu similiter *agere* vis ac non potius alienos illos motus iis relinquere, qui eos movent iisque moventur? ipse vero totus in eo esse, quomodo iis utaris? Uteris autem recte tibique materia erunt : huc modo animum adverte et operam da, ut in omni actione bonum te præstes. Denique memento utriusque,* *nihil tua interresse quæ eveniant,* interesse autem tua, quæ agas.

59. Intus* fode* : intus fons boni isque qui semper scaturiat, si quidem semper fodias.

60. Oportet vero etiam corpus fixum esse et neque in motu neque in gestu temere jactari; sicut enim in vultu mens se prodit, eumque et compositum et decorum servare studet, ita ut idem in toto corpore fiat, studendum est : hæc autem omnia sine affectatione observanda.

61. Ars vivendi luctatoriæ similior, quam saltatoriæ

ὀρχηστικῇ, κατὰ τὸ πρὸς τὰ ἐμπίπτοντα, καὶ οὐ προεγνωσμένα, ἕτοιμος καὶ ἀπτὼς ἱστάναι.

ξβ'. Συνεχῶς ἐφιστάναι, τίνες εἰσὶν οὗτοι, ὑφ' ὧν μαρτυρεῖσθαι θέλεις, καὶ τίνα ἡγεμονικὰ ἔχουσιν. Οὔτε γὰρ μέμψῃ τοῖς ἀκουσίως πταίουσιν, οὔτε ἐπιμαρτυρήσεως δεήσῃ, ἐμβλέπων εἰς τὰς πηγὰς τῆς ὑπολήψεως καὶ ὁρμῆς αὐτῶν.

ξγ'. « Πᾶσα ψυχὴ, φησὶν, ἄκουσα στέρεται ἀληθείας· » οὕτως οὖν καὶ δικαιοσύνης, καὶ σωφροσύνης, καὶ εὐμενείας, καὶ παντὸς τοῦ τοιούτου. Ἀναγκαιότατον δὲ τὸ διηνεκῶς τούτου μεμνῆσθαι· ἔσῃ γὰρ πρὸς πάντας πρᾳότερος.

ξδ'. Ἐπὶ μὲν παντὸς πόνου πρόχειρον ἔστω, ὅτι οὐκ αἰσχρὸν, οὐδὲ τὴν διάνοιαν τὴν κυβερνῶσαν χείρω ποιεῖ· οὔτε γὰρ, καθὸ ὑλική ἐστιν, οὔτε καθὸ κοινωνική, διαφθείρει αὐτήν· ἐπὶ μέντοι τῶν πλείστων πόνων καὶ τὸ τοῦ Ἐπικούρου σοι βοηθείτω, ὅτι οὔτε ἀφόρητον, οὔτε αἰώνιον, ἐὰν τῶν ὅρων μνημονεύῃς, καὶ μὴ προσδοξάζῃς· κἀκείνου δὲ μέμνησο, ὅτι πολλὰ, πόνῳ τὰ αὐτὰ ὄντα, λανθάνει δυσχεραινόμενα, οἷον τὸ νυστάζειν, καὶ τὸ καυματίζεσθαι, καὶ τὸ ἀνορεκτεῖν· ὅταν οὖν τινι τούτων δυσαρεστῇς, λέγε ἑαυτῷ, ὅτι πόνῳ ἐνδίδως.

ξε'. Ὅρα, μήποτέ (τι) τοιοῦτον πάθῃς πρὸς τοὺς ἀπανθρώπους, οἷον οἱ ἄνθρωποι πρὸς τοὺς ἀνθρώπους.

ξς'. Πόθεν ἴσμεν, εἰ μὴ Τηλαύγης Σωκράτους τὴν διάθεσιν χρείσσων ἦν· οὐ γὰρ ἀρκεῖ, εἰ Σωκράτης ἐνδοξότερον ἀπέθανε, καὶ ἐντρεχέστερον τοῖς σοφισταῖς διελέγετο, καὶ καρτερικώτερον ἐν τῷ πάγῳ διενυκτέρευεν, καὶ τὸν Σαλαμίνιον κελευσθεὶς ἄγειν, γεννικώτερον ἔδοξεν ἀντιβῆναι, καὶ ἐν ταῖς ὁδοῖς ἐβρενθύετο· περὶ οὗ καὶ μάλιστ' ἄν τις ἐπιστήσειεν, εἴπερ ἀληθὲς ἦν· ἀλλ' ἐκεῖνο δεῖ σκοπεῖν, ποίαν τινὰ τὴν ψυχὴν εἶχε Σωκράτης, καὶ εἰ ἐδύνατο ἀρκεῖσθαι τῷ δίκαιος εἶναι τὰ πρὸς ἀνθρώπους, καὶ ὅσιος τὰ πρὸς θεοὺς, μήτε εἰκῇ πρὸς τὴν κακίαν ἀγανακτῶν, μηδὲ μὴν δουλεύων τινὸς ἀγνοίᾳ, μήτε τῶν ἀπονεμομένων ἐκ τοῦ ὅλου ὡς ξένον τι δεχόμενος, ἢ ὡς ἀφόρητον ὑπομένων, μήτε τοῖς τοῦ σαρκιδίου πάθεσιν ἐμπαρέχων συμπαθῆ τὸν νοῦν.

ξζ'. Ἡ φύσις οὐχ οὕτω συνεκέρασέ (σε) τῷ συγκρίματι, ὡς μὴ ἐφεῖσθαι περιορίζειν ἑαυτὸν, καὶ τὰ ἑαυτοῦ ὑφ' ἑαυτῷ ποιεῖσθαι· λίαν γὰρ ἐνδέχεται θεῖον ἄνδρα γενέσθαι, καὶ ὑπὸ μηδενὸς γνωρισθῆναι. Τούτου μέμνησο ἀεὶ, καὶ ἔτι ἐκείνου, ὅτι ἐν ὀλιγίστοις κεῖται τὸ εὐδαιμόνως βιῶσαι. Καὶ μὴ, ὅτι ἀπήλπισας διαλεκτικὸς καὶ φυσικὸς ἔσεσθαι, διὰ τοῦτο ἀπογνῷς, καὶ ἐλεύθερος, καὶ αἰδήμων, καὶ κοινωνικὸς, καὶ εὐπειθὴς θεῷ.

ξη'. Ἀβιάστως διαζῆσαι ἐν πλείστῃ θυμηδίᾳ, κἂν πάντες καταβοῶσιν ἅτινα βούλονται, κἂν τὰ θηρία διασπᾷ τὰ μελύδρια τοῦ περιτεθραμμένου τούτου φυράματος. Τί γὰρ κωλύει, ἐν πᾶσι τούτοις τὴν διάνοιαν σώζειν ἑαυτὴν ἐν γαλήνῃ, καὶ κρίσει περὶ τῶν

quatenus adversus ea, quæ incidunt et improvisa sunt, parata et immota consistit.

62. Assiduo perpendere, quales sint, a quibus testimonium tibi exhiberi cupis et qualibus præditi sint mentibus. Neque enim incusabis invite peccantes, neque testimonio indigebis, perspectis opinionum et consiliorum fontibus.

63. « Quævis anima, » inquit « invita privatur veritate. » Itaque etiam justitia et temperantia et benevolentia et aliis ejusmodi virtutibus. Necesse autem est, hujus continuo memineris; eris enim erga omnes mitior.

64. In omni dolore hoc in promptu sit, eum nec turpem esse, nec mentem gubernatricem reddere deteriorem; neque enim eam, quatenus * ratione prædita est; neque, quatenus societatis amans, corrumpit. In plerisque tamen doloribus tibi adjumento sit illud Epicuri, neque intolerabilem esse ***dolorem,*** **neque æternum, si modo finium,** ***quibus continetur,*** **memor sis neque opinione quidquam adjicias. Id quoque recordare, multa, quæ eandem cum labore naturam habent, clam molestiam creare, ut dormiturire, æstu affici, nausea laborare: quando igitur horum aliquid moleste fers, dic tibi, te dolori succumbere.**

65. Cave unquam erga inhumanos sic adficiaris, ut homines erga homines.

66. Unde nobis constat, an Telauges non præstantior Socrate fuerit? Neque enim satis est, quod Socrates gloriosiore morte occubuit et acutius cum sophistis disserebat et patientius in frigore pernoctabat, et Salaminium illum sistere jussus generosius resistere decrevit, et in viis fastum præ se ferebat, ad quod quis vel maxime animadverteret, si quidem verum esset; sed hoc considerari oportet, quali animo fuerit Socrates, an potuerit contentus esse eo, quod se erga homines justum et erga deos pium præberet, nec temere malitiam cujusquam indignaretur, neque ignorantiæ serviliter assentaretur aut tanquam peregrinum quidquam exciperet ab universo ipsi assignatum aut tanquam intolerandum sustineret, neque carunculæ affectionibus mentem affici pateretur.

67. Non ita te natura huic mixtioni commisit, ut tibi non liceat te ipsum circumscribere, et, quæ tui sunt muneris, tuæ potestati subjicere; omnino enim fieri potest, ut divinus vir sis et a nemine agnoscaris. Hujus semper memento, simul etiam illius, in paucissimis vitam beatam esse positam, et quamvis desperes te logicorum aut physicorum peritum fore, noli tamen desperare, te liberum et verecundum et societatis amantem et deo obsequentem esse futurum.

68. Tutum ab omni vi in summa animi tranquillitate vivere, etiamsi omnes quæcunque velint adversus te vociferentur, etiamsi membra corporeæ illius massæ, quæ te circumdat, a feris lanientur. Quid enim obstat, quominus inter hæc omnia mens tranquillam se servet, de rebus,

περιεστηκότων ἀληθεῖ, καὶ χρήσει τῶν ὑποβεβλημένων ἑτοίμῃ; ὥστε τὴν μὲν κρίσιν λέγειν τῷ προσπίπτοντι, Τοῦτο ὑπάρχεις κατ' οὐσίαν, κἂν κατὰ δόξαν ἀλλοῖον φαίνῃ· τὴν δὲ χρῆσιν λέγειν τῷ ὑποπίπτοντι, Σὲ ἐζήτουν· ἀεὶ γάρ μοι τὸ παρὸν ὕλη ἀρετῆς λογικῆς καὶ πολιτικῆς, καὶ τὸ σύνολον τέχνης ἀνθρώπου, ἢ θεοῦ. Πᾶν γὰρ τὸ συμβαῖνον, θεῷ, ἢ ἀνθρώπῳ ἐξοικειοῦται, καὶ οὔτε καινὸν, οὔτε δυσμεταχείριστον, ἀλλὰ γνώριμον καὶ εὐεργές.

ξθ'. Τοῦτο ἔχει ἡ τελειότης τοῦ ἤθους, τὸ πᾶσαν ἡμέραν ὡς τελευταίαν διεξάγειν, καὶ μήτε σφύζειν, μήτε ναρκᾶν, μήτε ὑποκρίνεσθαι.

ο'. Οἱ θεοὶ, ἀθάνατοι ὄντες, οὐ δυσχεραίνουσιν, ὅτι ἐν τοσούτῳ αἰῶνι δεήσει αὐτοὺς πάντως ἀεὶ τοιούτων ὄντων καὶ τοσούτων φαύλων ἀνέχεσθαι· προσέτι δὲ καὶ κήδονται αὐτῶν παντοίως. Σὺ δὲ, ὅσον οὐδέπω λήγειν μέλλων, ἀπαυδᾷς, καὶ ταῦτα, εἷς ὢν τῶν φαύλων;

οα'. Γελοῖόν ἐστι, τὴν μὲν ἰδίαν κακίαν μὴ φεύγειν, ὃ καὶ δυνατόν ἐστι· τὴν δὲ τῶν ἄλλων φεύγειν, ὅπερ ἀδύνατον.

οβ'. Ὃ ἂν ἡ λογικὴ καὶ πολιτικὴ δύναμις εὑρίσκῃ μήτε νοερὸν, μήτε κοινωνικὸν, εὐλόγως καταδεέστερον ἑαυτῆς κρίνει.

ογ'. Ὅταν σὺ εὖ πεποιηκὼς ᾖς, καὶ ἄλλος εὖ πεπονθὼς, τί ἔτι ζητεῖς τρίτον παρὰ ταῦτα, ὥσπερ οἱ μωροὶ, τὸ καὶ δόξαι εὖ πεποιηκέναι, ἢ τὸ ἀμοιβῆς τυχεῖν;

οδ'. Οὐδεὶς κάμνει ὠφελούμενος. Ὠφέλεια δὲ πρᾶξις κατὰ φύσιν. Μὴ οὖν κάμνε ὠφελούμενος, ἐν ᾧ ὠφελεῖς.

οε'. Ἡ τοῦ ὅλου φύσις ἐπὶ τὴν κοσμοποιίαν ὥρμησε· νῦν δὲ ἤτοι πᾶν τὸ γινόμενον κατ' ἐπακολούθησιν γίνεται, ἢ ἀλόγιστα καὶ τὰ κυριώτατά ἐστιν, ἐφ' ἃ ποιεῖται ἰδίαν ὁρμὴν τὸ τοῦ κόσμου ἡγεμονικόν. Εἰς πολλά σε γαληνότερον ποιήσει τοῦτο μνημονευόμενον.

ΒΙΒΛΙΟΝ Η.

α'. Καὶ τοῦτο πρὸς τὸ ἀκενόδοξον φέρει, ὅτι οὐκ ἔτι δύνασαι τὸν βίον ὅλον, ἢ τόν γε ἀπὸ νεότητος, φιλόσοφον βεβιωκέναι· ἀλλὰ πολλοῖς τε ἄλλοις, καὶ αὐτὸς σεαυτῷ δῆλος γέγονας, πόῤῥω φιλοσοφίας ὤν. Πέφυρσαι οὖν· ὥστε τὴν μὲν δόξαν τὴν τοῦ φιλοσόφου κτήσασθαι, οὐκέτι σοι ῥᾴδιον· ἀνταγωνίζεται δὲ καὶ ἡ ὑπόθεσις. Εἴπερ οὖν ἀληθῶς ἑώρακας, ποῦ κεῖται τὸ πρᾶγμα, τὸ μὲν, τί δόξεις, ἄφες· ἀρκέσθητι δὲ, εἰ κἂν τὸ λοιπὸν τοῦ βίου, ὅσον δήποτε ἡ σὴ φύσις θέλει βιώσειν. Κατανόησον οὖν, τί θέλει, καὶ μηδὲν ἄλλο σε περισπάτω· πεπείρασαι γὰρ, περὶ πόσα πλανηθεὶς, οὐδαμοῦ εὗρες τὸ εὖ ζῆν. Οὐκ ἐν συλλογισμοῖς, οὐκ ἐν πλούτῳ, οὐκ ἐν δόξῃ, οὐκ ἐν ἀπολαύσει, οὐδαμοῦ. Ποῦ οὖν ἐστιν; ἐν τῷ ποιεῖν, ἃ ἐπιζητεῖ ἡ τοῦ ἀνθρώπου φύσις· πῶς οὖν ταῦτα ποιήσει; ἐὰν δόγματα ἔχῃ, ἀφ' ὧν αἱ ὁρμαὶ καὶ αἱ πράξεις. Τίνα δόγματα;

quæ circumstant, vere judicantem, iisque, quæ præ manibus sunt, prout decet, utentem? ita ut judicium rei, quæ incidit, dicat: « hoc es revera, quamquam ex opinione alius generis videris, » et usus rei, quæ accidit: « te quærebam. » Semper enim mihi quælibet res præsens materia est virtutis rationi et societati consentaneæ omninoque artis humanæ aut divinæ. Quidquid enim accidit, id vel deo vel homini familiare redditur, neque novum est, neque ad tractandum difficile, sed familiare et tractabile.

69. Hoc præstat perfectio morum, ut omnem diem tanquam supremum agas nec palpites nec torpeas nec simules.

70. Dii, quum immortales sint, non ægre ferunt, quod in ævo tam diuturno eos omnino semper oportet tam multos tamque improbos perferre, immo vero etiam omni modo eorum curam gerunt; tu vero, qui jamjam moriturus es, defatigaris, idque quum ipse ex eorum numero sis?

71. Ridiculum est, tuam ipsius vitiositatem non fugere, quod fieri potest; aliorum autem fugere, quod fieri nequit.

72. Quidquid vis rationalis et societatis amans neque rationi consentaneum neque societati utile reperit, id jure infra se positum judicat.

73. Ubi tu alteri bene fecisti et hic a te beneficio affectus est, quid præterea stultorum exemplo tertium quæris, ut bene fecisse aliis videaris et gratiam recipias?

74. Nemo defatigatur utilitatem accipiendo: utilitas autem est actio naturæ consentanea. Noli igitur defatigari tibi prodesse in eo, in quo *alii* prodes.

75. Universi natura mundi condendi consilium cepit: jam vero aut, quidquid fit, per necessariam consequentiam fit, aut nulla ratione gubernantur ea quoque, quæ principalia sunt, ad quæ gignenda singulari consilio utitur mundi principatus. In multis te tranquilliorem reddet hoc memoria servatum.

LIBER VIII.

1. Hoc quoque ad contemnendam vanam gloriam facit, quod non amplius totam vitam, eam saltem, quæ a prima ætate peracta est, ut philosophum decet, peregisse potes; sed et multis aliis et tibi ipsi visus es longissime a philosophia abesse. Perturbatus igitur es, ut philosophi nomen tueri non amplius tibi facile sit: adversatur autem vitæ quoque institutum. Siquidem igitur recte intellexisti, quo in loco res sit posita, missa existimatione tua, eo contentus sis, si quod reliquum est vitæ, quantumcunque donum natura tibi dare velit *bene* transigis. Disce, igitur, quid velit, neque aliud quidquam te distrahat: expertus enim es, circa quot res vagatus beatam vitam nusquam inveneris, non in ratiocinationibus, non in divitiis, non in gloria, non in oblectatione, nusquam. Ubi igitur sita est? In eo, ut facias, quæ hominis natura exigit: hæc vero quomodo facies? si decreta habes, ex quibus agendi conatus et actio

τὰ περὶ ἀγαθῶν καὶ κακῶν· ὡς οὐδενὸς μὲν ἀγαθοῦ ὄντος ἀνθρώπῳ, ὃ οὐχὶ ποιεῖ δίκαιον, σώφρονα, ἀνδρεῖον, ἐλεύθερον, οὐδενὸς δὲ κακοῦ, ὃ οὐχὶ ποιεῖ τἀναντία τοῖς εἰρημένοις.

β'. Καθ' ἑκάστην πρᾶξιν ἐρώτα σεαυτὸν, Πῶς μοι αὕτη ἔχει; μὴ μετανοήσω ἐπ' αὐτῇ; μικρὸν καὶ τέθνηκα, καὶ πάντ' ἐκ μέσου. Τί πλέον ἐπιζητῶ, εἰ τὸ παρὸν ἔργον ζώου νοεροῦ, καὶ κοινωνικοῦ καὶ ἰσονόμου θεῷ;

γ'. Ἀλέξανδρος [δὲ] καὶ Γάϊος καὶ Πομπήϊος, τί πρὸς Διογένη καὶ Ἡράκλειτον καὶ Σωκράτην; Οἱ μὲν γὰρ εἶδον τὰ πράγματα, καὶ τὰς αἰτίας, καὶ τὰς ὕλας, καὶ τὰ ἡγεμονικὰ ἦν αὐτῶν ταὐτά· ἐκεῖ δὲ ὅσων πρόνοια; καὶ δουλεία πόσων;

δ'. Ὅτι οὐδὲν ἧττον τὰ αὐτὰ ποιήσουσι, κἂν σὺ διαῤῥαγῇς.

ε'. Τὸ πρῶτον μὴ ταράσσου· πάντα γὰρ κατὰ τὴν τοῦ ὅλου φύσιν· καὶ ὀλίγου χρόνου οὐδεὶς οὐδαμοῦ ἔσῃ· ὥσπερ οὐδὲ Ἀδριανὸς, οὐδὲ Αὔγουστος. Ἔπειτα ἀτενίσας εἰς τὸ πρᾶγμα, ἴδε αὐτὸ, καὶ συμμνημονεύσας, ὅτι ἀγαθόν σε ἄνθρωπον εἶναι δεῖ, καὶ τί τοῦ ἀνθρώπου ἡ φύσις ἀπαιτεῖ, πρᾶξον τοῦτο ἀμετατρεπτὶ, καὶ εἰπὲ, ὡς δικαιότατον φαίνεταί σοι· μόνον εὐμενῶς, καὶ αἰδημόνως, καὶ ἀνυποκρίτως.

ς'. Ἡ τῶν ὅλων φύσις τοῦτο ἔργον ἔχει, τὰ ὧδε ὄντα ἐκεῖ μετατιθέναι, μεταβάλλειν, αἴρειν ἔνθεν, καὶ ἐκεῖ φέρειν. Πάντα τροπαί· οὐχ ὥστε φοβηθῆναι, μή τι καινόν· πάντα συνήθη· ἀλλὰ καὶ ἴσαι αἱ ἀπονεμήσεις.

ζ'. Ἀρκεῖται πᾶσα φύσις ἑαυτῇ εὐοδούσῃ· φύσις δὲ λογικὴ εὐοδεῖ, ἐν μὲν φαντασίαις μήτε ψευδεῖ, μήτε ἀδήλῳ συγκατατιθεμένη· τὰς ὁρμὰς δὲ ἐπὶ τὰ κοινωνικὰ ἔργα μόνα ἀπευθύνουσα· τὰς ὀρέξεις δὲ καὶ ἐκκλίσεις τῶν ἐφ' ἡμῖν μόνον πεποιημένη· τὸ δὲ ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμόμενον πᾶν ἀσπαζομένη. Μέρος γὰρ αὐτῆς ἐστιν, ὡς ἡ τοῦ φύλλου φύσις τῆς τοῦ φυτοῦ φύσεως· πλὴν ὅτι ἐκεῖ μὲν ἡ τοῦ φύλλου φύσις μέρος ἐστὶ φύσεως καὶ ἀναισθήτου καὶ ἀλόγου, καὶ ἐμποδίζεσθαι δυναμένης, ἡ δὲ τοῦ ἀνθρώπου φύσις μέρος ἐστὶν ἀνεμποδίστου φύσεως καὶ νοερᾶς καὶ δικαίας· εἴγε ἴσους καὶ κατ' ἀξίαν τοὺς μερισμοὺς χρόνων, οὐσίας, αἰτίου, ἐνεργείας, συμβάσεως, ἑκάστοις ποιεῖται. Σκόπει δὲ, μὴ εἰ τὸ πρὸς τὸ ἓν ἴσον εὑρήσεις ἐπὶ παντὸς, ἀλλὰ εἰ συλλήβδην τὰ πάντα τοῦδε πρὸς ἀθρόα τὰ τοῦ ἑτέρου.

η'. Ἀναγινώσκειν οὐκ ἔξεστιν. Ἀλλὰ ὕβριν ἀνείργειν ἔξεστιν· ἀλλὰ ἡδονῶν καὶ πόνων καθυπερτερεῖν ἔξεστιν· ἀλλὰ τοῦ δοξαρίου ὑπεράνω εἶναι ἔξεστιν· ἀλλὰ ἀναισθήτοις καὶ ἀχαρίστοις μὴ θυμοῦσθαι, προσέτι κήδεσθαι αὐτῶν, ἔξεστιν.

θ'. Μηκέτι σου μηδεὶς ἀκούσῃ καταμεμφομένου τὸν ἐν αὐλῇ βίον, μηδὲ τὸν σεαυτοῦ.

ι'. Ἡ μετάνοιά ἐστιν ἐπίληψίς τις ἑαυτοῦ, ὡς χρήσιμόν τι παρεικότος· τὸ δὲ ἀγαθὸν χρήσιμόν τι δεῖ εἶναι, καὶ ἐπιμελητέον αὐτοῦ τῷ καλῷ κἀγαθῷ ἀνδρί·

nes existunt. Quaenam decreta? de bonis et malis : nihil bonum esse homini, quod eum non justum, temperantem, fortem, liberum reddat, nihil malum, quod non efficiat contraria iis, quae dixi.

2. In singulis actionibus te ipse interroga : Quomodo haec mihi habet? num ejus me pœnitebit? breve est tempus, et mortuus sum et omnia evanuerunt. Quid est, quod amplius requiram, si id quod nunc facio est animalis ratione præditi, societatis studiosi, ex eadem, qua deus, lege agentis?

3. Alexander et Gaius et Pompeius quid ad Diogenem et Heraclitum et Socratem? Hi enim res et earum causas ac materias perspectas habebant et eorum mentes erant *semper* eædem. In illis vero quot rerum erat cautio, quantarum rerum servitus!

4. Nihilominus eadem facient, etiamsi tu ruptus fueris.

5. Primum noli perturbari : omnia enim secundum universi naturam *eveniunt*, et intra breve tempus nullus usquam eris, ut neque Hadrianus neque Augustus : dein in rem intentus eam considera, memor simul, te oportere esse virum bonum, et, quod hominis natura exigit, id fac simpliciter, et loquere, ut justissimum tibi videtur; modo placide, verecunde et sine simulatione.

6. Rerum omnium natura hoc agit, ut quæ hic sunt, illuc transferat et mutet, hinc tollat et illic deponat : omnia mutantur; hinc non est ut metuas, ne quid novi : omnia usitata, sed etiam omnia æqualiter distribuuntur.

7. Omnis natura sese ipsa contenta est, quando prospere procedit : natura autem ratione prædita prospere procedit, ubi in *oblatis rerum* visis neque falso neque dubie assentitur; animi porro impetus ad solas actiones societati convenientes dirigit; ea denique tantum appetit et aversatur, quæ in nostra potestate sita sunt et quidquid a communi natura assignatum est amplectitur; ejus enim pars est, quemadmodum natura folii pars est naturæ arboris, nisi quod folii natura pars est naturæ sensu ac ratione carentis ejusdemque, quæ impediri potest; hominis contra natura pars naturæ, quæ impediri non potest, rationalis et justæ, si quidem ex æquo pro cujusque dignitate tempus, materiam, formam, facultatem, eventum singulis tribuit : considera autem, non, an singula cum singulis comparando æqualia in omnibus reperias, sed, an universis alterius cum alterius confertim comparatis.

8. Legere non licet. At contumeliam arcere licet; at voluptates ac dolores contemnere licet; at gloriola superiorem esse licet; at stupidis et ingratis non irasci, adeoque eorum curam gerere licet.

9. Nemo te posthac aut vitam aulicam aut tuam reprehendentem audiat.

10. Pœnitentia est reprehensio quædam sui ipsius, quasi utile quid neglexerit; bonum autem sit utile quid necesse est, et quod curæ esse debeat viro bono et honesto; nemi-

οὐδεὶς δ' ἂν καλὸς καὶ ἀγαθὸς ἀνὴρ μετανοήσειεν, ἐπὶ τῷ ἡδονήν τινα παρεικέναι· οὔτε ἄρα χρήσιμον, οὔτε ἀγαθὸν ἡδονή.

ια'. Τοῦτο τί ἐστιν αὐτὸ καθ' ἑαυτὸ τῇ ἰδίᾳ κατασκευῇ; τί μὲν τὸ οὐσιῶδες αὐτοῦ καὶ ὑλικόν; τί δὲ τὸ αἰτιῶδες; τί δὲ ποιεῖ ἐν τῷ κόσμῳ; πόσον δὲ χρόνον ὑφίσταται;

ιβ'. Ὅταν ἐξ ὕπνου δυσχερῶς ἐγείρῃ, ἀναμιμνήσκου, ὅτι κατὰ τὴν κατασκευήν σου ἐστὶ, καὶ κατὰ τὴν ἀνθρωπικὴν φύσιν, τὸ πράξεις κοινωνικὰς ἀποδιδόναι, τὸ δὲ καθεύδειν κοινὸν καὶ τῶν ἀλόγων ζώων· ὃ δὲ κατὰ φύσιν ἑκάστῳ, τοῦτο οἰκειότερον καὶ προσφυέστερον, καὶ δὴ καὶ προσηνέστερον.

ιγ'. Διηνεκῶς καὶ ἐπὶ πάσης, εἰ οἷόν τε, φαντασίας φυσιολογεῖν, παθολογεῖν, διαλεκτικεύεσθαι.

ιδ'. Ὧ ἂν ἐντυγχάνῃς, εὐθὺς σαυτῷ πρόλεγε· οὗτος τίνα δόγματα ἔχει περὶ ἀγαθῶν καὶ κακῶν; εἰ γὰρ περὶ ἡδονῆς καὶ πόνου, καὶ τῶν ποιητικῶν ἑκατέρου, καὶ περὶ δόξης, ἀδοξίας, θανάτου, ζωῆς, τοιάδε τινὰ δόγματα ἔχει, οὐδὲν θαυμαστὸν, ἢ ξένον μοι δόξει, ἐὰν τάδε τινὰ ποιῇ· καὶ μεμνήσομαι, ὅτι ἀναγκάζεται οὕτως ποιεῖν.

ιε'. Μέμνησο, ὅτι, ὥσπερ αἰσχρόν ἐστι ξενίζεσθαι, εἰ ἡ συκῆ σῦκα φέρει, οὕτως, εἰ ὁ κόσμος τάδε τινὰ φέρει, ὧν ἐστι φορός· καὶ ἰατρῷ δὲ καὶ κυβερνήτῃ αἰσχρὸν ξενίζεσθαι, εἰ πεπύρεχεν οὗτος, ἢ εἰ ἀντίπνοια γέγονεν.

ιϛ'. Μέμνησο, ὅτι καὶ τὸ μετατίθεσθαι καὶ ἕπεσθαι τῷ διορθοῦντι ὁμοίως ἐλεύθερόν ἐστι. Σὴ γὰρ ἐνέργεια κατὰ τὴν σὴν ὁρμὴν καὶ κρίσιν, καὶ δὴ καὶ κατὰ νοῦν τὸν σὸν περαινομένη.

ιζ'. Εἰ μὲν ἐπὶ σοὶ, τί αὐτὸ ποιεῖς; εἰ δὲ ἐπ' ἄλλῳ, τίνι μέμφῃ; ταῖς ἀτόμοις, ἢ τοῖς θεοῖς; ἀμφότερα μανιώδη. Οὐδενὶ μεμπτέον. Εἰ μὲν γὰρ δύνασαι, διόρθωσον· εἰ δὲ τοῦτο μὴ δύνασαι, τό γε πρᾶγμα αὐτό· εἰ δὲ μηδὲ τοῦτο, πρὸς τί ἔτι σοι φέρει τὸ μέμψασθαι; εἰκῇ γὰρ οὐδὲν ποιητέον.

ιη'. Ἔξω τοῦ κόσμου τὸ ἀποθανὸν οὐ πίπτει. Εἰ ὧδε μένει, καὶ μεταβάλλει ὧδε καὶ διαλύεται εἰς τὰ ἴδια, ἃ στοιχεῖά ἐστι τοῦ κόσμου καὶ σά. Καὶ αὐτὰ δὲ μεταβάλλει, καὶ οὐ γογγύζει.

ιθ'. Ἕκαστον πρός τι γέγονεν, ἵππος, ἄμπελος· τί θαυμάζεις; καὶ ὁ Ἥλιος ἐρεῖ, πρός τι ἔργον γέγονα, καὶ οἱ λοιποὶ θεοί. Σὺ οὖν πρὸς τί; τὸ ἥδεσθαι; ἴδε, εἰ ἀνέχεται ἡ ἔννοια.

κ'. Ἡ φύσις ἐστόχασται ἑκάστου, οὐδέν τι ἔλασσον τῆς ἀπολήξεως, ἢ τῆς ἀρχῆς τε καὶ διεξαγωγῆς, ὡς ὁ ἀναβάλλων τὴν σφαῖραν· τί οὖν ἀγαθὸν τῷ σφαιρίῳ ἀναφερομένῳ, ἢ κακὸν καταφερομένῳ, ἢ καὶ πεπτωκότι; τί δὲ ἀγαθὸν τῇ πομφόλυγι συνεστώσῃ, ἢ κακὸν διαλυθείσῃ; τὰ ὅμοια δὲ καὶ ἐπὶ λύχνου.

κα'. Ἔκστρεψον, καὶ θέασαι, οἷόν ἐστι, γηράσαν δὲ οἷον γίνεται, νοσῆσαν δὲ, πορνεῦσαν.

Βραχύβιον καὶ ὁ ἐπαινῶν καὶ ὁ ἐπαινούμενος, καὶ

nem vero bonum et honestum pœniteret, si voluptatem aliquam neglexisset : neque igitur utile neque bonum est voluptas.

11. Hoc quidnam per se est et ex propria ejus constitutione? quænam ejus vera natura et materia et forma? Quid facit in mundo? quamdiu subsistit?

12. Cum gravatim e somno expergisceris, reminiscere, et constitutioni tuæ et naturæ humanæ esse consentaneum, ut actiones societati utiles edas, dormire autem tibi etiam cum brutis animantibus commune esse; quod vero cuique secundum naturam est, id ei est familiarius et aptius et vero jucundius.

13. In omni viso, quantum potes, physicas et pathologicas et dialecticas rationes in usum perpetuo adhibe.

14. Quemcunque conveneris, statim tu tecum loquere : quænam hic habet placita de bonis et malis? nam si qua ejusmodi de voluptate et dolore iisque, quæ utrumque efficiunt, de fama porro, ignominia, morte et vita habet placita, neque mirum neque novum mihi videbitur, si ejusmodi faciat; et memor ero, eum vi cogi, ut ita agat.

15. Memento, quemadmodum turpe sit, tanquam de re insueta mirari, quod ficus ficum ferat, ita quoque, si mundus ea, quorum ferax sit, ferat; et vero medico atque gubernatori turpe, obstupescere, si quis febri laboret aut ventus adversus existat.

16. Memento, sententiam mutare et recte monenti obsequi pariter liberi hominis esse : tua enim est actio quæ secundum tuum consilium atque judicium et vero ex animi tui sententia perficitur.

17. Si tui est arbitrii, cur facis? sin alius, quid accusas? atomos, an deos? utrumque est insani. Nihil reprehendendum. Si enim potes, corrige *peccantem;* si hoc nequis, rem ipsam; si ne hoc quidem potes, quid tibi amplius confert reprehendisse? nihil enim temere faciendum.

18. Quod mortuum est, mundo non excidit. Si hic manet, etiam mutatur hic, et dissolvitur in elementa sua, quæ eadem et mundi sunt et tua : hæc quoque mutantur nec mussant.

19. Unumquodque alicujus rei causa natum est, quid miraris? Sol quoque dicet : alicujus rei causa factus sum, idem reliqui dii. Tu igitur cujus rei causa? num ut delecteris? vide, num intelligentia hoc ferat.

20. Natura cujusque rei rationem habet, non minus, quod ad ejus finem attinet, quam ad ortum ejus et transitum, ad instar ejus, qui pilam emittit. Quid igitur boni pilæ sursum missæ aut mali eidem descendenti aut adeo delapsæ? quid boni bullæ consistenti, aut mali dissolutæ? Eadem de lucerna valent.

21. Inverte *corpus* et vide, quale sit, senio confectum quale fiat, morbo languidum, * proclinatum.

Brevis est vita et ejus, qui laudat, et ejus, qui laudatur,

μνημονεύων, καὶ ὁ μνημονευόμενος. Προσέτι δὲ καὶ ἐν γωνίᾳ τούτου τοῦ κλίματος, καὶ οὐδὲ ἐνταῦθα πάντες συμφωνοῦσι, καὶ οὐδὲ αὐτός τις ἑαυτῷ· καὶ ὅλη δὲ ἡ γῆ στιγμή.

κβ'. Πρόσεχε τῷ ὑποκειμένῳ, ἢ τῷ δόγματι, ἢ τῇ ἐνεργείᾳ, ἢ τῷ σημαινομένῳ.

Δικαίως ταῦτα πάσχεις· μᾶλλον δὲ θέλεις ἀγαθὸς αὔριον γενέσθαι, ἢ σήμερον εἶναι.

κγ'. Πράσσω τι; πράσσω ἐπ' ἀνθρώπων εὐποιίαν ἀναφέρων· συμβαίνει τί μοι; δέχομαι, ἐπὶ τοὺς θεοὺς ἀναφέρων, καὶ τὴν πάντων πηγήν, ἀφ' ἧς πάντα τὰ γινόμενα συμμηρύεται.

κδ'. Ὁποῖόν σοι φαίνεται τὸ λούεσθαι, ἔλαιον, ἱδρώς, ῥύπος, ὕδωρ γλοιῶδες, πάντα σικχαντά· τοιοῦτον πᾶν μέρος τοῦ βίου, καὶ πᾶν ὑποκείμενον.

κε'. Λούκιλλα Οὐῆρον, εἶτα Λούκιλλα· Σέκουνδα Μάξιμον, εἶτα Σέκουνδα· Ἐπιτύγχανος Διότιμον, εἶτα Ἐπιτύγχανος· Φαυστῖναν Ἀντωνῖνος, εἶτα Ἀντωνῖνος· τοιαῦτα πάντα. Κέλερ Ἁδριανόν, εἶτα Κέλερ. Οἱ δὲ δριμεῖς ἐκεῖνοι, ἢ προγνωστικοί, ἢ τετυφωμένοι, ποῦ; οἷον, δριμεῖς μέν, Χάραξ καὶ Δημήτριος ὁ Πλατωνικός, καὶ Εὐδαίμων, καὶ εἴ τις τοιοῦτος. Πάντα ἐφήμερα, τεθνηκότα πάλαι· ἔνιοι μὲν οὐδὲ ἐπ' ὀλίγον μνημονευθέντες· οἱ δὲ εἰς μύθους μεταβαλόντες· οἱ δὲ ἤδη καὶ ἐκ μύθων ἐξίτηλοι. Τούτων οὖν μεμνῆσθαι, ὅτι δεήσει ἤτοι σκεδασθῆναι τὸ συγκριμάτιόν σου, ἢ σβεσθῆναι τὸ πνευμάτιον, ἢ μεταστῆναι, καὶ ἀλλαχοῦ καταταχθῆναι.

κϛ'. Εὐφροσύνη ἀνθρώπου, ποιεῖν τὰ ἴδια ἀνθρώπου. Ἴδιον δὲ ἀνθρώπου, εὔνοια πρὸς τὸ ὁμόφυλον, ὑπερόρασις τῶν αἰσθητικῶν κινήσεων, διάκρισις τῶν πιθανῶν φαντασιῶν, ἐπιθεώρησις τῆς τῶν ὅλων φύσεως καὶ τῶν κατ' αὐτὴν γινομένων.

κζ'. Τρεῖς σχέσεις· ἡ μὲν πρὸς τὸ αἴτιον τὸ περικείμενον· ἡ δὲ πρὸς τὴν θείαν αἰτίαν, ἀφ' ἧς συμβαίνει πᾶσι πάντα· ἡ δὲ πρὸς τοὺς συμβιοῦντας.

κη'. Ὁ πόνος ἤτοι τῷ σώματι κακόν· οὐκοῦν ἀποφαινέσθω· ἢ τῇ ψυχῇ· ἀλλ' ἔξεστιν αὐτῇ, τὴν ἰδίαν αἰθρίαν καὶ γαλήνην διαφυλάσσειν, καὶ μὴ ὑπολαμβάνειν, ὅτι κακόν. Πᾶσα γὰρ κρίσις, καὶ ὁρμή, καὶ ὄρεξις, καὶ ἔκκλισις, ἔνδον, καὶ οὐδὲν κακὸν ὧδε ἀναβαίνει.

κθ'· Ἐξάλειφε τὰς φαντασίας, συνεχῶς σεαυτῷ λέγων· νῦν ἐπ' ἐμοί ἐστιν, ἵνα ἐν ταύτῃ τῇ ψυχῇ μηδεμία πονηρία ᾖ, μηδὲ ἐπιθυμία, μηδὲ ὅλως ταραχή τις· ἀλλὰ βλέπων πάντα, ὁποῖά ἐστι, χρῶμαι ἑκάστῳ κατ' ἀξίαν. Μέμνησο ταύτης τῆς ἐξουσίας κατὰ φύσιν.

λ'. Λαλεῖν, καὶ ἐν συγκλήτῳ, καὶ πρὸς πάνθ' ὁντινοῦν κοσμίως, μὴ περιτρανῶς· ὑγιεῖ λόγῳ χρῆσθαι.

λα'. Αὐλὴ Αὐγούστου, γυνή, θυγάτηρ, ἔγγονοι, πρόγονοι, ἀδελφή, Ἀγρίππας, συγγενεῖς, οἰκεῖοι, φίλοι, Ἄρειος, Μαικήνας, ἰατροί, θύται· ὅλης αὐλῆς θάνατος. Εἶτα ἔπιθι τὰ ἄλλα, μὴ καθ' ἑνὸς ἀνθρώπου θάνατον, οἷον Πομπηίων· κἀκεῖνο δὲ τὸ ἐπιγραφόμενον τοῖς μνήμασιν, ΕΣΧΑΤΟΣ ΤΟΥ ΙΔΙΟΥ ΓΕΝΟΥΣ· ἐπιλο-

ejus, qui mentionem facit, et ejus, cujus mentio fit. Præterea hoc fit in angulo hujus plagæ, et ne ibi quidem omnes consentiunt, immo ne sibi ipse quisquam : tota denique terra puncti instar.

22. Animum adverte ad rem subjectam aut decretum aut vim aut id, quod significatur.

Merito hæc pateris : mavis enim cras bonus fieri, quam hodie bonus esse.

23. Facio aliquid? ita facio, ut ad hominum salutem id referam : accidit mihi aliquid? ita accipio, ut id ad deos referam et fontem omnium rerum, a quo omnia, quæ fiunt, inter se connexa proficiscuntur.

24. Quale tibi videtur lavari, oleum, sudor, sordes, aqua viscida, omnia putida; talis quævis vitæ pars est et quævis res subjecta.

25. Lucilla Verum, deinde Lucilla; Secunda Maximum, deinde Maximus; Epitynchanus Diotimum, deinde Epitynchanus; Faustinam Antoninus, deinde Antoninus. Hujusmodi omnia : Celer Hadrianum, deinde Celer; quin etiam acres illi et futurorum præscii et fastu elati ubi nunc sunt? ut ex acribus Charax, Demetrius Platonicus, Eudæmon et si quis alius ejusmodi. Omnia caduca et jam dudum emortua : aliorum ne minimum quidem tempus mansit memoria; alii in fabulas abierunt; alii jam adeo e fabulis evanuerunt. Horum igitur memento, aut dissipatum iri compagem tuam aut exstinctum iri spiritum aut migraturum esse et alibi constitutum iri.

26. Lætatur homo, quum facit, quæ homini propria sunt : proprium autem est homini, benevolum esse erga contribules, motus sensuum contemnere, visa probabilia discernere, naturam universitatis et ea, quæ secundum hanc fiunt, contemplari.

27. Tres rationes : una ad vas circumdatum, altera ad causam divinam, a qua omnibus evenit quidquid evenit, tertia ad eos, quibuscum vivis.

28. Dolor aut corpori malum : ergo hoc pronunciet! aut animo; verum huic licet, serenitatem suam et tranquillitatem servare et non opinari, esse malum; omne enim judicium et impetus et appetitus et aversatio intus est, eoque nihil mali adscendit.

29. Exstingue visa, sæpe tecum loquens : Nunc in potestate mea situm est, ut nulla in hoc animo improbitas insit, nulla cupiditas, nulla omnino perturbatio, sed ut, omnibus, qualia sint, perspectis, singulis pro dignitate utar. Memor esto hujus potestatis a natura tibi tributæ.

30. Loqui et in senatu et cum quolibet modeste nec voce nimis intenta : sano sermone uti.

31. Aula Augusti, uxor, filia, nepotes, privigni, soror, Agrippa, cognati, familiares, amici, Areus, Mæcenas, medici, sacrificuli : totius aulæ mors. Tum perge ad alia, quæ non ad unius mortem pertinent, ut Pompeiorum, ad id, quod in monumentis inscribitur : ULTIMUS GENTIS SUÆ, et re-

γίζεσθαι, πόσα ἐσπάσθησαν οἱ πρὸ αὐτῶν, ἵνα διάδοχόν τινα καταλίπωσιν· εἶτα, ἀνάγκη ἔσχατόν τινα γενέσθαι· πάλιν ὧδε ὅλου γένους θάνατον.

λϐ'. Συντιθέναι δεῖ τὸν βίον κατὰ μίαν πρᾶξιν· καὶ εἰ ἑκάστη τὸ ἑαυτῆς παρέχει, ὡς οἷόν τε, ἀρκεῖσθαι· ἵνα δὲ τὸ ἑαυτῆς παρέχῃ, οὐδὲ εἷς σε κωλῦσαι δύναται. — Ἀλλ' ἐνστήσεταί τι ἔξωθεν. — Οὐδὲν εἴς γε τὸ δικαίως καὶ σωφρόνως καὶ εὐλογίστως· ἄλλο δέ τι ἴσως ἐνεργητικὸν κωλυθήσεται; ἀλλὰ τῇ πρὸς αὐτὸ τὸ κώλυμα εὐαρεστήσει, καὶ τῇ ἐπὶ τὸ διδόμενον εὐγνώμονι μεταβάσει, εὐθὺς ἄλλη πρᾶξις ἀντικαθίσταται, ἐναρμόσουσα εἰς τὴν σύνθεσιν, περὶ ἧς ὁ λόγος.

λγ'. Ἀτύφως μὲν λαϐεῖν, εὐλύτως δὲ ἀφεῖναι.

λδ'. Εἴ ποτε εἶδες χεῖρα ἀποκεκομμένην, ἢ πόδα, ἢ κεφαλὴν [ἀποτετμημένην], χωρίς πού ποτε ἀπὸ τοῦ λοιποῦ σώματος κειμένην, τοιοῦτον ἑαυτὸν ποιεῖ, ὅσον ἐφ' ἑαυτῷ, ὁ μὴ θέλων τὸ συμϐαῖνον, καὶ ἀποσχίζων ἑαυτὸν, ἢ ὁ ἀκοινώνητόν τι πράσσων. Ἀπέῤῥιψαί πού ποτε ἀπὸ τῆς κατὰ φύσιν ἑνώσεως· ἐπεφύκεις γὰρ μέρος· νῦν δὲ σεαυτὸν ἀπέκοψας. Ἀλλ' ὧδε κομψὸν ἐκεῖνο, ὅτι ἔξεστί σοι πάλιν ἑνῶσαι σεαυτόν. Τοῦτο ἄλλῳ μέρει οὐδενὶ θεὸς ἐπέτρεψεν, χωρισθέντι καὶ διακοπέντι, πάλιν συνελθεῖν. Ἀλλὰ σκέψαι τὴν χρηστότητα, ᾗ τετίμηκε τὸν ἄνθρωπον· καὶ γὰρ ἵνα τὴν ἀρχὴν μὴ ἀποῤῥαγῇ ἀπὸ τοῦ ὅλου, ἐπ' αὐτῷ ἐποίησε· καὶ ἀποῤῥαγέντι πάλιν ἐπανελθεῖν, καὶ συμφῦναι, καὶ τὴν τοῦ μέρους τάξιν ἀπολαϐεῖν ἐποίησεν.

λε'. Ὥσπερ τὰς ἄλλας δυνάμεις ἕκαστος τῶν λογικῶν σχεδὸν ὅσον ἡ τῶν λογικῶν φύσις, οὕτως καὶ ταύτην παρ' αὐτῆς εἰλήφαμεν. Ὃν τρόπον γὰρ ἐκείνη πᾶν τὸ ἐνιστάμενον καὶ ἀντιϐαῖνον ἐπιπεριτρέπει καὶ κατατάσσει εἰς τὴν εἱμαρμένην, καὶ μέρος ἑαυτῆς ποιεῖ, οὕτως καὶ τὸ λογικὸν ζῶον δύναται πᾶν κώλυμα ὕλην ἑαυτοῦ ποιεῖν, καὶ χρῆσθαι αὐτῷ, ἐφ' οἷον ἂν καὶ ὥρμησε.

λϛ'. Μή σε συγχείτω ἡ τοῦ ὅλου βίου φαντασία. Μὴ συμπερινόει, ἐπίπονα οἷα καὶ ὅσα πιθανὸν ἐπιγενῆσθαι· ἀλλὰ καθ' ἕκαστον τῶν παρόντων ἐπερώτα σεαυτὸν, Τί τοῦ ἔργου τὸ ἀφόρητον καὶ ἀνύποιστον; αἰσχυνθήσῃ γὰρ ὁμολογῆσαι. Ἔπειτα ἀναμίμνησκε σεαυτὸν, ὅτι οὔτε τὸ μέλλον, οὔτε τὸ παρῳχηκὸς βαρεῖ σε, ἀλλὰ ἀεὶ τὸ παρόν. Τοῦτο δὲ κατασμικρύνεται, ἐὰν αὐτὸ μόνον περιορίσῃς, καὶ ἀπελέγχῃς τὴν διάνοιαν, εἰ πρὸς τοῦτο ψιλὸν ἀντέχειν μὴ δύναται.

λζ'. Μήτι νῦν παρακάθηται τῇ τοῦ κυρίου σορῷ Πάνθεια, ἢ Πέργαμος; τί δὲ, τῇ Ἀδριανοῦ Χαυρίας, ἢ Διότιμος; γελοῖον. Τί δὲ, εἰ παρεκάθηντο, ἔμελλον αἰσθάνεσθαι; τί δὲ, εἰ ᾐσθάνοντο, ἔμελλον ἡσθήσεσθαι; τί δὲ, εἰ ἥδοντο, ἔμελλον οὗτοι ἀθάνατοι εἶναι; Οὐ καὶ τούτους πρῶτον μὲν γραίας καὶ γέροντας γενέσθαι οὕτως εἵμαρτο, εἶτα ἀποθανεῖν; τί οὖν ὕστερον ἔμελλον ἐκεῖνοι ποιεῖν, τούτων ἀποθανόντων; Γράσος πᾶν τοῦτο καὶ λύθρος ἐν θυλάκῳ.

puta tecum, quanto studio majores eorum in id incubuerint, ut successorem relinquerent : tum, necesse esse, ut aliquis ultimus sit : hic iterum totius gentis mortem.

32. Componere te oportet vitam ex singulis actionibus, atque si singulæ, quantum fieri potest, præstant, quod suum est, in eo acquiescere; nemo autem prohibere potest, quin quævis præstet, quod suum est.— Verum extrinsecus aliquid obstabit. — Nihil certe, quo minus juste, moderate et considerate agas. At alius fortasse effectus impedietur. Verum hoc ipsum impedimentum placide ferendo et æquo animo ad id, quod conceditur, te transferendo alia statim succedit actio, quæ cum illa, quam dixi, vitæ compositione conveniet.

33. Sine fastu accipere, æquo animo dimittere.

34. Si quando manum vidisti abscissam aut pedem aut caput [amputatum], seorsim alicubi a reliquo corpore jacens, scito talem se facere, quantum penes ipsum est, eum, qui id, quod contingit, non vult, aut aliquid facit, quod societatis saluti obest. Abjectus jaces alicubi revulsus ab ea, quæ secundum naturam est, unione : pars enim natura fuisti, nunc autem te avulsisti. Verum hic scitum est illud, quod tibi licet te rursus unire. Hoc nulli alii parti deus concessit, ut revulsa et præcisa denuo coalesceret. Verum considera benignitatem, quæ homini tantum honoris tribuit : nam in hominis potestate posuit, ut ab initio ne avelleretur a toto, et ut avulsus redire et coalescere et partis locum recuperare possit.

35. Sicut reliquas facultates unicuique eorum, qui ratione præditi sunt, * ac propemodum quantum habet ipsa, attribuit rationalis universi natura *, sic hanc quoque ab ea accepimus. Quemadmodum enim illa quidquid obstat et resistit, circumvertit et in necessaria rerum serie collocat et sui partem facit, ita etiam animal ratione præditum omne impedimentum suam ipsius materiam facere potest eoque uti ad consilium suum consequendum, qualecunque hoc fuerit.

36. Ne te confundat totius vitæ cogitatio, neque animo simul complectere, quot et quantas molestias tibi superventuras esse vero simile est, sed in singulis, quæ adsunt, te ipse interroga, quid hac in re sit, quod ferri et sustineri nequeat; erubesces enim, id confiteri. Tum in memoriam tibi revoca, neque futurum nec præteritum tibi molestiam allaturum esse, sed semper id tantum, quod præsens est. Hoc autem minuitur, si suis id limitibus terminas et mentem tuam redarguis, quod ne huic quidem soli ferendo par est.

37. Numquid nunc domini tumulo assidet Panthea et Pergamus? num Hadriani Chabrias aut Diotimus? ridiculum. Quid vero si assiderent, sentirentne illi? quid, si sentirent, num voluptatem inde caperent? quid, si hanc caperent, num hi immortales essent? Nonne etiam his fato constitutum erat, ut senes ac vetulæ fierent, deinde morerentur? quid igitur postea illi facerent, his mortuis? Fœtor est hoc omne et sanies in sacco.

λη'. Εἰ δύνασαι ὀξὺ βλέπειν, βλέπε, κρίνων, φησὶ, σοφωτάτοις.

λθ'. Δικαιοσύνης κατεξαναστατικὴν ἀρετὴν οὐχ ὁρῶ ἐν τῇ τοῦ λογικοῦ ζώου κατασκευῇ· ἡδονῆς δὲ ὁρῶ, τὴν ἐγκράτειαν.

μ'. Ἐὰν ἀφέλῃς τὴν σὴν ὑπόληψιν περὶ τοῦ λυπεῖν σε δοκοῦντος, αὐτὸς ἐν τῷ ἀσφαλεστάτῳ ἕστηκας. — Τίς αὐτός; — Ὁ λόγος. — Ἀλλ' οὐκ εἰμὶ λόγος. — Ἔστω. Οὐκοῦν ὁ μὲν λόγος αὐτὸς ἑαυτὸν μὴ λυπείτω. Εἰ δέ τι ἄλλο σοι κακῶς ἔχει, ὑπολαβέτω αὐτὸ περὶ αὐτοῦ.

μα'. Ἐμποδισμὸς αἰσθήσεως, κακὸν ζωτικῆς φύσεως. Ἐμποδισμὸς ὁρμῆς, ὁμοίως κακὸν ζωτικῆς φύσεως. Ἔστι δέ τι ἄλλο ὁμοίως ἐμποδιστικὸν καὶ κακὸν τῆς φυτικῆς κατασκευῆς. Οὕτως τοίνυν ἐμποδισμὸς νοῦ, κακὸν νοερᾶς φύσεως. Πάντα δὴ ταῦτα ἐπὶ σεαυτὸν μετάφερε. Πόνος, (ἢ) ἡδονὴ ἅπτεταί σου; ὄψεται ἡ αἴσθησις. Ὁρμήσαντι ἔνστημα ἐγένετο; εἰ μὲν ἀνυπεξαιρέτως ὥρμας, ἤδη ὡς λογικοῦ κακόν. Εἰ δὲ τὸ κοινὸν λαμβάνεις, οὔπω βέβλαψαι, οὐδὲ ἐμπεπόδισαι. Τὰ μέντοι τοῦ νοῦ ἴδια οὐδεὶς ἄλλος εἴωθεν ἐμποδίζειν· τούτου γὰρ οὐ πῦρ, οὐ σίδηρος, οὐ τύραννος, οὐ βλασφημία, οὐχ ὁτιοῦν ἅπτεται· ὅταν γένηται σφαῖρος, κυκλοτερὴς μένει.

μβ'. Οὐκ εἰμὶ ἄξιος ἐμαυτὸν λυπεῖν· οὐδὲ γὰρ ἄλλον πώποτε ἑκὼν ἐλύπησα.

μγ'. Εὐφραίνει ἄλλον ἄλλο· ἐμὲ δὲ, ἐὰν ὑγιὲς ἔχω τὸ ἡγεμονικὸν, μὴ ἀποστρεφόμενον μήτε ἄνθρωπόν τινα, μήτε τι τῶν ἀνθρώποις συμβαινόντων· ἀλλὰ πᾶν εὐμενέσιν ὀφθαλμοῖς ὁρῶν τε καὶ δεχόμενον, καὶ χρώμενον ἑκάστῳ κατ' ἀξίαν.

μδ'. Τοῦτον ἰδοὺ τὸν χρόνον σεαυτῷ χάρισαι. Οἱ τὴν ὑστεροφημίαν μᾶλλον διώκοντες οὐ λογίζονται, ὅτι ἄλλοι τοιοῦτοι μέλλουσιν ἐκεῖνοι εἶναι, οἷοί εἰσιν οὗτοι, οὓς βαροῦνται· κἀκεῖνοι δὲ θνητοί. Τί δὲ ὅλως πρὸς σὲ, ἂν ἐκεῖνοι φωναῖς τοιαύταις ἀπηχῶσιν, ἢ ὑπόληψιν τοιαύτην περὶ σοῦ ἔχωσιν;

με'. Ἆρόν με καὶ βάλε, ὅπου θέλεις. Ἐκεῖ γὰρ ἕξω τὸν ἐμὸν δαίμονα ἵλεων, τοῦτ' ἔστιν, ἀρκούμενον, εἰ ἔχοι καὶ ἐνεργοίη κατὰ τὸ ἑξῆς τῇ ἰδίᾳ κατασκευῇ. Ἆρα τοῦτο ἄξιον, ἵνα δι' αὐτὸ κακῶς μοι ἔχῃ ἡ ψυχὴ, καὶ χεῖρον ἑαυτῆς ᾖ, ταπεινουμένη, ὀρεγομένη, συνδυομένη, πτυρομένη; καὶ τί εὑρήσεις τούτου ἄξιον;

μς'. Ἀνθρώπῳ οὐδενὶ συμβαίνειν τι δύναται, ὃ οὐκ ἔστιν ἀνθρωπικὸν σύμπτωμα· οὐδὲ βοΐ, ὃ οὐκ ἔστι βοϊκόν· οὐδὲ ἀμπέλῳ, ὃ οὐκ ἔστιν ἀμπελικόν· οὐδὲ λίθῳ, ὃ οὐκ ἔστι λίθῳ ἴδιον. Εἰ οὖν ἑκάστῳ συμβαίνει, ὃ καὶ εἴωθεν καὶ πέφυκε, τί ἂν δυσχεραίνοις; οὐ γὰρ ἀφόρητόν σοι ἔφερεν ἡ κοινὴ φύσις.

μζ'. Εἰ μὲν διά τι τῶν ἐκτὸς λυπῇ, οὐκ ἐκεῖνό σοι ἐνοχλεῖ, ἀλλὰ τὸ σὸν περὶ αὐτοῦ κρίμα. Τοῦτο δὲ ἤδη ἐξαλεῖψαι ἐπὶ σοί ἐστιν. Εἰ δὲ λυπεῖ σέ τι τῶν ἐν τῇ σῇ διαθέσει, τίς ὁ κωλύων διορθῶσαι τὸ δόγμα; Ὅμως δὲ καὶ εἰ λυπῇ, ὅτι οὐχὶ τόδε τι ἐνεργεῖς, ὑγιὲς

38. Si potes acute videre, vide, inquit, ut quam * sapientissime judices.

39. Quæ justitiæ opponatur virtutem nullam video in natura animalis ratione præditi; at voluptati quæ opponatur, video temperantiam.

40. Si opinionem ab eo, quod tibi dolorem afferre videtur, sejungis, ipse in tutissimo es collocatus. — Quis ipse? — Ratio. — Verum non sum ratio. — Esto. Igitur ne ratio se tristitia afficiat; si quid aliud male habet, id ipsum de se ipso opinetur.

41. Impedimentum sensus est malum naturæ animantis; impedimentum motus pariter naturæ animantis malum : est vero etiam aliud, quod pariter vegetabilem naturam impediat ejusque malum sit : ita porro impedimentum mentis malum naturæ ratione præditæ. Jam vero hæc omnia ad te transfer. Dolor aut voluptas tangit te? Viderit sensus. Consilio obstitit aliquid? si quidem sine exceptione hoc moliebaris, jam malum est tuum ut animalis ratione præditi; sin commune et universum intelligis, nec læsus es, neque impeditus : mentis sane quæ propria sunt, nemo solet impedire; hanc enim neque ignis nec ferrum nec tyrannus neque criminatio neque aliud quidquam tangit. Quum sphæra facta est, teres ac rotunda manet.

42. Indignum est, me mihi dolorem afferre, qui neminem unquam alium meapte sponte læserim.

43. Alia alios oblectant : me, si animi principatum habeo sanum neque hominem neque quidquam quod homini accidit aversantem, sed quidquid evenit benignis oculis adspicientem et excipientem et singulis pro dignitate utentem.

44. Hoc, quod est, tempus fac tibi impertias. Qui studiosius famam posthumam sectantur, non cogitant, alios quosdam ejusmodi fore illos, cujusmodi hi sunt, quos gravatim ferunt : etiam illi mortales. Quid vero omnino tua interest, si talibus vocibus illi strepant aut sic de te opinentur?

45. Tolle me et projice, quocunque vis. Nam ibi genio meo utar propitio, hoc est, contento, si se habet et agit naturæ meæ convenienter. Num hoc tanti est, ut animus meus ejus causa male se habeat et se ipso deterior sit, depressus, cupiditate extensus, in semet compressus, consternatus? Atque quid reperies, quod tanti sit?

46. Nulli homini aliquid evenire potest, quod non sit casus humanus, neque bovi, quod bovis non sit, neque viti, quod non sit vitis, neque lapidi, quod lapidis non sit. Si igitur singulis accidit, quod et consuetum et a natura advectum est, quid est, quod ægre feras? nihil enim tibi ferebat natura communis, quod ferri non possit.

47. Si quam ob rem externam te dolore affectum sentis, non res ipsa, sed tuum de ea judicium dolore te afficit : id autem delere in tua est potestate. Si in tua dispositione inest, quod te dolore afficit, quis te prohibet, quominus decretum corrigas? Ita quoque si doles idcirco,

σοι φαινόμενον, τί οὐχὶ μᾶλλον ἐνεργεῖς, ἢ λυπῇ; — Ἀλλὰ ἰσχυρότερόν τι ἐνίσταται. — Μὴ οὖν λυποῦ· οὐ γὰρ παρὰ σὲ ἡ αἰτία τοῦ μὴ ἐνεργεῖσθαι. — Ἀλλὰ οὐκ ἄξιον ζῆν, μὴ ἐνεργουμένου τούτου. — Ἄπιθι οὖν ἐκ τοῦ ζῆν εὐμενής, ᾗ καὶ ὁ ἐνεργῶν ἀποθνήσκει, ἅμα ἵλεως τοῖς ἐνισταμένοις.

quod non id facis quod sanum videtur, cur non potius hoc facis, quam doles? Verum obstat aliquid potentius. — Noli igitur dolere : non enim penes te est causa, quod nihil agitur. — Verum nullius pretii est vita, si hoc non agitur. — Decede igitur e vita æquo animo,* ut is quoque qui agit moritur, atque propitius obstantibus.

μη'. Μέμνησο, ὅτι ἀκαταμάχητον γίνεται τὸ ἡγεμονικὸν, ὅταν εἰς ἑαυτὸ συστραφὲν ἀρκεσθῇ ἑαυτῷ, μὴ ποιοῦντι, ὃ μὴ θέλει, κἂν ἀλόγως παρατάξηται. Τί οὖν, ὅταν καὶ μετὰ λόγου, καὶ περιεσκεμμένως, κρίνῃ περί τινος; Διὰ τοῦτο ἀκρόπολίς ἐστιν ἡ ἐλευθέρα παθῶν διάνοια· οὐδὲν γὰρ ὀχυρώτερον ἔχει ἄνθρωπος, ἐφ' ὃ καταφυγὼν ἀνάλωτος λοιπὸν ἂν εἴη. Ὁ μὲν οὖν μὴ ἑωρακὼς τοῦτο, ἀμαθής· ὁ δὲ ἑωρακὼς καὶ μὴ καταφεύγων, ἀτυχής.

48. Memento, partem tui principalem fieri inexpugnabilem, quum, in se collecta, contenta sit se ipsa nihil, quod nolit, faciente, etiamsi sine ratione obstet. Quid igitur, ubi ratione in consilium adhibita de re aliqua judicat? Hinc arx quædam est mens perturbationibus libera : nihil enim munitius habet homo, quo quum confugerit, in posterum expugnari non possit. Hoc igitur qui non videt, imperitus est; qui videt nec tamen eo se recipit, infelix.

μθ'. Μηδὲν πλέον σαυτῷ λέγε, ὧν αἱ προηγούμεναι φαντασίαι ἀναγγέλλουσιν. Ἤγγελται, ὅτι ὁ δεῖνά σε κακῶς λέγει. Ἤγγελται τοῦτο· τὸ δὲ, ὅτι βέβλαψαι, οὐκ ἤγγελται. Βλέπω, ὅτι νοσεῖ τὸ παιδίον. Βλέπω· ὅτι δὲ κινδυνεύει, οὐ βλέπω. Οὕτως οὖν μένε ἀεὶ ἐπὶ τῶν πρώτων φαντασιῶν, καὶ μηδὲν αὐτὸς ἔνδοθεν ἐπίλεγε, καὶ οὐδέν σοι γίνεται· μᾶλλον δὲ ἐπίλεγε, ὡς γνωρίζων ἕκαστα τῶν ἐν τῷ κόσμῳ συμβαινόντων.

49. Noli quidquam ultra tecum addere iis, quæ visa præeuntia renunciant. Nunciatum est, illum tibi male dicere? nunciatum est hoc, neque vero etiam illud, te læsum esse. Video, puerulum ægrotare : video; eum autem in vitæ discrimen adduci, non video. Sic semper in primis visis consiste neu quidquam intrinsecus iis adjice, et nihil tibi accidit; aut potius adjice, sed ut qui omnia, quæ in mundo eveniunt, perspecta habeas.

ν'. Σίκυος πικρός· ἄφες. Βάτοι ἐν τῇ ὁδῷ· ἔκκλινον. Ἀρκεῖ. Μὴ προσεπείπῃς· « Τί δὲ καὶ ἐγίνετο ταῦτα ἐν τῷ κόσμῳ; » ἐπεὶ καταγελασθήσῃ ὑπὸ ἀνθρώπου φυσιολόγου, ὡς ἂν καὶ ὑπὸ τέκτονος καὶ σκυτέως γελασθείης, καταγινώσκων, ὅτι ἐν τῷ ἐργαστηρίῳ ξέσματα καὶ περιτμήματα τῶν κατασκευαζομένων ὁρᾷς. Καίτοι ἐκεῖνοί γε ἔχουσι, ποῦ αὐτὰ ῥίψωσιν· ἡ δὲ τῶν ὅλων φύσις ἔξω οὐδὲν ἔχει· ἀλλὰ τὸ θαυμαστὸν τῆς τέχνης ταύτης ἐστὶν, ὅτι, περιορίσασα ἑαυτὴν, πᾶν τὸ ἔνδον, διαφθείρεσθαι καὶ γηράσκειν καὶ ἄχρηστον εἶναι δοκοῦν, εἰς ἑαυτὴν μεταβάλλει, καὶ ὅτι πάλιν ἄλλα νεαρὰ ἐκ τούτων αὐτῶν ποιεῖ· ἵνα μήτε οὐσίας ἔξωθεν χρῄζῃ, μήτε, ὅπου ἐκβάλῃ τὰ σαπρότερα, προσδέηται. Ἀρκεῖται οὖν καὶ χώρᾳ τῇ ἑαυτῆς, καὶ ὕλῃ τῇ ἑαυτῆς, καὶ τέχνῃ τῇ ἰδίᾳ.

50. Cucumis amarus : mitte! Vepres in via : declina! sufficit. Noli hæc verba addere : « Quare quæso hæc quoque in mundo sunt? » ludibrio enim fores homini rerum naturalium perito, perinde atque fabro et sutori ludibrio esses, si ei exprobrares, quod eorum, quæ conficiuntur, ramenta et segmenta in officina ejus vides. Quamquam ii quidem, quo talia projiciant, habent; rerum natura autem nihil extra se habet : sed quod potissimum in hac arte admireris, hoc est, quod, quum se certis finibus circumscripserit, quidquid intra se corrumpi, senescere et inutile fieri videtur, id in se ipsam mutat, rursusque ex his alia nova efficit, ita ut neque materia extrinsecus opus habeat, neque, quo putrefacta projiciat, desideret : itaque manet contenta suo loco, et sua materia, et arte sibi propria.

να'. Μήτε ἐν ταῖς πράξεσιν ἐπισύρειν· μήτε ἐν ταῖς ὁμιλίαις φύρειν· μήτε ἐν ταῖς φαντασίαις ἀλᾶσθαι· μήτε τῇ ψυχῇ καθάπαξ συνέλκεσθαι, ἢ ἐκθόρνυσθαι· μήτε ἐν τῷ βίῳ ἀσχολεῖσθαι. Κτείνουσι, κρεανομοῦσι, κατάραις ἐλαύνουσι. Τί οὖν ταῦτα πρὸς τὸ τὴν διάνοιαν μένειν καθαρὰν, φρενήρη, σώφρονα, δικαίαν; οἷον εἴ τις, παραστὰς πηγῇ διαυγεῖ καὶ γλυκείᾳ, βλασφημοίη αὐτὴν, ἡ δὲ οὐ παύεται πότιμον ἀναβλύουσα· κἂν πηλὸν ἐμβάλῃ, κἂν κοπρίαν, τάχιστα διασκεδάσει αὐτὰ, καὶ ἐκκλύσει, καὶ οὐδαμῶς βαφήσεται. Πῶς οὖν πηγὴν ἀέναον ἕξεις, [καὶ μὴ φρέαρ]; Φύου σεαυτὸν πάσης ὥρας εἰς ἐλευθερίαν μετὰ τοῦ εὐμενῶς, καὶ ἁπλῶς, καὶ αἰδημόνως.

51. Neque in actionibus negligentem esse, neque in sermonibus turbidum, neque in visis vagari, neque animo omnino contrahi aut exsilire, neque in vita negotiis districtum esse. Occidunt, mactant, diris devovent. Quid igitur hæc obstant, quominus mens pura maneat, prudens, moderata, justa? Perinde ac si quis fonti limpido ac dulci adsistens eum vituperaret, at ille nihilominus non cessaret aqua potui apta scatere; quin etiam si quis lutum injecerit aut stercus, cito hæc disperget et eluet, neque ullo modo inquinabitur. Quomodo igitur fontem habebis perennem, [non puteum]?* Vindica te quavis hora in libertatem cum benevolentia, simplicitate et verecundia.

νβ'. Ὁ μὲν μὴ εἰδὼς, ὅ τι ἐστὶ κόσμος, οὐκ οἶδεν, ὅπου ἐστίν. Ὁ δὲ μὴ εἰδὼς, πρὸς ὅ τι πέφυκεν, οὐκ οἶδεν, ὅστις ἐστὶν, οὐδὲ τί ἐστι κόσμος. Ὁ δὲ ἕν τι

52. Qui, quid mundus sit, ignorat, is etiam, ubi sit, ignorat. Qui vero, ad quid natus sit, ignorat, non, quis ipse sit, novit, neque, quid mundus sit : qui in horum al-

τούτων ἀπολιπὼν, οὐδ' ἂν, πρὸς ὅ τι αὐτὸς πέφυκεν, εἴποι. Τίς οὖν φαίνεταί σοι ὁ τὸν τῶν κροτούντων ἔπαινον [φεύγων ἢ] διώκων, οἳ οὔθ' ὅπου εἰσὶν, οὔτε οἵτινές εἰσι, γινώσκουσι;

νγ'. Ἐπαινεῖσθαι θέλεις ὑπὸ ἀνθρώπου, τρὶς τῆς ὥρας ἑαυτῷ καταρωμένου; ἀρέσκειν θέλεις ἀνθρώπῳ, ὃς οὐκ ἀρέσκει ἑαυτῷ; Ἀρέσκει ἑαυτῷ, ὁ μετανοῶν ἐφ' ἅπασι σχεδὸν, οἷς πράσσει;

νδ'. Μηκέτι μόνον συμπνεῖν τῷ περιέχοντι ἀέρι, ἀλλ' ἤδη καὶ συμφρονεῖν τῷ περιέχοντι πάντα νοερῷ. Οὐ γὰρ ἧττον ἡ νοερὰ δύναμις πάντῃ κέχυται καὶ διαπεφοίτηκε τῷ σπᾶσαι βουλομένῳ, ἤπερ ἡ ἀερώδης τῷ ἀναπνεῦσαι δυναμένῳ.

νε'. Γενικῶς μὲν ἡ κακία οὐδὲν βλάπτει τὸν κόσμον, ἡ δὲ κατὰ μέρος οὐδὲν βλάπτει τὸν ἕτερον. Μόνῳ δὲ βλαβερά ἐστι τούτῳ, ᾧ ἐπιτέτραπται καὶ ἀπηλλάχθαι αὐτῆς, ὁπόταν πρῶτον οὗτος θελήσῃ.

νς'. Τῷ ἐμῷ προαιρετικῷ τὸ τοῦ πλησίον προαιρετικὸν ἐπίσης ἀδιάφορόν ἐστιν, ὡς καὶ τὸ πνευμάτιον αὐτοῦ καὶ τὸ σαρκίδιον. Καὶ γὰρ εἰ ὅτι μάλιστα ἀλλήλων ἕνεκεν γεγόναμεν, ὅμως τὰ ἡγεμονικὰ ἡμῶν ἕκαστον τὴν ἰδίαν κυρίαν ἔχει· ἐπεί τοι ἔμελλεν ἡ τοῦ πλησίον κακία ἐμοῦ κακὸν εἶναι· ὅπερ οὐκ ἔδοξε τῷ θεῷ, ἵνα μὴ ἐπ' ἄλλῳ ᾖ τὸ ἐμὲ ἀτυχεῖν.

νζ'. Ὁ ἥλιος κατακεχύσθαι δοκεῖ, καὶ πάντῃ γε κέχυται, οὐ μὴν ἐκκέχυται. Ἡ γὰρ χύσις αὕτη τάσις ἐστίν. « Ἀκτῖνες γοῦν αἱ αὐγαὶ αὐτοῦ ἀπὸ τοῦ Ἐκτείνεσθαι » λέγονται. Ὁποῖον δέ τι ἐστὶν ἀκτὶς, ἴδοις ἂν, εἰ διά τινος στενοῦ εἰς ἐσκιασμένον οἶκον τὸ ἀφ' ἡλίου φῶς εἰσδυόμενον θεάσαιο· τείνεται γὰρ κατ' εὐθὺ, καὶ ὥσπερ διαιρεῖται δὴ πρὸς τὸ στερέμνιον, ὅ τι ἂν ἀπαντήσῃ, διεῖργον τὸν ἐπέκεινα ἀέρα· ἐνταῦθα δὲ ἔστη, καὶ οὐ κατώλισθεν, οὐδὲ ἔπεσε. Τοιαύτην οὖν τὴν χύσιν καὶ διάχυσιν τῆς διανοίας εἶναι χρὴ, μηδαμῶς ἔκχυσιν, ἀλλὰ τάσιν, καὶ πρὸς τὰ ἀπαντῶντα κωλύματα μὴ βίαιον μηδὲ ῥαγδαίαν τὴν ἐπέρεισιν ποιεῖσθαι· μηδὲ μὴν καταπίπτειν, ἀλλὰ ἵστασθαι, καὶ ἐπιλάμπειν τὸ δεχόμενον. Αὐτὸ γὰρ ἑαυτὸ στερήσει τῆς αὐγῆς, τὸ μὴ παραπέμπον αὐτήν.

νη'. Ὁ τὸν θάνατον φοβούμενος, ἤτοι ἀναισθησίαν φοβεῖται, ἢ αἴσθησιν ἑτεροίαν. Ἀλλ' εἴτε οὐκέτι αἴσθησιν, οὐδὲ κακοῦ τινος αἰσθήσῃ· εἴτε ἀλλοιοτέραν αἴσθησιν κτήσῃ, ἀλλοῖον ζῶον ἔσῃ, καὶ τοῦ ζῆν οὐ παύσῃ.

νθ'. Οἱ ἄνθρωποι γεγόνασιν ἀλλήλων ἕνεκεν. Δίδασκε οὖν, ἢ φέρε.

ξ'. Ἄλλως βέλος, ἄλλως νοῦς φέρεται· ὁ μέντοι νοῦς, καὶ ὅταν εὐλαβῆται, καὶ ὅταν περὶ τὴν σκέψιν στρέφηται, φέρεται κατ' εὐθὺ οὐδὲν ἧττον, καὶ ἐπὶ τὸ προκείμενον.

ξα'. Εἰσιέναι εἰς τὸ ἡγεμονικὸν ἑκάστου· παρέχειν δὲ καὶ ἑτέρῳ παντὶ εἰσιέναι εἰς τὸ ἑαυτοῦ ἡγεμονικόν.

terutro deficit, neque, ad quid natus sit, dixerit. Quis igitur tibi videtur is, qui eorum hominum plausum [fugit aut] captat, qui neque ubi sint, neque quinam sint ipsi, norunt?

53. Laudari cupis ab homine, qui intra unius horæ spatium se ipse ter exsecratur? placere cupis ei, qui sibi ipse non placet? Num vero sibi placet, quem omnium fere, quæ ipse facit, pœnitet?

54. In posterum non tantum cum aere ambiente conspirare *te oportet*, verum etiam cum mente, quæ omnia continet, consentire. Non minus enim vis intelligendi ubique funditur et permeat per ea, quæ eam attrahere possunt, quam aerea per ea, quæ respirare possunt.

55. Omnino vitiositas non nocet mundo, singulatim non nocet alteri. Ei tantum damnum affert, cui concessum est, ea liberari, quam primum ipse voluerit.

56. Arbitrio meo pariter indifferens est alterius arbitrium, atque animula ejus et caruncula. Etenim si vel maxime alter alterius causa nati sumus, tamen mentium nostrarum cuivis propria sua constat potestas : alioquin profecto alterius vitiositas meum malum foret : quod deo non visum est, ne in alterius esset potestate, me miserum reddere.

57. Sol diffundi videtur et ubique funditur, non effunditur tamen. Fusio enim hæc tensio est. Quapropter radii ejus ἀκτῖνες dicuntur ab ἐκτείνεσθαι, extendi. Qualis autem res sit radius, intellexeris, si per angustum *foramen* in domum tenebricosam lumen a sole profectum videris immissum : recta enim tenditur et quasi * illiditur sane ad solidum, quodcunque ei obstiterit, aerem arcens; ibi autem consistit et nec delabitur nec decidit. Ejusmodi igitur fusionem et diffusionem mentis habere te oportet, minime effusionem, sed tensionem, atque adversus impedimenta ei objecta nec violento nec rapido illisu ferri, neque vero decidere, sed consistere et illustrare id quod eam recipit. Ipsum enim se splendore privabit, quod eam prætermittit.

58. Qui mortem timet, aut sensuum exstinctionem timet, aut diversam sensuum affectionem. Verum sive nullum amplius habebis sensum, neque mali quid senties, sive diversum aliquem sensum habebis, aliud animal eris nec vivere desines.

59. Homines, alter alterius causa nati sunt. Eos igitur doce aut fer.

60. Aliter sagitta, aliter mens fertur; mens utique etiam, quum cavet et quum in considerando versatur, non minus recta fertur et ad propositum.

61. Intrare in mentem cujusvis, sed etiam alteri concedere, ut in suam ipsius mentem intret.

ΒΙΒΛΙΟΝ Θ.

α'. Ὁ ἀδικῶν, ἀσεβεῖ. Τῆς γὰρ τῶν ὅλων φύσεως κατεσκευακυίας τὰ λογικὰ ζῶα ἕνεκεν ἀλλήλων, ὥστε ὠφελεῖν μὲν ἄλληλα κατ' ἀξίαν, βλάπτειν δὲ μηδαμῶς, ὁ τὸ βούλημα ταύτης παραβαίνων, ἀσεβεῖ δηλονότι εἰς τὴν πρεσβυτάτην τῶν θεῶν. Καὶ ὁ ψευδόμενος δὲ ἀσεβεῖ περὶ τὴν αὐτὴν θεόν. Ἡ γὰρ τῶν ὅλων φύσις ὄντων ἐστὶ φύσις. Τὰ δέ γε ὄντα πρὸς τὰ ὑπάρχοντα πάντα οἰκείως ἔχει. Ἔτι δὲ καὶ ἀλήθεια αὕτη ὀνομάζεται, καὶ τῶν ἀληθῶν ἁπάντων πρώτη αἰτία ἐστίν. Ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἀσεβεῖ, καθόσον ἐξαπατῶν ἀδικεῖ· ὁ δὲ ἄκων, καθόσον διαφωνεῖ τῇ τῶν ὅλων φύσει, καὶ καθόσον ἀκοσμεῖ, μαχόμενος τῇ τοῦ κόσμου φύσει· μάχεται γὰρ ὁ ἐπὶ τἀναντία τοῖς ἀληθέσι φερόμενος παρ' ἑαυτόν· ἀφορμὰς γὰρ προειλήφει παρὰ τῆς φύσεως, ὧν ἀμελήσας οὐχ οἷός τέ ἐστι νῦν διακρίνειν τὰ ψευδῆ ἀπὸ τῶν ἀληθῶν. Καὶ μὴν ὁ τὰς ἡδονὰς ὡς ἀγαθὰ διώκων, τοὺς δὲ πόνους ὡς κακὰ φεύγων, ἀσεβεῖ. Ἀνάγκη γὰρ, τὸν τοιοῦτον μέμφεσθαι πολλάκις τῇ κοινῇ φύσει, ὡς παρ' ἀξίαν τι ἀπονεμούσῃ τοῖς φαύλοις καὶ τοῖς σπουδαίοις, διὰ τὸ πολλάκις τοὺς μὲν φαύλους ἐν ἡδοναῖς εἶναι, καὶ τὰ ποιητικὰ τούτων κτᾶσθαι· τοὺς δὲ σπουδαίους πόνῳ, καὶ τοῖς ποιητικοῖς τούτου περιπίπτειν. Ἔτι δὲ ὁ φοβούμενος τοὺς πόνους, φοβηθήσεταί ποτε καὶ τῶν ἐσομένων τι ἐν τῷ κόσμῳ· τοῦτο δὲ ἤδη ἀσεβές. Ὅ τε διώκων τὰς ἡδονὰς, οὐκ ἀφέξεται τοῦ ἀδικεῖν· τοῦτο δὲ ἐναργῶς ἀσεβές. , Χρὴ δὲ, πρὸς ἃ ἡ κοινὴ φύσις ἐπίσης ἔχει (οὐ γὰρ ἂν ἀμφότερα ἐποίει, εἰ μὴ πρὸς ἀμφότερα ἐπίσης εἶχε), πρὸς ταῦτα καὶ τοὺς τῇ φύσει βουλομένους ἕπεσθαι, ὁμογνώμονας ὄντας, ἐπίσης διακεῖσθαι. Ὅστις οὖν πρὸς πόνον καὶ ἡδονὴν, ἢ θάνατον καὶ ζωὴν, ἢ δόξαν καὶ ἀδοξίαν, οἷς ἐπίσης ἡ τῶν ὅλων φύσις χρῆται, αὐτὸς οὐκ ἐπίσης ἔχει, δῆλον, ὡς ἀσεβεῖ. Λέγω δὲ τὸ χρῆσθαι τούτοις ἐπίσης τὴν κοινὴν φύσιν, ἀντὶ τοῦ συμβαίνειν ἐπίσης κατὰ τὸ ἑξῆς γινομένοις, καὶ ἐπιγινομένοις ὁρμῇ τινι ἀρχαίᾳ τῆς προνοίας, καθ' ἣν ἀπό τινος ἀρχῆς ὥρμησεν ἐπὶ τήνδε τὴν διακόσμησιν, συλλαβοῦσά τινας λόγους τῶν ἐσομένων, καὶ δυνάμεις γονίμους ἀφορίσασα ὑποστάσεών τε, καὶ μεταβολῶν, καὶ διαδοχῶν τοιούτων.

β'. Χαριεστέρου μὲν ἂν ἦν ἀνδρὸς, ἄγευστον ψευδολογίας καὶ πάσης ὑποκρίσεως καὶ τρυφῆς καὶ τύφου γενόμενον, ἐξ ἀνθρώπων ἀπελθεῖν. Τὸ δ' οὖν κορεσθέντα γε τούτων ἀποπνεῦσαι, δεύτερος πλοῦς. Ἢ προῄρησαι προσκαθῆσθαι τῇ κακίᾳ, καὶ οὔπω σε οὐδὲν ἡ πεῖρα πείθει φεύγειν ἐκ τοῦ λοιμοῦ; λοιμὸς γὰρ διαφθορὰ διανοίας πολλῷ γε μᾶλλον, ἤπερ ἡ τοῦ περικεχυμένου τούτου πνεύματος τοιάδε τις δυσκρασία καὶ τροπή. Αὕτη μὲν γὰρ ζώων λοιμὸς, καθὸ ζῶά ἐστιν· ἐκείνη δὲ ἀνθρώπων, καθὸ ἄνθρωποί εἰσιν.

γ'. Μὴ καταφρόνει θανάτου, ἀλλὰ εὐαρέστει αὐτῷ, ὡς καὶ τούτου ἑνὸς ὄντος, ὧν ἡ φύσις ἐθέλει. Οἷον γάρ ἐστι τὸ νεάσαι, καὶ τὸ γηράσαι, καὶ τὸ αὐξῆσαι, καὶ

LIBER IX.

1. Qui injuste agit, impie agit. Quum enim natura universitatis animalia ratione prædita, alterum alterius causa, condiderit, ut sibi pro cujusque dignitate mutuo prosint, minime vero noceant, is, qui hujus voluntatem transgreditur, manifesto impius est in antiquissimam deorum. Porro qui mentitur, impie agit adversus eandem deam : nam universi natura est natura eorum, quæ sunt; ea autem, quæ sunt, ad ea, quæ exsistunt, familiari ratione se habent; præterea et veritas ipsa appellatur et omnium, quæ vera sunt, prima est causa. Qui igitur volens mentitur, impie agit, quatenus eo, quod decipit, impie agit : qui nolens, quatenus cum universi natura dissentit et quatenus mundi ordinem turbat, contra naturam ejus pugnans; contra hanc enim pugnat, qui suapte sponte ad ea fertur, quæ veris contraria sunt : præsidia enim veritatis a natura acceperat, quibus neglectis jam falsa a veris discernere nequit. At vero etiam is, qui voluptates ut bona sectatur et dolores ut mala fugit, impie agit. Nam necesse est, ut ita adfectus sæpe de communi natura conqueratur, quasi nulla dignitatis ratione habita improbis ac probis aliquid tribuat, quoniam improbi sæpe voluptatibus fruuntur, eaque possident, quibus voluptates parari possunt, probi contra in dolorem incidunt et in ea, quibus dolores creantur. Præterea qui dolorem timet, is etiam interdum aliquid eorum timebit, quæ in mundo futura sunt; atque hoc jam impium est. Et vero qui voluptates sectatur, ab injuste agendo non abstinebit; id autem aperte impium. Oportet vero ad quæ communis natura ex æquo se habet (non enim utrumque fecisset, si ad utrumque se non ex æquo habuisset), ad ea quoque ex æquo affectos esse eos, qui naturam, quippe cum ea consentientes, tanquam ducem sequi velint. Qui igitur ad dolorem et voluptatem, ad mortem et vitam, ad gloriam et infamiam, quibus ex æquo utitur universi natura, non ipse ex æquo affectus est, eum manifestum est impium esse. Dico autem, his ex æquo uti communem naturam, pro, hæc pariter accidere iis, quæ per necessariam rerum seriem fiunt et deinceps nascuntur antiquo quodam consilio Providentiæ, ex quo a principio quodam accessit ad hunc mundi ordinem condendum, conceptis quibusdam rerum futurarum rationibus et electis viribus genitalibus eorum, quæ sic subsistunt, mutantur, succedunt.

2. Elegantioris quidem foret hominis, expertem mendacii et omnis simulationis et luxus et fastus hac vita defungi; horum autem satietate affectum e vita migrare secunda navigatio. An vero malis assidere improbitati, et necdum experientia te movet, ut pestem fugias? pestis enim est corruptio mentis multo magis, quam hujus spiritus circumfusi intemperies quædam et mutatio. Hæc enim animalibus pestis, quatenus animalia sunt, illa hominum, quatenus homines sunt.

3. Mortem noli contemnere, sed læto animo eam excipe, ut quæ unum sit eorum, quæ natura vult. Cujusmodi enim generis est, puerum esse, senescere, adolescere, vigere,

τὸ ἀκμάσαι, καὶ ὀδόντας, καὶ γένειον, καὶ πολιὰς ἐνεγκεῖν, καὶ σπεῖραι, καὶ κυοφορῆσαι, καὶ ἀποκυῆσαι, καὶ τὰ ἄλλα τὰ φυσικὰ ἐνεργήματα, ὅσα αἱ τοῦ σοῦ βίου ὧραι φέρουσι, τοιοῦτο καὶ τὸ διαλυθῆναι. Τοῦτο μὲν οὖν κατὰ ἄνθρωπόν ἐστι λελογισμένον, μὴ ὁλοσχερῶς, μηδὲ ὠστικῶς, μηδὲ ὑπερηφάνως πρὸς τὸν θάνατον ἔχειν· ἀλλὰ περιμένειν ὡς μίαν τῶν φυσικῶν ἐνεργειῶν· ὡς νῦν περιμένεις, πότε ἔμβρυον ἐκ τῆς γαστρὸς τῆς γυναικός σου ἐξέλθῃ, οὕτως ἐκδέχεσθαι τὴν ὥραν, ἐν ᾗ τὸ ψυχάριόν σου τοῦ ἐλύτρου τούτου ἐκπεσεῖται. Εἰ δὲ καὶ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις, μάλιστά σε εὔκολον πρὸς τὸν θάνατον ποιήσει ἡ ἐπίστασις ἡ ἐπὶ τὰ ὑποκείμενα, ὧν μέλλεις ἀφίστασθαι, καὶ μεθ' οἵων ἠθῶν οὐκέτι ἔσται ἡ ψυχὴ συμπεφυρμένη. Προσκόπτεσθαι μὲν γὰρ αὐτοῖς ἥκιστα δεῖ, ἀλλὰ καὶ κήδεσθαι καὶ πρᾴως φέρειν· μεμνῆσθαι μέντοι, ὅτι οὐκ ἀπ' ἀνθρώπων ὁμοδογματούντων σοι ἡ ἀπαλλαγὴ ἔσται. Τοῦτο γὰρ μόνον, εἴπερ ἄρα, ἀνθεῖλκεν ἂν καὶ κατεῖχεν ἐν τῷ ζῆν, εἰ συζῆν ἐφεῖτο τοῖς τὰ αὐτὰ δόγματα περιπεποιημένοις. Νῦν δὲ ὁρᾷς, ὅσος ὁ κόπος ἐν τῇ διαφωνίᾳ τῆς συμβιώσεως, ὥστε εἰπεῖν, Θᾶττον ἔλθοις! ὦ θάνατε, μή που καὶ αὐτὸς ἐπιλάθωμαι ἐμαυτοῦ.

δ'. Ὁ ἁμαρτάνων, ἑαυτῷ ἁμαρτάνει· ὁ ἀδικῶν, ἑαυτὸν ἀδικεῖ, κακὸν ἑαυτὸν ποιῶν.

ε'. Ἀδικεῖ πολλάκις ὁ μὴ ποιῶν τι, οὐ μόνον ὁ ποιῶν τι.

ϛ'. Ἀρκεῖ ἡ παροῦσα ὑπόληψις καταληπτική, καὶ ἡ παροῦσα πρᾶξις κοινωνική, καὶ ἡ παροῦσα διάθεσις εὐαρεστικὴ πρὸς πᾶν τὸ παρὰ τὸ ἐκ τῆς αἰτίας συμβαῖνον.

ζ'. Ἐξαλεῖψαι φαντασίαν· στῆσαι ὁρμήν· σβέσαι ὄρεξιν· ἐφ' ἑαυτῷ ἔχειν τὸ ἡγεμονικόν.

η'. Εἰς μὲν τὰ ἄλογα ζῶα μία ψυχὴ διῄρηται· εἰς δὲ τὰ λογικὰ μία νοερὰ ψυχὴ μεμέρισται. Ὥσπερ καὶ μία γῆ ἐστιν ἁπάντων τῶν γεωδῶν, καὶ ἑνὶ φωτὶ ὁρῶμεν καὶ ἕνα ἀέρα ἀναπνέομεν, ὅσα ὁρατικὰ καὶ ἔμψυχα πάντα.

θ'. Ὅσα κοινοῦ τινος μετέχει, πρὸς τὸ ὁμογενὲς σπεύδει. Τὸ γεῶδες πᾶν ῥέπει ἐπὶ γῆν, τὸ ὑγρὸν πᾶν σύῤῥουν, τὸ ἀερῶδες ὁμοίως· ὥστε χρῄζειν τῶν διειργόντων καὶ βίας. Τὸ πῦρ ἀνωφερὲς μὲν διὰ τὸ στοιχειῶδες πῦρ· παντὶ δὲ πυρὶ ἐνταῦθα πρὸς τὸ συνεξάπτεσθαι ἕτοιμον οὕτως, ὥστε καὶ πᾶν τὸ ὑλικόν, τὸ ὀλίγῳ ξηρότερον, εὐέξαπτον εἶναι, διὰ τὸ ἔλαττον ἐγκεκρᾶσθαι αὐτῷ τὸ κωλυτικὸν πρὸς ἔξαψιν. Καὶ τοίνυν πᾶν τὸ κοινῆς νοερᾶς φύσεως μέτοχον πρὸς τὸ συγγενὲς ὁμοίως σπεύδει, ἢ καὶ μᾶλλον. Ὅσῳ γάρ ἐστι κρεῖττον παρὰ τὰ ἄλλα, τοσούτῳ καὶ πρὸς τὸ συγκιρνᾶσθαι τῷ οἰκείῳ καὶ συγχεῖσθαι ἑτοιμότερον. Εὐθὺς γοῦν ἐπὶ μὲν τῶν ἀλόγων εὑρέθη σμήνη, καὶ ἀγέλαι, καὶ νεοσσοτροφίαι, καὶ οἷον ἔρωτες· ψυχαὶ γὰρ ἤδη ἦσαν ἐνταῦθα, καὶ τὸ συναγωγὸν ἐν τῷ κρείττονι ἐπιτεινόμενον εὑρίσκετο, οἷον οὔτε ἐπὶ φυτῶν ἦν, οὔτε ἐπὶ λίθων, ἢ ξύλων. Ἐπὶ δὲ τῶν λογικῶν ζώων, πολιτεῖαι, καὶ φιλίαι, καὶ

dentire, pubescere, canescere, liberos procreare, utera ferre, parere et ceteri naturæ effectus, quos vitæ ætates adferunt, ejusmodi quoque est dissolvi. Est igitur hominis, qui rem reputavit, neque negligenter, neque violenter, neque fastuose adversus mortem se gerere, sed eam tanquam unam actionum naturalium exspectare; quemadmodum nunc exspectas, quando fœtus ex utero uxoris tuæ prodeat, sic tibi exspectanda hora, qua animula tua ex hoc involucro excidet. Si populare vis præceptum, quod cor tangat, facilem erga mortem te potissimum reddet, si consideraveris et, quales sint res subjectæ, a quibus te divelli oportebit, et quales mores, quibuscum animus tuus non amplius commistus erit. Iis tamen offendi neutiquam te oportet, sed eorum curam gerere, eosque placide ferre; nihilominus meminisse, tibi ab hominibus non idem tecum sentientibus esse discedendum : hoc enim solum, si quidem forte, nos retraheret et in vita retineret, si cum hominibus eadem decreta probantibus vivere liceret. Nunc autem vides, quanta molestia ex dissensu eorum, quicum vivitur, oriatur, ut dicere libeat : « Citius veni, Mors, ne quando etiam mei ipsius obliviscar ! »

4. Qui peccat, sibi peccat; qui injuriam facit, sibi ipsi injuriam facit, quippe se ipsum malum reddens.

5. Sæpe injuste agit, qui nihil facit, non is modo, qui aliquid facit.

6. Sufficit, quæ præsens est, comprehensibilis notio, et, quæ præsens est, actio societati conveniens, et quæ præsens est, animi affectio boni consulens, quidquid ex causa *externa* proficiscitur.

7. Visum tollere : exstinguere animi impetum : principalem animi partem in sua potestate habere.

8. In brutas animantes una divisa est anima; animalibus ratione præditis unus animus rationalis distributus est, quemadmodum omnium terrenorum una est terra, et una luce cernimus unumque aerem spiramus, quotquot visus et animæ participes sumus.

9. Quæcunque aliquid commune habent, ad id, quod ejusdem generis est, tendunt. Terrenum omne vergit ad terram, in idem confluit humidum omne et pariter aerium, ut opus sit rebus dirimentibus ac vi. Ignis quidem sursum fertur; omni tamen cum igne, qui hic est, tam promptus accendi, ut etiam materia quævis, quæ paulo siccior est, facile accendatur, quoniam minus habet admistum, quo incendium prohibeatur. Itaque quidquid communis naturæ rationalis particeps est, pariter ad cognatum tendit, vel magis etiam. Quanto enim ceteris præstantius est, tanto paratius est, cum affinibus misceri et confundi. Hinc, ne longius abeam, in iis, quæ ratione carent, reperiuntur examina, greges, pullorum nutricationes et quasi amores : animæ enim jam in his insunt, et in præstantiore reperitur intensius congregandi studium, quale neque in plantis inest neque in lapidibus lignisve. In animalibus vero ratione præditis civitates, amicitiæ, familiæ, conventus atque in

οἶκοι, καὶ σύλλογοι, καὶ ἐν πολέμοις συνθῆκαι καὶ ἀνοχαί. Ἐπὶ δὲ τῶν ἔτι κρειττόνων, καὶ ἐκ διεστηκότων τρόπον τινὰ ἕνωσις ὑπέστη, οἷα ἐπὶ τῶν ἄστρων. Οὕτως ἡ ἐπὶ τὸ κρεῖττον ἐπανάβασις συμπάθειαν καὶ ἐν διεστῶσιν ἐργάσασθαι δύναται. Ὅρα οὖν τὸ νῦν γινόμενον. Μόνα γὰρ τὰ νοερὰ νῦν ἐπιλέλησται τῆς πρὸς ἄλληλα σπουδῆς καὶ συννεύσεως, καὶ τὸ σύῤῥουν ὧδε μόνον οὐ βλέπεται. Ἀλλ' ὅμως καίτοι φεύγοντες περικαταλαμβάνονται· κρατεῖ γὰρ ἡ φύσις· ὄψει δὲ, ὃ λέγω, παραφυλάσσων. Θᾶσσον γοῦν εὕροι τις ἂν γεῶδές τι μηδενὸς γεώδους προσαπτόμενον, ἤπερ ἄνθρωπον ἀνθρώπου ἀπεσχισμένον.

ι'. Φέρει καρπὸν καὶ ἄνθρωπος, καὶ θεὸς, καὶ ὁ κόσμος· ἐν ταῖς οἰκείαις ὥραις ἕκαστα φέρει. Εἰ δὲ ἡ συνήθεια κυρίως τέτριφεν ἐπὶ ἀμπέλου καὶ τῶν ὁμοίων, οὐδὲν τοῦτο. Ὁ λόγος δὲ καὶ κοινὸν καὶ ἴδιον καρπὸν ἔχει· καὶ γίνεται ἐξ αὐτοῦ τοιαῦθ' ἕτερα, ὁποῖόν τι αὐτός ἐστιν ὁ λόγος.

ια'. Εἰ μὲν δύνασαι, μεταδίδασκε· εἰ δὲ μὴ, μέμνησο, ὅτι πρὸς τοῦτο ἡ εὐμένειά σοι δέδοται. Καὶ οἱ θεοὶ δὲ εὐμενεῖς τοῖς τοιούτοις εἰσίν· εἰς ἔνια δὲ καὶ συνεργοῦσιν, εἰς ὑγίειαν, εἰς πλοῦτον, εἰς δόξαν· οὕτως εἰσὶ χρηστοί. Ἔξεστι δὲ καὶ σοί· ἢ εἰπὲ, τίς ὁ κωλύων;

ιβ'. Πόνει, μὴ ὡς ἄθλιος, μηδὲ ὡς ἐλεεῖσθαι, ἢ θαυμάζεσθαι θέλων· ἀλλὰ μόνον ἓν θέλε, κινεῖσθαι καὶ ἴσχεσθαι, ὡς ὁ πολιτικὸς λόγος ἀξιοῖ.

ιγ'. Σήμερον ἐξῆλθον πάσης περιστάσεως· μᾶλλον δὲ ἐξέβαλον πᾶσαν περίστασιν· ἔξω γὰρ οὐκ ἦν, ἀλλὰ ἔνδον ἐν ταῖς ὑπολήψεσι.

ιδ'. Πάντα ταῦτα, συνήθη μὲν τῇ πείρᾳ· ἐφήμερα δὲ τῷ χρόνῳ· ῥυπαρὰ δὲ τῇ ὕλῃ. Πάντα νῦν, οἷα ἐπ' ἐκείνων, οὓς κατεθάψαμεν.

ιε'. Τὰ πράγματα ἔξω θυρῶν ἕστηκεν, αὐτὰ ἐφ' ἑαυτῶν, μηδὲν μήτε εἰδότα περὶ αὐτῶν, μήτε ἀποφαινόμενα. Τί οὖν ἀποφαίνεται περὶ αὐτῶν; τὸ ἡγεμονικόν.

ις'. Οὐκ ἐν πείσει, ἀλλ' ἐνεργείᾳ, τὸ τοῦ λογικοῦ πολιτικοῦ ζώου κακὸν καὶ ἀγαθὸν, ὥσπερ οὐδὲ ἡ ἀρετὴ καὶ κακία αὐτοῦ ἐν πείσει, ἀλλὰ ἐνεργείᾳ.

ιζ'. Τῷ ἀναῤῥιφέντι λίθῳ οὐδὲν κακὸν τὸ κατενεχθῆναι, οὐδὲ ἀγαθὸν τὸ ἀνενεχθῆναι.

ιη'. Δίελθε ἔσω εἰς τὰ ἡγεμονικὰ αὐτῶν, καὶ ὄψει, τίνας κριτὰς φοβῇ, οἵους καὶ περὶ αὐτῶν ὄντας κριτάς.

ιθ'. Πάντα ἐν μεταβολῇ. Καὶ αὐτὸς σὺ ἐν διηνεκεῖ ἀλλοιώσει, καὶ κατά τι φθορᾷ· καὶ ὁ κόσμος δὲ ὅλος.

κ'. Τὸ ἄλλου ἁμάρτημα ἐκεῖ δεῖ καταλιπεῖν.

κα'. Ἐνεργείας ἀπόληξις, ὁρμῆς (καὶ) ὑπολήψεως παῦλα, καὶ οἷον θάνατος, οὐδὲν κακόν. Μέτιθι νῦν ἐπὶ ἡλικίαν, οἷον τὴν παιδικὴν, τὴν τοῦ μειρακίου, τὴν νεότητα, τὸ γῆρας· καὶ γὰρ τούτων πᾶσα μεταβολὴ, θάνατος. Μήτι δεινόν; μέτιθι νῦν ἐπὶ βίον τὸν ὑπὸ τῷ πάππῳ, εἶτα τὸν ὑπὸ τῇ μητρὶ, εἶτα τὸν ὑπὸ τῷ πατρί·

bellis fœdera pacis atque induciæ. In iis, quæ etiam præstantiora sunt, vel ex longe distantibus quodammodo unitas subsistit, ut in astris. Sic adscensus ad id, quod præstantius est, etiam inter distantia mutuam affectionem efficere potest. Jam vide id, quod nunc fit. Sola enim animalia ratione prædita nunc mutui illius inter se studii et inclinationis oblita sunt, atque confluxus ille hic tantum non cernitur. Veruntamen, fugiant licet homines, undique occupantur; prævalet enim natura, atque diligenti contemplatione id, quod dico, comperies. Etenim facilius reperies terrenum aliquid nulli rei terrenæ adjunctum, quam hominem ab homine prorsus avulsum.

10. Fert fructus et homo et deus et mundus, et suo quodvis tempore fert, nam quod usu loquendi hoc de vite aliisque hujus generis tritum est, id nihil ad rem. Ratio autem fructum habet et communem et proprium ejusmodi, cujusmodi est ipsa ratio.

11. Si potes, meliora edoce: sin minus, memento, ad hoc tibi datam esse mansuetudinem. Etiam dii talibus propitii sunt iisque adeo ad quædam consequenda, ut sanitatem, divitias, gloriam, opem ferunt. Idem tibi licet: aut dic, quis sit, qui te prohibeat.

12. Laborem sustine neque ut miser, neque ut qui miserationem aut admirationem consequi velis, sed unum modo tibi sit propositum, moveri et motum sistere, prout ratio civilis exigit.

13. Hodie ex omni, in qua versabar, molestia evasi, vel potius omnem molestiam foras ejeci; extra enim non erat, sed intra in opinionibus.

14. Omnia hæc, familiaria usu, caduca tempore, sordida materia. Omnia nunc talia, qualia sub iis, quos sepelivimus.

15. Res foris consistunt, ipsæ apud se, nec quidquam sui norunt nec pronunciant. Quid igitur de iis pronunciat? Principatus animi.

16. Non in affectione, sed in actione bonum et malum animalis ratione præditi et ad civitatem nati situm est, quemadmodum virtus ejus ac vitiositas non in affectione, sed in actione cernitur.

17. Lapidi projecto nec malum deorsum ferri, nec bonum, sursum ferri.

18. Demitte te penitus in eorum mentes, et videbis, quales judices metuas et quales in sua ipsorum causa sint judices.

19. Omnia in mutatione. Atque tu ipse in perpetua variatione et quodammodo corruptione, atque totus mundus.

20. Alterius peccatum ibi relinquendum.

21. Cessatio actionis, quies et, ut ita dicam, mors conatus et opinionis, nil mali. Transi jam ad ætates, pueritiam puta, adolescentiam, juventutem, senectutem, etiam harum omnis mutatio mors, sed numquid mali? Transi porro ad vitam sub avo, deinde sub matre, post sub patre transactam, et quum multas alias vicissitudines ac mutationes

καὶ ἄλλας δὲ πολλὰς διαφορὰς καὶ μεταβολὰς καὶ ἀπολήξεις εὑρίσκων, ἐπερώτα σεαυτὸν, Μήτι δεινόν; Οὕτως τοίνυν οὐδὲ ἡ τοῦ ὅλου βίου λῆξις, καὶ παῦλα, καὶ μεταβολή.

κβ'. Τρέχε ἐπὶ τὸ σεαυτοῦ ἡγεμονικὸν καὶ τὸ τοῦ ὅλου, καὶ τὸ τούτου. Τὸ μὲν σεαυτοῦ, ἵνα νοῦν δικαϊκὸν αὐτὸ ποιήσῃς· τὸ δὲ τοῦ ὅλου, ἵνα συμμνημονεύσῃς τίνος μέρος εἶ· τὸ δὲ τούτου, ἵνα ἐπιστήσῃς, πότερον ἄγνοια ἢ γνώμη, καὶ ἅμα λογίσῃ, ὅτι συγγενές.

κγ'. Ὥσπερ αὐτὸς σὺ πολιτικοῦ συστήματος συμπληρωτικὸς εἶ, οὕτως καὶ πᾶσα πρᾶξίς σου συμπληρωτικὴ ἔστω ζωῆς πολιτικῆς. Ἥτις ἐὰν οὖν πρᾶξίς σου μὴ ἔχῃ τὴν ἀναφορὰν, εἴτε προσεχῶς, εἴτε πόῤῥωθεν, ἐπὶ τὸ κοινωνικὸν τέλος, αὕτη διασπᾷ τὸν βίον, καὶ οὐκ ἐᾷ ἕνα εἶναι, καὶ στασιώδης ἐστὶν, ὥσπερ ἐν δήμῳ ὁ τὸ καθ' αὑτὸν μέρος διϊστάμενος ἀπὸ τῆς τοιαύτης συμφωνίας.

κδ'. Παιδίων ὀργαὶ, καὶ παίγνια, καὶ πνευμάτια νεκροὺς βαστάζοντα, ὥστε ἐναργέστερον προσπεσεῖν τὸ τῆς Νεκυίας.

κε'. Ἴθι ἐπὶ τὴν ποιότητα τοῦ αἰτίου, καὶ ἀπὸ τοῦ ὑλικοῦ αὐτὸ περιγράψας θέασαι· εἶτα καὶ τὸν χρόνον περιόρισον, ὅσον πλεῖστον ὑφίστασθαι πέφυκε τοῦτο τὸ ἰδίως ποιόν.

κς'. Ἀνέτλης μυρία, διὰ τὸ μὴ ἀρκεῖσθαι τῷ σῷ ἡγεμονικῷ, ποιοῦντι ταῦτα οἷα κατεσκεύασται· ἀλλὰ ἅλις.

κζ'. Ὅταν ἄλλος ψέγῃ σε, ἢ μισῇ, ἢ τοιαῦτά τινα ἐκφωνῶσιν, ἔρχου ἐπὶ τὰ ψυχάρια αὐτῶν, δίελθε ἔσω, καὶ ἴδε, ποῖοί τινές εἰσιν. Ὄψει, ὅτι οὐ δεῖ σε σπᾶσθαι, ἵνα τούτοις τί ποτε περὶ σοῦ δοκῇ. Εὐνοεῖν μέντοι αὐτοῖς δεῖ· φύσει γὰρ φίλοι. Καὶ οἱ θεοὶ δὲ παντοίως αὐτοῖς βοηθοῦσι, δι' ὀνείρων, διὰ μαντειῶν, πρὸς ταῦτα μέντοι, πρὸς ἃ ἐκεῖνοι διαφέρονται.

κη'. Ταὐτά ἐστι τὰ τοῦ κόσμου ἐγκύκλια, ἄνω κάτω, ἐξ αἰῶνος εἰς αἰῶνα. Καὶ ἤτοι ἐφ' ἕκαστον ὁρμᾷ ἡ τοῦ ὅλου διάνοια· ὅπερ εἰ ἔστιν, ἀποδέχου τὸ ἐκείνης ὁρμητόν· ἢ ἅπαξ ὥρμησε, τὰ δὲ λοιπὰ κατ' ἐπακολούθησιν καὶ τὶ ἔν τίνι· τρόπον γάρ τινα ἄτομοι, ἢ ἀμερῆ· τὸ δὲ ὅλον, εἴτε θεὸς, εὖ ἔχει πάντα· εἴτε τὸ εἰκῆ, μὴ καὶ σὺ εἰκῇ. Ἤδη πάντας ἡμᾶς γῆ καλύψει· ἔπειτα καὶ αὐτὴ μεταβαλεῖ· κἀκεῖνα εἰς ἄπειρον μεταβαλεῖ· καὶ πάλιν ἐκεῖνα εἰς ἄπειρον. Τὰς γὰρ ἐπικυματώσεις τῶν μεταβολῶν καὶ ἀλλοιώσεων ἐνθυμούμενός τις, καὶ τὸ τάχος, παντὸς θνητοῦ καταφρονήσει.

κθ'. Χειμάῤῥους ἡ τῶν ὅλων αἰτία· πάντα φέρει. Ὡς εὐτελῆ δὲ καὶ τὰ πολιτικὰ ταῦτα, καὶ, ὡς οἴεται, φιλοσόφως πρακτικὰ ἀνθρώπια! μυξῶν μεστά. Ἄνθρωπε, τί ποτε; ποίησον, ὃ νῦν ἡ φύσις ἀπαιτεῖ. Ὅρμησον, ἐὰν διδῶται, καὶ μὴ περιβλέπου, εἴ τις εἴσεται· μηδὲ τὴν Πλάτωνος πολιτείαν ἔλπιζε· ἀλλὰ ἀρκοῦ, εἰ τὸ βραχύτατον πρόεισι· καὶ τούτου αὐτοῦ τὴν ἔκβασιν, ὡς οὐ μικρόν τί ἐστι, διανοοῦ. Δόγμα γὰρ αὐτῶν τίς

et cessationes deprehendis, te ipse interroga, « Numquid mali? » Sic igitur neque totius vitæ cessatio et quies et mutatio.

22. Recurrito ad mentem et tuam ipsius et universi et hujus *hominis;* ad tuam, ut justitiæ studiosam eam reddas; ad universi, ut recorderis, cujus sis pars; ad alterius, ut intelligas, num ignorantia sit an consilium, et simul cogites, esse tibi cognatam.

23. Ut tu ipse ad corpus quoddam civile complendum natus es, sic singulæ actiones tuæ ad vitam civilem complendam faciant. Quæcunque igitur actio tua nec propiorem nec remotiorem rationem ad communem illum finem habet, ea vitam tuam divellit, neque eam unam esse patitur, sed seditiosa est instar ejus, qui in populo suæ factionis homines a tali consensu dirimit.

24. Puerorum rixæ et ludicra, et animulæ cadavera gestantes, ita ut vehementius nos afficiat illud Νεκυίας.

25. Accede ad qualitatem formæ eamque a materia secretam contemplare : deinde longissimum tempus definito, quod res hujus singularis qualitatis per naturam suam durare possit.

26. Perpessus es innumerabilia idcirco, quod non eras contenta mente tua faciente ea, ad quæ comparata est. Verum satis!

27. Ubi alii te reprehendunt aut oderunt aut tales contra te clamores tollunt, adi animulas eorum, penitus te intus in eas demitte, et vide, quales quidam sint. Videbis, non oportere te angi, ut illis nescio quæ opinio de te sit. Bene tamen iis velle debes : natura enim amici *estis*. Quin etiam dii iis omni ratione consulunt, per somnia, per vaticinia, in iis tamen rebus, quæ iis curæ sunt.

28. Eædem sunt mundi vicissitudines in orbem redeuntes sursum, deorsum, a sæculo in sæculum. Atque aut ad singula quæque consilium capit universi mens; quod si est, excipe id, quod ex ejus consilio proficiscitur; aut semel consilium cepit, reliqua autem per consequentiam fiunt et unum * quodammodo conficiunt; aut atomi et corpora individua. Summa autem rei : si deus est, omnia bene habent; si omnia consilio carent, noli tu sine consilio agere. Jamjam terra nos omnes occultabit; mox et ipsa mutabitur. et illa mutabuntur in infinitum, et rursus hæc in infinitum. Nam si quis hos mutationum et vicissitudinum fluctus eorumque celeritatem consideraverit, omnia mortalia contemnet.

29. Torrens est rerum omnium natura : omnia rapit. Quam viles quoque civilis peritiæ studiosi et, ut opinantur, ex philosophiæ præscriptis negotia gerentes homunciones! quam plena muco! Mi homo, quid tandem? fac quod nunc natura abs te postulat. Aggredere rem, si tibi datur, neque circumspice, an quis cogniturus sit; et noli sperare Platonis rempublicam, sed sufficiat tibi, si vel minimum res procedit, et cogita, hunc ipsum eventum non parvi quid esse. Decreta enim eorum quis mutare potest? sine horum autem

μεταβάλλει; χωρὶς δὲ δογμάτων μεταβολῆς τί ἄλλο, ἢ δουλεία στενόντων, καὶ πείθεσθαι προσποιουμένων; Ὕπαγε νῦν, καὶ Ἀλέξανδρον, καὶ Φίλιππον, καὶ Δημήτριον τὸν Φαληρέα μοι λέγε. Ὄψονται, εἰ εἶδον, τί ἡ κοινὴ φύσις ἤθελε, καὶ ἑαυτοὺς ἐπαιδαγώγησαν· εἰ δὲ ἐτραγῴδησαν, οὐδείς με καταχέκρικε μιμεῖσθαι. Ἁπλοῦν ἐστι καὶ αἰδῆμον τὸ φιλοσοφίας ἔργον· μή με ἄπαγε ἐπὶ σεμνοτυφίαν.

λ'. Ἄνωθεν ἐπιθεωρεῖν ἀγέλας μυρίας, καὶ τελετὰς μυρίας, καὶ πλοῦν παντοῖον ἐν χειμῶσι καὶ γαλήναις, καὶ διαφορὰς γινομένων, συγγινομένων, ἀπογινομένων. Ἐπινόει δὲ καὶ τὸν ὑπ' ἄλλων πάλαι βεβιωμένον βίον, καὶ τὸν μετά σε βιωθησόμενον, καὶ τὸν νῦν ἐν τοῖς βαρβάροις ἔθνεσι βιούμενον· καὶ ὅσοι μὲν οὐδὲ ὄνομά σου γινώσκουσιν, ὅσοι δὲ τάχιστα ἐπιλήσονται, ὅσοι δὲ, ἐπαινοῦντες ἴσως νῦν σε, τάχιστα ψέξουσι· καὶ ὡς οὔτε ἡ μνήμη ἀξιόλογόν γε, οὔτε ἡ δόξα, οὔτε ἄλλο τι τὸ σύμπαν.

λα'. Ἀταραξία μὲν, περὶ τὰ ἀπὸ τῆς ἐκτὸς αἰτίας συμβαίνοντα. Δικαιότης δὲ, ἐν τοῖς παρὰ τὴν ἐκ σοῦ αἰτίαν ἐνεργουμένοις· τουτέστιν, ὁρμὴ καὶ πρᾶξις, καταλήγουσα ἐπ' αὐτὸ τὸ κοινωνικῶς πρᾶξαι, ὡς τοῦτό σοι κατὰ φύσιν ὄν.

λϐ'. Πολλὰ περισσὰ περιελεῖν τῶν ἐνοχλούντων σοι δύνασαι, ὅλα ἐπὶ τῇ ὑπολήψει σου κείμενα· καὶ πολλὴν εὐρυχωρίαν περιποιήσεις ἤδη σεαυτῷ, τῷ τὸν ὅλον κόσμον περιειληφέναι τῇ γνώμῃ, καὶ τὸν ἀΐδιον αἰῶνα περινοεῖν, καὶ τὴν τοῦ κατὰ μέρος ἑκάστου πράγματος ταχεῖαν μεταβολὴν ἐπινοεῖν, ὡς βραχὺ μὲν τὸ ἀπὸ γενέσεως μέχρι διαλύσεως, ἀχανὲς δὲ τὸ πρὸ τῆς γενέσεως, ὡς καὶ τὸ μετὰ τὴν διάλυσιν ὁμοίως ἄπειρον.

λγ'. Πάντα, ὅσα ὁρᾷς, τάχιστα φθαρήσεται καὶ οἱ φθειρόμενα αὐτὰ ἐπιδόντες, τάχιστα καὶ αὐτοὶ φθαρήσονται. Καὶ ὁ ἐσχατόγηρως ἀποθανὼν εἰς ἴσον καταστήσεται τῷ προώρῳ.

λδ'. Τίνα τὰ ἡγεμονικὰ τούτων, καὶ περὶ οἷα ἐσπουδάκασι, καὶ δι' οἷα φιλοῦσι καὶ τιμῶσι! Γυμνὰ νόμιζε βλέπειν τὰ ψυχάρια αὐτῶν. Ὅτε δοκοῦσι βλάπτειν ψέγοντες, ἢ ὠφελεῖν ἐξυμνοῦντες, ὅση οἴησις!

λε'. Ἡ ἀποβολὴ οὐδὲν ἄλλο ἐστὶν ἢ μεταβολή. Τούτῳ δὲ χαίρει ἡ τῶν ὅλων φύσις, καθ' ἣν πάντα καλῶς γίνεται, (καὶ) ἐξ αἰῶνος ὁμοειδῶς ἐγίνετο, καὶ εἰς ἄπειρον τοιαῦθ' ἕτερα ἔσται. Τί οὖν λέγεις; ὅτι ἐγίνετό τε πάντα, καὶ πάντα ἀεὶ κακῶς ἔσται, καὶ οὐδεμία ἄρα δύναμις ἐν τοσούτοις θεοῖς ἐξευρέθη ποτὲ ἡ διορθώσουσα ταῦτα, ἀλλὰ κατακέκριται ὁ κόσμος ἐν ἀδιαλείπτοις κακοῖς συνέχεσθαι;

λς'. Τὸ σαπρὸν τῆς ἑκάστῳ ὑποκειμένης ὕλης, ὕδωρ, κόνις, ὀστάρια, γράσος· ἢ πάλιν, πῶροι γῆς τὰ μάρμαρα· καὶ ὑποστάθμαι ὁ χρυσὸς, ὁ ἄργυρος· καὶ τριχία ἡ ἐσθής· καὶ αἷμα ἡ πορφύρα· καὶ τὰ ἄλλα πάντα τοιαῦτα. Καὶ τὸ πνευματικὸν δὲ ἄλλο τοιοῦτον, ἐκ τούτων εἰς ταῦτα μεταβάλλον.

λζ'. Ἅλις τοῦ ἀθλίου βίου, καὶ γογγυσμοῦ, καὶ πι-

mutatione, quid aliud, quam servitus ingemiscentium et persuasum habere simulantium? I nunc, et Alexandrum, Philippum, Demetrium Phalereum mihi narra! Viderint, an, quid natura communis vellet, intellexerint et se ipsi sub disciplina tenuerint. Si vero tragicorum more egerunt, nemo me, ut eos imitarer, damnavit. Simplex est et verecundum philosophiæ opus: noli me ad fastum gravitate tectum abducere.

30. E superiore loco intueri greges innumerabiles, cærimonias innumerabiles et navigationis genus omne in tempestatibus et maris tranquillitate, et rerum præteritarum, præsentium et decedentium differitates. Contemplare vero etiam vitam dudum sub aliis transactam, et post te transigendam eamque, quæ nunc in barbaris gentibus degitur, et quam multi sint, qui ne nomen quidem tuum norint, quam multi, qui ejus mox obliviscentur, quam multi, qui quum nunc fortasse te laudent, mox vituperaturi sint, atque nec memoriam, nec gloriam neque aliud quidvis ullius pretii esse.

31. Tranquillitas mentis in iis, quæ ab externa causa proficiscuntur. Justitia in iis actionibus, quarum tu ipse es in causa, hoc est, agendi impetus et actio, quibus hic tantum finis propositus est, ut id, quod societati prosit, facias, ut quod naturæ tuæ consentaneum sit.

32. Ex iis, quæ tibi molestiam creant, multa supervacanea tollere potes, quippe quæ tota in opinione tua sita sint: atque amplum liberumque spatium tibi comparabis, si totum mundum mente complexus fueris et æternum ævum consideraveris et singulatim celerrimam omnium rerum mutationem contemplatus fueris, quam breve sit inter ortum et dissolutionem temporis spatium, quam immensum contra, quod ortum præcessit, quam infinitum pariter id, quod dissolutionem sequetur.

33. Omnia, quæ vides, brevi corrumpentur, et hæc qui corrumpi vident, et ipsi brevi corrumpentur, et qui extrema confectus senectute moritur, in idem redigetur cum eo, qui immaturus obiit.

34. Quales sunt horum mentes! quibus rebus studuerunt, quas ob causas diligunt et colunt! Nudas eorum animulas intueri adsuesce. Quando vel vituperando nocere vel laudando prodesse sibi videntur, quanta opinatio!

35. Amissio nihil aliud est, nisi mutatio. Hac autem gaudet universi natura, secundum quam omnia bene fiunt, ab æterno eadem ratione facta sunt et in infinitum alia ejusdem generis erunt. Quid igitur dicis? Omnia facta esse, omniaque semper futura esse male, et nullam in tot diis unquam facultatem esse repertam, quæ ea corrigeret, sed mundum ejus infelicitatis damnatum esse, ut perpetuis malis affligatur?

36. Putredo materiæ cuique rei substratæ: aqua, pulvis, ossicula, fœtor: rursus calli terræ, marmora; aurum et argentum, fæces; pili, vestis; sanguis, purpura; et reliqua omnia ejusdem generis. Etiam animula aliud ejusmodi, ex aliis in alia transiens.

37. Jam satis miseræ vitæ est et murmurationis et scurri-

θηκισμοῦ. Τί ταράσσῃ; τί τούτων καινόν; τί σε ἐξίστησι; τὸ αἴτιον; ἴδε αὐτό. Ἀλλ' ἡ ὕλη; ἴδε αὐτήν. Ἔξω δὲ τούτων οὐδέν ἐστιν· ἀλλὰ καὶ πρὸς τοὺς θεοὺς ἤδη ποτὲ ἁπλούστερος καὶ χρηστότερος γένου. Ἴσον τὸ ἑκατὸν ἔτεσι καὶ τὸ τρισὶ ταῦτα ἱστορῆσαι.

λη'. Εἰ μὲν ἥμαρτεν, ἐκεῖ τὸ κακόν. Τάχα δ' οὐχ ἥμαρτεν.

λθ'. Ἤτοι ἀπὸ μιᾶς πηγῆς νοερᾶς πάντα, ὡς ἑνὶ σώματι, ἐπισυμβαίνει, καὶ οὐ δεῖ τὸ μέρος τοῖς ὑπὲρ τοῦ ὅλου γινομένοις μέμφεσθαι· ἢ ἄτομοι, καὶ οὐδὲν ἄλλο, ἢ κυκεὼν καὶ σκεδασμός. Τί οὖν ταράσσῃ; Τῷ ἡγεμονικῷ λέγεις. Τέθνηκας, ἔφθαρσαι, ὑποκρίνῃ, τεθηρίωσαι, συναγελάζῃ, βόσκῃ;

μ'. Ἤτοι οὐδὲν δύνανται οἱ θεοί, ἢ δύνανται. Εἰ μὲν οὖν μὴ δύνανται, τί εὔχῃ; εἰ δὲ δύνανται, διὰ τί οὐχὶ μᾶλλον εὔχῃ διδόναι αὐτοὺς τὸ μήτε φοβεῖσθαί τι τούτων, μήτε ἐπιθυμεῖν τινος τούτων, μήτε λυπεῖσθαι ἐπί τινι τούτων μᾶλλον, ἤπερ τὸ μὴ παρεῖναί τι τούτων, ἢ τὸ παρεῖναι; πάντως γάρ, εἰ δύνανται συνεργεῖν ἀνθρώποις, καὶ εἰς ταῦτα δύνανται συνεργεῖν. Ἀλλὰ ἴσως ἐρεῖς, ὅτι « Ἐπ' ἐμοὶ αὐτὰ οἱ θεοὶ ἐποίησαν. » Εἶτα, οὐ κρεῖσσον χρῆσθαι τοῖς ἐπὶ σοὶ μετ' ἐλευθερίας, ἢ διαφέρεσθαι πρὸς τὰ μὴ ἐπὶ σοὶ μετὰ δουλείας καὶ ταπεινότητος; τίς δέ σοι εἶπεν, ὅτι οὐχὶ καὶ εἰς τὰ ἐφ' ἡμῖν οἱ θεοὶ συλλαμβάνουσιν; Ἄρξαι γοῦν περὶ τούτων εὔχεσθαι, καὶ ὄψει. Οὗτος εὔχεται· Πῶς κοιμηθῶ μετ' ἐκείνης! σύ· Πῶς μὴ ἐπιθυμήσω τοῦ κοιμηθῆναι μετ' ἐκείνης! Ἄλλος· Πῶς στερηθῶ ἐκείνου! σύ· Πῶς μὴ χρῄζω τοῦ στερηθῆναι! Ἄλλος· Πῶς μὴ ἀποβάλω τὸ τεκνίον! σύ· Πῶς μὴ φοβηθῶ ἀποβαλεῖν! Ὅλως (δὲ) ὧδε ἐπίτρεψον τὰς εὐχάς, καὶ θεώρει, τί γίνεται.

μα'. Ὁ Ἐπίκουρος λέγει, ὅτι ἐν τῇ νόσῳ οὐχ ἦσάν μοι αἱ ὁμιλίαι περὶ τῶν τοῦ σωματίου παθῶν, οὐδὲ πρὸς τοὺς εἰσιόντας τοιαῦτά τινα, φησίν, ἐλάλουν· ἀλλὰ τὰ προηγούμενα φυσιολογῶν διετέλουν, καὶ πρὸς αὐτῷ τούτῳ ὤν, πῶς ἡ διάνοια συμμεταλαμβάνουσα τῶν ἐν τῷ σαρκιδίῳ τοιούτων κινήσεων ἀταρακτῇ, τὸ ἴδιον ἀγαθὸν τηροῦσα. Οὐδὲ τοῖς ἰατροῖς ἐμπαρεῖχον, φησί, καταφρυάττεσθαι, ὥς τι ποιοῦσιν, ἀλλ' ὁ βίος ἤγετο εὖ καὶ καλῶς. Ταὐτὰ οὖν ἐκείνῳ, ἐν νόσῳ, ἐὰν νοσῇς, καὶ ἐν ἄλλῃ τινὶ περιστάσει· τὸ γὰρ μὴ ἀφίστασθαι φιλοσοφίας ἐν οἷς δήποτε τοῖς προσπίπτουσι, μηδὲ τῷ ἰδιώτῃ καὶ ἀφυσιολόγῳ συμφλυαρεῖν, πάσης αἱρέσεως κοινόν, πρὸς μόνῳ (δὲ) νῦν τῷ πρασσομένῳ εἶναι, καὶ τῷ ὀργάνῳ, δι' οὗ πράσσει.

μβ'. Ὅταν τινὸς ἀναισχυντίᾳ προσκόπτῃς, εὐθὺς πυνθάνου σεαυτοῦ, Δύνανται οὖν ἐν τῷ κόσμῳ ἀναίσχυντοι μὴ εἶναι; οὐ δύνανται. Μὴ οὖν ἀπαίτει τὸ ἀδύνατον. Εἷς γὰρ καὶ οὗτός ἐστιν ἐκείνων τῶν ἀναισχύντων, οὓς ἀνάγκη ἐν τῷ κόσμῳ εἶναι. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ πανούργου, καὶ ἐπὶ τοῦ ἀπίστου, καὶ παντὸς τοῦ ὁτιοῦν ἁμαρτάνοντος, ἔστω σοι πρόχειρον. Ἅμα γὰρ τῷ ὑπομνησθῆναι, ὅτι τὸ γένος τῶν τοιούτων ἀδύνατόν ἐστι μὴ ὑπάρχειν, εὐμενέστερος ἔσῃ πρὸς

litatis! Quid perturbaris? quid in his novi? Quid te percellit? num forma? vide eam! num materia? vide eam! Præter has autem nihil est. Quin etiam erga deos fac tandem aliquando simplicior fias ac melior. Perinde est centum ac tribus annis hæc contemplari.

38. Si quis peccavit, ibi malum est; fortasse tamen non peccavit.

39. Vel ab una mente, quasi fonte communi, tanquam uni corpori, eveniunt omnia, nec par est, partem queri de iis, quæ in commodum totius eveniunt, vel atomi et nihil aliud nisi confusio et dissipatio fortuita. Quid igitur perturbaris? Menti * dic: Mortua es, corrupta es, simulas, efferata es, pecudis more congrederis et pasceris.

40. Aut nihil possunt dii aut possunt. Si igitur nihil possunt, cur precaris? si possunt, cur non potius eos precibus rogas, ut tibi dent, ne quid horum extimescas aut cupias neque tali re doleas, quam ut horum aliquid vel absit vel adsit? Omnino enim, si hominibus auxilium præstare possunt, in talibus quoque id possunt. Verum fortasse dices : « Hæc dii in mea potestate posuere. » Itane vero præstat, iis, quæ tui sunt arbitrii, cum libertate uti, quam ea, quæ tui arbitrii non sunt, animo servili et abjecto curare? Quis tamen tibi dixit, deos nobis non ad ea quoque, quæ in nostra potestate sunt, opem ferre? Hæc igitur ab iis precari incipe, et videbis. Alius precatur: utinam mihi contingat concubitus cum illa! Tu : utinam non appetam illius concubitum! Alius : utinam eo priver! Tu : utinam non opus habeam eo privari! Alius : utinam filiolum non amittam! Tu : utinam non metuam amittere! Huc omnino verte vota tua, et vide, quid futurum sit.

41. Epicurus, Quum ægrotarem, inquit, non sermones mihi erant cum iis, qui me invisebant, de corporis affectionibus neque de rebus istiusmodi cum iis, ait, colloquebar; sed perpetuo ea, quæ cœpta erant, de natura rerum disserebam, et in eo ipso occupatus eram, quomodo mens, quamquam istiusmodi in corpusculo motuum particeps, tamen, suum bonum servans, imperturbata staret; neque medicis, inquit, occasionem præbebam sese jactandi, quasi magni quid facerent, sed vita et bene et beate agebatur. Eadem, quæ ille, *tu quoque fac* in morbo, cum ægrotas, et in quacunque alia molestia: nam a philosophia non deficere neque cum indocto et naturæ rerum ignaro garrire, id omnibus philosophorum sectis commune est, sed in ea tantum re, quæ nunc in manibus est, occupari atque instrumento, quo hæc res perficitur.

42. Quum alicujus impudentia offenderis, statim te interroga, « fierine igitur potest, ut in mundo non sint impudentes? » non potest. Noli ergo postulare, quod fieri nequit : nam hic quoque unus est illorum impudentium, quos in mundo esse necesse est. Idem vero et de versuto et infido et quolibet vitioso in promptu tibi sit; simulatque enim recordatus fueris, fieri non posse, quin talium hominum genus sit, singulis eorum te æquiorem præbebis. Utile

τοὺς καθ' ἕνα. Εὔχρηστον δὲ κἀκεῖνο εὐθὺς ἐννοεῖν, τίνα ἔδωκεν ἡ φύσις τῷ ἀνθρώπῳ ἀρετὴν πρὸς τοῦτο τὸ ἁμάρτημα. Ἔδωκε γάρ, ὡς ἀντιφάρμακον, πρὸς μὲν τὸν ἀγνώμονα τὴν πρᾳότητα, πρὸς δὲ ἄλλον ἄλλην τινὰ δύναμιν. Ὅλως δὲ ἔξεστί σοι μεταδιδάσκειν τὸν πεπλανημένον· πᾶς γὰρ ὁ ἁμαρτάνων ἀφαμαρτάνει τοῦ προκειμένου, καὶ πεπλάνηται. Τί δὲ καὶ βέβλαψαι; εὑρήσεις γὰρ μηδένα τούτων, πρὸς οὓς καὶ παροξύνῃ, πεποιηκότα τι τοιοῦτον, ἐξ οὗ ἡ διάνοιά σου χείρων ἔμελλε γενήσεσθαι· τὸ δὲ κακόν σου καὶ τὸ βλαβερὸν ἐνταῦθα πᾶσαν τὴν ὑπόστασιν ἔχει. Τί δὲ κακὸν ἢ ξένον γέγονεν, εἰ ὁ ἀπαίδευτος τὰ τοῦ ἀπαιδεύτου πράσσει; ὅρα, μὴ σεαυτῷ μᾶλλον ἐγκαλεῖν ὀφείλῃς, ὅτι οὐ προσεδόκησας τοῦτον τοῦτο ἁμαρτήσεσθαι. Σὺ γὰρ καὶ ἀφορμὰς ἐκ τοῦ λόγου εἶχες πρὸς τὸ ἐνθυμηθῆναι, ὅτι εἰκός ἐστι τοῦτον τοῦτο ἁμαρτήσεσθαι, καὶ ὅμως ἐπιλαθόμενος θαυμάζεις, εἰ ἡμάρτηκε. Μάλιστα δέ, ὅταν ὡς ἀπίστῳ, ἢ ἀχαρίστῳ μέμφῃ, εἰς ἑαυτὸν ἐπιστρέφου. Προδήλως γὰρ σὸν τὸ ἁμάρτημα, εἴτε περὶ τοῦ τοιαύτην [τὴν] διάθεσιν ἔχοντος ἐπίστευσας, ὅτι τὴν πίστιν φυλάξει, εἴτε τὴν χάριν διδοὺς, μὴ καταληκτικῶς ἔδωκας, μηδὲ ὥστε ἐξ αὐτῆς τῆς σῆς πράξεως εὐθὺς ἀπειληφέναι πάντα τὸν καρπόν. Τί γὰρ πλέον θέλεις εὖ ποιήσας ἄνθρωπον; οὐκ ἀρκῇ τούτῳ, ὅτι κατὰ φύσιν τὴν σήν τι ἔπραξας, ἀλλὰ τούτου μισθὸν ζητεῖς; ὡς εἰ ὁ ὀφθαλμὸς ἀμοιβὴν ἀπῄτει, ὅτι βλέπει, ἢ οἱ πόδες, ὅτι βαδίζουσιν. Ὥσπερ γὰρ ταῦτα πρὸς τόδε τι γέγονεν, ἅπερ κατὰ τὴν ἰδίαν κατασκευὴν ἐνεργοῦντα ἀπέχει τὸ ἴδιον· οὕτως καὶ ὁ ἄνθρωπος εὐεργετικὸς πεφυκώς, ὁπόταν τι εὐεργετικὸν, ἢ ἄλλως εἰς τὰ μέσα συνεργητικὸν πράξῃ, πεποίηκε, πρὸς ὃ κατεσκεύασται, καὶ ἔχει τὸ ἑαυτοῦ.

ΒΙΒΛΙΟΝ Ι.

α'. Ἔσῃ ποτὲ ἆρ', ὦ ψυχή, ἀγαθή, καὶ ἁπλῆ, καὶ μία, καὶ γυμνή, φανερωτέρα τοῦ περικειμένου σοι σώματος; γεύσῃ ποτὲ ἄρα τῆς φιλητικῆς καὶ στερκτικῆς διαθέσεως; Ἔσῃ ποτὲ ἄρα πλήρης, καὶ ἀνενδεής, καὶ οὐδὲν ἐπιποθοῦσα, οὐδὲ ἐπιθυμοῦσα οὐδενὸς, οὔτε ἐμψύχου, οὔτε ἀψύχου, πρὸς ἡδονῶν ἀπολαύσεις; οὐδὲ χρόνου, ἐν ᾧ ἐπὶ μακρότερον ἀπολαύσεις; οὐδὲ τόπου ἢ χώρας, ἢ ἀέρων εὐκαιρίας, οὐδὲ ἀνθρώπων εὐαρμοστίας; Ἀλλὰ ἀρκεσθήσῃ τῇ παρούσῃ καταστάσει, καὶ ἡσθήσῃ τοῖς παροῦσι πᾶσι, καὶ συμπείσεις σεαυτὴν, ὅτι πάντα σοι πάρεστι, πάντα σοι εὖ ἔχει, καὶ παρὰ τῶν θεῶν πάρεστι, καὶ εὖ ἕξει, ὅσα φίλον αὐτοῖς, καὶ ὅσα μέλλουσι δώσειν ἐπὶ σωτηρίᾳ τοῦ τελείου ζώου, τοῦ ἀγαθοῦ, καὶ δικαίου, καὶ καλοῦ, καὶ γεννῶντος πάντα καὶ συνέχοντος, καὶ περιέχοντος, καὶ περιλαμβάνοντος διαλυόμενα εἰς γένεσιν ἑτέρων ὁμοίων; Ἔσῃ ποτὲ ἄρα τοιαύτη, οἵα θεοῖς τε καὶ ἀνθρώποις οὕτω συμπολιτεύεσθαι, ὡς μήτε μέμφεσθαί τι αὐτοῖς, μήτε καταγινώσκεσθαι ὑπ' αὐτῶν;

β'. Παρατήρει, τί σου ἡ φύσις ἐπιζητεῖ, ὡς ὑπὸ

vero etiam illud est, statim cogitare, quam natura homini virtutem dederit contra hoc peccatum; nam dedit, tanquam remedium, contra ingratum mansuetudinem, contra alium aliam quandam facultatem. Omnino autem tibi licet, meliora edocere eum, qui deceptus est; quisquis enim peccat, a fine sibi proposito aberrat et deceptus est. Quidnam vero damni tibi illatum est? neminem enim eorum, quibus irasceris, quidquam fecisse reperies, quo mens tua pejor reddatur; atque in eo tamen omne malum ac damnum tuum consistit. Quid vero novi aut insoliti fit, ubi indoctus id, quod indocti est, facit. Vide, ne potius te ipsum reprehendere debeas, qui non exspectaveris, fore, ut is hoc peccatum committeret · Nam tu, quamquam ratione nactus eras occasiones cogitandi, credibile esse, hunc ita esse peccaturum, tamen ejus oblitus eum deliquisse miraris. Potissimum autem, ubi aliquem ut infidum aut ingratum accusas, in te ipsum descende. Manifesto enim peccatum tuum est, sive, quoniam hominem ita affectum fidem tibi servaturum esse credidisti, sive, quoniam, beneficium quum dares, non simpliciter dedisti, nec tanquam qui ex ipsa actione omnem ejus fructum perciperes. Quid vero, beneficio in alterum collato, plus requiris? nonne sufficit tibi, quod naturæ tuæ convenienter aliquid egisti, sed hujus mercedem postulas? perinde atque si oculus idcirco, quod videt, mercedem postularet, aut pedes, quod ambulant. Quemadmodum enim hæc facta sunt ad munus aliquod, quo quum pro naturæ suæ conditione funguntur, habent, quod ipsorum est: sic etiam homo, utpote ad bene faciendum natus, si in alios beneficium contulit, aut iisdem auxilium præstitit in rebus mediis, fecit id, ad quod natus est, et, quod suum est, obtinuit.

LIBER X.

1. Erisne tandem aliquando, mi anime, bonus, et simplex, et unus, et nudus, et corpore, quod te circumdat, perlucidior? gustabisne tandem affectionem ad amorem et pietatem proclivem? Erisne tandem plenus et nullius rei indigens et nihil ulterius desiderans, nihili amplius appetens neque animati neque inanimati, quo voluptatibus fruaris? nec temporis, in quo diutius fruaris, nec loci aut regionis aut blandæ aeris * temperiei, aut hominum consensus? sed ea, quæ nunc est, conditione contentus delectaberis præsentibus ac persuasum habebis, omnia (quæ) tibi adsunt, bene tibi habere et a diis profecta esse et bene habitura esse, quæcunque illis visa erunt et quæcunque daturi sunt ad salutem illius vivæ naturæ perfectæ et bonæ et justæ et honestæ et omnia gignentis et continentis et ambientis et complectentis, quæ, ut alia similia inde oriantur, dissolvuntur? Erisne tandem talis, qui cum diis hominibusque in tali societatis communione vivas, ut neque quidquam in iis reprehendas neque ab iis condemneris?

2. Observa, quid natura tua requirat, quatenus natura

φύσεως μόνον διοικουμένου· εἶτα ποίει αὐτὸ καὶ προσίεσο, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαί σου ἡ ὡς ζώου φύσις. Ἑξῆς δὲ παρατηρητέον, τί ἐπιζητεῖ σου ἡ ὡς ζώου φύσις. Καὶ πᾶν τοῦτο παραληπτέον, εἰ μὴ χεῖρον μέλλει διατίθεσθαι ἡ ὡς ζώου λογικοῦ φύσις. Ἔστι δὲ τὸ λογικὸν εὐθὺς καὶ πολιτικόν. Τούτοις δὴ κανόσι χρώμενος, μηδὲν περιεργάζου.

tantum regitur: id deinde fac et admitte, nisi natura tua, qua animal es, eo deterius se habitura sit. Deinceps observandum, quid natura tua, qua animal es, requirat. Atque id omne admittendum, nisi natura tua, qua animal es ratione præditum, eo deterius se habitura sit. Quod autem naturæ, idem quoque civitati convenit. His jam regulis utens ne ulla in re curiosius agas.

γ'. Πᾶν τὸ συμβαῖνον ἤτοι οὕτως συμβαίνει, ὡς πέφυκας αὐτὸ φέρειν, ἢ ὡς οὐ πέφυκας αὐτὸ φέρειν. Εἰ μὲν οὖν συμβαίνει σοι, ὡς πέφυκας φέρειν, μὴ δυσχέραινε· ἀλλ' ὡς πέφυκας, φέρε. Εἰ δὲ, ὡς μὴ πέφυκας φέρειν, μὴ δυσχέραινε· φθαρήσεται γάρ σε ἀπαναλῶσαν. Μέμνησο μέντοι, ὅτι πέφυκας φέρειν πᾶν, περὶ οὗ ἐπὶ τῇ ὑπολήψει ἐστὶ τῇ σῇ, φορητὸν καὶ ἀνεκτὸν αὐτὸ ποιῆσαι, κατὰ φαντασίαν τοῦ συμφέρειν, ἢ καθήκειν σεαυτῷ τοῦτο ποιεῖν.

3. Quidquid contingit, ita contingit, ut tu id ferre natus es, aut ut non natus es id ferre. Quod si tibi contingit, ut natus es ferre, noli indignari, sed, ut natus es, perfer; sin, ut non natus es ferre, noli gravari; peribit enim quum te consumpserit. Memento tamen, te natum esse ad quidvis ferendum, quod ut tolerabile facias, in tua opinione situm est, si cogitaveris, id tibi conducere aut tui esse officii, ut id facias.

δ'. Εἰ μὲν σφάλλεται, διδάσκειν εὐμενῶς, καὶ τὸ παρορώμενον δεικνύναι. Εἰ δὲ ἀδυνατεῖς, σεαυτὸν αἰτιᾶσθαι, ἢ μηδὲ σεαυτόν.

4. Si quis fallitur, benevole eum doce et errorem indica. Si non potes, te culpa ipsum, aut ne te ipsum quidem.

ε'. Ὅ τι ἄν σοι συμβαίνῃ, τοῦτό σοι ἐξ αἰῶνος προκατεσκευάζετο· καὶ ἡ ἐπιπλοκὴ τῶν αἰτίων συνέκλωθε τήν τε σὴν ὑπόστασιν ἐξ ἀϊδίου, καὶ τὴν τούτου σύμβασιν.

5. Quidquid tibi contingit, id tibi ab æterno destinatum erat, et complexa causarum series ab infinito hoc conjunxerat, ut et tu esses et hoc tibi contingeret.

ϛ'. Εἴτε ἄτομοι, εἴτε φύσις, πρῶτον κείσθω, ὅτι μέρος εἰμὶ τοῦ ὅλου, ὑπὸ φύσεως διοικουμένου· ἔπειτα, ὅτι ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη. Τούτων γὰρ μεμνημένος, καθότι μὲν μέρος εἰμὶ, οὐδενὶ δυσαρεστήσω τῶν ἐκ τοῦ ὅλου ἀπονεμομένων· οὐδὲν γὰρ βλαβερὸν τῷ μέρει, ὃ τῷ ὅλῳ συμφέρει. Οὐ γὰρ ἔχει τι τὸ ὅλον, ὃ μὴ συμφέρει ἑαυτῷ· πασῶν μὲν φύσεων κοινὸν ἐχουσῶν τοῦτο, τῆς δὲ τοῦ κόσμου προσειληφυίας τὸ μηδὲ ὑπό τινος ἔξωθεν αἰτίας ἀναγκάζεσθαι βλαβερόν τι ἑαυτῇ γεννᾷν. Κατὰ μὲν δὴ τὸ μεμνῆσθαι, ὅτι μέρος εἰμὶ ὅλου τοῦ τοιούτου, εὐαρεστήσω παντὶ τῷ ἀποβαίνοντι. Καθόσον δὲ ἔχω πως οἰκείως πρὸς τὰ ὁμογενῆ μέρη, οὐδὲν πράξω ἀκοινώνητον· μᾶλλον δὲ στοχάσομαι τῶν ὁμογενῶν, καὶ πρὸς τὸ κοινῇ συμφέρον πᾶσαν ὁρμὴν ἐμαυτοῦ ἄξω, καὶ ἀπὸ τοὐναντίου ἀπάξω. Τούτων δὲ οὕτω περαινομένων, ἀνάγκη τὸν βίον εὐροεῖν· ὡς ἂν καὶ πολίτου βίον εὔρουν ἐπινοήσειας, προϊόντος διὰ πράξεων τοῖς πολίταις λυσιτελῶν, καὶ ὅπερ ἂν ἡ πόλις ἀπονέμῃ, τοῦτο ἀσπαζομένου.

6. Sive atomi, sive natura, primum positum sit, me partem esse universi a natura administrati; deinde, me familiari quadam ratione cum partibus ejusdem generis conjunctum esse. Horum enim memor, quatenus pars sum, nihil ægre feram eorum, quæ mihi ab universo tributa sunt; nihil enim parti nocet, quod universo prodest. Non enim habet quidquam universum, quod ei non prosit, quum et omnes naturæ id commune habeant, et præterea universi natura id acceperit, ut non ab ulla causa externa cogatur ad id gignendum, quod ipsi noceat. Itaque quatenus recordabor, me hujusmodi universi partem esse, quidquid obtigerit, id gratum acceptumque habebo. Quatenus autem familiari quadam ratione cum partibus ejusdem generis conjunctus sum, nihil faciam communioni contrarium, sed consulam cognatis et omnem conatum ad id, quod societati communi prosit, dirigam et a contrario avertam. His ita peractis, vita prospere mihi fluat necesse est, quemadmodum vitam illius civis prospere fluere existimaris, qui per actiones civibus utiles procedit, et quodcunque civitas ei tribuat, libenter amplectitur.

ζ'. Τοῖς μέρεσι τοῦ ὅλου, ὅσα φύσει περιέχεται ὑπὸ τοῦ κόσμου, ἀνάγκη φθείρεσθαι· λεγέσθω δὲ τοῦτο σημαντικῶς τοῦ ἀλλοιοῦσθαι· εἰ δὲ φύσει κακόν τε καὶ ἀναγκαῖόν ἐστι τοῦτο αὐτοῖς, οὐκ ἂν τὸ ὅλον καλῶς διεξάγοιτο, τῶν μερῶν εἰς ἀλλοτρίωσιν ὄντων, καὶ πρὸς τὸ φθείρεσθαι διαφόρως κατεσκευασμένων. Πότερον γὰρ ἐπεχείρησεν ἡ φύσις αὐτὴ τὰ ἑαυτῆς μέρη κακοῦν, καὶ περιπτωτικὰ τῷ κακῷ, καὶ ἐξ ἀνάγκης ἔμπτωτα εἰς τὸ κακὸν ποιεῖν, ἢ ἔλαθεν αὐτὴν τοιάδε τινὰ γενόμενα; ἀμφότερα γὰρ ἀπίθανα. Εἰ δέ τις, καὶ ἀφέμενος τῆς φύσεως, κατὰ τὸ πεφυκέναι ταῦτα ἐξηγοῖτο, καὶ ὡς γελοῖον, ἅμα μὲν φάναι πεφυκέναι τὰ

7. Partibus universi iis omnibus, quæ natura tantum in mundo continentur, necesse est corrumpi. Dixeris sic ad graviter significandum « aliud atque aliud fieri. » Si autem natura et malum et necessarium iis hoc esset, universum non bene regeretur, partibus ejus in aliud atque aliud transeuntibus et ad corrumpendum varia ratione comparatis. Utrum vero natura ipsa consilium cepit, partibus suis damnum inferendi easque tales efficiendi, ut et fortuito et ex necessitate in malum incidant, an eam latuit, tales eas factas esse? utrumque enim incredibile. Quod si quis, etiam nulla naturæ ratione habita, id inde explicaret, quod hæ semel ita comparatæ essent, vel sic ridiculum foret dicere,

μέρη τοῦ ὅλου μεταβάλλειν, ἅμα δὲ ὡς ἐπί τινι τῶν παρὰ φύσιν συμβαινόντων θαυμάζειν, ἢ δυσχεραίνειν, ἄλλως τε καὶ τῆς διαλύσεως εἰς ταῦτα γινομένης, ἐξ ὧν ἕκαστον συνίσταται. Ἤτοι γὰρ σκεδασμὸς στοιχείων, ἐξ ὧν συνεκρίθη, ἢ τροπὴ, τοῦ μὲν στερεμνίου εἰς τὸ γεῶδες, τοῦ δὲ πνευματικοῦ εἰς τὸ ἀερῶδες· ὥστε καὶ ταῦτα ἀναληφθῆναι εἰς τὸν τοῦ ὅλου λόγον, εἴτε κατὰ περίοδον ἐκπυρουμένου, εἴτε ἀϊδίοις ἀμοιβαῖς ἀνανεουμένου. Καὶ τὸ στερέμνιον δὲ, καὶ τὸ πνευματικὸν μὴ φαντάζου τὸ ἀπὸ τῆς γενέσεως. Πᾶν γὰρ τοῦτο ἐχθὲς καὶ τρίτην ἡμέραν ἐκ τῶν σιτίων καὶ τοῦ ἑλκομένου ἀέρος τὴν ἐπιῤῥοὴν ἔλαβεν. Τοῦτο οὖν, ὃ ἔλαβε, μεταβάλλει, οὐχ ὃ ἡ μήτηρ ἔτεκεν. Ὑπόθου δ', ὅτι ἐκείνῳ σε λίαν προσπλέκει τῷ ἰδίως ποιῷ, οὐδὲν ὄντι οἶμαι πρὸς τὸ νῦν λεγόμενον.

η'. Ὀνόματα θέμενος σαυτῷ ταῦτα, ἀγαθὸς, αἰδήμων, ἀληθὴς, ἔμφρων, σύμφρων, ὑπέρφρων, πρόσεχε, μήποτε μετονομάζῃ· κἂν ἀπολλύῃς ταῦτα τὰ ὀνόματα, ταχέως ἐπάνιε ἐπ' αὐτά. Μέμνησο δὲ, ὅτι τὸ μὲν ἔμφρον ἐβούλετό σοι σημαίνειν τὴν ἐφ' ἕκαστα διαληπτικὴν ἐπίστασιν, καὶ τὸ ἀπαρενθύμητον· τὸ δὲ σύμφρον, τὴν ἑκούσιον ἀπόδεξιν τῶν ὑπὸ τῆς κοινῆς φύσεως ἀπονεμομένων· τὸ δὲ ὑπέρφρον, τὴν ὑπέρτασιν τοῦ φρονοῦντος μορίου ὑπὲρ λείαν ἢ τραχεῖαν κίνησιν τῆς σαρκὸς, καὶ τὸ δοξάριον, καὶ τὸν θάνατον, καὶ ὅσα τοιαῦτα. Ἐὰν οὖν διατηρῇς σεαυτὸν ἐν τούτοις τοῖς ὀνόμασι, μὴ γλιχόμενος τοῦ ὑπ' ἄλλων κατὰ ταῦτα ὀνομάζεσθαι, ἔσῃ ἕτερος, καὶ εἰς βίον εἰσελεύσῃ ἕτερον. Τὸ γὰρ ἔτι τοιοῦτον εἶναι, οἷος μέχρι νῦν γέγονας, καὶ ἐν βίῳ τοιούτῳ σπαράσσεσθαι καὶ μολύνεσθαι, λίαν ἐστὶν ἀναισθήτου καὶ φιλοψύχου, καὶ ὁμοίου τοῖς ἡμιβρώτοις θηριομάχοις, οἵτινες, μεστοὶ τραυμάτων καὶ λύθρου, παρακαλοῦσιν ὅμως εἰς τὴν αὔριον φυλαχθῆναι, παραβληθησόμενοι τοιοῦτοι τοῖς αὐτοῖς ὄνυξι καὶ δήγμασιν. Ἐμβίβασον οὖν σαυτὸν εἰς τὰ ὀλίγα ταῦτα ὀνόματα. Κἂν μὲν ἐπ' αὐτῶν μένειν δύνῃ, μένε, ὥσπερ εἰς Μακάρων τινὰς νήσους μετῳκισμένος· ἐὰν δὲ αἴσθῃ, ὅτι ἐκπίπτεις, καὶ οὐ περικρατεῖς, ἄπιθι θαῤῥῶν εἰς γωνίαν τινὰ, ὅπου κρατήσεις, ἢ καὶ παντάπασιν ἔξιθι τοῦ βίου, μὴ ὀργιζόμενος, ἀλλὰ ἁπλῶς, καὶ ἐλευθέρως, καὶ αἰδημόνως, ἕν γε τοῦτο μόνον πράξας ἐν τῷ βίῳ, τὸ οὕτως ἐξελθεῖν. Πρὸς μέντοι τὸ μεμνῆσθαι τῶν ὀνομάτων μεγάλως συλλήψεταί σοι, τὸ μεμνῆσθαι θεῶν, καὶ ὅτιπερ οὐ κολακεύεσθαι οὗτοι θέλουσιν, ἀλλὰ ἐξομοιοῦσθαι ἑαυτοῖς τὰ λογικὰ πάντα· καὶ εἶναι τὴν μὲν συκῆν τὰ συκῆς ποιοῦσαν, τὸν δὲ κύνα τὰ κυνὸς, τὴν δὲ μέλισσαν τὰ μελίσσης, τὸν δὲ ἄνθρωπον τὰ ἀνθρώπου.

θ'. Μῖμος, πόλεμος, πτοία, νάρκα, δουλεία, καθ' ἡμέραν ἀπαλείψεταί σου τὰ ἱερὰ ἐκεῖνα δόγματα, ὁπόσα ὁ φυσιολογητὸς φαντάζῃ καὶ παραπέμπεις. Δεῖ δὲ πᾶν οὕτω βλέπειν καὶ πράσσειν, ὥστε καὶ τὸ περιστατικὸν ἅμα συντελεῖσθαι, καὶ ἅμα τὸ θεωρητικὸν ἐνεργεῖσθαι, καὶ τὸ ἐκ τῆς περὶ ἑκάστων ἐπιστήμης

partes universi ita comparatas esse, ut mutarentur, simulque id, quasi aliquid, quod contra naturam eveniret, mirari aut id ægre ferre, quum præsertim in eadem dissolvantur singula, e quibus sunt composita; aut enim dissipatio atomorum est, aut mutatio et solidi quidem in terram, et spiritus in aerem, ita ut hæc quoque recipiantur in rationem universi, sive hoc intra certum temporis circuitum conflagrat, sive perpetuis vicissitudinibus renovatur. Quin ipsum illud solidum et spirabile noli putare idem, quod ab ortu fuit. Hoc enim quidquid est, heri et nudius tertius ex alimentis et aere, quem spiritus hausit, influxit. Id igitur, quod recepit, mutatur, non id, quod mater genuit. Fac autem, id te nimis annectere illi singulari modo affecto, nihil id revera obstare arbitror ei, quod nunc dixi.

8. Nomina adeptus viri boni, verecundi, veritatis studiosi, prudentis, concordis, magnanimi, cave ne aliis nominibus appelleris, et si hæc nomina amiseris, celeriter ad ea redi. Memento autem prudentiæ nomine tibi significari sedulam singularum rerum considerationem et diligenter institutam; concordiæ nomine spontaneam eorum receptionem, quæ a natura communi assignantur; magnanimitatis nomine intentionem partis intelligentis ejusque elationem supra levem asperumve carnis motum, et gloriolam et mortem et alia ejusmodi. Hæc igitur nomina si tibi servaveris, neque tamen admodum appetens, ut alii te illis appellent, alius eris et aliam inibis vitam. Talem enim esse, qualis adhuc fuisti, et in ejusmodi vita raptari et inquinari, hominis est prorsus sensu carentis et vitæ avidi et istorum bestiariorum similis, qui, quamquam vulneribus ac sanie repleti, ut in crastinum diem serventur, orant, utpote eodem in statu iisdem unguibus et morsibus objiciendi. In hæc igitur pauca nomina te recipe, et, si fieri potest, ut in iis maneas, mane, quasi in aliquas beatorum insulas trajectus; si iis te excidere easque non tueri te sentis, audacter abi in angulum aliquem, ubi ea tuearis, aut omnino e vita abi, neque tamen iratus, sed simplici, libero ac modesto animo, ut qui hoc unum saltem in vita egeris, quod ita decessisti. Ut autem illorum nominum memineris, utique magnum tibi erit auxilium, si deorum memor fueris, atque eos nolle, animalia ratione prædita ipsos adulari, sed velle, ut ea omnia sibi quam simillima fiant, ac ficum esse, quæ faciat, quæ ficus sint, et canem, quæ canis, et apem, quæ apis, et hominem, quæ hominis.

9. Mimus, bellum, terror, torpor, servitus quotidie delebunt illa sancta tua decreta.* Atque quam multa ratione a naturæ studio aliena imaginaris aut prætermittis! Omnia autem sic considerare et facere te oportet, ut et, quod præsens necessitas postulat, perficiatur, et facultas contemplandi exerceatur, et fiducia ex certa rei cujusque scientia orta

αὔθαδες σώζεσθαι, λανθάνον, οὐχὶ κρυπτόμενον. Πότε γὰρ ἁπλότητος ἀπολαύσεις; πότε δὲ σεμνότητος; πότε δὲ τῆς ἐφ' ἑκάστου γνωρίσεως, τί τε ἐστὶ κατ' οὐσίαν, καὶ τίνα χώραν ἔχει ἐν τῷ κόσμῳ, καὶ ἐπὶ πόσον πέφυκεν ὑφίστασθαι, καὶ ἐκ τίνων συγκέκριται, καὶ τίσι δύναται ὑπάρχειν, καὶ τίνες δύνανται αὐτὸ διδόναι τε καὶ ἀφαιρεῖσθαι.

ι'. Ἀράχνιον μυῖαν θηράσαν μέγα φρονεῖ, ἄλλος δὲ λαγίδιον, ἄλλος δὲ ὑποχῇ ἀφύην, ἄλλος δὲ συΐδια, ἄλλος δὲ ἄρκτους, ἄλλος Σαρμάτας. Οὗτοι γὰρ οὐ λῃσταὶ, ἐὰν τὰ δόγματα ἐξετάζῃς;

ια'. Πῶς εἰς ἄλληλα πάντα μεταβάλλει, θεωρητικὴν μέθοδον κτῆσαι, καὶ διηνεκῶς πρόσεχε, καὶ συγγυμνάσθητι περὶ τοῦτο τὸ μέρος. Οὐδὲν γὰρ οὕτω μεγαλοφροσύνης ποιητικόν. Ἐξεδύσατο τὸ σῶμα, καὶ ἐννοήσας, ὅτι ὅσον οὐδέπω πάντα ταῦτα καταλιπεῖν ἀπιόντα ἐξ ἀνθρώπων δεήσει, ἀνῆκεν ὅλον ἑαυτὸν, δικαιοσύνῃ μὲν εἰς τὰ ὑφ' ἑαυτοῦ ἐνεργούμενα, ἐν δὲ τοῖς ἄλλοις συμβαίνουσι, τῇ τῶν ὅλων φύσει. Τί δ' ἐρεῖ τις, ἢ ὑπολήψεται περὶ αὐτοῦ, ἢ πράξει κατ' αὐτοῦ, οὐδ' εἰς νοῦν βάλλεται, δύο τούτοις ἀρκούμενος αὐτὸς, δικαιοπραγεῖν τὸ νῦν πρασσόμενον, καὶ φιλεῖν τὸ νῦν ἀπονεμόμενον ἑαυτῷ· ἀσχολίας δὲ πάσας καὶ σπουδὰς ἀφῆκε, καὶ οὐδὲν ἄλλο βούλεται, ἢ εὐθεῖαν περαίνειν διὰ τοῦ νόμου, καὶ εὐθεῖαν περαίνοντι ἕπεσθαι τῷ θεῷ.

ιβ'. Τίς ὑπονοίας χρεία, παρὸν σκοπεῖν, τί δεῖ πραχθῆναι; κἂν μὲν συνορᾷς, εὐμενῶς, ἀμεταστρεπτὶ ταύτῃ χωρεῖν· ἐὰν δὲ μὴ συνορᾷς, ἐπέχειν, καὶ συμβούλοις τοῖς ἀρίστοις χρῆσθαι· ἐὰν δὲ ἕτερά τινα πρὸς ταῦτα ἀντιβαίνῃ, προϊέναι κατὰ τὰς παρούσας ἀφορμὰς λελογισμένως, ἐχόμενον τοῦ φαινομένου δικαίου. Ἄριστον γὰρ κατατυγχάνειν τούτου· ἐπεί τοι ἥ γε ἀπόπτωσις ἀπὸ τούτου ἔστω. Σχολαῖόν τι καὶ ἅμα εὐκίνητόν ἐστι, καὶ φαιδρὸν ἅμα καὶ συνεστηκὸς, ὁ τῷ λόγῳ κατὰ πᾶν ἑπόμενος.

ιγ'. Πυνθάνεσθαι ἑαυτοῦ, εὐθὺς ἐξ ὕπνου γινόμενον, μήτι διοίσει σοι, ἐὰν ὑπὸ ἄλλου γένηται τὰ δίκαια καὶ καλῶς ἔχοντα; οὐ διοίσει. Μήτι ἐπιλέλησαι, ὅτι οὗτοι οἱ ἐν τοῖς περὶ ἄλλων ἐπαίνοις καὶ ψόγοις φρυαττόμενοι, τοιοῦτοι μὲν ἐπὶ τῆς κλίνης εἰσὶ, τοιοῦτοι δὲ ἐπὶ τῆς τραπέζης, οἷα δὲ ποιοῦσιν, οἷα δὲ φεύγουσιν, οἷα δὲ διώκουσιν, οἷα δὲ κλέπτουσιν, οἷα δὲ ἁρπάζουσιν, οὐ χερσὶ καὶ ποσὶν, ἀλλὰ τῷ τιμιωτάτῳ ἑαυτῶν μέρει, ᾧ γίνεται, ὅταν θέλῃ (τις), πίστις, αἰδὼς, ἀλήθεια, νόμος, ἀγαθὸς δαίμων;

ιδ'. Τῇ πάντα διδούσῃ καὶ ἀπολαμβανούσῃ φύσει ὁ πεπαιδευμένος καὶ αἰδήμων λέγει· « Δὸς, ὃ θέλεις, ἀπόλαβε, ὃ θέλεις. » Λέγει δὲ τοῦτο οὐ καταθρασυνόμενος, ἀλλὰ πειθαρχῶν καὶ εὐνοῶν αὐτῇ.

ιε'. Ὀλίγον ἐστὶ τὸ ὑπολειπόμενον τοῦτο. Ζῆσον ὡς ἐν ὄρει. Οὐδὲν γὰρ διαφέρει, ἐκεῖ, ἢ ὧδε, ἐάν τις πανταχοῦ, ὡς ἐν πόλει, τῷ κόσμῳ. Ἰδέτωσαν, ἱστορησάτωσαν οἱ ἄνθρωποι ἄνθρωπον ἀληθινὸν κατὰ φύσιν

conservetur, latens quidem, nec vero abscondita. Quando enim simplicitate frueris? quando gravitate? quando cujusque rei cognitione, qualis per naturam suam sit, et quem locum in mundo occupet, et quamdiu pro natura sua perdurare possit, et e quibus conflata sit, et quibus subesse possit, et quinam eam et dare et auferre possint.

10. Aranea, musca capta, se effert; alius, ubi lepusculum, alius, quum reticulo apuam, alius, quum apros, alius, quum ursos, alius, quum Sarmatas cepit. Nonne enim etiam hi latrones, si decreta spectaveris?

11. Viam ac rationem contemplandi, quo modo cuncta inter se mutentur, comparatam habe, et semper iis adhibe atque in hac parte te exerce; nihil enim est, quod perinde magnum animum efficiat. Exuit corpus et quum reputaverit, jamjam ab hominibus discessurum se hæc omnia relinquere debere, totum se permisit justitiæ in iis rebus, quas ipse agit, et in iis, quæ accidunt, naturæ universi. Quid autem alii de ipso dicant aut opinentur aut contra ipsum faciant, id ne cogitat quidem, quippe his duobus contentus, ut id, quod nunc agat, juste agat, et id, quod nunc obtingat, libenter amplectatur : reliqua omnia negotia ac studia omisit nihilque aliud cupit quam ut recta via legi convenienter progrediatur et deum sequatur recta progredientem.

12. Quid suspicione opus est, quum considerare tibi liceat, quid sit agendum, et, quum id perspexeris, placide et constanter hac progredi; si non perspexeris, assensum sustinere et optimos quosque in consilium adhibere; si alia aliqua his obstiterint, pro iis, quæ nunc sunt, rerum opportunitatibus considerate progredi, ei, quod justum videtur, firmiter adhærentem. Optimum enim est, hoc consequi, quum certo ab hoc aberrare sit turpissimum. Quietus autem simul et agilis, alacris simul et compositus est, quisquis rationi in omnibus obsequitur.

13. Quamprimum e somno expergefactus es, te percontare numquid tua intersit, ut ab alio justa et honesta fiant. Nil interest. Numquid oblitus es, istos, qui aliis vel laudandis vel vituperandis tantopere se jactant, tales in lecto esse, tales ad mensam, qualia faciant, qualia fugiant, qualia sectentur, qualia furentur, qualia rapiant, non manibus pedibusque, sed pretiosissima sui ipsorum parte, qua, si quis velit, fides acquiratur, verecundia veritas, lex, genius bonus?

14. Naturæ pariter omnia danti ac recipienti probe institutus et verecundus homo : « da, inquit, quidquid vis; aufer quidquid vis! » Neque hoc dicit ferocia elatus, sed illi obtemperans et bene volens.

15. Parvum est, quod reliquum est. Vive ut in monte. Nihil enim refert, hic an illic, modo ubique, tanquam in urbe, sic in mundo. Videant, contemplentur homines ho-

ζῶντα. Εἰ μὴ φέρουσιν, ἀποκτεινάτωσαν. Κρεῖττον γὰρ, ἢ οὕτω ζῆν.

ιϛʹ. Μηκέθ' ὅλως περὶ τοῦ, οἷόν τινα εἶναι τὸν ἀγαθὸν ἄνδρα (δεῖ), διαλέγεσθαι, ἀλλὰ εἶναι τοιοῦτον.

ιζʹ. Τοῦ ὅλου αἰῶνος, καὶ τῆς ὅλης οὐσίας συνεχῶς φαντασία, καὶ ὅτι πάντα τὰ κατὰ μέρος, ὡς μὲν πρὸς οὐσίαν, κεγχραμίς· ὡς δὲ πρὸς χρόνον, τρυπάνου περιστροφή.

ιηʹ. Εἰς ἕκαστον τῶν ὑποκειμένων ἐφιστάντα, ἐπινοεῖν αὐτὸ ἤδη διαλυόμενον, καὶ ἐν μεταβολῇ, καὶ οἷον σήψει, ἢ σκεδάσει γινόμενον, ἢ καθότι ἕκαστον πέφυκεν ὥσπερ θνήσκειν.

ιθʹ. Οἷοί εἰσιν ἐσθίοντες, καθεύδοντες, ὀχεύοντες, ἀποπατοῦντες, τὰ ἄλλα. Εἶτα οἷοι ἀνδρονομούμενοι· καὶ γαυρούμενοι, ἢ χαλεπαίνοντες, καὶ ἐξ ὑπεροχῆς ἐπιπλήττοντες. Πρὸ ὀλίγου δὲ καὶ ἐδούλευον πόσοις, καὶ δι' οἷα· καὶ μετ' ὀλίγον ἐν τοιούτοις ἔσονται.

κʹ. Συμφέρει ἑκάστῳ, ὃ φέρει ἑκάστῳ ἡ τῶν ὅλων φύσις. Καὶ τότε συμφέρει, ὅτε ἐκείνη φέρει.

καʹ. « Ἐρᾷ μὲν ὄμβρου γαῖα· ἐρᾷ δὲ ὁ σεμνὸς αἰθήρ· » ἐρᾷ δὲ ὁ κόσμος ποιῆσαι, ὃ ἂν μέλλῃ γίνεσθαι. Λέγω οὖν τῷ κόσμῳ, ὅτι σοι συνερῶ. Μήτι δ' οὕτω κἀκεῖνο λέγεται, ὅτι « φιλεῖ τοῦτο γίνεσθαι; »

κβʹ. Ἤτοι ἐνταῦθα ζῇς, καὶ ἤδη εἴθικας· ἢ ἔξω ὑπάγεις, καὶ τοῦτο ἤθελες· ἢ ἀποθνήσκεις, καὶ ἀπελειτούργησας. Παρὰ δὲ ταῦτα οὐδέν. Οὐκοῦν εὐθύμει.

κγʹ. Ἐναργὲς ἔστω ἀεὶ τὸ, ὅτι τοιοῦτο ἐκεῖνο ὁ ἀγρός ἐστι· καὶ πῶς πάντα ἐστὶ ταὐτὰ ἐνθάδε τοῖς ἐν ἄκρῳ τῷ ὄρει, ἢ ἐπὶ τοῦ αἰγιαλοῦ, ἢ ὅπου θέλεις. Ἀντικρὺς γὰρ εὑρήσεις τὰ τοῦ Πλάτωνος· « σηκὸν ἐν ὄρει, φησὶ, (τὸ τεῖχος) περιβαλλόμενος, » καὶ « βδάλλων βοσκήματα. »

κδʹ. Τί ἐστί μοι τὸ ἡγεμονικόν μου; καὶ ποῖόν τι ἐγὼ αὐτὸ ποιῶ νῦν; καὶ πρὸς τί ποτε αὐτῷ νῦν χρῶμαι; μήτι κενὸν νοῦ ἐστι; μήτι ἀπόλυτον καὶ ἀπεσπασμένον κοινωνίας; μήτι προστετηκὸς καὶ ἀνακεκραμένον τῷ σαρκιδίῳ, ὥστε τούτῳ συντρέπεσθαι;

κεʹ. Ὁ τὸν κύριον φεύγων, δραπέτης· κύριος δὲ ὁ νόμος· καὶ ὁ παρανομῶν, δραπέτης. Ἅμα καὶ ὁ λυπούμενος, ἢ ὀργιζόμενος, ἢ φοβούμενος, ὃ βούλεταί τι γεγονέναι, ἢ γίνεσθαι, ἢ γενέσθαι τῶν ὑπὸ τοῦ τὰ πάντα διοικοῦντος τεταγμένων, ὅς ἐστι νόμος, νέμων, ὅσα ἑκάστῳ ἐπιβάλλει. Ὁ ἄρα φοβούμενος, ἢ λυπούμενος, ἢ ὀργιζόμενος, δραπέτης.

κϛʹ. Σπέρμα εἰς μήτραν ἀφεὶς ἀπεχώρησε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα ἐργάζεται, καὶ ἀποτελεῖ βρέφος· ἐξ οἵου οἷον; πάλιν τροφὴν διὰ φάρυγγος ἀφῆκε, καὶ λοιπὸν ἄλλη αἰτία παραλαβοῦσα, αἴσθησιν, καὶ ὁρμὴν, καὶ τὸ ὅλον, ζωὴν, καὶ ῥώμην, καὶ ἄλλα (ὅσα καὶ οἷα;) ποιεῖ. Ταῦτα οὖν τὰ ἐν τοιαύτῃ ἐγκαλύψει γινόμενα θεωρεῖν, καὶ τὴν δύναμιν οὕτως ὁρᾷν, ὡς καὶ τὴν βρίθουσαν, καὶ τὴν ἀνωφερῆ, ὁρῶμεν, οὐχὶ τοῖς ὀφθαλμοῖς, ἀλλ' οὐχ ἧττον ἐναργῶς.

κζʹ. Συνεχῶς ἐπινοεῖν, πῶς πάντα τοιαῦτα, ὁποῖα νῦν γίνεται, καὶ πρόσθεν ἐγίνετο· καὶ ἐπινοεῖν γενησό-

minem verum, naturæ convenienter viventem. Si eum non ferunt, occidant : nam id satius, quam sic vivere.

16. Omnino non amplius, de eo, qualem oporteat esse bonum virum, disserere, sed talem esse.

17. Totius ævi ac totius naturæ cogitatio crebro *tibi occurrat*, et omnia singulatim spectata, quod ad materiam attinet, granum, quod ad tempus, terebræ circum actionem.

18. Ad unamquamque rem animum advertens, eam considera ut jam dissolutam, et in mutatione et quasi putredine et dissipatione versantem, aut quatenus quasi ad moriendum nata sit.

19. Quales sint vescentes, dormientes; coeuntes, excernentes, reliqua. Deinde quales, ubi inflantur, efferantur, irascantur et quasi ex sublimiore loco increpent; paulo ante autem quam multis servirent et ob quas res. Et paulo post inter tales erunt.

20. Confert cuique, quod cuique fert natura universi, et tum confert, quam illa fert.

21. « Amat imbrem terra, amat sanctus æther. » Amat mundus facere, quidquid futurum est ut fiat. Dico igitur mundo : « idem, quod tu, ego amo. » Numquid etiam sic dicitur illud, « amat hoc fieri? »

22. Aut hic vivis et adsuevisti : aut foras abisti et hoc volebas : aut moreris et munere defunctus es. Præter hæc nihil est. Esto igitur bono animo.

23. Semper tibi evidens sit, hujuscemodi aliquid esse agrum : et ut omnia hic eadem sint, quæ in vertice montis aut in littore aut ubicumque demum vis. Omnino enim vera reperies hæc Platonis : « ut septo, inquit, in monte mœnibus circumdatus » et « mulgens pecudem ».

24. Quidnam mihi est pars mea principalis? qualem ego eam nunc præsto? quam ad rem ea nunc utor? numquid intelligentia caret? num a communi societate soluta est et divulsa? num carunculæ ita adfixa et admixta, ut simul cum ea convertatur?

25. Qui dominum fugit, fugitivus est : dominus autem est lex, et, hanc qui transgreditur, fugitivus. Neque vero minus qui dolet aut irascitur aut metuit,* quippe qui aversetur, factum esse aut fieri aut futurum esse aliquid eorum, quæ ab universitatis administratore constituta sunt, qui ipse lex est, cuique, quod suum est, tribuens. Ergo : qui aut metuit aut dolet aut irascitur, fugitivus est.

26. Hic discedit misso in uterum semine : id deinde alia natura excipiens excolit et absolvit fœtum — ex quali qualem! Alimentum rursus per gulam demisit, quod alia deinceps causa excipiens sensum inde et motum et omnino vitam ac vires — quot et quales res! efficit. Hæc igitur, quæ tanta caligine involuta fiunt, contemplari oportet, et vim illam sic cernere, ut eam, qua res vel deorsum vel sursum feruntur, cernimus, non oculis quidem, nec tamen minus clare.

27. Semper considerare, quomodo, qualia nunc fiunt, talia etiam antea facta esse omnia, et considerare, *talia*

μενα. Καὶ ὅλα δράματα, καὶ σκηνὰς ὁμοειδεῖς, ὅσα ἐκ πείρας τῆς σῆς, ἢ τῆς πρεσβυτέρας ἱστορίας ἔγνως, πρὸ ὀμμάτων τίθεσθαι· οἷον αὐλὴν ὅλην Ἀδριανοῦ, καὶ αὐλὴν ὅλην Ἀντωνίνου, καὶ αὐλὴν ὅλην Φιλίππου, Ἀλεξάνδρου, Κροίσου· πάντα γὰρ ἐκεῖνα τοιαῦτα ἦν, μόνον δι' ἑτέρων.

κη'. Φαντάζου πάντα τὸν ἐφ' ᾡτινιοῦν λυπούμενον, ἢ δυσαρεστοῦντα, ὅμοιον τῷ θυομένῳ χοιριδίῳ καὶ ἀπολακτίζοντι καὶ κεκραγότι· ὅμοιος καὶ ὁ οἰμώζων ἐπὶ τοῦ κλινιδίου μόνος σιωπῇ τὴν ἔνδεσιν ἡμῶν· καὶ ὅτι μόνῳ τῷ λογικῷ ζώῳ δέδοται, τὸ ἑκουσίως ἕπεσθαι τοῖς γινομένοις· τὸ δὲ ἕπεσθαι ψιλὸν, πᾶσιν ἀναγκαῖον.

κθ'. Κατὰ μέρος ἐφ' ἑκάστου, ὧν ποιεῖς, ἐφιστάνων, ἐπερώτα σεαυτὸν, εἰ ὁ θάνατος δεινὸν διὰ τὸ τούτου στέρεσθαι.

λ'. Ὅταν προσκόπτῃς ἐπί τινος ἁμαρτίᾳ, εὐθὺς μεταβὰς, ἐπιλογίζου, τί παρόμοιον ἁμαρτάνεις· οἷον, ἀργύριον ἀγαθὸν εἶναι κρίνων, (ἢ) τὴν ἡδονὴν, ἢ τὸ δοξάριον, καὶ κατ' εἶδος. Τούτῳ γὰρ ἐπιβάλλων, ταχέως ἐπιλήσῃ τῆς ὀργῆς· συμπίπτοντος τοῦ, ὅτι βιάζεται· τί γὰρ ποιήσει; ἢ, εἰ δύνασαι, ἄφελε αὐτοῦ τὸ βιαζόμενον.

λα'. Σατύρωνα ἰδὼν, Σωκρατικὸν φαντάζου, ἢ Εὐτύχην, ἢ Ὑμένα· καὶ Εὐφράτην ἰδὼν, Εὐτυχίωνα, ἢ Σιλουανὸν φαντάζου· καὶ Ἀλκίφρονα, Τροπαιοφόρον φαντάζου· καὶ Ξενοφῶντα ἰδὼν, Κρίτωνα ἢ Σευῆρον φαντάζου· καὶ εἰς ἑαυτὸν ἀπιδὼν, τῶν Καισάρων τινὰ φαντάζου, καὶ ἐφ' ἑκάστου τὸ ἀνάλογον. Εἶτα συμπροσπιπτέτω σοι· ποῦ οὖν ἐκεῖνοι; οὐδαμοῦ, ἢ ὁπουδή. Οὕτως γὰρ συνεχῶς θεάσῃ τὰ ἀνθρώπινα, καπνὸν, καὶ τὸ μηδέν· μάλιστα ἐὰν συμμνημονεύσῃς, ὅτι τὸ ἅπαξ μεταβαλὸν οὐκέτι ἔσται ἐν τῷ ἀπείρῳ χρόνῳ. Σὺ οὖν ἐν τίνι; τί δ' οὐκ ἀρκεῖ σοι τὸ βραχὺ τοῦτο κοσμίως διαπερᾶσαι; Οἵαν ὕλην καὶ ὑπόθεσιν φεύγεις; τί γάρ ἐστι πάντα ταῦτα ἄλλο, πλὴν γυμνάσματα λόγου, ἑωρακότος ἀκριβῶς καὶ φυσιολόγως τὰ ἐν τῷ βίῳ; Μένε οὖν, μέχρι ἐξοικειώσῃς σαυτῷ καὶ ταῦτα, ὡς ὁ ἐρρωμένος στόμαχος πάντα ἐξοικειοῖ, ὡς τὸ λαμπρὸν πῦρ, ὅ τι ἂν βάλῃς, φλόγα ἐξ αὐτοῦ καὶ αὐγὴν ποιεῖ.

λβ'. Μηδενὶ ἐξέστω εἰπεῖν ἀληθεύοντι περὶ σοῦ, ὅτι οὐχ ἁπλοῦς, ἢ ὅτι οὐκ ἀγαθός· ἀλλὰ ψευδέσθω, ὅστις τούτων τι περὶ σοῦ ὑπολήψεται· πᾶν δὲ τοῦτο ἐπὶ σοί. Τίς γὰρ ὁ κωλύσων ἀγαθὸν εἶναί σε καὶ ἁπλοῦν; σὺ μόνον κρῖνον μηκέτι ζῆν, εἰ μὴ τοιοῦτος ἔσῃ. Οὐδὲ γὰρ αἱρεῖ λόγος μὴ τοιοῦτον ὄντα.

λγ'. Τί ἐστι τὸ ἐπὶ ταύτης τῆς ὕλης δυνάμενον κατὰ τὸ ὑγιέστατον πραχθῆναι, ἢ ῥηθῆναι; ὅ τι γὰρ ἂν τοῦτο ᾖ, ἔξεστιν αὐτὸ πρᾶξαι, ἢ εἰπεῖν· καὶ μὴ προφασίζου, ὡς κωλυόμενος. Οὐ πρότερον παύσῃ στένων, πρὶν ἢ τοῦτο πάθῃς, ὅτι, οἷόν ἐστι τοῖς ἡδυπαθοῦσιν ἡ τρυφὴ, τοιοῦτό σοι τὸ ἐπὶ τῆς ὑποβαλλομένης καὶ ὑποπιπτούσης ὕλης ποιεῖν τὰ οἰκεῖα τῇ τοῦ ἀνθρώπου κατασκευῇ· ἀπόλαυσιν γὰρ δεῖ ὑπολαμβάνειν πᾶν, ὃ ἔξεστι κατὰ τὴν ἰδίαν φύσιν ἐνεργεῖν. Πανταχοῦ δὲ ἔξεστι. Τῷ

esse futura. Atque totas fabulas et scenas ejusdem generis, quas vel per experientiam tuam vel ex antiqua historia cognovisti, ob oculos ponere, veluti totam Hadriani aulam, totam Antonini aulam, totam aulam Alexandri, Philippi, Crœsi; omnia enim illa ejusdem generis fuerunt, modo per alios.

28. Hominem quemcunque ulla de re dolentem aut eam indigne ferentem similem animo tibi finge porcello, qui, dum mactatur, calcitrat et grunit — hujus etiam similis est is, qui solus in lectulo decumbens tacite alligationem nostram deplorat — et animali duntaxat rationi prædito datum esse, ut iis, quæ fiunt, sponte obsequatur; simpliciter autem sequi omnibus necessarium.

29. Singulatim ad res, quas agis, singulas animum advertens te ipse interroga, num mors horrenda sit idcirco, quod te hac re privat.

30. Quum peccato alicujus offenderis, statim transiens tecum perpende, quid simile ipse pecces, ut, quod argentum pro bono habes aut voluptatem aut gloriolam et quæ hujus sunt generis. Huic enim rei intentus mox iræ oblivisceris, si etiam illud tibi succurrerit, eum vi coactum agere — quid enim faciet? — aut, si potes, libera eum vi illa cogente.

31. Satyronem ubi vides, Socraticum tibi finge Eutychem aut Hymena; et Euphratem quum vides, Eutychionem cogita aut Silvanum; Alciphrone viso, animo tuo obversetur Tropæophorus, et, viso Xenophonte, Crito aut Severus; et te quum adspicis, Cæsarum aliquem cogita, et sic in quolibet geminum ei aliquem. Tum tibi succurrat: ubi nunc sunt illi? nusquam aut ubicunque. Sic enim semper spectabis res humanas ut fumi ac nihili instar, præsertim quum simul recordatus fueris, id, quod semel mutatum sit, non per infinitum tempus esse duraturum. Tu autem, quamdiu? cur vero tibi non sufficit, spatium hoc tam breve, prout decet, transigere? Qualem materiam, qualem rem, in qua elabores, fugis? Quid enim hæc omnia sunt, nisi exercitia rationis, quæ accurate, et, ut naturæ scrutatorem decet, ea, quæ in vita sunt, perspecta habet? Persiste igitur, donec etiam hæc tibi familiaria reddideris, quemadmodum bonus stomachus cuncta sibi reddit familiaria et ignis validus, quidquid injeceris, inde flammam et splendorem edit.

32. Nemini liceat, id, quod verum est, loquenti, te dicere non esse simplicem aut bonum, sed mentiatur, quisquis horum aliquid de te opinatur. Quidquid autem hujus generis est, id in tua situm est potestate. Quis enim est, qui te prohibeat, quominus bonus et simplex sis? tu tantum certo statue, non diutius vivere, nisi talis sis futurus. Neque enim ratio te jubet, si non talis sis, *diutius vivere.*

33. Quid est, quod hac in re optime vel agi vel dici possit? nam quodcunque fuerit, id ipsum facere vel dicere licet, neque causari, te impediri. Non gemere desines, priusquam ita affectus fueris, ut quod voluptariis deliciæ, idem tibi sit, in quavis materia subjecta tibique oblata ea facere, quæ propriæ hominis constitutioni consentanea sunt: fructus enim loco habendum est, quidquid secundum tuam naturam agere tibi licet. Ubique autem id licet. Cylindro

μὲν οὖν κυλίνδρῳ οὐ πανταχοῦ δίδοται φέρεσθαι τὴν ἰδίαν κίνησιν, οὐδὲ τῷ ὕδατι, οὐδὲ πυρὶ, οὐδὲ τοῖς ἄλλοις, ὅσα ὑπὸ φύσεως, ἢ ψυχῆς ἀλόγου, διοικεῖται· τὰ γὰρ διείργοντα καὶ ἐνιστάμενα πολλά. Νοῦς δὲ καὶ λόγος διὰ παντὸς τοῦ ἀντιπίπτοντος οὕτως πορεύεσθαι δύναται, ὡς πέφυκε, καὶ ὡς θέλει. Ταύτην τὴν ῥᾳστώνην πρὸ ὀμμάτων τιθέμενος, καθ' ἣν ἐνεχθήσεται ὁ λόγος διὰ πάντων, ὡς πῦρ ἄνω, ὡς λίθος κάτω, ὡς κύλινδρος κατὰ πρανοῦς, μηκέτι μηδὲν ἐπιζήτει. Τὰ γὰρ λοιπὰ ἐγκόμματα ἤτοι τοῦ σωματικοῦ ἐστι τοῦ νεκροῦ, ἢ χωρὶς ὑπολήψεως, καὶ τῆς αὐτοῦ τοῦ λόγου ἐνδόσεως, οὐ θραύει, οὐδὲ ποιεῖ κακὸν οὐδοτιοῦν· ἐπεί τοι καὶ ὁ πάσχων αὐτὸ, κακὸς ἂν εὐθὺς ἐγίνετο. Ἐπὶ γοῦν τῶν ἄλλων κατασκευασμάτων πάντων, ὅ τι ἂν κακόν τινι αὐτῶν συμβῇ, παρὰ τοῦτο χεῖρον γίνεται αὐτὸ τὸ πάσχον· ἐνταῦθα δὲ, εἰ δεῖ εἰπεῖν, καὶ κρείττων γίνεται ὁ ἄνθρωπος, καὶ ἐπαινετώτερος, ὀρθῶς χρώμενος τοῖς προσπίπτουσιν. Ὅλως δὲ μέμνησο, ὅτι τὸν φύσει πολίτην οὐδὲν βλάπτει, ὃ πόλιν οὐ βλάπτει, οὐδέ γε πόλιν βλάπτει, ὃ νόμον οὐ βλάπτει· τούτων δὲ τῶν καλουμένων ἀκληρημάτων οὐδὲν βλάπτει νόμον. Ὃ τοίνυν νόμον οὐ βλάπτει, οὔτε πόλιν, οὔτε πολίτην.

quidem non datur, ut proprio suo ex motu ubique feratur neque aquæ, neque igni, nec reliquis, quæ a natura aut anima ratione carente reguntur; multa enim sunt, quæ hæc coercent iisque resistunt. Mens autem et ratio per omnia, quæ obsistunt, secundum naturam et voluntatem suam procedere potest. Hanc facilitatem, qua ratio per omnia ferri potest, ut ignis sursum, lapis deorsum, cylindrus per declive, ob óculos tibi ponens, nihil amplius require. Reliqua enim omnia impedimenta aut corporei sunt cadaveris, aut sine opinione et ipsius rationis remissione nec vulnerant nec minimum quidem mali efficiunt; alioquin qui hoc pateretur, statim deterior fieret. In aliis quidem operibus, quidcunque alicui contingat mali, eo ipso redditur deterius id, quod patitur; hic autem, si ita dicere licet, etiam melior fit homo et laude dignior, si iis, quæ ipsi objiciuntur, recte utitur. Omnino autem memento, civem indigenam nihil lædere, quod civitatem non lædat, nihil autem civitatem lædere, quod legem non violet; eorum autem, quæ infortunia dicuntur, nihil violat legem. Quod igitur legem non violat, id neque civitatem neque civem lædit.

λδ'. Τῷ δεδηγμένῳ ὑπὸ τῶν ἀληθῶν δογμάτων ἀρκεῖ καὶ τὸ βραχύτατον, καὶ ἐν μέσῳ κείμενον εἰς ὑπόμνησιν ἀλυπίας καὶ ἀφοβίας· οἷον·

Φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει . . .
. . . .
ὡς ἀνδρῶν γενεή.

Φυλλάρια δὲ καὶ τὰ τεκνία σου· φυλλάρια δὲ καὶ ταῦτα τὰ ἐπιβοῶντα ἀξιοπίστως, καὶ ἐπευφημοῦντα, ἢ ἐκ τῶν ἐναντίων καταρώμενα, ἢ ἡσυχῇ ψέγοντα καὶ χλευάζοντα· φυλλάρια δὲ ὁμοίως καὶ τὰ διαδεξόμενα τὴν ὑστεροφημίαν. Πάντα γὰρ τὰ τοιαῦτα « ἔαρος ἐπιγίγνεται ὥρῃ· » εἶτα ἄνεμος καταβέβληκεν· ἔπειθ' ὕλη ἕτερα ἀντὶ τούτων φύει. Τὸ δὲ ὀλιγοχρόνιον κοινὸν ἁπάντων· ἀλλὰ σὺ πάντα, ὡς αἰώνια ἐσόμενα, φεύγεις καὶ διώκεις. Μικρὸν καὶ καταμύσεις· τὸν δὲ ἐξενεγκόντα σε ἤδη ἄλλος θρηνήσει.

34. Ei, qui veris decretis* acutus est, brevissimum et in medio positum sufficit, quo admoneatur de mœrore et metu abjiciendis, ut

« Sternit humi frondes alias vis aspera venti »
. . . .
« sic hominum genus est. »

Foliola et liberi tui; foliola et ii, qui maximo sublato clamore, ut fidem dictis faciant, alios celebrant, aut e contrario diris devovent, aut clam vituperant et rident; foliola pariter, qui famam posthumàm excipient. Omnia enim hæc « veris nascuntur in hora. » Post ventus ea humum sternit; deinde silva alia in ipsorum locum profert. Brevitas autem temporis communis est omnibus; tu vero omnia perinde atque æterna forent, fugis et sectaris. Mox etiam tui claudentur oculi, et eum, qui te extulit, mox alius lugebit.

λε'. Τὸν ὑγιαίνοντα ὀφθαλμὸν πάντα ὁρᾷν δεῖ τὰ ὁρατὰ, καὶ μὴ λέγειν, « Τὰ χλωρὰ θέλω· » τοῦτο γὰρ ὀφθαλμιῶντός ἐστι. Καὶ τὴν ὑγιαίνουσαν ἀκοὴν, καὶ ὄσφρησιν, εἰς πάντα δεῖ τὰ ἀκουστὰ καὶ ὀσφραντὰ ἑτοίμην εἶναι. Καὶ τὸν ὑγιαίνοντα στόμαχον πρὸς πάντα τὰ τρόφιμα ὁμοίως ἔχειν, ὡς μύλην πρὸς πάντα, ὅσα ἀλήσουσα κατεσκεύασται. Καὶ τοίνυν τὴν ὑγιαίνουσαν διάνοιαν πρὸς πάντα δεῖ τὰ συμβαίνοντα ἑτοίμην εἶναι· ἡ δὲ λέγουσα, « Τὰ τεκνία σωζέσθω, » καὶ « Πάντες, ὅ τι ἂν πράξω, ἐπαινείτωσαν, » ὀφθαλμός ἐστι, τὰ χλωρὰ ζητῶν, ἢ ὀδόντες τὰ ἁπαλά.

35. Sani oculi est videre omnia, quæ sub visum cadunt, nec dicere : « viridia volo. » Hoc enim ejus est, qui oculis laborat. Sanum porro auditum et olfactum oportet ad omnia, quæ auditu aut olfactu percipi possunt, esse paratum. Bene valentis porro stomachi est, ad omnia alimenta pariter se habere, ac mola se habet ad omnia, ad quæ molenda fabricata est. Atque sic etiam mentis sanæ est, ad omnia, quæ eveniant, esse paratam. Illa vero, quæ « Liberos, » inquit, « mihi salvos esse volo », aut, « omnes quidquid faciam laudare volo, » oculi instar est, qui viridia poscit, et dentium, qui mollia.

λς'. Οὐδείς ἐστιν οὕτως εὔποτμος, ᾧ ἀποθνήσκοντι οὐ παρεστήξονταί τινες, ἀσπαζόμενοι τὸ συμβαῖνον κακόν. Σπουδαῖος καὶ σοφὸς ἦν· μὴ τὸ πανύστατον ἔσται

36. Nemo adeo felix est, cui morienti non adstituri sint quidam, qui malo, quod accidit, lætantur. Bonus et sapiens fuerit : nonne tamen ad extremum erit, qui secum di-

τις, ὁ καθ' αὑτὸν λέγων, « Ἀναπνεύσωμέν ποτε ἀπὸ τούτου τοῦ παιδαγωγοῦ. Χαλεπὸς μὲν οὐδενὶ ἡμῶν ἦν, ἀλλὰ ᾐσθανόμην, ὅτι ἡσυχῇ καταγινώσκει ἡμῶν. » Ταῦτα μὲν οὖν ἐπὶ τοῦ σπουδαίου. Ἐφ' ἡμῶν δὲ πόσα ἄλλα ἐστὶ, δι' ἃ πολὺς ὁ ἀπαλλακτιῶν ἡμῶν; τοῦτο οὖν ἐννοήσεις ἀποθνήσκων, καὶ εὐκολώτερον ἐξελεύσῃ, λογιζόμενος· ἐκ τοιούτου βίου ἀπέρχομαι, ἐν ᾧ αὐτοὶ οἱ κοινωνοὶ, ὑπὲρ ὧν τὰ τοσαῦτα ἠγωνισάμην, ηὐξάμην, ἐφρόντισα, αὐτοὶ ἐκεῖνοι ἐθέλουσί με ὑπάγειν, ἄλλην τινὰ τυχὸν ἐκ τούτου ῥαστώνην ἐλπίζοντες. Τί ἂν οὖν τις ἀντέχοιτο τῆς ἐνταῦθα μακροτέρας διατριβῆς; Μὴ μέντοι διὰ τοῦτο ἔλαττον εὐμενὴς αὐτοῖς ἄπιθι, ἀλλὰ τὸ ἴδιον ἔθος διασώζων, φίλος, καὶ εὔνους, καὶ ἵλεως, καὶ μὴ πάλιν ὡς ἀποσπώμενος· ἀλλ', ὥσπερ ἐπὶ τοῦ εὐθανατοῦντος εὐκόλως τὸ ψυχάριον ἀπὸ τοῦ σώματος ἐξειλεῖται, τοιαύτην καὶ τὴν ἀπὸ τούτων ἀποχώρησιν δεῖ γενέσθαι· καὶ γὰρ τούτοις ἡ φύσις (σε) συνῆψε, καὶ συνέκρινεν. Ἀλλὰ νῦν διαλύει; διαλύομαι, ὡς ἀπὸ οἰκείων μὲν, οὐ μὴν ἀνθελκόμενος, ἀλλ' ἀβιάστως· ἓν γὰρ καὶ τοῦτο τῶν κατὰ φύσιν.

λζ'. Ἔθισον ἐπὶ παντὸς, ὡς οἷόν τε, τοῦ πρασσομένου ὑπό τινος, ἐπιζητεῖν κατὰ σαυτόν· « Οὗτος τοῦτο ἐπὶ τίνα φέρει; » Ἄρχου δὲ ἀπὸ σαυτοῦ, καὶ σαυτὸν πρῶτον ἐξέταζε.

λη'. Μέμνησο, ὅτι τὸ νευροσπαστοῦν ἐστιν ἐκεῖνο, τὸ ἔνδον ἐγκεκρυμμένον· ἐκεῖνο ῥητορεία, ἐκεῖνο ζωὴ, ἐκεῖνο, εἰ δεῖ εἰπεῖν, ἄνθρωπος. Μηδέποτε συμπεριφαντάζου τὸ περικείμενον ἀγγειῶδες, καὶ τὰ ὀργάνια ταῦτα τὰ περιπεπλασμένα. Ὅμοια γάρ ἐστι σκεπάρνῳ, μόνον διαφέροντα, καθότι προσφυῆ ἐστιν. Ἐπεί τοι οὐ μᾶλλόν τι τούτων ὄφελός ἐστι τῶν μορίων, χωρὶς τῆς κινούσης καὶ ἰσχούσης αὐτὰ αἰτίας, ἢ τῆς κερκίδος τῇ ὑφαντρίᾳ, καὶ τοῦ καλάμου τῷ γράφοντι, καὶ τοῦ μαστιγίου τῷ ἡνιόχῳ.

ΒΙΒΛΙΟΝ ΙΑ.

α'. Τὰ ἴδια τῆς λογικῆς ψυχῆς· ἑαυτὴν ὁρᾷ, ἑαυτὴν διαρθροῖ, ἑαυτὴν, ὁποίαν ἂν βούληται, ποιεῖ, τὸν καρπὸν, ὃν φέρει, αὐτὴ καρποῦται (τοὺς γὰρ τῶν φυτῶν καρποὺς, καὶ τὸ ἀνάλογον ἐπὶ τῶν ζώων, ἄλλοι καρποῦνται), τοῦ ἰδίου τέλους τυγχάνει, ὅπου ἂν τὸ τοῦ βίου πέρας ἐπιστῇ. Οὐχ, ὥσπερ ἐπὶ ὀρχήσεως καὶ ὑποκρίσεως, καὶ τῶν τοιούτων, ἀτελὴς γίνεται ἡ ὅλη πρᾶξις, ἐάν τι ἐγκόψῃ· ἀλλ' ἐπὶ παντὸς μέρους, καὶ ὅπου ἂν καταληφθῇ, πλῆρες καὶ ἀπροσδεὲς ἑαυτῇ τὸ προτεθὲν ποιεῖ· ὥστε εἰπεῖν, Ἐγὼ ἀπέχω τὰ ἐμά. Ἔτι δὲ περιέρχεται τὸν ὅλον κόσμον, καὶ τὸ περὶ αὐτὸν κενὸν, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ εἰς τὴν ἀπειρίαν τοῦ αἰῶνος ἐκτείνεται, καὶ τὴν περιοδικὴν παλιγγενεσίαν τῶν ὅλων ἐμπεριλαμβάνει, καὶ περινοεῖ, καὶ θεωρεῖ, ὅτι οὐδὲν νεώτερον ὄψονται οἱ μεθ' ἡμᾶς, οὐδὲ περιττότερον εἶδον οἱ πρὸ ἡμῶν· ἀλλὰ τρόπον τινὰ ὁ τεσσαρακοντούτης ἐὰν νοῦν ὁποσονοῦν ἔχῃ, πάντα τὰ

cat : « Respirabimus tandem aliquando ab hoc pædagogo : nemini quidem nostrûm gravis ac molestus fuit, sed sensi, eum nos tacite damnare. » Hæc igitur de viro probo. In nobis autem quam multa alia sunt, propter quæ a nobis liberari cupiant haud pauci? Hæc igitur moribundus contemplaberis et libentius discedes, hæc tecum reputans : « discedo e tali vita, in qua ipsi vitæ socii, quorum gratia tantos suscepi labores, tot fudi preces, tantas sustinui curas, me migrare volunt, quod inde aliud quid levaminis sibi fore sperant. Quid igitur est, cur quis diutius hic morari cupiat? Nec tamen propterea illis minus benevolus hinc discede, sed mores tuos servans, amicus, benevolus, mitis; neque tamen contra quasi vi avellaris, verum, quemadmodum in eo, cui facilis mors contingit, animula facile corpore exsolvitur, talem etiam tuam ab his secessionem esse oportet; cum his enim natura te copulavit et conjunxit. Verum nunc dissolvit? Dissolvor igitur tanquam familiaribus, nec tamen reluctans, sed nulla vi coactus discedens : nam hoc quoque unum est eorum, quæ naturæ conveniunt. »

37. Solemne tibi sit, in singulis cujusvis actionibus, quoad fieri potest, tecum reputare : « Quorsum hæc ejus actio spectat? » A te ipso autem fac initium teque primum explora.

38. Memento, illud, quod te quasi fidiculis huc illuc impellat, id esse, quod intus absconditum est; hoc est suadela, hoc vita, hoc, si verum volumus, homo. Noli igitur unquam cum eo mente complecti circumjectum tibi vas et instrumenta illa undique tibi affıcta : nam dolabræ sunt similia, abs qua eo tantum differunt, quod adnata sunt. Nam profecto non magis cujusquam harum partium tibi usus est sine illa causa, quæ ea movet eorumque motum retinet, quam radii textrici, aut calami scribenti, aut flagelli currus rectori.

LIBER XI.

1. Hæc sunt propria animo ratione prædito : se ipse videt, se effingit, se, qualem vult esse, reddit, et fructus, quos fert, ipse percipit — plantarum enim fructus et quæ his in animalibus respondent, alii percipiunt — finem suum consequitur, ubicunque vitæ terminus immineat. Non; quemadmodum in saltatione et actione fabularum, manca et mutila redditur tota actio, si quid inciderit, sed in quacunque parte, et ubicunque deprehensus fuerit, id, quod sibi proposuit, perfectum et omnibus numeris absolutum reddit, ut dicere possit, « ego quæ mea sunt, habeo. » Totum præterea mundum contemplando pervagatur, et, quod hunc ambit, vacuum, et figuram ejus, atque in ævi immensitatem se extendit et omnium rerum regenerationem certis temporum periodis circumscriptam complectitur et considerat, atque intelligit, nihil novi visuros esse posteros nostros, nihilque majus vidisse majores nostros, sed eum, qui quadraginta vixerit annos, si vel minimum mentis habuerit, quodam-

γεγονότα καὶ τὰ ἐσόμενα ἑώρακε κατὰ τὸ ὁμοειδές. Ἴδιον δὲ λογικῆς ψυχῆς καὶ τὸ φιλεῖν τοὺς πλησίον, καὶ ἀλήθεια, καὶ αἰδὼς, καὶ τὸ μηδὲν ἑαυτῆς προτιμᾶν, ὅπερ ἴδιον καὶ νόμου. Οὕτως ἄρ' οὐδὲν διήνεγκε λόγος ὀρθὸς, καὶ λόγος δικαιοσύνης.

modo et præterita et futura vidisse omnia, quum ejusdem speciei sint omnia. Proprium quoque est animo ratione prædito amare proximos, et veritas, et verecundia, et summa sui ipsius æstimatio, quæ etiam legi propria est. Sic igitur non differt recta ratio a ratione legis.

β'. Ὠδῆς ἐπιτερποῦς, καὶ ὀρχήσεως καὶ παγκρατίου καταφρονήσεις, ἐὰν τὴν μὲν ἐμμελῆ φωνὴν καταμερίσῃς εἰς ἕκαστον τῶν φθόγγων, καὶ καθ' ἕνα πύθῃ σεαυτοῦ, εἰ τούτου ἥττων εἶ· διατραπήσῃ γάρ· ἐπὶ δὲ ὀρχήσεως τὸ ἀνάλογον ποιήσας καθ' ἑκάστην κίνησιν, ἢ σχέσιν· τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ παγκρατίου. Ὅλως οὖν, χωρὶς ἀρετῆς καὶ τῶν ἀπ' ἀρετῆς, μέμνησο ἐπὶ τὰ κατὰ μέρος τρέχειν, καὶ τῇ διαιρέσει αὐτῶν εἰς καταφρόνησιν ἰέναι· τὸ δ' αὐτὸ καὶ ἐπὶ τὸν βίον ὅλον μετάφερε.

2. Cantilenam jucundam, et saltationem et pancratium contemnes, si voce concinnâ in singulos sonos divisa, de his singulatim te interrogaveris, num hoc inferior sis; nam te *id confiteri* puderet; et vero, si simile quid feceris in saltatione, quod ad singulos motus et gestus attinet, idemque in pancratio. In omnibus igitur omnino rebus, excepta virtute et iis, quæ e virtute proficiscuntur, ad singulas earum partes recurrere memento et per earum divisionem ad ipsas contemnendas abire. Idem ad totam vitam, fac, transferas.

γ'. Οἵα ἐστὶν ἡ ψυχὴ ἡ ἕτοιμος, ἐὰν ἤδη ἀπολυθῆναι δέῃ τοῦ σώματος, καὶ ἤτοι σβεσθῆναι, ἢ σκεδασθῆναι, ἢ συμμεῖναι. Τὸ δὲ ἕτοιμον τοῦτο, ἵνα ἀπὸ ἰδικῆς κρίσεως ἔρχηται, μὴ κατὰ ψιλὴν παράταξιν, ὡς οἱ Χριστιανοὶ, ἀλλὰ λελογισμένως, καὶ σεμνῶς, καὶ ὥστε καὶ ἄλλον πεῖσαι, ἀτραγῴδως.

3. Qualis est animus paratus, si jam debeat a corpore solvi et vel exstingui vel dissolvi vel permanere. Hæc tamen promptitudo ut a singulari judicio proficiscatur, nequaquam e mera obstinatione, ut in Christianis, sed re bene deliberata, et cum gravitate et, ut etiam alii id persuadere possis, sine fastu tragico.

δ'. Πεποίηκά τι κοινωνικῶς; οὐκοῦν ὠφέλημαι· τοῦτο ἵνα ἀεὶ πρόχειρον ἀπαντᾷ· καὶ μηδαμοῦ παύου.

4. Feci aliquid, quod societati prodest? Igitur utilitatem consecutus sum: hoc ut semper tibi in promptu sit et occurrat! Nunquam desine.

ε'. Τίς σου ἡ τέχνη; ἀγαθὸν εἶναι. Τοῦτο δὲ πῶς καλῶς γίνεται ἢ ἐκ θεωρημάτων, τῶν μὲν περὶ τῆς τοῦ ὅλου φύσεως, τῶν δὲ περὶ τῆς ἰδίας τοῦ ἀνθρώπου κατασκευῆς;

5. Quænam est ars tua? Bonum esse. Hoc autem qua * alia ratione fit, nisi per præcepta tum ad naturam universi, tum ad propriam hominis conditionem spectantia?

ς'. Πρῶτον αἱ τραγῳδίαι παρήχθησαν ὑπομνηστικαὶ τῶν συμβαινόντων, καὶ ὅτι ταῦτα οὕτω πέφυκε γίνεσθαι, καὶ ὅτι, οἷς ἐπὶ τῆς σκηνῆς ψυχαγωγεῖσθε, τούτοις μὴ ἄχθεσθε ἐπὶ τῆς μείζονος σκηνῆς. Ὁρᾶτε γὰρ, ὅτι οὕτω δεῖ ταῦτα περαίνεσθαι, καὶ ὅτι φέρουσιν αὐτὰ καὶ οἱ κεκραγότες· « Ἰὼ Κιθαιρών. » Καὶ λέγεται δέ τινα ὑπὸ τῶν τὰ δράματα ποιούντων χρησίμως· οἷόν ἐστιν ἐκεῖνο μάλιστα,

> Εἰ δ' ἠμελήθην ἐκ θεῶν καὶ παῖδ' ἐμὼ,
> ἔχει λόγον καὶ τοῦτο·

καὶ πάλιν,

> Τοῖς πράγμασιν γὰρ οὐχὶ θυμοῦσθαι (χρεών)·

καὶ,

> Βίον θερίζειν ὥστε κάρπιμον στάχυν·

καὶ ὅσα τοιαῦτα. Μετὰ δὲ τὴν τραγῳδίαν ἡ ἀρχαία κωμῳδία παρήχθη, παιδαγωγικὴν παῤῥησίαν ἔχουσα, καὶ τῆς ἀτυφίας οὐκ ἀχρήστως δι' αὐτῆς τῆς εὐθυῤῥημοσύνης ὑπομιμνήσκουσα· πρὸς οἷόν τι καὶ Διογένης ταυτὶ παρελάμβανε. Μετὰ ταῦτα τίς ἡ μέση κωμῳδία, καὶ λοιπὸν ἡ νέα πρὸς τί ποτε παρείληπται, ἣ κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπεῤῥύη, ἐπίστησον. Ὅτι μὲν γὰρ λέγεται καὶ ὑπὸ τούτων τινὰ χρήσιμα, οὐκ ἀγνοεῖται· ἀλλὰ ἡ ὅλη ἐπιβολὴ τῆς τοιαύτης ποιήσεως καὶ δραματουργίας πρὸς τίνα ποτὲ σκοπὸν ἀπέβλεψε;

6. Primum tragœdiæ sunt institutæ, quæ monerent de iis, quæ accidunt, eamque esse rerum naturam, ut hæc sic eveniant, atque ne, quibus in scena delectamini, iisdem in majore scena offendamini. Nam videtis, non posse fieri, quin hæc non accidant, eaque etiam illos sustinere, qui, « Eheu, Cithæron! » exclamant. Atque dicuntur quædam ab iis, qui fabulas composuerunt, utiliter, velut potissimum hoc:

> « Si me meosque liberos di negligunt,
> huius etiam constat ratio. »

Et rursus:

> « Nam neutiquam hominem rebus irasci decet. »

Et:

> « Spicas ut frugiferas, sic vitam metere; »

et quæ id genus sunt alia. Post tragœdiam vetus comœdia in medium prolata est, quæ pædagogicam usurpabat libertatem et ipsa sermonis licentia ad homines de fastu vitando admonendos non inutilis erat; quo consilio etiam Diogenes quædam hinc suscepit. Deinde quænam fuerit media comœdia et quo consilio nova sit instituta quæ paulatim in artificiosum imitationis studium abiit, considera. Nam etiam ab his dici quædam utilia, nemo ignorat; verum totum hujus poesis et fabularum institutum quorsum spectat?

ζ'. Πῶς ἐναργὲς προσπίπτει τὸ μὴ εἶναι ἄλλην βίου ὑπόθεσιν εἰς τὸ φιλοσοφεῖν οὕτως ἐπιτήδειον, ὡς ταύτην, ἐν ᾗ νῦν ὢν τυγχάνεις;

η'. Κλάδος, τοῦ προσεχοῦς κλάδου ἀποκοπεὶς, οὐ δύναται μὴ καὶ τοῦ ὅλου φυτοῦ ἀποκεκόφθαι. Οὕτω δὴ καὶ ἄνθρωπος, ἑνὸς ἀνθρώπου ἀποσχισθεὶς, ὅλης τῆς κοινωνίας ἀποπέπτωκε. Κλάδον μὲν οὖν ἄλλος ἀποκόπτει· ἄνθρωπος δὲ αὐτὸς ἑαυτὸν τοῦ πλησίον χωρίζει, μισήσας καὶ ἀποστραφεὶς, ἀγνοεῖ δὲ, ὅτι καὶ τοῦ ὅλου πολιτεύματος ἅμα ἀποτέτμηκεν ἑαυτόν. Πλὴν ἐκεῖνό γε δῶρον τοῦ συστησαμένου τὴν κοινωνίαν Διός· ἔξεστι γὰρ πάλιν ἡμῖν συμφῦναι τῷ προσεχεῖ, καὶ πάλιν τοῦ ὅλου συμπληρωτικοῖς γενέσθαι. Πλεονάκις μέντοι γινόμενον τὸ κατὰ τὴν τοιαύτην διαίρεσιν, δυσένωτον καὶ δυσαποκατάστατον τὸ ἀποχωροῦν ποιεῖ. Ὅλως τε οὐχ ὅμοιος ὁ κλάδος, ὁ ἀπ' ἀρχῆς συμβλαστήσας καὶ σύμπνους συμμείνας, τῷ μετὰ τὴν ἀποκοπὴν αὖθις ἐγκεντρισθέντι, ὅ τί ποτε λέγουσιν οἱ φυτουργοί· Ὁμοθαμνεῖν μέν, μὴ ὁμοδογματεῖν δέ.

θ'. Οἱ ἐνιστάμενοι προϊόντι σοι κατὰ τὸν ὀρθὸν λόγον, ὥσπερ ἀπὸ τῆς ὑγιοῦς πράξεως ἀποτρέψαι σε οὐ δυνήσονται, οὕτως μηδὲ τῆς πρὸς αὐτοὺς εὐμενείας ἐκκρουέτωσαν· ἀλλὰ φύλασσε σεαυτὸν ἐπ' ἀμφοτέρων ὁμοίως, μὴ μόνον ἐπὶ τῆς εὐσταθοῦς κρίσεως καὶ πράξεως, ἀλλὰ καὶ ἐπὶ τῆς πρὸς τοὺς κωλύειν ἐπιχειροῦντας, ἢ ἄλλως δυσχεραίνοντας, πρᾳότητος. Καὶ γὰρ τοῦτο ἀσθενὲς, τὸ χαλεπαίνειν αὐτοῖς, ὥσπερ τὸ ἀποστῆναι τῆς πράξεως, καὶ ἐνδοῦναι καταπλαγέντα· ἀμφότεροι γὰρ ἐπίσης λειποτάκται, ὁ μὲν ὑποτρέσας, ὁ δὲ ἀλλοτριωθεὶς πρὸς τὸν φύσει συγγενῆ καὶ φίλον.

ι'. Οὐκ ἔστι χείρων οὐδεμία φύσις τέχνης· καὶ γὰρ αἱ τέχναι τὰς φύσεις μιμοῦνται. Εἰ δὲ τοῦτο, ἡ πασῶν τῶν ἄλλων τελεωτάτη καὶ περιληπτικωτάτη φύσις οὐκ ἂν ἀπολείποιτο τῆς τεχνικῆς εὐμηχανίας. Πᾶσαι δέ γε τέχναι τῶν κρειττόνων ἕνεκεν τὰ χείρω ποιοῦσιν, οὐκοῦν καὶ ἡ κοινὴ φύσις. Καὶ δὴ ἔνθεν μὲν γένεσις δικαιοσύνης, ἀπὸ δὲ ταύτης αἱ λοιπαὶ ἀρεταὶ ὑφίστανται· οὐ γὰρ τηρηθήσεται τὸ δίκαιον, ἐὰν ἤτοι διαφερώμεθα πρὸς τὰ μέσα, ἢ εὐεξαπάτητοι καὶ προπτωτικοὶ καὶ μεταπτωτικοὶ ὦμεν.

ια'. Εἰ οὐκ ἔρχεται ἐπὶ σὲ τὰ πράγματα, ὧν αἱ διώξεις καὶ φυγαὶ θορυβοῦσί σε, ἀλλὰ τρόπον τινὰ αὐτὸς ἐπ' ἐκεῖνα ἔρχῃ· τὸ γοῦν κρίμα τὸ περὶ αὐτῶν ἡσυχαζέτω, κἀκεῖνα μενεῖ ἀτρεμοῦντα, καὶ οὔτε διώκων οὔτε φεύγων ὀφθήσῃ.

ιβ'. Σφαῖρα ψυχῆς αὐτοειδὴς, ὅταν μήτε ἐκτείνηται ἐπί τι, μήτε ἔσω συντρέχῃ, μήτε σπείρηται, μήτε συνιζάνῃ, ἀλλὰ φωτὶ λάμπηται, ᾧ τὴν ἀλήθειαν ὁρᾷ τὴν πάντων, καὶ τὴν ἐν αὐτῇ.

ιγ'· Καταφρονήσει μου τίς; ὄψεται. Ἐγὼ δὲ ὄψομαι, ἵνα μή τι καταφρονήσεως ἄξιον πράσσων ἢ λέγων εὑρίσκωμαι. Μισήσει; ὄψεται. Ἀλλὰ ἐγὼ εὐμενὴς καὶ εὔνους παντὶ, καὶ τούτῳ αὐτῷ ἕτοιμος τὸ παρορώμενον δεῖξαι, οὐχ ὀνειδιστικῶς, οὐδὲ ὡς κατεπιδεικνύ-

7. Quam liquido compertum habes, nullum aliud vitæ genus ad philosophandum tam idoneum, quam hoc, in quo forte versaris?

8. Ramus a ramo cohærente amputatus non potest non a tota arbore abscissus esse. Sic igitur etiam homo ab uno homine avulsus, tota societate excidit. Ac ramum quidem alius amputat; homo autem se ipse a proximo separat, dum eum odit et aversatur, ignorat autem, se simul a tota civitate sese abscidisse. Veruntamen illud munus est ejus, qui hanc societatem condidit, Jovis, quod nobis licet rursus cum eo, cui antea adhæsimus, coalescere ac rursus partem necessariam ad totius integritatem fieri. Quod tamen sæpe in illa separatione versatur, facit, ut id quod abscessit, haud facile uniri et in pristinum locum restitui possit. Omnino ramus, qui ab initio cum arbore germinavit et cum ea constanter quasi conspiravit, non similis est ei, qui, postquam abscissus erat, iterum insertus est, quidquid dicant hortulani : Una quidem fruticari, verum non una probare eadem decreta.

9. Qui tibi secundum rectam rationem procedenti impedimento sunt, sicut a sana agendi ratione te depellere non possunt, ita neque benevolentiam erga ipsos tibi excutiant; sed utrumque pariter tuere, constantiam in judicando et agendo, et mansuetudinem erga eos, qui te impedire aut alia ratione molesti esse conantur. Etenim non minus imbecilli animi est, iis succensere, quam ab actione desistere et consternatum succumbere; uterque enim pariter desertæ stationis reus est et qui metu perculsus est et qui cognatum sibi natura et amicum aversatus est.

10. Nulla natura inferior est arte; nam etiam artes naturam imitantur. Quod si est, natura omnium præstantissima et ceteras omnes complectens artium solertiæ neutiquam cesserit. Omnes autem artes præstantiorum gratia deteriora efficiunt : igitur etiam communis natura. Atque hinc sane justitiæ origo, ex hac autem reliquæ virtutes oriuntur : non enim servari poterit id, quod justum est, si aut medias res ad nos pertinere putamus, aut nos facile decipi patimur, aut in assentiendo temerarii et inconstantes sumus.

11. Non veniunt ad te res, quarum cupido et aversatio te conturbant, verum quodammodo ipse ad eas accedis. Proinde tuum de iis judicium quiescat; quo facto etiam illæ manebunt immotæ et ut eas neque sectans neque fugiens videberis.

12. Sphæra animi sui similis, quando se neque extendit ad aliquid, neque intro se contrahit, neque dilatatur, neque subsidit, sed lumine collustratur, quo veram et omnium rerum et suam ipsius naturam perspiciat.

13. Contemnit me aliquis? ipse viderit. Ego vero cavebo, ne quid contemptu dignum agere aut dicere deprehendar. Odit me? ipse viderit. Ego vero omnibus sum mitis et benevolus et paratus, qui huic errorem ostendam suum, neque tamen exprobrandi causa, neque ut ostentem, me

μενος, ὅτι ἀνέχομαι, ἀλλὰ γνησίως καὶ χρηστῶς, οἷος ὁ Φωκίων ἐκεῖνος, εἴ γε μὴ προσεποιεῖτο. Τὰ ἔσω γὰρ δεῖ τοιαῦτα εἶναι, καὶ ὑπὸ τῶν θεῶν βλέπεσθαι ἄνθρωπον πρὸς μηδὲν ἀγανακτικῶς διατιθέμενον, μηδὲ δεινοπαθοῦντα. Τί γάρ σοι κακὸν, εἰ αὐτὸς νῦν ποιεῖς τὸ τῇ φύσει σου οἰκεῖον, καὶ δέχῃ τὸ νῦν τῇ τῶν ὅλων φύσει εὔκαιρον, ἄνθρωπος τεταγμένος πρὸς τὸ γίνεσθαι δι' ὅτου δὴ κοινῇ συμφέρον;

ιδ'. Ἀλλήλων καταφρονοῦντες, ἀλλήλοις ἀρεσκεύονται, καὶ ἀλλήλων ὑπερέχειν θέλοντες, ἀλλήλοις ὑποκατακλίνονται.

ιε'. Ὡς σαπρὸς καὶ κίβδηλος ὁ λέγων· « Ἐγὼ προῄρημαι ἁπλῶς σοι προσφέρεσθαι; » Τί ποιεῖς, ἄνθρωπε; τοῦτο οὐ δεῖ προλέγειν. Αὐτοῦ φανήσεται· ἐπὶ τοῦ μετώπου γεγράφθαι ὀφείλει εὐθὺς ἡ φωνή· Τοιοῦτον ἔχει, εὐθὺς ἐν τοῖς ὄμμασιν ἐξέχει, ὡς τῶν ἐραστῶν ἐν τῷ βλέμματι πάντα εὐθὺς γνωρίζει ὁ ἐρώμενος. Τοιοῦτον ὅλως δεῖ τὸν ἁπλοῦν καὶ ἀγαθὸν εἶναι, οἷον γράσωνα, ἵνα ὁ παραστὰς, ἅμα τῷ προσελθεῖν, θέλει οὐ θέλει, αἴσθηται. Ἐπιτήδευσις δὲ ἁπλότητος σκάλμη ἐστίν. Οὐδέν ἐστιν αἴσχιον λυκοφιλίας. Πάντων μάλιστα τοῦτο φεῦγε. Ὁ ἀγαθὸς, καὶ ἁπλοῦς, καὶ εὐμενὴς, ἐν τοῖς ὄμμασιν ἔχουσι ταῦτα, καὶ οὐ λανθάνει.

ις'. Κάλλιστα διαζῆν δύναμις αὕτη ἐν τῇ ψυχῇ, ἐὰν πρὸς τὰ ἀδιάφορα ἀδιαφορῇ. Ἀδιαφορήσει δὲ, ἐὰν ἕκαστον αὐτῶν θεωρῇ διῃρημένως, καὶ ὁλικῶς, καὶ μεμνημένος, ὅτι οὐδὲν αὐτῶν ὑπόληψιν περὶ αὐτοῦ ἡμῖν ἐμποιεῖ, οὐδὲ ἔρχεται ἐφ' ἡμᾶς· ἀλλὰ τὰ μὲν ἀτρεμεῖ, ἡμεῖς δὲ ἐσμὲν, οἱ τὰς περὶ αὐτῶν κρίσεις γεννῶντες, καὶ οἷον γράφοντες ἐν ἑαυτοῖς, ἐξὸν μὲν μὴ γράφειν, ἐξὸν δὲ, κἂν που λάθῃ, εὐθὺς ἐξαλεῖψαι· ὅτι ὀλίγου χρόνου ἔσται ἡ τοιαύτη προσοχὴ, καὶ λοιπὸν πεπαύσεται ὁ βίος. Τί μέντοι δύσκολον ἄλλως ἔχει ταῦτα; Εἰ μὲν γὰρ κατὰ φύσιν ἐστὶ, χαῖρε αὐτοῖς, καὶ ῥᾴδια ἔστω σοι· εἰ δὲ παρὰ φύσιν, ζήτει, τί ἐστί σοι κατὰ τὴν σὴν φύσιν, καὶ ἐπὶ τοῦτο σπεῦδε, κἂν ἄδοξον ᾖ· παντὶ γὰρ συγγνώμη, τὸ ἴδιον ἀγαθὸν ζητοῦντι.

ιζ'. Πόθεν ἐλήλυθεν ἕκαστον, καὶ ἐκ τίνων ἕκαστον ὑποκειμένων, καὶ εἰς τί μεταβάλλει, καὶ οἷον ἔσται μεταβαλὸν, καὶ ὡς οὐδὲν κακὸν πείσεται.

ιη'. Καὶ πρῶτον, τίς ἡ πρὸς αὐτούς μοι σχέσις· καὶ ὅτι ἀλλήλων ἕνεκεν γεγόναμεν· καὶ καθ' ἕτερον λόγον, προστησόμενος αὐτῶν γέγονα, ὡς κριὸς ποίμνης, ἢ ταῦρος ἀγέλης. Ἄνωθεν δὲ ἔπιθι, ἀπὸ τοῦ, Εἰ μὴ ἄτομοι, φύσις ἡ τὰ ὅλα διοικοῦσα· εἰ τοῦτο, τὰ χείρονα τῶν κρειττόνων ἕνεκεν, ταῦτα δὲ ἀλλήλων.

Δεύτερον δὲ, ὁποῖοί τινές εἰσιν ἐπὶ τῆς τραπέζης, ἐν τῷ κλιναρίῳ, τἄλλα· μάλιστα δὲ, οἵας ἀνάγκας δογμάτων κειμένας ἔχουσιν· καὶ αὐτὰ δὲ ταῦτα μεθ' οἵου τύφου ποιοῦσι.

Τρίτον, ὅτι, εἰ μὲν ὀρθῶς ταῦτα ποιοῦσιν, οὐ δεῖ δυσχεραίνειν· εἰ δ' οὐκ ὀρθῶς, δηλονότι ἄκοντες καὶ ἀγνοοῦντες. Πᾶσα γὰρ ψυχὴ ἄκουσα στέρεται, ὥσπερ

tolerare, sed ingenue et benigne, ut ille Phocion fuit, nisi quidem id simulavit. Intus enim ea ejusmodi esse oportet, et a diis conspici hominem nullam rem ægre ferentem aut quiritantem. Quid enim mali tibi est, si ipse nunc id agis, quod naturæ tuæ proprium est? et excipis id, quod nunc universi naturæ tempestivum est, quippe constitutus homo, qui per omnia, qualiacunque demum sunt, societatis saluti consulas?

14. Qui mutuo se contemnunt, iidem alter alteri assentantur, et qui id agunt, ut alios superent, iidem aliis se submittunt.

15. Quam putidus et fucatus est, qui, « Ego, » inquit, « aperte tecum agere constitui »? Quid agis, homo? hoc præfari te non oportet. Illico apparebit; in fronte inscripta esse debet hæc vox, « Ita se res habet, » statimque ex oculis apparere, quemadmodum in amantis oculis statim omnia intelligit is, qui amatur. Talem omnino oportet esse virum simplicem ac probum, qualis est, qui hircum olet, ut qui ei adstat, simulatque accedit, velit nolit, sentiat. Affectatio autem simplicitatis instar pugionis est. Nil turpius amicitia lupina. Maxime omnium hoc fuge. Vir bonus, simplex et benevolus hæc omnia in oculis habet, nec latent.

16. Optime vitam transigendi facultas ipsa in animo sita est, si res indifferentes in nullo discrimine ponit; id autem faciet, si earum unamquamque sejunctim et ex omni parte spectaverit et meminerit, illarum nullam nos cogere, ut hoc vel illud de iis opinemur, neque ad nos accedere, sed illas quietas consistere, nos autem esse, qui judicia de iis proferamus easque in nobis ipsis depingamus, quum liceat non depingere, adeoque liceat, si forte clam irrepserint, statim delere : brevi tantum tempore hac cautione opus fore, tum vitæ finem instare. Quid tamen in his * omnino difficile est? Si enim naturæ conveniunt, iis lætare et facilia tibi sunto; si contra naturam, quære, quid tibi secundum tuam naturam sit et ad hoc contende, etiamsi non gloriosum sit. Venia enim cuique est, qui bonum suum sectatur.

17. Unde prodierint singula, quibus ex materiis substratis singula constent, in quid mutentur, mutata qualia sint futura, et ut nihil mali patiantur.

18. Ac primum : quænam mihi ad eos sit ratio, et nos, alterum alterius causa, natos esse, me alio quodam respectu iis esse præfectum, ut gregi aries, ut armento taurus. Altius vero rem repete, ex hoc : si non atomi, natura est, quæ res administrat; quod si est, deteriora sunt præstantiorum causa, hæc autem, alterum alterius causa.

Deinde, quales sint ad mensam, in lectulo, reliqua; potissimum vero, quibus decretorum necessitatibus cogantur, et hæc ipsa quanto cum fastu agant.

Tum, si recte hæc faciant, non esse ægre ferenda; sin minus, eos manifesto nolentes et ignorantes agere. Omnis enim animus, ut veritate, sic etiam ea virtute, quæ suum

τοῦ ἀληθοῦς, οὕτως καὶ τοῦ κατ' ἀξίαν ἑκάστῳ προσφέρεσθαι. Ἄχθονται γοῦν ἀκούοντες ἄδικοι, καὶ ἀγνώμονες, καὶ πλεονέκται, καὶ καθάπαξ ἁμαρτητικοὶ περὶ τοὺς πλησίον.

Τέταρτον, ὅτι καὶ αὐτὸς πολλὰ ἁμαρτάνεις, καὶ ἄλλος τοιοῦτος εἶ· καὶ εἴ τινων δὲ ἁμαρτημάτων ἀπέχῃ, ἀλλὰ τήν γε ἕξιν ποιητικὴν ἔχεις, εἰ καὶ διὰ δειλίαν, ἢ δοξοκοπίαν, ἤ τοιοῦτό τι κακὸν, ἀπέχῃ τῶν ὁμοίων ἁμαρτημάτων.

Πέμπτον, ὅτι οὐδὲ, εἰ ἁμαρτάνουσι, κατείληφας· πολλὰ γὰρ καὶ κατ' οἰκονομίαν γίνεται. Καὶ ὅλως πολλὰ δεῖ πρότερον μαθεῖν, ἵνα τις περὶ ἀλλοτρίας πράξεως καταληπτικῶς τι ἀποφήνηται.

Ἕκτον, ὅτι, ὅταν λίαν ἀγανακτῇς, ἢ καὶ δυσπαθῇς, ἀκαριαῖος ὁ ἀνθρώπειος βίος, καὶ μετ' ὀλίγον πάντες ἐξετάθημεν.

Ἕβδομον, ὅτι οὐχ αἱ πράξεις αὐτῶν ἐνοχλοῦσιν ἡμῖν· ἐκεῖναι γάρ εἰσιν ἐν τοῖς ἐκείνων ἡγεμονικοῖς· ἀλλὰ αἱ ἡμέτεραι ὑπολήψεις. Ἆρον γοῦν, καὶ θέλησον ἀφεῖναι τὴν ὡς περὶ δεινοῦ κρίσιν, καὶ ἀπῆλθεν ἡ ὀργή. Πῶς οὖν ἄρῃς; Λογισάμενος, ὅτι οὐκ αἰσχρόν· ἐὰν γὰρ μὴ μόνον ᾖ τὸ αἰσχρὸν κακὸν, ἀνάγκη καὶ σὲ πολλὰ ἁμαρτάνειν, καὶ λῃστὴν καὶ παντοῖον γενέσθαι.

Ὄγδοον, ὅσῳ χαλεπώτερα ἐπιφέρουσιν αἱ ὀργαὶ καὶ λῦπαι, αἱ ἐπὶ τοῖς τοιούτοις, ἤπερ αὐτά ἐστιν, ἐφ' οἷς ὀργιζόμεθα καὶ λυπούμεθα.

Ἔνατον, ὅτι τὸ εὐμενὲς ἀνίκητον, ἐὰν γνήσιον ᾖ, καὶ μὴ σεσηρὸς, μηδὲ ὑπόκρισις. Τί γάρ σοι ποιήσει ὁ ὑβριστικώτατος, ἐὰν διατελῇς εὐμενὴς αὐτῷ, καὶ, εἰ οὕτως ἔτυχε, πρᾴως παραινῇς καὶ μεταδιδάσκῃς εὐσχολῶν παρ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν, ὅτε κακὰ ποιεῖν σε ἐπιχειρεῖ, « Μὴ, τέκνον· πρὸς ἄλλο πεφύκαμεν. Ἐγὼ μὲν οὐ μὴ βλαβῶ, σὺ δὲ βλάπτῃ, τέκνον. » Καὶ δεικνύναι εὐαφῶς καὶ ὁλικῶς, ὅτι τοῦτο οὕτως ἔχει, ὅτι οὐδὲ μέλισσαι αὐτὸ ποιοῦσιν, οὐδ' ὅσα συναγελαστικὰ πέφυκε. Δεῖ δὲ μήτε εἰρωνικῶς αὐτὸ ποιεῖν, μήτε ὀνειδιστικῶς, ἀλλὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ· καὶ μὴ ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος παραστὰς θαυμάσῃ· ἀλλ' ἤτοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τινὲς περιεστήκωσι. . . .

Τούτων τῶν ἐννέα κεφαλαίων μέμνησο, ὡς παρὰ τῶν Μουσῶν δῶρα εἰληφώς· καὶ ἄρξαι ποτὲ ἄνθρωπος εἶναι, ἕως ζῇς. Φυλακτέον δὲ ἐπίσης τῷ ὀργίζεσθαι αὐτοῖς, τὸ κολακεύειν αὐτούς· ἀμφότερα γὰρ ἀκοινώνητα καὶ πρὸς βλάβην φέρει. Πρόχειρον δὲ ἐν ταῖς ὀργαῖς, ὅτι οὐχὶ τὸ θυμοῦσθαι ἀνδρικὸν, ἀλλὰ τὸ πρᾷον καὶ ἥμερον, ὥσπερ ἀνθρωπικώτερον, οὕτως καὶ ἀρρενικώτερον· καὶ ἰσχύος καὶ νεύρων καὶ ἀνδρείας τούτῳ μέτεστιν, οὐχὶ τῷ ἀγανακτοῦντι καὶ δυσαρεστοῦντι. Ὅσῳ γὰρ ἀπαθείᾳ τοῦτο οἰκειότερον, τοσούτῳ καὶ δυνάμει. Ὥσπερ τε ἡ λύπη ἀσθενοῦς, οὕτως καὶ ἡ ὀργή. Ἀμφότεροι γὰρ τέτρωνται, καὶ ἐνδεδώκασιν.

Εἰ δὲ βούλει, καὶ δέκατον παρὰ τοῦ Μουσηγέτου δῶρον λάβε, ὅτι τὸ μὴ ἀξιοῦν ἁμαρτάνειν τοὺς φαύλους μανικόν· ἀδυνάτου γὰρ ἐφίεται. Τὸ δὲ συγχωρεῖν ἀλ-

cuique pro dignitate tribuit, invitus privatur; hinc quoquo dolore afficiuntur, quum injusti, ingrati, avari, omninoque in alios peccantes audiunt.

Porro, te quoque ipsum multa peccare et alium ejusdem generis esse; atque, si quibusdam abstineas peccatis, tamen tibi esse habitum, ex quo proficiscantur, etsi ignavia aut gloriæ cupiditate aut alia mala de causa similibus abstineas.

Porro, te, an peccaverint, ne satis quidem intelligere : multa enim etiam ex prudenti dispensatione fiunt; atque omnino multa explorata haberi oportere, priusquam de aliorum actionibus certi aliquid statuas.

Porro, quando maxime stomacharis et inique fers, puncti instar esse vitam humanam et brevi nos omnes vita esse excessuros.

Porro, non eorum actiones nobis molestiam creare, quippe quæ in illorum mentibus insint, sed nostras opiniones. Tolle igitur et missum fac judicium illud, quasi malum esset, et abiit ira. Quomodo vero tollas? Reputans tecum, non esse inhonestum : nisi enim sola turpitudo esset malum, necesse esset, te quoque multa peccare et latronem et quid non? fieri.

Porro, quanto molestiora nobis adferant ira et dolor qui ex iis oriuntur, quam res ipsæ, propter quas irascimur et dolemus.

Denique, benevolentiam, si genuina, non simulata aut fucata sit, invictam esse. Quid enim tibi faciet, qui vel maxime contumeliosus est, si benevolus ei esse perrexeris, et, si occasio ita tulerit, eum placide adhortatus fueris, et eo tempore, quo te lædere conatur, quietus sic admonueris; « Absit, mi fili! ad aliam rem nati sumus : ego quidem neutiquam læsus ero, sed tu læderis, mi fili! » Atque quam lenissime et universim ei ostendere, rem sic se habere, neque apes id facere, neque alias animantes, quæ natura gregatim vivant. Oportet vero hoc neque irridendi neque exprobrandi causa te facere, sed cum sincero amoris affectu atque animo non irritato, neque vero tanquam in schola, neque ut alius, qui adstat, te admiretur, sed aut ei soli id dici oportet, aut, * si forte alii adsint.....

Horum novem capitum memento, quasi dona ea a Musis accepisses; et incipe tandem homo esse, dum vivis. Pariter vero cavendum, ne aduleris eos, quam ne irascaris : utrumque enim a societatis communione alienum est et damnum adfert. Accedente autem ira, in promptu sit, non irasci esse viri, sed lenitatem ac mansuetudinem, ut humaniorem, ita viro digniorem esse; huic robur et nervos et fortitudinem inesse, non ei, qui indignatur et offenditur. Quanto enim propinquius hoc est affectuum vacuitati, tanto etiam potentiæ propius est. Atque ut tristitia, ita etiam ira infirmi hominis est; nam uterque vulneratus est et sese dedit.

Si lubet, etiam decimum a Musarum præside donum accipe : nolle peccare pravos homines, esse insanum; quoniam appetit id, quod fieri non potest. Concedere, ut erga

λοις μὲν εἶναι τοιούτους, ἀξιοῦν δὲ μὴ εἰς σὲ ἁμαρτάνειν, ἄγνωμον καὶ τυραννικόν.

ιθ'. Τέσσαρας μάλιστα τροπὰς τοῦ ἡγεμονικοῦ παραφυλακτέον διηνεκῶς, καὶ ἐπειδὰν φωράσῃς, ἀπαλειπτέον, ἐπιλέγοντα ἐφ' ἑκάστου οὕτως· Τοῦτο τὸ φάντασμα οὐκ ἀναγκαῖον· τοῦτο λυτικὸν κοινωνίας· τοῦτο οὐκ ἀπὸ σαυτοῦ μέλλεις λέγειν· τὸ γὰρ μὴ ἀφ' ἑαυτοῦ λέγειν ἐν τοῖς ἀτοπωτάτοις νόμιζε. Τέταρτον δέ ἐστι, καθ' ὃ σεαυτῷ ὀνειδιεῖς, ὅτι τοῦτο ἡττωμένου ἐστὶ καὶ ὑποκατακλινομένου τοῦ ἐν σοὶ θειοτέρου μέρους τῇ ἀτιμοτέρᾳ καὶ θνητῇ μοίρᾳ τῇ τοῦ σώματος, καὶ ταῖς τούτου παχείαις ἡδοναῖς.

κ'. Τὸ μὲν πνευμάτιόν σου, καὶ τὸ πυρῶδες πᾶν, ὅσον ἐγκέκραται, καίτοι φύσει ἀνωφερῆ ὄντα, ὅμως πειθόμενα τῇ τῶν ὅλων διατάξει, παρακρατεῖται ἐνταῦθα ἐπὶ τοῦ συγκρίματος. Καὶ τὸ γεῶδες δὲ τὸ ἐν σοὶ πᾶν, καὶ τὸ ὑγρὸν, καίτοι κατωφερῆ ὄντα, ὅμως ἐγήγερται καὶ ἕστηκε τὴν οὐχ ἑαυτῶν φυσικὴν στάσιν. Οὕτως ἄρα καὶ τὰ στοιχεῖα ὑπακούει τοῖς ὅλοις, ἐπειδάν που καταταχθῇ, σὺν βίᾳ μένοντα, μέχρις ἂν ἐκεῖθεν πάλιν τὸ ἐνδόσιμον τῆς διαλύσεως σημήνῃ. Οὐ δεινὸν οὖν μόνον τὸ νοερόν σου μέρος ἀπειθὲς εἶναι καὶ ἀγανακτεῖν τῇ ἑαυτοῦ χώρᾳ; καίτοι οὐδέν γε βίαιον τούτῳ ἐπιτάσσεται, ἀλλ' ἃ μόνα κατὰ φύσιν ἐστὶν αὐτῷ· οὐ μέντοι ἀνέχεται, ἀλλὰ τὴν ἐναντίαν φέρεται. Ἡ γὰρ ἐπὶ τὰ ἀδικήματα, καὶ τὰ ἀκολαστήματα, καὶ τὰς ὀργὰς, καὶ τὰς λύπας, καὶ τοὺς φόβους κίνησις, οὐδὲν ἄλλο ἐστὶν ἢ ἀφισταμένου τῆς φύσεως. Καὶ ὅταν δέ τινι τῶν συμβαινόντων δυσχεραίνῃ τὸ ἡγεμονικὸν, καταλείπει καὶ τότε τὴν ἑαυτοῦ χώραν. Πρὸς ὁσιότητα γὰρ καὶ θεοσέβειαν κατεσκεύασται οὐχ ἧττον ἢ πρὸς δικαιοσύνην. Καὶ γὰρ ταῦτα ἐν εἴδει ἐστὶ τῆς εὐκοινωνησίας, μᾶλλον δὲ πρεσβύτερα τῶν δικαιοπραγημάτων.

κα'. Ὧ μὴ εἷς καὶ ὁ αὐτός ἐστιν ἀεὶ τοῦ βίου σκοπὸς, οὗτος εἷς καὶ ὁ αὐτὸς δι' ὅλου τοῦ βίου εἶναι οὐ δύναται. Οὐκ ἀρκεῖ δὲ τὸ εἰρημένον, ἐὰν μὴ κἀκεῖνο προσθῇς, ὁποῖον εἶναι δεῖ τοῦτον τὸν σκοπόν. Ὥσπερ γὰρ οὐχ ἡ πάντων τῶν ὁπωσοῦν τοῖς πλείοσι δοκούντων ἀγαθῶν ὑπόληψις ὁμοία ἐστὶν, ἀλλ' ἡ τῶν τοιῶνδέ τινων, τουτέστι τῶν κοινῶν· οὕτω καὶ τὸν σκοπὸν δεῖ τὸν κοινωνικὸν καὶ πολιτικὸν ὑποστήσασθαι. Ὁ γὰρ εἰς τοῦτον πάσας τὰς ἰδίας ὁρμὰς ἀπευθύνων πάσας τὰς πράξεις ὁμοίας ἀποδώσει, καὶ κατὰ τοῦτο ἀεὶ ὁ αὐτὸς ἔσται.

κβ'. Τὸν μῦν τὸν ὀρεινὸν, καὶ τὸν κατοικίδιον, καὶ τὴν πτοίαν τούτου καὶ διασόβησιν.

κγ'. Σωκράτης καὶ τὰ τῶν πολλῶν δόγματα Λαμίας ἐκάλει, παιδίων δείματα.

κδ'. Λακεδαιμόνιοι τοῖς μὲν ξένοις ἐν ταῖς θεωρίαις ὑπὸ τῇ σκιᾷ τὰ βάθρα ἐτίθεσαν· αὐτοὶ δὲ, οὗ ἔτυχεν, ἐκαθέζοντο.

κε'. Τῷ Περδίκκᾳ ὁ Σωκράτης περὶ τοῦ μὴ ἔρχεσθαι παρ' αὐτὸν, « Ἵνα, ἔφη, μὴ τῷ κακίστῳ ὀλέθρῳ

alios tales sint, modo non in te peccent, iniquum esse et tyrannicum.

19. Quattuor potissimum mentis aberrationes perpetuo cavendæ, et si quando eas *in te* deprehenderis, tollendæ eo, quod de singulis sic tecum loqueris : Hæc opinio non est necessaria : hoc societatis vinculum solvit : hoc non a te dicturus es ; non autem a te dicere ineptissimum habeto. Quartum est, in quo tibi ipse exprobras, proficisci id a parte tui diviniore devicta et succumbente parti corporis viliori ac mortali ejusque crassis voluptatibus.

20. Animula tua omneque igneum, quantum commistum est, quamquam natura sursum feruntur, tamen universi dispositioni obtemperantia, hic in hac massa commixta detinentur. Quidquid porro in te terrenum et humidum est, quamquam deorsum fertur, tamen sursum attollitur et statum occupat suæ ipsius naturæ non proprium. Sic igitur ipsa elementa universo obtemperant et postquam alicubi per vim collocata sunt, ibi permanent, donec iterum dissolutionis signum datur. Nonne igitur turpissimum est, solam tui partem ratione præditam esse immorigeram et locum suum indigne ferre? quamquam ei nihil quidem per vim imponitur, sed ea tantum, quæ naturæ ejus conveniunt — et tamen non sustinet, sed in adversam fertur partem : motus enim, quo ad injurias, voluptatum blanditias, iram, dolorem, metum fertur, nihil aliud est, nisi defectio a natura. Quin etiam mens, quum aliquid eorum, quæ accidunt, ægre fert, stationem suam deserit : ad pietatem enim et deorum venerationem non minus nata est, quam ad justitiam. Nam hæc quoque in eorum numero sunt, quæ ad societatem servandam faciunt, immo vero justis actionibus antiquiora.

21. Cui non unum idemque vitæ consilium est, is unus idemque per totam vitam esse non potest. Neque vero sufficit, quod dictum est, nisi etiam id addideris, quale hoc consilium esse debeat. Quemadmodum enim non eadem est opinio de bonis, quæ quoquo modo bona esse videntur multitudini, sed de certis quibusdam, hoc est, de communibus; ita etiam id consilium nobis proponendum, quod societati communi et civitati accommodatum est. Ad hoc enim qui omnes suos conatus dirigit, is actiones sibi similes præstabit, et hac ratione semper unus idemque erit.

22. Murem montanum et domesticum, et hujus pavorem et trepidationem.

23. Socrates etiam vulgi placita Lamias appellabat, puerulorum terriculamenta.

24. Lacedæmonii peregrinis sub umbra sedem assignabant in spectaculis : ipsi, ubi fors ferebat, considebant.

25. Socrates Perdiccæ, quod ad cœnam non veniebat

ἀπόλωμαι, » τουτέστι, μὴ εὖ παθὼν οὐ δυνηθῶ ἀντευποιῆσαι.

κϛʹ. Ἐν τοῖς τῶν Ἐφεσίων γράμμασι παράγγελμα ἔκειτο, συνεχῶς ὑπομιμνήσκεσθαι τῶν παλαιῶν τινος τῶν ἀρετῇ χρησαμένων.

κζʹ. Οἱ Πυθαγόρειοι, ἕωθεν εἰς τὸν οὐρανὸν ἀφορᾶν, ἵν' ὑπομιμνησκώμεθα τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως τὸ ἑαυτῶν ἔργον διανυόντων, καὶ τῆς τάξεως, καὶ τῆς καθαρότητος, καὶ τῆς γυμνότητος. Οὐδὲν γὰρ προκάλυμμα ἄστρου.

κηʹ. Οἷος ὁ Σωκράτης, τὸ κῴδιον ὑπεζωσμένος, ὅτε ἡ Ξανθίππη λαβοῦσα τὸ ἱμάτιον ἔξω προῆλθε· καὶ ἃ εἶπεν ὁ Σωκράτης τοῖς ἑταίροις αἰδεσθεῖσι καὶ ἀναχωρήσασιν, ὅτε αὐτὸν εἶδον οὕτως ἐσταλμένον.

κθʹ. Ἐν τῷ γράφειν καὶ ἀναγινώσκειν οὐ πρότερον ἄρξεις, πρὶν ἀρχθῇς. Τοῦτο πολλῷ μᾶλλον ἐν τῷ βίῳ.

λʹ. Δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου.
λαʹ. Ἐμὸν δ' ἐγέλασσε φίλον κῆρ.
λβʹ. Μέμψονται δ' ἀρετὴν χαλεποῖς βάζοντες ἔπεσσιν.

λγʹ. Σῦκον χειμῶνος ζητεῖν, μαινομένου· τοιοῦτος ὁ παιδίον ζητῶν, ὅτε οὐκ ἔτι δίδοται.

λδʹ. Καταφιλοῦντα τὸ παιδίον δεῖν, ἔλεγεν ὁ Ἐπίκτητος, ἔνδον ἐπιφθέγγεσθαι, « Αὔριον ἴσως ἀποθανῇ. » — Δύσφημα ταῦτα. — Οὐδὲν δύσφημον, ἔφη, φυσικοῦ τινος ἔργου σημαντικόν· ἢ καὶ τὸ τοὺς στάχυας θερισθῆναι δύσφημον.

λεʹ. Ὄμφαξ, σταφυλή, σταφίς, πάντα μεταβολαί, οὐκ εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν.

λϛʹ. Λῃστὴς προαιρέσεως οὐ γίνεται· τὸ τοῦ Ἐπικτήτου.

λζʹ. Τέχνην δὲ ἔφη περὶ τὸ συγκατατίθεσθαι εὑρεῖν, καὶ ἐν τῷ περὶ τὰς ὁρμὰς τόπῳ τὸ προσεκτικὸν φυλάσσειν, ἵνα μεθ' ὑπεξαιρέσεως, ἵνα κοινωνικαί, ἵνα κατ' ἀξίαν· καὶ ὀρέξεως μὲν παντάπασιν ἀπέχεσθαι, ἐκκλίσει δὲ πρὸς μηδὲν τῶν οὐκ ἐφ' ἡμῖν χρῆσθαι.

ληʹ. Οὐ περὶ τοῦ τυχόντος οὖν, ἔφη, ἐστὶν ὁ ἀγών, ἀλλὰ περὶ τοῦ μαίνεσθαι, ἢ μή.

λθʹ. Ὁ Σωκράτης ἔλεγε· Τί θέλετε; λογικῶν ψυχὰς ἔχειν, ἢ ἀλόγων; — Λογικῶν. — Τίνων λογικῶν; ὑγιῶν, ἢ φαύλων; — Ὑγιῶν. — Τί οὖν οὐ ζητεῖτε; — Ὅτι ἔχομεν. — Τί οὖν μάχεσθε καὶ διαφέρεσθε;

ΒΙΒΛΙΟΝ ΙΒ.

αʹ. Πάντα ἐκεῖνα, ἐφ' ἃ διὰ περιόδου εὔχῃ ἐλθεῖν, ἤδη ἔχειν δύνασαι, ἐὰν μὴ σαυτῷ φθονῇς. Τοῦτο δέ ἐστιν, ἐὰν πᾶν τὸ παρελθὸν καταλίπῃς, καὶ τὸ μέλλον ἐπιτρέψῃς τῇ προνοίᾳ, καὶ τὸ παρὸν μόνον ἀπευθύνῃς πρὸς ὁσιότητα καὶ δικαιοσύνην. Ὁσιότητα μέν, ἵνα φιλῇς τὸ ἀπονεμόμενον· σοὶ γὰρ αὐτὸ ἡ φύσις ἔφερε, καὶ σὲ τούτῳ. Δικαιοσύνην δέ, ἵνα ἐλευθέρως καὶ χωρὶς περιπλοκῆς λέγῃς τε τἀληθῆ, καὶ πράσσῃς τὰ κατὰ νόμον, καὶ κατ' ἀξίαν· μὴ ἐμποδίζῃ δέ σε μήτε κακία

« Ne pessimo » inquit, « interitu peream » hoc est, ne gratiam in me collatam referre nequeam.

26. In literis Ephesiorum præceptum erat, ut semper alicujus ex antiquis, qui virtuti operam dederant, reminiscerentur.

27. Pythagorei mane oculos ad cœlum tollere nos jubent, ut eorum recordemur, quæ in iisdem et eadem ratione suum semper opus perficiunt, et ordinis ac puritatis nudæque simplicitatis : nullum enim velamentum astri.

28. Qualis fuerit Socrates, ovino vellere succinctus, quum Xanthippe pallio ejus sumpto foras exisset; et quid familiaribus suis dixerit pudore suffusis ac recedentibus, quum eum sic indutum viderent.

29. Nunquam scribendi et legendi præcepta dabis, nisi prius ipse didiceris. Id multo magis in vita.

30. « Quum liber haud sis, jus loquendi non habes. »
31. « Cor meum mihi risit. »
32. « Virtuti gravibus facient convicia verbis. »

33. Ficum hieme quærere, insani est : talis est, qui liberos optat, quando non amplius datur.

34. Filiolum exosculanti præcepit Epictetus, ut intus diceret : « Cras fortasse morieris. » — At hoc mali ominis. — Nihil, inquit, mali ominis est, quod opus aliquod naturæ significat, aut etiam « spicas demeti » mali ominis.

35. Uva acerba, matura, passa, omnes mutationes non in nihilum, sed in id, quod nunc non est.

36. Liberi arbitrii latro nullus est. Hoc Epicteti.

37. Artem vero assensum præbendi monebat esse reperiendam et in loco de appetitionibus cautionem servandam, ut sint cum exceptione, ut sint societati utiles, ut cujusque rei dignitatem sequantur, atque appetentia prorsus abstinendum, aversatione autem ad nihil eorum utendum, quæ non sint in nostra potestate.

38. Non igitur, inquit, certamen est de re vulgari, sed de eo, utrum insaniamus, necne.

39. Socrates : « Quid, inquit, vultis, utrum animas habere eorum, qui ratione præditi sunt, an eorum, qui ratione carent? » — Eorum, qui ratione sunt præditi. — « Quorumnam ratione præditorum? sanorum an pravorum? » — Sanorum. — « Quare igitur eas non quæritis? » — Quoniam habemus. — « Quamobrem igitur pugnatis et contenditis? »

LIBER XII.

1. Omnia illa, quæ per ambages assequi cupis, jam nunc habere potes, nisi tibi ipse invides, hoc est, si, omisso eo, quod præteriit, et eo, quod futurum est, commisso providentiæ, id duntaxat, quod præsens est, ad sanctitatem et justitiam dirigis : ad sanctitatem, ut diligas ea, quæ tibi destinantur; tibi enim hoc tulit natura et te huic : ad justitiam, ut libere et sine ambagibus veritatem loquaris atque secundum legem et pro cujusque dignitate agas. Ne vero te impediat neque alterius malitia, neque opinio,

ἀλλοτρία, μήτε ὑπόληψις, μήτε φωνή, μηδὲ μὴν αἴσθησις τοῦ περιτεθραμμένου σοι σαρκιδίου· ὄψεται γὰρ τὸ πάσχον. Ἐὰν οὖν, ὁτεδήποτε πρὸς ἐξόδῳ γένῃ, πάντα τὰ ἄλλα καταλιπὼν, μόνον τὸ ἡγεμονικόν σου καὶ τὸ ἐν σοὶ θεῖον τιμήσῃς, καὶ μὴ τὸ παύσεσθαί ποτε (τοῦ) ζῆν φοβηθῇς, ἀλλὰ τό γε μηδέποτε ἄρξασθαι κατὰ φύσιν ζῆν· ἔσῃ ἄνθρωπος ἄξιος τοῦ γεννήσαντος κόσμου, καὶ παύσῃ ξένος ὢν τῆς πατρίδος, καὶ θαυμάζων ὡς ἀπροσδόκητα τὰ καθ' ἡμέραν γινόμενα, καὶ κρεμάμενος ἐκ τοῦδε καὶ τοῦδε.

β'. Ὁ Θεὸς πάντα τὰ ἡγεμονικὰ γυμνὰ τῶν ὑλικῶν ἀγγείων καὶ φλοιῶν καὶ καθαρμάτων ὁρᾷ. Μόνῳ γὰρ τῷ ἑαυτοῦ νοερῷ μόνων ἅπτεται τῶν ἐξ ἑαυτοῦ εἰς ταῦτα ἐῤῥυηκότων καὶ ἀπωχετευμένων. Ἐὰν δὲ καὶ σὺ τοῦτο ἐθίσῃς ποιεῖν, τὸν πολὺν περισπασμὸν σεαυτοῦ περιαιρήσεις. Ὁ γὰρ μὴ τὰ περικείμενα κρεάδια ὁρῶν, ἦπού γε ἐσθῆτα, καὶ οἰκίαν, καὶ δόξαν, καὶ τὴν τοιαύτην περιβολὴν καὶ σκηνὴν θεώμενος, ἀσχολήσεται.

γ'. Τρία ἐστὶν, ἐξ ὧν συνέστηκας, σωμάτιον, πνευμάτιον, νοῦς. Τούτων τἆλλα, μέχρι τοῦ ἐπιμελεῖσθαι δεῖν, σά ἐστι· τὸ δὲ τρίτον μόνον κυρίως σόν. Ὁ ἐὰν χωρίσῃς ἀπὸ σεαυτοῦ, τουτέστιν, ἀπὸ τῆς σῆς διανοίας, ὅσα ἄλλοι ποιοῦσιν, ἢ λέγουσιν, ἢ ὅσα αὐτὸς ἐποίησας, ἢ εἶπας, καὶ ὅσα ὡς μέλλοντα ταράσσει, καὶ ὅσα τοῦ περικειμένου σοι σωματίου, ἢ τοῦ συμφύτου πνευματίου, ἀπροαίρετα πρόσεστιν, καὶ ὅσα ἡ ἔξωθεν περιῤῥέουσα δίνη ἑλίσσει, ὥστε, τῶν συνειμαρμένων ἐξῃρημένην (καὶ) καθαρὰν τὴν νοερὰν δύναμιν, ἀπόλυτον ἐφ' ἑαυτῆς ζῆν, ποιοῦσαν τὰ δίκαια, καὶ θέλουσαν τὰ συμβαίνοντα, καὶ λέγουσαν τἀληθῆ· ἐὰν χωρίσῃς, φημὶ, τοῦ ἡγεμονικοῦ τούτου τὰ προσηρτημένα ἐκ προσπαθείας, καὶ τοῦ χρόνου τὰ ἐπέκεινα, ἢ τὰ παρῳχηκότα, ποιήσῃς τε σεαυτὸν, οἷος ὁ Ἐμπεδόκλειος

Σφαῖρος κυκλοτερὴς, μονῇ περιηθεῖ γαίων,

μόνον τε ζῆν ἐκμελετήσῃς, ὃ ζῇς, τουτέστι, τὸ παρόν· δυνήσῃ τό γε μέχρι τοῦ ἀποθανεῖν ὑπολειπόμενον ἀταράκτως καὶ εὐγενῶς καὶ ἵλεως τῷ σαυτοῦ δαίμονι διαβιῶναι.

δ'. Πολλάκις ἐθαύμασα, πῶς ἑαυτὸν μὲν ἕκαστος μᾶλλον πάντων φιλεῖ, τὴν δὲ ἑαυτοῦ περὶ αὐτοῦ ὑπόληψιν ἐν ἐλάττονι λόγῳ τίθεται ἢ τὴν τῶν ἄλλων. Ἐὰν γοῦν τινα θεὸς ἐπιστὰς, ἢ διδάσκαλος ἔμφρων, κελεύσῃ, μηδὲν καθ' ἑαυτὸν ἐνθυμεῖσθαι καὶ διανοεῖσθαι, ὃ μὴ ἅμα [γε] γινώσκων ἐξοίσει, οὐδὲ πρὸς μίαν ἡμέραν τοῦτο ὑπομενεῖ. Οὕτω τοὺς πέλας μᾶλλον αἰδούμεθα, τί ποτε περὶ ἡμῶν φρονήσουσιν, ἢ ἑαυτούς.

ε'. Πῶς ποτε πάντα καλῶς καὶ φιλανθρώπως διατάξαντες οἱ θεοὶ, τοῦτο μόνον παρεῖδον, τὸ ἐνίους τῶν ἀνθρώπων, καὶ πάνυ χρηστοὺς, καὶ πλεῖστα πρὸς τὸ θεῖον ὥσπερ συμβόλαια,θεμένους, καὶ ἐπὶ πλεῖστον δι' ἔργων ὁσίων καὶ ἱερουργιῶν συνήθεις τῷ θείῳ γενομένους, ἐπειδὰν ἅπαξ ἀποθάνωσι, μηκέτι αὖθις γίνεσθαι, ἀλλ' εἰς τὸ παντελὲς ἀπεσβηκέναι; Τοῦτο δὲ εἴπερ καὶ οὕτως

neque vox, nec vero sensus carunculæ tibi circumdatæ; nam viderit id, quod patitur. Si igitur, quocunque tandem tempore in exitu futurus sis, ceteris omnibus missis, principalem tui partem et divinam particulam magni æstimaveris neque hoc metueris, ne vivere aliquando desinas, sed ne nunquam naturæ convenienter vivere incipias; homo eris mundo, qui te protulit, dignus et desines in patria tua peregrinus esse eaque, quæ quotidie fiunt, tanquam inopinata admirari et ab hoc vel illo pendere.

2. Deus mentes omnes hisce corporeis vasis, corticibus, sordibus denudatas videt. Sola enim sua ipsius intelligentia ea tantum attingit, quæ ab ipso in illas derivata ac delibata sunt. Quod ipsum si tu quoque facere adsueveris, multa temet molestia liberabis. Qui enim carnem sibi circumdatam non respicit, is multo minus in veste, domo, gloria et alio hujusmodi cultu et apparatu contemplandis occupabitur.

3. Tria sunt, ex quibus constas: corpusculum, animula, mens. Horum reliqua, quatenus eorum cura tibi demandata est, tua sunt, tertium autem solum proprie tuum. Quamobrem si a te ipso, hoc est, a mente tua separaveris quæcumque alii dicunt et faciunt, et quæcumque ipse dixisti et fecisti et quæcunque ut futura conturbant et quæcumque vel circumdati corpusculi vel huic congenitæ animulæ non tui sunt arbitrii, et quæcunque extrinsecus circumfluens vertigo volvit, ita ut vis intelligendi rebus a fato obvenientibus exempta, pura ac libera apud se ipsam vivat, justa agens; ea, quæ accidunt, libenter accipiens et, quæ vera sunt, loquens; si, inquam, a mente hæc separaveris, quæ e communi cum corpore affectione ei adhærent et temporis id, quod futurum est, et id, quod præteriit, teque ipse feceris talem, qualis est globus Empedocleus:

« Orbis teres mansione lætifica gaudens. »

atque id tantum temporis, quod vivis, hoc est præsens, bene ut vivas studueris, poteris id, quod usque ad mortem relinquitur vitæ, tranquillus, generosus et genio tuo propitius transigere.

4. Sæpenumero mirari soleo, quomodo fiat, ut, quum sese magis quam alios quisque diligat, suam tamen ipsius de se opinionem minoris faciat, quam aliorum. Igitur si cui deus aut prudens præceptor adstans ei præciperet, ne quidquam cogitaret aut animo conciperet, quod non, simulatque conceperit, proferre posset; ne unum quidem diem id sustineret. Adeo magis alios, quid de nobis sentiant, veremur, quam nos ipsos.

5. Quomodo fit, ut dii, qui pulcre et cum singulari erga genus humanum amore omnia disposuerunt, hoc neglexerint, quod inter homines etiam ii, qui admodum probi sunt, qui quasi plurima cum diis commercia habent iisque per opera pia et sacra ministeria maxime familiares exstiterunt, postquam semel defuncti sunt, non amplius reducuntur, sed prorsus exstinguuntur? Hoc si quidem sic se

ἔχει, εὖ ἴσθι, ὅτι, εἰ ὡς ἑτέρως ἔχειν ἔδει, ἐποίησαν ἄν. Εἰ γὰρ δίκαιον ἦν, ἦν ἂν καὶ δυνατόν, καὶ εἰ κατὰ φύσιν, ἤνεγκεν ἂν αὐτὸ ἡ φύσις. Ἐκ δὴ τοῦ μὴ οὕτως ἔχειν, εἴπερ οὐχ οὕτως ἔχει, πιστούσθω σοι, τὸ μὴ δεῆσαι οὕτω γίνεσθαι. Ὁρᾷς γὰρ καὶ αὐτὸς, ὅτι τοῦτο παραζητῶν δικαιολογῇ πρὸς τὸν θεόν· οὐκ ἂν δ' οὕτω διελεγόμεθα τοῖς θεοῖς, εἰ μὴ ἄριστοι καὶ δικαιότατοί εἰσιν. Εἰ δὲ τοῦτο, οὐκ ἄν τι περιεῖδον ἀδίκως καὶ ἀλόγως ἠμελημένον τῶν ἐν τῇ διακοσμήσει.

ϛ'. Ἔθιζε καὶ ὅσα ἀπογινώσκεις. Καὶ γὰρ ἡ χεὶρ ἡ ἀριστερὰ, πρὸς τὰ ἄλλα διὰ τὸ ἀνέθιστον ἀργὸς οὖσα, τοῦ χαλινοῦ ἐῤῥωμενέστερον, ἢ ἡ δεξιὰ, κρατεῖ. Τοῦτο γὰρ εἴθισται.

ζ'. Ὁποῖον δεῖ καταληφθῆναι ὑπὸ τοῦ θανάτου καὶ σώματι καὶ ψυχῇ· τὴν βραχύτητα τοῦ βίου, τὴν ἀχάνειαν τοῦ ὀπίσω καὶ πρόσω αἰῶνος, τὴν ἀσθένειαν πάσης ὕλης.

η'. Γυμνὰ τῶν φλοιῶν θεάσασθαι τὰ αἰτιώδη· τὰς ἀναφορὰς τῶν πράξεων· τί πόνος· τί ἡδονή· τί θάνατος· τί δόξα· τίς ὁ ἑαυτῷ ἀσχολίας αἴτιος· πῶς οὐδεὶς ὑπ' ἄλλου ἐμποδίζεται· ὅτι πάντα ὑπόληψις.

θ'. Ὅμοιον δ' εἶναι δεῖ, ἐν τῇ τῶν δογμάτων χρήσει, παγκρατιαστῇ, οὐχὶ μονομάχῳ· ὁ μὲν γὰρ τὸ ξίφος, ᾧ χρῆται, ἀποτίθεται καὶ ἀναιρεῖται· ὁ δὲ τὴν χεῖρα ἀεὶ ἔχει, καὶ οὐδὲν ἄλλο, ἢ συστρέψαι αὐτὴν, δεῖ.

ι'. Ὁποῖα αὐτὰ τὰ πράγματα, ὁρᾷν, διαιροῦντα εἰς ὕλην, αἴτιον, ἀναφοράν.

ια'. Ἡλίκην ἐξουσίαν ἔχει ἄνθρωπος μὴ ποιεῖν ἄλλο, ἢ ὅπερ μέλλει ὁ θεὸς ἐπαινεῖν, καὶ δέχεσθαι πᾶν, ὃ ἂν νέμῃ αὐτῷ ὁ θεός.

ιβ'. Τὸ ἑξῆς τῇ φύσει μήτε θεοῖς μεμπτέον· οὐδὲν γὰρ ἑκόντες, ἢ ἄκοντες, ἁμαρτάνουσι· μήτε ἀνθρώποις· οὐδὲν γὰρ οὐχὶ ἄκοντες. Ὥστε οὐδενὶ μεμπτέον.

ιγ'. Πῶς γελοῖος καὶ ξένος ὁ θαυμάζων ὁτιοῦν τῶν ἐν τῷ βίῳ γινομένων;

ιδ'. Ἤτοι ἀνάγκη εἱμαρμένη, καὶ ἀπαράβατος τάξις, ἢ πρόνοια ἱλάσιμος, ἢ φυρμὸς εἰκαιότητος ἀπροστάτητος. Εἰ μὲν οὖν ἀπαράβατος ἀνάγκη, τί ἀντιτείνεις; Εἰ δὲ πρόνοια, ἐπιδεχομένη τὸ ἱλάσκεσθαι, ἄξιον σαυτὸν ποίησον τῆς ἐκ τοῦ θείου βοηθείας. Εἰ δὲ φυρμὸς ἀνηγεμόνευτος, ἀσμένιζε, ὅτι ἐν τοιούτῳ τῷ κλύδωνι αὐτὸς ἔχεις ἐν σαυτῷ τινα νοῦν ἡγεμονικόν. Κἂν παραφέρῃ σε ὁ κλύδων, παραφερέτω τὸ σαρκίδιον, τὸ πνευμάτιον, τἄλλα· τὸν γὰρ νοῦν οὐ παροίσει.

ιε'. Ἢ τὸ μὲν τοῦ λύχνου φῶς, μέχρι σβεσθῇ, φαίνει, καὶ τὴν αὐγὴν οὐκ ἀποβάλλει· ἡ δὲ ἐν σοὶ ἀλήθεια, καὶ δικαιοσύνη, καὶ σωφροσύνη προαποσβήσεται;

ιϛ'. Ἐπὶ τοῦ φαντασίαν παρασχόντος, ὅτι ἥμαρτε, Τί δαὶ οἶδα, εἰ τοῦτο ἁμάρτημα; εἰ δὲ καὶ ἥμαρτεν, ὅτι (οὐ) κατέκρινεν αὐτὸς ἑαυτόν; καὶ οὕτως ὅμοιον τοῦτο τῷ καταδρύπτειν τὴν ἑαυτοῦ ὄψιν. Ὅτι ὁ μὴ θέλων τὸν φαῦλον ἁμαρτάνειν ὅμοιος τῷ μὴ θέλοντι τὴν συκῆν ὀπὸν ἐν τοῖς σύκοις φέρειν, καὶ τὰ βρέφη κλαυθμυρίζεσθαι, καὶ τὸν ἵππον χρεμετίζειν, καὶ ὅσα

habet, certo scito, si aliter se habere deberet, deos sic res instituturos fuisse. Nam si justum esset, fieri quoque posset, et si naturæ consentaneum esset, natura id ferret. Ex eo igitur, quod non ita se habet, si quidem non ita habet, persuasum habe, non oportuisse id fieri. Ipse quoque intelligis, te in hac rei indagatione cum deo de jure disceptare, cum diis vero non ita ageremus, nisi optimi et justissimi essent. Quod si ita est, nihil contra justitiæ ac rationis legem in mundi dispositione neglectum prætermiserint.

6. Adsuesce etiam iis, quæ fieri posse desperas: nam etiam sinistra manus, quum ad alia opera ob desuetudinem iners sit, frenum tamen validius, quam dextra, tenet; ei enim rei adsueta est.

7. Qualem oporteat deprehendi a morte tum corpore tum animo; brevitatem vitæ, immensitatem ævi præteriti ac futuri et omnis materiæ imbecillitatem *considera*.

8. Nudatas corticibus contemplari formas; et quo referantur actiones; quid dolor; quid voluptas; quid mors; quid gloria; quis sibi ipse molestiarum auctor; quomodo nemo ab alio quoquam impediatur; omnia in opinione sita.

9. Similem esse oportet in decretorum usu pancratiastæ, non gladiatori; hic enim gladium, quo utitur, deponit et interficitur; ille vero manum semper præsto habet, neque alia re opus habet, quam ut manum contorqueat.

10. Quales sint res ipsæ intueri, divisione facta in materiam, formam et rationem, *in qua sunt ad alias res*.

11. Quanta homini est potentia, ut nihil aliud faciat, nisi quod Deus probaturus sit, et libenter accipiat, quidquid Deus illi assignarit.

12. Quidquid naturæ consequens est, de eo nec dii sunt accusandi, quippe qui nihil nec sponte neque inviti peccent, neque homines; hi enim nihil non inviti peccant. Ergo nihil accusandum.

13. Quam ridiculus ac peregrinus, qui quidquid est eorum, quæ in mundo fiunt, admiratur!

14. Aut necessitas fatalis et ordo inviolabilis, aut providentia placabilis, aut confusio temeraria sine summo aliquo rectore. Si igitur necessitas inviolabilis, cur reluctaris? si vero providentia, quæ placari possit, auxilio divino dignum te præsta; si mera confusio, quæ rectore caret, eo contentus esto, quod in tanto rerum fluctu in te ipso mentem aliquam rectricem habes. Quodsi æstus ille te corripuerit, carunculam, animulam et reliqua abripiat! mentem enim non abripiet.

15. An vero erit, ut lucernæ lumen, donec exstinguatur, luceat, et splendorem non amittat; in te autem veritas et justitia et temperantia prius exstinguantur?

16. Si quis opinionem tibi excitet, quasi peccavit, *tu tecum* : Num certo mihi constat, an hoc sit peccatum? aut si peccaverit, an se ipse peccati reum non damnaverit? Hoc enim perinde est ac si suum ipsius vultum dilaceret. Eum, qui nolit, improbum peccare, similem esse ei, qui nolit ficum in fructibus succum ferre, et infantes vagire et equum hinnire et quæ alia sunt necessaria. Quid enim

ἄλλα ἀναγκαῖα. Τί γὰρ πάθῃ, τὴν ἕξιν ἔχων τοιαύτην; εἰ οὖν γοργὸς εἶ, ταύτην θεράπευσον.

ιζ'. Εἰ μὴ καθήκει, μὴ πράξῃς· εἰ μὴ ἀληθές ἐστι, μὴ εἴπῃς. Ἡ γὰρ ὁρμή σου ἔστω.

ιη'. Εἰς τὸ πᾶν ἀεὶ ὁρᾷν, τί ἐστιν αὐτὸ ἐκεῖνο τὸ τὴν φαντασίαν σοι ποιοῦν, καὶ ἀναπτύσσειν, διαιροῦντα εἰς τὸ αἴτιον, εἰς τὸ ὑλικὸν, εἰς τὴν ἀναφορὰν, εἰς τὸν χρόνον, ἐντὸς οὗ πεπαῦσθαι αὐτὸ δεήσει.

ιθ'. Αἴσθου ποτὲ, ὅτι κρεῖττόν τι καὶ δαιμονιώτερον ἔχεις ἐν σαυτῷ τῶν τὰ πάθη ποιούντων, καὶ καθάπαξ τῶν νευροσπαστούντων σε. Τί μου νῦν ἐστιν ἡ διάνοια; μὴ φόβος; μὴ ὑποψία; μὴ ἐπιθυμία; μὴ ἄλλο τι τοιοῦτον;

κ'. Πρῶτον, τὸ μὴ εἰκῇ μηδὲ ἄνευ ἀναφορᾶς. Δεύτερον, τὸ μὴ ἐπ' ἄλλο τι, ἢ ἐπὶ τὸ κοινωνικὸν τέλος τὴν ἀναγωγὴν ποιεῖσθαι.

κα'. Ὅτι μετ' οὐ πολὺ οὐδεὶς οὐδαμοῦ ἔσῃ, οὐδὲ τούτων τὶ, ἃ νῦν βλέπεις, οὐδὲ τούτων τὶς τῶν νῦν βιούντων. Πάντα γὰρ μεταβάλλειν καὶ τρέπεσθαι καὶ φθείρεσθαι πέφυκεν, ἵνα ἕτερα ἐφεξῆς γίνηται.

κβ'. Ὅτι πάντα ὑπόληψις· καὶ αὐτὴ ἐπὶ σοί. Ἆρον οὖν, ὅτε θέλεις, τὴν ὑπόληψιν, καὶ ὥσπερ κάμψαντι τὴν ἄκραν γαλήνη, σταθερὰ πάντα, καὶ κόλπος ἀκύμων.

κγ'. Μία καὶ ἡτισοῦν ἐνέργεια, κατὰ καιρὸν παυσαμένη, οὐδὲν κακὸν πάσχει, καθ' ὃ πέπαυται· οὐδὲ ὁ πράξας τὴν πρᾶξιν ταύτην κατ' αὐτὸ τοῦτο, καθ' ὃ πέπαυται, κακόν τι πέπονθεν. Ὁμοίως οὖν τὸ ἐκ πασῶν τῶν πράξεων σύστημα, ὅπερ ἐστὶν ὁ βίος, ἐὰν ἐν καιρῷ παύσηται, οὐδὲν κακὸν πάσχει κατ' αὐτὸ τοῦτο, καθ' ὃ πέπαυται· οὐδὲ ὁ καταπαύσας ἐν καιρῷ τὸν εἱρμὸν τοῦτον κακῶς διετέθη. Τὸν δὲ καιρὸν καὶ τὸν ὅρον δίδωσιν ἡ φύσις, ποτὲ μὲν καὶ ἡ ἰδία, ὅταν ἐν γήρᾳ, πάντως δὲ ἡ τῶν ὅλων· ἧς τῶν μερῶν μεταβαλλόντων, νεαρὸς ἀεὶ καὶ ἀκμαῖος ὁ σύμπας κόσμος διαμένει. Καλὸν δὲ ἀεὶ πᾶν καὶ ὡραῖον τὸ συμφέρον τῷ ὅλῳ. Ἡ οὖν κατάπαυσις τοῦ βίου ἑκάστῳ οὐ κακὸν μὲν, ὅτι οὐδὲ αἰσχρόν· εἴπερ καὶ ἀπροαίρετον, καὶ οὐκ ἀκοινώνητον· ἀγαθὸν δὲ, εἴπερ τῷ ὅλῳ καίριον καὶ συμφέρον, καὶ συμφερόμενον. Οὕτω γὰρ καὶ θεοφόρητος, ὁ φερόμενος κατὰ ταὐτὰ θεῷ, καὶ ἐπὶ ταὐτὰ τῇ γνώμῃ φερόμενος.

κδ'. Τρία ταῦτα δεῖ πρόχειρα ἔχειν. Ἐπὶ μὲν ὧν ποιεῖς, εἰ μήτε εἰκῇ, μήτε ἄλλως, ἢ ὡς ἂν ἡ δίκη αὐτὴ ἐνήργησεν· ἐπὶ δὲ τῶν ἔξωθεν συμβαινόντων, ὅτι ἤτοι κατ' ἐπιτυχίαν, ἢ κατὰ πρόνοιαν· οὔτε δὲ τῇ ἐπιτυχίᾳ μεμπτέον, οὔτε τῇ προνοίᾳ ἐγκλητέον. Δεύτερον, τὸ ὁποῖον ἕκαστον ἀπὸ σπέρματος μέχρι ψυχώσεως, καὶ ἀπὸ ψυχώσεως μέχρι τοῦ τὴν ψυχὴν ἀποδοῦναι, καὶ ἐξ οἵων ἡ σύγκρισις, καὶ εἰς οἷα ἡ λύσις. Τρίτον, εἰ ἄφνω μετέωρος ἐξαρθεὶς κατασκέψαιο τὰ ἀνθρώπεια, καὶ τὴν πολυτροπίαν, ὅση, κατανοήσαις, συνιδὼν ἅμα καὶ ὅσον τὸ περιοικοῦν ἐναερίων καὶ ἐναιθερίων· ὅτι, ὁσάκις ἂν

aliud facere potuit, quum talem habitum habeat? Si igitur strenuus es, hunc habitum sana.

17. Si non convenit, noli id facere; si non est verum, noli id dicere. Tuus enim esto impetus.

18. Universum semper intueri, quid sit ipsum illud, quod opinionem in te excitat, idque diligenter explicare dividendo in causam et materiam et consilium, quo exstiterit, et tempus, intra quod finem sit habiturum.

19. Sentias fac tandem aliquando, esse aliquid in te præstantius et divinius, quam ea, quæ affectus movent atque omnino tanquam fidiculis te trahunt. Quid mihi nunc est mens? num metus? num suspicio? num libido? num aliud quid ejusmodi?

20. Primum, ne quid temere aut sine certo consilio. Deinde, ut non alio, nisi ad societatis salutem referatur.

21. Brevi neque ipse ullus usquam eris, nec quidquam eorum, quæ vides, neque eorum, qui nunc vivunt, quisquam. Omnia enim ita nata sunt, ut mutentur, vertantur, intereant, ut inde alia sua quæque serie oriantur.

22. Omnia, opinio; et hæc in te sita est. Tolle igitur, quando libet, opinionem, atque, ut promontorium prætervecto maris tranquillitas, sic tibi omnia serena et portus æstu vacans.

23. Una aliqua quæcumque demum est actio, quæ suo tempore desiit, nihil mali patitur eo, quod desiit; neque is, qui illius actionis auctor est, eo, quod illa desiit, mali quid patitur. Eodem igitur modo omnium actionum complexus, qui vita dicitur, si tempore suo desinet, nihil inde mali patitur, quod desiit, nec qui suo tempore huic seriei finem fecit, male affectus est. Tempus autem ac terminum natura constituit, interdum propria, ut in senectute, omnino autem universi natura, cujus partibus sese mutantibus, novus semper ac vegetus totus mundus permanet. Pulcrum autem semper et tempestivum, quod universo prodest. Cessatio igitur vitæ singulis quidem non est malum, quia neque inhonesta est, siquidem neque a potestate nostra pendet nec societati repugnat; bonum autem, si quidem universo tempestiva et commoda est et cum eo fertur. Ita enim etiam numine divino fertur, qui eadem, qua deus, via fertur et mente sua ad eadem fertur.

24. Hæc tria in promptu haberi oportet : in iis, quæ agis ne quid temere agas aut secus, quam ipsa justitia egisset; in iis vero, quæ extrinsecus accidunt, ea vel casu fortuito vel providentia evenire, et neque fortunam culpandam, neque de providentia querendum. Secundum, quale unumquodque sit a semente usque ad animationem, ab animatione usque dum animam reddit, ex qualibus conflatum sit, et in qualia dissolvatur. Tertium, si repente in sublime elatus res humanas cerneres, earumque, quanta esset, varietatem considerares, eodem conspectu comprehendens quantum undique aeriorum et ætheriorum sedes suas habet, te, quotiescunque evectus esses, eadem semper vi

ἐξαρθῆς, ταὐτὰ ὄψει, τὸ ὁμοειδὲς καὶ τὸ ὀλιγοχρόνιον. Ἐπὶ τούτοις ὁ τῦφος;

κε'. Βάλε ἔξω τὴν ὑπόληψιν· σέσωσαι. Τίς οὖν ὁ κωλύων ἐκβάλλειν;

κϛ'. Ὅταν δυσφορῇς ἐπί τινι, ἐπελάθου τοῦ, ὅτι πάντα κατὰ τὴν τῶν ὅλων φύσιν γίνεται, καὶ τοῦ, ὅτι τὸ ἁμαρτανόμενον ἀλλότριον, καὶ ἐπὶ τούτοις τοῦ, ὅτι πᾶν τὸ γινόμενον οὕτως ἀεὶ ἐγίνετο, καὶ γενήσεται, καὶ νῦν πανταχοῦ γίνεται, καὶ τοῦ, ὅση ἡ συγγένεια ἀνθρώπου πρὸς πᾶν τὸ ἀνθρώπειον γένος· οὐ γὰρ αἱματίου, ἢ σπερματίου, ἀλλὰ νοῦ κοινωνία. Ἐπελάθου δὲ καὶ τοῦ, ὅτι ὁ ἑκάστου νοῦς θεὸς, καὶ ἐκεῖθεν ἐῤῥύηκε· τοῦ, ὅτι οὐδὲν ἴδιον οὐδενὸς, ἀλλὰ καὶ τὸ τεκνίον, καὶ τὸ σωμάτιον, καὶ αὐτὸ τὸ ψυχάριον ἐκεῖθεν ἐλήλυθεν· τοῦ, ὅτι πάνθ' ὑπόληψις· τοῦ, ὅτι τὸ παρὸν μόνον ἕκαστος ζῇ, καὶ τοῦτο ἀποβάλλει.

κζ'. Συνεχῶς ἀναπολεῖν τοὺς ἐπί τινι λίαν ἀγανακτήσαντας, τοὺς ἐν μεγίσταις δόξαις, ἢ συμφοραῖς, ἢ ἔχθραις, ἢ ὁποιαισοῦν τύχαις ἀκμάσαντας· εἶτα ἐφιστάνειν, ποῦ νῦν πάντα ἐκεῖνα; καπνὸς, καὶ σποδὸς, καὶ μῦθος, ἢ οὐδὲ μῦθος. Συμπροσπιπτέτω δὲ καὶ τὸ τοιοῦτο πᾶν, οἷον Φάβιος Κατουλλῖνος ἐπ' ἀγροῦ, καὶ Λούσιος Λοῦπος ἐν τοῖς κήποις, καὶ Στερτίνιος ἐν Βαίαις, καὶ Τιβέριος ἐν Καπρίαις, καὶ Οὐήλιος Ῥοῦφος, καὶ ὅλως ἡ πρὸς ὁτιοῦν μετ' οἰήσεως διαφορά· καὶ ὡς εὐτελὲς πᾶν τὸ κατεντεινόμενον· καὶ ὅσῳ φιλοσοφώτερον τὸ ἐπὶ τῆς δοθείσης ὕλης ἑαυτὸν δίκαιον, σώφρονα, θεοῖς ἑπόμενον ἀφελῶς παρέχειν. Ὁ γὰρ ὑπὸ ἀτυφίᾳ τῦφος τυφόμενος, πάντων χαλεπώτατος.

κη'. Πρὸς τοὺς ἐπιζητοῦντας, « Ποῦ γὰρ ἰδὼν τοὺς θεοὺς, ἢ πόθεν κατειληφὼς, ὅτι εἰσὶν, οὕτω σέβεις; » πρῶτον μὲν καὶ ὄψει ὁρατοί εἰσιν· ἔπειτα μέντοι οὐδὲ τὴν ψυχὴν τὴν ἐμαυτοῦ ἑώρακα, καὶ ὅμως τιμῶ. Οὕτως οὖν καὶ τοὺς θεοὺς, ἐξ ὧν τῆς δυνάμεως αὐτῶν ἑκάστοτε πειρῶμαι, ἐκ τούτων, ὅτι τε εἰσὶ, καταλαμβάνω, καὶ αἰδοῦμαι.

κθ'. Σωτηρία βίου, ἕκαστον δι' ὅλου αὐτὸ τί ἐστιν ὁρᾷν, τί μὲν αὐτοῦ τὸ ὑλικὸν, τί δαὶ τὸ αἰτιῶδες· ἐξ ὅλης τῆς ψυχῆς τὰ δίκαια ποιεῖν, καὶ τἀληθῆ λέγειν. Τί λοιπόν; ἢ ἀπολαύειν τοῦ ζῆν, συνάπτοντα ἄλλο ἐπ' ἄλλῳ ἀγαθὸν, ὥστε μηδὲ τὸ βραχύτατον διάστημα ἀπολείπειν.

λ'. Ἓν φῶς ἡλίου, κἂν διείργηται τοίχοις, ὄρεσιν, ἄλλοις μυρίοις. Μία οὐσία κοινὴ, κἂν διείργηται ἰδίως ποιοῖς σώμασι μυρίοις. Μία ψυχὴ, κἂν φύσεσι διείργηται μυρίαις καὶ ἰδίαις περιγραφαῖς. Μία νοερὰ ψυχὴ, κἂν διακεκρίσθαι δοκῇ. Τὰ μὲν οὖν ἄλλα μέρη τῶν εἰρημένων, οἷον πνεύματα καὶ ὑποκείμενα, ἀναίσθητα καὶ ἀνοικείωτα ἀλλήλοις· καίτοι κἀκεῖνα τὸ νοοῦν συνέχει καὶ τὸ ἐπὶ τὰ αὐτὰ βρῖθον. Διάνοια δὲ ἰδίως ἐπὶ τὸ ὁμόφυλον τείνεται, καὶ συνίσταται, καὶ οὐ διείργεται τὸ κοινωνικὸν πάθος.

λα'. Τί ἐπιζητεῖς; τὸ διαγίνεσθαι; ἀλλὰ τὸ αἰσθάνεσθαι; τὸ ὁρμᾶν; τὸ αὔξεσθαι; τὸ λήγειν αὖθις; τὸ φωνῇ

surum esse ejusdemque generis res, easque ad breve tempus duraturas. De his fastus!

25. Ejice foras opinionem, salvus eris. Quis igitur prohibet, quominus eam ejicias?

26. Quando aliquid moleste fers, oblitus es, omnia secundum naturam universitatis fieri; tum vero, alterius peccatum a te alienum esse; præterea, omnia, quæ nunc fiant, semper ita facta esse et futura esse et nunc ubique fieri; porro, quam sancta sit hominis cum universo hominum genere cognatio, non enim sanguinis et seminis, sed mentis communio est. Oblitus vero etiam es hujus, quod animus uniuscujusque ratione præditus deus est et inde fluxit; tum porro, nihil cuiquam esse proprium, sed et filiolum et corpusculum et ipsam animulam inde fluxisse; porro, omnia in opinione sita esse, denique, unumquemque id tantum temporis, quod præsens est, et vivere et amittere.

27. Continuo recolere memoriam eorum, qui aliqua de re vehementer indignati sunt, qui summis honoribus aut calamitatibus aut inimicitiis aliave quacunque fortuna nobilitati sunt, deinde reputare, ubi nunc illa omnia? Fumus et cinis et fabula aut ne fabula quidem. Succurrant tibi porro quæ hujus generis sunt omnia, ut Fabius Catullinus rure, Lucius Lupus in hortis, Stertinius Baiis, Tiberius Capreis, Velius (?) Rufus, et quidquid est hujusmodi vehementis studii, quod opinione nititur; et quam vile omne, quod intenditur, quanto magis philosophum deceat, in quavis data materia justum, temperantem et diis simpliciter obedientem se præstare. Fastus enim sub modestia gliscens omnium maxime intolerabilis.

28. Interrogantibus, « Ubi deos conspicatus aut, unde compertum habens, eos esse, eos ita veneraris? » primum etiam visu percipi possunt; deinde vero, neque animum meum vidi et tamen eum in honore habeo. Sic igitur etiam deos ex iis, quibus quoquo tempore eorum vim experior, et esse intelligo et eos veneror.

29. Vitæ salus, res singulas ex omni parte, quid sint, intueri, quæ earum sit materia, quæ forma : toto ex animo, quæ justa sunt, facere, quæ vera sunt, dicere. Quid reliquum est? quam ut vita fruaris, bonum alii bono ita adnectens, ut ne minimum quidem spatium relinquatur.

30. Unum lumen solis, etiamsi muris, montibus, aliisque innumerabilibus dividatur. Una communis materia, etiamsi innumeris corporibus certo modo constitutis dividatur. Una anima, etiamsi naturis innumerabilibus et propriis limitibus dividatur. Unus animus ratione præditus, etiamsi diremptus esse videatur. Ceteræ vero rerum, quas dixi, partes, ut spiritus et materiæ substratæ, sensus expertes et a communionis studio alienæ : quamquam etiam has mens continet, et gravitas, quæ eas in eundem locum cogit. Mens autem singulari quodam modo ad naturas ejusdem generis fertur, neque divellitur *ab ea* societatis studium.

31. Quid præterea expetis? diutius in vita esse? an vero sentire? animo moveri? crescere? rursus denasci? voce

χρῆσθαι; τὸ διανοεῖσθαι; τί τούτων πόθου σοι ἄξιον δοκεῖ; Εἰ δὲ ἕκαστα εὐκαταφρόνητα, πρόσιθι ἐπὶ τελευταῖον, τὸ ἕπεσθαι τῷ λόγῳ καὶ τῷ θεῷ. Ἀλλὰ μάχεται τῷ τιμᾷν ταῦτα τὸ ἄχθεσθαι, εἰ διὰ τοῦ τεθνηκέναι στερήσεταί τις αὐτῶν.

uti? cogitare? Ecquid horum tibi videtur desiderio dignum? Quodsi hæc singula satis vilia sunt, progredere ad ultimum, Deum et rationem sequi. Horum autem cultui repugnat, inique ferre, si quis per mortem his cariturus sit.

λϐ'. Πόστον μέρος τοῦ ἀπείρου καὶ ἀχανοῦς αἰῶνος ἀπομεμέρισται ἑκάστῳ; τάχιστα γὰρ ἐναφανίζεται τῷ ἀϊδίῳ. Πόστον δὲ τῆς ὅλης οὐσίας; πόστον δὲ τῆς ὅλης ψυχῆς; ἐν πόστῳ δὲ βωλαρίῳ τῆς ὅλης γῆς ἕρπεις; πάντα ταῦτα ἐνθυμούμενος, μηδὲν μέγα φαντάζου, ἢ τὸ, ὡς μὲν ἡ σὴ φύσις ἄγει, ποιεῖν, πάσχειν δὲ, ὡς ἡ κοινὴ φύσις φέρει.

32. Quantula pars infiniti et immensi ævi unicuique assignata est? celerrime enim in æternitate evanescit. Quantula totius materiæ? quantula totius animæ? in quantula totius terræ glebula repis? Hæc omnia tecum reputans nihil magni facias, nisi hoc, ut agas, quemadmodum natura tua jubet, et feras, ut communis natura fert.

λγ'. Πῶς ἑαυτῷ χρῆται τὸ ἡγεμονικόν; Ἐν γὰρ τούτῳ τὸ πᾶν ἐστι. Τὰ δὲ λοιπὰ, εἰ προαιρετά ἐστιν, ἢ ἀπροαίρετα, νεκρὰ καὶ καπνός.

33. Quomodo mens se ipsa utitur? In hoc enim sita sunt omnia. Reliqua * non tui sunt arbitrii; si non tui arbitrii, cadavera et fumus.

λδ'. Πρὸς θανάτου καταφρόνησιν διεγερτικώτατον, ὅτι καὶ οἱ τὴν ἡδονὴν ἀγαθὸν καὶ τὸν πόνον κακὸν κρίνοντες, ὅμως τούτου κατεφρόνησαν.

34. Maximam vim ad mortis contemptum excitandum habet hoc, quod etiam ii, qui dolorem pro malo et voluptatem pro bono habebant, eam contempserunt.

λε'. Ὧ τὸ εὔκαιρον μόνον ἀγαθὸν, καὶ ᾧ τὸ πλείους κατὰ λόγον ὀρθὸν πράξεις ἀποδοῦναι τῷ ὀλιγωτέρας ἐν ἴσῳ ἐστὶ, καὶ ᾧ τὸν κόσμον θεωρῆσαι πλείονι, ἢ ἐλάσσονι χρόνῳ οὐ διαφέρει, τούτῳ οὐδὲ ὁ θάνατος φοβερόν.

35. Cui id tantum, quod tempestivum, bonum est, et cui perinde est, plures an pauciores secundum rectam rationem actiones exegerit, et cujus nihil refert utrum longiore an breviore temporis spatio mundum contemplatus sit, huic mors quoque non est formidini.

λς'. Ἄνθρωπε, ἐπολιτεύσω ἐν τῇ μεγάλῃ ταύτῃ πόλει· τί σοι διαφέρει, εἰ πέντε ἔτεσιν, (ἢ τρισί;) τὸ γὰρ κατὰ τοὺς νόμους ἴσον ἑκάστῳ. Τί οὖν δεινὸν, εἰ τῆς πόλεως ἀποπέμπει σε οὐ τύραννος, οὐδὲ δικαστὴς ἄδικος, ἀλλ' ἡ φύσις ἡ εἰσαγαγοῦσα; οἷον εἰ κωμῳδὸν ἀπολύει τῆς σκηνῆς ὁ παραλαβὼν στρατηγός. — Ἀλλ' οὐκ εἶπον τὰ πέντε μέρη, ἀλλὰ τὰ τρία. — Καλῶς εἶπας· ἐν μέντοι τῷ βίῳ τὰ τρία ὅλον τὸ δρᾶμά ἐστι. Τὸ γὰρ τέλειον ἐκεῖνος ὁρίζει ὁ τότε μὲν τῆς συγκρίσεως, νῦν δὲ τῆς διαλύσεως αἴτιος· σὺ δὲ ἀναίτιος ἀμφοτέρων. Ἄπιθι οὖν ἵλεως· καὶ γὰρ ὁ ἀπολύων ἵλεως.

36. Homo, civis fuisti in magna hac civitate. Quid tua interest, utrum quinque annis, an tribus? Quod enim fit secundum legem, id æquum est unicuique. Quid igitur adeo grave est, si hac civitate te emittit, non tyrannus, non injustus judex, sed natura, quæ te in eam induxit? perinde ac si histrionem idem prætor, qui eum conduxit, e scena dimittit. — Verum quinque actus fabulæ non peregi, sed tres tantum. — Recte dicis; in vita tamen etiam tres actus totam fabulam constituunt. Finem enim determinat is, qui olim concretionis auctor fuit, et nunc dissolutionis auctor est; tu vero neutrius auctor es. Abi igitur propitius; nam is quoque, qui te exsolvit, propitius est.

INDEX NOMINUM.

A

Adrianus, IV, 33; VIII, 5, 25, 37; X, 27.
Æsculapius, V, 8; VI, 43.
Agrippa, VIII, 31.
Alciphro, X, 31.
Alexander, grammaticus, I, 10. — Platonicus, I, 12 — Macedo, III, 3; VI, 24; VIII, 3; IX, 29; X, 27.
Antisthenes. Antisthenicum, VII, 36.
Antoninus, IV, 33; VI, 26, 30, 44; VIII, 25; X, 27.
Apollonius, I, 8, 17.
Archimedes, VI, 47.
Areus, VIII, 31.
Athenodotus, I, 13.
Athos, VI, 36.
Augustus, IV, 33; VIII, 5, 31.

B

Bacchius, I, 6.
Baiæ, XII, 27.
Beatorum insulæ, X, 8.
Benedicta, I, 17.
Brutus, I, 14.

C

Cæcidianus, IX, 50.
Cæsar (Gaius), III, 3; VIII, 3.
Cæso, IV, 33.
Caieta, I, 17.
Camillus, IV, 33.
Capreæ, insula, XII, 27.
Carnuntum, II, 17.
Cato, I, 14; IV, 33.
Catullinus. *Vid.* Fabius.
Catulus, I, 13.
Cecrops, IV, 23.
Celer, VIII, 25.
Chabrias, VIII, 37.
Chaldæi, III, 3.
Charax, VIII, 25.
Chrysippus, VI, 42; VII, 19.
Clotho, IV, 34.
Crates, VI, 13.
Crito, X, 31.
Crœsus, X, 27.

D

Demetrius, Platonicus, VIII, 25 — Phalereus, IX, 29.
Democritus, III, 3.
Dio, I, 14.
Diogenes, VIII, 3.
Diognetus, I, 6.
Diotimus, VIII, 25, 37.
Domitius, I, 13.

E

Empedocles, XII, 3.
Epictetus, VII, 19; XI, 34, 36; ejus libri commentarii, I, 7.
Epicurus, IX, 41.
Epitynchanus, VIII, 25.
Eudæmon, VIII, 25.
Eudoxus, VI, 47.
Euphrates, X, 31.
Eutyches, X, 31.
Eutychio, X, 31.
Eutychius, I, 6.

F

Fabius Catullinus, XII, 27.
Falernus (liquor), VI, 13.
Faustina, VIII, 25.
Fronto, I, 11.

G

Gaius. *Vid.* Cæsar.
Granuas, fluvius, I, 17.

H

Helice, IV, 48.
Helvidius, I, 14.
Heraclitus, III, 3; VI, 42, 47; VIII, 3.
Herculanum, IV, 48.
Hipparchus, VI, 47.
Hippocrates, III, 3.
Hymen, X, 31.

I, J

Julianus, IV, 50.

L

Lacedæmonii, XI, 24.
Lamia, XI, 23.
Lanuvium, I, 16.
Leonatus, IV, 33.
Lepidus, IV, 50.
Lorium, I, 16.
Lucilla, VIII, 25.
Lucius Lupus, XII, 27.
Lupus. *Vid.* Lucius.

M

Mæcenas, VIII, 31.
Marcianus, I, 6.
Maximus, I, 16, 17; VIII, 25.
Menippus, VI, 47.
Monimus, II, 15.

N

Nero, III, 16.

O

Origanio, VI, 47.

P

Panthea, VIII, 37.
Perdiccas, XI, 25.
Pergamus, VIII, 37.
Phalaris III, 16.
Philippus, IX, 29; X, 27.
Philistio, VI, 47.
Phocio, XI, 13.
Phœbus, VI, 47.
Plato, VII, 48; IX, 29; X, 48.
Pompeii, IV, 48.
Pompeius, III, 3; VIII, 3.
Pythagoras, VI, 47.
Pythagorei, XI, 27.

Q

Quadi. *Vid.* Granuas.

R

Rusticus, I, 7, 17.

S

Sarmatæ, I, 10.
Satyro, X, 31.
Scipio, IV, 33.
Secunda, VIII, 25.
Severus, I, 14; X, 31.
Sextus, I, 9.
Silvanus, X; 31.
Sinuessa, I, 7.
Socrates, I, 16; III, 3, 6; VI, 4; VII, 19, 66; VIII, 3; XI, 23, 25, 28, 39.
Socraticus, X, 31.
Stertinius, XII, 27.

T

Tandasis, I, 6,
Telauges, VII, 66.
Tiberius, XII, 27.
Trajanus, IV, 32.
Tropæophorus, X, 31.
Tuscula, I, 16.

U, V

Velius Rufus, XII, 27.
Verus, Marci avus, I, 1; VIII, 37. — Marci frater adoptivus, VIII, 25.
Vespasianus, IV, 32.
Volesus, IV, 33.

X

Xanthippe, XI, 28.
Xenocrates, VI, 13.
Xenophon, X, 31.

ΕΠΙΚΤΗΤΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ.

ΚΕΦ. α'.

1. Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν· τὰ δὲ οὐκ ἐφ' ἡμῖν. Ἐφ' ἡμῖν μὲν ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις· καὶ ἑνὶ λόγῳ ὅσα ἡμέτερα ἔργα. Οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαί· καὶ ἑνὶ λόγῳ ὅσα οὐχ ἡμέτερα ἔργα.

2. Καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαραπόδιστα· τὰ δὲ οὐκ ἐφ' ἡμῖν ἀσθενῆ, δοῦλα, κωλυτὰ, ἀλλότρια.

3. Μέμνησο οὖν ὅτι, ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, καὶ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ καὶ θεοὺς καὶ ἀνθρώπους· ἐὰν δὲ τὸ σὸν μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινὶ, ἄκων πράξεις οὐδὲ ἓν, οὐδείς σε βλάψει, ἐχθρὸν οὐχ ἕξεις· οὐδὲ γὰρ βλαβερόν τι πείσῃ.

4. Τηλικούτων οὖν ἐφιέμενος μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ' ὑπερτίθεσθαι πρὸς τὸ παρόν. Ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν οὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι· πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία περιγίνεται.

5. Εὐθὺς οὖν πάσῃ φαντασίᾳ τραχείᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον. Ἔπειτα ἐξέταζε αὐτὴν, καὶ δοκίμαζε τοῖς κανόσιν οἷς ἔχεις· πρώτῳ δὲ τούτῳ καὶ μάλιστα πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. Κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ διότι οὐδὲν πρὸς ἐμέ.

ΚΕΦ. β'.

1. Μέμνησο ὅτι ὀρέξεως ἐπαγγελία ἐπιτυχία οὗ ὀρέγῃ· ἐκκλίσεως ἐπαγγελία, τὸ μὴ περιπεσεῖν ἐκείνῳ ὃ ἐκκλίνεται· καὶ ὁ μὲν ἐν ὀρέξει ἀποτυγχάνων ἀτυχής· ὁ δὲ ἐν ἐκκλίσει περιπίπτων δυστυχής. Ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοὶ, οὐδενὶ ὧν ἐκκλίνεις περιπεσῇ· νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυστυχήσεις.

2. Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν· τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τοῦ παρόντος ἄνελε. Ἄν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡμῖν τινὸς, ἀτυχεῖν ἀνάγκη· τῶν τε ἐφ' ἡμῖν, ὅσων ὀρέγεσθαι καλὸν ἂν, οὐδὲν οὔπω σοι πάρεστι. Μόνῳ δὲ τῷ ὁρμᾷν καὶ ἀφορμᾷν χρῶ, κούφως μέντοι, καὶ μεθ' ὑπεξαιρέσεως, καὶ ἀνειμένως.

EPICTETI

MANUALE.

CAP. I.

1. Rerum aliæ quidem in nostra potestate sunt, aliæ vero in nostra potestate non sunt. In nostra sunt potestate, opinionem suscipere; impetum ad agendum capere, appetere, declinare; et uno verbo, quæcunque nostra sunt opera. In nostra potestate non sunt, corpus, possessio, aliorum de nobis opiniones, magistratus, atque uno verbo, quæcunque nostra non sunt opera.

2. Et ea quidem quæ in nostra sunt potestate, naturâ sunt libera, et talia quæ prohiberi et impediri nequeant: quæ vero in nostra non sunt potestate, imbecilla, serva, quæ prohiberi possint, aliena.

3. Memento igitur, si, quæ natura serva sunt, libera putaris, et, aliena quæ sunt, propria; fore ut impediaris, lugeas, perturberis, deos hominesque incuses: sin id quod tuum est, solum tuum esse putaris, et quod alienum, ut revera est, alienum; nemo te coget unquam, nemo te impediet, non incusabis quenquam, nec culpabis, nihil quicquam ages invitus, nemo te lædet, inimicum non habebis; neque enim noxium quid patieris.

4. Cum itaque tanta expetas, memento non oportere mediocriter commotum ea attingere; sed *eorum, quæ penes te non sunt*, alia omnino missa facere, alia in præsens differre. Si autem et ista expetas, et magistratum gerere, et dives esse; fortasse neque hæc ipsa consequere, quippe qui priora ista quoque expetas: at illa certe nullo modo consequeris, quibus solis felicitas ac libertas comparatur.

5. Statim igitur omni aspero viso responsare stude, ac dicere, Visum es, ac nullo modo id quod esse videris. Deinde explora illud atque exige ad has, quas habes, regulas; et ad hanc primam vel maxime, utrum circa ea versetur quæ in nostra potestate sunt, aut quæ in nostra potestate non sunt. Quodsi circa aliquod eorum versetur, quæ in nostra potestate non sunt, promptum hoc esto, Nihil ad me.

CAP. II.

1. Appetitionis professionem esse memento adeptionem ejus quod appetas; declinationis professionem, non incidere in id quod declinatur: et esse eum, quem appetitio frustratur, infortunatum; qui vero in id incidit quod declinat, esse miserum. Si itaque ea sola declinaveris, quæ in tua potestate sunt, quæ nempe ex his contra naturam sunt; in eorum, quæ declinas, nihil incides. At si morbum declinas, aut mortem, aut paupertatem, eris miser.

2. Aufer igitur declinationem ab omnibus quæ in nostra potestate non sunt, eamque transfer ad ea in nostra potestate sita, quæ sunt contra naturam [*id est* ad prava facta]: appetitionem vero prorsus in præsens tolle. Nam si quicquam eorum, quæ in nostra non sunt potestate, appetis, infortunatum te esse necesse est: quæ autem in nostra potestate sita appetere pulchrum honestumque foret, eorum nihil adhuc quidem tibi adest. At impetu solo utere, quem sponte tua vel capias vel retineas, verum leviter, et cum exceptione, et remisse.

ΚΕΦ. γ'.

Ἐφ' ἑκάστου τῶν ψυχαγωγούντων, ἢ χρείαν παρεχόντων, ἢ στεργομένων, μέμνησο ἐπιλέγειν ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρξάμενος· ἂν χύτραν στέργῃς, ὅτι χύτραν στέργω· κατεαγείσης γὰρ αὐτῆς, οὐ ταραχθήσῃ· ἂν παιδίον σαυτοῦ καταφιλῇς, ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλεῖς· ἀποθανόντος γὰρ, οὐ ταραχθήσῃ.

ΚΕΦ. δ'.

Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον. Ἐὰν λουσόμενος ἀπίῃς, πρόβαλλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ, τοὺς ἀποῤῥαίνοντας, τοὺς ἐγκρουομένους, τοὺς λοιδοροῦντας, τοὺς κλέπτοντας· καὶ οὕτως ἀσφαλέστερον ἅψῃ τοῦ ἔργου, ἐὰν ἐπιλέγῃς εὐθὺς, ὅτι λούσασθαι θέλω, [θέλω δὲ] καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. Καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου· οὕτω γὰρ, ἄν τι πρὸς τὸ λούσασθαι γένηται ἐμποδὼν, πρόχειρον ἔσται, διότι ἀλλ' οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· οὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

ΚΕΦ. ε'.

Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα· οἷον ὁ θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο· ἀλλὰ τὸ δόγμα τὸ περὶ τοῦ θανάτου, διότι δεινὸν, ἐκεῖνο τὸ δεινόν ἐστιν. Ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταρασσώμεθα, ἢ λυπώμεθα, μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τοῦτ' ἔστι τὰ ἑαυτῶν δόγματα. Ἀπαιδεύτου ἔργον τὸ ἄλλοις ἐγκαλεῖν ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδευμένου, τὸ μήτε ἄλλῳ, μήτε ἑαυτῷ.

ΚΕΦ. ς'.

Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. Εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν· σὺ δὲ ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππου ἀγαθῷ ἐπαίρῃ. Τί οὖν ἐστι σόν; Χρῆσις φαντασιῶν. Ὥσθ', ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπάρθητι. Τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

ΚΕΦ. ζ'.

Καθάπερ ἐν πλῷ, τοῦ πλοίου καθορμισθέντος, εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον καὶ κοχλίδιον ἀναλέξῃ καὶ βολβάριον· τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον, καὶ συνεχῶς ἐπιστρέφεσθαι μή ποτε ὁ κυβερνήτης καλέσῃ· κἂν καλέσῃ, πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς ὡς τὰ πρόβατα. Οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ἀντὶ βολβαρίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον, ἀφεὶς

CAP. III.

Singulis in rebus, quæ vel animum oblectant, vel usum præstant, vel diliguntur, memento conceptis verbis subjicere, qualis sit earum quæque, a minutissimis exorsus. Si ollam diligis, dic, Ollam diligo : sic enim, ea confracta, non conturbaberis. Si puellum tuum oscularis, aut uxorem, dic te hominem osculari : sic, eo mortuo, non conturbaberis.

CAP. IV.

Opus aliquod aggressurus, ipse tibi in memoriam revoca, cujusmodi sit illud opus. Si lavatum abieris, ea tibi propone quæ fiunt in balneo; eos qui aqua perfundunt socios, qui trudunt, qui convicia faciunt, qui furantur : atque ita tutius rem aggredieris, si statim ipse tibi dicas, Lavare volo, verum etiam animi mei propositum naturæ congruens servare. Et similiter in singulis operibus. Sic enim, si quid inter lavandum impedimenti accidat, promptum erit, Non hoc volebam tantum, sed et animi mei propositum naturæ consentaneum servare : non servabo autem, si ea, quæ fiunt, ægre tulero.

CAP. V.

Perturbant homines non res ipsæ, sed ipsorum de rebus decreta. Verbi caussa, mors nihil terribile est; alioquin et Socrati ita visum esset : sed nostrum de morte decretum, esse eam aliquid terribile, hoc est illud terribile. Cum itaque impedimur, aut perturbamur, aut contristamur, nunquam alium incusemus, sed nos ipsos, hoc est, nostra decreta. Alios incusare, ob quæ sibi male est, hominis est ineruditi; ejus qui erudiri cœpit, se ipsum; eruditi, neque alios, neque se ipsum.

CAP. VI.

Ob nullam alienam efferaris præstantiam. Si equus sese efferens diceret, Pulcher sum; ferendum id esset : tu vero cum dicis superbia elatus, Pulchrum equum habeo; scito te ob equi bonum superbire. Quid igitur tuum est? Usus visorum. Quapropter, cum in usu visorum naturæ convenienter verseris, tum vero te efferes : tunc enim tuo aliquo bono effereris.

CAP. VII.

Quemadmodum in itinere maritimo, nave prope terram in ancoris stante, si aquatum exieris, possis quidem obiter et cochleolam colligere et bulbulum; oportet autem animo in navigium intento sis, et continenter respicias an forte gubernator vocet; qui si vocaverit, relinquenda tibi sunt illa omnia, ne vinctus, ad instar pecudum, in navim conjiciaris. Sic quoque in vita, si pro bulbo et cochleola detur uxorcula et puellus, nihil prohibebit : quodsi autem

ἐκεῖνα ἅπαντα, μηδὲ ἐπιστρεφόμενος. Ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακράν, μή ποτε καλοῦντος ἐλλίπῃς.

ΚΕΦ. η'.

Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται· καὶ εὐροήσεις.

ΚΕΦ. θ'.

Νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. Χώλανσις σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ. Καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ.

ΚΕΦ. ι'.

Ἐφ' ἑκάστου τῶν προσπιπτόντων μέμνησο, ἐπιστρέφων ἐπὶ σεαυτόν, ζητεῖν τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. Ἐὰν καλὸν ἴδῃς, ἢ καλήν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν· ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν· ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. Καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.

ΚΕΦ. ια'.

Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς, ὅτι ἀπώλεσα αὐτό· ἀλλ', ὅτι ἀπέδωκα. Τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. Ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. Τὸ χωρίον ἀφῃρέθην· οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. Ἀλλὰ κακὸς ὁ ἀφελόμενος. Τί δὲ σοὶ μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, ὡς τοῦ πανδοχείου οἱ παριόντες.

ΚΕΦ. ιβ'.

1. Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπιλογισμούς· Ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται. Κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον· κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα.

2. Ἄρξαι τοιγαροῦν ἀπὸ τῶν σμικρῶν. Ἐκχεῖται τὸ ἐλάδιον, κλέπτεται τὸ οἰνάριον; ἐπίλεγε ὅτι τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν περιγίνεται. Ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύναται μὴ ὑπακοῦσαι, καὶ ὑπακούσας μηδὲν ποιῆσαι ὧν θέλεις· ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ τὸ σὲ μὴ ταραχθῆναι.

ΚΕΦ. ιγ'.

Εἰ προκόψαι θέλεις, ὑπόμεινον ἕνεκα τῶν ἐκτὸς ἀνόητος δόξας καὶ ἠλίθιος. Μηδὲν βούλου δοκεῖν ἐπίστασθαι· κἂν δόξῃς τις εἶναί τισιν, ἀπίστει σεαυτῷ. Ἴσθι γὰρ ὅτι οὐ ῥᾴδιον τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι καὶ τὰ ἐκτός, ἀλλὰ τοῦ ἑτέρου ἐπιμελούμενον, τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.

gubernator vocarit, curre ad navim, relictis illis omnibus, ne respiciens quidem. Quodsi senex sis, cave unquam longe a navi recedas, ne quando, cum ille vocet, deficias.

CAP. VIII.

Ne poscas ut ea, quæ fiunt, fiant ut vis; sed quæ fiunt, ea velis sicuti fiunt; et tranquillo vitæ cursu uteris.

CAP. IX.

Morbus corporis est impedimentum; mentis non item, nisi ipsa velit. Claudicatio cruris est impedimentum; mentis non item. Atque hoc in singulis quæ indicunt rebus dixeris : illas enim alterius cujusdam impedimentum invenies, non vero tui.

CAP. X.

Quicquid inciderit, memento in te ipsum conversus quærere, quam facultatem ad illius usum habeas. Si formosum formosamve videris, facultatem ad hæc invenies continentiam : si labor objectus fuerit, tolerantiam invenies : si convicium, patientiam. Atque sic adsuetum non te secum abripient visa.

CAP. XI.

Nunquam de aliqua re te perdidisse illam dicas, sed reddidisse. Filiolus obiit? redditus est. Uxor obiit? reddita est. Prædium, *inquis,* mihi est ereptum. Ergo et hoc redditum. At improbus est qui eripuit. Quid id tua refert, per quem is qui dederat repetierit? quam diu autem habere dederit, ejus tanquam alienæ rei curam habeto, quemadmodum hospitii viatores.

CAP. XII.

1. Si proficere cupis, hujusmodi ratiocinationes missas facito : Si mea neglexero, non habeo unde vivam : si puerum castigaro, malus erit. Satius est enim fame emori, mœroris ac metus expertem, quam copiis omnium rerum abundantem animo vivere perturbato. Satius quoque est, puerum esse malum, quam te miserum.

2. A parvis igitur rebus fac initium. Effunditur parum quod habes olei? villum surripitur? subjice ipse tibi, Tanti emitur perturbationum vacuitas, tanti tranquillitas animi : gratis vero nihil acquiritur. Cum autem puerum vocas, cogita tecum, posse illum non audire; atque etiam, si audierit, nihil eorum agere quæ velis : at ei non tam bene esse ut ex ipsius arbitrio pendeat, te non perturbari.

CAP. XIII.

Si proficere vis, perfer si rerum externarum caussa amens ac fatuus videaris. Nihil velis videri scire; et si quibus esse aliquis videare, ipse tibi diffidito. Scito enim, non facile esse, voluntatem tuam naturæ consentaneam servare, et res externas; sed omnino necesse esse, ut, si alterum cures, alterum negligas.

ΚΕΦ. ιδ΄.

1. Ἐὰν θέλῃς τὰ τέκνα σου καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπὶ σοὶ θέλεις ἐπὶ σοὶ εἶναι, καὶ τὰ ἀλλότρια σὰ εἶναι. Οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι. Ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. Τοῦτο οὖν ἄσκει, ὃ δύνασαι.

2. Κύριος ἑκάστου ἐστὶν ὁ τῶν ὑπ' ἐκείνου θελομένων ἢ μὴ θελομένων ἔχων τὴν ἐξουσίαν, εἰς τὸ περιποιῆσαι ἢ ἀφελέσθαι. Ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις· εἰ δὲ μή, δουλεύειν ἀνάγκη.

CAP. XIV.

1. Si vis liberos tuos et uxorem et amicos semper vivere, stultus es : nam quæ in tua potestate non sunt, ea in potestate tua esse vis, et aliena quæ sunt, esse tua. Sic quoque si puerum peccare non vis, fatuus es : vis enim pravitatem non esse pravitatem, sed aliud quidpiam. Si vero appetens aliquid, eo non vis excidere, hoc potes. Quod potes igitur, hoc exerce.

2. Cujusque dominus is est, qui eorum, quæ ille vult aut non vult, potestatem habet, ita ut ei vel conferre ea possit vel auferre. Quisquis igitur liber esse vult, is nec velit quidquam nec fugiat ex iis, quæ in aliorum sunt potestate : id ni fecerit, serviat necesse est.

ΚΕΦ. ιε΄.

Μέμνησο πῶς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι. Περιφερόμενον γέγονέ τι κατὰ σέ; ἐκτείνας τὴν χεῖρα κοσμίως μετάλαβε. Παρέρχεται; μὴ κάτεχε. Οὔπω ἥκει; μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε μέχρις ἂν γένηται κατὰ σέ. Οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης. Ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. Οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο.

CAP. XV.

Memento quo pacto quam in convivio debeas versari. Aliquid quod circumfertur ad te devenit? porrecta manu modeste cape. Præterit? ne detineas. Nondum adest? ne appetitionem tuam ex longinquo intende; sed exspecta, donec ad te venerit. Sic circa liberos versare, sic circa uxorem, sic circa magistratus, sic circa divitias; et aliquando eris dignus deorum conviva. Quodsi vero etiam proposita tibi non acceperis, sed despexeris, non modo conviva deorum, sed et collega eris. Sic enim cum facerent Diogenes et Heraclitus, atque his similes, merito divini et erant, et dicebantur.

ΚΕΦ. ις΄.

Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ· πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός· ἀλλ' εὐθὺς ἔστω πρόχειρον, ὅτι τοῦτον θλίβει οὐ τὸ συμβεβηκός· ἄλλον γὰρ οὐ θλίβει· ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. Μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, καὶ συνεπιστενάξαι· πρόσεχε μέντοι μὴ καὶ ἔσωθεν στενάξῃς.

CAP. XVI.

Cum ejulantem aliquem videris in luctu, sive quod peregre abierit ejus filius aut facultates amiserit suas, cave ne te visum una abripiat, quasi in malis ille sit externis : sed statim sit tibi in promptu ut dicas : Non hunc torquet id quod accidit; alium quippe non torquet; sed id, quod de eo habet, decretum. Ne tamen pigeat sermone tenus illi te ipsum accommodare, atque adeo, si res ita tulerit, simul ingemiscere : cave vero ne etiam intrinsecus gemas.

ΚΕΦ. ιζ΄.

Μέμνησο ὅτι ὑποκριτὴς εἶ δράματος, οἵου ἂν θέλῃ ὁ διδάσκαλος· ἂν βραχύ, βραχέος· ἂν μακρόν, μακροῦ· ἂν πτωχὸν ὑποκρίνασθαί σε θέλῃ, ἵνα καὶ τοῦτον εὐφυῶς ὑποκρίνῃ· ἂν χωλόν, ἂν ἄρχοντα, ἂν ἰδιώτην. Σὸν γὰρ τοῦτ' ἔστι, τὸ δοθὲν ὑποκρίνασθαι πρόσωπον καλῶς· ἐκλέξασθαι δ' αὐτό, ἄλλου.

CAP. XVII.

Memento te actorem esse, cujuscumque magister velit, fabulæ; si brevem velit, brevis; si longam, longæ : si pauperis personam agere te velit, ut et hunc dextre agas; item, si claudum, si magistratum, si plebeium. Tuum enim hoc est, datam personam bene agere; eam autem eligere, alterius.

ΚΕΦ. ιη΄.

Κόραξ ὅταν μὴ αἴσιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε ὅτι τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησειδίῳ μου, ἢ τῷ δοξαρίῳ μου, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί. Ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω· ὅ τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν ὠφεληθῆναι ἀπ' αὐτοῦ.

CAP. XVIII.

Corvus si inauspicatum crocitarit, ne te visum una abripiat; sed statim apud te distingue, et dic, Nihil mihi istorum portenditur, sed aut corpusculo meo, aut reculæ meæ, aut gloriolæ meæ, aut liberis, aut uxori. Mihi vero fausta omnia portenduntur, si ego voluero : quicquid enim istorum evenerit, in mea est potestate, ut ex iis fructum capiam.

ΚΕΦ. ιθ'.

1. Ἀνίκητος εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι.

2. Ὅρα μήποτε ἰδών τινα προτιμώμενον, ἢ μέγα δυνάμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς ὑπὸ τῆς φαντασίας συναρπασθείς. Ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ οὐσία τοῦ ἀγαθοῦ ᾖ, οὔτε φθόνος, οὔτε ζηλοτυπία χώραν ἔχει· σύ τε αὐτὸς οὐ στρατηγὸς, οὐ πρύτανις, ἢ ὕπατος εἶναι θελήσεις, ἀλλ' ἐλεύθερος. Μία δὲ ὁδὸς πρὸς τοῦτο, καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν.

ΚΕΦ. κ'.

Μέμνησο ὅτι οὐχ ὁ λοιδορῶν ἢ ὁ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτων, ὡς ὑβριζόντων. Ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθικε. Τοιγαροῦν ἐν πρώτοις πειρῶ ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι· ἂν γὰρ ἅπαξ χρόνου καὶ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

ΚΕΦ. κα'.

Θάνατος, καὶ φυγὴ, καὶ πάντα τὰ δεινὰ φαινόμενα πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν, μάλιστα δὲ πάντων ὁ θάνατος· καὶ οὐδὲν οὐδέποτε οὔτε ταπεινὸν ἐνθυμηθήσῃ, οὔτε ἄγαν ἐπιθυμήσεις τινός.

ΚΕΦ. κβ'.

Εἰ φιλοσοφίας ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρούντων ὅτι Ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε· καὶ, Πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; Σὺ δὲ ὀφρὺν μὲν μὴ σχῇς· τῶν δὲ βελτίστων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ θεοῦ τεταγμένος εἰς ταύτην τὴν χώραν· μέμνησό τε διότι, ἐὰν μὲν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου τὸ πρότερον, οὗτοί σε ὕστερον θαυμάσονται· ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

ΚΕΦ. κγ'.

Ἐάν ποτέ σοι γένηται ἔξω στραφῆναι πρὸς τὸ βούλεσθαι ἀρέσαι τινὶ, ἴσθι ὅτι ἀπώλεσας τὴν ἔνστασιν. Ἀρκοῦ οὖν ἐν παντὶ τῷ εἶναι φιλόσοφος. Εἰ δὲ καὶ δοκεῖν βούλει [τῳ εἶναι,] σαυτῷ φαίνου· καὶ ἱκανὸς ἔσῃ.

ΚΕΦ. κδ'.

1. Οὗτοί σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, Ἄτιμος ἐγὼ βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. Εἰ γὰρ ἡ ἀτιμία ἐστὶ κακὸν, οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ. Μήτι οὖν σόν ἐστιν ἔργον τὸ ἀρχῆς τυχεῖν, ἢ παραληφθῆναι ἐφ' ἑστίασιν; οὐδαμῶς. Πῶς οὖν ἔτι τοῦτ' ἔστιν ἀτιμία; πῶς δὲ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα δεῖ τοῖς ἐπὶ σοὶ, ἐν οἷς ἔξεστί σοι εἶναι πλείστου ἀξίῳ;

2. Ἀλλά σοι οἱ φίλοι ἀβοήθητοι ἔσονται. Τί λέγεις τὸ ἀβοήθητοι; οὐχ ἕξουσι παρά σου κερμάτιον, οὐδὲ

CAP. XIX.

1. Invictus esse potes, si in nullum certamen descendas, quo in tua potestate non est vincere.

2. Vide ne, si quem præ aliis honore aut potentia præditum, aut alioqui florentem videris, illum beatum prædices, a viso una abreptus. Si enim in iis, quæ in nostra potestate sunt, substantia boni est; nec invidia, nec prava æmulatio locum habebit: tu vero ipse non imperator, non præfectus, aut consul esse voles, sed liber. Unica autem via est quæ eo ducit, contemptus eorum quæ in nostra potestate non sunt.

CAP. XX.

Memento non eum, qui convicietur aut verberet, injuriam facere, sed quod de his est decretum, tanquam injuriam facientibus. Cum igitur te aliquis irritavit, ab opinione tua te irritatum esse scito. Quapropter in primis tenta, ne a viso statim abripiaris: nam si semel tempus et moram nactus fueris, facilius ipse tibi imperabis.

CAP. XXI.

Mors, et exsilium, et omnia quæ terribilia videri solent, ob oculos tibi quotidie versentur; maxime vero omnium mors; ita neque quidquam humile cogitabis unquam, neque quidquam nimis cupies.

CAP. XXII.

Si philosophiæ te amor tenet, continuo ita te para, tanquam futurum sit ut risu atque sannis excipiaris multorum, dicturorum, Repente philosophus nobis rediit: et, Unde hoc nobis supercilium? Tu vero supercilium ne habeto; sed quæ tibi optima videntur, ita tene, tanquam qui a deo sis in ea statione collocatus; et memento, si in iisdem permanseris, eos qui te antea deridebant, postea te admiraturos; sin his cesseris, duplo majori risu te exceptum iri.

CAP. XXIII.

Si quando ad externa te converti acciderit, eo quod alicui placere velis, scito te institutum tuum perdidisse. Quare in omnibus rebus illud tibi satis sit, esse te philosophum: quodsi cui etiam esse videri velis, fac ut tibi ipsi talis appareas: et hoc consequi poteris.

CAP. XXIV.

1. Hæ te cogitationes ne affligant, Ignobilis ego vivam, et nulla usquam in existimatione ero. Si enim ignobilitas malum est, non potes in malo esse per alium, non magis quam in turpitudine. Numquid ergo tuum est opus magistratum consequi, aut convivio excipi? Minime. Quomodo igitur tandem ignobilitas hoc censeri potest? quomodo etiam in nulla existimatione eris usquam, quem in iis solis, quæ in tua potestate sunt, aliquem esse oportet, quibus in rebus tibi quantivis esse pretii licet?

2. At amici sine auxilio tibi relinquentur. Quid vocas, Sine auxilio? non pecuniolam abs te habituri sunt; nec eos

πολίτας Ῥωμαίων αὐτοὺς ποιήσεις; Τίς οὖν σοι εἶπεν ὅτι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστιν, οὐχὶ δὲ ἀλλότρια ἔργα; τίς δὲ δοῦναι δύναται ἑτέρῳ ἃ μὴ ἔχει αὐτός; Κτῆσαι οὖν, φησίν, ἵνα ἡμεῖς ἔχωμεν.

3. Εἰ δύναμαι κτήσασθαι τηρῶν ἐμαυτὸν αἰδήμονα καὶ πιστὸν καὶ μεγαλόφρονα, δείκνυε τὴν ὁδόν, καὶ κτήσομαι. Εἰ δ' ἐμὲ ἀξιοῦτε τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ ἀπολέσαι, ἵνα ὑμεῖς τὰ μὴ ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε ὑμεῖς πῶς ἄνισοί ἐστε, καὶ ἀγνώμονες. Τί δὲ καὶ βούλεσθε μᾶλλον; ἀργύριον, ἢ φίλον πιστὸν καὶ αἰδήμονα; Εἰς τοῦτο οὖν μοι μᾶλλον συλλαμβάνετε· καὶ μὴ δι' ὧν ἀποβαλῶ αὐτὰ ταῦτα, ἐκεῖνά με πράσσειν ἀξιοῦτε.

4. Ἀλλ' ἡ πατρὶς ὅσον ἐπ' ἐμοί, φησίν, ἀβοήθητος ἔσται. Πάλιν, ποίαν καὶ ταύτην βοήθειαν; στοὰς οὐχ ἕξει διὰ σέ, οὔτε βαλανεῖα. Καὶ τί τοῦτο; οὐδὲ γὰρ ὑποδήματα ἔχει διὰ τὸν χαλκέα, οὐδ' ὅπλα διὰ τὸν σκυτέα· ἱκανὸν δέ, ἐὰν ἕκαστος ἐκπληρώσῃ τὸ ἑαυτοῦ ἔργον. Εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφέλεις; Ναί. Οὐκοῦν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ.

5. Τίνα οὖν ἕξω, φησί, χώραν ἐν τῇ πόλει; Ἣν ἂν δύνῃ, φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. Εἰ δὲ ἐκείνην ὠφελεῖν βουλόμενος ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

ΚΕΦ. κε'.

1. Προετιμήθη σού τις ἐν ἑστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακά, μὴ ἄχθου ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες· μέμνησο δὲ ὅτι οὐ δύνασαι, μὴ ταὐτὰ ποιῶν πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι.

2. Πῶς γὰρ ἴσον ἔχειν δύναται ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινὸς τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐπαινοῦντι; Ἄδικος οὖν ἔσῃ καὶ ἄπληστος, εἰ μὴ προϊέμενος ταῦτα ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν.

3. Ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, ἂν οὕτω τύχῃ. Ἂν οὖν τις προέμενος τὸν ὀβολὸν λάβῃ θρίδακας, σὺ δὲ μὴ προέμενος μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος· ὡς γὰρ ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολόν, ὃν οὐκ ἔδωκας.

4. Τὸν αὐτὸν δὴ τρόπον καὶ ἐνταῦθα. Οὐ παρεκλήθης ἐφ' ἑστίασιν τινός; οὐ γὰρ ἔδωκας τῷ καλοῦντι ὅσου πωλεῖ τὸ δεῖπνον· ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. Δὸς οὖν τὸ διάφορον, εἴ σοι λυσιτελεῖ, ὅσου πωλεῖται. Εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ καὶ ἀβέλτερος.

5. Οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν τὸ μὴ ἐπαινέσαι τοῦτον ὃν οὐκ ἤθελες, τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

ΚΕΦ. κς'.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους· οἷον ὅταν ἄλλου παιδάριον

in Romanam civitatem ascribes? Et quis tibi dixit, hæc in iis esse quæ in nostra sunt potestate, ac non potius aliena opera? quis autem alii dare potest, quæ ipse non habet? Compara igitur, aiunt, ut et nos habeamus.

3. Si possim comparare, conservata verecundia, fide et magnanimitate, monstra viam, et comparabo. Sin id a me postuletis, ut meamet ego bona perdam, quo vos, quæ bona non sunt, consequamini; videte vos ipsi, quam iniqui sitis et desipientes. Utrum vero mavultis? pecuniamne, an amicum fidum et verecundum? In hoc ergo potius operam mihi vestram conferte; non autem ut ea agam, per quæ perdam istud, postulate.

4. At patria, inquit, quantum in mea potestate situm est, auxilio carebit. Rursus, quodnam tu istud vocas auxilium? porticus per te non habebit, nec balnea? Et quid inde? neque enim calceos habet per fabrum ferrarium, neque arma per sutorem. Satis vero fuerit, suo quemque fungi munere. At si quem alium ei civem parares, fidum et verecundum, nihilne illam juvares? Ita vero. Proinde ne tu quidem inutilis ei fueris.

5. Quem igitur tenebo, inquit, locum in civitate? Quemcunque possis ita tenere, ut simul fidum te ac verecundum serves. Quodsi, dum illi prodesse vis, hæc perdas, quam illi utilitatem afferes, qui impudens et infidus evaseris?

CAP. XXV.

1. Est tibi prælatus aliquis in convivio, aut in salutatione, aut in assumtione ad consilium? si quidem hæc bona sunt, gratulari debes illi, cui ea contigerint: sin mala, ne doleas te illa non adeptum. Memento autem haud posse te, non eadem facientem ad consequenda illa quæ in nostra potestate non sunt, æqualia mereri.

2. Quomodo enim tantundem habere potest, qui fores alicujus non frequentat, quantum qui frequentat? qui non deducit, quantum qui deducit? qui non laudat, quantum qui laudat? injustus igitur eris et inexplebilis, si non numerato eo pretio quo illa veneunt, gratis illa accipere volueris.

3. At quanti veneunt lactucæ? Obolo fortasse. Si quis igitur dato obolo, lactucas acceperit; tu autem pretio non numerato, non acceperis, haud minus eo qui accepit te habere putes: ut enim ille lactucas habet, sic tu obolum quem non dedisti.

4. Ad eundem igitur modum et hic se res habet. Ad convivium alicujus non es vocatus? neque enim dedisti quanti cœnam ille vendit: atqui laude eam vendit, ministerio vendit. Da igitur pretium, si e re tua est, quanti venit. Quodsi nec illa vis præstare, et hæc accipere, inexplebilis es et stolidus.

5. Nihil igitur cœnæ vice habes? immo habes; non laudasse eum quem nolebas; non pertulisse janitorum insolentiam.

CAP. XXVI.

Naturæ consilium ex iis rebus, de quibus nulla inter nos controversia est, cognosci potest: exempli gratia; si vicini

κατεάξῃ τὸ ποτήριον, πρόχειρον εὐθὺς λέγειν ὅτι τῶν γινομένων ἐστίν. Ἴσθι οὖν ὅτι, ὅταν καὶ τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τὸ τοῦ ἄλλου κατεάγη. Οὕτω μετατίθει καὶ ἐπὶ τὰ μείζονα. Τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή; οὐδείς ἐστιν ὃς οὐκ ἂν εἴποι ὅτι ἀνθρώπινον. Ἀλλ᾽ ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς, Οἴμοι, τάλας ἐγώ. Ἐχρῆν δὲ μεμνῆσθαι τί πάσχομεν περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

ΚΕΦ. κζ'.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται· οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

ΚΕΦ. κη'.

Εἰ μὲν τὸ σῶμά σού τις ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχθῇ ἐκείνη καὶ συγχυθῇ, οὐκ αἰσχύνῃ τούτου ἕνεκα;

ΚΕΦ. κθ'.

1. Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ᾽ αὐτό· εἰ δὲ μή, τὴν μὲν πρώτην προθύμως ἥξεις, ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος, ὕστερον δὲ, ἀναφανέντων δυσχερῶν τινων, αἰσχρῶς ἀποστήσῃ.

2. Θέλεις Ὀλύμπια νικῆσαι; κἀγὼ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν. Ἀλλὰ σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα, καὶ οὕτως ἅπτου τοῦ ἔργου. Δεῖ σ᾽ εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει· μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ. Εἶτα ἐν τῷ ἀγῶνι παρορύσσεσθαι, ἔστι δὲ ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν, ἔσθ᾽ ὅτε μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων νικηθῆναι.

3. Ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν· εἰ δὲ μή, ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ᾽ ὡς πίθηκος, πᾶσαν θέαν, ἣν ἂν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. Οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας, ἀλλ᾽ εἰκῇ καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν.

4. Οὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος ὡς Εὐφράτης λέγει (καίτοι τις οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος;) θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

5. Ἄνθρωπε, πρῶτον ἐπίσκεψαι ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. Πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηρούς, τὴν ὀσφὺν κατάμαθε· ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε.

puer poculum fregerit, promptum statim est dicere, Ex iis hoc est quæ accidere solent. Scito igitur, cum et tuum fractum fuerit, talem te esse oportere, qualis eras cum alterius frangeretur. Sic illa ad majora etiam transfer. Alterius obiit filius, aut uxor? nemo est quin dicat, Humanum est. At cum suus cujuspiam obiit, statim, Hei mihi, me miserum! Meminisse autem oportebat, quomodo afficiamur, cum de aliis idem audimus.

CAP. XXVII.

Quemadmodum aberrandi caussa scopus non ponitur; sic nec mali natura in mundo exsistit.

CAP. XXVIII.

Si corpus tuum aliquis obvio cuique concederet, indignareris: at quod tu mentem tuam cuivis concedis, ut, cum conviciatur tibi, hæc turbetur, ac confundatur, hac de caussa non te pudet?

CAP. XXIX.

1. Cujusque operis antecedentia specta et consequentia, et sic illud aggredere. Id ni feceris, primum quidem alacriter accedes, utpote qui de consequentibus nihil cogitas: postea vero, ubi difficilia quædam apparuerint, turpiter desistes.

2. Vis Olympia vincere? Et ego, per deos: quippe pulchra res est. Sed considera antecedentia et consequentia; et sic opus aggredere. Oportet te severæ disciplinæ legibus astrictum vivere, alimenta ex præscripta capere, abstinere cupediis, ex necessitate exerceri, definita hora, in æstu, in frigore; frigidam non bibere, non vinum, ut libuerit: ad summam, magistro, tanquam medico, te ipsum tradere oportet. Deinde, in certamine, arena obrui, aliquando vero luxari manum, distorqueri malleolum, multum pulveris deglutire; aliquando flagris cædi; et cum his omnibus vinci.

3. His consideratis, si etiamnum velis, ad athleticam te confer; sin minus, puerorum instar circumageris, qui nunc luctatores ludunt, nunc gladiatores; nunc tuba canunt, mox tragœdum agunt: sic tu quoque, nunc athleta es, nunc gladiator, mox orator, deinde philosophus; toto autem animo nihil; sed tanquam simius, quodcunque videris, imitaris, aliudque ex alio tibi placet. Nec enim cum consideratione aggressus es quicquam, nec ut qui animo totum id perlustrarit, sed temere et ex frigida cupiditate.

4. Sic quidam, cum philosophum viderunt, et aliquem ita disserentem audiverunt, ut Euphrates disserit (quamquam quis ita dicere potest ut ille?) volunt et ipsi philosophari.

5. Homo, primum considera, cujusmodi sit res; deinde et naturam tuam inspice, an ferre possis. Quinquertio esse vis, aut luctator? aspice brachia tua et femora; lumbos considera. Alius enim ad aliud natura comparatus est.

6. Δοκεῖς ὅτι ταῦτα ποιῶν ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως ὀρέγεσθαι, ὁμοίως δυσαρεστεῖν; Ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν ἀπαντώντων καταγελασθῆναι, ἐν παντὶ ἧττον ἔχειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, ἐν πραγματίῳ παντί.

7. Ταῦτα ἐπίσκεψαι, εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν· εἰ δὲ μή, μὴ προσάγαγε· μή, ὡς τὰ παιδία, νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος. Ταῦτα οὐ συμφωνεῖ. Ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθόν, ἢ κακὸν, εἶναι· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω· τοῦτ' ἔστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

6. Putasne te hæc agentem eodem modo posse edere, eodem modo bibere, similiter appetere [*alii*, irasci], similiter fastidire? Vigilare oportet, laborare, a familiaribus discedere, a servulo contemni, ab obviis irrideri, ubique inferiorem esse, in honore, in magistratu, in judicio, in omni negotiolo.

7. Hæc considera : si pro his rebus perturbationum vacuitatem, libertatem, tranquillitatem animi permutare vis, *aggredere ;* sin minus, noli accedere ne puerorum instar, nunc philosophus sis, deinde publicanus, postea orator, deinque Cæsaris procurator. Hæc inter se non consonant : unum te hominem, aut bonum, aut malum, esse oportet; aut mentis tuæ principatum te excolere oportet, aut externa; aut circa interiora studiose occupari, aut circa exteriora; hoc est, aut philosophi locum tueri, aut hominis plebeii.

ΚΕΦ. λ'.

Τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. Πατήρ ἐστιν; ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. Ἀλλὰ πατὴρ κακός ἐστι. Μή τι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ᾠκειώθης; ἀλλὰ πρὸς πατέρα. Ὁ ἀδελφὸς ἀδικεῖ. Τήρει τοιγαροῦν τὴν τάξιν τὴν σεαυτοῦ πρὸς αὐτὸν, μηδὲ σκόπει τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοὶ ποιήσαντι κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. Σὲ γὰρ ἄλλος οὐ βλάψει, ἂν μὴ σὺ θέλῃς. Τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. Οὕτως οὖν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃ θεωρεῖν.

CAP. XXX.

Officia maxime relationibus definiuntur. Pater est? dictatur curam ipsius esse agendam, cedendum ei in omnibus, ferendum esse si convicietur, si verberet. At pater malus est. Numquid igitur bono patri natura te conciliavit? non; sed patri. Frater injuste tecum agit. Serva igitur tu relationem, quæ tibi cum illo intercedit; neu specta quid ille faciat, sed quid tibi facienti propositum tuum naturæ consentaneum sit futurum. Te quippe alius non lædet, nisi tu velis. Tunc autem læsus eris, cum te lædi putaris. Sic igitur a vicino, a cive, ab imperatore, officii rationem invenies, si relationes considerare adsueveris.

ΚΕΦ. λα'.

1. Τῆς περὶ τοὺς θεοὺς εὐσεβείας ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς καὶ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατεταχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα, ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. Οὕτω γὰρ οὐ μέμψῃ ποτὲ τοὺς θεοὺς, οὔτε ἐγκαλέσεις ὡς ἀμελούμενος.

2. Ἄλλως δὲ οὐχ οἷόντε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἄρῃς ἀπὸ τῶν οὐκ ἐφ' ἡμῖν, καὶ ἐν τοῖς ἐφ' ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν. Ὡς ἄν γε τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακὸν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλεις, καὶ περιπίπτῃς οἷς μὴ θέλεις, μέμψασθαί σε καὶ μισεῖν τοὺς αἰτίους.

3. Πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῷον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσθαι· τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μετιέναι τε καὶ τεθηπέναι. Ἀμήχανον οὖν βλάπτεσθαί τινα οἰόμενον χαίρειν τῷ δοκοῦντι βλάπτειν· ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν ἀδύνατον.

4. Ἔνθεν καὶ πατὴρ ὑπὸ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι τῷ παιδὶ μὴ μεταδιδῷ. Καὶ Πολυνείκην καὶ Ἐτεοκλέα τοῦτ' ἐποίησε πολεμίους ἀλ-

CAP. XXXI.

1. Pietatis erga deos id præcipuum esse scito, rectas de illis opiniones habere, ut qui sint, et universa bene ac juste administrent; et ad hoc te constitutum ab iis esse [*vel*, et ita te comparare], ut illis pareas, et cedas omnibus quæ fiant, eaque libenti animo sequaris, ut quæ optimo consilio perficiantur. Sic enim nec culpabis unquam deos, nec incusabis, quasi ab iis neglectus.

2. Quod quidem aliter fieri nequit, nisi si ab iis, quæ in nostra potestate non sunt, abstuleris boni et mali notionem, et in iis solis posueris, quæ sunt in potestate nostra : si quid illorum bonum aut malum opineris, omnino necesse est, cum iis excideris quæ velis, et in ea quæ nolis incideris, te culpare et odisse horum auctores.

3. Natura enim ita comparatum est omne animal, ut quæ nocentia videantur, eorumque caussas, fugiat et aversetur; illa autem quæ prosunt, eorumque caussas persequatur et admiretur. Quare fieri nequit, ut, qui se lædi putet, eo, quod lædere videtur, gaudeat : sicut nec ipso detrimento gaudere ullo modo possumus.

4. Hinc quoque patri filius conviciatur, cum iis, quæ bona esse videntur, filium ille non impertit. Et Polynicen atque Eteoclem hostili animo hoc inter se dissidere fecit,

λήλοις, τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. Διὰ τοῦτο καὶ ὁ γεωργὸς λοιδορεῖ τοὺς θεούς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. Ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές. Ὥστε ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται.

5. Σπένδειν δὲ καὶ θύειν καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια ἑκάστοτε προσήκει καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως μηδὲ ἀμελῶς, μηδέ γε γλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

ΚΕΦ. λϐ΄.

1. Ὅταν μαντικῇ προσίῃς, μέμνησο ὅτι τί μὲν ἀποϐήσεται οὐκ οἶδας, ἀλλὰ ἥκεις ὡς παρὰ τοῦ μάντεως αὐτὸ πευσόμενος· ὁποῖον δέ τι ἐστίν, ἐλήλυθας εἰδώς, εἴπερ εἶ φιλόσοφος. Εἰ γάρ ἐστι τι τῶν οὐκ ἐφ' ἡμῖν, πᾶσα ἀνάγκη μήτε ἀγαθὸν αὐτὸ εἶναι μήτε κακόν.

2. Μὴ φέρε οὖν πρὸς τὸν μάντιν ὄρεξιν ἢ ἔκκλισιν· μηδὲ τρέμων αὐτῷ πρόσει, ἀλλὰ διεγνωκώς, ὅτι πᾶν τὸ ἀποϐησόμενον, ἀδιάφορον, καὶ οὐδὲν πρὸς σέ· ὁποῖον δ' ἂν ᾖ, ἔσται αὐτῷ χρήσασθαι καλῶς, καὶ τοῦτο οὐθεὶς κωλύσει. Θαῤῥῶν οὖν ὡς ἐπὶ συμϐούλους ἔρχου τοὺς θεούς· καὶ λοιπόν, ὅταν τί σοι συμϐουλευθῇ, μέμνησο τίνας συμϐούλους παρέλαϐες, καὶ τίνων παρακούσεις ἀπειθήσας.

3. Ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ' ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκϐασιν ἔχει, καὶ οὔτε ἐκ λόγου, οὔτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται πρὸς τὸ συνιδεῖν τὸ προκείμενον. Ὥστε, ὅταν δεήσῃ συγκινδυνεῦσαι φίλῳ ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον· καὶ γάρ, ἂν προείπῃ σοι ὁ μάντις φαῦλα γεγονέναι τὰ ἱερά, δῆλον ὅτι θάνατος σημαίνεται, ἢ πήρωσις μέρους τινὸς τοῦ σώματος, ἢ φυγή· ἀλλ' αἱρεῖ ὁ λόγος, καὶ σὺν τούτοις παρίστασθαι τῷ φίλῳ, καὶ τῇ πατρίδι συγκινδυνεύειν. Τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε, τῷ Πυθίῳ, ὃς ἐξέϐαλε τοῦ ναοῦ τὸν οὐ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ.

ΚΕΦ. λγ΄.

1. Τάξον τινὰ ἤδη χαρακτῆρα σαυτῷ καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σεαυτοῦ ὢν καὶ ἀνθρώποις ἐντυγχάνων.

2. Καὶ σιωπὴ τὸ πολὺ ἔστω· ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι' ὀλίγων. Σπανίως δέ ποτε, καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν, λέξον μέν, ἀλλὰ περὶ οὐδενὸς τῶν τυχόντων· μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομιῶν, μὴ περὶ ἀθλητῶν, μὴ περὶ βρωμάτων ἢ πομάτων, τῶν ἑκασταχοῦ· μάλιστα δὲ μὴ περὶ ἀνθρώπων, ψέγων, ἢ ἐπαινῶν, ἢ συγκρίνων.

3. Ἂν μὲν οὖν οἷός τε ᾖς, μετάγαγε τοῖς σοῖς λόγοις καὶ τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον· εἰ δὲ ἐν ἀλλοφύλοις ἀποληφθεὶς τύχοις, σιώπα.

4. Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένος.

quod tyrannidem bonum esse putarent. Propter hoc agricola deos conviciis incessit, propter hoc nauta, propter hoc mercator, propter hoc qui uxores et liberos amiserunt. Ubi enim utilitas, ibi et pietas. Quamobrem qui id dat operam, ut sic et appetat et declinet quemadmodum decet; is eadem opera et pietati dat operam.

5. Libare autem, et sacrificare et primitias offerre, secundum patrios ritus, semper convenit caste, nec supine aut negligenter; nec vero parce, nec supra facultates.

CAP. XXXII.

1. Cum ad consulendum vatem accedis, memento quid sit quidem quod eventurum sit, ignorare te; venire autem, ut ex vate hoc cognoscas: quale vero id esset, utique, cum venires, tibi esse cognitum, si modo sis philosophus. Si enim est aliquid ex iis, quæ in nostra potestate non sunt, necesse omnino est neque bonum illud esse neque malum.

2. Ad vatem igitur appetitionem aut declinationem ne afferas; neque tremens eum accedes; sed ut qui compertum habeas quicquid eventurum sit, id indifferens esse, et nihil ad te pertinere; qualecumque vero fuerit, fore ut eo recte tibi liceat uti, neminemque ullum hoc esse prohibiturum. Itaque fidenti animo ad deos, tanquam ad consiliarios, accede. Deinde vero etiam, ubi aliquid consultum fuerit, memento quos consiliarios assumseris, et quibus inobediens futurus sis, si non parueris.

3. Accede autem ad vatem consulendum, quemadmodum voluit Socrates; iis scilicet de rebus, in quibus tota consideratio ad eventum refertur, et in quibus nec ex ratione, nec ex arte aliqua suppetunt subsidia ad id, de quo agitur, perspiciendum. Quare, quando una cum amico aut patria periculum subeundum, vates non est consulendus, num periculum illud una subeundum. Nam si tibi vel maxime prædixerit vates, infausta fuisse sacra, apparet quidem aut mortem significari, aut membri corporei alicujus truncationem, aut exsilium: at ratio suadet, etiamsi et hæc eventura sint, amico opitulari, et cum patria discrimen adire. Quamobrem majori attendito vati, Pythio, qui eum e templo ejecit, qui amico, cum interficeretur, opem non tulerat.

CAP. XXXIII.

1. Præscribe jam tibi formam aliquam et typum, quem et ipse tecum solus, et in congressibus hominum serves.

2. Et quidem silentium tene utplurimum; aut necessaria loquere, et paucis. Raro vero aliquando, tempore te invitante ad verba facienda, dices tu quidem, sed non de rebus ex trivio, non de gladiatoribus, non de ludis Circensibus, non de athletis, non de cibis aut potionibus; quæ vulgo et ubivis in sermonem veniunt: maxime autem nihil de hominibus, neque vituperans, neque laudans, neque alium cum alio conferens.

3. Si igitur possis, eorum, quibuscum versaris, sermones tuis sermonibus eo, quo decet, traducito. Quodsi ab extraneis circumventus fueris, taceto.

4. Risus nec sit multus, nec ob multa, nec effusus.

5. Ὅρκον παραίτησαι, εἰ μὲν οἷόντε, εἰς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ἐνόντων.

6. Ἑστιάσεις τὰς ἔξω καὶ ἰδιωτικὰς διακρούου. Ἐὰν δέ ποτε γίνηται καιρὸς, ἐντετάσθω σοι ἡ προσοχὴ, μήποτε ἄρα ὑποῤῥυῇς εἰς ἰδιωτισμόν. Ἴσθι γὰρ ὅτι, ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συνανατριβόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

7. Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε, οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν· τὸ δὲ πρὸς δόξαν ἢ τρυφὴν ἅπαν περίγραφε.

8. Περὶ ἀφροδίσια εἰς δύναμιν πρὸ γάμου καθαρευτέον· ἁπτομένῳ δὲ ὧν νόμιμόν ἐστι μεταληπτέον. Μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ τὸ ὅτι αὐτὸς οὐ χρῇ, παράφερε.

9. Ἐάν τίς σοι ἀπαγγείλῃ ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου διότι ἠγνόει γὰρ τὰ ἄλλα τὰ προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

10. Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι οὐκ ἀναγκαῖον· εἰ δέ ποτε καιρὸς εἴη, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τοῦτ' ἔστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾷν μόνον τὸν νικῶντα· οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ· βοῆς δὲ καὶ τοῦ ἐπιγελᾷν τινι ἢ ἐπιπολὺ συγκινεῖσθαι παντελῶς ἀπέχου. Καὶ μετὰ τὸ ἀπολλαγῆναι μὴ πολλὰ περὶ τῶν γεγενημένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν· ἐμφαίνεται γὰρ ἐκ τοῦ τοιούτου ὅτι ἐθαύμασας τὴν θέαν.

11. Εἰς ἀκροάσεις τινῶν μὴ εἰκῇ μηδὲ ῥᾳδίως πάριθι· παριὼν δὲ τὸ σεμνὸν καὶ τὸ εὐσταθὲς καὶ ἅμα ἀνεπαχθὲς φύλασσε.

12. Ὅταν τινὶ μέλλῃς συμβαλεῖν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων· καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

13. Ὅταν φοιτᾷς πρός τινα τῶν μέγα δυναμένων, πρόβαλε ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐντιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. Κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, ἐλθὼν φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς ἑαυτὸν, ὅτι οὐκ ἦν τοσούτου· ἰδιωτικὸν γὰρ καὶ διαβεβλημένον πρὸς τὰ ἐκτός.

14. Ἐν ταῖς ὁμιλίαις ἀπέστω τὸ ἑαυτοῦ τινων ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι· οὐ γὰρ, ὡς σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοὶ συμβεβηκότων ἀκούειν.

15. Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν· ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τὴν πρός σε τῶν πλησίον ἀνιέναι.

16. Ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν. Ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῆσαι καὶ ἐρυθριᾶσαι καὶ σκυθρωπάσαι δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

5. Jusjurandum recusa, si fieri potest, omnino : sin minus, quoad fieri possit.

6. Convivia cum hominibus extraneis et disciplina non imbutis respue. Quodsi quando tempus incidat, attentio tibi intendatur, ne in rudis hominis statum prolaberis. Scias enim, si socio utatur polluto, etiam conversantem cum eo pollui necesse esse, quamvis per se purus fuerit.

7. Ea quæ ad corpus pertinent, non ultra nudum usum assume, ut cibos, potum, vestitum, domum, famulitium; quidquid vero ad ostentationem aut delicias spectat, totum illud circumcide.

8. A re venerea, quantum fieri potest, ante nuptias purus esto : sin attigeris, ea legitime utendum. Ne tamen iniquus sis iis, qui illa utuntur, neque eos quavis occasione redarguas : neu passim jactes, te ea non uti.

9. Si quis tibi renunciat, Hic tibi maledicit; ne defendas te adversus ea quæ dicta sunt; sed responde, Nempe ignorabat ille cetera, quæ mihi insunt vitia, alioqui non sola hæc dixisset.

10. In theatra sæpe prodire, non necesse est. Quodsi quando tempus ut adeas suaserit, ita te gere, ut appareat, nulli te studere præterquam tibi ipsi; hoc est, fac velis fieri sola ea quæ fiunt, et vincere eum solum qui vincit. Sic enim non impedieris. Acclamare autem et arridere alicui, aut corporis agitatione quosvis illius motus effingere, his rebus penitus abstineto. Et postquam discessisti, multa de iis quæ facta sunt ne disseras, nisi quæ ad tui emendationem conducunt. Alioquin apparebit, admirationi tibi fuisse spectaculum.

11. Ad recitationes aliquorum ne temere neu facile accede. Sin accedas, gravitatem ac constantiam serva; ac simul vide, ne cui sis molestus.

12. Conventurus aliquem, eorum maxime qui præ ceteris eminere videntur, ipse tibi proponito, quid in hoc facturus fuerit Socrates, aut Zeno : sic non incertus hærebis, quomodo eo quod inciderit convenienter utaris.

13. Cum aliquem magnatum adeas, animo propone fieri posse ut intus eum non invenias, ut excludaris, ut fores in os tibi impingantur, ut nullam tui rationem habeat. Quod si cum his adire tui sit officii, adi et fer ea quæ fiunt, neque ipse unquam tecum dicas, non fuisse tanti. Hoc quippe plebeium est, et offendi rebus externis.

14. In congressibus absit istud, ut quædam tuorum operum aut periculorum frequenter et immodice commemores. Non enim, quemadmodum tibi periculorum tuorum meminisse jucundum est, ita et aliis jucundum est, ea quæ tibi acciderint audire.

15. Absit vero etiam, ut risum velis movere. Lubricum enim hoc genus est, quo in plebeiorum hominum morem facile labaris, et simul eam vim habet, ut aliorum in te minuat observantiam.

16. Periculosum vero est etiam, ad sermonis obscœnitatem progredi. Cum igitur hujusmodi aliquid inciderit, si quidem tempestivum sit, increpa eum qui eo progressus fuerit : quodsi non possis, at conticendo et erubescendo, et demisso vultu, manifestum facias sermone isto te indignari.

ΚΕΦ. λδ'.

Ὅταν ἡδονῆς τινος φαντασίαν λάβῃς, καθάπερ ἐπὶ τῶν ἄλλων, φύλασσε σαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε. Ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν τε ἀπολαύσεις τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοήσεις, καὶ αὐτὸς σεαυτῷ λοιδορήσῃ· καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. Ἐὰν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ καὶ ἡδὺ καὶ ἐπαγωγὸν, ἀλλ' ἀντιτίθει πόσῳ ἄμεινον τὸ συνειδέναι σεαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

ΚΕΦ. λε'.

Ὅταν τι διαγνοὺς ὅτι ποιητέον ἐστὶ ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι μέλλωσιν οἱ πολλοὶ περὶ αὐτοῦ ὑπολαμβάνειν. Εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον φεῦγε· εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς;

ΚΕΦ. λϛ'.

Ὡς τὸ, ἡμέρα ἐστὶ, καὶ, νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπαξίαν· οὕτω καὶ τὸ τὴν μείζω μερίδα ἐκλέξασθαι, πρὸς μὲν τὸ σῶμα ἐχέτω ἀξίαν, πρὸς δὲ τὸ, τὸ κοινωνικὸν ἐν ἑστιάσει αἰδοῖ φυλάξαι, ἀπαξίαν ἔχει. Ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, μὴ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὁρᾷν, ἀλλὰ καὶ τὴν πρὸς ἑστιάτορα αἰδῶ φυλάξαι.

ΚΕΦ. λζ'.

Ἐὰν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι παρέλιπες.

ΚΕΦ. λη'.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις μὴ ἐπιβῇς ἥλῳ ἢ στρέψῃς τὸν πόδα σου, οὕτω πρόσεχε μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. Καὶ τοῦτο ἐὰν ἐφ' ἑκάστου ἔργου παραφυλάσσωμεν, ἀσφαλέστερον ἀψόμεθα τοῦ ἔργου.

ΚΕΦ. λθ'.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ πούς ὑποδήματος. Ἐὰν μὲν οὖν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι. Καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυροῦν, εἶτα κεντητόν· τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐθείς ἐστιν.

ΚΕΦ. μ'.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κυρίαι καλοῦνται. Τοιγαροῦν ὁρῶσαι ὅτι

CAP. XXXIV.

Si voluptatis alicujus imaginem animo conceperis, sicut in ceteris rebus, serva te ipsum, ne ab ipsa una abripiaris: sed exspectet te res ista, et moram aliquam a te ipso cape. Deinde utriusque temporis memento, tum illius quo voluptate frueris, tum alterius, quo postquam fruitus eris, pœnitentia deinde ducêris et ipse te increpabis: atque his oppone, quomodo, si abstinueris, gavisurus sis, et ipse te laudaturus. Si vero tempus tibi visum fuerit opus aggrediendi, vide ne te vincant ejus blanditiæ et suavitates et illecebræ: sed oppone, quanto præstet conscire tibi hanc victoriam adepto.

CAP. XXXV.

Cum facis aliquid, quod faciendum re deliberata judicaveris, nunquam fugias conspici id faciens, tametsi iniquius de eo judicium facturum sit vulgus. Nam si non recte id facis, ipsum opus fuge: sin recte, quid eos metuis qui non recte reprehensuri sunt?

CAP. XXXVI.

Quemadmodum illud, Dies est, et Nox est, ad sejunctionem quidem magnam habet æstimationem, ad conjunctionem autem rejectaneum est: sic etiam in convivio majorem sibi eligere partem, respectu corporis, æstimationem, per me licet, habeto; sed, communitatis officium si spectes pudoremque in convivio servandum, rejectaneum est. Cum igitur alicujus conviva es, memento, non modo appositorum erga corpus æstimationem spectare, sed etiam pudorem servare adversus convivatorem.

CAP. XXXVII.

Si quam personam, quæ supra vires tuas est, suscepisti, cum indecore te in ea sine dubio geres, tum eam, quam sustinere potueras, omisisti.

CAP. XXXVIII.

Quemadmodum in ambulando caves, ne clavum calcei, pedemve distorqueas: sic etiam cave, ne principalem tui partem lædas. Et hoc si in quovis opere observaverimus, tutius aggrediemur opus.

CAP. XXXIX.

Modus possessionis unicuique est corpus, sicut pes calcei. Si igitur in hoc institeris, modum servabis; sin transieris, veluti per præceps dehinc te ferri necesse est. Quemadmodum et circa calceum usu venit: si pedis modum transieris, fit deauratus calceus, postea purpureus, deinde acu pictus. Illius enim, quod semel transierit modum, nullus est terminus.

CAP. XL.

Mulieres statim a quartodecimo anno a viris dominæ vocantur. Proinde cum videant, nihil aliud sibi adesse,

ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμῶνται τοῖς ἀνδράσι, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. Προσέχειν οὖν ἄξιον, ἵνα αἴσθωνται διότι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι καὶ αἰδήμονες.

nisi ut cum viris concumbant, ornare sese incipiunt, et in hoc spes habere omnes. Operæ ergo pretium est studere ut sentiant, non ob aliud quidquam honorem sibi haberi, nisi quod modestas se præbeant et verecundas.

ΚΕΦ. μα'.

Ἀφυΐας σημεῖον τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα, οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ὀχεύειν· ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον, περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔστω ἐπιστροφή.

CAP. XLI.

Abjectioris ingenii signum est, corporis studio immorari; ut nimium temporis consumere in exercendo, in comedendo, in potando, in alvo dejicienda, in coeundo. Sed hæc obiter facienda; circa mentem autem omnis tua cura versator.

ΚΕΦ. μϐ'.

Ὅταν σέ τις κακῶς ποιῇ, ἢ κακῶς λέγῃ, μέμνησο ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ ἢ λέγει. Οὐχ οἷόντε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ, ὥστε, εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτεται ὅστις καὶ ἐξηπάτηται. Καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. Ἀπὸ τούτων οὖν ὁρμώμενος, πράως ἕξεις πρὸς τὸν λοιδοροῦντα. Ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστῳ, ὅτι ἔδοξεν αὐτῷ.

CAP. XLII.

Cum tibi quispiam malefecerit, aut maledixerit, memento, illum suo se officio fungi opinantem, facere aut dicere. Fieri igitur non potest, ut id sequatur ille, quod tibi videatur, sed id quod ipsi. Quare si male hoc ipsi videtur, ipse læditur, qui et deceptus est. Nam enunciatum connexum quod verum sit, si quis falsum esse opinatus fuerit, non eo connexum læsum erit, sed is qui est deceptus. Ab his initiis profectus, æquo animo conviciatorem feres. Ad singula quippe dicas, Visum est ipsi.

ΚΕΦ. μγ'.

Πᾶν πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον. Ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ· αὕτη γὰρ ἡ λαβή ἐστιν αὐτοῦ οὐ φορητή. Ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφός, ὅτι σύντροφος· καὶ λήψῃ αὐτὸ καθ' ὃ φορητόν.

CAP. XLIII.

Unaquæque res duas habet ansas: unam, qua ferri potest; alteram, qua ferri non potest. Frater si injuriam fecerit, rem ne accipe, quod injuriam ille facit; hæc enim ipsius ansa est, qua ferri nequit: sed ab illa potius, quod frater est, quod tecum una enutritus. Sic prendes eam qua parte ferri possit.

ΚΕΦ. μδ'.

Οὗτοι οἱ λόγοι ἀσύνακτοι· Ἐγώ σου πλουσιώτερός εἰμι, ἐγώ σου ἄρα κρείσσων· ἐγώ σου λογιώτερος, ἐγώ σου ἄρα κρείσσων. Ἐκεῖνοι δὲ μᾶλλον συνακτικοί· Ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείσσων· ἐγώ σου λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων. Σὺ δέ γε οὔτε κτῆσις εἶ, οὔτε λέξις.

CAP. XLIV.

Hæ ratiocinationes non sunt concludentes: Ego sum te ditior, ergo sum te melior: Ego sum facundior te, ergo sum te melior. At illæ potius concludendi vim habent: Ego sum ditior te, mea igitur possessio, quam tua, melior est: Ego te facundior, mea igitur dictio, quam tua, melior. Tu vero ipse nec possessio es, nec dictio.

ΚΕΦ. με'.

Λούεταί τις ταχέως; μὴ εἴπῃς ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. Πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. Πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα εἰ κακῶς; Οὕτως οὐ συμβήσεταί σοι ἄλλων μὲν φαντασίας καταληπτικὰς λαμβάνειν, ἄλλοις δὲ συγκατατίθεσθαι.

CAP. XLV.

Lavat quis maturius? ne dicas, Male; sed, Maturius. Bibit quis multum vini? ne dicas, Male; sed, Multum. Priusquam enim id decretum dijudicaris, unde nosti, an male fecerit? Sic tibi non accidet, ut aliarum quidem rerum visa comprehensibilia accipias, aliis autem *non comprehensis* assentiaris.

ΚΕΦ. μϛ'.

1. Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· ἀλλὰ ποίει τὸ ἀπὸ τῶν θεωρημάτων· οἷον ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλ' ἔσθιε ὡς δεῖ. Μέμνησο γὰρ ὅτι οὕτως ἀφῃρήκει πανταχόθεν Σωκράτης τὸ ἐπιδεικτικόν, ὥστε ἤρχοντο πρὸς αὐτὸν βουλόμενοι φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς· οὕτως ἠνείχετο παρορώμενος.

CAP. XLVI.

1. Nusquam te ipse dic philosophum, nec loquere multum inter rudes de præceptis; sed fac quod præcepta docent. Velut, in convivio ne dic, quomodo edere oporteat; sed ede sicut oportet. Memento enim, sic Socratem usquequaque abjecisse ostentationem, ut, cum venissent ad eum, qui philosophis ab ipso commendari vellent, ipse illos adduceret. Ita æquo animo se negligi patiebatur.

2. Κἂν περὶ θεωρήματός τινος ἐν ἰδιώταις ἐμπίπτῃ λόγος, σιώπα τὸ πολύ· μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι ὃ οὐκ ἔπεψας. Καὶ ὅταν εἴπῃ σοί τις ὅτι οὐδὲν οἶσθα, καὶ σὺ μὴ δηχθῇς, τότε ἴσθι ὅτι ἄρχῃ τοῦ ἔργου. Ἐπεὶ καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν, ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔρια ἔξω φέρει καὶ γάλα. Καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ' ἀπ' αὐτῶν πεφθέντων τὰ ἔργα.

2. Atque etiam, sicubi apud rudes de præcepto aliquo sermo inciderit, tace ut plurimum. Magnum quippe periculum, ne statim, quæ non concoxeris, evomas. Et si quis tibi dixerit, nihil te scire, nec tamen tu mordearis; tunc scito te opus inchoare. Quandoquidem et oves, non afferentes gramen pastoribus monstrant, quantum comederint; sed pabulo intus concocto, lanas et lac proferunt. Sic tu quoque ne præcepta ostendito rudibus; sed ab his concoctis quæ fiunt opera.

ΚΕΦ. μζ'.

Ὅταν εὐτελῶς ἡρμοσμένος ᾖς κατὰ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μηδ', ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε ὅτι ὕδωρ πίνεις. Κἂν ἀσκῆσαί ποτε πρὸς πόνον θέλῃς, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω. Μὴ τοὺς ἀνδριάντας περιλάμβανε, ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

CAP. XLVII.

Si tenui uteris corporis cultu, ne ob id tibi placeas: nec, si aquam bibis, quavis occasione dic aquam te bibere. Quod si quando ad laborem te exercere velis, tibi ipsi hoc fac, non extraneis. Noli statuas amplecti, *sicut Diogenes hieme*: sed si quando vehementer sitieris, frigidam haustam exspuito, ac nemini dicito.

ΚΕΦ. μη'.

1. Ἰδιώτου στάσις καὶ χαρακτήρ· οὐδέποτε ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. Φιλοσόφου στάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτοῦ προσδοκᾷ.

2. Σημεῖα προκόπτοντος· οὐδένα ψέγει, οὐδένα ἐπαινεῖ, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, οὐδὲν περὶ ἑαυτοῦ λέγει ὡς ὄντος τινὸς ἢ εἰδότος τι. Ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ· κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸς παρ' ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται. Περίεισι δὲ, καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισταμένων, πρὶν πῆξιν λαβεῖν.

3. Ὄρεξιν ἅπασαν ἦρκεν ἐξ ἑαυτοῦ, τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν. Ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται, ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν. Ἑνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει καὶ ἐπίβουλον.

CAP. XLVIII.

1. Plebeii hominis status et nota est: nunquam a se ipso utilitatem vel damnum exspectat, sed a rebus externis. Philosophi status et nota est: omnem utilitatem et damnum a se ipso exspectat.

2. Signa proficientis sunt: neminem vituperat, neminem laudat, de nemine queritur, neminem incusat; nihil de se ipso dicit, ut qui aliquis sit, aut aliquid sciat: cum in re quapiam impeditur, aut prohibetur, se ipsum incusat: et si quis ipsum laudet, ridet laudantem ipse secum; et si vituperat, non se purgat: circumit autem infirmorum instar, metuens ne quid eorum, quæ componi cœpta sunt, moveat, priusquam nactum sit firmitatem.

3. Appetitionem omnem ex se sustulit; declinationem autem ad ea sola transtulit, quæ, in nostra potestate sita, contra naturam sunt. Impetu ad omnia remisso utitur: num fatuus, aut indoctus videatur, non curat: et ut uno dicam verbo, tanquam hostem, se ipsum observat, et tanquam insidiatorem.

ΚΕΦ. μθ'.

Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου βιβλία σεμνύνηται, λέγε αὐτὸς πρὸς ἑαυτὸν, ὅτι εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος, ἐφ' ᾧ ἐσεμνύνετο. Ἐγὼ δὲ τί βούλομαι; καταμαθεῖν τὴν φύσιν, καὶ ταύτῃ ἕπεσθαι. Ζητῶ οὖν τίς ἐστιν ὁ ἐξηγούμενος· καὶ ἀκούσας ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. Ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα· ζητῶ οὖν τὸν ἐξηγούμενον. Καὶ μέχρι τούτων οὔπω σεμνὸν οὐδέν. Ὅταν δὲ εὕρω τὸν ἐξηγούμενον, ἀπολείπεται χρῆσθαι τοῖς παρηγγελμένοις· τοῦτο αὐτὸ μόνον σεμνόν ἐστιν. Ἂν δὲ αὐτὸ τοῦτο, τὸ ἐξηγεῖσθαι, θαυμάσω· τί ἄλλο ἢ γραμματικὸς ἀπετελέσθην ἀντὶ φιλοσόφου; πλήν γε δὴ ὅτι ἀντὶ Ὁμήρου Χρύσιππον ἐξηγούμενος. Μᾶλλον οὖν, ὅταν τις εἴπῃ μοι, Ἐπανάγνωθί μοι Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ δύνωμαι ὅμοια τὰ ἔργα καὶ σύμφωνα ἐπιδεικνύειν τοῖς λόγοις.

CAP. XLIX.

Si quis eo quod intelligat et explicare possit Chrysippi libros, glorietur, ipse tibi dic, Nisi obscure scripsisset Chrysippus, nihil haberet hic homo, quo gloriaretur. Ego vero quid volo? Naturam cognoscere, et hanc sequi. Quæro itaque, quis sit ejus interpres: et cum audiero Chrysippum esse, eum adeo. At scripta non intelligo. Quæro igitur enarratorem. Atque hactenus quidem præclari nihil. Cum autem enarratorem invenero, reliquum est, ut utar præceptis: id quod solum præclarum est. Sin ipsam per se enarrationem admiratus fuero, quid aliud nisi grammaticus philosophi loco evasi? eo duntaxat excepto, quod pro Homero Chrysippum enarro. Potius igitur, cum quis mihi dixerit, Prælege mihi Chrysippum; erubesco; cum facta ne queo similia verbis et consona ostendere.

ΚΕΦ. ν'.

Ὅσα προτίθεται, τούτοις, ὡς νόμοις, ὡς ἀσεϐήσων, ἂν παραϐῇς, ἔμμενε. Ὅ τι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου· τοῦτο γὰρ οὐκ ἔτ' ἔστι σόν.

ΚΕΦ. να'.

1. Εἰς ποῖον ἔτι χρόνον ἀναϐάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, καὶ ἐν μηδενὶ παραϐαίνειν τὸν διαιροῦντα λόγον; Παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμϐάλλειν, καὶ συμϐέϐληκας. Ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇ τὴν ἐπανόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; Οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. Ἂν νῦν ἀμελήσῃς καὶ ῥᾳθυμήσῃς, καὶ ἀεὶ προθέσεις ἐκ προθέσεως ποιῇ, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃ, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων.

2. Ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον καὶ προκόπτοντα· καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράϐατος. Κἂν ἐπίπονόν τι, ἢ ἡδὺ, ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηται, μέμνησο ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεστι τὰ Ὀλύμπια, καὶ οὐκ ἔστιν ἀναϐάλλεσθαι οὐκέτι· καὶ ὅτι παρὰ μίαν ἡμέραν καὶ ἓν πρᾶγμα καὶ ἀπόλλυται προκοπὴ, καὶ σώζεται.

3. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων τῶν προσαγομένων αὐτῷ μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. Σὺ δὲ, εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος ὀφείλεις βιοῦν.

ΚΕΦ. νϐ'.

1. Ὁ πρῶτος καὶ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ ὁ τῆς χρήσεως τῶν θεωρημάτων, οἷον τὸ μὴ ψεύδεσθαι. Ὁ δεύτερος, ὁ τῶν ἀποδείξεων, οἷον πόθεν ὅτι οὐ δεῖ ψεύδεσθαι· Τρίτος, ὁ αὐτῶν τούτων βεϐαιωτικὸς καὶ διαρθρωτικὸς, οἷον πόθεν ὅτι τοῦτο ἀπόδειξις; τί γάρ ἐστιν ἀπόδειξις; τί ἀκολουθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος;

2. Οὐκοῦν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον· ὁ δὲ δεύτερος διὰ τὸν πρῶτον· ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. Ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν· ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίϐομεν, καὶ περὶ ἐκεῖνόν ἐστιν ἡμῖν ἡ πᾶσα σπουδή· τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. Τοιγαροῦν ψευδόμεθα μέν· πῶς δὲ ἀποδείκνυται ὅτι οὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

ΚΕΦ. νγ'.

1. Ἐπὶ παντὸς πρόχειρα ἑκτέον ταῦτα·

Ἄγε δή [σύ] μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμι διατεταγμένος·
ὡς ἕψομαί γ' ἄοκνος· ἢν δέ γε μὴ θέλω,
κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

2. Ὅστις δ' ἀνάγκῃ συγκεχώρηκεν καλῶς,
σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται.

3. Ἀλλ', ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γενέσθω.

4. Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ.

CAP. L.

Quæcunque proponuntur, ea, veluti leges, serva, tanquam impius futurus, si quid horum transgrediaris. Quodcunque autem de te quis dixerit, id ne cures: hoc enim non amplius tuum est.

CAP. LI.

1. Quousque igitur differes, optimis quibusque rebus te dignum judicare, et nullatenus rationem distinguentem violare? Accepisti præcepta, quibus assentiri debebas et jam assensus es. Quemnam igitur adhuc doctorem exspectas, ut in illum rejicias tui correctionem! Non amplius es adolescentulus, sed vir jam perfectus. Si itaque nunc neglexeris et cessaris, ac subinde prorogationem ex prorogatione nectas, et dies alios post alios tibi constitueris, post quos curam tui gerere incipias, imprudenti tibi accidet ut nunquam proficias, sed rudis totam vitam ad mortem usque transigas.

2. Jam igitur hoc te dignum censeto, ut vivas tamquam homo perfecta ætate, et ut proficiens: et quodcunque tibi optimum esse apparuerit, pro lege tibi sit, quam transgredi non liceat. Ac si laboriosum quid aut jucundum, aut gloriosum aut inglorium offeratur, memento nunc certamen obvenisse, et jam adesse Olympia, nec differre licere amplius: ac per unum diem, per unamque rem bene maleve gestam vel perire profectum, vel servari.

3. Ita Socrates perfectus evasit, cum in omnibus, quæ ipsi offerrentur, nullius rei respectum haberet nisi rationis. Tu vero etsi nondum es Socrates, sic tamen ut qui Socrates esse velis debes vivere.

CAP. LII.

1. Primus et maxime necessarius in philosophia locus est ille de usu præceptorum: ut, Non esse mentiendum. Alter, demonstrationum: ut, Unde hoc efficitur, ut non sit mentiendum. Tertius locus, qui hos ipsos confirmat et enodat: ut, Unde fiat, ut hæc sit demonstratio; quidnam sit demonstratio; quid consequentia; quid pugna; quid verum; quid falsum.

2. Quare tertius quidem locus necessarius est ob secundum, secundus autem ob primum: maxime vero necessarius, et in quo acquiescere oportet, est primus. At nos contra facimus. In tertio enim loco immoramur, et circa hunc omne studium nostrum occupatur: primum autem prorsus negligimus. Idcirco nos quidem mentimur: at quomodo demonstretur, non esse mentiendum, hoc in promptu habemus.

CAP. LII.

1. In quovis negotio hæc in promptu sunt habenda:
« Duc me, o Jupiter, et tu Fatum,
quocunque a vobis fuero destinatus;
sequar quippe impiger. Sin noluero,
ignavusve fuero, nihilo sane minus sequar.
2. Quisquis necessitati probe se accommodarit,
sapiens apud nos habetur, et divina cognoscit.
3. At, o Crito, si diis ita visum fuerit, ita fiat.

4. Me vero Anytus et Melitus occidere quidem possunt; nocere mihi non possunt. »

EPICTETI FRAGMENTA

MAXIME EX

JOANNE STOBÆO, ANTONINO, ET MAXIMO COLLECTA. *

I. (*Stob. Flor.* I, 46.)

Ὁ τύχῃ βίος συμπεπλεγμένος ἔοικε χειμάῤῥῳ ποταμῷ. Καὶ γὰρ ταραχώδης, καὶ ἰλύος ἀνάμεστος, καὶ δυσέμβατος, καὶ τυραννικὸς, καὶ πολύηχος, καὶ ὀλιγοχρόνιος.

II. (*Ib.* 47.)

Ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀεννάῳ πηγῇ· καὶ γὰρ καθαρὸν, καὶ ἀτάραχον, καὶ πότιμον, καὶ νόστιμον, καὶ κοινωνικὸν, καὶ πλούσιον, καὶ ἀβλαβὲς, καὶ ἀνώλεθρον.

III. (*Ib.* 48.)

Εἰ βούλει ἀγαθὸς εἶναι, πρῶτον πίστευσον ὅτι κακὸς εἶ.

IV. (*Ib.* 49.)

Βέλτιον, ὀλιγάκις πλημμελεῖν ὁμολογοῦντα, σωφρονεῖν πλεονάκις· ἢ ὀλιγάκις ἁμαρτάνειν λέγοντα, πλημμελεῖν πολλάκις.

V. (*Ib.* 50.)

Κόλαζε τὰ πάθη, ἵνα μὴ ὑπ' αὐτῶν τιμωρῇ.

VI. (*Ib.* 51.)

Μὴ οὕτω τὸ τῆς δόξης αἰσχύνου, ὡς τὸ ἐκ τῆς ἀληθείας ἀπόφευγε.

VII. (*Ib.* 52.)

Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν· μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς πράττειν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν.

VIII. (*Ib.* 54.)

Ἐλευθερία καὶ δουλεία, τὸ μὲν ἀρετῆς ὄνομα, τὸ δὲ κακίας· ἄμφω δὲ προαιρέσεως ἔργα. Οἷς δὲ προαίρεσις οὐ κοινωνεῖ, τούτων ψαύει μὲν οὐδέτερον· ψυχὴ δὲ δεσπόζειν εἴωθε σώματος, καὶ ὅσα τῶν ἀμφὶ σῶμα προαιρέσεως ἀκοινώνητα. Οὐδεὶς γὰρ δοῦλος, τὴν προαίρεσιν ὑπάρχων ἐλεύθερος.

IX. (*Ib.* 55.)

Κακὸς δεσμὸς σώματος μὲν τύχη, ψυχῆς δὲ κακία.

I

Vita fortunæ implicata similis est torrenti flumini : quippe quæ turbulenta est, et limo repleta, et ægre pervia, et tyrannica, et tumultuosa, et brevi transiens.

II.

Anima quæ cum virtute versatur, similis est perenni fonti : nam et purum quid est, et imperturbatum, et potabile, et dulce, et sociabile, et dives, et innoxium, et minime perniciosum.

III.

Si vis bonus esse, primum crede te esse malum.

IV.

Satius est, peccare quandoque fassum, recte plerumque te gerere; quam raro peccare te agnoscentem, sæpius delinquere.

V.

Coerce animi perturbationes, ne ab ipsis puniaris.

VI.

Non tam illud dedecus, quod ab opinione hominum pendet, verere; quam id, quod ex rei veritate exsistit, fuge.

VII.

Si vis bene audire, disce bene dicere : ubi autem didiceris bene dicere, conare recte agere : atque sic hunc fructum capies, ut bene audias.

VIII.

Libertas et servitus nomina sunt, illud virtutis, hoc pravitatis : utraque autem voluntatis opera. In quibus vero voluntati non est locus, ad ea neutrum horum pertinet. Anima autem dominari solet corpori et iis, quæ circa corpus sunt voluntatis expertia. Nemo enim servus, qui voluntate est liber.

IX.

Malum vinculum est, corporis quidem, fortuna; animi

* Delevimus fragmenta 57, 68, 73-76, 91, 93, 98-100, 133, 149, 161-166, quæ auctoritate nulla ad Epictetum referebantur.

Ὁ μὲν γὰρ τὸ σῶμα λελυμένος, τὴν δὲ ψυχὴν δεδεμένος, δοῦλος· ὁ δ' αὖ τὸ σῶμα δεδεμένος, τὴν δὲ ψυχὴν λελυμένος, ἐλεύθερος.

X. (*Stob. Flor.* I, 56.)

Τὸν μὲν τοῦ σώματος δεσμὸν λύει καὶ φύσις διὰ θανάτου, καὶ ἡ κακία διὰ χρημάτων· τὸν δὲ τῆς ψυχῆς, ἀρετὴ διὰ μαθήσεως καὶ ἐμπειρίας καὶ ἀσκήσεως.

XI. (*Ib.* 57.)

Εἰ βούλει ἀταράχως καὶ εὐαρέστως ζῆν, πειρῶ τοὺς συνοικοῦντάς σοι πάντας ἀγαθοὺς ἔχειν. Ἕξεις δὲ ἀγαθούς, εἰ τοὺς μὲν ἑκόντας παιδεύοις, τοὺς δὲ ἄκοντας ἀπολύοις. Συμφεύξεται γὰρ τοῖς φυγοῦσιν ἡ μοχθηρία ἅμα καὶ ἡ δουλεία· συναπολειφθήσεται δὲ τοῖς συμμένουσί σοι ἡ χρηστότης καὶ ἡ ἐλευθερία.

XII. (*Ib.* II, 30.)

Αἰσχρὸν τοῖς τῶν μελιττῶν δωρήμασι γλυκάζοντα τὴν κατάποσιν, τὸ τῶν θεῶν δῶρον τὸν λόγον πικράζειν τῇ κακίᾳ.

XIII. (*Ib.* III, 77.)

Οὐδεὶς φιλοχρήματος, καὶ φιλήδονος, καὶ φιλόδοξος, καὶ φιλάνθρωπος· ἀλλὰ μόνος ὁ φιλόκαλος.

XIV. (*Ib.* 78.)

Ὥσπερ οὐκ ἂν ἐβούλου ἐν νηὶ μεγάλῃ καὶ γλαφυρᾷ καὶ πολυχρύσῳ πλέων βαπτίζεσθαι, οὕτω μηδὲ ἐν οἰκίᾳ αἱροῦ ὑπερμεγέθει καὶ πολυτελεῖ αὐλιζόμενος χειμάζεσθαι.

XV. (*Ib.* IV, 92.)

Εἰς συμπόσιον μὲν οὖν παρακληθέντες, τῷ παρόντι χρώμεθα· εἰ δέ τις κελεύοι τὸν ὑποδεχόμενον ἰχθῦς αὐτῷ παρατιθέναι, ἢ πλακοῦντας, ἄτοπος ἂν δόξειεν. Ἐν δὲ τῷ κόσμῳ αἰτοῦμεν τοὺς θεοὺς ἃ μὴ διδόασι, καὶ ταῦτα πολλῶν ὄντων, ἅ γε ἡμῖν δεδώκασι.

XVI. (*Ib.* 93.)

Χαρίεντες, ἔφη, εἰσὶν οἱ μέγα φρονοῦντες ἐπὶ τοῖς οὐκ ἐφ' ἡμῖν. Ἐγώ σου, φησί, κρείττων εἰμί· ἀγροὺς γὰρ ἔχω πολλούς, σὺ δὲ λίμῳ παρατείνῃ. Ἄλλος λέγει, Ἐγὼ ὑπατικός εἰμι. Ἄλλος, Ἐγὼ ἐπίτροπος. Ἄλλος, Ἐγὼ οὔλας τρίχας [ἔχω]. Ἵππος δ' ἵππῳ οὐ λέγει, ὅτι ἐγὼ κρείττων εἰμί σου· πολὺν γὰρ κέκτημαι χιλὸν καὶ κριθὰς πολλάς· καὶ χαλινοί μοι εἰσὶ χρυσοῖ καὶ ἐφίππια ποικίλα· ἀλλ', ὅτι ὠκύτερός σου εἰμί. Καὶ πᾶν ζῷον κρεῖττον, καὶ χεῖρόν ἐστιν ἐκ τῆς ἑαυτοῦ ἀρετῆς καὶ κακίας. Ἆρ' οὖν ἀνθρώπου μόνου ἀρετὴ οὐκ ἔστιν; ἀλλὰ δεῖ ἡμᾶς εἰς τρίχας ἀφορᾶν, καὶ τὰ ἱμάτια, καὶ τοὺς πάππους;

XVII. (*Ib.* 94.)

Τῷ μὲν ἰατρῷ μηδὲν συμβουλεύοντι ἄχθονται οἱ

autem, pravitas. Qui enim corpore solutus, anima autem vinctus, servus est: at rursus, qui corpore vinctus, animo autem solutus, liber.

X.

Corporis quidem vinculum solvit et natura, per mortem; et pravitas, per pecuniam: animi autem, virtus, per doctrinam et experientiam et exercitationem.

XI.

Si vis imperturbate et jucunde vivere, da operam, ut omnes, qui tecum habitant, bonos habeas: habebis autem bonos, si eos, qui lubenter tibi adsunt, erudias; qui vero inviti, dimittas. Nam cum fugientibus malitia simul et servitus aufugient; cum iis autem qui tecum manent, probitas simul et libertas relinquentur.

XII.

Turpe est, eum, qui apum muneribus dulcem facit potionem, deorum munus, rationem, amaram reddere pravitate.

XIII.

Nemo pecuniæ amans et voluptatis et gloriæ, simul homines amat; sed solus honesti amans.

XIV.

Quemadmodum nolles in magna navi et ornata et auro onusta navigans submergi, sic neque cupias in domo nimis magna et sumtuosa habitans curis obrui.

XV.

Ad convivium quidem invitati, præsenti utimur: quodsi quis vero juberet hospitem apponere sibi pisces aut placentas, absurdus videretur. At in mundo a diis ea petimus, quæ non dant; quum multa interim sint, quæ sane nobis dederunt.

XVI.

Lepidi, inquiebat, sunt qui magnifice se efferunt ob ea quæ in nostra potestate non sunt. Ego te, inquit, melior sum: agros enim multos habeo, tu autem fame cruciaris. Alius ait, Ego consularis sum: alius, Ego procurator: alius, Crispos ego crines habeo. At equus non dicit equo: Ego te sum melior, quia multum pabuli habeo, et hordei abunde; insuper frena mihi sunt aurea et ephippia variegata: sed inde, quod te sum velocior. Adeoque omne animal vel melius est, vel deterius, pro sua virtute vel vitio. Soliusne igitur hominis virtus nulla est? sed oportet nos ad crines respicere, et vestes, et avos?

XVII.

Medico nihil consilii danti succensent ægri, eumque jam

κάμνοντες, καὶ ἡγοῦνται ἀπεγνῶσθαι ὑπ' αὐτοῦ· πρὸς δὲ τὸν φιλόσοφον διὰ τί οὐκ ἄν τις οὕτω διατεθείη, ὥστε οἰηθῆναι ἀπεγνῶσθαι ὑπ' αὐτοῦ σωφρονήσειν, εἰ μηδὲν λέγοι τι πρὸς αὐτὸν τῶν χρησίμων;

de se desperasse censent : erga philosophum vero cur non ita aliquis affectus fuerit, ut existimet, de suo ad sanam mentem reditu desperasse illum, si nihil quidquam utilium admonitionum ad ipsum direxerit?

XVIII. (*Stob. Flor.* IV, 95.)

Οἱ τὸ σῶμα εὖ διακείμενοι, καὶ καύματα καὶ ψύχη ὑπομένουσιν· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν καὶ λύπην καὶ περιχάρειαν καὶ τἄλλα πάθη φέρουσιν.

XVIII.

Qui corpore sunt bene constituti, et æstus et frigora tolerant : sic quoque qui animo bene compositi sunt, et iram, et tristitiam, et lætitiam, aliasque animi affectiones ferunt.

XIX. (*Ib.* V, 84.)

Ἐξέταζε σαυτὸν, πότερον πλουτεῖν θέλεις, ἢ εὐδαιμονεῖν. Καὶ εἰ μὲν πλουτεῖν, ἴσθι ὅτι οὔτε ἀγαθὸν, οὔτε ἐπὶ σοὶ πάντη· εἰ δὲ εὐδαιμονεῖν, ὅτι καὶ ἀγαθὸν, καὶ ἐπὶ σοί· ἐπεὶ τὸ μὲν τύχης ἐπίκαιρον δάνειον· τὸ δὲ τῆς εὐδαιμονίας προαιρέσεως.

XIX.

Examina te ipsum, utrum velis ditescere, an beate vivere. Quodsi ditescere, scito nec bonum id esse, nec omnino in tua potestate; at, si beate vivere, et bonum hoc esse, et in tua potestate : quoniam divitiæ sunt ad tempus a fortuna datum mutuum; beata autem vita est a voluntate.

XX. (*Ib.* 85.)

Καθάπερ ἔχιν, ἢ ἀσπίδα, ἢ σκορπίον, ἐν ἐλεφαντίνῃ ἢ χρυσῇ θεώμενος κίστῃ, οὐ διὰ τὸ πολυτελὲς τῆς ὕλης ἀγαπᾷς καὶ εὐδαιμονίζεις, ἀλλ', ὅτι λυμαντικὴ ἡ φύσις, ἐκτρέπῃ καὶ μυσάττῃ· οὕτω καὶ ἐπειδὰν ἐν πλούτῳ καὶ ὄγκῳ τύχης θεάσῃ κακίαν ἐνοῦσαν, μὴ καταπλαγῇς τὸ περιλαμπὲς τῆς ὕλης, ἀλλὰ καταφρόνει τῆς ἐν τῷ τρόπῳ κιβδηλίας.

XX.

Quemadmodum viperam, aut aspidem, aut scorpium in eburnea aureave cistula videns, non propter materiæ pretium diligis et beata prædicas animalia; sed, quia nocens illorum natura, aversaris atque exhorrescis : sic quoque, ubi in divitiis et fortunæ amplitudine malitiam inesse videris, splendorem materiæ ne stupeas, sed illam in moribus pravitatem sperne.

XXI. (*Ib.* 86.)

Ὁ πλοῦτος, οὐ τῶν ἀγαθῶν· ἡ πολυτέλεια, τῶν κακῶν· ἡ σωφροσύνη, τῶν ἀγαθῶν. Καλεῖ δὲ ἡ μὲν σωφροσύνη ἐπὶ τὴν εὐτέλειαν καὶ τὴν κτῆσιν τῶν ἀγαθῶν· ὁ δὲ πλοῦτος, ἐπὶ τὴν πολυτέλειαν, καὶ ἀφέλκει τῆς σωφροσύνης. Δυσχερὲς ἄρα πλουτοῦντα σωφρονεῖν, ἢ σωφρονοῦντα πλουτεῖν.

XXI.

Divitiæ non sunt de numero bonorum : luxus est de numero malorum : temperantia, de bonorum. Vocat autem temperantia ad frugalitatem et ad paranda bona; divitiæ vero ad luxum, et abstrahunt a temperantia. Difficile est igitur, ut dives idem sit temperans, aut ut temperans affluat divitiis.

XXII. (*Ib.* 87.)

Ὥσπερ, εἰ ἐν νηῒ ἐσπάρης ἢ ἐτέχθης, οὐκ ἂν ἔσπευδες αὐτῆς κυβερνήτης ὑπάρχειν· * *. Οὔτε γὰρ ἐκεῖ σοι φύσει ἡ ναῦς συνέσται, οὔτε ἐνταῦθα ὁ πλοῦτος· ἀλλὰ πάντη ὁ λόγος. Ὅπερ οὖν σοι φυσικὸν καὶ συγγενὲς, ὁ λόγος, τοῦτο καὶ οἰκεῖον ἡγησάμενος, τούτου ἐπιμελοῦ.

XXII.

Quemadmodum, si in navi genitus aut natus esses, non propterea ejus gubernator esse cuperes : *sic neque in terris divitiæ tibi expetendæ sunt.* Neque enim istic naturâ tibi navis aderit; neque hic divitiæ : sed ubique ratio. Id igitur quod tibi naturale et cognatum est, nempe rationem, tibi proprium censens, ejus curam suscipe.

XXIII. (*Ib.* 88.)

Ἐν Πέρσαις μὲν γεννηθεὶς, οὐκ ἔσπευδες οἰκεῖν τὴν Ἑλλάδα, ἀλλ' αὐτόθι διάγων εὐτυχεῖν· ἐν πενίᾳ δὲ γεννηθεὶς, τί σπεύδεις πλουτεῖν, ἀλλ' οὐκ αὐτόθι μένων εὐτυχεῖν;

XXIII.

Si in Perside natus esses, non cuperes in Græcia habitare, sed illic vitam feliciter transigere. Quid igitur, in paupertate natus, ditescere studes, non autem inibi manens vitam feliciter transigere?

XXIV. (*Ib.* 89.)

Ὥσπερ ἐπὶ σμικροῦ σκίμποδος θλιβόμενον ὑγιαίνειν ἄμεινον, ἢ ἐπὶ πλατείας κλίνης κυλινδούμενον νοσεῖν· οὕτω καὶ ἐν μικρᾷ περιουσίᾳ βέλτιον συστελλόμενον εὐθυμεῖν, ἢ ἐν μεγάλῃ τυγχάνοντα δυσθυμεῖν.

XXIV.

Quemadmodum in parvo humilique grabato anguste cubantem, sanum esse satius est, quam in amplo lecto se volutantem, ægrotare : sic et in exigua fortuna melius est sese contrahentem, animi tranquillitate frui; quam omnium rerum copia abundantem, mœrore confici.

XXV. (*Stob. Flor.* V, 90.)

Οὐ πενία λύπην ἐργάζεται, ἀλλὰ ἐπιθυμία· οὐδὲ πλοῦτος φόβου ἀπαλλάττει, ἀλλὰ λογισμός. Κτησάμενος τοιγαροῦν τὸν λογισμὸν, οὔτε πλούτου ἐπιθυμήσεις, οὔτε πενίαν μέμψῃ.

XXV.

Non paupertas molestiam facit, sed cupiditas : neque divitiæ a metu liberant, sed ratio. Si igitur rationem tibi comparaveris, neque divitias concupisces, neque paupertatem incusabis.

XXVI. (*Ib.* 91.)

Οὔτε ἵππος ἐπὶ φάτνῃ καὶ φαλάροις καὶ τάπησιν, οὔτε ὄρνις ἐπὶ βρώμῃ καὶ καλιᾷ ὑψοῦται καὶ γαυριᾷ· ἀλλ' ἄμφω ἐπὶ ὠκύτητι, ὁ μὲν ποδῶν, ὁ δὲ πτερῶν. Καὶ σὺ τοιγαροῦν μὴ ἐπὶ τροφῇ καὶ σκέπῃ καὶ ἁπλῶς τῇ ἔξωθεν περιουσίᾳ μέγ' ὀγκύλλου, ἀλλ' ἐπὶ χρηστότητι καὶ εὐποιΐᾳ.

XXVI.

Nec equus ob præsepe et phaleras et tapetes, nec avis ob alimenta ac nidum effertur iisque gloriatur : sed utraque animalia ob celeritatem; illud quidem, pedum, hoc vero, alarum. Quare tu quoque non ob alimenta, et vestes, et omnino ob externas res magnifice te efferas, sed ob probitatem et beneficentiam.

XXVII. (*Ib.* 92.)

Τὸ καλῶς ζῆν τοῦ πολυτελῶς διαφέρει· τὸ μὲν γὰρ ἐκ σωφροσύνης καὶ αὐταρκείας καὶ εὐταξίας καὶ κοσμιότητος καὶ εὐτελείας παραγίνεται· τὸ δὲ, ἐξ ἀκολασίας καὶ τρυφῆς καὶ ἀταξίας καὶ ἀκοσμίας· τέλος δὲ, τοῦ μὲν, ἔπαινος ἀληθής· τοῦ δὲ, ψόγος. Εἰ τοίνυν βούλει καλῶς ζῆν, μὴ ζήτει μετὰ πολυτελείας ἐπαινεῖσθαι.

XXVII.

Bene vivere et sumtuose differunt : illud enim ex temperantia, et sufficientia, et bono ordine, et decore, et frugalitate provenit; hoc vero, ex intemperantia et luxu, ac ordinis omnis et decori neglectu. Denique illud vera laus consequitur; hoc vero, vituperium. Quodsi igitur velis bene vivere, ne quæras ob nimios sumtus laudari.

XXVIII. (*Ib.* 93.)

Μέτρον ἔστω σοι παντὸς σίτου καὶ ποτοῦ, ἡ πρώτη τῆς ὀρέξεως ἔμπλησις· ὄψον δὲ καὶ ἡδονὴ, αὐτὴ ἡ ὄρεξις· καὶ οὔτε πλείονα τῶν δεόντων προσοίσῃ, οὔτε ὀψοποιῶν δεήσῃ, ποτῷ τε τῷ παραπεσόντι ἀρκεσθήσῃ.

XXVIII.

Modus tibi sit omnis cibi ac potionis, prima appetitionis repletio; obsonium autem et voluptas ipsa sit appetitio : atque ita nec plura quam opus est ingeres, nec obsoniorum instructoribus egebis, et potu quovis contentus eris.

XXIX. (*Ib.* 94.)

Τὰς σιτήσεις ποιοῦ μὴ ἀνειμένας καὶ σκυθρωπὰς, ἀλλὰ καὶ λαμπρὰς καὶ εὐτελεῖς· ἵνα μήτε διὰ τὰ σωματικὰ αἱ ψυχαὶ ταράττωνται μήτε φεναχιζόμεναι πρὸς τῶν ἡδονῶν, τῶν σωμάτων ὀλιγωρῶσιν, ἔπειτα βλάπτωνται· τρυφῶντα μὲν παραυτίκα, νοσοῦντα δὲ εἰσαῦθις τὰ σώματα.

XXIX.

Conviviis utitor, non sumtuosis cum tristitia, sed hilaribus cum frugalitate : ne animæ vel perturbentur ob res corporeas, vel deceptæ voluptatibus, corporis curam plane omittant, ac damnum deinde capiant : corpora in præsens luxuriantia, in posterum morbis conflictantur.

XXX. (*Ib.* 95.)

Φρόντιζε, ὅπως σε μὴ τὰ ἐν τῇ γαστρὶ σιτία ἐπαίρῃ, ἀλλ' ἡ ἐν τῇ ψυχῇ εὐφρασία. Ἐπεὶ τὰ μὲν ἀποσκυβαλίζεται, καὶ συνεκρεῖ ὁ ἔπαινος· ἡ δὲ, κἂν ἡ ψυχὴ χωρισθῇ, διαπαντὸς ἀκήρατος μένει.

XXX.

Cura, ut te non, quos ventri ingeris, cibi efferant; sed, quam in animo habes, lætitia. Nam illi in stercus redacti ejiciuntur, et simul cum corpore perit laus ejus : hæc vero etiam tum, quum animus e corpore discesserit, perpetuo incorrupta manet.

XXXI. (*Ib.* 96.)

Ἐν ταῖς ἑστιάσεσι μέμνησο, ὅτι δύο ὑποδέχῃ, σῶμα, καὶ ψυχήν· καὶ ὅ τι ἂν τῷ σώματι δῷς, τοῦτο εὐθὺς ἐξέχεας· ὅ τι δ' ἂν τῇ ψυχῇ, διαπαντὸς τηρεῖς.

XXXI.

Inter epulandum memento, duos a te excipi convivas, corpus, et animam : tum, quidquid corpori dederis, illud statim te effundere; at, quidquid animæ, semper illud te servare.

XXXII. (*Ib.* 97.)

Μὴ συγκεράσας ἅμα ὀργὴν πολυτελείᾳ προσενέγκῃς. Πολυτέλεια μὲν ἐμπηδήσασα τῷ σώματι μετ' οὐ πολὺ οἴχεται· ἡ δὲ ὀργὴ ἐνδῦσα τῇ ψυχῇ ἐπὶ τὸ μήκιστον μένει. Σκόπει τοιγαροῦν, ὅπως μὴ ὑπ' ὀργῆς ἐξαχθεὶς τοὺς δαιτυμόνας πολυτελῶς ὑβρίσῃς· ἀλλὰ μᾶλλον μεθ' ἡμερότητος εὐτελῶς εὐφράνῃς.

XXXII.

Noli iram cum luxu mixtam convivis apponere. Luxus quidem, ubi in corpus transierit, paulo post abit : at ira, quum animum subierit, diutissime immoratur. Vide igitur, ne ira concitatus convivas luxuriose injuria afficias; sed potius cum mansuetudine frugaliter exhilares.

XXXIII. (*Stob. Flor.* V, 99.)

Μελέτω σοι ἐν τοῖς σιτίοις, ὅπως σοι οἱ ὑπουργοῦντες μὴ πλείους τῶν ὑπουργουμένων ὑπάρχωσιν· ἄτοπον γὰρ ὀλίγαις στιβάσι πολλὰς δουλεύειν ψυχάς.

XXXIII.

Curæ tibi sit, ne in cibo capiendo plures tibi ministri adsint, quam quibus ministratur. Absurdum enim, paucis toris multas inservire animas.

XXXIV. (*Ib.* 100.)

Ἄριστον μὲν, εἰ κἂν ταῖς παρασκευαῖς, χειρουργῶν, κἂν ταῖς τροφαῖς, ἑστιώμενος, κοινωνεῖς τοῖς θεραπεύουσι τῶν παρόντων. Εἰ δὲ τὸ τοιόνδε δυσχερὲς τῷ καιρῷ ὑπάρχοι, μέμνησο ὅτι μὴ κάμνων ὑπὸ καμνόντων ὑπουργῇ, ἐσθίων ὑπὸ μὴ ἐσθιόντων, πίνων ὑπὸ μὴ πινόντων, λαλῶν ὑπὸ σιωπώντων, ἀνειμένος ὑπὸ συνεσταλμένων· καὶ οὔτε αὐτὸς φλεγμήνας ἄτοπον πείσῃ, οὐδ' ἕτερον ἀγριάνας χαλεπὸν ἐργάσῃ.

XXXIV.

Optimum quidem fuerit, si et in apparandis rebus, manum operi admovens, et, quod ad victum spectat, epulis accumbens, cum famulis particeps quæ in præsens adsunt. Id si pro tempore fieri haud facile potest, memento saltem, otioso tibi ministrari a laborantibus, edenti a non edentibus, bibenti a non bibentibus, loquenti a tacentibus, remisso et curis soluto ab astrictis et sollicitis. Sic nec ipse ira intus accensus absurdi aliquid patieris, nec in alium, furiose sæviens, durius aliquid committes.

XXXV. (*Ib.* 101.)

Ἐρίζειν καὶ φιλονεικεῖν, πάντη μὲν ἄτοπον, μάλιστα δὲ ἐν ταῖς παρὰ πότον ὁμιλίαις ἀπρεπές. Οὔτε γὰρ ἂν μεθύων νήφοντα διδάξειέ τις, οὔτ' αὖ μεθύων πρὸς νήφοντος πεισθείη. Ἔνθα δὲ ἂν μὴ παρῇ πειθοῦς τέλος, εἰκῇ σε παρέχεις διατείνεσθαι.

XXXV.

Rixari et invidiose contendere, quum ubique absurdum est, tum in sermonibus, qui inter pocula feruntur, vel maxime indecorum. Neque enim ebrius quis sobrium docuerit, nec rursus ebrio sobrius persuaserit. Ubi non est persuasionis finis, ibi nequicquam te præbes enitentem

XXXVI. (*Ib.* 102.)

Οἱ τέττιγες μουσικοί· οἱ δὲ κοχλίαι ἄφωνοι· χαίρουσι δὲ οἱ μὲν ὑγραινόμενοι, οἱ δὲ ἀλεαινόμενοι· ἔπειτα προκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύνουσι· τοὺς δ' αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος, καὶ ἐν αὐτῷ ᾄδουσι. Τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνὴρ, ἡνίκα μὲν ἐν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχὴ, τότε αὐτὴν μὴ ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ' ἡνίκα ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε θεσπίζειν καὶ ᾄδειν τὰ τῆς δικαιοσύνης κέλευε λόγια.

XXXVI.

Cicadæ animal sunt musicum; cochleæ vero mutæ: atque hæ quidem humectari gaudent, illæ vero, calescere: deinde has provocat ros, et ejus causa prorepunt: illas autem fervens sol excitat, et in ipso cantillant. Quare, si vis musicus esse vir et bene consonans, quando inter pocula a vino anima irrorata fuerit, tunc ipsam ne sinas egressam inquinari; sed quum in consessibus a ratione anima accensa fuerit, tunc vaticinari eam jube, et canere justitiæ cula.

XXXVII. (*Ib.* 103.)

Τὸν προσομιλοῦντα τριχῇ διασκοποῦ, ἢ ὡς ἀμείνονα, ἢ ὡς ἥττονα, ἢ ὡς ἴσον· καὶ εἰ μὲν ἀμείνονα, ἀκούειν χρὴ καὶ πείθεσθαι αὐτῷ· εἰ δὲ ἥττονα, πείθειν· εἰ δὲ ἴσον, συμφωνεῖν· καὶ οὔποτε ἁλώσῃ φιλονεικίας.

XXXVII.

Eum, cum quo disseris, trifariam considera; aut ut superiorem, aut ut deteriorem, aut ut æqualem: quodsi superiorem deprehenderis, audire convenit, eique obtemperare; quodsi deteriorem, meliora ei persuadere; si æqualem, ei assentiri: sic nunquam contentionis studio abripieris.

XXXVIII. (*Ib.* 104.)

Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

XXXVIII.

Satius est veritati concedentem, opinionem vincere, quam opinioni concedentem a veritate superari.

XXXIX. (*Ib.* 105.)

Ζητῶν τὴν ἀλήθειαν, οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾷν· καὶ εὑρὼν τὴν ἀλήθειαν, ἕξεις τὸ μὴ νικᾶσθαι.

XXXIX.

Si veritatem quæris, non quovis modo vincere voles; et inventa veritate, habebis hoc, ut non vincaris.

XL. (*Ib.* 106.)

Ἡ ἀλήθεια παρ' αὐτῇ νικᾷ, ἡ δὲ δόξα παρὰ τοῖς ἔξω.

XL.

Veritas apud sese vincit; opinio autem apud exteros.

XLI. (*Stob. Flor.* V, 107.)

Βέλτιον, μετὰ ἑνὸς ἐλευθέρου ζῶντα, ἄφοβον καὶ ἐλεύθερον ὑπάρχειν· ἢ μετὰ πολλῶν δουλεύειν.

XLI.

Melius est, cum uno libero degentem, intrepidum et liberum esse; quam cum multis servire.

XLII. (*Ib.* 108.)

Ὅπερ φεύγεις παθεῖν, τοῦτο μὴ ἐπιχείρει διατιθέναι· φεύγεις δὲ δουλείαν, φυλάσσου τὸ δουλεύεσθαι. Ὑπομένων γὰρ δουλεύεσθαι, αὐτὸς ὑπάρχειν πρότερον ἔοικας δοῦλος. Οὔτε γὰρ κακία ἀρετῇ κοινωνεῖ, οὔτε ἐλευθερία δουλείᾳ.

XLII.

Quod pati fugis, hoc alteri ne facere suscipias: fugis autem servitutem; cave igitur, ne tibi serviatur. Si enim tibi serviri sustines, ipse primum videris esse servus. Nec enim cum virtute pravitas communionem habet, neque cum libertate servitus.

XLIII. (*Ib.* 109.)

Ὥσπερ ὁ ὑγιαίνων οὐκ ἂν ὑπὸ νοσούντων βούλοιτο θεραπεύεσθαι, οὔτε τοὺς συνοικοῦντας αὐτῷ νοσεῖν· οὕτως οὔτε ἐλεύθερος ἀνάσχοιτ' ἂν ὑπὸ δούλων ὑπηρετεῖσθαι, ἢ τοὺς συμβιοῦντας ἑαυτῷ δουλεύειν.

XLIII.

Quemadmodum sanus ab ægris sibi ministrari nollet, nec secum habitantes, ægrotare: ita neque liber a servis sibi ministrari sustinuerit, aut eos, qui secum vivunt, servire.

XLIV. (*Ib.* 110.)

Εἰ βούλει δούλων ἐκτὸς ὑπάρχειν, αὐτὸς ἀπολύθητι δουλείας· ἔσῃ δ' ἐλεύθερος, ἂν ἀπολυθῇς ἐπιθυμίας. Οὔτε γὰρ Ἀριστείδης, οὔτε Ἐπαμινώνδας, οὔτε Λυκοῦργος πλουτοῦντες καὶ δουλευόμενοι, ὁ μὲν δίκαιος, ὁ δὲ θεὸς, ὁ δὲ σωτὴρ ἀνηγορεύθησαν· ἀλλ' ὅτι πενόμενοι τὴν Ἑλλάδα δουλείας ἀπέλυον.

XLIV.

Quisquis volueris non in servorum esse numero, ipse a servitute te libera. Eris autem liber, si solutus fueris a cupiditate. Neque enim Aristides, neque Epaminondas, neque Lycurgus, quod divites essent et famulitio insignes, ille justus, hic deus, iste servator, publice appellati sunt; sed quod pauperes Græciam a servitute liberaverint.

XLV. (*Ib.* 111.)

Εἰ βούλει σοι τὴν οἰκίαν εὖ οἰκεῖσθαι, μιμοῦ τὸν Σπαρτιάτην Λυκοῦργον. Ὃν γὰρ τρόπον οὗτος οὐ τείχεσι τὴν πόλιν ἔφραξεν, ἀλλ' ἀρετῇ τοὺς ἐνοικοῦντας ὠχύρωσε, καὶ διαπαντὸς ἐτήρησεν ἐλευθέραν τὴν πόλιν· οὕτω καὶ σὺ μὴ μεγάλην αὐλὴν περίβαλλε καὶ πύργους ὑψηλοὺς ἀνίστα, ἀλλὰ τοὺς ἐνοικοῦντας εὐνοίᾳ καὶ πίστει καὶ φιλίᾳ στήριζε· καὶ οὐδὲν εἰς αὐτὴν εἰσελεύσεται βλαβερὸν, οὐδ' ἂν τὸ σύμπαν τῆς κακίας παρατάξηται στῖφος.

XLV.

Si domum tuam bene habitari vis, Spartanum Lycurgum imitare. Quemadmodum enim ille non muris urbem circumdedit, sed virtute inhabitantes munivit, et liberam perpetuo urbem conservavit: ita tu quoque ne magnam aulam rebus tuis circumda, aut turres altas erige, sed inhabitantes benevolentia et fide et amicitia confirma; sic nihil quod noceat in eam ingredietur, ne si universa quidem pravitatis caterva instructa acie eam oppugnaret.

XLVI. (*Ib.* 112.)

Μὴ πίναξι καὶ γραφαῖς τὴν οἰκίαν σου περίβαλλε, ἀλλὰ σωφροσύνῃ κατάγραφε. Τὸ μὲν γὰρ ἀλλοῖον, τῶν ὀφθαλμῶν ἐστιν ἐπίκαιρος γοητεία· τὸ δὲ σύμφυτος καὶ ἀνεξάλειπτος καὶ ἀΐδιος οἰκίας κόσμος.

XLVI.

Ne tabulis ac picturis domum tuam circumcirca orna; sed temperantia ipsam depinge. Illud enim alienum est, oculorum temporariæ præstigiæ: hoc vero congenitus et indelebilis et æternus domui ornatus exsistit.

XLVII. (*Ib.* 113.)

Ἀντὶ βοῶν ἀγέλης πειρῶ φίλων ἀγέλας ἐναγελάζεσθαί σου τῇ οἰκίᾳ.

XLVII.

Pro boum grege, amicorum greges in domum tuam congregare stude.

XLVIII. (*Ib.* 114.)

Ὥσπερ λύκος ὅμοιον κυνὶ, οὕτω καὶ κόλαξ καὶ μοιχὸς καὶ παράσιτος ὅμοιον φίλῳ. Πρόσεχε τοιγαροῦν, μὴ ἀντὶ κυνῶν φυλάκων λάθῃς λυμεῶνας εἰσδεχόμενος λύκους.

XLVIII.

Quemadmodum lupus cani similis est, ita et adulator et adulter et parasitus similes amico. Cave igitur, ne cănum custodum loco perniciosos lupos nescius domi recipias.

XLIX. (*Ib.* 115.)

Τὸ μὲν γύψῳ λευκανθίζουσαν σπουδάζειν θαυμάζε-

XLIX.

Operam quidem dare, ut gypso albescens domus alios

σθαι τὴν οἰκίαν, ἀπειροκάλου· τὸ δὲ ἦθος χρηστότητι κοινωνίας λαμπρύνειν, φιλοκάλου τε ἅμα καὶ φιλανθρώπου.

in admirationem trahat, hominis est inepto ornandi studio ducti : mores autem benignitate communicationis splendidos reddere, illius est qui simul id quod pulcrum est, simul homines amet.

L. (*Stob. Flor.* V, 116.)

Ἐὰν θαυμάζῃς τὰ μικρὰ πρὸ τῶν μεγάλων, καταφρονηθήσῃ· ἐὰν δὲ καταφρονήσῃς τῶν μικρῶν, μεγάλως θαυμασθήσῃ.

L.

Si parva admirere præ magnis, contemnêre : at si parva contemseris, admirationi eris magnæ.

LI. (*Ib.* 117.)

Οὐδὲν μικρότερον φιλοκερδείας, καὶ φιληδονίας, καὶ ἀλαζονείας· οὐδὲν κρεῖσσον μεγαλοφροσύνης, καὶ ἡμερότητος, καὶ φιλανθρωπίας, καὶ εὐποιΐας.

LI.

Nihil abjectius est et avaritia, et voluptatis amore, et arrogantia : nihil præstantius magnitudine animi, et mansuetudine, et humanitate, et beneficentia.

LII. (*Ib.* VI, 50.)

Τοὺς δυσχερεῖς δὲ φιλοσόφους εἰς μέσον ἄγοντες, οἷς οὐ δοκεῖ κατὰ φύσιν ἡδονὴ εἶναι, ἀλλ' ἐπιγίγνεσθαι τοῖς κατὰ φύσιν, δικαιοσύνῃ, σωφροσύνῃ, ἐλευθερίᾳ. Τί ποτ' οὖν ἡ ψυχὴ ἐπὶ μὲν τοῖς τοῦ σώματος ἀγαθοῖς μικροτέροις οὖσι χαίρει, καὶ γαληνιᾷ, ὥς φησιν Ἐπίκουρος· ἐπὶ δὲ τοῖς αὐτῆς ἀγαθοῖς, μεγίστοις οὖσιν, οὐχ ἥδεται; Καί τοι καὶ δέδωκέ μοι ἡ φύσις αἰδῶ, καὶ πολλὰ ὑπερυθριῶ, ὅταν τι ὑπολάβω αἰσχρὸν λέγειν. Τοῦτό με τὸ κίνημα οὐκ ἐᾷ τὴν ἡδονὴν θέσθαι ἀγαθὸν καὶ τέλος τοῦ βίου.

LII.

Molestos autem illos philosophos in medium producunt, quibus non videtur secundum naturam voluptas esse, sed iis quæ secundum naturam sunt, justitiæ, temperantiæ, libertati, succedere. Quid ergo animus corporis quidem bonis quæ minora sunt gaudet, et tranquillatur, ut Epicurus inquit; suis autem bonis, quæ maxima sunt, non delectatur? Atqui etiam pudorem mihi natura tribuit, et admodum erubesco, quum turpe quid me dicere existimo. Iste me motus non sinit voluptatem statuere bonum et finem vitæ.

LIII. (*Ib.* 58.)

Ἐν Ῥώμῃ αἱ γυναῖκες μετὰ χεῖρας ἔχουσι τὴν Πλάτωνος πολιτείαν, ὅτι κοινὰς ἀξιοῖ εἶναι τὰς γυναῖκας. Τοῖς γὰρ ῥήμασι προσέχουσι τὸν νοῦν, οὐ τῇ διανοίᾳ τἀνδρός· ὅτι οὐ γαμεῖν κελεύων καὶ συνοικεῖν ἕνα μιᾷ, εἶτα κοινὰς εἶναι βούλεται τὰς γυναῖκας· ἀλλ' ἐξαιρῶν τὸν τοιοῦτον γάμον, καὶ ἄλλο τι εἶδος γάμου εἰσφέρων. Καὶ τὸ ὅλον οἱ ἄνθρωποι χαίρουσιν, ἀπολογίας τοῖς ἑαυτῶν ἁμαρτήμασι πορίζοντες. Ἐπεί τοι φιλοσοφία φησὶν, ὅτι οὐδὲ τὸν δάκτυλον ἐκτείνειν εἰκῆ προσήκει.

LIII.

Romæ mulieres Platonis de Republica libros in manibus habent, quod communes velit esse mulieres. Ad verba enim, non ad sententiam viri, animum advertunt : qui nempe non primum uxorem ducere jubet, et unum uni cohabitare, ac deinde communes vult esse mulieres; sed hujusmodi nuptias tollit, aliudque nuptiarum genus introducit. In summa, gaudent homines, quando peccatis suis patrocinia inveniunt. Atqui philosophia dicit, ne digitum quidem temere esse extendendum.

LIV. (*Ib.* 59.)

Τῶν ἡδέων τὰ σπανιώτατα γιγνόμενα μάλιστα τέρπει.

LIV.

Jucundorum ea quæ rarissime fiunt maxime oblectant.

LV. (*Ib.* 60.)

Εἴ τις ὑπερβάλλοι τὸ μέτριον, τὰ ἐπιτερπέστατα ἀτερπέστατα ἂν γένοιτο.

LV.

Si quis modum excedat, quæ suavissima sunt quam maxime insuavia fieri possunt.

LVI. (*Ib.* VII, 17.)

Διὰ τοῦτο ἐπαινεῖν Ἀγριππῖνον δίκαιον, ὅτι πλείστου ἄξιος ἀνὴρ γενόμενος, οὐδεπώποτε ἐπῄνεσεν ἑαυτόν· ἀλλ' εἰ καὶ ἄλλος τις αὐτὸν ἐπῄνει, ἠρυθρία. Οὗτος δ', ἔφη, ὁ ἀνὴρ τοιοῦτος ἦν, ὥστε τοῦ συμβαίνοντος ἀεὶ ἑαυτῷ δυσκόλου ἔπαινον γράφειν· εἰ μὲν πυρέττοι, πυρετοῦ· εἰ δὲ ἀδοξοῖ, ἀδοξίας· εἰ δὲ φύγοι, φυγῆς. Καί ποτε μέλλοντι, ἔφη, αὐτῷ ἀριστήσειν, ἐπέστη ὁ λέγων, ὅτι φεύγειν αὐτὸν κελεύει Νέρων· καὶ ὅς, Οὐκοῦν, εἶπεν, ἐν Ἀρικίᾳ ἀριστήσομεν.

LVI.

Propterea merito laudandus Agrippinus, quod quum vir esset maximi faciendus, nunquam se ipsum laudaret; sed et, si quis alius ipsum laudaret, erubesceret. Hic autem, inquiebat, vir talis erat, ut ejus quod illi accidisset mali laudationem scriberet : si quidem febricitaret, febris; si dedecore afficeretur, dedecoris; si exularet, exilii. Et aliquando, inquiebat, pransuro ipsi astitit qui diceret, jubere Neronem ut in exilium abiret; hic autem, Ergo, inquit, Aricæ prandebimus.

LVIII. (*Stob. Flor.* IX, 40.)

Ὥσπερ ἀληθὴς ζυγὸς οὔτε πρὸς ἀληθοῦς εὐθύνεται ζυγοῦ, οὔθ' ὑπὸ ψευδοῦς κρίνεται· οὕτω καὶ ὁ δίκαιος κριτὴς οὔθ' ὑπὸ δικαίων εὐθύνεται, οὔτε παρ' ἀδίκοις δικάζεται.

LIX. (*Ib.* 41.)

Ὥσπερ τὸ εὐθὺ εὐθέος οὐ δεῖται, οὕτως οὐδὲ τὸ δίκαιον δικαίου.

LX. (*Ib.* 42.)

Μὴ πρότερον ἐν ἑτέρῳ δικαστηρίῳ δικάσῃς, πρὶν αὐτὸς παρὰ τῇ δίκῃ κριθῇς.

LXI. (*Ib.* 43.)

Εἰ βούλει τὰς κρίσεις δικαίας ποιεῖσθαι, μηδένα τῶν δικαζομένων καὶ δικαιολογούντων ἐπιγίγνωσκε, ἀλλ' αὐτὴν τὴν δίκην.

LXII. (*Ib.* 44.)

Ἥκιστα πταίσεις ἐν ταῖς κρίσεσιν, ἐὰν αὐτὸς ἐν τῷ βίῳ ἄπταιστος διατελῇς.

LXIII. (*Ib.* 45.)

Ἄμεινον, δικαίως κρίνοντα πρὸς τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι· ἢ ἀδίκως κρίνοντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι.

LXIV. (*Ib.* 46.)

Καθάπερ ἡ τὸν χρυσὸν δοκιμάζουσα λίθος οὐκέτι καὶ αὐτὴ πρὸς τοῦ χρυσοῦ δοκιμάζεται· οὕτω καὶ ὁ τὸ κριτήριον ἔχων.

LXV. (*Ib.* 47.)

Αἰσχρὸν τὸν δικαστὴν πρὸς ἑτέρων δικάζεσθαι.

LXVI. (*Ib.* 48.)

Καθάπερ ὀρθοῦ οὐδὲν ὀρθότερον, οὕτως οὐδὲ δικαίου οὐδὲν δικαιότερον.

LXVII. (*Ib* XIX, 13.)

Τὸ δὲ Λυκούργου τοῦ Λακεδαιμονίου τίς ἡμῶν οὐ θαυμάζει; πηρωθεὶς γὰρ ὑπό τινος τῶν πολιτῶν τῶν ὀφθαλμῶν τὸν ἕτερον, καὶ παραλαβὼν τὸν νεανίσκον παρὰ τοῦ δήμου, ἵνα τιμωρήσαιτο ὅπως αὐτὸς βούληται, τούτου μὲν ἀπέσχετο· παιδεύσας δὲ αὐτὸν καὶ ἀποφήνας ἄνδρα ἀγαθόν, παρήγαγεν εἰς τὸ θέατρον. Θαυμαζόντων δὲ τῶν Λακεδαιμονίων, Τοῦτον μέντοι λαβών, ἔφη, παρ' ὑμῶν ὑβριστὴν καὶ βίαιον, ἀποδίδωμι ὑμῖν ἐπιεικῆ καὶ δημοτικόν.

LXIX. (*Stob. Flor.* XX, 60.)

Ἀλλὰ παντὸς μᾶλλον τῆς μὲν φύσεως ἐκεῖνο τὸ ἔργον, συνδῆσαι καὶ συναρμόσαι τὴν ὁρμὴν τῆς τοῦ προσήκοντος καὶ ὠφελίμου φαντασίας.

LVIII.

Sicut vera trutina neque a vera trutina corrigitur, neque a falsa judicatur : ita quoque justus judex neque a justis corrigitur, neque apud injustos judicatur.

LIX.

Uti rectum non eget recto, ita nec justum justo.

LX.

Ne prius in alio tribunali judicaveris, quam ipse coram justitia judicatus fueris.

LXI.

Si judicia vis justa facere, nullum litigantium et causam dicentium, sed solam causam cognosce.

LXII.

In judicandis aliis minime peccabis, si, ut ipse vitam tuam sine peccato transigas, curaveris.

LXIII.

Satius est, quum juste judicaveris, ab eo, qui condemnatus est, injuste vituperari; quam, injuste judicantem, ab ipsa natura et veritate juste reprehendi.

LXIV.

Quemadmodum qui aurum probat lapis, non contra et ipse ab auro probatur; sic et (ratio) quæ veri judicandi facultatem habet.

LXV.

Turpe est, judicem ab aliis judicari.

LXVI.

Quemadmodum recto nihil rectius, sic neque justo quidquam justius.

LXVII.

Lycurgi Lacedæmonii factum quis nostrûm non admiratur? nam a cive quopiam oculorum altero orbatus, quum juvenem a populo accepisset, ut quo vellet ipse modo puniret, ab hoc abstinuit : sed quum illum instituisset bonumque virum effecisset, in theatrum eum adduxit. Admirantibus autem Lacedæmoniis, Hunc, inquiebat, quem a vobis injurium ac violentum acceperam, modestum ac popularem vobis restituo.

LXIX.

Hoc in primis est naturæ opus, colligare et coaptare impetum tum illius visi quod conveniens, tum quod utile occurrit.

LXX. (*Stob. Flor.* XX, 61.)

Τὸ δὲ οἴεσθαι εὐκαταφρονήτους τοῖς ἄλλοις ἔσεσθαι, ἐὰν μὴ τοὺς πρώτους ἐχθροὺς παντὶ τρόπῳ βλάψωμεν, σφόδρα ἀγεννῶν καὶ ἀνοήτων ἀνθρώπων. Φαμὲν γὰρ τὸν εὐκαταφρόνητον νοεῖσθαι μὲν καὶ κατὰ τὸ ἀδύνατον εἶναι βλάψαι· ἀλλὰ πολὺ μᾶλλον νοεῖται κατὰ τὸ ἀδύνατον εἶναι ὠφελεῖν.

LXX.

Putare se contemnendos aliis fore, nisi primos quosque inimicos quovis modo lædant, valde degenerum ac insipientium est hominum. Dicimus enim, hominem contemnendum intelligi quidem eum quoque, qui non possit nocere : at multo magis intelligitur is, qui prodesse non potest.

LXXI. (*Ib.* 67.)

Ὅτῳ μετὰ ἀνατάσεως καὶ ἀπειλῆς ἐπιχειρεῖς, μέμνησο προλέγειν, ὅτι ἥμερος εἶ· καὶ οὐδὲν ἄγριον δράσας, ἀμετανόητος καὶ ἀνεύθυνος διαγενήσῃ.

LXXI.

Si quem cum animi acerbitate et minis aggredi velis, memento tibi prædicere, esse te mansuetum : sic nihil immane commiseris, et pœnitentiæ et culpæ immunis manebis.

LXXII. (*Ib.* XXIX, 84.)

Εἰδέναι χρὴ, ὅτι οὐ ῥᾴδιον δόγμα παραγενέσθαι ἀνθρώπῳ, εἰ μὴ καθ' ἑκάστην ἡμέραν τὰ αὐτὰ καὶ λέγῃ τις, καὶ ἀκούῃ, καὶ ἅμα χρῷτο πρὸς τὸν βίον.

LXXII.

Sciendum, non facile ullum decretum sibi comparaturum esse hominem, nisi quotidie eadem et dicat, et audiat, et simul ad vitam iisdem utatur.

LXXVII. (*Ib.* XXXV, 10.)

Μηδενὸς οὕτως ἐν παντὶ προνοοῦ, ὡς τοῦ ἀσφαλοῦς· ἀσφαλέστερον γὰρ τοῦ λέγειν τὸ σιγᾷν· ἐᾷν δὲ τὸ λέγειν, ὅσα δίχα ἔσται νοῦ καὶ λόγου.

LXXVII.

In omni negotio nihil adeo prospicere debes, quam ut tutum securumque sit quod agis. Est autem tutius, tacere quam loqui. Ceterum iis dicendis, quæ mente et ratione carent, supersedebis.

LXXVIII. (*Ib.* XLV, 19.)

Ὥσπερ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ, δι' ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα, ταῖς ἀλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν· οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοὺς πολίτας εὐεργετεῖ.

LXXVIII.

Quemadmodum faces in portu sublatæ, paucis sarmentis magnam flammam excitantes, navibus per mare errabundis multum ferunt auxilii : sic et vir clarus in civitate difficilibus temporibus jactata, paucis ipse contentus, magnis beneficiis cives afficit.

LXXIX. (*Ib.* XLVI, 79.)

Ὥσπερ εἰ ναῦν κυβερνᾷν ἐπεχείρεις, πάντως ἂν τὴν κυβερνητικὴν ἐξεμάνθανες τέχνην· ** ἐξέσται γάρ σοι, ὥσπερ ἐκεῖσε πᾶσαν τὴν ναῦν, οὕτω κἀνθάδε πᾶσαν κυβερνᾷν [κυβιστᾷν τὴν?] πόλιν.

LXXIX.

Veluti si navim gubernare susciperes, gubernandi artem omnino perdisceres : *sic rempub. administraturus, regendæ civitatis rationem discito.* Poteris enim, quemadmodum ibi totam navim, ita hic totam gubernare [*fort.* evertere] urbem.

LXXX. (*Ib.* 80.)

Εἰ πρόκειταί σοι τὴν πόλιν ἀναθήμασι κοσμεῖν, σεαυτῷ πρῶτον ἀνάθες τὸ κάλλιστον ἡμερότητος καὶ δικαιοσύνης καὶ εὐποιΐας ἀνάθημα.

LXXX.

Si propositum tibi fuerit donariis urbem ornare, tibi ipsi primum mansuetudinis et justitiæ et beneficentiæ pulcerrimum decus statue.

LXXXI. (*Ib.* 81.)

Εὐποιήσεις σὺ τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσεις, ἀλλὰ τὰς ψυχὰς αὐξήσεις. Ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχὰς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα.

LXXXI.

Summis beneficiis urbem tu afficies, si non tam ædificiorum fastigia in altum evexeris, quam civium animos virtutibus auxeris. Præstat quippe, in parvis domunculis magnos habitare animos, quam in magnis ædibus, tanquam in latibulis, humilia latitare mancipia.

LXXXII. (*Ib.* 82.)

Μὴ τοῖς ἐξ Εὐβοίας καὶ Σπάρτης λίθοις τοὺς τοίχους τῇ κατασκευῇ ποίκιλλε· ἀλλὰ γὰρ τῇ ἐκ τῆς Ἑλλάδος παιδείᾳ τὰ στέρνα τῶν πολιτῶν καὶ τῶν πολιτευομένων διακόσμει. Γνώμαις γὰρ ἀνδρῶν εὖ οἰκοῦνται πόλεις, ἀλλ' οὐ λίθοις καὶ ξύλοις.

LXXXII.

Ne lapidibus ex Eubœa et Sparta advectis parietum structuram variato; sed potius ex Græcia accersita disciplina animos civium et rempublicam administrantium exornato. Quippe virorum sententiis, non vero lapidibus et lignis urbes exornantur.

LXXXIII. (*Stob. Flor.* XLVI, 83.)

Ὥσπερ, εἰ λέοντας ἐβούλου τρέφειν, οὐκ ἄν σοι τῆς πολυτελείας τῶν ζωγρείων ἔμελεν, ἀλλὰ τῆς πράξεως τῶν ζῴων· οὕτως, εἰ πολιτῶν πειρᾷ προΐστασθαι, μὴ τοσοῦτον τῆς πολυτελείας τῶν ἀναστημάτων φρόντιζε, ὁπόσον τῆς ἀνδρείας τῶν ἐνδιατριβόντων ἐπιμελοῦ.

LXXXIII.

Quemadmodum leones nutriturus, non de cavearum magnificentia curam susciperes, sed de actione animalium: ita, si civibus præesse coneris, ne tam ædificiorum magnificentiam cures, quam inhabitantium fortitudinem.

LXXXIV. (*Ib.* 84.)

Καθάπερ ἀγαθὸς πωλοδάμνης οὐ τῶν πώλων τοὺς μὲν ἀγαθοὺς τρέφει, τοὺς δὲ δυσηνίους λιμώττειν ἐᾷ, ἀλλὰ τρέφει μὲν ἐπίσης ἄμφω, κολάζει δὲ μᾶλλον θάτερον, ἐξισοῦν θατέρῳ βιαζόμενος μέρει· οὕτω καὶ κηδεμονικὸς ἀνὴρ καὶ πολιτικῆς ἐπιστήμων δυνάμεως, τῶν πολιτῶν τοὺς μὲν εὐγνώμονας εὖ ποιεῖν ἐπιχειρεῖ, τοὺς δὲ ἔμπαλιν οὐ καθάπαξ διαφθείρεσθαι· ἀλλὰ τροφῆς μὲν ἀμφοῖν ἥκιστα φθονεῖ, παιδεύει δὲ καὶ σφοδρότερον ἐπισπέρχει τὸν ἀντιβαίνοντα τῷ λόγῳ καὶ τῷ νόμῳ.

LXXXIV.

Quemadmodum bonus equorum domitor non bonos quidem pullos alit, effrenes vero esurire sinit; sed ambos ex æquo nutrit, magis alterum castigat, et meliori similem fieri cogit : sic etiam vir providus et civilis facultatis peritus, cives probos beneficiis demereri, malos vero non continuo perdere conatur : sed alimentum quidem utrisque minime invidet; instituit autem et urget vehementius illum qui rationi et legi obstiterit.

LXXXV. (*Ib.* 85.)

Καθάπερ οὔτε κλαγγῇ χὴν, οὔτε βληχῇ καταπλήσσεται πρόβατον, οὕτω μηδὲ πλήθους ἀνοήτου σε δεδιττέσθω φωνή.

LXXXV.

Ut nec anser clangore, nec ovis balatu terretur : ita neque te stolidæ vox multitudinis terrefaciat.

LXXXVI. (*Ib.* 86.)

Ὥσπερ πλῆθος ἀκρίτως αἰτοῦν τί σε τῶν ἰδίων οὐ δυσωπεῖ, οὕτω μηδὲ ὄχλον ἀδίκως σε δυσωποῦντα διατραπῇς.

LXXXVI.

Quemadmodum multitudo temere aliquid a te rerum tuarum postulans, te non exorat : sic nec a populo injuste aliquid a te flagitante (*i. e. sollicitante ut injuste aliquid agas*) flecti te patere.

LXXXVII. (*Ib.* 87.)

Ὅπερ ἐπιβάλλει τῇ πόλει, τοῦτο εἴσφερε φθάνων· καὶ οὐδέποτε αἰτηθήσῃ τὰ μὴ ἐπιβάλλοντα.

LXXXVII.

Quod civitati debetur, hoc, vel antequam exigatur, pende : et numquam a te postulabuntur quæ non debes.

LXXXVIII. (*Ib.* 88.)

Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας, ἵνα ἀνατείλῃ, ἀλλ' εὐθὺς λάμπει, καὶ πρὸς ἁπάντων ἀσπάζεται· οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους, ἵν' εὖ ποιήσῃς, ἀλλ' ἑκοντὴς εὐεργέτει· καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ.

LXXXVIII.

Quemadmodum sol non exspectat preces ac blandimenta, ut oriatur, sed illico splendet, et ab omnibus salutatur : sic neque tu plausus exspecta et strepitus ac laudes, ut bene facias; sed sponte tua confer beneficia : et æque ac sol amaberis.

LXXXIX. (*Ib.* CX, 22)

Οὔτε ναῦν ἐξ ἑνὸς ἀγκυρίου, οὔτε βίον ἐκ μιᾶς ἐλπίδος ὁρμιστέον.

LXXXIX.

Neque navis una ancora niti, neque vita ex una spe pendere debet.

XC. (*Ib.* 23.)

Καὶ τοῖς σκέλεσι καὶ ταῖς ἐλπίσι τὰ δυνατὰ δεῖ διαβαίνειν.

XC.

Et crura et spes non ultra id, quod fieri potest, extendere oportet.

XCII. (*Ib.* CXXI, 27.)

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι· τοῦ γὰρ ζῆν κακῶς τὸ τεθνάναι κρεῖσσον.

XCII.

Magis necessarium est mederi animæ quam corpori; mori quippe præstat, quam male vivere.

XCIV. (*Ib.* 29.)

Θαυμαστὴ ἡ φύσις, καὶ, ὥς φησιν ὁ Ξενοφῶν, φιλόζωος. Τὸ γοῦν σῶμα, τὸ πάντων ἀηδέστατον καὶ ῥυπα-

XCIV.

Mirabilis est natura, et, ut Xenophon ait, animantium studiosa. Corpus igitur istud, omnium injucundissimum

ρώτατον, στέργομεν καὶ θεραπεύομεν· εἰ γὰρ ἔδει πέντε μόναις ἡμέραις θεραπεῦσαι τὸ τοῦ γείτονος σῶμα, οὐκ ἂν ὑπεμείναμεν. Ὅρα γὰρ οἷόν ἐστιν, ἕωθεν ἀναστάντα τρίβειν τοὺς ὀδόντας τοὺς ἀλλοτρίους, καί τι τῶν ἀναγκαίων ποιήσαντα, ἀπονίζειν ἐκεῖνα τὰ μέρη. Τῷ ὄντι θαυμαστόν ἐστι, φιλεῖν πρᾶγμα, ᾧ τοσαῦτα λειτουργοῦμεν καθ' ἑκάστην ἡμέραν. Νάττω τουτονὶ τὸν θύλακον· εἶτα κενῶ· τί τούτου βαρύτερον; ἀλλὰ θεῷ δεῖ με ὑπερητεῖν. Διὰ τοῦτο μένω, καὶ ἀνέχομαι λούων τὸ δύστηνον τοῦτο σωμάτιον, χορτάζων, σκέπων· ὅτε δὲ νεώτερος ἦν, καὶ ἄλλο τι προσέταττέ μοι, καὶ ὅμως ἠνειχόμην αὐτοῦ. Διὰ τί οὖν οὐκ ἀνέχεσθε, ὅταν ἡ δοῦσα ἡμῖν φύσις τὸ σῶμα ἀφαιρῆται; Φιλῶ, φησὶν αὐτό. Οὐκ οὖν, ὃ νῦν δὴ ἔλεγον, καὶ τὸ φιλεῖν αὐτὸ ἡ φύσις σοι δέδωκεν; Ἡ δ' αὐτὴ λέγει, Ἄφες αὐτὸ ἤδη, καὶ μηκέτι πρᾶγμα ἔχε.

et sordidissimum, amamus et colimus. Si enim quinque solum dies vicini corpus curandum esset, id non sustineremus. Vide enim, cujusmodi negotium sit; diluculo surgentem, alienos dentes fricare; et peracto aliquo necessario naturæ opere, partes illas abluere. Revera mirum est, amari rem, cui tot in dies ministeria exhibemus. Impleo saccum hunc; deinde rursus evacuo : quid hoc molestius? Sed deo me inservire oportet; ideoque maneo, et sustineo miserum hoc corpusculum lavare, pascere, tegere : quum vero junior essem, etiam aliud quidpiam mihi imperabat, quod et ipsum tamen sustinebam. Quare igitur non sustinetis, quum natura corpus, quod nobis dederat, aufert? Amo, inquit, ipsum. Nonne, quod nunc dicebam, ipsum etiam amorem illum tibi natura dedit? Sed eadem dicit, Dimitte jam istud, nec amplius tibi molestum sit.

XCV. (*Ib. Stob. Flor.* CXXI, 30.)

Ἐὰν νέος τελευτᾷ τὸν βίον, ἐγκαλεῖ τοῖς θεοῖς, * * * ὅτι, δέον αὐτὸν ἤδη ἀναπεπαῦσθαι, πρᾶγμα ἔχει· καὶ οὐδὲν ἧττον, ὅταν προσίῃ ὁ θάνατος, ζῆν βούλεται, καὶ πέμπει παρὰ τὸν ἰατρὸν, καὶ δεῖται αὐτοῦ μηδὲν ἀπολιπεῖν προθυμίας καὶ ἐπιμελείας. Θαυμαστοὶ, ἔφη, ἄνθρωποι, μήτε ζῆν θέλοντες, μήτε ἀποθνήσκειν.

XCV.

Si quis adolescens moriatur, deos incusat, *quasi ante diem fato abreptus : si sit senex, deos incusat,* quod negotium ei facessant hoc tempore, quo ipsum jam quiescere conveniret. Et nihilominus quum mors accesserit, vitam desiderat, medicum accersit, et orat ne quid in medendo promptitudinis ac diligentiæ prætermittat. O mirabiles homines, dixit, qui nec vivere neque mori volunt.

XCVI. (*Ib.* 31, Πλάτωνος.)

Τοῦ πλείονος βίου, φαυλοτέρου δὲ, τὸν ἐλάσσω, ἀμείνονα ὄντα, πάντη πάντως προαιρετέον.

XCVI.

Longiori vitæ, sed pejori, breviorem, quum melior fuerit, quisque præferre omnino debet.

XCVII. (*Anton.* I, 82, p. 146.)

Παῖδας μὲν ὄντας ἡμᾶς οἱ γονεῖς παιδαγωγῷ παρέδοσαν, ἐπιβλέποντι πανταχοῦ πρὸς τὸ μὴ βλάπτεσθαι· ἄνδρας δὲ γενομένους ὁ θεὸς παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν. Ταύτης οὖν τῆς φυλακῆς μηδαμῶς καταφρονητέον· ἐπεὶ καὶ τῷ θεῷ ἀπάρεστοι, καὶ τῷ ἰδίῳ συνειδότι ἐχθροὶ ἐσόμεθα.

XCVII.

Parentes pueros nos pædagogo tradiderant, qui ubique observaret, ne quid læderemur : deus autem jam viros insitæ conscientiæ custodiendos tradit. Hæc igitur custodia nequaquam contemnenda est : quoniam et deo displicituri, et propriæ conscientiæ hostes futuri essemus.

CI. (*Maxim.* II, p. 67.)

Βουλεύου πολλὰ πρὸ τοῦ λέγειν τι ἢ πράττειν· οὐ γὰρ ἕξεις ἄδειαν ἀνακαλέσασθαι τὰ λεχθέντα ἢ πραχθέντα.

CI.

Multum delibera priusquam aliquid dicas aut agas; non enim potestatem habebis dicta vel facta revocandi.

CII. (*Anton.* I, 13, p. 14.)

Ἀσφαλὴς πᾶς τόπος τῷ ζῶντι μετὰ δικαιοσύνης.

CII.

Omnis locus homini cum justitia viventi tutus est.

CIII. (*Maxim.* XIII, p. 54.)

Οἱ μὲν κόρακες τῶν τετελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, ὅταν οὐδὲν αὐτῶν ἐστι χρεία· οἱ δὲ κόλακες τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσι, καὶ ταύτης ὄμματα τυφλώττουσιν.

CIII.

Corvi mortuorum oculos corrumpunt, quum jam eorum nullus est usus : at adulatores vivorum animos perdunt, et horum oculos excæcant.

CIV. (*Ibid.*)

Πιθήκου ὀργὴν, καὶ κόλακος ἀπειλὴν, ἐν ἴσῳ θετέον.

CIV.

Simii iram, et minas adulatoris, eodem loco ponas.

CV. (*Ibid.*)

Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας,

CV.

Suscipe illos, qui utilia consulere volunt; non autem

ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας· οἱ μὲν γὰρ τὸ συμφέρον ἐν ἀληθείᾳ ὁρῶσιν, οἱ δὲ πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ' αὐτῶν λεγομένοις συννεύουσι.

eos, qui ubique adulari student: illi enim, quod utile, revera vident; hi vero ad ea, quæ potentibus placent, respiciunt, corporumque umbras imitantes, omnibus illorum dictis assentiuntur.

CVI. (*Maxim.* XVI, p. 121.)

Τὸν νουθετοῦντα δεῖ πρῶτον τῆς τῶν νουθετουμένων αἰδοῦς τε καὶ φήμης ἐπιμελεῖσθαι. Οἱ γὰρ ἀπερυθριάσαντες, ἀδιόρθωτοι.

CVI.

Monitor illud in primis curare debet, ut eorum, qui monendi sunt, pudori et famæ consulat; qui enim pudorem deposuerunt, corrigi nequeunt.

CVII. (*Ibid.*)

Κρεῖττον τὸ νουθετεῖν τοῦ ὀνειδίζειν· τὸ μὲν γὰρ, ἤπιόν τε καὶ φίλον, τὸ δὲ, σκληρόν τε καὶ ὑβριστικόν· καὶ τὸ μὲν, διορθοῖ τοὺς ἁμαρτάνοντας· τὸ δὲ, μόνον ἐξελέγχει.

CVII.

Melius est monere quam conviciari: illud enim, lenitatis et amicitiæ plenum, hoc vero, acerbum et contumeliosum: illud item peccantes corrigit, hoc vero solum redarguit.

CVIII. (*Ib.* VII, p. 173.)

† Ξένοις μεταδίδου, καὶ τοῖς δεομένοις ἐκ τῶν ὄντων. Ὁ γὰρ μὴ διδοὺς δεομένῳ, οὐδὲ αὐτὸς λήψεται δεόμενος.

CVIII.

† Peregrinis impertire et egentibus, quantum facultates sinant: qui enim egentibus non impertierit, nec ipse quidem accipiet, quum eguerit.

CIX. (*Ibid.*)

† Πειρατῇ τινι ἐμπεσόντι εἰς τὴν γῆν καὶ διαφθειρομένῳ ὑπὸ χειμῶνος, περιβόλαιόν τις ἄρας δέδωκε, καὶ εἰς τὴν οἰκίαν εἰσαγαγὼν τὰ ἑξῆς πάντα παρέσχεν, ὀνειδισθεὶς δὲ ὑπό τινος ὅτι τοὺς πονηροὺς εὐεργετεῖ· Οὐ τὸν ἄνθρωπον, ἔφη, ἀλλὰ τὸ ἀνθρώπινον τετίμηκα.

CIX.

† Quum piratæ cuidam in terram appulso et tempestate afflictato vestitum quispiam attulisset, et in domum adducto deinceps omnia necessaria præbuisset, a nonnullis vituperatus, quod sceleratos beneficiis afficeret: Non homini, inquit, sed humanitati hunc honorem habui.

CX. (*Anton.* I, 14.)

Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τῷ καλῷ αἱρεῖσθαι δεῖ.

CX.

Voluptas non quælibet, sed quæ ex re honesta capitur, eligenda.

CXI. (*Ibid.*)

Φρονίμου μέν ἐστιν ἀντιτάσσειν ταῖς ἡδοναῖς, ἄφρονος δὲ δουλεύειν.

CXI

Sapientis est, voluptatibus obsistere, stulti autem, servire.

CXII. (*Ibid.*)

Πάσης ὄντως κακίας οἷόν τι δέλεαρ ἡδονὴ προβληθεῖσα, εὐκόλως τὰς λιχνοτέρας ψυχὰς ἐπὶ τὸ ἄγκιστρον τῆς ἀπωλείας ἐφέλκεται.

CXII.

Voluptas, veluti quædam esca ad omnem malitiam delicatioribus animis objecta, facile ad hamum perditionis eos allicit.

CXIII. (*Ibid.*)

Αἱροῦ πρότερον τὰς ἐπιθυμίας κολάζειν, ἢ διὰ τὰς ἐπιθυμίας κολάζεσθαι.

CXIII.

Elige potius castigare cupiditates, quam propter ipsas castigari.

CXIV. (*Maxim.* III, p. 167.)

Οὐδεὶς ἐλεύθερος, ἑαυτοῦ μὴ κρατῶν.

CXIV.

Liber non est, qui sibi ipse non dominatur.

CXV. (*Ib.* XXX, p. 192.)

Ἡ ἄμπελος τρεῖς βότρυας φέρει· τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν τρίτον ὕβρεως.

CXV.

Vitis tres producit uvas, primam voluptatis, alteram ebrietatis, tertiam contumeliæ.

CXVI. (*Ibid.*)

Ἐν οἴνῳ μὴ πολυλόγει, ἐπιδεικνύμενος παίδειαν· χολερὰ γὰρ ἀποφθέγξῃ.

CXVI.

Inter pocula noli multum verborum fundere, eruditionis ostentandæ causa: biliosa enim evomes.

CXVII. (*Maxim.* XXX, p. 192.)

Μέθυσός ἐστιν ὁ τριῶν πίνων πλέον· κἂν μὴ μεθύσῃ, ὑπερέβη τὸ μέτρον.

CXVIII. (*Ibid.* XLII, p. 203)

Ἀνανεούσθω σοι ὁ περὶ θεοῦ λόγος καθ' ἡμέραν, μᾶλλον ἢ τὰ σιτία.

CXIX. (*Ibid.*)

Συνεχέστερον νόει τὸν θεὸν, ἢ ἀνάπνει.

CXX. (*Anton.* I, 44, p. 61.)

Ἐὰν ἀεὶ μνημονεύῃς, ὅτι ᾧ ἐργάζῃ κατὰ ψυχὴν ἢ σῶμα, θεὸς παρέστηκεν ἔφορος, ἐν πάσαις σου ταῖς προσευχαῖς καὶ ταῖς πράξεσιν οὐ μὴ ἁμάρτῃς· ἕξεις δὲ τὸν θεὸν σύνοικον.

CXXI. (*Ibid.*)

Ὡς ἡδὺ τὴν θάλασσαν ἀπὸ γῆς ὁρᾷν, οὕτως ἡδὺ τῷ σωθέντι μεμνῆσθαι τῶν πόνων.

CXXII. (*Ib.* I, 67, p. 68.)

Νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων· οὐ δύναται δὲ, ὅταν αὐτοὶ μὴ βούλωνται πάσχειν. Ἐν γὰρ τοῖς πειθομένοις ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν.

CXXIII. (*Ibid.*)

Ὥσπερ τοῖς νοσοῦσιν οἱ ἰατροὶ σωτῆρες, οὕτω καὶ τοῖς ἀδικουμένοις οἱ νόμοι.

CXXIV. (*Ibid.*)

Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι.

CXXV. (*Ibid.*)

Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν, κόσμιον.

CXXVI. (*Ibid.*)

Τὰ παρὰ νόμον γινόμενα, ἀντὶ μὴ γινομένων ἐστίν.

CXXVII. (*Ib.* I, 24, p. 29.)

Ἐν εὐτυχίᾳ φίλον εὑρεῖν εὐπορώτατον· ἐν δὲ δυστυχίᾳ, πάντων ἀπορώτατον.

CXXVIII. (*Ib.* I, 72, p. 73.)

Τοὺς ἄφρονας ὁ χρόνος, τοὺς δὲ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει.

CXXIX. (*Ibid.*)

Εὐγνώμων, ὁ μὴ λυπούμενος ἐφ' οἷς μὴ ἔχει, ἀλλὰ χαίρων ἐφ' οἷς ἔχει.

CXXX. (*Ibid.*)

Ἐπίκτητος ἐρωτηθεὶς, πῶς ἄν τις τὸν ἐχθρὸν λυπήσῃ, ἔφη, ἑαυτὸν παρασκευάζων βέλτιστα πράττειν.

CXVII.

Ebrius est qui plus quam tria ebibit pocula; et si non ebrius fiat, modum tamen transit.

CXVIII.

Sermo de deo quotidie tibi magis renovetur, quam cibi.

CXIX.

Crebrius deum cogitato, quam respirato.

CXX.

Si perpetuo memineris deum spectatorem tibi adesse, quicquid agas, sive id ad animum sive ad corpus pertineat, in omnibus tuis precationibus et actionibus non peccabis; et deum cohabitatorem habebis.

CXXI.

Uti jucundum est, e terra mare spectare : sic a periculis liberato jucundum, meminisse laborum.

CXXII.

Legis scopus est, bene mereri de vita hominum : non potest autem, quando ipsi accipere beneficium nolunt. In solis enim obedientibus vim suam illa ostendit.

CXXIII.

Uti ægrotantibus servatores sunt medici, sic injuriam passis, leges.

CXXIV.

Leges verissimæ sunt, quæ justissimæ.

CXXV.

Legi, et principi, et sapientiori cedere, decorum est

CXXVI.

Quæ præter legem fiunt, pro infectis habentur.

CXXVII.

In rebus secundis amicum nancisci facillimum est; in adversis autem, omnium difficillimum.

CXXVIII.

Insipientes tempus, sapientes autem ratio mœrore liberat.

CXXIX.

Sapit qui non tristatur ob ea quæ non habet, sed gaudet iis quæ habet.

CXXX.

Epictetus interrogatus, quomodo quis hosti dolorem excitare possit, Si quis, inquit, se ita comparet, ut quam optime vivat.

CXXXI. (*Anton.* II, 7.)

Μηδεὶς φρόνιμος ὢν τοῦ ἄρχειν ἀλλοτριούσθω· καὶ γὰρ ἀσεβὲς τὸ ἀποσπᾶν ἑαυτὸν τῆς τῶν δεομένων εὐχρηστίας· καὶ ἀγεννὲς, τοῖς φαύλοις παραχωρεῖν. Ἀνόητον γὰρ τὸ αἱρεῖσθαι κακῶς ἄρχεσθαι μᾶλλον ἢ καλῶς ἄρχειν.

CXXXI.

Nemo prudens refugiat magistratu fungi : est enim impium, abstrahere sese a commodis eorum, qui opera nostra indigent; et ignobile, improbis concedere. Stultum est enim, male gubernari malle, quam bene gubernare.

CXXXII. (*Ibid.*)

Οὐδὲν ἄλλο ἡγεμόνι πρέπει, ἢ τὸ μηδένα ὑπερηφανεῖν, μηδὲ ἁβρύνεσθαι, ἀλλ' ἐξ ἴσου πάντων προΐστασθαι.

CXXXII.

Nihil aliud magis eum qui præest decet, quam despicere neminem, nec insolescere, sed omnibus ex æquo præesse.

CXXXIV. (*Stob. Flor.* CVIII, 60.)

Ὅτι τοιαύτη ἡ τοῦ κόσμου φύσις καὶ ἦν, καὶ ἔστι, καὶ ἔσται· καὶ οὐχ οἷόν τε ἄλλως γίγνεσθαι τὰ γιγνόμενα, ἢ ὡς νῦν ἔχει. Καὶ ὅτι ταύτης τῆς τροπῆς καὶ τῆς μεταβολῆς οὐ μόνον οἱ ἄνθρωποι μετειλήφασι καὶ τἄλλα ζῷα τὰ ἐπὶ γῆς, ἀλλὰ καὶ τὰ θεῖα, καὶ νὴ Δί' αὐτὰ τὰ τέτταρα στοιχεῖα ἄνω καὶ κάτω τρέπεται καὶ μεταβάλλει· καὶ γῆ τε ὕδωρ γίνεται, καὶ ὕδωρ ἀήρ· οὗτος δὲ πάλιν εἰς αἰθέρα μεταβάλλει. Καὶ ὁ αὐτὸς τρόπος τῆς μεταβολῆς ἄνωθεν κάτω. Ἐὰν γοῦν πρὸς ταῦτά τις ἐπιχειρῇ ῥέπειν τὸν νοῦν, καὶ πείθειν ἑαυτὸν ἑκόντα δέχεσθαι τὰ ἀναγκαῖα, πάνυ μετρίως καὶ μουσικῶς διαβιώσεται τὸν βίον.

CXXXIV.

Talis natura mundi fuit, et est, et erit : neque aliter, quæ fiunt, fieri possunt, quam ut nunc se habent. Et hujus conversionis mutationisque non solum homines, aliæque in terra animantes, sed et ipsa divina participant. Enimvero ipsa quatuor elementa sursum ac deorsum aguntur et commutantur; et terra in aquam mutatur, aqua in aerem; hic autem rursus vertitur in ætherem. Atque idem mutationis modus superne fit deorsum. Si quis igitur ad ista animo intendere conetur, ac sibi persuadere, ut, quæ necessaria sunt, sponte suscipiat, prorsus moderate concinneque hic vitam transiget.

CXXXV. (*Ib.* 65.)

Ὁ τοῖς παροῦσι καὶ δεδομένοις ὑπὸ τῆς τύχης δυσχεραίνων ἰδιώτης ἐν βίῳ· ὁ δὲ ταῦτα γενναίως φέρων, καὶ εὐλογίστως τὰ ἀπ' αὐτῶν, ἀνὴρ ἀγαθὸς ἄξιος νομίζεσθαι.

CXXXV.

Rudis et imperitus ille est in vita, qui res præsentes et a fortuna datas indignanter fert : qui vero easdem generose fert, et bona cum ratione omnia, quæ ex illis eveniunt, vir bonus haberi meretur.

CXXXVI. (*Ib.* 66.)

Πάντα ὑπακούει τῷ κόσμῳ καὶ ὑπηρετεῖ, καὶ γῆ καὶ θάλασσα καὶ ἥλιος καὶ τὰ λοιπὰ ἄστρα καὶ τὰ γῆς φυτὰ καὶ ζῷα· ὑπακούει δὲ αὐτῷ καὶ τὸ ἡμέτερον σῶμα, καὶ νοσοῦν καὶ ὑγιαῖνον, ὅταν ἐκεῖνος θέλῃ, καὶ νεάζον καὶ γηρῶν, καὶ τὰς ἄλλας διερχόμενον μεταβολάς. Οὐκοῦν εὔλογον, καὶ ὃ ἐφ' ἡμῖν ἐστι, τουτέστι τὴν κρίσιν, μὴ ἀντιτείνειν μόνην πρὸς αὐτόν. Καὶ γὰρ ἰσχυρός ἐστι καὶ κρείσσων, καὶ ἄμεινον ὑπὲρ ἡμῶν βεβούλευται, μετὰ τῶν ὅλων καὶ ἡμᾶς συνδιοικῶν. Πρὸς δὲ τούτοις καὶ ἡ ἀντίπραξις, μετὰ τοῦ ἀλόγου καὶ πλέον οὐδὲν ποιοῦσα πλὴν τὸ διακενῆς σπᾶσθαι, καὶ περιπίπτειν ὀδύναις καὶ λύπαις ποιεῖ.

CXXXVI.

Omnia obediunt mundo et inserviunt, terra et mare et sol et reliqua sidera, et terræ stirpes et animalia. Sed et nostrum corpus ei obedit, et ægrotum, et sanum, quum ille voluerit; juvenile item, et senile, aliasque mutationes pertransiens. Quamobrem rationi consentaneum, ut id quoque, quod in nostra est potestate, hoc est judicium, non solum ei refragetur. Etenim validus est et præstantior, et melius nobis consulit, cum universitate rerum nos quoque simul gubernans. Ad hæc repugnatio, quæ, præterquam quod contra rationem est, et nihil aliud efficit, quam ut in vanum torqueamur, in dolores etiam et mœrores incidere facit.

CXXXVII. (*Maxim.* XIII, p. 179.)

† Αὐτάρκεια, καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπής, χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν.

CXXXVII.

Mens sua sorte contenta, sicut via brevis et delectabilis, gratiam habet magnam, laborem vero exiguum.

CXXXVIII. (*Ibid.*)

† Ὀχύρωσον σαυτὸν τῇ αὐταρκείᾳ· τοῦτο γὰρ δυσάλωτόν ἐστι χωρίον.

CXXXVIII.

Obvalla te ipsum animo sua sorte contento; hæc enim arx difficilis est expugnata.

CXXXIX. (*Anton.* I, 21, p. 26.)

Μηδὲν τῆς ἀληθείας τιμιώτερον ἔστω. Μηδὲ φιλίας ...ὴ ἐκτὸς παθῶν διακειμένη, οἷς τὸ δίκαιον καὶ συγ...εῖται καὶ σκοτίζεται.

CXXXIX.

Nihil veritate pretiosius esto. Ne amicitiæ quidem delectus affectibus vacat, qui, quod justum est, turbant et obumbrant.

CXL. (*Ibid.*)

† Ἀθάνατον χρῆμα ἡ ἀλήθεια καὶ ἀΐδιον, παρέχει δὲ ἡμῖν οὐ κάλλος χρόνῳ μαραινόμενον, οὔτε παῤῥησίαν ἀφαιρεῖ τὴν ὑπὸ δίκης, ἀλλὰ τὰ δίκαια καὶ τὰ νόμιμα, διακρίνουσα ἀπ' αὐτῶν τὰ ἄδικα καὶ ἀπελέγχουσα.

CXL.

Immortalis et æterna res est veritas : non dat enim nobis pulcritudinem paulatim tabescentem, neque dicendi fiduciam e justitia prodeuntem aufert : sed, quæ justa et legitima sunt, *exhibet*, discernens ab eis injusta et redarguens.

CXLI. (*Ib.* II, 79, p. 145.)

† Οὔτε μάχαιραν ἀμβλείαν, οὔτε παῤῥησίαν ἄτακτον ἔχειν δεῖ.

CXLI.

Neque gladio obtuso, neque immoderata libertate uti decet.

CXLII. (*Maxim.* XLVII, p. 201.)

† Γλῶσσαν μίαν τοῖς ἀνθρώποις ἡ φύσις δέδωκε, δύο δὲ ὦτα, ἵνα διπλασίονα ὧν λέγομεν παρ' ἑτέρων ἀκούωμεν.

CXLII.

Linguam unam hominibus natura dedit, et aures duas, ut duplum eorum quæ dicimus, ab aliis audiamus

CXLIII. (*Anton.* I, 40, p. 46.)

† Οὐδὲν ὄντως ἡδὺ ἢ ἀηδὲς τῇ φύσει ὑφέστηκεν· πάντα δὲ τῇ συνηθείᾳ γίνεται.

CXLIII.

Nihil revera dulce aut injucundum natura : sed omnia consuetudine fiunt talia.

CXLIV. (*Ibid.*)

† Βίον αἱροῦ τὸν ἄριστον· τοῦτον γὰρ ἡδὺν ἡ συνήθεια ποιήσει.

CXLIV.

Vitam elige optimam : hanc enim jucundam consuetudo efficiet.

CXLV. (*Anton.* II, 9, p. 91.)

Τοὺς υἱούς σου σπούδαζε πεπαιδευμένους μᾶλλον, ἢ πλουσίους, καταλιπεῖν· κρείττους γάρ εἰσιν αἱ τῶν πεπαιδευμένων ἐλπίδες, ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

CXLV.

Cura, ut filios tuos eruditos magis, quam opulentos, relinquas : præstant enim eruditorum exspectationes, quam opes indoctorum.

CXLVI. (*Ibid.*)

Θυγάτηρ ἀλλότριον κτῆμα ὑπάρχει τῷ πατρί.

CXLVI.

Filia, aliena quædam possessio est patri.

CXLVII. (*Maxim.* XXXIII, p. 188.)

† Ὁ αὐτὸς τοῖς παισὶ συνεβούλευσεν αἰδῶ μᾶλλον καταλιπεῖν ἢ χρυσόν.

CXLVII.

Idem liberis pudorem magis quam aurum relinquendum esse consulebat.

CXLVIII. (*Ibid.*)

† Πατρὸς ὕβρις, ἡδὺ φάρμακον· πλέον γὰρ ἔχει τὸ ὠφελοῦν τοῦ δάκνοντος.

CXLVIII.

Patris convitium, suave est remedium : plus enim juvat quam mordet.

CL. (*Ib.* XVII. p. 183.)

† Τῆς παιδείας, ὥσπερ χρυσοῦ, τὸ καλὸν ἐν παντὶ τόπῳ τίμιον.

CL.

Eruditionis, sicut auri, magna in omni loco æstimatio.

CLI. (*Ibid.*)

† Σοφίαν ὁ ἀσκῶν, ἐπιστήμην τὴν περὶ θεοῦ ἀσκεῖ.

CLI.

Sapientiam exercens, scientiam de rebus divinis exercet.

CLII. (*Ibid.*)

† Οὐδὲν ἐν ζῴοις κάλλιστόν ἐστιν, ὡς ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

CLII.

Nullum est animal homine ornato eruditione pulcrius.

CLIII. (*Ib.* VI, p. 172.)

Φεύγειν δεῖ κακῶν φιλίαν καὶ ἀγαθῶν ἔχθραν.

CLIII.

Malorum amicitia et bonorum inimicitia fugienda.

CLIV. (*Anton.* I, 24, p. 29.)

† Ἡ τῶν περιστάσεων ἀνάγκη τοὺς μὲν φίλους δοκιμάζει, τοὺς δὲ ἐχθροὺς ἐλέγχει.

CLIV.

Temporum necessitates amicos probant, et inimicos arguunt. [*Conf. Boissonad. ad Anecdot. I, p.* 132.]

CLV. (*Ibid.*)

† Παρόντας μὲν τοὺς φίλους δεῖ εὐποιεῖν, ἀπόντας δὲ εὐλογεῖν.

CLV.

Præsentibus amicis benefaciendum, de absentibus bene loquendum.

CLVI. (*Ibid.*)

† Ὑπ' οὐδενὸς φιλεῖσθαι δοκείτω τις μηδένα φιλῶν.

CLVI.

A nemine amari se cogitet, qui neminem amat.

CLVII. (*Ibid.*)

† Καὶ ἰατρὸν καὶ φίλον οὐ τὸν ἡδίω, ἀλλὰ τὸν ὠφελιμώτατον ἐκλέγεσθαι χρή.

CLVII.

Et medicus et amicus non jucundior, sed utilissimus eligendus.

CLVIII. (*Maxim.* XXVIII, p. 191.)

† Εἰ βούλει ἄλυπον βίον ζῆν, τὰ μέλλοντα συμβαίνειν ὡς ἤδη συμβεβηκότα λογίζου.

CLVIII.

Si vis in vita vacare tristitia, quæ futura sunt, sic æstima, veluti jam accidissent.

CLIX. (*Ibid.*)

Ἄλυπος ἴσθι, μὴ τὴν ἀπάθειαν, ὡς τὰ ἄλογα τῶν ζώων· μηδὲ τὴν ἀλογίαν, ὡς οἱ ἄφρονες· ἀλλ', ὡς ἐνάρετος, τὸν λόγον τῆς λύπης ἔχων παραμύθιον.

CLIX.

Fac tristitia vaces; non ita, ut indolentiam, quemadmodum bruta animantia; nec incogitantiam, quemadmodum insipientes; sed ut rationem, tanquam virtutis cultor, tristitiæ remedium habeas.

CLX. (*Ibid.*)

Ὅσοι τινὲς πρὸς τὰς συμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι τῶν πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν.

CLX.

Qui calamitatibus animo quidem minime contristantur, re ipsa vero maxime resistunt, ii et civitatum et privatorum sunt fortissimi.

CLXVII. (*Ib.* XVIII, p. 184.)

† Τῆς εὐτυχίας, ὥσπερ ὀπώρας, παρούσης ἀπολαύειν δεῖ.

CLXVII.

Prosperitate, quemadmodum fructibus autumni, dum adest, frui oportet.

CLXVIII. (*Ibid.*)

† Ἀλόγιστός ἐστιν ὁ ἐν τοῖς συμβαίνουσι κατὰ φυσικὴν ἀνάγκην ἀχθόμενος.

CLXVIII.

Ratione caret, qui quæ naturali necessitate accidunt, indignanter ferre solet.

CLXIX. (*Stob. Ecl. eth. vol.* 2, p. 356.)

Τῶν ὄντων τὰ μὲν ἐφ' ἡμῖν ἔθετο ὁ θεός, τὰ δ' οὔχ. Ἐφ' ἡμῖν μὲν τὸ κάλλιστον καὶ σπουδαιότατον, ᾧ δὴ καὶ αὐτὸς εὐδαίμων ἐστί, τὴν χρῆσιν τῶν φαντασιῶν. Τοῦτο γὰρ ὀρθῶς γιγνόμενον, ἐλευθερία ἐστί, εὔροια, εὐθυμία, εὐστάθεια· τοῦτο δὲ καὶ δίκη ἐστί, καὶ νόμος, καὶ σωφροσύνη, καὶ σύμπασα ἀρετή. Τὰ δ' ἄλλα πάντα οὐκ ἐφ' ἡμῖν ἐποιήσατο. Οὐκοῦν καὶ ἡμᾶς συμψήφους χρὴ τῷ θεῷ γενέσθαι, καὶ ταύτῃ διελόντας τὰ πράγματα, τῶν μὲν ἐφ' ἡμῖν πάντα τρόπον ἀντιποιεῖσθαι, τὰ δὲ μὴ ἐφ' ἡμῖν ἐπιτρέψαι τῷ κόσμῳ, καί, εἴτε τῶν παίδων δέοιτο, εἴτε τῆς πατρίδος, εἴτε τοῦ σώματος, εἴτε ὁτουοῦν, ἀσμένους παραχωρεῖν.

CLXIX.

Rerum alias in nostra potestate posuit deus, alias non posuit. In nostra quidem potestate posuit id quod præstantissimum est gravissimumque, quoque ipse beatus est, usum visorum : siquidem is recte institutus, libertas est, beatitudo, tranquillitas animi et stabilitas; simulque justitia, et lex, et temperantia, et quælibet virtus. Reliqua vero omnia in nostra potestate non posuit. Quapropter nos deo suffragari decet, et ista rerum divisione utentes, eas quidem, quæ sunt in potestate nostra, omni modo appetere, quæ vero non sunt, eas permittere Universo; ac, sive liberos postulet, sive patriam, sive corpus, sive quid aliud, lubentes concedere.

CLXX. (*Anton.* I, 40.)

Ἐπίκτητος, νεανίσκου τινὸς ἐν θεάτρῳ ἐναβρυνομένου, καὶ λέγοντος, ὅτι σοφός εἰμι, πολλοῖς γὰρ ὡμίλησα σοφοῖς, εἶπε· Κἀγὼ πολλοῖς πλουσίοις, ἀλλὰ πλούσιος οὐκ εἰμί.

CLXX.

Epictetus, quum juvenis quidam in theatro gloriaretur et sapientem se prædicaret, ut qui multis sapientibus conversatus esset, respondit : Et ego multis divitibus conversatus, non tamen dives sum.

CLXXI. (*Anton.* I, 40.)

Ὁ αὐτὸς ἔφη· Οὐ καλὸν πεπαιδευμένον ἐν ἀπαιδεύτοις διαλέγεσθαι, ὥσπερ οὐδὲ νήφοντα μεθύουσιν.

CLXXII. (*Maxim.* XIV, p. 179.)

Ἐπίκτητος ἐρωτηθεὶς, Τίς ἐν ἀνθρώποις πλούσιος; εἶπεν, Ὁ αὐτάρκης.

CLXXIII. (*Ibid.*)

Ξανθίππης Σωκράτει τῷ ἀνδρὶ ἐπιτιμώσης, διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, εἶπεν· Εἰ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει· εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

CLXXIV. (*Stob. Flor.* XCVII, 28.)

† Ἀλλὰ δὴ Σωκράτης, Ἀρχελάου μεταπεμπομένου αὐτὸν, ὡς ποιήσοντος πλούσιον, ἐκέλευσεν ἀπαγγεῖλαι αὐτῷ, διότι Ἀθήνησι τέσσαρές εἰσι χοίνικες τῶν ἀλφίτων ὀβολοῦ ὤνιοι, καὶ κρῆναι ὕδατος ῥέουσιν. Εἰ γάρ τοι μὴ ἱκανὰ τὰ ὄντα ἐμοὶ, ἀλλ' ἐγὼ τούτοις ἱκανὸς, καὶ οὕτω κἀκεῖνα ἐμοί. Ἢ οὐχ ὁρᾷς, ὅτι οὐχ εὐφωνότερον οὐδὲ ἥδιον ὁ Πῶλος τὸν τύραννον Οἰδίποδα ὑπεκρίνετο, ἢ τὸν ἐπὶ Κολωνῷ ἀλήτην καὶ πτωχόν; Εἶτα χείρων Πώλου ὁ γενναῖος ἀνὴρ φανεῖται, ὡς μὴ πᾶν τὸ περιτεθὲν ἐκ τοῦ δαιμονίου πρόσωπον ὑποκρίνασθαι καλῶς; οὐδέ γε τὸν Ὀδυσσέα μιμήσεται, ὃς καὶ ἐν τοῖς ῥάκεσιν οὐδὲν μεῖον διέπρεπεν, ἢ ἐν τῇ οὔλῃ χλαίνῃ τῇ πορφυρᾷ;

CLXXV. (*Ib.* LXXX, 14.)

Τί μοι μέλει, φησὶ, πότερον ἐξ ἀτόμων, ἢ ἐξ ὁμοιομερῶν, ἢ ἐκ πυρὸς καὶ γῆς συνέστηκε τὰ ὄντα; οὐ γὰρ ἀρκεῖ μαθεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ κακοῦ, καὶ τὰ μέτρα τῶν ὀρέξεων καὶ ἐκκλίσεων, καὶ ἔτι ὁρμῶν καὶ ἀφορμῶν· καὶ τούτοις ὥσπερ κανόσι χρώμενον, διοικεῖν τὰ τοῦ βίου· τὰ δ' ὑπὲρ ἡμᾶς ταῦτα χαίρειν ἐᾷν; ἅτινα τυχὸν μὲν ἀκατάληπτά ἐστιν ἀνθρωπίνῃ γνώμῃ· εἰ δὲ καὶ τὰ μάλιστα θείη τις εἶναι καταληπτὰ, ἀλλ' οὖν τί ὄφελος καταληφθέντων; οὐχὶ δὲ διακενῆς πράγματα ἔχειν φατέον τοὺς ταῦτα ὡς ἀναγκαῖα τῷ τοῦ φιλοσόφου λόγῳ προσνέμοντας; Μή τι οὖν καὶ τὸ ἐν Δελφοῖς παράγγελμα παρέλκον ἐστὶ, τὸ Γνῶθι σαυτόν; Τοῦτο δὲ μὲν οὔ· φησί. Τίς οὖν ἡ δύναμις αὐτοῦ; Εἰ χορευτῇ τις παρήγγελλε τὸ γνῶναι ἑαυτὸν, οὐκ ἂν ἐν τῇ προστάξει προσεῖχε τῷ ἐπιστραφῆναι;

CLXXVI. (*Marc. Antonin.* IV, 41.)

Ψυχάριον εἶ, βαστάζον νεκρὸν, ὡς Ἐπίκτητος ἔλεγεν.

CLXXVII. (*Ib.* XI, 37.)

Τέχνην δὲ ἔφη [ὁ Ἐπίκτητος] περὶ τὸ συγκατατίθεσθαι εὑρεῖν, καὶ ἐν τῷ περὶ τὰς ὁρμὰς τόπῳ τὸ προσεκτικὸν φυλάσσειν, ἵνα μεθ' ὑπεξαιρέσεως, ἵνα κοινωνικαὶ, ἵνα κατ' ἀξίαν· καὶ ὀρέξεως μὲν παντάπασιν ἀπέχεσθαι, ἐκκλίσει δὲ πρὸς μηδὲν τῶν οὐκ ἐφ' ἡμῖν χρῆσθαι.

CLXXI.

Idem dixit : Non debere doctum inter indoctos loqui, ut neque sobrium inter ebrios.

CLXXII.

Epictetus interrogatus, Quisnam hominum dives esset, respondit : Qui paucis contentus est.

CLXXIII.

Xanthippe Socratem maritum suum increpante, quod tenuiter se ad amicos recipiendos præpararet, dixit : Si nostri fuerint, non curabunt : sin alieni, nos de ipsis non erimus solliciti.

CLXXIV.

Socrates, ab Achelao invitatus, ut qui ipsum ditare vellet, ei renunciari jussit, Athenis chœnices quatuor farinæ obolo venire, et fontes aquam fundere. Nam si res meæ, inquiebat, mihi non sufficiunt, at ego illis sufficio, et sic etiam ipsæ mihi. Aut nonne vides, Polum histrionem personam regis Œdipi nihilo concinniore suavioreque voce egisse quam ejusdem Œdipi in Colono exsulis et mendici? Ergone deterior Polo erit vir ingenuus, ut non quamcumque a deo sibi impositam personam recte agere sciat? neque Ulyssem imitabitur, qui laceris etiam pannis indutus, non minus decoræ gravitatis præ se ferebat, quam villosam illam purpureamque lænam gestans? [*Plutarcho tribuit Wyttenb.*]

CLXXV.

Quid ad me, inquit, attinet, an ex atomis, aut homœomeriis, aut ex igne et aqua res omnes consistant? nonne sufficit, boni malique essentiam cognoscere, et modum appetitionum et declinationum, et agendi vel non agendi consiliorum; et hisce tanquam regulis utentem, instituere vitæ actionem; ista vero, quæ sunt supra nos, missa facere? quæ quidem fortasse complecti non valet mens humana; at si cui vel maxime comprehendi posse videantur, quidnam juvabunt comprehensa? Annon vero frustra laborare dicendum est eos, qui hæc tamquam necessaria ad philosophi rationem pertinere existimant? Num igitur etiam Delphicum præceptum superfluum est, quod se ipsum nosse jubet? Nequaquam id quidem, inquit. Quænam igitur illius vis est? Si choream agenti præciperet aliquis, sese cognoscere; nonne continuo animum adhibiturus, seque ipsum intuiturus esset?

CLXXVI.

Animula es, cadaver gestans, aiebat Epictetus.

CLXXVII.

Artem assensum præbendi (*s.* approbandi) inveniendam idem monebat : et in loco de Impetu cautionem servandam, ut sit cum exceptione, ut sit sociabilis, ut rei cujusque dignitatem sequatur : et appetentia quidem abstinendum prorsus; aversatione vero adversus nihil eorum utendum esse, quæ non sint in nostra potestate.

CLXXVIII. (*Marc. Antonin.* XI, 38.)

Οὐ περὶ τοῦ τυχόντος οὖν, ἔφη, ἐστὶν ὁ ἀγὼν, ἀλλὰ περὶ τοῦ μαίνεσθαι, ἢ μή.

CLXXVIII.

Non est itaque, inquit, de re vulgari certamen; sed de eo, utrum insaniamus, nec ne.

CLXXIX.

Aul. Gellius, Noct. Attic. lib. XVII, cap. 19 : *Favorinum ego audivi dicere*, Epictetum *philosophum dixisse*, plerosque istos, qui philosophari videntur, philosophos esse hujusmodi, ἄνευ τοῦ πράττειν, μέχρι τοῦ λέγειν. *Id significat*, factis procul, verbis tenus. *Jam illud est vehementius, quod* Arrianus, *solitum eum dictitare, in libris, quos* de Dissertationibus ejus *composuit, scriptum reliquit. Nam*, Quum, *inquit*, animadverterat hominem pudore amisso, importuna industria, corruptis moribus, audacem, confidentem lingua, ceteraque omnia præter animum procurantem; istiusmodi, *inquit*, hominem quum viderat studia quoque et disciplinas philosophiæ contrectare, et physica adire, et meditari dialectica, multaque id genus theoremata suspicari sciscitarique; inclamabat deûm atque hominum fidem, ac plerumque inter clamandum his eum verbis increpabat : Ἄνθρωπε, ποῦ βάλλεις; Σκέψαι, εἰ κεκάθαρται τὸ ἀγγεῖον. Ἂν γὰρ εἰς τὴν οἴησιν αὐτὰ βάλλῃς, ἀπώλετο· ἢν σαπῇ, ἢ οὖρον ἢ ὄξος γένοιτ' ἄν, ἢ τι τούτων χεῖρον. *Nihil profecto his verbis gravius, nihil verius : quibus declarabat maximus Philosophorum*, literas, atque doctrinas philosophiæ, quum in hominem falsum atque degenerem, tanquam in vas spurcum atque pollutum, influxissent, verti, mutari: corrumpi, et (*quod ipse* κυνικώτερον) urinam fieri, aut si quid est urina spurcius. *Præterea idem ille* Epictetus, *quod ex eodem Favorino audivimus, solitus dicere est*, duo esse vitia multo omnium gravissima ac teterrima, intolerantiam, et incontinentiam; quum aut injurias, quæ sunt ferendæ, non toleramus, neque ferimus; aut, a quibus rebus voluptatibusque nos tenere debemus, non tenemus. Itaque, *inquit*, si quis hæc duo verba cordi habeat, eaque sibi imperanda atque observanda curet; is erit pleraque impeccabilis, vitamque vivet tranquillissimam. *Verba duo hæc dicebat*, Ἀνέχου, καὶ Ἀπέχου.

CLXXX.

Aul. Gellius, Noct. Attic. lib. XIX, cap. 1 : *Philosophus in disciplina Stoica celebratus ... ex sarcinula sua* librum *protulit* Epicteti philosophi quintum Διαλέξεων; *quas*, ab Arriano digestas, *congruere scriptis Zenonis et Chrysippi non dubium est. In eo libro, græca scilicet oratione, scriptum ad hanc sententiam legimus* : Visa animi, *quas* φαντασίας *philosophi appellant*, quibus mens hominis prima statim specie accidentis ad animum rei pellitur, non voluntatis sunt, neque arbitraria; sed vi quadam sua inferunt se hominibus noscitanda. Probationes autem, *quas* συγκαταθέσεις *vocant*, quibus eadem visa noscuntur ac dijudicantur, voluntariæ sunt, fiuntque hominum arbitratu. Propterea, quum sonus aliquis formidabilis, aut cœlo, aut ex ruina, aut repentinus nescius periculi nuntius, vel quid aliud ejusmodi factum; sapientis quoque animum paulisper moveri et contrahi et pallescere necessum est; non opinione alicujus mali præcepta, sed quibusdam motibus rapidis et inconsultis officium mentis atque rationis prævertentibus. *Mox tamen ille sapiens ibidem* [*f.* idem] τὰς τοιαύτας φαντασίας, *id est*, visa istæc animi sui terrifica, non approbat; *hoc est*, οὐ συγκατατίθεται, οὐδὲ προσεπιδοξάζει, sed abjicit, respuitque; nec ei metuendum esse in his quidquam videtur. Atque hoc inter insipientis sapientisque animum differre dicunt, quod insipiens, qualia esse primo animi sui pulsu visa sunt sæva et aspera, talia esse vero putat; et eadem incepta, tanquam jure metuenda sint, sua quoque assensione approbat; καὶ προσεπιδοξάζει (*hoc enim verbo Stoici, quum super ista re disserunt, utuntur*): sapiens autem, quum breviter et strictim colore atque vultu motus est, οὐ συγκατατίθεται, sed statum vigoremque sententiæ suæ retinet, quam de hujusmodi visis semper habuit, ut de minime metuendis, sed fronte falsa et formidine inani territantibus. *Hæc Epictetum philosophum ex decretis Stoicorum sensisse, atque dixisse, in eo, quo dixi, libro legimus.*

CLXXX .

Arnobius adversus Gentes, in fine libri secundi : Quum de animarum agitur salute ac de respectu nostri, aliquid et sine ratione faciendum est, ut Epictetum dixisse approbat Arrianus.

ΑΡΡΙΑΝΟΥ

ΕΠΙΚΤΗΤΟΥ ΔΙΑΤΡΙΒΑΙ.

Ἀῤῥιανὸς Λουκίῳ Γελλίῳ εὖ πράττειν.

1. Οὔτε συνέγραψα ἐγὼ τοὺς Ἐπικτήτου λόγους οὕτως, ὅπως ἄν τις συγγράψειε τὰ τοιαῦτα· οὔτε ἐξήνεγκα εἰς ἀνθρώπους αὐτὸς, ὅς γε οὐδὲ συγγράψαι φημί. (2) Ὅσα δὲ ἤκουον αὐτοῦ λέγοντος, ταῦτα αὐτὰ ἐπειράθην, αὐτοῖς ὀνόμασιν ὡς οἷόν τε ἦν γραψάμενος, ὑπομνήματα εἰς ὕστερον ἐμαυτῷ διαφυλάξαι τῆς ἐκείνου διανοίας καὶ παῤῥησίας. (3) Ἔστι δὴ τοιαῦτα, ὥσπερ εἰκὸς, ὁποῖα ἄν τις αὐτόθεν ὁρμηθεὶς εἴποι πρὸς ἕτερον, οὐχ ὁποῖα ἂν ἐπὶ τῷ ὕστερον ἐντυγχάνειν τινὰς αὐτοῖς συγγράφοι. (4) Τοιαῦτα δ' ὄντα, οὐκ οἶδα ὅπως, οὔτε ἑκόντος ἐμοῦ, οὔτε εἰδότος, ἐξέπεσεν εἰς ἀνθρώπους. (5) Ἀλλ' ἐμοί γε οὐ πολὺς λόγος, εἰ οὐχ ἱκανὸς φανοῦμαι συγγράφειν· Ἐπικτήτῳ δὲ οὐδ' ὀλίγος, εἰ καταφρονήσει τις αὐτοῦ τῶν λόγων· ἐπεὶ καὶ λέγων αὐτὸς οὐδενὸς ἄλλου δῆλος ἦν ἐφιέμενος, ὅτι μὴ κινῆσαι τὰς γνώμας τῶν ἀκουόντων πρὸς τὰ βέλτιστα. (6) Εἰ μὲν δὴ τοῦτό γε αὐτὸ διαπράττοιντο οἱ λόγοι οὗτοι, ἔχοιεν ἂν, οἶμαι, ὅπερ χρὴ ἔχειν τοὺς τῶν φιλοσόφων λόγους· (7) εἰ δὲ μὴ, ἀλλ' ἐκεῖνο ἴστωσαν οἱ ἐντυγχάνοντες, ὅτι, αὐτὸς ὁπότε ἔλεγεν αὐτοὺς, ἀνάγκη ἦν τοῦτο πάσχειν τὸν ἀκροώμενον αὐτοῦ, ὅπερ ἐκεῖνος αὐτὸν παθεῖν ἠβούλετο. (8) Εἰ δ' οἱ λόγοι αὐτοὶ ἐφ' αὐτῶν τοῦτο οὐ διαπράττονται, τυχὸν μὲν ἐγὼ αἴτιος, τυχὸν δὲ καὶ ἀνάγκη οὕτως ἔχειν. Ἔῤῥωσο.

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦ. Α'.

Περὶ τῶν ἐφ' ἡμῖν, καὶ οὐκ ἐφ' ἡμῖν.

1. Τῶν ἄλλων δυνάμεων οὐδεμίαν εὑρήσετε αὐτὴν αὑτῆς θεωρητικήν· οὐ τοίνυν οὐδὲ δοκιμαστικὴν, ἢ ἀποδοκιμαστικήν. (2) Ἡ γραμματικὴ μέχρι τίνος κέκτηται τὸ θεωρητικόν; μέχρι τοῦ διαγνῶναι τὰ γράμματα. Ἡ μουσική; μέχρι τοῦ διαγνῶναι τὸ μέλος. Αὐτὴ οὖν αὑτὴν θεωρεῖ τις αὐτῶν; οὐδαμῶς. (3) Ἀλλ' ὅταν μέν τι γράφειν τῷ ἑταίρῳ δέῃ, τούτῳ τί γραπτέον, ἡ γραμματικὴ ἐρεῖ· πότερον δὲ γραπτέον τῷ ἑταίρῳ, ἢ οὐ γραπτέον, ἡ γραμματικὴ οὐκ ἐρεῖ. Καὶ περὶ τῶν μελῶν ὡσαύτως ἡ μουσική· πότερον δ' ᾀστέον νῦν καὶ κιθαριστέον, ἢ οὔτε ᾀστέον, οὔτε κιθαριστέον, οὐκ ἐρεῖ. (4) Τίς οὖν ἐρεῖ; Ἡ καὶ αὑτὴν θεωροῦσα, καὶ τἄλλα πάντα. Αὕτη δ' ἐστὶ τίς; Ἡ δύναμις ἡ

EPICTETI

DISSERTATIONES

AB ARRIANO DIGESTÆ.

Arrianus L. Gellio S. D.

1. Neque conscripsi ego Epicteti sermones hosce sic, quemadmodum conscribere talia aliquis posset; neque in publicum ipse eos edidi, qui quidem nec a me conscriptos esse ultro profiteor. (2) Sed quæ illum audivi disserentem, ea ipsa conatus sum, verbis eisdem, quoad potui, scripto consignata, monumenta in futurum tempus mihi conservare ingenii illius viri et in dicendo libertatis. (3) Sunt igitur, ut consentaneum est, hæc talia, qualia aliquis ex tempore orsus loquatur cum altero; non qualia conscripserit, ut postea ab aliis legerentur. (4) Quæ cum sint talia, nescio quo pacto, me nec volente, nec sciente, in manus hominum exierunt. (5) Sed mea quidem haud multum refert, si parum idoneus ad scribendum videar : Epicteti autem nihil quidquam interest, si quis orationem ejus contemserit, quando quidem et ipse, cum illos sermones institueret, manifeste nihil aliud spectabat, nisi ut animos audientium ad optima quæque incitaret. (6) Quodsi igitur id ipsum modo consecuti hi sermones fuerint, habebunt, arbitror, quod philosophorum sermones habere debent : (7)sin minus, at illud sciant lectores, quum eos ipse dissereret, necesse fuisse sic affici ejus auditorem, ut ipse eum affici volebat. (8) Nunc si sermones ipsi per se eam vim non sunt habituri, fortasse ego in culpa fuero; fortasse vero etiam necesse est rem ita se habere. Vale.

LIBER PRIMUS.

CAP. 1.

De his quæ in nostra sunt potestate, quæque non sunt.

1. Aliarum facultatum nullam invenietis, quæ ipsa sese contempletur; proinde neque quæ sese aut approbet aut improbet. (2) Grammatica quo tandem usque habet facultatem contemplatricem? Ad pernoscendas literas. Quid musica, quo illa usque? Ad modos dignoscendos. Num igitur earum aliqua se ipsa contemplatur? Nequaquam. (3) Verum, ubi amico forte aliquid scribendum est, quibus verbis sit utendum, grammatica dicet; utrum vero sit amico scribendum, necne, grammatica non dicet. Et de modis musicis similiter musica; sed, canendumne nunc sit, citharaque sonandum, an nec canendum nec cithara sonandum, non dicet. (4) Quæ igitur facultas id dicet? Quæ et se ipsam et cetera omnia contemplatur. Ea vero quænam

λογική· μόνη γὰρ αὕτη καὶ αὑτὴν κατανοήσουσα παρείληπται, τίς τί ἐστι, καὶ τί δύναται, καὶ πόσου ἀξία οὖσα ἐλήλυθε, καὶ τὰς ἄλλας ἁπάσας. (5) Τί γάρ ἐστιν ἄλλο τὸ λέγον, ὅτι χρυσίον καλόν ἐστιν; αὐτὸ γὰρ οὐ λέγει. Δῆλον ὅτι ἡ χρηστικὴ δύναμις ταῖς φαντασίαις. (6) Τί ἄλλο τὸ μουσικήν, γραμματικήν, τὰς ἄλλας δυνάμεις διακρῖνον, δοκιμάζον τὰς χρήσεις αὐτῶν, καὶ τοὺς καιροὺς παραδεικνύον; οὐδὲν ἄλλο.

7. Ὥσπερ οὖν ἦν ἄξιον, τὸ κράτιστον ἁπάντων καὶ κυριεῦον οἱ θεοὶ μόνον ἐφ' ἡμῖν ἐποίησαν, τὴν χρῆσιν τὴν ὀρθὴν ταῖς φαντασίαις· τὰ δὲ ἄλλα, οὐκ ἐφ' ἡμῖν. (8) Ἆρά γε, ὅτι οὐκ ἤθελον; Ἐγὼ μὲν δοκῶ, ὅτι, εἰ ἠδύναντο, κἀκεῖνα ἂν ἡμῖν ἐπέτρεψαν· ἀλλὰ πάντως οὐκ ἠδύναντο. (9) Ἐπὶ γῆς γὰρ ὄντας, καὶ σώματι συνδεδεμένους τοιούτῳ καὶ κοινωνοῖς τοιούτοις, πῶς οἷόν τ' ἦν εἰς ταῦτα ὑπὸ τῶν ἐκτὸς μὴ ἐμποδίζεσθαι;

10. Ἀλλὰ τί λέγει ὁ Ζεύς; Ἐπίκτητε, εἰ οἷόν τε ἦν, καὶ τὸ σωμάτιον ἂν σου καὶ τὸ κτησείδιον ἐποίησα ἐλεύθερον καὶ ἀπαραπόδιστον. (11) Νῦν δὲ μή σε λανθανέτω, τοῦτο οὐκ ἔστι σόν, ἀλλὰ πηλὸς κομψῶς πεφυραμένος. (12) Ἐπεὶ δὲ τοῦτο οὐκ ἠδυνάμην, ἔδωκά σοι μέρος τι ἡμέτερον, τὴν δύναμιν ταύτην, τὴν ὁρμητικήν τε καὶ ἀφορμητικήν, καὶ ὀρεκτικήν τε καὶ ἐκκλιτικήν, καὶ ἁπλῶς τὴν χρηστικὴν ταῖς φαντασίαις· ἧς ἐπιμελούμενος καὶ ἐν ᾗ τὰ σαυτοῦ τιθέμενος, οὐδέποτε κωλυθήσῃ, οὐδέποτ' ἐμποδισθήσῃ, οὐ στενάξεις, οὐ μέμψῃ, οὐ κολακεύσεις οὐδένα.

13. Τί οὖν; μή τι μικρά σοι φαίνεται ταῦτα; μὴ γένοιτο. Ἀρκοῦ οὖν αὐτοῖς, εὔχου δὲ τοῖς θεοῖς. (14) Νῦν δ' ἑνὸς δυνάμενοι ἐπιμελεῖσθαι, καὶ ἑνὶ προσηρτηκέναι ἑαυτούς, μᾶλλον θέλομεν πολλῶν ἐπιμελεῖσθαι καὶ πολλοῖς προσδεδέσθαι, καὶ τῷ σώματι, καὶ τῇ κτήσει, καὶ ἀδελφῷ, καὶ φίλῳ, καὶ τέκνῳ, καὶ δούλῳ. (15) Ἅτε οὖν πολλοῖς προσδεδεμένοι, βαρούμεθα ὑπ' αὐτῶν καὶ καθελκόμεθα. (16) Διὰ τοῦτο, ἂν ἄπλοια ᾖ, καθήμεθα σπώμενοι καὶ παρακύπτομεν συνεχῶς, τίς ἄνεμος πνεῖ; βορέας. Τί ἡμῖν καὶ αὐτῷ; πότε ὁ ζέφυρος πνεύσει; Ὅταν αὐτῷ δόξῃ, ὦ βέλτιστε, ἢ τῷ Αἰόλῳ· σὲ γὰρ οὐκ ἐποίησεν ὁ θεὸς ταμίαν τῶν ἀνέμων, ἀλλὰ τὸν Αἴολον. Τί οὖν; (17) Δεῖ τὰ ἐφ' ἡμῖν βέλτιστα κατασκευάζειν· τοῖς δ' ἄλλοις χρῆσθαι, ὡς πέφυκε. Πῶς οὖν πέφυκεν; Ὡς ἂν ὁ Θεὸς θέλῃ.

18. Ἐμὲ οὖν νῦν τραχηλοκοπεῖσθαι μόνον; Τί οὖν; ἤθελες πάντας τραχηλοκοπηθῆναι, ἵνα σὺ παραμυθίαν ἔχῃς; (19) Οὐ θέλεις οὕτως ἐκτεῖναι τὸν τράχηλον, ὡς Λατέρανος [τις] ἐν τῇ Ῥώμῃ, κελευσθεὶς ὑπὸ τοῦ Νέρωνος ἀποκεφαλισθῆναι; ἐκτείνας γὰρ τὸν τράχηλον, καὶ πληγείς, καὶ πρὸς αὐτὴν τὴν πληγὴν ἀσθενῆ γενομένην ἐπ' ὀλίγου συνελκυσθείς, πάλιν ἐξέτεινεν. (20) Ἀλλὰ καὶ ἔτι πρότερον, προσελθόντι Ἐπαφροδίτῳ τῷ ἀπελευθέρῳ τοῦ Νέρωνος, καὶ ἀνακρίνοντι αὐτὸν ὑπὲρ τοῦ συγκρουσθῆναι, Ἄν τι θέλω, φησίν, ἐρῶ σου τῷ κυρίῳ.

21. Τί οὖν δεῖ πρόχειρον ἔχειν ἐν τοῖς τοιούτοις; Τί

est? Rationis facultas. Hæc enim una homini data est, quæ et se ipsam perspiciat, quænam sit, quid valeat, quanti pretii munus nobis data sit; et perspiciat ceteras omnes facultates. (5) Nam quid est aliud quod nobis dicat, præstantem rem esse aurum? ipsum enim aurum non dicit. Satis liquet eam esse facultatem, quæ visis utatur. (6) Quid aliud est, quod musicam, grammaticam, ceteras facultates dijudicet, usus earum probet, et tempora ostendat convenientia? Nihil aliud.

7. Igitur, prouti par erat, quod omnium est optimum, quod principatum tenet, id unum dii nostræ subjecerunt potestati, rectum nempe usum visorum; cetera non subjecerunt. (8) Eamne ob causam, quia noluerunt? Mihi quidem videtur, si potuissent, et illa nobis fuisse concessuros: sed prorsus non potuerunt. (9) Nam qui fieri potuit, nos in terra degentes, et tali alligatos corpori et hujusmodi sociis, ab externis, quatenus ad hæc, non impediri rebus?

10. At quid ait Jupiter? O Epictete, si quo modo fieri potuisset, et corpusculum tuum et possessiunculam liberam effecissem et omni inpedimento solutam. (11) Nunc te id non lateat, istud non esse tuum, sed lutum scite atque eleganter temperatum. (12) Quoniam vero hoc non potui, dedi equidem tibi quamdam nostri partem, facultatem illam et agendi consilia capiendi et non agendi, appetendi et aversandi : verbo ut dicam, facultatem visis utendi : quam si excolueris et in ea tua omnia collocaris, numquam prohibebere, numquam impedieris, non gemes, de nemine quereris, adulaberis nemini.

13. Quid ergo? num parva hæc tibi videntur? Absit! Igitur his contentus esto; et venerare deos! (14) Nunc vero, unius rei cum curam gerere possimus et uni illi adhærere, malumus multarum rerum curam suscipere, multis alligari, et corpori, et possessioni, et fratri, et amico, et filio, et servo. (15) Itaque multarum rerum, utpote quibus astricti sumus, onere premimur et deorsum trahimur. (16) Eam ob causam, cum navigandi copia non datur, curis districti sedemus et sollicite identidem prospectamus, quis spiret ventus? Boreas! — Quid rei nobis cum illo? quando Zephyrus adspirabit? — Cum ipsi visum fuerit, o bone, aut Æolo: quippe non te deus dispensatorem ventorum fecit, sed Æolum. Quid ergo? (17) Ea, quæ nostra sunt in potestate, oportet efficere ut sint quam optima; reliquis autem sic uti, prout sese habent. Quomodo ergo sese habent? Ita ut deus voluit.

18. Mene igitur nunc solum capite truncari! — Quid ergo? velisne simul omnes capite truncari, ut tu solatium habeas? (19) Non vis sic cervicem porrigere, ut Romæ Lateranus, cum securi percuti a Nerone juberetur? Ille enim, cum cervice porrecta percuteretur, et, ictu leviori impacto, paulisper se contraxisset, iterum porrexit cervicem. (20) Idem vero etiam antea, cum eum convenisset Epaphroditus, Neronis libertus, ac de offensionis causa percontaretur; Si quid voluero, inquit, domino tuo dicam.

21. Quid igitur talibus in rebus in promtu est haben-

γὰρ ἄλλο, ἢ τί ἐμὸν, καὶ τί οὐκ ἐμόν· καὶ τί μοι ἔξεστι, καὶ τί μοι οὐκ ἔξεστιν; (22) Ἀποθανεῖν με δεῖ· μή τι οὖν καὶ στένοντα; δεθῆναι· μή τι καὶ θρηνοῦντα; φυγαδευθῆναι· μή τις οὖν κωλύει, γελῶντα καὶ εὐθυμοῦντα καὶ εὐροοῦντα; (23) Εἰπὲ τὰ ἀπόῤῥητα. Οὐ λέγω· τοῦτο γὰρ ἐπ' ἐμοί ἐστιν. Ἀλλὰ δήσω σε. Ἄνθρωπε, τί λέγεις; ἐμέ; τὸ σκέλος μου δήσεις, τὴν προαίρεσιν δὲ οὐδ' ὁ Ζεὺς νικῆσαι δύναται. Εἰς φυλακήν σε βαλῶ. Τὸ σωμάτιον. (24) Ἀποκεφαλίσω σε. Πότε οὖν σοι εἶπον, ὅτι μόνου ἐμοῦ ὁ τράχηλος ἀναπότμητός ἐστι; (25) Ταῦτα ἔδει μελετᾶν τοὺς φιλοσοφοῦντας, ταῦτα καθ' ἡμέραν γράφειν, ἐν τούτοις γυμνάζεσθαι.

26. Θρασέας εἰώθει λέγειν, Σήμερον ἀναιρεθῆναι θέλω μᾶλλον, ἢ αὔριον φυγαδευθῆναι. (27) Τί οὖν αὐτῷ Ῥοῦφος εἶπεν; Εἰ μὲν ὡς βαρύτερον ἐκλέγῃ, τίς ἡ μωρία τῆς ἐκλογῆς; εἰ δ' ὡς κουφότερον, τίς σοι δέδωκεν; οὐ θέλεις μελετᾶν ἀρκεῖσθαι τῷ δεδομένῳ;

28. Διὰ τοῦτο γὰρ Ἀγριππῖνος ἔλεγεν ὅτι Ἐγὼ ἐμαυτῷ ἐμπόδιος οὐ γίνομαι. Ἀπηγγέλθη αὐτῷ, ὅτι Κρίνῃ ἐν συγκλήτῳ. Ἀγαθῇ τύχῃ. (29) Ἀλλὰ ἦλθεν ἡ πέμπτη (ταύτῃ δ' εἰώθει γυμνασάμενος ψυχρολουτεῖν)· ἀπέλθωμεν καὶ γυμνασθῶμεν. (30) Γυμνασαμένῳ λέγει τις αὐτῷ ἐλθὼν, ὅτι Κατακέκρισαι. Φυγῇ, φησὶν, ἢ θανάτῳ; Φυγῇ. Τὰ ὑπάρχοντα τί; Οὐκ ἀφῃρέθη. Εἰς Ἀρίκειαν οὖν ἀπελθόντες ἀριστήσωμεν.

31. Τοῦτ' ἔστι μεμελετηκέναι ἃ δεῖ μελετᾶν· ὄρεξιν, ἔκκλισιν, ἀκώλυτα, ἀπερίπτωτα παρεσκευακέναι. (32) Ἀποθανεῖν με δεῖ. Εἰ ἤδη, ἀποθνήσκω· εἰ μετ' ὀλίγον, νῦν ἀριστῶ τῆς ὥρας ἐλθούσης, εἶτα τότε τεθνήξομαι. Πῶς; Ὡς προσήκει τὸν τὰ ἀλλότρια ἀποδιδόντα.

ΚΕΦ. Β'.

Πῶς ἄν τις σώζοι τὸ κατὰ πρόσωπον ἐν παντί.

1. Τῷ λογικῷ ζῴῳ μόνον ἀφόρητόν ἐστι τὸ ἄλογον· τὸ δ' εὔλογον, φορητόν. (2) Πληγαὶ οὐκ εἰσὶν ἀφόρητοι τῇ φύσει. Τίνα τρόπον; Ὅρα πῶς Λακεδαιμόνιοι μαστιγοῦνται, μαθόντες ὅτι εὔλογόν ἐστι. (3) Τὸ ἀπάγξασθαι οὐκ ἔστιν ἀφόρητον. Ὅταν γοῦν πάθῃ τις ὅτι εὔλογον, ἀπελθὼν ἀπήγξατο. (4) Ἁπλῶς, ἐὰν προσέχωμεν, ὑπ' οὐδενὸς οὕτως εὑρήσομεν τὸ ζῷον θλιβόμενον, ὡς ὑπὸ τοῦ ἀλόγου· καὶ πάλιν ἐπ' οὐδὲν οὕτως ἑλκόμενον, ὡς ἐπὶ τὸ εὔλογον.

5. Ἄλλῳ δ' ἄλλο προσπίπτει τὸ εὔλογον καὶ τὸ ἄλογον, καθάπερ καὶ ἀγαθὸν καὶ κακὸν ἄλλῳ ἄλλο, καὶ συμφέρον καὶ ἀσύμφορον. (6) Διὰ τοῦτο μάλιστα παιδείας δεόμεθα, ὥστε μαθεῖν τὴν τοῦ εὐλόγου καὶ ἀλόγου πρόληψιν ταῖς ἐπὶ μέρους οὐσίαις ἐφαρμόζειν συμφώνως τῇ φύσει.

7. Εἰς δὲ τὴν τοῦ εὐλόγου καὶ ἀλόγου κρίσιν, οὐ μόνον ταῖς τῶν ἐκτὸς ἀξίαις συγχρώμεθα, ἀλλὰ καὶ τῷ κατὰ τὸ πρόσωπον ἑαυτοῦ ἕκαστος. (8) Τῷ μὲν γὰρ

dum? Quid aliud vero, nisi, quid meum sit, quid non meum; quid mihi liceat, quid non liceat? — (22) Mori me oportet! numquid igitur etiam gementem? In vinculis esse! an etiam lamentantem? In exsilium abire! num quis ergo prohibet quominus cum risu, alacri et tranquillo proficiscar animo? — (23) « Dic arcana! » — Non dico; namque hoc penes me est. — « At vinculis te constringam. » — Quid ais, homo? mene? crus meum vincies; at animi mei propositum ne ipse quidem Jupiter vincere potest. — « In carcerem te conjiciam. » — Corpusculum quidem meum. — (24) « Detruncabo tibi caput. » — Ecquando igitur tibi dixi, meam solius cervicem præcidi non posse? (25) Hæc meditari philosophiæ studiosos oportebat, hæc in dies scribere, in his exerceri.

26. Thrasea dicere solebat, se hoc ipso die interfici malle, quam cras in exsilium relegari. (27) Quid igitur ei Rufus? Siquidem, inquit, ut gravius eligis illud, quænam hæc in delectu insipientia? sin ut levius, quis optandi tibi copiam dedit? Non tu id potius vis meditari, ut eo, quod tibi datum fuerit, contentus esse discas?

28. Itaque Agrippinus dicebat, Equidem mihi ipse nolo obstare. — Denunciatum est ei, judicium de ipso agi in senatu. Bene, inquit, vertat. (29) At quinta adest hora (ea autem exerceri consueverat, et dein frigida lavari) : abeamus igitur et exerceamur. (30) Cum se exercuisset, quidam adveniens, damnatum eum esse renunciat. Exsilio, inquit, an morte? Exsilio. De bonis quid? Adempta non sunt. Ariciam ergo profecti prandeamus.

31. Hoc est, jam pridem esse meditatum quæ meditari oportet : appetitionem scilicet aversationemque ita comparasse, ut nulli impedimento, nullis casibus sint obnoxiæ. — (32) Mihi est moriendum! si jam nunc, morior : sin paulo post, nunc, cum prandendi hora adest, prandeo; et tunc deinde moriar. Quonam modo? Ut eum decet, qui aliena reddit.

CAP. II.

Quo pacto cuique persona sua in rebus omnibus tuenda sit.

1. Animali ratione prædito solum intolerabile est, quidquid rationi repugnat : quod vero rationi consentaneum, id tolerabile. (2) Plagæ natura non sunt intolerabiles. Quo pacto? Vide ut Lacedæmonii flagris cædantur, cum id a ratione non esse alienum didicerint. (3) Suspendium non est intolerabile; nam, cum quis rationi id esse consentaneum persuasum habuerit, abit ac se suspendit. (4) Omnino, si animum advertamus, a nulla re ita premi hoc animal inveniemus, ut ab eo quod est contra rationem; atque iterum ad nullam rem adeo trahi, ut ad id quod rationi est consentaneum.

5. Verum alii aliud videtur rationi consentaneum, et non consentaneum; quemadmodum et bonum et malum aliud alii, utile item et inutile. (6) Hanc ob rem disciplina nobis inprimis opus est, ut anticipatam notionem ejus quod est rationi consentaneum, et quod ab ea alienum, singulis rebus discamus accommodare naturæ convenienter.

7. Ad dijudicandum autem id quod sit rationi consentaneum, aut contra, non modo exterarum rerum æstimationibus utimur; sed ea simul momenta adhibet quisque, quæ e sua cujusque persona ducuntur. (8) Nam apud alium

τινι εὔλογον τὸ ἀμίδα παρακρατεῖν, αὐτὸ μόνον βλέποντι, ὅτι, μὴ παρακρατήσας μὲν, πληγὰς λήψεται καὶ τροφὰς οὐ λήψεται, παρακρατήσας δ' οὐ πείσεταί τι τραχὺ ἢ ἀνιαρόν· (9) ἄλλῳ δέ τινι οὐ μόνον τὸ αὐτὸν παρακρατῆσαι ἀφόρητον δοκεῖ, ἀλλὰ καὶ τὸ ἄλλου παρακρατοῦντος ἀνασχέσθαι. (10) Ἂν οὖν μου πυνθάνῃ, Παρακρατήσω τὴν ἀμίδα, ἢ μή; ἐρῶ σοι, ὅτι μείζονα ἀξίαν ἔχει τὸ λαβεῖν τροφὰς τοῦ μὴ λαβεῖν, καὶ μείζονα ἀπαξίαν τὸ δαρῆναι τοῦ μὴ δαρῆναι· ὥστ' εἰ τούτοις παραμετρεῖς τὰ σαυτοῦ, ἀπελθὼν παρακράτει. (11) Ἀλλ' οὐκ ἂν κατ' ἐμέ. Τοῦτο σὲ δεῖ συνεισφέρειν εἰς τὴν σκέψιν, οὐκ ἐμέ. Σὺ γὰρ εἶ ὁ σαυτὸν εἰδὼς, πόσου ἄξιος εἶ σεαυτῷ, καὶ πόσου σεαυτὸν πιπράσκεις; ἄλλοι γὰρ ἄλλων πιπράσκουσι.

12. Διὰ τοῦτο Ἀγριππῖνος Φλώρῳ σκεπτομένῳ, εἰ καταβατέον αὐτῷ ἐστιν εἰς Νέρωνος θεωρίας, ὥστε καὶ αὐτόν τι λειτουργῆσαι, ἔφη, Κατάβηθι. (13) Πυθομένου δ' αὐτοῦ, Διὰ τί σὺ οὐ καταβαίνεις; ἔφη, Ὅτι ἐγὼ οὐδὲ βουλεύομαι. (14) Ὁ γὰρ ἅπαξ εἰς τὴν περὶ τῶν τοιούτων σκέψιν καὶ τὰς τῶν ἐκτὸς ἀξίας συγκαθεὶς καὶ ψηφίζων ἐγγύς ἐστι τῶν ἐπιλελησμένων τοῦ ἰδίου προσώπου.

15. Τί γάρ μου πυνθάνῃ; θάνατος αἱρετώτερόν ἐστιν, ἢ ζωή; Λέγω, ζωή. Πόνος, ἢ ἡδονή; Λέγω, ἡδονή. (16) Ἀλλὰ, ἂν μὴ τραγῳδήσω, τραχηλοκοπηθήσομαι. Ἄπελθε τοίνυν, καὶ τραγῴδει· ἐγὼ δ' οὐ τραγῳδήσω. (17) Διὰ τί; Ὅτι σὺ σεαυτὸν ἡγῇ μίαν τινὰ εἶναι κρόκην τῶν ἐκ τοῦ χιτῶνος. Τί οὖν; Σὲ ἔδει φροντίζειν, πῶς ἂν ὅμοιος ᾖς τοῖς ἄλλοις ἀνθρώποις, ὥσπερ οὐδ' ἡ κρόκη πρὸς τὰς ἄλλας κρόκας θέλει τι ἔχειν ἐξαίρετον· (18) ἐγὼ δὲ πορφύρα εἶναι βούλομαι, τὸ ὀλίγον ἐκεῖνο καὶ στιλπνὸν καὶ τοῖς ἄλλοις αἴτιον τοῦ εὐπρεπῆ φαίνεσθαι καὶ καλά. Τί οὖν μοι λέγεις ὅτι Ἐξομοιώθητι τοῖς πολλοῖς; καὶ πῶς ἔτι πορφύρα ἔσομαι;

19. Ταῦτα εἶδε καὶ Πρίσκος Ἑλουίδιος, καὶ ἰδὼν ἐποίησε. Προσπέμψαντος γὰρ αὐτῷ Οὐεσπασιανοῦ, ἵνα μὴ εἰσέλθῃ εἰς τὴν σύγκλητον, ἀπεκρίνατο· Ἐπὶ σοί ἐστι μὴ ἐᾶσαί με εἶναι συγκλητικόν· μέχρι δ' ἂν ὦ, δεῖ με εἰσέρχεσθαι. (20) Ἄγε, ἀλλ' εἰσελθὼν, φησὶ, σιώπησον. Μή μ' ἐξέταζε, καὶ σιωπήσω. Ἀλλὰ δεῖ με ἐξετάσαι. Κἀμὲ εἰπεῖν τὸ φαινόμενον δίκαιον. (21) Ἀλλ' ἐὰν εἴπῃς, ἀποκτενῶ σε. Πότε οὖν σοι εἶπον, ὅτι ἀθάνατός εἰμι; καὶ σὺ τὸ σὸν ποιήσεις, κἀγὼ τὸ ἐμόν. Σόν ἐστιν, ἀποκτεῖναι· ἐμὸν, ἀποθανεῖν μὴ τρέμοντα· σὸν, φυγαδεῦσαι· ἐμὸν, ἐξελθεῖν μὴ λυπούμενον. (22) Τί οὖν ὠφέλησε Πρίσκος, εἷς ὤν; Τί δ' ὠφελεῖ ἡ πορφύρα τὸ ἱμάτιον; τί γὰρ ἄλλο, ἢ διαπρέπει ἐν αὐτῷ ὡς πορφύρα, καὶ τοῖς ἄλλοις δὲ καλὸν παράδειγμα ἔκκειται; (23) Ἄλλος δ' ἂν, εἰπόντος αὐτῷ Καίσαρος ἐν τοιαύτῃ περιστάσει, μὴ εἰσελθεῖν εἰς σύγκλητον, εἶπεν· Ἔχω σοι χάριν, ὅτι μου φείδῃ. (24) Τὸν τοιοῦτον οὐδ' ἂν ἐκώλυεν εἰσελθεῖν· ἀλλ' ᾔδει ὅτι ἢ καθεδεῖται ὡς κεράμιον, ἢ λέγων, ἐρεῖ ἃ οἶδεν ὅτι ὁ Καῖσαρ θέλει, καὶ προσεπισωρεύσει ἔτι πλείονα.

quidem consentaneum fuerit rationi, matulam domino præbere; id solum intuentem, se, nisi præbuerit, plagas accepturum et cibo cariturum; sin præbuerit, nihil asperum aut molestum laturum: (9) at alii non modo præbere matulam intolerabile videtur, verum etiam, ut ipsi alius præbeat, pati. (10) Quare, si me rogas, matulam præbere debeas, necne; dicam tibi, majoris esse pretii, victum accipere, quam non accipere; et majoris esse indignitatis, flagris cædi, quam non cædi: proinde, si hisce unice res tuas metiris, abi, præbe matulam. (11) At id te indignum fore ais. Hoc quidem tu in considerationem afferre debebis, non ego. Tu enim is es, qui scias, quanti sis tibi ipsi, et quanti te vendas. Namque alii alio pretio se vendunt.

12. Quocirca Agrippinus Floro consultanti, utrum ad Neronis spectacula sibi esset descendendum, ita quidem, ut ipse etiam muneris aliquid obiret; Descende, inquit. (13) Illo autem sciscitante cur ipse non descenderet, respondit, Quoniam ego de hac re ne delibero quidem. (14) Nam qui semel ad hujusmodi considerationes et externarum rerum æstimationem se demiserit, calculosque subduxerit, prope abest ab his qui suæ personæ obliti sunt.

15. Quid enim me rogas? mors, an vita, sit optabilior? Dico, vitam. Dolor, an voluptas? Dico, voluptatem. (16) « At, nisi tragœdias egero, capite plectar. » Abi ergo, et age tragœdias! at ego non agam. (17) Cur ita? Quia tu unum quoddam e multis filum in tunica te esse censes. Quid igitur? Tu cures oportet, quo pacto aliis hominibus fias similis; sicut et filum præ ceteris filis nihil eximii habere postulat: (18) ego vero purpura esse volo, exiguum illud et splendidum, quod aliis in caussa est, ut speciosa et pulcra videantur. Quid igitur mihi dicis ut vulgo fiam similis? qui possim adhuc esse purpura?

19. Hæc vidit et Priscus Helvidius; et, cum vidisset, fecit. Nam cum ad eum Vespasianus misisset, ne in senatum ingrederetur: « Te penes, inquit, est ne me senatorem esse sinas: quamdiu vero sum, ingredi me oportet. » (20) Age, inquit; at ingressus taceto. « Ne me roga sententiam; et tacebo. » At oportet me rogare. « Et me dicere oportet, quod justum et rectum videatur ». (21) At, si dixeris, te interficiam. « Quando igitur tibi dixi me immortalem esse? Tu tuum facies; ego meum: tuum est, interficere; meum, sine metu occumbere: tuum, relegare: meum, sine mœrore exsulare. » — (22) Quid ergo profuit Priscus, cum unus esset? Quid prodest purpura vestimento? quidnam aliud, nisi ut in eo excellat tamquam purpura, et aliis præclarum exstet exemplum? (23) At alius, tali rerum statu, cui Cæsar senatu interdixisset, responsurus erat, se gratiam ei habere, quod parceret. (24) Talem ne prohibuisset quidem in senatum venire; cum sciret eum vel ut fictile vas adsessurum, vel, si verba fecisset, ea dicturum, quæ Cæsari placitura nosset, et plura etiam in illius gratiam insuper cumulaturum.

25. Τοῦτον τὸν τρόπον καὶ ἀθλητής τις, κινδυνεύων ἀποθανεῖν, εἰ μὴ ἀποκοπείη τὸ αἰδοῖον· ἐπελθόντος αὐτῷ τοῦ ἀδελφοῦ (ἦν δ' ἐκεῖνος φιλόσοφος) καὶ εἰπόντος, Ἄγε, ἀδελφὲ, τί μέλλεις ποιεῖν; ἀποκόπτωμεν τοῦτο τὸ μέρος, καὶ ἔτι εἰς γυμνάσιον ἀπερχώμεθα· οὐχ ὑπέμεινεν, ἀλλ' ἐγκαρτερήσας ἀπέθανε. (26) Πυθομένου δέ τινος, πῶς τοῦτο ἐποίησεν; ὡς ἀθλητὴς, ἢ ὡς φιλόσοφος; Ὡς ἀνὴρ, ἔφη· ἀνὴρ δ' Ὀλύμπια κεκηρυγμένος καὶ ἠγωνισμένος, ἐν τοιαύτῃ τινὶ χώρᾳ ἀνεστραμμένος, οὐχὶ παρὰ τῷ Βάτωνι ἀλειφόμενος. (27) Ἄλλος δ' ἂν καὶ τὸν τράχηλον ἀπετμήθη, εἰ ζῆν ἠδύνατο δίχα τοῦ τραχήλου. (28) Τοιοῦτόν ἐστι τὸ κατὰ πρόσωπον· οὕτως ἰσχυρὸν παρὰ τοῖς εἰθισμένοις αὐτὸ συνεισφέρειν ἐξ αὐτῶν ἐν ταῖς σκέψεσιν. — (29) Ἄγε οὖν, Ἐπίκτητε· διαξύρησαι. Ἂν ὦ φιλόσοφος, λέγω, οὐ διαξυρῶμαι. Ἀλλ' ἀφελῶ σου τὸν τράχηλον. Εἴ σοι ἄμεινον, ἄφελε.

30. Ἐπύθετό τις, πόθεν οὖν αἰσθησόμεθα τοῦ κατὰ πρόσωπον ἕκαστος; Πόθεν δ' ὁ ταῦρος, ἔφη, λέοντος ἐπελθόντος, μόνος αἰσθάνεται τῆς αὐτοῦ παρασκευῆς, καὶ προβέβληκεν ἑαυτὸν ὑπὲρ τῆς ἀγέλης πάσης; ἢ δῆλον ὅτι εὐθὺς, ἅμα τῷ τὴν παρασκευὴν ἔχειν, ἀπαντᾷ καὶ συναίσθησις αὐτῆς. (31) Καὶ ἡμῶν τοίνυν ὅστις ἂν ἔχῃ τοιαύτην παρασκευὴν, οὐκ ἀγνοήσει αὐτήν. (32) Ἄφνω δὲ ταῦρος οὐ γίνεται, οὐδὲ γενναῖος ἄνθρωπος· ἀλλὰ δεῖ χειμασκῆσαι, παρασκευάσασθαι, καὶ μὴ εἰκῇ προπηδᾷν ἐπὶ τὰ μηδὲν προσήκοντα.

33. Μόνον σκέψαι, πόσου πωλεῖς τὴν σεαυτοῦ προαίρεσιν· ἄνθρωπε, εἰ μηδὲν ἄλλο, μὴ ὀλίγου αὐτὴν πωλήσῃς. Τὸ δὲ μέγα καὶ ἐξαίρετον ἄλλοις τάχα προσήκει, Σωκράτει καὶ τοῖς τοιούτοις. (34) Διὰ τί οὖν, εἰ μὲν τοιοῦτοι πεφύκαμεν, οὐ πάνυ πολλοὶ γίνονται τοιοῦτοι; Ἵπποι γὰρ ὠκεῖς ἅπαντες γίνονται; κύνες γὰρ ἰχνευτικοὶ πάντες; (35) Τί οὖν; ἐπειδὴ ἀφυής εἰμι, ἀποστῶ τῆς ἐπιμελείας τούτου ἕνεκα; Μὴ γένοιτο. (36) Ἐπίκτητος κρείσσων Σωκράτους οὐκ ἔστιν· εἰ δὲ μὴ οὐ χείρων, τοῦτό μοι ἱκανόν ἐστιν. (37) Οὐδὲ γὰρ Μίλων ἔσομαι, καὶ ὅμως οὐκ ἀμελῶ τοῦ σώματος· οὐδὲ Κροῖσος, καὶ ὅμως οὐκ ἀμελῶ τῆς κτήσεως· οὐδ' ἁπλῶς ἄλλου τινὸς τῆς ἐπιμελείας, διὰ τὴν ἀπόγνωσιν τῶν ἄκρων, ἀφιστάμεθα.

ΚΕΦ. Γ'.

Πῶς ἄν τις, ἀπὸ τοῦ τὸν θεὸν πατέρα εἶναι τῶν ἀνθρώπων, ἐπὶ τὰ ἑξῆς ἐπέλθοι.

1. Εἴ τις τῷ δόγματι τούτῳ συμπαθῆσαι κατ' ἀξίαν δύναιτο, ὅτι γεγόναμεν ὑπὸ τοῦ θεοῦ πάντες προηγουμένως, καὶ ὁ θεὸς πατήρ ἐστι τῶν τ' ἀνθρώπων καὶ τῶν θεῶν· οἶμαι ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ ταπεινὸν ἐνθυμηθήσεται περὶ ἑαυτοῦ. (2) Ἀλλ' ἂν μὲν Καῖσαρ εἰσποιήσηταί σε, οὐδείς σου τὴν ὀφρὺν βαστάσει· ἂν δὲ γνῷς, ὅτι τοῦ Διὸς υἱὸς εἶ, οὐκ ἐπαρθήσῃ; (3) Νῦν δ' οὐ ποιοῦμεν· ἀλλ', ἐπειδὴ δύο ταῦτα ἐν τῇ γενέσει ἡμῶν ἐγκαταμέμικται, τὸ σῶμα μὲν κοινὸν πρὸς τὰ

25. Hoc modo etiam athleta quidam, cum de vita periclitaretur, nisi abscinderetur ei pudendum : quem aggressus frater (erat autem ille philosophus) cum rogasset, Age, frater, quid facturus es? præcidamus hanc partem, atque iterum in gymnasium revertemur : negavit, constantique animo vitam finivit. (26) Cuidam vero quærenti (*ex Epicteto*), quomodo id ille fecisset : ut athleta, an ut philosophus? Ut vir, respondit; nempe ut vir in Olympiis proclamatus luctatusque, tali versatus in loco; non ut qui apud Batonem aliptam ungi sit solitus. (27) Alius vero vel cervicem sibi auferri passus esset, si absque cervice vivere potuisset. (28) Talis est personæ ratio; adeo magnam vim habens apud hos, qui eam ex sese simul (*cum rebus externis*) adhibere in deliberationibus consueverunt. — (29) « Age, Epictete, rade te! » Si philosophus sim, me rasurum negabo. « At cervicem auferam! » Si tibi id e re fuerit, auferas licet.

30. Percunctatus est quidam : Quomodo igitur intelligemus quisque personæ suæ dignitatem? Undenam taurus, inquit, leone irruente, solus sentit vim qua est a natura instructus, et se pro toto armento objectat? Nempe quoniam simul cum vi, quam ei natura ad id tribuit, statim etiam sensus illius in eo exsistit. (31) Igitur etiam nostrûm nemo, si est ita instructus, hæc a natura parata subsidia ignorabit. (32) At non derepente fit taurus, neque homo generosus : sed per hiemem intus exerceri oportet, et præparari; nec temere ad ea prosilire quæ nihil ad nos pertineant.

33. Tu modo illud velim consideres, quanti tuum institutum venditurus sis; mi homo, si nihil aliud, saltem ne parvi vendas. At magnum illud et eximium aliis fortasse convenerit, Socrati nempe et ejusmodi viris. (34) Qui fit igitur, si tales a natura comparati simus, ut tam pauci tales evadant? Anne vero equi omnes veloces fiunt? canes omnes ad indagandum sagaces? (35) Quid ergo? quoniam tardiore sum ingenio, eam ego ob caussam curam prorsus nullam adhibebo? Absit. (36) Epictetus non melior est Socrate : modo ne sit deterior; hoc mihi satis est. (37) Neque enim futurus sum Milo; et tamen corpus non negligo : neque Crœsus; et tamen rem non negligo familiarem : denique nullius rei curam ea caussa prorsus abjicimus, quod, quæ in eo genere summa sunt, consequi desperamus.

CAP. III.

Quo pacto quis, ex eo quod deus est pater hominum, ad reliqua progrediatur.

1. Si quis hoc decretum animo assentiente, prout decet, amplectatur, nos omnes a deo præcipua quadam conditione esse prognatos, deumque esse patrem et hominum et deorum, eum nihil aut abjectum aut humile de se ipso cogitaturum arbitror. (2) Atqui si Cæsar te adoptasset, nemo supercilium tuum ferret : quum vero te Jovis esse filium cognoris, non efferreris? (3) Nunc id non facimus : sed, cum hæc duo in ortu nostro permista sint, corpus commune cum ceteris animantibus, ratio et mens cum diis; alii

ζῷα, ὁ λόγος δὲ καὶ ἡ γνώμη κοινὸν πρὸς τοὺς θεούς· ἄλλοι μὲν ἐπὶ ταύτην ἀποκλίνουσι τὴν συγγένειαν τὴν ἀτυχῆ καὶ νεκράν· ὀλίγοι δέ τινες ἐπὶ τὴν θείαν καὶ μακαρίαν. (4) Ἐπειδὴ τοίνυν ἀνάγκη πάνθ' ὀντινοῦν οὕτως ἑκάστῳ χρῆσθαι, ὡς ἂν περὶ αὐτοῦ ὑπολάβῃ· ἐκεῖνοι μὲν οἱ ὀλίγοι, ὅσοι πρὸς πίστιν οἴονται γεγονέναι, καὶ πρὸς αἰδῶ, καὶ πρὸς ἀσφάλειαν τῆς χρήσεως τῶν φαντασιῶν, οὐδὲν ταπεινὸν οὐδ' ἀγεννὲς ἐνθυμοῦνται περὶ αὐτῶν· οἱ δὲ πολλοὶ, τἀναντία. (5) Τί γάρ εἰμί; ταλαίπωρον ἀνθρωπάριον. Καὶ, Τὰ δύστηνά μου σαρκίδια. (6) Τῷ μὲν ὄντι δύστηνα. Ἀλλὰ ἔχεις τι καὶ κρεῖσσον τῶν σαρκιδίων. Τί οὖν ἀφεὶς ἐκεῖνο, τούτοις προστέτηκας;

7. Διὰ ταύτην τὴν συγγένειαν οἱ μὲν, ἀποκλίναντες, λύκοις ὅμοιοι γινόμεθα, ἄπιστοι καὶ ἐπίβουλοι καὶ βλαβεροί· οἱ δὲ λέουσιν, ἄγριοι καὶ θηριώδεις καὶ ἀνήμεροι· οἱ πλείους δ' ἡμῶν ἀλώπεκες, καὶ ὅσα ἐν ζῴοις ἀτυχήματα. (8) Τί γάρ ἐστιν ἄλλο λοίδορος καὶ κακοήθης ἄνθρωπος, ἢ ἀλώπηξ, ἤ τι ἄλλο ἀτυχέστερον καὶ ταπεινότερον; (9) Ὁρᾶτε οὖν καὶ προσέχετε, μή τι τούτων ἀποβῆτε τῶν ἀτυχημάτων.

ΚΕΦ. Δ'.

Περὶ Προκοπῆς.

1. Ὁ προκόπτων, μεμαθηκὼς παρὰ τῶν φιλοσόφων, ὅτι ἡ μὲν ὄρεξις ἀγαθῶν ἐστιν, ἡ δ' ἔκκλισις πρὸς κακά· μεμαθηκὼς δὲ καὶ ὅτι οὐκ ἄλλως τὸ εὔρουν καὶ ἀπαθὲς περιγίνεται τῷ ἀνθρώπῳ, ἢ ἐν ὀρέξει μὲν μὴ ἀποτυγχάνοντι, ἐν ἐκκλίσει δὲ μὴ περιπίπτοντι· τὴν μὲν ὄρεξιν ἦρκεν ἐξ αὐτοῦ εἰς ἅπαν, ἢ ὑπερτέθειται, τῇ ἐκκλίσει δὲ πρὸς μόνα χρῆται τὰ προαιρετικά. (2) Τῶν γὰρ ἀπροαιρέτων ἄν τι ἐκκλίνῃ, οἶδεν ὅτι περιπεσεῖταί ποτέ τινι παρὰ τὴν ἔκκλισιν τὴν αὑτοῦ, καὶ δυστυχήσει. (3) Εἰ δ' ἡ ἀρετὴ ταύτην ἔχει τὴν ἐπαγγελίαν, εὐδαιμονίαν ποιῆσαι, καὶ ἀπάθειαν, καὶ εὔροιαν, πάντως καὶ ἡ προκοπὴ ἡ πρὸς αὐτὴν, πρὸς ἕκαστον τούτων ἐστὶ προκοπή. (4) Ἀεὶ γὰρ πρὸς ὃ ἂν ἡ τελειότης τινὸς καθάπαξ ἄγῃ, πρὸς αὐτὸ ἡ προκοπὴ συνεγγισμός ἐστι.

5. Πῶς οὖν τὴν μὲν ἀρετὴν τοιοῦτόν τι ὁμολογοῦμεν, τὴν προκοπὴν δ' ἐν ἄλλοις ζητοῦμεν καὶ ἐπιδείκνυμεν; Τί ἔργον ἀρετῆς; εὔροια. (6) Τίς οὖν προκόπτει; ὁ πολλὰς Χρυσίππου συντάξεις ἀνεγνωκώς; (7) Μὴ γὰρ ἡ ἀρετὴ τοῦτ' ἐστι, Χρύσιππον νενοηκέναι; εἰ γὰρ τοῦτ' ἐστὶν, ὁμολογουμένως ἡ προκοπὴ οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ πολλὰ τῶν Χρυσίππου νοεῖν. (8) Νῦν δ' ἄλλο μέν τι τὴν ἀρετὴν ἐπιφέρειν ὁμολογοῦμεν· ἄλλο δὲ * τὸν συνεγγισμὸν * τὴν προκοπὴν ἀποφαίνομεν. (9) Οὗτος, φησὶν, ἤδη καὶ δι' αὑτοῦ δύναται Χρύσιππον ἀναγινώσκειν. Εὖ, νὴ τοὺς θεοὺς, προκόπτεις, ἄνθρωπε. Ποίαν προκοπήν; (10) Τί δ' ἐμπαίζεις αὐτῷ; τί δ' ἀπάγεις αὐτὸν τῆς συναισθήσεως τῶν αὑτοῦ κακῶν; οὐ θέλεις δεῖξαι αὐτῷ τὸ ἔργον τῆς ἀρετῆς, ἵνα μάθῃ ποῦ τὴν προκοπὴν ζητεῖ; (11) Ἐκεῖ ζήτησον αὐτὴν, ταλαίπωρε, ὅπου σοῦ τὸ ἔργον. Ποῦ δὲ σοῦ τὸ ἔργον;

quidem ad infelicem illam et emortuam se convertunt cognationem, pauci vero quidam ad hanc divinam et beatam. (4) Itaque, quandoquidem necesse est ut quisque rebus singulis ita utatur, prout de eis fuerit ipsius opinio; pauci illi, qui ad fidem sese natos existimant, et ad verecundiam, et ad tutum certumque visorum usum, nihil humile, nihil ignobile de se ipsis cogitant; vulgus vero longe aliter. — (5) « Quid enim sum ego? misellus homo : » et, « O miserabilis mea caruncula! » — (6) Miserabilis quidem utique. At tu hac caruncula etiam melius aliquid habes : cur igitur, illo prorsus omisso, huic unice addictus adhæres?

7. Propter hanc cognationem, cum ad eam deflectimus, alii lupis similes evadimus, perfidi et insidiosi et nocentes; alii autem leonibus, feri et immanes et immansueti : plerique vero nostrûm vulpeculæ sumus, aut quæcumque sunt in bestiarum genere perniciosæ flagitiosæque. (8) Quid enim est aliud maledicus et malignus homo, nisi vulpecula, aut aliquod aliud animal perniciosius et abjectius? (9) Videte igitur et cavete, ne harum pestium aliqua evadatis.

CAP. IV.

De profectu.

1. Qui proficit, is, a philosophis edoctus, appetitionem esse rerum bonarum, aversationem vero ad mala pertinere; edoctusque præterea, non aliter tranquillum et imperturbatum animum homini contingere, quam si in appetitione non frustra sit, et in ea, quæ aversetur, non incidat; appetitionem prorsus e se exuit, aut in futurum tempus rejicit; aversatione vero adversus ea solummodo utitur, quæ in sua voluntate sunt posita. (2) Nam si quid eorum aversetur, quæ sunt involuntaria; scit fore ut aliquando in eorum aliquid incidat quæ aversetur, atque inde miser evadat. (3) Quodsi autem virtus profitetur se felicitatem animumque perturbatione vacuum et tranquillitatem præstare, utique progressio ad virtutem est etiam ad hæc singula progressio. (4) Etenim, ad quod perfectio alicujus rei prorsus adduxerit, ad id progressio (sive profectus) est appropinquatio.

5. Qui fit igitur, ut, cum tale aliquid virtutem esse fateamur, profectum in aliis rebus et quæramus et ostentemus? Quodnam virtutis opus? Tranquillitas animi. (6) Quis igitur proficit? qui multa Chrysippi volumina perlegerit? (7) Numquid vero hæc virtus est, Chrysippum perceptum habere? Nam hæc si est virtus, in confesso est nihil aliud esse profectum, nisi multa Chrysippi percipere. (8) Nunc vero aliud quiddam afferre virtutem confitemur; aliud esse appropinquationem, nempe profectum, pronunciamus. (9) Iste, inquit, sua ipsius opera jam potest Chrysippum legere. Multum profecisti, per deos, mi homo! Quali profectu? (10) Quid huic homini illudis? quid a sensu malorum suorum eum abducis? non vis potius ei ostendere quod sit virtutis officium, ut discat ubinam profectum quærat? (11) Illic, infelix, hunc quære, ubi tuum est opus. Ubinam vero tuum est opus? In appetitione et aversatione,

Ἐν ὀρέξει καὶ ἐκκλίσει, ἵν' ἀναπότευκτος ᾖς καὶ ἀπερίπτωτος· ἐν ὁρμαῖς καὶ ἀφορμαῖς, ἵν' ἀναμάρτητος· ἐν προσθέσει καὶ ἐποχῇ, ἵν' ἀνεξαπάτητος. (12) Πρῶτοι δ' εἰσὶν οἱ πρῶτοι τόποι, καὶ ἀναγκαιότατοι. Ἂν δὲ τρέμων καὶ πενθῶν ζητῇς ἀπερίπτωτος εἶναι, ἄρα πῶς προκόπτεις;

13. Σὺ οὖν ἐνταῦθά μοι δεῖξόν σου τὴν προκοπήν. Καθάπερ, εἰ ἀθλητῇ διελεγόμην, Δεῖξόν μοι τοὺς ὤμους· εἶτα ἔλεγεν ἐκεῖνος, Ἴδε μου τοὺς ἁλτῆρας. Ὄψει σὺ καὶ οἱ ἁλτῆρες· ἐγὼ τὸ ἀποτέλεσμα τῶν ἁλτήρων ἰδεῖν βούλομαι. (14) Λάβε τὴν περὶ Ὁρμῆς σύνταξιν, καὶ γνῶθι πῶς αὐτὴν ἀνέγνωκα. Ἀνδράποδον, οὐ τοῦτο ζητῶ, ἀλλὰ πῶς ὁρμᾷς καὶ ἀφορμᾷς, πῶς ὀρέγῃ καὶ ἐκκλίνεις, πῶς ἐπιβάλλεις καὶ προτίθεσαι καὶ παρασκευάζῃ, πότερα συμφώνως τῇ φύσει, ἢ ἀσυμφώνως. (15) Εἰ μὲν γὰρ συμφώνως, τοῦτό μοι δείκνυε, καὶ ἐρῶ σοι ὅτι προκόπτεις· εἰ δ' ἀσυμφώνως, ἄπελθε, καὶ μὴ μόνον ἐξηγοῦ τὰ βιβλία, ἀλλὰ καὶ γράφε αὐτὸς τοιαῦτα. (16) Καὶ τί σοι ὄφελος; οὐκ οἶδας ὅτι ὅλον τὸ βιβλίον πέντε δηναρίων ἐστίν; ὁ οὖν ἐξηγούμενος αὐτὸ δοκεῖ ὅτι πλείονος ἄξιός ἐστιν ἢ πέντε δηναρίων; (17) Μηδέποτε οὖν ἀλλαχοῦ τὸ ἔργον ζητεῖτε, ἀλλαχοῦ τὴν προκοπήν.

18. Ποῦ οὖν ἡ προκοπή; Εἴ τις ὑμῶν ἀποστὰς τῶν ἐκτὸς, ἐπὶ τὴν προαίρεσιν ἐπέστραπται τὴν ἑαυτοῦ, ταύτην ἐξεργάζεσθαι καὶ ἐκπονεῖν, ὥστε σύμφωνον ἀποτελέσαι τῇ φύσει, ὑψηλὴν, ἐλευθέραν, ἀκώλυτον, ἀνεμπόδιστον, πιστὴν, αἰδήμονα· (19) μεμάθηκέ τε, ὅτι ὁ τὰ μὴ ἐφ' αὐτῷ ποθῶν ἢ φεύγων, οὔτε πιστὸς εἶναι δύναται, οὔτ' ἐλεύθερος, ἀλλ' ἀνάγκη μεταπίπτειν καὶ μεταῤῥιπίζεσθαι ἅμα ἐκείνοις καὶ αὐτὸν, ἀνάγκη δὲ καὶ ὑποτεταχέναι ἄλλοις ἑαυτὸν, τοῖς ἐκεῖνα περιποιεῖν ἢ κωλύειν δυναμένοις· (20) καὶ λοιπὸν ἕωθεν ἀνιστάμενος, ταῦτα τηρεῖ καὶ φυλάσσει, λούεται ὡς πιστὸς, ὡς αἰδήμων, ἐσθίει ὡσαύτως, ἐπὶ τῆς ἀεὶ παραπιπτούσης ὕλης τὰ προηγούμενα ἐκπονῶν, ὡς ὁ δρομεὺς δρομικῶς, καὶ ὁ φώνασκος φωνασκικῶς· (21) οὗτός ἐστιν ὁ προκόπτων ταῖς ἀληθείαις, καὶ ὁ μὴ εἰκῇ ἀποδεδημηκὼς οὗτός ἐστιν. (22) Εἰ δ' ἐπὶ τὴν ἐν τοῖς βιβλίοις ἕξιν τέταται καὶ ταύτην ἐκπονεῖ καὶ ἐπὶ τοῦτο ἐκδεδήμηκε, λέγω αὐτῷ, αὐτόθεν πορεύεσθαι εἰς οἶκον, καὶ μὴ ἀμελεῖν τῶν ἐκεῖ· (23) τοῦτο γὰρ, ἐφ' ὃ ἀποδεδήμηκεν, οὐδέν ἐστιν· ἀλλ' ἐκεῖνο, μελετᾷν ἐξελεῖν τοῦ αὐτοῦ βίου πένθη, καὶ οἰμωγὰς, καὶ τὸ Οἴμοι, καὶ τὸ, Τάλας ἐγὼ, καὶ δυστυχίαν, καὶ ἀτυχίαν· (24) καὶ μαθεῖν, τί ἐστι θάνατος, τί φυγὴ, τί δεσμωτήριον, τί κώνειον· ἵνα δύνηται λέγειν ἐν τῇ φυλακῇ, Ὦ φίλε Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γινέσθω· καὶ μὴ ἐκεῖνα, Τάλας ἐγὼ, γέρων ἄνθρωπος, ἐπὶ ταῦτά μου τὰς πολιὰς ἐτήρησα; (25) Τίς λέγει ταῦτα; Δοκεῖτε ὅτι ὑμῖν ἄδοξόν τινα ἐρῶ, καὶ ταπεινόν; Πρίαμος αὐτὰ οὐ λέγει; Οἰδίπους οὐ λέγει; ἀλλ' ὁπόσοι βασιλεῖς λέγουσι. (26) Τί γὰρ ἄλλο ἐστὶ τραγῳδία, ἢ ἀνθρώπων πάθη τεθαυμακότων τὰ ἐκτὸς, διὰ μέτρου τοιοῦδ' ἐπιδεικνύμενα; (27)

ut neque voto tuo frustreris neque in mala incidas; in impetu et declinatione, ut sis peccati immunis; in assensu vel præbendo vel retinendo, ne fallaris. (12) Principes vero loci et maxime necessarii, ii sunt quos primos nominavi. Quodsi vero cum tremore et luctu quæras quominus in mala incidas, quo tandem modo profecisti?

13. Tu itaque tuum hic ostende profectum! Perinde ac si athletæ ego dicerem, Ostende mihi humeros; atque ille responderet, Ecce meos halteras. Tu videris cum tuis halteribus; ego effectum halterum videre velim. (14) Sume librum de Impetu, et vide ut eum perlegerim. — Mancipium, non istud quæro; sed quemadmodum impetu et declinatione utaris, quemadmodum appetas et averseris, quemadmodum ad res te accingas, et in animo tibi proponas, et te compares, naturæne convenienter, an secus. (15) Nam si convenienter, hoc mihi ostende, et dicam te profecisse; sin aliter, abi, nec modo interpretare libros, verum etiam ipse ejusmodi scribe. (16) Et quid tibi inde commodi? nescisne totum librum quinque denariis constare? qui eum itaque interpretatur, num pluris esse videtur quam quinque denariorum? (17) Numquam itaque alibi rem ipsam quærite, alibi progressionem ad illam.

18. Ubinam igitur est profectus? Si quis vestrûm, externis rebus ablegatis, ad suam ipsius voluntatem se converterit, ut eam excolat et elaboret, quo naturæ consonam efficiat, altam, liberam, solutam, expeditam, fidam, verecundam; (19) si didicerit eum, qui, quæ sua in potestate non sunt, vel desideret vel fugiat, nec fidum esse posse, nec liberum; sed necesse esse una cum illis et ipsum mutari et tamquam turbine jactari, necesse etiam aliis se subjicere, qui ea præstare vel impedire possint: (20) denique si, ex quo mane surrexit, hæc observet et custodiat; si lavet ut fidus, ut verecundus; si eodem modo comedat; si, quæcumque inciderit materia, præcipuum suum institutum semper tenere studeat, quemadmodum cursor, quemadmodum phonascus ad suum quisque institutum omnia refert: (21) hic est qui vere profectum fecerit; quique non frustra peregrinatus sit, hic est. (22) Sin vero libellis perlegendis unice intentus est et in hoc elaborat, eaque de caussa peregrinatus est, jubeo eum illico domum redire, neque rem familiarem negligere: (23) nihil est enim hoc, cujus caussa peregrinatus est: sed illud est aliquid, meditari ut e vita sua lamentationes et gemitus tollat, vocesque istas « Heu mihi! » et « O me miserum! » et calamitates et infortunia; (24) et discere, quid sit mors, quid exsilium, quid carcer, quid cicuta; ut dicere possit in vinculis, « O mi Crito, si ita diis amicum, ita fiat, » et non illa, « Me miserum, hominem senem, ad hæc canos meos reservavi! » (25) Quis ista dicit? Mene vobis ignobilem aliquem et humilem existimatis commemorare? nonne Priamus ea dicit? nonne Œdipus? At non hi modo, sed quotquot sunt reges, dicunt. (26) Nam quid est aliud tragœdia, quam hominum perturbationes externas res admirantium, tali carminum genere repræsentatæ? (27) Quodsi vero vel errore deceptum quempiam

Εἰ δὲ ἐξαπατηθέντα τινὰ ἔδει μαθεῖν, ὅτι τῶν ἐκτὸς ἀπροαιρέτων οὐδέν ἐστι πρὸς ἡμᾶς, ἐγὼ μὲν ἤθελον τὴν ἀπάτην ταύτην, ἐξ ἧς ἤμελλον εὐρόως καὶ ἀταράχως βιώσεσθαι. Ὑμεῖς δ' ὄψεσθε αὐτοὶ, τί θέλετε.

28. Τί οὖν ἡμῖν παρέχει Χρύσιππος; Ἵνα γνῷς, φησὶν, ὅτι οὐ ψευδῆ ταῦτά ἐστιν, ἐξ ὧν ἡ εὔροιά ἐστι καὶ ἀπάθεια ἀπαντᾷ. (29) Λάβε μου τὰ βιβλία, καὶ γνώσῃ ὡς ἀληθῆ καὶ σύμφωνά ἐστι τῇ φύσει τὰ ἀπαθῆ με ποιοῦντα. Ὢ μεγάλης εὐτυχίας· ὢ μεγάλου εὐεργέτου, τοῦ δεικνύοντος τὴν ὁδόν. (30) Εἶτα Τριπτολέμῳ μὲν ἱερὰ καὶ βωμοὺς πάντες ἄνθρωποι ἀνεστάκασιν, ὅτι τὰς ἡμέρους τροφὰς ἡμῖν ἔδωκε· (31) τῷ δὲ τὴν ἀλήθειαν εὑρόντι καὶ φωτίσαντι καὶ εἰς πάντας ἀνθρώπους ἐξενεγκόντι, οὐ τὴν περὶ τοῦ ζῆν, ἀλλὰ τὴν πρὸς τὸ εὖ ζῆν, τίς ὑμῶν ἐπὶ τούτῳ βωμὸν ἱδρύσατο, ἢ ναὸν, ἢ ἄγαλμα ἀνέθηκεν, ἢ τὸν θεὸν ἐπὶ τούτῳ προσκυνεῖ; (32) Ἀλλ' ὅτι μὲν ἄμπελον ἔδωκαν ἢ πυροὺς, ἐπιθύομεν τούτου ἕνεκα· ὅτι δὲ τοιοῦτον ἐξήνεγκαν καρπὸν ἐν ἀνθρωπίνῃ διανοίᾳ, δι' οὗ τὴν ἀλήθειαν τὴν περὶ εὐδαιμονίας δείξειν ἡμῖν ἤμελλον, τούτου δ' ἕνεκα οὐκ εὐχαριστήσομεν τῷ θεῷ;

discere oporteret, nullas res extra animi voluntatem positas quidquam ad nos pertinere; equidem talem optarim deceptionem, ex qua tranquillo et imperturbato cursu vitam essem acturus. Vos vero, quid velitis, ipsi videritis.

28. Quid ergo nobis præstat Chrysippus? Ut scias, inquit, ea falsa non esse, e quibus oriatur tranquillitas et imperturbatus exsistat animus. (29) Sume meos libros, et noveris quam vera sint et naturæ consona ea, quæ me perturbationibus immunem efficiant. O magnam felicitatem! o benefactorem egregium, qui viam commonstrat! (30) Atqui Triptolemo quidem sacella et aras mortales cuncti exstruxerunt, quod mitiores fruges nobis dederit: (31) ei vero, qui veritatem invenit et in lucem protraxit et omnibus hominibus communicavit (non veritatem dico quæ ad vivendum, sed quæ ad bene vivendum pertinet), quis vestrûm ea de caussa aram erexit, aut ædem statuamve dicavit, aut deum hoc nomine veneratur? (32) At, quia vitem nobis dederunt aut frumentum, ea caussa sacra facimus; quod vero talem in humana mente fructum protulerunt, unde veritatem, quæ ad felicitatem spectat, ostensuri fuerint, hac tandem de caussa deo gratias non agemus?

ΚΕΦ. Ε'.

Πρὸς τοὺς Ἀκαδημαϊκούς.

1. Ἄν τις, φησὶν, ἐνίστηται πρὸς τὰ ἄγαν ἐκφανῆ, πρὸς τοῦτον οὐ ῥᾴδιόν ἐστιν εὑρεῖν λόγον, δι' οὗ μεταπείσει τις αὐτόν. (2) Τοῦτο δ' οὔτε παρὰ τὴν ἐκείνου γίνεται δύναμιν, οὔτε παρὰ τὴν τοῦ διδάσκοντος ἀσθένειαν· ἀλλ' ὅταν ἀπαχθεὶς ἀπολιθωθῇ, πῶς ἔτι χρήσεταί τις αὐτῷ διὰ λόγου;

3. Ἀπολιθώσεις δ' εἰσὶ διτταί· ἡ μὲν, τοῦ νοητικοῦ ἀπολίθωσις· ἡ δὲ, τοῦ ἐντρεπτικοῦ, ὅταν τις παρατεταγμένος ᾖ, μὴ ἐπινεύειν τοῖς ἐναργέσι, μηδ' ἀπὸ τῶν μαχομένων ἀφίστασθαι. (4) Οἱ δὲ πολλοὶ τὴν μὲν σωματικὴν ἀπονέκρωσιν φοβούμεθα, καὶ πάντ' ἂν μηχανησαίμεθα ὑπὲρ τοῦ μὴ περιπεσεῖν τοιούτῳ τινί· τῆς ψυχῆς δ' ἀπονεκρουμένης, οὐδὲν ἡμῖν μέλει. (5) Καὶ, νὴ Δία, ἐπ' αὐτῆς τῆς ψυχῆς, ἂν μὲν ᾖ οὕτω διακείμενος, ὥστε μηδενὶ παρακολουθεῖν μηδὲ συνιέναι μηδὲν, καὶ τοῦτον κακῶς ἔχειν οἰόμεθα· ἂν δέ τινος τὸ ἐντρεπτικὸν καὶ αἰδῆμον ἀπονεκρωθῇ, τοῦτο ἔτι καὶ δύναμιν καλοῦμεν.

6. Καταλαμβάνεις, ὅτι ἐγρήγορας; Οὔ, φησίν· οὐδὲ γὰρ, ὅταν ἐν τοῖς ὕπνοις φαντάζωμαι ὅτι ἐγρήγορα. Οὐδὲν οὖν διαφέρει αὕτη ἡ φαντασία ἐκείνης; Οὐδέν. — (7) Ἔτι τούτῳ διαλέγωμαι; καὶ ποῖον αὐτῷ πῦρ, ἢ ποῖον αὐτῷ σίδηρον προσάγω, ἵν' αἴσθηται ὅτι νενέκρωται; Αἰσθανόμενος οὐ προσποιεῖται· ἔτι χείρων ἐστὶ τοῦ νεκροῦ. (8) Μάχην οὗτος οὐ συνορᾷ· κακῶς ἔχει. Συνορῶν οὗτος, οὐ κινεῖται, οὐδὲ προκόπτει· ἔτι ἀθλιώτερον ἔχει. (9) Ἐκτέτμηται τὸ αἰδῆμον αὐτοῦ καὶ ἐντρεπτικόν· καὶ τὸ λογικὸν οὐκ ἀποτέτμηται, ἀλλ' ἀποτεθηρίωται. (10) Ταύτην ἐγὼ δύναμιν εἴπω; μὴ

CAP. V.

Adversus Academicos.

1. Si quis, inquit, contra res admodum evidentes repugnat, adversus hunc rationem haud facile est invenire, qua a sententia sua dimoveas. (2) Fit hoc autem nec propter illius robur, nec propter docentis imbecillitatem: sed si quis, quamvis confutatus, veluti lapis induratur, quamnam porro disputandi rationem cum hoc homine inibis?

3. Est vero indurationis duplex genus: alterum, intelligentiæ; alterum, pudoris, cum quis consulto animum obfirmat, ne assentiatur perspicuis, neve a repugnantibus desistat. (4) At vero corpus aut aliquam ejus partem emori, terribile id quidem plerisque videtur; et nihil non moliamur, ne in hujusmodi quidpiam incidamus: anima si præmoriatur, id nihil ad curam nostram referimus. (5) Et mehercule, ad ipsam animam etiam quod attinet, si quis ita sit affectus, ut nihil assequatur, nihil intelligat, hunc quoque male se habere existimamus: quodsi autem pudor alicujus et verecundia emortua fuerit, id vero etiam vim quamdam ingenii appellamus.

6. Percipis, te evigilare? Non percipio, inquit: neque enim tum percipio, cum in somno vigilare mihi videor. Nihil ergo differt hoc visum ab illo? Nihil, inquit. (7) Cum hoc homine amplius ego disputarem? Et quem ei ignem aut quod ferrum adhibebo, ut se emortuum esse sentiat? Sentit, sed dissimulat; pejor etiam est mortuo. (8) Hic pugnam non perspicit; male habet: ille perspicit, nec tamen movetur neque proficit; pejus etiam se habet. (9) Resectus est illi sensus pudoris et verecundiæ; et rationalis quidem facultas non resecta est ei, sed efferata. (10) Egone hanc vim quamdam animi dicam? absit: nisi et istam ci-

γένοιτο· εἰ μὴ καὶ τὴν τῶν κιναίδων, καθ' ἣν πᾶν τὸ ἐπελθὸν, ἐν μέσῳ καὶ ποιοῦσι καὶ λέγουσιν.

ΚΕΦ. ς'.

Περὶ προνοίας.

1. Ἀφ' ἑκάστου τῶν ἐν τῷ κόσμῳ γινομένων ῥᾴδιόν ἐστιν ἐγκωμιάσαι τὴν πρόνοιαν, ἂν δύο τις ἔχῃ ταῦτα ἐν ἑαυτῷ, δύναμίν τε συνορατικὴν τῶν γεγονότων ἑκάστῳ, καὶ τὸ εὐχάριστον. (2) Εἰ δὲ μὴ, ὁ μὲν οὐχ ὄψεται τὴν εὐχρηστίαν τῶν γεγονότων· ὁ δ' οὐχ εὐχαριστήσει ἐπ' αὐτοῖς, οὐδ' ἂν εἰδῇ. (3) Χρώματα ὁ θεὸς εἰ πεποιήκει, δύναμιν δὲ θεατικὴν αὐτῶν μὴ πεποιήκει, τί ἂν ἦν ὄφελος; Οὐδ' ὁτιοῦν. (4) Ἀλλ' ἀνάπαλιν, εἰ τὴν μὲν δύναμιν πεποιήκει, τὰ ὄντα δὲ μὴ τοιαῦτα, οἷα ὑποπίπτειν τῇ δυνάμει τῇ ὁρατικῇ, καὶ οὕτω τί ὄφελος; Οὐδ' ὁτιοῦν. (5) Τί δ', εἰ καὶ ἀμφότερα ταῦτα πεποιήκει, φῶς δὲ μὴ πεποιήκει; Οὐδ' οὕτω τι ὄφελος. (6) Τίς οὖν ὁ ἁρμόσας τοῦτο πρὸς ἐκεῖνο, κἀκεῖνο πρὸς τοῦτο; τίς δ' ὁ ἁρμόσας τὴν μάχαιραν πρὸς τὸν κολεὸν, καὶ τὸν κολεὸν πρὸς τὴν μάχαιραν; οὐδείς; (7) Καὶ μὴν ἐξ αὐτῆς τῆς κατασκευῆς τῶν ἐπιτετελεσμένων ἀποφαίνεσθαι εἰώθαμεν, ὅτι τεχνίτου τινὸς πάντως τὸ ἔργον, οὐχὶ δ' εἰκῇ κατεσκευασμένον.

8. Ἆρ' οὖν τούτων μὲν ἕκαστον ἐμφαίνει τὸν τεχνίτην, τὰ δ' ὁρατὰ, καὶ ὅρασις, καὶ φῶς οὐκ ἐμφαίνει; (9) τὸ δ' ἄῤῥεν καὶ τὸ θῆλυ, καὶ προθυμία ἡ πρὸς τὴν συνουσίαν ἑκατέρου, καὶ δύναμις ἡ χρηστικὴ τοῖς μορίοις τοῖς κατεσκευασμένοις, οὐδὲ ταῦτα ἐμφαίνει τὸν τεχνίτην; (10) Ἀλλὰ ταῦτα μὲν οὔ; ἡ δὲ τοιαύτη τῆς διανοίας κατασκευὴ, καθ' ἣν οὐχ ἁπλῶς, ἐπιπίπτοντες τοῖς αἰσθητοῖς, τυπούμεθα ὑπ' αὐτῶν, ἀλλὰ καὶ ἐκλαμβάνομέν τι, καὶ ἀφαιροῦμεν, καὶ προστίθεμεν, καὶ συντίθεμεν τάδε τινὰ δι' αὐτῶν, καὶ, νὴ Δία, μεταβαίνομεν ἀπ' ἄλλων εἰς ἄλλα τὰ οὕτω πως παρακείμενα· οὐδὲ ταῦτα ἱκανὰ κινῆσαί τινας καὶ διατρέψαι πρὸς τὸ μὴ ἀπολιπεῖν τὸν τεχνίτην; (11) Ἢ ἐξηγησάσθωσαν ἡμῖν, τί τὸ ποιοῦν ἐστιν ἕκαστον τούτων, ἢ πῶς οἷόν τε τὰ οὕτω θαυμαστὰ καὶ τεχνικὰ εἰκῇ καὶ ἀπὸ ταὐτομάτου γίνεσθαι.

12. Τί οὖν; ἐφ' ἡμῶν μόνων γίνεται ταῦτα; Πολλὰ μὲν ἐπὶ μόνων, ὧν ἐξαιρέτως χρείαν εἶχε τὸ λογικὸν ζῷον· πολλὰ δὲ κοινὰ εὑρήσεις ἡμῖν καὶ πρὸς τὰ ἄλογα. (13) Ἆρ' οὖν καὶ παρακολουθεῖ τοῖς γινομένοις ἐκεῖνα; Οὐδαμῶς; ἄλλο γάρ ἐστι χρῆσις, καὶ ἄλλο παρακολούθησις. Ἐκείνων χρείαν εἶχεν ὁ θεὸς, χρωμένων ταῖς φαντασίαις· ἡμῶν δὲ παρακολουθούντων τῇ χρήσει. (14) Διὰ τοῦτο ἐκείνοις μὲν ἀρκεῖ τὸ ἐσθίειν καὶ πίνειν, καὶ τὸ ἀναπαύεσθαι, καὶ ὀχεύειν, καὶ τἄλλα ὅσα ἐπιτελεῖ αὐτῶν ἕκαστον· ἡμῖν δ' οἷς καὶ τὴν παρακολουθητικὴν δύναμιν ἔδωκεν, οὐκέτι ταῦτ' ἀπαρκεῖ· (15) ἀλλ' ἂν μὴ κατὰ τρόπον, καὶ τεταγμένως, καὶ ἀκολούθως τῇ ἑκάστου φύσει καὶ κατασκευῇ πράττωμεν, οὐκέτι τοῦ τέλους τευξόμεθα τοῦ ἑαυτῶν. (16) Ὧν γὰρ αἱ κατα-

nædorum ita appellem, qua, quidquid in animum venerit, in propatulo et faciunt et dicunt.

CAP. VI.

De Providentia.

1. Ex rebus singulis, quæ in mundo sunt vel fiunt, facile est providentiam laudibus prosequi; si cui duo hæc insint, facultas naturam cujusque rei perspiciendi, et gratus animus. (2) Sin minus, alter usum et commoditatem eorum, quæ sunt vel fiunt, non perspiciet; alter, etsi cognoscat, gratum se pro iis non exhibebit. (3) Si colores fecisset deus, facultatem vero, qua illas cerneremus, non fecisset, quis eorum esset usus? Nullus omnino. (4) Et e contra, si facultatem quidem videndi fecisset, res autem non tales, ut illi facultati subjicerentur, quænam hoc modo utilitas foret? Nulla omnino. (5) Quid vero, si et hæc utraque fecisset, lumen vero non fecisset? Ne sic quidem ullus esset usus. (6) Quis ergo est qui hoc illi accommodavit, et illud huic? quis vero, qui vaginam gladio accommodavit, gladiumque vaginæ? nemone? (7) Atqui ex ipsa rerum effectarum structura solemus demonstrare, artificis utique esse opificium alicujus, non autem temere fuisse constructum.

8. Horumne igitur singula suum demonstrant artificem; aspectabilia vero, et facultas videndi, et lumen, non demonstrant? (9) Quid? mas et femina, et utriusque ad coitum propensio et partibus ad eam rem destinatis utendi facultas, nonne hæc artificem declarant? (10) At hæc quidem eam vim non habent? sed quod ea sit intellectus nostri structura, ut non simpliciter rerum in sensus nostros incidentium formæ nobis imprimantur, verum etiam ut inde aliquid seligamus, et abstrahamus, et adjungamus, et certa quædam inde componamus, denique ab aliis ad alia, his quodammodo affinia, transeamus: ne hæc quidem sufficiunt ad nonnullos permovendos, eoque verecundiæ adigendos, ut artificem haud deserant? (11) Aut exponant saltem nobis, quid illud sit quod hæc singula efficiat; aut qui fieri possit, ut res adeo admirabiles et artificiosæ temere casuque exstiterint.

12. Quid ergo? in nobis solis hæc fiunt? In nobis solis quidem multa, quorum præcipue opus fuit animali rationali; multa vero nobis cum brutis communia invenies. (13) Numquid igitur et illa ratione assequuntur ea quæ fiunt? Nequaquam: namque aliud est, uti; aliud, ratione assequi et intelligere. Illorum opus fuit deo, ut quæ visis uterentur; nostri vero, ut qui usum illum etiam intelligeremus. (14) Ideoque illis satis est edere et bibere et quiescere, sobolemque propagare, ceteraque quæ singula eorum peragunt: nobis vero, quibus ratione res assequendi facultatem dedit, hæc non jam sufficiunt: (15) sed, nisi certo modo atque ordine et naturæ cujusque rei ac constitutioni convenienter egerimus, nequaquam nostrum obtinebimus finem. (16) Nam quorum diversa est constitutio, eorum et opera et

σκευαὶ διάφοροι, τούτων καὶ τὰ ἔργα, καὶ τὰ τέλη. (17) Οὗ τοίνυν ἡ κατασκευὴ μόνον χρηστικὴ, τούτῳ χρῆσθαι ὁπωσοῦν ἀπαρκεῖ· οὗ δὲ καὶ παρακολουθητικὴ τῇ χρήσει, τούτῳ τὸ κατὰ τρόπον ἂν μὴ προσῇ, οὐδέποτε τεύξεται τοῦ τέλους. (18) Τί οὖν; ἐκείνων ἕκαστον κατασκευάζει, τὸ μὲν ὥστ' ἐσθίεσθαι, τὸ δ' ὥστε ὑπηρετεῖν εἰς γεωργίαν, τὸ δ' ὥστε τυρὸν φέρειν, τὸ δ' ἄλλο ἐπ' ἄλλῃ χρείᾳ παραπλησίῳ· πρὸς ἃ τίς χρεία τοῦ παρακολουθεῖν ταῖς φαντασίαις καὶ ταύτας διακρίνειν δύνασθαι; (19) Τὸν δ' ἄνθρωπον θεατὴν εἰσήγαγεν αὐτοῦ τε καὶ τῶν ἔργων τῶν αὐτοῦ· καὶ οὐ μόνον θεατὴν, ἀλλὰ καὶ ἐξηγητὴν αὐτῶν. (20) Διὰ τοῦτο αἰσχρόν ἐστι τῷ ἀνθρώπῳ, ἄρχεσθαι καὶ καταλήγειν ὅπου καὶ τὰ ἄλογα· ἀλλὰ μᾶλλον ἔνθεν μὲν ἄρχεσθαι, καταλήγειν δ' ἐφ' ὃ κατέληξεν ἐφ' ἡμῶν καὶ ἡ φύσις· (21) κατέληξε δ' ἐπὶ θεωρίαν καὶ παρακολούθησιν, καὶ σύμφωνον διεξαγωγὴν τῇ φύσει. (22) Ὁρᾶτε οὖν, μὴ ἀθέατοι τούτων ἀποθάνητε.

23. Ἀλλ' εἰς Ὀλυμπίαν μὲν ἀποδημεῖτε, ἵν' εἴδητε τὸ ἔργον τοῦ Φειδίου· καὶ ἀτύχημα ἕκαστος ὑμῶν οἴεται τὸ ἀνιστόρητος τούτων ἀποθανεῖν· (24) ὅπου δ' οὐδ' ἀποδημῆσαι χρεία ἐστὶν, ἀλλ' ἔστιν ἤδη, καὶ πάρεστι τοῖς ἔργοις, ταῦτα δὲ θεάσασθαι καὶ κατανοῆσαι οὐκ ἐπιθυμήσετε; (25) Οὐκ αἰσθήσεσθε τοίνυν, οὔτε τίνες ἐστὲ, οὔτ' ἐπὶ τί γεγόνατε, οὔτε τί τοῦτ' ἔστιν, ἐφ' ὃ τὴν θέαν παρειλήφατε; (26) Ἀλλὰ γίνεταί τινα ἀηδῆ καὶ χαλεπὰ ἐν τῷ βίῳ. Ἐν Ὀλυμπίᾳ δ' οὐ γίνεται; οὐ καυματίζεσθε; οὐ στενοχωρεῖσθε; οὐ κακῶς λούεσθε; οὐ καταβρέχεσθε, ὅταν βρέχῃ; θορύβου δὲ καὶ βοῆς καὶ τῶν ἄλλων χαλεπῶν οὐκ ἀπολαύετε; (27) Ἀλλ' οἶμαι ὅτι ταῦτα πάντα ἀντιτιθέντες πρὸς τὸ ἀξιόλογον τῆς θέας, φέρετε καὶ ἀνέχεσθε. (28) Ἄγε, δυνάμεις δ' οὐκ εἰλήφατε, καθ' ἃς οἴσετε πᾶν τὸ συμβαῖνον; μεγαλοψυχίαν οὐκ εἰλήφατε; ἀνδρείαν οὐκ εἰλήφατε; καρτερίαν οὐκ εἰλήφατε; (29) Καὶ τί ἔτι μοι μέλει, μεγαλοψύχῳ ὄντι, τῶν ἀποβῆναι δυναμένων; τί μ' ἐκστήσει, ἢ ταράξει; ἢ τί ὀδυνηρὸν φανεῖται; οὐ χρήσομαι τῇ δυνάμει πρὸς ἃ εἴληφα αὐτὴν, ἀλλ' ἐπὶ τοῖς ἀποβαίνουσι πενθήσω, καὶ στενάξω;

30. Ναί· ἀλλ' αἱ μύξαι μου ῥέουσι. Τίνος οὖν ἕνεκα χεῖρας ἔχεις, ἀνδράποδον; οὐχ ἵνα καὶ ἀπομύσσῃς σεαυτόν; (31) Τοῦτο οὖν εὔλογον, μύξας γίνεσθαι ἐν τῷ κόσμῳ; Καὶ πόσῳ κρεῖττον ἀπομύξασθαί σε ἢ ἐγκαλεῖν; (32) Ἢ τί οἴει ὅτι ὁ Ἡρακλῆς ἂν ἀπέβη, εἰ μὴ λέων τοιοῦτος ἐγένετο, καὶ ὕδρα, καὶ ἔλαφος, καὶ σῦς, καὶ ἄδικοί τινες ἄνθρωποι καὶ θηριώδεις, οὓς ἐκεῖνος ἐξήλαυνε καὶ ἐκάθαιρε; (33) Καὶ τί ἂν ἐποίει, μηδενὸς τοιούτου γεγονότος; ἢ δῆλον ὅτι ἐντετυλιγμένος ἂν ἐκάθευδεν; οὐκοῦν πρῶτον μὲν οὐκ ἂν ἐγένετο Ἡρακλῆς, ἐν τρυφῇ τοιαύτῃ καὶ ἡσυχίᾳ νυστάζων ὅλον τὸν βίον· εἰ δ' ἄρα καὶ ἐγένετο, τί ὄφελος αὐτοῦ; (34) τίς δὲ χρῆσις τῶν βραχιόνων τῶν ἐκείνου, καὶ τῆς ἄλλης ἀλκῆς καὶ καρτερίας καὶ γενναιότητος, εἰ μὴ τοιαῦταί τινες αὐτὸν περιστάσεις καὶ ὕλαι διέσεισαν καὶ ἐγύμνασαν;

fines diversi sunt. (17) Cujus itaque constitutio ea est, ut rebus solummodo utatur, huic qualiscunque satis est usus : cujus vero ea est constitutio, ut ipsum etiam usum ratione assequatur, huic nisi modus et ordo accesserint, nunquam is suum obtinebit finem. (18) Quid ergo? eorum unumquodque deus constituit, aliud ut esui, aliud ut agriculturæ inserviat, aliud ut caseum suppeditet, aliud ut alium consimilem præstet usum : quas ad res quid opus erat visa ratione assequi eaque posse discernere? (19) Hominem autem introduxit, ut cum sui ipsius spectator esset, tum operum suorum; nec spectator modo, sed et eorum enarrator. (20) Quare homini turpe est, inde et incipere, et ibi desinere, ubi et bruta : quin potius inde quidem incipiendum; sed ibi desinendum, ubi in nobis natura desiit : (21) desiit autem in contemplatione et intelligentia, inque vivendi ratione naturæ convenienti. (22) Videte igitur, ne his rebus haud perspectis e vita discedatis.

23. At Olympiam quidem iter vos facitis, ut Phidiæ opus spectetis; inque malis quisque suis numerat, si illis non visitatis moriatur : (24) ubi vero nulla peregrinatione opus est, ubi jam nunc versatur quisque, et operibus præsens adest, ea spectandi intelligendique nullo tenebimini desiderio? (25) Non sentietis tandem, neque qui sitis, nec ad quid nati sitis, nec quid sit illud, propter quod spectandi facultatem accepistis? (26) At in vita sunt injucunda quædam atque molesta! Numquid Olympiæ non sunt? nonne æstus vos urit? nonne turba premimini? nonne male lavatis? non madescitis, cum pluit? non tumultum et clamorem aliasque molestias fertis? (27) Nimirum hæc omnia, opinor, cum magnificentia spectaculorum conferentes, toleratis et sustinetis. (28) Agite vero, nonne facultates accepistis, quibus omnem perferatis eventum? magnanimitatem non accepistis? fortitudinem non accepistis? tolerantiam non accepistis? (29) Et quid mihi amplius ea curæ sunt, magno cum sim animo, quæ possint evenire? quid me de statu animi dejiciet, aut perturbabit? aut quid acerbum videbitur? Non utar ea facultate ad has res, quarum caussa eam accepi, sed in omni eventu dolebo et gemitus edam?

30. Næ! at mucus mihi defluit! — Cujus igitur gratia manus habes, mancipium? nonne etiam in hoc, ut te emungas? — (31) Ergone rationi consentaneum est, in mundo mucos exsistere? — At quanto præstat te emungere, quam naturam incusare? (32) Aut quem in virum evasurum fuisse Herculem existimas, nisi talis exstitisset leo et hydra et cervus et aper et injusti quidam homines et feri, quos expulit ille et expurgavit? (33) Quid vero ille fecisset, si nihil exstitisset hujusmodi? Nempe involutus stragulis obdormiturus erat : proinde, primum, non Hercules ille erat exstiturus, si in tali luxu et quiete totam stertuisset vitam : deinde, fac tamen eum exstitisse, quid commodi inde foret? (34) quis usus lacertorum ejus, ceterique roboris et constantiæ et generosi animi, nisi hujusmodi pericula atque occasiones excitassent eum et exercuissent? (35) Quid ergo?

(35) Τί οὖν; αὐτὸν ταῦτά γ' ἔδει κατασκευάζειν, καὶ ζητεῖν πόθεν λέοντα εἰσαγαγεῖν εἰς τὴν χώραν τὴν αὑτοῦ, καὶ σῦν, καὶ ὕδραν; (36) Μωρία τοῦτο καὶ μανία. Γενόμενα δὲ, καὶ εὑρεθέντα, εὔχρηστα ἦν πρὸς τὸ δεῖξαι καὶ γυμνάσαι τὸν Ἡρακλέα.

37. Ἄγε οὖν καὶ σὺ, τούτων αἰσθόμενος, ἀπόβλεψον εἰς τὰς δυνάμεις ἃς ἔχεις· καὶ ἀπιδὼν, εἰπὲ, Φέρε νῦν, ὦ Ζεῦ, ἣν θέλεις περίστασιν· ἔχω γὰρ παρασκευὴν ἐκ σοῦ μοι δεδομένην καὶ ἀφορμὰς πρὸς τὸ κοσμῆσαι διὰ τῶν ἀποβαινόντων ἐμαυτόν. (38) Οὔ· ἀλλὰ κάθησθε, τὰ μὲν μὴ συμβῇ τρέμοντες, τῶν δὲ συμβαινόντων ἕνεκα ὀδυρόμενοι καὶ πενθοῦντες καὶ στένοντες. (39) Εἶτα τοῖς θεοῖς ἐγκαλεῖτε. Τί γάρ ἐστιν ἄλλο ἀκόλουθον τῇ τοιαύτῃ ἀγεννείᾳ, ἢ καὶ ἀσέβεια; (40) Καίτοι ὅ γε θεὸς οὐ μόνον ἔδωκεν ἡμῖν τὰς δυνάμεις ταύτας, καθ' ἃς οἴσομεν πᾶν τὸ ἀποβαῖνον μὴ ταπεινούμενοι μηδὲ συγκλώμενοι ὑπ' αὐτοῦ· ἀλλ', ὃ ἦν ἀγαθοῦ βασιλέως καὶ ταῖς ἀληθείαις πατρὸς, ἀκώλυτον τοῦτο ἔδωκεν, ἀνανάγκαστον, ἀπαραπόδιστον, καὶ ὅλον αὐτὸ ἐφ' ἡμῖν ἐποίησεν, οὐδ' αὑτῷ τινα πρὸς τοῦτο ἰσχὺν ἀπολιπὼν, ὥστε κωλῦσαι ἢ ἐμποδίσαι. (41) Ταῦτα ἔχοντες ἐλεύθερα, καὶ ὑμέτερα, οὐ χρῆσθε αὐτοῖς, οὐδ' αἰσθάνεσθε τίνα εἰλήφατε, καὶ παρὰ τίνος· (42) ἀλλὰ κάθησθε πενθοῦντες, καὶ στένοντες, οἱ μὲν πρὸς αὐτὸν τὸν δόντα ἀποτετυφλωμένοι, μηδ' ἐπιγινώσκοντες τὸν εὐεργέτην· οἱ δ' ὑπ' ἀγεννείας εἰς μέμψεις καὶ ἐγκλήματα τῷ θεῷ ἐκτρεπόμενοι. (43) Καίτοι πρὸς μεγαλοψυχίαν μὲν καὶ ἀνδρείαν, ἐγὼ σοὶ δείξω ὅτι ἀφορμὰς καὶ παρασκευὴν ἔχεις· πρὸς δὲ τὸ μέμφεσθαι καὶ ἐγκαλεῖν ποίας ἀφορμὰς ἔχεις, σύ μοι δείκνυε.

ΚΕΦ. Ζ'.

Περὶ τῆς χρείας τῶν μεταπιπτόντων καὶ ὑποθετικῶν, καὶ τῶν ὁμοίων.

1. Ἡ περὶ τοὺς μεταπίπτοντας καὶ ὑποθετικοὺς, ἔτι δ' ἐκ τοῦ ἠρωτῆσθαι περαίνοντας, καὶ πάντας ἁπλῶς τοὺς τοιούτους λόγους πραγματεία, λανθάνει τοὺς πολλοὺς περὶ καθήκοντος οὖσα. (2) Ζητοῦμεν γὰρ ἐπὶ πάσης ὕλης, πῶς ἂν εὕροι ὁ καλὸς καὶ ἀγαθὸς τὴν διέξοδον καὶ ἀναστροφὴν τὴν ἐν αὐτῇ καθήκουσαν. (3) Οὐκοῦν ἢ τοῦτο λεγέτωσαν, ὅτι οὐ συγκαθήσει εἰς ἐρώτησιν καὶ ἀπόκρισιν ὁ σπουδαῖος· ἢ ὅτι, συγκαθεὶς, οὐκ ἐπιμελήσεται τοῦ μὴ εἰκῇ μηδ' ὡς ἔτυχεν ἐν ἐρωτήσει καὶ ἀποκρίσει ἀναστρέφεσθαι. (4) Μὴ τούτων δὲ μηδέτερον προσδεχομένοις, ἀναγκαῖον ὁμολογεῖν, ὅτι ἐπίσκεψίν τινα ποιητέον τῶν τόπων τούτων, περὶ οὓς μάλιστα στρέφεται ἡ ἐρώτησις καὶ ἀπόκρισις. (5) Τί γὰρ ἐπαγγέλλεται ἐν λόγῳ; Τἀληθῆ τιθέναι, τὰ ψευδῆ αἴρειν, τὰ ἄδηλα ἐπέχειν. (6) Ἆρ' οὖν ἀρκεῖ τοῦτο μόνον μαθεῖν; Ἀρκεῖ, φησίν. Οὐκοῦν καὶ τῷ βουλομένῳ ἐν χρήσει νομίσματος μὴ διαπίπτειν ἀρκεῖ τοῦτο ἀκοῦσαι, διότι Τὰς μὲν δοκίμους δραχμὰς παραδέχου, τὰς δ' ἀδοκίμους ἀποδοκίμαζε; Οὐκ ἀρκεῖ. (7) Τί οὖν δεῖ τούτῳ προσλαβεῖν; Τί δὲ ἄλλο ἢ δύναμιν δοκιμαστι-

hæc ipsum parare sibi oportebat, atque operam dare ut alicunde in regionem suam leonem et aprum et hydram introduceret? (36) Id vero stultum atque insanum: sed hæc cum exstitissent atque inventa essent, peropportuna fuere ad Herculem demonstrandum et exercendum.

37. Age ergo et tu, his perceptis, intuere facultates quibus es instructus; easque intuitus, dic: Invehe nunc, o Jupiter, quodcunque velis periculum; namque vim insitam et præparationem habeo a te datam et subsidia ad me ex his, quæcunque evenerint, ornandum! (38) At non ita; sed sedetis, alia ne accidant trementes, ob ea vero, quæ accidunt, ejulantes, lugentes et gementes. (39) Deinde deos incusatis. Quid enim aliud talem sequitur mollitiem, nisi impietas etiam? (40) Et tamen deus non modo facultates nobis eas dedit, quibus eventus omnes ferremus animis neque abjectis neque fractis: sed, quod erat boni regis et vere patris, hoc ita nobis dedit, ut neque prohiberi, neque cogi, neque impediri possit, et totum hoc nostræ subjecit potestati, ne sibi quidem ipsi potestate aliqua relicta, qua illud prohibeat aut impediat. (41) Hæc cum vos libera et vestri juris habeatis, eis non utimini; nec animadvertitis quæ et a quo illa acceperitis; (42) sed sedetis lugentes et gemeutes, alii erga ipsum largitorem excæcati, neque benefactorem agnoscentes; alii propter mollitiem ad querelas et accusationes contra deum conversi. (43) Quamquam, ad magnanimitatem et fortitudinem habere te subsidia viresque insitas, ego tibi ostendam: ad querelas vero et accusationes effundendas quæ subsidia habeas, tu mihi ostende.

CAP. VII.

De usu argumentationum variantium, tum hypotheticarum, earumque similium.

1. Ignorant vulgo, ad officii rationem pertinere tractationem argumentationum variantium *quæ vocantur*, tum hypotheticarum, interrogando concludentium, et quæcumque omnino sunt ejus generis aliæ. (2) Quippe in quavis proposita materia quærimus, quo pacto vir bonus et probus convenientem rationem inveniat, qua eam tractet, in eaque versetur. (3) Aut igitur hoc dicant, ad interrogationem et responsionem non descensurum probum gravemque virum; aut, si descenderit, nullam adhibiturum curam quominus temere et fortuito in responsionibus et interrogationibus versetur. (4) Qui vero neutrum horum admiserint, fateantur necesse est, istorum locorum considerationem aliquam habendam esse, in quibus maxime versatur interrogatio et responsio. (5) Quid enim promittitur in disputatione? Ponere vera, falsa tollere, ab incertis assensionem cohibere. (6) An igitur satis est, hoc solum nosse? Satis, inquit. Ergo ei etiam, qui in usu monetæ errare non vult, satis est hoc audisse, probas drachmas esse accipiendas, adulterinas vero repudiandas? Non satis. (7) Quid ergo huic adjungendum? Quid aliud, nisi facultas probas et adul

κήν τε καὶ διακριτικὴν τῶν δοκίμων τε καὶ ἀδοκίμων δραχμῶν; (8) Οὐκοῦν καὶ ἐπὶ λόγου οὐκ ἀρκεῖ τὸ λεχθὲν, ἀλλ' ἀνάγκη δοκιμαστικὸν γενέσθαι καὶ διακριτικὸν τοῦ ἀληθοῦς καὶ τοῦ ψευδοῦς καὶ τοῦ ἀδήλου; Ἀνάγκη. (9) Ἐπὶ τούτοις τί παραγγέλλεται ἐν λόγῳ; Τὸ ἀκόλουθον τοῖς δοθεῖσιν ὑπὸ σοῦ καλῶς, παραδέχου. Ἄγε, ἀρκεῖ οὖν κἀνταῦθα, τοῦτο γνῶναι; (10) Οὐκ ἀρκεῖ· δεῖ δὲ μαθεῖν, πῶς τί τισιν ἀκόλουθον γίνεται, καὶ πότε μὲν ἓν ἑνὶ ἀκολουθεῖ, πότε δὲ πλείοσι κοινῇ. (11) Μή ποτε οὖν καὶ τοῦτο ἀνάγκη προσλαβεῖν τὸν μέλλοντα ἐν λόγῳ συνετῶς ἀναστραφήσεσθαι, καὶ αὐτόν τε ἀποδείξειν ἕκαστα ἀποδόντα, καὶ τοῖς ἀποδεικνύουσι παρακολουθήσειν, μηδ' ὑπὸ τῶν σοφιζομένων διαπλανηθήσεσθαι, ὡς ἀποδεικνυόντων; (12) Οὐκοῦν ἐλήλυθεν ἡμῖν ἡ περὶ τῶν συναγόντων λόγων καὶ τρόπων πραγματεία καὶ γυμνασία, καὶ ἀναγκαία πέφηνεν.

13. Ἀλλὰ δή ἐστιν ἐφ' ὧν δεδώκαμεν ὑγιῶς τὰ λήμματα, καὶ συμβαίνει τι ἐξ αὐτῶν· ψεῦδος δὲ ὄν, οὐδὲν ἧττον συμβαίνει. (14) Τί οὖν μοι καθήκει ποιεῖν; προσδέχεσθαι τὸ ψεῦδος; Καὶ πῶς οἷόν τε; (15) Ἀλλὰ λέγειν ὅτι Οὐχ ὑγιῶς παρεχώρησα τὰ ὡμολογημένα; Καὶ μὴν οὐδὲ τοῦτο δίδοται. Ἀλλ' ὅτι οὐ συμβαίνει διὰ τῶν παρακεχωρημένων; Ἀλλ' οὐδὲ τοῦτο δίδοται. (16) Τί οὖν ἐπὶ τούτων ποιητέον; ἢ μή ποτε, ὡς οὐκ ἀρκεῖ τὸ δανείσασθαι πρὸς τὸ ἔτι ὀφείλειν, ἀλλὰ δεῖ προσεῖναι καὶ τὸ ἐπιμένειν ἐπὶ τοῦ δανείου, καὶ μὴ διαλελύσθαι αὐτό· οὕτως οὐκ ἀρκεῖ πρὸς τὸ δεῖν παραχωρεῖν τὸ ἐπιφερόμενον, τὸ δεδωκέναι τὰ λήμματα, δεῖ δ' ἐπιμένειν ἐπὶ τῆς παραχωρήσεως αὐτῶν. (17) Καὶ δὴ μενόντων μὲν αὐτῶν εἰς τέλος ὁποῖα παρεχωρήθη, πᾶσα ἀνάγκη ἡμᾶς ἐπὶ τῆς παραχωρήσεως ἐπιμένειν, καὶ τὸ ἀκόλουθον αὐτοῖς προσδέχεσθαι· (18) μὴ μενόντων δὲ αὐτῶν ὁποῖα παρεχωρήθη, καὶ ἡμᾶς πᾶσα ἀνάγκη τῆς παραχωρήσεως ἀφίστασθαι, καὶ τοῦ τὸ ἀνακόλουθον τοῖς αὐτῶν λόγοις προσδέχεσθαι. (19) Οὐδὲ γὰρ ἡμῖν ἔτι, οὐδὲ καθ' ἡμᾶς συμβαίνει τοῦτο τὸ ἐπιφερόμενον, ἐπειδὴ τῆς συγχωρήσεως τῶν λημμάτων ἀπέστημεν. (20) Δεῖ οὖν καὶ τὰ τοιαῦτα τῶν λημμάτων ἱστορῆσαι, καὶ τὴν τοιαύτην μεταβολήν τε καὶ μετάπτωσιν αὐτῶν, καθ' ἣν ἐν αὐτῇ τῇ ἐρωτήσει, ἢ τῇ ἀποκρίσει, ἢ τῷ συλλελογίσθαι, ἤ τινι ἄλλῳ τοιούτῳ, λαμβάνοντα τὰς μεταπτώσεις, ἀφορμὴν παρέχει τοῖς ἀνοήτοις τοῦ ταράσσεσθαι, μὴ βλέπουσι τὸ ἀκόλουθον. (21) Τίνος ἕνεκα; Ἵν' ἐν τῷ τόπῳ τούτῳ μὴ παρὰ τὸ καθῆκον, μηδὲ συγκεχυμένως ἀναστρεφώμεθα.

22. Καὶ τὸ αὐτὸ ἐπί τε τῶν ὑποθέσεων, καὶ τῶν ὑποθετικῶν λόγων. Ἀναγκαῖον γάρ ἐστιν ὅτε αἰτῆσαί τινα ὑπόθεσιν, ὥσπερ ἐπιβάθραν τῷ ἑξῆς λόγῳ. (23) Πᾶσαν οὖν τὴν δοθεῖσαν παραχωρητέον, ἢ οὐ πᾶσαν; καὶ, εἰ οὐ πᾶσαν, τίνα; (24) Παραχωρήσαντι δὲ, μενετέον εἰσάπαν ἐπὶ τῆς τηρήσεως; ἢ ἔστιν ὅτε ἀποστατέον, τὰ δ' ἀκόλουθα προσδεκτέον, καὶ τὰ μαχόμενα οὐ προσδεκτέον; Ναί. (25) Ἀλλὰ λέγει τις, ὅτι Ποιήσω σε, δυνατοῦ δεξάμενον ὑπόθεσιν, ἐπ' ἀδύνατον

terinas drachmas explorandi dijudicandique? (8) Quapropter nec in disputatione sufficit audisse id quod dictum est; sed exploratorem te fieri necesse est, et, quid verum sit, quid falsum, quid incertum, posse dijudicare? Necesse. (9) Post hæc in disputatione quid præcipitur? Id quod a te recte concessis consequens fuerit, admittendum tibi esse. Age, numquid et hic satis est, hoc præceptum nosse? (10) Non satis: sed addiscendum, quomodo aliquid aliquibus sit consectarium, et quando unum sit uni consequens, quando pluribus conjunctim. (11) Videndum igitur ne et hoc assumendum ei sit, qui scienter in disputationibus versari velit, ut et ipse singula demonstrare possit quæ tradidit, et demonstrationes aliorum intelligat, neque a sophistis, tamquam demonstrantibus, decipiatur. (12) Inde itaque venit nobis tractatio atque exercitatio concludentium rationum modorumque, et necessaria visa est.

13. At vero fit interdum, ut, quas propositiones recte concessimus, ex iis aliquid concludatur, quod falsum est, neque tamen eo minus inde concluditur. (14) Quid igitur mihi convenit ut faciam? num admittam mendacium? Id vero qui possim? (15) An dicam, ea quibus assensus eram, non recte fuisse a me concessa? Atqui ne hoc quidem datur. An, ex eis quæ concessa fuerint, hæc non effici? At neque hoc datur. (16) Quid igitur in his faciendum? Vide an non, quemadmodum ad hoc, ut adhuc debeas, non satis est te mutuo sumpsisse, sed illud etiam accedat oportet, ut ære alieno obstrictus manseris et debitum nondum dissolveris; sic, ut tenearis ad concedendum id quod infertur, non satis est concessisse te pronunciata quæ sunt ab altero posita, verum etiam persistendum sit in eorum concessione. (17) Etsi illa quidem ad extremum usque talia permanserint, qualia sunt concessa; omnino necessarium est, concessionem nostram ratam nos habere, et id quod est illis consequens amplecti: (18) quodsi vero talia non permanserint, qualia sunt concessa, nos etiam omnino necessarium est a concessione discedere, et id, quod ex nostris rationibus non consequitur, minime amplecti. (19) Neque enim ad nos jam pertinet, neque arbitratu nostro concluditur quod infertur, postquam a concessione sumptionum recesserimus. (20) Est igitur etiam hujusmodi propositionum ratio, earumque mutatio et transitio *ex alia sententia in aliam*, diligenter cognoscenda; qua illæ, dum sive in ipsa interrogatione, sive in responsione, sive in concludendo syllogismo', sive in alio hujusmodi genere, mutationem aliquam accipiunt, occasionem perturbationis præbent incogitantibus, qui non vident quid rem quamque consequatur. (21) Qua de caussa id curare debemus? Ne in hoc loco contra id quod convenit, nec turbulenter atque temere versemur.

22. Atque idem et in hypothesibus et hypotheticis argumentationibus est servandum. Aliquando enim necesse est hypothesin postulare, qua, veluti ponte quodam, ad ea quæ sequuntur transeatur. (23) Utrum ergo quælibet data hypothesis concedenda est, an non quælibet? quodsi non quælibet, quænam? (24) Si vero concesseris, estne quovis modo in eo tenendo perseverandum? an aliquando ab eo recedendum, ac consequentia quidem admittenda sunt, pugnantia vero repudianda? Certe. (25) At efficiam, inquit aliquis, ut, admissa hypothesi rei quæ fieri possit,

ἀπαχθῆναι. Πρὸς τοῦτον οὐ συγκαθήσει ὁ φρόνιμος, ἀλλὰ φεύξεται ἐξέτασιν καὶ κοινολογίαν; (26) Καὶ τίς ἔτι ἄλλος ἐστὶ λόγῳ χρηστικὸς, καὶ δεινὸς ἐρωτήσει καὶ ἀποκρίσει, καὶ νὴ Δία ἀνεξαπάτητός τε καὶ ἀσόφιστος; (27) Ἀλλὰ συγκαθήσει μὲν, οὐχ ἐπιστραφήσεται δὲ τοῦ μὴ εἰκῇ καὶ ὡς ἔτυχεν ἀναστρέφεσθαι ἐν λόγῳ; Καὶ πῶς ἔτι ἔσται τοιοῦτος, οἷον αὐτὸν ἐπινοοῦμεν; (28) Ἀλλ' ἄνευ τινὸς τοιαύτης γυμνασίας καὶ παρασκευῆς φυλάττειν οἷός τε ἐστὶ τὸ ἑξῆς; (29) Τοῦτο δεικνύτωσαν, καὶ παρέλκει τὰ θεωρήματα ταῦτα πάντα, ἄτοπα ἦν καὶ ἀνακόλουθα τῇ προλήψει τοῦ σπουδαίου.

30. Τί ἔτι ἀργοὶ καὶ ῥάθυμοι καὶ νωθροί ἐσμεν, καὶ προφάσεις ζητοῦμεν, καθ' ἃς οὐ πονήσομεν, οὐδ' ἀγρυπνήσομεν, ἐξεργαζόμενοι τὸν αὐτῶν λόγον; — (31) Ἂν οὖν ἐν τούτοις πλανηθῶ, μή τι τὸν πατέρα ἀπέκτεινα; — Ἀνδράποδον, ποῦ γὰρ ἐνθάδε πατὴρ ἦν, ἵν' αὐτὸν ἀποκτείνῃς; τί οὖν ἐποίησας; ὃ μόνον ἦν κατὰ τὸν τόπον ἁμάρτημα, τοῦτο ἡμάρτηκας. (32) Ἐπεί τοι τοῦτ' αὐτὸ καὶ ἐγὼ Ῥούφῳ εἶπον, ἐπιτιμῶντί μοι, ὅτι τὸ παραλειπόμενον ἐν συλλογισμῷ τινι οὐχ εὑρίσκον· Μὴ γὰρ, ἔφην, τὸ Καπιτώλιον ἐνέπρησα; Ὁ δ', Ἀνδράποδον, ἔφη, ἐνθάδε τὸ παραλειπόμενον Καπιτώλιόν ἐστιν; (33) Ἦ ταῦτα μόνα ἁμαρτήματά ἐστι, τὸ Καπιτώλιον ἐμπρῆσαι, καὶ τὸν πατέρα ἀποκτεῖναι; τὸ δ' εἰκῇ καὶ μάτην καὶ ὡς ἔτυχε χρῆσθαι ταῖς φαντασίαις ταῖς αὐτοῦ, καὶ μὴ παρακολουθεῖν λόγῳ, μηδ' ἀποδείξει, μηδὲ σοφίσματι, μηδ' ἁπλῶς βλέπειν τὸ καθ' αὐτὸν καὶ οὐ καθ' αὐτὸν ἐν ἐρωτήσει καὶ ἀποκρίσει· τούτων δ' οὐδέν ἐστιν ἁμάρτημα;

ad id perducaris quod fieri nequit. Cum hoc homine vir prudens prorsus non congredietur, sed ejus disputationem et colloquium fugiet? (26) At quis alius superest, qui uti ratiocinatione possit? quis interrogandi et respondendi peritus, atque adeo talis, ut neque decipi, neque fallaci conclusione in fraudem illici possit? (27) Imo, congredietur quidem cum eo, sed hoc non curabit, ne temere ac fortuito in disputatione versetur? Quo pacto ergo adhuc talis erit, qualem eum esse oportere intelligimus? (28) At sine tali aliqua exercitatione et præparatione potestne id custodire, quod ordo ratiocinandi postulat? (29) Ostendant hoc; et fatebimur supervacaneas esse omnes istas speculationes, absurdas, et a notione, quam de viro probo gravique informatam animo habemus, alienas.

30. Quid adhuc inertes, socordes, ignavi sumus, et fugiendi laboris vigiliarumque caussas quæritamus? neque vigilabimus, ut rationem expoliamus nostram? — (31) Si ergo in his aberraro, numquid patrem occidi? — Mancipium, ubi hic pater erat, ut eum occideres? Quid ergo fecisti? Quod unum hujus loci delictum erat, in eo deliquisti. (32) Nam hoc ipsum et ego Rufo dicebam, objurganti me, quod id, quod in syllogismo quodam prætermissum erat, non reperissem: Nunquid, inquam, Capitolium incendi? At ille: Mancipium, inquit, anne, quod hic prætermittitur, Capitolium est? (33) Aut eane sola delicta sunt, incendisse Capitolium, et occidisse patrem? temere autem et frustra fortuitoque suis uti visis, neque argumentationem aut demonstrationem aut captionem intelligere; neque omnino videre in interrogatione et responsione, quid nostris positis vel concessis consentaneum sit, quid non: in nulla vero harum rerum inest peccatum?

ΚΕΦ. Η'.

Ὅτι αἱ δυνάμεις τοῖς ἀπαιδεύτοις οὐκ ἀσφαλεῖς.

1. Καθ' ὅσους τρόπους μεταλαμβάνειν ἐστὶ τὰ ἰσοδυναμοῦντα ἀλλήλοις, κατὰ τοσούτους καὶ τὰ εἴδη τῶν ἐπιχειρημάτων τε καὶ ἐνθυμημάτων ἐν τοῖς λόγοις ἐκποιεῖ μεταλαμβάνειν· (2) οἷον φέρε τὸν τρόπον τοῦτον· Εἰ ἐδανείσω καὶ μὴ ἀπέδωκας, ὀφείλεις μοι τὸ ἀργύριον· οὐχὶ ἐδανείσω μὴν, καὶ οὐκ ἀπέδωκας· οὐκ οὖν ὀφείλεις μοι τὸ ἀργύριον. (3) Καὶ τοῦτο οὐδενὶ μᾶλλον προσήκει, ἢ τῷ φιλοσόφῳ, ἐμπείρως ποιεῖν. Εἴπερ γὰρ ἀτελὴς συλλογισμός ἐστι τὸ ἐνθύμημα, δῆλον ὅτι ὁ περὶ τὸν τέλειον συλλογισμὸν γεγυμνασμένος, οὗτος ἂν ἱκανὸς εἴη καὶ περὶ τὸν ἀτελῆ οὐδὲν ἧττον.

4. Τί ποτ' οὖν οὐ γυμνάζομεν αὐτούς τε καὶ ἀλλήλους τὸν τρόπον τοῦτον; (5) Ὅτι νῦν, καίτοι μὴ γυμναζόμενοι περὶ ταῦτα, μηδ' ἀπὸ τῆς ἐπιμελείας τοῦ ἤθους ὑπό γ' ἐμοῦ περισπώμενοι, ὅμως δ' οὐδὲν ἐπιδίδομεν εἰς καλοκαγαθίαν. (6) Τί οὖν χρὴ προσδοκᾷν, εἰ καὶ ταύτην τὴν ἀσχολίαν προσλάβοιμεν; καὶ μάλισθ', ὅτι οὐ μόνον ἀσχολία τις ἀπὸ τῶν ἀναγκαιοτέρων αὕτη προσγένοιτ' ἂν, ἀλλὰ καὶ οἰήσεως ἀφορμὴ, καὶ τύφου οὐχ ἡ τυχοῦσα. (7) Μεγάλη γάρ ἐστι δύναμις ἡ ἐπιχειρητικὴ καὶ πιθανολογικὴ, καὶ μάλιστ' εἰ τύχοι γυμνα-

CAP. VIII.

Facultates non sine periculo esse hominibus ineruditis.

1. Quot modis æquipollentia variari possunt, totidem modis etiam epicherematum (*argumentorum quibus aggredimur adversarios*) et enthymematum [*vid.* § 3] species in disserendo possunt variari. (2) Exemplo sit modus hicce: *Si mutuatus es et non reddidisti, debes mihi pecuniam. Atqui non mutuatus es, nec reddidisti. Non ergo pecuniam mihi debes.* (3) Et hoc dextre facere, nemini magis, quam philosopho, convenit. Nam si enthymema imperfectus est syllogismus, intelligitur eum, qui in perfecto syllogismo est exercitatus, in imperfecto etiam nihilo minus fore satis instructum.

4. Cur igitur non et nosmetipsos et nos inter nos in hoc genere exercemus? (5) Quia nunc, etsi in his non exercemur, neque a cura morum, per me quidem, avellimur; tamen virtute nihilo reddimur auctiores. (6) Quid ergo exspectandum foret, si et istam occupationem adjungeremus? et præsertim, cum ea non modo a rebus magis necessariis nos abstractura esset, sed et arrogantiæ et insolentiæ occasio non parva inde accessura. (7) Magna enim vis est argumentandi et probabiliter disputandi; eoque major, si

σιας ἐπιπλέον, καί τινα καὶ εὐπρέπειαν ἀπὸ τῶν ὀνομάτων προσλάβοι· (8) ὅτι καὶ ἐν τῷ καθόλου πᾶσα δύναμις ἐπισφαλὴς, τοῖς ἀπαιδεύτοις καὶ ἀσθενέσι προσγενομένη, πρὸς τὸ ἐπᾶραι καὶ χαυνῶσαι ἐπ' αὐτῇ. (9) Ποίᾳ γὰρ ἄν τις ἔτι μηχανῇ πείσαι τὸν νέον τὸν ἐν τούτοις διαφέροντα, ὅτι οὐ δεῖ προσθήκην αὐτὸν ἐκείνων γενέσθαι, ἀλλ' ἐκεῖνα αὐτῷ προσθεῖναι; (10) Οὐχὶ δὲ πάντας τοὺς λόγους τούτους καταπατήσας, ἐπηρμένος ἡμῖν καὶ πεφυσημένος περιπατεῖ, μηδ' ἀνεχόμενος ἄν τις ἅπτηται αὐτοῦ, ὑπομιμνήσκων, τίνος ἀπολελειμμένος, ποῦ ἀποκέκλικε;

11. Τί οὖν; Πλάτων φιλόσοφος οὐκ ἦν; — Ἱπποκράτης γὰρ ἰατρὸς οὐκ ἦν; Ἀλλ' ὁρᾷς πῶς φράζει Ἱπποκράτης. (12) Μή τι οὖν Ἱπποκράτης οὕτω φράζει, καθὸ ἰατρός ἐστι; Τί οὖν μιγνύεις πράγματα, ἄλλως ἐπὶ τῶν αὐτῶν ἀνθρώπων συνδραμόντα; (13) Εἰ δὲ καλὸς ἦν Πλάτων καὶ ἰσχυρὸς, ἔδει κἀμὲ καθήμενον ἐκπονεῖν, ἵνα καλὸς γένωμαι, ἢ ἵνα ἰσχυρός· ὡς τοῦτο ἀναγκαῖον πρὸς φιλοσοφίαν, ἐπεί τις φιλόσοφος ἅμα καὶ καλὸς ἦν καὶ φιλόσοφος; (14) Οὐ θέλεις αἰσθάνεσθαι καὶ διακρῖναι κατὰ τί οἱ ἄνθρωποι γίνονται φιλόσοφοι, καὶ τίνα ἄλλως αὐτοῖς πάρεστιν; Ἄγε, εἰ δ' ἐγὼ φιλόσοφος ἤμην, ἔδει ὑμᾶς καὶ χωλοὺς γενέσθαι; (15) Τί οὖν; ἀναιρῶ τὰς δυνάμεις ταύτας; μὴ γένοιτο· οὐδὲ γὰρ τὴν ὁρατικήν. (16) Ὅμως δ', ἄν μου πυνθάνῃ, τί ἐστι τἀγαθὸν τοῦ ἀνθρώπου· οὐκ ἔχω σοι ἄλλο εἰπεῖν, ἢ ὅτι ποιὰ προαίρεσις φαντασιῶν.

ΚΕΦ. Θ'.

Πῶς ἀπὸ τοῦ συγγενεῖς ἡμᾶς εἶναι τῷ θεῷ, ἐπέλθοι ἄν τις ἐπὶ τὰ ἑξῆς.

1. Εἰ ταῦτά ἐστιν ἀληθῆ τὰ περὶ τῆς συγγενείας τοῦ θεοῦ καὶ ἀνθρώπων λεγόμενα ὑπὸ τῶν φιλοσόφων, τί ἄλλο ἀπολείπεται τοῖς ἀνθρώποις ἢ τὸ τοῦ Σωκράτους, μηδέποτε πρὸς τὸν πυθόμενον, ποδαπός ἐστιν, εἰπεῖν ὅτι Ἀθηναῖος ἢ Κορίνθιος, ἀλλ' ὅτι Κόσμιος; (2) Διὰ τί γὰρ λέγεις Ἀθηναῖον εἶναι σεαυτὸν, οὐχὶ δ' ἐξ ἐκείνης μόνον τῆς γωνίας, εἰς ἣν ἐῤῥίφη γεννηθέν σου τὸ σωμάτιον; (3) ἢ δῆλον ὅτι ἀπὸ τοῦ κυριωτέρου καὶ περιέχοντος οὐ μόνον αὐτὴν ἐκείνην τὴν γωνίαν καὶ ὅλην σου τὴν οἰκίαν, ἀλλὰ καὶ ἁπλῶς, ὅθεν σου τὸ γένος τῶν προγόνων εἰς σὲ κατελήλυθεν, ἐντεῦθέν ποθεν καλεῖς σεαυτὸν Ἀθηναῖον καὶ Κορίνθιον; (4) Ὁ τοίνυν τῇ διοικήσει τοῦ κόσμου παρηκολουθηκὼς, καὶ μεμαθηκὼς ὅτι τὸ μέγιστον καὶ κυριώτατον καὶ περιεκτικώτατον πάντων τοῦτό ἐστι τὸ σύστημα τὸ ἐξ ἀνθρώπων καὶ θεοῦ, ἀπ' ἐκείνου δὲ τὰ σπέρματα καταπέπτωκεν οὐκ εἰς τὸν πατέρα τὸν ἐμὸν μόνον, οὐδ' εἰς τὸν πάππον, ἀλλ' εἰς ἅπαντα μὲν τὰ ἐπὶ γῆς γεννώμενά τε καὶ φυόμενα, προηγουμένως δ' εἰς τὰ λογικά (5) (ὅτι κοινωνεῖν μόνον ταῦτα πέφυκε τῷ θεῷ τῆς συναναστροφῆς, κατὰ τὸν λόγον ἐπιπεπλεγμένα), (6) διὰ τί μὴ εἴπῃ τις αὑτὸν Κόσμιον; διὰ τί μὴ υἱὸν τοῦ θεοῦ; διὰ τί δὲ φοβηθήσεταί τι τῶν γινομένων ἐν ἀνθρώποις;

exercitatione diuturna acuatur, atque etiam bella quædam verborum species accedat. (8) Nam et in universum quælibet facultas hominibus indoctis et infirmis, quibus adest, periculum affert, ne propter illam efferantur et insolescant. (9) Nam qua ratione adolescenti his rebus præstanti persuadeas, non oportere ipsum accessionem fieri illarum facultatum, sed illas tamquam accessionem adjungere sibi? (10) An non rationibus his omnibus conculcatis, elatus et inflatus nobis obambulabit, neque feret eum qui admonere instituat, quibus rebus omissis, ad quas deflexerit?

11. Quid ergo? Plato philosophus non fuit? — Hippocrates medicus non fuit? At vides, quomodo loquitur Hippocrates. (12) An ergo Hippocrates sic loquitur, quatenus medicus est? Quid ergo res misces, per alias caussas in iisdem hominibus conjunctas? (13) Quodsi formosus fuit Plato et robustus, idcirco mihi quoque sedulo elaborandum fuit, ut formosus evaderem, aut ut robustus? quasi vero ad philosophiam id necessario requiratur, quoniam philosophus aliquis simul et formosus fuit et philosophus. (14) Non discernes atque animadvertes, quid sit, quo homines fiant philosophi, et quæ res aliunde et per alias caussas iis insint? Age vero, si ego philosophus essem; vosne etiam claudos fieri oporteret? (15) Quid ergo? tollo facultates istas? Absit; neque enim videndi facultatem tollo. (16) Attamen si me roges, quod sit hominis bonum; aliud non habeo quod dicam, nisi certum quoddam visorum animi institutum.

CAP. IX.

Qua ratione ab eo, quod cognationem habemus cum deo, progrediare ad reliqua.

1. Si vera sunt hæc, quæ de cognatione dei et hominum a philosophis dicuntur; quid aliud hominibus est reliquum, quam Socraticum illud, ut interrogatus, cujas sis, numquam te Atheniensem aut Corinthium esse respondeas, sed Mundanum? (2) Cur enim te Atheniensem nominas, ac non potius ex illo duntaxat angulo, in quem projectum fuit tuum cum nasceretur corpusculum? (3) Sane perspicuum est, nomen Atheniensis et Corinthii te tibi sumere ab eo loco, cujus major est auctoritas, quique non illum solum angulum universamque tuam domum continet, sed etiam illud omnino spatium, unde majorum tuorum genus ad te propagatum est. (4) Quicumque igitur mundi administrationem animo atque intelligentia complexus est, didicitque hanc esse maximam et longe omnium præcipuam latissimeque patentem congregationem, quæ constat ex hominibus et deo; ab hoc vero semina non solum in patrem meum aut avum delapsa esse, sed in cuncta quæ in terra generantur nascunturque, præcipue vero in ea quæ sunt ratione prædita (5) (quippe hæc sola ad communitatem consuetudinemque cum deo nata sunt, per ipsam rationem cum eo conjuncta): (6) cur Mundanum se talis non nominet? cur non dei filium? cur quidquam, quod in rebus fiat humanis, timeat? (7) At Cæsaris quidem cognatio aut

(7) Ἀλλὰ πρὸς μὲν τὸν Καίσαρα ἡ συγγένεια, ἢ ἄλλον τινὰ τῶν μέγα δυναμένων ἐν Ῥώμῃ, ἱκανὴ παρέχειν ἐν ἀσφαλείᾳ διάγοντας εἶναι, καὶ ἀκαταφρονήτους, καὶ δεδοικότας, μηδ' ὁτιοῦν· τὸ δὲ τὸν θεὸν ποιητὴν ἔχειν καὶ πατέρα καὶ κηδεμόνα, οὐκέτι ἡμᾶς ἐξαιρήσεται λυπῶν καὶ φόβων;

8. Καὶ πόθεν φάγω, φησί, μηδὲν ἔχων; Καὶ πῶς οἱ δοῦλοι, πῶς οἱ δραπέται, τίνι πεποιθότες ἐκεῖνοι, ἀπαλλάττονται τῶν δεσποτῶν; τοῖς ἀγροῖς, ἢ τοῖς οἰκέταις, ἢ τοῖς ἀργυρώμασιν; οὐδενί, ἀλλ' ἑαυτοῖς· καὶ ὅμως οὐκ ἐπιλείπουσιν αὐτοὺς τροφαί. (9) Τὸν δὲ φιλόσοφον ἡμῖν δεήσει ἄλλοις θαῤῥοῦντα καὶ ἐπαναπαυόμενον ἀποδημεῖν, καὶ μὴ ἐπιμελεῖσθαι αὐτὸν αὑτοῦ, καὶ τῶν θηρίων τῶν ἀλόγων εἶναι χείρονα καὶ δειλότερον, ὧν ἕκαστον αὐτὸ αὑτῷ ἀρκούμενον, οὔτε τροφῆς ἀπορεῖ τῆς οἰκείας οὔτε διεξαγωγῆς τῆς καταλλήλου καὶ κατὰ φύσιν;

10. Ἐγὼ μὲν οἶμαι, ὅτι ἔδει καθῆσθαι τὸν πρεσβύτερον ἐνταῦθα, οὐ τοῦτο μηχανώμενον, ὅπως μὴ ταπεινοφρονήσητε, μηδὲ ταπεινοὺς μηδ' ἀγεννεῖς τινας διαλογισμοὺς διαλογιεῖσθε αὐτοὶ περὶ ἑαυτῶν· (11) ἀλλὰ μή τινες ἐμπίπτωσι τοιοῦτοι νέοι, οἳ ἐπιγνόντες τὴν πρὸς τοὺς θεοὺς συγγένειαν, καὶ ὅτι δεσμά τινα ταῦτα προσηρτήμεθα, τὸ σῶμα καὶ τὴν κτῆσιν αὐτοῦ, καὶ ὅσα τούτων ἕνεκα ἀναγκαῖα ἡμῖν γίνεται εἰς οἰκονομίαν καὶ ἀναστροφὴν τὴν ἐν τῷ βίῳ, ὡς βάρη τινὰ καὶ ἀνιαρὰ καὶ ἄστεκτα ἀποῤῥῖψαι θέλωσι, καὶ ἀπελθεῖν πρὸς τοὺς συγγενεῖς. (12) Καὶ τοῦτον ἔδει τὸν ἀγῶνα ἀγωνίζεσθαι τὸν διδάσκαλον ὑμῶν καὶ παιδευτήν, εἴ τις ἄρα ἦν· ὑμᾶς μὲν ἔρχεσθαι λέγοντας, Ἐπίκτητε, οὐκέτι ἀνεχόμεθα μετὰ τοῦ σωματίου τούτου δεδεμένοι, καὶ τοῦτο τρέφοντες καὶ ποτίζοντες καὶ ἀναπαύοντες καὶ καθαίροντες, εἶτα δι' αὐτὸ συμπεριφερόμενοι τοῖσδε καὶ τοῖσδε. (13) Οὐκ ἀδιάφορα ταῦτα, καὶ οὐδὲν πρὸς ἡμᾶς; καὶ ὁ θάνατος οὐ κακός; καὶ συγγενεῖς τινες τοῦ θεοῦ ἐσμεν, κἀκεῖθεν ἐληλύθαμεν; (14) Ἄφες ἡμᾶς ἀπελθεῖν, ὅθεν ἐληλύθαμεν· ἄφες λυθῆναί ποτε τῶν δεσμῶν τούτων, τῶν ἐξηρτημένων καὶ βαρούντων. (15) Ἐνταῦθα λῃσταὶ, καὶ κλέπται, καὶ δικαστήρια, καὶ οἱ καλούμενοι τύραννοι, δοκοῦντες ἔχειν τινὰ ἐφ' ἡμῖν ἐξουσίαν, διὰ τὸ σωμάτιον καὶ τὰ τούτου κτήματα· ἄφες δείξωμεν αὐτοῖς, ὅτι οὐδενὸς ἔχουσιν ἐξουσίαν. (16) Ἐμὲ δὲ ἐν τῷδε λέγειν, ὅτι Ἄνθρωποι ἐκδέξασθε τὸν θεόν. Ὅταν ἐκεῖνος σημήνῃ καὶ ἀπολύσῃ ὑμᾶς ταύτης τῆς ὑπηρεσίας, τότ' ἀπολύεσθε πρὸς αὐτόν· ἐπὶ δὲ τοῦ παρόντος ἀνάσχεσθε ἐνοικοῦντες ταύτην τὴν χώραν, εἰς ἣν ἐκεῖνος ὑμᾶς ἔταξεν. (17) Ὀλίγος ἄρα χρόνος οὗτος ὁ τῆς οἰκήσεως, καὶ ῥᾴδιος τοῖς οὕτω διακειμένοις. Ποῖος γὰρ ἔτι τύραννος, ἢ ποῖος κλέπτης, ἢ ποῖα δικαστήρια φοβερὰ τοῖς οὕτω παρ' οὐδὲν πεποιημένοις τὸ σῶμα καὶ τὰ τούτου κτήματα; μείνατε, μὴ ἀλογίστως ἀπέλθητε.

18. Τοιοῦτόν τι ἔδει γίνεσθαι παρὰ τοῦ παιδευτοῦ πρὸς τοὺς εὐφυεῖς τῶν νέων. (19) Νῦν δὲ τί γίνεται;

alterius alicujus qui multum Romæ potest, satis præsidii habebit, ut in tuto vivamus, et sine contemtu, omnique timore vacui: deum vero cum habeamus auctorem, et patrem, et curatorem, hoc nos tristitia et timore non liberabit?

8. At unde comedam, inquit, cum nihil habeam? Quonam vero modo servi, quo modo fugitivi, qua illi re freti suos deserunt dominos? num agris, num servis, aut argenteis vasis? nulla alia re, nisi semetipsis: et tamen eis alimenta non desunt. (9) Philosophum autem oportebit scilicet, aliis confidentem et acquiescentem, peregrinari, neque ipsum sui curam gerere, sed brutis animantibus esse deteriorem et timidiorem, quorum singula per se semetipsis contenta, neque proprio carent alimento, neque vitæ ratione naturæ suæ accommodata atque consentanea?

10. Equidem arbitrabar, senem hic sedere oportuisse, non qui id ageret, ut ne humilibus essetis animis, neque ut humiles abjectosve de vobis sermones haberetis; (11) sed ne qui tales exsisterent adolescentes, qui cognatione, quæ cum diis hominibus intercedat, agnita, quique intelligentes vincula quibus sumus astricti, corpus nempe, et illius possessionem, et quæcumque propter hæc nobis sunt ad vitam sustentandam degendamque necessaria, ista velut onera quædam molesta et intolerabilia abjicere vellent, et ad suos cognatos abire. (12) Atque hoc certamen præceptor vester et institutor, si modo esset ille aliquis, decertare debebat; ut vos quidem eum adiretis, dicentes: « Epictete, nos corpusculi hujus vincula tolerare diutius non possumus, cibo scilicet potuque reficientes, et quietem præbentes, et repurgantes, et propter ipsum aliis atque aliis nosmet accommodantes. (13) Annon indifferentia sunt ista, et nihil ad nos? nonne mors mala non est? nonne quædam cum deo nobis est cognatio, atque inde huc devenimus? (14) Permitte nobis, ut illuc abeamus, unde venimus: permitte, ut his liberemur vinculis, quibus astricti sumus et prægravati. (15) Hic latrones, fures, tribunalia, quique tyranni appellantur, potestatem aliquam in nos, propter corpusculum illiusque possessiones, se existimantes habere: sine, eis ostendamus, nullius ipsos habere potestatem. » (16) Me vero ad hæc dicere oportebat: « Exspectate, o homines, deum! Cum ille significarit, et hoc ministerio vos liberarit, tunc ad eum emigrabitis; in præsentia vero habitationem hanc locumque tolerate, in quo quemque vestrûm ipse constituit. (17) Breve quidem tempus hujusce habitationis, nec iis difficile, qui sic animo sunt affecti: nam quis jam tyrannus, quis fur, aut quæ tribunalia formidolosa his, qui corpus ejusque possessiones ita nihili faciunt? Manete; nec temere discedatis! »

18. Tali quodam modo præceptor cum ingenuis adolescentibus agere debebat. (19) Nunc vero quid fit? Emor-

νεκρὸς μὲν ὁ παιδευτής, νεκροὶ δ' ὑμεῖς. Ὅταν χορτασθῆτε σήμερον, κάθησθε κλάοντες περὶ τῆς αὔριον πόθεν φάγητε. (20) Ἀνδράποδον, ἂν σχῇς, ἕξεις· ἂν μὴ σχῇς, ἐξελεύσῃ· ἤνοικται ἡ θύρα. Τί πενθεῖς; ποῦ ἔτι τόπος δακρύων; τίς ἔτι κολακείας ἀφορμή; διὰ τί ἄλλος ἄλλῳ φθονήσει; διὰ τί [τοὺς] πολλὰ κεκτημένους θαυμάσει, ἢ τοὺς ἐν δυνάμει τεταγμένους [δείσει], μάλιστ' ἂν καὶ ἰσχυροὶ ὦσι καὶ ὀργίλοι; (21) Τί γὰρ ἡμῖν ποιήσουσιν; ἃ δύνανται ποιῆσαι, τούτων οὐκ ἐπιστρεψόμεθα· ὧν ἡμῖν μέλει, ταῦτα οὐ δύνανται. Τίς οὖν ἔτι ἄρξει τοῦ οὕτω διακειμένου;

22. Πῶς Σωκράτης εἶχε πρὸς ταῦτα; πῶς γὰρ ἄλλως, ἢ ὡς ἔδει τὸν πεπεισμένον ὅτι ἐστὶ τῶν θεῶν συγγενής; (23) Ἄν μοι λέγητε, φησί, νῦν, ὅτι ἀφίεμέν σε ἐπὶ τούτοις, ὅπως μηκέτι διαλέξῃ τούτους τοὺς λόγους οὓς μέχρι νῦν διελέγου, μηδὲ παρενοχλήσῃς ἡμῶν τοῖς νέοις, μηδὲ τοῖς γέρουσιν· (24) ἀποκρινοῦμαι, ὅτι γελοῖοί ἐστε, οἵτινες ἀξιοῦτε, εἰ μέν με ὁ στρατηγὸς ὁ ὑμέτερος ἔταξεν εἴς τινα τάξιν, ὅτι ἔδει με τηρεῖν αὐτὴν καὶ φυλάττειν, καὶ μυριάκις πρότερον αἱρεῖσθαι ἀποθνήσκειν, ἢ ἐγκαταλιπεῖν αὐτήν· εἰ δ' ὁ θεὸς ἔν τινι χώρᾳ καὶ ἀναστροφῇ κατατέταχε, ταύτην δ' ἐγκαταλιπεῖν δεῖ ἡμᾶς. (25) Τοῦτ' ἔστιν ἄνθρωπος ταῖς ἀληθείαις συγγενὴς τῶν θεῶν. (26) Ἡμεῖς οὖν ὡς κοιλίαι, ὡς ἔντερα, ὡς αἰδοῖα, οὕτω περὶ αὐτῶν διανοούμεθα· ὅτι φοβούμεθα, ὅτι ἐπιθυμοῦμεν· τοὺς εἰς ταῦτα συνεργεῖν δυναμένους κολακεύομεν, τοὺς αὐτοὺς τούτους δεδοίκαμεν.

27. Ἐμέ τις ἠξίωκεν ὑπὲρ αὐτοῦ γράψαι εἰς τὴν Ῥώμην, ὡς ἐδόκει τοῖς πολλοῖς ἠτυχηκώς, καὶ πρότερον μὲν ἐπιφανὴς ὢν καὶ πλούσιος, ὕστερον δ' ἐκπεπτωκὼς ἁπάντων, καὶ διάγων ἐνταῦθα. (28) Κἀγὼ ἔγραψα ὑπὲρ αὐτοῦ ταπεινῶς. Ὁ δ' ἀναγνοὺς τὴν ἐπιστολὴν, ἀπέδωκέ μοι αὐτὴν, καὶ ἔφη ὅτι Ἐγὼ βοηθηθῆναί τι ὑπό σου ἤθελον, οὐχὶ ἐλεηθῆναι· κακὸν δέ μοι οὐθέν ἐστιν.

29. Οὕτω καὶ Ῥοῦφος, πειράζων με, εἰώθει λέγειν· Συμβήσεταί σοι τοῦτο καὶ τοῦτο ὑπὸ τοῦ δεσπότου. (30) Κἀμοῦ πρὸς αὐτὸν ἀποκριναμένου, ὅτι ἀνθρώπινα· Τί οὖν, ἔφη, ἐκεῖνον παρακαλῶ, παρὰ σοῦ αὐτὰ λαβεῖν δυνάμενος; (31) Τῷ γὰρ ὄντι, ὃ ἐξ αὐτοῦ τις ἔχει, περισσὸς καὶ μάταιος παρ' ἄλλου λαμβάνων. (32) Ἐγὼ οὖν ἔχων ἐξ ἐμαυτοῦ λαβεῖν τὸ μεγαλόψυχον καὶ γενναῖον, ἀγρὸν παρὰ σοῦ λάβω, καὶ ἀργύριον, ἢ ἀρχήν τινα; μὴ γένοιτο· οὐχ οὕτως ἀναίσθητος ἔσομαι τῶν ἐμῶν κτημάτων. (33) Ἀλλ' ὅταν τις ᾖ δειλὸς καὶ ταπεινὸς, ὑπὲρ τούτου τί ἄλλο ἢ ἀνάγκη γράφειν ἐπιστολὰς, ὡς ὑπὲρ νεκροῦ; Τὸ πτῶμα ἡμῖν χάρισαι τοῦ δεῖνος, καὶ ξέστην αἱματίου. (34) Τῷ γὰρ ὄντι πτῶμα ὁ τοιοῦτός ἐστι, καὶ ξέστης αἱματίου· πλέον δ' οὐδέν. Εἰ δ' ἦν πλέον τι, ᾔσθάνετ' ἂν ὅτι ἄλλος δι' ἄλλον οὐ δυστυχεῖ.

tuus est præceptor, emortui et vos. Postquam hodie saturati estis, sedetis flentes de crastino, undenam cibum sitis habituri. (20) Mancipium! si habueris, habebis : si non habueris, e vita exibis : aperta est janua. Quid luges? ubi jam locus est lacrimis? quæ jam adulationis occasio? quamobrem alter alteri invidebit? quamobrem locupletes demirabitur, aut potentes *timebit*, præsertim si et robusti sint et iracundi? (21) Quid enim nobis facient? quæ illi possunt, ea nos nihil curamus : quæ nobis curæ sunt, in his illi nihil possunt. Quis igitur homini sic affecto imperabit?

22. Quomodo in his se præstitit Socrates? Quonam alio modo nisi quo eum decebat, qui se diis cognatum esse persuasum haberet? (23) « Si mihi (inquit) nunc dicatis : Ea lege te dimittimus, ut missas facias disputationes istas, quibus hactenus es usus, neque vel adolescentibus vel senibus nostris sis molestus; (24) respondebo, ridiculos esse vos, qui quidem censeatis, si me vester imperator aliqua in statione collocasset, eam mihi servandam esse tuendamque, et millies ante oppetendam mortem, quam eam stationem deserendam : si vero deus quamdam mihi stationem vitæque rationem assignarit, eam vero esse relinquendam. » (25) Hoc demum est, hominem esse diis immortalibus cognatum. (26) At nos non secus, ac si ventres, ac si intestina, ac si pudenda essemus, de nobis ipsis cogitamus : nam timemus, nam cupimus; et, qui in hæc aliquam habent potestatem, his adulamur, eosdemque metuimus.

27. Petierat a me nonnemo, ut sua caussa Romam scriberem; vir, ut vulgo videbatur, adversa fortuna pressus, cum prius illustris fuisset et dives, postea vero his omnibus spoliatus vitam hic ageret. (28) Ego literas pro eo scripsi submissius; quibus ille lectis, mihi redditisque, ait : Adjumenti aliquid a te petieram, non commiserationem; mali enim nihil mihi accidit.

29. Sic et Rufus, tentandi mei caussa, dicere solebat : Hoc et illud ab hero tibi accidet. (30) Meque respondente, humana ea esse : Quid ergo, inquit, ab illo peto, cum a te impetrare possim? (31) Revera enim, quod quis a se ipso habet, vanus est atque ineptus, ab alio si accipiat. (32) Ego igitur cum magnum et generosum animum a me ipso accipere possim, a te agrum et argentum, aut magistratum accipiam? Absit! equidem non ero mearum possessionum adeo ignarus. (33) Sed si quis timidus fuerit atque abjectus, pro eo quid aliud necesse est, quam ut veluti pro emortuo scribantur literæ? hoc modo : Istius cadaver dona nobis, et miselli sanguinis sextarium. (34) Talis enim homo revera cadaver est, et sanguinis sextarius; præterea que nihil : si quid enim amplius esset, alium propter alium non esse miserum intelligeret.

ΚΕΦ. Ι'.

Πρὸς τοὺς περὶ τὰς ἐν Ῥώμῃ προαγωγὰς ἐσπουδακότας.

1. Εἰ οὕτω σφοδρῶς συνετετάμεθα περὶ τὸ ἔργον τὸ ἑαυτῶν, ὡς οἱ ἐν Ῥώμῃ γέροντες περὶ ἃ ἐσπουδάκασι, τάχα ἄν τι ἠνύομεν καὶ αὐτοί. (2) Οἶδα ἐγὼ πρεσβύτερον ἄνθρωπον ἐμοῦ, τὸν νῦν ἐπὶ τοῦ σίτου ὄντα ἐν τῇ Ῥώμῃ, ὅτε ταύτῃ παρῆγεν ἀπὸ τῆς φυγῆς ἀναστρέφων, οἷα εἶπέ μοι, κατατρέχων τοῦ προτέρου ἑαυτοῦ βίου, καὶ περὶ τῶν ἑξῆς ἐπαγγελλόμενος, ὅτι ἄλλο οὐδὲν ἀναβὰς σπουδάσει, ἢ ἐν ἡσυχίᾳ καὶ ἀταραξίᾳ διεξαγαγεῖν τὸ λοιπὸν τοῦ βίου. (3) Πόσον γὰρ ἔτι ἐστὶν ἐμοὶ τὸ λοιπόν; Κἀγὼ ἔλεγον αὐτῷ, ὅτι οὐ ποιήσεις· ἀλλ' ὀσφρανθεὶς μόνον τῆς Ῥώμης, ἁπάντων τούτων ἐπιλήσῃ· ἂν δὲ καὶ εἰς αὐλὴν πάροδός τις δίδωται, ὅτι χαίρων καὶ τῷ θεῷ εὐχαριστῶν ὤσεται. (4) Ἄν μ' εὕρῃς, ἔφη, Ἐπίκτητε, τὸν ἕτερον πόδα εἰς τὴν αὐλὴν τιθέντα, ὃ βούλει ὑπολάμβανε. (5) Νῦν οὖν τί ἐποίησε; πρὶν ἐλθεῖν εἰς τὴν πόλιν, ἀπήντησαν αὐτῷ παρὰ Καίσαρος πινακίδες· ὁ δὲ λαβών, πάντων ἐκείνων ἐξελάθετο, καὶ λοιπὸν ἓν ἐξ ἑνὸς ἐπισεσώρευκεν. (6) Ἤθελον αὐτὸν νῦν παραστὰς ὑπομνῆσαι τῶν λόγων, οὓς ἔλεγε παρερχόμενος, καὶ εἰπεῖν, ὅτι Πόσῳ σοῦ ἐγὼ κομψότερος μάντις εἰμί;

7. Τί οὖν; ἐγὼ λέγω, ὅτι ἄπρακτόν ἐστι τὸ ζῷον; μὴ γένοιτο. (8) Ἀλλὰ διὰ τί ἡμεῖς οὐχ ἐσμὲν πρακτικοί; Εὐθὺς ἐγὼ πρῶτος, ὅταν ἡμέρα γένηται, μικρὰ ὑπομιμνήσκομαι, τίνα ἐπαναγνῶναί με δεῖ. Εἶτα εὐθὺς ἐμαυτῷ· Τί δέ μοι καὶ μέλει πῶς ὁ δεῖνα ἀναγνῷ; πρῶτόν ἐστιν, ἵνα ἐγὼ κοιμηθῶ. (9) Καίτοι τί ὅμοια τὰ ἐκείνων πράγματα τοῖς ἡμετέροις; Ἂν ἐπιστῆτε τί ἐκεῖνοι ποιοῦσιν, αἰσθήσεσθε. Τί γὰρ ἄλλο, ἢ ὅλην τὴν ἡμέραν ψηφίζουσι, συζητοῦσι, συμβουλεύουσι περὶ σιταρίου, περὶ ἀγριδίου, περί τινων προκοπῶν τοιούτων; (10) Ὅμοιον οὖν ἐστιν, ἐντευξίδιον παρά τινος λαβόντα ἀναγιγνώσκειν, Παρακαλῶ σε ἐπιτρέψαι μοι σιτάριον ἐξαγαγεῖν· ἤ, Παρακαλῶ σε παρὰ Χρυσίππου ἐπισκέψασθαι τίς ἐστιν ἡ τοῦ κόσμου διοίκησις, καὶ ποίαν τινὰ χώραν ἐν αὐτῷ ἔχει τὸ λογικὸν ζῷον· ἐπίσκεψαι δὲ καὶ τίς εἶ σύ, καὶ ποῖόν τι σοῦ τὸ ἀγαθὸν καὶ τὸ κακόν. (11) Ταῦτα ἐκείνοις ὅμοιά ἐστιν; ἀλλ' ὁμοίας σπουδῆς χρείαν ἔχοντα; ἀλλ' ὡσαύτως ἀμελεῖν αἰσχρὸν τούτων κἀκείνων; (12) Τί οὖν; ἡμεῖς μόνοι ῥαθυμοῦμεν καὶ νυστάζομεν; Οὔ· ἀλλὰ πολὺ πρότερον ὑμεῖς οἱ νέοι. (13) ἐπεί τοι καὶ ἡμεῖς οἱ γέροντες, ὅταν παίζοντας ὁρῶμεν νέους, συμπροθυμούμεθα καὶ αὐτοὶ συμπαίζειν· πολὺ δὲ πλέον, εἰ ἑώρων διεγηγερμένους καὶ συμπροθυμουμένους, προεθυμούμην ἂν συσπουδάζειν καὶ αὐτός.

ΚΕΦ. ΙΑ'.

Περὶ φιλοστοργίας.

1. Ἀφικομένου δέ τινος πρὸς αὐτὸν τῶν ἐν τέλει, πυθόμενος παρ' αὐτοῦ τὰ ἐπὶ μέρους, ἠρώτησεν, εἰ

CAP. X.

In eos, qui Romæ honoribus inserviunt.

1. Si tanta nos contentione ad nostra officia applicaremus, quanta Romani senes suis inserviunt studiis, fortasse nos quoque aliquid perficeremus. (2) Memini ego quemdam me natu majorem, nunc Romæ annonæ præfectum, cum hac iter habuisset, ab exsilio rediens, quæ mihi ille dixerit, vitam suam priorem accusans et de reliqua vita pollicitus, se, in Urbem reversum, nil aliud curaturum, nisi ut in otio et tranquillitate quod vitæ reliquum fuerit ageret. (3) Quantulum enim, inquit, mihi superest vitæ? Ego autem ei, nequaquam istud eum facturum, dixi; sed, simul atque Romam subodoratus esset, fore ut horum omnium oblivisceretur; quod si quis ei etiam in aulam daretur aditus, lætum, et Deo gratias agentem, eo se præcipitaturum aiebam. (4) At ille, Si me, inquit, Epictete, altero pede aulam ingressum inveneris, quidvis de me existimato. (5) Nunc igitur quid fecit? priusquam Urbem intrasset, codicilli a Cæsare obviam ei mittebantur; quibus ille acceptis, priorum omnium oblitus est, et deinceps aliud ex alio sibi negotium accumulavit. (6) Vellem equidem nunc ei coram in memoriam revocare sermones, quos præteriens habuit, et dicere, Quanto ego sum te præstantior vates!

7. Quid igitur? egone dico, ad vitam in otio transigendam natum esse hominem? Absit! (8) Sed cur nos non sumus actuosi? Statim quidem ad me quod attinet, quum primum lucescit, parumper mecum ipse recordor, quænam mihi sint prælegenda : deinde statim ipse mecum : Quid vero mea refert, quemadmodum iste *discipulorum meorum* legat? hoc primum est, ut ego dormiam. (9) Quamquam, quid simile habent istorum res cum nostris? Si animadverteritis quid illi agant, intelligetis. Quid enim aliud, nisi totum diem rationes subducunt, disquirunt inter se, consilia conferunt, de aliqua frumenti copia, de agello, et aliis id genus profectibus? (10) Numquid ista inter se similia sunt? petitionem hujusmodi legere : *Oro te, ut me frumenti nonnihil sinas exportare;* aut, *Hortor te, ut juxta Chrysippum consideres, quæ sit mundi administratio, et quem in eo locum obtineat animal rationis particeps. Considera vero etiam, qui tu sis, et cujusmodi sit tuum bonum ac malum.* (11) Hæccine illis similia sunt? At par studium requirunt? at pari modo turpe est, hæc atque illa negligere? (12) Quid ergo? nos soli ignavi sumus et dormitamus? Non; sed multo magis vos adolescentes : (13) quandoquidem et nos senes, cum ludentes videmus adolescentes, et ipsi quadam colludendi cupiditate ducimur : multo vero magis, si vos excitatos promptosque viderem, et ipse ad seria vobiscum tractanda promptior alacriorque fierem.

CAP. XI.

De caritate in suos.

1. Quum vero ex optimatibus quidam eum convenisset, nonnulla particulatim ex eo percontatus, an et liberi ei

καὶ τέκνα εἴη αὐτῷ καὶ γυνή. (2) Τοῦ δ' ὁμολογήσαντος, προσεπύθετο· Πωστιοῦν χρῇ τῷ πράγματι; Ἀθλίως, ἔφη. (3) Καὶ ὅς, Τίνα τρόπον; οὐ γὰρ δὴ τούτου ἕνεκα γαμοῦσιν οἱ ἄνθρωποι καὶ παιδοποιοῦνται, ὅπως ἄθλιοι ὦσιν, ἀλλὰ μᾶλλον ὅπως εὐδαίμονες. (4) Ἀλλ' ἐγὼ, ἔφη, οὕτως ἀθλίως ἔχω περὶ τὰ παιδάρια, ὥστε πρῴην νοσοῦντός μου τοῦ θυγατρίου καὶ δόξαντος κινδυνεύειν, οὐχ ὑπέμεινα οὐδὲ παρεῖναι αὐτῷ νοσοῦντι φυγὼν δ' ᾠχόμην, μέχρις οὗ προσήγγειλέ τις μοι, ὅτι ἔχει καλῶς. (5) Τί οὖν; ὀρθῶς φαίνῃ σαυτῷ ταῦτα πεποιηκέναι; Φυσικῶς, ἔφη. Ἀλλὰ μὴν τοῦτό με πεῖσον, ἔφη, σὺ, διότι φυσικῶς· καὶ ἐγώ σε πείσω, ὅτι πᾶν τὸ κατὰ φύσιν γινόμενον, ὀρθῶς γίνεται. (6) Τοῦτο, ἔφη, πάντες ἢ οἵ γε πλεῖστοι πατέρες πάσχομεν. Οὐδ' ἐγώ σοι ἀντιλέγω, ἔφη, ὅτι οὐ γίνεται· τὸ δ' ἀμφισβητούμενον ἡμῖν ἐκεῖνό ἐστιν, εἰ ὀρθῶς. (7) Ἐπεὶ τούτου γε ἕνεκα καὶ τὰ φύματα δεῖ λέγειν ἐπ' ἀγαθῷ γίνεσθαι τοῦ σώματος, ὅτι γίνεται· καὶ ἁπλῶς, τὸ ἁμαρτάνειν εἶναι κατὰ φύσιν, ὅτι πάντες σχεδὸν, ἢ οἵ γε πλεῖστοι, ἁμαρτάνομεν. Δεῖξον οὖν μοι σὺ, πῶς κατὰ φύσιν ἐστίν. (8) Οὐ δύναμαι, ἔφη· ἀλλὰ σύ μοι μᾶλλον δεῖξον, πῶς οὐκ ἔστι κατὰ φύσιν, οὐδ' ὀρθῶς γίνεται.

9. Καὶ ὅς, Ἀλλ' εἰ ἐζητοῦμεν, ἔφη, περὶ λευκῶν καὶ μελάνων, ποῖον ἂν κριτήριον παρεκαλοῦμεν πρὸς διάγνωσιν αὐτῶν; Τὴν ὅρασιν, ἔφη. Τί δ', εἰ περὶ θερμῶν καὶ ψυχρῶν, καὶ σκληρῶν καὶ μαλακῶν, ποῖόν τι; Τὴν ἁφήν. (10) Οὐκοῦν, ἐπειδὴ περὶ τῶν κατὰ φύσιν καὶ τῶν ὀρθῶς ἢ οὐκ ὀρθῶς γινομένων ἀμφισβητοῦμεν, ποῖον θέλεις κριτήριον παραλάβωμεν; Οὐκ οἶδ', ἔφη. (11) Καὶ μὴν τὸ μὲν τῶν χρωμάτων καὶ ὀσμῶν, ἔτι δὲ χυμῶν κριτήριον ἀγνοεῖν τυχὸν οὐ μεγάλη ζημία· τὸ δὲ τῶν ἀγαθῶν καὶ τῶν κακῶν, καὶ τῶν παρὰ φύσιν καὶ κατὰ φύσιν τῷ ἀνθρώπῳ, δοκεῖ σοι μικρὰ ζημία εἶναι τῷ ἀγνοοῦντι; Ἡ μεγίστη μὲν οὖν. (12) Φέρε, εἰπέ μοι, πάντα ἃ δοκεῖ τισιν εἶναι καλὰ καὶ προσήκοντα, ὀρθῶς δοκεῖ; καὶ μὴν Ἰουδαίοις, καὶ Σύροις, καὶ Αἰγυπτίοις, καὶ Ῥωμαίοις, οἷόν τε πάντα τὰ δοκοῦντα περὶ τροφῆς ὀρθῶς δοκεῖν; Καὶ πῶς οἷόν τε; (13) Ἀλλ', οἶμαι, πᾶσα ἀνάγκη, εἰ ὀρθά ἐστι [τὰ] Αἰγυπτίων, μὴ ὀρθὰ εἶναι τὰ τῶν ἄλλων· εἰ καλῶς ἔχει τὰ Ἰουδαίων, μὴ καλῶς ἔχειν τὰ τῶν ἄλλων. (14) Πῶς γὰρ οὔ; Ὅπου δ' ἄγνοια, ἐκεῖ καὶ ἀμαθία καὶ ἡ περὶ τὰ ἀναγκαῖα ἀπαιδευσία. Συνεχώρει. (15) Σὺ οὖν, ἔφη, τούτων αἰσθόμενος, οὐδὲν ἄλλο τοῦ λοιποῦ σπουδάσεις, οὐδὲ κατ' ἄλλο τι τὴν γνώμην ἕξεις ἢ ὅπως τὸ κριτήριον ἐκεῖνο καταμάθῃς, καὶ τούτῳ προσχρώμενος διακρίνῃς τῶν ἐπὶ μέρους ἕκαστον.

16. Ἐπὶ δὲ τοῦ παρόντος, τοσαῦτα ἔχω σοι πρὸς ὃ βούλει βοηθῆσαι. (17) Τὸ φιλόστοργον δοκεῖ σοι κατὰ φύσιν τε εἶναι, καὶ καλόν; Πῶς γὰρ οὔ; Τί δέ; τὸ μὲν φιλόστοργον κατὰ φύσιν τε καὶ καλόν ἐστι, τὸ δ' εὐλόγιστον οὐ καλόν; Οὐδαμῶς. (18) Μὴ τοίνυν μάχην ἔχει τῷ φιλοστόργῳ τὸ εὐλόγιστον; Οὐ δοκεῖ μοι. Εἰ δὲ μὴ, τῶν μαχομένων ἀνάγκη θατέρου κατὰ φύσιν

essent atque uxor, quæsivit. (2) Quod ubi ille affirmavit, perrexit interrogare, Ut res ista tibi cedit? Misere, inquit. (3) Cui Epictetus : Quo pacto? neque enim ea de caussa uxores ducunt viri, et liberos procreant, ut miseri, sed potius ut beati sint. (4) Atqui, inquit, quod ad liberos attinet, ita equidem miser sum, ut nuper, cum ægrotaret filiola ac videretur mihi de vita periclitari, ne adesse quidem illi ægrotanti sustinuerim : sed me foras proripui, donec mihi quidam, bene se eam habere, renunciasset. (5) Quid ergo? recte te hæc fecisse censes? Secundum naturam, inquit. Imo vero illud tu mihi persuade, inquit, te id secundum naturam fecisse : atque ego tibi persuadebo, quidquid secundum naturam fiat, id recte fieri. (6) At illud quidem omnibus nobis, aut certe plerisque, usu venit patribus. Neque vero tibi ego refragor, inquit, id ita fieri : sed, de quo a nobis ambigitur, id est, num recte fiat. (7) Nam ista quidem ratione etiam tubera in corporis commodum nasci dicendum erit, quoniam nascuntur : atque etiam adeo peccatum secundum naturam esse, quandoquidem fere omnes, aut certe plerique, peccamus. Tu ergo mihi ostende, quomodo secundum naturam sit. (8) Non possum, inquit : quin tu potius id mihi ostende, quo pacto non sit secundum naturam, neque recte fiat.

9. Tum ille : Si quæstio nobis esset de albo et nigro, inquit, quodnam instrumentum ad ea dijudicanda adhiberemus? Visum, inquit. Quid vero, si de calidis et frigidis, de duris et mollibus; quodnam? Tactum. (10) Cum igitur de his quæ secundum naturam sint, quæ recte aut secus fiant, disceptemus; quodnam instrumentum adhibendum censes? Nescio, inquit. (11) At vero, quo sensu colores et odores, atque etiam sapores discernantur, ignorare, non magnum fortasse fuerit damnum : sed, quo sensu discernenda sint bona et mala, ignorare, et quæ naturæ hominis sint consentanea, quæ repugnantia, idne exiguum damnum videtur? Imo vero maximum. (12) Age, dic mihi, omniane quæ nonnullis pulcra et decora esse videntur, recte videntur? Atqui fierine postest ut quæ Judæi, Syri, Ægyptii, Romani de victu sentiunt, recte simul omnes sentiant? Qui fieri id possit; (13) *Sane non potest :* sed omnino necesse est, puto, si Ægyptiorum instituta recta sunt, ut reliquorum recta non sint; si Judæorum bene se habent, ceterorum non bene se habere. (14) Quidni vero? Ubi autem ignorantia, ibi etiam imprudentia et rerum necessariarum imperitia. Concedebat. (15) Tu igitur, inquit, his intellectis, nihil aliud posthac curabis, neque alio animum intendes, nisi ut illam judicandi normam tibi compares, eaque usus singula quæque dijudices.

16. Sed in re præsenti hæc habeo, quæ tibi in eo quod vis, adjumento sint. (17) Caritas in tuos videturne tibi secundum naturam esse et in rerum honestarum numero? Quidni? Quid vero? caritas quidem secundum naturam fuerit, et honesta; quod vero rectæ rationi est consentaneum, non erit honestum? Minime vero. (18) Num ergo cum caritate pugnat id quod rectæ rationi est consentaneum? Mihi non videtur. *Recte ais;* nam alioqui alterutrum pugnan-

ὄντος, θάτερον εἶναι παρὰ φύσιν· ἢ γὰρ οὔ; Οὕτως, ἔφη. (19) Οὐκοῦν ὅ τι ἂν εὑρίσκωμεν ὁμοῦ μὲν φιλόστοργον, ὁμοῦ δ' εὐλόγιστον, τοῦτο θαρροῦντες ἀποφαινόμεθα ὀρθόν τε εἶναι καὶ καλόν; Ἔστω, ἔφη. (20) Τί οὖν; ἀφεῖναι νοσοῦν τὸ παιδίον, καὶ ἀφέντα ἀπελθεῖν, ὅτι μὲν οὐκ εὐλόγιστον, οὐκ οἶμαί σ' ἀντερεῖν. Ὑπολείπεται δ' ἡμᾶς σκοπεῖν, εἰ φιλόστοργον. Σκοπῶμεν δή. (21) Ἆρ' οὖν σὺ μὲν ἐπειδὴ φιλοστόργως διέκεισο πρὸς τὸ παιδίον, ὀρθῶς ἐποίεις φεύγων καὶ ἀπολείπων αὐτό; ἡ μήτηρ δ' οὐ φιλοστοργεῖ τὸ παιδίον; Φιλοστοργεῖ μὲν οὖν. (22) Οὐκοῦν ἔδει καὶ τὴν μητέρα ἀφεῖναι αὐτό, ἢ οὐκ ἔδει; Οὐκ ἔδει. Τί δ' ἡ τίτθη, στέργει αὐτό; Στέργει, ἔφη. Ἔδει οὖν κἀκείνην ἀφεῖναι αὐτό; Οὐδαμῶς. (23) Τί δ' ὁ παιδαγωγός, οὐ στέργει αὐτό; Στέργει. Ἔδει οὖν κἀκεῖνον ἀφέντα ἀπελθεῖν· εἶθ' οὕτως ἔρημον καὶ ἀβοήθητον ἀπολειφθῆναι τὸ παιδίον, διὰ τὴν πολλὴν φιλοστοργίαν τῶν γονέων ὑμῶν, καὶ τῶν περὶ αὐτό; ἢ ἐν ταῖς χερσὶ τῶν οὔτε στεργόντων οὔτε κηδομένων ἀποθανεῖν; Μὴ γένοιτο. (24) Καὶ μὴν ἐκεῖνό γε ἄνισον καὶ ἄγνωμον, ὅ τις αὑτῷ προσῆκον οἴεται διὰ τὸ φιλόστοργος εἶναι, τοῦτο τοῖς ὁμοίως φιλοστοργοῦσι μὴ ἐφιέναι; Ἄτοπον. (25) Ἄγε, σὺ δ' ἂν ἠβούλου νοσῶν, φιλοστόργους οὕτως ἔχειν τοὺς προσήκοντας, τούς τ' ἄλλους, καὶ αὐτὰ τὰ τέκνα καὶ τὴν γυναῖκα, ὥστ' ἀφεθῆναι μόνος ὑπ' αὐτῶν καὶ ἔρημος; Οὐδαμῶς. (26) Εὔξαιο δ' ἂν οὕτω στερχθῆναι ὑπὸ τῶν σαυτοῦ, ὥστε διὰ τὴν ἄγαν αὐτῶν φιλοστοργίαν ἀεὶ μόνος ἀπολείπεσθαι ἐν ταῖς νόσοις; ἢ τούτου γ' ἕνεκα μᾶλλον ἂν ὑπὸ τῶν ἐχθρῶν, εἰ δυνατὸν ἦν, φιλοστοργεῖσθαι ηὔχου, ὥστ' ἀπολείπεσθαι ὑπ' αὐτῶν; εἰ δὲ ταῦτα, ὑπολείπεται μηδαμῶς ἔτι φιλόστοργον εἶναι τὸ πραχθέν.

27. Τί οὖν; οὐδὲν ἦν τὸ κινῆσάν σε, καὶ ἐξορμῆσαν πρὸς τὸ ἀφεῖναι τὸ παιδίον; καὶ πῶς οἷόν τε; ἀλλὰ τοιοῦτόν τι ἄν, οἷον καὶ ἐν Ῥώμῃ τινὰ ἦν τὸ κινοῦν, ὥστ' ἐγκαλύπτεσθαι, τοῦ ἵππου τρέχοντος ᾧ ἐσπουδάκει· εἶτα νικήσαντός ποτε παραλόγως, σπόγγων δεῆσαι αὐτῷ πρὸς τὸ ἀναληφθῆναι λειποψυχοῦντα. Τί οὖν τοῦτό ἐστι; (28) Τὸ μὲν ἀκριβὲς οὐ τοῦ παρόντος καιροῦ τυχόν· ἐκεῖνο δ' ἀπαρκεῖ πεισθῆναι, εἴπερ ὑγιές ἐστι τὸ ὑπὸ τῶν φιλοσόφων λεγόμενον, ὅτι οὐκ ἔξω που δεῖ ζητεῖν αὐτό, ἀλλ' ἓν καὶ ταὐτόν ἐστιν ἐπὶ πάντων τὸ αἴτιον τοῦ ποιεῖν τι ἡμᾶς ἢ μὴ ποιεῖν, τοῦ λέγειν τινὰ ἢ μὴ λέγειν, τοῦ ἐπαίρεσθαι, ἢ συστέλλεσθαι, ἢ φεύγειν τινὰ ἢ διώκειν· (29) τοῦθ' ὅπερ καὶ νῦν ἐμοί τε καὶ σοὶ γέγονεν αἴτιον, σοὶ μὲν τοῦ ἐλθεῖν πρὸς ἐμέ, καὶ καθῆσθαι νῦν ἀκούοντα· ἐμοὶ δέ, τοῦ λέγειν ταῦτα. (30) Τί δ' ἐστι τοῦτο; ἆρά γε ἄλλο, ἢ ὅτι ἔδοξεν ἡμῖν; Οὐδέν. Εἰ δ' ἄλλως ἡμῖν ἐφάνη, τί ἂν ἄλλο, ἢ τὸ δόξαν ἐπράττομεν; (31) Οὐκοῦν καὶ τῷ Ἀχιλλεῖ τοῦτο αἴτιον τοῦ πενθεῖν, οὐχ ὁ τοῦ Πατρόκλου θάνατος· ἄλλος γάρ τις οὐ πάσχει ταῦτα τοῦ ἑταίρου ἀποθανόντος· ἀλλ' ὅτι ἔδοξεν αὐτῷ· (32) καὶ σοὶ τότε τοῦ φεύγειν, τοῦτο αὐτό, ὅτι ἔδοξέ σοι· καὶ πάλιν, ἐὰν μείνῃς, ὅτι ἔδοξέ σοι.

tium naturæ consentire necesse fuerit, dissentire alterum: nonne ita res se habet? Ita, inquit. (19) Proinde quidquid invenerimus, quod simul rectæ rationi sit consentaneum, simulque ad caritatem pertinens, idem et rectum esse et honestum confidenter pronunciabimus? Esto, inquit. (20) Quid ergo? ægrotantem relinquere filiolam, eaque relicta discedere, id vero non esse rectæ rationi consentaneum, te non negaturum arbitror: restat igitur, ut consideremus, an caritati sit consentaneum. Consideremus. (21) Tu igitur quum paterno amore filiolam deamares, recte faciebas, qui eam fugeres desereresque? mater vero non amat filiam? Amat illa quidem. (22) Matremne igitur pariter eam deserere oportebat, an non? Non oportebat. Quid vero, an nutrix illam diligit? Diligit, inquit. Ergo et ab ea illam deseri oportebat? Nequaquam. (23) Quid vero pædagogus? non eam diligit? Diligit. Illum igitur pariter discedere, puella relicta, oportebat; atque ita desertam inopemque puellam relinqui, propter ingentem istum vestrum et parentum et domesticorum in eam amorem? aut in eorum manibus, qui neque amarent neque curarent, mori eam oportebat? Absit. (24) Atqui illud iniquum sane et minime consentaneum est, quod ipse tibi convenire censeas ob caritatem, id non concedere iis qui eadem caritate illam complectuntur? Absurdum. (25) Age vero, num tu, si ægrotares, velles adeo tui amantes habere propinquos, aliosque, et ipsos liberos, et uxorem, ut solus et desertus ab eis relinquereris? Nequaquam. (26) Optaresne vero te sic a tuis deligi, ut ob vehementem eorum caritatem semper solus in morbis ab eis relinquereris? aut hac quidem de caussa potius ab inimicis diligi te, si fieri posset, optares, ut ab eis desereresis? Quod si hæc ita sunt, restat, ut factum istud tuum minime caritati sit consentaneum.

27. Quid ergo? nihilne fuit, quod te moverit impuleritque ad filiolam relinquendam? id fieri qui possit? sed nimirum ejusmodi quidpiam fuit, quale id quod Romæ quemdam movit, ut se penula involutus obtegeret, equo currente cui favebat: deinde, cum tandem præter opinionem vicisset, spongiis ei fuit opus, ut jam anima et spiritu destitutus reficeretur. Quid igitur istud est? (28) Accurata quidem disquisitio non est hujus fortasse temporis: illud autem persuaderi satis fuerit, si modo recta sunt quæ philosophi dicunt, hoc non extra alicubi quærendum; sed unam et eamdem esse in omnibus rebus caussam, cur aliquid faciamus, aut non faciamus; cur aliquid dicamus, aut non dicamus; cur efferamur aut contrahamur; cur fugiamus aliquid, aut persequamur: (29) eam ipsam scilicet, quæ nunc et mihi et tibi causa fuit; tibi, ut me convenires, ac sedens nunc audires; mihi, ut hæc dissererem. (30) Ea vero quæ est? aliane, nisi quod ita nobis visum est? Non alia. Quodsi aliter nobis fuisset visum; quid aliud, nisi id quod visum esset, egissemus? (31) Proinde et Achilli hæc lugendi caussa fuit, non mors Patrocli (namque alius, amico mortuo, non ita se gerit); sed quia ei ita visum fuit: (32) et tibi tunc fugiendi hæc eadem caussa fuit, quia tibi sic visum erat; et rursus, si manseris, quia

Καὶ νῦν ἐν Ῥώμῃ ἀνέρχῃ, ὅτι δοκεῖ σοι· κἂν μεταδόξῃ, οὐκ ἀπελεύσῃ. (33) Καὶ ἁπλῶς οὔτε θάνατος, οὔτε φυγὴ, οὔτε πόνος, οὔτε ἄλλο τι τῶν τοιούτων, αἴτιόν ἐστι τοῦ πράττειν τι, ἢ μὴ πράττειν ἡμᾶς· ἀλλ' ὑπολήψεις καὶ δόγματα.

34. Τοῦτό σε πείθω, ἢ οὐχί; Πείθεις, ἔφη. Οἷα δὴ τὰ αἴτια ἐφ' ἑκάστου, τοιαῦτα καὶ τὰ ἀποτελούμενα. (35) Οὐκοῦν, ὅταν μὴ ὀρθῶς τι πράττωμεν, ἀπὸ ταύτης τῆς ἡμέρας οὐδὲν ἄλλο αἰτιασόμεθα, ἢ τὸ δόγμα, ἀφ' οὗ αὐτὸ ἐπράξαμεν· κἀκεῖνο ἐξαίρειν καὶ ἐκτέμνειν πειρασόμεθα μᾶλλον, ἢ τὰ φύματα καὶ τὰ ἀποστήματα ἐκ τοῦ σώματος. (36) Ὡσαύτως δὲ καὶ τῶν ὀρθῶς πραττομένων ταὐτὸ τοῦτο αἴτιον ἀποφανοῦμεν. (37) Καὶ οὔτ' οἰκέτην ἔτι αἰτιασόμεθα, οὔτε γείτονα, οὔτε γυναῖκα, οὔτε τέκνα, ὡς αἴτιά τινων κακῶν ἡμῖν γινόμενα· πεπεισμένοι ὅτι, ἂν μὴ ἡμῖν δόξῃ τοιαῦτά τινα εἶναι, οὐ πράττομεν τὰ ἀκόλουθα· τοῦ δόξαι δὲ, ἢ μὴ δόξαι, ἡμεῖς κύριοι, καὶ οὐ τὰ ἐκτός. Οὕτως, ἔφη. (38) Ἀπὸ τῆς σήμερον τοίνυν ἡμέρας, οὐδὲν ἄλλο ἐπισκοπήσομεν οὐδὲ ἐξετάσομεν ποῖόν τι ἐστὶν, ἢ πῶς ἔχει, οὔτε τὸν ἀγρὸν, οὔτε τὰ ἀνδράποδα, οὔτε τοὺς ἵππους ἢ κύνας, ἀλλὰ τὰ δόγματα. Εὔχομαι, ἔφη. (39) Ὁρᾷς οὖν, ὅτι σχολαστικόν σε δεῖ γενέσθαι (τοῦτο τὸ ζῷον, οὗ πάντες καταγελῶσιν), εἴπερ ἄρα θέλεις ἐπίσκεψιν τῶν σεαυτοῦ δογμάτων ποιεῖσθαι. (40) Τοῦτο δ' ὅτι μιᾶς ὥρας ἢ ἡμέρας οὐκ ἔστιν, ἐπινοεῖς καὶ αὐτός.

tibi sic visum fuerit, manebis : et nunc Romam proficisceris, quia tibi videtur; quodsi aliter videbitur, non es abiturus. (33) Denique omnino, nec mors, nec exsilium, nec dolor, neque aliud hujusmodi quidquam in causa est, cur aliquid faciamus, aut non faciamus; sed animi judicia atque decreta.

34. Hoccine tibi persuadeo, an non? Persuades, inquit. Quales ergo cujusque rei sunt caussæ, tales etiam consequuntur effectus. (35) Cum igitur aliquid perperam egerimus, ab hoc inde die non aliud quidquam culpabimus, nisi decretum ex quo id fecimus : atque, illud ut ex animo eximamus resecemusque, magis elaborabimus, quam ut tubera et abscessus e corpore. (36) Eodem vero modo etiam recte factorum eamdem istam statuemus causam. (37) Jamque porro neque famulum, neque vicinum, neque uxorem, neque liberos accusabimus, tanquam qui aliquorum nobis malorum caussæ fuerint; cum persuasum habeamus, nisi nobiscum statuerimus tales esse res, non facturos nos ea quæ sunt ei judicio consentanea; ut autem ita statuamus, aut non statuamus, id in nobis esse situm, non in rerum externarum potestate. Ita, inquit. (38) Igitur inde ab hoc die nihil aliud considerabimus aut inquiremus quale sit, aut quomodo sese habeat; non agrum, non servitia, non equos, aut canes; nihil nisi animi nostri decreta. Opto equidem, inquit. (39) Vides ergo, oportere te fieri scholasticum (id scilicet animal, quod deridetur ab omnibus), si quidem volueris examen tuorum decretorum instituere. (40) Hoc vero non unius horæ aut diei negotium esse, tu ipse intelligis.

ΚΕΦ. ΙΒ'.

Περὶ εὐαρεστήσεως.

1. Περὶ θεῶν οἱ μέν τινές εἰσι λέγοντες μηδ' εἶναι τὸ θεῖον· οἱ δ', εἶναι μὲν, ἀργὸν δὲ καὶ ἀμελὲς, καὶ μὴ προνοεῖν μηδενός· (2) τρίτοι δ', οἱ καὶ εἶναι καὶ προνοεῖν, ἀλλὰ τῶν μεγάλων καὶ οὐρανίων, τῶν δ' ἐπὶ γῆς μηδενός· τέταρτοι δὲ, καὶ τῶν ἐπὶ γῆς καὶ τῶν ἀνθρωπίνων, εἰς κοινὸν δὲ μόνον, οὐχὶ δὲ κατ' ἰδίαν ἑκάστου· (3) πέμπτοι δ', ὧν ἦν καὶ Ὀδυσσεὺς καὶ Σωκράτης, οἱ λέγοντες, ὅτι « Οὐδέ σε λήθω κινύμενος. »

4. Πολὺ πρότερον οὖν ἀναγκαῖόν ἐστι, περὶ ἑκάστου τούτων ἐπεσκέφθαι, πότερα ὑγιῶς ἢ οὐχ ὑγιῶς λεγόμενόν ἐστιν. (5) Εἰ γὰρ μή εἰσι θεοὶ, πῶς ἐστι τέλος, ἕπεσθαι θεοῖς; εἰ δὲ εἰσὶ μὲν, μηδενὸς δ' ἐπιμελούμενοι· καὶ οὕτω πῶς ὑγιὲς ἔσται; (6) ἀλλὰ δὴ, καὶ ὄντων, καὶ ἐπιμελουμένων, εἰ μηδεμία διάδοσις εἰς ἀνθρώπους ἐστὶν ἐξ αὐτῶν, καὶ νὴ Δία γε καὶ εἰς ἐμέ· πῶς ἔτι καὶ οὕτως ὑγιές ἐστι; (7) Πάντα οὖν ταῦτα ὁ καλὸς καὶ ἀγαθὸς ἐπεσκεμμένος, τὴν αὑτοῦ γνώμην ὑποτέταχε τῷ διοικοῦντι τὰ ὅλα· καθάπερ οἱ ἀγαθοὶ πολῖται τῷ νόμῳ τῆς πόλεως. (8) Ὁ δὲ παιδευόμενος, ταύτην ὀφείλει τὴν ἐπιβολὴν ἔχων ἐλθεῖν ἐπὶ τὸ παιδεύεσθαι· πῶς ἂν ἑποίμην ἐγὼ ἐν παντὶ τοῖς θεοῖς; καὶ πῶς ἂν εὐαρεστοίην τῇ θείᾳ διοικήσει; καὶ πῶς ἂν γενοίμην ἐλεύθερος; (9) Ἐλεύθερος γάρ ἐστιν, ᾧ γίνεται πάντα κατὰ προαίρεσιν, καὶ ὃν οὐδεὶς δύναται κωλῦσαι. (10) Τί

CAP. XII.

De æquitate animi.

1. Ad deos quod attinet, sunt qui dicant, non esse omnino numen divinum : alii, esse quidem, sed iners et negligens, nullique rei providere · (2) tertii, qui et esse dicant, et providere, sed majoribus rebus et cœlestibus, terrestrium autem nulli : quarti, et terrestribus et humanis, sed in commune duntaxat, non autem singulis privatim : (3) quinti, quorum in numero fuere et Ulysses et Socrates, dicentes : « *Neque te lateo, quum moveor.* »

4. Longe itaque ante omnia necessarium est, de hisce singulis considerare, rectene an secus dicantur. (5) Nam si dii non sunt, qui potest esse finis, sequi deos? Sin sunt, nullius vero rei curam gerunt; etiam sic quo pacto verum erit, finem istum statuere? (6) Quodsi vero et sunt, et curam gerunt, neque tamen hominibus, neque adeo mihi profecto, quidquam impertiunt; quo pacto jam vel sic verum fuerit? (7) His igitur omnibus consideratis, vir bonus probusque suum ipsius animum rerum universarum administratori submittit; quemadmodum boni cives legi civitatis. (8) Qui vero eruditur, cum hoc animi proposito accedat oportet ad institutionem : Quo pacto ego in omnibus rebus deos sequar? et quo pacto in divina administratione acquiescam? et quo pacto liber fiam? (9) Nam liber est, cui ex voluntate sua fiunt omnia, et quem nemo prohibere possit. (10) Quid ergo? vesaniane est libertas?

ὤν; ἀπόνοιά ἐστιν ἡ ἐλευθερία; Μὴ γένοιτο. Μανία γὰρ καὶ ἐλευθερία εἰς ταὐτὸν οὐκ ἔρχεται. (11) Ἀλλ' ἐγὼ θέλω πᾶν τὸ δοκοῦν μοι ἀποβαίνειν, κἂν ὁπωσοῦν δοκῇ. (12) Μαινόμενος εἶ, παραφρονεῖς. Οὐκ οἶδας ὅτι καλὸν ἡ ἐλευθερία ἐστὶ καὶ ἀξιόλογον; τὸ δ' ὡς ἔτυχέ με βούλεσθαι τὰ ὡς ἔτυχε δόξαντα γίνεσθαι, τοῦτο κινδυνεύει οὐ μόνον οὐκ εἶναι καλὸν, ἀλλὰ καὶ πάντων αἴσχιστον εἶναι. (13) Πῶς γὰρ ἐπὶ γραμματικῶν ποιοῦμεν; βούλομαι γράφειν ὡς θέλω τὸ Δίωνος ὄνομα; Οὔ· ἀλλὰ διδάσκομαι θέλειν, ὡς δεῖ γράφεσθαι. Τί ἐπὶ μουσικῶν; Ὡσαύτως. (14) Τί ἐν τῷ καθόλου, ὅπου τέχνη τις ἢ ἐπιστήμη ἐστίν; Εἰ δὲ μὴ, οὐδενὸς ἦν ἄξιον τὸ ἐπίστασθαί τι, εἰ ταῖς ἑκάστων βουλήσεσι προσηρμόζετο. (15) Ἐνταῦθα οὖν μόνον, ἐπὶ τοῦ μεγίστου καὶ κυριωτάτου, τῆς ἐλευθερίας, ὡς ἔτυχεν ἐφεῖταί μοι θέλειν; Οὐδαμῶς· ἀλλὰ τὸ παιδεύεσθαι, τοῦτ' ἔστι, μανθάνειν ἕκαστα οὕτω θέλειν, ὡς γίνεται. Πῶς δὲ γίνεται; Ὡς διέταξεν αὐτὰ ὁ διατάσσων. (16) Διέταξε δὲ, θέρος εἶναι καὶ χειμῶνα, καὶ φορὰν καὶ ἀφορίαν, καὶ ἀρετὴν καὶ κακίαν, καὶ πάσας τὰς τοιαύτας ἐναντιότητας, ὑπὲρ συμφωνίας τῶν ὅλων· ἡμῶν θ' ἑκάστῳ σῶμα, καὶ μέρη τοῦ σώματος, καὶ κτῆσιν, καὶ κοινωνοὺς ἔδωκε.

17. Ταύτης οὖν τῆς διατάξεως μεμνημένους, ἔρχεσθαι δεῖ ἐπὶ τὸ παιδεύεσθαι, οὐχ ἵνα ἀλλάξωμεν τὰς ὑποθέσεις· οὔτε γὰρ δίδοται ἡμῖν, οὔτ' ἄμεινον· ἀλλ' ἵνα, οὕτως ἐχόντων τῶν περὶ ἡμᾶς ὡς ἔχει καὶ πέφυκεν, αὐτοὶ τὴν γνώμην τὴν αὑτῶν συνηρμοσμένην τοῖς γινομένοις ἔχωμεν. (18) Τί γάρ; ἐνδέχεται φυγεῖν ἀνθρώπους; καὶ πῶς οἷόν τε; Ἀλλὰ συνόντας αὐτοὺς, ἐκείνους ἀλλάξαι; καὶ τίς ἡμῖν δίδωσι; (19) Τί οὖν ἀπολείπεται; ἢ τίς εὑρίσκεται μηχανὴ πρὸς τὴν χρῆσιν αὐτῶν; Τοιαύτη, δι' ἧς ἐκεῖνοι μὲν ποιήσουσι τὰ φαινόμενα αὐτοῖς, ἡμεῖς δ' οὐδὲν ἧττον κατὰ φύσιν ἕξομεν; (20) Σὺ δ' ἀταλαίπωρος εἶ, καὶ δυσάρεστος. Κἂν μὲν μόνος ᾖς, ἐρημίαν καλεῖς τοῦτο· ἂν δὲ μετὰ ἀνθρώπων, ἐπιβούλους λέγεις καὶ λῃστάς· μέμφῃ δὲ καὶ γονεῖς τοὺς σεαυτοῦ, καὶ τέκνα, καὶ ἀδελφοὺς, καὶ γείτονας. (21) Ἔδει δὲ, μόνον μένοντα, ἡσυχίαν καλεῖν αὐτὸ καὶ ἐλευθερίαν, καὶ ὅμοιον τοῖς θεοῖς ἡγεῖσθαι σαυτόν· μετὰ πολλῶν δ' ὄντα, μὴ ὄχλον καλεῖν, μηδὲ θόρυβον, μηδ' ἀηδίαν, ἀλλ' ἑορτὴν καὶ πανήγυριν· καὶ οὕτω πάντα εὐαρέστως δέχεσθαι.

22. Τίς οὖν ἡ κόλασις τοῖς οὐ προσδεχομένοις; Τὸ οὕτως ἔχειν ὡς ἔχουσι. Δυσαρεστεῖ τις τῷ μόνος εἶναι; ἔστω ἐν ἐρημίᾳ. Δυσαρεστεῖ τις τοῖς γονεῦσιν; ἔστω κακὸς υἱὸς, καὶ πενθείτω. Δυσαρεστεῖ τοῖς τέκνοις; ἔστω κακὸς πατήρ. — (23) Βάλε αὐτὸν εἰς φυλακήν. — Ποίαν φυλακήν; Ὅπου νῦν ἐστίν. Ἄκων γάρ ἐστιν· ὅπου δέ τις ἄκων ἐστὶν, ἐκεῖνο φυλακὴ αὐτῷ ἐστί. Καθὸ καὶ Σωκράτης οὐκ ἦν ἐν φυλακῇ, ἑκὼν γὰρ ἦν. — (24) Σκέλος οὖν μοι γενέσθαι πεπηρωμένον; — Ἀνδράποδον, εἶτα δι' ἓν σκελύδριον τῷ κόσμῳ ἐγκαλεῖς; οὐκ ἐπιδώσεις αὐτὸ τοῖς ὅλοις; οὐκ ἀποστήσῃ;

Absit : neque enim insania et libertas eadem morantur in sede. (11) At ego (inquis), quidquid mihi visum fuerit, id volo evenire, quacumque tandem ratione id mihi ita fuerit visum. (12) Insanus es, deliras. An nescis, honestam rem et præclaram esse libertatem? Temere autem me velle, ut eveniant quæ mihi temere visa fuerint; id vide ne non modo honestum non sit, verum etiam omnium sit turpissimum. (13) Quomodo enim in rebus grammaticis agimus? Volo, ut libet mihi, nomen Dionis scribere? Non; sed disco velle, ut scribi oportet. Quid in musicis? Eodem modo. (14) Quid universe in omnibus, quæ arte aliqua aut scientia continentur? *Eodem modo se res habet :* alioqui non esset operæ pretium scire quidquam, si cujusque voluntati res quæque accommodaretur. (15) Hic igitur solum, in re maxima et præcipua, in libertate, mihi permissum est temere velle? Nequaquam : sed erudiri; id est, discere ita velle omnia, uti fiunt. Quomodo autem fiunt? Ut ea disposuit is qui disposuit. (16) Sic autem disposuit, ut æstas esset et hiems, ut fertilitas et sterilitas, ut virtus et vitium, et omnes id genus contrarietates, propter totius concentum : et nostrûm unicuique corpus, et partes corporis, et possessionem, et socios dedit.

17. Hujus igitur dispositionis memores, ad institutionem sic accedere debemus, non ut rerum naturam mutemus (id quod nobis neque conceditur, neque expedit); sed ut, quum ita sint res nostræ ut sunt, et ut fert earum natura, nos ipsi animum nostrum iis quæ fiunt accommodatum habeamus. (18) Quid enim? licetne fugere homines? id fieri qui potest? An vero nobis eos, quorum utimur consuetudine, immutare licet? et quis id nobis largitur? (19) Quid ergo relinquitur? aut quænam ars reperitur vivendi cum hominibus? An ea, qua illos quidem agere patiamur quæ ipsis videntur, nos vero nihilo minus sic simus affecti, ut natura postulat? (20) Tu vero delicatus es et morosus : nam, cum solus es, desertum id appellas; cum vero inter homines, insidiatores eos dicis et latrones : atque etiam parentes tuos incusas, et liberos, et fratres, et vicinos. (21) Oportebat autem te, cum solus esses, id quietem nominare, et libertatem, et diis similem te putare : cum inter multos versaris, non turbam vocare, aut tumultum, aut molestiam; sed festum, et celebritatem : omniaque sic placide admittere.

22. Quæ igitur pœna est eorum, qui non ita res accipiunt? Hæc, ut eo statu sint, quo sunt. Ægre fert quispiam esse solus? sit in deserto! Ægre fert suos parentes? sit malus filius, et lugeat! Ægre fert liberos? sit malus pater! — (23) Conjice eum in custodiam! — Quam custodiam? Eam, ubi nunc est : invitus enim est; ubi autem aliquis invitus est, is ei locus est custodia : qua ratione et Socrates in custodia non fuit, ultro enim fuit. — (24) Mene igitur pede esse claudum! — Mancipium, itane ob unum pedunculum accusas mundum? non eum trades universitati rerum? non

οὐ χαίρων παραχωρήσεις τῷ δεδωκότι; (25) ἀγανακτήσεις δὲ, καὶ δυσαρεστήσεις τοῖς ὑπὸ τοῦ Διὸς διατεταγμένοις, ἃ ἐκεῖνος μετὰ τῶν Μοιρῶν, παρουσῶν καὶ ἐπικλωθουσῶν σου τὴν γένεσιν, ὥρισε καὶ διέταξεν; (26) Οὐκ οἶσθα, ἡλίκον μέρος πρὸς τὰ ὅλα; τοῦτο δὲ κατὰ τὸ σῶμα· ὡς κατά γε τὸν λόγον οὐδὲ χείρων τῶν θεῶν, οὐδὲ μικρότερος· λόγου γὰρ μέγεθος οὐ μήκει οὐδ' ὕψει κρίνεται, ἀλλὰ δόγμασιν.

27. Οὐ θέλεις οὖν καθ' ἃ ἴσος εἶ τοῖς θεοῖς, ἐκεῖ που τίθεσθαι τὸ ἀγαθόν; (28) Τάλας ἐγὼ, τὸν πατέρα ἔχω τοιοῦτον, καὶ τὴν μητέρα. Τί οὖν; ἐδίδοτό σοι προελθόντι ἐκλέξασθαι, καὶ εἰπεῖν· Ὁ δεῖνα τῇ δεῖνι συνελθέτω τῇδε τῇ ὥρᾳ, ἵνα ἐγὼ γένωμαι; (29) Οὐκ ἐδίδοτο. Ἀλλ' ἔδει προϋποστῆναί σου τοὺς γονεῖς, εἶτα οὕτω γεννηθῆναί σε. Ἐκ ποίων τινῶν; Ἐκ τοιούτων, ὁποῖοι ἦσαν. (30) Τί οὖν; τοιούτων αὐτῶν ὄντων, οὐδεμία σοι δίδοται μηχανή; εἶτ' εἰ μὲν τὴν ὁρατικὴν δύναμιν ἠγνόεις πρὸς τί κέκτησαι, δυστυχὴς ἂν ἦς καὶ ἄθλιος, εἰ κατέμυες, προσαγόντων σοι τῶν χρωμάτων· ὅτι δὲ μεγαλοψυχίαν ἔχων καὶ γενναιότητα πρὸς ἕκαστα τούτων, ἀγνοεῖς, οὐ δυστυχέστερος εἶ καὶ ἀθλιώτερος; (31) Προσάγεταί σοι τὰ κατάλληλα τῇ δυνάμει ἣν ἔχεις· σὺ δ' αὐτὴν τότε μάλιστα ἀποστρέφεις, ὁπότε ἠνοιγμένην καὶ βλέπουσαν ἔχειν ἔδει. (32) Οὐ μᾶλλον εὐχαριστεῖς τοῖς θεοῖς, ὅτι σε ἐπάνω τούτων ἀφῆκαν, ὅσα μηδ' ἐποίησαν ἐπί σοι· μόνον δ' ὑπεύθυνον ἀπέφηναν τῶν ἐπὶ σοί; (33) Γονέων ἕνεκα, ἀνυπεύθυνον ἀφῆκαν· ἀδελφῶν ἕνεκα, ἀφῆκαν· σώματος ἕνεκα, ἀφῆκαν· κτήσεως, θανάτου, ζωῆς. (34) Τίνος οὖν ὑπεύθυνόν σε ἐποίησαν; Τοῦ μόνου ὄντος ἐπὶ σοι, χρήσεως οἵας δεῖ φαντασιῶν. (35) Τί οὖν ἐπισπᾷς σεαυτῷ ταῦτα, ὧν ἀνυπεύθυνος εἶ; Τοῦτό ἐστιν, ἑαυτῷ παρέχειν πράγματα.

ΚΕΦ. ΙΓ'.

Πῶς ἕκαστά ἐστι ποιεῖν ἀρεστῶς θεοῖς.

1. Πυθομένου δέ τινος, πῶς ἔστιν ἐσθίειν ἀρεστῶς θεοῖς; Εἰ δικαίως ἐστὶν, ἔφη, καὶ εὐγνωμόνως, καὶ ἴσως, καὶ ἐγκρατῶς, καὶ κοσμίως, οὐκ ἔστι καὶ ἀρεστῶς τοῖς θεοῖς; (2) Ὅταν δὲ θερμὸν αἰτήσαντός σου, μὴ ὑπακούσῃ ὁ παῖς, ἢ ὑπακούσας χλιαρώτερον ἐνέγκῃ, ἢ μηδ' εὑρεθῇ ἐν τῇ οἰκίᾳ· τὸ μὴ χαλεπαίνειν, μηδὲ ῥήγνυσθαι, οὐκ ἔστιν ἀρεστὸν τοῖς θεοῖς; (3) Πῶς οὖν τις ἀνάσχηται τῶν τοιούτων; Ἀνδράποδον, οὐκ ἀνέξῃ τοῦ ἀδελφοῦ τοῦ σαυτοῦ, ὃς ἔχει τὸν Δία πρόγονον, ὥσπερ υἱὸς ἐκ τῶν αὐτῶν σπερμάτων γέγονε, καὶ τῆς αὐτῆς ἄνωθεν καταβολῆς; (4) Ἀλλ' εἰ ἔν τινι τοιαύτῃ χώρᾳ κατετάγης ὑπερεχούσῃ, εὐθὺς τύραννον καταστήσεις σεαυτόν; οὐ μεμνήσῃ τίς εἶ, καὶ τίνων ἄρχεις; ὅτι συγγενῶν, ὅτι ἀδελφῶν φύσει, ὅτι τοῦ Διὸς ἀπογόνων; (5) Ἀλλ' ὠνὴν αὐτῶν ἔχω, ἐκεῖνοι δ' ἐμοῦ οὐκ ἔχουσιν. Ὁρᾷς ποῦ βλέπεις; ὅτι εἰς τὴν γῆν, ὅτι εἰς τὸ βάραθρον, ὅτι εἰς τοὺς ταλαιπώρους τούτους νόμους τοὺς τῶν νεκρῶν; εἰς δὲ τοὺς τῶν θεῶν οὐ βλέπεις.

missum facies? non lætus permittes ei qui dedit? (25) an potius indignaberis, et ægre feres quæ sunt a Jove constituta, quæ ille cum Parcis, ortui tuo præsentibus et fusum volventibus, definiit ac disposuit? (26) Non intelligis, quantula pars sis, collatus cum universis? nempe quod ad corpus attinet; nam quod ad mentem, ne diis quidem immortalibus es deterior, aut minor: mentis enim magnitudo non proceritate aut altitudine judicatur, sed decretis.

27. Nonne ergo in ea parte bonum tuum collocare velis, qua diis es similis? (28) Me miserum; patrem habeo talem, et matrem! Quid ergo? in vitam progredienti tibi potestasne dabatur eligendi, dicendique: Iste cum ista congrediatur hac hora, ut ego nascar? (29) Non dabatur. Sed prius exstitisse parentes tuos oportebat, ac tum demum te nasci. E qualibus? E talibus, quales erant. (30) Quid ergo? cum tales ipsi sint, nullumne tibi præsidium relinquitur? Tum igitur si videndi facultatem cujus rei gratia haberes, ignorares; miser esses et infelix, si clauderes oculos, coloribus admotis: quod autem ignoras, animi magnitudinem fortitudinemque tibi datas esse ad cuncta quæ sunt illius generis; nonne infelicior es et miserior? (31) Admoventur tibi res facultati ei congruentes, quæ tibi data est: tu autem eamdem tunc maxime avertis, cum apertam et cernentem eam esse oportebat. (32) Quidni potius diis agis gratias, quod te superiorem iis rebus fecerunt, quas in tua potestate esse noluerunt; et nonnisi his fecerunt obnoxium, quæ tui sunt arbitrii? (33) Quod ad parentes attinet, liberum solutumque te dimiserunt; quod ad fratres, dimiserunt; quod ad corpus, dimiserunt; itemque quod ad possessionem, quod ad mortem vitamque. (34) Cui igitur rei obnoxium te fecerunt? Illi uni, quæ in tua est potestate, nempe recto usui visorum. (35) Quid igitur ipsi tibi adsciscis imponisque ea, quibus es solutus? Id vero est, sibi ipsi facessere negotium.

CAP. XIII.

Quo pacto omnia ita peragi possint, ut diis sint grata.

1. Percontante vero quodam, quo pacto comedere aliquis ita possit, ut deis placeat, si fieri potest, inquit, ut juste edat, ut benigno, ut æquo animo, ut continenter, ut modeste; nonne fieri etiam potest, ut diis grate edat? (2) Cum vero, te calidam poscente, puer non obtemperaverit; aut, si obtemperaverit, tepidiusculam attulerit, aut cum in ædibus plane non fuerit inventus; id non ferre graviter, nec disrumpi iracundia; nonne diis placet? (3) At quo pacto ferri queunt tales? Mancipium, non feres fratrem tuum, qui genus a Jove summo ducit, ut filius ex iisdem seminibus eodemque cœlesti satu editus? (4) Sed tu, si tali quopiam loco collocatus fuisti super alios eminente, statim tyrannum te constitues? non recordaberis qui sis, et quibus imperes? nempe cognatis, fratribus natura, a Jove oriundis. (5) Atqui ego illos mercatus sum; illi me non sunt mercati. Videsne quid spectes? nonne terram? nonne barathrum? nonne miseras istas mortuorum leges? deorum autem leges non respicis.

ΚΕΦ. ΙΔ'.

Ὅτι πάντα ἐφορᾷ τὸ θεῖον.

1. Πυθομένου δέ τινος, πῶς ἄν τις πεισθείη, ὅτι ἕκαστον τῶν ἀπ' αὐτοῦ πραττομένων ἐφορᾶται ὑπὸ τοῦ θεοῦ; (2) Οὐ δοκεῖ σοι, ἔφη, ἡνῶσθαι τὰ πάντα; Δοκεῖ, ἔφη. Τί δέ; συμπαθεῖν τὰ ἐπίγεια τοῖς οὐρανίοις οὐ δοκεῖ σοι; Δοκεῖ, ἔφη. (3) Πόθεν γὰρ οὕτω τεταγμένως, καθάπερ ἐκ προστάγματος τοῦ θεοῦ, ὅταν ἐκεῖνος εἴπῃ τοῖς φυτοῖς ἀνθεῖν, ἀνθεῖ; ὅταν εἴπῃ βλαστάνειν, βλαστάνει; ὅταν ἐκφέρειν τὸν καρπὸν, ἐκφέρει; ὅταν πεπαίνειν, πεπαίνει; ὅταν πάλιν ἀποβάλλειν, ἀποβάλλει; καὶ φυλλοῤῥοεῖν, φυλλοῤῥοεῖ; καὶ αὐτὰ εἰς αὑτὰ συνειλούμενα ἐφ' ἡσυχίας μένειν καὶ ἀναπαύεσθαι, μένει καὶ ἀναπαύεται; (4) Πόθεν δὲ πρὸς τὴν αὔξησιν καὶ μείωσιν τῆς σελήνης, καὶ τὴν τοῦ ἡλίου πρόσοδον καὶ ἄφοδον, τοσαύτη παραλλαγὴ καὶ ἐπὶ τὰ ἐναντία μεταβολὴ τῶν ἐπιγείων θεωρεῖται; (5) Ἀλλὰ τὰ φυτὰ μὲν καὶ τὰ ἡμέτερα σώματα οὕτως ἐνδέδεται τοῖς ὅλοις, καὶ συμπέπονθεν, αἱ ψυχαὶ δ' αἱ ἡμέτεραι οὐ πολὺ πλέον; (6) Ἀλλ' αἱ ψυχαὶ μὲν οὕτως εἰσὶν ἐνδεδεμέναι καὶ συναφεῖς τῷ θεῷ, ἅτε αὐτοῦ μόρια οὖσαι καὶ ἀποσπάσματα· οὐ παντὸς δ' αὐτῶν κινήματος, ἅτε οἰκείου καὶ συμφυοῦς, ὁ θεὸς αἰσθάνεται; (7) Ἀλλὰ σὺ μὲν περὶ τῆς θείας διοικήσεως καὶ περὶ ἑκάστου τῶν θείων, ὁμοῦ δὲ καὶ περὶ ἀνθρωπίνων πραγμάτων ἐνθυμεῖσθαι δύνασαι καὶ ἅμα μὲν αἰσθητικῶς ἀπὸ μυρίων πραγμάτων κινεῖσθαι, ἅμα δὲ διανοητικῶς, ἅμα δὲ τοῖς μὲν συγκαταθετικῶς, τοῖς δ' ἀνανευστικῶς, ἢ ἐφεκτικῶς· (8) τύπους δὲ τοσούτους ἀφ' οὕτω πολλῶν καὶ ποικίλων πραγμάτων ἐν τῇ σαυτοῦ ψυχῇ φυλάττεις, καὶ ἀπ' αὐτῶν κινούμενος, εἰς ἐπινοίας ὁμοειδεῖς ἐμπίπτεις τοῖς πρώτως τετυπωκόσι, τέχνας τ' ἄλλας ἐπ' ἄλλαις, καὶ μνήμας ἀπὸ μυρίων πραγμάτων διασώζεις· (9) ὁ δὲ θεὸς οὐχ οἷός τ' ἐστὶ πάντα ἐφορᾶν, καὶ πᾶσι συμπαρεῖναι, καὶ ἀπὸ πάντων τινὰ ἴσχειν διάδοσιν; (10) Ἀλλὰ φωτίζειν μὲν οἷός τε ἐστὶν ὁ ἥλιος τηλικοῦτον μέρος τοῦ παντὸς, ὀλίγον δὲ τὸ ἀφώτιστον ἀπολείπειν, ὅσον οἷόν τ' ἐπέχεσθαι ὑπὸ σκιᾶς, ἣν ἡ γῆ ποιεῖ· ὁ δὲ καὶ τὸν ἥλιον αὐτὸν πεποιηκὼς καὶ περιάγων, μέρος ὄντ' αὐτοῦ μικρὸν ὡς πρὸς τὸ ὅλον, οὗτος δ' οὐ δύναται πάντων αἰσθάνεσθαι;

11. Ἀλλ' ἐγὼ, φησὶν, οὐ δύναμαι πᾶσιν ἅμα τούτοις παρακολουθεῖν. Τοῦτο δέ σοι καὶ λέγει τις, ὅτι ἴσην ἔχεις δύναμιν τῷ Διί; (12) Ἀλλ' οὖν οὐδὲν ἧττον καὶ ἐπίτροπον ἑκάστῳ παρέστησε, τὸν ἑκάστου δαίμονα, καὶ παρέδωκε φυλάσσειν αὐτὸν αὐτῷ, καὶ τοῦτον ἀκοίμητον καὶ ἀπαραλόγιστον. (13) Τίνι γὰρ [ἂν] ἄλλῳ κρείττονι καὶ ἐπιμελεστέρῳ φύλακι παραδέδωκεν ἡμῶν ἕκαστον; Ὥσθ', ὅταν κλείσητε τὰς θύρας, καὶ σκότος ἔνδον ποιήσητε, μέμνησθε μηδέποτε λέγειν ὅτι μόνοι ἐστέ· οὐ γὰρ ἐστέ· (14) ἀλλ' ὁ θεὸς ἔνδον ἐστὶ, καὶ ὁ ὑμέτερος δαίμων ἐστί· καὶ τίς τούτοις χρεία φωτὸς εἰς τὸ βλέπειν τί ποιεῖτε; (15) Τούτῳ τῷ θεῷ ἔδει καὶ ὑμᾶς ὀμνύειν ὅρκον, οἷον οἱ στρατιῶται τῷ Καίσαρι. Ἀλλ' ἐκεῖνοι

CAP. XIV.

Divinum numen cuncta intueri.

1. Percontante vero quodam, quo pacto alicui persuaderi possit, singula sua facta a deo conspici? (2) Nonne videntur tibi, inquit, uno connexu inter se cohærere omnia? Videntur, inquit. Quid vero? nonne cognatio quædam et consensus aliquis intercedere tibi videtur inter res terrestres atque cœlestes? Videtur, inquit. (3) *Recte* : unde enim tam statis temporibus, tamquam ex dei mandato, cum plantas florere ille jubet, florent? cum germinare, germinant? cum fructum proferre, proferunt? cum maturescere, maturescunt? cum rursus abjicere fructus, abjiciunt? cum folia deponere, deponunt? cum ipsas in se contractas sine ullo motu manere et requiescere, manent et requiescunt? (4) Unde porro ad lunæ incrementum et decrementum, et ad solis accessum recessumque, tanta alternatio et in diversa mutatio rerum terrestrium cernitur? (5) At quæ quidem e terra nascuntur, et nostra corpora universo ita sunt devincta et consensu quodam cum eo conjuncta; animi autem nostri non multo magis? (6) At animi quidem nostri deo ita devincti sunt et conjuncti, utpote qui sint particulæ ejus, ab illius natura quasi decerptæ; motus vero eorum omnes deus non percipit, veluti suos sibique congenitos? (7) At tu quidem divinam administrationem, singulasque res tam divinas quam humanas animo contemplari potes, simulque ab innumerabilibus rebus partim sensu, partim cogitatione affici; simul aliis assentiri, alia abnuere, in aliis assensum retinere; (8) tot porro formas rerum tam multarum variarumque tecum in animo tuo custodis, ab illisque pulsus in cogitationes incidis rebus iis conformes, quæ primum menti impressæ fuerint; artesque alias atque alias, et infinitarum rerum memoriam conservas : (9) deus vero non potest simul omnia intueri et omnibus rebus interesse, cum omnibus aliquam habere communicationem? (10) At sol quidem tantam universi partem radiis suis illustrare potest, exiguam partem relinquens lucis expertem, quantam scilicet umbra terræ occupare valet : qui vero ipsum fecit solem, eumdemque circumagit (partem sane sui ipsius exiguam, si cum universitate comparetur); is vero non potest cuncta percipere?

11. At ego, inquit ille, hæc omnia simul animo consequi nequeo. Hocne vero tibi dicit aliquis, te parem cum Jove habere facultatem? (12) Neque vero eo minus ille procuratorem etiam unicuique addidit, Genium cujusque suum, cui custodiendum quemque tradidit, numquam dormienti illi et decipi nescio. (13) Nam cui alii præstantiori et diligentiori custodi unumquemque nostrûm commisisset? Quapropter cum fores clauseritis et conclave tenebrosum effeceritis, cavete, umquam dicatis vos esse solos; neque enim estis : (14) Sed deus intus est, et vester Genius intus est : et quid his opus est lumine, ut videant quid faciatis? (15) Huic deo etiam obstrictos vos simili sacramento esse oporte-

μὲν, τὴν μισθοφορίαν λαμβάνοντες, ὀμνύουσι πάντων προτιμήσειν τὴν τοῦ Καίσαρος σωτηρίαν· ὑμεῖς δὲ, οἱ τοσούτων καὶ τηλικούτων ἠξιωμένοι, οὐχ ὀμόσετε; ἢ ὀμόσαντες, οὐκ ἐμμενεῖτε; (16) Καὶ τί ὀμόσετε; Μὴ ἀπειθήσειν μηδέποτε, μηδ' ἐγκαλέσειν, μηδὲ μέμψασθαί τι τῶν ὑπ' ἐκείνου δεδομένων, μηδ' ἄκοντες ποιήσειν τι ἢ πείσεσθαι τῶν ἀναγκαίων. Ὅμοιός γε ὅρκος οὗτος ἐκείνῳ; (17) ἐκεῖ μὲν ὀμνύουσιν, αὑτοῦ μὴ προτιμήσειν ἕτερον· ἐνταῦθα δ', αὑτοὺς ἁπάντων.

bat, quali milites Cæsari. Sed illi quidem, mercede conducti, jurant, salutem Cæsaris sibi rebus omnibus fore antiquiorem : vos autem, tot tantisque dignati rebus, non jurabitis? aut jurati, fidem non servabitis? (16) Et quid jurabitis? Numquam vos non obtemperaturos; numquam incusaturos; numquam de eorum quoquam, quæ ab illo data fuerint, conquesturos; numquam invitos quidquam, quod ferat necessitas, facturos vel toleraturos. Hoccine illi simile est jusjurandum? (17) Illic jurant, se neminem eo antiquiorem habituros; hic, se neminem sibimet ipsis esse prælaturos.

ΚΕΦ. ΙΕ'.

Τί ἐπαγγέλλεται φιλοσοφία.

1. Συμβουλευομένου τινὸς, πῶς τὸν ἀδελφὸν πείσει μηκέτι χαλεπῶς αὐτῷ ἔχειν· (2) Οὐκ ἐπαγγέλλεται, ἔφη, Φιλοσοφία τῶν ἐκτός τι περιποιήσειν τῷ ἀνθρώπῳ· εἰ δὲ μὴ, ἔξω τι τῆς ἰδίας ὕλης ἀνέξεται. Ὡς γὰρ τέκτονος ὕλη, τὰ ξύλα· ἀνδριαντοποιοῦ, ὁ χαλκός· οὕτω τῆς περὶ βίον τέχνης ὕλη, ὁ βίος αὐτοῦ ἑκάστου. (3) Τί οὖν ὁ τοῦ ἀδελφοῦ; Πάλιν τῆς αὐτοῦ ἐκείνου τέχνης ἐστί· πρὸς δὲ τὴν σὴν, τῶν ἐκτός ἐστιν, ὅμοιον ἀγρῷ, ὅμοιον ὑγείᾳ, ὅμοιον εὐδοξίᾳ. Τούτων δ' οὐδὲν ἐπαγγέλλεται φιλοσοφία. (4) Ἐν πάσῃ περιστάσει τηρήσω τὸ ἡγεμονικὸν κατὰ φύσιν ἔχον. Τὸ τίνος; Τὸ ἐκείνου, ἐν ᾧ εἰμί. (5) Πῶς οὖν ἐκεῖνός μοι μὴ ὀργίζηται; Φέρε μοι ἐκεῖνον, κἀκείνῳ ἐρῶ· σοὶ δὲ περὶ τῆς ἐκείνου ὀργῆς οὐδὲν ἔχω λέγειν.

6. Εἰπόντος δὲ τοῦ συμβουλευομένου, Ἔτι τοῦτο ζητῶ, πῶς ἂν, ἐκείνου καὶ μὴ διαλλασσομένου, κατὰ φύσιν ἔχοιμι; (7) Οὐδὲν, ἔφη, τῶν μεγάλων ἄφνω γίνεται· ὅπου γε οὐδ' ὁ βότρυς, οὐδὲ σῦκον. Ἄν μοι νῦν λέγῃς, ὅτι θέλω σῦκον· ἀποκρινοῦμαί σοι, ὅτι χρόνου δεῖ· ἄφες ἀνθήσῃ πρῶτον, εἶτα προβάλῃ τὸν καρπὸν, εἶτα πεπανθῇ. (8) Εἶτα συκῆς μὲν καρπὸς ἄφνω καὶ μιᾷ ὥρᾳ οὐ τελειοῦται· γνώμης δ' ἀνθρώπου καρπὸν θέλεις οὕτω δι' ὀλίγου καὶ εὐκόλως κτήσασθαι; Μὴ δ' ἂν, ἐγώ σοι λέγω, προσδόκα.

CAP. XV.

Quid profiteatur philosophia.

1. Consilium petente nonnemine, quo pacto fratri persuaderet, ut simultatem erga se deponeret : (2) Non hoc profitetur, inquit, philosophia, se quidquam exterarum rerum homini suppeditaturam; alioqui admitteret aliquid a materia sua alienum. Nam sicut fabri materia, ligna sunt; statuarii, æs : sic artis vitæ materia est sua cujusque vita. (3) Quid ergo fratris vita? Ea rursus ad ejus ipsius artem pertinet; respectu vero tuæ artis, in rerum externarum numero est, ut ager, ut sanitas, ut bona existimatio; quarum rerum nullam philosophia pollicetur. (4) Quovis in casu conservabo, *ait illa*, mentem naturæ congruentem. Cujus mentem? Illius, in quo sum. (5) Quo pacto ergo consequar, ne ille mihi irascatur? Adducito mihi illum, et ei dicam : tibi autem de illius ira quod dicam, non habeo.

6. Ad hæc quum is, qui consilium petierat, diceret : Illud requiro, quo pacto, etiam si ille mihi non reconcilietur, ego naturæ meæ statum tuear? (7) Nihil, inquit, magnum subito exsistit; nam ne uva quidem, aut ficus. Si mihi nunc dicas, te velle ficum; respondebo, tempore esse opus : sine primum ut floreat, post fructum producat, denique maturescat. (8) Ergo fici quidem fructus subito et unius horæ momento non perficitur : animi vero humani fructum adeo brevi et facile comparare vis? Id vero, ego tibi dico, ne exspectes!

ΚΕΦ. ΙϚ'.

Περὶ προνοίας.

1. Μὴ θαυμάζετε, εἰ τοῖς μὲν ἄλλοις ζῴοις τὰ πρὸς τὸ σῶμα ἕτοιμα γέγονεν, οὐ μόνον τροφαὶ καὶ πόματα, ἀλλὰ καὶ κοῖται, καὶ τὸ μὴ δεῖσθαι ὑποδημάτων, μὴ ὑποστρωμάτων, μὴ ἐσθῆτος· ἡμεῖς δὲ πάντων τούτων προσδεόμεθα. (2) Τὰ γὰρ οὐχ αὑτῶν ἕνεκα, ἀλλὰ πρὸς ὑπηρεσίαν γεγονότα, οὐκ ἐλυσιτέλει προσδεόμενα ἄλλων πεποιηκέναι. (3) Ἐπεὶ ὅρα οἷον ἦν, ἡμᾶς φροντίζειν μὴ περὶ ἑαυτῶν μόνον, ἀλλὰ καὶ περὶ τῶν προβάτων καὶ] τῶν ὄνων, πῶς ἐνδύσηται, καὶ πῶς ὑποδήσηται, πῶς φάγῃ, πῶς πίῃ. (4) Ἀλλ', ὥσπερ οἱ στρατιῶται ἕτοιμοί εἰσι τῷ στρατηγῷ ὑποδεδεμένοι, ἐνδεδυμένοι, ὡπλισμένοι (εἰ δ' ἔδει περιερχόμενον τὸν χιλίαρχον ὑποδεῖν, ἢ ἐνδύειν τοὺς χιλίους, δεινὸν ἂν ἦν)· οὕτω καὶ ἡ φύσις πεποίηκε τὰ πρὸς ὑπηρεσίαν γε-

CAP. XVI.

De providentia.

1. Ne miremini, quod aliis animantibus ea, quæ ad corpus pertinent, parata sint, non cibus modo et potus, sed et cubilia; quod calceamentis non egeant, non stramentis, non veste; nos autem his omnibus indigeamus. (2) Quæ enim non sua caussa, sed ad ministerium nata erant, ea non expediebat ita esse facta, ut aliis rebus indigerent. (3) Nam illud vide cujusmodi foret, si curam gerere nos oporteret, non modo nostrûm ipsorum, sed ovium etiam et asinorum, quomodo induendi essent, quomodo calceandi, quo pacto esuri, quo bibituri. (4) At veluti milites parati adsunt imperatori, calceati, induti, armati (nam si circumeuntem oporteret tribunum suos millenarios calceare aut induere, grave sane id esset) : ita natura etiam, quæcumque ministerii caussa creata sunt, expedita fecit,

γονότα ἕτοιμα, παρεσκευασμένα, μηδεμιᾶς ἐπιμελείας ἔτι προσδεόμενα. (5) Οὕτως ἓν παιδίον μικρὸν καὶ ῥάβδῳ ἐλαύνει τὰ πρόβατα. (6) Νῦν δ' ἡμεῖς ἀφέντες ἐπὶ τούτοις εὐχαριστεῖν, ὅτι μὴ καὶ αὐτῶν τὴν ἴσην ἐπιμέλειαν ἐπιμελούμεθα, ἐφ' αὐτοῖς ἐγκαλοῦμεν τῷ θεῷ. (7) Καίτοι, νὴ τὸν Δία καὶ τοὺς θεούς, ἓν τῶν γεγονότων ἀπήρκει πρὸς τὸ αἰσθέσθαι τῆς προνοίας, τῷ γε αἰδήμονι καὶ εὐχαρίστῳ. (8) Καὶ μή μοι νῦν τὰ μεγάλα· αὐτὸ τοῦτο, τὸ ἐκ πόας γάλα γεννᾶσθαι, καὶ ἐκ γάλακτος τυρόν, καὶ ἐκ δέρματος ἔρια. Τίς ἐστιν ὁ πεποιηκὼς ταῦτα, ἢ ἐπινενοηκώς; Οὐδὲ εἷς, φησίν. Ὢ μεγάλης ἀναισχυντίας καὶ ἀναισθησίας.

9. Ἄγε ἀφῶμεν τὰ ἔργα τῆς φύσεως· τὰ πάρεργα αὐτῆς θεασώμεθα. (10) Μή τι ἀχρηστότερον τριχῶν τῶν ἐπὶ γενείου; τί οὖν; οὐ συνεχρήσατο καὶ ταύταις ὡς μάλιστα πρεπόντως ἐδύνατο; οὐ διέκρινε δι' αὐτῶν τὸ ἄῤῥεν καὶ τὸ θῆλυ; (11) οὐκ εὐθὺς μακρόθεν κέκραγεν ἡμῶν ἑκάστου ἡ φύσις, Ἀνήρ εἰμι· οὕτω μοι προσέρχου, οὕτω μοι λάλει, ἄλλο μηθὲν ζήτει, ἰδοὺ τὰ σύμβολα; (12) Πάλιν ἐπὶ τῶν γυναικῶν, ὥσπερ ἐν τῇ φωνῇ τι ἐγκατέμιξεν ἁπαλώτερον, οὕτω καὶ τὰς τρίχας ἀφεῖλεν. Οὔ· ἀλλ' ἀδιάκριτον ἔδει τὸ ζῷον ἀπολειφθῆναι, καὶ κηρύσσειν ἕκαστον ἡμῶν, ὅτι Ἀνήρ εἰμι. (13) Πῶς δὲ οὐ καλὸν τὸ σύμβολον, καὶ εὐπρεπές, καὶ σεμνόν; πόσῳ κάλλιον τοῦ τῶν ἀλεκτρυόνων λόφου; πόσῳ μεγαλοπρεπέστερον τῆς χαίτης τῶν λεόντων; (14) Διὰ τοῦτο ἔδει σώζειν τὰ σύμβολα τοῦ θεοῦ, ἔδει αὐτὰ μὴ καταπροίεσθαι, μηδὲ συγχεῖν, ὅσον ἐφ' ἑαυτοῖς, τὰ γένη τὰ διῃρημένα.

15. Ταῦτα μόνα ἐστὶν ἔργα ἐφ' ἡμῶν τῆς προνοίας; καὶ τίς ἐξαρκεῖ λόγος οἰκείως αὐτὰ ἐπαινέσαι, ἢ παραστῆσαι; εἰ γὰρ νοῦν εἴχομεν, ἄλλο τι ἔδει ἡμᾶς ποιεῖν καὶ κοινῇ καὶ ἰδίᾳ, ἢ ὑμνεῖν τὸ θεῖον, καὶ εὐφημεῖν, καὶ ἐπεξέρχεσθαι τὰς χάριτας; (16) Οὐκ ἔδει καὶ σκάπτοντας, καὶ ἀροῦντας, καὶ ἐσθίοντας, ᾄδειν τὸν ὕμνον τὸν εἰς τὸν θεόν; (17) Μέγας ὁ θεός, ὅτι ἡμῖν παρέσχεν ὄργανα τοιαῦτα, δι' ὧν τὴν γῆν ἐργασόμεθα· μέγας ὁ θεός, ὅτι χεῖρας δέδωκεν, ὅτι κατάποσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λεληθότως, ὅτι καθεύδοντας ἀναπνεῖν.

18. Ταῦτα ἐφ' ἑκάστου ἐφυμνεῖν ἔδει, καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκε τὴν παρακολουθητικὴν τούτοις καὶ ὁδῷ χρηστικήν. (19) Τί οὖν; ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι τὸν ταύτην ἐκπληροῦντα τὴν χώραν, καὶ ὑπὲρ πάντων ᾄδοντα τὸν ὕμνον τὸν εἰς τὸν θεόν; (20) τί γὰρ ἄλλο δύναμαι γέρων χωλός, εἰ μὴ ὑμνεῖν τὸν θεόν; Εἰ γοῦν ἀηδὼν ἤμην, ἐποίουν [ἂν] τὰ τῆς ἀηδόνος· εἰ κύκνος, τὰ τοῦ κύκνου· (21) νῦν δὲ λογικός εἰμι, ὑμνεῖν με δεῖ τὸν θεόν· τοῦτό μου τὸ ἔργον ἐστί, ποιῶ αὐτό· οὐδ' ἐγκαταλείψω τὴν τάξιν ταύτην, ἐφ' ὅσον ἂν δίδωται· καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

instructa, nullam amplius curationem postulantia. (5) Ita fit, ut unus parvus puellus simplici virga agat oves. (6) Nunc vero nos, animantium caussa gratias deo agere negligentes, quod earum non par cura atque nostrûm ipsorum nobis est gerenda, nostrûm caussa eum accusamus. (7) Atqui, per Jovem deosque omnes, vel una res ex his, quæ natura fiunt, satis fuit, verecundo quidem homini et grato, ad providentiam intelligendam. (8) Neque vero mihi magna nunc proferto : istuc ipsum duntaxat, quod ex herba lac nascitur, et e lacte caseus, e cute lana. Quis est, qui ista fecerit, aut excogitarit? Nemo, inquit. O magnam impudentiam et stuporem!

9. Age, omissis operibus naturæ, ea quæ illis obiter accedunt, contemplemur. (10) Numquid inutilius pilis qui mento enascuntur? Quid ergo? nonne his etiam, quam convenientissime fieri poterat, usa est? nonne per eos marem et feminam discrevit? (11) Nonne statim eminus cujusque nostrûm natura clamitat: Vir sum; sic ad me accedito; sic colloquere mecum; nihil aliud require : ecce signa in promptu sunt! (12) Rursus in mulieribus, quemadmodum mollius quiddam ipsi voci immiscuit, sic et pilos istos illis ademit. At non ita decuit : sed indiscretum fuit relinquendum animal, et proclamandum unicuique nostrûm, Vir sum! (13) Nonne vero signum hoc pulcrum est, et decorum, et honestum? quanto elegantius crista gallorum? quanto magnificentius juba leonum? (14) Itaque conservanda erant signa dei, et nequaquam abjicienda; neque sexus, quantum in nobis quidem esset, confundendus, ab ipsa natura distinctus.

15. Numquid hæc sola sunt providentiæ in nobis opera? At qua oratione hæc satis aut laudari aut illustrari possunt? nam si sani essemus, quid nobis aliud agendum erat et publice et privatim, quam numen divinum celebrandum et laudandum, et grates ei persolvendæ? (16) Nonne inter fodiendum, inter arandum, inter edendum, hymnus hic cantandus erat deo : (17) Magnus est deus, qui nobis instrumenta præbuit talia, quibus terram excolamus! magnus est deus, qui manus nobis dedit, qui deglutiendi vim, qui ventrem, qui ita nos fecit, ut sensim ac veluti clam nobis ipsis crescamus, ut dormientes respiremus.

18. Hæc singulis in rebus cantanda erant, et hymnus maximus ac divinissimus resonandus, quod facultatem dederit hæc omnia mente assequendi ac certa quadam via ac ratione iis utendi. (19) Quid ergo? cum vulgo omnes excæcati sitis, nonne oportebat esse aliquem, qui hoc munere pro vobis fungeretur, et loco omnium hymnum deo caneret? (20) quid enim aliud possum senex claudus, nisi celebrare deum? Sane, si luscinia essem, lusciniæ officiu fungerer; si olor, oloris : (21) nunc rationis cum particeps sim, deus mihi celebrandus est; hoc meum munus est, hoc exsequor; neque stationem hanc deseram, quoad licuerit; et vos ad eumdem hunc cantum exhortor.

ΚΕΦ. ΙΖ'.

Ὅτι ἀναγκαῖα τὰ λογικά.

1. Ἐπειδὴ λόγος ἐστὶν ὁ διαρθρῶν καὶ ἐξεργαζόμενος τὰ λοιπά, ἔδει δ' αὐτὸν μὴ ἀδιάρθρωτον εἶναι· ὑπὸ τίνος διαρθρωθῇ; (2) δῆλον γάρ, ὅτι ἢ ὑφ' αὑτοῦ, ἢ ὑπ' ἄλλου. Ἤτοι οὖν λόγος ἐστὶ κἀκεῖνος, ἢ ἄλλο τι κρεῖσσον τοῦ λόγου· ὅπερ ἀδύνατον. (3) Εἰ δὲ λόγος, ἐκεῖνον πάλιν τίς διαρθρώσει; εἰ γὰρ αὐτὸς ἑαυτὸν, δύναται καὶ οὗτος· εἰ δ' ἄλλου δεηθησόμεθα, ἄπειρόν ἐστι τοῦτο καὶ ἀκατάληκτον.

4. Ναί· ἀλλ' ἐπείγει μᾶλλον θεραπεύειν * * καὶ τὰ ὅμοια. Θέλεις οὖν περὶ ἐκείνων ἀκούειν; ἄκουε. (5) Ἀλλ', ἂν μοι λέγῃς, ὅτι Οὐκ οἶδα πότερον ἀληθῶς ἢ ψευδῶς διαλέγῃ, κἂν τι κατ' ἀμφίβολον φωνὴν εἴπω, καὶ λέγῃς μοι, Διάστιξον, οὐκ ἔτι ἀνέξομαί σου, ἀλλ' ἐρῶ σοι, Ἀλλ' ἐπείγει μᾶλλον. (6) Διὰ τοῦτο γὰρ οἶμαι προτάσσουσι τὰ λογικὰ, καθάπερ τῆς μετρήσεως τοῦ σίτου προτάσσομεν τὴν τοῦ μέτρου ἐπίσκεψιν. (7) Ἂν δὲ μὴ διαλάβωμεν πρῶτον, τί ἐστι μόδιος, * μηδὲ διαλάβωμεν πρῶτον *, τί ἐστι ζυγὸς, πῶς ἔτι μετρῆσαί τι ἢ στῆσαι δυνησόμεθα; (8) Ἐνταῦθα οὖν, τὸ τῶν ἄλλων κριτήριον, καὶ δι' οὗ τἆλλα καταμανθάνεται, μὴ καταμεμαθηκότες μηδ' ἠκριβωκότες, δυνησόμεθά τι τῶν ἄλλων ἀκριβῶς καταμαθεῖν; (9) Καὶ πῶς οἷόν τε; Ναί· ἀλλ' ὁ μόδιος ξύλον ἐστὶ, καὶ ἄκαρπον. — (10) Ἀλλὰ μετρητικὸν σίτου. — Καὶ τὰ λογικὰ ἄκαρπά ἐστι. — Καὶ περὶ τούτου μὲν ὀψόμεθα. Εἰ δ' οὖν καὶ τοῦτο δοίη τις, ἐκεῖνο ἀπαρκεῖ, ὅτι τῶν ἄλλων ἐστὶ διακριτικὰ καὶ ἐπισκεπτικὰ, καὶ, ὡς ἄν τις εἴποι, μετρητικὰ καὶ στατικά. (11) Τίς λέγει ταῦτα; μόνος Χρύσιππος καὶ Ζήνων καὶ Κλεάνθης; (12) Ἀντισθένης δ' οὐ λέγει; καὶ τίς ἐστιν ὁ γεγραφὼς, ὅτι ἀρχὴ παιδεύσεως ἡ τῶν ὀνομάτων ἐπίσκεψις; Σωκράτης δ' οὐ λέγει; καὶ περὶ τίνος γράφει Ξενοφῶν, ὅτι ἤρχετο ἀπὸ τῆς τῶν ὀνομάτων ἐπισκέψεως, τί σημαίνει ἕκαστον;

13. Ἆρ' οὖν τοῦτό ἐστι τὸ μέγα καὶ τὸ θαυμαστὸν, νοῆσαι Χρύσιππον ἢ ἐξηγήσασθαι; Καὶ τίς λέγει τοῦτο; Τί οὖν τὸ θαυμαστόν ἐστι; Νοῆσαι τὸ βούλημα τῆς φύσεως. (14) Τί οὖν; αὐτὸς διὰ σεαυτοῦ παρακολουθεῖς; καὶ τίνος ἔτι χρείαν ἔχεις; εἰ γὰρ ἀληθές ἐστι τὸ πάντας ἄκοντας ἁμαρτάνειν σὺ δὲ καταμεμάθηκας τὴν ἀλήθειαν, ἀνάγκη σε ἤδη κατορθοῦν. (15) Ἀλλὰ, νὴ Δία, οὐ παρακολουθῶ τῷ βουλήματι τῆς φύσεως. Τίς οὖν ἐξηγεῖται αὐτό; Λέγουσιν ὅτι Χρύσιππος. (16) Ἔρχομαι, καὶ ἐπιζητῶ τί λέγει οὗτος ὁ ἐξηγητὴς τῆς φύσεως. Ἄχθομαι μὴ νοῶν τί λέγει· ζητῶ τὸν ἐξηγούμενον. Ἴδε, ἐπίσκεψαι πῶς τοῦτο λέγεται, καθάπερ εἰ Ῥωμαϊστί. (17) Ποία οὖν ἐνθάδ' ὀφρὺς τοῦ ἐξηγουμένου; οὐδ' αὐτοῦ Χρυσίππου δικαίως, εἰ μόνον ἐξηγεῖται τὸ βούλημα τῆς φύσεως, αὐτὸς δ' οὐκ ἀκολουθεῖ· πόσῳ πλέον, τοῦ ἐκεῖνον ἐξηγουμένου; (18) οὐδὲ γὰρ Χρυσίππου χρείαν ἔχομεν δι' αὐτὸν, ἀλλ' ἵνα παρακολουθήσωμεν τῇ φύσει. Οὐδὲ γὰρ τοῦ θύτου δι' αὐτὸν, ἀλλ' ὅτι δι' ἐκείνου κατανοήσειν οἰόμεθα τὰ μέλλοντα,

CAP. XVII.

Logicam artem esse necessariam.

1. Quandoquidem ratio est, quæ reliqua omnia explicet perficiatque, eamque ipsam confusam esse non decet; a quonam illa explicabitur et suis veluti articulis distinguetur? (2) Apparet, aut a semetipsa, aut ab alio. Aut igitur illud ipsum etiam ratio est, aut aliquid aliud ratione præstantius; id quod fieri nequit. (3) Si vero ratio, illam rursus quis explicabit? Nam si ipsa se, hæc etiam potest: si vero alterius egebimus, hoc est in infinitum progredi et nusquam habere ubi consistas.

4. Immo vero, *inquis :* at istud magis est necessarium, sanare *opiniones, appetitiones, affectus,* et id genus alia! Vis igitur illis de rebus audire? audi. (5) Sed si dein mihi dixeris nescire te, verene an falso disseram; et, ubi quid ambigue dixero, id si me distinguere jusseris; non amplius te feram, sed tibi dicam, hoc magis esse necessarium. (6) Eam enim ob caussam, puto, logicam artem primo loco ponunt; quemadmodum mensuræ considerationem ante frumenti dimensionem collocamus. (7) Nisi enim ante constituerimus, quid sit modius, quid sit libra; pro pacto jam metiri quidquam aut ponderare poterimus? (8) Hic igitur, nisi instrumentum, quo cetera judicamus et cognoscimus, didicerimus et exquisite cognitum habuerimus; poterimusne quidquam ceterarum rerum indagare atque cognoscere? (9) Id vero fieri qui potest? Esto: at modius lignum est, et sterile. — (10) At eam tamen vim habens, ut ejus opera frumentum metiri queas. — Est et logica sterilis. — De eo quidem mox videbimus: sed, ut hoc etiam concesserim, tamen illud satis est, eam posse alias res discernere et considerare, et, ut ita dicam, metiri et ponderare. (11) Quis ista dicit? solusne Chrysippus, Zeno et Cleanthes? (12) Antisthenes non eadem dicit? Quis vero est qui scripsit, principium eruditionis esse vocabulorum considerationem? annon Socrates hoc dicit? et quis est, de quo scribit Xenophon, auspicatum eum esse a consideratione vocabulorum, quid quodque significaret?

13. An ergo hoc est magnum illud et admirabile, Chrysippum intelligere aut explicare? Et quis istud dicit? Quid igitur est admirabile? Naturæ intelligere voluntatem. (14) Quid ergo? tune per te ipsum eam assequeris? Quid amplius requiris? nam si verum est omnes peccare invitos, tu autem veritatem cognovisti; te jam rem bene gerere, necesse erit. (15) At, per Jovem, naturæ voluntatem non assequor. Quis igitur eam explicat? Chrysippum aiunt. (16) Adsum: inquiro quid dicat hic enarrator naturæ. Doleo me non intelligere quid dicat: quæro qui explicet. « Ecce considera quomodo hoc dicatur, perinde ac si Latine diceret. » (17) Quod igitur hic supercilium est enarratoris? immo nec ipsius Chrysippi jure ullum est, si naturæ voluntatem tantum explicat, ipse autem eam non assequitur: quanto minus ergo enarratoris ipsius? (18) Nam ne Chrysippo quidem nobis opus est propter ipsum, sed eo, ut naturam ratione assequamur. Sic nec aruspicem propter ipsum expetimus; sed quod ejus opera nos res futuras et ea quæ

καὶ σημαινόμενα ὑπὸ τῶν θεῶν· οὐδὲ τῶν σπλάγχνων δι' αὐτά, ἀλλ' ὅτι δι' ἐκείνων σημαίνεται. (19) Οὐδὲ τὸν κόρακα θαυμάζομεν, ἢ τὴν κορώνην, ἀλλὰ τὸν θεὸν τὸν σημαίνοντα διὰ τούτων.

20. Ἔρχομαι τοίνυν ἐπὶ τὸν ἐξηγητὴν τούτων καὶ θύτην· καὶ λέγω ὅτι ἐπίσκεψαί μοι τὰ σπλάγχνα, τί μοι σημαίνεται. (21) Λαβὼν, καὶ ἀναπτύξας ἐκεῖνος, ἐξηγεῖται· ὅτι, Ἄνθρωπε, προαίρεσιν ἔχεις ἀκώλυτον φύσει καὶ ἀνανάγκαστον· τοῦτο ἐνταῦθα ἐν τοῖς σπλάγχνοις γέγραπται. (22) Δείξω σοι αὐτὸ πρῶτον ἐπὶ τοῦ συγκαταθετικοῦ τόπου. Μή τίς σε κωλῦσαι δύναται ἐπινεῦσαι ἀληθεῖ; Οὐδὲ εἷς. Μή τίς σε ἀναγκάσαι δύναται παραδέξασθαι τὸ ψεῦδος; Οὐδὲ εἷς. (23) Ὁρᾷς ὅτι ἐν τούτῳ τῷ τόπῳ τὸ προαιρετικὸν ἔχεις ἀκώλυτον, ἀνανάγκαστον, ἀπαραπόδιστον; (24) Ἄγε, ἐπὶ δὲ τοῦ ὀρεκτικοῦ καὶ ὁρμητικοῦ, ἄλλως ἔχει; Καὶ τίς ὁρμὴν νικῆσαι δύναται, ἢ ἄλλη ὁρμή; τίς δ' ὄρεξιν καὶ ἔκκλισιν, ἢ ἄλλη ὄρεξις καὶ ἔκκλισις; (25) Ἄν μοι, φησὶ, προσάγῃ θανάτου φόβον, ἀναγκάσει με. Οὐ τὸ προσαγόμενον· ἀλλ' ὅτι δοκεῖ σοι κρεῖττον εἶναι ποιῆσαί τι τούτων, ἢ ἀποθανεῖν. (26) Πάλιν οὖν τὸ σὸν δόγμα σε ἠνάγκασε· τοῦτ' ἔστι, προαίρεσιν προαίρεσις. (27) Εἰ γὰρ τὸ ἴδιον μέρος, ὃ ἡμῖν ἔδωκεν ἀποσπάσας ὁ θεὸς, ὑπ' αὐτοῦ ἢ ὑπ' ἄλλου τινὸς κωλυτὸν ἢ ἀναγκαστὸν κατεσκευάκει· οὐκέτι ἂν ἦν θεὸς, οὐδ' ἐπεμελεῖτο ἡμῶν ὃν δεῖ τρόπον. (28) Ταῦτα εὑρίσκω, φησὶν, ἐν τοῖς ἱεροῖς· ταῦτά σοι σημαίνεται. Ἐὰν θέλῃς, ἐλεύθερος εἶ· ἐὰν θέλῃς, μέμψῃ οὐδένα, ἐγκαλέσεις οὐδενί· πάντα κατὰ γνώμην ἅμα ἔσται τὴν σὴν καὶ τὴν τοῦ θεοῦ. (29) Διὰ ταύτην τὴν μαντείαν ἔρχομαι ἐπὶ τὸν θύτην τοῦτον καὶ τὸν φιλόσοφον· οὐχ αὐτὸν θαυμάσας, ἕνεκά γε τῆς ἐξηγήσεως, ἀλλὰ ἐκεῖνα ἃ ἐξηγεῖται.

ΚΕΦ. ΙΗ'.

Ὅτι οὐ δεῖ χαλεπαίνειν τοῖς ἁμαρτανομένοις.

1. Εἰ ἀληθές ἐστι τὸ ὑπὸ τῶν φιλοσόφων λεγόμενον, ὅτι πᾶσιν ἀνθρώποις μία ἀρχὴ, καθάπερ τοῦ συγκαταθέσθαι, τὸ παθεῖν ὅτι ὑπάρχει· καὶ τοῦ ἀνανεῦσαι, τὸ παθεῖν ὅτι οὐχ ὑπάρχει· καὶ, νὴ Δία, τοῦ ἐπισχεῖν, τὸ παθεῖν ὅτι ἄδηλόν ἐστιν· (2) οὕτω καὶ τοῦ ὁρμῆσαι ἐπί τι, τὸ παθεῖν [ὅτι καθῆκον· καὶ τοῦ ὀρέγεσθαί τινος, τὸ παθεῖν] ὅτι ἐμοὶ συμφέρει· ἀμήχανον δ', ἄλλο μὲν κρίνειν τὸ συμφέρον, ἄλλου δ' ὀρέγεσθαι· καὶ ἄλλο μὲν κρίνειν καθῆκον, ἐπ' ἄλλο δὲ ὁρμᾶν· (3) τί ἔτι τοῖς πολλοῖς χαλεπαίνομεν; Κλέπται, φησὶν, εἰσὶ, καὶ λωποδύται. Τί ἐστι τὸ κλέπται καὶ λωποδύται; πεπλάνηνται περὶ ἀγαθῶν καὶ κακῶν. Χαλεπαίνειν οὖν δεῖ αὐτοῖς, ἢ ἐλεεῖν αὐτούς; (4) Ἀλλὰ δεῖξον τὴν πλάνην, καὶ ὄψει πῶς ἀφίστανται τῶν ἁμαρτημάτων· ἂν δὲ μὴ βλέπωσιν, οὐδὲν ἔχουσιν ἀνώτερον τοῦ δοκοῦντος αὐτοῖς.

5. Τοῦτον οὖν τὸν λῃστὴν, καὶ τοῦτον τὸν μοιχὸν οὐκ ἔδει ἀπολωλέναι; (6) Μηδαμῶς, ἀλλ' ἐκείνως

a diis significentur, cognituros esse opinamur : neque etiam viscera propter semetipsa, sed quia portendendi vim habeant. (19) Neque etiam corvum admiramur, aut cornicem ; sed deum horum opera res futuras significantem.

20. Accedo igitur ad interpretem harum rerum et vatem ; ab eoque peto, ut inspiciat viscera, videatque quid ea mihi portendant. (21) Is igitur, sumtis iis et explicatis, hanc edit interpretationem : Heus homo, voluntatem habes, cujus ea natura est, ut nec impediri nec cogi possit : hoc hisce visceribus est inscriptum. (22) Idque tibi demonstrabo primum in loco assensionis. Num quis te prohibere poterit annuere veritati? Nemo. Num quis te cogere poterit admittere mendacium? Nemo. (23) Vides, hoc in loco voluntatem te habere, quæ neque prohiberi neque cogi neque impediri possit? (24) Age, jam in loco appetitionis et impetus, numquid se res aliter habet? Quis vero impetum vincere possit, nisi alius impetus? quis appetitionem et aversationem, nisi alia appetitio et aversatio? (25) Si quis mihi, inquit, mortis intentet metum, coget me. Non id quod intentatur; sed hoc, quod optabilius esse tibi videtur, aliquid istiusmodi committere, quam mori. (26) Rursus itaque tuum te coegit decretum; hoc est, voluntatem voluntas. (27) Nam si eam partem, quam deus a sese avulsam dedit nobis, ita effecisset, ut vel ab ipso vel ab alio quopiam prohiberi aut cogi posset; non amplius esset deus, neque nos eo quo deceret modo curaret. (28) Hæc, inquit, reperio in victimis : hæc tibi portenduntur. Si volueris, liber es : si volueris, de nemine conquereris, neminem accusabis; omnia simul et tuæ et divinæ voluntati respondebunt. (29) Hujus oraculi caussa ad vatem istum, ad philosophum, accedo; non ipsum admirans, hujus quidem interpretationis caussa; sed ea quæ ille interpretatur.

CAP. XVIII.

Non irascendum esse peccantibus.

1. Si verum est, quod a philosophis dicitur, unum esse omnibus hominibus principium, quemadmodum assentiendi, affectum esse opinione, rem ita esse; et renuendi, affectum esse opinione, rem non ita esse; et profecto sustinendæ assensionis, affectum esse opinione, rem esse incertam : (2) ita etiam capiendi ad agendum impetus initium esse, opinione esse affectum, [rectam esse actionem convenientemque; et appetendi, affectum esse opinione,] rem mihi conducere; neque fieri posse, ut aliud utile esse judicent homines, aliud appetant, aut ut aliud rectum conveniensque judicent, ad aliud vero agendum capiant impetum : (3) hæc, inquam, si vera sunt; cur hominibus adhuc vulgo succensemus? Fures, inquit, sunt et grassatores. Quos mihi fures dicis? quos grassatores? errant in judicio bonarum rerum et malarum. Num igitur succensere illis oportet, an potius misereri? (4) Immo vero ostende errorem, et videbis ut a peccatis desistent : at, si non vident, nihil sua opinione habent antiquius.

5. At latronem istum, et adulterum istum, nonne igitur perditos oportebat? (6) Nequaquam : sed ita dic potius :

μᾶλλον· τοῦτον τὸν πεπλανημένον καὶ ἐξηπατημένον περὶ τῶν μεγίστων, καὶ ἀποτετυφλωμένον (οὐ τὴν ὄψιν τὴν διακριτικὴν τῶν λευκῶν καὶ μελάνων, ἀλλὰ τὴν γνώμην τὴν διακριτικὴν τῶν ἀγαθῶν, καὶ τῶν κακῶν) μὴ ἀπολλύναι; (7) κἂν οὕτω λέγῃς, γνώσῃ πῶς ἀπάνθρωπόν ἐστιν ὃ λέγεις, καὶ ὅτι ἐκείνῳ ὅμοιον· τοῦτον οὖν τὸν τυφλὸν μὴ ἀπολλύναι, καὶ τὸν κωφόν; (8) Εἰ γὰρ μεγίστη βλάβη, ἡ στέρησις τῶν μεγίστων· μέγιστον δ' ἐστὶν ἐν ἑκάστῳ ἡ προαίρεσις οἵα δεῖ, καὶ τούτου στέρεταί τις, τί ἔτι χαλεπαίνεις αὐτῷ; (9) Ἄνθρωπε, οὔ σε δεῖ παρὰ φύσιν ἐπ' ἀλλοτρίοις κακοῖς διατίθεσθαι· ἐλέει αὐτὸν μᾶλλον. [Ἄφες] τοῦτο τὸ προσκοπτικὸν καὶ μισητικὸν, [καὶ] τὰς φωνὰς ταύτας ἃς οἱ πολλοὶ [ἀφιᾶσι]. (10) Τούτους οὖν τοὺς καταράτους καὶ μι[σητούς]! Σὺ [δὲ] πῶς ποτ' ἀπεσοφώθης ἄφνω; [ὡς] χαλεπὸς εἶ. (11) Διὰ τί οὖν χαλεπαίνομεν; [διότι] θαυμάζομεν ὧν ἡμᾶς ἀφαιροῦνται. Μὴ θαύμαζέ σου τὰ ἱμάτια, καὶ τῷ κλέπτῃ οὐ χαλεπανεῖς· μὴ θαύμαζε τὸ κάλλος τῆς γυναικὸς, καὶ τῷ μοιχῷ οὐ χαλεπανεῖς. (12) Γνῶθι ὅτι κλέπτης καὶ μοιχὸς ἐν τοῖς σοῖς τόπον οὐκ ἔχει, ἐν δὲ τοῖς ἀλλοτρίοις καὶ τοῖς οὐκ ἐπὶ σοί. Ταῦτα ἂν ἀφῇς καὶ παρὰ μηδὲν ἡγήσῃ, τίνι ἔτι χαλεπανεῖς; μέχρι δ' ἂν ταῦτα θαυμάζῃς, σεαυτῷ χαλέπαινε μᾶλλον ἢ ἐκείνοις.

13. Σκόπει δέ· ἔχεις καλὰ ἱμάτια· ὁ γείτων σου οὐκ ἔχει· θυρίδα ἔχεις, θέλεις αὐτὰ ψῦξαι. Οὐκ οἶδεν ἐκεῖνος τί τὸ ἀγαθόν ἐστι τοῦ ἀνθρώπου, ἀλλὰ φαντάζεται ὅτι τὸ ἔχειν καλὰ ἱμάτια· τοῦτο ὃ καὶ σὺ φαντάζῃ. Εἶτα μὴ ἔλθῃ καὶ ἄρῃ αὐτά; (14) Ἀλλὰ σὺ πλακοῦντα δεικνύων ἀνθρώποις λίχνοις, καὶ μόνος αὐτὸν καταπίνων, οὐ θέλεις ἵνα αὐτὸν ἁρπάσωσι; μὴ ἐρέθιζε αὐτούς· θυρίδα μὴ ἔχε· μὴ ψῦχέ σου τὰ ἱμάτια. (15) Κἀγὼ πρῴην σιδηροῦν λύχνον ἔχων παρὰ τοῖς θεοῖς, ἀκούσας ψόφου τῆς θυρίδος, κατέδραμον, εὗρον ἡρπασμένον τὸν λύχνον. Ἐπελογισάμην, ὅτι ἔπαθέ τι ὁ ἄρας οὐκ ἀπίθανον. Τί οὖν; Αὔριον, φημὶ, ὀστράκινον εὑρήσεις. Ἐκεῖνα γὰρ ἀπόλλυσί τις, ἃ ἔχει. (16) Ἀπώλεσά μου τὸ ἱμάτιον. Εἶχες γὰρ ἱμάτιον. Ἀλγῶ τὴν κεφαλήν. Μή τι κέρατα ἀλγεῖς; Τί οὖν ἀγανακτεῖς; τούτων γὰρ αἱ ἀπώλειαι, τούτων οἱ πόνοι, ὧν καὶ αἱ κτήσεις.

17. Ἀλλ' ὁ τύραννος δήσει. Τί; Τὸ σκέλος. Ἀλλ' ἀφελεῖ. Τί; Τὸν τράχηλον. Τί οὖν οὐ δήσει, οὐδ' ἀφελεῖ; Τὴν προαίρεσιν. Διὰ τοῦτο παρήγγελλον οἱ παλαιοὶ τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ. (18) Οὐκοῦν ἔδει, νὴ τοὺς θεοὺς, μελετᾶν ἐπὶ τῶν μικρῶν· καὶ ἀπ' ἐκείνων ἀρχομένους, διαβαίνειν ἐπὶ τὰ μείζω. Κεφαλὴν ἀλγῶ. Οἴμοι, μὴ λέγε. Ὠτίον ἀλγῶ. Οἴμοι, μὴ λέγε. (19) Καὶ οὐ λέγω, ὅτι οὐ δέδοται στενάξαι· ἀλλὰ ἔσωθέν γε μὴ στενάξῃς. Μηδ', ἂν βραδέως τὸν ἐπίδεσμον ὁ παῖς φέρῃ, κραύγαζε, καὶ σπῶ, καὶ λέγε, Πάντες με μισοῦσι. Τίς γὰρ μὴ μισήσῃ τὸν τοιοῦτον; (20) Τούτοις τὸ λοιπὸν πεποιθὼς τοῖς δόγμασιν, ὀρθὸς περιπάτει, ἐλεύθερος· οὐχὶ τῷ μεγέθει πεποιθὼς τοῦ σώματος, ὥσπερ ἀθλητής. Οὐ γὰρ ὡς ὄνον ἀήττητον εἶναι δεῖ.

hunc hominem, qui errat et maximis in rebus decipitur, quique cæcutit (non dico ratione facultatis qua candida et nigra discernuntur, sed qua animus bona et mala distinguit), hunc non perdam? (7) Quodsi sic dixeris, intelliges quam inhumana tua sit oratio, et huic non absimilis : Hiccine cæcus et surdus, nonne perdendus? (8) Nam si maximum est damnum, rerum maximarum privatio; si porro res maxima unicuique est recta voluntas; hac si quis privatus est, quid adhuc ei succenses? (9) Non te oportet, homo, aliena ob mala contra naturam affici : miserere potius illius. *Abjice* illum animum ad offensionem odiumque præcipitem, et voces illas, quas vulgus *mittere solet :* (10) Hosne igitur exsecrandos odiososque *non male perire?* Quo pacto tu subito sapiens evasisti? *Quam* morosus es! (11) Qui fit igitur ut succenseamus? *quoniam scilicet* ea admiramur, quæ a nobis auferunt homines. Noli mirari vestes tuas, et furi non succensebis : venustatem uxoris tuæ noli mirari, et adultero non succensebis. (12) Scito furem et adulterum tuis in rebus locum non habere, sed in alienis tuæque potestati non subjectis. Hæc si missa feceris et nullo loco numeraveris, cui posthac irasceris? Quamdiu vero ista miraris, tibi potius, quam illis, succenseto.

13. Rem ita considera. Pulcras vestes habes; vicinus tuus non habet : fenestram habes; vis eas aeri exponere. Nescit ille, quod sit hominis bonum : sed pulcra vestimenta habere, bonum esse sibi fingit; quemadmodum et tu tibi. Quidni igitur veniat eaque auferat? (14) Tu, placentam hominibus gulosis ostendens, solusque eam deglutiens, non vis eam tibi ab his eripi? Ne irrita eos : ne habe fenestram; ne aeri expone vestes tuas. (15) Et ego nuper, cum apud Lares meos ferream lucernam haberem, audito januæ crepitu, decurri, eamque raptam animadverti. Cogitavi mecum, eum, qui sustulisset, rem non absurdam admisisse. Quid ergo? Cras, inquam, testaceam invenies. Nam ea quispiam amittit, quæ habet. (16) Meam vestem amisi. Habuisti enim vestem. Dolet mihi caput. Numquid cornua tibi dolent? Quid ergo indignaris? nam earum rerum jactura est, earum rerum dolores sunt, quarum possessiones.

17. At tyrannus vinciet! Quidnam? Pedem. At auferet! Quidnam? Collum. Quid ergo non vinciet, neque auferet? Voluntatem. Eapropter præceperunt illud veteres : « Nosce te ipsum! » (18) Itaque, per deos, oportebat minoribus in rebus vos exercere; et ab iis facto initio, transire ad majora. Caput dolet? ne dicas, Hei mihi. Auricula dolet? ne dicas, Hei mihi. (19) Neque vero dico, non licere gemere; sed intrinsecus utique gemere noli. Neque, si puer fasciam tarde attulerit, clamites, ringaris dicasque, Omnes me oderunt! Quis enim talem non odio prosequatur? (20) His deinceps confidens decretis, rectus obambula et liber : non magnitudine corporis confidens, ut pugil; neque enim ut asinum, te invictum esse decet.

21. Τίς οὖν ὁ ἀήττητος; Ὃν οὐκ ἐξίστησιν οὐδὲν τῶν ἀπροαιρέτων. Εἶτα λοιπὸν ἑκάστην τῶν περιστάσεων ἐπερχόμενος, καταμανθάνω, ὡς ἐπὶ τοῦ ἀθλητοῦ· Οὗτος ἐξεβίασε τὸν πρῶτον κλῆρον· τί οὖν; τὸν δεύτερον; τί δ', ἂν καῦμα ᾖ; τί δ' ἐν Ὀλυμπίᾳ; (22) καὶ ἐνταῦθα ὡσαύτως· ἂν ἀργυρίδιον προβάλῃς, καταφρονήσει· τί οὖν, ἂν κορασίδιον; τί οὖν, ἂν ἐν σκότῳ; τί οὖν, ἂν δοξάριον; τί οὖν, ἂν λοιδορίαν; τί οὖν, ἂν ἔπαινον; τί δ', ἂν θάνατον; Δύναται ταῦτα πάντα νικῆσαι. (23) Τί οὖν, ἂν καῦμα ᾖ τούτῳ; τί, ἂν οἰνωμένος ᾖ; τί, ἂν μελαγχολῶν; τί ἐν ὕπνοις; Οὗτός μοι ἐστὶν ὁ ἀνίκητος ἀθλητής.

ΚΕΦ. ΙΘ'.

Πῶς ἔχειν δεῖ πρὸς τυράννους.

1. Ὅ τι ἄν τινι προσῇ πλεονέκτημα, ἢ δοκῇ γε προσεῖναι, μὴ προσόν· τοῦτον πᾶσα ἀνάγκη, ἐὰν ἀπαίδευτος ᾖ, πεφυσῆσθαι δι' αὐτό. (2) Εὐθὺς ὁ τύραννος λέγει· Ἐγώ εἰμι ὁ πάντων κράτιστος. Καὶ τί μοι δύνασαι παρασχεῖν; ὄρεξίν μοι δύνασαι περιποιῆσαι ἀκώλυτον; πόθεν σοι; σὺ γὰρ ἔχεις ἔκκλισιν ἀπερίπτωτον; σὺ γὰρ ἔχεις ὁρμὴν ἀναμάρτητον; καὶ ποῦ σοι μέτεστιν;· (3) Ἄγε, ἐν νηῒ δὲ σαυτῷ θαῤῥεῖς, ἢ τῷ εἰδότι; ἐπὶ δ' ἅρματος τίνι, ἢ τῷ εἰδότι; τί δ' ἐν ταῖς ἄλλαις τέχναις; ὡσαύτως. (4) Τί οὖν δύνασαι; Πάντες με θεραπεύουσι. Καὶ γὰρ ἐγὼ τὸ πινάκιον θεραπεύω, καὶ πλύνω αὐτὸ, καὶ ἐκμάσσω, καὶ τῆς ληκύθου ἕνεκα πάσσαλον πήσσω. Τί οὖν; ταῦτά μου κρείττονά ἐστιν; Οὔ· ἀλλὰ χρείαν μοι παρέχει τινά. Ταύτης οὖν ἕνεκα θεραπεύω αὐτά. Τί δέ; τὸν ὄνον οὐ θεραπεύω; οὐ νίπτω αὐτοῦ τοὺς πόδας; οὐ περικαθαίρω; (5) Οὐκ οἶδας, ὅτι πᾶς ἄνθρωπος ἑαυτὸν θεραπεύει; σὲ δὲ οὕτως, ὡς τὸν ὄνον; ἐπεὶ τίς σε θεραπεύει ὡς ἄνθρωπον; δείκνυε. Τίς σοι θέλει ὅμοιος γενέσθαι; τίς σου ζηλωτὴς γίνεται, ὡς Σωκράτους; (6) Ἀλλὰ δύναμαί σε τραχηλοκοπῆσαι. Καλῶς λέγεις. Ἐξελαθόμην ὅτι σε δεῖ θεραπεύειν, καὶ ὡς πυρετὸν, καὶ ὡς χολέραν· καὶ βωμὸν στῆσαι, ὡς ἐν Ῥώμῃ Πυρετοῦ βωμός ἐστι.

7. Τί οὖν ἐστὶ τὸ ταράσσον καὶ καταπλῆττον τοὺς πολλούς; ὁ τύραννος καὶ οἱ δορυφόροι; πόθεν; μὴ γένοιτο· οὐκ ἐνδέχεται τὸ φύσει ἐλεύθερον ὑπ' ἄλλου τινὸς ταραχθῆναι ἢ κωλυθῆναι, πλὴν ὑφ' ἑαυτοῦ. Ἀλλὰ τὰ δόγματα αὐτὸν ταράσσει. (8) Ὅταν γὰρ ὁ τύραννος εἴπῃ τινὶ, Δήσω σου τὸ σκέλος· ὁ μὲν τὸ σκέλος τετιμηκὼς λέγει, Μὴ, ἐλέησον· ὁ δὲ τὴν προαίρεσιν τὴν ἑαυτοῦ, λέγει, Εἴ σοὶ λυσιτελέστερον φαίνεται, δῆσον. Οὐκ ἐπιστρέφῃ; Οὐκ ἐπιστρέφομαι. (9) Ἐγώ σοι δείξω ὅτι κύριός εἰμι. Πόθεν σύ; ἐμὲ ὁ Ζεὺς ἐλεύθερον ἀφῆκεν. Ἢ δοκεῖς ὅτι ἔμελλε τὸν ἴδιον υἱὸν ἐᾷν καταδουλοῦσθαι; τοῦ νεκροῦ δέ μου κύριος εἶ, λάβε αὐτόν. (10) Ὥσθ', ὅταν μοι προσίῃς, ἐμὲ οὐ θεραπεύεις; Οὔ· ἀλλ' ἐμαυτόν. Εἰ δὲ θέλεις με λέγειν, ὅτι καὶ σέ· λέγω σοι, οὕτως ὡς τὴν χύτραν.

11. Τοῦτο οὐκ ἔστι φίλαυτον· γέγονε γὰρ οὕτως τὸ

21. Quis ergo est invictus? Quem nihil earum rerum quæ sunt involuntariæ, de statu mentis dejicit. Proinde, singulas difficultates percurrens, eum observo, quemadmodum ubi de athleta quæritur : Hic primo, quod sorte obtigerat, certamine vicit : de secundo quid? quid vero, si æstus fuerit? quid in Olympiis? (22) eodem modo hic etiam : si argentum huic objeceris, contemnet : quid vero, si puellam? quid, si in tenebris? quid, si gloriolam? quid, si convicium? quid, si laudem? quid, si mortem? Hæc omnia vincere potest. (23) Quid igitur, si in febris æstu fuerit? quid, si vinolentus? quid, si in furore? quid in somno? Hic mihi pugil est invictus.

CAP. XIX.

Quo modo affecti erga tyrannos esse debeamus.

1. Qui quacumque veluti prærogativa est præditus, aut, ut præditus non sit, sibi esse præditus videtur; eum omnino necesse est, nisi bene institutus fuerit, ea inflari. (2) Statim tyrannus ait : Ego sum omnium potentissimus. Quid vero præstare mihi potes? idne potes efficere, ut appetitio mea non impediatur? unde id tibi? Tune enim ipse habes aversationem nullis obnoxiam casibus? tune impetum habes erroris expertem? id autem unde tibi contigit? (3) Age vero, in navi tibine ipsi confidis, an gubernatori? in curru, cui? nonne aurigandi perito? quid in aliis artibus? Eodem modo. (4) Quid ergo potes? Omnes me colunt. Et ego scutellam colo, eamque lavo et abstergo; et ampullæ oleariæ caussa clavum figo. Quid ergo? hæc me præstantiora sunt? Non; sed aliquem mihi usum præbent : et ea de caussa illa colo. Quid vero? nonne asinum colo? non pedes ejus lavo? non purgo? (5) An nescis, quemvis hominem semetipsum colere; te autem non aliter, atque asinum? Quisnam enim te ut hominem colit? ostende modo. Quis tui similis esse velit? quis tui sectator esse velit, sicuti Socratis? (6) At collum tibi præcidere possum. Recte dicis : oblitus eram colendum te esse, nempe ut febrem, ut choleram; et aram tibi exstruendam, ut Romæ Febris ara est.

7. Quid ergo est, quod vulgus hominum turbet ac percellat? tyrannus et satellites? Nequaquam; absit! fieri non potest, ut quod natura est liberum, ab alio quopiam perturbetur aut impediatur, quam a semetipso : sed decreta quemque sua perturbant. (8) Cum enim tyrannus alicui dixerit, Vinciam crura tua; qui crura sua magni facit, ait : Ne feceris; miserere! qui autem voluntatem suam, ait : Si tibi conducibilius videtur, vincito. Non curas? Non curo. (9) Ego tibi ostendam me esse dominum. Undenam tu? me Jupiter liberum emisit. Aut censes eum commissurum, ut filius ipsius in servitutem pertrahatur? Cadaveris quidem mei dominus es : illud capito. (10) Itane, cum ad me accesseris, me non coles? Non, sed me ipsum : sin me dicere vis, te quoque, id ita me facere profiteor, ut ollam colo.

11. Hic non est pravus amor sui; ita enim natura com-

ζῷον, ὥστε αὑτοῦ ἕνεκα πάντα ποιεῖν. Καὶ γὰρ ὁ ἥλιος αὑτοῦ ἕνεκα πάντα ποιεῖ, καὶ τὸ λοιπὸν αὐτὸς ὁ Ζεύς. (12) Ἀλλ' ὅταν θέλῃ εἶναι Ὑέτιος καὶ Ἐπικάρπιος, καὶ Πατὴρ ἀνδρῶν τε θεῶν τε, ὁρᾷς ὅτι τούτων τῶν ἔργων καὶ τῶν προσηγοριῶν οὐ δύναται τυχεῖν, ἂν μὴ εἰς τὸ κοινὸν ὠφέλιμος ᾖ. (13) Καθόλου τε τοιαύτην [τὴν] φύσιν τοῦ λογικοῦ ζῴου κατεσκεύασεν, ἵνα μηδενὸς τῶν ἰδίων ἀγαθῶν δύνηται τυγχάνειν, ἂν μή τι εἰς τὸ κοινὸν ὠφέλιμον προσφέρηται. (14) Οὕτως οὐκέτι ἀκοινώνητον γίνεται τὸ πάντα αὑτοῦ ἕνεκα ποιεῖν. (15) Ἐπεὶ τί ἐκδέχῃ; ἵνα τις ἀποστῇ αὑτοῦ, καὶ τοῦ ἰδίου συμφέροντος; Καὶ πῶς ἔτι μία καὶ ἡ αὐτὴ ἀρχὴ πᾶσιν ἔσται, ἡ πρὸς ἑαυτὰ οἰκείωσις;

paratum est animal, ut sua caussa omnia faciat. Nam et sol sua caussa facit omnia, et postremo ipse Jupiter. (12) Sed quum Pluvius esse vult, et Frugifer, et Pater hominumque deûmque; vides eum hosce effectus et has appellationes consequi non posse, nisi in commune prosit. (13) Denique animal ratione præditum sic omnino instruxit, ut nullo suo bono potiri possit, nisi aliquid utilitatis in commune afferat. (14) Sic proinde privatæ utilitatis studium a communitate non excluditur. (15) Nam quid exspectas? idne, ut se ipsum aliquis deserat, suamque utilitatem? Et quomodo tum omnibus animantibus unum idemque principium stabit, illud ut ipsæ sibi concilientur?

16. Τί οὖν; ὅταν ὑπῇ δόγματα ἀλλόκοτα περὶ τῶν ἀπροαιρέτων, ὡς ὄντων ἀγαθῶν καὶ κακῶν, πᾶσα ἀνάγκη θεραπεύειν τοὺς τυράννους. (17) Ὤφελον γὰρ τοὺς τυράννους μόνον, τοὺς κοιτωνίτας δ' οὔ. Πῶς δὲ καὶ φρόνιμος γίνεται ἐξαίφνης ὁ ἄνθρωπος, ὅταν Καῖσαρ αὐτὸν ἐπὶ τοῦ λασάνου ποιήσῃ; πῶς εὐθὺς λέγομεν, Φρονίμως μοι λελάληκε Φηλικίων; (18) Ἤθελον αὐτὸν ἀποβληθῆναι τοῦ κοπρῶνος, ἵνα πάλιν ἄφρων σοι δοκῇ. (19) Εἶχέ τινα Ἐπαφρόδιτος σκυτέα, ὃν διὰ τὸ ἄχρηστον εἶναι ἐπώλησεν. Εἶτα ἐκεῖνος κατά τινα δαίμονα ἀγορασθεὶς ὑπό τινος τῶν Καισαριανῶν, τοῦ Καίσαρος σκυτεὺς ἐγένετο. (20) Εἶδες ἄν, πῶς αὐτὸν ἐτίμα ὁ Ἐπαφρόδιτος; Τί πράσσει Φηλικίων ὁ ἀγαθός; φιλῶ σε. (21) Εἶτα εἴ τις ἡμῶν ἐπύθετο, Τί ποιεῖ αὐτός; ἐλέγετο, ὅτι μετὰ Φηλικίωνος βουλεύεται περί τινος. (22) Οὐχὶ γὰρ πεπράκει αὐτὸν ὡς ἄχρηστον; τίς οὖν αὐτὸν ἄφνω φρόνιμον ἐποίησε; (23) Τοῦτ' ἔστι τὸ τιμᾶν ἄλλο τι, ἢ τὰ προαιρετικά.

16. Quid ergo? cum absurda iis de rebus, quæ nostri arbitrii non sunt, decreta animo infixa sunt, quasi hæ res vel bonæ sint vel malæ; tum quidem omnino necesse est colere tyrannos. (17) Utinam vero tyrannos solum, non etiam cubicularios. Sed vide quo pacto statim homo fiat prudens, cum Cæsar eum matulæ præfecerit; ut statim dicimus, Prudenter mecum locutus est Felicio! (18) Velim ego, dejici eum rursus de stercore, ut demens tibi rursus videretur. (19) Sutorem quemdam habuerat Epaphroditus; quem, quia ad nihil utilis esset, vendidit: ille deinde, casu quodam a Cæsariano emtus, Cæsaris factus est sutor. (20) Vidisses, ut eum coluerit Epaphroditus! Quid agit Felicio, vir bonus? amo te. (21) Deinde, si quis nostrûm percontabatur quid Epaphroditus ipse ageret? dicebatur, cum Felicione eum quapiam de re deliberare. (22) Nonne vendiderat eum ut inutilem? quis ergo eum subito prudentem fecit? (23) Hoc nimirum est, aliud quiddam magni facere, quam ea quæ in nostra sita sunt voluntate.

24. Ἠξίωται δημαρχίας; πάντες οἱ ἀπαντῶντες συνήδονται· ἄλλος τοὺς ὀφθαλμοὺς καταφιλεῖ, ἄλλος τὸν τράχηλον, οἱ δοῦλοι τὰς χεῖρας· ἔρχεται εἰς οἶκον, εὑρίσκει λύχνους ἁπτομένους· ἀναβαίνει εἰς τὸ Καπιτώλιον, ἐπιθύει. (25) Τίς οὖν πώποτε ὑπὲρ τοῦ ὀρεχθῆναι καλῶς, ἔθυσεν; ὑπὲρ τοῦ ὁρμῆσαι κατὰ φύσιν; ἐκεῖ γὰρ καὶ θεοῖς εὐχαριστοῦμεν, ὅπου τὸ ἀγαθὸν τιθέμεθα.

24. Contigit alicui tribunatus? omnes obvii ei gratulantur: alius oculos ejus deosculatur, alius collum, servi manus: domum venit, lucernas ardentes invenit; ascendit in Capitolium, victimas immolat. (25) Quis igitur umquam propter rectam appetitionem sacra fecit? quis propter impetum animi congruentem naturæ? Nempe ibi diis gratias agimus, ubi bonum nostrum collocamus.

26. Σήμερόν τις ὑπὲρ ἱερωσύνης ἐλάλει μοι τοῦ Αὐγούστου. Λέγω αὐτῷ, Ἄνθρωπε, ἄφες τὸ πρᾶγμα, δαπανήσεις πολλὰ εἰς οὐδέν. (27) Ἀλλ' οἱ τὰ σύμφωνα, φησι, γράφοντες, γράψουσι τὸ ἐμὸν ὄνομα. Μή τι οὖν σὺ τοῖς ἀναγινώσκουσι λέγεις παρὼν, Ἐμὲ γεγράφασιν; (28) εἰ δὲ καὶ νῦν δύνασαι παρεῖναι πᾶσιν, ἐὰν ἀποθάνῃς, τί ποιήσεις; Μενεῖ μου τὸ ὄνομα. Γράψον αὐτὸ εἰς λίθον, καὶ μενεῖ. Ἄγε, ἔξω δὲ Νικοπόλεως τίς σου μνεία; Ἀλλὰ χρυσοῦν στέφανον φορήσω. (29) Εἰ ἅπαξ ἐπιθυμεῖς στεφάνου, ῥόδινον λαβὼν περίθου, ὄψει γὰρ κομψότερος.

26. Hodie nonnemo mecum collocutus est de Augusti sacerdotio; cui ego dixi: Homo, omitte rem: multos sumptus inutiles facies. (27) At, qui pacta conventa scripto consignant, inquit, nomen meum inscribent. Tunc igitur præsens dices legentibus, Meum est nomen, quod inscripserunt? (28) Quodsi vero etiam adesse nunc posses omnibus; cum mortuus eris, quid facies? Manebit meum nomen. Lapidi id inscribe, et manebit. Age, extra Nicopolim autem quæ tui erit mentio? At auream coronam gestabo. (29) Si omnino coronam desideras, roseam capiti impone; est enim aspectu elegantior.

ΚΕΦ. Κ'.

Περὶ τοῦ λόγου, πῶς αὑτοῦ θεωρητικός ἐστιν.

1. Πᾶσα τέχνη καὶ δύναμις προηγουμένων τινῶν

CAP. XX.

De ratione, quo pacto semetipsa contempletur.

1. Omnis ars et facultas certum quoddam rerum genus

ἐστι θεωρητική. (2) Ὅταν μὲν οὖν ᾖ ὁμοειδὴς τοῖς θεωρουμένοις καὶ αὐτὴ, ἀναγκαίως καὶ αὑτῆς γίνεται θεωρητική· ὅταν δ' ἀνομοιογενὴς, οὐ δύναται θεωρεῖν ἑαυτήν. (3) Οἷον, σκυτικὴ περὶ δέρματα ἀναστρέφεται· αὐτὴ δὲ παντελῶς ἀπήλλακται τῆς ὕλης τῶν δερμάτων· διὰ τοῦτο οὐκ ἔστιν αὑτῆς θεωρητική. (4) Γραμματικὴ πάλιν, περὶ τὴν ἐγγράμματον φωνήν· μή τι οὖν ἐστι καὶ αὐτὴ ἐγγράμματος φωνή; οὐδαμῶς. Διὰ τοῦτο οὐ δύναται θεωρεῖν ἑαυτήν. (5) Ὁ οὖν λόγος πρὸς τί ποτε ὑπὸ τῆς φύσεως παρείληπται; Πρὸς χρῆσιν φαντασιῶν οἵαν δεῖ. Αὐτὸς οὖν τί ἐστι; Σύστημα ἐκ ποιῶν φαντασιῶν. Οὕτω γίνεται φύσει καὶ αὑτοῦ θεωρητικός. (6) Πάλιν ἡ φρόνησις τίνα θεωρήσουσα παρελήλυθεν; Ἀγαθὰ καὶ κακὰ, καὶ οὐδέτερα. Αὐτὴ οὖν τί ἐστιν; Ἀγαθόν. Ἡ δ' ἀφροσύνη τί ἐστι; Κακόν. Ὁρᾷς οὖν, ὅτι ἀναγκαίως καὶ αὑτῆς γίνεται καὶ τῆς ἐναντίας θεωρητική. (7) Διὰ τοῦτο ἔργον τοῦ φιλοσόφου τὸ μέγιστον καὶ πρῶτον, δοκιμάζειν τὰς φαντασίας, καὶ διακρίνειν, καὶ μηδεμίαν ἀδοκίμαστον προσφέρεσθαι. (8) Ὁρᾶτε καὶ ἐπὶ τοῦ νομίσματος, ὅπου δοκεῖ τι εἶναι πρὸς ἡμᾶς, πῶς καὶ τέχνην ἐξευρήκαμεν, καὶ ὅσοις ὁ ἀργυρογνώμων προσχρῆται κατὰ δοκιμασίαν τοῦ νομίσματος· τῇ ὄψει, τῇ ἁφῇ, τῇ ὀσφρασίᾳ, τὰ τελευταῖα τῇ ἀκοῇ· (9) ῥάξας τὸ δηνάριον, τῷ ψόφῳ προσέχει, καὶ οὐχ ἅπαξ ἀρκεῖται ψοφήσαντος, ἀλλ' ὑπὸ τῆς πολλῆς προσοχῆς μουσικὸς γίνεται. (10) Οὕτως, ὅπου διαφέρειν οἰόμεθα τὸ πλανᾶσθαι τοῦ μὴ πλανᾶσθαι, ἐνταῦθα πολλὴν προσοχὴν εἰσφέρομεν εἰς διάκρισιν τῶν διαπλανᾷν δυναμένων· (11) ἐπὶ δὲ τοῦ ταλαιπώρου ἡγεμονικοῦ χάσκοντες καὶ καθεύδοντες πᾶσαν φαντασίαν παραπροσδεχόμεθα. Ἡ γὰρ ζημία οὐ προσπίπτει.

12. Ὅταν οὖν θέλῃς γνῶναι πῶς ἔχεις περὶ μὲν τἀγαθὰ καὶ κακὰ ἀνειμένως, περὶ τὰ ἀδιάφορα δ' ἐσπευσμένως, ἐπίστησον πῶς ἔχεις πρὸς τὸ ἐκτυφλωθῆναι, καὶ πῶς πρὸς τὸ ἐξαπατηθῆναι· καὶ γνώσῃ ὅτι μακρὰν εἶ τοῦ ὡς δεῖ πεπονθέναι περὶ ἀγαθῶν καὶ κακῶν. (13) Ἀλλὰ πολλῆς ἔχει χρείαν παρασκευῆς, καὶ πόνου πολλοῦ καὶ μαθημάτων. Τί οὖν; ἐλπίζεις ὅτι τὴν μεγίστην τέχνην ἀπὸ ὀλίγων ἐστὶν ἀναλαβεῖν; (14) καίτοι αὐτὸς μὲν ὁ προηγούμενος λόγος τῶν φιλοσόφων λίαν ἐστὶν ὀλίγος. Εἰ θέλεις γνῶναι, ἀνάγνωθι τὰ Ζήνωνος, καὶ ὄψει. (15) Τί γὰρ ἔχει μακρὸν, εἰπεῖν ὅτι τέλος ἐστὶ τὸ ἕπεσθαι θεοῖς; οὐσία δ' ἀγαθοῦ, χρῆσις οἵα δεῖ φαντασιῶν; (16) Λέγε, Τί οὖν ἐστι θεός; καὶ τί φαντασία; καὶ τί ἐστι φύσις ἡ ἐπὶ μέρους, καὶ τί ἐστι φύσις ἡ τῶν ὅλων; ἤδη μακρόν. (17) Ἂν οὖν ἐλθὼν Ἐπίκουρος εἴπῃ, ὅτι ἐν σαρκὶ εἶναι δεῖ τὸ ἀγαθόν· πάλιν μακρὸν γίνεται, καὶ ἀνάγκη ἀκοῦσαι, τί τὸ προηγούμενόν ἐστιν ἐφ' ἡμῶν, τί τὸ ὑποστατικὸν καὶ οὐσιῶδες. Ὅτι τὸ κοχλίου ἀγαθὸν οὐκ εἰκὸς εἶναι ἐν τῷ κελύφει, τὸ οὖν τοῦ ἀνθρώπου εἰκός; (18) Σὺ δ' αὐτός τι κυριώτερον ἔχεις, Ἐπίκουρε. Τί ἐστιν ἐν σοὶ τὸ βουλευόμενον; τὸ ἐπισκεπτόμενον ἕκαστα; τὸ περὶ τῆς σαρκὸς αὐτῆς, ὅτι τὸ προηγούμενόν ἐστι τὸ ἐπικρῖνον;

præ ceteris contemplationi suæ subjectum habet. (2) Quodsi igitur est ejusdem generis cum iis quæ contemplatur, semetipsam quoque necessario poterit contemplari: sin diversi sit generis, contemplari semetipsam non potest. (3) Exempli gratia: ars sutoria in coriis versatur; ipsa autem a materia coriorum penitus diversa est: quare semetipsam contemplari nequit. (4) Grammatica versatur in sermone: numquid ergo et ipsa sermo est? Nequaquam. Non igitur semetipsam contemplari potest. (5) Jam rationis facultas ad quid tandem a natura nobis data est? Ad rectum visorum animi usum. Ipsa vero quid est? Complexio quædam visorum certo modo se habentium. Itaque natura semetipsam contemplandi vim habet. (6) Porro prudentia ad quænam contemplanda nobis data est? Ad bona, et mala, et neutra. Ipsa ergo quid est? Bonum. Imprudentia quid est? Malum. Vides igitur, prudentiam necessario et semetipsam et id quod est ipsi contrarium, contemplari? (7) Quapropter munus philosophi maximum et primum est, examinare visa, ac discernere, neque ullum admittere inexploratum. (8) Videtis quoque in numismate, ubi nonnihil interesse nostra putamus, quomodo artem etiam invenerimus, et quot rebus argentarius ad explorationem numismatis utatur; visu, tactu, olfactu, postremo auditu: (9) nam solidis incusso denario sonitum observat, neque unico sonitu est contentus, sed crebra attentione fit quodammodo musicus. (10) Sic, ubi nostra interesse putamus, utrum decipiamur, an non decipiamur, ibi magnam adhibemus attentionem ad ea dijudicanda, quæ nos decipere possunt: (11) sed quod ad miserum illum animi principatum attinet, hiante ore, dormitantes visum quodvis temere admittimus. Nam jactura non animadvertitur.

12. Igitur si scire cupis, quam sis, quod ad bona quidem et mala, remissus, ad res autem indifferentes incitatus; considera quo pacto sis affectus adversus oculorum cæcitatem, et quo pacto adversus animi deceptionem: tum cognosces multum abesse, ut, ad bona et mala quod attinet, ita sis affectus, quemadmodum oportet. (13) At magna opus est præparatione, multoque labore et disciplina. Quid ergo? artem maximam exiguo labore comparari posse speras? (14) quamquam principalis quidem philosophorum doctrina utique brevis est. Id si cognoscere vis, legito scripta Zenonis, et videbis. (15) Nam quæ est in isto sermone prolixitas: finem esse, sequi deos; naturam boni, rectum visorum usum? (16) At dic, Quid ergo est deus? quid visum? quid natura singulorum? quid natura universi? hoc jam longum est. (17) Jam si accedens Epicurus dicat, in carne bonum esse oportere; rursus longum fit: et necesse est audire, quid præcipuum sit in nobis, quid sit quo natura atque vis hominis maxime contineatur. Quoniam cochleæ bonum in testa esse positum, probabile non est; num igitur probabile fuerit, hominis bonum in involucro esse quærendum? (18) Immo vero tu ipse, Epicure, aliquid præstantius habes. Quid est quod in te deliberat? quod singula disquirit? quod de ipsa carne hoc judicium

(19) Τί δὲ καὶ λύχνον ἅπτεις, καὶ πονεῖς ὑπὲρ ἡμῶν, καὶ τηλικαῦτα βιβλία γράφεις; ἵνα μὴ ἀγνοήσωμεν ἡμεῖς τὴν ἀλήθειαν; τίνες ἡμεῖς; τί πρὸς σὲ ὄντες; Οὕτω μακρὸς ὁ λόγος γίνεται.

pronunciat, esse eam hominis principatum? (19) Cur vero etiam lucernam accendis, et nostra caussa laboras, totque volumina scribis? ut ne veritatem nos ignoremus? Quinam nos? quid ad te pertinemus? Sic prolixa nascitur disputatio.

ΚΕΦ. ΚΑ'.

Πρὸς τοὺς θαυμάζεσθαι θέλοντας.

1. Ὅταν τις ἣν δεῖ στάσιν ἔχῃ ἐν τῷ βίῳ, ἔξω οὐ κέχηνεν. Ἄνθρωπε, τί θέλεις σοι γενέσθαι; (2) Ἐγὼ μὲν ἀρκοῦμαι, ἂν ὀρέγωμαι καὶ ἐκκλίνω κατὰ φύσιν, ἂν ὁρμῇ καὶ ἀφορμῇ χρῶμαι ὡς πέφυκα, ἂν προθέσει, ἂν ἐπιβολῇ, ἂν συγκαταθέσει. (3) Τί οὖν ἡμῖν ὀβελίσκον καταπιὼν περιπατεῖς; Ἤθελον ἵνα με καὶ οἱ ἀπαντῶντες θαυμάζωσι, καὶ ἐπακολουθοῦντες ἐπικραυγάζωσιν, Ὦ μεγάλου φιλοσόφου. (4) Τίνες εἰσὶν οὗτοι, ὑφ' ὧν θαυμάζεσθαι θέλεις; οὐχ οὗτοί εἰσι, περὶ ὧν εἴωθας λέγειν ὅτι μαίνονται; Τί οὖν; ὑπὸ τῶν μαινομένων θέλεις θαυμάζεσθαι;

CAP XXI.

Ad eos qui admirationi esse cupiunt.

1. Qui eum, quem decet, in vita statum tenet, is rebus externis non inhiat. Quid tibi vis contingere, homo? (2) Mihi quidem satis est, si et appetam et averser secundum naturam; si impetu et declinatione utar, ut natura mea postulat; si sic proponam, sic aggrediar, sic assentiar. (3) Quid ergo nobis, quasi qui veru deglutisses, incedis? Velim ut et obviam venientes omnes me admirentur, et, qui sectantur, acclament, O magnum philosophum! (4) Quinam sunt illi, quibus admirationi esse cupis? nonne ii sunt, quos dicere soles insanire? Quid ergo? hoc cupis, ut insani te admirentur?

ΚΕΦ. ΚΒ'.

Περὶ τῶν προλήψεων.

1. Αἱ προλήψεις κοιναὶ πᾶσιν ἀνθρώποις εἰσί, καὶ πρόληψις προλήψει οὐ μάχεται. Τίς γὰρ ἡμῶν οὐ τίθησιν, ὅτι τὸ ἀγαθὸν συμφέρον ἐστὶ καὶ αἱρετόν, καὶ ἐκ πάσης αὐτὸ περιστάσεως δεῖ μετιέναι καὶ διώκειν; τίς δ' ἡμῶν οὐ τίθησιν, ὅτι τὸ δίκαιον καλόν ἐστι, καὶ πρέπον; (2) Πότ' οὖν ἡ μάχη γίνεται; Περὶ τὴν ἐφαρμογὴν τῶν προλήψεων ταῖς ἐπὶ μέρους οὐσίαις. (3) Ὅταν ὁ μὲν εἴπῃ, ὅτι Καλῶς ἐποίησεν, ἀνδρεῖός ἐστιν· ὁ δέ, Οὔχ, ἀλλ' ἀπονενοημένος· ἔνθεν ἡ μάχη γίνεται τοῖς ἀνθρώποις πρὸς ἀλλήλους. (4) Αὕτη ἐστὶν ἡ Ἰουδαίων, καὶ Σύρων, καὶ Αἰγυπτίων, καὶ Ῥωμαίων μάχη· οὐ περὶ τοῦ, ὅτι τὸ ὅσιον πάντων προτιμητέον καὶ ἐν παντὶ μεταδιωκτέον, ἀλλὰ πότερόν ἐστιν ὅσιον τοῦτο, τὸ χοιρείου φαγεῖν, ἢ ἀνόσιον. (5) Ταύτην τὴν μάχην εὑρήσετε καὶ Ἀγαμέμνονος καὶ Ἀχιλλέως. Κάλει γὰρ αὐτοὺς εἰς τὸ μέσον. Τί λέγεις σύ, ὦ Ἀγάμεμνον; οὐ δεῖ γενέσθαι τὰ δέοντα καὶ τὰ καλῶς ἔχοντα; Δεῖ μὲν οὖν. (6) Σὺ δὲ τί λέγεις, ὦ Ἀχιλλεῦ; οὐκ ἀρέσκει σοι γενέσθαι τὰ καλῶς ἔχοντα; Ἐμοὶ μὲν οὖν πάντων μάλιστα ἀρέσκει. (7) Ἐφαρμόσατε οὖν τὰς προλήψεις. Ἐντεῦθεν ἡ ἀρχὴ τῆς μάχης. Ὁ μὲν λέγει, Οὐ χρὴ ἀποδιδόναι με τὴν Χρυσηΐδα τῷ πατρί. Ὁ δὲ λέγει, Δεῖ μὲν οὖν. Πάντως ὁ ἕτερος αὐτῶν κακῶς ἐφαρμόζει τὴν πρόληψιν τοῦ δέοντος. (8) Πάλιν ὁ μὲν λέγει, Οὐκοῦν, εἴ με δεῖ ἀποδοῦναι τὴν Χρυσηΐδα, δεῖ με λαβεῖν ὑμῶν τινος τὸ γέρας. Ὁ δέ, Τὴν ἐμὴν οὖν λάβῃς ἐρωμένην; Τὴν σήν, φησίν. Ἐγὼ οὖν μόνος; Ἀλλ' ἐγὼ μόνος μὴ ἔχω; Οὕτω μάχη γίνεται.

9. Τί οὖν ἐστι τὸ παιδεύεσθαι; Μανθάνειν τὰς φυσικὰς προλήψεις ἐφαρμόζειν ταῖς ἐπὶ μέρους οὐσίαις

CAP. XXII.

De anticipatis animi notionibus.

1. Anticipatæ notiones omnibus hominibus sunt communes; et anticipatio anticipationi non repugnat. Quis enim nostrûm non statuit bonum esse utile et expetendum, et quavis ratione consectandum ac persequendum? quis non statuit, quod justum est, id esse pulcrum et decorum? (2) Quando igitur pugna oritur? In anticipationum accommodatione ad singula genera rerum. (3) Quum alius dicit, Recte fecit, fortis est; alius vero, Non ita, sed vesanus est; inde pugna oritur inter homines. (4) Hæc est Judæorum, Syrorum, Ægyptiorum et Romanorum pugna: non, an jus et fas rebus omnibus sit anteferendum et ubique consectandum; sed, suilla vesci, fasne sit, an nefas. (5) Hanc etiam Agamemnonis et Achillis fuisse pugnam invenietis. Jube eos prodire in medium. Quid tu ais, Agamemno? non ea fieri oportet, quæ recta, quæque honesta sunt? Oportet illa quidem. (6) Tu vero quid ais, Achilles? non tibi placet ea fieri quæ honesta sunt? Mihi vero omnium maxime placet. (7) Accommodate igitur anticipationes ad rem de qua agitur! Hinc pugnæ principium. Alter ait: Non oportet me Chryseidem reddere patri. Alter ait, Immo oportet. Omnino alter eorum male applicat anticipationem honesti. (8) Rursus alter ait: Quodsi igitur Chryseidem reddere me oportet, accipiendum mihi erit vestrûm alicujus munus. At ille: Meam igitur amicam accipias? Tuam vero, inquit. Egone igitur solus *præmio caream?* At ego solus non habeam? Sic pugna exoritur.

9. Quid ergo est erudiri? Discere naturales animi anticipationes rebus singularibus applicare convenienter na-

κατάλλήλως τῇ φύσει· (10) καὶ λοιπὸν, διελεῖν ὅτι τῶν ὄντων τὰ μέν εἰσιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν· ἐφ' ἡμῖν μὲν προαίρεσις, καὶ πάντα τὰ προαιρετικὰ ἔργα· οὐκ ἐφ' ἡμῖν δὲ τὸ σῶμα, τὰ μέρη τοῦ σώματος, κτήσεις, γονεῖς, ἀδελφοὶ, τέκνα, πατρὶς, ἁπλῶς οἱ κοινωνοί. (11) Ποῦ οὖν θῶμεν τὸ ἀγαθόν; ποίᾳ οὐσίᾳ αὐτὸ ἐφαρμόσωμεν; Τῇ ἐφ' ἡμῖν; (12) Εἶτα οὐκ ἔστιν ἀγαθὸν ὑγίεια, καὶ ἀρτιότης, καὶ ζωή; ἀλλ' οὐδὲ τέκνα, οὐδὲ γονεῖς, οὐδὲ πατρίς; καὶ τίς σου ἀνέξεται; (13) Μεταθῶμεν οὖν ἐνθάδε πάλιν αὐτό. Ἐνδέχεται οὖν, βλαπτόμενον καὶ ἀποτυγχάνοντα τῶν ἀγαθῶν, εὐδαιμονεῖν; Οὐκ ἐνδέχεται. Καὶ τὴν πρὸς τοὺς κοινωνοὺς ἔχειν οἵαν δεῖ ἀναστροφήν; Καὶ πῶς ἐνδέχεται; (14) Ἐγὼ γὰρ πέφυκα πρὸς τὸ ἐμὸν συμφέρον. Εἰ συμφέρει μοι ἀγρὸν ἔχειν, συμφέρει μοι καὶ ἀφελέσθαι αὐτὸν τοῦ πλησίον· εἰ συμφέρει μοι ἱμάτιον ἔχειν, συμφέρει μοι καὶ κλέψαι αὐτὸ ἐκ βαλανείου. Ἔνθεν πόλεμοι, στάσεις, τυραννίδες, ἐπιβουλαί. (15) Πῶς δ' ἔτι [τηρεῖν] δυνήσομαι τὸ πρὸς τὸν Δία καθῆκον; εἰ γὰρ βλάπτομαι καὶ ἀτυχῶ, οὐκ ἐπιστρέφεταί μου. Καὶ τί μοὶ καὶ αὐτῷ, εἰ οὐ δύναταί μοι βοηθῆσαι; καὶ πάλιν, τί μοὶ καὶ αὐτῷ, εἰ θέλει με ἐν τοιούτοις εἶναι, ἐν οἷς εἰμι; ἄρχομαι λοιπὸν μισεῖν αὐτόν. (16) Τί οὖν ναοὺς ποιοῦμεν; τί οὖν ἀγάλματα, ὡς κακοῖς δαίμοσιν, ὡς Πυρετῷ, τῷ Διί; καὶ πῶς ἔτι Σωτήρ; καὶ πῶς Ὑέτιος; καὶ πῶς Ἐπικάρπιος; καὶ μὴν, ἂν ἐνταῦθά που θῶμεν τὴν οὐσίαν τοῦ ἀγαθοῦ, πάντα ταῦτα ἐξακολουθεῖ.

17. Τί οὖν ποιήσωμεν; Αὕτη ἐστὶ ζήτησις τοῦ φιλοσοφοῦντος τῷ ὄντι καὶ ὠδίνοντος. Νῦν ἐγὼ οὐχ ὁρῶ τί ἐστι τὸ ἀγαθὸν καὶ τὸ κακόν· οὐ μαίνομαι; Ναί. (18) Ἀλλ' ἐνταῦθά που θῶ τὸ ἀγαθὸν, ἐν τοῖς προαιρετικοῖς; πάντες μου καταγελάσονται. Ἥξει τις γέρων πολιὸς, χρυσοῦς δακτυλίους ἔχων πολλούς· εἶτα ἐπισείσας τὴν κεφαλὴν ἐρεῖ, Ἄκουσόν μου, τέκνον· δεῖ μὲν καὶ φιλοσοφεῖν, δεῖ δὲ καὶ ἐγκέφαλον ἔχειν· ταῦτα μωρά ἐστι. (19) Σὺ παρὰ τῶν φιλοσόφων μανθάνεις συλλογισμόν· τί δέ σοι ποιητέον ἐστὶ, σὺ κάλλιον οἶδας ἢ οἱ φιλόσοφοι. (20) Ἄνθρωπε, τί οὖν μοι ἐπιτιμᾷς, εἰ οἶδα; Τούτῳ τῷ ἀνδραπόδῳ τί εἴπω; ἂν σιωπῶ, ῥήγνυται. (21) Ἐκείνως δεῖ λέγειν, ὅτι Σύγγνωθί μοι, ὡς τοῖς ἐρῶσιν· οὐκ εἰμὶ ἐμαυτοῦ, μαίνομαι.

ΚΕΦ. ΚΓ'.

Πρὸς Ἐπίκουρον.

1. Ἐπινοεῖ καὶ Ἐπίκουρος, ὅτι φύσει ἐσμὲν κοινωνικοί· ἀλλ' ἅπαξ ἐν τῷ κελύφει θεὶς τὸ ἀγαθὸν ἡμῶν, οὐκέτι δύναται ἄλλο οὐδὲν εἰπεῖν. (2) Πάλιν γὰρ ἐκείνου λίαν κρατεῖ, ὅτι οὐ δεῖ ἀπεσπασμένον οὐδὲν τῆς τοῦ ἀγαθοῦ οὐσίας οὔτε θαυμάζειν οὔτ' ἀποδέχεσθαι· καὶ καλῶς αὐτοῦ κρατεῖ. (3) Πῶς οὖν ὑπονοητικοί ἐσμεν, οἷς μὴ φυσική ἐστι πρὸς τὰ ἔκγονα φιλοστοργία; διὰ τί ἀποσυμβουλεύεις τῷ σοφῷ τεκνοτροφεῖν; τί φοβῇ μὴ διὰ ταῦτα εἰς λύπας ἐμπέσῃ; (4) Διὰ

turæ; (10) tum porro distinguere, alia esse in nostra potestate, alia non : in nostra esse potestate voluntatem, et omnes voluntarias actiones : non in nostra potestate, corpus, partes corporis, possessiones, parentes, fratres, liberos, patriam, denique quicumque fuerint quibuscum societate quadam sumus devincti. (11) Ubi igitur bonum collocabimus? cui rerum generi notionem ejus accommodabimus? Eisne rebus quæ in nostra sunt potestate? (12) Itaque bonum non fuerit sanitas? non membrorum integritas? non vita? immo ne liberi quidem, nec parentes, nec patria? Et quis te feret? (13) Transferamus igitur boni notionem in hoc rerum genus! *et videamus, quid tum!* Potest ne igitur fieri, ut qui læditur bonisque frustratur, is sit beatus? Non potest. Potestne cum sociis ita versari, ut decet? Quo pacto id fieri potest? (14) Ego enim ad id natura feror, quod mihi conducit : si e re mea est agrum habere, e re mea est eum a vicino auferre : si e re mea est vestem habere, e re quoque mea est eam furari e balneo. Hinc bella, seditiones, tyrannides, insidiæ. (15) Quo vero pacto potero dehinc servare officium adversus Jovem? nam si lædor et frustror, ille me non curat. Quid ergo mihi cum illo rei est, si me juvare non potest? aut rursus, quid mihi cum eo rei est, si me in his vult esse malis, in quibus sum? Proinde eum odisse incipio. (16) Quid ergo templa exstruimus? quid ergo statuas Jovi erigimus, veluti malis Geniis, veluti Febri? et quo pacto porro Servator fuerit? quo pacto Pluvius? quo pacto Frugifer? Atqui, si tali quopiam in loco vim naturamque boni ponimus, hæc omnia consequuntur.

17. Quid ergo faciendum? Hæc est investigatio digna eo, qui revera philosophatur et parturit. Nunc ego non video, quid sit bonum et malum : nonne insanio? Sine dubio. (18) At hic tandem ponam bonum, in iis quæ ad voluntatem pertinent? omnes me deridebunt. Aderit senex aliquis canus, multis aureis annulis ornatus, motoque capite dicet : Audi me, fili : est sane philosophandum; sed et cerebrum est habendum : ista stulta sunt. (19) Tu a philosophis discis syllogismum; quid vero tibi agendum sit, tu rectius nosti quam philosophi. (20) Homo, quid vero me objurgas, si scio? Isti mancipio quid dicam? si taceo, rumpitur. (21) Hoc modo ei respondere oportet : Ignosce mihi, tamquam amatoribus; non sum meus, insanio.

CAP. XXIII.

In Epicurum.

1. Ipse etiam Epicurus intelligit, natura nos esse sociabiles : sed quoniam semel in involucro collocavit bonum nostrum, non amplius aliud quidquam dicere potest. (2) Nam rursus illud mordicus tenet, nihil a natura boni avulsum vel admirandum vel probandum esse : idque probe tenet. (3) Unde igitur *adhuc sociabiles* sumus, quibus nullus est natura insitus erga sobolem amor? cur dissuades sapienti ne alat liberos? cur metuis ne propter eos incidat in molestias? (4) Nempe ob murem, qui domi ali-

γὰρ τὸν μῦν τὸν ἔσω τρεφόμενον ἐμπίπτει; τί οὖν αὐτῷ μέλει, ἂν μυΐδιον μικρὸν ἔσω κατακλαίῃ αὐτοῦ; (5) Ἀλλ' οἶδεν ὅτι, ἂν ἅπαξ γένηται παιδίον, οὐκέτι ἐφ' ἡμῖν ἐστι μὴ στέργειν, μηδὲ φροντίζειν ἐπ' αὐτῷ. (6) Διὰ τοῦτο φησὶν, οὐδὲ πολιτεύσεσθαι τὸν νοῦν ἔχοντα· οἶδε γὰρ, τίνα δεῖ ποιεῖν τὸν πολιτευόμενον. Ἐπεί τοι, εἰ ὡς ἐν μυίαις μέλλεις ἀναστρέφεσθαι, τί κωλύει; (7) Ἀλλ' ὁ μὲν, εἰδὼς ταῦτα, τολμᾷ λέγειν, ὅτι Μὴ ἀναιρώμεθα τέκνα. Ἀλλὰ πρόβατον μὲν οὐκ ἀπολείπει τὸ αὐτοῦ ἔκγονον, οὐδὲ λύκος· ἄνθρωπος δ' ἀπολείπῃ; (8) Τί θέλεις; μωροὺς ἡμᾶς εἶναι, ὡς τὰ πρόβατα; Οὐδ' ἐκεῖνα ἀπολείπει. Θηριώδεις, ὡς τοὺς λύκους; Οὐδ' ἐκεῖνοι ἀπολείπουσιν. (9) Ἄγε, τίς δέ σοι πείθεται, ἰδὼν παιδίον αὑτοῦ κλαῖον, ἐπὶ τὴν γῆν πεπτωκός; (10) Ἐγὼ μὲν οἶμαι, ὅτι εἰ καὶ ἐμαντεύσατο ἡ μήτηρ σου, καὶ ὁ πατήρ σου, ὅτι ταῦτα μέλλεις λέγειν, οὐκ ἄν σε ἔρριψαν.

tur, in molestias incidet? quid igitur illius refert, si parvus musculus, qui intus alitur, ei oploret? (5) At novit, ubi semel puer natus fuerit, non amplius in nostra esse potestate, ut eum non diligamus, neque curemus. (6) Eadem de caussa dicit, sapientem nec ad rempublicam accessurum: scit enim quæ facienda sint ei qui in republica versatur. Atqui, si tamquam inter muscas versaturus es, quid prohibet? (7) At ille, hæc non ignorans, dicere audet, non suscipiendos esse liberos. Ergo, cum neque ovis fœtum suum deserat, neque lupus, homo deseret? (8) Quid tandem vis? stultos esse nos, tamquam oves? At hæ non deserunt. Feros, ut lupos? Ne illi quidem deserunt. (9) Age, quis tibi obtemperet, si filiolum suum humi prolapsum plorare videat? (10) Equidem arbitror, etsi mater tua et pater ex oraculo præscivissent, te dicturum esse ista; tamen abjecturos te non fuisse.

ΚΕΦ. ΚΔʹ.

Πῶς πρὸς τὰς περιστάσεις ἀγωνιστέον.

1. Αἱ περιστάσεις εἰσὶν αἱ τοὺς ἄνδρας δεικνύουσαι. Λοιπὸν, ὅταν ἐμπέσῃ περίστασις, μέμνησο ὅτι ὁ θεός σε, ὡς ἀλείπτης, τραχεῖ νεανίσκῳ συμβέβληκεν. (2) Ἵνα τί; φησίν. Ἵνα Ὀλυμπιονίκης γένῃ· δίχα δ' ἱδρῶτος οὐ γίνεται. Ἐμοὶ μὲν οὐδεὶς δοκεῖ κρείσσονα ἐσχηκέναι περίστασιν, ἧς σὺ ἔσχηκας, ἂν θέλῃς, ὡς ἀθλητὴς νεανίσκῳ, χρῆσθαι. (3) Καὶ νῦν ἡμεῖς σε εἰς τὴν Ῥώμην κατάσκοπον πέμπομεν· οὐδεὶς δὲ δειλὸν κατάσκοπον πέμπει, ἵν', ἂν μόνον ἀκούσῃ ψόφου καὶ σκιάν ποθεν ἴδῃ, τρέχων ἔλθῃ τεταραγμένος καὶ λέγων ἤδη παρεῖναι τοὺς πολεμίους. (4) Οὕτω νῦν καὶ σὺ ἂν ἐλθὼν ἡμῖν εἴπῃς, Φοβερὰ τὰ ἐν Ῥώμῃ πράγματα, δεινόν ἐστι θάνατος, δεινόν ἐστι φυγὴ, δεινὸν λοιδορία, δεινὸν πενία· φεύγετε, ἄνδρες, πάρεισιν οἱ πολέμιοι· (5) ἐροῦμέν σοι, Ἄπελθε, σεαυτῷ μαντεύου· ἡμεῖς τοῦτο μόνον ἡμάρτομεν, ὅτι τοιοῦτον κατάσκοπον ἐπέμπομεν.

6. Πρὸ σοῦ κατάσκοπος ἀποσταλεὶς Διογένης, ἄλλα ἡμῖν ἀπήγγελκεν· λέγει ὅτι ὁ θάνατος οὐκ ἔστι κακὸν, οὐδὲ γὰρ αἰσχρόν· λέγει ὅτι εὐδοξία ψόφος ἐστὶ μαινομένων ἀνθρώπων. (7) Οἷα δὲ περὶ πόνου, οἷα δὲ περὶ ἡδονῆς, οἷα περὶ πενίας εἴρηκεν οὗτος ὁ κατάσκοπος; τὸ δὲ γυμνὸν εἶναι λέγει ὅτι κρεῖσσόν ἐστι πάσης περιπορφύρου, τὸ δ' ἐπ' ἀστρώτῳ πέδῳ καθεύδειν, λέγει ὅτι μαλακωτάτη κοίτη ἐστί. (8) Καὶ ἀπόδειξιν φέρει ἑκάστου, τὸ θάρσος τὸ αὑτοῦ, τὴν ἀταραξίαν, τὴν ἐλευθερίαν, εἶτα καὶ τὸ σωμάτιον στίλβον καὶ συνεστραμμένον. (9) Οὐδεὶς, φησὶ, πολεμιος ἐγγύς ἐστι· πάντα εἰρήνης γέμει. Πῶς, ὦ Διόγενες; Ἰδοὺ, φησὶ, μή τι βέβλημαι; μή τι τέτρωμαι; μή τινα πέφευγα; Τοῦτ' ἔστιν οἷος δεῖ κατάσκοπος. (10) Σὺ δ' ἡμῖν ἐλθὼν, ἄλλα ἐξ ἄλλων λέγεις. Οὐκ ἀπελεύσῃ πάλιν, καὶ ὄψει ἀκριβέστερον δίχα τῆς δειλίας;

11. Τί οὖν ποιήσω; Τί ποιεῖς, ἐκ πλοίου ὅταν ἐξίῃς;

CAP. XXIV.

Quomodo adversus difficultates sit decertandum.

1. Difficultates sunt quæ viros monstrent. Cum igitur difficultas inciderit, memento deum, veluti gymnasii magistrum, cum aspero adolescente te commisisse. (2) Cur? inquit. Ut Olympia vinceres: id vero sine sudore non contingit. Ac mihi quidem nemo videtur in præclarius discrimen incidisse quam tu; si modo volueris illo, tamquam pugil adolescente, uti. (3) Et nos nunc te exploratorem Romam mittimus: nemo autem timidum exploratorem mittit, qui, strepitu tantum audito et umbra alicubi visa, extemplo currat perturbatus, et hostes jam adesse dicat. (4) Sic nunc et tu si veneris, nobisque dixeris: Terribilia sunt quæ Romæ geruntur; dira mors; dirum exsilium; dira ignominia; dira paupertas: fugite, viri! adsunt hostes: (5) dicemus tibi, Abi, tibi ipsi vaticinare! nos in eo solo peccavimus, quod talem exploratorem misimus.

6. Ante te missus explorator Diogenes alia nobis renunciavit: mortem ait non esse malum, nam ne turpem quidem: celebritatem esse, ait, insanientium hominum strepitum. (7) Quid vero de dolore, quid de voluptate, quid de paupertate iste dixit explorator! Nudum esse ait præstantius esse quavis toga prætexta; in nudo dormire solo, mollissimum ait esse lectum. (8) Et ad faciendam fidem cujusque horum quæ dicit, documentum profert suam fiduciam, suam animi constantiam, suam libertatem, denique etiam corpusculum suum nitidum et probe compactum. (9) Nullus, inquit, hostis in propinquo est: omnia sunt pacata. Qui sic, o Diogenes? Vide, inquit, numquid ictus sum? num vulneratus? num aliquem fugi? Hic est, qualem esse decet, explorator. (10) Tu autem ad nos reversus, aliud ex alio dicis: non redibis denuo, et diligentius speculaberis, sed posita timiditate?

11. Quid ergo faciam? Quid facis, e nave cum exis?

μή τι τὸ πηδάλιον αἴρεις; μή τι τὰς κώπας; τί οὖν αἴρεις; τὰ σά, τὴν λήκυθον, τὴν πήραν. Καὶ νῦν ἂν ᾖς μεμνημένος τῶν σῶν, οὐδέποτε τῶν ἀλλοτρίων ἀντιποιήσῃ. (12) Λέγει σοι, θὲς τὴν πλατύσημον; ἰδοὺ στενόσημος. Θὲς καὶ ταύτην; ἰδοὺ ἱμάτιον μόνον. Θὲς τὸ ἱμάτιον; ἰδοὺ γυμνός. (13) Ἀλλὰ φθόνον μοι κινεῖς. Λάβε τοίνυν ὅλον τὸ σωμάτιον. Ὧ δύναμαι ῥῖψαι τὸ σωμάτιον, ἔτι τοῦτον φοβοῦμαι; (14) Ἀλλὰ κληρονόμον μ' οὐκ ἀπολείψει. Τί οὖν; ἐπελαθόμην ὅτι τούτων οὐδὲν ἐμὸν ἦν; Πῶς οὖν ἐμὰ αὐτὰ λέγομεν; Ὡς τὸν κράββατον ἐν τῷ πανδοκείῳ. Ἂν οὖν ὁ πανδοκεὺς ἀποθανὼν ἀπολίπῃ σοι τοὺς κραββάτους· ἂν δ' ἄλλῳ, ἐκεῖνος ἕξει, σὺ δ' ἄλλον ζητήσεις· (15) ἂν οὖν μὴ εὕρῃς, χαμαὶ κοιμήσῃ, μόνον θαῤῥῶν καὶ ῥέγχων, καὶ μεμνημένος ὅτι ἐν τοῖς πλουσίοις καὶ βασιλεῦσι καὶ τυράννοις αἱ τραγῳδίαι τόπον ἔχουσιν· οὐδεὶς δὲ πένης τραγῳδίαν συμπληροῖ, εἰ μὴ ὡς χορευτής. (16) Οἱ δὲ βασιλεῖς ἄρχονται μὲν ἀπ' ἀγαθῶν· Στέψατε δώματα· εἶτα περὶ τρίτον ἢ τέταρτον μέρος· « Ἰὼ Κιθαιρών, τί μ' ἐδέχου; » (17) Ἀνδράποδον, ποῦ οἱ στέφανοι; ποῦ τὸ διάδημα; οὐδέν σε ὠφελοῦσιν οἱ δορυφόροι. (18) Ὅταν οὖν ἐκείνων τινὶ προσίῃς, τούτων μέμνησο, ὅτι τραγῳδῷ προσέρχῃ, οὐ τῷ ὑποκριτῇ, ἀλλ' αὐτῷ τῷ Οἰδίποδι. (19) Ἀλλὰ μακάριος ὁ δεῖνα· μετὰ πολλῶν γὰρ περιπατεῖ. Κἀγὼ συγκατατάττω ἐμαυτὸν τοῖς πολλοῖς, καὶ μετὰ πολλῶν περιπατῶ. (20) Τὸ δὲ κεφάλαιον· μέμνησο ὅτι ἡ θύρα ἤνοικται. Μὴ γίνου τῶν παιδίων δειλότερος· ἀλλ', ὡς ἐκεῖνα, ὅταν αὐτοῖς μὴ ἀρέσκῃ τὸ πρᾶγμα, λέγει, ὅτι Οὐκέτι παίξω· καὶ σύ, ὅταν σοι φαίνηταί τινα εἶναι τοιαῦτα, εἰπὼν ὅτι Οὐκέτι παίξω, ἀπαλλάσσου, μένων δὲ μὴ θρήνει.

ΚΕΦ. ΚΕ'.

Πρὸς τὸ αὐτό.

1. Εἰ ταῦτα ἀληθῆ ἐστι, καὶ μὴ βλακεύομεν, μηδ' ὑποκρινόμεθα ὅτι τὸ ἀγαθὸν τοῦ ἀνθρώπου ἐν προαιρέσει καὶ τὸ κακόν, τὰ δ' ἄλλα πάντα οὐδὲν πρὸς ἡμᾶς· τί ἔτι ταρασσόμεθα; τί ἔτι φοβούμεθα; (2) περὶ ἃ ἐσπουδάκαμεν, τούτων ἐξουσίαν οὐδεὶς ἔχει· ὧν ἐξουσίαν οἱ ἄλλοι ἔχουσι, τούτων οὐκ ἐπιστρεφόμεθα· ποῖον ἔτι πρᾶγμα ἔχομεν; (3) Ἀλλὰ ἔντειλαί μοι. Τί σοι ἐντείλωμαι; ὁ Ζεύς σοι οὐκ ἐντέταλται; οὐ δέδωκέ σοι τὰ μὲν σὰ ἀκώλυτα καὶ ἀπαραπόδιστα, τὰ δὲ μὴ σὰ κωλυτὰ καὶ παραποδιστά; (4) Τίνα οὖν ἐντολὴν ἔχων, ἐκεῖθεν ἐλήλυθας; ποῖον διάταγμα; Τὰ σὰ τήρει ἐκ παντὸς τρόπου, τῶν ἀλλοτρίων μὴ ἐφίεσο. Τὸ πιστόν, σόν· τὸ αἰδῆμον, σόν· τίς οὖν ἀφελέσθαι δύναταί σου ταῦτα; τίς κωλύσει χρῆσθαι αὐτοῖς ἄλλος, εἰ μὴ σύ; σὺ δὲ πῶς; ὅταν τὰ μὴ σαυτοῦ σπουδάσῃς, τὰ σαυτοῦ ἀπώλεσας. (5) Τοιαύτας ἔχων ὑποθήκας καὶ ἐντολὰς παρὰ τοῦ Διός, ποίας ἔτι παρ' ἐμοῦ θέλεις; κρείσσων εἰμὶ ἐκείνου; ἀξιοπιστότερος; ἀλλὰ ταύτας τηρῶν, ἄλλων τίνων προσδέῃ; (6) Ἀλλ' ἐκεῖνος οὐκ ἐντέταλται

num gubernaculum aufers? num remos? Quid ergo aufers? tua; vasculum olearium tuum; peram tuam. Et nunc, si tuarum rerum fueris memor, numquam tibi vindicabis alienas. (12) Dicit tibi, Pone latum clavum? Ecce angustus clavus. Istum quoque pone! Ecce sola toga. Pone togam! Ecce nudus sum. (13) At invidiam mihi moves! Cape igitur totum corpusculum. Cui corpusculum objicere possum, adhuc eum reformido? (14) Sed hæredem me non relinquet. Quid ergo? oblitus sum nihil istorum fuisse meum? Quo pacto igitur ista nostra dicimus? Ut lectum in deversorio. Quodsi caupo moriens lectos tibi relinquet, bene est; sin alii, is eos habebit, tu alium quæres: (15) quem si non inveneris, humi dormies, modo id facias securo animo et stertens; et memineris, in divitibus, in regibus, in tyrannis tragœdias locum habere; nullum pauperem complere tragœdiam, nisi tamquam qui sit eorum ex numero qui chorum conficiunt. (16) Reges autem auspicantur quidem a bonis: *Coronate ædes!* deinde circa tertium aut quartum actum: *Eheu Cithæron! cur me suscepisti!* (17) Mancipium, ubi sunt coronæ? ubi diadema? nihil te juvant satellites. (18) Quodsi igitur istorum aliquem accesseris, horum memento, te tragœdum convenire, non quidem histrionem, sed ipsum Œdipodem. (19) At hic homo beatus est! magnum enim habet comitatum. Et ego me conjungo cum multis; sic magnum habeo comitatum. (20) Quod autem caput rei est, memento apertam esse januam: ne sis pueris timidior; sed, ut illi, quum non amplius re delectantur, dicunt se diutius non lusuros esse; sic et tu, cum quædam esse ejusmodi tibi videbuntur, dic te non amplius esse lusurum, et recedito: sin manseris, noli lamentari.

CAP. XXV.

Eadem de re.

1. Si hæc vera sunt, neque stulti nos sumus, neque simulate dicimus bonum hominis, itemque malum, in voluntate esse positum, cetera vero omnia nihil ad nos pertinere; quid adhuc perturbamur? quid adhuc metuimus? (2) Quæ res nobis curæ sunt, eas nemo habet in potestate; quæ in aliorum potestate sunt, eas non curamus: quid porro negotii habemus? (3) Tu mihi præcipe, inquis. Quid tibi ego præcipiam? nonne Jupiter mandata tibi dedit? nonne hoc tibi tribuit, ut, quæ tua sunt, ea nec impederi nec prohiberi possint; ut ea sola impediri prohiberique possint, quæ tua non sunt? (4) Quodnam igitur mandatum, quodnam præceptum ab eo accepisti, cum huc venires? Tua custodito quovis modo; aliena ne concupiscito! Fides in eorum numero est, quæ tua sunt; eodem loco est verecundia: quis ergo hæc tibi eripere potest? quis iis uti te prohibebit alius, nisi tu? tu vero quo pacto te ipse prohibebis? Cum iis rebus studueris quæ tuæ non sunt, tuas perdes. (5) Talibus monitis mandatisque a Jove instructus, quænam adhuc a me postulas? num ego sum illo superior? num fide dignior? Hæc si custodieris, quibus aliis indigebis? (6) Anne vero ille mandavit hæc? Prome anticipatas animo

ταῦτα; Φέρε τὰς προλήψεις, φέρε τὰς ἀποδείξεις τὰς τῶν φιλοσόφων, φέρε ἃ πολλάκις ἤκουσας, φέρε δ' ἃ εἶπας αὐτὸς, φέρε ἃ ἀνέγνως, φέρε ἃ ἐμελέτησας.

7. Μέχρις οὖν τίνος ταῦτα τηρεῖν καλῶς ἔχει, καὶ τὴν παιδιὰν μὴ λύειν; Μέχρις ἂν κομψῶς διεξάγηται. (8) Ἐν Σατορναλίοις λέλογχε βασιλεύς· ἔδοξε γὰρ παῖξαι ταύτην τὴν παιδιάν· προστάσσει, Σὺ πίε, Σὺ κέρασον, Σὺ ᾆσον, Σὺ ἄπελθε, Σὺ ἐλθέ. (9) Ὑπακούω, ἵνα μὴ παρ' ἐμὲ λύηται ἡ παιδιά. Ἀλλὰ, Σὺ ὑπολάμβανε, ὅτι ἐν κακοῖς εἶ. Οὐχ ὑπολαμβάνω· καὶ τίς μ' ἀναγκάσει ὑπολαμβάνειν;

10. Πάλιν, συνεθέμεθα παῖξαι τὰ περὶ Ἀγαμέμνονα καὶ Ἀχιλλέα. Καταταγεὶς Ἀγαμέμνων, λέγει μοι, Πορεύου πρὸς τὸν Ἀχιλλέα, καὶ ἀπόσπασον τὴν Βρισηΐδα. Πορεύομαι. Ἔρχου. Ἔρχομαι. (11) Ὥσπερ γὰρ ἐπὶ τῶν ὑποθετικῶν λόγων ἀναστρεφόμεθα, οὕτω δεῖ καὶ ἐπὶ τοῦ βίου. Ἔστω νύξ. Ἔστω. Τί οὖν; ἡμέρα ἐστίν; Οὔ· ἔλαβον γὰρ ὑπόθεσιν τοῦ νύκτα εἶναι. Ἔστω σε ὑπολαμβάνειν ὅτι νύξ ἐστιν. Ἔστω. (12) Ἀλλὰ καὶ ὑπόλαβε ὅτι νύξ ἐστιν. Οὐκ ἀκολουθεῖ τῇ ὑποθέσει. (13) Οὕτω καὶ ἐνταῦθα. Ἔστω σε εἶναι δυστυχῆ. Ἔστω. Ἆρ' οὖν ἀτυχὴς εἶ; Ναί. Τί οὖν; κακοδαιμονεῖς; Ναί. Ἀλλὰ καὶ ὑπόλαβε ὅτι ἐν κακοῖς εἶ. Οὐκ ἀκολουθεῖ τῇ ὑποθέσει· καὶ ἄλλος με κωλύει.

14. Μέχρι πόσου οὖν ὑπακουστέον τοῖς τοιούτοις; Μέχρις ἂν οὗ λυσιτελῇ· τοῦτο δ' ἔστι, μέχρις ἂν οὗ σώζω τὸ πρέπον καὶ τὸ κατάλληλον. (15) Λοιπὸν οἱ μέν εἰσι καταύστηροι καὶ κακοστόμαχοι, καὶ λέγουσιν, Ἐγὼ οὐ δύναμαι παρὰ τούτῳ δειπνεῖν, ἵν' αὐτοῦ ἀνέχωμαι καθ' ἡμέραν διηγουμένου πῶς ἐν Μυσίᾳ ἐπολέμησε· Διηγησάμην σοι, ἀδελφὲ, πῶς ἐπὶ τὸν λόφον ἀνέβην· πάλιν ἄρχομαι πολιορκεῖσθαι. (16) Ἄλλος δὲ λέγει· Ἐγὼ δειπνῆσαι θέλω μᾶλλον, καὶ ἀκούειν αὐτοῦ, ὅσα θέλει ἀδολεσχοῦντος. (17) Καὶ σὺ σύγκρινε ταύτας τὰς ἀξίας· μόνον μηδὲν βαρούμενος ποίει, μὴ θλιβόμενος, μηδ' ὑπολάμβάνων ἐν κακοῖς εἶναι· τοῦτο γὰρ οὐδείς σε ἀναγκάζει. (18) Καπνὸν πεποίηκεν ἐν τῷ οἰκήματι; ἂν μέτριον, μενῶ· ἂν λίαν πολὺν, ἐξέρχομαι. Τούτου γὰρ δεῖ μεμνῆσθαι καὶ κρατεῖν, ὅτι ἡ θύρα ἤνοικται. (19) Ἀλλὰ, Μὴ οἴκει ἐν Νικοπόλει. Οὐκ οἰκῶ. Μηδ' ἐν Ἀθήναις. Οὐδ' ἐν Ἀθήναις. Μηδ' ἐν Ῥώμῃ. Οὐδ' ἐν Ῥώμῃ. Ἐν Γυάροις οἴκει. Οἰκῶ. (20) Ἀλλὰ πολύς μοι καπνὸς φαίνεται, τὸ ἐν Γυάροις οἰκεῖν. Ἀποχωρῶ, ὅπου μ' οὐδεὶς κωλύσει οἰκεῖν· ἐκείνη γὰρ ἡ οἴκησις παντὶ ἤνοικται· (21) καὶ τὸ τελευταῖον χιτωνάριον, τοῦτ' ἔστι τὸ σωμάτιον, τούτου ἀνωτέρω οὐδενὶ οὐδὲν εἰς ἐμὲ ἔξεστι. (22) Διὰ τοῦτο ὁ Δημήτριος εἶπε τῷ Νέρωνι· Ἀπειλεῖς μοὶ θάνατον, σοὶ δ' ἡ φύσις. (23) Ἂν δὲ τὸ σωμάτιον θαυμάσω, δοῦλον ἐμαυτὸν παραδέδωκα· ἂν τὸ κτησείδιον, δοῦλον. (24) Εὐθὺς γὰρ αὐτὸς κατ' ἐμαυτοῦ δηλῶ, τίνι ἁλωτός εἰμι· ὡς ὁ ὄφις ἐὰν συσπᾷ τὴν κεφαλὴν, λέγω, ἐκεῖνο αὐτοῦ τύπτε ὃ φυλάσσει. Καὶ σὺ γίνωσκε, ὅτι ὃ ἂν φυλάσσειν ἐθέλῃς, κατ'

notiones; prome demonstrationes philosophorum; prome ea quæ sæpe audivisti; immo quæ ipse dixisti, quæ legisti, quæ meditatus es: *et intelliges a deo data esse ista mandata.*

7. Quousque igitur servare ista rectum est, ludumque non dirimere? Quoad is concinne actus fuerit. (8) Saturnalibus sortito rex *aliquis* factus est: visum erat enim eum ludere ludum: imperat ille, Tu bibe! tu misce! tu cane! tu abi! tu accede. (9) Obtempero, ne per me ludus dirimatur. At, *si rex dicat,* Tu in malis te esse putato! non puto: et quis me putare coget?

10. Rursus, constituimus ludum repræsentare Agamemnonis et Achillis. Cui persona imposita est Agamemnonis, mihi dicit: Achillem accedito, et abstrahe Briseidem! Abeo. Veni! Venio. (11) Quemadmodum enim in argumentationibus hypotheticis versamur, ita etiam in vita est versandum. Esto nox! Esto. Quid ergo: dies est? Non: conditionem enim hanc admisi, esse noctem. Ponamus te putare esse noctem. Ponamus. (12) At vero etiam puta esse noctem! Id quidem conditioni positæ non est consequens. (13) Sic etiam hoc loco: Ponamus te esse infelicem! Ponamus. Igitur infelix es? Sum. Quid ergo? adversa fortuna uteris? Ita. At etiam putato te miserum esse! Hoc non consequens est hypothesi: et alius me vetat.

14. Quousque igitur in hoc genere mos est gerendus? Quousque expedit: hoc est, quatenus servo quod decorum est et consentaneum. (15) Ceterum sunt alii subausteri et fastidiosiore stomacho, qui dicant: Ego non possum apud illum cœnare, ut eum feram quotidie commemorantem, quo pacto in Mysia bellum gesserit: Narravi, tibi frater, ut tumulum conscenderim; rursus deinde obsideri cœpi. (16) Alius vero ait se potius cœnare velle, et auditurum quasvis illius nugas. (17) Et tu, collata inter se utraque harum æstimationum, ipse utere judicio, dummodo nihil gravate facias, non afflictus, neque in malis te esse existimans; istud enim nemo te cogit. (18) Fumum excitavit in cubiculo? si mediocrem, manebo; si nimis spissum, egredior. Hoc enim meminisse te et tenere oportet, januam apertam esse. (19) At, Ne habites Nicopoli! Non habitabo. Nec Athenis! Neque Athenis! Nec Romæ. Neque Romæ. In Gyaris habita! Habito. (20) Sed, in Gyaris habitare, magnum mihi fumum habere videtur. Eo discedo, ubi me habitare nemo prohibebit; nam illa habitatio cuivis est aperta: (21) et postremum amiculum, corpusculum hoc est, ultra quod nemini quidquam in me licet. (22) Quapropter Demetrius Neroni dixit: *Tu mihi mortem minitaris, natura tibi.* (23) Quodsi vero corpusculum demiratus ero, in servitutem me dedi; si possessiunculam, eodem modo. (24) Statim enim ipse de me indicium facio, qua re capi queam: non secus ac serpens; qui cum caput contrahit, jubeo te illam ejus partem percutere, cui ille cavet. Sic tu quoque scito, quidquid custodire volueris, ab ea parte

ἐκεῖνο ἐπιβήσεταί σου ὁ κύριος. (25) Τούτων μεμνημένος, τίνα ἔτι κολακεύσεις, ἢ φοβήσῃ;

26. Ἀλλὰ θέλω καθῆσθαι ὅπου οἱ συγκλητικοί. Ὁρᾷς ὅτι σὺ σαυτῷ στενοχωρίαν παρέχεις; σὺ σαυτὸν θλίβεις. (27) Πῶς οὖν ἄλλως θεωρήσω καλῶς ἐν τῷ ἀμφιθεάτρῳ; Ἄνθρωπε, * καὶ * μὴ θεώρει, καὶ οὐ μὴ θλιβῇς. Τί πράγματα ἔχεις; ἢ μικρὸν ἔκδεξαι, καὶ ἀχθείσης τῆς θεωρίας κάθισον εἰς τοὺς τῶν συγκλητικῶν τόπους, καὶ ἡλιάζου. (28) Καθόλου γὰρ ἐκείνου μέμνησο, ὅτι ἑαυτοὺς θλίβομεν, ἑαυτοὺς στενοχωροῦμεν· τοῦτ' ἔστι, τὰ δόγματα ἡμᾶς θλίβει καὶ στενοχωρεῖ. (29) Ἐπεὶ τί ἐστιν αὐτὸ τὸ λοιδορεῖσθαι; Παραστὰς λίθον λοιδόρει· καὶ τί ποιήσεις; Ἂν οὖν τις ὡς λίθος ἀκούῃ, τί ὄφελος τῷ λοιδοροῦντι; ἂν δ' ἔχῃ τὴν ἀσθένειαν τοῦ λοιδορουμένου ὁ λοιδορῶν ἐπιβάθραν, τότε ἀνύει τι. (30) Περίσχισον αὐτόν. Τί λέγεις αὐτόν; τὸ ἱμάτιον λάβε, περίσχισον. Ὕβριν σοι πεποίηκα. Καλῶς σοι γένοιτο. (31) Ταῦτα ἐμελέτα Σωκράτης· διὰ τοῦτο ἓν ἔχων πρόσωπον ἀεὶ διετέλει. Ἡμεῖς δὲ θέλομεν πάντα μᾶλλον ἀσκεῖν καὶ μελετᾶν, ἢ ὅπως ἀπαραπόδιστοι καὶ ἐλεύθεροι ἐσόμεθα. (32) Παράδοξα λέγουσιν οἱ φιλόσοφοι. Ἐν δὲ ταῖς ἄλλαις τέχναις οὐκ ἔστι παράδοξα; καὶ τί παραδοξότερόν ἐστιν, ἢ κεντεῖν τινα τὸν ὀφθαλμὸν, ἵνα ἴδῃ; εἴ τις ἀπείρῳ τῶν ἰατρικῶν τοῦτο εἶπεν, οὐχ ἂν κατεγέλα τοῦ λέγοντος; (33) Τί οὖν θαυμαστὸν, εἰ καὶ ἐν φιλοσοφίᾳ πολλὰ τῶν ἀληθῶν παράδοξα φαίνεται τοῖς ἀπείροις;

invasurum te esse tuum dominum. (25) Harum rerum memor si fueris, cui jam porro adulaberis? quem timebis?

26. At sedere volo ubi senatores. Nonne vides te ipsum tibi circumdare angustias? te a te ipso premi? (27) Quo pacto ergo aliter commode in amphitheatro spectabo? Homo, ne spectato quidem : ita non premeris. Quid tibi ipsi negotium facessis? Aut paululum exspecta, finitoque spectaculo in senatorias sedes te confer, et apricare. (28) Nam illud universe meminisse oportet, nos a nobis ipsis premi, a nobismet ipsis in angustias redigi : hoc est, decretis nostris premi nos et coarctari. (29) Etenim hoc ipsum quid est, conviciis peti? Asta lapidi, eique conviciare : quid proficies? Si quis ergo ut lapis audierit, quam e suis maledictis capiet utilitatem conviciator? quodsi vero conviciator ejus cui maledicit imbecillitatem, veluti pontem, habuerit; tunc aliquid proficiet. (30) Exue hunc! Quid ais ipsum? vestem prehende; hanc discinde. Contumelia te adfeci. Bene sit tibi! (31) Hæc meditabatur Socrates; eaque de caussa eodem semper erat vultu. Nos autem quævis potius exercere meditarique volumus, quam qua ratione omnis impedimenti immunes ac liberi simus futuri. (32) Paradoxa dicunt philosophi! Atqui in aliis artibus nullane sunt paradoxa? Et quid magis præter opinionem est, quam alicui pungi oculum, ut videat? quodsi quis homini rei medicæ ignaro id diceret, nonne rideretur ab eo? (33) Quid ergo mirum est, multa etiam in philosophia, utut vera sint, paradoxa videri imperitis?

ΚΕΦ. ΚϚʹ.

Τίς ὁ βιωτικὸς νόμος.

1. Ἀναγινώσκοντος δέ [τοῦ] τοὺς ὑποθετικοὺς, ἔφη· Νόμος ὑποθετικός ἐστι καὶ οὗτος, τὸ ἀκόλουθον τῇ ὑποθέσει παραδέχεσθαι· πολὺ δὲ πρότερον νόμος βιωτικός ἐστιν οὗτος, τὸ ἀκόλουθον τῇ φύσει πράττειν. (2) Εἰ γὰρ ἐπὶ πάσης ὕλης καὶ περιστάσεως βουλόμεθα τηρῆσαι τὸ κατὰ φύσιν, δῆλον ὅτι ἐν παντὶ στοχαστέον τοῦ μήτε τὸ ἀκόλουθον ἡμᾶς ἐκφυγεῖν, μήτε παραδέξασθαι τὸ μαχόμενον. (3) Πρῶτον οὖν ἐπὶ τῆς θεωρίας γυμνάζουσιν ἡμᾶς οἱ φιλόσοφοι, ὅπου ῥᾷον· εἶτα οὕτως ἐπὶ τὰ χαλεπώτερα ἄγουσιν· ἐνταῦθα γὰρ οὐδέν ἐστι τὸ ἀνθέλκον, ὡς πρὸς τὸ ἀκολουθῆσαι τοῖς διδασκομένοις· ἐπὶ δὲ τῶν βιωτικῶν πολλὰ τὰ περισπῶντα. (4) Γελοῖος οὖν ὁ λέγων, πρῶτον βούλεσθαι ἀπ' ἐκείνων· οὐ γὰρ ῥᾴδιον ἄρχεσθαι ἀπὸ τῶν χαλεπωτέρων. (5) Καὶ τοῦτον τὸν ἀπολογισμὸν ἔδει φέρειν πρὸς τοὺς γονεῖς, τοὺς ἀγανακτοῦντας ἐπὶ τῷ φιλοσοφεῖν τὰ τέκνα· Οὐκοῦν ἁμαρτάνω, πάτερ, καὶ οὐκ οἶδα τὸ ἐπιβάλλον ἐμαυτῷ καὶ προσῆκον; εἰ μὲν οὐδὲ μαθητόν ἐστιν οὐδὲ διδακτὸν, τί μοι ἐγκαλεῖς; εἰ δὲ διδακτὸν, δίδασκε· εἰ δὲ σὺ μὴ δύνασαι, ἄφες με μαθεῖν παρὰ τῶν λεγόντων εἰδέναι. (6) Ἐπεὶ τί δοκεῖς; ὅτι θέλων περιπίπτω κακῷ, καὶ ἀποτυγχάνω τοῦ ἀγαθοῦ; Μὴ γένοιτο. (7) Τί οὖν ἐστι τὸ αἴτιον τοῦ ἁμαρτάνειν με; Ἡ ἄγνοια. Οὐ θέλεις οὖν ἀποθῶμαι τὴν ἄγνοιαν; Τίνα πώποτε ὀργὴ ἐδίδαξε

CAP. XXVI.

Quæ sit vitæ lex.

1. Cum hypotheticas argumentationes prælegeret, ait : Est etiam hæc lex hypothetica, ut id admittatur quod hypothesi sit consentaneum : est autem multo potior vitæ lex hæc, ut id agamus quod naturæ sit consentaneum. (2) Nam si in quavis materia et quavis occasione id tenere volumus, quod secundum naturam est; apparet, in omni re operam esse dandam, ut neque id quod consequens est nos effugiat, neque aliquid repugnans admittamus. (3) Primum igitur in contemplatione nos exercent philosophi, id quod facilius est; et deinde demum ad difficiliora nos perducunt : ibi enim nihil est quod renitatur, quominus ea sequamur quæ docentur; in vitæ autem ratione multa sunt, quæ huc atque illuc distrahant. (4) Ridiculus est igitur qui ait, se ab his velle capere initium : neque enim facile est a difficilioribus auspicari. (5) Et hæc defensio ad parentes erat afferenda, qui moleste ferunt, liberos suos philosophari : Ergo pecco, pater, et ignoro quod mihi conveniat, quodque meum sit officium? quodsi igitur neque disci potest neque doceri, quid me accusas? sin doceri potest, doce : quodsi tu non potes, sine ab iis discam, qui se scire profitentur. (6) Nam quid putas? me volentem in malum incidere, et frustrari bono? Absit. (7) Quæ igitur mihi peccandi caussa est? Ignorantia. Non vis igitur me deponere ignorantiam? Quem umquam ira

τὰ κυβερνητικὰ, τὰ μουσικά; τὰ βιωτικὰ οὖν διὰ τὴν ὀργήν σου δοκεῖς ὅτι μαθήσομαι;

8. Ταῦτα ἐκείνῳ μόνῳ λέγειν ἔξεστι, τῷ τὴν τοιαύτην ἐπιβολὴν ἐνηνοχότι. (9) Εἰ δέ τις μόνον ἐπιδείκνυσθαι θέλων ἐν συμποσίῳ, ὅτι οἶδε τοὺς ὑποθετικοὺς, ἀναγινώσκει ταῦτα, καὶ προσέρχεται τοῖς φιλοσόφοις· οὗτος ἄλλο τι πράσσει, ἢ ἵνα αὐτὸν συγκλητικὸς παρακατακείμενος θαυμάσῃ; (10) Ἐκεῖ γὰρ τῷ ὄντι αἱ μεγάλαι ὗλαι εἰσί· καὶ οἱ ἐνθάδε πλοῦτοι, ἐκεῖ παίγνια δοκοῦσι. Διὰ τοῦτο ἐκεῖ δύσκολον κρατῆσαι τῶν αὐτοῦ φαντασιῶν, ὅπου τὰ ἐκσείοντα μεγάλα. (11) Ἐγώ τινα οἶδα κλαίοντα, Ἐπαφροδίτου τῶν γονάτων ἁπτόμενον, καὶ λέγοντα ταλαιπωρεῖν, ἀπολελεῖφθαι γὰρ αὐτῷ μηδὲν, εἰ μὴ ἑκατὸν πεντήκοντα μυριάδας. (12) Τί οὖν ὁ Ἐπαφρόδιτος; κατεγέλασεν, ὡς ἡμεῖς; Οὔ· ἀλλ' ἐπιθαυμάσας λέγει, Τάλας, πῶς οὖν ἐσιώπας; πῶς ἐκαρτέρεις;

13. Κράξας δὲ τὸν ἀναγινώσκοντα τοὺς ὑποθετικοὺς, καὶ γελάσαντος τοῦ ὑποθεμένου αὐτῷ τὴν ἀνάγνωσιν, Σεαυτοῦ, ἔφη, καταγελᾷς· οὐ προεγύμνασας τὸν νεανίσκον, οὐδ' ἔγνως εἰ δύναται τούτοις παρακολουθεῖν. Ἀλλ' ὡς ἀναγνώστῃ αὐτῷ χρῇ; (14) Τί οὖν, ἔφη, τῇ [μὴ] δυναμένῃ διανοίᾳ συμπεπλεγμένου ἐπικρίσει παρακολουθεῖν, ἔπαινον πιστεύομεν, ψόγον πιστεύομεν, ἐπίκρισιν περὶ τῶν καλῶς ἢ κακῶς γινομένων; κἂν τινα κακῶς λέγῃ, οὗτος ἐπιστρέφεται; κἂν ἐπαινῇ τινα, ἐπαίρεται, ἐν τοῖς οὕτω μικροῖς ὁ μὴ εὑρίσκων τὸ ἑξῆς; (15) Αὕτη οὖν ἀρχὴ τοῦ φιλοσοφεῖν, αἴσθησις τοῦ ἰδίου ἡγεμονικοῦ, πῶς ἔχει· μετὰ γὰρ τὸ γνῶναι ὅτι ἀσθενῶς, οὐκ ἔτι θελήσει χρῆσθαι αὐτῷ πρὸς τὰ μέγιστα. (16) Νῦν δὲ μὴ δυνάμενοί τινες τὸν ψωμὸν καταπίνειν, συντάξεις ἀγοράζοντες ἐπιβάλλονται ἐσθίειν. Διὰ τοῦτο ἐμοῦσιν, ἢ ἀπεπτοῦσιν· εἶτα στρόφοι, καὶ κατάῤῥοιαι, καὶ πυρετοί. (17) Ἔδει δ' ἐφιστάνειν, εἰ δύνανται. Ἀλλ' ἐν μὲν θεωρίᾳ ῥᾴδιον ἐξελέγξαι τὸν οὐκ εἰδότα· ἐν δὲ τοῖς κατὰ τὸν βίον οὔτε παρέχει ἑαυτόν τις ἐλέγχῳ, τόν τ' ἐξελέγξαντα μισοῦμεν. (18) Ὁ δὲ Σωκράτης ἔλεγεν, ἀνεξέταστον βίον μὴ ζῆν.

docuit gubernandi artem? quem musicam? vivendi igitur artem putas fore ut tua me ira doceat?

8. Hæc vero nonnisi ei licet dicere, qui tale animi propositum secum tulit. (9) Si quis autem, ut in convivio duntaxat ostentet scire se rationes hypotheticas, ista legit, et philosophos accedit: is quid aliud agit, nisi ut senator aliquis mensæ juxta eum accumbens ipsum admiretur? (10) Nam illic revera magnæ sunt materiæ: et hujus loci divitiæ illic pro ludicris habentur. Quapropter ibi difficile est imperare suis visis, ubi, quæ de potestate mentis dejicere nos possunt, magna sunt. (11) Ego novi nonneminem, qui plorans et Epaphroditi genua amplexans, se miserum esse diceret, quod sibi nihil nisi sexagies esset reliquum. (12) Quid ergo Epaphroditus? derisitne hominem, ut nos? Immo miratus, O te miserum! inquit, quo pacto igitur tacuisti? quo pacto tolerasti?

13. Cum autem eum qui hypothetica pronuntiata legebat, vocasset, eumque is qui legendi munus illi mandarat, derideret; Te ipsum, inquit, derides; non præparasti adolescentem, nec explorasti, an ista possit ratione assequi. At eo ut anagnoste uteris? (14) Quid igitur, inquit, ingenio, quod complexi syllogismi judicium [non] queat assequi, laudationem credimus, reprehensionem credimus, judiciumque ferendum de recte aut perperam factis? quodsi quem vituperat, hic curabit? extolletur vero, si quem laudat homo qui in rebus tam minutis consequentia non cernit? (15) Hoc igitur est philosophandi principium, ut animadvertat homo, mens et ratio sua quo pacto sit affecta: nam ejus imbecillitate cognita, ea posthac uti non volet ad res maximas. (16) Nunc cum nonnulli deglutire buccellam non possint, volumina emunt, eaque devorare conantur. Unde fit ut aut revomant, aut cruditate laborent: inde vertigines, fluxiones et febres oriuntur. (17) His considerandum erat, quid possent. Verum in contemplatione quidem facile est coarguere ignorantem; in vitæ autem actionibus neque se quisquam coarguendum exhibet, et eum qui coarguit odimus. (18) Socrates autem dixit, vitam in quam non inquiritur non esse vitalem.

ΚΕΦ. ΚΖ'.

Ποσαχῶς αἱ φαντασίαι γίνονται· καὶ τίνα πρόχειρα πρὸς αὐτὰς βοηθήματα παρασκευαστέον.

1. Τετραχῶς αἱ φαντασίαι γίνονται ἡμῖν· ἢ γὰρ, ὡς ἔστι τινὰ, οὕτω φαίνεται· ἢ οὐκ ὄντα, οὐδὲ φαίνεται ὅτι ἐστίν· ἢ ἔστι, καὶ οὐ φαίνεται· ἢ οὐκ ἔστι, καὶ φαίνεται. (2) Λοιπὸν, ἐν πᾶσι τούτοις εὐστοχεῖν, ἔργον ἐστὶ τοῦ πεπαιδευμένου. Ὅ τι δ' ἂν ᾖ τὸ θλῖβον, ἐκείνῳ δεῖ προσάγειν τὴν βοήθειαν· εἰ σοφίσματα ἡμᾶς Πυῤῥώνεια καὶ Ἀκαδημαϊκὰ τὰ θλίβοντά ἐστιν, ἐκείνοις προσάγωμεν τὴν βοήθειαν· (3) εἰ αἱ τῶν πραγμάτων πιθανότητες, καθ' ἃς φαίνεταί τινα ἀγαθὰ, οὐκ ὄντα, ἐκεῖ τὴν βοήθειαν ζητῶμεν· εἰ ἔθος ἐστὶ τὸ θλῖβον, πρὸς ἐκεῖνο τὴν βοήθειαν ἀνευρίσκειν πειρατέον. (4) Τί οὖν πρὸς ἔθος ἐστὶν εὑρίσκειν βοήθημα; Τὸ ἐναντίον ἔθος. (5)

CAP. XXVII.

Quotuplicia sint visa; et quæ adjumenta adversus ea comparanda sint.

1. Quatruplicia sunt visa quæ nobis accidunt: aut enim sunt res tales, quales videntur; aut non sunt, nec esse videntur; aut sunt, et non esse videntur; aut non sunt, et esse videntur. (2) In his igitur omnibus scopum attingere, munus est hominis eruditi. Quidquid autem nos presserit, ei adferendum erit remedium: si captiones nos Pyrrhoniæ et Academicæ premunt, adversus illas auxilia adhibeamus: (3) si rerum probabilitates, quibus fit ut nonnulla, quæ bona non sunt, in bonis esse videantur; ei parti suppetias quæramus: si consuetudo erit quæ premat, danda erit opera, ut adversus hanc auxilium inveniamus. (4) Quod igitur contra consuetudinem adjumentum invenietur? Contraria consuetudo. (5) Vulgo dici audis: Miser ille mortuus

Ἀκούεις τῶν ἰδιωτῶν λεγόντων· Τάλας ἐκεῖνος ἀπέθανεν· ἀπώλετο ὁ πατὴρ αὐτοῦ, ἡ μήτηρ· ἐξεκόπη, ἀλλὰ καὶ ἄωρος, καὶ ἐπὶ ξένης. (6) Ἄκουσον τῶν ἐναντίων λόγων· ἀπόσπασον σεαυτὸν τούτων τῶν φωνῶν· ἀντίθες τῷ ἔθει τὸ ἐναντίον ἔθος. Πρὸς τοὺς σοφιστικοὺς λόγους τὰ λογικὰ καὶ τὴν ἐν τούτοις γυμνασίαν καὶ τριβήν· πρὸς τὰς τῶν πραγμάτων πιθανότητας, τὰς ἐναργεῖς προλήψεις ἐσμηγμένας καὶ προχείρους ἔχειν δεῖ.

7. Ὅταν θάνατος φαίνηται κακὸν, πρόχειρον ἔχειν ὅτι τὰ κακὰ ἐκκλίνειν καθήκει, καὶ ἀναγκαῖον ὁ θάνατος. Τί γὰρ ποιήσω; ποῦ γὰρ αὐτὸν φύγω; (8) Ἔστω ἐμὲ [μὴ] εἶναι Σαρπηδόνα τὸν τοῦ Διὸς, ἵν' οὕτω γενναίως εἴπω, Ἀπελθὼν ἢ αὐτὸς ἀριστεῦσαι θέλω, ἢ ἄλλῳ παρασχεῖν ἀφορμὴν τοῦ ἀριστεῦσαι· εἰ μὴ δύναμαι κατορθῶσαί τι αὐτὸς, οὐ φθονήσω ἄλλῳ τοῦ ποιῆσαί τι γενναῖον. (9) Ἔστω ταῦτα ὑπὲρ ἡμᾶς· ἐκεῖνο οὐ πίπτει εἰς ἡμᾶς; καὶ ποῦ φύγω τὸν θάνατον; μηνύσατέ μοι τὴν χώραν· μηνύσατε ἀνθρώπους εἰς οὓς ἀπέλθω, εἰς οὓς οὐ παραβάλλει· μηνύσατε ἐπαοιδήν· εἰ μὴ ἔχω, τί με θέλετε ποιεῖν; (10) Οὐ δύναμαι τὸν θάνατον ἀποφυγεῖν· τὸ φοβεῖσθαι αὐτὸν μὴ ἀποφύγω; ἀλλ' ἀποθάνω πενθῶν καὶ τρέμων; Αὕτη γὰρ γένεσις πάθους, θέλειν τι, καὶ μὴ γίνεσθαι. (11) Ἔνθεν, ἂν μὲν δύνωμαι τὰ ἐκτὸς μετατιθέναι πρὸς τὴν βούλησιν τὴν ἐμαυτοῦ, μετατίθημι· εἰ δὲ μὴ, τὸν ἐμποδίζοντα ἐκτυφλῶσαι θέλω. (12) Πέφυκε γὰρ ὁ ἄνθρωπος, μὴ ὑπομένειν ἀφαιρεῖσθαι τοῦ ἀγαθοῦ, μὴ ὑπομένειν περιπίπτειν τῷ κακῷ. (13) Εἶτα τὸ τελευταῖον, ὅταν μήτε τὰ πράγματα μεταθεῖναι δυνηθῶ, μήτε τὸν ἐμποδίζοντα ἐκτυφλῶσαι, κάθημαι καὶ στένω, καὶ ὃν δύναμαι λοιδορῶ, τὸν Δία καὶ τοὺς θεοὺς τοὺς ἄλλους· εἰ γὰρ μὴ ἐπιστρέφονταί μου, τί ἐμοὶ καὶ αὐτοῖς; (14) Ναί· ἀλλ' ἀσεβὴς ἔσῃ. Τί οὖν μοι χεῖρον ἔσται, ὧν ἐστί μοι νῦν; Τὸ σύνολον, ἐκείνου μεμνῆσθαι, ὅτι ἐὰν μὴ ἐν τῷ αὐτῷ ᾖ τὸ εὐσεβὲς καὶ συμφέρον, οὐ δύναται σωθῆναι τὸ εὐσεβὲς ἔν τινι. Ταῦτα οὐ δοκεῖ ἐπείγοντα;

15. Ἐρχέσθω καὶ ἀπαντάτω Πυῤῥώνειος καὶ Ἀκαδημαϊκός. Ἐγὼ μὲν γὰρ, τὸ ἐμὸν μέρος, οὐκ ἄγω σχολὴν πρὸς ταῦτα, οὐδὲ δύναμαι συνηγορῆσαι τῇ συνηθείᾳ. (16) Εἰ καὶ περὶ ἀγριδίου πραγμάτιον εἶχον, ἄλλον ἂν παρεκάλεσα τὸν συνηγορήσοντα; Τίνι οὖν ἀρκοῦμαι; Τῷ κατὰ τὸν τόπον. (17) Πῶς μὲν αἴσθησις γίνεται, πότερον δι' ὅλων, ἢ ἀπὸ μέρους, ἴσως οὐκ οἶδα ἀπολογίσασθαι· ταράσσει δέ με ἀμφότερα· ὅτι δ' ἐγὼ καὶ σὺ οὐκ ἐσμὲν οἱ αὐτοὶ, λίαν ἀκριβῶς οἶδα. (18) Πόθεν τοῦτο; Οὐδέποτε καταπίνειν τι θέλων, ἐκεῖ φέρω τὸν ψωμὸν, ἀλλ' ὧδε· οὐδέποτ' ἄρτον θέλων λαβεῖν, τὸ σάρον ἔλαβον, ἀλλ' ἀεὶ ἐπὶ τὸν ἄρτον ἔρχομαι, ὡς πρὸς σκοπόν. (19) Ὑμεῖς δ' αὐτοὶ, οἱ τὰς αἰσθήσεις ἀναιροῦντες, ἄλλο τι ποιεῖτε; Τίς ὑμῶν εἰς βαλανεῖον ἀπελθεῖν θέλων, εἰς μυλῶνα ἀπῆλθε; (20) Τί οὖν; οὐ δεῖ κατὰ δύναμιν καὶ τούτων ἀντέχεσθαι, τοῦ τηρῆσαι τὴν ἀλήθειαν, τοῦ πεφράχθαι πρὸς τὰ κατ' αὐτῆς; (21) Καὶ τίς ἀντιλέγει; Ἀλλὰ τὸν δυνάμενον, τὸν σχολά-

est; periit pater ejus atque mater; sublatus est e medio, atque etiam immatura ætate, et peregre. (6) Audi contrarias rationes; avelle te ab istis vocibus; oppone consuetudini contrariam consuetudinem. Adversus captiosas conclusiunculas adhibenda est disserendi ars, ejusque exercitatio et usus : contra rerum probabilitatem, evidentes animi anticipationes expolitas et promptas habere oportet.

7. Quodsi malum videtur mors, in promptu habere expedit, mala declinanda esse, mortem autem esse necessariam. Quid ergo faciam? qui eam fugiam? (8) Ut non sim ego Sarpedon, Jovis filius, qui fortia illa verba fundam : « Abibo, et aut ipse rem bene geram, aut alteri occasionem rei bene gerendæ dabo : si ipse rem feliciter gerere non potero, alteri non invidebo præclari facinoris gloriam. » (9) Si hoc supra nos est; illu didcirco non in nos cadit? Et quo me recipiam, ut mortem effugiam? ostendite mihi locum! ostendite homines ad quos me conferam; ad quos non perveniat! ostendite incantationem! Si non habeo, quid me vultis facere? (10) Non possum effugere mortem : metum mortis effugere non potero? sed moriar lugens et tremens? Hic enim perturbationis ortus est, velle aliquid, atque id non fieri. (11) Proinde, si res externas ad meam voluntatem transferre possum, transfero : sin minus, eum qui me impedit, excæcare volo, *ut Ulysses Cyclopem.* (12) Sic enim natura comparatus est homo, ut non patiatur eripi sibi bonum, non patiatur incidere in malum. (13) Denique, si neque res transferre queo, [neque eum excæcare, qui me impedit; sedeo gemens, et, quemcunque possum, maledictis lacero, ipsum adeo Jovem, et deos ceteros : nam si me non curant; quid mihi rei cum illis est? (14) Itane? at impius eris! Quid ergo mihi tum pejus erit, quam nunc est? Illud enim omnino meminisse oportet; nisi in eadem re et pietas et utilitas collocetur, non posse in homine pietatem conservari. Hæc non videntur esse necessaria?

15. Veniat et refragetur Pyrrhonius et Academicus. Equidem, quod ad me adtinet, ad ista non satis otii habeo, neque patrocinari possum consuetudini. (16) Quodsi mihi vel de agello negotium esset, alium patronum advocarem? Quonam ergo contentus sum? Eo quod ad locum illum pertinet. (17) Quo pacto quidem sensus fiat, utrum per totum corpus sit fusus, an a parte aliqua exsistat, rationem fortasse reddere non possum; nam utraque opinio me conturbat : me vero et te non esse eosdem, certo utique scio. (18) Unde hoc? Numquam, cum aliquid deglutire volo, istuc fero bolum, sed huc; neque umquam, panem sumturus, scopas prehendi; sed semper ad panem, quo tendo, accedo. (19) Vos autem ipsi, qui sensus tollitis, numquid aliud agitis? Quis vestrûm, balneum ingressurus, in pistrinum abiit? (20) Quid ergo? non pro virili et his opera danda est, ut teneatur veritas, ut muniti simus adversus ea quæ contra ipsam afferuntur? Et quis negat? (21) Sed his operam dare oportet eum qui potest, et cui otium est : at

ζοντα· τὸν δὲ τρέμοντα, καὶ ταρασσόμενον, καὶ ῥηγνύμενον ἔσωθεν τὴν καρδίαν, ἄλλῳ τινὶ δεῖ προσευχαιρεῖν.

qui tremit ac perturbatur, et cui cor intus rumpitur, is rectius alii cuipiam rei vacabit.

ΚΕΦ. ΚΗ'.

Ὅτι οὐ δεῖ χαλεπαίνειν ἀνθρώποις· καὶ τίνα τὰ μικρὰ καὶ μεγάλα ἐν ἀνθρώποις.

CAP. XXVIII.

Non irascendum esse hominibus : et quæ magna, quæ parva sint in rebus humanis.

1. Τί ἐστιν αἴτιον τοῦ συγκατατίθεσθαί τινι; Τὸ φαίνεσθαι ὅτι ὑπάρχει. (2) Τῷ οὖν φαινομένῳ ὅτι οὐχ ὑπάρχει συγκατατίθεσθαι οὐχ οἷόν τε. Διὰ τί; Ὅτι ἡ φύσις αὕτη ἐστὶ τῆς διανοίας, τοῖς μὲν ἀληθέσιν ἐπινεύειν, τοῖς δὲ ψευδέσι δυσαρεστεῖν, πρὸς δὲ τὰ ἄδηλα ἐπέχειν. (3) Τίς τούτου πίστις; Πάθε, εἰ δύνασαι, νῦν, ὅτι νύξ ἐστιν. Οὐχ οἷόν τε. Ἀπόπαθε ὅτι ἡμέρα ἐστίν. Οὐχ οἷόν τε. Πάθε ἢ ἀπόπαθε ἀπὸ τοῦ ἀρτίους εἶναι τοὺς ἀστέρας. Οὐχ οἷόν τε. (4) Ὅταν οὖν τις συγκατατίθηται τῷ ψεύδει, ἴσθι ὅτι οὐκ ἤθελε ψεύδει συγκατατίθεσθαι· πᾶσα γὰρ ψυχὴ ἄκουσα στερεῖται τῆς ἀληθείας, ὡς λέγει Πλάτων· ἀλλὰ ἔδοξεν αὐτῷ τὸ ψεῦδος, ἀληθές.

5. Ἄγε, ἐπὶ δὲ τῶν πραξέων τί ἔχομεν τοιοῦτον, οἷον ἐνθάδε τὸ ἀληθὲς ἢ τὸ ψεῦδος; Τὸ καθῆκον καὶ [τὸ] παρὰ τὸ καθῆκον, τὸ συμφέρον καὶ τὸ ἀσύμφορον, τὸ κατ' ἐμὲ καὶ οὐ κατ' ἐμέ, καὶ ὅσα τούτοις ὅμοια. (6) Δύναταί οὖν τις δοκεῖν μὲν ὅτι συμφέρει αὐτῷ, μὴ αἱρεῖσθαι δ' αὐτό; Οὐ δύναται. (7) Πῶς ἡ λέγουσα;

> Καὶ μανθάνω μὲν οἷα δρᾷν μέλλω κακά·
> θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

Ὅτι αὐτὸ τοῦτο, τὸ θυμῷ χαρίσασθαι καὶ τιμωρήσασθαι τὸν ἄνδρα, συμφορώτερον ἡγεῖτο τοῦ σῶσαι τὰ τέκνα. (8) Ναί· ἀλλ' ἐξηπάτηται. Δεῖξον αὐτῇ ἐναργῶς, ὅτι ἐξηπάτηται, καὶ οὐ ποιήσει· μέχρι δ' ἂν οὗ μὴ δεικνύῃς, τίνι ἔχει ἀκολουθῆσαι ἢ τῷ φαινομένῳ; Οὐδενί. (9) Τί οὖν χαλεπαίνεις αὐτῇ, ὅτι πεπλάνηται ἡ ταλαίπωρος περὶ τῶν μεγίστων, καὶ ἔχις ἀντὶ ἀνθρώπου γέγονεν; οὐχὶ δ', εἴπερ ἄρα, μᾶλλον ἐλεεῖς, ὡς τοὺς τυφλοὺς ἐλεοῦμεν, ὡς τοὺς χωλούς, οὕτω καὶ τοὺς τὰ κυριώτατα τετυφλωμένους καὶ ἀποκεχωλωμένους;

10. Ὅστις οὖν τούτου μέμνηται καθαρῶς, ὅτι ἀνθρώπῳ μέτρον πάσης πράξεως τὸ φαινόμενον (λοιπὸν ἢ καλῶς φαίνεται, ἢ κακῶς· εἰ καλῶς, ἀνέγκλητός ἐστιν· εἰ κακῶς, αὐτὸς ἐζημίωται· οὐ δύναται γὰρ ἄλλος μὲν εἶναι ὁ πεπλανημένος, ἄλλος δ' ὁ βλαπτόμενος), οὐδενὶ ὀργισθήσεται, οὐδενὶ χαλεπανεῖ, οὐδένα λοιδορήσει, οὐδένα μέμψεται, οὐ μισήσει, οὐ προσκόψει οὐδενί. (11) Ὥστε καὶ τὰ οὕτω μεγάλα καὶ δεινὰ ἔργα ταύτην ἔχει τὴν ἀρχήν, τὸ φαινόμενον; Ταύτην, οὐδ' ἄλλην. (12) Ἡ Ἰλιὰς οὐδέν ἐστιν ἢ φαντασία, καὶ χρῆσις φαντασιῶν. Ἐφάνη τῷ Ἀλεξάνδρῳ, ἀπαγαγεῖν τοῦ Μενελάου τὴν γυναῖκα· ἐφάνη τῇ Ἑλένῃ, ἀκολουθῆσαι αὐτῷ. (13) Εἰ οὖν ἐφάνη τῷ Μενελάῳ παθεῖν, ὅτι κέρδος ἐστὶ τοιαύτης γυναικὸς στερηθῆναι, τί ἂν ἐγένετο; Ἀπολώλει ἡ Ἰλιὰς οὐ μόνον, ἀλλὰ καὶ

1. Quænam est caussa cur assentiamur alicui rei? Quia nobis videtur res ita esse. (2) Quod igitur non esse nobis videtur, ei ut assentiamur, fieri non potest. Quamobrem? Quia hæc natura est mentis, ut ad vera inclinet, falsa aversetur, in incertis cohibeat assensum. (3) Hujus rei quod argumentum est? Persuade tibi, si potes, nunc esse noctem. Fieri non potest. Persuade tibi non esse diem. Fieri non potest. Persuade tibi stellas pares esse, aut esse impares. Fieri non potest. (4) Si quis igitur mendacio assentitur, scito eum assentiri mendacio non voluisse (Omnis enim mens, ut Plato dicit, invita privatur veritate) : sed quod falsum est, id ei visum erat verum.

5. Age, in actionibus quidnam habemus tale, quale hic est veritas vel mendacium? Officium, et ejus contrarium; utile, atque inutile; meæ personæ conveniens, et non conveniens; et quæ ejusdem sunt generis. (6) Potestne igitur aliquis id, quod sibi expedire putet, non sequi? Nemo potest. (7) Quo pacto autem illa dicit?

> Intelligo quanta admissura mala siem :
> sed ira mentis consultis est fortior.

Quoniam illud ipsum, indulgere iracundiæ et ulcisci injuriam a marito sibi illatam, conducibilius existimavit, quam liberos conservare. (8) Sane : sed decepta est. Perspicue ei ostendito, esse deceptam; et non faciet : quoad autem id non demonstraveris, quid habet quod sequatur, nisi id quod ei visum fuerit? Nihil. (9) Cur igitur ei succenses, quod decepta est misera in rebus maximis, et pro homine vipera est facta? cur non (si modo fas est) potius commiseraris, quemadmodum cæcos commiseramur, quemadmodum claudos, sic hos qui præcipua sui parte cæcutiunt et claudicant?

10. Quisquis itaque hoc probe meminerit, homini mensuram omnium actionum esse suam cujusque opinionem (seu tandem bona illa fuerit, sive mala : si bona, crimine caret; si mala, ipse pœnam sustinet : neque enim potest alius decipi, alius damno affici); nemini is irascetur, nemini succensebit, nemini conviciabitur, de nemine conqueretur, osurus est neminem, nemini erit infensus. (11) Ergo et ista tam ingentia et atrocia facinora pendent ab isto opinionis principio? Ab isto, non ab alio. (12) Ilias nihil aliud est, nisi visum, et usus visorum. Visum erat Alexandro, Menelai uxorem abducere : visum erat Helenæ, eum sequi. (13) Quodsi Menelao visum esset persuaderi, expedire sibi, tali carere muliere; quidnam accidisset?

ἡ Ὀδύσσεια. (14) Ἐκ τοιούτου οὖν μικροῦ πράγματος ἤρτηται τὰ τηλικαῦτα; Τίνα δὲ καὶ λέγεις τὰ τηλικαῦτα; Πολέμους, καὶ στάσεις, καὶ ἀπωλείας πολλῶν ἀνθρώπων, καὶ κατασκαφὰς πόλεων. Καὶ τί μέγα ἔχει ταῦτα; Οὐδέν; (15) Τί δ' ἔχει μέγα, πολλοὺς βοῦς ἀποθανεῖν, καὶ πολλὰ πρόβατα, καὶ πολλὰς καλιὰς χελιδόνων ἢ πελαργῶν ἐμπρησθῆναι ἢ κατασκαφῆναι; (16) Ὅμοια οὖν ἐστι ταῦτα ἐκείνοις; Ὁμοιότατα. Σώματα ἀπώλετο ἀνθρώπων· καὶ βοῶν καὶ προβάτων. Οἰκημάτια ἐνεπρήσθη ἀνθρώπων· καὶ πελαργῶν νεοσσιαί. (17) Τί μέγα ἢ δεινόν; ἢ δεῖξόν μοι, τί διαφέρει οἰκία ἀνθρώπου, καὶ νεοσσιὰ πελαργοῦ, ὡς οἴκησις· πλὴν ὅτι ὁ μὲν ἐκ δοκῶν καὶ κεραμίδων καὶ πλίνθων οἰκοδομεῖται τὰ οἰκίδια, ὁ δ' ἐκ ῥάβδων καὶ πηλοῦ. (18) Ὅμοιον οὖν ἐστι πελαργὸς καὶ ἄνθρωπος; τί λέγεις; Κατὰ τὸ σῶμα ὁμοιότατον.

19. Οὐδὲν οὖν διαφέρει ἄνθρωπος πελαργοῦ; Μὴ γένοιτο· ἀλλὰ τούτοις οὐ διαφέρει. Τίνι οὖν διαφέρει; Ζήτει, καὶ εὑρήσεις ὅτι ἄλλῳ διαφέρει. (20) Ὅρα μὴ τῷ παρακολουθεῖν οἷς ποιεῖ· ὅρα μὴ τῷ κοινωνικῷ, μὴ τῷ πιστῷ, τῷ αἰδήμονι, τῷ ἀσφαλεῖ, τῷ συνετῷ. (21) Ποῦ οὖν τὸ μέγα ἐν ἀνθρώποις κακὸν καὶ ἀγαθόν; Ὅπου ἡ διαφορά. Ἂν σώζηται τοῦτο καὶ περιτετειχισμένον μένῃ, καὶ μὴ διαφθείρηται τὸ αἰδῆμον, μηδὲ τὸ πιστὸν, μηδὲ τὸ συνετὸν, τότε σώζεται καὶ αὐτός· ἂν δ' ἀπολλύηταί τι τούτων καὶ ἐκπολιορκῆται, τότε καὶ αὐτὸς ἀπόλλυται. Καὶ τὰ μεγάλα πράγματα ἐν τούτῳ ἐστίν. (22) Ἔπταισε, φησὶ, μεγάλα ὁ Ἀλέξανδρος, ὅτε ἐπῆλθον οἱ Ἕλληνες, καὶ ὅτε ἐπόρθουν τὴν Τροίαν, καὶ ὅτε οἱ ἀδελφοὶ αὐτοῦ ἀπώλλυντο. (23) Οὐδαμῶς· δι' ἀλλότριον γὰρ ἔργον πταίει οὐδείς. Ἀλλὰ τότε πελαργῶν νεοσσιαὶ ἐπορθοῦντο· πταῖσμα δ' ἦν, ὅτε ἀπώλεσε τὸν αἰδήμονα, τὸν πιστὸν, τὸν φιλόξενον, τὸν κόσμιον. (24) Πότ' ἔπταισεν ὁ Ἀχιλλεύς; ὅτε ἀπέθανεν ὁ Πάτροκλος; Μὴ γένοιτο· ἀλλ' ὅτε ὠργίζετο, ὅτε κορασίδιον ἔκλαεν, ὅτ' ἐπελάθετο ὅτι πάρεστιν οὐκ ἐπὶ τῷ ἐρωμένας κτᾶσθαι, ἀλλ' ἐπὶ τῷ πολεμεῖν. (25) Ταῦτ' ἐστὶ τὰ ἀνθρωπικὰ πταίσματα, τοῦτό ἐστι * ἡ * πολιορκία, τοῦτό ἐστι κατασκαφὴ, ὅταν τὰ δόγματα τὰ ὀρθὰ καθαιρῆται, ὅταν ἐκεῖνα διαφθείρηται.

26. Ὅταν οὖν γυναῖκες ἄγωνται καὶ παιδία αἰχμαλωτίζηται, καὶ ὅταν αὐτοὶ κατασφάττωνται, ταῦτα οὐκ ἔστι κακά; (27) Πόθεν οὖν τοῦτο προσδοξάζεις; κἀμὲ δίδαξον. Οὔ· ἀλλὰ πόθεν σὺ λέγεις, ὅτι οὐκ ἔστι κακά; (28) Ἔλθωμεν ἐπὶ τοὺς κανόνας· φέρε τὰς προλήψεις. Διὰ τοῦτο γὰρ οὐκ ἔστιν ἱκανῶς θαυμάσαι τὸ γινόμενον. Ὅπου βάρη κρῖναι θέλομεν, οὐκ εἰκῇ κρίνομεν· ὅπου τὰ εὐθέα καὶ στρεβλὰ, οὐκ εἰκῇ· (29) ἁπλῶς ὅπου διαφέρει ἡμῖν γνῶναι τὸ κατὰ τὸν τόπον ἀληθὲς, οὐδέποθ' ἡμῶν οὐδεὶς οὐδὲν εἰκῇ ποιήσει. (30) Ὅπου δὲ τὸ πρῶτον καὶ μόνον αἴτιόν ἐστι τοῦ κατορθοῦν ἢ ἁμαρτάνειν, τοῦ εὐροεῖν ἢ δυσροεῖν, τοῦ ἀτυχεῖν ἢ εὐτυχεῖν, ἐνθάδε μόνον εἰκαῖοι καὶ προπετεῖς· οὐδαμοῦ ὅμοιόν τι ζυγῷ, οὐδαμοῦ ὅμοιόν τι κανόνι·

peritura fuerat non Ilias modo, sed et Odyssea. (14) Ergo a tam parva re res tantæ pendent? Quas vero res tantas ais? Bella, et seditiones, et multorum mortalium interitum, et urbium excidia. Et quid ista magni habent? Nihilne? (15) Quid vero magni habet multorum boum multarumque ovium interitus? quid, si multarum hirundinum aut ciconiarum nidi sive incendio, sive eversione destruantur? (16) Similia ergo illis hæc sunt? Simillima. Corpora perierunt hominum; et boum, et ovium. Domunculæ incensæ sunt hominum; et ciconiarum nidi. (17) Quid hoc magni aut atrocitatis habet? aut ostende mihi, quid inter hominis domum et ciconiæ nidum, si habitationem consideres, intersit; nisi quod homo e trabibus, e tegulis et lateribus exstruat sibi domunculas, ciconia autem e virgultis et luto. (18) Ergo similes inter se sunt ciconia et homo? quid ais? Corpus quod attinet, simillimi.

19. Nihil ergo differt homo a ciconia? Absit ut hoc dicam; verum istis rebus non differt. Qua igitur re differt? Quære; et invenies alia re differre. (20) Vide ne differat intelligentia suarum actionum; vide ne communitate vitæ, ne fide, verecundia, cautione, prudentia. (21) Ubi ergo situm est magnum hominum bonum et malum? Ibi scilicet, ubi differentia est : hoc si servetur et bene undique munitum maneat, si neque verecundia perierit, neque fides, neque prudentia; tunc et ipse conservatur : sin horum aliquid perierit et expugnatum fuerit, tunc et ipse perit. Et in hoc res maximæ sunt positæ. (22) Magnam, inquiunt, cladem accepit Alexander, cum Græci Trojam invaserunt, cum urbem populati sunt, cum fratres ejus interierunt. (23) Nequaquam; nemo enim ex alieno facto cladem accipit. Sed tum quidem nidi ciconiarum vastati sunt : illa vero clades erat, cum verecundiam, cum fidem, cum modestiam amisit, cum jus hospitii violavit. (24) Achilles quando accepit cladem? cum occubuit Patroclus? Nequaquam; sed cum irascebatur, cum ob puellam plorabat, cum obliviscebatur se adesse non ad parandas amicas, sed gerendi belli caussa. (25) Hæ sunt humanæ clades; hæc est oppugnatio; hoc est excidium; cum recta decreta evertuntur, cum illa corrumpuntur.

26. Ergone cum mulieres abducuntur et liberi in servitutem rediguntur, et jugulantur ipsi, ea mala non sunt? (27) Unde vero istam adjungis opinionem? me hoc velim doceas. Non meum hoc est : immo vero tu caussam redde, quare mala non sint. (28) Veniamus ad regulas. Prome notiones animo anticipatas. Hæ enim impediunt quominus quod fit recte æstimemus. Ubi pondera dijudicare volumus, non temere judicamus; ubi recta et curva, non temere : (29) omnino ubicumque nostra interesse putamus, ut in ea re, de qua agitur, verum cognoscamus; ibi numquam quisquam nostrûm quidquam temere fecerit. (30) At hoc loco, ubi prima atque unica caussa agitur recte agendi aut delinquendi, beate aut misere vivendi, prospere aut adverso rerum cursu utendi; ibi solum inconsulti et temerarii sumus : nusquam quidquam simile staterae; nusquam

ἀλλά τι ἐφάνη, καὶ εὐθὺς ποιῶ τὸ φανέν. (31) Κρείσσων γάρ εἰμι τοῦ Ἀχιλλέως, ἢ τοῦ Ἀγαμέμνονος, ἵν' ἐκεῖνοι μὲν διὰ τὸ ἀκολουθῆσαι τοῖς φαινομένοις τοιαῦτα κακὰ ποιήσωσι καὶ πάθωσιν, ἐμοὶ δὲ μὴ ἀρκῇ τὸ φαινόμενον; (32) Καὶ ποία τραγῳδία ἄλλην ἀρχὴν ἔχει; Ἀτρεὺς Εὐριπίδου, τί ἐστι; Τὸ φαινόμενον. Οἰδίπους Σοφοκλέους, τί ἐστι; Τὸ φαινόμενον. Φοῖνιξ; Τὸ φαινόμενον. Ἱππόλυτος; Τὸ φαινόμενον. (33) Τούτου οὖν μηδεμίαν ἐπιμέλειαν ποιεῖν, τίνος ὑμῖν εἶναι δοκεῖ; Τίνες δὲ λέγονται οἱ παντὶ τῷ φαινομένῳ ἀκολουθοῦντες; Μαινόμενοι. Ἡμεῖς οὖν ἄλλο τι ποιοῦμεν;

quidquam simile regulæ : at visum est aliquid, et statim, quod visum est, facio. (31) An ergo ego major sum Achille aut Agamemnone; ut illi quidem, quoniam sua visa secuti sunt, tanta mala fecerint et perpessi fuerint; mihi vero non sufficiat id quod visum fuerit? (32) Quæ igitur tragœdia aliud principium habet? Atreus Euripidis quid est? Visum. Œdipus Sophoclis quid? Visum. Phœnix quid? Visum. Quid Hippolytus? Visum. (33) Hujus igitur rei nullam habere curam, cujus vobis esse videtur? Quinam vero esse dicuntur, qui quodvis sequuntur visum? Insani. Numquid ergo nos aliud agimus?

ΚΕΦ. ΚΘ'.

Περὶ εὐσταθείας.

1. Οὐσία τοῦ ἀγαθοῦ, προαίρεσις ποιά· τοῦ κακοῦ, προαίρεσις ποιά. (2) Τί οὖν τὰ ἐκτός; Ὕλαι τῇ προαιρέσει, περὶ ἃς ἀναστρεφομένη τεύξεται τοῦ ἰδίου ἀγαθοῦ ἢ κακοῦ. (3) Πῶς τοῦ ἀγαθοῦ τεύξεται; Ἂν τὰς ὕλας μὴ θαυμάσῃ. Τὰ γὰρ περὶ τῶν ὑλῶν δόγματα, ὀρθὰ μὲν ὄντα, ἀγαθὴν ποιεῖ τὴν προαίρεσιν· στρεβλὰ δὲ καὶ διεστραμμένα, κακήν. (4) Τοῦτον τὸν νόμον ὁ θεὸς τέθεικε, καὶ φησίν· Εἴ τι ἀγαθὸν θέλεις, παρὰ σεαυτοῦ λάβε. Σὺ λέγεις· Οὐκ, ἀλλὰ παρ' ἄλλου. Μή· ἀλλὰ παρὰ σεαυτοῦ. (5) Λοιπόν, ὅταν ἀπειλῇ ὁ τύραννος καί με καλῇ, λέγω, Τίνι ἀπειλεῖς; Ἂν λέγῃ, Δήσω σε· φημὶ ὅτι Ταῖς χερσὶν ἀπειλεῖς καὶ τοῖς ποσίν. (6) Ἂν λέγῃ, Τραχηλοκοπήσω σε· λέγω, Τῷ τραχήλῳ ἀπειλεῖς. Ἂν λέγῃ, Εἰς φυλακήν σε βαλῶ· Ὅλῳ τῷ σαρκιδίῳ. Κἂν ἐξορισμὸν ἀπειλῇ· τὸ αὐτό. (7) Σοὶ οὖν οὐδὲν ἀπειλεῖ; Εἰ πέπονθα ὅτι ταῦτα οὐδέν ἐστι πρὸς ἐμέ, οὐδέν· εἰ δὲ φοβοῦμαί τι τούτων, ἐμοὶ ἀπειλεῖ. (8) Τίνα λοιπὸν δέδοικα; τὸν τίνων ὄντα κύριον; Τῶν ἐπ' ἐμοί; οὐδὲ εἷς ἐστι. Τῶν οὐκ ἐπ' ἐμοί; καὶ τί μοι αὐτῶν μέλει;

9. Ὑμεῖς οὖν οἱ φιλόσοφοι διδάσκετε καταφρονεῖν τῶν βασιλέων; Μὴ γένοιτο. Τίς ἡμῶν διδάσκει ἀντιποιεῖσθαι πρὸς αὐτοὺς * τῶν * ὧν ἐκεῖνοι ἔχουσιν ἐξουσίαν; (10) Τὸ σωμάτιον λάβε, τὴν κτῆσιν λάβε, τὴν φήμην λάβε, τοὺς περὶ ἐμὲ λάβε. Ἄν τινας τούτων ἀναπείθω ἀντιποιεῖσθαι, τῷ ὄντι ἐγκαλείτω μοι. (11) Ναί· ἀλλὰ καὶ τῶν δογμάτων ἄρχειν θέλω. Καὶ τίς σοι ταύτην τὴν ἐξουσίαν δέδωκε; (12) Ποῦ δύνασαι νικῆσαι δόγμα ἀλλότριον; Προσάγων, φησίν, αὐτῷ φόβον, νικήσω. Ἀγνοεῖς ὅτι αὐτὸ αὑτὸ ἐνίκησεν, οὐχ ὑπ' ἄλλου ἐνικήθη; προαίρεσιν δὲ οὐδὲν ἄλλο νικῆσαι δύναται, πλὴν αὐτὴ ἑαυτήν. (13) Διὰ τοῦτο καὶ ὁ τοῦ θεοῦ νόμος κράτιστός ἐστι, καὶ δικαιότατος· Τὸ κρεῖσσον ἀεὶ περιγινέσθω τοῦ χείρονος. (14) Κρείττονές εἰσιν οἱ δέκα τοῦ ἑνός. Πρὸς τί; Πρὸς τὸ δῆσαι, πρὸς τὸ ἀποκτεῖναι, πρὸς τὸ ἀπαγαγεῖν ὅπου θέλουσι, πρὸς τὸ ἀφελέσθαι τὰ ὄντα. Νικῶσι τοίνυν οἱ δέκα τὸν ἕνα ἐν τούτῳ, ἐν ᾧ κρείσσονές εἰσιν. (15) Ἐν τίνι οὖν χείρονές εἰσιν; Ἂν ὁ μὲν ἔχῃ δόγματα ὀρθά, οἱ δὲ μή.

CAP. XXIX.

De constantia.

1. Essentia boni, itemque mali, in certo quodam voluntatis instituto sita est. (2) Quid igitur res externæ? Materiæ voluntati subjectæ, in quibus illa versata suum vel bonum vel malum consequetur. (3) Quomodo bonum consequetur? Si materias non demiratus erit. Nam decreta de materiis, recta si sint, bonam efficiunt voluntatem; prava et perversa, malam. (4) Hanc legem deus posuit, et ait : Si quid boni vis, a te ipso pete. Tu ais : Non, sed ab alio. Minime vero; immo a te ipso! (5) Proinde, quando minitatur tyrannus, meque accersit, dico : Cui minitaris? Si dixerit, Conjiciam te in vincula : Manibus, inquam, et pedibus minitaris. (6) Si dixerit, Præcidam tibi cervicem : Cervici, inquam, minitaris. Si dixerit : In custodiam te conjiciam : Toti corpusculo, inquam, minitaris. Si exsilium minitetur; idem responsum dabo. (7) Tibi ergo nihil minitatur? (7) Si persuasum habeo ista nihil ad me attinere, nihil : sin quid istorum metuo, mihi minitatur. (8) Quem denique metuo? quarum rerum dominum? Earumne quæ in mea potestate sunt? At nullus est. An earum quæ non sunt in me sitæ? At quid eas ego curo?

9. Vos ergo philosophi docetis contemnere reges? Minime. Quis nostrûm docet ea esse nobis vindicanda, quorum illi habent potestatem? (10) Corpusculum cape, rem cape, famam cape, meos cape. Si quibus suasero ut hæc sibi vindicent, vere me accusabit. (11) Esto : at etiam decretis tuis volo imperare. Et quis istam tibi potestatem dedit? (12) Qui potes decretum vincere alienum? Injecto illi, inquit, metu vincam. Ignoras ipsum se vicisse, non ab alio esse victum? nam voluntatem nihil vincere potest, nisi ipsa sese. (13) Quapropter etiam lex dei potentissima est et justissima, qua jubet, ut, quod præstantius sit, semper vincat deterius. (14) Præstantiores sunt deni singulis. Ad quid? Ad vinciendum, ad occidendum, ad abducendum quocunque volent, ad facultates eripiendas. Vincunt igitur deni unum in eo, in quo sunt præstantiores. (15) In quo igitur sunt deteriores? Si hic recta habeat decreta, illi non habeant. Quid ergo? in hoc possunt vin-

Τί οὖν; ἐν τούτῳ δύνανται νικῆσαι; Πόθεν; εἰ δ' ἱστάμεθα ἐπὶ ζυγοῦ, οὐχ ἔδει τὸν βαρύτερον καθελκύσαι;

16. Σωκράτης οὖν ἵνα πάθῃ ταῦτα ὑπ' Ἀθηναίων; Ἀνδράποδον, τί λέγεις τὸ Σωκράτης; ὡς ἔχει τὸ πρᾶγμα, λέγε· Ἵν' οὖν τὸ Σωκράτους σωμάτιον ἀπαχθῇ καὶ συρῇ ὑπὸ τῶν ἰσχυροτέρων εἰς δεσμωτήριον, καὶ κώνειόν τις δῷ τῷ σωματίῳ τοῦ Σωκράτους, κἀκεῖνο ἀποψυγῇ; (17) Ταῦτά σοι φαίνεται θαυμαστά; ταῦτα ἄδικα; ἐπὶ τούτοις ἐγκαλεῖς τῷ θεῷ; Οὐδὲν οὖν εἶχε Σωκράτης ἀντὶ τούτων; (18) Ποῦ ἦν ἡ οὐσία αὐτῷ τοῦ ἀγαθοῦ; Τίνι προσσχῶμεν; σοί, ἢ αὐτῷ; Καὶ τί λέγει ἐκεῖνος; « Ἐμὲ δ' Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δ' οὔ. » Καὶ πάλιν, « Εἰ ταύτῃ τῷ θεῷ φίλον, ταύτῃ γενέσθω. » (19) Ἀλλὰ δεῖξον, ὅτι χείρονα ἔχων δόγματα κρατεῖ τοῦ κρείττονος ἐν δόγμασιν. Οὐ δείξεις, οὐδ' ἐγγύς. Νόμος γὰρ τῆς φύσεως καὶ τοῦ θεοῦ οὗτος, Τὸ κρεῖσσον ἀεὶ περιγινέσθω τοῦ χείρονος. (20) Ἐν τίνι; Ἐν ᾧ κρεῖσσόν ἐστι. Σῶμα σώματος ἰσχυρότερον, οἱ πλείονες τοῦ ἑνός, ὁ κλέπτης τοῦ μὴ κλέπτου. (21) Διὰ τοῦτο κἀγὼ τὸ λύχνον ἀπώλεσα, ὅτι ἐν τῷ ἀγρυπνεῖν μου κρείσσων ἦν ὁ κλέπτης. Ἀλλ' ἐκεῖνος τοσούτου ὠνήσατο λύχνον· ἀντὶ λύχνου κλέπτης ἐγένετο, ἀντὶ λύχνου ἄπιστος, ἀντὶ λύχνου θηριώδης. Τοῦτο ἔδοξεν αὐτῷ λυσιτελεῖν.

22. Ἔστω. Ἀλλ' εἴληπταί μού τις τοῦ ἱματίου καὶ ἕλκει με εἰς τὴν ἀγοράν· εἶτα ἐπικραυγάζουσιν ἄλλοι, Φιλόσοφε, τί σε ὠφέληκε τὰ δόγματα; ἰδοὺ σύρῃ εἰς τὸ δεσμωτήριον, ἰδοὺ μέλλεις τραχηλοκοπεῖσθαι. (23) Καὶ ποίαν ἔπραξα ἂν εἰσαγωγήν, ἵν', ἂν ἰσχυρότερος ἐπιλάβηταί μου τοῦ ἱματίου, μὴ σύρωμαι; ἵνα, ἄν με δέκα περισπάσαντες εἰς τὸ δεσμωτήριον ἐμβάλωσι, μὴ ἐμβληθῶ; Ἄλλο οὖν οὐδὲν ἔμαθον; (24) Ἔμαθον, ἵνα πᾶν τὸ γινόμενον ἴδω, ὅτι, ἂν ἀπροαίρετον ᾖ, οὐδέν ἐστι πρὸς ἐμέ. (25) Πρὸς τοῦτο οὖν οὐχ ὠφέλησαι; Τί οὖν ἐν ἄλλῳ ζητεῖς τὴν ὠφέλειαν, ἢ ἐν ᾧ ἔμαθες; (26) Καθήμενος λοιπὸν ἐν τῇ φυλακῇ λέγω· Οὗτος ὁ ταῦτα κραυγάζων οὔτε τοῦ σημαινομένου ἀκούει, οὔτε τῷ λεγομένῳ παρακολουθεῖ, οὔτε ὅλως μεμέληκεν αὐτῷ εἰδέναι περὶ τῶν φιλοσόφων τί λέγουσιν ἢ τί ποιοῦσιν. Ἄφες αὐτόν. — (27) Ἀλλ', Ἔξελθε πάλιν ἀπὸ τῆς φυλακῆς. Εἰ μηκέτι χρείαν ἔχετέ μου ἐν τῇ φυλακῇ, ἐξέρχομαι· ἂν πάλιν σχῆτε, εἰσελεύσομαι. (28) Μέχρι τίνος; Μέχρις ἂν οὗ ὁ λόγος αἱρῇ συνεῖναί με τῷ σωματίῳ· ὅταν δὲ μὴ αἱρῇ, λάβετε αὐτό, καὶ ὑγιαίνετε. (29) Μόνον μὴ ἀλογίστως, μόνον μὴ μαλακῶς, μὴ ἐκ τῆς τυχούσης προφάσεως. Πάλιν γὰρ ὁ θεὸς οὐ βούλεται· χρείαν γὰρ ἔχει κόσμου τοιούτου, τῶν ἐπὶ γῆς ἀναστρεφομένων τοιούτων. Ἐὰν δὲ σημήνῃ τὸ ἀνακλητικόν, ὡς τῷ Σωκράτει, πείθεσθαι δεῖ τῷ σημαίνοντι, ὡς στρατηγῷ.

30. Τί οὖν; λέγειν δεῖ ταῦτα πρὸς τοὺς πολλούς; Ἵνα τί; οὐ γὰρ ἀρκεῖ τὸ αὐτὸν πείθεσθαι; (31) τοῖς γὰρ παιδίοις, ὅταν προσελθόντα κροτῇ καὶ λέγῃ, Σήμερον Σατορνάλια ἀγαθά· λέγομεν, Οὐκ ἔστιν ἀγαθὰ

cere? Qui possent? at si in trutina ponderaremur, nonne oporteret graviorem vergere deorsum?

16. Siccine igitur tractatum esse Socratem ab Atheniensibus! Mancipium, quid ais Socratem? Uti res se habet, ita dicito : Itane Socratis corpusculum abductum esse et tractum a robustioribus in carcerem! itane aconitum corpusculo Socratis esse propinatum, atque illud exanimatum esse! (17) Hæc tibi videntur mira? hæc injusta? ob hæc incusas deum? Nihil igitur Socrates horum loco habuit? (18) Ubi erat ei boni essentia? Utrum audiamus, tene an illum? Et quid ille ait? « Me quidem Anytus et Melitus occidere possunt, lædere vero non possunt. » Rursusque illud : « Si ita deo placet, ita fiat. » (19) Sed ostende, ab eo qui sit deterioribus imbutus decretis vinci præstantiorem in decretis. Non ostendes, ac multum abest ut ostendas. Ea enim naturæ et dei lex est, ut præstantiora semper sint superiora deterioribus. (20) Qua in re? Qua parte præstantiora sunt. Corpus corpore est robustius, plures uno, fur eo qui fur non est. (21) Propterea et ego lucernam meam amisi, quod fur me fuit vigilantior. Sed ille tanti emit lucernam, quod propter lucernam factus est fur, propter lucernam infidus, propter lucernam similis feræ. Hoc sibi putavit expedire.

22. Esto. At aliquis veste me prehendit et in forum trahit : dein alii acclamant, Philosophe, quid te tua juvant decreta? ecce in carcerem abriperis; ecce cervix tibi præcidetur. (23) Quam vero parare doctrinam potueram, ut, si me veste prehenderit fortior, non traherer? ut, si me decem constrictum in carcerem conjecerint, non conjicerer? Aliud igitur nihil didici? (24) Didici, ut quidquid fiat, si in mea potestate non sit, id nihil ad me pertinere sciam. (25) Nonne igitur hinc utilitatem percepisti? Quid ergo in alio quæris utilitatem, quam in quo eam esse didicisti? (26) Proinde, sedens in custodia, dicam : Hic qui ita vociferatur, neque intelligit quid significetur, neque assequitur id quod dicitur, neque omnino ei curæ est scire quid philosophi aut dicant aut agant : missum fac eum. (27) At, Rursus exi e custodia! Si mei usus in custodia porro vobis nullus est, egredior : si rursus usus sit, ingrediar. (28) Quousque? Quoad recta ratio exegerit, ut in corpore verser : cum vero non exegerit, auferte illud, et valete. (29) Modo ne inconsiderate *hoc agamus;* modo ne molliter; ne qualibet de caussa : rursus enim id quidem non vult deus; indiget enim et mundo tali, et iis qui in mundo versentur talibus. Quodsi vero signum receptui dederit, quemadmodum Socrati; parendum est ei, tanquam imperatori.

30. Quid ergo? dicenda sunt hæc in vulgus? Cur vero? annon satis est, tibi ipsi hoc persuasum esse? (31) Etenim, cum pueri nos accedunt et plaudentes dicunt, Hodie bona Saturnalia! respondemusne, non esse hæc bona?

ταῦτα; Οὐδαμῶς· ἀλλὰ καὶ αὐτοὶ ἐπικροτοῦμεν. (32) Καὶ συ τοίνυν, ὅταν μεταπεῖσαί τινα μὴ δύνῃ, γίνωσκε ὅτι παιδίον ἐστὶ, καὶ ἐπικρότει αὐτῷ· ἐὰν δὲ μὴ τοῦτο θέλῃς, σιώπα λοιπόν.

33. Τούτων δεῖ μεμνῆσθαι· καὶ κληθέντα εἴς τινα τοιαύτην περίστασιν, εἰδέναι ὅτι ἐλήλυθεν ὁ καιρὸς τοῦ ἀποδεῖξαι εἰ πεπαιδεύμεθα. (34) Νέος γὰρ ἀπὸ σχολῆς ἀπιὼν εἰς περίστασιν ὅμοιός ἐστι τῷ μεμελετηκότι συλλογισμοὺς ἀναλύειν· κἄν τις εὔλυτον αὐτῷ προτείνῃ, λέγει, Μᾶλλόν μοι πεπλεγμένον κομψῶς προτείνατε, ἵνα γυμνασθῶ. Καὶ οἱ ἀθληταὶ τοῖς κούφοις νεανίσκοις δυσαρεστοῦσιν· Οὐ βαστάζει με, φησίν. (35) Οὗτός ἐστιν εὐφυὴς νέος. Οὔ. Ἀλλὰ καλέσαντος τοῦ καιροῦ, κλάειν δεῖ καὶ λέγειν, Ἤθελον ἔτι μανθάνειν; Τίνα; εἰ ταῦτα οὐκ ἔμαθες ὥστ' ἔργῳ δεῖξαι, πρὸς τί αὐτὰ ἔμαθες;

36. Ἐγώ τινα οἶμαι τῶν καθημένων ἐνταῦθα ὠδίνειν αὐτὸν ἐφ' ἑαυτοῦ, καὶ λέγειν· Ἐμοὶ νῦν περίστασιν μὴ ἔρχεσθαι τοιαύτην, ὁποία τούτῳ ἐλήλυθεν; ἐμὲ νῦν κατατριβῆναι καθήμενον ἐν γωνίᾳ, δυνάμενον στεφανωθῆναι Ὀλύμπια; πότε τις ἐμοὶ καταγγελεῖ τοιοῦτον ἀγῶνα; Οὕτως ἔχειν ἔδει πάντας ὑμᾶς. (37) Ἀλλ' ἐν μὲν τοῖς Καίσαρος μονομάχοις εἰσί τινες οἱ ἀγανακτοῦντες ὅτι οὐδεὶς αὐτοὺς προάγει οὐδὲ ζευγνύει, καὶ εὔχονται τῷ θεῷ, καὶ προσέρχονται τοῖς ἐπιτρόποις, δεόμενοι μονομαχῆσαι· ἐξ ὑμῶν δ' οὐδεὶς φανήσεται τοιοῦτος; (38) Ἤθελον πλεῦσαι ἐπ' αὐτῷ τούτῳ, καὶ ἰδεῖν τί μου ποιεῖ ὁ ἀθλητὴς, πῶς μελετᾷ τὴν ὑπόθεσιν. (39) Οὐ θέλω, φησὶ, τοιαύτην. Ἐπὶ σοὶ γάρ ἐστι, λαβεῖν ἣν θέλεις ὑπόθεσιν; Δέδοταί σοι σῶμα τοιοῦτον, γονεῖς τοιοῦτοι, ἀδελφοὶ τοιοῦτοι, πατρὶς τοιαύτη, τάξις ἐν αὐτῇ τοιαύτη· εἶτα λέγεις μοι ἐλθὼν, Ἄλλαξόν μοι τὴν ὑπόθεσιν. Εἶτα οὐκ ἔχεις ἀφορμὰς πρὸς τὸ χρήσασθαι τῇ δοθείσῃ; Σόν ἐστι προτεῖναι, ἐμὸν μελετῆσαι καλῶς. (40) Οὔ, ἀλλὰ μὴ τοιοῦτό μοι προβάλῃς τροπικὸν, ἀλλὰ τοιοῦτον· μὴ τοιαύτην ἐπενέγκῃς τὴν ὑποφορὰν, ἀλλὰ τοιαύτην. (41) Ἔσται χρόνος τάχα, ἐν ᾧ οἱ τραγῳδοὶ οἰήσονται ἑαυτοὺς εἶναι προσωπεῖα καὶ ἐμβάδας καὶ τὸ σῦρμα. Ἄνθρωπε, ταῦτα ὕλην ἔχεις καὶ ὑπόθεσιν. (42) Φθέγξαι τι, ἵνα εἰδῶμεν πότερον τραγῳδὸς εἶ, ἢ γελωτοποιός· κοινὰ γὰρ ἔχουσι τὰ ἄλλα ἀμφότεροι. (43) Διὰ τοῦτο ἂν ἀφέλῃ τις αὐτοῦ καὶ τὰς ἐμβάδας καὶ τὸ προσωπεῖον, καὶ ἐν εἰδώλῳ αὐτὸν προαγάγῃ, ἀπώλετο ὁ τραγῳδὸς, ἢ μένει; Ἂν φωνὴν ἔχῃ, μένει.

44. Καὶ ἐνθάδε. Λάβε ἡγεμονίαν. Λαμβάνω· καὶ λαβὼν δεικνύω πῶς ἄνθρωπος ἀναστρέφεται πεπαιδευμένος. (45) Θὲς τὴν πλατύσημον, καὶ ἀναλαβὼν ῥάκη, πρόελθε ἐν προσώπῳ τοιούτῳ. Τί οὖν; οὐ δέδοταί μοι καλὴν φωνὴν εἰσενεγκεῖν; (46) Πῶς οὖν ἀναβαίνεις νῦν; Ὡς μάρτυς ὑπὸ τοῦ θεοῦ κεκλημένος. (47) Ἔρχου σὺ, καὶ μαρτύρησόν μοι· σὺ γὰρ ἄξιος εἶ προαχθῆναι μάρτυς ὑπ' ἐμοῦ. Μή τι τῶν ἐκτὸς τῆς προαιρέσεως ἀγαθόν ἐστιν ἢ κακόν; μή τινα βλάπτω; μή τι ἐπ' ἄλλῳ τὴν ὠφέλειαν ἐποίησα τὴν ἑκάστου, ἢ ἐφ'

Nequaquam; sed et ipsi una plaudimus. (32) Et tu igitur, cum aliquem a sententia deducere non potueris, scito esse puerulum, eique applaude; quod si nolueris, quod reliquum est, taceto.

33. Horum meminisse oportet : et cum in hujusmodi aliquod discrimen devocatus fueris, sciendum, venisse tempus quo demonstremus utrum simus disciplina imbuti. (34) Nam juvenis qui schola egressus discrimen adit, similis est homini qui sese resolvendis syllogismis exercuit : cui si quis solutu facilem proposuerit; Potius, inquit, aliquem scite perplexum mihi proponito, ut exercear. Et athletæ levibus adolescentulis non delectantur. Iste me non attollit, inquit. (35) Hic bona indole est adolescens. Non. At ubi tempus vocarit, an plorare eum oportet ac dicere, Vellem adhuc discere? Quænam? Si hæc non didicisti ut re ipsa monstrares, in quem usum ea didicisti?

36. Equidem existimo, in horum numero, qui hic sedent, esse aliquem qui tacite parturiat, secumque dicat : Mihine talem occasionem non offerri, qualis isti oblata fuit? mene nunc in angulo sedentem, ætatem perdere, cum in Olympiis coronari liceret? quando mihi aliquis tale annunciabit certamen? Sic omnes vos oportebat esse affectos. (37) Cum inter Cæsaris gladiatores sint qui moleste ferant se non produci neque componi, qui vota deo faciant, qui præsides adeant, orantes ut decertandi sibi fiat copia : nemone talis e vobis exsistet? (38) Navigare equidem istuc hac ipsa de caussa vellem, et videre quid meus ageret pugil; quo pacto suum meditaretur argumentum. (39) Nolo, inquit, talem materiam. Penes te ergo est, deligere quam velis? Tibi tale datum est corpus, parentes tales, fratres tales, patria talis, locus in ea talis : deinde a me petis ut mutem hypothesin. Nonne subsidia habes quibus oblata utaris? *Dicere debebas :* Tuum est proponere, meum bene me exercere. (40) *At tu* non *sic ais*, sed, Ne mihi tale connexum proponito, sed tale : ne talem mihi opponito objectionem, sed talem. (41) Erit mox tempus, quo tragœdi putabunt, larvas et cothurnos et pallam se esse ipsos. Homo, hanc materiam, hanc hypothesin habes. (42) Loquere aliquid, ut sciamus, tragœdusne sis, an scurra : communia enim habent ambo cetera. (43) Itaque, si quis eum, ademptis cothurnis larvaque, tamquam umbram introduxerit, periitne tragœdus, an manet? Si vocem habet, manet.

44. Etiam hic. Cape præfecturam! Accipio; eaque accepta ostendo, quo pacto se gerat homo bene institutus. (45) Pone latum clavum, et pannis obsitus, procede in tali persona! Quid ergo? non mihi datum est honestam vocem emittere? (46) Quomodo igitur nunc ascendis? Ut testis a deo citatus. (47) Ades tu et testimonium mihi perhibe! dignus es enim qui testis a me producaris. Num quid eorum, quæ extra voluntatem sunt posita, bonum est aut malum? num cuiquam noceo? num commoda cujusquam

αὐτῷ; (48) Τίνα μαρτυρίαν δίδως τῷ θεῷ; Ἐν δεινοῖς εἰμι, κύριε, καὶ δυστυχῶ, οὐδείς μου ἐπιστρέφεται, οὐδείς μοι δίδωσιν οὐδὲν, πάντες ψέγουσι, πάντες κακολογοῦσι. (49) Ταῦτα μέλλεις μαρτυρεῖν, καὶ καταισχύνειν τὴν κλῆσιν ἣν κέκληκεν, ὅτι σε ἐτίμησε τοιαύτην τιμὴν, καὶ ἄξιον ἡγήσατο προαγαγεῖν εἰς μαρτυρίαν τηλικαύτην;

50. Ἀλλ' ἀπεφήνατο ὁ ἔχων τὴν ἐξουσίαν, Κρίνω σε ἀσεβῆ καὶ ἀνόσιον εἶναι. Τί σοι γέγονεν; Ἐκρίθην ἀσεβὴς καὶ ἀνόσιος εἶναι. Ἄλλο οὐδέν; Οὐδέν. (51) Εἰ δὲ περὶ συνημμένου τινὸς ἐπικεκρίκει, καὶ ἐδεδώκει ἀπόφασιν, Τὸ, εἰ ἡμέρα ἐστὶ, φῶς ἐστι, κρίνω ψεῦδος εἶναι· τί ἐγεγόνει τῷ συνημμένῳ; Τίς ἐνθάδε κρίνεται; τίς κατακέκριται; τὸ συνημμένον, ἢ ὁ ἐξαπατηθεὶς περὶ αὐτοῦ; (52) Οὗτος οὖν ποτε ὁ ἔχων ἐξουσίαν τοῦ ἀποφήνασθαί τι περὶ σοῦ, οἶδε τί ἐστι τὸ εὐσεβὲς ἢ τὸ ἀσεβές; μεμελέτηκεν αὐτὸ καὶ μεμάθηκεν; ποῦ; παρὰ τίνος; (53) Εἶτα μουσικὸς μὲν οὐκ ἐπιστρέφεται αὐτοῦ, ἀποφαινομένου περὶ τῆς νήτης, εἶναι ὑπάτην· οὐδὲ γεωμετρικὸς, ἂν ἐπικρίνῃ τὰς ἀπὸ κέντρου πρὸς τὸν κύκλον προσπιπτούσας μὴ εἶναι ἴσας· (54) ὁ δὲ ταῖς ἀληθείαις πεπαιδευμένος ἀνθρώπου ἀπαιδεύτου ἐπιστραφήσεται, ἐπικρίνοντός τι περὶ ὁσίου καὶ ἀνοσίου, καὶ ἀδίκου καὶ δικαίου; Ὢ πολλῆς ἀδικίας τῶν πεπαιδευμένων. Ταῦτα οὖν ἔμαθες ἐνταῦθα;

55. Οὐ θέλεις τὰ μὲν λογάρια τὰ περὶ τούτων ἄλλοις ἀφεῖναι, ἀταλαιπώροις ἀνθρωπαρίοις, ἵν' ἐν γωνίᾳ καθεζόμενοι μισθάρια λαμβάνωσιν, ἢ γογγύζωσιν ὅτι οὐδεὶς αὐτοῖς παρέχει οὐδὲν, σὺ δὲ χρῆσθαι παρελθὼν οἷς ἔμαθες; (56) Οὐ γὰρ λογάριά ἐστι τὰ λείποντα νῦν, ἀλλὰ γέμει τὰ βιβλία τῶν Στωϊκῶν λογαρίων. Τί οὖν τὸ λεῖπόν ἐστιν; Ὁ χρησόμενος, ὁ ἔργῳ μαρτυρήσων τοῖς λόγοις. (57) Τοῦτό μοι τὸ πρόσωπον ἀνάλαβε, ἵνα μηκέτι παλαιοῖς ἐν τῇ σχολῇ παραδείγμασι χρώμεθα, ἀλλὰ ἔχωμέν τι καὶ καθ' ἡμᾶς παράδειγμα. (58) Ταῦτα οὖν τίνος ἐστὶ θεωρεῖν; Τοῦ σχολάζοντος· ἔστι γὰρ φιλοθέωρον ζῷον ὁ ἄνθρωπος. (59) Ἀλλ' αἰσχρόν ἐστι θεωρεῖν ταῦτα οὕτως, ὡς οἱ δραπέται· ἀλλ' ἀπερισπάστως καθῆσθαι, καὶ ἀκούειν νῦν μὲν τραγῳδοῦ, νῦν δὲ κιθαρῳδοῦ· οὐχ ὡς ἐκεῖνοι ποιοῦσι· ἅμα μὲν ἐπέστη καὶ ἐπῄνεσε τὸν τραγῳδὸν, ἅμα δὲ περιεβλέψατο· εἶτα ἄν τις φθέγξηται κύριον, εὐθὺς σεσόβηνται, ταράσσονται. (60) Αἰσχρόν ἐστιν οὕτω καὶ τοὺς φιλοσόφους θεωρεῖν τὰ ἔργα τῆς φύσεως. Τί γάρ ἐστι κύριος; Ἄνθρωπος ἀνθρώπου κύριος οὐκ ἔστι, ἀλλὰ θάνατος καὶ ζωὴ, καὶ ἡδονὴ καὶ πόνος· (61) ἐπεὶ χωρὶς τούτων ἄγαγέ μοι τὸν Καίσαρα, καὶ ὄψει πῶς εὐσταθῶ· ὅταν δὲ μετὰ τούτων ἔλθῃ, βροντῶν καὶ ἀστράπτων, ἐγὼ δὲ ταῦτα φοβῶμαι, τί ἄλλο ἢ ἐπέγνωκα τὸν κύριον, ὡς ὁ δραπέτης; (62) μέχρι δ' ἂν οὔ τινα ἀνοχὴν ἀπὸ τούτων ἔχω, ὡς δραπέτης ἐφίσταται θεάτρῳ, οὕτω κἀγώ· λούομαι, πίνω, ᾄδω· πάντα δὲ μετὰ φόβου καὶ ταλαιπωρίας. (63) Ἐὰν δ' ἐμαυτὸν ἀπολύσω τῶν δε-

in alio collocavi, præterquam in ipso? (48) Quodnam testimonium perhibes deo? Male mecum agitur, Domine; sum in calamitate; nemo me curat; nemo mihi quidquam præstat; omnes vituperant, omnes maledicunt. (49) Hæccine pro testimonio dicturus es, et ei, qui te citavit, ignominiam conciliaturus, qui tantum honorem tibi habuit, qui dignum judicavit cujus tanta de re testimonium audiretur?

50. At qui potestatem habet, pronunciavit, Judico te impium et nefarium esse. Quid tibi accidit? Judicatus sum impius et nefarius esse. Numquid aliud? Nihil. (51) Quodsi de connexo aliquo judicium ille suum interposuisset, et si sic pronunciasset: Ego illam enunciationem, « si dies est, lux est, » falsam judico; quid connexo illi accidisset? De utro hic fit judicium? uter condemnatus est? connexum, an is qui in judicando eo est deceptus? (52) Is igitur qui potestatem de te aliquid pronunciandi habet, novitne quid pium sit, aut quid impium? num in eo se exercuit, et didicit? ubi? a quonam? (53) Ergo musicus quidem non curat eum, cum imam chordam esse summam pronunciat; neque geometra, si lineas, quæ a centro ad circumferentiam producantur, neget esse æquales: (54) homo autem vere eruditus hominem indoctum curabit, quid fas, quid nefas sit, quid justum, quid injustum, pronunciantem? O ingentem injuriam eruditorum! Hæc igitur hic didicisti?

55. Non tu vis ratiunculas, quæ istis de rebus circumferuntur, aliis relinquere, ignavis homuncionibus; ut illi in angulo sedentes aut mercedulas accipiant, aut murmurent neminem præbere sibi quidquam; tu vero prodeas, et iis utaris quæ didicisti? (56) Neque enim ratiunculæ sunt, quæ nunc desunt: immo referti sunt libri Stoicorum ratiunculis. Quid igitur deest? Qui iis utatur, qui re ipsa testimonium perhibeat doctrinæ. (57) Hanc mihi personam sumito, ut in schola exemplis veterum uti desinamus, sed et nostræ aliquod ætatis exemplum habeamus. (58) Hæc igitur considerare cujus est? Ejus cui otium suppetit: est enim homo animal contemplationis studiosum. (59) Sed turpe est hæc ita contemplari, ut fugitivi servi solent: immo sine distractione est sedendum, et nunc tragœdus, nunc citharœdus audiendus: non ut illi faciunt, qui simul accedunt et tragœdum laudant, simulque circumspectant; deinde, si quis herum nominarit, statim trepidant et consternantur. (60) Turpe est philosophos etiam opera naturæ ita contemplari. Quid enim est dominus? Hominis dominus non homo est, sed mors et vita, voluptas et dolor: (61) nam absque his adduc mihi Cæsarem, et videbis quam sim constans: si vero ille cum his venerit, tonans et fulgurans, egoque illa metuero; quid aliud quam, ut fugitivus, dominum meum agnovi? (62) quoad autem aliquas ab his inducias habuero, quemadmodum fugitivus in theatro astat, sic et ego facio: lavo, bibo, cano; sed hæc omnia cum metu et ærumna. (63) Quodsi vero ab istis dominis me vindicaro, hoc est, ab iis rebus propter quas domini sunt

σποτῶν, τοῦτ' ἔστιν ἐκείνων δι' ἃ οἱ δεσπόται εἰσὶ φοβεροί, ποῖον ἔτι πρᾶγμα ἔχω; ποῖον ἔτι κύριον;

64. Τί οὖν; κηρύσσειν δεῖ ταῦτα πρὸς πάντας; Οὔχ, ἀλλὰ τοῖς ἰδιώταις συμπεριφέρεσθαι καὶ λέγειν, Οὗτος, ὃ αὐτῷ ἀγαθὸν οἴεται, τοῦτο κἀμοὶ συμβουλεύει· συγγινώσκω αὐτῷ. (65) Καὶ γὰρ Σωκράτης συνεγίνωσκε τῷ ἐπὶ τῆς φυλακῆς, κλάοντι ὅτε ἔμελλε πίνειν τὸ φάρμακον, καὶ λέγει, Ὡς γενναίως ἡμᾶς ἀποδεδάκρυκε. (66) Μή τι οὖν ἐκείνῳ λέγει, ὅτι διὰ τοῦτο τὰς γυναῖκας ἀπελύσαμεν; ἀλλὰ τοῖς γνωρίμοις, τοῖς δυναμένοις αὐτὰ ἀκοῦσαι· ἐκείνῳ δὲ συμπεριφέρεται, ὡς παιδίῳ.

formidabiles, quid amplius habeo molestiæ? quem porro dominum?

64. Quid ergo? prædicanda sunt hæc apud omnes? Non; sed accommodare nos debemus hominibus imperitis, ac dicere: Hic, quod sibi ipsi bonum esse censet, id mihi quoque suadet; ignosco ei. (65) Nam et Socrates, venenum sumpturus, custodi carceris ploranti veniam dedit: Quam generose, inquit, nos deploravit! (66) Num ergo illi dicit, se ob hanc caussam mulieres dimisisse? Non, sed familiaribus, sed iis qui id audire poterant: illi vero se accommodat, tanquam puero.

ΚΕΦ. Λ'.

Τί δεῖ πρόχειρον ἔχειν ἐν ταῖς περιστάσεσιν.

1. Ὅταν εἰσίῃς πρός τινα τῶν ὑπερεχόντων, μέμνησο ὅτι καὶ ἄλλος ἄνωθεν βλέπει τὰ γιγνόμενα, καὶ ὅτι ἐκείνῳ σε δεῖ μᾶλλον ἀρέσκειν ἢ τούτῳ. (2) Ἐκεῖνος οὖν σου πυνθάνεται· Φυγὴν καὶ φυλακὴν καὶ δεσμὰ, καὶ θάνατον, καὶ ἀδοξίαν, τί ἔλεγες ἐν τῇ σχολῇ; Ἐγώ; ἀδιάφορα. (3) Νῦν οὖν τίνα αὐτὰ λέγεις; μή τι ἐκεῖνα ἠλλάγη; Οὔ. Σὺ οὖν ἠλλάγης; Οὔ. Λέγε οὖν τίνα ἐστὶν ἀδιάφορα· Τὰ ἀπροαίρετα. Λέγε καὶ τὰ ἑξῆς, Τὰ ἀπροαίρετα οὐδὲν πρὸς ἐμέ. (4) Λέγε καὶ τὰ ἀγαθὰ τίνα ὑμῖν ἐδόκει; Προαίρεσις οἵα δεῖ, καὶ χρῆσις φαντασιῶν. Τέλος δὲ τί; Τὸ σοὶ ἀκολουθεῖν. Ταῦτα καὶ νῦν λέγεις; Ταῦτα καὶ νῦν λέγω. (5) Ἄπιθι λοιπὸν ἔσω θαῤῥῶν καὶ μεμνημένος τούτων· καὶ ὄψει τί ἐστι νέος μεμελετηκὼς ἃ δεῖ ἐν ἀνθρώποις ἀμελετήτοις. (6) Ἐγὼ μὲν, νὴ τοὺς θεοὺς, φαντάζομαι ὅτι πείσῃ τὸ τοιοῦτον· Τί οὕτω μεγάλα καὶ πολλὰ παρασκευαζόμεθα πρὸς τὸ μηδέν; (7) τοῦτο ἦν ἡ ἐξουσία; τοῦτο τὰ πρόθυρα; οἱ κοιτωνῖται; οἱ ἐπὶ τῆς μαχαίρας; τούτων ἕνεκα τοὺς πολλοὺς λόγους ἤκουον; ταῦτα οὐδὲν ἦν· ἐγὼ δ' ὡς πρὸς μεγάλα παρεσκευαζόμην.

CAP. XXX.

Quid in rerum discriminibus sit in promptu habendum.

1. Cum aliquem e proceribus accedis, memento alium quoque desuper ea videre quæ gerantur, atque oportere te illi placere potius, quam huic. (2) Ille igitur ex te quærit: De exilio, de custodia et vinculis, de morte et ignominia, quid dicebas in schola? Dixi, esse indifferentia. (3) Nunc igitur quid ea esse dicis? num illa mutata sunt? Non. Tu ergo mutatus es? Non. Dic igitur, quæ sunt indifferentia? Quæ nostri non sunt arbitrii. Dic et ea quæ sequuntur, Quæ mei arbitrii non sunt, nihil ad me pertinent. (4) Dic etiam, bona quænam vobis esse videbantur? Voluntas, qualem esse decet, et visorum usus. Quis autem finis? Te sequi. Ista etiam nunc dicis? Eadem etiam nunc dico. (5) Abi jam nunc intro fidenti animo, et memor istorum: ac videbis quid sit adolescens ea meditatus quæ decet, inter homines non meditatos. (6) Equidem videre mihi videor te sic cogitaturum esse: Quid tantopere et tam sollicite nos ad res nihili præparamus? (7) eane erat illa potestas? hoc illud vestibulum? hi cubicularii? hi satellites? horum caussa multos illos audivi sermones? Hæc nihil erant: ego vero ut ad magna me comparabam.

ΑΡΡΙΑΝΟΥ

ΤΩΝ

ΕΠΙΚΤΗΤΟΥ

ΔΙΑΤΡΙΒΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι οὐ μάχεται τὸ θαῤῥεῖν τῷ εὐλαβεῖσθαι.

1. Παράδοξον μὲν τυχὸν φαίνεταί τισι τὸ ἀξιούμενον ὑπὸ τῶν φιλοσόφων· ὅμως δὲ σκεψώμεθα κατὰ δύναμιν, εἰ ἀληθές ἐστι τόδε· ἵν' ᾖ ἅμα μὲν εὐλαβῶς, ἅμα δὲ θαῤῥούντως πάντα ποιεῖν. (2) Ἐναντίον γάρ πως δοκεῖ τῷ θαῤῥαλέῳ τὸ εὐλαβές· τὰ δ' ἐναντία οὐδαμῶς συνυπάρχει. (3) Τὸ δὲ φαινόμενον πολλοῖς ἐν τῷ τόπῳ παράδοξον δοκεῖ μοι τοιούτου τινὸς ἔχεσθαι· εἰ μὲν γὰρ πρὸς τὰ αὐτὰ ἠξιοῦμεν χρῆσθαι τῇ τ' εὐλαβείᾳ καὶ τῷ θάρσει, δικαίως ἂν ἡμᾶς ᾐτιῶντο, ὡς τὰ ἀσύνακτα συνάγοντας· (4) νῦν δὲ τί δεινὸν ἔχει τὸ λεγόμενον; εἰ γὰρ ὑγιῆ ταῦτ' ἐστὶ τὰ πολλάκις μὲν εἰρημένα, πολλάκις δὲ ἀποδεδειγμένα, ὅτι ἡ οὐσία τοῦ ἀγαθοῦ ἐστιν ἐν χρήσει φαντασιῶν, καὶ τοῦ κακοῦ ὡσαύτως, τὰ δ' ἀπροαίρετα οὔτε τὴν τοῦ κακοῦ δέχεται φύσιν, οὔτε τὴν τοῦ ἀγαθοῦ· (5) τί παράδοξον ἀξιοῦσιν οἱ φιλόσοφοι, εἰ λέγουσιν, ὅπου μὲν τὰ ἀπροαίρετα, ἐκεῖ τὸ θάρσος ἔστω σοι· ὅπου δὲ τὰ προαιρετικὰ, ἐκεῖ ἡ εὐλάβεια; (6) Εἰ γὰρ ἐν κακῇ προαιρέσει τὸ κακὸν, πρὸς μόνα ταῦτα χρῆσθαι ἄξιον τῇ εὐλαβείᾳ· εἰ δὲ τὰ ἀπροαίρετα καὶ μὴ ἐφ' ἡμῖν οὐδὲν πρὸς ἡμᾶς, πρὸς ταῦτα τῷ θάρσει χρηστέον. (7) Καὶ οὕτως ἅμα μὲν εὐλαβεῖς, ἅμα δὲ θαῤῥαλέοι ἐσόμεθα· καὶ, νὴ Δία, διὰ τὴν εὐλάβειαν θαῤῥαλέοι. Διὰ γὰρ τὸ εὐλαβεῖσθαι τὰ ὄντως κακὰ συμβήσεται θαῤῥεῖν ἡμῖν πρὸς τὰ μὴ οὕτως ἔχοντα.

8. Λοιπὸν ἡμεῖς τὸ τῶν ἐλάφων πάσχομεν· ὅτε φοβοῦνται φεύγουσαι αἱ ἔλαφοι τὰ πτερὰ, ποῦ τρέπονται; καὶ πρὸς τίνα ἀναχωροῦσιν ὡς ἀσφαλῆ; Πρὸς τὰ δίκτυα· καὶ οὕτως ἀπόλλυνται ἐναλλάξασαι τὰ φοβερὰ καὶ τὰ θαῤῥαλέα. (9) Οὕτω καὶ ἡμεῖς, ποῦ χρώμεθα τῷ φόβῳ; Πρὸς τὰ ἀπροαίρετα. Ἐν τίσι πάλιν θαῤῥοῦντες ἀναστρεφόμεθα, ὡς οὐδενὸς ὄντος δεινοῦ; Ἐν τοῖς προαιρετικοῖς. (10) Ἐξαπατηθῆναι οὖν ἢ προπεσεῖν, ἢ ἀναίσχυντόν τι ποιῆσαι, ἢ μετ' ἐπιθυμίας αἰσχρᾶς ὀρεχθῆναί τινος, οὐδὲν διαφέρει ἡμῖν, ἂν μόνον ἐν τοῖς ἀπροαιρέτοις εὐστοχῶμεν. Ὅπου δὲ θάνατος, ἢ φυγὴ, ἢ πόνος, ἢ ἀδοξία· ἐκεῖ τὸ ἀναχωρητικὸν, ἐκεῖ τὸ σεσοβημένον. (11) Τοιγαροῦν, ὥσπερ εἰκὸς τοὺς

EPICTETI

DISSERTATIONUM

AB ARRIANO DIGESTARUM

LIBER SECUNDUS.

CAPUT I.

Non pugnare fiduciam cum cautione.

1. Nonnullis fortasse hoc philosophorum pronunciatum præter opinionem videatur; attamen pro virili consideremus, an verum sit, posse nos simul caute, simul vero fidenter agere omnia. (2) Nam cautio fiduciæ quodammodo adversari videtur : contraria vero una consistere nullo modo possunt. (3) At, quod multis absurdum hoc in loco videtur, id eam mea opinione rationem habet, ut, si iisdem in rebus et cautione et fiducia utendum pronunciaremus, merito nos reprehenderent, ut qui res conjungeremus quæ coire non possent : (4) nunc quid absurdi hæc habet oratio? Nam si ea quæ sæpe et dicta et demonstrata sunt, recte se habent, naturam boni in visorum usu esse positam, pariterque naturam mali, quæ autem nostri non sint arbitrii, ea nec in mali nec in boni cadere naturam; (5) quid præter opinionem præcipiunt philosophi, si fiduciam ad eas res quæ nostri arbitrii non sunt, ad eas autem quæ penes nos suant, cautionem adhibendam esse censent? (6) Nam si in mala voluntate malum est positum, in iis solis utendum est cautione quæ nostri juris sunt. Porro, si involuntaria et ab arbitrio nostro remota, et quæ in nostra non sunt potestate, nihil ad nos pertinent, ad ea est adhibenda fiducia. (7) Atque ita simul et cauti erimus, et fidentes; et, per Jovem, propter ipsam cautionem fidentes. Nam quia vera mala cavebimus, fiet ut in iis quæ mala non sunt, fidentes simus.

8. Nunc idem, quod cervis, nobis accidit : qui cum pinnas exterriti fugiunt, quo se convertunt? quo se veluti tuta ad perfugia recipiunt? Ad retia : atque ita pereunt, dum timenda permutant cum rebus nihil periculi habentibus. (9) Sic et nos, ubi timemus? In iis quæ nostri arbitrii non sunt. Rursus quibus in rebus ita nobis fidimus, quasi nihil sit periculi? In iis quæ nostri sunt arbitrii. (10) Itaque decipi, temere et præcipitanter agere, impudens aliquid admittere, aut cum turpi libidine aliquid appetere, nihil nostra interest, modo in iis, quæ penes nos non sunt, scopum feliciter attingamus. Ubi vero mors, aut exsilium, aut dolor, aut ignominia; ibi refugimus, ibi consternatio oritur. (11) Ita-

περὶ τὰ μέγιστα διαμαρτάνοντας, τὸ μὲν φύσει θαρραλέον, θρασὺ κατασκευάζομεν, ἀπονενοημένον, ἰταμὸν, ἀναίσχυντον, τὸ δ' εὐλαβὲς φύσει καὶ αἰδῆμον, δειλὸν καὶ ταπεινὸν, φόβων καὶ ταραχῶν μεστόν. (12) Ἂν γάρ τις ἐκεῖ μεταθῇ τὸ εὐλαβὲς, ὅπου προαίρεσις καὶ ἔργα προαιρέσεως, εὐθὺς, ἅμα τῷ θέλειν εὐλαβεῖσθαι, καὶ ἐφ' αὐτῷ κειμένην ἕξει τὴν ἔκκλισιν· ἂν δ' ὅπου τὰ μὴ ἐφ' ἡμῖν ἐστι καὶ ἀπροαίρετα, πρὸς τὰ ἐπ' ἄλλοις ὄντα τὴν ἔκκλισιν ἔχων, ἀναγκαίως φοβήσεται, ἀκαταστατήσει, ταραχθήσεται. (13) Οὐ γὰρ θάνατος ἢ πόνος φοβερὸν, ἀλλὰ τὸ φοβεῖσθαι πόνον ἢ θάνατον. Διὰ τοῦτο ἐπαινοῦμεν τὸν εἰπόντα ὅτι

Οὐ κατθανεῖν γὰρ δεινὸν, ἀλλ' αἰσχρῶς θανεῖν.

14. Ἔδει οὖν πρὸς μὲν τὸν θάνατον τὸ θάρσος ἐστράφθαι, πρὸς δὲ τὸν φόβον τοῦ θανάτου τὴν εὐλάβειαν· νῦν δὲ τὸ ἐναντίον, πρὸς μὲν τὸν θάνατον, τὴν φυγήν· πρὸς δὲ τὸ περὶ αὐτοῦ δόγμα, τὴν ἀνεπιστρεψίαν καὶ τὸ ἀφειδὲς καὶ τὸ ἀδιαφορητικόν. (15) Ταῦτα δ' ὁ Σωκράτης, καλῶς ποιῶν, μορμολύκεια ἐκάλει. Ὡς γὰρ τοῖς παιδίοις τὰ προσωπεῖα φαίνεται δεινὰ καὶ φοβερὰ δι' ἀπειρίαν, τοιοῦτόν τι καὶ ἡμεῖς πάσχομεν πρὸς τὰ πράγματα, δι' οὐδὲν ἄλλο, ἢ ὥσπερ καὶ τὰ παιδία πρὸς τὰς μορμολυκείας. (16) Τί γάρ ἐστι παιδίον; Ἄγνοια. Τί ἐστὶ παιδίον; Ἀμαθία· ἐπεὶ ὅπου οἶδε κἀκεῖνα, οὐδὲν ἡμῶν ἔλαττον ἔχει. (17) Θάνατος τί ἐστί; Μορμολύκειον. Στρέψας αὐτὸ, κατάμαθε.. Ἰδοὺ πῶς οὐ δάκνει. Τὸ σωμάτιον δεῖ χωρισθῆναι τοῦ πνευματίου, ὡς πρότερον ἐκεχώριστο, ἢ νῦν, ἢ ὕστερον. Τί οὖν ἀγανακτεῖς εἰ νῦν; εἰ γὰρ μὴ νῦν, ὕστερον. (18) Διὰ τί; Ἵνα ἡ περίοδος ἀνύηται τοῦ κόσμου· χρείαν γὰρ ἔχει τῶν μὲν ἐνισταμένων, τῶν δὲ μελλόντων, τῶν δ' ἠνυσμένων. (19) Πόνος τί ἐστι; Μορμολύκειον. Στρέψον αὐτὸ, καὶ κατάμαθε. Τραχέως κινεῖται τὸ σαρκίδιον, εἶτα πάλιν λείως. Ἂν σοι μὴ λυσιτελῇ, ἡ θύρα ἤνοικται· ἂν λυσιτελῇ, φέρε. (20) Πρὸς πάντα γὰρ ἠνοῖχθαι χρὴ τὴν θύραν· καὶ πρᾶγμα οὐχ ἔχομεν.

21. Τίς οὖν τούτων τῶν δογμάτων καρπός; Ὅνπερ δεῖ κάλλιστόν τ' εἶναι, καὶ πρεπωδέστατον τοῖς τῷ ὄντι πεπαιδευμένοις· ἀταραξία, ἀφοβία, ἐλευθερία. (22) Οὐ γὰρ τοῖς πολλοῖς περὶ τούτων πιστευτέον, οἳ λέγουσι μόνοις ἐξεῖναι παιδεύεσθαι τοῖς ἐλευθέροις· ἀλλὰ τοῖς φιλοσόφοις μᾶλλον, οἳ λέγουσι μόνους τοὺς παιδευθέντας ἐλευθέρους εἶναι. (23) Πῶς τοῦτο; Οὕτω. Νῦν ἄλλο τι ἐστὶν ἐλευθερία, ἢ τὸ ἐξεῖναι ὡς βουλόμεθα διεξάγειν; Οὐδέν. Λέγετε δή μοι, ὦ ἄνθρωποι, βούλεσθε ζῆν ἁμαρτάνοντες; Οὐ βουλόμεθα. (24) Οὐδεὶς τοίνυν ἁμαρτάνων, ἐλεύθερός ἐστι. Βούλεσθε ζῆν φοβούμενοι; βούλεσθε λυπούμενοι; βούλεσθε ταρασσόμενοι; Οὐδαμῶς. Οὐδεὶς ἄρα οὔτε φοβούμενος, οὔτε λυπούμενος, οὔτε ταρασσόμενος, ἐλεύθερός ἐστιν· ὅστις δ' ἀπήλλακται λυπῶν καὶ φόβων καὶ ταραχῶν, οὗτος τῇ αὐτῇ ὁδῷ καὶ τοῦ δουλεύειν ἀπήλλακται. (25) Πῶς οὖν ἔτι ὑμῖν πιστεύσομεν, ὦ φίλτατοι νομοθέται; οὐχ ἐπιτρέ-

que quod consentaneum erat accidere eis qui maximis in rebus errant, fiduciam quæ nobis a natura data est, in audaciam, in desperationem, in temeritatem, in impudentiam convertimus; naturalem autem cautionem et pudorem, in timiditatem et humilitatem, timorum et turbarum plenam. (12) Nam si quis eo cautionem transtulerit, ubi voluntas est et voluntatis opera; statim, simulac cavere voluerit, in sua etiam potestate positam habebit aversationem : sin eo, ubi sunt involuntaria et quæ extra nostram sunt potestatem, transtulerit cautionem, eaque refugiat quæ in aliorum sunt potestate; necessario timebit, trepidabit, perturbabitur. (13) Non enim mors aut dolor est terribilis, sed timor doloris aut mortis. Propterea laudamus eum qui dixit,

Mori non est, sed turpiter mori, malum.

14. Erat igitur adversus mortem quidem fiducia utendum; adversus timorem vero mortis, cautione : at nos, e contrario, adversus mortem fuga aversationeque utimur; adversus opinionem de ea concipiendam, incuria, temeritate, indifferentia. (15) Has res Socrates, idque recte, larvas nominabat. Nam ut pueris larvæ horribiles et metuendæ videntur propter imperitiam; ita et nos rebus in vita afficimur, non alia de caussa, quam ut pueri larvis. (16) Quid enim est puer? Ignorantia. Quid est puer? Inscitia. Nam quatenus illa puer novit, non est deteriore quam nos conditione. (17) Mors quid est? Larva. Inverte eam, et considera : vide ut non mordet. Corpusculum separari oportet ab animula, ut prius etiam separatum fuerat, aut nunc, aut post. Quid ergo ægre fers, si nunc? nam si non nunc, at post. (18) Quamobrem? Ut mundi circuitus compleatur : ei enim opus est aliis præsentibus, aliis rebus futuris, aliis præteritis. (19) Dolor quid est? Larva. Inverte eam, et considera. Aspere movetur caruncula, deinde rursus molliter : quod si tibi non expedit, janua patet; si expedit, fer. (20) Ad omnia enim januam patere oportet : ita nihil habebimus negotii.

21. Quis igitur horum decretorum fructus est? Is quem oportet esse pulcherrimum, et iis qui revera eruditi sunt dignissimum : constantia, metu liber animus, libertas. (22) Neque enim vulgo his de rebus est credendum, qui solis ingenuis licere dicunt erudiri; sed philosophis potius, qui solos eruditos esse liberos dicunt. (23) Quomodo istud? Sic. Numquid igitur aliud est libertas, quam licere ita vivere ut velis? Nihil. Dicite igitur mihi, o homines, vultisne vivere in peccatis? Nolumus. (24) Nemo igitur delinquens, liber est. Vultis vivere metuentes? vultis mœrentes, vultis perturbati? Nequaquam. Nemo ergo, vel metuens, vel mœrens, vel perturbatus, est liber : qui autem molestia, metu et perturbatione liberatus est, is eadem via et servitute est liberatus. (25) Quomodo igitur vobis posthac credemus, carissimi legumlatores? Non sinemus

τομεν παιδεύεσθαι, εἰ μὴ τοῖς ἐλευθέροις; οἱ φιλόσοφοι γὰρ λέγουσιν, ὅτι οὐκ ἐπιτρέπομεν ἐλευθέροις εἶναι, εἰ μὴ τοῖς πεπαιδευμένοις· τοῦτό ἐστιν, ὁ θεὸς οὐκ ἐπιτρέπει. (26) Ὅταν οὖν στρέψῃ τις ἐπὶ στρατηγοῦ τὸν αὑτοῦ δοῦλον, οὐδὲν ἐποίησεν; Ἐποίησε. Τί; Ἔστρεψε τὸν αὑτοῦ δοῦλον ἐπὶ στρατηγοῦ. Ἄλλο οὐδέν; Ναί· καὶ εἰκοστὴν αὐτοῦ δοῦναι ὀφείλει. (27) Τί οὖν; ὁ ταῦτα παθὼν οὐ γέγονεν ἐλεύθερος; Οὐ μᾶλλον ἢ ἀτάραχος. (28) Ἐπεὶ σὺ, ὁ ἄλλους στρέφειν δυνάμενος, οὐδένα ἔχεις κύριον; οὐκ ἀργύριον; οὐ κοράσιον; οὐ παιδάριον; οὐ τύραννον; οὐ φίλον τινὰ τοῦ τυράννου; Τί οὖν τρέμεις ἐπί τινα τοιαύτην ἀπιὼν περίστασιν;

29. Διὰ τοῦτο λέγω πολλάκις, ταῦτα μελετᾶτε καὶ ταῦτα πρόχειρα ἔχετε, πρὸς τίνα δεῖ τεθαῤῥηκέναι, καὶ πρὸς τίνα εὐλαβῶς διακεῖσθαι· ὅτι πρὸς τὰ ἀπροαίρετα θαῤῥεῖν, εὐλαβεῖσθαι τὰ προαιρετικά. (30) Ἀλλ' οὐκ ἀνέγνων σοι; οὐδ' ἔγνως τί ποιῶ; Ἐν τίνι; Ἐν λεξειδίοις. (31) Ἔχε σου τὰ λεξείδια· δεῖξον πῶς ἔχεις πρὸς ὄρεξιν καὶ ἔκκλισιν, εἰ μὴ ἀποτυγχάνεις ὧν θέλεις, εἰ μὴ περιπίπτεις οἷς οὐ θέλεις· ἐκεῖνα δὲ τὰ περιόδια, ἂν νοῦν ἔχῃς, ἄρας πού ποτε ἀπαλείψεις. (32) Τί οὖν; Σωκράτης οὐκ ἔγραφε; Καὶ τίς τοσαῦτα; Ἀλλὰ πῶς; Ἐπεὶ μὴ ἐδύνατο ἔχειν ἀεὶ ἐλέγχοντα αὐτοῦ τὰ δόγματα, ἢ ἐλεγχθησόμενον ἐν τῷ μέρει, αὐτὸς ἑαυτὸν ἤλεγχε καὶ ἐξήταζε· καὶ ἀεὶ μίαν γέ τινα πρόληψιν ἐγύμναζε χρηστικῶς. (33) Ταῦτα γράφει φιλόσοφος· λεξείδια δὲ * καὶ ἡ ὁδὸς, ἣν λέγω *, ἄλλοις ἀφίησι, τοῖς ἀναισθήτοις, ἢ τοῖς μακαρίοις τοῖς σχολὴν ἄγουσιν ὑπὸ ἀταραξίας, ἢ τοῖς μηδὲν τῶν ἑξῆς ὑπολογιζομένοις διὰ μωρίαν.

34. Καὶ νῦν, καιροῦ καλοῦντος, ἐκεῖνα δείξεις ἐπελθὼν, καὶ ἀναγνώσῃ καὶ ἐμπερπερεύσῃ; Ἰδοὺ πῶς διαλόγους συντίθημι. (35) Μὴ, ἄνθρωπε· ἀλλ' ἐκεῖνα μᾶλλον, Ἰδοὺ πῶς ὀρεγόμενος οὐκ ἀποτυγχάνω· ἰδοὺ πῶς ἐκκλίνων οὐ περιπίπτω. Φέρε θάνατον, καὶ γνώσῃ. Φέρε πόνους, φέρε δεσμωτήριον, φέρε ἀδοξίαν, φέρε καταδίκην. (36) Αὕτη ἐπίδειξις νέου ἐκ σχολῆς ἐληλυθότος. Τἆλλα δ' ἄλλοις ἄφες· μηδὲ φωνήν τις ἀκούσῃ σου περὶ αὐτῶν ποτε· μηδ', ἂν ἐπαινέσῃ τις ἐπ' αὐτοῖς, ἀνέχου· δόξον δὲ μηδεὶς εἶναι, καὶ εἰδέναι μηδέν. (37) Μόνον τοῦτο εἰδὼς φαίνου, πῶς μήτ' ἀποτύχῃς ποτὲ, μήτε περιπέσῃς. (38) Ἄλλοι μελετάτωσαν δίκας, ἄλλοι προβλήματα, ἄλλοι συλλογισμούς· σὺ ἀποθνήσκειν, σὺ δεδέσθαι, σὺ στρεβλοῦσθαι, σὺ ἐξορίζεσθαι· (39) πάντα ταῦτα θαῤῥούντως, πεποιθότως τῷ κεκληκότι σε ἐπ' αὐτὰ, τῷ ἄξιον τῆς χώρας ταύτης κεκρικότι, ἐν ᾗ καταταχθεὶς, ἐπιδείξεις τίνα δύναται λογικὸν ἡγεμονικὸν πρὸς τὰς ἀπροαιρέτους δυνάμεις ἀντιταξάμενον. (40) Καὶ οὕτω τὸ παράδοξον ἐκεῖνο οὐκέτι οὔτ' ἀδύνατον φανεῖται, οὔτε παράδοξον, ὅτι ἅμα μὲν εὐλαβεῖσθαι δεῖ, ἅμα δὲ θαῤῥεῖν· πρὸς μὲν τὰ ἀπροαίρετα θαῤῥεῖν, ἐν δὲ τοῖς προαιρετικοῖς εὐλαβεῖσθαι.

erudiri, nisi ingenuos? Nam philosophi aiunt : Nos non sinimus esse liberos, nisi eruditos : hoc est, deus non sinit. (26) Quum igitur servum suum coram prætore aliquis circumegit, nihilne egit? Egit. Quid? Coram prætore servum suum circumegit. Numquid aliud? Immo : vicesimam etiam pro eo solvere oportet. (27) Quid ergo? is cui hoc contigit, nonne factus est liber? Nihilo magis quam perturbationis expers. (28) Nam tu, qui circumagere alios potes, nullumne habes dominum? non argentum? non puellam? non puerum? non tyrannum? non amicum quemdam tyranni? Quid igitur tremis, ubi hujusmodi quoddam adis discrimen?

29. Propterea sæpe vos moneo, hæc meditanda esse atque in promptu habenda, quibus in rebus fidentes esse oporteat, et quibus in rebus cautos : fidentes esse oportere in iis, quæ nostri non sunt arbitrii; cautos in his, quæ penes nos sunt. (30) At nonne recitavi tibi? et nonne nosti quid agam? In quo? In dictiunculis. (31) Habe tibi tuas dictiunculas : ostendito quo pacto te habeas quoad appetitionem et aversationem; an non frustreris iis quæ vis; an non incidas in ea quæ non vis. Illos autem bellos verborum circuitus, si sapies, abjicies tandem aliquando, ac delebis. (32) Quid ergo? Socrates non scripsit? Quis tam multa? Sed quomodo? Cum non semper habere posset a quo decreta ipsius coarguerentur, aut quem ipse per vices coargueret; ipse sese coarguebat et examinabat; et semper unam saltem notionem aliquam sic tractabat, ut ad usum eam accommodaret. (33) Hæc scribit philosophus. Quod vero ad sermunculos, viamque illam attinet, quam dico, aliis hæc relinquit, nempe sensum non habentibus, aut beatis istis qui otium agunt, quoniam sunt perturbationibus vacui, aut qui nihil eorum quæ sequuntur reputant propter stultitiam.

34. Et nunc tu, ubi tempus te vocat, ista ostentabis adveniens, et recitabis, et inaniter te efferes? Ecce ut dialogos compono. (35) Apage ista, homo! illa potius profer : Ecce ut appetitione mea non frustror ; ecce ut in id, quod aversor, non incido. Profer mortem; et cognosces. Profer labores, carcerem, ignominiam, condemnationem. (36) Hæc est ostentatio adolescentis e schola progressi. Reliqua ceteris relinquito; neque quisquam de illis vocem ullam ex te audiat, neque tu laudari te ob ea sinito; sed putato te esse neminem, et scire nihil. (37) Illud duntaxat te scire ostende, quo pacto neque voto frustreris umquam, neque in id quod nolles incidas. (38) Alii caussas meditentur forenses, alii problemata, alii syllogismos : tu meditare mortem, tu vincula, tu tormenta, tu exsilia : (39) atque hæc omnia fidenter, atque ita ut qui ei obtemperes, qui te ad illa vocarit, qui te eo loco dignum judicarit, in quo constitutus demonstrares quid possit principalis pars animæ ratione prædita, cum se rebus iis, quæ juris alieni sunt, opposuerit. (40) Atque sic paradoxum illud non amplius aut impossibile aut præter opinionem videbitur, simul et cautos et fidentes nos esse oportere; fidentes, in rebus non voluntariis; cautos, in rebus quæ nostri sunt arbitrii.

ΚΕΦ. Β'.

Περὶ ἀταραξίας.

1. Ὅρα σὺ ὁ ἀπιὼν ἐπὶ τὴν δίκην, τί θέλεις τηρῆσαι, καὶ ποῦ θέλεις ἀνῦσαι. (2) Εἰ γὰρ προαίρεσιν θέλεις τηρῆσαι κατὰ φύσιν ἔχουσαν, πᾶσά σοι ἀσφάλεια, πᾶσά σοι εὐμάρεια, πρᾶγμα οὐκ ἔχεις. (3) Τὰ γὰρ ἐπὶ σοί, αὐτεξούσια καὶ φύσει ἐλεύθερα, θέλων τηρῆσαι, καὶ τούτοις ἀρκούμενος, τίνος ἔτι ἐπιστρέφῃ; (4) Τίς γὰρ αὐτῶν κύριος; Τίς αὐτὰ δύναται ἀφελέσθαι; Εἰ θέλεις αἰδήμων εἶναι καὶ πιστός, τίς οὐκ ἐάσει σε; εἰ θέλεις μὴ κωλύεσθαι μηδ' ἀναγκάζεσθαι, τίς σε ἀναγκάσει ὀρέγεσθαι ὧν οὐ δοκεῖ σοι; τίς ἐκκλίνειν ἃ μὴ φαίνεταί σοι; (5) Ἀλλὰ τί; πράξει μέν σοι τινά, ἃ δοκεῖ φοβερὰ εἶναι· ἵνα δὲ καὶ ἐκκλίνων αὐτὰ πάθῃς, πῶς δύναται ποιῆσαι; (6) Ὅταν οὖν ἐπὶ σοὶ ᾖ τὸ ὀρέγεσθαι καὶ ἐκκλίνειν, τίνος ἔτι ἐπιστρέφῃ; (7) Τοῦτό σοι προοίμιον, τοῦτο διήγησις, τοῦτο πίστις, τοῦτο νίκη, τοῦτο ἐπίλογος, τοῦτο εὐδοκίμησις.

8. Διὰ τοῦτο ὁ Σωκράτης πρὸς τὸν ὑπομιμνήσκοντα, ἵνα παρασκευάζηται πρὸς τὴν δίκην, ἔφη· Οὐ δοκῶ οὖν σοι ἅπαντι τῷ βίῳ πρὸς τοῦτο παρασκευάζεσθαι; (9) Ποίαν παρασκευήν; Τετήρηκα, φησί, τὸ ἐπ' ἐμοί. Πῶς οὖν; Οὐδὲν οὐδέποτ' ἄδικον οὔτ' ἰδίᾳ οὔτε δημοσίᾳ ἔπραξα. (10) Εἰ δὲ θέλεις καὶ τὰ ἐκτὸς τηρῆσαι, τὸ σωμάτιον, καὶ τὸ οὐσίδιον, καὶ τὸ ἀξιωμάτιον· λέγω σοι, Ἤδη αὐτόθεν παρασκευάζου τὴν δυνατὴν παρασκευὴν πᾶσαν· καὶ λοιπὸν σκέπτου καὶ τὴν φύσιν τοῦ δικαστοῦ, καὶ τὸν ἀντίδικον. (11) Εἰ γονάτων ἅψασθαι δεῖ, γονάτων ἅψαι· εἰ κλαῦσαι, κλαῦσον· εἰ οἰμῶξαι, οἴμωξον. (12) Ὅταν γὰρ ὑποθῇς τὰ σὰ τοῖς ἐκτός, δούλευε τὸ λοιπόν, καὶ ποτὲ μὴ ἀντισπῶ, καὶ ποτὲ μὲν θέλε δουλεύειν, ποτὲ δὲ μὴ θέλε· (13) ἀλλ' ἁπλῶς, καὶ ἐξ ὅλης τῆς διανοίας, ἢ ταῦτα ἢ ἐκεῖνα, ἢ ἐλεύθερος ἢ δοῦλος, ἢ πεπαιδευμένος ἢ ἀπαίδευτος, ἢ γενναῖος ἀλεκτρυὼν ἢ ἀγεννής, ἢ ὑπόμενε τυπτόμενος μέχρις ἂν ἀποθάνῃς, ἢ ἀπαγόρευσον εὐθύς· μή σοι γένοιτο πληγὰς πολλὰς λαβεῖν, καὶ ὕστερον ἀπαγορεῦσαι. (14) Εἰ δ' αἰσχρὰ ταῦτα, αὐτόθεν ἤδη δίελε· ποῦ φύσις κακῶν καὶ ἀγαθῶν; Οὗ καὶ ἀλήθεια. Ὅπου ἀλήθεια καὶ οὗ φύσις, ἐκεῖ τὸ εὐλαβές· ὅπου ἡ ἀλήθεια, ἐκεῖ τὸ θαῤῥαλέον, ὅπου ἡ φύσις.

15. Ἐπεὶ τί δοκεῖς; ὅτι τὰ ἐκτὸς τηρῆσαι θέλων Σωκράτης, παρελθὼν ἂν ἔλεγεν, « Ἐμὲ δ' Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ; » (16) Οὕτω μωρὸς ἦν, ἵνα μὴ ἴδῃ ὅτι αὕτη ἡ ὁδὸς ἐνταῦθα οὐ φέρει, ἀλλ' ἄλλῃ; Τί οὖν ἐστιν ὅτι οὐκ ἔχει λόγον, καὶ προσερεθίζει; (17) Ὡς ὁ ἐμὸς Ἡράκλειτος, περὶ ἀγριδίου πραγμάτιον ἔχων ἐν Ῥόδῳ, καὶ ἀποδείξας τοῖς δικασταῖς ὅτι δίκαια λέγει, ἐλθὼν ἐπὶ τὸν ἐπίλογον, ἔφη, ὅτι Ἀλλ' οὔτε δεήσομαι ὑμῶν, οὔτ' ἐπιστρέφομαι τί μέλλετε κρίνειν· ὑμεῖς τε μᾶλλον οἱ κρινόμενοι ἐστέ, ἢ ἐγώ. Καὶ οὕτω κατέστρεψε τὸ πραγμάτιον. (18) Τίς χρεία; Μόνον μὴ δέου· μὴ προσ-

CAP. II.

De imperturbato animi statu.

1. Vide tu qui in jus ambulas, quid tueri velis, et qua parte velis proficere. (2) Nam si voluntatem conservare studes naturæ consentaneam, omnia tibi tuta sunt, omnia facilia, negotium non habes. (3) Si enim, quæ in potestate tua, quæ tui arbitrii naturaque libera sunt, ea custodire iisque contentus esse volueris, quid præterea curabis? (4) Quis enim eorum potestatem habebit? Quis eripere illa potest? Si voles verecundus esse et fidelis, quis te non sinet? si neque prohiberi neque cogi voles, quis te coget ea appetere, quæ tibi non appetenda videntur? quis aversari quæ tibi non videntur aversanda? (5) Quid vero? statuet ille quidem in te nonnulla, quæ terribilia videntur; sed, ut tu cum declinatione etiam et aversatione patiaris illa, id qui facere possit? (6) Cum igitur penes te sit appetere et declinare, quid adhuc curas? (7) Hoc tibi exordium esto, hæc narratio, hæc confirmatio, hæc victoria, hæc peroratio, hæc gloriatio.

8. Quapropter Socrates ad eum qui submonuerat, ut se ad caussam dicendam pararet: Quid ergo, inquit, non tibi videor per omnem ætatem ad istud me parasse? (9) Qua præparatione? Conservavi, inquit, id quod penes me fuit. Quomodo ergo? Nihil umquam injustum, neque privatim, neque publice feci. (10) Quodsi vero externa etiam tueri volueris, corpusculum, reculam et dignitatulam; dico tibi, Jam præpara te, et subsidia compara quæcumque potueris; tum deinde considera etiam, quodnam sit et judicis tui ingenium et adversarii. (11) Si amplectenda sunt genua, genua amplectere; si plorandum, plora; si gemendum, geme. (12) Cum enim tua semel rebus externis subjeceris; quod reliquum est, servito, neu in diversa trahitor, ut aliquando servire velis, aliquando nolis; (13) sed simpliciter totoque pectore aut hæc, aut illa sequitor; aut liber, aut servus; aut disciplina imbutus, aut rudis; aut strenuus gallus, aut ignavus esto; aut sustine verbera usque ad mortem, aut statim cede; ne tibi accidat, ut, multis jam acceptis plagis, tum demum ultro pugnam omittas. (14) Quodsi vero hæc turpia sunt; jam nunc continuo rem explica : ubi sita est natura malorum et bonorum? Ubi et veritas. Ubi veritas et natura, ibi est et cautio : ubi veritas et natura, ibi est etiam fiducia.

15. Nam quid putas? si externa tueri Socrates voluisset, prodeuntem dicturum fuisse : » Me quidem Anytus et Melitus occidere possunt, lædere autem non possunt? » (16) Adeone stupidus fuisset, ut nesciret, hanc viam non eo ferre, sed alio? Cur ergo, si externa tueri voluit, rationem nullam adversariorum suorum habet, et insuper eos irritat? (17) Sic meus Heraclitus, cum de agello negotiolum Rhodi haberet, et judicibus demonstrasset caussæ suæ justitiam, progressus ad perorationem : « Neque orabo vos, inquit, neque curo quid sitis pronunciaturi : deque vobis potius, quam de me, fit judicium. » Atque ita negotiolum evertit. (18) Quid opus isto fuit? Tantummodo ne ora; noli autem

τίθει δ', ὅτι καὶ οὐ δέομαι· εἰ μή τι καιρός ἐστιν ἐπίτηδες ἐρεθίσαι τοὺς δικαστάς, ὡς Σωκράτει. (19) Καὶ σύ, εἰ τοιοῦτον ἐπίλογον παρασκευάζῃ, τί ἀναβαίνεις; τί ὑπακούεις; (20) Εἰ γὰρ σταυρωθῆναι θέλεις, ἔκδεξαι, καὶ ἥξει ὁ σταυρός· εἰ δ' ὑπακοῦσαι λόγος αἱρεῖ καὶ πεῖσαι τό γε παρ' αὐτόν, τὰ ἑξῆς τούτῳ ποιητέον, τηροῦντι μέντοι τὰ ἴδια.

21. Ταύτῃ καὶ γελοῖόν ἐστι τὸ λέγειν, Ὑπόθου μοι. Τί σοι ὑποθῶμαι; Ἀλλά, ποίησόν μου τὴν διάνοιαν, ὅ τι ἂν ἀποβαίνῃ, πρὸς τοῦτο ἁρμόσασθαι. (22) Ἐπεὶ ἐκείνῳ γε ὅμοιόν ἐστιν, οἷον εἰ ἀγράμματος λέγοι, Εἰπέ μοι τί γράψω, ὅταν μοι προβληθῇ τι ὄνομα. (23) Ἂν γὰρ εἴπω ὅτι Δίων, εἶτα παρελθὼν ἐκεῖνος αὐτῷ προβάλῃ μὴ τὸ Δίωνος ὄνομα, ἀλλὰ τὸ Θέωνος· τί γένηται; τί γράψει; (24) Ἀλλ' εἰ μὲν μεμελέτηκας γράφειν, ἔχεις καὶ παρασκευάσασθαι πρὸς πάντα τὰ ὑπαγορευόμενα· εἰ δὲ μή, τί σοι ἐγὼ νῦν ὑποθῶμαι; ἂν γὰρ ἄλλο τι ὑπαγορεύῃ τὰ πράγματα, τί ἐρεῖς, ἢ τί πράξεις; (25) Τούτου οὖν τοῦ καθολικοῦ μέμνησο, καὶ ὑποθήκης οὐκ ἀπορήσεις. Ἐὰν δὲ πρὸς τὰ ἔξω χάσκῃς, ἀνάγκη σε ἄνω καὶ κάτω κυλίεσθαι, πρὸς τὸ βούλημα τοῦ κυρίου. (26) Τίς δ' ἐστὶ κύριος; Ὁ τῶν ὑπὸ σοῦ τινος σπουδαζομένων ἢ ἐκκλινομένων ἔχων τὴν ἐξουσίαν.

adjicere te non esse oraturum : nisi forte ferat tempus, ut de industria sint irritandi judices; id quod Socrati usu venit. (19) Tu igitur, si talem perorationem paras, cur venis in judicium? cur te sistis? (20) Nam si in crucem tolli cupis, exspecta; aderit crux : sin ratio suaserit ut pareas judici et caussam tuam, quoad in te est, ei probes, cetera his consentanea facienda sunt; modo conserves quæ tua sunt.

21. Ea quoque ratione ridiculum est dicere, Mone me. Quid te moneam? Immo, Effice ut meus animus, quidquid evenerit, ad id se accommodet. (22) Nam illud quidem perinde est, ac si illiteratus dicat : Dic mihi quid scribam, ubi nomen aliquod propositum mihi fuerit. (23) Nam si ego Dionis nomen dixero, deinde vero alter accedat, eique non Dionis, sed Theonis nomen proponat; quid fiet? quid scribet? (24) Verum si scribendo exercitatus fueris, possis te parare ad ea omnia scribenda quæ dictantur: sin minus, quid ego nunc te moneam? Nam si quid aliud res ipsæ postularint, quid dices, aut facies? (25) Hoc igitur universale memento, atque ita non egebis admonitione. Quodsi vero rebus externis inhiaveris, necesse te erit sursum ac deorsum volutari, domini arbitratu. (26) Quis autem est dominus? Is in cujus potestate sunt ea quæ a te vel expetuntur, vel fugiuntur.

ΚΕΦ. Γ'.

Πρὸς τοὺς συνιστάντας τινὰς τοῖς φιλοσόφοις.

1. Καλῶς ὁ Διογένης πρὸς τὸν ἀξιοῦντα γράμματα παρ' αὐτοῦ λαβεῖν συστατικά, Ὅτι μὲν ἄνθρωπος, φησίν, εἶ καὶ ἰδὼν γνώσεται· εἰ δ' ἀγαθὸς ἢ κακός, εἰ μὲν ἔμπειρός ἐστι διαγνῶναι τοὺς ἀγαθοὺς καὶ κακούς, γνώσεται· εἰ δ' ἄπειρος, οὐδ' ἂν μυριάκις γράψω αὐτῷ. (2) Ὅμοιον γάρ, ὥσπερ εἰ δραχμὴ συσταθῆναί τινι ἠξίου, ἵνα δοκιμασθῇ. Εἰ ἀργυρογνωμονικός ἐστι, γνώσεται· σὺ γὰρ σαυτὴν συστήσεις. (3) Ἔδει οὖν τοιοῦτόν τι ἔχειν ἡμᾶς καὶ ἐν τῷ βίῳ, οἷον ἐπ' ἀργυρίου, ἵν' εἰπεῖν δύνωμαι καθάπερ ὁ ἀργυρογνώμων λέγει, Φέρε ἣν θέλεις δραχμήν, καὶ διαγνώσομαι. (4) Ἀλλ' ἐπὶ συλλογισμῶν, Φέρε ὃν θέλεις, καὶ διακρινῶ σοι τὸν ἀναλυτικόν τε καὶ μή. Διὰ τί; Οἶδα γὰρ ἀναλύειν συλλογισμούς· ἔχω τὴν δύναμιν, ἣν ἔχειν δεῖ τὸν ἐπιγνωστικὸν τῶν περὶ συλλογισμοὺς κατορθούντων. (5) Ἐπὶ δὲ τοῦ βίου τί ποιῶ; Νῦν μὲν λέγω ἀγαθόν, νῦν δὲ κακόν. Τί τὸ αἴτιον; Τὸ ἐναντίον ἢ ἐπὶ τῶν συλλογισμῶν, ἀμαθία καὶ ἀπειρία.

CAP. III.

Ad eos qui philosophis aliquos commendant.

1. Recte Diogenes ad eum, qui commendatitias ab eo literas petebat : Te quidem, inquit, esse hominem, cum primum viderit, agnoscet : utrum vero bonus, an malus sis, si quidem peritus est bonos et malos discernendi, cognoscet; sin imperitus, non cognoscet, etiamsi sexcenties scripsero. (2) Nam perinde est, ac si drachma commendari se alicui vellet, ut exploraretur. Si sit argentarius, cognoscet; nam tu te ipsam commendabis. (3) Oportebat igitur nos habere in vita quoque tale aliquid, quale in moneta, ut dicere possem, quemadmodum argentarius dicit, Affer quamvis drachmam, eam ego discernam. (4) At vero in re syllogistica, Affer quem volueris, et dijudicabo tibi, quis syllogismos resolvere possit, quis non. Quamobrem? Quia novi syllogismos resolvere : habeo facultatem, quam eum oportet habere, qui in re syllogistica bene institutos cognoscere possit. (5) In vita vero quid ago? Nunc dico bonum, nunc malum. Quid caussæ est? Contrarium quam quod in re syllogistica evenit, inscitia nempe atque imperitia.

ΚΕΦ. Δ'.

Πρὸς τὸν ἐπὶ μοιχείᾳ ποτὲ κατειλημμένον.

1. Λέγοντος αὐτοῦ ὅτι ὁ ἄνθρωπος πρὸς πίστιν γέγονε, καὶ τοῦτο ὁ ἀνατρέπων ἀνατρέπει τὸ ἴδιον τοῦ ἀνθρώπου· ἐπεισῆλθέ τις τῶν δοκούντων φιλολόγων, ὅς κατειλημμένος ποτε μοιχὸς ἐν τῇ πόλει. (2) Ὁ δ', Ἀλλ' ἄν, φησίν, ἀφέντες τοῦτο τὸ πιστόν, πρὸς ὃ πεφύκαμεν,

CAP. IV.

Ad eum qui aliquando in adulterio deprehensus fuerat.

1. Dicente eo, hominem ad fidem servandam esse natum; quam sententiam qui everteret, eum evertere proprium hominis munus : quidam ingressus est ex eorum numero, qui literati habentur, aliquando in adulterio deprehensus in urbe. (2) Tum ille, At, inquit, si omissa ea fide, ad quam

ἐπιβουλεύωμεν τῇ γυναικὶ τοῦ γείτονος, τί ποιοῦμεν; Τί γὰρ ἄλλο, ἢ ἀπόλλυμεν καὶ ἀναιροῦμεν; Τίνα; Τὸν πιστὸν, τὸν αἰδήμονα, τὸν ὅσιον. (3) Ταῦτα μόνα; γειτνίασιν δ' οὐκ ἀναιροῦμεν; φιλίαν δ' οὔ; πόλιν δ' οὔ; εἰς τίνα δὲ χώραν αὑτοὺς κατατάσσομεν; Ὡς τίνι σοι χρῶμαι, ἄνθρωπε; ὡς γείτονι; ὡς φίλῳ; ποίῳ τινί; ὡς πολίτῃ; Τί σοι πιστεύσω; (4) Εἶτα σκευάριον μὲν εἰ ἧς οὕτω σαπρὸν, ὥστε σοι πρὸς μηδὲν δύνασθαι χρῆσθαι, ἔξω ἂν ἐπὶ τὰς κοπρίας ἐῤῥίπτου, καὶ οὐδ' ἐκεῖθέν ἄν τίς σε ἀνῃρεῖτο. (5) Εἰ δ' ἄνθρωπος ὢν οὐδεμίαν χώραν δύνασαι ἀποπληρῶσαι ἀνθρωπικὴν, τί σε ποιήσωμεν; Ἔστω γὰρ, φίλου οὐ δύνασαι τόπον ἔχειν, δούλου δύνασαι; Καὶ τίς σοι πιστεύσει; Οὐ θέλεις οὖν ῥιφῆναί που καὶ αὐτὸς ἐπὶ κοπρίαν, ὡς σκεῦος ἄχρηστον, ὡς κόπριον; (6) Εἶτα ἐρεῖς, Οὐδείς μου ἐπιστρέφεται, ἀνθρώπου φιλολόγου; Κακὸς γὰρ εἶ καὶ ἄχρηστος. Οἷον εἰ οἱ σφῆκες ἠγανάκτουν ὅτι οὐδεὶς αὐτῶν ἐπιστρέφεται, ἀλλὰ φεύγουσι πάντες, κἂν τις δύνηται, πλήξας κατέβαλε. (7) Σὺ κέντρον ἔχεις τοιοῦτον, ὥστε ὃν ἂν πλήξῃς, εἰς πράγματα καὶ ὀδύνας ἐμβάλλειν. Τί σε θέλεις ποιήσωμεν; Οὐκ ἔχεις ποῦ τεθῇς.

8. Τί οὖν; οὐκ εἰσὶν αἱ γυναῖκες κοιναὶ φύσει; Κἀγὼ λέγω. Καὶ γὰρ τὸ χοιρίδιον κοινὸν τῶν κεκλημένων· ἀλλ' ὅταν μέρη γένηται, ἄν σοι φανῇ, ἀνάρπασον ἐλθὼν τὸ τοῦ παρακειμένου μέρος, ἢ λάθρα κλέψον, ἢ παρακαθεὶς τὴν χεῖρα λίχνευε, κἂν μὴ δύνῃ τοῦ κρέως ἀποσπᾶσαι, λίπαινε τοὺς δακτύλους, καὶ περίλειχε. Καλὸς συμπότης καὶ σύνδειπνος Σωκρατικός. (9) Ἄγε, τὸ δὲ θέατρον οὐκ ἔστι κοινὸν τῶν πολιτῶν; ὅταν οὖν καθίσωσιν, ἐλθὼν, ἄν σοι φανῇ, ἔκβαλέ τινα αὐτῶν. (10) Οὕτω καὶ αἱ γυναῖκες φύσει κοιναί. Ὅταν δ' ὁ νομοθέτης, ὡς ἑστιάτωρ, διέλῃ αὐτὰς, οὐ θέλεις καὶ αὐτὸς ἴδιον μέρος ζητεῖν, ἀλλὰ τὸ ἀλλότριον ὑφαρπάζεις καὶ λιχνεύεις; (11) Ἀλλὰ καὶ φιλόλογός εἰμι, καὶ Ἀρχέδημον νοῶ. Ἀρχέδημον τοίνυν νοῶν, μοιχὸς ἴσθι καὶ ἄπιστος, καὶ ἀντὶ ἀνθρώπου λύκος ἢ πίθηκος. Τί γὰρ διαφέρει;

nati sumus, uxori vicini insidiamur, quid agimus? Quid aliud, nisi perdimus et evertimus? Quem? Fidelem, verecundum, sanctum. (3) Hæccine sola? vicinitatem porro non evertimus? non amicitiam? non rempublicam? quo denique loco nosmetipsos collocamus? Quo loco te habeam, o homo? an vicini? an amici? quo tandem? an civis? Quid tibi credam? (4) Quodsi vasculum esses ita putre, ut tui nullus usus esset, foras in sterquilinium projicereris, ac ne inde quidem te quisquam tolleret. (5) At homo cum sis, si nullum humanum locum sustinere queas, quid tibi faciemus? Esto te amici locum tenere non posse, servi potes? Quis tibi fidem habebit? Non igitur et ipse aliquo in sterquilinium vis abjici, ut vas inutile et sterquilinio dignum? (6) Jam tu dices: Nemo me curat, hominem literatum? Nempe quia malus es et inutilis. Perinde facis, ac si vespæ indignarentur se curari a nemine, sed vitari ab omnibus, et, si quis possit, percussas projici. (7) Tu eum habes stimulum, quo si quem percusseris, eum in molestiam et dolores conjicias. Quid vis tibi faciamus? Non habes quo colloceris.

(8) Quid ergo? nonne sunt communes natura mulieres? Assentior. Nam et porcellus communis est eorum qui sunt invitati: sed cum in partes dissectus et distributus fuerit, tu, si tibi videbitur, i et partem rape ejus qui tibi assidet, aut furare clanculum, aut immissa manu carpe, et, si de carne nihil poteris avellere, pinguedine imbue digitos et delinge. O egregium compotorem et convivam Socraticum! (9) Age vero, nonne et theatrum commune est civium? cum igitur consederint, tu adesto, ubi visum fuerit, et eorum aliquem ejicito. (10) Sic etiam mulieres natura sunt communes. Ubi autem legislator, tanquam convivator, eas diviserit, tu non vis tuam tibi partem quærere, sed potius alienam rapies et liguries? (11) At homo literatus sum et Archedemum intelligo! Ergo tu Archedemum intelligens, adulter esto et perfidus, et loco hominis lupus aut simius! Quid enim interest?

ΚΕΦ. Ε'.

Πῶς συνυπάρχει μεγαλοφροσύνη καὶ ἐπιμέλεια.

1. Αἱ ὗλαι ἀδιάφοροι, ἡ δὲ χρῆσις αὐτῶν οὐκ ἀδιάφορος. (2) Πῶς οὖν τηρήσει τις ἅμα μὲν τὸ εὐσταθὲς καὶ ἀτάραχον, ἅμα δὲ τὸ ἐπιμελὲς, καὶ μὴ εἰκαῖον, μηδ' ἐπισεσυρμένον; Ἂν μιμῆται τοὺς κυβεύοντας. (3) Αἱ ψῆφοι ἀδιάφοροι, οἱ κύβοι ἀδιάφοροι. Πόθεν οἶδα τί μέλλει πίπτειν; Τῷ πεσόντι δ' ἐπιμελῶς καὶ τεχνικῶς χρῆσθαι, τοῦτο ἤδη ἐμὸν ἔργον ἐστίν. (4) Οὕτω τοίνυν τὸ προηγούμενον καὶ ἐπὶ τοῦ βίου ἔργον ἐκεῖνο· δίελε τὰ πράγματα καὶ διάστησον, καὶ εἰπὲ, Τὰ ἔξω οὐκ ἐπ' ἐμοὶ, προαίρεσις ἐπ' ἐμοί. (5) Ποῦ ζητήσω τὸ ἀγαθὸν καὶ τὸ κακόν; Ἔσω, ἐν τοῖς ἐμοῖς. Ἐν δὲ τοῖς ἀλλοτρίοις μηδέποτε μήτ' ἀγαθὸν ὀνομάσῃς, μήτε

CAP. V.

Quo pacto cum magnitudine animi diligentia conjungatur.

1. Materiæ sunt indifferentes; sed earum usus non est indifferens. (2) Quo pacto igitur homo simul constantiam et animi tranquillitatem, simulque diligentiam tuebitur, ut neque temere neque negligenter res suas agat? Si eos imitetur qui ludunt tesseris. (3) Calculi sunt indifferentes, tesseræ sunt indifferentes. Unde sciam quid sit casurum? Eo autem quod ceciderit, diligenter et artificiose uti, hoc vero meum munus est. (4) Sic etiam in vita præcipuum illud munus est, ut res distinguas ac discernas, dicens: Externæ res in mea parte non sunt; voluntas in mea parte est. (5) Ubi quæram bonum et malum? Intrinsecus, in meis. In alienis autem numquam nec bonum nominabis,

κακὸν, μήτ' ὠφέλειαν, μήτε βλάβην, μήτ' ἄλλο τι τῶν τοιούτων.

6. Τί οὖν; ἀμελῶς τούτοις χρηστέον; Οὐδαμῶς· τοῦτο γὰρ πάλιν τῇ προαιρέσει κακόν ἐστι, καὶ ταύτῃ παρὰ τὴν φύσιν· (7) ἀλλὰ ἅμα μὲν ἐπιμελῶς, ὅτι ἡ χρῆσις οὐκ ἀδιάφορον· ἅμα δ' εὐσταθῶς καὶ ἀταράχως, ὅτι ἡ ὕλη οὐ διαφέρουσα. (8) Ὅπου γὰρ τὸ διάφορον, ἐκεῖ οὔτε κωλῦσαί μέ τις δύναται, οὔτ' ἀναγκάσαι· ὅπου κωλυτὸς καὶ ἀναγκαστός εἰμι, ἐκείνων ἡ μὲν τεῦξις οὐκ ἐπ' ἐμοὶ, οὐδ' ἀγαθὸν ἢ κακόν· ἡ χρῆσις δ' ἢ κακὸν ἢ ἀγαθὸν, ἀλλ' ἐπ' ἐμοί. (9) Δύσκολον δὲ μῖξαι καὶ συναγαγεῖν ταῦτα, ἐπιμέλειαν τοῦ προσπεπονθότος ταῖς ὕλαις, καὶ εὐστάθειαν τοῦ ἀνεπιστρεπτοῦντος· πλὴν οὐκ ἀδύνατον· εἰ δὲ μὴ, ἀδύνατον τὸ εὐδαιμονῆσαι. (10) Ἀλλ' οἷόν τι ἐπὶ τοῦ πλοῦ ποιοῦμεν. Τί μοι δύναται; Τὸ ἐκλέξασθαι τὸν κυβερνήτην, τοὺς ναύτας, τὴν ἡμέραν, τὸν καιρόν. (11) Εἶτα χειμὼν ἐμπέπτωκε. Τί οὖν ἔτι μοι μέλει; τὰ γὰρ ἐμὰ ἐκπεπλήρωται. Ἄλλου ἐστὶν ἡ ὑπόθεσις, τοῦ κυβερνήτου. Ἀλλὰ καὶ ἡ ναῦς καταδύεται. Τί οὖν ἔχω ποιῆσαι; (12) Ὃ δύναμαι, τοῦτο μόνον ποιῶ· μὴ φοβούμενος ἀποπνίγωμαι, οὐδὲ κεκραγὼς, οὐδ' ἐγκαλῶν τῷ θεῷ, ἀλλ' εἰδὼς ὅτι τὸ γενόμενον καὶ φθαρῆναι δεῖ. (13) Οὐ γάρ εἰμι αἰὼν, ἀλλ' ἄνθρωπος, μέρος τῶν πάντων, ὡς ὥρα ἡμέρας· ἐνστῆναί με δεῖ, ὡς τὴν ὥραν, καὶ παρελθεῖν, ὡς ὥραν. (14) Τί οὖν μοι διαφέρει, πῶς παρέλθω; πότερον πνιγεὶς ἢ πυρέξας; διὰ γὰρ τοιούτου τινὸς δεῖ παρελθεῖν με.

15. Τοῦτο ὄψει ποιοῦντας καὶ τοὺς σφαιρίζοντας ἐμπείρως. Οὐδεὶς αὐτῶν διαφέρεται περὶ τοῦ ἁρπαστοῦ, ὡς περὶ ἀγαθοῦ ἢ κακοῦ· περὶ δὲ τοῦ βάλλειν καὶ δέχεσθαι. (16) Λοιπὸν ἐν τούτῳ ἡ εὐρυθμία, ἐν τούτῳ ἡ τέχνη, τὸ τάχος, ἡ εὐγνωμοσύνη· ἵν' ἐγὼ μηδ' ἂν τὸν κόλπον ἐκτείνω, δύναμαι λαβεῖν αὐτό· ὁ δὲ, ἂν βάλω, λαμβάνει. (17) Ἂν δὲ μετὰ ταραχῆς καὶ φόβου δεχώμεθα ἢ βάλλωμεν αὐτὸ, ποία ἔτι παιδιά; ποῦ δέ τις εὐσταθήσει; ποῦ δέ τις τὸ ἑξῆς ὄψεται ἐν αὐτῇ; Ἀλλ' ὁ μὲν ἐρεῖ βάλε, μὴ βάλῃς· ὁ δὲ, μίαν ἔβαλες. Τοῦτο δὲ μάχη ἐστὶ, καὶ οὐ παιδιά.

18. Τοιγαροῦν Σωκράτης ᾔδει σφαιρίζειν. Πῶς; Παίζειν ἐν τῷ δικαστηρίῳ. Λέγε μοι, φησὶν, Ἄνυτε, πῶς με φῂς θεὸν οὐ νομίζειν; Οἱ δαίμονές σοι τίνες εἶναι δοκοῦσιν; οὐχὶ ἤτοι θεῶν παῖδές εἰσιν, ἢ ἐξ ἀνθρώπων καὶ θεῶν μεμιγμένοι τινές; (19) Ὁμολογήσαντος δὲ, Τίς οὖν σοι δοκεῖ δύνασθαι ἡμιόνους μὲν ἡγεῖσθαι εἶναι, ὄνους δὲ μή; Ὡς ἁρπαστίῳ παίζων. Καὶ τί ἐκεῖ ἐν μέσῳ ἁρπάστιον; Τὸ ζῆν, τὸ δεδέσθαι, τὸ φυγαδευθῆναι, τὸ πιεῖν φάρμακον, τὸ γυναικὸς ἀφαιρεθῆναι, τὸ τέκνα ὀρφανὰ καταλιπεῖν. (20) Ταῦτα ἦν ἐν μέσῳ οἷς ἔπαιζεν· ἀλλ' οὐδὲν ἧττον ἔπαιζε, καὶ ἐσφαίριζεν εὐρύθμως. Οὕτω καὶ ἡμεῖς, τὴν μὲν ἐπιμέλειαν σφαιριστικωτάτην, τὴν δὲ ἀδιαφορίαν ὡς ὑπὲρ ἁρπαστίου. (21) Δεῖ γὰρ πάντως περί τινα τῶν ἐκτὸς ὑλῶν φιλοτεχνεῖν, ἀλλ' οὐκ ἐκείνην ἀποδεχόμενον·

nec malum, nec utilitatem, nec damnum, neve quidquam aliud ex hoc genere.

6. Quid ergo? negligenter istis utendum est? Nequaquam : nam hoc rursus voluntati malum est, adeoque contra naturam : (7) sed partim diligenter, quia usus eorum non est indifferens; partim constanter et animo non perturbato, quoniam materia indifferens. (8) Nam ubi interest aliquid, ibi neque prohibere me quisquam potest, neque cogere : ubi vero et prohiberi et cogi possum, earum rerum adeptio non penes me est, et neque bonum neque malum; usus autem earum aut bonum aut malum est, sed in mea potestate situs. (9) Est autem difficile, miscere hæc duo inter sese et in unum conferre, diligentiam ejus qui rebus afficitur, et constantiam illius qui nihil easdem curat; nec tamen impossibile : alioquin impossibile esset felicitatis compotem fieri. (10) Sed similiter faciendum atque in navigatione facimus. Quid ego præstare possum? Eligere gubernatorem, nautas, diem, opportunitatem. (11) Post ingruit tempestas. Quid igitur mihi porro curæ est? nam meo sum functus munere. Alterius est hoc argumentum, gubernatoris. At et navis mergitur. Quid igitur est quod faciam? (12) Quod possum, id solum ago : ut non perterritus suffocer, neque clamitans, neque Deum accusans; sed ut qui norim, quod natum sit, ei etiam esse pereundum : (13) neque enim sum natura æterna, sed homo; pars universi, ut hora diei : adesse me oportet, ut horam; et præterire, ut horam. (14) Quid igitur mea interest, quomodo prætercam? utrum suffocatione, an febri? nam tali quopiam modo est mihi prætereundum.

15. Idem facere et eos videbis, qui pila scite ludunt. Nemo eorum de harpasto contendit, tamquam de bono aut malo; sed de eo jaciendo et rursus excipiendo. (16) Igitur in hoc omnis solertia ponitur, in hoc ars, celeritas, dexteritas; ubi ego, nec si sinum expandero, id excipere possim; alius vero, si jecero, excipit. (17) Quodsi vero cum perturbatione et metu vel exceperimus vel emiserimus, quis jam ludus? quis constantiæ locus erit? ubi conspicietur ludi ordo? Sed alius dicet, Jace! vel, Ne jace! alius, Unam jecisti. Rixa hæc est, non ludus.

18. Quocirca Socrates pila sciebat ludere. Quomodo? Jocari in judicio. Dic mihi, inquit, Anyte, quomodo me ais deum esse non putare? Dæmones tibi quinam esse videntur? nonne ii vel deorum filii sunt, vel ex diis et hominibus commisti? (19) Quod cum ille consensisset : Quis ergo, inquit, tibi videtur censere posse, mulos esse, nec vero esse asinos? Sic jocatus est, quasi pila luderet. Quæ vero ibi fuit proposita pila? Vita, vincula, exsilium, potio veneni, abreptio ab uxore, filiorum derelictio patre orborum. (20) Hæc in medio erant, quibus ludebat : nihilominus tamen ludebat, et pilam scite mittebat. Sic et nos diligentiam, ut in pilæ ludo, summam adhibeamus; at indifferentiam, quasi de pila ageretur. (21) Omnino enim in externa aliqua materia elaborandum est, at non, quod eam per se probes;

ἀλλ', οἵα ἂν ᾖ ἐκείνη, τὴν περὶ αὐτὴν φιλοτεχνίαν ἐπιδεικνύοντα. Οὕτω καὶ ὁ ὑφάντης οὐκ ἔρια ποιεῖ, ἀλλ', οἷα ἂν παραλάβῃ, περὶ αὐτὰ φιλοτεχνεῖ. (22) Ἄλλος σοι δίδωσι τροφὰς καὶ κτῆσιν, καὶ αὐτὰ ταῦτα δύναται ἀφελέσθαι, καὶ τὸ σωμάτιον αὐτό. Σὺ λοιπὸν παραλαβὼν τὴν ὕλην, ἐργάζου. (23) Εἶτα, ἂν ἐξέλθῃς μηδὲν παθὼν, οἱ μὲν ἄλλοι ἀπαντῶντές σοι συγχαρήσονται, ὅτι ἐσώθης· ὁ δ' εἰδὼς βλέπειν τὰ τοιαῦτα, ἂν μὲν ἴδῃ ὅτι εὐσχημόνως ἀνεστράφης ἐν τούτῳ, ἐπαινέσει καὶ συνησθήσεται· ἂν δὲ δι' ἀσχημοσύνην τινὰ διασεσωσμένον, τὰ ἐναντία. Ὅπου γὰρ τὸ χαίρειν εὐλόγως, ἐκεῖ καὶ τὸ συγχαίρειν.

24. Πῶς οὖν λέγεται τῶν ἐκτός τινα κατὰ φύσιν, καὶ παρὰ φύσιν; Ὥσπερ ἂν εἰ ἀπόλυτοι ἦμεν. Τῷ γὰρ ποδὶ κατὰ φύσιν εἶναι ἐρῶ τὸ καθαρῷ εἶναι· ἀλλ' ἂν αὐτὸν ὡς πόδα λάβῃς καὶ ὡς μὴ ἀπόλυτον, καθήξει αὐτὸν καὶ εἰς πηλὸν ἐμβαίνειν, καὶ ἀκάνθας πατῆσαι, καὶ ἔστιν ὅτε ἀποκοπῆναι ὑπὲρ τοῦ ὅλου· εἰ δὲ μὴ, οὐκέτι ἐστὶ πούς. Τοιοῦτόν τι καὶ ἐφ' ἡμῶν ὑπολαβεῖν δεῖ. (25) Τί εἶ; Ἄνθρωπος. Εἰ μὲν ὡς ἀπόλυτον σκοπεῖς, κατὰ φύσιν ἐστὶ ζῆσαι μέχρι γήρως, πλουτεῖν, ὑγιαίνειν· εἰ δ' ὡς ἄνθρωπον σκοπεῖς καὶ μέρος ὅλου τινὸς, δι' ἐκεῖνο τὸ ὅλον νῦν μέν σοι νοσῆσαι καθήκει, νῦν δὲ πλεῦσαι καὶ κινδυνεῦσαι, νῦν δ' ἀπορηθῆναι, πρὸ ὥρας δ' ἔστιν ὅτε ἀποθανεῖν. (26) Τί οὖν ἀγανακτεῖς; οὐκ οἶδας ὅτι ὡς ἐκεῖνος οὐκέτι ἐστὶ πούς, οὕτως οὐδὲ σὺ ἄνθρωπος; Τί γάρ ἐστιν ἄνθρωπος; Μέρος πόλεως, πρώτης μὲν τῆς ἐκ θεῶν καὶ ἀνθρώπων· μετὰ ταῦτα δὲ τῆς ὡς ἔγγιστα λεγομένης, ἥτις ἐστὶ μικρὸν τῆς ὅλης μίμημα. (27) Νῦν οὖν ἐμὲ κρίνεσθαι; νῦν οὖν ἄλλον πυρέσσειν; ἄλλον πλεῖν; ἄλλον ἀποθνήσκειν; ἄλλον κατακεκρίσθαι; (28) Ἀδύνατον γὰρ ἐν τοιούτῳ σώματι, ἐν τούτῳ τῷ περιέχοντι, τούτοις τοῖς συζῶσι, μὴ συμπίπτειν ἄλλοις ἄλλα τοιαῦτα. (29) Σὸν οὖν ἔργον, ἐλθόντα εἰπεῖν ἃ δεῖ, διαθέσθαι ταῦτα ὡς ἐπιβάλλει. (30) Εἶτα ἐκεῖνος λέγει, Κρινῶ σε ἀδικεῖν. Εὖ σοι γένοιτο. Ἐποίησα ἐγὼ τὸ ἐμόν· εἰ δὲ καὶ σὺ τὸ σὸν ἐποίησας, ὄψει αὐτός· ἔστι γάρ τις κἀκείνου κίνδυνος, μή σε λανθανέτω.

sed, qualiscumque illa fuerit, solertiam in ea tuam ut demonstres. Sic etiam textor lanam non facit; sed qualemcunque acceperit, eam tractat. (22) Alius tibi largitur victum et possessiones, eademque rursus eripere potest, ipsumque corpusculum una. Tu, quod superest, acceptam materiam tracta. (23) Post, ubi sine clade e certamine fueris egressus, alii obviam facti tibi gratulabuntur, quod incolumis evaseris: qui autem talia scienter spectat, is, si te viderit in eo decenter esse versatum, collaudabit et congratulabitur; sin cum aliquo dedecore evasisse intellexerit, contrarium faciet. Nam ubi gaudere rationi consentaneum est, ibidem etiam congratulari.

24. Quo pacto igitur dicuntur rerum externarum aliæ secundum naturam esse, aliæ contra naturam? *Id quidem ita dicitur,* quasi a communi societate soluti essemus. Nam pedi secundum naturam esse dicam, ut mundus sit a sordibus; quodsi vero eum ut pedem consideres, et non ut separatum aliquid; conveniet eum aliquando et lutum ingredi, et super spinis incedere, et interdum etiam resecari pro corpore universo; alioqui pes non amplius esset. Tale aliquid etiam de nobis est existimandum. (25) Quid es? Homo. Quodsi te ut aliquid a communi societate solutum consideras, secundum naturam est vivere usque ad senectam, florere opibus, valere: sin ut hominem et partem alicujus universi, ob universum illud nunc ægrotare tibi convenit, nunc navigare, et pericula adire, nunc inopia conflictari, aliquando etiam ante tempus mori. (26) Quid ergo ægre fers? an nescis, quemadmodum ille non amplius pes est, ita et te non amplius esse hominem? Quid enim est homo? Pars civitatis, primum ejus quæ ex diis constat et hominibus; deinde illius quæ proxime ita dicitur, quæ est parvum quoddam universæ illius simulacrum. (27) Nunc ergo me in judicium vocari! nunc ergo alium febricitare! alium navigare! alium emori! alium condemnatum esse! (28) *Quid mirum!* neque enim fieri potest ut in tali corpore, tali cœlo, talibus convictoribus, non aliis alia hujus generis accidant. (29) Tuum igitur munus est, ut dicas ea quæ decet, atque ista administres ut convenit. (30) Post ille dicit: Reum te agam injuriarum. Bene tibi sit! Ego feci quod meum fuit; an vero et tu feceris tuum, ipse videris; est enim aliquod illius quoque periculum, ne te lateat.

ΚΕΦ. ς′.

Περὶ ἀδιαφορίας.

1. Τὸ συνημμένον ἀδιάφορον· ἡ κρίσις ἡ περὶ αὐτοῦ οὐκ ἀδιάφορος, ἀλλ' ἢ ἐπιστήμη, ἢ δόξα, ἢ ἀπάτη. Οὕτω τὸ ζῆν ἀδιάφορον, ἡ χρῆσις οὐκ ἀδιάφορος. (2) Μήτ' οὖν, ὅταν εἴπῃ τις ὑμῖν ἀδιαφορεῖν καὶ ταῦτα, ἀμελεῖς γίνεσθε· μήθ', ὅταν εἰς ἐπιμέλειάν τις ὑμᾶς παρακαλῇ, ταπεινοὶ καὶ τὰς ὕλας τεθαυμακότες. (3) Καλὸν δὲ τὸ εἰδέναι τὴν αὑτοῦ παρασκευὴν καὶ δύναμιν, ἵν' ἐν οἷς μὴ παρεσκεύασαι, ἡσυχίαν ἄγῃς· μηδ' ἀγανακτῇς, εἴ τινες ἄλλοι πλεῖόν σου ἔχουσιν ἐν ἐκείνοις. (4) Καὶ γὰρ σὺ ἐν συλλογισμοῖς πλεῖον ἀξιώσεις σεαυτὸν ἔχειν· κἂν ἀγανακτῶσιν ἐπὶ τούτῳ, παραμυθήσῃ

CAP. VI.

De indifferentia.

1. Pronunciatum connexum res indifferens est; judicium autem de illo non est res indifferens, sed aut scientia, aut opinio, aut error. Sic et vita est res indifferens; vitæ autem usus non est indifferens. (2) Neque igitur, si quando vobis dixerit aliquis, etiam hæc indifferentia esse, negligentes estote; neque, si quis ad diligentiam vos excitarit, humiles et materiarum admiratores estote. (3) Juvabit vero sua quemque subsidia suamque facultatem nosse, ut, quas ad res instructus non sis, in iis otium agas; neque ægre feras, si qui alii plus in illis possint. (4) Nam tu quoque in ratiocinationibus plus tibi vindicabis; et, si id alii ægre

αὐτούς· Ἐγὼ ἔμαθον, ὑμεῖς δ' οὔ. (5) Οὕτω καὶ ὅπου τινὸς χρεία τριβῆς, μὴ ζήτει τὸ ἀπὸ τῆς χρείας περιγινόμενον· ἀλλ' ἐκείνου μὲν παραχώρει τοῖς περιτετριμμένοις, σοὶ δ' ἀρκείτω τὸ εὐσταθεῖν.

6. Ἄπελθε καὶ ἄσπασαι τὸν δεῖνα. Πῶς; Οὐ ταπεινῶς. Ἀλλ' ἐξεκλείσθην. Διὰ θυρίδος γὰρ οὐκ ἔμαθον εἰσέρχεσθαι· ὅταν δὲ κεκλεισμένην εὕρω τὴν θύραν, ἀνάγκη μ' ἢ ἀποχωρῆσαι, ἢ διὰ τῆς θυρίδος εἰσελθεῖν. (7) Ἀλλὰ καὶ λάλησον αὐτῷ. Λαλῶ. Τίνα τρόπον; Οὐ ταπεινῶς. (8) Ἀλλ' οὐκ ἐπέτυχες. Μὴ γὰρ σὸν τοῦτο τὸ ἔργον ἦν, ἀλλ' ἐκείνου. Τί οὖν ἀντιποιῇ τοῦ ἀλλοτρίου; Ἀεὶ μέμνησο ὅ τι σόν, καὶ τί ἀλλότριον· καὶ οὐ ταραχθήσῃ. (9) Διὰ τοῦτο καλῶς ὁ Χρύσιππος λέγει, ὅτι Μέχρις ἂν ἄδηλά μοι ᾖ τὰ ἑξῆς, ἀεὶ τῶν εὐφυεστέρων ἔχομαι πρὸς τὸ τυγχάνειν τῶν κατὰ φύσιν· αὐτὸς γάρ μ' ὁ θεὸς τοιούτων ἐκλεκτικὸν ἐποίησεν. (10) Εἰ δέ γε ᾔδειν ὅτι νοσεῖν μοι καθείμαρται νῦν, καὶ ὥρμων ἂν ἐπ' αὐτό. Καὶ γὰρ ὁ πούς, εἰ φρένας εἶχεν, ὥρμα ἂν ἐπὶ τὸ πηλοῦσθαι.

11. Ἐπεί τοι τίνος ἕνεκα γίνονται στάχυες; οὐχ ἵνα καὶ ξηρανθῶσιν; Ἀλλὰ ξηραίνονται μέν, οὐχ ἵνα δὲ καὶ θερισθῶσιν; οὐ γὰρ ἀπόλυτοι γίνονται. (12) Εἰ οὖν αἴσθησιν εἶχον, εὔχεσθαι αὐτοὺς ἔδει, ἵνα μὴ θερισθῶσι μηδέποτε; τοῦτο δὲ κατάρα ἐστὶν ἐπὶ σταχύων, τὸ μηδέποτε θερισθῆναι. (13) Οὕτως ἰστέον ὅτι καὶ ἐπ' ἀνθρώπων κατάρα ἐστὶ τὸ μὴ ἀποθανεῖν· ὅμοιον τῷ μὴ πεπανθῆναι, μηδὲ θερισθῆναι. (14) Ἡμεῖς δ' ἐπειδὴ οἱ αὐτοί ἐσμεν, ἅμα μὲν οὓς δεῖ θερισθῆναι, ἅμα δὲ καὶ αὐτῷ τούτῳ παρακολουθοῦντες ὅτι θεριζόμεθα, διὰ τοῦτο ἀγανακτοῦμεν. Οὔτε γὰρ ἴσμεν τίνες ἐσμέν, οὔτε μεμελετήκαμεν τὰ ἀνθρωπικά, ὡς οἱ ἱππικοὶ τὰ ἱππικά. (15) Ἀλλὰ Χρυσάντας μὲν παίειν μέλλων τὸν πολέμιον, ἐπειδὴ τῆς σάλπιγγος ἤκουσεν ἀνακαλούσης, ἀνέσχεν· οὕτω προὐργιαίτερον ἔδοξεν αὐτῷ τὸ τοῦ στρατηγοῦ πρόσταγμα ἢ τὸ ἴδιον ποιεῖν· (16) ἡμῶν δ' οὐδεὶς θέλει, οὐδὲ τῆς ἀνάγκης καλούσης, εὐλύτως ὑπακοῦσαι αὐτῇ· ἀλλὰ κλάοντες καὶ στένοντες πάσχομεν ἃ πάσχομεν, καὶ περιστάσεις αὐτὰ καλοῦντες. (17) Ποίας περιστάσεις, ἄνθρωπε; Εἰ περιστάσεις λέγεις τὰ περιεστηκότα, πάντα περιστάσεις εἰσίν· εἰ δὲ ὡς δύσκολα καλεῖς, ποίαν δυσκολίαν ἔχει τὸ γενόμενον φθαρῆναι; (18) Τὸ δὲ φθεῖρον ἢ μάχαιρά ἐστιν, ἢ τροχός, ἢ θάλασσα, ἢ κεραμίς, ἢ τύραννος. Τί σοι μέλει ποίᾳ ὁδῷ καταβῇς εἰς ᾅδου; ἴσαι πᾶσαί εἰσιν. (19) Εἰ δὲ θέλεις ἀκοῦσαι τἀληθῆ, συντομωτέρα ἣν πέμπει ὁ τύραννος. Οὐδέποτ' οὐδεὶς τύραννος ἓξ μησί τινα ἔσφαξε· πυρετὸς δὲ καὶ ἐνιαυτῷ πολλάκις. Ψόφος ἐστὶ ταῦτα πάντα, καὶ κόμπος κενῶν ὀνομάτων.

20. Τῇ κεφαλῇ κινδυνεύω ἐπὶ Καίσαρος. Ἐγὼ δ' οὐ κινδυνεύω, ὃς οἰκῶ ἐν Νικοπόλει, ὅπου σεισμοὶ τοσοῦτοι; Σὺ δ' αὐτὸς ὅταν διαπλέῃς τὸν Ἀδρίαν, τίνι κινδυνεύεις; οὐ τῇ κεφαλῇ; (21) Ἀλλὰ καὶ τῇ ὑπολήψει κινδυνεύω. Τῇ σῇ; πῶς; τίς γάρ σε ἀναγκάσαι δύναται ὑπολαβεῖν τι, ὧν οὐ θέλεις; Ἀλλὰ τῇ ἀλλο-

tulerint, consolaberis eos, ac te didicisse dices, illos non item. (5) Sic etiam, ubi aliqua exercitatio requiritur, ne id quærito quod ex ea acquiritur : sed illud quidem exercitatis concedito, tu vero constantia contentus esto.

6. Abi et saluta illum. Quomodo? Non humiliter. At exclusus sum. Nempe per fenestram ingredi non didici : cum autem clausam januam invenero, necesse est ut aut discedam, aut per fenestram ingrediar. (7) At etiam alloquere illum. Alloquar. Quo pacto? Non humiliter. (8) At voti compos non factus es. Verum illud tuum munus non fuit, sed illius. Quid igitur alienum tibi vindicas? Semper memento quid tuum sit, quid alienum; nec perturbaberis. (9) Quapropter recte Chrysippus dicit : « Quoad « ea quæ futura sunt, obscura mihi fuerint, amplector ea « quæ ad naturæ conservationem sunt aptiora : nam ipse « deus hæc eligendi facultatem mihi impertiit. (10) Quod- « si vero scirem in fatis mihi esse, ut nunc ægrotarem, « etiam sponte eo tenderem. » Nam et pes, si mentem haberet, sponte lutum ingrederetur.

11. Qua de caussa nascuntur spicæ? nonne ut arescant? Nonne autem arescunt, ut demetantur? neque enim absolutæ per se sunt *in rerum natura*. (12) Quodsi igitur sensum haberent, votane facere deberent, ne umquam demeterentur? Ea vero spicis exsecratio foret, numquam eas demeti. (13) Sic hominibus etiam exsecrationem fore sciendum est, numquam eos emori : neque aliud id esse, quam neque maturescere umquam, neque demeti. (14) Nos autem cum iidem simus, quos et demeti oporteat, et qui istud ipsum intelligamus, nos demeti; propterea succensemus. Neque enim scimus qui simus, neque res humanas ita meditatas habemus, ut equites res equestres. (15) Sed Chrysantas quidem percussurus hostem, cum receptui cani audivisset, cohibuit impetum; adeo præstantius ei videbatur imperatoris, quam suam exsequi, voluntatem : (16) nostrûm autem nemo vult ne necessitati quidem vocanti prompte obtemperare; sed plorantes et gementes patimur quæ nobis accidunt, et περιστάσεις ista vocamus. (17) Quales περιστάσεις, homo? Si περιστάσεις ea vocas quæ te circumstant, omnia sunt περιστάσεις : sin res asperas sic appellas, quid in eo inest asperum, ut, ortum quod sit, idem et intereat? (18) Id autem quod interimit, aut gladius est, aut rota, aut mare, aut testa, aut tyrannus. Quid tua refert, qua via descendas ad orcum? Omnes viæ pares sunt. (19) Quodsi verum audire volueris, compendiosior ea est, qua te tyrannus mittit. Numquam ullus tyrannus per sex menses quemquam jugulavit; febris autem sæpe per totum annum. Strepitus hæc omnia sunt, et jactatio inanium verborum.

20. In periculo capitis sum apud Cæsarem. Ego vero non periclitor, qui Nicopoli habitem, ubi tot sunt terræmotus? Et tu ipse, cum Adriam transmittis, cujus rei discrimen adis? nonne capitis? (21) At de opinione etiam periclitor. De tuane? Quomodo? quis enim te cogere possit opinari quod nolis? An de aliena? Quod vero tuum est pe-

τρίᾳ; Καὶ ποῖός ἐστι κίνδυνος σὸς, ἄλλους τὰ ψεύδη ὑπολαβεῖν; (22) Ἀλλ' ἐξορισθῆναι κινδυνεύω. Τί ἐστιν ἐξορισθῆναι; ἀλλαχοῦ εἶναι ἢ ἐν Ῥώμῃ; Ναί. Τί οὖν, ἂν εἰς Γύαρα πεμφθῶ; Ἂν σοι ποιῇ, ἀπελεύσῃ. Εἰ δὲ μὴ, ἔχεις ποῦ ἀντὶ Γυάρων ἀπέλθῃς, ὅπου κἀκεῖνος ἐλεύσεται, ἄν τε θέλῃ, ἄν τε μὴ, ὁ πέμπων σε εἰς Γύαρα. (23) Τί λοιπὸν ὡς ἐπὶ μεγάλα ἀνέρχῃ; Μικρότερά ἐστι τῆς παρασκευῆς· ἵν' εἴπῃ νέος εὐφυὴς, ὅτι Οὐκ ἦν τοσούτου, τοσούτων μὲν ἀκηκοέναι, τοσαῦτα δὲ γεγραφέναι, τοσούτῳ δὲ χρόνῳ παρακεκαθικέναι γεροντίῳ οὐ πολλοῦ ἀξίῳ. (24) Μόνον ἐκείνης τῆς διαιρέσεως μέμνησο, καθ' ἣν διορίζεται τὰ σὰ, καὶ τὰ οὐ σά· μή ποτ' ἀντιποιήσῃ τινὸς τῶν ἀλλοτρίων. (25) (25) Βῆμα, καὶ φυλακὴ, τόπος ἐστὶν ἑκάτερον, ὁ μὲν ὑψηλὸς, ὁ δὲ ταπεινός· ἡ προαίρεσις δ' ἴση, ἂν ἴσην αὐτὴν ἐν ἑκατέρῳ φυλάξαι θέλῃς, δύναται φυλαχθῆναι. (26) Καὶ τότ' ἐσόμεθα ζηλωταὶ Σωκράτους, ὅταν ἐν φυλακῇ δυνώμεθα παιᾶνας γράφειν. (27) Μέχρι δὲ νῦν, ὡς ἔχομεν, ὅρα εἰ ἠνεσχόμεθα ἂν ἐν τῇ φυλακῇ ἄλλου τινὸς ἡμῖν λέγοντος, Θέλεις ἀναγνῶ σοι παιᾶνας; Τί μοι πράγματα παρέχεις; οὐκ οἶδας τὰ ἔχοντά με κακά; ἐν τούτοις γάρ μοι ἐστίν; Ἐν τίσιν οὖν; Ἀποθνήσκειν μέλλω. Ἄνθρωποι δ' ἄλλοι ἀθάνατοι ἔσονται;

riculum, si alii falsa opinentur? (22) At in periculo relegationis sum. Quid est relegari? an non alibi esse quam Romæ? Est. Quid ergo, si in Gyara mittar? Si tibi conducit, abibis: sin minus, habes quo pro Gyaris abeas; quo et ille veniet, sive nolens sive volens, qui te in Gyara mittit. (23) Quid igitur tandem, tamquam ad magna, Romam proficisceris? Minora ista sunt hac præparatione: ita ut dicturus sit adolescens bonæ indolis, non fuisse tanti, tam multa audivisse, tam multa scripsisse, tanto tempore senecioni haud magni pretii adsedisse. (24) Illius duntaxat divisionis memineris, qua distinguuntur quæ tua sunt, et quæ non sunt; ne quid umquam alienum tibi vindices. (25) Tribunal et carcer, utrumque locus est; alter editus, alter humilis: voluntas autem, si utroque loco parem conservare volueris, potest par eademque conservari. (26) Et tunc Socratis æmulatores erimus, cum in carcere pæanas scribere poterimus. (27) Hactenus autem ut affecti sumus, vide num ferremus alium quemdam in carcere nobis dicentem, Visne tibi pæanas recitem? Quid mihi negotium facessis? an nescis quibus sim in malis? hoccine mihi in his licet? In quibus vero? Mortem sum obiturus. Numquid vero reliqui homines immortales erunt?

ΚΕΦ. Ζ'.

Πῶς μαντευτέον.

1, Διὰ τὸ ἀκαίρως μαντεύεσθαι, πολλὰ πολλοὶ καθήκοντα παραλείπομεν. (2) Τί γὰρ ὁ μάντις δύναται πλέον ἰδεῖν θανάτου, ἢ κινδύνου, ἢ νόσου, ἢ ὅλως τῶν τοιούτων; (3) Ἂν οὖν δέῃ κινδυνεῦσαι ὑπὲρ τοῦ φίλου, ἂν δὲ καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ καθήκῃ, ποῦ μοι καιρὸς ἔτι μαντεύεσθαι; οὐκ ἔχω τὸν μάντιν ἔσω, τὸν εἰρηκότα μοι τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ; τὸν ἐξηγημένον τὰ σημεῖα ἀμφοτέρων; (4) Τί οὖν ἔτι χρείαν ἔχω τῶν σπλάγχνων, ἢ τῶν οἰωνῶν; ἀλλ' ἀνέχομαι λέγοντος ἐκείνου, Συμφέρει σοι; (5) Τί γάρ ἐστι συμφέρον, οἶδε; τί ἐστιν ἀγαθὸν, οἶδε; μεμάθηκεν, ὥσπερ τὰ σημεῖα τῶν σπλάγχνων, οὕτω σημεῖά τινα ἀγαθῶν καὶ κακῶν; εἰ γὰρ τούτων οἶδε σημεῖα, καὶ καλῶν καὶ αἰσχρῶν οἶδε, καὶ δικαίων καὶ ἀδίκων. (6) Ἄνθρωπε, σύ μοι λέγε τί σημαίνεται, ζωὴ ἢ θάνατος, πενία ἢ πλοῦτος· πότερον δὲ συμφέρει ταῦτα, ἢ ἀσύμφορά ἐστιν, οὐ σοῦ μέλλω πυνθάνεσθαι. (7) Διὰ τί ἐν γραμματικοῖς οὐ λέγεις· ἐνθάδ' οὖν, ὅπου πάντες ἄνθρωποι πλανώμεθα, καὶ πρὸς ἀλλήλους μαχόμεθα; (8) Διὰ τοῦτο ἡ γυνὴ καλῶς εἶπεν ἡ πέμψαι θέλουσα τῇ Γρατίλλῃ ἐξωρισμένῃ τὸ πλοῖον τῶν ἐπιμηνίων, κατὰ τὸν εἰπόντα ὅτι ἀφαιρήσεται αὐτὰ Δομιτιανός· Μᾶλλον θέλω, φησὶν, ἵν' ἐκεῖνος αὐτὰ ἀφέληται, ἢ ἐγὼ μὴ πέμψω.

9. Τί οὖν ἡμᾶς ἐπὶ τὸ συνεχῶς μαντεύεσθαι ἄγει; Ἡ δειλία, τὸ φοβεῖσθαι τὰς ἐκβάσεις. Διὰ τοῦτο κολακεύομεν τοὺς μάντεις· Κληρονομήσω, κύριε, τὸν πατέρα, Ἴδωμεν· ἐπεκθυσώμεθα, Ναὶ, Κύριε, ὡς ἡ

CAP. VII.

Quo pacto sint consulendi vates.

1. Propter intempestivam divinationis curam multi multa officia negligimus. (2) Quid enim vates prævidere amplius potest, quam mortem, aut periculum, aut morbum, aut aliquid denique ejus generis? (3) Quod si igitur discrimen adeundum pro amico est, aut etiam mortem pro eo oppetere convenit; quis mihi jam adhuc divinandi locus? nonne intus habeo vatem, qui naturam boni et mali mihi edisseruit? qui utriusque signa enarravit? (4) Quid ergo præterea requiro aruspicinam aut augurium? at eum fero, cum dicit, Hoc tibi conducibile est? (5) Quid enim sit conducibile, novitne ille? quid sit bonum, novit? num, ut viscerum, sic etiam bonorum et malorum signa didicit? nam si horum signa novit, honestorum etiam et turpium novit, et justorum et injustorum. (6) Homo, tu mihi dic, quid portendatur, vita an mors, paupertas an divitiæ: utrum vero hæc conducant, necne, non ex te auditurus sum. (7) Cur in grammaticis non dicis *quid sit bonum vel malum*: sed hic demum, de rebus ubi omnes homines erramus et inter nos dissentimus? (8) Quapropter recte illa mulier, quæ cum Gratillæ relegatæ navem cibaria vehentem missura esset, ei qui dixerat, fore ut Domitianus illa eriperet, respondit: Malo ut Domitianus eripiat, quam ut ego non mittam.

9. Quid ergo nos ad frequentes divinationes adducit? Timiditas, sollicitudo de eventu. Propterea vatibus adulamur. Domine, capiamne patris hereditatem? Videamus: rem divinam faciamus. Sane, domine, ut fortuna volet.

τύχη θέλει· ἐπὰν εἴπῃ, Κληρονομήσεις· ὡς παρ' αὐτοῦ τὴν κληρονομίαν εἰληφότες, εὐχαριστοῦμεν αὐτῷ. Διὰ τοῦτο κἀκεῖνοι λοιπὸν ἐμπαίζουσιν ἡμῖν. (10) Τί οὖν; Δεῖ δίχα ὀρέξεως ἔρχεσθαι καὶ ἐκκλίσεως· ὡς ὁ ὁδοιπόρος πυνθάνεται παρὰ τοῦ ἀπαντήσαντος, ποτέρα τῶν ὁδῶν φέρει· οὐκ ἔχων ὄρεξιν πρὸς τὸ τὴν δεξιὰν μᾶλλον φέρειν ἢ τὴν ἀριστεράν· οὐ γὰρ τούτων τινὰ ἀπελθεῖν θέλει, ἀλλὰ τὴν φέρουσαν. (11) Οὕτως ἔδει καὶ ἐπὶ τὸν θεὸν ἔρχεσθαι, ὡς ὁδηγόν· ὡς τοῖς ὀφθαλμοῖς χρώμεθα, οὐ παρακαλοῦντες αὐτούς, ἵνα τοιαῦτα μᾶλλον ἡμῖν δεικνύωσιν, ἀλλ', οἷα ἐνδείκνυνται, τούτων τὰς φαντασίας δεχόμενοι. (12) Νῦν δὲ τρέμοντες τὸν ὀρνιθάριον κρατοῦμεν, καὶ τὸν θεὸν ἐπικαλούμενοι δεόμεθα αὐτοῦ· Κύριε, ἐλέησον, ἐπίτρεψόν μοι ἐξελθεῖν. (13) Ἀνδράποδον, ἄλλο γάρ τι θέλεις, ἢ τὸ ἄμεινον; ἄλλο οὖν τι ἄμεινον, ἢ τὸ τῷ θεῷ δοκοῦν; (14) Τί, τὸ ὅσον ἐπὶ σοί, διαφθείρεις τὸν κριτήν, παράγεις τὸν σύμβουλον;

Si dixerit, Capies hereditatem : tamquam ab ipso hereditatem acceperimus, sic ei gratias agimus. Itaque reliquum est ut illudant illi nobis. (10) Quid ergo? Citra appetitionem et aversationem est accedendum : quemadmodum viator ex obvio quærit, utra via sit insistenda ; neque cupit, ut dextra potius quam sinistra eo quo vult ducat; neque enim harum alterutra pergere vult, sed ea quæ recta ducat. (11) Sic etiam ad deum erat accedendum, tamquam ad viæ ducem : quemadmodum oculis utimur, quos non obsecramus ut tales res potius ostendant, sed, quales illi res nobis ostendunt, tales imagines earum accipimus. (12) Nunc vero trementes augurem manu prehendimus, deumque invocantes precamur eum : Domine, miserere nostri! fac mihi exeundi potestatem! (13) Mancipium, num quid aliud mavis, quam quod melius? quid vero aliud melius, quam quod deo visum est? (14) Cur quantum in te est, judicem corrumpis, et consiliarium seducis?

ΚΕΦ. Η'.

Τίς ἡ οὐσία τοῦ ἀγαθοῦ.

1. Ὁ θεὸς ὠφέλιμος. Ἀλλὰ καὶ τἀγαθὸν ὠφέλιμον. Εἰκὸς οὖν, ὅπου ἡ οὐσία τοῦ θεοῦ, ἐκεῖ εἶναι καὶ τὴν τοῦ ἀγαθοῦ. (2) Τίς οὖν οὐσία θεοῦ; σάρξ; μὴ γένοιτο. Ἀγρός; μὴ γένοιτο. Φήμη; μὴ γένοιτο. Νοῦς, ἐπιστήμη, λόγος ὀρθός; Ναί. (3) Ἐνταῦθα τοίνυν ἁπλῶς ζήτει τὴν οὐσίαν τοῦ ἀγαθοῦ. Ἐπεί τοι μή τι αὐτὴν ἐν φυτῷ ζητεῖς; Οὔ. Μή τι ἐν λόγῳ; Οὔκ. Ἐν λογικῷ οὖν ζητῶν, τί ἔτι ἀλλαχοῦ ζητεῖς, ἢ ἐν τῇ παραλλαγῇ τῇ πρὸς τὰ ἄλογα; (4) Τὰ φυτὰ οὐδὲ φαντασίαις χρηστικά ἐστι, διὰ τοῦτο οὐ λέγεις ἐπ' αὐτῶν τὸ ἀγαθόν. Δεῖται οὖν τὸ ἀγαθὸν χρήσεως φαντασιῶν. (5) Ἆρά γε μόνης; εἰ γὰρ μόνης, λέγε καὶ ἐν τοῖς ἄλλοις ζῴοις τὰ ἀγαθὰ εἶναι καὶ εὐδαιμονίαν καὶ κακοδαιμονίαν. (6) Νῦν δ' οὐ λέγεις, καὶ καλῶς ποιεῖς· εἰ γὰρ καὶ τὰ μάλιστα χρῆσιν φαντασιῶν ἔχει, ἀλλὰ παρακολούθησίν γε τῇ χρήσει τῶν φαντασιῶν οὐκ ἔχει. Καὶ εἰκότως· ὑπηρετικὰ γὰρ γέγονεν ἄλλοις, οὐκ αὐτὰ προηγούμενα. (7) Ὁ ὄνος ἐπὶ τί γέγονε; μή τι προηγουμένως; οὔχ, ἀλλ' ὅτι νώτου χρείαν εἴχομεν βαστάζειν τι δυναμένου. Ἀλλά, νὴ Δία, καὶ περιπατοῦντος αὐτοῦ χρείαν εἴχομεν· διὰ τοῦτο προσείληφε καὶ τὸ χρῆσθαι φαντασίαις· ἄλλως γὰρ περιπατεῖν οὐκ ἐδύνατο. Καὶ λοιπὸν αὐτοῦ που πέπαυται. (8) Εἰ δὲ καὶ αὐτό που προσειλήφει τὸ παρακολουθεῖν τῇ χρήσει τῶν φαντασιῶν, δῆλον ὅτι κατὰ λόγον οὐκ ἔτ' ἂν ἡμῖν ὑπετέτακτο, οὐδὲ τὰς χρείας ταύτας παρεῖχεν, ἀλλ' ἦν ἂν ἴσος ἡμῖν καὶ ὅμοιος.

9. Οὐ θέλεις οὖν ἐκεῖ ζητεῖν τὴν οὐσίαν τοῦ ἀγαθοῦ, οὗ μὴ παρόντος, ἐπ' οὐδενὸς τῶν ἄλλων θέλεις λέγειν τὸ ἀγαθόν; (10) Τί οὖν; οὐκ ἔστι θεῶν ἔργα κἀκεῖνα; Ἔστιν, ἀλλ' οὐ προηγούμενα, οὐδὲ μέρη θεῶν. (11) Σὺ δὲ προηγούμενον εἶ, σὺ ἀπόσπασμα εἶ τοῦ θεοῦ· ἔχεις τι ἐν σεαυτῷ μέρος ἐκείνου. Τί οὖν ἀγνοεῖς σου τὴν εὐγένειαν; τί οὐκ οἶδας, πόθεν ἐλήλυθας; (12)

CAP. VIII.

Quæ sit natura boni.

1. Deus *sua natura* prodest : sed et bonum prodest : consentaneum est igitur, ubi dei natura sit, ibi et boni esse naturam. (2) Quæ est igitur natura Dei? an caro? Absit. Ager? Absit. Fama? Absit. Mens, scientia, recta ratio? Certe. (3) Hic igitur omnino naturam boni quærito. Etenim anne in planta illud quæris? Non. An in bruto? Non. Cum igitur in eo quæras, quod sit rationis particeps; cur adhuc alibi quæris, quam in eo quo animal ratione præditum præstat bruto? (4) Plantæ quia ne visorum quidem usum habent, ea de caussa bonum in eis esse negas. Bonum igitur usum visorum requirit. (5) Num vero hoc duntaxat? Quodsi hoc tantum, dic in reliquis etiam animantibus inesse bona, inesse felicitatem et infelicitatem. (6) Nunc id tu non dicis; et recte facis. Nam ut maxime sint visorum usu prædita; id tamen non habent, ut visorum usum intelligant : et merito : nam ad aliorum ministerium ea destinata sunt, non quæ principatum teneant. (7) Asinus qua de caussa natus est? numquid ex caussa primaria? Non; sed quod tergo nobis opus erat, quod onera ferre posset. Enimvero et id sane nobis fuit opus, ut is ambulare posset : eaque de caussa usum etiam visorum accepit; aliter enim ambulare non potuisset. Ceterum hic tandem cessatum est. (8) Quodsi illud etiam esset ei datum, ut visorum usum intelligeret; consequens scilicet foret, ut nostrum imperium esset recusaturus, neque usus nobis illos præbiturus, sed par nobis nostrique similis futurus.

9. Non igitur in eo naturam boni vis quærere, quo non præsente, nequaquam in ceteris bonum esse positum dixeris? (10) Quid igitur? annon et illa deorum sunt opera? Sunt; at non præcipua, neque eorum partes. (11) Tu vero principale quiddam es; tu aliquid es a deo avulsum; ut habes in te aliquam Dei partem. Cur ergo nobilitatem tuam ignoras? cur nescis, unde veneris? (12) Non memi-

Οὐ θέλεις μεμνῆσθαι ὅταν ἐσθίῃς, τίς ὢν ἐσθίεις, καὶ τίνα τρέφεις; ὅταν συνουσίᾳ χρῇ, τίς ὢν χρῇ; ὅταν ὁμιλίᾳ, ὅταν γυμνάζῃ, ὅταν διαλέγῃ, οὐκ οἶδας ὅτι θεὸν τρέφεις; θεὸν γυμνάζεις; θεὸν περιφέρεις, τάλας, καὶ ἀγνοεῖς. (13) Δοκεῖς με λέγειν ἀργυροῦν τινα ἢ χρυσοῦν ἔξωθεν; Ἐν σαυτῷ φέρεις αὐτὸν, καὶ μολύνων οὐκ αἰσθάνῃ ἀκαθάρτοις μὲν διανοήμασι, ῥυπαραῖς δὲ πράξεσι. (14) Καὶ ἀγάλματος μὲν τοῦ θεοῦ παρόντος, οὐκ ἂν τολμήσαις τι τούτων ποιεῖν, ὧν ποιεῖς· αὐτοῦ δὲ τοῦ θεοῦ παρόντος ἔσωθεν, καὶ ἐφορῶντος πάντα, καὶ ἐπακούοντος, οὐκ αἰσχύνῃ ταῦτα ἐνθυμούμενος καὶ ποιῶν, ἀναίσθητε τῆς σαυτοῦ φύσεως, καὶ θεοχόλωτε.

15. Λοιπὸν ἡμεῖς τί φοβούμεθα, ἐκπέμποντες νέον ἐπί τινας πράξεις ἐκ τῆς σχολῆς, μὴ ἄλλως ποιήσῃ τι, μὴ ἄλλως φάγῃ, μὴ ἄλλως συνουσιάσῃ, μὴ ταπεινώσῃ αὐτὸν ῥάκη περιτεθέντα, μὴ ἐπάρῃ κομψὰ ἱμάτια; (16) Οὗτος οὐκ οἶδεν αὐτοῦ θεόν· οὗτος οὐκ οἶδε, μετὰ τίνος ἀπέρχεται. Ἀλλ' ἀνεχόμεθα λέγοντος αὐτοῦ, Σὲ ἤθελον ἔχειν; (17) Ἐκεῖ τὸν θεὸν οὐκ ἔχεις; εἶτ' ἄλλον τινὰ ζητεῖς, ἐκεῖνον ἔχων; ἢ ἄλλα σοι ἐρεῖ ἐκεῖνος ἢ ταῦτα; (18) Ἀλλ' εἰ μὲν τὸ ἄγαλμα ἦς τὸ Φειδίου, ἢ Ἀθηνᾶ, ἢ ὁ Ζεὺς, ἐμέμνησο ἂν καὶ σαυτοῦ καὶ τοῦ τεχνίτου· καὶ, εἴ τινα αἴσθησιν εἶχες, ἐπειρῶ ἂν μηδὲν ἀνάξιον ποιεῖν τοῦ κατασκευάσαντος, μηδὲ σεαυτοῦ, μηδ' ἐν ἀπρεπεῖ σχήματι φαίνεσθαι τοῖς ὁρῶσι. (19) Νῦν δέ σε ὅτι ὁ Ζεὺς πεποίηκε, διὰ τοῦτο ἀμελεῖς οἷόν τινα δείξεις σεαυτόν; Καίτοι ὁ τεχνίτης τῷ τεχνίτῃ ὅμοιος; ἢ τὸ κατασκεύασμα τῷ κατασκευάσματι; (20) Καὶ ποῖον ἔργον τεχνίτου εὐθὺς ἔχει τὰς δυνάμεις ἐν ἑαυτῷ, ἃς ἐμφαίνει διὰ τῆς κατασκευῆς; οὐχὶ λίθος ἐστὶν, ἢ χαλκὸς, ἢ χρυσὸς, ἢ ἐλέφας; καὶ ἡ Ἀθηνᾶ ἡ Φειδίου, ἅπαξ ἐκτείνασα τὴν χεῖρα, καὶ τὴν Νίκην ἐπ' αὐτῆς δεξαμένη, ἕστηκεν οὕτως ὅλῳ τῷ αἰῶνι· τὰ δὲ τοῦ θεοῦ, κινούμενα, ἔμπνοα, χρηστικὰ φαντασιῶν, δοκιμαστικά. (21) Τούτου τοῦ δημιουργοῦ κατασκεύασμα ὢν, καταισχύνεις αὐτόν; Τί δ', ὅτι οὐ μόνον σε κατεσκεύασεν, ἀλλὰ καὶ σοὶ μόνῳ ἐπίστευσε καὶ παρακατέθετο; (22) Οὐδὲ τούτου μεμνήσῃ, ἀλλὰ καὶ καταισχυνεῖς τὴν ἐπιτροπήν; Εἰ δέ σοι ὀρφανόν τινα ὁ θεὸς παρέθετο, οὕτως ἂν αὐτοῦ ἠμέλεις; (23) Παραδέδωκέ σοι σεαυτὸν, καὶ λέγει· Οὐκ εἶχον ἄλλον πιστότερόν σου, τοῦτόν μοι φύλασσε τοιοῦτον, οἷος πέφυκεν, αἰδήμονα, πιστὸν, ὑψηλὸν, ἀκατάπληκτον, ἀπαθῆ, ἀτάραχον. Εἶτα σὺ οὐ φυλάσσεις.

24. Ἀλλ' ἐροῦσι, Πόθεν ἡμῖν οὗτος ὀφρὺν ἐνήνοχε καὶ σεμνοπροσωπεῖ; Οὔπω κατ' ἀξίαν. Ἔτι γὰρ οὐ θαῤῥῶ οἷς ἔμαθον καὶ συγκατεθέμην· ἔτι τὴν ἀσθένειαν τὴν ἐμαυτοῦ φοβοῦμαι. (25) Ἐπεί τοι ἄφετέ με θαῤῥῆσαι· καὶ τότε ὄψεσθε βλέμμα οἷον δεῖ, καὶ σχῆμα οἷον δεῖ· τότε ὑμῖν δείξω τὸ ἄγαλμα, ὅταν τελειωθῇ, ὅταν στιλπνωθῇ. (26) Τί δοκεῖτε; ὀφρύν; Μὴ γένοιτο. Μὴ γὰρ ὁ Ζεὺς ὁ ἐν Ὀλυμπίᾳ ὀφρὺν ἀνέσπακεν; ἀλλὰ πέπηγεν αὐτοῦ τὸ βλέμμα, οἷον δεῖ εἶναι τοῦ ἐροῦντος,

nisse vis, cum edis, qui sis qui edas, et quem alas? Cum uxoris consuetudine uteris, qui sis qui utaris? cum colloqueris, cum exerceris, cum disputas, an nescis te deum alere? deum exercere? deum circumfers, miser; et ignoras. (13) Num me argenteum aliquem dicere putas, aut auratum extrinsecus? In te ipso fers; teque eum inquinare non animadvertis, quum impuris cogitationibus, tum sordidis actionibus. (14) Et simulacro quidem dei præsente non auderes quidquam eorum facere quæ facis: ipso autem deo præsente intrinsecus, et omnia tum intuente, tum audiente, non pudet te ista cogitare et facere, ignare naturæ tuæ, et diis invise!

15. Proinde quid timemus, cum adolescentem e schola ad res aliquas obeundas ablegamus, ne quid secus faciat, ne intemperanter comedat, ne se libidinibus polluat, ne vel humilem abjectumque eum reddant circumjecti panni, vel animum ejus tumefaciant elegantes vestes? (16) Hic deum suum ignorat; hic nescit quo comite abeat. At eum ferimus dicentem, Te comitem habere vellem? (17) An ibi deum non habes? an, cum illum habeas, requiris alium? an is alia tibi dicet, quam hæc? (18) At si Phidiæ statua esses, sive Minerva, sive Jupiter, tui et opificis meminisses, et, si quem haberes sensum, operam dares, ne quid indignum vel eo qui te fabricasset, vel temet ipso admitteres, neve indecoro habitu ab iis conspicereris, qui te spectarent. (19) Nunc, quia te Jupiter fecit, idcirco, qualem te demonstres, non curas? Atqui estne artifex artifici similis? aut opificium opificio? (20) Ne longius abeam: cujus artificis opus ejusmodi est, ut eas in se vires habeat, quas per fabricam demonstrat? nonne lapis est, aut æs, aut aurum, aut ebur? Nam Phidiæ quidem Minerva, semel porrecta manu, in eamque Victoria recepta, sic per omne stat ævum: dei autem opera moventur, spirant, visis utuntur, eaque explorant. (21) Hujus opificis cum fabrica sis, pudore illum afficis? Quid porro, quod te non fecit modo, sed et tibi uni te credidit et tuæ fidei commisit? (22) Ne hoc quidem recordabere; sed et id ipsum, quod fidei tuæ commissum est, fœdabis? At vero si quem tibi pupillum deus tradidisset, itane eum negligeres? (23) Tradidit tibi temet ipsum, aliumque se habuisse te fideliorem negat: « Hunc, « inquit, mihi conserva talem, qualis sua natura est, vere« cundum, fidelem, sublimem, imperterritum, perturba« tione tumultuque vacuum. » Tum tu eum non conservas!

24. At dicent, Unde nobis iste supercilium hoc attulit et vultus gravitatem præ se fert? Immo vero, nondum uti par est. Nondum enim confido eis quæ didici, et quibus assensus sum: adhuc imbecillitatem meam timeo. (25) Et enim sinite me paululum sumere animos; tum videbitis vultum qualem decet, et habitum qualem decet: tum vobis ostendam statuam, cum absoluta fuerit, cum expolita. (26) Quid putatis? supercilium esse hoc? Absit. Numquid enim Jupiter Olympius supercilium attollit? *Non;* sed vultus ejus fixus est, ut ejus esse decet, qui dicturus sit.

Οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλόν.

27. Τοιοῦτον ὑμῖν δείξω ἐμαυτὸν, πιστὸν, αἰδήμονα, γενναῖον, ἀτάραχον. (28) Μή τι οὖν ἀθάνατον, ἀγήρων, μή τι ἄνοσον; ἀλλ' ἀποθνήσκοντα θείως, νοσοῦντα θείως. Ταῦτα ἔχω, ταῦτα δύναμαι· τὰ δ' ἄλλα οὔτε ἔχω, οὔτε δύναμαι. (29) Δείξω ὑμῖν νεῦρα φιλοσόφου. Ποῖα νεῦρα; Ὄρεξιν ἀναπότευκτον, ἔκκλισιν ἀπερίπτωτον, ὁρμὴν καθήκουσαν, πρόθεσιν ἐπιμελῆ, συγκατάθεσιν ἀπρόπτωτον. Ταῦτα ὄψεσθε.

Meum haud fallax est aut revocabile dictum.

27. Talem me præbebo vobis: fidelem, verecundum, fortem, perturbatione vacuum. (28) Num ergo immortalem, senectutis aut morborum expertem? *Non;* sed eum qui divinitus moriatur, qui divinitus ægrotet. Hæc habeo, hæc possum; reliqua nec habeo, nec possum. (29) Ostendam vobis nervos philosophi. Quales nervos? Appetitionem frustrationis expertem; aversationem casibus non obnoxiam; impetum convenientem; propositum industrium; assensionem non temerariam. Hæc videbitis.

ΚΕΦ. Θ'.

Ὅτι οὐ δυνάμενοι τὴν τοῦ ἀνθρώπου ἐπαγγελίαν πληρῶσαι, τὴν τοῦ φιλοσόφου προσλαμβάνομεν.

1. Οὐκ ἔστι τὸ τυχὸν, αὐτὸ μόνον, ἀνθρώπου ἐπαγγελίαν πληρῶσαι. (2) Τί γάρ ἐστιν ἄνθρωπος; Ζῷον, φησὶ, λογικὸν, θνητόν. Εὐθὺς ἐν τῷ λογικῷ, τίνων χωριζόμεθα; Τῶν θηρίων. Καὶ τίνων ἄλλων; Τῶν προβάτων, καὶ τῶν ὁμοίων. (3) Ὅρα οὖν μή τί πως ὡς θηρίον ποιήσῃς· εἰ δὲ μὴ, ἀπώλεσας τὸν ἄνθρωπον, οὐκ ἐπλήρωσας τὴν ἐπαγγελίαν. Ὅρα, μή τι ὡς πρόβατον· εἰ δὲ μὴ, καὶ οὕτως ἀπώλετο ὁ ἄνθρωπος. (4) Τίνα οὖν ποιοῦμεν ὡς πρόβατα; Ὅταν τῆς γαστρὸς ἕνεκα, ὅταν τῶν αἰδοίων, ὅταν εἰκῇ, ὅταν ῥυπαρῶς, ὅταν ἀνεπιστρέπτως· ποῦ ἀπεκλίναμεν; Ἐπὶ τὰ πρόβατα. Τί ἀπωλέσαμεν; Τὸ λογικόν. (5) Ὅταν μαχίμως, καὶ βλαβερῶς, καὶ θυμικῶς, καὶ ὠστικῶς· ποῦ ἀπεκλίναμεν; Ἐπὶ τὰ θηρία. (6) Λοιπὸν οἱ μὲν ἡμῶν μεγάλα θηρία εἰσὶν, οἱ δὲ θηρίδια κακοήθη καὶ μικρὰ, ἐφ' ὧν ἔστιν εἰπεῖν, Λέων με καὶ φαγέτω. (7) Διὰ πάντων δὲ τούτων ἀπόλλυται ἡ τοῦ ἀνθρώπου ἐπαγγελία. Πότε γὰρ σώζεται συμπεπλεγμένον; Ὅταν τὴν ἐπαγγελίαν πληρώσῃ. Ὥστε σωτηρία συμπεπλεγμένου ἐστὶ, τὸ ἐξ ἀληθῶν συμπεπλέχθαι. (8) Πότε διεζευγμένον; Ὅταν τὴν ἐπαγγελίαν πληρώσῃ. Πότε αὐλοὶ, πότε λύρα, πότε ἵππος, πότε κύων; (9) Τί οὖν θαυμαστὸν, εἰ καὶ ἄνθρωπος ὡσαύτως μὲν σώζεται, ὡσαύτως δ' ἀπόλλυται; (10) Αὔξει δ' ἕκαστον καὶ σώζει τὰ κατάλληλα ἔργα· τὸν τέκτονα τὰ τεκτονικὰ, τὸν γραμματικὸν τὰ γραμματικά. Ἂν δ' ἐθίσῃ γράφειν ἀγραμμάτως, ἀνάγκη καταφθείρεσθαι καὶ ἀπόλλυσθαι τὴν τέχνην. (11) Οὕτω τὸν μὲν αἰδήμονα σώζει τὰ αἰδήμονα ἔργα, ἀπολλύει δὲ τὰ ἀναιδῆ· τὸν δὲ πιστὸν τὰ πιστὰ, καὶ τὰ ἐναντία ἀπολλύει. (12) Καὶ τοὺς ἐναντίους πάλιν ἐπαύξει τὰ ἐναντία· τὸν ἀναίσχυντον ἀναισχυντία, τὸν ἄπιστον ἀπιστία, τὸν λοίδορον λοιδορία, τὸν ὀργίλον ὀργὴ, τὸν φιλάργυρον αἱ ἀκατάλληλοι λήψεις καὶ δόσεις.

13. Διὰ τοῦτο παραγγέλλουσιν οἱ φιλόσοφοι, μὴ ἀρκεῖσθαι μόνῳ τῷ μαθεῖν, ἀλλὰ καὶ μελέτην προσλαμβάνειν, εἶτα ἄσκησιν. (14) Πολλῷ γὰρ χρόνῳ τὰ ἐναντία ποιεῖν εἰθίσμεθα, καὶ τὰς ὑπολήψεις τὰς ἐναντίας ταῖς ὀρθαῖς χρηστικὰς εἴχομεν. Ἂν οὖν μὴ καὶ τὰς ὀρθὰς χρηστικὰς ποιήσωμεν, οὐδὲν ἄλλο ἢ ἐξηγηταὶ ἐσό-

CAP. IX.

Cum hominis officium præstare non possimus, philosophi munus nos profiteri.

1. Res non vulgaris est, vel hoc solum, hominis præstare officium. (2) Quid enim est homo? Animal, inquit, rationis particeps, mortale. Jam statim, rationis usu, a quibus distinguimur? A feris. A quibus præterea? Ab ovibus et aliis ejus generis. (3) Cave igitur ne quid forte instar feræ facias: alioqui hominem amisisti, non præstitisti id quod pollicetur hominis nomen. Tum cave ne quid instar ovis: alioqui et sic homo perierit. (4) Quæ igitur agimus more ovis? Cum ventris caussa, cum penis, cum temere, cum sordide, cum inconsiderate agimus; quo tunc declinavimus? Ad oves. Quid amisimus? Rationis usum. (5) Cum pugnaciter, noxie, iracunde, impetuose; quo declinavimus? Ad feras. (6) Ceterum alii e nobis magnæ bestiæ sunt, alii bestiolæ malitiosæ et parvæ: de quibus dici possit, Leo me vel devoret! (7) His autem rebus omnibus perit hominis officium. Nam quando conservatur complexum? Cum suum munus exsequitur. Itaque conservatio complexi est, si ex veris sit complexum. (8) Quando disjunctum? Cum munere suo fungitur. Quando tibiæ? quando lyra? quando equus? quando canis? (9) Quid ergo mirum, si homo etiam eodem modo et conservatur et perit? (10) Augent autem et conservant unumquemque opera consentanea, fabrum fabrilia, grammaticum grammatica. Sin assueveris contra artis rationem scribere, necesse erit corrumpi et perire artem. (11) Sic hominem verecundum verecunda facta conservant, impudentia perdunt; sic fidelia fidelem; perdunt contraria. (12) Contrarios autem vicissim augent contraria: impudentem impudentia, perfidum perfidia, conviciatorem convicia, iracundum iracundia; avarum eæ rationes, quibus plus accipiat, et minus reddat.

13. Quamobrem philosophi monent, non in sola doctrina acquiescendum esse, sed et studium et meditationem adjungendam, deinde exercitationem. (14) Longo enim tempore contraria facere consuevimus; et usum contraximus opinionum, quæ rectis contrariæ sunt. Itaque, nisi operam demus ut rectarum etiam opinionum usum habitumque nobis comparemus, nil aliud nisi alienorum decretorum in-

μεθα ἀλλοτρίων δογμάτων. (15) Ἄρτι γάρ τίς ἡμῶν οὐ δύναται τεχνολογῆσαι περὶ ἀγαθῶν καὶ κακῶν; ὅτι τῶν ὄντων τὰ μὲν ἀγαθὰ, τὰ δὲ κακὰ, τὰ δ' ἀδιάφορα· ἀγαθὰ μὲν οὖν ἀρεταὶ καὶ τὰ μετέχοντα τῶν ἀρετῶν· κακὰ δὲ, τὰ ἐναντία· ἀδιάφορα δὲ, πλοῦτος, ὑγεία, δόξα. (16) Εἶτ', ἂν μεταξὺ λεγόντων ἡμῶν ψόφος μείζων γένηται, ἢ τῶν παρόντων τις καταγελάσῃ ἡμῶν, ἐξεπλάγημεν. (17) Ποῦ ἐστι, φιλόσοφε, ἐκεῖνα ἃ ἔλεγες; πόθεν αὐτὰ προφερόμενος ἔλεγες; Ἀπὸ τῶν χειλῶν αὐτόθεν. Τί οὖν ἀλλότρια βοηθήματα μολύνεις; τί κυβεύεις περὶ τὰ μέγιστα; (18) Ἄλλο γάρ ἐστιν, ὡς εἰς ταμιεῖον ἀποθέσθαι ἄρτους καὶ οἶνον, ἄλλο ἐστὶ φαγεῖν. Τὸ βρωθὲν ἐπέφθη, ἀνεδόθη, νεῦρα ἐγένετο, σάρκες, ὀστέα, αἷμα, εὔχροια, εὔπνοια· τὰ ἀποκείμενα, ὅταν μὲν θελήσῃς, ἐκ προχείρου λαβὼν δεῖξαι δύνασαι· ἀπ' αὐτῶν δέ σοι ὄφελος οὐδὲν, εἰ μὴ μέχρι τοῦ δοκεῖν ὅτι ἔχεις. (19) Τί γὰρ διαφέρει, ταῦτα ἐξηγεῖσθαι, ἢ τὰ τῶν ἑτεροδόξων; Τεχνολόγει νῦν καθίσας τὰ Ἐπικούρου· καὶ τάχα ἐκείνου χρηστικώτερον τεχνολογήσεις. Τί οὖν Στωϊκὸν λέγεις σεαυτόν: τί ἐξαπατᾷς τοὺς πολλούς; (20) Τί ὑποκρίνῃ Ἰουδαίους, ὢν Ἕλλην; Οὐχ ὁρᾷς, πῶς ἕκαστος λέγεται Ἰουδαῖος; πῶς Σύρος; πῶς Αἰγύπτιος; καὶ ὅταν τινὰ ἐπαμφοτερίζοντα εἴδωμεν, εἰώθαμεν λέγειν, Οὐκ ἔστιν Ἰουδαῖος, ἀλλ' ὑποκρίνεται· ὅταν δ' ἀναλάβῃ τὸ πάθος τὸ τοῦ βεβαμμένου καὶ ᾑρημένου, τότε καὶ ἔστι τῷ ὄντι, καὶ καλεῖται Ἰουδαῖος. (21) Οὕτω καὶ ἡμεῖς, παραβαπτισταὶ, λόγῳ μὲν Ἰουδαῖοι, ἔργῳ δ' ἄλλο τι· ἀσυμπαθεῖς πρὸς τὸν λόγον, μακρὰν ἀπὸ τοῦ χρῆσθαι τούτοις ἃ λέγομεν, ἐφ' οἷς ὡς εἰδότες αὐτὰ ἐπαιρόμεθα. (22) Οὕτως οὐδὲ τὴν τοῦ ἀνθρώπου ἐπαγγελίαν πληρῶσαι δυνάμενοι, προσλαμβάνομεν τὴν τοῦ φιλοσόφου, τηλικοῦτο φορτίον, οἷον εἴ τις δέκα λίτρας ἆραι μὴ δυνάμενος, τὸν τοῦ Αἴαντος λίθον βαστάζειν ἤθελεν.

ΚΕΦ. Ι'.

Πῶς ἀπὸ τῶν ὀνομάτων τὰ καθήκοντά ἐστιν εὑρίσκειν.

1. Σκέψαι τίς εἶ. Τὸ πρῶτον, ἄνθρωπος· τοῦτο δ' ἔστιν, οὐδὲν ἔχων κυριώτερον προαιρέσεως, ἀλλὰ ταύτῃ τὰ ἄλλα ὑποτεταγμένα, αὐτὴν δ' ἀδούλευτον καὶ ἀνυπότακτον. (2) Σκόπει οὖν τίνων κεχώρισαι κατὰ [τὸν] λόγον. Κεχώρισαι θηρίων, κεχώρισαι προβάτων. (3) Ἐπὶ τούτοις, πολίτης εἶ τοῦ κόσμου, καὶ μέρος αὐτοῦ· οὐχ ἓν τῶν ὑπηρετικῶν, ἀλλὰ τῶν προηγουμένων· παρακολουθητικὸς γὰρ εἶ τῇ θείᾳ διοικήσει, καὶ τῶν ἑξῆς ἐπιλογιστικός. (4) Τίς οὖν ἐπαγγελία πολίτου; Μηδὲν ἔχειν ἰδίᾳ συμφέρον, περὶ μηδενὸς βουλεύεσθαι ὡς ἀπόλυτον· ἀλλ' ὥσπερ ἄν, εἰ ἡ χεὶρ ἢ ὁ πούς λογισμὸν εἶχον καὶ παρηκολούθουν τῇ φυσικῇ κατασκευῇ, οὐδέποτ' ἂν ἄλλως ὥρμησαν ἢ ὠρέχθησαν, ἢ ἐπανενεγκόντες ἐπὶ τὸ ὅλον. (5) Διὰ τοῦτο καλῶς λέγουσιν οἱ φιλόσοφοι, ὅτι εἰ προῄδει ὁ καλὸς καὶ ἀγαθὸς τὰ ἐσόμενα, συνήργει ἂν καὶ τῷ νοσεῖν, καὶ τῷ ἀποθνήσκειν,

terpretes sumus futuri. (15) Jam enim quis nostrûm de rebus bonis et malis erudite disputare non potest? alias esse bonas, alias malas, alias indifferentes: ac bonas quidem, virtutes et ea quæ tum virtutibus conjuncta sint; malas autem, contrarias; indifferentes, divitias, sanitatem, gloriam. (16) Deinde, si, dum nos ista disserimus, strepitus aliquis major excitetur, aut eorum qui adsunt quispiam nos derideat, percellimur. (17) Ubi sunt ista, philosophe, quæ dicebas? Unde ista proferebas? Nonnisi e labris videlicet. Quid ergo aliena adjumenta contaminas? quid ludos facis in rebus maximis? (18) Aliud est enim, tamquam in penu reponere panes et vinum; aliud est comedere. Quod comederis, id concoquitur, digeritur, in nervos, carnes, ossa, sanguinem, colorem, spiritum convertitur: quæ autem reposueris, ea quidem, cum volueris, depromere poteris atque ostendere; inde autem ad te non alia redibit utilitas, nisi ut ea habere videaris. (19) Quid enim interest, sive ista enarres, sive eorum opiniones, qui alia sentiunt? Sede nunc atque Epicureas opiniones subtiliter edissere: ac fortasse facilius etiam atque commodius, quam ille ipse, edisseres. Quid ergo Stoicum te nominas? quid populo fucum facis? (20) Quid personam mentiris Judæorum, cum Græcus sis? Nonne vides, quatenus quisque dicatur Judæus, quatenus Syrus, quatenus Ægyptius? quodsi quem videmus in utramque partem inclinantem, dicere solemus, non esse Judæum, sed simulatorem: cum autem affectum hominis illa disciplina imbuti sectamque professi adhibuerit, tum revera Judæus et est, et nominatur. (21) Sic et nos adulterini sumus, nomine quidem Judæi, re vero ipsa quiddam aliud: animi affectus cum oratione non congruit; ac multum abest ut iis utamur quæ profitemur, quorumque cognitione efferimur. (22) Sic, cum hominis professionem explere nequeamus, philosophi etiam personam nobis imponimus; tam grave onus, veluti si quis, cui vires ad decem libras ferendas non suppeterent, Ajacis lapidem tollendum sibi sumeret.

CAP. X.

Quo pacto e nominibus officia sint reperienda.

1. Considera qui sis: primum homo, hoc est, is qui nihil habeat præstantius voluntate, cetera vero omnia huic subjecta, cum ipsa nemini vel serviat vel pareat. (2) Proinde considerato, a quibus ratione separeris. Separaris a feris, separaris ab ovibus. (3) Præterea civis es mundi, et pars ejus; non ex earum numero partium, quæ ministerio, sed quæ imperio sunt destinatæ: divinam enim administrationem intelligendi, ordinemque rerum considerandi facultatem habes. (4) Quæ igitur est civis professio? Ne quid privatim utile ducat; de nulla re, tamquam a communi societate separatus, deliberet; sed ita, quemadmodum manus aut pes, si oratione uterentur et naturæ constitutionem intelligerent, numquam moverentur aliter, nec appeterent quidquam, nisi ratione habita totius. (5) Quamobrem recte dicunt philosophi, si præsciret vir bonus rerum futurarum eventum, ultro eum ad ægrotationem, ad mortem, ad mu-

καὶ τῷ πηροῦσθαι· αἰσθανόμενός γε, ὅτι ἀπὸ τῆς τῶν ὅλων διατάξεως τοῦτο ἀπονέμεται, κυριώτερον δὲ τὸ ὅλον τοῦ μέρους, καὶ ἡ πόλις τοῦ πολίτου. (6) Νῦν δ', ὅτι οὐ προγινώσκομεν, καθήκει τῶν πρὸς ἐκλογὴν εὐφυεστέρων ἔχεσθαι· ὅτι καὶ πρὸς τοῦτο γεγόναμεν.

7. Μετὰ τοῦτο μέμνησο ὅτι υἱὸς εἶ. Τίς τούτου τοῦ προσώπου ἐπαγγελία; Πάντα τὰ αὑτοῦ ἡγεῖσθαι τοῦ πατρὸς, πάντα ὑπακούειν, μηδέποτε ψέξαι πρός τινα, μηδὲ βλαβερόν τι αὐτῷ εἰπεῖν ἢ πρᾶξαι, ἐξίστασθαι ἐν πᾶσι καὶ παραχωρεῖν, συνεργοῦντα κατὰ δύναμιν. (8) Μετὰ τοῦτο ἴσθι, ὅτι καὶ ἀδελφὸς εἶ. Καὶ πρὸς τοῦτο δὲ τὸ πρόσωπον ὀφείλεται παραχώρησις, εὐπείθεια, εὐφημία, μηδέποτ' ἀντιποιήσασθαί τινος πρὸς αὐτὸν ἀπροαιρέτων, ἀλλ' ἡδέως ἐκεῖνα προΐεσθαι, ἵν' ἐν τοῖς προαιρετικοῖς πλέον ἔχῃς. (9) Ὅρα γάρ, οἷόν ἐστιν ἀντὶ θίδρακος, ἂν οὕτω τύχῃ, καὶ καθέδρας αὑτὸν εὐγνωμοσύνην κτήσασθαι· ὅση ἡ πλεονεξία. (10) Μετὰ ταῦτα εἰ βουλευτὴς πόλεώς τινος εἶ, ὅτι βουλευτής· εἰ νέος ὅτι νέος· εἰ πρεσβύτης, ὅτι πρεσβύτης· εἰ πατὴρ, ὅτι πατήρ. (11) Ἀεὶ γὰρ ἕκαστον τῶν τοιούτων ὀνομάτων εἰς ἐπιλογισμὸν ἐρχόμενον, ὑπογράφει τὰ οἰκεῖα ἔργα. (12) Ἐὰν δ' ἀπελθὼν ψέγῃς σου τὸν ἀδελφὸν, λέγω σοι, Ἐπελάθου τίς εἶ, καὶ τί σοι ὄνομα. (13) Εἶτα εἰ μὲν χαλκεὺς ὢν ἐχρῶ τῇ σφύρᾳ ἄλλως, ἐπιλελησμένος ἂν ἦς τοῦ χαλκέως· εἰ δὲ τοῦ ἀδελφοῦ ἐπελάθου καὶ ἀντὶ ἀδελφοῦ ἐχθρὸς ἐγένου, οὐδὲν ἀντ' οὐδενὸς ἠλλάχθαι φανῇς ἐπ' αὐτῷ; (14) Εἰ δ' ἀντὶ ἀνθρώπου, ἡμέρου ζῴου καὶ κοινωνικοῦ, θηρίον γέγονας βλαβερὸν, ἐπίβουλον, δηκτικὸν, οὐδὲν ἀπολώλεκας; ἀλλὰ δεῖ σε κέρμα ἀπολέσαι, ἵνα ζημιωθῇς· ἄλλου δ' οὐδενὸς ἀπώλεια ζημιοῖ τὸν ἄνθρωπον. (15) Εἰ γραμματικὴν μὲν ἧς ἀποβαλὼν, ἢ μουσικὴν, ζημίαν ἡγοῦ τὴν ἀπώλειαν αὐτῆς· εἰ δ' αἰδῶ καὶ καταστολὴν καὶ ἡμερότητα ἀποβαλεῖς, οὐδὲν ἡγῇ τὸ πρᾶγμα; (16) Καίτοι ἐκεῖνα μὲν παρ' ἔξωθέν τινα καὶ ἀπροαίρετον αἰτίαν ἀπόλλυται, ταῦτα δὲ παρ' ἡμᾶς· καὶ ἐκεῖνα μὲν οὔτε [μὴ] ἔχειν οὔτ' ἀπολλύειν αἰσχρόν ἐστι, ταῦτα δὲ καὶ μὴ ἔχειν καὶ ἀπολλύειν αἰσχρόν ἐστι καὶ ἐπονείδιστον καὶ ἀτύχημα. (17) Τί ἀπολλύει ὁ τὰ τοῦ κιναίδου πάσχων; Τὸν ἄνδρα. Ὁ δὲ διατιθείς; Πολλὰ μὲν καὶ ἄλλα, καὶ αὐτὸς δ' οὐδὲν ἧττον τὸν ἄνδρα. (18) Τί ἀπολλύει ὁ μοιχεύων; Τὸν αἰδήμονα, τὸν ἐγκρατῆ, τὸν κόσμιον, τὸν πολίτην, τὸν γείτονα. Τί ἀπολλύει ὁ ὀργιζόμενος; Ἄλλο τι. Ὁ φοβούμενος; Ἄλλο τι. (19) Οὐδεὶς δίχα ἀπωλείας καὶ ζημίας κακός ἐστι. Λοιπὸν εἰ τὴν ζημίαν ζητεῖς ἐν κέρματι, πάντες οὗτοι ἀβλαβεῖς, ἀζήμιοι, ἂν οὕτω τύχῃ, καὶ ὠφελούμενοι καὶ κερδαίνοντες, ὅταν διά τινος τούτων τῶν ἔργων κέρμα αὐτοῖς προσγένηται. (20) Ὅρα δ', εἰ ἐπὶ κερμάτιον πάντα ἀνάγεις, ὅτι οὐδ' ὁ τὴν ῥῖνά σοι ἀπολλύων ἐστὶ βεβλαμμένος. Ναί, φησί· κεκολόβωται γὰρ τὸ σῶμα. (21) Ἄγε· ὁ δὲ τὴν ὀσφρασίαν αὐτὴν ἀπολωλεκὼς, οὐδὲν ἀπολλύει; Ψυχῆς οὖν δύναμις οὐκ ἔστιν οὐδεμία, ἣν ὁ μὲν κτησάμενος ὠφελεῖται, ὁ δ' ἀποβαλὼν ζημιοῦται;

tilationes, operam suam collaturum; quippe qui intellexisset, a constitutione universitatis hæc sibi esse attributa; esse autem totum potius parte, et civitatem cive. (6) Nunc, cum non præsciamus quid futurum sit, ea amplecti convenit, quæ sunt ad eligendum natura aptiora; nam ad hoc etiam nati sumus.

7. Deinde memento, filium te esse. Quænam hujus personæ est professio? Omnia sua, patris esse ducere; omnibus in rebus dicto ei esse audientem; numquam eum apud quemquam vituperare; neque vel dicere vel facere quidquam, quod ei incommodet; cedere etiam illi in omnibus, et primas dare; pro virili eum adjuvare. (8) Post hæc memento, te etiam fratrem esse : et pro hac quoque persona deberi cessionem, obsequium, collaudationem; numquam quidquam tibi vindicandum earum rerum quæ sunt extra hominis potestatem positæ, sed ea libenter missa facienda, ut in his meliori sis conditione quæ tui sunt arbitrii. (9) Vide enim, cujusmodi sit, verbi caussa, si pro lactuca, aut pro sella, *qua fratri cedis*, tu tibi acquiris animi æquitatem : quantum id est lucrum ! (10) Deinde si civitatis alicujus senator es, te senatorem esse memento; si adolescens, adolescentem; si senex, senem; si pater, patrem. (11) Semper enim quodque horum nominum, in computationem veniens, consentaneum quoddam agendi genus præscribit. (12) Sin digressus fratrem tuum vituperaveris, dicam oblitum te esse qui sis, et quod tibi sit nomen. (13) Quodsi faber ferrarius esses ac malleo perperam utereris, fabri ferrarii esses oblitus : at si fratris personam oblitus es et fratris loco factus es hostis, putasne te ea re nihil nihilo permutasse? (14) Quodsi pro homine, miti animali et sociabili, fera factus es perniciosa, insidiatrix, mordax ; nihilne amisisti? Enimvero pecuniola est amittenda, ut jacturam facias; nullius vero alius rei amissio damnum affert homini. (15) Quodsi grammaticam artem amisisses, aut musicam; in damno eam jacturam deputares : at, si verecundiam, si modestiam, si mansuetudinem amiseris, eamne rem nihil esse putas? (16) Verum illa quidem externa quapiam de caussa et non voluntaria pereunt; hæc autem nostra culpa : illa nec non habere nec amittere turpe est; hæc et non habere et amittere turpe est et probrosum et calamitosum. (17) Quid amittit is qui cinædi flagitia patitur? Virum. Quid qui ista patrat? Cum alia sane multa, tum nihilominus et ipse virum. (18) Quid perdit adulter? Verecundum, continentem, modestum, civem, vicinum. Quid perdit iratus? Aliquid aliud. Quid is qui timet? Aliquid aliud. (19) Nemo sine jactura et damno malus est. Quodsi vero jacturam in pecuniola *sola* quæris, omnes hi noxæ sunt expertes, nullum fecere damnum; ac fieri potest ut fructum etiam et lucrum capiant, cum ex horum facinorum aliquo pecunia eis accesserit. (20) Vide vero, si ad pecuniam omnia refers, ne tibi dicendum sit, ne eum quidem, qui nasum amittit, pati damnum. Immo vero, inquit, corpore est mutilato. (21) Age igitur, qui olfactum solum amisit, nihilne perdit? Animi ergo vis nulla est, qua

(22) Ποίαν καὶ λέγεις; Οὐδὲν ἔχομεν αἰδῆμον φύσει; Ἔχομεν. Ὁ τοῦτο ἀπολλύων, οὐ ζημιοῦται; οὐδενὸς στερίσκεται; οὐδὲν ἀποβάλλει τῶν πρὸς αὐτόν; (23) Οὐχ ἔχομεν φύσει τι πιστόν; φύσει στερκτικόν; φύσει ὠφελητικόν; φύσει ἀλλήλων ἀνεκτικόν; ὅστις οὖν εἰς ταῦτα περιορᾷ ζημιούμενον ἑαυτὸν, οὗτος ᾖ ἀβλαβὴς καὶ ἀζήμιος;

24. Τί οὖν; μὴ βλάψω τὸν βλάψαντα; Πρῶτον μὲν ἰδοὺ τί ἐστι βλάβη· καὶ μνήσθητι ὧν ἤκουσας παρὰ τῶν φιλοσόφων. (25) Εἰ γὰρ τὸ ἀγαθὸν ἐν προαιρέσει, καὶ τὸ κακὸν ὡσαύτως ἐν προαιρέσει, βλέπε μὴ τοιοῦτόν ἐστιν ὃ λέγεις· (26) Τί οὖν, ἐπειδὴ ἐκεῖνος ἑαυτὸν ἔβλαψε, πρὸς ἐμέ τι ἄδικον ποιήσας, μὴ βλάψω ἐγὼ ἐμαυτὸν, πρὸς ἐκεῖνον ἄδικόν τι ποιήσας; (27) Τί οὖν οὐ τοιοῦτόν τι φανταζόμεθα; ἀλλ', ὅπου τι σωματικὸν ἐλάττωμα ἢ εἰς κτῆσιν, ἐκεῖ ἡ βλάβη· ὅπου δ' εἰς προαίρεσιν, οὐδεμία βλάβη; (28) Οὔτε γὰρ τὴν κεφαλὴν ἀλγεῖ ὁ ἐξαπατηθεὶς ἢ ὁ ἀδικήσας, οὔτε τὸν ὀφθαλμὸν, οὔτε τὸ ἰσχίον· οὔτε τὸν ἀγρὸν ἀπολλύει· (29) ἡμεῖς δ' ἄλλο οὐδὲν ἐθέλομεν, ἢ ταῦτα· τὴν προαίρεσιν δὲ πότερον αἰδήμονα καὶ πιστὴν ἕξομεν, ἢ ἀναίσχυντον καὶ ἄπιστον, οὐδ' ἐγγὺς διαφερόμεθα, πλὴν μόνον ἐν τῇ σχολῇ μέχρι τῶν λογαρίων. (30) Τοιγαροῦν μέχρι τῶν λογαρίων προκόπτομεν, ἔξω δ' αὐτῶν οὐδὲ τὸ ἐλάχιστον.

ΚΕΦ. ΙΑ'.

Τίς ἀρχὴ φιλοσοφίας.

1. Ἀρχὴ φιλοσοφίας, παρά γε τοῖς ὡς δεῖ καὶ κατὰ θύραν ἁπτομένοις αὐτῆς, συναίσθησις τῆς αὑτοῦ ἀσθενείας καὶ ἀδυναμίας περὶ τὰ ἀναγκαῖα. (2) Ὀρθογωνίου μὲν γὰρ τριγώνου, ἢ διέσεως, ἢ ἡμιτονίου, οὐδεμίαν φύσει ἔννοιαν ἥκομεν ἔχοντες, ἀλλ' ἔκ τινος τεχνικῆς παραλήψεως διδασκόμεθα ἕκαστον αὐτῶν· καὶ διὰ τοῦτο οἱ μὴ εἰδότες αὐτὰ, οὐδ' οἴονται εἰδέναι. (3) Ἀγαθοῦ δὲ καὶ κακοῦ, καὶ καλοῦ καὶ αἰσχροῦ, καὶ πρέποντος καὶ ἀπρεποῦς, καὶ εὐδαιμονίας καὶ δυστυχίας, καὶ προσήκοντος καὶ ἀποβάλλοντος, καὶ ὅ τι δεῖ ποιῆσαι, καὶ ὅ τι οὐ δεῖ ποιῆσαι, τίς οὐχ ἔχων ἔμφυτον ἔννοιαν ἐλήλυθε; (4) Διὰ τοῦτο πάντες χρώμεθα τοῖς ὀνόμασι, καὶ ἐφαρμόζειν πειρώμεθα τὰς προλήψεις ταῖς ἐπὶ μέρους οὐσίαις. (5) Καλῶς ἐποίησε, δεόντως, οὐ δεόντως, ἠτύχησεν, εὐτύχησεν, ἄδικός ἐστι, δίκαιός ἐστι· τίς ἡμῶν φείδεται τούτων τῶν ὀνομάτων; τίς ἡμῶν ἀναβάλλεται τὴν χρῆσιν αὐτῶν μέχρι μάθῃ, καθάπερ τῶν περὶ τὰς γραμμὰς ἢ τοὺς φθόγγους οἱ οὐκ εἰδότες; (6) Τούτου δ' αἴτιον τὸ ἥκειν ἤδη τινὰ ὑπὸ τῆς φύσεως κατὰ τὸν τόπον ὥσπερ δεδιδαγμένους· ἀφ' ὧν ὁρμώμενοι καὶ τὴν οἴησιν προσειλήφαμεν. (7) Διὰ τί γάρ, φησίν, οὐκ οἶδα ἐγὼ τὸ καλὸν καὶ τὸ αἰσχρόν; οὐκ ἔχω ἔννοιαν αὐτοῦ; Ἔχεις. (8) Οὐκ ἐφαρμόζω τοῖς ἐπὶ μέρους; Ἐφαρμόζεις. Οὐ καλῶς οὖν ἐφαρμόζω; Ἐνταῦθά ἐστι τὸ ζήτημα πᾶν, καὶ [ἡ] οἴησις ἐνταῦθα προσγίνεται. Ἀφ' ὁμολογουμένων γὰρ ὁρμώμενοι τούτων, ἐπὶ τὸ ἀμφισβητούμενον προάγουσιν ὑπὸ τῆς ἀκα-

et parta juvetur aliquis, et amissa lædatur? (22) Quam tandem ais? Nihilne habemus natura verecundum? Habemus. Id qui amittit, non jacturam facit? non privatur aliqua re? non amittit aliquid suarum rerum? (23) Nonne habemus natura fidele aliquid? nonne caritatem aliquam natura nobis insitam? nonne juvandi propensionem naturalem? non alius alium tolerandi naturalem facultatem? Quisquis igitur in horum aliquo se damno affici patitur, isne indemnis et jacturæ expers fuerit?

24. Quid ergo? non ei noceam qui mihi nocuit? Primum vide quid sit noxa; et eorum quæ a philosophis audivisti, memento. (25) Nam si bonum positum est in voluntate, et malum item in voluntate; vide ne hujusmodi sit id quod dicis: (26) Cur, si ille ipsi sibi nocuit, injuria mihi facta, ego ipse mihi non noceam, injuria aliqua ei relata? (27) Cur ergo non tale quiddam menti nostræ obversatur? at, ubi corpori aliquid aut rei familiari decesserit, illic damnum est; ubi autem voluntati, nullum ibi damnum? (28) Nempe caput ei non dolet qui deceptus est aut qui injuriam intulit, neque oculus, neque coxa; neque agrum is amittit: (29) nos vero nihil volumus nisi hæc; voluntatem autem utrum verecundam et fidelem habituri simus, an impudentem et perfidam, ne minimum quidem nostra interest, nisi quod ad disputatiunculas attinet, quæ in schola his de rebus instituuntur. (30) Quocirca usque ad disputatiunculas proficimus, ultra eas vero ne minimum quidem.

CAP. XI.

Quod sit philosophiæ initium.

1. Philosophiæ initium, apud eos quidem, qui ut decet et venatoris more eam aggrediuntur, conscientia est imbecillitatis nostræ atque infirmitatis in rebus necessariis. (2) Nam trianguli quidem rectanguli, aut dieseos, aut semitonii, nullam natura insitam habemus notionem, sed cuncta, quæ sunt hujusmodi, artificiosa quadam traditione addiscimus: eaque de caussa, qui illa ignorant, non opinantur se ea cognita habere. (3) Boni autem et mali, honesti et turpis, decori et indecori, felicitatis et calamitatis, officii et quid sit contra officium, quid sit agendum, quid non sit agendum, quis non harum rerum notitiam aliquam natura insitam secum attulit? (4) Quamobrem omnes vocabulis istis utimur, atque illas animi anticipationes rebus singularibus accommodare conamur. (5) « Bene fecit, ex officio, contra officium; prospera, adversa fortuna est usus; injustus est, justus est: » quis nostrûm his vocabulis abstinet? quis nostrûm usum illorum eo usque differt, dum didicerit, quemadmodum vocabulis geometricis et musicis abstinent qui istas artes ignorant; (6) Hujus nempe rei caussa est, quod nonnulla ad istum locum pertinentia jam veluta natura edocti in vitam intramus; a quibus initiis profecti, opinationem etiam adjunximus, quasi omnia percepta haberemus. (7) Cur enim, inquit, ignorem ego honestum et turpe? nonne notionem ejus menti impressam habeo? Habes. (8) Nonne rebus singulis eam accommodo? Accommodas. Non ergo recte accommodo? In hoc omnis vertitur quæstio, atque opinio scientiæ hic accedit. Nam a rebus hisce confessis initio sumpto, ad id, quod in controversia est positum, progrediuntur ob ineptam accommoda-

ταλλήλου ἐφαρμογῆς. (9) Ὡς εἴ γε καὶ τοῦτο ἔτι πρὸς ἐκείνοις ἐκέκτηντο, τί ἐκώλυεν αὐτοὺς εἶναι τελείους; (10) Νῦν δ' ἐπεὶ δοκεῖς, ὅτι καὶ καταλλήλως ἐφαρμόζεις τὰς προλήψεις τοῖς ἐπὶ μέρους, εἰπέ μοι πόθεν τοῦτο λαμβάνεις; Ὅτι δοκεῖ μοι. Τοῦτο οὖν τινι οὐ δοκεῖ, καὶ οἴεται καὶ αὐτὸς ἐφαρμόζειν καλῶς· ἢ οὐκ οἴεται; Οἴεται. (11) Δύνασθε οὖν, περὶ ὧν τὰ μαχόμενα δοξάζετε, ἀμφότεροι καταλλήλως ἐφαρμόζειν τὰς προλήψεις; Οὐ δυνάμεθα. (12) Ἔχεις οὖν δεῖξαί τι ἡμῖν πρὸς τὸ αὐτὰς ἐφαρμόζειν ἄμεινον, ἀνωτέρω τοῦ δοκεῖν σοι; Ὁ δὲ μαινόμενος ἄλλα τινὰ ποιεῖ ἢ τὰ δοκοῦντά οἱ καλά; κἀκείνῳ οὖν ἀρκεῖ τοῦτο τὸ κριτήριον; Οὐκ ἀρκεῖ. Ἐλθὲ οὖν ἐπί τι ἀνωτέρω τοῦ δοκεῖν. Τί τοῦτό ἐστιν;

13. Ἴδ' ἀρχὴ φιλοσοφίας, αἴσθησις μάχης τῆς πρὸς ἀλλήλους τῶν ἀνθρώπων, καὶ ζήτησις τοῦ παρ' ὃ γίνεται ἡ μάχη, καὶ κατάγνωσις καὶ ἀπιστία πρὸς τὸ ψιλῶς δοκοῦν· ἔρευνα δέ τις περὶ τὸ δοκοῦν, εἰ ὀρθῶς δοκεῖ· καὶ εὕρεσις κανόνος τινὸς, οἷον ἐπὶ βαρῶν τὸν ζυγὸν εὕρομεν, οἷον ἐπὶ εὐθέων καὶ στρεβλῶν τὴν στάθμην. Τοῦτ' ἔστιν ἀρχὴ φιλοσοφίας. (14) Πάντα καλῶς ἔχει τὰ δοκοῦντα ἅπασι; Καὶ πῶς δυνατὸν τὰ μαχόμενα καλῶς ἔχειν; Οὐκοῦν οὐ πάντα, ἀλλὰ τὰ ἡμῖν δοκοῦντα. (15) Τί μᾶλλον ἢ τὰ Σύροις; τί μᾶλλον ἢ τὰ Αἰγυπτίοις; τί μᾶλλον ἢ τὰ ἐμοὶ φαινόμενα, ἢ τὰ τῷ δεῖνι; Οὐδὲν μᾶλλον. Οὐκ ἄρα ἀρκεῖ τὸ δοκεῖν ἑκάστῳ πρὸς τὸ εἶναι· οὐδὲ γὰρ ἐπὶ βαρῶν, ἢ μέτρων, ψιλῇ τῇ ἐμφάσει ἀρκούμεθα, ἀλλὰ κανόνα τινὰ ἐφ' ἑκάστου εὕρομεν. (16) Ἐνταῦθ' οὖν οὐδεὶς κανὼν ἀνωτέρω τοῦ δοκεῖν; καὶ πῶς οἷόν τε ἀτέκμαρτα εἶναι καὶ ἀνεύρετα τὰ ἀναγκαιότατα ἐν ἀνθρώποις; Ἔστιν οὖν. (17) Καὶ διὰ τί οὐ ζητοῦμεν αὐτὸν καὶ ἀνευρίσκομεν, καὶ ἀνευρόντες λοιπὸν ἀπαραβάτως χρώμεθα, δίχα αὐτοῦ μηδὲ τὸν δάκτυλον ἐκτείνοντες; (18) Τοῦτο γὰρ, οἶμαι, ἐστὶν, ὃ εὑρεθὲν ἀπαλλάσσει μανίας τοὺς μόνῳ τῷ δοκεῖν μέτρῳ παραχρωμένους· ἵνα λοιπὸν, ἀπό τινων γνωρίμων καὶ διευκρινημένων ὁρμώμενοι, χρώμεθα ἐπὶ τῶν ἐπὶ μέρους διηρθρωμέναις ταῖς προλήψεσι.

19. Τίς ὑποπέπτωκεν οὐσία, περὶ ἧς ζητοῦμεν; Ἡδονή. Ὕπαγε αὐτὴν τῷ κανόνι, βάλε εἰς τὸν ζυγόν. (20) Τὸ ἀγαθὸν δεῖ εἶναι τοιοῦτον, ἐφ' ᾧ θαῤῥεῖν ἄξιον; Ναί. Καὶ ᾧ πεποιθέναι; Δεῖ. Ἀβεβαίῳ τινὶ θαῤῥεῖν ἄξιον; Οὔ. Μή τι οὖν βέβαιον ἡ ἡδονή; Οὔ. (21) Ἆρον οὖν καὶ βάλε ἔξω ἐκ τοῦ ζυγοῦ, καὶ ἀπέλασον τῆς χώρας τῶν ἀγαθῶν μακράν. (22) Εἰ δ' οὐκ ὀξὺ βλέπεις, καὶ ἕν σοι ζυγὸν οὐκ ἀρκεῖ, φέρε ἄλλο. Ἐπὶ τῷ ἀγαθῷ ἄξιον ἐπαίρεσθαι; Ναί. Ἐφ' ἡδονῇ οὖν παρούσῃ ἄξιον ἐπαίρεσθαι; Βλέπε μὴ εἴπῃς ὅτι ἄξιον· εἰ δὲ μὴ, οὐκέτι σε οὐδὲ τοῦ ζυγοῦ ἄξιον ἡγήσομαι. (23) Οὕτω κρίνεται τὰ πράγματα καὶ ἵσταται, τῶν κανόνων ἡτοιμασμένων. (24) Καὶ τὸ φιλοσοφεῖν τοῦτό ἐστιν, ἐπισκέπτεσθαι καὶ βεβαιοῦν τοὺς κανόνας. (25) Τὸ δ' ἤδη χρῆσθαι τοῖς ἐγνωσμένοις, τοῦτο τοῦ καλοῦ καὶ ἀγαθοῦ ἔργον ἐστίν.

tionem. (9) Nam si hac quoque facultate præditi essent, quid obstaret quominus perfecti essent? (10) Nunc quia putas te anticipationes illas convenienter etiam accommodare rebus singulis, dic mihi unde illud sumis? Ex eo quod mihi sic videtur. At istud ipsum alteri non videtur, et ipse pariter se recte accommodare putat : an non putat? Putat. (11) Potestis ergo, quibus in rebus pugnantes habetis opiniones, iis anticipationes uterque convenienter accommodare? Non possumus. (12) Potesne igitur aliquid nobis ostendere melius ad eas accommodandas, præterquam quod tibi ita videatur? Insanus vero aliane facit, quam quæ ei recta videntur? num ergo et illi hæc judicii regula satis est? Non satis est. Veni igitur ad aliquid quod superius *certiusque* sit opinione. Quid istud est?

13. Ecce philosophiæ initium : animadversio pugnæ hominum inter ipsos, et inquisitio caussarum pugnæ illius, et condemnatio ac repudiatio nudæ opinionis; atque etiam investigatio quædam de opinione, utrum ea recta sit; ac regulæ alicujus inventio, quemadmodum ad pondera stateram invenimus, ad recta et flexuosa amussim. Hoc est philosophiæ initium. (14) Omnia recta essent, quæ cuique videantur? At fieri qui potest, repugnantia recta ut sint? Ergo non omnia, sed ea quæ nobis probantur. (15) Qui magis quam quæ Syris? qui magis quam quæ Ægyptiis? qui magis quæ mihi, quam quæ cuivis alteri? Nihilo magis. Non ergo, ut sit res, sufficit cujusque opinio : neque enim vel in ponderibus, vel in mensuris, sola specie contenti sumus; sed regulam quamdam ad singula invenimus. (16) Hic ergo nulla regula est opinione superior? Fieri vero qui potest, ut neque notas ullas habeant, nec inveniri possint ea quæ sunt inter homines maxime necessaria? Est igitur aliqua regula. (17) Cur autem non eam quærimus atque invenimus, eaque inventa deinceps citra errorem utimur, adeo ut citra eam ne digitum quidem porrigamus? (18) Hoc enim, ut arbitror, illud est, quo invento possint insania liberari qui una hac opinionis mensura abutuntur; ut deinceps, a cognitis quibusdam et clare explicatis principiis proficiscentes, distinctis utamur notionibus, ubi de rebus singularibus agitur.

19. Quænam res sese obtulit, de qua quærimus? Voluptas. Subjice eam regulæ; conjice in trutinam. (20) Bonum ejusmodi esse oportet, cui confidere æquum sit? Ita. Et quo fretum esse? Omnino. At instabili cuipiam confidere æquum est? Non. Numquid ergo voluptas stabile est? Non. (21) Tollito igitur eam et ejicito e trutina, et longe a regione bonorum relegato. (22) Quodsi vero oculos non satis acutos habes, atque una tibi trutina non sufficit, adhibe aliam. Re bona estne operæ pretium efferri? Est. Est ergo operæ pretium ob voluptatem præsentem efferri? Cave dicas esse operæ pretium : alioqui te jam ne trutina quidem dignum judicabo. (23) Sic res discernuntur et ponderantur, cum in promptu sunt regulæ. (24) Ac philosophari istud est, considerare et confirmare regulas. (25) Jam nunc vero iis uti quæ cognita sunt, id viri sapientis et boni munus est.

ΚΕΦ. ΙΒ'.

Περὶ τοῦ διαλέγεσθαι.

1. Ἃ μὲν δεῖ μαθόντα εἰδέναι χρῆσθαι λόγῳ, ἠκρίϐωται ὑπὸ τῶν ἡμετέρων· περὶ δὲ τὴν χρῆσιν αὐτῶν τὴν προσήκουσαν τελέως ἀγύμναστοι ἐσμέν. (2) Δὸς γοῦν ᾧ θέλεις ἡμῶν ἰδιώτην τινὰ τὸν προσδιαλεγόμενον, καὶ οὐχ εὑρίσκει χρήσασθαι αὐτῷ· ἀλλὰ μικρὰ κινήσας τὸν ἄνθρωπον, ἂν παρὰ μέλος ἀπαντᾷ ἐκεῖνος, οὐκέτι δύναται μεταχειρίσασθαι· ἀλλ' ἢ λοιδορεῖ λοιπὸν, ἢ καταγελᾷ, καὶ λέγει, Ἰδιώτης ἐστὶν, οὐκ ἔστιν αὐτῷ χρήσασθαι. (3) Ὁ δ' ὁδηγὸς, ὅταν λάϐῃ τινὰ πλανώμενον, ἤγαγεν ἐπὶ τὴν ὁδὸν τὴν δέουσαν, οὐχὶ καταγελάσας ἢ λοιδορησάμενος ἀπῆλθε. (4) Καὶ σὺ δεῖξον αὐτῷ τὴν ἀλήθειαν, καὶ ὄψει ὅτι ἀκολουθεῖ· μέχρι δ' ἂν οὗ μὴ δεικνύῃς, μὴ ἐκείνου καταγέλα, ἀλλὰ μᾶλλον αἰσθάνου τῆς ἀδυναμίας τῆς σαυτοῦ.

5. Πῶς οὖν ἐποίει Σωκράτης; Αὐτὸν ἠνάγκαζε τὸν προσδιαλεγόμενον αὐτῷ μαρτυρεῖν, ἄλλου δ' οὐδενὸς ἐδεῖτο μάρτυρος. Τοιγαροῦν ἐξῆν αὐτῷ λέγειν, ὅτι Τοὺς μὲν ἄλλους ἐῶ χαίρειν, ἀεὶ δὲ τῷ ἀντιλέγοντι ἀρκοῦμαι μάρτυρι· καὶ τοὺς μὲν ἄλλους οὐκ ἐπιψηφίζω, τὸν δὲ προσδιαλεγόμενον μόνον. (6) Οὕτω γὰρ ἐναργῆ ἐτίθει τὰ ἀπὸ τῶν ἐννοιῶν, ὥστε πάνθ' ὀντιναοῦν, συναισθανόμενον τῆς μάχης, ἀναχωρεῖν ἀπ' αὐτῆς. (7) Ἆρά γε ὁ φθονῶν χαίρει; Οὐδαμῶς, ἀλλὰ μᾶλλον λυπεῖται. * Ἀπὸ τοῦ ἐναντίου ἐκίνησε τὸν πλησίον. * Τί δ'; ἐπὶ κακοῖς δοκεῖ σοι εἶναι λύπη ὁ φθόνος; καὶ τίς φθόνος ἐστὶ κακῶν; (8) Οὐκοῦν ἐκεῖνον ἐποίησεν εἰπεῖν, ὅτι λύπη ἐστὶν ἐπ' ἀγαθοῖς ὁ φθόνος. Τί δέ; φθονοίη ἄν τις τοῖς οὐδὲν πρὸς αὐτόν; Οὐδαμῶς. (9) Καὶ οὕτως ἐκπεπληρωκὼς τὴν ἔννοιαν καὶ διηρθρωκὼς, ἀπηλλάσσετο, οὐ λέγων, ὅτι Ὅρισαί μοι τὸν φθόνον· εἶτα ὁρισαμένου, Κακῶς ὡρίσω· οὐ γὰρ ἀντακολουθεῖ τῷ κεφαλαιώδει τὸ ὁρικόν· (10) ῥήματα τεχνικὰ, καὶ διὰ τοῦτο τοῖς ἰδιώταις φορτικὰ καὶ δυσπαρακολούθητα, ὧν ἡμεῖς ἀποστῆναι οὐ δυνάμεθα. (11) Ἐξ ὧν δ' αὐτὸς ὁ ἰδιώτης, ἐπακολουθῶν ταῖς αὑτοῦ φαντασίαις, παραχωρῆσαι δύναιτ' ἄν τι, ἢ ἀθετῆσαι, οὐδαμῶς διὰ τούτων αὐτὸν κινῆσαι δυνάμεθα. (12) Καὶ λοιπὸν εἰκότως συναισθανόμενοι ταύτης ἡμῶν τῆς ἀδυναμίας, ἀπεχόμεθα τοῦ πράγματος, ὅσοις γ' ἐστί τις εὐλάϐεια. (13) Οἱ δὲ πολλοὶ καὶ εἰκαῖοι, συγκαθέντες εἴς τι τοιοῦτον, φύρονται καὶ φύρουσι· καὶ τὰ τελευταῖα λοιδορήσαντες καὶ λοιδορηθέντες, ἀπέρχονται.

14. Τὸ πρῶτον δὲ τοῦτο καὶ μάλιστα ἴδιον Σωκράτους, μηδέποτε παροξυνθῆναι ἐν λόγοις, μηδέποτε λοίδορον προενέγκασθαι μηδὲν, μηδέποθ' ὑϐριστικὸν, ἀλλὰ τῶν λοιδορούντων ἀνέχεσθαι, καὶ παύειν μάχην. (15) Εἰ θέλετε γνῶναι, πόσην ἐν τούτῳ δύναμιν εἶχεν, ἀνάγνωτε τὸ Ξενοφῶντος Συμπόσιον, καὶ ὄψεσθε πόσας μάχας διαλέλυκε. (16) Διὰ τοῦτο εἰκότως καὶ παρὰ τοῖς ποιηταῖς ἐν μεγίστῳ ἐπαίνῳ λέλεκται τὸ,

CAP. XII.

De disserendi arte.

1. Quæ didicisse oportet, ut artem disserendi teneamus, ea subtiliter a nostris sunt explicata : in usu autem eorum convenienti omnino sumus inexercitati. (2) Da cuivis nostrûm hominem ineruditum, qui contra disputet; et non inveniet quo pacto eo utatur : sed, cum hominem paululum excitarit, si inconcinne ille respondeat, non amplius eum tractare poterit, sed jam aut conviciis incesset, aut deridebit, ac dicet : Illiteratus est, atque intractabilis. (3) At viæ dux, si quem reperit errantem, eum in viam reducit, non deriso illo, et conviciis onerato abit. (4) Sic tu quoque, si monstraris ei veritatem, videbis eum sequi : quoad vero non demonstraveris, noli deridere illum, sed imbecillitatem potius agnosce tuam.

5. Quomodo ergo faciebat Socrates? Ipsum adversarium cogebat testimonium sibi perhibere, neque ullum alium admittebat testem. Proinde dicere ei licebat : « Equidem alios « valere jubeo, semper adversario teste contentus; et alios « non rogo sententiam, sed eum unum quicum disputo. » (6) Nam ea quæ ex anticipationibus concluduntur, ita in illustri ponebat loco, ut quilibet, animadversa repugnantia, ab ea recederet. (7) Qui invidus est, anne gaudet? Nullo modo : quin potius mœret. (A parte opposita commovit alterum.) Quid ergo? invidia videturne tibi dolor ob mala quædam? et quæ malarum rerum est invidia? (8) Itaque fecit, ut ille diceret, invidiam esse dolorem de rebus bonis. Quid vero? num quis invideat hominibus nihil ad ipsum pertinentibus? Nullo modo. (9) Sic expleta et distincte explicata notione, discedebat; non postulans, definiri sibi invidiam; nec, si definisset ille, male definiisse dicens, quoniam quæ in definitione sunt, non reciprocentur cum definito. (10) Artis ista vocabula sunt, eoque hominibus illiteratis molesta et obscura, a quibus nos abstinere non possumus. (11) Iis autem, quibus ipse illiteratus, sua ipsius visa prosequens, aliquid concedere posset, aut improbare, nullo modo illum possumus excitare. (12) Proinde, animadversa hac nostra imbecillitate, a negotio, uti par est, abstinemus, quibus saltem aliqua inest cautio. (13) Plerique autem homines temerarii, cum in tale aliquod certamen descenderunt, turbantur et turbant, et ad extremum conviciis dictis et auditis discedunt.

14. Illud autem et primum et maxime proprium fuit Socratis, ut numquam in disputationibus ira commoveretur, neque umquam ullum contumeliosum dictum proferret, aut convicium, sed conviciatores toleraret, ac pugnam sedaret. (15) Si scire vultis quantam hujus rei facultatem habuerit, Xenophontis Convivium legite, et videbitis quot pugnas diremerit. (16) Quamobrem apud poetas etiam illud pro maxima laude fertur :

Αἶψά τε καὶ μέγα νεῖκος ἐπισταμένως κατέπαυσε.

17. Τί οὖν; οὐ λίαν ἐστὶ νῦν ἀσφαλὲς τὸ πρᾶγμα, καὶ μάλιστα ἐν Ῥώμῃ. Τὸν γὰρ ποιοῦντα αὐτὸ, οὐχ ἐν γωνίᾳ δηλονότι δεήσει ποιεῖν, ἀλλὰ προσελθόντα ὑπατικῷ τινι, ἂν οὕτω τύχῃ, ἢ πλουσίῳ, πυθέσθαι αὐτοῦ· (18) ἔχεις μοι εἰπεῖν, ὦ οὗτος, ᾧτινι τοὺς ἵππους τοὺς σεαυτοῦ παρέδωκας; Ἔγωγε. Ἆρα τῷ τυχόντι καὶ ἀπείρῳ ἱππικῆς; Οὐδαμῶς. Τί δέ; ᾧτινι τὸ χρυσίον, ἢ τὸ ἀργύριον, ἢ τὴν ἐσθῆτα; Οὐδὲ ταῦτα τῷ τυχόντι. (19) Τὸ σῶμα δὲ τὸ σαυτοῦ, ἤδη τινὶ ἔσκεψαι ἐπιτρέψαι εἰς ἐπιμέλειαν αὐτοῦ; Πῶς γὰρ οὔ; Ἐμπείρῳ δηλονότι καὶ τούτῳ ἀλειπτικῆς ἢ ἰατρικῆς; Πάνυ μὲν οὖν. (20) Πότερον ταῦτά σοι τὰ κράτιστά ἐστιν, ἢ καὶ ἄλλο τι ἐκτήσω τούτων ἄμεινον; Ποῖον καὶ λέγεις; Τὸ αὐτοῖς, νὴ Δία, τούτοις χρώμενον, καὶ δοκιμάζον ἕκαστον, καὶ βουλευόμενον. (21) Ἆρά γε τὴν ψυχὴν λέγεις; Ὀρθῶς ὑπέλαβες, ταύτην γάρ τοι καὶ λέγω. Πολὺ, νὴ Δία, τῶν ἄλλων τοῦτο ἄμεινον δοκῶ μοι κεκτῆσθαι. (22) Ἔχεις οὖν ἡμῖν δεῖξαι ὅτῳ τρόπῳ τῆς ψυχῆς ἐπιμεμέλησαι; οὐ γὰρ εἰκῆ καὶ ὡς ἔτυχεν εἰκός σε, οὕτω σοφὸν ὄντα καὶ ἐν τῇ πόλει δόκιμον, τὸ κράτιστον τῶν σεαυτοῦ περιορᾶν ἀμελούμενον καὶ ἀπολλύμενον. Οὐδαμῶς. (23) Ἀλλ' αὐτὸς ἐπιμεμέλησαι αὐτοῦ; πότερον μαθὼν παρά του, ἢ εὑρὼν αὐτός; (24) Ὧδε λοιπὸν ὁ κίνδυνος, μὴ πρῶτον μὲν εἴπῃ, Τί δέ σοι, βέλτιστε, μέλει; κριτής μου εἶ; εἶτ' ἂν ἐπιμένῃς πράγματα παρέχων, διαράμενος κονδύλους σοι δῷ. (25) Τούτου τοῦ πράγματος ἤμην ποτὲ ζηλωτὴς καὶ αὐτὸς, πρὶν εἰς ταῦτα ἐμπεσεῖν.

Momento scite diremit jurgia magna.

17. Quid vero? non nimis tuta ea res est nunc, præsertim Romæ. Nam qui hoc agit, eum non scilicet in angulo sedere oporteret, sed prodire ad consularem aliquem, si res ita ferret, aut divitem, atque ex illo quærere : (18) Heus tu! potesne mihi dicere, cuinam equos tuos commiseris? Ego vero. An proximo qui se obtulit, et rei equestris imperito? Nullo modo. Quid vero? aurum aut argentum, aut vestem, cui? Neque hæc cuilibet. (19) Corpus autem tuum jamne meditatus es cujus curæ sis commissurus? Quidni? Scilicet pariter perito sive aliptæ sive medico? Omnino. (20) Utrum hæc præstantissima sunt tibi? an vero et aliud quidpiam habes melius his omnibus? Quid ais? Id, mehercule, quod his omnibus utatur, quod singula exploret atque deliberet. (21) Animumne dicis? Recte accepisti; hunc ipsum dico. Hæc quidem possessio, per Jovem, ceteris omnibus mihi longe potior videtur. (22) Potes ergo nobis ostendere, quo pacto animi curam gesseris? nec enim consentaneum est, temere ac fortuito te, virum tanta sapientia præditum, tantæque in urbe auctoritatis, negligi aut perire passurum id quod tuorum omnium est præstantissimum. Nequaquam. (23) Sed tu ipse curam ejus gessisti? Utrum edoctus ab aliquo, an ipse rationem eam invenisti? (24) Hic jam res in discrimine versatur; primum, ne dicat ille, Quid vero, bone vir, ad te hoc pertinet? judexne mihi es? deinde, nisi desistas negotium illi facessere, ne sublatis pugnis colaphos tibi impingat. (25) Hujus rei olim admirator et ipse fui, priusquam hæc mihi accidissent.

ΚΕΦ. ΙΓ'.

Περὶ τοῦ ἀγωνιᾶν.

1. Ὅταν ἀγωνιῶντα ἴδω ἄνθρωπον, λέγω, Οὗτος τί ποτε θέλει; εἰ μὴ τῶν οὐκ ἐφ' αὐτῷ τι ἤθελε, πῶς ἂν ἔτι ἠγωνία; (2) Διὰ τοῦτο καὶ ὁ κιθαρῳδὸς, μόνος μὲν ᾄδων οὐκ ἀγωνιᾷ, εἰς θέατρον δ' εἰσερχόμενος, κἂν λίαν εὔφωνος ᾖ, καὶ καλῶς κιθαρίζῃ. Οὐ γὰρ ᾆσαι μόνον θέλει καλῶς, ἀλλὰ καὶ εὐδοκιμῆσαι· τοῦτο δ' οὐκέτι ἐστὶν ἐπ' αὐτῷ. (3) Λοιπὸν, οὗ μὲν ἡ ἐπιστήμη αὐτῷ πρόσεστιν, ἐκεῖ τὸ θάρσος. Φέρε ὃν θέλεις ἰδιώτην, καὶ οὐκ ἐπιστρέφεται. Ὅπου δ' οὐκ οἶδεν, οὐδὲ μεμελέτηκεν, ἐκεῖ ἀγωνιᾷ. (4) Τί δ' ἔστι τοῦτο; Οὐκ οἶδε τί ἐστιν ὄχλος, ἢ τί ὄχλου ἔπαινος. Ἀλλὰ τὴν νήτην μὲν τύπτειν ἔμαθε, καὶ τὴν ὑπάτην· ἔπαινος δ' ὁ παρὰ τῶν πολλῶν τί ἐστι καὶ τίνα δύναμιν ἔχει ἐν βίῳ, οὔτε οἶδεν, οὔτε μεμελέτηκεν αὐτό. Ἀνάγκη λοιπὸν τρέμειν καὶ ὠχριᾶν. (5) Κιθαρῳδὸν μὲν οὖν οὐ δύναμαι εἰπεῖν μὴ εἶναι, ὅταν ἴδω τινὰ φοβούμενον· ἄλλο δέ τι δύναμαι εἰπεῖν· καὶ οὐδὲ ἕν, ἀλλὰ πολλά. (6) Καὶ πρῶτον πάντων, ξένον καλῶ αὐτὸν, καὶ λέγω, Οὗτος ὁ ἄνθρωπος οὐκ οἶδε ποῦ τῆς γῆς ἐστιν, ἀλλ' ἐκ τοσούτου χρόνου ἐπιδημῶν, ἀγνοεῖ τοὺς νόμους τῆς πόλεως καὶ τὰ ἔθη, καὶ τί ἔξεστι, καὶ τί οὐκ ἔξεστιν· ἀλλ'

CAP. XIII.

De anxietate.

1. Cum aliquem angi video, dico : Quid tandem iste vult? nisi aliquid earum rerum, quæ penes ipsum non sunt, vellet, quo pacto angeretur? (2) Quapropter etiam citharœdus, cum solus cantat, non angitur; sed theatrum ingressus, licet admodum vocalis sit et citharam bene pulset, tum vero angitur : neque enim tantum bene cantare vult, sed laudari etiam, id quod jam penes ipsum non est. (3) Ceterum, ubi scientia præditus est, ibi fiduciam quoque habet. Quemvis privatum singulumque hominem adducito, non curabit eum. Ubi autem rem neque novit, neque meditatus est, ibi angitur. (4) Quid vero istud est? Nescit quid sit multitudo, aut quid laus multitudinis. Sed imam quidem ferire didicit, et summam chordam : laus autem profecta a multitudine quid sit, et quam in vita vim habeat, neque scit, neque meditatus est. Ergo necesse est eum et contremiscere et expallescere. (5) Ac citharœdum quidem esse, negare non possum, si quem timere video : sed aliud quiddam possum dicere, neque unum, sed multa. (6) Ac primum quidem, peregrinum eum nomino, et nescire dico ubi terrarum sit, et, cum tanto tempore hic egerit, leges ignorare et instituta civitatis, quidque liceat, quidve

οὐδὲ νομικόν τινα παρέλαβε πώποτε, τὸν ἐροῦντα αὐτῷ καὶ ἐξηγησόμενον τὰ νόμιμα. (7) Ἀλλὰ διαθήκην μὲν οὐ γράφει, μὴ εἰδὼς πῶς δεῖ γράφειν, ἢ παραλαβὼν τὸν εἰδότα· οὐδ' ἐγγύην ἄλλως σφραγίζεται, ἢ ἀσφάλειαν γράφει. Ὀρέξει δὲ χρῆται δίχα νομικοῦ, καὶ ἐκκλίσει, καὶ ὁρμῇ, καὶ ἐπιβολῇ, καὶ προθέσει. (8) Πῶς δίχα νομικοῦ; Οὐκ οἶδεν ὅτι θέλει τὰ μὴ διδόμενα, καὶ οὐ θέλει τὰ ἀναγκαῖα· καὶ οὐκ οἶδεν οὔτε τὰ ἴδια, οὔτε τὰ ἀλλότρια. Εἰ δέ γ' ᾔδει, οὐδέ ποτ' ἂν ἐνεποδίζετο, οὐδέ ποτ' ἐκωλύετο, οὐκ ἂν ἠγωνία. (9) Πῶς γάρ; Φοβεῖταί τις οὖν ὑπὲρ τῶν μὴ κακῶν; Οὔ. Τί δέ; ὑπὲρ τῶν κακῶν μὲν, ἐπ' αὐτῷ δ' ὄντων ὥστε μὴ συμβῆναι; Οὐδαμῶς. (10) Εἰ οὖν τὰ μὲν ἀπροαίρετα οὔτ' ἀγαθὰ οὔτε κακὰ, τὰ προαιρετικὰ δὲ πάντα ἐφ' ἡμῖν, καὶ οὔτ' ἀφελέσθαι τις ἡμῶν αὐτὰ δύναται, οὔτε περιποιῆσαι ἃ οὐ θέλομεν αὐτῶν, ποῦ ἔτι τόπος ἀγωνίας; (11) Ἀλλὰ περὶ τοῦ σωματίου ἀγωνιῶμεν, ὑπὲρ τοῦ κτησειδίου, περὶ τοῦ τί δόξει τῷ Καίσαρι· περὶ τῶν ἔσω δ' οὐδενός. Μή τι περὶ τοῦ μὴ ψεῦδος ὑπολαβεῖν; Οὔ· ἐπ' ἐμοὶ γάρ ἐστι. Μή τι τοῦ ὁρμῆσαι παρὰ φύσιν; Οὐδὲ περὶ τούτου. (12) Ὅταν οὖν ἴδῃς τινὰ ὠχριῶντα· ὡς ὁ ἰατρὸς ἀπὸ τοῦ χρώματος λέγει, τούτου ὁ σπλὴν πέπονθε, τούτου δὲ τὸ ἧπαρ· οὕτω καὶ σὺ λέγε, τούτου ὄρεξις καὶ ἔκκλισις πέπονθεν, οὐκ εὐοδεῖ, φλεγμαίνει· (13) χρῶμα γὰρ οὐ μεταβάλλει οὐδὲν ἄλλο, οὐδὲ τρόμον ποιεῖ, οὐδὲ ψόφον τῶν ὀδόντων, οὐδὲ

μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει.

14. Διὰ τοῦτο Ζήνων μὲν Ἀντιγόνῳ μέλλων ἐντυγχάνειν, οὐκ ἠγωνία· ἃ γὰρ οὗτος ἐθαύμαζε, τούτων οὐδενὸς εἶχεν ἐκεῖνος ἐξουσίαν· ὧν δ' εἶχεν ἐκεῖνος, οὐκ ἐπεστρέφετο οὗτος. (15) Ἀντίγονος δὲ Ζήνωνι μέλλων ἐντυγχάνειν, ἠγωνία· καὶ εἰκότως· ἤθελε γὰρ ἀρέσκειν αὐτῷ· τοῦτο δ' ἔξω ἔκειτο. Οὗτος δ' ἐκείνῳ οὐκ ἤθελεν· οὐδὲ γὰρ ἄλλος τις τεχνίτης τῷ ἀτέχνῳ.

16. Ἐγώ σοι ἀρέσαι θέλω; ἀντὶ τίνος; οἶδας γὰρ τὰ μέτρα, καθ' ἃ κρίνεται ἄνθρωπος ὑπ' ἀνθρώπου; μεμελέτητό σοι γνῶναι, τί ἐστιν ἀγαθὸς ἄνθρωπος, καὶ τί κακὸς, καὶ πῶς ἑκάτερον γίνεται; Διὰ τί οὖν σὺ αὐτὸς ἀγαθὸς οὐκ εἶ; (17) Πῶς, φησὶν, οὐκ εἰμί; Ὅτι οὐδεὶς ἀγαθὸς πενθεῖ, οὐδὲ στενάζει, οὐδεὶς οἰμώζει, οὐδεὶς ὠχριᾷ καὶ τρέμει, οὐδὲ λέγει, Πῶς μ' ἀποδέξεται; πῶς μου ἀκούσει; (18) Ἀνδράποδον, ὡς ἂν αὐτῷ δοκῇ. Τί οὖν σοι μέλει περὶ τῶν ἀλλοτρίων; νῦν οὐκ ἐκείνου ἁμάρτημά ἐστι τὸ κακῶς ἀποδέξασθαι τὰ παρὰ σοῦ; Πῶς γὰρ οὔ; Δύναται δ' ἄλλου μὲν εἶναι ἁμάρτημα, ἄλλου δὲ κακόν; Οὔ. (19) Τί οὖν ἀγωνιᾷς ὑπὲρ τῶν ἀλλοτρίων; Ναί· ἀλλ' ἀγωνιῶ, πῶς ἐγὼ αὐτῷ λαλήσω. Εἶτ' οὐκ ἔστι σοι, ὡς θέλεις, αὐτῷ λαλῆσαι; Ἀλλὰ δέδοικα μὴ ἐκκρουσθῶ. (20) Μή τι γράφειν μέλλων τὸ Δίωνος ὄνομα, δέδοικας μὴ ἐκκρουσθῇς; Οὐδαμῶς. Τί τὸ αἴτιον; οὐχ, ὅτι μεμελέτηκας γράφειν; Πῶς γὰρ οὔ; Τί δ', ἀναγινώσκειν μέλλων, οὐχ ὡσαύτως ἂν εἶχες;

non liceat; neque etiam umquam juris peritum adhibuisse, qui leges et instituta ei recitaret et enarraret. (7) Atqui testamentum, quomodo scribendum sit nesciens, non scribit nisi adhibito homine ejus rei perito; neque sponsionem temere obsignat, aut fidem suam obstringit : sed appetitione citra jureconsultum utitur, et aversatione, et impetu, et conatu, et proposito. (8) Quomodo sine jureconsulto? Ignorat ea se velle quæ non data sunt, ea nolle quæ sunt necessaria; denique neque sua novit, neque aliena : quæ si nosset, numquam impediretur, numquam prohiberetur, non angeretur. (9) Nonne ita se res habet? Timet igitur quisquam ea quæ mala non sunt? Non. Quid vero? eane, quæ mala quidem sunt, at quæ penes ipsum est cavere ne eveniant? Nullo modo. (10) Si igitur ea, quæ non sunt voluntati nostræ subjecta, neque bona neque mala sunt; quæ vero voluntati subjecta, eadem in potestate nostra sunt omnia, neque a quoquam vel adimi vel afferri nobis possunt, nisi velimus; quem adhuc locum habet anxietas? (11) Verum de corpusculo anxii sumus, de recula, de voluntate Cæsaris; de interna vero re nulla. An, ne assentiamur falso? Non : nam penes me est. An, ne impetum capiamus contra naturam? Ne hoc quidem. (12) Cum igitur quempiam pallere vides; quemadmodum medicus ex colore dicit, hujus splenem, illius hepar laborare : sic et tu dicito, istius appetitionem et aversationem laborare, non recta progredi via, æstuare, febricitare : (13) neque enim quidquam aliud colorem mutat, nihil aliud tremorem incutit aut dentium stridorem, facitque ut

Genua labent huic, atque pedes subsidat in ambos.

(14) Quapropter Zeno conventurus Antigonum, non angebatur : nam quæ ipse magni faciebat, eorum ille nihil in sua potestate habebat; quæ autem ille habebat, ipse non curabat. (15) Antigonus autem, Zenonem conventurus, angebatur; neque id immerito : volebat enim ei placere; id quod extra ipsum positum erat. Hic autem illi placere non volebat; sicut nec alius artifex artis imperito.

16. Ego tibi placere vellem? quamobrem? mensuras enim tu nosti, quibus homo ab homine judicatur? meditatum cognitumque habes, quid sit vir bonus, quid malus, et quomodo utrumque fiat? Cur ergo tu ipse bonus non es? (17) Quomodo, inquit, non sum? Quia nemo bonus luget, gemit, aut plorat; nemo expallescit et tremit, aut ait : Quo pacto ille me accipiet? quo pacto me audiet? (18) Mancipium, ut visum ipsi fuerit. Quid ergo tibi curæ sunt aliena? annon illius peccatum erit, si male te, et quæ abs te proficiscuntur, acceperit? Quidni? Potest vero alterius esse delictum, alterius malum? Non. (19) Quid ergo de alienis angeris? Verum istud quidem : sed sollicitus sum, quo pacto cum eo loquar. Nonne vero arbitratu tuo cum eo loqui licet? At vereor ne de statu mentis deturber. (20) An igitur scripturus Dionis nomen, metuis ne de mentis statu deturberis? Nequaquam. Quæ caussa est? nonne, quod scribendi usum habes? Quidni vero? Quid porro? lecturus, nonne eodem modo affectus esses? Eodem modo. Quæ

Ὡσαύτως. Τί τὸ αἴτιον; Ὅτι πᾶσα τέχνη ἰσχυρόν τι ἔχει, καὶ θαῤῥαλέον ἐν τοῖς ἑαυτῆς. (21) Λαλεῖν οὖν οὐ μεμελέτηκας; καὶ τί ἄλλο ἐμελέτας ἐν τῇ σχολῇ; Συλλογισμοὺς καὶ μεταπίπτοντας. Ἐπὶ τί; οὐχ ὥστε ἐμπείρως διαλέγεσθαι; τὸ δ' ἐμπείρως ἐστὶν, οὐχὶ εὐκαίρως, καὶ ἀσφαλῶς, καὶ συνετῶς, ἔτι δὲ ἀπταίστως καὶ ἀπαραποδίστως, ἐπὶ πᾶσι δὲ τούτοις τεθαῤῥηκότως; Ναί. (22) Ἱππεὺς οὖν ὢν, εἰς πεδίον ἐληλυθὼς, πρὸς πεζὸν ἀγωνιᾷς, ὅπου σὺ μεμελέτηκας, ἐκεῖνος δ' ἀμελέτητός ἐστι; Ναί· ἀλλὰ ἐξουσίαν ἔχει ἀποκτεῖναί με. (23) Λέγε οὖν τὰ ἀληθῆ, δύστηνε, καὶ μὴ ἀλαζονεύου, μηδὲ φιλόσοφος εἶναι ἀξίου, μηδὲ ἀγνόει σου τοὺς κυρίους· ἀλλὰ μέχρις ἂν ἔχῃς ταύτην τὴν λαβὴν τὴν ἀπὸ τοῦ σώματος, ἀκολούθει παντὶ τῷ ἰσχυροτέρῳ. (24) Λέγειν δὲ Σωκράτης ἐμελέτα, ὁ πρὸς τοὺς τυράννους οὕτω διαλεγόμενος, ὁ πρὸς τοὺς δικαστὰς, ὁ ἐν τῷ δεσμωτηρίῳ. Λέγειν Διογένης μεμελετήκει, ὁ πρὸς Ἀλέξανδρον οὕτω λαλῶν, ὁ πρὸς Φίλιππον, ὁ πρὸς τοὺς πειρατὰς, ὁ πρὸς τὸν ὠνησάμενον αὐτόν. (25) * * Ἐκείνοις, οἷς μεμελέτηκε, τοῖς θαῤῥοῦσι. * (26) Σὺ δ' ἐπὶ τὰ σαυτοῦ βάδιζε, καὶ ἐκείνων ἀποστῇς μηδέποτε· εἰς τὴν γωνίαν ἀπελθὼν κάθησο καὶ πλέκε συλλογισμοὺς, καὶ ἄλλῳ πρότεινε. (27) Οὐκ ἔστι δ' ἐν σοὶ πόλεως ἡγεμὼν ἀνήρ.

ΚΕΦ. ΙΔ'.

Πρὸς Νάσωνα.

1. Εἰσελθόντος τινὸς τῶν Ῥωμαϊκῶν μετὰ τοῦ υἱοῦ καὶ ἐπακούοντος ἑνὸς ἀναγνώσματος, Οὗτος, ἔφη, ὁ τρόπος ἐστὶ τῆς διδασκαλίας· καὶ ἀπεσιώπησεν. (2) Ἀξιοῦντος δ' ἐκείνου ἐρεῖν τὰ ἑξῆς, Κόπον, ἔφη, ἔχει πᾶσα τέχνη τῷ ἰδιώτῃ καὶ ἀπείρῳ αὐτῆς, ὅταν παραδιδῶται. (3) Καὶ τὰ μὲν ἀπὸ τῶν τεχνῶν γινόμενα, τήν τε χρείαν εὐθὺς ἐνδείκνυται πρὸς ὃ γέγονε, καὶ τὰ πλεῖστα αὐτῶν ἔχει τι καὶ ἀγωγὸν καὶ ἐπίχαρι. (4) Καὶ γὰρ, σκυτεὺς πῶς μὲν μανθάνει τις παρεῖναι καὶ παρακολουθεῖν, ἀτερπές· τὸ δ' ὑπόδημα χρήσιμον, καὶ ἰδεῖν ἄλλως οὐκ ἀηδές. (5) Καὶ τέκτονος ἡ μὲν μάθησις ἀνιαρὰ μάλιστα τῷ ἰδιώτῃ παρατυγχάνοντι, τὸ δ' ἔργον ἐπιδείκνυσι τὴν χρείαν τῆς τέχνης. (6) Πολὺ δὲ μᾶλλον ἐπὶ μουσικῆς ὄψει αὐτό· ἂν γὰρ παρῇς τῷ διδασκομένῳ, φανήσεταί σοι πάντων ἀτερπέστατον τὸ μάθημα· τὰ μέντοι ἀπὸ τῆς μουσικῆς, ἡδέα καὶ ἐπιτερπῆ τοῖς ἰδιώταις ἀκούειν. (7) Καὶ ἐνταῦθα τὸ μὲν ἔργον τοῦ φιλοσοφοῦντος τοιοῦτόν τι φανταζόμεθα, ὅτι δεῖ τὴν αὑτοῦ βούλησιν συναρμόσαι τοῖς γινομένοις, ὡς μήτε τι τῶν γινομένων ἀκόντων ἡμῶν γίνεσθαι, μήτε τῶν μὴ γινομένων, θελόντων ἡμῶν μὴ γίνεσθαι. (8) Ἐξ οὗ περίεστι τοῖς συστησαμένοις αὐτὸ, ἐν ὀρέξει μὴ ἀποτυγχάνειν, ἐν ἐκκλίσει δὲ μὴ περιπίπτειν· ἀλύπως, ἀφόβως, ἀταράχως διεξάγειν καθ' αὑτὸν, μετὰ τῶν κοινωνῶν τηροῦντα τὰς σχέσεις τάς τε φυσικὰς καὶ ἐπιθέτους, τὸν υἱὸν, τὸν πατέρα, τὸν ἀδελφὸν, τὸν πολί-

caussa est? Quia quælibet ars firmum quiddam habet et imperterritum suis in rebus. (21) Loqui ergo non didicisti? et quid aliud discebas in schola? Syllogismos et variantes argumentationes. Qua gratia? nonne ut perite dissereres? perite autem, annon est opportune, caute, prudenter, atque etiam citra errorem et impedimentum, et præter hæc omnia confidenter? Certe. (22) Eques igitur in campum progressus, peditem times, ubi tu exercitatus es, ille non exercitatus est? Sit sane : at potestatem habet occidendi mei. (23) Dic igitur verum, infelix, neque arrogans esto, neque philosophum te profitere, neque dominos tuos ignorato : sed quoad hanc ansam corporis habueris, quemlibet robustiorem sequitor! (24) Socrates autem in dicendo se exercuerat, is qui cum tyrannis, qui cum judicibus, qui in carcere ita est locutus. Diogenes item se dicendo exercuerat, is qui cum Alexandro, cum Philippo, cum piratis, cum emptore sui ad eum modum est locutus. (25) [Illi, quæ erant meditati, in eis erant confidentes.] (26) Tu vero ad tua te conferto, neque umquam ab illis recedito : in angulum te recipe, ibi sede, syllogismos necte, et aliis propone. (27) Neque enim in te est vir qui civitatem regat.

CAP. XIV.

Ad Nasonem.

1. Viro quodam Romano cum filio ingresso, et unam audiente recitationem, Hæc, inquit, est doctrinæ ratio; atque obticuit. (2) Cum autem ille, ut reliqua prosequeretur, rogaret, Omnis ars, inquit, eum docetur, molesta est homini indocto et artis imperito. (3) Ea quidem, quæ arte perficiuntur, usum statim demonstrant, cui destinata sunt, et pleraque illorum aliquid etiam illecebrarum et suavitatis habent. (4) Etenim adesse et spectare quo pacto sutor artem suam addiscat, nihil jucundi habet; calceus vero est utilis, neque ceteroquin injucundus aspectu. (5) Est et fabri disciplina molesta imperito qui forte adest; verum opus usum artis ostendit. (6) Multo vero magis in musicis hoc perspicies. Si adsis ei qui docetur, omnium insuavissima tibi videbitur ea disciplina; effectus vero musicæ suavis ac jucundus auditu est hominibus imperitis. (7) Atque hic philosophi munus tale animo concipimus, oportere eum voluntatem suam accommodare iis rebus quæ fiunt, ut nec eorum quæ fiunt quidquam invitis nobis fiat, neque eorum quæ non fiunt quidquam volentibus nobis non fiat. (8) Unde, qui ita se compararunt, id consequuntur, ut nec in appetitione frustrentur, nec in ea incidant quæ aversentur; ut citra molestiam, citra metum, citra perturbationem vitam degant, quantum ad se pertinet; cum sociis vero observent relationes tam naturales, quam ac-

την, τὸν ἄνδρα, τὴν γυναῖκα, τὸν γείτονα, τὸν σύνοδον, τὸν ἄρχοντα, τὸν ἀρχόμενον. (9) Τὸ ἔργον τοῦ φιλοσοφοῦντος τοιοῦτόν τι φανταζόμεθα. Λοιπὸν ἐφεξῆς τούτῳ ζητοῦμεν, πῶς ἔστι τοῦτο.

10. Ὁρῶμεν οὖν ὅτι ὁ τέκτων, μαθών τινά, γίνεται τέκνων· ὁ κυβερνήτης, μαθών τινά, γίνεται κυβερνήτης. Μήποτ' οὖν καὶ ἐνθάδε οὐκ ἀπαρκεῖ τὸ βούλεσθαι καλὸν καὶ ἀγαθὸν γενέσθαι, χρεία δὲ καὶ μαθεῖν τινά; (11) Ζητοῦμεν οὖν, τίνα ταῦτα. Λέγουσιν οἱ φιλόσοφοι, ὅτι μαθεῖν δεῖ πρῶτον τοῦτο, ὅτι ἐστὶ θεός, καὶ προνοεῖ τῶν ὅλων· καὶ οὐκ ἔστι λαθεῖν αὐτόν, οὐ μόνον ποιοῦντα, ἀλλ' οὐδὲ διανοούμενον ἢ ἐνθυμούμενον. (12) Εἶτα, ποῖοί τινες εἰσίν. Οἷοι γὰρ ἂν ἐκεῖνοι εὑρεθῶσι, τὸν ἐκείνοις ἀρέσοντα καὶ πεισθησόμενον ἀνάγκη πειρᾶσθαι κατὰ δύναμιν ἐξομοιοῦσθαι ἐκείνοις. (13) Εἰ πιστόν ἐστι τὸ θεῖον, καὶ τοῦτον εἶναι πιστόν· εἰ ἐλεύθερον, καὶ τοῦτον ἐλεύθερον· εἰ εὐεργετικόν, καὶ τοῦτον εὐεργετικόν· εἰ μεγαλόφρον, καὶ τοῦτον μεγαλόφρονα· ὡς θεοῦ τοίνυν ζηλωτήν, τὰ ἑξῆς πάντα καὶ ποιεῖν καὶ λέγειν.

14. Πόθεν οὖν ἄρξασθαι δεῖ; Ἂν συγκαθῇς, ἐρῶ σοι ὅτι πρῶτον δεῖ σε τοῖς ὀνόμασι παρακολουθεῖν. (15) Ὥστ' ἐγὼ νῦν οὐ παρακολουθῶ τοῖς ὀνόμασι; Οὐ παρακολουθεῖς. Πῶς οὖν χρῶμαι αὐτοῖς; Οὕτως ὡς οἱ ἀγράμματοι ταῖς ἐγγραμμάτοις φωναῖς, ὡς τὰ κτήνη ταῖς φαντασίαις· ἄλλο γάρ ἐστι χρῆσις, ἄλλο παρακολούθησις. (16) Εἰ δ' οἴει παρακολουθεῖν, φέρε ὃ θέλεις ὄνομα, * ἀγαθὸν καὶ κακόν, * καὶ βασανίσωμεν αὐτούς, εἰ παρακολουθοῦμεν. (17) Ἀλλ' ἀνιαρὸν τὸ ἐξελέγχεσθαι πρεσβύτερον ἄνθρωπον ἤδη, κἂν οὕτω τύχῃ, τὰς τρεῖς στρατείας ἐστρατευμένον. Οἶδα κἀγώ. (18) Νῦν γὰρ σὺ ἐλήλυθας πρὸς ἐμέ, ὡς μηδενὸς δεόμενος. Τίνος δ' ἂν καὶ φαντασθείης ὡς ἐνδέοντος; πλουτεῖς, τέκνα ἔχεις τυχὸν καὶ γυναῖκα, καὶ οἰκέτας πολλούς· ὁ Καῖσάρ σε οἶδεν, ἐν Ῥώμῃ πολλοὺς φίλους κέκτησαι, τὰ καθήκοντα ἀποδίδως, οἶδας τὸν εὖ ποιοῦντα ἀντευποιῆσαι, καὶ τὸν κακῶς ποιοῦντα κακῶς ποιῆσαι. Τί σοι λείπει; (19) Ἂν οὖν σοι δείξω, ὅτι τὰ ἀναγκαιότατα καὶ μέγιστα πρὸς εὐδαιμονίαν, καὶ ὅτι μέχρι δεῦρο πάντων μᾶλλον ἢ τῶν προσηκόντων ἐπιμεμέλησαι· καὶ τὸν κολοφῶνα ἐπιθῶ, οὔτε τί θεός ἐστιν οἶδας, οὔτε τί ἄνθρωπος, οὔτε τί ἀγαθόν, οὔτε τί κακόν· (20) καὶ τὸ μὲν τῶν ἄλλων ἴσως ἀνεκτόν, ὅτι δ' αὐτὸς σαυτὸν ἀγνοεῖς, πῶς δύνασαι ἀνασχέσθαι μου, καὶ ὑποσχεῖν τὸν ἔλεγχον καὶ παραμεῖναι; Οὐδαμῶς, ἀλλ' εὐθὺς ἀπαλλάσσῃ χαλεπῶς ἔχων. (21) Καίτοι τί σοι ἐγὼ κακὸν πεποίηκα; εἰ μὴ καὶ τὸ ἔσοπτρον τῷ αἰσχρῷ, ὅτι δεικνύει αὐτὸν αὐτῷ οἷός ἐστιν· εἰ μὴ καὶ ὁ ἰατρὸς τὸν νοσοῦντα δοκεῖ ὑβρίζειν, ὅταν εἴπῃ αὐτῷ, Ἄνθρωπε, δοκεῖς μηδὲν ἔχειν; πυρέσσεις δέ· ἀσίτησον σήμερον, ὕδωρ πίε. Καὶ οὐδεὶς λέγει, Ὢ δεινῆς ὕβρεως. (22) Ἐὰν δέ τινι εἴπῃς, Αἱ ὀρέξεις σου φλεγμαίνουσιν, αἱ ἐκκλίσεις ταπειναί εἰσιν, αἱ ἐπιβολαὶ ἀνομολογούμεναι, αἱ ὁρμαὶ ἀσύμφωνοι τῇ φύσει, αἱ

cersitas, nempe filii, patris, fratris, civis, mariti, uxoris, vicini, comitis, imperantis, subditi. (9) Philosophi igitur tale fere munus constituimus. Tum proximum est post hæc, ut quæramus qua ratione ad id perveniamus.

10. Videmus igitur fabrum discendis quibusdam fieri fabrum; gubernatorem discendis quibusdam fieri gubernatorem : unde colligimus, etiam hic non esse satis, velle bonum virum fieri, sed et addiscere quædam esse necessarium. (11) Quærimus igitur, quænam ea sint. Dicunt philosophi, primum illud esse discendum, esse deum, et providere rebus universis, ac non modo facta, sed ne cogitationes quidem ac motus animorum eum celari posse. (12) Deinde, quales sint dii. Nam quales illi reperientur, opera necessario danda, talis ut sit etiam is, qui illis placere ac parere vult, et ut quam proxime ad eorum similitudinem accedat. (13) Si fidele est numen divinum, illum quoque fidelem esse oportet; si liberum, illum quoque liberum; si beneficum, illum quoque beneficum; si magnanimum, illum quoque magnanimum esse oportebit : denique, ut imitatorem dei, reliqua omnia et facere et dicere.

14 Unde igitur auspicandum est? Si in hanc disputationem demittere te volueris, dicam tibi, oportere te primum vocabula intelligere. (15) Quasi vero ego nunc vocabula non intelligam? Non intelligis. Quo pacto ergo iis utor? Perinde atque illiterati scriptis verbis, ut jumenta suis visis : aliud enim est usus visorum, aliud intelligentia. (16) Si vero ea te intelligere putas, quodvis affer vocabulum [*verbi causa*, Bonum et Malum]; et inquiremus in nosmetipsos, utrum intelligamus. (17) Enimvero molestum est, coargui hominem natu grandiorem, ac fortasse jam tria stipendia emeritum. Novi et ipse. (18) Nunc enim tu me convenisti, quasi nulla re egens. Ecqua vero etiam re te indigere fingere possis? Dives es; liberos fortassis habes et uxorem, servitiaque multa; Cæsar te novit; sunt tibi Romæ multi amici; officium pro officio reddis, de bene merente bene mereri nosti, et maleficium maleficio pensare. Quid tibi deest? (19) Quodsi igitur tibi demonstraro, te destitui rebus summe necessariis et maximis ad felicitatem, atque usque ad hunc diem quidvis curasse potius quam officium; et colophonem si adjecero, te nec quid deus sit scire, nec quid homo, nec quid bonum, nec quid malum; (20) si, quod de aliarum rerum ignoratione dixero, tolerabile fortasse videatur; certe, te ipsum te ignorare, dicentem me quo pacto ferre poteris, et reprehensionem sustinere manereque? Nequaquam poteris; sed statim cum indignatione discedes. (21) Quamquam quid ego tibi mali fecero? nisi et speculum injuriam facere homini deformi putes, quod talem eum ostendit ipsi, qualis est : nisi forte et medicus contumeliam facere ægroto videatur, quum eum sic alloquitur : « Mi homo, tu credis te nihil « habere? immo febricitas : hodie cibis abstine, aquam bi- « bito. » Nemo sane dicit, O contumeliam non ferendam! (22) Si cui vero dixeris, « Appetitiones tuæ æsluant, « aversationes sunt humiles, conatus inter se pugnant, im- « petus naturæ non sunt consentanei, opiniones tuæ vanæ

ὑπολήψεις εἰκαῖαι καὶ ἐψευσμέναι· εὐθὺς ἐξελθὼν λέγει, Ὕβρισέ με.

23. Τοιαῦτά ἐστι τὰ ἡμέτερα, ὡς ἐν πανηγύρει. Τὰ μὲν κτήνη πραθησόμενα ἄγεται, καὶ οἱ βόες· οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων, οἱ μὲν ὠνησόμενοι, οἱ δὲ πωλήσοντες, ὀλίγοι δέ τινές εἰσιν οἱ κατὰ θέαν ἐρχόμενοι τῆς πανηγύρεως, πῶς τοῦτο γίνεται, καὶ διὰ τί, καὶ τίνες οἱ τιθέντες τὴν πανήγυριν, καὶ ἐπὶ τίνι. (24) Οὕτω καὶ ἐνθάδ', ἐν τῇ πανηγύρει ταύτῃ· οἱ μέν τινες, ὡς κτήνη, οὐδὲν πλέον πολυπραγμονοῦσι τοῦ χόρτου. Ὅσοι γὰρ περὶ κτῆσιν καὶ ἀγροὺς καὶ οἰκέτας καὶ ἀρχάς τινας ἀναστρέφεσθε, ταῦτα οὐδὲν ἄλλο ἢ χόρτος ἐστίν. (25) Ὀλίγοι δ' εἰσὶν οἱ πανηγυρίζοντες ἄνθρωποι φιλοθεάμονες, τί ποτ' οὖν ἐστιν ὁ κόσμος, τίς αὐτὸν διοικεῖ; (26) Οὐδείς; Καὶ πῶς οἷόν τε πόλιν μὲν ἢ οἶκον μὴ δύνασθαι διαμένειν μηδ' ὀλιγοστὸν χρόνον δίχα τοῦ διοικοῦντος καὶ ἐπιμελουμένου, τὸ δ' οὕτω μέγα καὶ καλὸν κατασκεύασμα εἰκῇ καὶ ὡς ἔτυχεν οὕτως εὐτάκτως οἰκονομεῖσθαι; (27) Ἔστιν οὖν ὁ διοικῶν. Ποῖός τις, καὶ πῶς διοικῶν; ἡμεῖς δὲ, τίνες ὄντες ὑπ' αὐτοῦ γεγόναμεν, καὶ πρὸς τί ἔργον; ἆρά γ' ἔχομέν τινα ἐπιπλοκὴν πρὸς αὐτὸν καὶ σχέσιν, ἢ οὐδεμίαν; (28) Ταῦτ' ἐστὶν ἃ πάσχουσιν οὗτοι οἱ ὀλίγοι· καὶ λοιπὸν τούτῳ μόνῳ σχολάζουσι, τῷ τὴν πανήγυριν ἱστορήσαντας ἀπελθεῖν. (29) Τί οὖν; καταγελῶνται ὑπὸ τῶν πολλῶν. Καὶ γὰρ ἐκεῖ οἱ θεαταὶ ὑπὸ τῶν ἐμπόρων· καὶ εἰ τὰ κτήνη συναίσθησίν τινα εἶχε, κατεγέλα ἂν τῶν ἄλλο τι τεθαυμακότων ἢ τὸν χόρτον.

ΚΕΦ. ΙΕ'.

Πρὸς τοὺς σκληρῶς τισιν ὧν ἔκριναν ἐμμένοντας.

1. Ὅταν ἀκούσωσί τινες τούτων τῶν λόγων, ὅτι βέβαιον εἶναι δεῖ, καὶ ἡ μὲν προαίρεσις ἐλεύθερον φύσει καὶ ἀνανάγκαστον, τὰ δ' ἄλλα κωλυτὰ, ἀναγκαστὰ, δοῦλα, ἀλλότρια· φαντάζονται ὅτι δεῖ παντὶ τῷ κριθέντι ὑπ' αὐτῶν ἀπαραβάτως ἐμμένειν. (2) Ἀλλὰ πρῶτον ὑγιὲς εἶναι δεῖ τὸ κεκριμένον. Θέλω γὰρ εἶναι τόνους ἐν σώματι, ἀλλ' ὡς ὑγιαίνοντι, ὡς ἀθλοῦντι. (3) Ἂν δέ μοι φρενιτικοῦ τόνους ἔχων ἐνδεικνύῃ, καὶ ἀλαζονεύῃ ἐπ' αὐτοῖς, ἐρῶ σοι, ὅτι, Ἄνθρωπε, ζήτει τὸν θεραπεύσοντα· τοῦτο οὐκ εἰσὶ τόνοι, ἀλλ' ἀτονία ἕτερον τρόπον. (4) Τοιοῦτόν τι καὶ ἐπὶ τῆς ψυχῆς πάσχουσιν οἱ παρακούοντες τῶν λόγων τούτων. Οἷον καὶ ἐμός τις ἑταῖρος ἐξ οὐδεμιᾶς αἰτίας ἔκρινεν ἀποκαρτερεῖν. (5) Ἔγνων ἐγὼ, ἤδη τρίτην ἡμέραν ἔχοντος αὐτοῦ τῆς ἀποχῆς, καὶ ἐλθὼν ἐπυνθανόμην τί ἐγένετο. Κέκρικα, φησίν. (6) Ἀλλ' ὅμως τί σε ἦν τὸ ἀναπεῖσαν; εἰ γὰρ ὀρθῶς ἔκρινας, ἰδοὺ παρακαθήμεθά σοι, καὶ συνεργοῦμεν ἵνα ἐξέλθῃς· εἰ δ' ἀλόγως ἔκρινας, μετάθου. (7) Τοῖς κριθεῖσιν ἐμμένειν δεῖ. Τί ποιεῖς, ἄνθρωπε; οὐ πᾶσιν, ἀλλὰ τοῖς ὀρθῶς. Ἐπεὶ πάθων ἄρτι ὅτι νύξ ἐστι, ἄν σοι δοκῇ, μὴ μετατίθεσο,

« sunt et excentitæ ; » statim digressus ait, Contumelia me affecit.

23. Tales sunt res nostræ, quemadmodum in celebri conventu. Pecora vendendi caussa adducuntur et boves; vulgus autem hominum partim empturi adsunt, partim vendituri; pauci autem sunt qui spectandæ caussa celebritatis veniant, quique inquirant, quid ibi agatur, et cur, et quinam sint qui celebritatem illam instituerint, et quo consilio. (24) Sic et hic, in hac celebritate : alii quidem, ut pecora, nihil præter gramen curant. Quicumque enim possessionibus, fundis, servitiis, magistratibus quibusdam unice operam datis, *scitote* hæc nihil aliud nisi gramen esse. (25) Pauci autem homines sunt qui celebritati vacent spectandi studiosi, *et cogitent,* Quid ergo mundus est? quis eum administrat? (26) Nemo? At fieri qui potest, ut, cum civitas aut domus ne minimum quidem tempus durare sine administratore curatoreque possit, tanta tamque præclara fabrica temere et fortuito tam admirabili ordine administretur? (27) Est igitur qui eam administret. Quis iste? et qua ratione administrat? nos vero, ab eo procreati, qui et quales sumus? et ad quod munus nati? an connexio certe aliqua et relatio nobis cum illo intercedit, necne? (28) Hæc sunt quæ agunt illi pauci; iidemque porro huic uni rei vacant, ut diligenter explorata hac celebritate discedant. (29) Quid vero? a vulgo deridentur. Namque et illic spectatores deridentur a mercatoribus : et, si pecora sensu aliquo essent prædita, deriderent et ipsa eos, qui quidquam aliud præter pabulum admirarentur.

CAP. XV.

Ad eos qui pertinaciter in iis quæ decreverunt perseverant.

1. Quidam, cum disputationes has audiunt, constantem esse oportere, ac voluntatem quidem natura esse liberam, et cogi non posse, cetera vero et prohiberi et cogi posse, servilia atque aliena esse; putant, quidquid a se decretum fuerit, in eo pertinaciter esse perseverandum. (2) At vero primum omnium debet rectum esse id quod decreveris. Volo enim esse nervorum robur in corpore, sed ut in sano corpore, ut ad pugnam exercitato. (3) Quod si furiosi te habere contentionem nervorum ostentes, de eaque glorieris; dicam tibi, Homo, quære tibi medicum : nam isti nervi non sunt, sed enervatio diverso modo. (4) Tale quiddam animis accidit eorum, qui disputationes has obiter ac perperam audiunt. Sic sodalium meorum quidam nulla de caussa necem sibi inedia consciscere statuit. (5) Ego rem cognovi, cum is jam in tertium diem abstinentiam illam ageret; et conveniens eum interrogavi quid ei accidisset. Decrevi, inquit. (6) Sed tamen, quid, inquam, eo te impulit? nam si recte decrevisti, ecce assidemus tibi, adjutores futuri, ut e vita excedas; sin præter rationem statuisti, muta consilium. (7) Decretis insistendum est. Quid agis, homo? non omnibus, sed rectis. Nam si tibi persuaseris,

ἀλλ' ἔμμενε, καὶ λέγε, ὅτι Τοῖς κριθεῖσιν ἐμμένειν δεῖ. (8) * Τί ποιεῖς, ἄνθρωπε; οὐ πᾶσιν. * Οὐ θέλεις τὴν ἀρχὴν ὑποστῆσαι * καὶ * τὸν θεμέλιον, τὸ κρῖμα σκέψασθαι πότερον ὑγιὲς ἢ οὐχ ὑγιές, καὶ οὕτω λοιπὸν ἐποικοδομεῖν αὐτῷ τὴν εὐτονίαν, τὴν ἀσφάλειαν; (9) ἂν δὲ σαπρὸν ὑποστήσῃς καὶ καταπῖπτον οἰκοδόμημά τι, οὐχ ὅσῳ ἂν πλείονα καὶ ἰσχυρότερα ἐπιθῇς, τοσούτῳ θᾶττον κατενεχθήσεται; (10) Ἄνευ πάσης αἰτίας ἐξάγῃς ἡμῖν ἄνθρωπον ἐκ τοῦ ζῆν φίλον καὶ συνήθη, τῆς αὐτῆς πόλεως πολίτην, καὶ τῆς μεγάλης καὶ τῆς μικρᾶς; (11) εἶτα, φόνον ἐργαζόμενος, καὶ ἀπολλύων ἄνθρωπον μηδὲν ἠδικηκότα, λέγεις ὅτι Τοῖς κριθεῖσιν ἐμμένειν δεῖ; (12) Εἰ δ' ἐπῆλθέ σοι πώς ποτ' ἐμὲ ἀποκτεῖναι, ἔδει σε ἐμμένειν τοῖς κριθεῖσιν;

13. Ἐκεῖνος μὲν οὖν μόγις μετεπείσθη. Τῶν δὲ νῦν τινας οὐκ ἔστι μεταθεῖναι. Ὥστε μοι δοκῶ, ὃ πρότερον ἠγνόουν, νῦν εἰδέναι, τί ἐστι τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Μωρὸν οὔτε πεῖσαι οὔτε ῥῆξαί ἐστι. (14) Μή μοι γένοιτο φίλον ἔχειν σοφὸν μωρόν· Δυσμεταχειριστότερον οὐδέν ἐστι. Κέκρικα. Καὶ γὰρ οἱ μαινόμενοι· ἀλλ' ὅσῳ βεβαιότερον κρίνουσι τὰ οὐκ ὄντα, τοσούτῳ πλείονος ἐλλεβόρου δέονται. (15) Οὐ θέλεις τὰ τοῦ νοσοῦντος ποιεῖν, καὶ τὸν ἰατρὸν παρακαλεῖν; Νοσῶ, κύριε· βοήθησόν μοι· τί με δεῖ ποιεῖν σκέψαι· ἐμόν ἐστι πείθεσθαί σοι. (16) Οὕτω καὶ ἐνταῦθα· Ἃ δεῖ με ποιεῖν οὐκ οἶδα· ἐλήλυθα δὲ μαθησόμενος. Οὔκ· ἀλλὰ περὶ τῶν ἄλλων μοι λέγε· τοῦτο δὲ κέκρικα. (17) Περὶ ποίων ἄλλων; τί γάρ ἐστι μεῖζον ἢ προὐργιαίτερον τοῦ πεισθῆναί σε, ὅτι οὐκ ἀρκεῖ τὸ κεκρικέναι καὶ τὸ μὴ μεταθέσθαι; Οὗτοι μανικοὶ τόνοι, οὐχ ὑγιεινοί. (18) Ἀποθανεῖν θέλω, ἄν με τοῦτο ἀναγκάσῃς. Διὰ τί, ἄνθρωπε; τί ἐγένετο; Κέκρικα. Ἐσώθην, ὅτι οὐ κέκρικας ἐμὲ ἀποκτεῖναι. (19) Ἀργύριον οὐ λαμβάνω. Διὰ τί; Κέκρικα. Ἴσθι ὅτι ᾧ τόνῳ νῦν χρῇ πρὸς τὸ μὴ λαμβάνειν, οὐδὲν κωλύει σε ἀλόγως ποτὲ ῥέψαι πρὸς τὸ λαμβάνειν, καὶ πάλιν λέγειν, ὅτι Κέκρικα; (20) Ὥσπερ ἐν νοσοῦντι καὶ ῥευματιζομένῳ σώματι, ποτὲ μὲν ἐπὶ ταῦτα, ποτὲ δ' ἐπ' ἐκεῖνα ῥέπει τὸ ῥεῦμα· οὕτω καὶ ἀσθενὴς ψυχή, ὅπου μὲν κλίνει, ἄδηλον ἔχει· ὅταν δὲ καὶ τόνος προσῇ τῷ κλίματι τούτῳ καὶ τῇ φορᾷ, τότε γίνεται τὸ κακὸν ἀβοήθητον καὶ ἀθεράπευτον.

noctem nunc esse; si tibi videbitur, ne muta sententiam, sed in ea persevera : et dic, Decretis est insistendum. (8) [Quid agis, homo? non omnibus.] Nonne a principio vis fundamentum jacere, ut consideres, rectumne sit decretum tuum, an pravum; ac tum demum ei superstruere firmitatem istam et constantiam? (9) Quodsi vero putre fundamentum ac ruinosum jeceris; nonne, quo plura et firmiora imposueris, eo citius ædificium corruet? (10) Citra omnem caussam tu e medio nobis tolleres hominem amicum et familiarem, civitatis ejusdem, tam magnæ, quam parvæ, civem? (11) et cum cædem facias, hominemque nullius injuriæ reum perdas; ais, In decretis perseverandum esse? (12) Quodsi tibi forte in mentem venisset, me esse occidendum; num in sententia permanendum tibi esset?

13. Et ille quidem ægre a sententia depulsus est : eorum autem, qui nunc sunt, nonnullis aliud persuaderi non potest. Itaque mihi videor nunc scire id quod prius ignorabam, quæ vis sit pervulgati illius dicti, stultum nec a sententia deduci, neque rumpi posse. (14) Absit ut amicus mihi contingat stultus, qui sapere sibi videatur : intractabilius nihil est. Decrevi. Etiam furentes : sed quo constantius decernunt ea quæ non sunt, eo majore hellebori copia eis opus est. (15) Non ea facere vis quæ sunt ægrotantis, atque accersere medicum? Ægroto, domine : auxiliare mihi; considera quid mihi sit agendum : meum est parere tibi. (16) Sic hic quoque dicendum : Quid mihi faciendum sit ignoro; sed adsum cognoscendi caussa. Non : sed aliis de rebus mihi dicito; nam hoc quidem decrevi. (17) De quibus aliis? quid enim majus est, aut majore studio dignum, quam tibi persuaderi, non satis esse te decrevisse, et a proposito non recedere? Hi sunt furiosorum nervi, non hominis sani. (18) Emori volo, si me istud coegeris. Quamobrem, homo? quid accidit? Decrevi. Salvus sum, quod non decrevisti me occidere. (19) Argentum non accipio. Quamobrem? Decrevi. Scisne, quibus nervis nunc tu uteris ad non accipiendum, iisdem nihil prohibere quominus aliquando temere inclines ad accipiendum, et rursus dicas te decrevisse? (20) Ut enim in ægroto corpore et fluxionibus obnoxio humor alias in hanc, alias in illam defertur partem; sic animus imbecillus, quo quidem inclinet, nullam certam rationem habet : cum autem ad inclinationem atque impetum illum etiam nervi accesserint, tum malum ejusmodi fit, cui nec auxilium ferri, nec adhiberi medicina queat.

ΚΕΦ. Ιϛ'.

Ὅτι οὐ μελετῶμεν χρῆσθαι τοῖς περὶ ἀγαθῶν καὶ κακῶν δόγμασιν.

1. Ποῦ τὸ ἀγαθόν; Ἐν προαιρέσει. Ποῦ τὸ κακόν; Ἐν προαιρέσει. Ποῦ τὸ οὐδέτερον; Ἐν τοῖς ἀπροαιρέτοις. (2) Τί οὖν; μέμνηταί τις ἡμῶν ἔξω τούτων τῶν λόγων; μελετᾷ τις αὐτὸς ἐφ' ἑαυτοῦ τοῦτον τὸν τρόπον ἀποκρίνεσθαι τοῖς πράγμασιν, ὡς ἐπὶ τῶν ἐρωτημάτων; Ἆρά γε ἡμέρα ἐστί; Ναί. Τί δέ; νὺξ ἐστιν;

CAP. XVI.

Non meditari nos, quo pacto decretis de rebus bonis et malis utamur.

1. Ubi situm est bonum? In voluntate. Ubi malum? In voluntate. Ubi neutrum? In iis quæ arbitrii nostri non sunt. (2) Quid ergo? numquis nostrûm harum rationum foris memor est? numquis ipse meditatur secum, ut eodem modo respondeat rebus, quemadmodum in quæstionibus? Num dies est? est. Quid vero? nox est? Non. Quid vero? paria

Οὔ. Τί δέ; ἄρτιοί εἰσιν οἱ ἀστέρες; Οὐκ ἔχω λέγειν. (3) Ὅταν σοι προφαίνηται ἀργύριον, μεμελέτηκας ἀποκρίνεσθαι τὴν δέουσαν ἀπόκρισιν, ὅτι οὐκ ἀγαθόν; Ἤσκηκας ἐν ταύταις ταῖς ἀποκρίσεσιν; ἢ πρὸς μόνα τὰ σοφίσματα; (4) Τί οὖν θαυμάζεις, εἰ, ὅπου μὲν μεμελέτηκας, ἐκεῖ κρείττων γίνῃ σεαυτοῦ· ὅπου δ' ἀμελετήτως ἔχεις, ἐκεῖ δ' ὁ αὐτὸς διαμένεις; (5) Ἐπεὶ διὰ τί ὁ ῥήτωρ, εἰδὼς ὅτι γέγραφε καλῶς, ὅτι ἀνείληφε τὰ γεγραμμένα, φωνὴν εἰσφέρων ἡδεῖαν, ὅμως ἔτι ἀγωνιᾷ; Ὅτι οὐκ ἀρκεῖται τῷ μελετῆσαι. (6) Τί οὖν θέλει; Ἐπαινεθῆναι ὑπὸ τῶν παρόντων. Πρὸς μὲν οὖν τὸ δύνασθαι μελετᾶν, ἤσκηται· πρὸς ἔπαινον δὲ καὶ ψόγον, οὐκ ἤσκηται. (7) Πότε γὰρ ἤκουσε παρά τινος, τί ἐστιν ἔπαινος; τί ἐστι ψόγος; τίς ἑκατέρου φύσις; τοὺς ποίους τῶν ἐπαίνων διωκτέον, ἢ τοὺς ποίους τῶν ψόγων φευκτέον; πότε δ' ἐμελέτησε ταύτην τὴν μελέτην, ἀκόλουθον τούτοις τοῖς λόγοις; (8) Τί οὖν ἔτι θαυμάζεις, εἰ, ὅπου μὲν ἔμαθεν, ἐκεῖ διαφέρει τῶν ἄλλων· ὅπου δ' οὐ μεμελέτηκεν, ἐκεῖ τοῖς πολλοῖς ὁ αὐτός ἐστιν; (9) Ὡς ὁ κιθαρῳδὸς οἶδε κιθαρίζειν, ᾄδει καλῶς, στατὸν ἔχει καλὸν, καὶ ὅμως εἰσερχόμενος τρέμει. Ταῦτα γὰρ οἶδεν· ὄχλος δὲ τί ἐστιν οὐκ οἶδεν, οὐδ' ὄχλου βοὴ, οὐδὲ κατάγελως. (10) Ἀλλ' οὐδ' αὐτὸ τὸ ἀγωνιᾶν τί ἐστιν οἶδε, πότερον ἡμέτερον ἔργον ἐστὶν, ἢ ἀλλότριον, ἔστιν αὐτὸ παῦσαι, ἢ οὐκ ἔστι. Διὰ τοῦτο ἐὰν μὲν ἐπαινεθῇ, φυσηθεὶς ἐξῆλθεν· ἐὰν δὲ καταγελασθῇ, τὸ φυσημάτιον ἐκεῖνο ἐκεντήθη καὶ προσεκάθισε.

11. Τοιοῦτόν τι καὶ ἡμεῖς πάσχομεν. Τίνα θαυμάζομεν; Τὰ ἐκτός. Περὶ τίνα σπουδάζομεν; Περὶ τὰ ἐκτός. Εἶτ' ἀποροῦμεν πῶς φοβούμεθα, ἢ πῶς ἀγωνιῶμεν; (12) Τί οὖν ἐνδέχεται, ὅταν τὰ ἐπιφερόμενα, κακὰ ἡγώμεθα; Οὐ δυνάμεθα μὴ φοβεῖσθαι, οὐ δυνάμεθα μὴ ἀγωνιᾶν. (13) Εἶτα λέγομεν, Κύριε ὁ θεὸς, πῶς μὴ ἀγωνιῶ; Μωρέ· χεῖρας οὐκ ἔχεις; οὐκ ἐποίησέ σοι αὐτὰς ὁ θεός; εὔχου νῦν καθήμενος, ὅπως αἱ μύξαι σου μὴ ῥέωσιν. Ἀπόμυξαι μᾶλλον, καὶ μὴ ἐγκάλει. (14) Τί οὖν; ἐνταῦθά σοι οὐδὲν δέδωκεν; οὐ δέδωκέ σοι καρτερίαν; οὐ δέδωκέ σοι μεγαλοψυχίαν; οὐ δέδωκεν ἀνδρείαν; Τηλικαύτας ἔχων χεῖρας, ἔτι ζητεῖς τὸν ἀπομύξοντα; (15) Ἀλλ' οὐδὲ μελετῶμεν ταῦτα οὐδ' ἐπιστρεφόμεθα. Ἐπεὶ δότε μοι ἕνα ᾧ μέλει πῶς τι ποιήσει· ὃς ἐπιστρέφεται, οὐ τοῦ τυχεῖν τινος, ἀλλὰ τῆς ἐνεργείας τῆς αὐτοῦ. Τίς περιπατῶν τῆς ἐνεργείας τῆς αὐτοῦ ἐπιστρέφεται; τίς βουλευόμενος αὐτῆς τῆς βουλῆς, οὐχὶ δὲ τοῦ τυχεῖν ἐκείνου περὶ οὗ βουλεύεται; (16) Κἂν μὲν τύχῃ, ἐπῆρται καὶ λέγει, Πῶς γὰρ ἡμεῖς καλῶς ἐβουλευσάμεθα· οὐκ ἔλεγόν σοι, ἀδελφὲ, ὅτι ἀδύνατόν ἐστιν, ἡμῶν τι σκεψαμένων, μὴ οὕτως ἐκβῆναι; Ἂν δ' ἑτέρως χωρήσῃ, τεταπείνωται τάλας, οὐχ εὑρίσκει οὐδὲ τί εἴπῃ περὶ τῶν γεγονότων. (17) Τίς ἡμῶν τούτου ἕνεκα μάντιν παρέλαβε; τίς ἡμῶν * οὐχ * ἐνεκοιμήθη ὑπὲρ ἐνεργείας; Τίς; ἕνα μοι δότε, ἵνα ἴδω τοῦτον, ὃν ἐκ πολλοῦ χρόνου ζητῶ, τὸν ταῖς ἀληθείαις εὐγενῆ καὶ εὐφυᾶ· εἴτε νέον εἴτε πρεσβύτερον, δότε.

sunt astra? Non habeo dicere. (3) Cum pecunia tibi ostenditur, esne meditatus ita respondere, ut decet: eam non esse bonam? Exercitatusne es in his responsionibus? an vero ad sola sophismata? (4) Quid ergo miraris, ubi meditatus es, ibi te ipso quoque superiorem te evadere; ubi vero exercitationem nullam adhibuisti, ibi eumdem permanere? (5) Nam cur orator, quamvis sciat se recte scripsisse, et, quæ scripserit, memoriæ se mandasse, quamvis etiam suavitatem afferat vocis, tamen adhuc timet? Quia non satis est ei, declamare. (6) Quid ergo vult? Laudari ab iis qui adsunt. Ad facultatem igitur declamandi exercitatus est; ad laudationem autem et vituperationem non est exercitatus. (7) Quando enim e quoquam audivit, quid sit laus, quid vituperatio? quæ sit utriusque rei natura? quæ laudes expetendæ sint, quæ vituperationes fugiendæ? Quando autem ei exercitationi operam dedit, quæ sit his rationibus consentanea? (8) Quid ergo adhuc miraris, si, ubi didicit, ibi vulgo antecellit; ubi autem se non exercuit, ibi nullam præ plebe prærogativam habet? (9) Sic citharœdus novit pulsare citharam, bene cantat, recta tunica, eaque pulcra, est amictus; et tamen theatrum ingrediens tremit. Nam illa quidem novit; populus autem quid sit, non novit, aut populi clamor, aut derisio : (10) immo, ipsum hoc, timere, quid sit, ignorat; utrum nostrum opus sit, an alienum; sedari possit, necne. Quapropter, cum laudatur, inflatus exit; ubi autem derisus est, inflatiuncula illa compungitur et subsidit.

11. Tale quiddam et nobis accidit. Quas res admiramur? Externas. Quibus rebus studemus? Externis. Dein dubitamus qui fiat ut timeamus? ut trepidemus? (12) Quid ergo usu evenit, cum ea, quæ nobis imminent, mala judicamus? Non possumus non timere, non possumus non trepidare. (13) Dein dicimus, Domine deus, quid agam ne trepidem? Stulte, manus non habes? non tibi fecit eas deus? Nunc ergo sedens precare, ne pituita tibi defluat. Emunge nares potius, neu accusa deum. (14) Quid ergo? hic nihil tibi dedit? non dedit tibi tolerantiam? non dedit tibi magnitudinem animi? non dedit fortitudinem? Tot manus cum habeas, adhuc requiris eum qui te emungat? (15) Verum nos hæc neque meditamur, neque curamus. Nam date mihi aliquem, qui curet quo pacto aliquid acturus sit, qui sollicitus sit, non de aliqua re consequenda, sed de actione sua. Quis, cum ambulat, de ambulatione sua sollicitus est? quis, cum deliberat, ipsam respicit deliberationem; ac non potius de eo consequendo laborat, cujus gratia deliberat? (16) Qui si voti compos sit, elatus ait : « Quam pru« denter deliberavimus! nonne dicebam tibi, frater, si nos « rem quampiam consideraremus, non posse fieri quin ita « eveniret? » Sin secus ceciderit, abjectus est miser, nec, quid dicat de iis quæ acciderunt, reperit. (17) Quis nostrûm hujus rei caussa vatem adhibuit? quis nostrûm ob actionem suam in æde sacra indormiit? Quisnam? unum mihi date, ut eum videam, quem jam longo tempore quæro, qui revera sit nobilis et ingeniosus : sive adolescentem, sive natu grandiorem, date.

18. Τί οὖν ἔτι θαυμάζομεν, εἰ περὶ μὲν τὰς ὕλας τετρίμμεθα, ἐν δὲ ταῖς ἐνεργείαις ταπεινοὶ, ἀσχήμονες, οὐδενὸς ἄξιοι, δειλοὶ, ἀταλαίπωροι, ὅλοι ἀτυχήματα; Οὐ γὰρ μεμέληκεν ἡμῖν, οὐδὲ μελετῶμεν. (19) Εἰ δὲ μὴ τὸν θάνατον ἢ τὴν φυγὴν ἐφοβούμεθα, ἀλλὰ τὸν φόβον, ἐμελετῶμεν ἂν ἐκείνοις μὴ περιπίπτειν ἃ φαίνεται ἡμῖν κακά. (20) Νῦν δ' ἐν μὲν τῇ σχολῇ γοργοὶ καὶ κατάγλωσσοι· κἂν ζητημάτιον ἐμπέσῃ περί τινος τούτων, ἱκανοὶ τὰ ἑξῆς ἐπελθεῖν. Ἕλκυσον δ' εἰς χρῆσιν, καὶ εὑρήσεις τάλανας ναυαγούς. Προσπεσέτω φαντασία ταρακτικὴ, καὶ γνώσῃ τί ἐμελετῶμεν καὶ πρὸς τί ἐγυμναζόμεθα. (21) Λοιπὸν ὑπὸ τῆς ἀμελετησίας προσεπισωρεύομεν ἀεί τινα καὶ προσπλάσσομεν μείζονα τῶν καθεστώτων. (22) Εὐθὺς ἐγὼ, ὅταν πλέω, κατακύψας εἰς τὸν βυθὸν, ἢ τὸ πέλαγος περιβλεψάμενος, καὶ μὴ ἰδὼν γῆν, ἐξίσταμαι, καὶ φανταζόμενος ὅτι ὅλον με δεῖ τὸ πέλαγος τοῦτο ἐκπιεῖν ἂν ναυαγήσω· οὐκ ἐπέρχεταί μοι, ὅτι μοι τρεῖς ξέσται ἀρκοῦσι. Τί οὖν με ταράσσει; τὸ πέλαγος; Οὒ, ἀλλὰ τὸ δόγμα. (23) Πάλιν, ὅταν σεισμὸς γένηται, φαντάζομαι ὅτι ἡ πόλις ἐπιπίπτειν μοι μέλλει. Οὐ γὰρ ἀρκεῖ μοι μικρὸν λιθάριον, ἵν' ἔξω μου τὸν ἐγκέφαλον βάλῃ;

24. Τίνα οὖν ἐστι τὰ βαροῦντα καὶ ἐξιστάντα ἡμᾶς; Τίνα γὰρ ἄλλα, ἢ τὰ δόγματα; Τὸν γὰρ ἐξιόντα καὶ ἀπαλλαττόμενον τῶν συνήθων καὶ ἑταίρων καὶ τόπων καὶ συναναστροφῆς, τί ἐστι τὸ βαροῦν ἄλλο, ἢ δόγματα; (25) Τὰ γοῦν παιδία εὐθὺς, ὅταν κλαύσῃ μικρὰ τῆς τίτθης ἀπελθούσης, πλακούντιον λαβόντα, ἐπιλέλησται· θέλεις οὖν καὶ ἡμεῖς παιδίοις ὁμοιωθῶμεν; (26) Οὔ, νὴ τὸν Δία· οὐ γὰρ ὑπὸ πλακουντίου τοῦτο πάσχειν ἀξιῶ, ἀλλ' ὑπὸ δογμάτων ὀρθῶν. (27) Τίνα δ' ἐστι ταῦτα; Ἃ δεῖ τὸν ἄνθρωπον ὅλην τὴν ἡμέραν μελετῶντα, μηδενὶ προσπάσχειν τῶν ἀλλοτρίων, μήθ' ἑταίρῳ, μήτε τόπῳ, μήτε γυμνασίοις, ἀλλὰ μηδὲ τῷ σώματι τῷ αὑτοῦ· μεμνῆσθαι δὲ τοῦ νόμου, καὶ τοῦτον πρὸ ὀφθαλμῶν ἔχειν. (28) Τίς δ' ὁ νόμος ὁ θεῖος; Τὰ ἴδια τηρεῖν, τῶν ἀλλοτρίων μὴ ἀντιποιεῖσθαι, ἀλλὰ διδομένοις μὲν χρῆσθαι, μὴ διδόμενα δὲ μὴ ποθεῖν· ἀφαιρουμένου δέ τινος, ἀποδιδόναι εὐλύτως καὶ αὐτόθεν, χάριν εἰδότα οὗ ἐχρήσατο χρόνου, εἰ θέλεις μὴ κλάειν τὴν τίτθην καὶ μάμμην. (29) Τί γὰρ διαφέρει, τίνος ἥττων ἐστὶ, καὶ ἐκ τίνος κρέμαται; Τί κρείττων εἶ τοῦ διὰ κοράσιον κλάοντος, εἰ διὰ γυμνασίδιον, καὶ στωΐδια, καὶ νεανισκάρια, καὶ τοιαύτην διατριβὴν πενθεῖς; (30) Ἄλλος ἐλθὼν, ὅτι οὐκέτι τὸ τῆς Δίρκης ὕδωρ πίνειν μέλλει. Τὸ γὰρ Μάρκιον χεῖρόν ἐστι τοῦ τῆς Δίρκης; Ἀλλ' ἐκεῖνό μοι σύνηθες ἦν. Καὶ τοῦτο πάλιν ἔσται σοι σύνηθες. (31) Εἶτ', ἂν μὲν καὶ τούτῳ προσπάθῃς, καὶ τοῦτο πάλιν κλαῖε, καὶ ζήτει στίχον ὅμοιον τῷ Εὐριπίδου ποιῆσαι,

Θερμάς τε τὰς Νέρωνος, Μάρκιόν θ' ὕδωρ.

Ἴδε πῶς τραγῳδία γίνεται, ὅταν εἰς μωροὺς ἀνθρώπους πράγματα τὰ τυγχάνοντ' ἐμπέσῃ.

18. Quid ergo miramur adhuc, si in materiis quidem subjectis satis sumus exercitati; in actionibus autem humiles, fœdi, nullius pretii, ignavi, molles; quanti quanti sumus, scelera? Neque enim hæ nobis curæ fuerunt, neque in iis nos exercemus. (19) At si non mortem aut exsilium timeremus, sed timorem ipsum; operam daturi essemus ne incideremus in ea quæ mala nobis viderentur. (20) Nunc in schola expediti et verbosi, cum tali quapiam de re quæstiuncula inciderit, instructi sumus ad cuncta, quæ ad eam pertinent, ordine persequenda. Sed in usum actumque nos trahe; invenies miseros naufragos. Incidat cogitatio terrifica: tum cognosces quid meditati fuerimus, et ad quid nos exercuerimus. (21) Jam in hac meditationis neglectione semper quædam accumulamus, et majora quam re ipsa sunt affingimus. (22) Statim ego, cum navigo, oculos in altum defigens, aut pelagus circumspiciens, nec terram usquam prospiciens, de statu mentis dejicior; et, cogitans esse mihi totum pelagus ebibendum, si fecero naufragium, illud non reputo, tres sextarios esse mihi satis. Quid est igitur, quod me perturbat? pelagus? Non, sed meum decretum. (23) Rursus, ingruente terræ motu, totam urbem in me casuram mihi fingo: quasi vero non parvus lapillus sit satis ad elidendum mihi cerebrum.

24. Quænam ergo sunt quæ nos premunt et de statu mentis nos dejiciunt? Quæ alia, nisi decreta? Nam et eum, qui peregre abit, et a sodalibus, a locis, a congressibus, quibus assuetus erat, discedit, quid est aliud, quod eum premat, nisi decreta? (25) Pueri quidem, cum plorant nutrice paululum digressa, placentula accepta statim obliviscuntur dolorem: vis ergo nos quoque pueris comparari? (26) Non, per Jovem: neque enim velim placentula me ita deliniri, sed rectis decretis. (27) Quæ autem illa sunt? Ea quæ hominem totos dies meditari oportet, ut nullis externis rebus afficiatur, non sodali, non loco, non gymnasiis, immo ne suopte quidem corpore; sed memor sit legis, et eam ob oculos habeat. (28) Quid autem jubet lex divinitus præscripta? Sua tueri, et aliena sibi non vindicare; sed iis et, cum dantur, uti, et, cum non dantur, ea non desiderare; et cum quid nobis eripitur, reddere expedite et sponte, gratiamque habere pro eo tempore, quo eo usi sumus: nisi velis nos mammas atque nutriculas implorare. (29) Quid enim interest, qua re quis vincatur, et unde pendeat? Ecqua re præstantior eo es qui ob puellam plorat, si tu ob gymnasium, et porticulos, et adolescentulos, et hujusmodi congressus luges? (30) Alius adveniens id ægre fert, quod Dircæam aquam non amplius bibiturus sit. Num igitur Marcia deterior est Dircæa? *Non:* at illi adsueveram. Etiam huic adsuesces. (31) Deinde ubi et hac delectaberis, hic quoque luge, et quære versum Euripideo similem:

Thermas Neronianas, Marciamque aquam.

Viden' ut tragœdia oriatur, cum res vel levissimæ stultis hominibus incidunt?

32. Πότε οὖν Ἀθήνας πάλιν ὄψομαι καὶ τὴν ἀκρόπολιν; Τάλας, οὐκ ἀρκεῖ σοι ἃ βλέπεις καθ' ἡμέραν; κρεῖττόν τι ἔχεις ἢ μεῖζον ἰδεῖν τοῦ ἡλίου, τῆς σελήνης [τῶν κύκλων], τῶν ἄστρων, τῆς γῆς ὅλης, τῆς θαλάσσης; (33) Εἰ δὲ δὴ παρακολουθεῖς τῷ διοικοῦντι τὰ ὅλα, κἀκεῖνον ἐν σαυτῷ περιφέρεις, ἔτι ποθεῖς λιθάρια καὶ πέτραν κομψήν; Ὅταν οὖν μέλλῃς ἀπολιπεῖν αὐτὸν τὸν ἥλιον καὶ τὴν σελήνην, τί ποιήσεις; κλαύσεις καθήμενος, ὡς τὰ παιδία; (34) Τί οὖν ἐν τῇ σχολῇ ἐποίεις; τί ἤκουες; τί ἐμάνθανες; τί σαυτὸν φιλόσοφον ἐπέγραφες, ἐξὸν τὰ ὄντα ἐπιγράφειν; ὅτι Εἰσαγωγὰς ἔπραξά τινας, καὶ Χρυσίππεια ἀνέγνων, φιλοσόφου δ' οὐδὲ θύραν παρῆλθον. (35) Ποῦ γάρ μοι μέτεστι τούτου τοῦ πράγματος, οὗ Σωκράτει μετῆν, τῷ οὕτως ἀποθανόντι, οὕτω ζήσαντι; οὗ Διογένει μετῆν; (36) Ἐπινοεῖς τούτων τινὰ κλάοντα ἢ ἀγανακτοῦντα, ὅτι τὸν δεῖνα οὐ μέλλει βλέπειν, οὐδὲ τὴν δεῖνα, οὐδ' ἐν Ἀθήναις ἔσεσθαι; ἢ ἐν Κορίνθῳ, ἀλλ' ἂν οὕτω τύχῃ, ἐν Σούσοις, ἢ ἐν Ἐκβατάνοις; (37) Ὧ γὰρ ἔξεστιν, ὅταν θέλῃ, ἐξελθεῖν τοῦ συμποσίου καὶ μηκέτι παίζειν, ἔτι οὗτος ἀνιᾶται μένων; οὐχὶ δ', ὡς παιδιᾷ, παραμένει μέχρις ἂν ψυχαγωγῆται; (38) Ταχύ γ' ἂν ὁ τοιοῦτος ὑπομείναι φυγήν τινα φυγεῖν εἰς ἅπαντα, ἢ τὴν ἐπὶ θανάτῳ κατακριθείς.

39. Οὐ θέλεις ἤδη, ὡς τὰ παιδία, ἀπογαλακτισθῆναι καὶ ἅπτεσθαι τροφῆς στερεωτέρας, μηδὲ κλάειν μάμμας καὶ τίτθας, γραῶν ἀποκλαύματα; (40) Ἀλλ' ἐκείνας ἀπαλλασσόμενος ἀνιάσω. Σὺ αὐτὰς ἀνιάσεις; οὐδαμῶς· ἀλλ' ὅπερ καὶ σέ, τὸ δόγμα. Τί οὖν ἔχεις ποιῆσαι; Τὸ σὸν ἔξελε· τὸ δ' ἐκείνων, ἂν εὖ ποιῶσιν, αὐταὶ ἐξελοῦσιν· εἰ δὲ μή, οἰμώξουσι δι' αὐτάς. (41) Ἄνθρωπε, τὸ λεγόμενον τοῦτο, Ἀπονοήθητι ἤδη ὑπὲρ εὐροίας, ὑπὲρ ἐλευθερίας, ὑπὲρ μεγαλοψυχίας. Ἀνάτεινόν ποτε τὸν τράχηλον, ὡς ἀπηλλαγμένος δουλείας. (42) Τόλμησον ἀναβλέψας πρὸς τὸν θεὸν εἰπεῖν, ὅτι Χρῶ μοι λοιπὸν ἂν θέλῃς, ὁμογνωμονῶ σοι, σός εἰμι. Οὐδὲν παραιτοῦμαι τῶν σοι δοκούντων· ὅπου θέλεις, ἄγε· ἣν θέλεις ἐσθῆτα περίθες. Ἄρχειν με θέλεις, ἰδιωτεύειν, μένειν, φεύγειν, πένεσθαι, πλουτεῖν; ἐγώ σοι ὑπὲρ ἁπάντων τούτων πρὸς τοὺς ἀνθρώπους ἀπολογήσομαι· δείξω τὴν ἑκάστου φύσιν, οἵα ἐστίν. (43) Οὔ· ἀλλ' ἐν βοὸς κοιλίᾳ καθήμενος, ἐκδέχου σου τὴν μάμμην μέχρις σε χορτάσῃ. (44) Ὁ Ἡρακλῆς, εἰ τοῖς ἐν οἴκῳ παρεκάθητο, τίς ἂν ἦν; Εὐρυσθεύς, καὶ οὐχὶ Ἡρακλῆς. Ἄγε, πόσους δέ, περιερχόμενος τὴν οἰκουμένην, συνήθεις ἔσχε καὶ φίλους; Ἀλλ' οὐδὲν φίλτερον τοῦ θεοῦ· διὰ τοῦτο ἐπιστεύθη Διὸς εἶναι υἱός, καὶ ἦν. Ἐκείνῳ τοίνυν πειθόμενος, περιῄει καθαίρων ἀδικίαν καὶ ἀνομίαν. (45) Ἀλλ' οὐκ εἶ Ἡρακλῆς, καὶ οὐ δύνασαι καθαίρειν τὰ ἀλλότρια κακά; ἀλλ' οὐδὲ Θησεύς, ἵνα τὰ τῆς Ἀττικῆς καθάρῃς; Τὰ σαυτοῦ κάθαρον· ἐντεῦθεν, ἐκ τῆς διανοίας, ἔκβαλε, ἀντὶ Προκρούστου καὶ Σκίρωνος, λύπην, φόβον, ἐπιθυμίαν, φθόνον, ἐπιχαιρεκακίαν, φιλαργυρίαν, μαλακίαν, ἀκρασίαν.

32. Ah, quando Athenas et arcem iterum videbo! Miser, non satis ea tibi sunt, quæ quotidie vides? potesne præstantius aliquid aut majus videre sole, luna, stellis, terra universa, mari? (33) Quodsi gubernatorem universi ratione assequeris, eumque in temetipso circumfers, adhuc desideras lapillos et rupem elegantem? Quando igitur ipsum solem et lunam relinquere oportebit, quid facies? sedebis plorans, ut pueri? (34) Quid ergo in schola faciebas? quid audiebas? quid discebas? quid philosophi nomen usurpasti, cum ea tibi usurpare posses quæ vera sunt? te introductionibus nonnullis operam dedisse, et Chrysippi libros aliquos legisse, philosophiam vero ne a janua quidem salutasse. (35) Nam quid mihi rei cum illo negotio est, quod Socrates tractavit, qui ita mortuus est, ita vixit? aut quod tractavit Diogenes? (36) Horum aliquem plorasse cogitas, aut succensuisse, quod istum aut istam non amplius esset visurus? quod Athenis aut Corinthi non futurus esset; sed fortasse Susis, aut Ecbatanis? (37) Nam cui de convivio abire licet cum volet, et non amplius ludere, isne dolebit quamdiu manet? nonne vero, veluti ludo, interesse perget quoad eo delectatur? (38) Talis sane homo, *qualis tu*, tulerit scilicet, si perpetuo exsilio mulctetur, aut si capitis condemnetur!

39. Non vis tandem, ut pueri, ablactari et cibum capessere solidiorem? non plorare mammas desines et nutriculas, aniles ejulatus? (40) At discedens, mœrorem eis afferam. Tu illis mœrorem afferes? nequaquam vero tu; sed id, quod et tibi dolorem affert, decretum. Quid ergo facere potes? Tu tuum abjicito : abjicient et illæ suum, si sapient, ipsæ; quod si non fecerint, suapte culpa plorabunt. (41) Mi homo, jam tandem res omnes despera, ut aiunt, pro tranquillitate, pro libertate, pro animi magnitudine! Cervices tandem erige, tamquam servitute liberatus. (42) Aude tandem sublatis ad deum oculis dicere : « Tracta me « posthac arbitratu tuo : idem tecum sentio; tuus sum : « nihil recuso, quod tibi videbitur : quo voles, ducito : qua « me voles veste induito. Vis me fungi magistratu? priva« tam agere vitam? manere? exsulare? pauperie conflictari? « opibus abundare? Ego te in his rebus omnibus apud « homines defendam : ostendam rei cujusque naturam, « qualis est. » (43) Non ita : sed potius in ventre bovis sedens, exspecta materculam tuam, dum te pascat. (44) Hercules, si domesticis suis adsedisset, quis fuisset? Eurystheus, non Hercules. Age vero; terrarum orbem peragrans ille, quot familiares habuit, quot amicos? Sed nihil ei carius fuit deo : eaque de caussa Jovis filius est habitus, ac fuit. Illi igitur obtemperans circumibat, ut injuriam et iniquitatem expurgaret. (45) At tu non es Hercules, nec aliena purgare mala potes? ac ne Theseus quidem es, ut Atticæ mala purges? Tua ipsius purgato : ex animo ejice, loco Procrustæ et Scironis, tristitiam, timorem, cupiditatem, invidiam, malevolentiam, avaritiam, mollitiem, in-

(46) Ταῦτα δ' οὐκ ἔστιν ἄλλως ἐκβαλεῖν, εἰ μὴ πρὸς μόνον τὸν θεὸν ἀποβλέποντα, ἐκείνῳ μόνῳ προσπεπονθότα, τοῖς ἐκείνου προστάγμασι καθωσιωμένον. (47) Ἂν δ' ἄλλο τι θέλῃς, οἰμώζων καὶ στένων ἀκολουθήσεις τῷ ἰσχυροτέρῳ· ἔξω ζητῶν ἀεὶ τὴν εὔροιαν, καὶ μηδέ ποτ' εὑρεῖν δυνάμενος. Ἐκεῖ γὰρ αὐτὴν ζητεῖς, οὗ μή ἐστιν, ἀφεὶς ἐκεῖ ζητεῖν ὅπου ἐστίν.

ΚΕΦ. ΙΖ'.

Πῶς ἐφαρμοστέον τὰς προλήψεις τοῖς ἐπὶ μέρους.

1. Τί πρῶτόν ἐστιν ἔργον τοῦ φιλοσοφοῦντος; Ἀποβαλεῖν οἴησιν. Ἀμήχανον γὰρ ἅ τις εἰδέναι οἴεται, ταῦτα ἄρξασθαι μανθάνειν. (2) Τὰ μὲν οὖν ποιητέα καὶ οὐ ποιητέα, καὶ ἀγαθὰ καὶ κακὰ, καὶ καλὰ καὶ αἰσχρὰ πάντες ἄνω καὶ κάτω λαλοῦντες ἐρχόμεθα πρὸς τοὺς φιλοσόφους· ἐπὶ τούτοις ἐπαινοῦντες, ψέγοντες, ἐγκαλοῦντες, μεμφόμενοι, περὶ ἐπιτηδευμάτων καλῶν καὶ αἰσχρῶν ἐπικρίνοντες καὶ διαλαμβάνοντες. (3) Τίνος δ' ἕνεκα προσερχόμεθα τοῖς φιλοσόφοις; Μαθεῖν θέλοντες ἃ οὐκ οἰόμεθα εἰδέναι. Τίνα δ' ἐστὶ ταῦτα; Τὰ θεωρήματα. Ἃ γὰρ λαλοῦσιν οἱ φιλόσοφοι, μαθεῖν θέλομεν, [οἱ μὲν] ὡς κομψὰ καὶ δριμέα· οἱ δ' ἵν' ἀπ' αὐτῶν [τι] περιποιήσωνται. (4) Γελοῖον οὖν τὸ οἴεσθαι ὅτι ἄλλα μέν τις μαθεῖν βούλεται, ἄλλα δὲ μαθήσεται· ἢ λοιπὸν, ὅτι προκόψει τις ἐν οἷς οὐ μανθάνει. (5) Τὸ δ' ἐξαπατῶν τοὺς πολλοὺς τοῦτ' ἔστιν, ὅπερ καὶ Θεόπομπον τὸν ῥήτορα, ὅς που καὶ Πλάτωνι ἐγκαλεῖ ἐπὶ τῷ βούλεσθαι ἕκαστα ὁρίζεσθαι. (6) Τί γὰρ λέγει; « Οὐδεὶς ἡμῶν πρὸ σοῦ ἔλεγεν ἀγαθὸν ἢ δίκαιον; ἢ μὴ παρακολουθοῦντες τί ἐστι τούτων ἕκαστον, ἀσήμως καὶ κενῶς ἐφθεγγόμεθα τὰς φωνάς; » (7) Τίς γάρ σοι λέγει, Θεόπομπε, ὅτι ἐννοίας οὐκ εἴχομεν ἑκάστου τούτων φυσικὰς, καὶ προλήψεις; ἀλλ' οὐχ οἷόν τε ἐφαρμόζειν τὰς προλήψεις ταῖς καταλλήλοις οὐσίαις, μὴ διαρθρώσαντα αὐτάς· καὶ αὐτὸ τοῦτο σκεψάμενον, ποίαν τινὰ ἑκάστῃ αὐτῶν οὐσίαν ὑποτακτέον. (8) Ἐπεὶ τοιαῦτα λέγε καὶ πρὸς τοὺς ἰατρούς. Τίς γὰρ ἡμῶν οὐκ ἔλεγεν ὑγιεινόν τι καὶ νοσερὸν, πρὶν Ἱπποκράτη γενέσθαι; ἢ κενῶς τὰς φωνὰς ταύτας ἀπηχοῦμεν; (9) Ἔχομεν γάρ τινα καὶ ὑγιεινοῦ πρόληψιν, ἀλλ' ἐφαρμόσαι οὐ δυνάμεθα. Διὰ τοῦτο ὁ μὲν λέγει, ἀνάτεινον· ὁ δὲ λέγει, δὸς τροφήν· καὶ ὁ μὲν λέγει, φλεβοτόμησον· ὁ δὲ λέγει, σικύασον. Τί τὸ αἴτιον; ἄλλο γε ἢ ὅτι τὴν τοῦ ὑγιεινοῦ πρόληψιν οὐ δύναται καλῶς ἐφαρμόσαι τοῖς ἐπὶ μέρους;

10. Οὕτως ἔχει καὶ ἐνθάδε· περὶ τῶν κατὰ τὸν βίον ἀγαθῶν καὶ κακῶν, καὶ συμφόρων καὶ ἀσυμφόρων, τίς ἡμῶν οὐ λαλεῖ; τίς γὰρ ἡμῶν οὐκ ἔχει τούτων ἑκάστου πρόληψιν; Ἆρ' οὖν διηρθρωμένην καὶ τελείαν; τοῦτο δεῖξον. (11) Πῶς δείξω; Ἐφάρμοσον αὐτὴν καλῶς ταῖς ἐπὶ μέρους οὐσίαις. Εὐθὺς, τοὺς ὅρους Πλάτων μὲν ὑποτάσσει τῇ τοῦ χρησίμου προλήψει, σὺ δὲ τῇ τοῦ ἀχρήστου. (12) Δυνατὸν οὖν ἐστιν ἀμφοτέρους ὑμᾶς

temperantiam. (46) Hæc vero aliter ejici non possunt, nisi ad solum respicias deum, eique soli sis addictus, et illius mandatis consecratus. (47) Sin quid aliud voles, gemens et plorans sequeris robustiorem : et foris semper quæreas tranquillitatem, numquam ad eam pervenire poteris, ut qui, omisso loco in quo est, ibi eam quæris ubi non est.

CAP. XVII.

Quomodo anticipationes singulis rebus sint accommodandæ.

1. Quodnam est primum philosophantis officium? Abjicere scientiæ opinationem. Fieri enim non potest ut, quæ quis scire se opinatur, ea discere incipiat. (2) Jam vero facienda et non facienda, bona et mala, honesta et turpia, sursum ac deorsum lingua versantes, philosophos adimus : harum rerum caussa laudamus, reprehendimus, accusamus, conquerimur, de institutis honestis et turpibus judicamus et disceptamus. (3) Qua vero de caussa philosophos accedimus? Discere volumus ea quæ nos ignorare putamus. Quæ autem illa sunt? Præceptiones. Nam quæ philosophi loquuntur, ea discere volumus; alii, ut elegantia et acuta; alii, ut quæstum inde faciant. (4) Est igitur ridiculum, putare, fore ut aliquis alia velit discere, alia discat, aut in iis denique proficiat quæ non discit. (5) Et eadem re vulgus decipitur, quæ Theopompum oratorem decepit, cum Platonem etiam accusat, quod definiri omnia volebat. (6) Quid enim ait? « Nemone nostrûm ante te Bonum dixit, et « Justum? Aut, non intelligentes, quid horum quidque es« set, citra significationem et inaniter voces illas sonaba« mus? » (7) Quis vero istud tibi dicit, Theopompe, nos cujusque horum naturales notiones non habuisse, atque anticipationes? At illud fieri non potest, ut anticipationes istas rebus consentaneis accommodemus, nisi prius illas evolverimus; atque id ipsum consideraverimus, quæ res cuique earum subjiciendæ sint. (8) Nam eadem ista medicis etiam objicere potes. Quis enim nostrûm non salubre aliquid aut insalubre dixit, priusquam Hippocrates nasceretur? an voces istas inaniter resonabamus? (9) Habemus enim aliquam etiam ejus quod salubre est anticipationem; sed accommodare eam non possumus : eoque alius abstinere, alius dare cibum jubet, alius venam incidere, alius cucurbitulas apponere. Quæ alia caussa est, nisi quod sanitatis anticipationem rebus singulis recte accommodare nesciunt?

10. Ita ergo se res etiam hic habet. De bonis in vita rebus et malis, de utilibus et inutilibus, quis nostrûm non loquitur? quis enim nostrûm non habet horum cujusque anticipatam aliquam notionem? Eone vero etiam distinctam et perfectam? Istud ostendito. (11) Quo modo ostendam? Recte accommoda eam rebus singulis. Ac ne longius abeam, Plato definitiones subjicit utilitatis notioni, tu vero inutilitatis. (12) Ergone fieri potest ut vestrûm uterque verum

ἐπιτυγχάνειν; Πῶς οἷόν τε; Τῇ δὲ τοῦ πλούτου οὐσίᾳ οὐχ ὁ μέν τις ἐφαρμόζει τὴν τοῦ ἀγαθοῦ πρόληψιν, ὁ δ' οὔ; τῇ δὲ τῆς ἡδονῆς; τῇ δὲ τῆς ὑγιείας; (13) Καθόλου γὰρ, εἰ πάντες οἱ τὰ ὀνόματα λαλοῦντες ἱκανῶς ἴσμεν ἕκαστα τούτων, καὶ μηδεμιᾶς ἐπιμελείας περὶ τὴν διάρθρωσιν τῶν προλήψεων δεόμεθα, τί διαφερόμεθα; τί πολεμοῦμεν; τί ψέγομεν ἀλλήλους;

14. Καὶ τί μοι νῦν τὴν πρὸς ἀλλήλους μάχην παραφέρειν καὶ ταύτης μεμνῆσθαι; σὺ αὐτὸς, εἰ ἐφαρμόζεις καλῶς τὰς προλήψεις, διὰ τί δυσροεῖς; διὰ τί ἐμποδίζῃ; (15) Ἀφῶμεν ἄρτι τὸν δεύτερον τόπον, τὸν περὶ τὰς ὁρμὰς, καὶ τὴν κατὰ ταύτας περὶ τὸ καθῆκον φιλοτεχνίαν. Ἀφῶμεν καὶ τὸν τρίτον, τὸν περὶ τὰς συγκαταθέσεις. (16) Χαρίζομαί σοι ταῦτα πάντα. Στῶμεν ἐπὶ τοῦ πρώτου καὶ σχεδὸν αἰσθητὴν παρέχοντος τὴν ἀπόδειξιν τοῦ μὴ ἐφαρμόζειν καλῶς τὰς προλήψεις. (17) Νῦν σὺ θέλεις τὰ δυνατὰ, καὶ τὰ σοὶ δυνατά; Τί οὖν ἐμποδίζῃ; διὰ τί δυσροεῖς; Νῦν οὐ φεύγεις τὰ ἀναγκαῖα; Διὰ τί οὖν περιπίπτεις τινί; διὰ τί δυστυχεῖς; διὰ τί θέλοντός σού τι, οὐ γίνεται; καὶ μὴ θέλοντος, γίνεται; (18) Ἀπόδειξις γὰρ αὕτη μεγίστη δυσροίας καὶ κακοδαιμονίας· Θέλω τι, καὶ οὐ γίνεται. Καὶ τί ἐστιν ἀθλιώτερον ἐμοῦ;

19. Τοῦτο καὶ ἡ Μήδεια οὐχ ὑπομείνασα, ἦλθεν ἐπὶ τὸ ἀποκτεῖναι τὰ ἴδια τέκνα. Μεγαλοφυῶς, κατά γε τοῦτο. Εἶχε γὰρ ἣν δεῖ φαντασίαν, οἷόν ἐστι τὸ, ἃ θέλει, τινὶ μὴ προχωρεῖν. (20) « Εἶτα οὐ τιμωρήσομαι τὸν ἀδικήσαντά με καὶ ὑβρίσαντα; Καὶ τί ὄφελος τοῦ κακῶς οὕτω διακειμένου; Πῶς οὖν γένηται; Ἀποκτείνω μου τὰ τέκνα· ἀλλὰ καὶ ἐμαυτὴν τιμωρήσομαι. Καὶ τί μοι μέλει; » (21) Τοῦτ' ἔστιν ἔκπτωσις ψυχῆς μεγάλα νεῦρα ἐχούσης. Οὐ γὰρ ᾔδει, ποῦ κεῖται τὸ ποιεῖν ἃ θέλομεν, ὅτι τοῦτο οὐκ ἔξωθεν δεῖ λαμβάνειν, οὐδὲ τὰ πράγματα μετατιθέντα καὶ μεθαρμοζόμενον. (22) Μὴ θέλε τὸν ἄνδρα, καὶ οὐδὲν ὧν θέλεις οὐ γίνεται. Μὴ θέλε αὐτὸν ἐξ ἅπαντός σοι συνοικεῖν· μὴ θέλε μένειν ἐν Κορίνθῳ· καὶ ἁπλῶς μηδὲν ἄλλο θέλε, ἢ ἃ ὁ θεὸς θέλει. Καὶ τίς σε κωλύσει; τίς σε ἀναγκάσει; οὐ μᾶλλον ἢ τὸν Δία.

23. Ὅταν τοιοῦτον ἔχῃς ἡγεμόνα, καὶ τοιούτῳ συνθέλῃς καὶ συνορέγῃ, τί φοβῇ ἔτι μὴ ἀποτύχῃς; (24) Χάρισαί σου τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν πενίᾳ καὶ πλούτῳ, ἀποτεύξῃ, περιπτώσεις. Ἀλλ' ὑγιείᾳ, δυστυχήσεις· ἀρχαῖς, τιμαῖς, πατρίδι, φίλοις, τέκνοις, ἁπλῶς ἄν τινι τῶν ἀπροαιρέτων. (25) Ἀλλὰ τῷ Διὶ χάρισαι αὐτὰς, τοῖς ἄλλοις θεοῖς· ἐκείνοις παράδος, ἐκεῖνοι κυβερνάτωσαν, μετ' ἐκείνων τετάχθωσαν· καὶ ποῦ ἔτι δυσροήσεις; (26) Εἰ δὲ φθονεῖς, ἀταλαίπωρε, καὶ ἐλεεῖς, καὶ ζηλοτυπεῖς καὶ τρέμεις, καὶ μίαν ἡμέραν οὐ διαλείπεις ἐν ᾗ οὐ κατακλάεις καὶ σαυτοῦ καὶ τῶν θεῶν, καὶ τί ἔτι λέγεις πεπαιδεῦσθαι; (27) Ποίαν παιδείαν, ἄνθρωπε; ὅτι συλλογισμοὺς ἔπραξας [καὶ] μεταπίπτοντας; οὐ θέλεις ἀπομαθεῖν, εἰ δυνατὸν, πάντα ταῦτα; καὶ ἄνωθεν ἄρξασθαι, συναισθανόμενος ὅτι

teneat? Fieri qui potest? Divitiarum item naturæ nonne alius notionem boni accommodat, alius non? eodemque modo et naturæ voluptatis, et sanitatis? (13) Etenim omnino, si omnes, qui vocabula ista usurpamus, satis commode novimus quasque illarum rerum, neque opus est ut operam demus evolutioni notionum anticipatarum; cur dissentimus? cur pugnamus? cur nos invicem reprehendimus?

14. Sed quid nunc attinet hominum inter se pugnas proferre, earumque facere mentionem? Tu ipse, si notiones recte accommodas, cur miser es? cur impediris? (15) Omittamus nunc secundum locum, de impetu, et disputationem de officio, quod ex illo ducitur. Omittamus et tertium, de assensionibus. (16) Condono tibi hæc omnia: insistamus primo, qui demonstrationem sensui pæne obviam suppeditat, quam parum recte rebus accommodemus notiones. (17) Nunc tu ea vis, quæ et fieri, et a te fieri possunt? Cur ergo impediris? cur miser es? Tu nunc non fugis necessaria? Cur ergo subinde in aliquid eorum, quæ fugis, incidis? cur infelix es? cur, te volente aliquid, non fit? cur fit, te nolente? (18) Hæc enim demonstratio maxima est miseriæ et infelicitatis: Volo aliquid et non fit! et quid est me miserius?

19. Hoc Medea cum non sustineret, eo venit ut proprios etiam liberos occideret. Magno quidem hactenus animo. Habebat enim rectam opinionem, quale hoc esset, si, quod quis cupit, id ei non succederet. (20) « tum ego, *ait*, « non ulciscar eum qui injuria et contumelia me affecit? At « quid me juvabit, si is tanto malo fuerit affectus? Quid « igitur fiet? Liberos meos occidam: sed et me ipsam puniam. Et quid hoc ego curo? » (21) Hæc est prolapsio animi magnos nervos habentis. Nec enim norat ubi situm esset facere quæ vellemus; id non sumendum esse extrinsecus, neque res transferendas et mutandas. (22) Noli appetere maritum: sic nihil quod voles, non fiet. Noli pertinaciter et sine exceptione cupere, ut ille tecum habitet. Ne cupias manere Corinthi: denique omnino nihil velis aliud, nisi quæ vult deus. Et quis te prohibebit? quis te coget? *Nemo;* non magis quam Jovem.

23. Quum talem habueris ducem, conjunctamque cum eo voluntatem et impetum, quid etiamnum times ne frustreris? (24) Si tuam appetitionem et declinationem paupertati et opulentiæ donaris; frustraberis, incides in ea quæ nolles: si sanitati; calamitosus eris: si magistratibus, honoribus, patriæ, amicis, liberis; in summa, si cuiquam earum rerum quæ in hominis potestate non sunt. (25) Sed Jovi eas donato, et ceteris diis; illis eas tradito, illi gubernanto, cum illis stet et appetitio et declinatio tua: ubi tum successu carebis? (26) At si invides, ignave! et misereris, et æmularis, et tremis, et unum non intermittis diem quo non et tibi et Diis opplores; quid adhuc te eruditum esse dicis? (27) Qua disciplina, homo? quia syllogismis operam dedisti et sophismatibus? Non dedisces potius, fieri si potest, ista omnia? et de integro auspicaberis, atque agnosces

μέχρι νῦν οὐδ' ἧψω τοῦ πράγματος; (28) καὶ λοιπὸν, ἔνθεν ἀρξάμενος, προσοικοδομεῖν τὰ ἑξῆς, πῶς μηθὲν ἔσται, σοῦ μὴ θέλοντος· θέλοντος, μηθὲν οὐχ ἔσται;

29. Δότε μοι ἕνα νέον κατὰ ταύτην ἐπιβολὴν ἐληλυθότα εἰς σχολὴν, τούτου τοῦ πράγματος ἀθλητὴν γενόμενον, καὶ λέγοντα, ὅτι Ἐμοὶ τὰ μὲν ἄλλα πάντα χαιρέτω, ἀρκεῖ δ' εἰ ἐξέσται ποτὲ ἀπαραποδίστως καὶ ἀλύπως διαγαγεῖν, καὶ ἀνατεῖναι τὸν τράχηλον πρὸς τὰ πράγματα ὡς ἐλεύθερον, καὶ εἰς τὸν οὐρανὸν ἀναβλέπειν ὡς φίλον τοῦ θεοῦ, μηδὲν φοβούμενον τῶν συμβῆναι δυναμένων. (30) Δειξάτω τις ὑμῶν τὸν τοιοῦτον, ἵν' εἴπω, Ἔρχου, νεανίσκε, εἰς τὰ σά· σοὶ γὰρ εἵμαρται κοσμῆσαι φιλοσοφίαν· σά ἐστι ταῦτα τὰ κτήματα, σὰ τὰ βιβλία, σοὶ οἱ λόγοι. (31) Εἶθ', ὅταν τοῦτον ἐκπονήσῃ καὶ καταθλήσῃ τὸν τόπον, πάλιν ἐλθών μοι εἰπάτω· Ἐγὼ θέλω μὲν καὶ ἀπαθὴς εἶναι καὶ ἀτάραχος· θέλω δ', ὡς εὐσεβὴς καὶ φιλόσοφος καὶ ἐπιμελὴς, εἰδέναι τί μοι πρὸς θεούς ἐστι καθῆκον, τί πρὸς γονεῖς, τί πρὸς ἀδελφοὺς, τί πρὸς πατρίδα, τί πρὸς ξένους. (32) Ἔρχου καὶ ἐπὶ τὸν δεύτερον τόπον· σός ἐστι καὶ οὗτος. (33) Ἀλλ' ἤδη καὶ τὸν δεύτερον τόπον ἐκμεμελέτηκα. Ἤθελον δ' ἀσφαλῶς ἔχειν καὶ ἀσείστως, καὶ οὐ μόνον ἐγρηγορὼς, ἀλλὰ καὶ καθεύδων καὶ οἰνωμένος καὶ ἐν μελαγχολίᾳ. Σὺ θεὸς εἶ, ὦ ἄνθρωπε, σὺ μεγάλας ἔχεις ἐπιβολάς.

34. Οὔχ· ἀλλ' ἐγὼ θέλω γνῶναι τί λέγει Χρύσιππος ἐν τοῖς περὶ τοῦ Ψευδομένου. Οὐκ ἀπάγξῃ μετὰ τῆς ἐπιβολῆς ταύτης, τάλας; Καὶ τί σοι ὄφελος ἔσται; Πενθῶν ἅπαν ἀναγνώσῃ, καὶ τρέμων πρὸς ἄλλους ἐρεῖς. Οὕτω καὶ ὑμεῖς ποιεῖτε. (35) Θέλεις ἀναγνῶ σοι, ἀδελφέ καὶ σὺ ἐμοί; Θαυμαστῶς, ἄνθρωπε, γράφεις· καὶ σὺ μεγάλως, εἰς τὸν Ξενοφῶντος χαρακτῆρα, σὺ εἰς τὸν Πλάτωνος, σὺ εἰς τὸν Ἀντισθένους. (36) Εἶτ' ἀλλήλοις ὀνείρους διηγησάμενοι, πάλιν ἐπὶ ταὐτὰ ἐπανέρχεσθε· ὡσαύτως ὀρέγεσθε, ὡσαύτως ἐκκλίνετε, ὁμοίως ὁρμᾶτε, ἐπιβάλλεσθε, προτίθεσθε, ταὐτὰ εὔχεσθε, περὶ ταὐτὰ σπουδάζετε. (37) Εἶτα οὐδὲ ζητεῖτε τὸν ὑπομνήσοντα ὑμᾶς, ἀλλ' ἄχθεσθε ἐὰν ἀκούητε τούτων. Εἶτα λέγετε, Ἀφιλόστοργος γέρων· ἐξερχομένου μου οὐκ ἔκλαυσεν, οὐδ' εἶπεν, Εἰς οἵαν περίστασιν ἀπέρχῃ μοι, τέκνον· ἂν σωθῇς, ἅψω λύχνους. (38) Ταῦτ' ἐστὶ τὰ τοῦ φιλοστόργου. Μέγα σοι ἀγαθὸν ἔσται σωθέντι. Τοιούτῳ καὶ λύχνον ἅπτειν ἄξιον· ἀθάνατον γὰρ εἶναί σε δεῖ, καὶ ἄνοσον.

39. Ταύτην οὖν, ὅπερ λέγω, τὴν οἴησιν, τὴν τοῦ δοκεῖν εἰδέναι τι τῶν χρησίμων, ἀποβάλλοντας, ἔρχεσθαι δεῖ πρὸς τὸν λόγον, ὡς πρὸς τὰ γεωμετρικὰ προσάγομεν, ὡς πρὸς τὰ μουσικά· (40) εἰ δὲ μὴ, οὐδ' ἐγγὺς ἐσόμεθα τοῦ προκόψαι, κἂν πάσας τὰς εἰσαγωγὰς καὶ τὰς συντάξεις τὰς Χρυσίππου μετὰ τῶν Ἀντιπάτρου καὶ Ἀρχεδήμου διέλθωμεν.

te hactenus negotium ne attigisse quidem? (28) ceterum hinc auspicatus, astrues deinceps ea quæ sequuntur, quo tandem id consequaris, ut nihil fiat te nolente, nihil te volente non fiat?

29. Date mihi unum adolescentem, qui hoc consilio in scholam venerit, qui pugilis instar in hac arena decertans dicat: « Equidem omnia cetera valere jubeo: sed satis erit « si quando mihi licuerit citra impedimenta citraque mole« stias ætatem degere, et porrigere collum ad negotia tam« quam libero, et in cœlum intueri ut amico dei, nihil me« tuenti quod possit accidere. » (30) Ostendat vestrûm aliquis talem, ut dicam, Veni, adolescentule, in tua: nam in fatis est, ut tu philosophiam exornes: tuæ sunt hæ possessiones, tui libelli, tuæ disputationes. (31) Deinde postquam in primo hoc loco elaborarit et probe exercitatus fuerit, rursus adesto mihi, dicatque: « Ego quidem volo affecti« bus et perturbationibus animi carere: volo vero etiam, « ut pius et ut sapientiæ studiosus, et ut diligens homo, « scire quod sit meum erga deos officium, quod erga pa« rentes, quod erga fratres, quod erga patriam, quod erga « hospites. » (32) Accedito etiam ad alterum locum: et hic tuus est. (33) « Sed jam et altero in loco satis versatus « sum: volo vero etiam tutus esse et inconcussus, neque « id vigilans duntaxat, sed et dormiens, et potus, et in « melancholia. » Tu deus es, o homo; tu magna habes proposita!

34. « Non; sed cognoscere ego volo, quid Chrysippus « dicat in tractatu de Mentiente. » — Non suspendes te, o miser, cum isto tuo proposito? Et quem inde fructum capies? Lugens omnia leges, et tremens ad alios dices. Sic et vos facitis. (35) Vis recitem tibi, frater, et tu mihi? Præclare, homo, scribis: et tu magnifice, ad imitationem Xenophontis; tu Platonis, tu Antisthenis stylum exprimis. (36) Et sic aliis alii somnia narrantes, rursus ad eadem revertimini; eodem modo appetitis, eodem modo declinatis; eosdem impetus, eosdem conatus, eadem proposita habetis; eadem optatis, iisdem rebus studetis. (37) Deinde ne quæritis quidem a quo commonefiatis, sed doletis ubi hæc audieritis; et dicitis, O inhumanum senem! non lamentatus est me discedente; neque dixit, In quod te discrimen conjicis, fili! si incolumis evaseris, lucernas accendam. (38) Hæc sunt viri humani. Magnum tibi bonum erit, si salvus redibis. Tali lucernam accendere operæ pretium est: nam te immortalem esse decet, et morborum expertem!

39. Hac igitur, inquam, arrogantia, qua quid utile sit, scire nobis videmur, abjecta, ad doctrinam veniendum est, sicut ad geometrica accedimus, sicut ad musica: (40) alioqui multum aberit ut proficiamus, tametsi omnes institutiones, omnes commentarios et Chrysippi et Antipatri et Archedemi perlegerimus.

ΚΕΦ. ΙΗ'.

Πῶς ἀγωνιστέον πρὸς τὰς φαντασίας.

1. Πᾶσα ἕξις καὶ δύναμις ὑπὸ τῶν καταλλήλων ἔργων συνέχεται καὶ αὔξεται· ἡ περιπατητικὴ ὑπὸ τοῦ περιπατεῖν, ἡ τροχαστικὴ ὑπὸ τοῦ τρέχειν. (2) Ἂν θέλῃς ἀναγνωστικὸς εἶναι, ἀναγίνωσκε· ἂν γραφικός, γράφε. Ὅταν δὲ τριάκοντα ἐφεξῆς ἡμέρας μὴ ἀναγνῷς, ἀλλ' ἄλλο τι πράξῃς, γνώσῃ τὸ γινόμενον. (3) Οὕτω κἂν ἀναπέσῃς δέκα ἡμέρας, ἀναστὰς ἐπιχείρησον μακροτέραν ὁδὸν περιπατῆσαι, καὶ ὄψει πῶς σου τὰ σκέλη παραλύεται. (4) Καθόλου οὖν, εἴ τι ποιεῖν ἐθέλεις ἑκτικόν, ποίει αὐτό· εἴ τι μὴ ποιεῖν ἐθέλεις, μὴ ποίει αὐτό, ἀλλ' ἔθιζον ἄλλο τι πράττειν μᾶλλον ἀντ' αὐτοῦ. (5) Οὕτως ἔχει καὶ ἐπὶ τῶν ψυχικῶν· ὅταν ὀργισθῇς, γίνωσκε ὅτι οὐ μόνον σοι τοῦτο γέγονε κακόν, ἀλλ' ὅτι καὶ τὴν ἕξιν ηὔξησας, καὶ ὡς πυρὶ φρύγανα παρέβαλες. (6) Ὅταν ἡττηθῇς τινος ἐν συνουσίᾳ, μὴ τὴν μίαν ἧτταν ταύτην λογίζου, ἀλλ' ὅτι καὶ τὴν ἀκρασίαν σου τέτροφας, ἐπηύξησας. (7) Ἀδύνατον γὰρ ἀπὸ τῶν καταλλήλων ἔργων μὴ καὶ τὰς ἕξεις καὶ τὰς δυνάμεις, τὰς μὲν ἐμφύεσθαι μὴ πρότερον οὔσας, τὰς δ' ἐπιτείνεσθαι καὶ ἰσχυροποιεῖσθαι.

8. Οὕτως ἀμέλει καὶ τὰ ἀῤῥωστήματα ὑποφύεσθαι λέγουσιν οἱ φιλόσοφοι. Ὅταν γὰρ ἅπαξ ἐπιθυμήσῃς ἀργυρίου, ἂν μὲν προσαχθῇ λόγος εἰς αἴσθησιν ἄξων τοῦ κακοῦ, πέπαυταί τε ἡ ἐπιθυμία καὶ τὸ ἡγεμονικὸν ἡμῶν εἰς τὸ ἐξαρχῆς ἀποκατέστη· (9) ἐὰν δὲ μηδὲν προσαγάγῃς εἰς θεραπείαν, οὐκέτι εἰς ταὐτὰ ἐπάνεισιν, ἀλλὰ πάλιν ἐρεθισθὲν ὑπὸ τῆς καταλλήλου φαντασίας, θᾶττον ἢ πρότερον ἐξήφθη πρὸς τὴν ἐπιθυμίαν. Καὶ τούτου συνεχῶς γινομένου τυλοῦται λοιπόν, καὶ τὸ ἀῤῥώστημα βεβαιοῖ τὴν φιλαργυρίαν. (10) Ὁ γὰρ πυρέξας, εἶτα παυσάμενος, οὐχ ὁμοίως ἔχει τῷ πρὸ τοῦ πυρέξαι, ἂν μὴ θεραπευθῇ εἰσάπαν. (11) Τοιοῦτόν τι καὶ ἐπὶ τῶν τῆς ψυχῆς παθῶν γίνεται. Ἴχνη τινὰ καὶ μώλωπες ἀπολείπονται ἐν αὐτῇ, οὓς εἰ μή τις ἐξαλείψει καλῶς, πάλιν κατὰ τῶν αὐτῶν μαστιγωθεὶς, οὐκέτι μώλωπας, ἀλλ' ἕλκη ποιεῖ. (12) Εἰ οὖν θέλεις μὴ εἶναι ὀργίλος, μὴ τρέφε σου τὴν ἕξιν, μηδὲν αὐτῇ παράβαλλε αὐξητικόν· τὴν πρώτην ἡσύχασον, καὶ τὰς ἡμέρας ἀρίθμει ἃς οὐκ ὠργίσθης. (13) Καθ' ἡμέραν εἰώθειν ὀργίζεσθαι, νῦν παρ' ἡμέραν, εἶτα παρὰ δύο, εἶτα παρὰ τρεῖς. Ἂν δὲ καὶ τριάκοντα παραλίπῃς, ἐπίθυσον τῷ θεῷ. Ἡ γὰρ ἕξις ἐκλύεται τὴν πρώτην, εἶτα καὶ παντελῶς ἀναιρεῖται. (14) Σήμερον οὐχ ἐλυπήθην, οὐδ' αὔριον, οὐδ' ἐφεξῆς διμήνῳ καὶ τριμήνῳ· ἀλλὰ προσέσχον, γενομένων τινῶν ἐρεθιστικῶν. (15) Γίνωσκε ὅτι κομψῶς σοί ἐστι· Σήμερον καλὸν ἰδὼν ἢ καλήν, οὐκ εἶπον αὐτὸς ἐμαυτῷ, ὅτι Ὄφελόν τις μετὰ ταύτης ἐκοιμήθη; καί, Μακάριος ὁ ἀνὴρ ὁ αὐτῆς (ὁ γὰρ τοῦτ' εἰπών, μακάριος καὶ ὁ μοιχός)· (16) οὐδὲ τὰ ἑξῆς ἀναζωγραφῶ, παροῦσαν αὐτὴν καὶ ἀποδυομένην καὶ παρακατακλινομένην. (17) Καταψῶ τὴν κορυφήν

CAP. XVIII.

Quo pacto cum visis decertandum sit.

1. Omnis habitus et facultas consentaneis actionibus continetur et augetur : ambulationis, ambulando; cursionis, currendo. (2) Si cupis legendo valere, legito : si scribendo, scribito. Sin triginta perpetuos dies nihil legeris, sed aliud quidpiam egeris; intelliges quid fiat. (3) Ita, postquam per decem dies recubueris, surge et iter longius ingredere; videbis ut crura tua fatigentur. (4) Generatim igitur, si cujus rei habitum parare tibi cupis, eam rem age; si ejus habitum contrahere non vis, ne facias, sed assuefias aliud quidpiam potius ejus loco agere. (5) Eadem ratio affectionum animi est : si iratus fueris, non id ipsum duntaxat mali tibi accidisse scito, sed et habitum te auxisse, et tamquam igni sarmenta subjecisse. (6) Quodsi in consuetudine cum puero vel puella succubueris libidini, noli unam illam cladem reputare, sed et hanc, quod incontinentiam tuam aluisti auxistique. (7) Neque enim fieri potest quin a consentaneis factis et habitus et facultates partim inserantur, quæ prius non adfuerint; partim augeantur, et confirmentur.

8. Sic sane philosophi morbos etiam animi suboriri dicunt. Nam si semel pecuniam concupieris, siquidem ratio adhibeatur quæ mali sensum afferat, tum et cupiditas sedata erit et princeps animi pars pristinam auctoritatem recuperarit : (9) sin nullum remedium admoveris, non amplius ad pristinum statum revertetur, sed iterum deinde a consimili viso irritata, celerius quam prius accenditur ad cupiditatem : idque si continenter fiat, tandem occallescit, atque ægrotatio confirmat avaritiam. (10) Nam qui febricitavit, quamvis febris desierit, non tamen ita se habet ut ante febricitationem, nisi penitus fuerit curatus. (11) Consimile quidpiam etiam in animi morbis contingit : vestigia quædam et vibices in eo relinquuntur; quas nisi probe deleveris, flagello rursus in easdem impacto, non jam vibices, sed ulcera contrahes. (12) Si igitur non vis esse iracundus, irascendi habitum ne alito, ne quid ei adjicito quo augeatur : principio quietus esto, et dies numerato quibus iratus non fuisti. (13) Irasci quotidie solebam; nunc alternis diebus; deinde post biduum; deinde post triduum. Quodsi et triginta dies intermiseris, deo sacra facito. Habitus enim primum retunditur; deinde penitus etiam tollitur. (14) Hodie non dolui, neque postridie, neque deinceps bimestri et trimestri : sed mentem diligenter appuli, cum quædam irritantia incidissent. (15) Agnosce, belle tecum agi : Hodie cum formosum aut formosam vidissem, non ipse mihi dixi, Utinam quis cum hac concubuerit! et, Beatus maritus ejus! (nam qui hoc dicit, mœchum etiam beatum dicit;) (16) neque reliqua animo mihi depingo, præsentem eam, et exuentem vestes, et accumbentem. (17) Demulceo verticem meum, et dico : Euge,

μου, καὶ λέγω· Εὖ Ἐπίκτητε, κομψὸν σοφισμάτιον ἔλυσας, πολλῷ κομψότερον τοῦ κυριεύοντος. (18) Ἂν δὲ καὶ βουλομένου τοῦ γυναικαρίου καὶ νεύοντος καὶ προσπέμποντος, ἂν δὲ καὶ ἁπτομένου καὶ συνεγγίζοντος, ἀπόσχωμαι καὶ νικήσω· τοῦτο μὲν ἤδη τὸ σόφισμα ὑπὲρ τὸν ψευδόμενον, ὑπὲρ τὸν ἡσυχάζοντα. Ἐπὶ τούτῳ καὶ μέγα φρονεῖν ἄξιον, οὐχ ἐπὶ τῷ τὸν κυριεύοντα ἐρωτῆσαι.

Epictete, elegantem cavillatiunculam solvisti, multo elegantiorem ea, quam Dominantem quem vocant. (18) Quodsi vero etiam, cum muliercula et ipsa voluerit, et annuerit, et nuncium mihi miserit, atque etiam attrectarit et appropinquarit, tamen abstinuero et vicero; hoc jam sophisma etiam Mentientem superat, et Quiescentem. Et hac re gloriari etiam est operæ pretium, non interrogatione Dominantis.

19. Πῶς οὖν γένηται τοῦτο; Θέλησον ἀρέσαι αὐτός ποτε σεαυτῷ, θέλησον καλὸς φανῆναι τῷ θεῷ· ἐπιθύμησον καθαρὸς μετὰ καθαροῦ σαυτοῦ γενέσθαι, καὶ μετὰ τοῦ θεοῦ. (20) Εἶθ' ὅταν προσπίπτῃ σοί τις φαντασία τοιαύτη, Πλάτων μέν, ὅτι Ἴθι ἐπὶ τὰς ἀποδιοπομπήσεις, ἴθι ἐπὶ θεῶν ἀποτροπαίων ἱερὰ ἱκέτης· (21) ἀρκεῖ [δὲ] κἂν ἐπὶ τὰς τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν συνουσίας ἀποχωρήσας, πρὸς τούτῳ γίνῃ ἀντεξετάζων, ἄν τε τῶν ζώντων τινὰ ἔχῃς, ἄν τε τῶν ἀποθανόντων. (22) Ἄπελθε πρὸς Σωκράτη, καὶ ἴδε αὐτὸν συγκατακείμενον Ἀλκιβιάδῃ, καὶ διαπαίζοντα αὐτοῦ τὴν ὥραν· ἐνθυμήθητι οἵαν νίκην ποτὲ ἔγνω ἐκεῖνος νενικηκότα ἑαυτόν, οἷα Ὀλύμπια· πόστος ἀφ' Ἡρακλέους ἐγένετο· ἵνα τις, νὴ τοὺς θεούς, δικαίως ἀσπάζηται αὐτόν· Χαῖρε, παράδοξε, οὐχὶ τοὺς σαπροὺς τούτους παίκτας καὶ παγκρατιαστὰς νικήσας, οὐδὲ τοὺς ὁμοίους αὐτοῖς τοὺς μονομάχους. (23) Ταῦτα ἀντιτιθεὶς, νικήσεις τὴν φαντασίαν, οὐχ ἑλκυσθήσῃ ὑπ' αὐτῆς. (24) Τὸ πρῶτον δ' ὑπὸ τῆς ὀξύτητος μὴ συναρπασθῇς, ἀλλ' εἰπὲ, Ἔκδεξαί με μικρόν, φαντασία· ἄφες ἴδω τίς εἶ, καὶ περὶ τίνος· ἄφες σε δοκιμάσω. (25) Καὶ τὸ λοιπὸν μὴ ἐφῇς αὐτῇ προάγειν, ἀναζωγραφούσῃ τὰ ἑξῆς· εἰ δὲ μή, οἴχεταί σ' ἕλκουσα ὅπου ἂν θέλῃ. Ἀλλὰ μᾶλλον ἄλλην τινὰ ἀντεισάγαγε καλὴν καὶ γενναίαν φαντασίαν, καὶ ταύτην τὴν ῥυπαρὰν ἔκβαλε. (26) Κἂν ἐθισθῇς οὕτω γυμνάζεσθαι, ὄψει οἷοι ὦμοι γίνονται, οἷα νεῦρα, οἷοι τόνοι· νῦν δὲ μόνον τὰ λογάρια, καὶ πλέον οὐδέν.

19. Quo pacto igitur fiet hoc? Velis tandem ipse placere tibi; velis pulcer et probus videri deo : desiderato purus cum te ipso puro esse, et cum deo. (20) Deinde si quod tibi visum ejusmodi inciderit, Plato quidem ire jubet ad prodigiorum expiationem, et ad deorum averruncorum fana proficisci supplicem : (21) sed satis etiam fuerit, si ad virorum virtute præstantium consuetudinem te receperis, et, seu viventium quempiam habeas, seu defunctorum, id egeris, ut ad hujus exemplum vitam tuam exigas. (22) Abi ad Socratem, cum Alcibiade cubantem vide, et venustatem ejus eludentem : cogita qualem ille se victoriam vicisse intellexerit, qualia Olympia; quotus ab Hercule evaserit : quam merito medius fidius eum quis his verbis salutaverit : Salve, admirande, qui non putidos istos ludiones et quinquerciones vicisti, et similes his gladiatores! (23) Hæc si opposueris, vinces illud visum, nec ab eo traheris. (24) Primum vero vide ne celeritate abripiaris; sed dic : Exspecta me paululum, visum! sine videam quid sis, et qua de re agatur : sine te explorem! (25) Deinde ne permittas ei ut progrediatur, et reliqua tibi ad vivum depingat : alioqui te secum rapiet quo volet. Immo aliud potius ei opponito pulcrum et generosum visum, ac sordidum illud rejicito. (26) Quodsi te ita consuefeceris, ita exercueris; videbis quales futuri sint tibi lacerti, quales nervi, quale robur : nunc solæ sunt ratiunculæ, neque quidquam ulterius.

27. Οὗτός ἐστιν ὁ ταῖς ἀληθείαις ἀσκητὴς, ὁ πρὸς τὰς τοιαύτας φαντασίας γυμνάζων ἑαυτόν. (28) Μεῖνον, τάλας· μὴ συναρπασθῇς· μέγας ὁ ἀγών ἐστι, θεῖον τὸ ἔργον, ὑπὲρ βασιλείας, ὑπὲρ ἐλευθερίας, ὑπὲρ εὐροίας, ὑπὲρ ἀταραξίας. (29) Τοῦ θεοῦ μέμνησο, ἐκεῖνον ἐπικαλοῦ βοηθὸν καὶ παραστάτην, ὡς τοὺς Διοσκόρους ἐν χειμῶνι οἱ πλέοντες. Ποῖος γὰρ μείζων χειμὼν, ἢ ὁ ἐκ φαντασιῶν ἰσχυρῶν καὶ ἐκκρουστικῶν τοῦ λόγου; αὐτὸς γὰρ ὁ χειμὼν τί ἄλλο ἐστὶν ἢ φαντασία; (30) Ἐπεί τοι ἆρον τὸν φόβον τοῦ θανάτου, καὶ φέρε ὅσας θέλεις βροντὰς καὶ ἀστραπὰς, καὶ γνώσῃ ὅση γαλήνη ἐστὶν ἐν τῷ ἡγεμονικῷ καὶ εὐδία. (31) Ἂν δ' ἅπαξ ἡττηθεὶς εἴπῃς ὅτι ὕστερον νικήσεις, εἶτα πάλιν τὸ αὐτὸ, ἴσθι ὅτι οὕτω ποθ' ἕξεις κακῶς καὶ ἀσθενῶς, ὥστε μηδ' ἐφιστάνειν ὕστερον ὅτι ἁμαρτάνεις, ἀλλὰ καὶ ἀπολογίας ἄρξῃ πορίζειν ὑπὲρ τοῦ πράγματος. (32) Καὶ τότε βεβαιώσεις τὸ τοῦ Ἡσιόδου ὅτι ἀληθές ἐστιν,

Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

27. Hic est homo revera exercitator, qui ad congrediendum cum hujusmodi visis se exercet. (28) Mane, miser! ne abripi te patiaris! ingens est certamen, divinum negotium; regnum agitur, libertas agitur, felicitas agitur, vacuitas perturbationum. (29) Dei memento, illum adjutorem advocato et commilitonem, ut Castorem et Pollucem qui in tempestate navigant. Nam quæ major tempestas est, quam quæ e visis oritur validis et rationem excutientibus? ipsa enim tempestas quid est aliud, quam visum? (30) Nam, sublato mortis metu, quot voles tonitrua et fulgura affero; intelliges in principe animi parte serenitatem esse et tranquillitatem. (31) At, si semel victus dixeris, Post vincam; ac deinde rursus eodem modo; scito te tandem ita male habiturum, ita ægrum fore, ut postea ne animadversurus quidem sis te peccare, verum etiam incepturus parare excusationes peccati, (32) et Hesiodei dicti veritatem confirmaturus :

Qui nimium differt, in luctam damna lacessit.

ΚΕΦ. ΙΘ'.

Πρὸς τοὺς μέχρι λόγου μόνον ἀναλαμβάνοντας τὰ τῶν φιλοσόφων.

1. Ὁ κυριεύων λόγος ἀπὸ τοιούτων τινῶν ἀφορμῶν ἠρωτῆσθαι φαίνεται. Κοινῆς γὰρ οὔσης μάχης τοῖς τρισὶ τούτοις πρὸς ἄλληλα, τῷ Πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖον εἶναι, καὶ τῷ Δυνατῷ ἀδύνατον μὴ ἀκολουθεῖν, καὶ τῷ Δυνατὸν εἶναι ὃ οὔτ' ἔστιν ἀληθὲς οὔτ' ἔσται· συνιδὼν τὴν μάχην ταύτην ὁ Διόδωρος, τῇ τῶν πρώτων δυοῖν πιθανότητι συνεχρήσατο πρὸς παράστασιν τοῦ Μηδὲν εἶναι δυνατὸν ὃ οὔτ' ἔστιν ἀληθὲς, οὔτ' ἔσται. (2) Λοιπὸν ὁ μέν τις ταῦτα τηρήσει τῶν δυοῖν, ὅτι ἔστι τέ τι δυνατὸν, ὃ οὔτ' ἔστιν ἀληθὲς, οὔτ' ἔσται· καὶ, δυνατῷ ἀδύνατον οὐκ ἀκολουθεῖ· οὐ πᾶν δὲ παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστι· καθάπερ οἱ περὶ Κλεάνθην φέρεσθαι δοκοῦσιν, οἷς ἐπιπολὺ συνηγόρησεν Ἀντίπατρος. (3) Οἱ δὲ τἄλλα δύο· ὅτι δυνατόν τ' ἐστὶν ὃ οὔτ' ἔστιν ἀληθὲς, οὔτ' ἔσται· καὶ, πᾶν παρεληλυθὸς ἀληθὲς ἀναγκαῖόν ἐστιν· δυνατῷ δ' ἀδύνατον ἀκολουθεῖ. (4) Τὰ τρία δ' ἐκεῖνα τηρῆσαι ἀμήχανον, διὰ τὸ κοινὴν εἶναι αὐτῶν τὴν μάχην.

5. Ἂν οὖν τίς μου πύθηται, Σὺ δὲ ποῖα αὐτῶν τηρεῖς; ἀποκρινοῦμαι πρὸς αὐτὸν, ὅτι Οὐκ οἶδα· παρείληφα δ' ἱστορίαν τοιαύτην, ὅτι Διόδωρος μὲν ἐκεῖνα ἐτήρει, οἱ δὲ περὶ Πανθοίδην οἶμαι καὶ Κλεάνθην τὰ ἄλλα, οἱ δὲ περὶ Χρύσιππον τὰ ἄλλα. (6) Σὺ οὖν τί; Οὐδὲ γέγονα πρὸς τούτῳ, τῷ βασανίσαι τὴν ἐμαυτοῦ φαντασίαν, καὶ συγκρῖναι τὰ λεγόμενα; καὶ δόγμα τι ἐμαυτοῦ ποιήσασθαι καὶ τὸν τόπον. Διὰ τοῦτο οὐδὲν διαφέρω τοῦ γραμματικοῦ. (7) Τίς ἦν ὁ τοῦ Ἕκτορος πατήρ; Πρίαμος. Τίνες ἀδελφοί; Ἀλέξανδρος καὶ Δηίφοβος. Μήτηρ δ' αὐτῶν τίς; Ἑκάβη. Παρείληφα ταύτην τὴν ἱστορίαν. Παρὰ τίνος; Παρ' Ὁμήρου· γράφει δὲ περὶ τῶν αὐτῶν δοκῶ καὶ Ἑλλάνικος, καὶ εἴ τις ἄλλος τοιοῦτος. (8) Κἀγὼ περὶ τοῦ κυριεύοντος τί ἄλλο ἔχω ἀνωτέρω; Ἀλλ' ἂν ὦ κενὸς, μάλιστα ἐπὶ συμποσίῳ καταπλήσσομαι τοὺς παρόντας, ἐξαριθμούμενος τοὺς γεγραφότας. (9) Γέγραφε δὲ καὶ Χρύσιππος θαυμαστῶς ἐν τῷ πρώτῳ περὶ Δυνατῶν· καὶ Κλεάνθης δ' ἰδίᾳ γέγραφε περὶ τούτου, καὶ Ἀρχέδημος· γέγραφε δὲ καὶ Ἀντίπατρος, οὐ μόνον δ' ἐν τοῖς περὶ Δυνατῶν, ἀλλὰ καὶ κατ' ἰδίαν ἐν τοῖς περὶ τοῦ Κυριεύοντος. (10) Οὐκ ἀνέγνωκας τὴν σύνταξιν; Οὐκ ἀνέγνωκα. Ἀνάγνωθι. Καὶ τί ὠφεληθήσεται; Φλυαρότερος ἔσται καὶ ἀκαιρότερος, ἢ νῦν ἐστι. Σοὶ γὰρ τί ἄλλο προσγέγονεν ἀναγνόντι; ποῖον δόγμα πεποίησαι κατὰ τὸν τόπον; Ἀλλ' ἐρεῖς ἡμῖν Ἑλένην καὶ Πρίαμον, καὶ τὴν τῆς Καλυψοῦς νῆσον, τὴν οὔτε γενομένην, οὔτ' ἐσομένην.

11. Καὶ ἐνταῦθα μὲν οὐδὲν μέγα, τῆς ἱστορίας κρατεῖν, ἴδιον δὲ δόγμα μηδὲν πεποιῆσθαι. Ἐπὶ τῶν ἠθικῶν δὲ πάσχομεν αὐτὸ πολὺ μᾶλλον, ἢ ἐπὶ τούτων. (12) Εἰπέ μοι περὶ ἀγαθῶν καὶ κακῶν. Ἄκουε·

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσεν.

CAP. XIX.

In eos qui nonnisi disputationum tenus placita philosophorum addiscunt.

1. Dominantem rationem (sive argumentationem) ab hisce principiis proponi cœptam intelligitur. Scilicet cum tribus his enunciationibus commune inter sese certamen sit : Omne verum præteritum, necessarium esse : Possibili impossibile non esse consequens : Possibile esse aliquid, quod neque futurum sit; Diodorus, hac pugna animadversa, priorum duorum probabilitate usus est ad probandum illud, Nihil posse fieri, quod neque verum sit, neque futurum sit. (2) Ceterum alius e duabus enunciationibus, *quæ simul stare possunt, sed cum tertia pugnant*, has tenebit, Posse aliquid fieri quod verum neque sit, neque futurum sit; et, Ei quod fieri possit, non esse consequens id quod fieri nequeat; non autem, Omne præteritum necessario verum esse : quæ Cleanthis sententia fuisse videtur, cui fortiter patrocinatus est Antipater. (3) Alius vero reliquas duas; Possibile esse aliquid, quod neque verum sit, neque futurum sit; et, Omne verum præteritum necessarium esse: sed *tertium tollet; dicetque*, Possibili consequens esse posse impossibile. (4) Tria autem illa simul tueri nullo modo queas; quoniam communis est eorum pugna : *scilicet, ut de tribus quæcumque duo sumas, ea pugnent cum tertio et illud tollant.*

5. Quodsi quis igitur me roget, quænam ex istis ipse tuear, respondebo : Nescio; sed hanc historiam accepi, Diodorum illa tenuisse, Panthœdem vero et Cleanthem duo alia, Chrysippum item alia. (6) Tu vero quid? Non in eo elaboravi, ut in hoc cogitationem meam excuterem, et sententias inter se conferrem, et meum aliquod decretum facerem in hoc loco. Quapropter nihil a grammatico differo. (7) Quis fuit Hectoris pater? Priamus. Qui fratres? Alexander et Deiphobus. Quæ eorum mater? Hecuba. Historiam hanc accepi. A quo? Ab Homero : sed et Hellanicus opinor iisdem de rebus scribit, et id genus alii. (8) Ego quoque de ratione Dominante quid aliud habeo ulterius? *Nihil* : at, vanus si sim, in convivio maxime percellam convivarum animos enumerandis eis qui de his rebus scripserunt. (9) Scripsit autem et Chrysippus præclare, primo de Possibilibus libro. Est et Cleanthis peculiaris de iisdem rebus libellus, itemque Archedemi. Scripsit vero etiam Antipater, neque solum in libris de Possibilibus sed etiam separatim in illis qui de Dominante inscribuntur. (10) Non legisti opus? Non legi. Lege. Et quem inde fructum capiet? Nugacior et importunior erit, quam prius. Tu enim ea lectione quid aliud es consecutus? quodnam in eo loco decretum tibi fecisti? *Nullum* : sed Helenam nobis et Priamum narras, et Calypsus insulam, quæ neque fuit, neque futura est.

11. Neque vero hic magna res est, historia contentum, nullum proprium decretum statuere. Sed in disputatione de moribus idem hoc multo magis nobis accidit, quam in istis. (12) Dic mihi de rebus bonis et malis. Audi :

Ab Ilio me ferens ventus Ciconibus appulit.

13. Τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθὰ, τὰ δὲ κακὰ, τὰ δ' ἀδιάφορα. Ἀγαθὰ μὲν οὖν αἱ ἀρεταὶ καὶ τὰ μετέχοντα αὐτῶν· κακὰ δὲ, κακίαι καὶ τὰ μετέχοντα κακίας· ἀδιάφορα δὲ, τὰ μεταξὺ τούτων, πλοῦτος, ὑγίεια, ζωὴ, θάνατος, ἡδονὴ, πόνος. (14) Πόθεν οἶδας; Ἑλλάνικος λέγει ἐν τοῖς Αἰγυπτιακοῖς. Τί γὰρ διαφέρει τοῦτο εἰπεῖν, ἢ ὅτι Διογένης ἐν τῇ Ἠθικῇ, ἢ Χρύσιππος, ἢ Κλεάνθης; Βεβασάνικας οὖν τι αὐτῶν, καὶ δόγμα σεαυτοῦ πεποίησαι; (15) Δείκνυε πῶς εἴωθας ἐν πλοίῳ χειμάζεσθαι. Μέμνησαι ταύτης τῆς διαιρέσεως, ὅταν ψοφήσῃ τὸ ἱστίον, καὶ ἀνακραυγάσαντί σοι κακόσχολος παραστὰς εἴπῃ, Λέγε μοι, τοὺς θεούς σοι, ἃ πρῴην ἔλεγες· Μή τι κακία ἐστὶ τὸ ναυαγῆσαι; μή τι κακίας μετέχον; (16) Οὐχ ἄρας ξύλον ἐνσείσεις αὐτῷ; Τί ἡμῖν καὶ σοὶ, ἄνθρωπε; ἀπολλύμεθα, καὶ σὺ ἐλθὼν παίζεις. (17) Ἂν δέ σε ὁ Καῖσαρ μεταπέμψηται κατηγορούμενον, μέμνησαι τῆς διαιρέσεως; ἄν τίς σοι εἰσιόντι καὶ ὠχριῶντι ἅμα καὶ τρέμοντι, προσελθὼν εἴπῃ, Τί τρέμεις, ἄνθρωπε; περὶ τίνων σοί ἐστιν ὁ λόγος; μή τι ἔσω ὁ Καῖσαρ ἀρετὴν καὶ κακίαν τοῖς εἰσερχομένοις δίδωσι; (18) Τί μοι ἐμπαίζεις καὶ σὺ πρὸς τοῖς ἐμοῖς κακοῖς; Ὅμως, φιλόσοφε, εἰπέ μοι, τί τρέμεις; οὐχὶ θάνατός ἐστι τὸ κινδυνευόμενον, ἢ δεσμωτήριον, ἢ πόνος τοῦ σώματος, ἢ φυγὴ, ἢ ἀδοξία; Τί γὰρ ἄλλο; Μή τι κακία; μή τι μετέχον κακίας; σὺ οὖν τίνα ταῦτα ἔλεγες; (19) Τί ἐμοὶ καὶ σοὶ, ἄνθρωπε; ἀρκεῖ ἐμοὶ τὰ ἐμὰ κακά. Καὶ καλῶς λέγεις. Ἀρκεῖ γάρ σοι τὰ σὰ κακὰ, ἡ ἀγέννεια, ἡ δειλία, ἡ ἀλαζονεία, ἣν ἠλαζονεύου ἐν τῇ σχολῇ καθήμενος. Τί τοῖς ἀλλοτρίοις ἐκαλλωπίζου; τί Στωϊκὸν ἔλεγες σεαυτόν;

20. Τηρεῖτε οὕτως ἑαυτοὺς ἐν οἷς πράσσετε, καὶ εὑρήσετε τίνος ἐσθ' αἱρέσεως. Τοὺς πλείστους ὑμῶν Ἐπικουρείους εὑρήσετε, ὀλίγους τινὰς Περιπατητικοὺς, καὶ τούτους ἐκλελυμένους. (21) Ποῦ γὰρ ἵν' ὑμεῖς τὴν ἀρετὴν πᾶσι τοῖς ἄλλοις ἴσην, ἢ καὶ κρείττονα ἔργῳ ὑπολάβητε; (22) Στωϊκὸν δὲ δείξατέ μοι, εἴ τινα ἔχετε. Ποῦ; ἢ πῶς; Ἀλλὰ τὰ λογάρια τὰ Στωϊκὰ λέγοντας μυρίους. Τὰ γὰρ Ἐπικούρεια αὐτοὶ οὗτοι χεῖρον λέγουσι; τὰ γὰρ Περιπατητικὰ οὐ καὶ αὐτὰ ὁμοίως ἀκριβοῦσι; (23) Τίς οὖν ἐστι Στωϊκός; ὡς λέγομεν ἀνδριάντα Φειδιακὸν τὸν τετυπωμένον κατὰ τὴν τέχνην τοῦ Φειδίου· οὕτω τινά μοι δείξατε κατὰ τὰ δόγματα ἃ λαλεῖ τετυπωμένον· (24) δείξατέ μοι τινὰ νοσοῦντα καὶ εὐτυχοῦντα, κινδυνεύοντα καὶ εὐτυχοῦντα, ἀποθνήσκοντα καὶ εὐτυχοῦντα, πεφυγαδευμένον καὶ εὐτυχοῦντα, ἀδοξοῦντα καὶ εὐτυχοῦντα. Δείξατ'· ἐπιθυμῶ τινα, νὴ τοὺς θεοὺς, ἰδεῖν Στωϊκόν. (25) Ἀλλ' οὐκ ἔχετε τὸν τετυπωμένον δεῖξαι· τόν γε τυπούμενον δείξατε, τὸν ἐπὶ ταῦτα κεκλικότα. Εὐεργετήσατέ με· μὴ φθονήσητε ἀνθρώπῳ γέροντι, ἰδεῖν θέαμα ὃ μέχρι νῦν οὐκ εἶδον. (26) Οἴεσθε ὅτι τὸν Δία τὸν Φειδίου δείξετε, ἢ τὴν Ἀθηνᾶν, ἐλεφάντινον καὶ χρυσοῦν κατασκεύασμα; ψυχὴν δειξάτω τις ὑμῶν ἀνθρώπου, θέλοντος

(13) Eorum quæ sunt, alia bona sunt, alia mala, alia indifferentia. Bona sunt virtutes et quæ his sunt affinia : Mala sunt vitia et vitiosa : indifferentia, quæ his interjecta sunt; ut divitiæ, sanitas, vita, mores, voluptas, dolor. (14) Unde scis? Hellanicus refert in historia Ægyptiorum. Quid enim interest, sic respondere; an vero, Diogenem in doctrina de Moribus, aut Cleanthem Chrysippumve citare? An igitur aliquid horum explorasti? an decretum aliquod tuum fecisti? (15) Ostende quomodo consueveris in navi ferre tempestatem. Meministine divisionis hujus cum velum strepit, et tibi exclamanti aliquis male feriatus dicit, Refer mihi, per deos, ea quæ dudum disserebas. An facere naufragium, pravitas est? an cum pravitate conjunctum? (16) Non tu fustem tolles, et in caput illi impinges? Quid nobis tecum rei est, homo? perimus, et tu adveniens ludos facis. (17) Cum reus ad Cæsarem acccerseris, meministine divisionis hujus? si quis ingresso tibi, ac pallenti simul trementique, dixerit, Quid tremis, homo? quæ tua res agitur? numquid intus Cæsar virtutem et vitium ingredientibus largitur? — (18) Quid et tu meis malis insultas? — Tamen, philosophe, dic mihi, quid tremis? Nonne mortis aut carceris periculum est, aut doloris corporis, aut exsilii, aut ignominiæ? Quid vero aliud? An ergo in his pravitas inest, aut aliqua pars pravitatis? Tu ipse quid ista esse dicebas? (19) Quid mihi rei tecum est, homo? Satis habeo ego malorum. Recte dicis. Satis enim habes malorum; degenerem animum, ignaviam, arrogantiam, quam præ te ferebas in schola sedens. Quid alieno splendore gloriabaris? cur te Stoicum profitebaris?

20. Hoc modo observate vosmet ipsos, quidnam agatis; et invenietis, cujus sectæ sitis. Plerosque vestrûm invenietis Epicureos; paucos Peripateticos, eosque enervatos. (21) Ubi enim *ostenditis*, persuasum vos revera habere, virtutem ceteris rebus omnibus parem, aut etiam superiorem esse? (22) Stoicum vero, si quem habetis, ostendite mihi. Ubi, aut quomodo? Eorum quidem qui argumentatiunculas Stoicas edisserant, ostendetis infinitos. At iidem ipsi Epicuri decreta pejus recensent? et Peripatetica pariter nonne eadem subtilitate explicant? (23) Quis ergo est Stoicus? Quemadmodum Phidiacam statuam dicimus, ad Phidiæ artem expressam; ita mihi aliquem ostendite, ad ea quæ profitetur dogmata expressum : (24) ostendite mihi aliquem, qui et ægrotet, et beatus sit; qui et in periculo sit, et beatus; qui et moriatur, et sit beatus; qui et exsilio multatus, et beatus sit; qui in ignominia sit, et beatus. Ostendite : Stoicum, ita me dii ament, videre cupio. (25) At informatum expressumque ostendere non potestis; eum tamen, qui formetur, ostendite; qui ad ista propendeat. Hoc in me beneficium conferte : ne invidete homini seni spectaculum, quod ad hunc diem nondum vidi. (26) Putatis Phidiæ Jovem aut Minervam a vobis postulari, eburneam aut auream fabricam? Animum ostendat ali-

ὁμογνωμονῆσαι τῷ θεῷ, καὶ μηκέτι μήτε θεὸν μήτ' ἄνθρωπον μέμφεσθαι, μὴ ἀποτυχεῖν τινος, μὴ περιπεσεῖν τινι, (27) μὴ ὀργισθῆναι, μὴ φθονῆσαι, μὴ ζηλοτυπῆσαι, (τί γὰρ δεῖ περιπλέκειν;) θεὸν ἐξ ἀνθρώπου ἐπιθυμοῦντα γενέσθαι, καὶ ἐν τῷ σωματίῳ τούτῳ τῷ νεκρῷ περὶ τῆς πρὸς τὸν Δία κοινωνίας βουλευόμενον. Δείξατε. Ἀλλὰ οὐκ ἔχετε. (28) Τί οὖν αὐτοῖς ἐμπαίζετε, καὶ τοὺς ἄλλους κυβεύετε; καὶ περιθέμενοι σχῆμα ἀλλότριον, περιπατεῖτε κλέπται καὶ λωποδύται τούτων τῶν οὐδὲν ὑμῖν προσηκόντων ὀνομάτων καὶ πραγμάτων;

29. Καὶ νῦν ἐγὼ μὲν παιδευτής εἰμι ὑμέτερος· ὑμεῖς δὲ παρ' ἐμοὶ παιδεύεσθε. Κἀγὼ μὲν ἔχω ταύτην τὴν ἐπιβολήν, ἀποτελέσαι ὑμᾶς ἀκωλύτους, ἀναναγκάστους, ἀπαραποδίστους, ἐλευθέρους, εὐροοῦντας, εὐδαιμονοῦντας, εἰς τὸν θεὸν ἀφορῶντας ἐν παντὶ μικρῷ καὶ μεγάλῳ. Ὑμεῖς δὲ ταῦτα μαθησόμενοι καὶ μελετήσοντες πάρεστε. (30) Διὰ τί οὖν οὐκ ἀνύεται τὸ ἔργον; Εἰ καὶ ὑμεῖς ἔχετε ἐπιβολήν, οἵαν δὴ κἀγώ, [καὶ] πρὸς τῇ ἐπιβολῇ καὶ παρασκευὴν οἵαν δεῖ, τί τὸ λεῖπόν ἐστιν; (31) Ὅταν ἴδω τέκτονα καὶ ὕλην παρακειμένην, ἐκδέχομαι τὸ ἔργον. Καὶ ἐνθάδε τοίνυν ὁ τέκτων ἐστίν, ἡ ὕλη ἐστί· τί ἡμῖν λείπει; (32) Οὐκ ἔστι διδακτὸν τὸ πρᾶγμα; Διδακτόν. Οὐκ ἔστιν οὖν ἐφ' ἡμῖν; Μόνον μὲν οὖν τῶν ἄλλων πάντων. Οὔτε πλοῦτός ἐστιν ἐφ' ἡμῖν, οὔθ' ὑγίεια, οὔτε δόξα, οὔτε ἄλλο τι ἁπλῶς, πλὴν ὀρθὴ χρῆσις φαντασιῶν· τοῦτο ἀκώλυτον φύσει μόνον, τοῦτο ἀνεμπόδιστον. (33) Διὰ τί οὖν οὐκ ἀνύεται; εἴπατέ μοι τὴν αἰτίαν. Ἢ γὰρ παρ' ἐμὲ οὐκ ἀνύεται, ἢ παρ' ὑμᾶς, ἢ παρὰ τὴν φύσιν τοῦ πράγματος. Αὐτὸ τὸ πρᾶγμα ἐνδεχόμενον, καὶ μόνον ἐφ' ἡμῖν. Λοιπὸν οὖν ἢ παρ' ἐμέ ἐστιν, ἢ παρ' ὑμᾶς, ἤ, ὅπερ ἀληθέστερον, παρ' ἀμφοτέρους. (34) Τί οὖν; θέλετε ἀρξώμεθά ποτε τοιαύτην ἐπιβολὴν κομίζειν ἐνταῦθα· τὰ μέχρι νῦν ἀφῶμεν· ἀρξώμεθα μόνον, πιστεύσατέ μοι, καὶ ὄψεσθε.

quis vestrûm hominis, qui idem cum deo sentire velit, et posthac nec deum nec homines culpare; qui nulla re frustrari, nullo casu lædi, (27) non irasci, invidere nemini, nemini obtrectare; qui (quid enim ambagibus est opus?) ex homine deus fieri desideret, et in hoc mortali corpusculo societatem Jovis cogitet. Ostendite! At non potestis. (28) Quid ergo et vosmetipsos deluditis, et aliis imponitis? et aliena persona sumpta, circuitis furum et grassatorum instar, et nomina et res alienas usurpantes?

29. Et ego quidem nunc vester sum institutor; vos autem a me instituimini : mihi propositum est eos efficere vos, qui non prohiberi, non cogi, non impediri possint, qui liberi sint, quibus prospere feliciterque succedant omnia, qui in magnis æque ac parvis rebus omnibus deum intueantur. Vos vero adestis, ut hæc discatis et exerceatis. (30) Cur ergo non absolvitur opus? Si vos quoque propositum, quale et ego, habetis; et præter propositum, iis etiam subsidiis, quibus opus est, sumus instructi, quid jam deest? (31) Cum fabrum video, cum materiam in promptu esse, exspecto opus. Et hic ergo faber adest, materia suppetit; quid nobis deest? (32) An doceri ea res non potest? Immo potest. Non est igitur in potestate nostra? Immo una hæc e ceteris rebus omnibus. Neque opes in nostra potestate sunt, neque sanitas, neque gloria, nec aliud denique quidquam, præter rectum visorum usum. Unum hoc natura est ejusmodi, ut nec prohiberi, nec impediri possit. (33) Cur igitur res non perficitur? dicite mihi caussam! Nam aut ego in culpa sum, quod nihil proficiatis, aut vos, aut ipsa rei natura. At res ipsa in medio est, solaque penes nos. Restat igitur ut culpa vel mea sit, vel vestra, aut, quod verius est, amborum. (34) Quid ergo? vultis incipiamus tandem tale propositum huc afferre : quæ præterierunt, omittamus : incipiamus modo, mihi credite, et videbitis.

ΚΕΦ. Κ'.

Πρὸς Ἐπικουρείους καὶ Ἀκαδημαϊκούς.

1. Τοῖς ὑγιέσι καὶ ἐναργέσιν ἐξ ἀνάγκης καὶ οἱ ἀντιλέγοντες προσχρῶνται. Καὶ σχεδὸν τοῦτο μέγιστον ἄν τις ποιήσαιτο τεκμήριον τοῦ ἐναργές τι εἶναι, τὸ ἐπάναγκες εὑρίσκεσθαι καὶ τῷ ἀντιλέγοντι συγχρήσασθαι αὐτῷ. (2) Οἷον, εἴ τις ἀντιλέγοι τῷ εἶναί τι καθολικὸν ἀληθές· δῆλον ὅτι τὴν ἐναντίαν ἀπόφασιν οὗτος ὀφείλει ποιήσασθαι, Οὐδέν ἐστι καθολικὸν ἀληθές· (3) Ἀνδράποδον, οὐδὲ τοῦτο. Τί γὰρ ἄλλο ἐστὶ τοῦτο, ἢ οἷον, Εἴ τί ἐστι καθολικόν, ψεῦδός ἐστι; (4) Πάλιν, ἄν τις παρελθὼν λέγῃ, Γίνωσκε ὅτι οὐδέν ἐστι γνωστόν, ἀλλὰ πάντα ἀτέκμαρτα· ἢ ἄλλος, ὅτι Πίστευσόν μοι, καὶ ὠφεληθήσῃ· οὐδὲν δεῖ ἀνθρώπῳ πιστεύειν· ἢ πάλιν ἄλλος· Μάθε παρ' ἐμοῦ, ἄνθρωπε, ὅτι οὐδὲν ἐνδέχεται μαθεῖν· ἐγώ σοι λέγω τοῦτο, καὶ διδάξω σε, ἐὰν

CAP. XX.

In Epicureos et Academicos.

1. Eis, quæ vera sunt et evidentia, ii etiam, qui contradicunt, necessario utuntur. Et hoc maximo fere argumento probari queat, esse aliquid evidens, si reperiatur, adversarium etiam necessario illo uti. (2) Veluti, si quis neget, esse aliquod universale pronunciatum verum; is utique contrarium asserere debebit, nullam universalem enunciationem veram esse. (3) Mancipium, ne istud quidem. Quid enim id est aliud, quam si dicas : Si quid universaliter enunciatur, falsum est? (4) Eodem modo, si quis progressus dicat, Scito nihil sciri posse, nec ulla certa nota verum a falso posse discerni; aut si alius tibi dicat, Crede mihi, et juvabit te, nihil esse cuiquam homini credendum; aut alius : Heus homo, disce a me, nihil disci posse; ego tibi

θέλης· (5) τίνι οὖν τούτων διαφέρουσιν οὗτοι, τίνες ποτέ; οἱ * Ἀκαδημαϊκοὺς αὑτοὺς * λέγοντες; Ὦ ἄνθρωποι, συγκατάθεσθε ὅτι οὐδεὶς συγκατατίθεται· πιστεύσατε ἡμῖν, ὅτι οὐδεὶς πιστεύει οὐδενί.

6. Οὕτω καὶ Ἐπίκουρος, ὅταν ἀναιρεῖν θέλῃ τὴν φυσικὴν κοινωνίαν ἀνθρώποις πρὸς ἀλλήλους, αὐτῷ τῷ ἀναιρουμένῳ συγχρῆται. (7) Τί γὰρ λέγει; Μὴ ἐξαπατᾶσθε, ἄνθρωποι, μηδὲ παράγεσθε, μηδὲ διαπίπτετε· οὐκ ἔστι φυσικὴ κοινωνία τοῖς λογικοῖς πρὸς ἀλλήλους· πιστεύσατέ μοι. Οἱ δὲ τὰ ἕτερα λέγοντες, ἐξαπατῶσιν ὑμᾶς, καὶ παραλογίζονται. (8) Τί οὖν σοι μέλει; ἄφες ἡμᾶς ἐξαπατηθῆναι. Μήτι χεῖρον ἀπαλλάξεις, ἂν πάντες οἱ ἄλλοι πεισθῶμεν ὅτι φυσική ἐστιν ἡμῖν κοινωνία πρὸς ἀλλήλους, καὶ ταύτην δεῖ παντὶ τρόπῳ φυλάσσειν; Καὶ πολὺ κρεῖσσον καὶ ἀσφαλέστερον. (9) Ἄνθρωπε, τί ὑπὲρ ἡμῶν φροντίζεις; τί δι' ἡμᾶς ἀγρυπνεῖς; τί λύχνον ἅπτεις; τί ἐπανίστασαι; τί τηλικαῦτα βιβλία συγγράφεις, μή τις ἡμῶν ἐξαπατηθῇ περὶ θεῶν, ὡς ἐπιμελουμένων ἀνθρώπων; ἤ, μή τις ἄλλην οὐσίαν ὑπολάβῃ τοῦ ἀγαθοῦ, ἢ ἡδονήν; (10) Εἰ γὰρ οὕτω ταῦτα ἔχει, βαλὼν κάθευδε, καὶ τὰ τοῦ σκώληκος ποίει, ὧν ἄξιον ἔκρινας σεαυτόν· ἔσθιε, καὶ πίνε, καὶ συνουσίαζε, καὶ ἀφόδευε, καὶ ῥέγχε. (11) Τί δέ σοι μέλει, πῶς οἱ ἄλλοι ὑπολήψονται περὶ τούτων; πότερον ὑγιῶς, ἢ οὐχ ὑγιῶς; Τί γὰρ σοὶ καὶ ἡμῖν; Τῶν γὰρ προβάτων σοι μέλει, ὅτι παρέχει ἡμῖν αὑτὰ καρησόμενα καὶ ἀμελχθησόμενα, καὶ τὸ τελευταῖον κατακοπησόμενα. (12) Οὐχὶ δ' εὐκταῖον ἦν, εἰ ἐδύναντο οἱ ἄνθρωποι κατακηληθέντες καὶ ἐπαεισθέντες ὑπὸ τῶν Στωϊκῶν ἀπονυστάζειν, καὶ παρέχειν σοι καὶ τοῖς ὁμοίοις καρησομένους καὶ ἀμελχθησομένους ἑαυτούς; (13) Πρὸς γὰρ τοὺς Συνεπικουρείους ἔδει σε ταῦτα λέγειν· οὐχὶ δὲ πρὸς ἐκείνους ἀποκρύπτεσθαι; πολὺ μάλιστ' ἐκείνους πρὸ πάντων ἀναπείθειν, ὅτι φύσει κοινωνικοὶ γεγόναμεν, ὅτι ἀγαθὸν ἡ ἐγκράτεια· ἵνα σοι πάντα τηρῆται; (14) Ἢ πρὸς τινὰς μὲν δεῖ φυλάττειν ταύτην τὴν κοινωνίαν, πρὸς τινὰς δ' οὔ; Πρὸς τίνας οὖν δεῖ τηρεῖν; πρὸς τοὺς ἀντιτηροῦντας, ἢ πρὸς τοὺς παραβατικῶς αὐτῆς ἔχοντας; Καὶ τίνες παραβατικώτερον αὐτῆς ἔχουσιν ὑμῶν τῶν ταῦτα διειληφότων;

15. Τί οὖν ἦν τὸ ἐγεῖρον αὐτὸν ἐκ τῶν ὕπνων καὶ ἀναγκάζον γράφειν ἃ ἔγραφε; Τί γὰρ ἄλλο ἢ τὸ πάντων τῶν ἐν ἀνθρώποις ἰσχυρότατον, ἡ φύσις, ἕλκουσα ἐπὶ τὸ αὑτῆς βούλημα ἄκοντα καὶ στένοντα; (16) Ὅτι γὰρ δοκεῖ σοι ταῦτα * τὰ * ἀκοινώνητα, γράψον αὐτά, καὶ ἄλλοις ἀπόλιπε, καὶ ἀγρύπνησον δι' αὐτά, καὶ αὐτὸς ἔργῳ κατήγορος γενοῦ τῶν σαυτοῦ δογμάτων. (17) Εἶτα Ὀρέστην μὲν ὑπὸ Ἐρινύων ἐλαυνόμενον φῶμεν ἐκ τῶν ὕπνων ἐξεγείρεσθαι· τοῦτον δ' οὐ χαλεπώτεραι Ἐρινύες καὶ Ποιναὶ ἐξήγειρον καθεύδοντα, καὶ οὐκ εἴων ἠρεμεῖν, ἀλλ' ἠνάγκαζον ἐξαγγέλλειν τὰ αὑτοῦ κακά, ὥσπερ τοὺς Γάλλους ἡ μανία καὶ ὁ οἶνος; (18) Οὕτως ἰσχυρόν τι καὶ ἀνίκητόν ἐστιν ἡ φύσις ἡ ἀνθρωπίνη. Πῶς γὰρ δύναται ἄμπελος μὴ ἀμπελικῶς κινεῖ-

hoc dico, teque docebo, si voles. (5) Age, inter hos quid interest et illos, (quosnam tandem dicam?) qui Academicos se profitentur? O homines, assentimini nobis, neminem assentiri: credite nobis, neminem cuiquam quidquam credere.

6. Sic et Epicurus, cum natura constitutam societatem hominum cum hominibus tollere conatur, eodem ipso, quod tollit, utitur. (7) Quid enim ait? « Nolite decipi, homines, « nolite seduci, nolite in fraudem illici: non est ratione præ« ditis animantibus natura inter se ulla societas. Mihi cre« dite. Qui vero aliud dicunt, vos decipiunt et in frau« dem illiciunt. » (8) Quid igitur id tua refert? sine nos decipi. Num minus e re tua foret, si nos ceteri omnes persuasum habeamus, naturalem esse inter homines societatem, eamque omnibus modis esse conservandam? Immo multo etiam melius et tutius id tibi foret. (9) Quid tu, homo, de nobis sollicitus es? quid propter nos vigilas? quid lucernam accendis? quid mane surgis? quid tot libros conscribis, ne quis nostrûm decipiatur de diis, quasi ii curent res mortalium; aut, ne quis aliam boni naturam esse putet, nisi voluptatem? (10) Nam si ita res se habet, abi, in lectulo tuo quiescito; et, quæ sunt vermis, ea facito, quibus te dignum judicasti: ede, bibe, lude cum mulieribus, ventrem leva, sterte. (11) Quid vero ad te attinet, quid istis de rebus alii sentiant? rectene, an secus? Quid enim tibi nobiscum rei est? Tu enim oves eo curas, quod se patiuntur a nobis tonderi, mulgeri, ac denique jugulari. (12) An non optabile esset, homines a Stoicis delinitos et veluti magicis carminibus consopitos dormitare, seque præbere tibi et tui similibus tondendos et mulgendos? (13) Hæccine quidem apud gregales tuos dicenda erant; nonne vero celanda istos? nonne potius efficiendum, ut isti nihil magis persuasum haberent, quam esse nos natura sociabiles, continentiam esse bonum; ut tibi omnia conservarentur? (14) An vero societas hæc erga alios servanda est, erga alios non servanda? Erga quos igitur servanda est? utrum erga eos qui vicissim eam servant, an eos qui violant? Qui vero eam magis violant quam vos, qui ista statuitis?

15. Quid ergo erat, quod eum e somnis excitaret, et ad ea scribenda, quæ scripsit, impelleret? Quid aliud, nisi id quod omnium in hominibus potentissimum est, natura; quæ ad suam voluntatem eum pertraxit, invitum et gementem? (16) Quia enim tibi videtur, nullam esse societatem; scribito ista, et aliis relinquito, et vigilato propterea, et ipse re ipsa tua decreta accusato. (17) Ergo Orestem a Furiis agitatum, somno excussum esse dicemus: istum vero, a sævioribus Furiis et Diris e somno excitatum et quiete excussum esse non dicemus, quæ eum sua mala, veluti Gallos furor aut vinum, enunciare coegerunt? (18) Adeo valida et invicta res est, natura humana. Qui enim vitis non more vitis moveri potest, sed more oleæ? aut olea

σθαι, ἀλλ' ἐλαϊκῶς; ἢ ἐλαία πάλιν μὴ ἐλαϊκῶς, ἀλλ' ἀμπελικῶς; Ἀμήχανον, ἀδιανόητον. (19) Οὐ τοίνυν οὐδ' ἄνθρωπον οἷόν τε παντελῶς ἀπολέσαι τὰς κινήσεις τὰς ἀνθρωπικάς· καὶ οἱ ἀποκοπτόμενοι, τάς γε προθυμίας τὰς τῶν ἀνδρῶν ἀποκόψασθαι οὐ δύνανται. (20) Οὕτω καὶ Ἐπίκουρος, τὰ μὲν ἀνδρὸς πάντ' ἀπεκόψατο, καὶ τὰ οἰκοδεσπότου, καὶ πολίτου καὶ φίλου· τὰς δὲ προθυμίας τὰς ἀνθρωπικὰς οὐκ ἀπεκόψατο· οὐ γὰρ ἠδύνατο· οὐ μᾶλλον ἢ οἱ ἀταλαίπωροι Ἀκαδημαϊκοὶ τὰς αἰσθήσεις τὰς αὑτῶν ἀποβαλεῖν ἢ ἀποτυφλῶσαι δύνανται, καίτοι τοῦτο μάλιστα πάντων ἐσπουδακότες.

21. Τί ἡ ἀτυχία; λαβών τις παρὰ τῆς φύσεως μέτρα καὶ κανόνας εἰς ἐπίγνωσιν τῆς ἀληθείας, οὐ προσφιλοτεχνεῖ τούτοις προσθεῖναι καὶ προσεργάσασθαι τὰ λείποντα· ἀλλὰ πᾶν τοὐναντίον, εἴ τι καὶ ἔστι γνωριστικὸν τῆς ἀληθείας, ἐξαιρεῖν πειρᾶται καὶ ἀπολλύειν. (22) Τί λέγεις, φιλόσοφε; τὸ εὐσεβὲς καὶ τὸ ὅσιον, ποῖόν τί σοι φαίνεται; Ἂν θέλῃς, κατασκευάσω ὅτι ἀγαθόν. Ναί, κατασκεύασον· ἵν' οἱ πολῖται ἡμῶν ἐπιστραφέντες τιμῶσι τὸ θεῖον, καὶ παύσωνταί ποτε ῥᾳθυμοῦντες περὶ τὰ μέγιστα. Ἔχεις οὖν τὰς κατασκευάς; Ἔχω, καὶ χάριν οἶδα. (23) Ἐπεὶ οὖν ταῦτά σοι λίαν ἀρέσκει, λάβε τὰ ἐναντία· ὅτι θεοὶ οὔτ' εἰσίν, εἴτε καὶ εἰσίν, οὐκ ἐπιμελοῦνται ἀνθρώπων, οὐδὲ κοινόν τι ἡμῖν ἐστι πρὸς αὐτούς· τό τ' εὐσεβὲς τοῦτο καὶ ὅσιον παρὰ τοῖς πολλοῖς ἀνθρώποις λαλούμενον, κατάψευσμά ἐστιν ἀλαζόνων ἀνθρώπων καὶ σοφιστῶν, ἢ, νὴ Δία, νομοθετῶν, εἰς φόβον καὶ ἐπίσχεσιν τῶν ἀδικούντων. (24) Εὖ, φιλόσοφε· ὠφέλησας ἡμῶν τοὺς πολίτας, ἀνεκτήσω τοὺς νέους, ῥέποντας ἤδη πρὸς καταφρόνησιν τῶν θείων. (25) Τί οὖν; οὐκ ἀρέσκει σοι ταῦτα; Λάβε νῦν, πῶς ἡ δικαιοσύνη οὐδέν ἐστι, πῶς ἡ αἰδὼς μωρία ἐστί, πῶς πατὴρ οὐδέν ἐστι, πῶς ὁ υἱὸς οὐδέν ἐστιν. (26) Εὖ, φιλόσοφε· ἐπίμενε, πεῖθε τοὺς νέους, ἵνα πλείονας ἔχωμεν ταὐτά σοι πεπονθότας καὶ λέγοντας. Ἐκ τούτων τῶν λόγων ηὐξήθησαν ἡμῖν αἱ εὐνομούμεναι πόλεις· Λακεδαίμων διὰ τούτους τοὺς λόγους ἐγένετο· Λυκοῦργος ταῦτα τὰ πείσματα ἐνεποίησεν αὐτοῖς διὰ τῶν νόμων αὐτοῦ καὶ τῆς παιδείας, ὅτι οὔτε τὸ δουλεύειν αἰσχρόν ἐστι μᾶλλον ἢ καλόν, οὔτε τὸ ἐλευθέρους εἶναι καλὸν μᾶλλον ἢ αἰσχρόν· οἱ ἐν Θερμοπύλαις ἀποθανόντες διὰ ταῦτα τὰ δόγματα ἀπέθανον· Ἀθηναῖοι δὲ τὴν πόλιν διὰ ποίους ἄλλους λόγους ἀπέλιπον; (27) Εἶτα οἱ λέγοντες ταῦτα, γαμοῦσι, καὶ παιδοποιοῦνται, καὶ πολιτεύονται, καὶ ἱερεῖς καθιστᾶσιν αὑτοὺς καὶ προφήτας. Τίνων; τῶν οὐκ ὄντων; καὶ τὴν Πυθίαν ἀνακρίνουσιν αὐτοί, ἵνα τὰ ψευδῆ πύθωνται καὶ ἄλλοις τοὺς χρησμοὺς ἐξηγῶνται. Ὢ μεγάλης ἀναισχυντίας καὶ γοητείας.

28. Ἄνθρωπε, τί ποιεῖς; αὐτὸς ἑαυτὸν ἐξελέγχεις καθ' ἡμέραν, καὶ οὐ θέλεις ἀφεῖναι τὰ ψυχρὰ ταῦτα ἐπιχειρήματα; Ἐσθίων, ποῦ φέρεις τὴν χεῖρα; εἰς τὸ στόμα, ἢ εἰς τὸν ὀφθαλμόν; λουόμενος, ποῦ ἐμβαίνεις; πότε τὴν χύτραν εἶπες λοπάδα, ἢ τὴν τορύνην ὀβελί-

non ut olea, sed ut vitis? Nullo modo hoc fieri, nulla ratione cogitari potest. (19) Ergo ne fieri quidem potest, ut homo motus humanos prorsus amittat : et, quibus virilia amputantur, eis desideria tamen virorum amputari non possunt. (20) Sic etiam Epicurus omnia quidem, quæ sunt viri, quæ patrisfamilias, quæ civis, quæ amici, amputavit; sed humana desideria non amputavit : neque enim potuit; non magis quam socordes Academici sensus suos abjicere aut excæcare possunt, quamvis id maxime studuerint.

21. Quod istud est flagitium? cum a natura mensuras et regulas cognoscendæ veritatis acceperis, te non dare operam ut adjicias atque adjungas ea quæ desunt; immo vero contra, si quid etiam est quod ad cognitionem veritatis facit, operam dare ut id auferas et perdas? (22) Quid ais, philosophe? de pietate et sanctitate quidnam tibi videtur? Si voles, demonstrabo, res esse bonas. Utique demonstra; ut nostri cives ad cultum divini numinis convertantur, et maximarum rerum neglectum tandem abjiciant. Habes ergo probationes? Habeo : et tibi gratiam habeo. (23) Quoniam ergo ista valde tibi placent, sume contraria : deos neque esse, neque, si sint, curare homines; neque ullam nobis societatem cum illis intercedere : sed pietatem istam et sanctitatem, vulgo hominum celebratam, commentum esse insolentium hominum et sophistarum, aut certe legumlatorum ad terrendos et coercendos injurios. (24) Recte, philosophe! juvisti nostros cives, adolescentiam salvasti ad rerum divinarum contemtum jam inclinatam. (25) Quid ergo? non ista tibi placent? Accipe nunc, justitiam nihil esse; verecundiam esse stultitiam; patrem nihil esse; filium nihil esse. (26) Euge, philosophe! perge, persuade ista adolescentibus, ut plures habeamus qui idem tecum et sentiant et dicant. Auctæ sunt nobis hisce sermonibus bene constitutæ respublicæ : Lacedæmon per hujusmodi rationes informata est : Lycurgus suis legibus et institutis has persuasiones civibus suis ingeneravit, neque servire turpe magis esse quam honestum, neque libertatem honestam esse potius quam turpem : qui ad Thermopylas occubuerunt, propter hæc decreta occubuerunt : Athenienses vero quas alias ob caussas urbem suam olim reliquerunt? (27) Et, qui ista dicunt, uxores ducunt, liberos procreant, rempublicam capessunt, et sacerdotes ac vates sese constituunt. Quorum? eorum qui non sunt? Pythiam adeo sciscitantur ipsi, ut falsa audiant, et aliis oracula enarrent. O insignem impudentiam et imposturam!

28. Homo, quid agis? tu ipse te in dies coarguis, nec tamen frigidas istas cavillationes vis relinquere? Cum comedis, quo applicas manum? ori, an oculo? cum lavas, quo ingrederis? ollamne umquam patinam dixisti, aut cochlearo veru? (29) Quodsi alicujus eorum servus essem, etiamsi

σκον; (29) Εἴ τινος αὐτῶν δοῦλος ἤμην, εἰ καὶ ἔδει με καθ' ἡμέραν ὑπ' αὐτοῦ ἐκδέρεσθαι, ἐγὼ ἂν ἐστρέβλουν αὐτόν. Βάλε ἐλάδιον, παιδάριον, εἰς τὸ βαλανεῖον. Ἔβαλον ἂν γάριον, καὶ ἀπελθὼν κατὰ τῆς κεφαλῆς αὐτοῦ κατέχεον. Τί τοῦτο; Φαντασία μοι ἐγένετο ἐλαίου ἀδιάκριτος, ὁμοιοτάτη, νὴ τὴν σὴν Τύχην. (30) Δὸς ὧδε τὴν πτισάνην. Ἤνεγκα ἂν αὐτῷ γεμίσας παροψίδα ὀξυγάρου. Οὐχ ᾔτησα τὴν πτισάνην; Ναὶ, κύριε· τοῦτο πτισάνη ἐστί. Τοῦτο οὐχ ἔστιν ὀξύγαρον; Τί μᾶλλον ἢ πτισάνη; Λάβε καὶ ὀσφράνθητι, λάβε καὶ γεῦσαι. Πόθεν οὖν οἶδας, εἰ αἱ αἰσθήσεις ἡμᾶς ψεύδονται; (31) Τρεῖς, τέσσαρας τῶν συνδούλων εἰ ἔσχον ὁμονοοῦντας, ἀπάγξασθαι ἂν αὐτὸν ἐποίησα ῥηγνύμενον, ἢ μεταθέσθαι. Νῦν δ' ἐντρυφῶσιν ἡμῖν, τοῖς μὲν παρὰ τῆς φύσεως διδομένοις πᾶσι χρώμενοι, λόγῳ δ' αὐτὰ ἀναιροῦντες.

32. Εὐχάριστοί γ' ἄνθρωποι καὶ αἰδήμονες, εἰ μηδὲν ἄλλο, καθ' ἡμέραν ἄρτους ἐσθίοντες, τολμῶσι λέγειν, ὅτι Οὐκ οἴδαμεν εἰ ἔστι τις Δημήτηρ, ἢ Κόρη, ἢ Πλούτων· (33) ἵνα μὴ λέγω, νυκτὸς καὶ ἡμέρας ἀπολαύοντες, καὶ μεταβολῶν τοῦ ἔτους, καὶ ἄστρων, καὶ θαλάσσης, καὶ γῆς καὶ τῆς παρὰ ἀνθρώπων συνεργίας, ὑπ' οὐδενὸς τούτων οὐδὲ κατὰ ποσὸν ἐπιστρέφονται· ἀλλὰ μόνον ἐξεμέσαι τὸ προβλημάτιον ζητοῦσι, καὶ τὸν στόμαχον γυμνάσαντες, ἀπελθεῖν ἐν βαλανείῳ. (34) Τί δ' ἐροῦσι, καὶ περὶ τίνων, ἢ πρὸς τίνας, καὶ τί ἔσται αὐτοῖς ἐκ τῶν λόγων τούτων, οὐδὲ κατὰ βραχὺ πεφροντίκασι· μή τις νέος εὐγενὴς ἀκούσας τῶν λόγων τούτων πάθῃ τι ὑπ' αὐτῶν, ἢ καὶ παθὼν πάντα ἀπολέσῃ τὰ τῆς εὐγενείας σπέρματα· (35) μή τινι μοιχεύοντι ἀφορμὰς παράσχωμεν τοῦ ἀπαναισχυντῆσαι πρὸς τὰ γινόμενα· μή τις τῶν νοσφιζομένων τὰ δημόσια, εὑρεσιλογίας τινὸς ἐπιλάβηται ἀπὸ τῶν λόγων τούτων· μή τις, τῶν αὑτοῦ γονέων ἀμελῶν, θράσος τι καὶ ἀπὸ τούτων προσλάβῃ. (36) Τί οὖν κατὰ σὲ κακὸν ἢ ἀγαθόν; [αἰσχρὸν] ἢ καλόν; Ταῦτα, ἢ ταῦτα; — Τί οὖν ἔτι τούτων τις ἀντιλέγει τινί; ἢ λόγον δίδωσιν, ἢ λαμβάνει, ἢ μεταπείθειν πειρᾶται; (37) Πολὺ, νὴ Δία, μᾶλλον τοὺς κιναίδους ἐλπίσαι τις ἂν μεταπείσειν, ἢ τοὺς ἐπὶ τοσοῦτον ἀποκεκωφωμένους καὶ ἀποτετυφλωμένους τῶν περὶ αὐτοὺς κακῶν.

quotidie vapulandum esset, tamen eum torquerem. Conjicito, puer, parum olei in balneum. Caperem garum, et in caput ejus effunderem. Quid istud? Oblatum est mihi, per Genium tuum, visum gari, oleo ita simile, ut ab eo discerni non posset. (30) Age, affer ptisanam. Afferrem illi patinam oxygaro plenam. Nonne petii ptisanam? Petiisti, domine: hæc ptisana est. Non hoc est oxygarum? Qui vero magis, quam ptisana? Cape, olfac; cape, gusta. Unde ergo nosti, si nos sensus decipiunt? (31) Si tres aut quatuor conservos assensores haberem, aut ad laqueum illum adigerem, aut a sententia deducerem. Nunc vero illudunt nobis; cum iis, quæ natura dedit, utantur omnibus, et tamen verbis ea tollant.

32. Grati nimirum homines et verecundi! qui, ut nihil aliud, at pane quotidie vescentes, dicere tamen audent, ignorare se, num qua Ceres sit, aut Proserpina, aut Pluto: (33) ne dicam, cum fruantur nocte et die, et mutationibus anni, et astris, et mari, et terra, et sociali hominum opera, nulla istarum rerum vel minimum eos commoveri; sed quæstiunculam tantum evomere studere, stomachoque exercitato, abire in balneum. (34) Quid autem dicant, et quibus de rebus, aut ad quos, et quid illi ex his verbis fructus capturi sint, nulla ex parte curant: ne forte generoso adolescenti hæc oratio aliquid damni det, aut etiam dederit, ut ipsa semina nobilitatis prorsus amittat: (35) ne cui adultero occasionem præbeamus majoris impudentiæ ad sua facinora: ne quis peculator cavillationes hinc petat: ne ejus qui parentes negligit, audacia inde confirmetur. (36) Quid ergo, te auctore, malum aut bonum est, turpe aut honestum? Hæc, an illa? — Cur igitur contra aliquem horum hominum adhuc disputet aliquis? cur rationem ei reddat, aut ab eo postulet, aut a sententia deducere eum studeat? (37) Cinædos profecto multo facilius sperare queas ad sanam mentem revocari a te posse, quam istos, qui usque adeo ad sua mala vel videnda vel audienda excæcati sunt atque obsurduerunt.

ΚΕΦ. ΚΑ'.

Περὶ ἀνομολογίας.

1. Τὰ μὲν ῥᾳδίως ὁμολογοῦσιν ἄνθρωποι, τὰ δ' οὐ ῥᾳδίως. Οὐδεὶς οὖν ὁμολογήσει ὅτι ἄφρων ἐστὶν, ἢ ἀνόητος· ἀλλὰ πᾶν τοὐναντίον, πάντων ἀκούσεις λεγόντων, Ὄφελον ὡς φρένας ἔχω, οὕτω καὶ τύχην εἶχον. (2) Δειλοὺς δὲ ῥᾳδίως ἑαυτοὺς ὁμολογοῦσι, καὶ λέγουσιν· Ἐγὼ δειλότερός εἰμι, ὁμολογῶ· τὰ δ' ἄλλα οὐχ εὑρήσεις με μωρὸν ἄνθρωπον. (3) Ἀκρατῆ οὐ ῥᾳδίως ὁμολογήσει τις· ἄδικον, οὐδ' ὅλως· φθονερὸν οὐ πάνυ, ἢ περίεργον· ἐλεήμονα οἱ πλεῖστοι. Τί οὖν

CAP. XXI.

De discrepantia.

1. Sunt quæ facile homines fatentur; sunt quæ non item. Nemo se stultum aut vecordem esse fatebitur: immo contra, omnes dicere audias, Utinam tantum mihi fortunæ esset, quantum est ingenii. (2) Timidos autem se esse facile fatentur, et dicunt: Ego timidior sum, fateor; at ceteroquin hominem stultum me non deprehendes. (3) Intemperantem se esse, non temere quisquam fatebitur; injustum, nullo modo; nihiloque magis invidum, aut curiosum; proclivem ad commiserandum plerique. Quænam igitur caussa

τὸ αἴτιον; (4) Τὸ μὲν κυριώτατον, ἀνομολογία καὶ ταραχὴ ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν. Ἄλλοις δ' ἄλλα αἴτια. Καὶ σχεδὸν ὅσα ἂν αἰσχρὰ φαντάζωνται, ταῦτα οὐ πάνυ ὁμολογοῦσι. (5) Τὸ δὲ δειλὸν εἶναι, εὐγνώμονος ἤθους φαντάζονται, καὶ τὸ ἐλεήμονα· τὸ δ' ἠλίθιον εἶναι, παντελῶς ἀνδραπόδου. Καὶ τὰ περὶ κοινωνίαν δὲ πλημμελήματα οὐ πάνυ προσίενται. (6) Ἐπὶ δὲ τῶν πλείστων ἁμαρτημάτων κατὰ τοῦτο μάλιστα φέρονται ἐπὶ τὸ ὁμολογεῖν αὐτὰ, ὅτι φαντάζονταί τι ἐν αὐτοῖς εἶναι ἀκούσιον, καθάπερ ἐν τῷ δειλῷ καὶ ἐλεήμονι. (7) Κἂν ἀκρατῆ που παρομολογῇ τις αὑτὸν, ἔρωτα προσέθηκεν, ὥστε συγγνωσθῆναι ὡς ἐπ' ἀκουσίῳ. Τὸ δ' ἄδικον, οὐδαμῶς φαντάζονται ἀκούσιον. Ἔνι τι καὶ τῷ ζηλοτύπῳ, ὡς οἴονται, τοῦ ἀκουσίου· διὸ καὶ περὶ τούτου παρομολογοῦσιν.

8. Ἐν οὖν τοιούτοις ἀνθρώποις ἀναστρεφόμενον οὕτω τεταραγμένοις, οὕτως οὐκ εἰδόσιν οὔθ' ὅ τι λέγουσιν, οὔθ' ὅ τι ἔχουσι κακὸν ἢ οὐκ ἔχουσιν, ἢ παρά τι ἔχουσιν, ἢ πῶς παύσονται αὐτῶν, καὶ αὐτὸν οἶμαι ἐφιστάνειν ἄξιον συνεχῶς· (9) Μή που καὶ αὐτὸς εἷς εἰμι ἐκείνων; τίνα φαντασίαν ἔχω περὶ ἐμαυτοῦ; πῶς ἐμαυτῷ χρῶμαι; μή τι καὶ αὐτὸς ὡς φρονίμῳ; μή τι καὶ αὐτὸς ὡς ἐγκρατεῖ; μὴ καὶ αὐτὸς λέγω ποτὲ ταῦτα, ὅτι Εἰς τὸ ἐπιὸν πεπαίδευμαι; (10) ἔχω ἣν δεῖ συναίσθησιν τὸν μηδὲν εἰδότα, ὅτι οὐδὲν οἶδα; ἔρχομαι πρὸς τὸν διδάσκαλον, ὡς ἐπὶ τὰ χρηστήρια, πείθεσθαι παρεσκευασμένος; ἢ καὶ αὐτὸς κορύζης μεστὸς εἰς τὴν σχολὴν εἰσέρχομαι, μόνην τὴν ἱστορίαν μαθησόμενος, καὶ τὰ βιβλία νοήσων ἃ πρότερον οὐκ ἐνόουν, ἂν δ' οὕτω τύχῃ καὶ ἄλλοις ἐξηγησόμενος; (11) Ἄνθρωπε, ἐν οἴκῳ διαπεπύκτευκας τῷ δουλαρίῳ, τὴν οἰκίαν ἀνάστατον πεποίηκας, τοὺς γείτονας συντετάραχας· καὶ ἔρχῃ μοι καταστολὰς ποιήσας ὡς σοφός; καὶ καθήμενος κρίνεις πῶς ἐξηγησάμην τὴν λέξιν; πρὸς τί ποτ' ἐφλυάρησα τὰ ἐπελθόντα μοι; (12) Φθονῶν ἐλήλυθας, τεταπεινωμένος, ὅτι σοι ἐξ οἴκου φέρεται οὐδέν· καὶ κάθῃ, μεταξὺ λεγομένων τῶν λόγων αὐτὸς οὐδὲν ἄλλο ἐνθυμούμενος, ἢ πῶς ὁ πατὴρ τὰ πρός σε, ἢ πῶς ὁ ἀδελφός; (13) Τί λέγουσι οἱ ἐκεῖ ἄνθρωποι περὶ ἐμοῦ; νῦν οἴονταί με προκόπτειν, καὶ λέγουσιν, ὅτι Ἥξει ἐκεῖνος πάντα εἰδώς. (14) Ἤθελόν πως ποτὲ πάντα μαθὼν ἐπανελθεῖν· ἀλλὰ πολλοῦ πόνου χρεία, καὶ οὐδεὶς οὐδὲν πέμπει, καὶ ἐν Νικοπόλει σαπρῶς λούει τὰ βαλανεῖα, ἐν οἴκῳ κακῶς, καὶ ὧδε κακῶς.

15. Εἶτα λέγουσιν, Οὐδεὶς ὠφελεῖται ἐκ τῆς σχολῆς. Τίς γὰρ ἔρχεται εἰς σχολὴν [ὡς σχολάσων]; τίς γὰρ ὡς θεραπευθησόμενος; τίς ὡς παρέξων αὑτοῦ τὰ δόγματα ἐκκαθαρθησόμενα; τίς συναισθησόμενος τίνων δεῖται; (16) Τί οὖν θαυμάζετε, εἰ, ἃ φέρετ' εἰς τὴν σχολὴν, αὐτὰ ταῦτα ἀποφέρετε πάλιν; Οὐ γὰρ ὡς ἀποθησόμενοι, ἢ ἐπανορθώσοντες, ἢ ἄλλα ἀντ' αὐτῶν ληψόμενοι, ἔρχεσθε. Πόθεν; οὐδ' ἐγγύς. (17) Ἐκεῖνο γοῦν βλέπετε μᾶλλον, εἰ, ἐφ' ὃ ἔρχεσθε, τοῦτο ἡμῖν γίνεται. Θέλετε λαλεῖν περὶ τῶν θεωρημάτων. Τί

est? (4) Summa ac princeps, discrepantia et confusio in judicio bonarum rerum malarumque. Aliis vero aliæ caussæ. Fere enim quæcumque turpia arbitrantur esse, ea non fatentur : (5) at, timidum esse, itemque proclivem ad commiserandum, mitis ingenii signum arbitrantur; stultum vero, prorsus mancipii. Neque illa delicta quibus hominum societas violatur, ullo modo agnoscunt. (6) In plerisque vero peccatis ea potissimum caussa adducuntur ut illa fateantur, quod involuntarium quiddam iis inesse putant, velut in timiditate et misericordia. (7) Et si quis forte intemperantem se fatetur, amorem caussatur; quo venia habeatur, ut rei involuntariæ. Injustitiam autem nequaquam involuntariam esse existimant. Inest vero et in zelotypia quiddam, ut putant, non voluntarium : itaque et hanc confitentur.

8. Cum igitur inter tales homines vivamus, adeo perturbatos, adeo ignorantes vel quid dicant, vel quid mali habeant aut non habeant, vel quare habeant, et quomodo liberari eo possint, operæ pretium fuerit ut se ipsum quisque assidue observet : (9) Numquid et ego sum ex illorum numero? quid de me ipso sentio? quomodo me ipsum gero? num et ego pro prudente, pro temperante me habeo? num et ego subinde illud dico, ad omnem ingruentem casum esse me eruditum? (10) An sentio quod sentiendum est nihil scienti, nihil me scire? an ad magistrum accedo, sicut ad oraculum, obtemperare paratus? an vero et ipse muco nares oppletus scholam ingredior, historiam tantum cogniturus, et libellos prius a me non intellectos intellecturus, aut etiam fortassis aliis enarraturus? (11) Homo, domi cum servulo pugnis decertasti, domum evertisti; vicinos perturbasti : et me convenis, cultu habituque sumpto sapientis, sedensque judicas quo pacto vocabulum aliquod exposuerim, aut quid mihi volens, quæ in buccam venerint, effutiverim. (12) Invidus accessisti, dejectoque animo, quod domo nihil tibi afferatur; et inter disserendum assides, ipse aliud nihil cogitans, nisi quomodo pater sit erga te affectus, aut quomodo frater? (13) « Quid istic dicunt de me homines? nunc me putant progressus facere, ac dicunt, Iste revertetur omniscius. (14) Vellem equidem omnia edoctus redire : sed multo labore est opus, neque quisquam quidquam mittit : et Nicopoli balnea putida sunt, et domi et hic male se res habet. »

15. Deinde dicunt, neminem e schola fructum capere. Quis vero venit in scholam tanquam erudiri, quis tamquam curari cupiens? quis, ut opiniones suas et decreta repurgari sinat? quis, ut intelligat quibus rebus egeat? (16) Quid ergo miramini vos, quæ in scholam affertis, eadem referre domum? Non enim tamquam depondituri, vel correcturi, vel commutaturi, advenitis. Nequaquam; multum abest. (17) Illud ergo spectate potius, an id, propter quod adestis, vobis contingat. De præceptis garrire vultis. Quid ergo, nonne nugaciores evaditis?

οὖν; οὐ φλυαρότεροι γίνεσθε; οὐχὶ δὲ παρέχει τινὰ ὕλην ἡμῖν πρὸς τὸ ἐπιδείκνυσθαι τὰ θεωρημάτια; οὐ συλλογισμοὺς ἀναλύετε; μεταπίπτοντας; οὐχ ἐφοδεύετε ψευδομένου λήμματα; ὑποθετικούς; Τί οὖν ἔτι ἀγανακτεῖτε, εἰ ἐφ' ἃ πάρεστε, ταῦτα λαμβάνετε; (18) Ναί. Ἀλλ' ἂν ἀποθάνῃ μου τὸ παιδίον, ἢ ὁ ἀδελφὸς, ἢ ἐμὲ ἀποθνήσκειν δέῃ, ἢ στρεβλοῦσθαι, τί με ταῦτα ὠφελήσει; (19) Μὴ γὰρ ἐπὶ τοῦτο ἦλθες; μὴ γὰρ τούτου ἕνεκά μοι παρακάθησαι; μὴ γὰρ διὰ τοῦτό ποτε λύχνον ἧψας ἢ ἠγρύπνησας; ἢ εἰς τὸν περίπατον ἐξελθὼν, προέβαλές ποτε σαυτῷ φαντασίαν τινὰ ἀντὶ συλλογισμοῦ, καὶ ταύτην κοινῇ ἐφωδεύσατε; ποῦ ποτε; (20) Εἶτα λέγετε, Ἄχρηστα τὰ θεωρήματα. Τίσι; Τοῖς οὐχ ὡς δεῖ χρωμένοις. Τὰ γὰρ κολλύρια οὐχ ἄχρηστα τοῖς ὅτε δεῖ καὶ ὡς δεῖ ἐγχριομένοις· τὰ μαλάγματα δ' οὐχ ἄχρηστα· οἱ ἁλτῆρες οὐχ ἄχρηστοι· ἀλλὰ τισὶν ἄχρηστοι, τισὶ πάλιν χρήσιμοι. (21) Ἄν μου πυνθάνῃ νῦν, χρήσιμοί εἰσιν οἱ συλλογισμοί; ἐρῶ σοι ὅτι χρήσιμοι· κἂν θέλῃς, ἀποδείξω. Πῶς ἐμὲ οὖν οὔ τι ὠφελήκασιν; Ἄνθρωπε, μὴ γὰρ ἐπύθου εἰ σοὶ χρήσιμοι, ἀλλὰ καθόλου; (22) Πυθέσθω μου καὶ ὁ δυσεντερικὸς, εἰ χρήσιμον τὸ ὄξος, ἐρῶ ὅτι χρήσιμον. Ἐμοὶ οὖν χρήσιμον; Ἐρῶ, οὔ· ζήτησον πρῶτον σταλῆναί σου τὸ ῥεῦμα, τὰ ἑλκύδρια ἀπουλωθῆναι. (23) Καὶ ὑμεῖς, ἄνδρες, τὰ ἕλκη πρῶτον θεραπεύσατε, τὰ ῥεύματα ἐπιστήσατε, ἠρεμήσατε τῇ διανοίᾳ, ἀπερίσπαστον αὐτὴν ἐνέγκατε εἰς τὴν σχολήν· καὶ γνώσεσθε οἵαν ἰσχὺν ὁ λόγος ἔχει.

nonne materiam quamdam ostentationis istæ præceptiunculæ vobis subministrant? nonne syllogismos resolvitis, et sophismata? nonne mentientis sumtiones, nonne hypotheticas argumentationes pertractatis? Quid ergo indignamini, si ea accipitis, propter quæ adestis? (18) Recte sane: sed si filius meus aut frater mortuus fuerit, aut si mihi mors oppetenda, aut si cruciatus tolerandi fuerint, quid ista me juvabunt? (19) An ergo propterea veniebas? an hujus rei caussa mihi assides? hujusne rei caussa umquam lucernam accendisti, aut lucubrasti? aut deambulandi caussa progressus, umquam syllogismi loco visum aliquod tibi proposuisti, quod inter vos pertractaretis? Ubi umquam hoc fecistis? (20) Et dein tamen dicitis, inutilia esse præcepta. Quibus? Iis qui non recte illis utuntur. Nam collyria non inutilia sunt iis qui, cum opus est et quemadmodum opus est, oculos eis inungunt: malagmata non inutilia, halteres non sunt inutiles: sed aliis inutiles, aliis utiles. (21) Si me nunc roges, an utiles sint syllogismi; respondebo, esse utiles: ac, si voles, ostendam. Quomodo igitur me nihil juverunt? Homo, num rogasti, tibine essent utiles, an generatim? (22) Me roget etiam dysentericus, sitne acetum utile; dicam esse utile. Mihi ergo est utile? Negabo: primum omnium cura, ut fluxus tuus sistatur, ut exulcerata viscera consolidentur. (23) Et vos, o viri, ulcera primum curate, fluxiones sistite, sedata estote mente, eamque haud distractam in scholam adferte: tum intelligetis, quid virium habeat institutio doctrinæ.

ΚΕΦ. ΚΒ'.

Περὶ φιλίας.

1. Περὶ ἅ τις ἐσπούδακε, φιλεῖ ταῦτα εἰκότως. Μή τι οὖν περὶ τὰ κακὰ ἐσπουδάκασιν οἱ ἄνθρωποι; Οὐδαμῶς. Ἀλλὰ μή τι περὶ τὰ μηδὲν πρὸς αὐτούς; Οὐδὲ περὶ ταῦτα. (2) Ὑπολείπεται τοίνυν, περὶ μόνα τὰ ἀγαθὰ ἐσπουδακέναι αὐτούς· εἰ δ' ἐσπουδακέναι, καὶ φιλεῖν ταῦτα. (3) Ὅστις οὖν ἀγαθῶν ἐπιστήμων ἐστὶν, οὗτος ἂν καὶ φιλεῖν εἰδείη· ὁ δὲ μὴ δυνάμενος διακρῖναι τὰ ἀγαθὰ ἀπὸ τῶν κακῶν, καὶ τὰ οὐδέτερα ἀπ' ἀμφοτέρων, πῶς ἂν ἔτι οὗτος φιλεῖν δύναιτο; Τοῦ φρονίμου τοίνυν ἐστὶ μόνου τὸ φιλεῖν.

4. Καὶ πῶς; φησίν· ἐγὼ γὰρ, ἄφρων ὢν, ὅμως φιλῶ μου τὸ παιδίον. (5) Θαυμάζω μὲν, νὴ τοὺς θεοὺς, πῶς καὶ τὸ πρῶτον ὡμολόγηκας ἄφρονα εἶναι σεαυτόν. Τί γάρ σοι λείπει; οὐ χρῇ αἰσθήσει; οὐ φαντασίας διακρίνεις; οὐ τροφὰς προσφέρεις τὰς ἐπιτηδείους τῷ σώματι; οὐ σκέπην; οὐκ οἴκησιν; (6) Πόθεν οὖν ὁμολογεῖς ἄφρων εἶναι; Ὅτι, νὴ Δία, πολλάκις ἐξίστασαι ὑπὸ τῶν φαντασιῶν καὶ ταράσσῃ, καὶ ἡττῶσί σε αἱ πιθανότητες αὐτῶν· καὶ ποτὲ μὲν ταῦτα ἀγαθὰ ὑπολαμβάνεις, εἶτα ἐκεῖνα αὐτὰ κακὰ, ὕστερον δ' οὐδέτερα· καὶ ὅλως λυπῇ, φοβῇ, φθονεῖς, ταράσσῃ, μεταβάλλῃ· διὰ ταῦτα ὁμολογεῖς ἄφρων εἶναι; (7) Ἐν δὲ τῷ φιλεῖν

CAP. XXII.

De amicitia.

1. Quibus quisque rebus studet, eas illum amare consentaneum est. Num ergo iis rebus student homines quas malas esse putant? Nequaquam. An vero iis, quæ ad ipsos nihil attinent? Ne hoc quidem. (2) Reliquum igitur est, ut bonis tantum rebus studeant, easque proinde ament. (3) Qui ergo bonarum rerum gnarus est, is etiam amare noverit: qui vero bona a malis discernere nequiverit, et neutra ab utrisque, quo pacto iste amare queat? Solius ergo sapientis est amare.

4. Quomodo istud? inquit: nam ego quidem, quamvis insipiens, tamen filium meum diligo. (5) Equidem principio miror hercle, quomodo confessus sis, te insipientem esse. Quid enim tibi deest? non sensu uteris? non visa discernis? non alimenta corpori convenientia adhibes? non tegumentum? non domicilium? (6) Unde ergo, insipientem esse te, fateris? Nimirum quia te sæpenumero de statu mentis dejiciunt conturbantque visa tua, et eorum probabilitas te vincit; nunc hæc bona censes, deinde eadem mala, post neutra; denique mœres, times, invides, perturbaris, mutaris: ob hæc insipientem esse te agnoscis? (7) In amore autem

οὐ μεταβάλλῃ; Ἀλλὰ πλοῦτον μέν, καὶ ἡδονήν, καὶ ἁπλῶς αὐτὰ τὰ πράγματα, ποτὲ μὲν ἀγαθὰ ὑπολαμβάνεις εἶναι, ποτὲ δὲ κακά; ἀνθρώπους δὲ τοὺς αὐτοὺς οὐχὶ ποτὲ μὲν ἀγαθούς, ποτὲ δὲ κακούς; καὶ ποτὲ μὲν οἰκείως ἔχεις, ποτὲ δ' ἐχθρῶς αὐτοῖς; καὶ ποτὲ μὲν ἐπαινεῖς, ποτὲ δὲ ψέγεις; Ναί, καὶ ταῦτα πάσχω. (8) Τί οὖν; ὁ ἐξηπατημένος περί τινος δοκεῖ σοι φίλος εἶναι αὐτοῦ; Οὐ πάνυ. Ὁ δ' εὐμεταπτώτως ἑλόμενος αὐτόν, εἶναι εὔνους αὐτῷ; Οὐδ' οὗτος. Ὁ δὲ νῦν λοιδορῶν μέν τινα, ὕστερον δὲ θαυμάζων; Οὐδ' οὗτος. (9) Τί οὖν; κυνάρια οὐδέποτ' εἶδες σαίνοντα καὶ προσπαίζοντα ἀλλήλοις, ἵν' εἴπῃς, οὐδὲν φιλικώτερον; ἀλλ', ὅπως ἴδῃς τί ἐστι φιλία, βάλε κρέας εἰς μέσον, καὶ γνώσῃ. (10) Βάλε καὶ σοῦ καὶ τοῦ παιδίου μέσον ἀγρίδιον, καὶ γνώσῃ πῶς σε τὸ παιδίον ταχέως κατορύξαι θέλει, καὶ σὺ τὸ παιδίον εὔχῃ ἀποθανεῖν. Εἶτα σὺ πάλιν· Οἷον ἐξέθρεψα τέκνον, πάλαι ἐκφέρει. (11) Βάλε κορασίδιον κομψόν· καὶ αὐτὸς ὁ γέρων φιλεῖ, κἀκεῖνος ὁ νέος· ἂν δὲ δοξάριον· ἂν δὲ κινδυνεῦσαι δέῃ, ἐρεῖς τὰς φωνὰς τὰς τοῦ Ἀδμήτου πατρός·

> Χαίρεις ὁρῶν φῶς, πατέρα δ' οὐ χαίρειν δοκεῖς;
> * θέλεις βλέπειν φῶς, πατέρα δ' οὐ θέλειν δοκεῖς; *

(12) Οἴει ὅτι ἐκεῖνος οὐκ ἐφίλει τὸ ἴδιον παιδίον, ὅτε μικρὸν ἦν; οὐδὲ πυρέσσοντος αὐτοῦ ἠγωνία; οὐδ' ἔλεγε πολλάκις, ὅτι Ὄφελον ἐγὼ μᾶλλον ἐπύρεσσον; Εἶτα, ἐλθόντος τοῦ πράγματος καὶ ἐγγίσαντος, ὅρα οἵας φωνὰς ἀφιᾶσιν.

13. Ὁ Ἐτεοκλῆς καὶ Πολυνείκης οὐκ ἦσαν ἐκ τῆς αὐτῆς μητρὸς καὶ ἐκ τοῦ αὐτοῦ πατρός; οὐκ ἦσαν συντεθραμμένοι, συμβεβιωκότες, συμπεπωκότες, συγκεκοιμημένοι, πολλάκις ἀλλήλους καταπεφιληκότες; ὥστ', εἴ τις οἶμαι εἶδεν αὐτούς, κατεγέλασεν ἂν τῶν φιλοσόφων, ἐφ' οἷς περὶ φιλίας παραδοξολογοῦσιν. (14) Ἀλλ' ἐμπεσούσης εἰς τὸ μέσον ὥσπερ κρέως τῆς τυραννίδος, ὅρα οἷα λέγουσι·

> ΠΟΛ. Ποῦ ποτε στήσῃ πρὸ πύργων;
> ΕΤ. Ὡς τί μ' ἱστορεῖς τόδε;
> ΠΟΛ. Ἀντιτάξομαι κτενῶν σε.
> ΕΤ. Κἀμὲ τοῦδ' ἔρως ἔχει.

Καὶ εὔχονται εὐχὰς τοιάσδε. (15) Καθόλου γὰρ (μὴ ἐξαπατᾶσθε) πᾶν ζῷον οὐδενὶ οὕτως ᾠκείωται, ὡς τῷ ἰδίῳ συμφέροντι. Ὅ τι ἂν οὖν πρὸς τοῦτο φαίνηται αὐτῷ ἐμποδίζειν, ἄν τ' ἀδελφὸς ᾖ τοῦτο, ἄν τε πατήρ, ἄν τε τέκνον, ἄν τ' ἐρώμενος, ἄν τ' ἐραστής, μισεῖ, προβάλλεται, καταρᾶται. (16) Οὐδὲν γὰρ οὕτω φιλεῖν πέφυκεν, ὡς τὸ αὑτοῦ συμφέρον· τοῦτο πατήρ, καὶ ἀδελφός, καὶ συγγενής, καὶ πατρίς, καὶ θεός. (17) Ὅταν οὖν εἰς τοῦτο ἐμποδίζειν ἡμῖν οἱ θεοὶ δοκῶσι, κἀκείνους λοιδοροῦμεν, καὶ τὰ ἱδρύματα αὐτῶν καταστρέφομεν, καὶ τοὺς ναοὺς ἐμπιπρῶμεν· ὥσπερ Ἀλέξανδρος ἐκέλευσεν ἐμπρησθῆναι τὰ Ἀσκληπιεῖα, ἀποθανόντος τοῦ ἐρωμένου. (18) Διὰ τοῦτο, ἂν μὲν ἐν τῷ αὐτῷ τις θῇ τὸ συμφέρον, καὶ τὸ ὅσιον, καὶ τὸ καλόν,

nonne mutaris? Sed divitias quidem, et voluptatem, et omnino res ipsas, modo bonas esse censes, modo malas; homines vero eosdem minime alias bonos, alias malos judicas? et nunc illis familiarem te exhibes, nunc infensum? modo laudas, modo vituperas? Immo hæc quoque mihi eveniunt. (8) Quid igitur? is quem sua de aliquo fefellit opinio, videturne tibi esse illius amicus? Nullo modo. At is, qui inconstanti animo aliquem complectitur, videturne tibi bene erga illum affectus? Ne is quidem. Qui vero eumdem modo conviciis incessit, modo admiratur? Ne hic quidem. (9) Quid ergo? catellos non aliquando vidisti adblandientes invicem et inter se colludentes, ut dicas, nihil esse amantius? Sed ,ut videas quis iste sit amor, carnem inter illos projicito; et cognosces. (10) Pone etiam tu inter te et filium tuum agellum; cognosces, puerum quamprimum te velle sepultum, te vero pueri mortem optaturum esse. Deinde tu rursus dices: Qualem filium educavi! pridem me effert. (11) In medium statue lepidam puellam, quam et tu senex ames, et ille juvenis, *idem accidet, idem*, si gloriola proposita sit. Si periclitandum sit; easdem voces edes, quas Admeti pater:

> Lux est jucunda tibi; patri esse non putas?
> [Videre lucem vis; parentem non putas?]

(12) Nonne putas illi suum filium, dum parvus esset, fuisse carum? non anxium illum fuisse, cum iste febricitaret? non sæpe dixisse, Utinam ego potius febri laborarem? Postea, cum ad rem ventum est, vide quas voces emittant.

13. Eteocles et Polynices nonne eadem matre eodemque patre nati erant? nonne una educati? nonne convictores, compotatores, contubernales fuerant, et sæpe etiam se inter se deosculati erant? adeo ut, si quis eos vidisset, portenta philosophorum, quæ de amicitia disserunt, derisurus puto fuisset. (14) Tamen cum imperium, tamquam offa, in medium incidisset, vide quid dicant:

> POL. Ubinam stabis ante turres?
> ET. Quamobrem hoc tu me interrogas?
> POL. Contra stabo te cæsurus.
> ET. Animus idem me tenet.

Et consimilia vota faciunt. (15) Omnino enim (ne quid vos decipiat) quodvis animal nulli alii ita conciliatum est, ut suæ utilitati: cui quidquid obstare illi videtur, sive frater sit, sive pater, sive filius, sive amasius, sive amator, odit, aversatur, exsecratur. (16) Ita enim natura comparatum est, ut nihil æque amet atque utilitatem suam: hæc ei pater est, hæc frater, et cognatus, et patria, et deus. (17) Quum igitur utilitati nostræ obstare nobis dii videntur, ipsis quoque maledicimus, eorumque statuas evertimus, et fana incendimus: quemadmodum Alexander Æsculapii templa cremari jussit, amasio suo mortuo. (18) Quapropter, si quis in eodem loco posuerit utilitatem, et sancti-

καὶ πατρίδα, καὶ γονεῖς, καὶ φίλους, σώζεται ταῦτα πάντα· ἂν δ' ἀλλαχοῦ μὲν τὸ συμφέρον, ἀλλαχοῦ δὲ τοὺς φίλους, καὶ τὴν πατρίδα, καὶ τοὺς συγγενεῖς, καὶ αὐτὸ τὸ δίκαιον, οἴχεται ταῦτα πάντα, καταβαρούμενα ὑπὸ τοῦ συμφέροντος. (19) Ὅπου γὰρ ἂν ᾖ τὸ ἐγὼ, καὶ τὸ ἐμὸν, ἐκεῖ ἀνάγκη ῥέπειν τὸ ζῷον· εἰ ἐν σαρκὶ, ἐκεῖ τὸ κυριεῦον εἶναι· εἰ ἐν προαιρέσει, ἐκεῖ εἶναι· εἰ ἐν τοῖς ἐκτὸς, ἐκεῖ. (20) Εἰ τοίνυν ἐκεῖ εἰμι ἐγὼ, ὅπου ἡ προαίρεσις, οὕτω μόνως καὶ φίλος ἔσομαι οἷος δεῖ, καὶ υἱὸς, καὶ πατήρ. Τοῦτο γάρ μοι συνοίσει, τηρεῖν τὸν πιστὸν, τὸν αἰδήμονα, τὸν ἀνεκτικὸν, τὸν ἀφεκτικὸν καὶ συνεργητικὸν, φυλάσσειν τὰς σχέσεις. (21) Ἂν δ' ἀλλαχοῦ μὲν ἐμαυτὸν θῶ, ἀλλαχοῦ δὲ τὸ καλὸν, οὕτως ἰσχυρὸς γίνεται ὁ Ἐπικούρου λόγος, ἀποφαίνων ἢ μηδὲν εἶναι τὸ καλὸν, ἢ, [εἰ] ἄρα, τὸ ἔνδοξον.

22. Διὰ ταύτην τὴν ἄγνοιαν καὶ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι διεφέροντο, καὶ Θηβαῖοι πρὸς ἀμφοτέρους, καὶ μέγας βασιλεὺς πρὸς τὴν Ἑλλάδα, καὶ Μακεδόνες πρὸς ἀμφοτέρους, καὶ νῦν Ῥωμαῖοι πρὸς Γέτας· καὶ ἔτι πρότερον τὰ ἐν Ἰλίῳ διὰ ταῦτα ἐγένετο. (23) Ὁ Ἀλέξανδρος τοῦ Μενελάου ξένος ἦν· καὶ εἴ τις αὐτοὺς εἶδε φιλοφρονουμένους ἀλλήλους, ἠπίστησεν ἂν τῷ λέγοντι, οὐκ εἶναι φίλους αὐτούς. Ἀλλ' ἐβλήθη εἰς τὸ μέσον μερίδιον, κομψὸν γυναικάριον, καὶ περὶ αὐτοῦ πόλεμος. (24) Καὶ νῦν, ὅταν ἴδῃς φίλους, ἀδελφοὺς ὁμονοεῖν δοκοῦντας, μὴ αὐτόθεν ἀποφήνῃ περὶ τῆς φιλίας τι αὐτῶν, μηδ' ἂν ὀμνύωσι, μηδ' ἂν ἀδυνάτως ἔχειν λέγωσιν ἀπηλλάχθαι ἀλλήλων. (25) Οὐκ ἔστι πιστὸν τὸ τοῦ φαύλου ἡγεμονικὸν, ἀβέβαιόν ἐστιν, ἄκριτον, ἄλλοθ' ὑπ' ἄλλης φαντασίας νικώμενον. (26) Ἀλλ' ἐξέτασον, μὴ ταῦθ' ἃ οἱ ἄλλοι, εἰ ἐκ τῶν αὐτῶν γονέων, καὶ ὁμοῦ ἀνατεθραμμένοι, καὶ ὑπὸ τῷ αὐτῷ παιδαγωγῷ· ἀλλ' ἐκεῖνο μόνον, ποῦ τὸ συμφέρον αὐτοῖς τίθενται, πότερον ἐκτὸς, ἢ ἐν προαιρέσει· (27) ἂν ἐκτὸς, μὴ εἴπῃς φίλους, οὐ μᾶλλον ἢ πιστοὺς, ἢ βεβαίους, ἢ θαῤῥαλέους, ἢ ἐλευθέρους· ἀλλὰ μηδ' ἀνθρώπους, εἰ νοῦν ἔχεις. (28) Οὐ γὰρ ἀνθρωπικὸν δόγμα ἐστὶ τὸ ποιοῦν δάκνειν ἀλλήλους καὶ λοιδορεῖσθαι, καὶ τὰς ἐρημίας καταλαμβάνειν, ἢ τὰς ἀγορὰς, ὡς τὰ ὄρη, καὶ ἐν τοῖς δικαστηρίοις ἀποδείκνυσθαι τὰ ληστῶν· οὐδὲ τὸ ἀκρατεῖς καὶ μοιχοὺς καὶ φθορεῖς ἀπεργαζόμενον, οὐδ' ὅσ' ἄλλα πλημμελοῦσιν ἄνθρωποι κατ' ἀλλήλων δι' ἓν καὶ μόνον τοῦτο δόγμα, τὸ ἐν τοῖς ἀπροαιρέτοις τίθεσθαι αὐτοὺς καὶ τὰ ἑαυτῶν. (29) Ἂν δ' ἀκούσῃς ὅτι ταῖς ἀληθείαις οὗτοι οἱ ἄνθρωποι ἐκεῖ μόνον οἴονται τὸ ἀγαθὸν, ὅπου προαίρεσις, ὅπου χρῆσις ὀρθὴ φαντασιῶν· μηκέτι πολυπραγμονήσῃς, μήτ' εἰ υἱὸς καὶ πατήρ ἐστι, μήτ' εἰ ἀδελφοὶ, μήτ' εἰ πολὺν χρόνον συμπεφοιτηκότες καὶ ἑταῖροι· ἀλλὰ μόνον αὐτὸ τοῦτο γνοὺς, θαῤῥῶν ἀποφαίνου, ὅτι φίλοι, ὥσπερ ὅτι πιστοὶ, ὅτι δίκαιοι. (30) Ποῦ γὰρ ἀλλαχοῦ φιλία, ἢ ὅπου πίστις, ὅπου αἰδὼς, ὅπου δόσις τοῦ καλοῦ, τῶν δ' ἄλλων οὐδενός;

31. Ἀλλὰ τεθεράπευκέ με τοσούτῳ χρόνῳ· καὶ οὐκ ἐφίλει με; Πόθεν οἶδας, ἀνδράποδον, εἰ οὕτω τεθεράπευκεν

tatem, et honestatem, et patriam, et parentes, et amicos; salva sunt hæc omnia : sin alibi utilitatem collocarit, alibi amicos, patriam, cognatos, et ipsam adeo justitiam, intereunt hæc omnia, præponderante utilitate. (19) Ubi enim Ego et Meum est, eo inclinare necesse est animal : si in carne, in ea necesse est esse principatum; si in voluntate, ibi sit necesse est; si in rebus externis, istic. (20) Si ergo ibi Ego sum, ubi est voluntas, ea sola ratione et amicus ero, qualem esse oportet, et filius, et pater : hoc enim mihi expediet, fidem tueri, verecundiam, æquanimitatem, abstinentiam, beneficentiam, omne officium erga omnes conservare. (21) Sin alibi Me collocaro, alibi honestum; tum vero valebit Epicuri ratio, quæ honestum aut nihil esse contendit, aut id nimirum quod sit populari fama gloriosum.

22. Hujus rei ignoratio in caussa fuit, cur et Athenienses et Lacedæmonii inter sese dissiderent, et Thebani cum utrisque, et magnus rex cum Græcia, et Macedones cum utrisque, et nunc Romani cum Getis : atque olim etiam res ad Trojam propter hæc gestæ sunt. (23) Alexander Menelai hospes fuit; quorum si quis comitatem, qua invicem usi sunt, vidisset; fidem non habuisset dicenti, non esse eos amicos. Sed projecta est in medium offa, elegans muliercula; deque ea bellum ortum. (24) Et nunc etiam, cum vides amicos, fratres, qui concordare inter sese videntur, noli statim pronunciare quidquam de illorum amicitia; ne si jurent quidem ac fieri posse negent, ut discessio fiat inter ipsos. (25) Male fidum est pravi hominis ingenium; inconstans, inconsultum; nunc huic, nunc illi viso succumbens. (26) Quare tu noli ea quærere, quæ ceteri; an iisdem nati sint parentibus, unaque educati, et sub eodem pædagogo : sed illud tantum intuere, ubi suas utilitates collocent, externisne in rebus, an in voluntate : (27) si in externis, ne dicas eos amicos, non magis quam fidos, aut constantes, aut fidentes, aut liberos : immo ne homines quidem, si sapis. (28) Neque enim humanum decretum hoc est, quod caussam eis præbet mordendi se invicem, et conviciandi, et deserta loca aut etiam fora, veluti montium saltus, occupandi, et in judiciis facinora latronum patrandi; neque illud, quod incontinentes, et mœchos, et corruptores efficit, aut ad alia delicta, quibus hominum consociatio violatur, impellit, ob unicum et solum hoc decretum, quod se suaque iis in rebus collocant, quæ penes ipsos non sunt. (29) Quodsi vero audieris homines istos vere ibi duntaxat statuere bonum, ubi voluntas est, ubi rectus usus visorum; noli porro sollicite quærere, sintne filius et pater, an fratres, neque an diuturna fuerit illorum consuetudo et societas; sed hoc uno cognito, audacter pronuncia, amicos esse, quemadmodum esse fidos, esse justos pronuncias. (30) Nam ubi alias est amicitia, nisi ubi fides, ubi verecundia, ubi honestarum rerum communicatio, aliarum vero nullius?

31. At tanto tempore me coluit, neque me amasset? unde vero scis, mancipium, annon ita te coluerit, quemadmodum

πευκεν, ὡς τὰ ὑποδήματα σπογγίζει τὰ ἑαυτοῦ; ὡς τὸ κτῆνος; πόθεν οἶδας, εἰ τὴν χρείαν σ' ἀποβαλόντα τὴν τοῦ σκευαρίου ῥίψει ὡς κατεαγὸς πινάκιον; (32) Ἀλλὰ γυνή μου ἐστὶ, καὶ τοσούτῳ χρόνῳ συμβεβιώκαμεν. Πόσῳ δ' ἡ Ἐριφύλη μετὰ τοῦ Ἀμφιαράου, καὶ τέκνων μήτηρ καὶ πολλῶν; ἀλλ' ὅρμος ἦλθεν εἰς τὸ μέσον. (33) Τί δ' ἐστὶν ὅρμος; Τὸ δόγμα τὸ περὶ τῶν τοιούτων· ἐκεῖνο ἦν τὸ θηριῶδες, ἐκεῖνο τὸ διακόπτον τὴν φιλίαν, τὸ οὐκ ἐῶν εἶναι τὴν γυναῖκα γαμετὴν, τὴν μητέρα μητέρα. (34) Καὶ ὑμῶν ὅστις ἐσπούδακεν ἢ αὐτός τισιν εἶναι φίλος, ἢ ἄλλον κτήσασθαι φίλον, ταῦτα τὰ δόγματα ἐκκοπτέτω, ταῦτα μισησάτω, ταῦτα ἐξελασάτω ἐκ τῆς ψυχῆς τῆς ἑαυτοῦ. (35) Καὶ οὕτως ἔσται πρῶτον μὲν αὐτὸς ἑαυτῷ μὴ λοιδορούμενος, μὴ μαχόμενος, μὴ μετανοῶν, μὴ βασανίζων ἑαυτόν· (36) ἔπειτα καὶ ἑτέρῳ, τῷ μὲν ὁμοίῳ, παντὶ ἁπλῶς· τοῦ δ' ἀνομοίου ἀνεκτικὸς, πρᾶος πρὸς αὐτὸν, ἥμερος, συγγνωμονικὸς ὡς πρὸς ἀγνοοῦντα, ὡς πρὸς διαπίπτοντα περὶ τῶν μεγίστων· οὐδενὶ χαλεπὸς, ἅτ' εἰδὼς ἀκριβῶς τὸ τοῦ Πλάτωνος, ὅτι Πᾶσα ψυχὴ ἄκουσα στέρεται τῆς ἀληθείας. (37) Εἰ δὲ μὴ, τὰ μὲν ἄλλα πράξετε πάντα ὅσα οἱ φίλοι, καὶ συμπιεῖσθε, καὶ συσκηνήσετε, καὶ συμπλεύσετε, καὶ ἐκ τῶν αὐτῶν γεγενημένοι ἔσεσθε· καὶ γὰρ οἱ ὄφεις· φίλοι δ' οὔτ' ἐκεῖνοι, οὔθ' ὑμεῖς, μέχρις ἂν ἔχητε τὰ θηριώδη ταῦτα καὶ μιαρὰ δόγματα.

calceos suos spongia tergit? ut jumentum suum curat? Unde scis, an te, cum vasculi usum præbere desieris, ita sit abjecturus, ut confractam patellam? (32) At uxor mea est, tantoque tempore una viximus. Quantum vero temporis Eriphyle cum Amphiarao vixit? et liberorum etiam mater fuit multorum : verum monile intercessit. (33) Quid autem est monile? Decretum de hujusmodi rebus : hoc fuit belluinum illud, hoc amicitiam diremit; hoc uxorem esse uxorem, matrem esse matrem non sivit. (34) Vestrûm etiam quisquis vel ipse amicus alicui esse, vel alterius amicitiam sibi parare studet; is decreta hæc excidat, hæc oderit, hæc expellat ex animo suo. (35) Sic primum ipse sibi non maledicet, non repugnabit, non mutabit consilium, non se ipsum excruciabit : (36) deinde alteri, si sit ipsi similis, plane et sine exceptione amicus erit; dissimilem vero tolerabit, lenis erit erga eum, mansuetus, facilis ad ignoscendum, ut ignoranti, ut maximis in rebus erranti; nemini erit molestus, utpote qui Platonicum illud probe calleat, « omnem animam invitam veritate privari. » (37) Alioqui cetera quidem omnia, quæ sunt amicorum, facietis; simul potabitis, simul habitabitis, simul navigabitis, et eisdem prognati parentibus eritis : nam et eadem hæc angues habere possunt, neque vero idcirco amici sunt; nec vos amici eritis, quoadusque belluina ista et fœda decreta tenueritis.

ΚΕΦ. ΚΓ'.

Περὶ τῆς τοῦ λέγειν δυνάμεως.

1. Βιβλίον πᾶς ἂν ἥδιον ἀναγνῴη καὶ ῥᾷον τὸ εὐσημοτέροις γράμμασι γεγραμμένον. Οὐκοῦν καὶ λόγους πᾶς ἄν τις ῥᾷον ἀκούσαι τοὺς εὐσχήμοσιν ἅμα καὶ εὐπρεπέσιν ὀνόμασι σεσημασμένους. (2) Οὐκ ἄρα τοῦτο ῥητέον, ὡς οὐδεμία δύναμίς ἐστιν ἀπαγγελτική. Τοῦτο γὰρ ἅμα μὲν ἀσεβοῦς ἐστιν ἀνθρώπου, ἅμα δὲ δειλοῦ· ἀσεβοῦς μὲν, ὅτι τὰς παρὰ τοῦ θεοῦ χάριτας ἀτιμάζει· ὥσπερ εἰ ἀνῄρει τὴν εὐχρηστίαν τῆς ὁρατικῆς ἢ τῆς ἀκουστικῆς δυνάμεως, ἢ αὐτῆς τῆς φωνητικῆς. (3) Εἰκῆ οὖν σοι ὁ θεὸς ὀφθαλμοὺς ἔδωκεν; εἰκῆ πνεῦμα ἐνεκέρασεν αὐτοῖς οὕτως ἰσχυρὸν καὶ φιλότεχνον, ὥστε μακρὰν ἐξικνούμενον ἀναμάσσεσθαι τοὺς τύπους τῶν ὁρωμένων; [καὶ] ποῖος ἄγγελος οὕτως ὠκὺς καὶ ἐπιμελής; (4) Εἰκῆ δὲ καὶ τὸν μεταξὺ ἀέρα οὕτως ἐνεργὸν ἐποίησε καὶ ἔντονον, ὥστε δι' αὐτοῦ τεινομένου πως διικνεῖσθαι τὴν ὅρασιν; εἰκῆ δὲ φῶς ἐποίησεν, οὗ μὴ παρόντος, οὐδενὸς τῶν ἄλλων ὄφελος ἦν;

5. Ἄνθρωπε, μήτ' ἀχάριστος ἴσθι, μήτε πάλιν ἀμνήμων τῶν κρεισσόνων. Ἀλλ' ὑπὲρ μὲν τοῦ ὁρᾷν καὶ ἀκούειν, καὶ νὴ Δία ὑπὲρ αὐτοῦ τοῦ ζῆν καὶ τῶν συνεργῶν πρὸς αὐτὸ, ὑπὲρ καρπῶν ξηρῶν, ὑπὲρ οἴνου, ὑπὲρ ἐλαίου, εὐχαρίστει τῷ θεῷ· (6) μέμνησο δ' ὅτι ἄλλο τί σοι δέδωκε κρεῖττον ἁπάντων τούτων, τὸ χρησόμενον αὐτοῖς, τὸ δοκιμάσον, τὸ τὴν ἀξίαν ἑκάστου λογιούμενον. (7) Τί γάρ ἐστι τὸ ἀποφαινόμενον ὑπὲρ

CAP. XXIII.

De dicendi facultate.

1. Librum clarioribus literis scriptum nemo est quin legat libentius, atque etiam facilius. Ita sermones etiam aptis et decentibus verbis compositos quivis facilius audiet. (2) Non ergo negandum est esse aliquam elocutionis facultatem. Hoc enim simul et impii hominis fuerit, et timidi ignavique : impii, quod divinum beneficium despicit, non secus ac si commoditatem visus auditusve aut vocis ipsius tolleret. (3) Ergone frustra tibi deus oculos dedit? frustra spiritum eis indidit adeo validum et artificiosum, ut etiam eminus conspectarum rerum formas repræsentet? quis nuncius æque celer ac diligens est? (4) Frustrane interjectum quoque aerem tam efficacem et intentum fecit, ut per eum, certa quadam ratione commotum, visus penetret? Frustrane porro lumen condidit, sine quo cetera omnia essent irrita?

5. Homo, neu ingratus esto, neve rursus idcirco præstantiorum esto immemor. Sed cum de visu et auditu, atque adeo de ipsa vita, vitæque adjumentis (cujusmodi sunt frumenta et legumina, cujusmodi vinum et oleum) gratiam habeto deo; (6) tum vero etiam memento, aliud aliquid ab eo tibi datum esse hisce omnibus præstantius, quod illis utatur, quod ea probet, quod pretium cujusque statuat. (7) Quid enim est quod de qualibet harum facultatum pro-

ἑκάστης τούτων τῶν δυνάμεων, πόσου τις ἀξία ἐστὶν αὐτῶν; μή τι αὐτὴ ἑκάστη ἡ δύναμις; μή τι τῆς ὁρατικῆς ποτ' ἤκουσας λεγούσης τι περὶ ἑαυτῆς; μή τι τῆς ἀκουστικῆς; μή τι πυρῶν; μή τι κριθῶν; μή τι ἵππου; μή τι κυνός; Ἀλλ' ὡς διάκονοι καὶ δοῦλαι τεταγμέναι εἰσὶν ὑπηρετεῖν τῇ χρηστικῇ τῶν φαντασιῶν. (8) Κἂν πύθῃ πόσου ἕκαστον ἄξιόν ἐστι· τίνος πυνθάνῃ; τίς σοι ἀποκρίνεται; Πῶς οὖν δύναταί τις ἄλλη δύναμις κρείσσων εἶναι ταύτης, ἣ καὶ ταῖς λοιπαῖς διακόνοις χρῆται, καὶ δοκιμάζει αὐτὴ ἕκαστα καὶ ἀποφαίνεται; (9) Τίς γὰρ ἐκείνων οἶδε τίς ἐστιν αὐτὴ, καὶ πόσου ἀξία; τίς ἐκείνων οἶδεν ὁπότε δεῖ χρῆσθαι αὐτῇ, καὶ πότε μή; τίς ἐστιν ἡ ἀνοίγουσα καὶ κλείουσα τοὺς ὀφθαλμοὺς, καὶ ἀφ' ὧν οὐ δεῖ ἀποστρέφουσα, τοῖς δὲ προσάγουσα; ἡ ὁρατική; Οὔχ· ἀλλ' ἡ προαιρετική. (10) Τίς ἡ τὰ ὦτα ἐπικλείουσα καὶ ἀνοίγουσα; τίς, καθ' ἣν περίεργοι καὶ πευθῆνες, ἢ πάλιν ἀκίνητοι ὑπὸ λόγου; ἡ ἀκουστική; Οὐχ ἄλλη ἢ ἡ προαιρετικὴ δύναμις. (11) Εἶτα αὐτὴ, ἰδοῦσα ὅτι ἐν τυφλαῖς καὶ κωφαῖς ταῖς ἄλλαις ἁπάσαις δυνάμεσίν ἐστι, μηδέν τι ἄλλο συνορᾷν δυναμέναις, πλὴν αὐτὰ ἐκεῖνα τὰ ἔργα ἐφ' οἷς τεταγμέναι εἰσὶ διακονεῖν ταύτῃ καὶ ὑπηρετεῖν, αὐτὴ δὲ μόνη ὀξὺ βλέπει, καὶ τὰς ἄλλας καθορᾷ πόσου ἑκάστη ἀξία· αὐτὴ μέλλει ἡμῖν ἄλλο τι ἀποφαίνεσθαι τὸ κράτιστον εἶναι ἢ αὑτήν; (12) Καὶ τί ποιεῖ ἄλλο ὁ ὀφθαλμὸς ἀνοιχθεὶς, ἢ ὁρᾷ; εἰ δὲ δεῖ τὴν τοῦ τινὸς ἰδεῖν γυναῖκα, καὶ πῶς, τίς λέγει; Ἡ προαιρετική. (13) Εἰ δὲ δεῖ πιστεῦσαι τοῖς λεχθεῖσιν, ἢ ἀπιστῆσαι, καὶ πιστεύσαντα ἐρεθισθῆναι ἢ μὴ, τίς λέγει; οὐχ ἡ προαιρετική; (14) Ἡ δὲ φραστικὴ αὕτη καὶ καλλωπιστικὴ τῶν ὀνομάτων, εἴ τις ἄρα ἰδία δύναμις, τί ἄλλο ποιεῖ, ἢ, ὅταν ἐμπέσῃ λόγος περί τινος, καλλωπίζει τὰ ὀνομάτια καὶ συντίθησιν, ὥσπερ οἱ κομμωταὶ τὴν κόμην; (15) Πότερον δ' εἰπεῖν ἄμεινον ἢ σιωπῆσαι, καὶ οὕτως ἄμεινον ἢ ἐκείνως, καὶ τοῦτο πρέπον ἢ οὐ πρέπον, καὶ τὸν καιρὸν ἑκάστου, καὶ τὴν χρείαν, τίς ἄλλη λέγει, ἢ ἡ προαιρετική; Θέλεις οὖν αὐτὴν παρελθοῦσαν αὑτῆς καταψηφίσασθαι;

16. Τί οὖν; φησίν· εἰ οὕτω τὸ πρᾶγμα ἔχει, καὶ δύναται τὸ διακονοῦν κρεῖσσον εἶναι ἐκείνου ᾧ διακονεῖ; ὁ ἵππος τοῦ ἱππέως; ἢ ὁ κύων τοῦ κυνηγοῦ; ἢ τὸ ὄργανον τοῦ κιθαριστοῦ; ἢ οἱ ὑπηρέται τοῦ βασιλέως; (17) Τί ἐστι τὸ χρώμενον; Προαίρεσις. Τί ἐπιμελεῖται πάντων; Προαίρεσις. Τί ὅλον ἀναιρεῖ τὸν ἄνθρωπον, ποτὲ μὲν λιμῷ, ποτὲ δ' ἀγχόνῃ, ποτὲ δὲ κατὰ κρημνοῦ; Προαίρεσις. (18) Εἶτα τούτου τί ἰσχυρότερον ἐν ἀνθρώποις ἐστί; καὶ πῶς οἷόν τε τοῦ ἀκωλύτου τὰ κωλυόμενα; (19) Τῇ ὁρατικῇ δυνάμει τίνα πέφυκεν ἐμποδίζειν; Καὶ προαίρεσις, καὶ ἀπροαίρετα. Τῇ ἀκουστικῇ ταὐτὰ, τῇ φραστικῇ ὡσαύτως. Προαίρεσιν δὲ τί ἐμποδίζειν πέφυκεν; Ἀπροαίρετον οὐδέν· αὐτὴ δ' ἑαυτὴν, διαστραφεῖσα. Διὰ τοῦτο κακία μόνη αὕτη γίνεται, ἡ ἀρετὴ μόνη.

20. Εἶτα, τηλικαύτη δύναμις οὖσα καὶ πᾶσι τοῖς

nunciet, quanti quæque pretii sit? num quæque facultas per se? num videndi sensum umquam de se ipso quidquam pronunciantem audivisti? num auditum? non magis, quam triticum, quam hordeum, quam equum, quam canem. Sed veluti ministræ et ancillæ constitutæ sunt istæ facultates, ut serviant facultati ei quæ visis utitur. (8) Quodsi rogas, quanti quidque pretii sit, quemnam rogas? quis tibi respondet? Qui ergo potest alia quæpiam facultas ea esse præstantior, quæ et ceteris tamquam ministris utitur, et singula ipsa probat et declarat? (9) Quæ enim illarum novit, quænam ipsa sit, et quanti pretii? quæ illarum novit, quando ipsa se uti debeat, quando non? quænam est quæ et aperiat et claudat oculos, et ab eis rebus, in quas illi converti non debent, avertat, in alias vero intendat? an ipsa videndi vis? Non : sed vis voluntatis. (10) Quænam est quæ aures occludit et reserat? quænam, qua curiosi et percontatores sumus, aut contra non commovemur oratione? num audiendi vis? Non alia, nisi Voluntas. (11) Ergone deinde ipsa, cum perspiciat se in cæcis et surdis ceteris facultatibus omnibus inesse, quæ nihil aliud prospicere possunt præter illa ipsa opera ad quæ destinatæ sunt, ut per ea ipsi ministrent serviantque; se vero solam acute cernere, ceterasque perspicere, quanti quæque pretii sit : ipsane ergo quidquam se præstantius esse nobis pronunciabit? (12) Et quid agit aliud oculus apertus, nisi quod videt? an vero uxor alicujus aspicienda sit, et qua ratione; quænam facultas id dicit? Voluntas rationis particeps. (13) An habenda sit orationi fides, aut abroganda; et, si fides habeatur, utrum commoveri oporteat, necne, quænam dicit, nisi animi deliberatio? (14) Ista vero eloquendi vis verborumque exornatrix, si qua modo peculiaris aliqua facultas est, quid aliud facit, nisi, cum rei alicujus mentio incidit, vocabula expolit et componit, veluti comandi artifices comam? (15) Utrum vero loqui an tacere præstet, et sic an illo modo dicere utilius sit, hoc deceat an dedeceat, et quod cujusque orationis tempus, quis usus sit, quænam alia dicit, nisi eadem animi deliberatio? Visne igitur, ut ipsa prodeat et se ipsa condemnet?

16. Quid ergo? inquit : si ita se res habet, fierine potest ut id, quod ministrat, præstet ei cui ministrat? ut equus equiti? canis venatori? instrumentum citharœdo? ministri regi? (17) Quid est quod utitur rebus? Animi deliberatio. Quid curat omnia? Animi deliberatio. Quid totum hominem tollit, nunc fame, nunc laqueo, nunc præcipitio? Animi voluntas. (18) Ergone habet homo hac quidquam robustius? ullone modo fieri potest, ut id quod coerceri nequit, sit infirmius iis quæ ab ipso coercentur? (19) Oculorum aciem quidnam impedire potest? Et voluntas, et multa quæ a voluntate non pendent. Hæc eadem et audiendi et dicendi facultatem cohibere possunt. Voluntatem vero quid potest impedire? Involuntarium nihil; sed ipsa sese, ubi depravata fuerit. Quapropter in hac sola sive pravitas, sive virtus inest.

20. Cum igitur tanta facultas sit, ceterisque omnibus

ἄλλως ἐπιτεταγμένη, παρελθοῦσα ἡμῖν λεγέτω, κράτιστον εἶναι τῶν ὄντων τὴν σάρκα. Οὐδὲ εἰ αὐτὴ ἡ σὰρξ ἑαυτὴν ἔλεγεν εἶναι κράτιστον, ἠνέσχετ' ἄν τις αὐτῆς. (21) Νῦν δὲ τί ἐστιν, Ἐπίκουρε, τὸ ταῦτα ἀποφαινόμενον, τὸ περὶ Τέλους συγγεγραφὸς, τὸ τὰ Φυσικὰ, τὸ περὶ Κανόνος; τὸ τὸν πώγωνα καθεικός; τὸ γράφον, ὅτε ἀπέθνησκεν, ὅτι τὴν τελευταίαν ἄγοι θ' ἅμα καὶ μακαρίαν ἡμέραν; ἡ σὰρξ, ἢ ἡ προαίρεσις; (22) Εἶτα τούτου τι κρεῖσσον ἔχειν ὁμολογεῖς, καὶ οὐ μαίνῃ; οὕτω τυφλὸς ταῖς ἀληθείαις καὶ κωφὸς εἶ;

23. Τί οὖν; ἀτιμάζει τις τὰς ἄλλας δυνάμεις; Μὴ γένοιτο. Λέγει τις μηδεμίαν εἶναι χρείαν ἢ προαγωγὴν τῆς φραστικῆς δυνάμεως; Μὴ γένοιτο. Ἀνόητον, ἀσεβές, ἀχάριστον πρὸς τὸν θεόν. (24) Ἀλλὰ τὴν ἀξίαν ἑκάστῳ ἀποδίδωσιν. Ἔστι γάρ τις καὶ ὄνου χρεία, ἀλλ' οὐχ ἡλίκη βοός· ἔστι καὶ κυνὸς, ἀλλ' οὐχ ἡλίκη οἰκέτου· ἔστι καὶ οἰκέτου, ἀλλ' οὐχ ἡλίκη τῶν πολιτῶν· ἔστι καὶ τούτων, αλλ' οὐχ ἡλίκη τῶν ἀρχόντων. (25) Οὐ μέντοι διὰ τὸ ἄλλα εἶναι κρείττονα, καὶ ἣν παρέχει τὰ ἕτερα χρείαν, ἀτιμαστέον. Ἔστι τις ἀξία καὶ τῆς φραστικῆς δυνάμεως, ἀλλ' οὐχ ἡλίκη τῆς προαιρετικῆς. (26) Ὅταν οὖν ταῦτα λέγω, μή τις οἰέσθω ὅτι ἀμελεῖν ὑμᾶς ἀξιῶ φράσεως· οὐδὲ γὰρ ὀφθαλμῶν, οὐδ' ὤτων, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν, οὐδ' ἐσθῆτος, οὐδ' ὑποδημάτων. (27) Ἀλλ' ἄν μου πυνθάνῃ, τί οὖν ἐστι κράτιστον τῶν ὄντων, τί εἴπω; Τὴν φραστικὴν οὐ δύναμαι, ἀλλὰ τὴν προαιρετικὴν, ὅταν ὀρθὴ γένηται. (28) Τοῦτο γάρ ἐστι τὸ κἀκείνῃ χρώμενον, καὶ ταῖς ἄλλαις ἁπάσαις καὶ μικραῖς καὶ μεγάλαις δυνάμεσι. Τούτου κατορθωθέντος, οὐκ ἀγαθὸς ἄνθρωπος, ἀγαθὸς γίνεται· ἀποτευχθέντος δὲ, κακὸς ἄνθρωπος γίνεται· (29) παρ' ὃ ἀτυχοῦμεν, εὐτυχοῦμεν, μεμφόμεθ' ἀλλήλοις, εὐαρεστοῦμεν· ἁπλῶς, ὃ λεληθὸς μὲν κακοδαιμονίαν ποιεῖται, τυχὸν δ' ἐπιμελείας, εὐδαιμονίαν.

30. Τὸ δὲ αἴρειν τὴν δύναμιν τῆς φραστικῆς, καὶ λέγειν μὴ εἶναι μηδεμίαν ταῖς ἀληθείαις, οὐ μόνον ἀχαρίστου ἐστὶ πρὸς τοὺς δεδωκότας, ἀλλὰ καὶ δειλοῦ. (31) Ὁ γὰρ τοιοῦτος φοβεῖσθαί μοι δοκεῖ, μὴ, εἴπερ ἐστί τις δύναμις κατὰ τὸν τόπον, οὐ δυνηθῶμεν αὐτῆς καταφρονῆσαι. (32) Τοιοῦτοί εἰσι καὶ οἱ λέγοντες, μηδεμίαν εἶναι παραλλαγὴν κάλλους πρὸς αἶσχος. Εἶτα ὁμοίως ἦν κινηθῆναι τὸν Θερσίτην ἰδόντα, καὶ τὸν Ἀχιλλέα; ὁμοίως τὴν Ἑλένην, καὶ ἣν ἔτυχε γυναῖκα; (33) Καὶ ταῦτα μωρὰ καὶ ἄγροικα, καὶ οὐκ εἰδότων τὴν ἑκάστου φύσιν, ἀλλὰ φοβουμένων μὴ ἄν τις αἴσθηται τῆς διαφορᾶς, εὐθὺς συναρπασθεὶς καὶ ἡττηθεὶς ἀπέλθῃ. (34) Ἀλλὰ τὸ μέγα τοῦτο, ἀπολιπεῖν ἑκάστῳ τὴν αὐτοῦ δύναμιν ἣν ἔχει, καὶ ἀπολιπόντα ἰδεῖν τὴν ἀξίαν τῆς δυνάμεως, καὶ τὸ κράτιστον τῶν ὄντων καταμαθεῖν, καὶ τοῦτο ἐν παντὶ μεταδιώκειν, περὶ τοῦτο ἐσπουδακέναι, πάρεργα τἄλλα πρὸς τοῦτο πεποιημένον, οὐ μέντοι ἀμελοῦντα οὐδ' ἐκείνων κατὰ δύναμιν. (35) Καὶ γὰρ ὀφθαλμῶν ἐπιμελητέον, ἀλλ' οὐχ ὡς τοῦ κρατίστου, ἀλλὰ καὶ τούτων διὰ τὸ κράτιστον· ὅτι ἐκεῖνο οὐκ ἄλλως

præposita, jam progrediatur ad nos dicatque, carnem rerum omnium esse præstantissimam. Id vero ne carnem quidem ipsam dicentem quisquam ferret. (21) Nunc autem quid est illud, Epicure, quod ista pronunciat? quod de Finibus, de Natura rerum, de Regula veri conscripsit? quod promissam barbam te alere jussit? quod animam agens scripsit, se extremum simul eumdemque beatum agere diem? caro-ne, an voluntas? (22) Et tu nihilominus voluntate præstantius aliquid habere te ais? Nonne insanis? adeone prorsus cæcus surdusque es?

23. Quid ergo? sperno ceteras facultates? Absit. Negone ullum esse dicendi facultatis usum aut præstantiam? Absit. Amentiæ id fuerit, impietatis, ingrati adversus deum animi. (24) Sed suum cuique honorem tribuo. Habet et asinus suum usum; sed non tantum, quantum bos: habet canis, sed non quantum famulus: habet famulus, sed non quantum civis: et civis, sed non quantum magistratus. (25) Neque vero eo, quod alia præstantiora sint, contemnendus est usus, quem habent alia. Est quædam dignitas etiam facultatis dicendi; sed non tanta, quanta voluntatis. (26) Cum ergo hoc dico, ne quis vestrûm me putet auctorem vobis esse negligendæ artis dicendi: neque enim vel oculos, vel aures, vel manus, vel pedes, vel vestem, vel calceos negligi jubeo. (27) Sed cum ex me quæris, quid omnium rerum optimum sit, quid dicam? Eloquentiam non possum dicere: sed voluntatem, si recta fuerit. (28) Hæc est enim quæ et illa utitur, et ceteris omnibus facultatibus, tam minoribus, quam majoribus. Nam hæc si recte se habuerit, homo non bonus, fit bonus: sin secus, malus homo evadit. (29) Hæc est qua vel infelices sumus, vel felices; propter quam alios vel reprehendimus, vel probamus: denique hæc est, quæ neglecta miseriam, recte curata beatam vitam affert hominibus.

30. Ceterum eloquendi facultatem tollere, ac plane ullam esse negare; non modo ingrati hominis est adversus eos qui illam dederunt, sed et ignavi timidique: (31) is enim timere mihi videtur, ne, si qua sit ejus rei facultas, eam contemnere nequeamus. (32) Similiter faciunt ii qui dicunt, nullum esse discrimen pulcritudinis et turpitudinis. Quasi vero perinde commoveri posset is, qui Thersiten, atque qui Achillem aspiciat; perinde is qui Helenam, et qui aliam quamlibet mulierem. (33) Et hæc stulta et rustica sunt, et eorum hominum, qui, quæ cujusque rei natura sit, ignorant, ac timent ne, si quis discrimen intellexerit, statim correptus ac victus discedat. (34) Immo illud potius magnum est, relicta cuique sua vi, videre quanti pretii ea sit; simul vero id, quod est omnium rerum præstantissimum, cognoscere, idque perpetuo persequi, in eoque elaborare; cetera vero, si cum hoc conferantur, supervacanea judicare; sic tamen, ut quantum liceat, ne illa quidem negligas. (35) Etenim curandi sunt etiam oculi; sed non ita, ut præstantissimum illud; verum et hi propter

ἕξει κατὰ φύσιν, εἰ μὴ ἐν τούτοις εὐλογιστοῦν καὶ τὰ ἕτερα παρὰ τὰ ἕτερα αἱρούμενον.

36. Τί οὖν ἐστι τὸ γινόμενον; Οἷον εἴ τις ἀπιὼν εἰς τὴν πατρίδα τὴν ἑαυτοῦ, καὶ διοδεύων πανδοχεῖον καλὸν, ἀρέσαντος αὐτῷ τοῦ πανδοχείου, καταμένοι ἐν τῷ πανδοχείῳ. (37) Ἄνθρωπε, ἐπελάθου σου τῆς προθέσεως· οὐκ εἰς τοῦτο ὥδευες, ἀλλὰ διὰ τούτου. Ἀλλὰ κομψὸν τοῦτο. Πόσα δ' ἄλλα πανδοχεῖα κομψά; πόσοι δὲ λειμῶνες; ἀλλ' ἁπλῶς ὡς δίοδος. (38) Τὸ δὲ προκείμενον ἐκεῖνο, εἰς τὴν πατρίδα ἐπανελθεῖν, τοὺς οἰκείους ἀπαλλάξαι δέους, αὐτὸν τὰ τοῦ πολίτου ποιεῖν, γῆμαι, παιδοποιεῖσθαι, ἄρξαι τὰς νομιζομένας ἀρχάς. (39) Οὐ γὰρ τοὺς κομψοτέρους ἡμῖν τόπους ἐκλεξόμενος ἐλήλυθας· ἀλλ', ἐν οἷς ἐγένου, καὶ ὧν κατατέταξαι πολίτης, ἐν τούτοις ἀναστραφησόμενος. Τοιοῦτόν τι καὶ ἐνταῦθά ἐστι τὸ γινόμενον. (40) Ἐπεὶ διὰ λόγου καὶ τοιαύτης παραδόσεως ἐλθεῖν ἐπὶ τὸ τέλειον δεῖ, καὶ τὴν αὑτοῦ προαίρεσιν ἐκκαθᾶραι, καὶ τὴν δύναμιν τὴν χρηστικὴν τῶν φαντασιῶν ὀρθὴν κατασκευάσαι· ἀνάγκη δὲ τὴν παράδοσιν γίνεσθαι τῶν θεωρημάτων καὶ διὰ λέξεως ποιᾶς, καὶ μετά τινος ποικιλίας καὶ δριμύτητος * τῶν θεωρημάτων· * (41) ὑπ' αὐτῶν τινες τούτων ἁλισκόμενοι καταμένουσιν αὐτοῦ, ὁ μὲν ὑπὸ τῆς λέξεως, ὁ δ' ὑπὸ συλλογισμῶν, ὁ δ' ὑπὸ μεταπιπτόντων, ὁ δ' ὑπ' ἄλλου τινὸς τοιούτου πανδοχείου· καὶ προσμείναντες κατασήπονται, ὡς παρὰ ταῖς Σειρῆσιν.

42. Ἄνθρωπε, τὸ προκείμενον ἦν σοι, κατασκευάσαι σαυτὸν χρηστικὸν ταῖς προσπιπτούσαις φαντασίαις κατὰ φύσιν, ἐν ὀρέξει ἀναπότευκτον, ἐν δ' ἐκκλίσει ἀπερίπτωτον, μηδέποτε ἀτυχοῦντα, μηδέποτε δυστυχοῦντα, ἐλεύθερον, ἀκώλυτον, ἀνανάγκαστον, συναρμόζοντα τῇ τοῦ Διὸς διοικήσει, ταύτῃ πειθόμενον, ταύτῃ εὐαρεστοῦντα, μηδένα μεμφόμενον, μηδένα αἰτιώμενον, δυνάμενον εἰπεῖν τούτους τοὺς στίχους ἐξ ὅλης ψυχῆς,

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη.

(43) Εἶτα, τοῦτο τὸ προκείμενον ἔχων, ἀρέσαντός σοι λεξειδίου, ἀρεσάντων θεωρημάτων τινῶν, αὐτοῦ καταμένεις, καὶ κατοικεῖν προαιρῇ, ἐπιλαθόμενος τῶν ἐν οἴκῳ, καὶ λέγεις, ταῦτα κομψά ἐστι; Τίς γὰρ λέγει μὴ εἶναι αὐτὰ κομψά; ἀλλ' ὡς δίοδον, ὡς πανδοχεῖα. (44) Τί γὰρ κωλύει, φράζοντα ὡς Δημοσθένης, ἀτυχεῖν; τί δὲ κωλύει, συλλογισμοὺς ἀναλύοντα ὡς Χρύσιππος, ἄθλιον εἶναι, πενθεῖν, φθονεῖν, ἁπλῶς ταράσσεσθαι, κακοδαιμονεῖν; Οὐδὲ ἕν. (45) Ὁρᾷς οὖν ὅτι πανδοχεῖα ἦν ταῦτα [οὐκ] οὐδενὸς ἄξια· τὸ δὲ προκείμενον ἄλλο ἦν. (46) Ταῦτα ὅταν λέγω πρός τινας, οἴονταί με καταβάλλειν τὴν περὶ τὸ λέγειν ἐπιμέλειαν, ἢ τὴν περὶ τὰ θεωρήματα. Ἐγὼ δ' οὐ ταύτην καταβάλλω, ἀλλὰ τὸ περὶ ταῦτα καταληκτικῶς ἔχειν, καὶ ἐνταῦθα τίθεσθαι τὰς αὑτῶν ἐλπίδας. (47) Εἴ τις τοῦτο παριστὰς βλάπτει τοὺς ἀκούοντας, κἀμὲ τίθεσθε ἕνα τῶν βλαπτόντων. Οὐ δύναμαι δ' ἄλλο βλέπων τὸ κράτι-

illud præstantissimum; quoniam ne illud quidem secundum naturam erit, nisi his recte utatur et alia aliis præferat.

36. Quid ergo fieri solet? Perinde faciunt ac si quis in patriam suam abiens, et deversorium elegans ingressus, placente deversorio, ibi permaneat. (37) Homo! oblitus es propositi tui; non huc ibas, sed hac. « At elegans hoc est. » Quot vero alia deversoria elegantia sunt? quot prata et saltus? sed non aliter, nisi ut transitus. (38) Propositum vero illud fuit, in patriam reverti, propinquos sollicitudine liberare, civis officio fungi, uxorem ducere, procreare liberos, magistratus legitimos gerere. (39) Neque enim, ut amœniora loca deligeres, venisti; sed ut in iis, in quibus genitus, quorumque civis es, versareris. Tale quiddam hic etiam usu venit. (40) Quoniam oratione et doctrina verbis communicata ad perfectionem est contendendum, et voluntas repurganda, et facultas quæ visis utitur corrigenda; doctrinæ autem præceptiones fieri necesse est certo quodam dictionis genere, et cum varietate quadam et acrimonia; (41) nonnulli, his ipsis rebus illecti, ibi desident, alius dictione, alius ratiocinationibus captus, alius sophismatibus, alius alio hujus generis deversorio; ibique desidentes, velut apud Sirenes, computrescunt.

42. Homo, propositum tuum erat, ita te parare, ut visis tibi oblatis ex præscripto naturæ utereris; in appetitione, ne frustrareris; in aversatione, ne in id, quod nolles, incideres; ne umquam adversa aut parum prospera utereris fortuna; ut liber esses; ut a nemine prohiberi, a nemine cogi posses; ut Jovis administrationi te accommodares, eique obtemperares, in ea acquiesceres, neminem accusares, neminem culpares, et versus istos ex animo dicere posses,

Estote duces, Jupiter, ac Fatum, mihi.

(43) Et istud propositum cum habeas, deinde, si qua tibi dictiuncula placuerit, si quæ præceptiones arriserint, ibi permanere et residere, oblitus eorum quæ domi sunt, institues, pulcra ista esse dicens? Quis enim pulcra esse negat? sed ut transitum, ut deversorium. (44) Quid enim vetat, more Demosthenico dicentem, calamitosum esse? quid obstat, tametsi æque ac Chrysippus syllogismos resolvere queas, esse miserum, lugere, invidere, denique perturbari ac infelicem esse? Nihil. (45) Vides ergo, deversoria ista esse [non quidem] nullius pretii; tibi vero aliud fuisse propositum. (46) Hæc cum ad nonnullos dico, putant me studium dicendi aut præceptionum evertere. Ego vero non hoc everto, sed illud, si quis in his studiis ut in fine permaneat, et spes suas in eis collocet. (47) Quodsi quis, hæc docens, nocet auditoribus; me quoque in eorum numero, qui nocent, ponite. Neque vero possum, quum aliud videam

στον καὶ τὸ κυριώτατον, ἄλλο λέγειν εἶναι, ἵν' ὑμῖν χαρίσωμαι.

ΚΕΦ. ΚΔ'.

Πρός τινα τῶν οὐκ ἠξιωμένων ὑπ' αὐτοῦ.

1. Εἰπόντος αὐτῷ τινος, ὅτι Πολλάκις ἐπιθυμῶν σου ἀκοῦσαι ἦλθον πρός σε, καὶ οὐδέποτέ μοι ἀπεκρίνω· καὶ νῦν, εἰ δυνατὸν, παρακαλῶ σε εἰπεῖν τί μοι· (2) Δοκεῖ σοι, ἔφη, καθάπερ ἄλλου τινὸς εἶναι τέχνη, οὕτω δὴ καὶ τοῦ λέγειν· ἣν ὁ μὲν ἔχων, ἐμπείρως ἐρεῖ, ὁ δὲ μὴ ἔχων, ἀπείρως; Δοκεῖ. (3) Οὐκοῦν ὁ μὲν διὰ τοῦ λέγειν αὐτός τε ὠφελούμενος καὶ ἄλλους οἷός τε ὢν ὠφελεῖν, οὗτος ἐμπείρως ἂν λέγοι· ὁ δὲ βλαπτόμενος μᾶλλον καὶ βλάπτων, οὗτος ἄπειρος ἂν εἴη τῆς τέχνης ταύτης τῆς τοῦ λέγειν; Εὕροις δ' ἂν τοὺς μὲν βλαπτομένους, τοὺς δ' ὠφελουμένους. (4) Οἱ δ' ἀκούοντες πάντες ὠφελοῦνται ἀφ' ὧν ἀκούουσιν; ἢ καὶ τούτων εὕροις ἂν τοὺς μὲν ὠφελουμένους, τοὺς δὲ βλαπτομένους; Καὶ τούτων, ἔφη. Οὐκοῦν καὶ ἐνταῦθα ὅσοι μὲν ἐμπείρως ἀκούουσιν, ὠφελοῦνται, ὅσοι δ' ἀπείρως, βλάπτονται; Ὡμολόγει. (5) Ἔστιν ἄρα τις ἐμπειρία, καθάπερ τοῦ λέγειν, οὕτω καὶ τοῦ ἀκούειν; Ἔοικεν. (6) Εἰ δὲ βούλει, καὶ οὕτω σκέψαι αὐτό. Τὸ μουσικῆς ἅψασθαι, τίνος σοι δοκεῖ; Μουσικοῦ. (7) Τὸ δὲ τὸν ἀνδριάντα ὡς δεῖ κατασκευάσαι, τίνος σοι φαίνεται; Ἀνδριαντοποιοῦ. Τὸ δ' ἰδεῖν ἐμπείρως, οὐδεμιᾶς σοι προσδεῖσθαι φαίνεται τέχνης; Προσδεῖται καὶ τοῦτο. (8) Οὐκοῦν, εἰ καὶ τὸ λέγειν ὡς δεῖ τοῦ ἐμπείρου ἐστὶν, ὁρᾷς ὅτι καὶ τὸ ἀκούειν ὠφελίμως τοῦ ἐμπείρου ἐστί; (9) Καὶ τὸ μὲν τελείως καὶ ὠφελίμως, εἰ βούλει, πρὸς τὸ παρὸν ἀφῶμεν, ἐπεὶ καὶ μακρὰν ἐσμεν ἀμφότεροι παντὸς τοιούτου. (10) Ἐκεῖνο δὲ πᾶς ἄν τις ὁμολογῆσαι μοι δοκεῖ, ὅτι ποσῆς γέ τινος τριβῆς περὶ τὸ ἀκούειν προσδεῖται ὁ τῶν φιλοσόφων ἀκουσόμενος. Ἦ γὰρ οὔ;

11. Περὶ τίνος οὖν λέγω πρός σε, δεῖξόν μοι· περὶ τίνος ἀκοῦσαι δύνασαι; Περὶ ἀγαθῶν καὶ κακῶν; Τίνος; ἆρά γε ἵππου; Οὔ. Ἀλλὰ βοός; Οὔ. Τί οὖν; ἀνθρώπου; Ναί. (12) Οἴδαμεν οὖν τί ἐστιν ἄνθρωπος; τίς ἡ φύσις αὐτοῦ; τίς ἡ ἔννοια; ἢ ἔχομεν καὶ κατὰ ποσὸν περὶ τοῦτο τὰ ὦτα τετριμμένα; Ἀλλὰ, φύσις τί ἐστιν, ἐννοεῖς; ἢ δύνασαι καὶ κατὰ ποσὸν ἀκολουθῆσαί μοι λέγοντι; (13) Ἀλλ' ἀποδείξει χρήσομαι πρὸς σέ; Πῶς; παρακολουθεῖς γὰρ αὐτῷ τούτῳ, τί ἐστιν ἀπόδειξις, ἢ πῶς τι ἀποδείκνυται, ἢ διὰ τίνων; ἢ τίνα ὅμοια μὲν ἀποδείξει ἐστὶν, ἀπόδειξις δ' οὐκ ἔστι; (14) Τί γάρ ἐστιν ἀληθὲς οἶδας, ἢ τί ἐστι ψεῦδος; τί τίνι ἀκολουθεῖ; τί τίνι μάχεται, ἢ ἀνομολογούμενόν ἐστιν, ἢ ἀσύμφωνον; (15) Ἀλλὰ κινῶ σε πρὸς φιλοσοφίαν; Πῶς; παραδεικνύω σοι τὴν μάχην τῶν πολλῶν ἀνθρώπων, καθ' ἣν διαφέρονται περὶ ἀγαθῶν καὶ κακῶν, καὶ συμφερόντων καὶ ἀσυμφόρων· αὐτὸ τοῦτο, τί ἐστι μάχη, οὐκ εἰδότι; Δεῖξόν οὖν μοι, τί περανῶ διαλεγόμενός σοι. Κίνησόν μοι προθυμίαν. (16) Ὡς ἡ κατάλληλος πόα τῷ προβάτῳ φανεῖσα, προθυμίαν αὐτῷ

esse præstantissimum præcipuumque, aliud dicere, quo vobis gratificer.

CAP. XXIV.

Ad aliquem nulla æstimatione ab eo dignatum.

1. Cum quidam ei dixisset, « Audiendi tui cupiditate sæpe ad te veni, nec tu umquam mihi respondisti; et nunc, si fieri potest, oro te, ut aliquid mihi dicas; » (2) Putasne, inquit, quemadmodum aliarum rerum, sic dicendi quoque aliquam esse artem, quam qui calleat, is perite; qui vero ignoret, imperite sit dicturus? Videtur. (3) Ergo qui dicendo et ipse juvatur, et alios juvare valet, is perite dicet; qui vero nocet magis, cum sibi, tum aliis, is hujus artis dicendi imperitus erit? Invenias autem alios lædi, alios juvari. (4) Ii vero qui audiunt, juvanturne omnes iis rebus quas audiunt? an vero et horum alios invenias qui juventur, alios qui lædantur? Et horum, inquit. Ergo hic etiam, qui perite audiunt, juvantur; qui vero imperite, læduntur? Assentiebatur. (5) Est ergo peritia aliqua, ut dicendi, sic etiam audiendi? Videtur. (6) Si vero placet, eamdem rem sic etiam consideremus. Tractare musicam, cujus tibi esse videtur? Musici. (7) Statuam rite conficere, cujus? Statuarii. Perita vero statuæ consideratio nullamne tibi artem requirere videtur? Requirit et hæc. (8) Ergo si dicere quemadmodum oportet periti est, vides etiam audire utiliter esse periti? (9) Ac perfectionem quidem et utilitatem, si vis, nunc omittamus; ambo enim longe ab his omnibus absumus. (10) Illud vero quivis concesserit mihi, opinor, ei qui philosophos auditurus sit, opus esse aliqua audiendi exercitatione. Nonne ita est?

11. Qua ergo de re tibi dicam, id mihi ostendito: qua de re me disserentem audire potes? De rebus bonis et malis? Cujus? an equi? Non. Sed bovis? Non. Quid ergo? hominis? Immo. (12) Scimusne igitur quid sit homo? quæ sit natura ejus? quæ notio? aut habemusne aliquatenus saltem tritas aures in hoc genere? At, natura quid sit, intelligis? meque dicentem etiam aliquatenus assequi potes? (13) Verum demonstratione utar adversus te? Quomodo? id ipsumne enim, quid sit demonstratio, intelligis? aut quomodo aliquid demonstretur, aut per quæ, aut quæ demonstrationi quidem similia sint, nec tamen sunt demonstratio? (14) Nostine quid sit verum, aut quid falsum? quid cui sit consequens? quid cui repugnet, aut non conveniens sit, aut dissentaneum? (15) At excitabo te ad philosophiam? Quomodo? ostendam tibi pugnantes vulgi opiniones, de bonis et malis, de utilibus et inutilibus dissentientis; cum istud ipsum, quid pugna sit, ignores? Ostende ergo mihi, quid disserendo tecum proficere queam. Excitato in me alacritatem. (16) Quemadmodum herba conveniens, cum ab ove conspicitur, appetitum edendi ei excitat; cui si lapidem aut

κινεῖ πρὸς τὸ φαγεῖν· ἂν δὲ λίθον ἢ ἄρτον παραθῇς, οὐ κινηθήσεται· οὕτως εἰσί τινες ἡμῖν φυσικαὶ προθυμίαι καὶ πρὸς τὸ λέγειν, ὅταν ὁ ἀκουσόμενος φανῇ τις, ὅταν αὐτὸς ἐρεθίσῃ· ἂν δ' ὡς λίθος ἢ χόρτος ᾖ παρακείμενος, πῶς δύναται ἀνθρώπῳ ὄρεξιν κινῆσαι; (17) Ἡ ἄμπελος μή τι λέγει τῷ γεωργῷ, Ἐπιμελοῦ μου; ἀλλ' αὐτὴ δι' αὑτῆς ἐμφαίνουσα, ὅτι ἐπιμεληθέντι λυσιτελήσει αὐτῷ, ἐκκαλεῖται πρὸς τὴν ἐπιμέλειαν; (18) Τὰ παιδία τὰ πιθανὰ καὶ δριμέα, τίνα οὐκ ἐκκαλεῖται πρὸς τὸ συμπαίζειν αὐτοῖς, καὶ συνέρπειν, καὶ πρὸς τὸ συμψελλίζειν; ὄνῳ δὲ τίς προθυμεῖται συμπαίζειν, ἢ συνογκᾶσθαι; καὶ γὰρ εἰ μικρὸν, ὅμως ὀνάριόν ἐστιν.

19. Τί οὖν μοι οὐδὲν λέγεις; Ἐκεῖνο μόνον ἔχω σοι εἰπεῖν, ὅτι ὁ ἀγνοῶν τίς ἐστι, καὶ ἐπὶ τί γέγονε, καὶ ἐν τίνι τούτῳ τῷ κόσμῳ, καὶ μετὰ τίνων κοινωνῶν, καὶ τίνα τὰ ἀγαθά ἐστι καὶ τὰ κακὰ, καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ, καὶ μήτε λόγῳ παρακολουθῶν, μήτ' ἀποδείξει, μήτε τί ἐστιν ἀληθὲς ἢ τί ψεῦδος, μήτε διακρῖναι ταῦτα δυνάμενος, οὔτ' ὀρέξεται κατὰ φύσιν, οὔτ' ἐκκλινεῖ, οὔθ' ὁρμήσει, οὔτ' ἐπιβαλεῖται, οὐ συγκαταθήσεται, οὐκ ἀνανεύσει, οὐκ ἐφέξει· τὸ σύνολον, κωφὸς καὶ τυφλὸς περιελεύσεται, δοκῶν μέν τις εἶναι, ὢν δ' οὐδείς. (20) Νῦν γὰρ πρῶτον τοῦθ' οὕτως ἔχει; οὐχὶ ἐξ οὗ γένος ἀνθρώπων ἐστὶν, ἐξ ἐκείνου πάντα τὰ ἁμαρτήματα καὶ τὰ ἀτυχήματα παρὰ ταύτην τὴν ἄγνοιαν γεγένηται; (21) Ἀγαμέμνων καὶ Ἀχιλλεὺς διὰ τί ἀλλήλοις διεφέροντο; οὐχὶ διὰ τὸ μὴ εἰδέναι τίνα ἐστὶ συμφέροντα καὶ ἀσύμφορα; οὐχὶ ὁ μὲν λέγει, ὅτι συμφέρει ἀποδοῦναι τῷ πατρὶ τὴν Χρυσηΐδα· ὁ δὲ λέγει, ὅτι οὐ συμφέρει; οὐχὶ ὁ μὲν λέγει, ὅτι δεῖ αὐτὸν λαβεῖν τὸ ἄλλου γέρας· ὁ δὲ, ὅτι οὐ δεῖ; οὐχὶ διὰ ταῦτα ἐπελάθοντο, καὶ τίνες ἦσαν, καὶ ἐπὶ τί ἐληλύθεσαν; (22) Ἔα, ἄνθρωπε, ἐπὶ τί ἐλήλυθας; ἐρωμένας κτησόμενος, ἢ πολεμήσων; Πολεμήσων. Τίσι; τοῖς Τρωσὶν, ἢ τοῖς Ἕλλησι; Τοῖς Τρωσίν. Ἀφεὶς οὖν τὸν Ἕκτορα, ἐπὶ τὸν βασιλέα τὸν σαυτοῦ σπᾷς τὸ ξίφος; (23) Σὺ δ', ὦ βέλτιστε, ἀφεὶς τὰ τοῦ βασιλέως ἔργα,

Ὧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε·

περὶ κορασιδίου διαπυκτεύεις τῷ πολεμικωτάτῳ τῶν συμμάχων, ὃν δεῖ παντὶ τρόπῳ περιέπειν καὶ φυλάττειν; καὶ χείρων γίνῃ κομψοῦ ἀρχιερέως, ὃς τοὺς καλοὺς μονομάχους διὰ πάσης ἐπιμελείας ἔχει; Ὁρᾷς οἷα ποιεῖ ἄγνοια περὶ τῶν συμφερόντων;

24. Ἀλλὰ κἀγὼ πλούσιός εἰμι. Μή τι οὖν τοῦ Ἀγαμέμνονος πλουσιώτερος; Ἀλλὰ καὶ καλός εἰμι. Μή τι οὖν τοῦ Ἀχιλλέως καλλίων; Ἀλλὰ καὶ κόμιον κομψὸν ἔχω. Ὁ δὲ Ἀχιλλεὺς οὐ κάλλιον, καὶ ξανθόν; καὶ οὐκ ἐκτένιζεν αὐτὸ κομψῶς, οὐδὲ ἔπλασσεν. (25) Ἀλλὰ καὶ ἰσχυρός εἰμι. Μή τι οὖν δύνασαι λίθον ἆραι ἡλίκον ὁ Ἕκτωρ ἢ ὁ Αἴας; Ἀλλὰ καὶ εὐγενής. Μή τι ἐκ θεᾶς μητρός; μή τι πατρὸς ἐκγόνου Διός; Τί οὖν ἐκεῖνον ὠφελεῖ ταῦτα, ὅταν καθήμενος κλαίῃ διὰ τὸ κορασίδιον; (26) Ἀλλὰ ῥήτωρ εἰμί. Ἐκεῖνος δ'

panem apposueris, non excitabitur : ita sunt in nobis naturales quædam propensiones ad dicendum, si auditor alicujus momenti esse videatur, si ipse incitet : si vero lapidis aut fœni instar assederit, qui potest appetitum hominis excitare? (17) Vitis numquid vinitori dicit, Cura me! ac non potius ipsa per se significans, se probe curatam illi profuturam, diligentiam illius excitat? (18) Pueri festivi et alacres quem non excitant ad colludendum et una reptandum, unaque balbutiendum? quis vero cum asino colludere, unave rudere velit? qui quamvis parvus sit, asellus tamen est.

19. « Cur ergo mihi nihil dicis? » Illud unum habeo tibi dicere, eum qui nesciat, quis sit, et ad quid natus sit; et qui sit mundus hic, in quo est locatus; et quibus cum sociis in eo sit locatus; tum quæ bona sint, quæ mala, quæ honesta et turpia; qui nec argumentationem nec demonstrationem assequitur; qui nec quid verum, nec quid falsum sit, intelligit aut discernere potest; eum neque appetiturum ex naturæ præscripto, neque aversaturum, neque concitatum iri, nec aggressurum, nec assensurum, nec refragaturum, nec assensionem cohibiturum : ut verbo complectar, surdus et cæcus vagabitur, et nullus erit, quantumvis aliquis esse videatur. (20) Num vero nunc primum hoc ita esse cœpit? an non, ex quo genus hominum est, ex eo tempore omnia peccata, omnes calamitates per istam ignorationem sunt invectæ? (21) Agamemno et Achilles inter se qua de caussa dissenserunt? nonne quod, quæ utilia essent, quæ inutilia, ignorabant? nonne hic dicit, utile esse reddere patri Chryseidem; ille negat? nonne hic ait, sibi præmium alterius capiendum esse; ille refragatur? nonne propter hæc, et qui essent, et qua de caussa venissent, obliti sunt? (22) Age, homo, cur venisti? ut amicas parares, an ut bellum gereres? Ut bellum gererem. Cum quibus? cum Trojanis, an Græcis? Cum Trojanis. Omisso ergo Hectore, adversus regem tuum stringis gladium? (23) Tu vero, vir optime, omissis regis muneribus, cui

commissi populi, cui tanta negotia curæ,

cur de puellula digladiaris cum bellicosissimo sociorum, qui omnibus modis colendus tuendusque erat? deteriorem te præbes urbano sacrificulo, qui vos bellos gladiatores summa diligentia colit? Vides quid ignoratio rerum utilium faciat?

24. Atqui et ego dives sum. Num ergo Agamemnone divitior? Sed et formosus sum. Num ergo Achille formosior? Sed et pulcram comam habeo. Achilles vero nonne pulcriorem, et flavam? eamque non pexuit eleganter, neque compsit. (25) Sed et robustus sum. Num ergo saxum tollere potes, quantum Hector aut Ajax? Sed et nobilis sum. Num dea matre genitus, aut patre a Jove oriundo? Quid igitur illum ista juvant, cum propter puellam plorans sedet? (26) Sed orator sum. Ille vero non fuit? annon vi-

οἷα ἦν; οὐ βλέπεις πῶς κέχρηται τοῖς δεινοτάτοις τῶν Ἑλλήνων περὶ λόγους, Ὀδυσσεῖ καὶ Φοίνικι; πῶς αὐτοὺς ἀστόμους πεποίηκε;

27. Ταῦτά σοι μόνα ἔχω εἰπεῖν, καὶ οὐδὲ ταῦτα προθύμως. Διὰ τί; Ὅτι με οὐχ ἠρέθισας. (28) Εἰς τί γὰρ ἀπιδὼν ἐρεθισθῶ, ὡς οἱ ἱππικοὶ περὶ τοὺς ἵππους τοὺς εὐφυεῖς; Εἰς τὸ σωμάτιον; Αἰσχρῶς αὐτὸ πλάσσεις. Εἰς τὴν ἐσθῆτα; Καὶ ταύτην τρυφερὰν ἔχεις. Εἰς σχῆμα; εἰς βλέμμα; Εἰς οὐδέν. (29) Ὅταν ἀκοῦσαι θέλῃς φιλοσόφου, μὴ λέγε αὐτῷ, ὅτι Οὐδέν μοι λέγεις· ἀλλὰ μόνον δείκνυε σαυτὸν τοῦ ἀκούειν ἄξιον ἢ ἐπιτήδειον, καὶ ὄψει πῶς κινήσεις τὸν λέγοντα.

des, ut Græcorum facundissimos Ulyssem et Phœnicem tractari? ut ora eis obturarit?

27. Sola hæc habeo tibi dicere, ac ne hæc quidem alacriter. Quamobrem? Quoniam me non excitasti. (28) Quam enim rem intuens excitarer, quemadmodum ad generosi equi aspectum excitatur homo equitationi studens? Corpusne intuear? Turpiter id conformas. Vestem? Et hanc mollem gestas. An habitum? an vultum? Nihil habeo. (29) Cum philosophum audire volueris, ne ei dicito, Nihil mecum loqueris : sed te modo dignum aut idoneum ad audiendum esse ostendito, et videbis quomodo dicentem sis excitaturus.

ΚΕΦ. ΚΕ'.

Πῶς ἀναγκαῖα τὰ λογικά.

1. Τῶν παρόντων δέ τινος εἰπόντος, Πεῖσόν με, ὅτι τὰ λογικὰ χρήσιμά ἐστι· Θέλεις, ἔφη, ἀποδείξω σοι τοῦτο; Ναί. (2) Οὐκοῦν λόγον μ' ἀποδεικτικὸν διαλεχθῆναι δεῖ. Ὁμολογήσαντος δὲ, Πόθεν οὖν εἴσῃ, ἄν σε σοφίσωμαι; (3) Σιωπήσαντος δὲ τοῦ ἀνθρώπου, Ὁρᾷς, ἔφη, πῶς αὐτὸς ὁμολογεῖς, ὅτι ταῦτα ἀναγκαῖά ἐστιν· εἰ χωρὶς αὐτῶν οὐδ' αὐτὸ τοῦτο δύνασαι μαθεῖν, πότερον ἀναγκαῖα ἢ οὐκ ἀναγκαῖα ἐστίν.

CAP. XXV.

Artem disserendi esse necessariam.

1. Cum ex eis qui aderant aliquis dixisset, Persuade mihi, utilem esse logicam artem; Visne, inquit, ut hoc tibi demonstrem? Volo. (2) Ergo ratiocinatione demonstrativa utendum mihi est. Quod cum ille assensisset; Quomodo ergo, inquit, scies, si captiose tecum egero? (3) Illo autem tacente; Vides, inquit, ut ipse fatearis, esse illam artem necessariam, quandoquidem sine ea ne id ipsum quidem cognoscere potes, utrum necessaria sit, necne.

ΚΕΦ. ΚϚ'.

Τί τὸ ἴδιον τοῦ ἁμαρτήματος.

1. Πᾶν ἁμάρτημα μάχην περιέχει. Ἐπεὶ γὰρ ὁ ἁμαρτάνων οὐ θέλει ἁμαρτάνειν, ἀλλὰ κατορθῶσαι, δῆλον ὅτι ὃ μὲν θέλει οὐ ποιεῖ. (2) Τί γὰρ ὁ κλέπτης θέλει πρᾶξαι; Τὸ αὐτῷ συμφέρον. Οὐκοῦν, εἰ ἀσύμφορον αὐτῷ ἐστι τὸ κλέπτειν, ὃ μὲν θέλει, οὐ ποιεῖ. (3) Πᾶσα δὲ ψυχὴ λογικὴ φύσει διαβέβληται πρὸς μάχην· καὶ μέχρι μὲν ἂν μὴ παρακολουθῇ τούτῳ, ὅτι ἐν μάχῃ ἐστὶν, οὐδὲν κωλύεται τὰ μαχόμενα ποιεῖν· παρακολουθήσαντα δὲ, πολλὴ ἀνάγκη ἀποστῆναι τῆς μάχης, καὶ φυγεῖν οὕτως, ὡς καὶ ἀπὸ τοῦ ψεύδους ἀνανεῦσαι πολλὴ ἀνάγκη τῷ αἰσθανομένῳ ὅτι ψεῦδός ἐστι· μέχρι δ' ἂν τοῦτο μὴ φαντάζηται, ὡς ἀληθεῖ ἐπινεύει αὐτῷ. (4) Δεινὸς οὖν ἐν λόγῳ, ὁ δ' αὐτὸς καὶ προτρεπτικὸς καὶ ἐλεγκτικὸς οὗτος, ὁ δυνάμενος ἑκάστῳ παραδεῖξαι τὴν μάχην καθ' ἣν ἁμαρτάνει, καὶ σαφῶς παραστῆσαι πῶς ὃ θέλει οὐ ποιεῖ, καὶ ὃ μὴ θέλει ποιεῖ. (5) Ἂν γὰρ τοῦτο δείξῃ τις, αὐτὸς ἀφ' αὑτοῦ ἀποχωρήσει· μέχρι δὲ μὴ δεικνύῃς, μὴ θαύμαζε εἰ ἐπιμένει. Κατορθώματος γὰρ φαντασίαν λαμβάνων, ποιεῖ αὐτό. (6) Διὰ τοῦτο καὶ Σωκράτης ταύτῃ τῇ δυνάμει πεποιθὼς, ἔλεγεν, ὅτι Ἐγὼ ἄλλον μὲν οὐδένα εἴωθα παρέχειν μάρτυρα ὧν λέγω· ἀρκοῦμαι δ' ἀεὶ τῷ προσδιαλεγομένῳ, καὶ ἐκεῖνον ἐπιψηφίζω καὶ καλῶ μάρτυρα· καὶ εἷς ὢν οὗτος ἀρκεῖ μοι ἀντὶ πάντων. (7) Ἤδει γὰρ, ὑπὸ τίνος λογικὴ ψυχὴ κινεῖται * * ζυγῷ, ἔπειτα ῥέψει, ἄν τε θέλῃ, ἄν τε μή. Λογικῷ ἡγεμονικῷ δεῖξον μάχην, καὶ ἀποστήσεται· ἂν δὲ μὴ δεικνύῃς, αὐτὸς σαυτῷ μᾶλλον ἐγκάλει, ἢ τῷ μὴ πειθομένῳ.

CAP. XXVI.

Quid sit peccati proprium.

1. Omne peccatum pugnam in se continet. Quoniam enim is qui peccat, non peccare, sed rem bene gerere vult; perspicuum est, eum non facere id quod vult. (2) Quid enim vult fur? Facere quod ei expediat. Ergo, si furari inutile ei est; quod vult, non facit. (3) Omnis vero rationis particeps anima offenditur repugnantia : et quoad quidem hoc non intelligit, esse se in pugna; nihil eum prohibet, quominus pugnantia faciat : sed, simulac intellexit, necesse est ut a pugna desistat, atque ita eam fugiat, quemadmodum omnino necesse est a falso recedere eum, qui intellexerit esse falsum; quoad autem id sibi non persuasit, pro vero ei assentitur. (4) Ergo validus ad dicendum et cum ad adhortandum, tum ad confutandum, hic idem erit, qui cuique ostendere pugnam potest, qua fit ut ille peccet; atque evidenter demonstrare, eum id quod velit non facere, et id facere quod non velit. (5) Cui enim hoc demonstratum fuerit, is ipse sua sponte recedet : quoad autem non ostenderis, mirari noli, in proposito eum perseverare. Quoniam enim recte factum ipsi videtur, eo facit. (6) Quapropter et Socrates, ista facultate fretus, dicebat : « Equidem eorum, quæ dico, nullum alium testem citare soleo, contentus semper eo quicum disputo : eum unum sententiam rogo, et testem voco; et unus ille mihi sufficit loco omnium. » (7) Norat scilicet, qua re moveatur anima ratione prædita; *eamque, ponderibus impositis,* sicut lancem in libra, velit, nolit, deprimi. Rationc præditæ menti ostendite repugnantiam, et desistet : quodsi vero non ostenderis, te ipsum potius accusato, quam eum qui non obtemperat.

ΑΡΡΙΑΝΟΥ
ΤΩΝ
ΕΠΙΚΤΗΤΟΥ
ΔΙΑΤΡΙΒΩΝ
ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦ. Α'.

Περὶ καλλωπισμοῦ.

1. Εἰσιόντος τινὸς πρὸς αὐτὸν νεανίσκου ῥητορικοῦ, περιεργότερον ἠσκημένου τὴν κόμην καὶ τὴν ἄλλην περιβολὴν καταχοσμοῦντος, Εἰπέ μοι, ἔφη, εἰ οὐ δοκοῦσί σοι κύνες τ' εἶναι καλοί τινες καὶ ἵπποι, [ἄλλοι δ' αἰσχροὶ,] καὶ οὕτω τῶν ἄλλων ζῴων ἕκαστον; Δοκοῦσιν, ἔφη. (2) Οὐκοῦν καὶ ἄνθρωποι οἱ μὲν καλοὶ, οἱ δὲ αἰσχροί; Πῶς γὰρ οὔ; Πότερον οὖν κατὰ τὸ αὐτὸ ἕκαστα τούτων ἐν τῷ αὐτῷ γένει καλὰ προσαγορεύομεν, ἢ ἰδίως ἕκαστον; οὕτω δ' ὄψει αὐτό. (3) Ἐπειδὴ πρὸς ἄλλο μὲν ὁρῶμεν κύνα πεφυκότα, πρὸς ἄλλο δ' ἵππον, πρὸς ἄλλο δ', εἰ οὕτω τύχοι, ἀηδόνα· καθόλου μὲν οὐκ ἀτόπως ἀποφήναιτ' ἄν τις ἕκαστον τηνικαῦτα καλὸν εἶναι, ὁπότε κατὰ τὴν αὑτοῦ φύσιν κράτιστ' ἔχει· ἐπεὶ δ' ἡ φύσις ἑκάστου διάφορός ἐστι, διαφόρως εἶναί μοι δοκεῖ ἕκαστον αὐτῶν καλόν. Ἢ γὰρ οὔ; Ὡμολόγει. (4) Οὐκοῦν ὅπερ κύνα ποιεῖ καλὸν, τοῦτο ἵππον αἰσχρόν· ὅπερ δ' ἵππον καλὸν, τοῦτο κύνα αἰσχρόν· εἴ γε διάφοροι αἱ φύσεις εἰσὶν αὐτῶν. Ἔοικε. (5) Καὶ γὰρ τὸ παγκρατιαστὴν οἶμαι ποιοῦν καλὸν, τοῦτο παλαιστὴν οὐκ ἀγαθὸν ποιεῖ· δρομέα δὲ, καὶ γελοιότατον· καὶ ὁ πρὸς πένταθλίαν καλὸς, ὁ αὐτὸς οὗτος πρὸς πάλην αἴσχιστος. Οὕτως, ἔφη. (6) Τί οὖν ποιεῖ ἄνθρωπον καλὸν, ἢ ὅπερ τῷ γένει καὶ κύνα καὶ ἵππον; Τοῦτο, ἔφη. Τί οὖν ποιεῖ κύνα καλόν; Ἡ ἀρετὴ ἡ κυνὸς παροῦσα. Τί ἵππον; Ἡ ἀρετὴ ἡ ἵππου παροῦσα. (7) Τί οὖν ἄνθρωπον; μή ποθ' ἡ ἀρετὴ ἡ ἀνθρώπου παροῦσα; Καὶ σὺ οὖν εἰ θέλεις καλὸς εἶναι, νεανίσκε, τοῦτο ἐκπόνει, τὴν ἀρετὴν τὴν ἀνθρωπικήν. (8) Τίς δ' ἔστιν αὕτη; Ὅρα τίνας αὐτὸς ἐπαινεῖς, ὅταν δίχα πάθους τινὰς ἐπαινῇς· πότερα τοὺς δικαίους, ἢ τοὺς ἀδίκους; Τοὺς δικαίους. Πότερον τοὺς σώφρονας, ἢ τοὺς ἀκολάστους; Τοὺς σώφρονας. Τοὺς ἐγκρατεῖς δ', ἢ τοὺς ἀκρατεῖς; Τοὺς ἐγκρατεῖς. (9) Οὐκοῦν τοιοῦτόν τινα ποιῶν σαυτὸν, εἴσῃ ὅτι καλὸν ποιήσεις· μέχρι δ' ἂν τούτων ἀμελῇς, αἰσχρόν σ' εἶναι ἀνάγκη, κἂν πάντα μηχανᾷ ὑπὲρ τοῦ φαίνεσθαί σε καλόν.

10. Ἐντεῦθεν οὐκέτι ἔχω σοι πῶς εἴπω· ἄν τε γὰρ λέγω ἃ φρονῶ, ἀνιάσω σε, καὶ ἐξελθὼν τάχα οὐδ' εἰσελεύσῃ· ἄν τε μὴ λέγω, ὅρα οἷον ποιήσω, εἰ σὺ μὲν

EPICTETI
DISSERTATIONUM
AB ARRIANO DIGESTARUM
LIBER III.

CAP. I.

De ornatu.

1. Cum adolescens quidam rhetoricæ studiosus ad eum accessisset, coma luxuriosius ornata et reliquo vestitu splendidiore, Dic mihi, inquit, nonne tibi et canes nonnulli pulcri videntur, et equi, alii deformes; atque idem obtinere in ceteris animalibus per singula? Videntur, inquit. (2) Ergo et homines alii pulcri, alii deformes? Quidni? Utrum igitur eadem ratione quælibet horum in suo genere pulcra dicimus, an peculiariter singula? id vero sic intelliges. (3) Quandoquidem ad alia natum esse canem videmus, equum ad alia, item verbi caussa lusciniam ad alia; in universum quidem haud absurde pronunciabimus, tum singula esse pulcra, cum pro natura sua optime se habuerint; cum vero natura cujusque diversa sit, diversa etiam ratione quodlibet eorum mihi pulcrum esse videtur. Nonne? Assentiebatur. (4) Ergo, quod canem facit pulcrum, id equum turpem; quod vero equum pulcrum, id canem deformem; siquidem eorum naturæ sunt diversæ. Sic videtur. (5) *Recte :* quod enim pancratiastam pulcrum facit, hoc luctatorem, puto, non bonum facit; cursorem vero, etiam valde ridiculum : et qui ad quinquercium pulcer est, idem ad luctam turpissimus fuerit. Sic est, inquit. (6) Quid ergo pulcrum facit hominem, nisi id quod in suo genere et canem et equum? Id ipsum, inquit. Quid ergo pulcrum facit canem? Virtus canis si ei insit. Quid equum? Virtus equi si insit. (7) Quid ergo hominem? nonne virtus hominis si insit? Et tu ergo, adolescentule, si pulcer esse vis, in isto elaborato, ut virtute humana sis præditus. (8) Quæ autem illa est? Vide quosnam ipse laudes, cum citra animi perturbationem aliquos laudas; justosne an injustos? Justos. Utrum moderatos, an intemperantes? Moderatos. Continentes, an incontinentes? Continentes. (9) Ergo si talem te præstiteris, videbis te pulcrum te redditurum : quoad autem hæc neglexeris, turpem te esse necesse est, etiamsi ad exornandam formam nihil prætermiseris.

10. Quod superest, non habeo quomodo tecum agam : sive enim quæ sentio dixero, molestia te afficiam, et egressus forte numquam reverteris; sive non dixero, vide quid

ἔρχῃ πρὸς ἐμὲ ὠφεληθησόμενος, ἐγὼ δ' οὐχ ὠφελήσω σ' οὐδέν· καὶ σὺ μὲν ὡς πρὸς φιλόσοφον, ἐγὼ δ' οὐδὲν ἐρῶ σοι ὡς φιλόσοφος. (11) Πῶς δὲ καὶ [οὐχ] ὠμόν ἐστι πρὸς αὐτόν σε τὸ περιιδεῖν ἀνεπανόρθωτον; ἄν ποθ' ὕστερον φρένας σχῇς, εὐλόγως μοι ἐγκαλέσεις· (12) Τί εἶδεν ἐν ἐμοὶ ὁ Ἐπίκτητος, ἵνα βλέπων με τοιοῦτον εἰσερχόμενον πρὸς αὐτόν, οὕτως αἰσχρῶς ἔχοντα περιίδῃ καὶ μηδέποτε μηδὲ ῥῆμα εἴπῃ; (13) Οὕτω μου ἀπέγνω; νέος οὐκ ἤμην; οὐκ ἤμην λόγου ἀκουστικός; πόσοι δ' ἄλλοι νέοι ἐφ' ἡλικίας πολλὰ τοιαῦτα διαμαρτάνουσι; (14) Τινά ποτ' ἀκούω Πολέμωνα ἐξ ἀκολαστοτάτου νεανίσκου τοσαύτην μεταβολὴν μεταβαλεῖν. Ἔστω, οὐχ ᾤετό με Πολέμωνα ἔσεσθαι· τὴν μὲν κόμην ἐδύνατό μου διορθῶσαι, τὰ δὲ περιάμματά μου περιελεῖν, ψιλούμενόν με παῦσαι ἠδύνατο. Ἀλλὰ βλέπων με τίνος εἴπω σχῆμα ἔχοντα, ἐσιώπα· (15) Ἐγὼ οὐ λέγω τίνος ἐστὶ τὸ σχῆμα τοῦτο· σὺ δ' αὐτὸ ἐρεῖς τόθ' ὅταν εἰς ἑαυτὸν ἔλθῃς, καὶ γνώσῃ οἷόν ἐστι, καὶ τίνες αὐτὸ ἐπιτηδεύουσι.

16. Τοῦτό μοι ὕστερον ἢν ἐγκαλῇς, τί ἕξω ἀπολογήσασθαι; Ναί· ἀλλ' ἐρῶ, καὶ οὐ πεισθήσεται. Τῷ γὰρ Ἀπόλλωνι ἐπείσθη ὁ Λάϊος; οὐκ ἀπελθὼν καὶ μεθυσθείς, χαίρειν εἶπε τῷ χρησμῷ; τί οὖν; παρὰ τοῦτο οὐκ εἶπεν αὐτῷ ὁ Ἀπόλλων τὰς ἀληθείας; (17) Καίτοι ἐγὼ μὲν οὐκ οἶδα, οὔτ' εἰ πεισθήσῃ μοι, οὔτ' εἰ μή· ἐκεῖνος δ' ἀκριβέστατα ᾔδει, ὅτι οὐ πεισθήσεται, καὶ ὅμως εἶπε. (18) Διὰ τί δ' εἶπε; Διὰ τί δὲ Ἀπόλλων ἐστί; διὰ τί δὲ χρησμῳδεῖ; διὰ τί δ' εἰς ταύτην τὴν χώραν ἑαυτὸν κατατέταχεν, ὥστε μάντις εἶναι καὶ πηγὴ τῆς ἀληθείας, καὶ πρὸς αὐτὸν ἔρχεσθαι τοὺς ἐκ τῆς οἰκουμένης; διὰ τί δὲ προγέγραπται τὸ γνῶθι σαυτόν, μηδενὸς αὐτὸ νοοῦντος;

19. Σωκράτης πάντας ἔπειθε τοὺς προσιόντας, ἐπιμελεῖσθαι ἑαυτῶν; Οὐδὲ τὸ χιλιοστὸν μέρος. Ἀλλ' ὅμως, ἐπειδὴ εἰς ταύτην τὴν τάξιν ὑπὸ τοῦ δαιμονίου, ὥς φησιν αὐτός, κατετάχθη, μή τι ἐξέλιπεν; (20) Ἀλλὰ καὶ πρὸς τοὺς δικαστὰς τί λέγει; Ἄν μ' ἀφῆτε, φησίν, ἐπὶ τούτοις, ἵνα μηκέτι ταῦτα πράσσω ἃ νῦν, οὐκ ἀνέξομαι οὐδ' ἀνήσω· ἀλλὰ καὶ νέῳ καὶ πρεσβυτέρῳ, καὶ ἁπλῶς ἀεὶ τῷ ἐντυγχάνοντι προσελθών, πεύσομαι ταῦτα ἃ νῦν πυνθάνομαι· πολὺ δὲ μάλιστα ὑμῶν, φησί, τῶν πολιτῶν, ὅτι ἐγγυτέρω μου γένει ἐστέ. (21) Οὕτω περίεργος εἶ, ὦ Σώκρατες, καὶ πολυπράγμων; τί δέ σοι μέλει τί ποιοῦμεν; Οἷον καὶ λέγεις; κοινωνός μου ὢν καὶ συγγενής, ἀμελεῖς σεαυτοῦ, καὶ τῇ πόλει παρέχεις πολίτην κακόν, καὶ τοῖς συγγενέσι συγγενῆ, καὶ τοῖς γείτοσι γείτονα. (22) Σὺ οὖν τίς εἶ; Ἐνταῦθα μέγα ἐστὶ τὸ εἰπεῖν, ὅτι Οὗτός εἰμι, ᾧ δεῖ μέλειν ἀνθρώπων. Οὐδὲ γὰρ λέοντι τὸ τυχὸν βοΐδιον τολμᾷ ἀντιστῆναι· ἂν δ' ὁ ταῦρος προσελθὼν ἀνθίστηται, λέγε αὐτῷ, ἄν σοι δόξῃ, Σὺ δὲ τίς εἶ; καί, Τί σοὶ μέλει; (23) Ἄνθρωπε, ἐν παντὶ γένει φύεταί τι ἐξαίρετον· ἐν βουσίν, ἐν κυσίν, ἐν μελίσσαις, ἐν ἵπποις. Μὴ δὴ λέγε τῷ ἐξαιρέτῳ, Σὺ οὖν τίς εἶ; εἰ δὲ μή, ἐρεῖ σοι φωνήν ποθεν λαβών,

faciam, si tu capiendi fructus caussa me conveneris, ego vero nihil tibi profuero, ac tu tamquam ad philosophum accesseris, ego vero nihil philosopho dignum tibi dixero. (11) Qui vero non etiam crudeliter a me in te actum fuerit, si incorrectum te neglexero? Quodsi quando post prudentior eris factus, merito me accusabis : (12) « Quid in me vidit Epictetus, ut, cum me talem ad se ingressum cerneret, tam turpiter affectum negligeret, nec umquam ne verbum quidem ullum ad me faceret? (13) Adeone de me desperavit? nonne juvenis eram? nonne eram doctrinæ cupidus, quot vero alii adolescentes hac ætate talia multa delinquunt? (14) Audio Polemonem quemdam olim e luxuriosissimo continentissimum esse factum. Esto, non putaverit me Polemonem fore; comam quidem meam corrigere poterat, torques et monilia a me auferre; efficere poterat ut desinerem pilos mihi evellendos curare. Sed cum videret me nescio quo præditum habitu, tacebat : (15) Ego non dico cujus sit iste habitus : tu vero ipse id dices tum cum in te descenderis, et intelliges, qualis sit, et qui eum usurpent. »

16. Hæc si posthac mihi objeceris, quid habebo quo me defendam? Enimvero dixissem, nec erat obtemperaturus. Apollinine obtemperavit Laius? nonne digressus atque inebriatus, valere jussit oraculum? Quid ergo? hacne de caussa veritatem reticuit Apollo? (17) Atqui ego quidem? sisne obtemperaturus mihi, an non, ignoro : ille vero certissime norat, illum non obtemperaturum esse; et tamen dixit. (18) Cur vero dixit? Cur vero Apollo est? cur reddit oracula? cur locum istum sibi vindicavit, ut vates esset ac fons veritatis, et a toto terrarum orbe consuleretur? cur vero in templi vestibulo scriptum est, NOSCE TE IPSUM, quamvis nemo animum advertat?

19. An Socrates omnibus iis, qui eum conveniebant, persuasit ut semetipsos curarent? Ne millesimo quidem cuique. Sed tamen, cum, ut ipse affirmat, munus hoc a deo sibi attributum haberet, in eo num cessavit? (20) Sed et apud judices quid ait? « Si me, inquit, ea conditione absolveritis, ut hæc posthac non faciam quæ nunc facio, non feram, neque desistam; sed et juvenes et senes, denique obvios quosque aggrediar, ea rogaturus quæ nunc rogo : inprimis autem vos cives, quod mihi genere conjunctiores estis. » (21) Adeone curiosus es, Socrates, et rebus alienis te immiscendi studio duceris? quid tua refert quid nos agamus? Quid tandem dicis? cum sis meus sodalis et cognatus, te ipse negligis, et reipublicæ malum civem præstas, cognatis cognatum, et vicinis vicinum malum. — (22) Tu ergo quis es? — Hic loci magnum est profiteri, eum esse me cui homines curæ esse debeant. Neque enim leoni quælibet bucula resistere audet : si vero taurus illi ire obviam atque resistere ausus fuerit, dic, si videbitur, illi, Tu vero quis es? et, Quid ad te attinet? (23) Homo, in quolibet genere eximium aliquid nascitur; in bobus, in canibus, in apibus, in equis. Noli ergo dicere eximio, Tu ergo quis es? Alioqui, si vocem alicunde acceperit, dicet tibi : Talis ego sum,

Ἐγὼ εἰμι τοιοῦτον, οἷον ἐν ἱματίῳ πορφύρα· μή μ' ἀξίου ὅμοιον εἶναι τοῖς ἄλλοις· ἢ τῇ φύσει μου μέμφου, ὅτι με διαφέροντα παρὰ τοὺς ἄλλους ἐποίησε.

24. Τί οὖν; ἐγὼ τοιοῦτος; Πόθεν; Σὺ γὰρ τοιοῦτος, οἷος ἀκούειν τἀληθῆ; Ὄφελεν. Ἀλλ' ὅμως ἐπεί πως κατεκρίθην πώγωνα ἔχειν πολιὸν καὶ τρίβωνα, καὶ σὺ εἰσέρχῃ πρὸς ἐμὲ ὡς πρὸς φιλόσοφον, οὐ χρήσομαί σοι ὠμῶς, οὐδ' ἀπογνωστικῶς, ἀλλ' ἐρῶ· Νεανίσκε, τίνα θέλεις καλὸν ποιεῖν; γνῶθι πρῶτον τίς εἶ, καὶ οὕτω κόσμει σεαυτόν. (25) Ἄνθρωπος εἶ· τοῦτο δ' ἐστὶ θνητὸν ζῷον, χρηστικὸν φαντασίαις λογικῶς. Τὸ δὲ λογικῶς, τί ἐστί; [Τῇ] φύσει ὁμολογουμένως, καὶ τελείως. Τί οὖν ἐξαίρετον ἔχεις; τὸ ζῷον; Οὔ. Τὸ θνητόν; Οὔ. Τὸ χρηστικὸν φαντασίαις; Οὔ. (26) Τὸ λογικὸν ἔχεις ἐξαίρετον· τοῦτο κόσμει καὶ καλλώπιζε· τὴν κόμην δ' ἄφες τῷ πλάσαντι ὡς αὐτὸς ἠθέλησεν. (27) Ἄγε, τίνας ἄλλας ἔχεις προσηγορίας; Ἀνὴρ εἶ, ἢ γυνή; Ἀνήρ. Ἄνδρα οὖν καλλώπιζε, μὴ γυναῖκα. Ἐκείνη φύσει λεία γέγονε, καὶ τρυφερά· κἂν ἔχῃ τρίχας πολλάς, τέρας ἐστί, καὶ ἐν τοῖς τέρασιν ἐν Ῥώμῃ δείκνυται. (28) Τοῦτο δ' ἐπ' ἀνδρός ἐστι τὸ μὴ ἔχειν. Κἂν μὲν φύσει μὴ ἔχῃ, τέρας ἐστίν· ἂν δ' αὐτὸς ἑαυτοῦ ἐκκόπτῃ καὶ ἀποτίλλῃ, τί αὐτὸν ποιήσομεν; ποῦ αὐτὸν δείξομεν; καὶ τί προγράψομεν; Δείξω ὑμῖν ἄνδρα ὃς θέλει μᾶλλον γυνὴ εἶναι ἢ ἀνήρ. (29) Ὢ δεινοῦ θεάματος. Οὐδεὶς οὐχὶ θαυμάσει τὴν προγραφήν. Νὴ τὸν Δία, οἶμαι ὅτι αὐτοὶ οἱ τιλλόμενοι, οὐ παρακολουθοῦντες ὅτι τοῦτ' αὐτό ἐστιν ὃ ποιοῦσι, ποιοῦσιν. (30) Ἄνθρωπε, τί ἔχεις ἐγκαλέσαι σου τῇ φύσει; ὅτι σε ἄνδρα ἐγέννησε; Τί οὖν; πάσας ἔδει γυναῖκας γεννῆσαι; καὶ τί ἂν ὄφελος ἦν σοι τοῦ κοσμεῖσθαι; τίνι ἂν ἐκοσμοῦ, εἰ πάντες ἦσαν γυναῖκες; (31) Ἀλλ' οὐκ ἀρέσκει σοι τὸ πραγμάτιον; Ὅλον δι' ὅλων αὐτὸ ποίησον· ἆρον — τί ποτ' ἐκεῖνο; — τὸ αἴτιον τῶν τριχῶν· ποίησον εἰς ἅπαντα σαυτὸν γυναῖκα, ἵνα μὴ πλανώμεθα· μὴ τὸ μὲν ἥμισυ ἀνδρὸς, τὸ δ' ἥμισυ γυναικός. (32) Τίνι θέλεις ἀρέσαι; τοῖς γυναικαρίοις; Ὡς ἀνὴρ αὐτοῖς ἄρεσον. Ναί· ἀλλὰ τοῖς λείοις χαίρουσιν. Οὐκ ἀπάγξῃ; καὶ εἰ τοῖς κιναίδοις ἔχαιρον, ἐγένου ἂν κίναιδος; (33) Τοῦτό σοι τὸ ἔργον ἐστίν; ἐπὶ τοῦτο ἐγεννήθης, ἵνα σοι αἱ γυναῖκες αἱ ἀκόλαστοι χαίρωσι; (34) Τοιοῦτόν σε θῶμεν πολίτην Κορινθίων; κἂν οὕτω τύχῃ, ἀστυνόμον, ἢ ἐφήβαρχον, ἢ στρατηγὸν, ἢ ἀγωνοθέτην; (35) Ἄγε, καὶ γαμήσας τίλλεσθαι μέλλεις; Τίνι, καὶ ἐπὶ τί; Καὶ παιδία ποιήσας, εἶτα κἀκεῖνα τιλλόμενα ἡμῖν εἰσάξεις εἰς τὸ πολίτευμα; Καλὸς πολίτης, καὶ βουλευτής, καὶ ῥήτωρ. Τοιούτους δεῖ νέους εὔχεσθαι ἡμῖν φύεσθαι καὶ ἀνατρέφεσθαι;

36. Μή· τοὺς θεούς σοι, νεανίσκε. Ἀλλ' ἅπαξ ἀκούσας τῶν λόγων τούτων, ἀπελθὼν σαυτῷ εἰπὲ, Ταῦτά μοι Ἐπίκτητος οὐκ εἴρηκε, (πόθεν γὰρ ἐκείνῳ;) ἀλλὰ θεός τίς ποτ' εὐμενὴς δι' ἐκείνου. Οὐδὲ γὰρ ἂν ἐπῆλθεν Ἐπικτήτῳ ταῦτα εἰπεῖν, οὐκ εἰωθότι λέγειν πρὸς οὐδένα. Ἄγε οὖν, τῷ θεῷ πεισθῶμεν, ἵνα μὴ θεοχό-

qualis in vestimentis est purpura : noli postulare, ut sim aliorum similis; neu naturam meam increpa, quod me ab aliis diversum fecerit.

24. Quid ergo? egone talis sum? Multum abest. Tu vero is es, qui verum audire sustineas? Utinam! Verumtamen quandoquidem ad hoc fere condemnatus sum, ut canam barbam alam et pallium gestem, tuque me ut philosophum accessisti; non te crudeliter, neque tamquam desperatum tractabo, sed dicam : Adolescens, quemnam vis pulcrum facere? cognosce prius, quis sis; ac tum te ornato. (25) Homo es, hoc est, animal mortale, quod visis cum ratione utitur. Quid vero est hoc, cum ratione? Naturæ convenienter, ac perfecte. Quid ergo eximium habes? animal? Non. Mortale? Non. Uti visis? Non. (26) Rationem habes eximiam; hanc ornato et expolito : comam vero relinquito ei qui illam finxit, ut ipse voluit. (27) Age, quasnam alias habes appellationes? Vir es, an mulier? Vir. Virum igitur orna, non mulierem. Illa naturâ lævis est ac delicata; et, si multos pilos habuerit, monstrum est, et Romæ inter monstra ostenditur. (28) Idem est in viro, si non habeat : qui si natura non habuerit, monstrum est; sin ipse sibi eos abraserit atque evellerit, quid illi faciemus? ubi eum ostendemus? quo titulo eum proscribemus? Ostendam vobis virum, qui mulier quam vir esse mavult! (29) O fœdum spectaculum! Nemo non miraturus est istam inscriptionem. Mediusfidius opinor eos ipsos, qui comas evellunt, si intelligerent esse hoc ipsum quod faciunt, non facturos. (30) Homo, quid est cur naturam tuam accusas? an, quod virum te genuit? Quid ergo? num mulieres tantum gignendæ fuerunt? et quæ tibi fuisset utilitas ornatus? cui te ornasses, si omnes mulieres fuissent? (31) At tibi hæc res *(pili)* non placet? Totam igitur funditus aggredere : tolle illud — quonam nomine appellabo? quod est caussa istorum pilorum; per omnia in mulierem te transformato, quo ne decipiamur : noli semissem viri, et semissem mulieris tenere. (32) Cui studes placere? mulierculis? Ut vir eis placeto. Recte sane : verum glabris illæ delectantur. Non te suspendes? si cinædis delectarentur, fieresne cinædus? (33) Num istud tuum munus est? num ad hoc natus es, ut impudicæ mulieres te delectentur? (34) Talis cum sis, civemne te constituemus Corinthiorum, et, si ita res tulerit, urbis etiam præfectum, aut adolescentiæ principem, aut prætorem, ludorumve præsidem? (25) Age, postquam uxorem duxeris, etiam tum pilos velles? Cujus in gratiam, et quo fine? Et cum liberos procrearis, eos quoque deinde glabros in civitatem induces? O pulcrum civem, et senatorem, et oratorem! Talesne optandum est ut nascantur nobis juvenes alanturque!

36. Non; per deos, adolescens. Quin potius, semel hac oratione audita, digressus dic ipse tibi : « Hæc Epictetus « mihi non dixit : unde enim ille? sed deus aliquis propi- « tius per illum. Neque enim in mentem Epicteto venisset « hæc dicere, cum nemine ita disputare solito. Age ergo, « Deo pareamus, ne vindictam ejus in nos provocemus. »

λωτοι ὦμεν. (37) Οὔ· ἀλλ' ἂν μὲν κόραξ κραυγάζων σημαίνῃ σοί τι, οὐχ ὁ κόραξ ἐστὶν ὁ σημαίνων, ἀλλ' ὁ θεὸς δι' αὐτοῦ· ἂν δὲ δι' ἀνθρωπίνης φωνῆς σημαίνῃ τι, τὸν ἄνθρωπον οὐ ποιήσει λέγειν σοι ταῦτα, ἵνα γνοίης τὴν δύναμιν τοῦ δαιμονίου, ὅτι τοῖς μὲν οὕτως, τοῖς δ' ἐκείνως σημαίνει, περὶ δὲ τῶν μεγίστων καὶ κυριωτάτων διὰ καλλίστου ἀγγέλου σημαίνει; (38) Τί ἐστιν ἄλλο ὃ λέγει ὁ ποιητής;

'Επεὶ πρό οἱ εἴπομεν ἡμεῖς,
Ἑρμείαν πέμψαντες ἐύσκοπον Ἀργειφόντην,
μήτ' αὐτὸν κτείνειν, μήτε μνάασθαι ἄκοιτιν.

(39) Ὁ Ἑρμῆς καταβὰς ἔμελλεν αὐτῷ λέγειν ταῦτα; Καὶ σοὶ νῦν λέγουσιν οἱ θεοὶ ταῦτα, Ἑρμείαν πέμψαντες διάκτορον Ἀργειφόντην· Μὴ ἐκστρέφειν τὰ καλῶς ἔχοντα μηδὲ περιεργάζεσθαι· ἀλλ' ἀφεῖναι τὸν ἄνδρα ἄνδρα, τὴν γυναῖκα γυναῖκα, τὸν καλὸν ἄνθρωπον, ὡς καλὸν ἄνθρωπον, τὸν αἰσχρὸν ὡς ἄνθρωπον αἰσχρόν. (40) Ὅτι οὐκ εἶ κρέας, οὐδὲ τρίχες, ἀλλὰ προαίρεσις· ταύτην ἂν σχῇς καλήν [ποτε], τότ' ἔσῃ καλός. (41) Μέχρι δὲ νῦν οὐ τολμῶ σοι λέγειν ὅτι αἰσχρὸς εἶ· δοκεῖς γάρ μοι πάντα θέλειν ἀκοῦσαι, ἢ τοῦτο. (42) Ἀλλ' ὅρα τί λέγει Σωκράτης τῷ καλλίστῳ πάντων καὶ ὡραιοτάτῳ Ἀλκιβιάδῃ· Πειρῶ οὖν καλὸς εἶναι. Τί αὐτῷ λέγει; Πλάσσε σου τὴν κόμην, καὶ τίλλε σου τὰ σκέλη; Μὴ γένοιτο· ἀλλά, Κόσμει σου τὴν προαίρεσιν, ἔξαιρε τὰ φαῦλα δόγματα. (43) Τὸ σωμάτιον οὖν πῶς; Ὡς πέφυκεν. Ἄλλῳ τούτων ἐμέλησεν· ἐκείνῳ ἐπίτρεψον. (44) Τί οὖν; ἀκάθαρτον δεῖ εἶναι; Μὴ γένοιτο· ἀλλ' ὃς εἶ καὶ πέφυκας, τοῦτον κάθαιρε· ἄνδρα, ὡς ἄνδρα καθάριον εἶναι· γυναῖκα, ὡς γυναῖκα· παιδίον, ὡς παιδίον. (45) Οὔχ· ἀλλὰ καὶ τοῦ λέοντος ἐκτίλλωμεν τὴν κόμην, ἵνα μὴ ἀκάθαρτος ᾖ· καὶ τοῦ ἀλεκτρυόνος τὸν λόφον· δεῖ γὰρ καὶ τοῦτον καθάριον εἶναι. Ἀλλ' ὡς ἀλεκτρυόνα, καὶ ἐκεῖνον ὡς λέοντα, καὶ τὸν κυνηγετικὸν κύνα ὡς κυνηγετικόν.

ΚΕΦ. Β'.

Περὶ τίνα ἀσκεῖσθαι δεῖ τὸν προκόψοντα, καὶ ὅτι τῶν κυριωτάτων ἀμελοῦμεν.

1. Τρεῖς εἰσι τόποι, περὶ οὓς ἀσκηθῆναι δεῖ τὸν ἐσόμενον καλὸν καὶ ἀγαθόν· ὁ περὶ τὰς ὀρέξεις καὶ τὰς ἐκκλίσεις, ἵνα μήτ' ὀρεγόμενος ἀποτυγχάνῃ, μήτ' ἐκκλίνων περιπίπτῃ· (2) ὁ περὶ τὰς ὁρμὰς καὶ ἀφορμάς, καὶ ἁπλῶς ὁ περὶ τὸ καθῆκον, ἵνα τάξει, ἵνα εὐλογίστως, ἵνα μὴ ἀμελῶς· τρίτος ἐστὶν, ὁ περὶ τὴν ἀνεξαπατησίαν καὶ ἀνεικαιότητα, καὶ ὅλως ὁ περὶ τὰς συγκαταθέσεις. (3) Τούτων κυριώτατος καὶ μάλιστα ἐπείγων ἐστὶν ὁ περὶ τὰ πάθη. Πάθος γὰρ ἄλλως οὐ γίνεται, εἰ μὴ ὀρέξεως ἀποτυγχανούσης, ἢ ἐκκλίσεως περιπιπτούσης. Οὗτός ἐστιν ὁ ταραχάς, θορύβους, ἀτυχίας, ὁ δυστυχίας ἐπιφέρων, ὁ πένθη, οἰμωγάς, φθόνους· ὁ φθονερούς, ὁ ζηλοτύπους ποιῶν· δι' ὧν οὐδ' ἀκοῦσαι λόγων δυνάμεθα. (4) Δεύτερός ἐστιν ὁ περὶ

(37) Non : sed corvus quidem si crocitando aliquid tibi significat, non corvus est qui significet, sed deus per eum : si vero per hominis vocem aliquid significat, non faciet ut homo ea tibi dicat, quo vim cognoscas dei, qui aliis hac, aliis alia ratione significet, res vero maximas maximique momenti per pulcerrimum nuncium significet? (38) Quid est aliud, quod Poeta dicit?

Hoc nam prædiximus illi,
Argi Mercurio misso vigili occisore,
ne cædat regem et viduo lecto potiatur.

(39) Mercurius cœlo descendens hæc ei dicturus erat? Etiam tibi nunc dii hæc dicunt, Mercurio misso internuncio Argi occisore : « Ne inverte quæ recte se habent, neu temere negotium tibi in eis facesse : sed virum virum esse sinas, « mulierem mulierem, formosum hominem ut formosum « hominem; deformem, ut hominem deformem. (40) Quan« doquidem neque caro es neque pili, sed mens ratione « prædita; hanc si pulcram habueris, tunc eris pulcer. » (41) Sed hactenus quidem dicere tibi non audeo, deformem te esse : quidvis enim libentius auditurus videris, quam hoc. (42) Sed vide quid Socrates dicat omnium pulcerrimo et elegantissimo Alcibiadi : Da, inquit, operam, ut formosus sis. Quid ei dicit? Finge comam tuam, et crura velle tua? Absit. Sed, Orna mentem tuam; prava decreta abjice! (43) De corpore igitur quid faciendum? Sic tractandum est, ut ejus natura fert. Alii cuidam hæ res curæ sunt; ei permitte. (44) Quid ergo? immundum esse oportet? Absit : sed, qui es, et quem natura te esse jussit, eum purgato : virum, ut vir sit mundus; mulierem, ut mulier; puerum, ut puer. (45) Non : immo etiam leonis jubam evellamus, ne sit immundus : et galli gallinacei cristam; nam et hunc mundum esse decet. Recte : sed ut gallum gallinaceum; et illum, ut leonem; et canem venaticum, ut venaticum.

CAP. II.

Quæ exercenda sint proficienti; item, præcipua a nobis negligi.

1. Tres sunt loci, in quibus exerceri oportet eum, qui vir bonus et sapiens sit futurus : primus in appetitione inest et aversatione; ut neque appetendo frustretur, nec aversando in id incidat quod non vult : (2) alter, in impetu ad actionem capiendo aut retinendo, et omnino in servando officio; ut ordine, ut considerate, ut non negligenter in quaque re versemur : tertius locus in eo inest, ut ab errore et temeritate in judicando caveamus, et, verbo ut dicam, in assensionibus. (3) Horum præcipuus et cum primis necessarius est is, qui in animi perturbationibus versatur. Perturbatio enim aliter non fit, nisi cum aut frustratur appetitio, aut quod aversaris non evitatur. Hic est locus, qui turbas, tumultus, infelicitates, calamitates, luctum, gemitus, invidiam gignit; qui invidos et obtrectatores efficit; per quem fit, ut ne audire quidem doctrinæ præcepta pos-

τὸ καθῆκον. Οὐ δεῖ γάρ με εἶναι ἀπαθῆ ὡς ἀνδριάντα, ἀλλὰ τὰς σχέσεις τηροῦντα τὰς φυσικὰς καὶ ἐπιθέτους, ὡς εὐσεβῆ, ὡς υἱὸν, ὡς ἀδελφὸν, ὡς πατέρα, ὡς πολίτην.

5. Τρίτος ἐστὶν ὁ ἤδη τοῖς προκόπτουσιν ἐπιβάλλων, ὁ περὶ τὴν αὐτῶν τούτων ἀσφάλειαν, ἵνα μηδ' ἐν ὕπνοις λάθῃ τις ἀνεξέταστος παρελθοῦσα φαντασία, μηδ' ἐν οἰνώσει, μηδὲ μελαγχολῶντος. (6) Τοῦτο ὑπὲρ ἡμᾶς, φησὶν, ἐστίν. Οἱ δὲ νῦν φιλόσοφοι, ἀφέντες τὸν πρῶτον τόπον καὶ τὸν δεύτερον, καταγίνονται περὶ τὸν τρίτον· μεταπίπτοντας, ἠρωτῆσθαι περαίνοντας, ὑποθετικοὺς, ψευδομένους. (7) Δεῖ γὰρ, φησὶ, καὶ ἐν ταῖς ὕλαις ταύταις γενόμενον διαφυλάξαι τὸ ἀνεξαπάτητον. Τίνα; Τὸν καλὸν καὶ ἀγαθόν. (8) Σοὶ οὖν τοῦτο λείπει· τὰς ἄλλας ἐκπεπόνηκας; περὶ κερμάτιον ἀνεξαπάτητος εἶ; ἐὰν ἴδῃς κοράσιον καλὸν, ἀντέχεις τῇ φαντασίᾳ; ἂν ὁ γείτων σου κληρονομήσῃ, οὐ δάκνῃ; νῦν οὐδὲν ἄλλο σοι λείπει ἢ ἀμεταπτωσία; (9) Τάλας, αὐτὰ ταῦτα τρέμων μανθάνεις, καὶ ἀγωνιῶν μή τις σου καταφρονήσῃ, καὶ πυνθανόμενος μή τίς τι περὶ σοῦ λέγῃ. (10) Κἄν τις ἐλθὼν εἴπῃ σοι, ὅτι, λόγου γενομένου, τίς ἄριστός ἐστι τῶν φιλοσόφων, παρών τις ἔλεγεν, ὅτι εἷς φιλόσοφος ὁ δεῖνα· γέγονέ σου τὸ ψυχάριον ἀντὶ δακτυλιαίου δίπηχυ. Ἂν δ' ἄλλος παρὼν εἴπῃ, Οὐδὲν εἴρηκας, οὐκ ἔστιν ἄξιον τοῦ δεῖνος ἀκροᾶσθαι· τί γὰρ οἶδε; τὰς πρώτας ἀφορμὰς ἔχει, πλέον δ' οὐδέν· ἐξέστηκας, ὠχρίακας, εὐθὺς κέκραγας, Ἐγὼ αὐτῷ δείξω τίς εἰμι, ὅτι μέγας φιλόσοφος. (11) Βλέπεται ἐξ αὐτῶν τούτων. Τί θέλεις ἐξ ἄλλων δεῖξαι; Οὐκ οἶδας ὅτι Διογένης τῶν σοφιστῶν τινα οὕτως ἔδειξεν, ἐκτείνας τὸν μέσον δάκτυλον; εἶτα ἐκμανέντος αὐτοῦ, Οὗτός ἐστιν, ἔφη ὁ δεῖνα· ἔδειξα ὑμῖν αὐτόν. (12) Ἄνθρωπος γὰρ δακτύλῳ οὐ δείκνυται, ὡς λίθος, ἢ ὡς ξύλον· ἀλλ' ὅταν τις τὰ δόγματα αὐτοῦ δείξῃ, τότε αὐτὸν ὡς ἄνθρωπον ἔδειξε.

13. Βλέπωμεν καὶ σοῦ τὰ δόγματα. Μὴ γὰρ οὐ δῆλόν ἐστιν ὅτι σὺ τὴν προαίρεσιν τὴν σαυτοῦ, ἐν οὐδενὶ τίθεσαι, ἔξω δὲ βλέπεις εἰς τὰ ἀπροαίρετα, τί ἐρεῖ ὁ δεῖνα; καὶ τίς εἶναι δόξεις; εἰ φιλόλογος; εἰ Χρύσιππον ἀνέγνως, ἢ Ἀντίπατρον; εἰ μὲν γὰρ καὶ Ἀρχέδημον, ἀπέχεις ἅπαντα. (14) Τί ἔτι ἀγωνιᾷς μὴ οὐ δείξῃς ἡμῖν τίς εἶ; Θέλεις σοι εἴπω τίνα ἡμῖν ἔδειξας; Ἄνθρωπον παριόντα ταπεινὸν, μεμψίμοιρον, ὀξύθυμον, δειλὸν, πάντα μεμφόμενον, πᾶσιν ἐγκαλοῦντα, μηδέποτε ἡσυχίαν ἄγοντα, πέρπερον· ταῦτα ἡμῖν ἔδειξας. (15) Ἄπελθε οὖν, καὶ ἀναγίνωσκε Ἀρχέδημον· εἶτα, μῦς ἂν καταπέσῃ καὶ ψοφήσῃ ἀπέθανες. Τοιοῦτος γάρ σε μένει θάνατος, οἷον καὶ τὸν — τίνα ποτ' ἐκεῖνον; — τὸν Κρίνιν. Καὶ ἐκεῖνος μέγα ἐφρόνει, ὅτι ἐνόει Ἀρχέδημον. (16) Τάλας, οὐ θέλεις ἀφεῖναι ταῦτα τὰ μηδὲν πρὸς σέ; Πρέπει ταῦτα τοῖς δυναμένοις δίχα ταραχῆς αὐτὰ μανθάνειν· οἷς ἔξεστιν εἰπεῖν, Οὐκ ὀργίζομαι, οὐ λυποῦμαι, οὐ φθονῶ, οὐ κωλύομαι, οὐκ ἀναγκάζομαι. Τί μοι λοιπόν; εὐσχολῶ, ἡσυχίαν ἄγω.

simus. (4) Alter locus circa officia versatur. Neque enim me ita affectibus vacare oportet, ut statuam; sed ita, ut relationes tuear, cum naturales, tum accersitas; ut homo pius, ut filius, ut frater, ut pater, ut civis.

5. Tertius locus est, qui jam ad eos qui proficiunt pertinet; de harum rerum firmitate, ne vel dormienti visum aliquod temerarium obrepat, vel in vino, vel in melancholia. (6) Hoc supra nos, ait, est. Nostræ vero ætatis philosophi, primo et secundo loco omisso, in tertio unice versantur: argumentationes *tractant* versabiles, interrogando concludentes, hypotheticas, mentientes. (7) Aiunt enim, etiam in his materiis versanti curandum esse ne fallatur. Quis id curare debet? Vir probus et honestus. (8) Hoc unum ergo tibi adhuc deest; in ceteris vero materiis elaborasti? de lucello pecuniario ubi agitur, peccato non es obnoxius? visa eleganti puella, resistis viso? si vicinus tuus hæreditatem creverit, non morderis? nunc nihil aliud tibi deest, nisi ut ne de sententia dimovearis? (9) Miser, istæc ipsa, *quæ ad hunc locum pertinent*, discis tremens, et anxius ne quis te contemnat, et sciscitans an de te loquantur homines, quidve dicant. (10) Quodsi quis tibi dixerit, orta quæstione quisnam præstantissimus esset philosophus, dixisse nonneminem, unum te esse philosophum; animula tua, quæ antea digiti longitudine erat, nunc duorum fit cubitorum. Si quis autem alius illi responderit; « Falleris; non « est operæ pretium istum audire; quid enim scit? prima « principia percepit, præterea vero nihil tenet: » attonitus astas, palles, statim vociferaris, Ego ei demonstrabo qui vir sim, quantus philosophus. (11) Atqui ex his ipsis cernitur. Cur tu vis per alia demonstrare? An ignoras, Diogenem sic demonstrasse sophistam quemdam, medio digito extento? deinde, illo furore percito, Hic, inquit, ille est; monstravi eum vobis. (12) Homo enim digito, ut lapis aut lignum, non demonstratur; sed si quis opiniones ejus demonstrarit, tunc eum ut hominem demonstravit.

13. Videamus et tua decreta. Nonne perspicuum est te voluntatem tuam nihili facere, sed foras prospicere in ea quæ tui arbitrii non sunt, intentum quid hic aut ille dicturus sit? quem te esse perhibeant? an studiosum literarum? an qui Chrysippum legerit, aut Antipatrum? quodsi et Archedemum, habes omnia. (14) Quid adhuc times; ne non ostenderis nobis qui vir sis? Vis tibi dicam, quem te nobis ostenderis? Hominem qui prodeat abjecto animo, querulus, iracundus, timidus, de omnibus conquerens, omnes accusans, numquam quietus, vanus : hæc nobis ostendisti. (15) Abi nunc, et lege Archedemum : deinde si mus desilierit et strepitum excitarit, mortuus es. Talis enim te mors manet, qualis — quemnam tandem? — Crinidem; qui et ipse multum sibi tribuebat, quod Archedemum intelligeret. (16) Miser, non vis ista, quæ ad te nihil attinent, missa facere? Eos ista decent, qui sine perturbatione discere illa queunt; quibus dicere concessum est, Non irascor, non mœreo, non invideo, non prohibeor, non cogor. Quid mihi

(17) Ἴδωμεν πῶς περὶ τὰς μεταπτώσεις τῶν λόγων δεῖ ἀναστρέφεσθαι· ἴδωμεν πῶς ὑπόθεσίν τις λαβὼν, εἰς οὐδὲν ἄτοπον ἀπαχθήσεται. (18) Ἐκείνων ἐστὶ ταῦτα. Τοῖς εὐπλοοῦσι προσήκει πῦρ καίειν, ἀριστᾷν, ἂν οὕτω τύχῃ, καὶ ᾄδειν, καὶ ὀρχεῖσθαι· βυθιζομένου δὲ τοῦ πλοίου, σύ μοι παρελθὼν ἐπαίρεις τοὺς σιφάρους.

ΚΕΦ. Γ'.

Τίς ὕλη τοῦ ἀγαθοῦ· καὶ πρὸς τί μάλιστα ἀσκητέον.

1. Ὕλη τοῦ καλοῦ καὶ ἀγαθοῦ, τὸ ἴδιον ἡγεμονικόν· τὸ σῶμα δ', ἰατροῦ καὶ ἀλείπτου· ὁ ἀγρὸς, γεωργοῦ ὕλη. Ἔργον δὲ καλοῦ καὶ ἀγαθοῦ, τὸ χρῆσθαι ταῖς φαντασίαις κατὰ φύσιν. (2) Πέφυκε δὲ πᾶσα ψυχὴ, ὥσπερ τῷ ἀληθεῖ ἐπινεύειν, πρὸς τὸ ψεῦδος ἀνανεύειν, πρὸς τὸ ἄδηλον ἐπέχειν· οὕτω πρὸς μὲν τὸ ἀγαθὸν ὀρεκτικῶς κινεῖσθαι, πρὸς δὲ τὸ κακὸν ἐκκλιτικῶς, πρὸς δὲ τὸ μήτ' ἀγαθὸν μήτε κακὸν οὐδετέρως. (3) Ὡς γὰρ τὸ τοῦ Καίσαρος νόμισμα οὐκ ἔξεστιν ἀποδοκιμάσαι τῷ τραπεζίτῃ οὐδὲ τῷ λαχανοπώλῃ, ἀλλ' ἂν δείξῃς, θέλει οὐ θέλει, προέσθαι αὐτὸν δεῖ τὸ ἀντ' αὐτοῦ πωλούμενον· οὕτως ἔχει καὶ ἐπὶ τῆς ψυχῆς. (4) Τὸ ἀγαθὸν φανὲν εὐθὺς ἐκίνησεν ἐφ' αὑτὸ, τὸ κακὸν ἀφ' αὑτοῦ. Οὐδέποτε δ' ἀγαθοῦ φαντασίαν ἐναργῆ ἀποδοκιμάσει ψυχὴ, οὐ μᾶλλον ἢ τὸ Καίσαρος νόμισμα. Ἔνθεν ἐξήρτηται πᾶσα κίνησις καὶ ἀνθρώπου καὶ θεοῦ.

5. Διὰ τοῦτο πάσης οἰκειότητος προκρίνεται τὸ ἀγαθόν. Οὐδὲν ἐμοὶ καὶ τῷ πατρὶ, ἀλλὰ τῷ ἀγαθῷ. Οὕτως εἶ σκληρός; Οὕτω γὰρ πέφυκα· τοῦτό μοι τὸ νόμισμα δέδωκεν ὁ θεός. (6) Διὰ τοῦτο, εἰ τοῦ καλοῦ καὶ δικαίου τὸ ἀγαθὸν ἕτερόν ἐστιν, οἴχεται καὶ πατὴρ, καὶ ἀδελφὸς, καὶ πατρὶς, καὶ πάντα τὰ πράγματα. (7) Ἀλλὰ τὸ ἐμὸν ἐγὼ ἀγαθὸν ὑπερίδω, ἵνα σὺ σχῇς, καὶ παραχωρήσω σοι; ἀντὶ τίνος; Πατήρ σου εἰμί. Ἀλλ' οὐκ ἀγαθόν. Ἀδελφός σου εἰμί. Ἀλλ' οὐκ ἀγαθόν. (8) Ἐὰν δ' ἐν ὀρθῇ προαιρέσει θῶμεν, αὐτὸ τὸ τηρεῖν τὰς σχέσεις ἀγαθὸν γίνεται, καὶ λοιπὸν ὁ τῶν ἐκτός τινων ἐκχωρῶν, οὗτος τοῦ ἀγαθοῦ τυγχάνει. (9) Αἴρει τὰ χρήματα ὁ πατήρ; Ἀλλ' οὐ βλάπτει. Ἕξει τὸ πλέον τοῦ ἀγροῦ ὁ ἀδελφός. Ὅσον καὶ θέλει. Μή τι οὖν τοῦ αἰδήμονος; μή τι τοῦ πιστοῦ; μή τι τοῦ φιλαδέλφου; (10) Ἐκ ταύτης γὰρ τῆς οὐσίας τίς δύναται ἐκβαλεῖν; οὐδ' ὁ Ζεύς. Οὐδὲ γὰρ ἠθέλησεν· ἀλλ' ἐπ' ἐμοὶ αὐτὸ ἐποίησε, καὶ ἔδωκεν οἷον εἶχεν αὐτὸς, ἀκώλυτον, ἀνανάγκαστον, ἀπαραπόδιστον.

11. Ὅταν οὖν ἄλλῳ ἄλλο τὸ νόμισμα ᾖ, ἐκεῖνό τις δείξας, ἔχει τὸ ἀντ' αὐτοῦ πιπρασκόμενον. (12) Ἐλήλυθεν εἰς τὴν ἐπαρχίαν κλέπτης ἀνθύπατος. Τίνι νομίσματι χρῆται; Ἀργυρίῳ. Δεῖξον, καὶ ἀπόφερε ὃ θέλεις. Ἐλήλυθε μοιχός. Τίνι νομίσματι χρῆται; Κορασιδίοις. Λάβε * φησὶ * τὸ νόμισμα, πώλησόν μοι τὸ πραγμάτιον. Δὸς, καὶ ἀγόραζε. (13) Ἄλλος περὶ παιδάρια ἐσπούδακε. Δὸς αὐτῷ τὸ νόμισμα, καὶ λάβε ὃ θέλεις. Ἄλλος φιλόθηρος. Δὸς ἱππάριον καλὸν,

restat? otiosus sum; vacuum tempus mihi suppetit. (17) Videamus quomodo mutationes argumentationum tractandæ sint; videamus quomodo quis, sumpta hypothesi, caveat ne ad absurdum ducatur. (18) Illorum hominum ista sunt. Qui bene navigant, eis convenit ignem incendere, prandere; si res ita ferat, etiam canere, et saltare. At ubi in eo est navis ut mergatur, tu mihi venis et supparum attollis.

CAP. III.

Quæ sit materia boni viri; et in quo potissimum exerceri debeamus.

1. Materia viri boni probique est sua cujusque mens : corpus vero, medici et aliptæ; ager, agricolæ materia. Opus autem viri boni probique est, visis ad naturæ præscriptum uti. (2) Sic autem natura comparatum est, ut quivis animus, quemadmodum veris annuit, falsa abnuit, in incertis assensum sustinet; sic et bonum expetat, et malum aversetur; erga id vero, quod neque bonum neque malum est, neutro modo afficiatur. (3) Quemadmodum enim Cæsaris nummum nec argentario nec olerum venditori improbare licet, sed ostenso eo, sive velit, sive nolit, mercem suam tradat necesse est : eadem est et animi ratio. (4) Bonum, simul atque apparet, ad se allicit; malum declinatur : neque umquam boni speciem evidentem improbabit animus, non magis quam numisma Cæsaris. Hinc omnis motus pendet et hominis et dei.

5. Propterea cuivis necessitudini præfertur bonum. Nihil mihi rei cum patre est, sed cum bono. Adeone durus es? Sic sum natura comparatus : hoc mihi numisma dedit deus. (6) Quapropter si bonum aliud est quam honestum et justum, valebit et pater et frater et patria, res denique omnes. (7) Ego vero meum bonum negligam, ut tu eo potiaris, illoque tibi cedam? qua de caussa? Pater tuus sum. Sed non bonum meum. Frater tuus sum. Sed non bonum meum. (8) Si vero in recta voluntate illud collocaverimus; tum hoc ipsum, conservare relationes, bonum fiet : ac proinde, qui externa aliqua re cedit, is bono potitur. (9) Aufert pecuniam pater? Sed non nocet. Habebit frater plus agri. Quantum volet! num ergo etiam plus verecundiæ? plus fidei? plus fraternæ caritatis? (10) Ex hoc enim fundo quis te potest ejicere? ne Jupiter quidem : neque enim voluit; sed in mea potestate id posuit, deditque tale quale ipse habuit, ut nec prohiberi, nec cogi, nec impediri posset.

11. Quodsi igitur alius alia utitur moneta, eam si quis ei ostenderit, accipiet id quod pro ea venditur. (12) Venit in provinciam fur proconsul. Quanam utitur moneta? Argento. Ostende argentum, et aufer quod voles. Venit mœchus. Qua moneta utitur? Puellis. Cape, inquit aliquis, monetam, et vende mihi istud. Da, et eme. (13) Alius pueris studet. Da ei monetam hanc, et accipe quod volueris. Alius venatione delectatur. Da ei bellum equu-

ἢ κυνάριον· οἰμώζων καὶ στένων πωλήσει ἀντ' αὐτοῦ ὃ θέλεις. Ἄλλος γὰρ αὐτὸν ἀναγκάζει ἔσωθεν, ὁ τὸ νόμισμα τοῦτο τεταχώς.

14. Πρὸς τοῦτο μάλιστα τὸ εἶδος αὑτὸν γυμναστέον. Εὐθὺς ὄρθρου προελθὼν, ὃ ἂν ἴδῃς, ὃ ἂν ἀκούσῃς, ἐξέταζε, ἀποκρίνου ὡς πρὸς ἐρώτημα, Τί εἶδες; καλὸν ἢ καλήν; Ἔπαγε τὸν κανόνα. Ἀπροαίρετον, ἢ προαιρετικόν; Ἀπροαίρετον. Αἶρε ἔξω. (15) Τί εἶδες; Πενθοῦντα ἐπὶ τέκνου τελευτῇ; Ἔπαγε τὸν κανόνα. Ὁ θάνατός ἐστιν ἀπροαίρετον. Αἶρε ἐκ τοῦ μέσου. Ἀπήντησέ σοι ὕπατος; Ἔπαγε τὸν κανόνα. Ὑπατεία ποῖόν τι ἐστίν; ἀπροαίρετον, ἢ προαιρετικόν; Ἀπροαίρετον. Αἶρε καὶ τοῦτο, οὐκ ἔστι δόκιμον· ἀπόβαλε, οὐδὲν πρὸς σέ. (16) Καὶ τοῦτο εἰ ἐποιοῦμεν, καὶ πρὸς τοῦτο ἠσκούμεθα καθ' ἡμέραν ἐξ ὄρθρου μέχρι νυκτὸς, ἐγίνετο ἄν τι, νὴ τοὺς θεούς. (17) Νῦν δ' εὐθὺς ὑπὸ πάσης φαντασίας κεχηνότες λαμβανόμεθα· καὶ μόνον, εἴπερ ἄρα, ἐν τῇ σχολῇ μικρόν τι διεγειρόμεθα· εἶτ' ἐξελθόντες, ἂν ἴδωμεν πενθοῦντα, λέγομεν, Ἀπώλετο· ἂν ὕπατον, Μακάριος· ἂν ἐξωρισμένον, Ταλαίπωρος· ἂν πένητα, Ἄθλιος, οὐκ ἔχει πόθεν φάγῃ. (18) Ταῦτ' οὖν ἐκκόπτειν δεῖ τὰ πονηρὰ δόγματα, περὶ τοῦτο συντετάσθαι. Τί γάρ ἐστι τὸ κλαίειν καὶ οἰμώζειν; Δόγμα. Τί δυστυχία; Δόγμα. Τί στάσις; τί διχόνοια; τί μέμψις; τί κατηγορία; τί ἀσέβεια; τί φλυαρία; (19) Ταῦτα πάντα δόγματά ἐστι, καὶ ἄλλο οὐδέν· καὶ δόγματα περὶ τῶν ἀπροαιρέτων, ὡς ὄντων ἀγαθῶν καὶ κακῶν. Ταῦτά τις ἐπὶ τὰ προαιρετικὰ μεταθέτω, κἀγὼ αὐτὸν ἐγγυῶμαι ὅτι εὐσταθήσει, ὡς ἂν ἔχῃ τὰ περὶ αὐτόν.

20. Οἷόν ἐστιν ἡ λεκάνη τοῦ ὕδατος, τοιοῦτον ἡ ψυχή· οἷον ἡ αὐγὴ ἡ προσπίπτουσα τῷ ὕδατι, τοιοῦτον αἱ φαντασίαι. (21) Ὅταν οὖν τὸ ὕδωρ κινηθῇ, δοκεῖ μὲν καὶ ἡ αὐγὴ κινεῖσθαι, οὐ μέντοι κινεῖται. (22) Καὶ ὅταν τοίνυν σκοτωθῇ τις, οὐχ αἱ τέχναι καὶ αἱ ἀρεταὶ συγχέονται, ἀλλὰ τὸ πνεῦμα ἐφ' οὗ εἰσί· καταστάντος δὲ, καθίσταται κἀκεῖνα.

ΚΕΦ. Δ'.

Πρὸς τὸν ἀκόσμως ἐν θεάτρῳ σπουδάσαντα.

1. Τοῦ δ' ἐπιτρόπου τῆς Ἠπείρου ἀκοσμότερον σπουδάσαντος κωμῳδῷ τινι, καὶ ἐπὶ τούτῳ δημοσίᾳ λοιδορηθέντος, εἶτα ἑξῆς ἀπαγγείλαντος πρὸς αὐτὸν ὅτι ἐλοιδορήθη, καὶ ἀγανακτοῦντος πρὸς τοὺς λοιδορήσαντας· Καὶ τί κακὸν, ἔφη, ἐποίουν; ἐσπούδαζον καὶ οὗτοι, ὡς καὶ σύ. (2) Εἰπόντος δ' ἐκείνου, Οὕτως οὖν τις σπουδάζει; Σὲ, ἔφη, βλέποντες τὸν αὐτῶν ἄρχοντα, τοῦ Καίσαρος φίλον καὶ ἐπίτροπον, οὕτω σπουδάζοντα, οὐκ ἔμελλον καὶ αὐτοὶ οὕτω σπουδάζειν; (3) εἰ γὰρ μὴ δεῖ οὕτω σπουδάζειν, μηδὲ σὺ σπούδαζε· εἰ δὲ δεῖ, τί χαλεπαίνεις, εἴ σε ἐμιμήσαντο; Τίνας γὰρ ἔχουσι μιμήσασθαι οἱ πολλοὶ, ἢ τοὺς ὑπερέχοντας ὑμᾶς; εἰς τίνας ἀπίδωσιν ἐλθόντες εἰς τὰ θέατρα, ἢ ὑμᾶς; (4) Ὅρα πῶς ὁ ἐπίτροπος τοῦ Καίσαρος θεωρεῖ· κέκραγε· κἀγὼ

leum aut caniculam : plorans et gemens pro eo id, quod tu vis, vendet. Alius enim eum intrinsecus cogit, is qui monetam istam ordinavit.

14. In hoc genere quisque se potissimum exercere debet. Statim mane egressus, quemcumque videris, quemcumque audieris, examinato : responde tamquam ad quæstionem : Quid vidisti? pulcrum, aut pulcram? Adhibe regulam. Estne res tui juris, an alieni? Alieni. Abjice. (15) Quid vidisti? Quemdam obitum filii lugentem? Adhibe regulam. Mors alieni juris est : tolle eam e medio. Obviam tibi factus est consul? Adhibe regulam. Qualis res est consulatus? juris alieni, an tui? Alieni. Tolle et hoc; non est probum : abjice; nihil ad te. (16) Hoc si faceremus, et in hoc si exerceremur in dies a diluculo usque ad noctem, sane aliquid proficeremus. (17) Nunc autem protinus a quolibet viso hiantes abripimur : et in schola tantum, si quando, paululum expergiscimur; deinde egressi, cum lugentem videmus, dicimus, Periit : si consulem, Beatus : si relegatum, Miser : si pauperem, Infelix, non habet quod edat. (18) Hæc igitur prava decreta resecanda sunt; in hoc intendendi nervi. Quid est enim plorare et ejulare? Decretum. Quid calamitas? Decretum. Quid seditio? quid dissidium? quid querela? quid accusatio? quid impietas? quid nugæ? (19) Nihil hæc omnia sunt aliud nisi decreta; et quidem decreta de rebus alieni juris, quasi bonæ aut malæ sint. Hæc si quis ad ea quæ sui juris sunt traduxerit, eum ego spondebo constantem fore et tranquillum, utcumque se habeant res quæ illum circumstant.

20. Qualis est aquæ plena patina, talis est animus : qualis lux solis in aquam incidens, talia sunt visa. (21) Cum igitur agitata fuerit aqua, lux quoque moveri videtur, nec movetur tamen. (22) Sic ergo, si quis vertigine fuerit correptus, non artes et virtutes turbantur, sed spiritus in quo sunt; sin is sedatus fuerit, illis etiam ratio sua constabit.

CAP. IV.

Adversus turpiter faventem in theatro.

1. Cum procurator Epiri turpius comœdo cuiquam favisset, eaque de re publice convicio jactatus esset, idque Epicteto renunciasset, et conviciatoribus succenseret : Et quidnam, inquit ille, mali fecerunt? faverunt isti, ut et tu. (2) Cum autem ille diceret, Itane quisquam favet? Cum te, inquit, præsidem suum viderent, Cæsaris amicum et procuratorem, ita favere; quidni et ipsi eodem modo fauturi essent? (3) Nam si non ita favendum est, ne tu quidem faveto : sin est favendum, quid illis succenses, te imitantibus? Quos enim habet vulgus quos imitetur, præterquam vos proceres? quosnam respiciant, cum theatra ingressi sunt, præter vos? (4) « Vide quemadmodum Cæsaris procurator spectet! Vo- « ciferatur : vociferabor ergo et ego. Exsultat : exsultabo

τοίνυν κραυγάσω. Ἀναπηδᾷ· κἀγὼ ἀναπηδήσω. Οἱ δοῦλοι αὐτοῦ διακάθηνται κραυγάζοντες, ἐγὼ δ' οὐκ ἔχω δούλους· ἀντὶ πάντων αὐτός, ὅσον δύναμαι, κραυγάσω. (5) Εἰδέναι σε οὖν δεῖ, ὅταν εἰσέρχῃ εἰς τὸ θέατρον, ὅτι κανὼν εἰσέρχῃ καὶ παράδειγμα τοῖς ἄλλοις, πῶς αὐτοὺς δεῖ θεωρεῖν. (6) Τί οὖν σε ἐλοιδόρουν; Ὅτι πᾶς ἄνθρωπος μισεῖ τὸ ἐμποδίζον. Ἐκεῖνοι στεφανωθῆναι ἤθελον τὸν δεῖνα, σὺ ἕτερον· ἐκεῖνοι σοὶ ἐνεπόδιζον, καὶ σὺ ἐκείνοις. Σὺ εὑρίσκου ἰσχυρότερος· ἐκεῖνοι ὃ ἐδύναντο ἐποίουν· ἐλοιδόρουν τὸ ἐμποδίζον. (7) Τί οὖν θέλεις; ἵνα σὺ μὲν ποιῇς ὃ θέλεις, ἐκεῖνοι δὲ μηδ' εἴπωσιν ἃ θέλουσι; Καὶ τί θαυμαστόν; οἱ γεωργοὶ τὸν Δία οὐ λοιδοροῦσιν, ὅταν ἐμποδίζωνται ὑπ' αὐτοῦ; οἱ ναῦται οὐ λοιδοροῦσι; τὸν Καίσαρα παύονται λοιδοροῦντες; (8) Τί οὖν; οὐ γινώσκει ὁ Ζεύς; τῷ Καίσαρι οὐκ ἀπαγγέλλονται τὰ λεγόμενα; Τί οὖν ποιεῖ; οἶδεν ὅτι, ἂν πάντας τοὺς λοιδοροῦντας κολάσῃ, οὐχ ἕξει τίνων ἄρξει. (9) Τί οὖν; ἔδει εἰσερχόμενον εἰς τὸ θέατρον οὐ τοῦτο εἰπεῖν, Ἄγε ἵνα Σώφρων στεφανωθῇ· ἀλλ' ἐκεῖνο, Ἄγε ἵνα τηρήσω τὴν ἐμαυτοῦ προαίρεσιν ἐπὶ ταύτης τῆς ὕλης κατὰ φύσιν ἔχουσαν. (10) Ἐμοὶ παρ' ἐμὲ φίλτερος οὐδείς. Γελοῖον οὖν, ἵν' ἄλλος νικήσῃ κωμῳδῶν, ἐμὲ βλάπτεσθαι. (11) Τίνα οὖν θέλω νικῆσαι; Τὸν νικῶντα. Καὶ οὕτως ἀεὶ νικήσει, ὃν θέλω. Ἀλλὰ θέλω στεφανωθῆναι Σώφρονα. Ἐν οἴκῳ ὅσους θέλεις ἀγῶνας ἄγων, ἀνακήρυξον αὐτὸν Νέμεα, Πύθια, Ἴσθμια, Ὀλύμπια· ἐν φανερῷ δὲ μὴ πλεονέκτει, μηδ' ὑφάρπαζε τὸ κοινόν. (12) Εἰ δὲ μή, ἀνέχου λοιδορούμενος· ὡς ὅταν ταὐτὰ ποιῇς τοῖς πολλοῖς, εἰς ἴσον ἐκείνοις καθιστᾷς σεαυτόν.

ΚΕΦ. Ε'.

Πρὸς τοὺς διὰ νόσον ἀπαλλαττομένους.

1. Νοσῶ, φησίν, ἐνθάδε, καὶ βούλομαι ἀπιέναι εἰς οἶκον. (2) Ἐν οἴκῳ γὰρ ἄνοσος ἦσθα σύ; Οὐ σκοπεῖς, εἴ τι ποιεῖς ἐνθάδε τῶν πρὸς τὴν προαίρεσιν τὴν σαυτοῦ φερόντων, ἵν' ἐπανορθωθῇ; εἰ μὲν γὰρ μηδὲν ἀνύεις, περισσῶς καὶ ἦλθες. Ἄπιθι, ἐπιμελοῦ τῶν ἐν οἴκῳ. (3) Εἰ γὰρ μὴ δύναταί σου τὸ ἡγεμονικὸν σχεῖν κατὰ φύσιν, τό γ' ἀγρίδιον δυνήσεται, τό γε κερμάτιον αὐξήσεις, τὸν πατέρα γηροκομήσεις, ἐν τῇ ἀγορᾷ ἀναστραφήσῃ, ἄρξεις· κακὸς κακῶς τί ποτε ποιήσεις τῶν ἑξῆς. (4) Εἰ δὲ παρακολουθεῖς σαυτῷ, ὅτι ἀποβάλλεις τινὰ δόγματα φαῦλα, καὶ ἄλλα ἀντ' αὐτῶν ἀναλαμβάνεις, καὶ τὴν σαυτοῦ στάσιν μετατέθεικας ἀπὸ τῶν ἀπροαιρέτων ἐπὶ τὰ προαιρετικά· κἂν ποτ' εἴπῃς, Οἴμοι, οὐ λέγεις διὰ τὸν πατέρα, διὰ τὸν ἀδελφόν, ἀλλὰ, δι' ἐμέ· ἔτι ὑπολογίζῃ νόσον; (5) Οὐκ οἶδας ὅτι καὶ νόσος καὶ θάνατος καταλαβεῖν ἡμᾶς ὀφείλουσί τί ποτε ποιοῦντας; τὸν γεωργὸν γεωργοῦντα καταλαμβάνουσι, τὸν ναυτικὸν πλέοντα. (6) Σὺ τί θέλεις ποιῶν καταληφθῆναι; τί ποτε γὰρ ποιοῦντά σε δεῖ καταληφθῆναι. Εἴ τι ἔχεις τούτου κρεῖσσον ποιῶν καταληφθῆναι, ποίει ἐκεῖνο.

« et ego. Servi ejus, hinc atque inde sedentes, vociferantur : ego, cui servi nulli sunt, pro omnibus ipse quantum « potero clamabo. » (5) Sciendum ergo tibi est, cum theatrum ingrederis, te tamquam regulam ingredi, et exemplum ceterorum, quo pacto spectare debeant. (6) Cur igitur conviciati tibi sunt? Quia omnis homo id, quo impeditur, odit. Alium illi coronari voluerunt, alium tu : illi te impediebant, tu illos : tu potentior eras; illi fecerunt quod potuerunt; conviciati sunt ei a quo impediebantur. (7) Quid ergo vis? ut tu quidem, quod velis, id agas; illi autem quod velint, ne dicere quidem audeant? Et quid miri est? nonne agricolæ Jovi maledicunt, cum ab illo impediuntur? nautæ non conviciantur? num maledicere Cæsari desinunt? (8) Quid ergo? ignorat hoc Jupiter? non renunciatur Cæsari quid dicatur? Quid ergo facit? scit, si omnes conviciatores supplicio afficeret, se quibus imperaret non habiturum. (9) Quid ergo? ingredienti theatrum non hoc erat dicendum : Age, Sophron coronetur! sed illud : Age, meam voluntatem tuear, ut in hac materia naturæ congruat. (10) Mihi nemo me ipso carior est. Ridiculum igitur fuerit, lædi me, ut alius vincat comœdum agens. (11) Quem igitur velim vincere? Eum qui vincit : sic semper is vincet, quem voluero. Sed volo Sophronem coronari. Domi tuæ quot voles certamina institue; et proclamato eum Nemeorum, Pythiorum, Isthmiorum, Olympiorum victorem : in publico autem, ne plus æquo tibi vindicato; neu quæ communia sunt surripito. (12) Sin minus, convicia tolerato. Nam cum eadem cum vulgo facis, illi te exæquas.

CAP. V.

Ad eos qui ob morbum domum abeunt.

1. Ægroto, inquit, hic : domum redire volo. (2) Ergo domi morbis non eras obnoxius? Non consideras, an aliquid hic agas eorum quæ ad mentem et voluntatem tuam conferant, ut ea corrigatur? nam si nihil proficis, supervacuum etiam erat venisse. Abi, rem domesticam cura. (3) Si enim mens tua non potest esse naturæ congruenter affecta, saltem agellus tuus poterit, saltem nummos augebis, senem patrem curabis, in foro versaberis, magistratum geres : malus male quidlibet porro ages. (4) Sin ipse animadvertis te prava quædam decreta abjicere, eorumque loco amplecti alia; si tuum propositum ab iis, quæ tui arbitrii non sunt, ad ea quæ abs te pendent, transtulisti; si, cum forte aliquando Heu mihi! exclamas, id non propter patrem, non propter fratrem dicis, sed propter te ipsum : an adhuc morbi rationem ullam habebis? (5) An nescis, et morbum et mortem debere nos invadere aliqua re quacumque occupatos? agricolam terræ colendæ intentum, nautam navigantem invadunt. (6) Tu igitur quidnam agens vis invadi? nam aliquid agentem, quidquid illud fuerit, invadi te necesse est. Si quid habes melius, quo te occupatum morbus et mors invadant, illud agito.

7. Ἐμοὶ μὲν γὰρ καταληφθῆναι γένοιτο μηδενὸς ἄλλου ἐπιμελουμένῳ, ἢ τῆς προαιρέσεως τῆς ἐμῆς, ἵν' ἀπαθής, ἵν' ἀκώλυτος, ἵν' ἀνανάγκαστος, ἵν' ἐλεύθερος. (8) Ταῦτα ἐπιτηδεύων θέλω εὑρεθῆναι, ἵν' εἰπεῖν δύνωμαι τῷ θεῷ· « Μή τι παρέβην σου τὰς ἐντολάς; μή τι πρὸς ἄλλα ἐχρησάμην ταῖς ἀφορμαῖς ἅς ἔδωκας; μή τι ταῖς αἰσθήσεσιν ἄλλως; μή τι ταῖς προλήψεσι; μή τι σοί ποτ' ἐνεκάλεσα; μή τί σου ἐμεμψάμην τὴν διοίκησιν; (9) Ἐνόσησα, ὅτι ἠθέλησας· καὶ οἱ ἄλλοι, ἀλλ' ἐγὼ ἑκών. Πένης ἐγενόμην, σοῦ θέλοντος, ἀλλὰ χαίρων. Οὐχ ἦρξα, ὅτι σὺ οὐχ ἠθέλησας· οὐδέποτ' ἐπεθύμησα ἀρχῆς. Μή τί με τούτου ἕνεκα στυγνότερον εἶδες; μὴ οὐ προσῆλθόν σοί ποτε φαιδρῷ τῷ προσώπῳ, ἕτοιμος εἴ τι ἐπιτάσσεις, εἴ τι σημαίνεις; (10) Νῦν με θέλεις ἀπελθεῖν ἐκ τῆς πανηγύρεως; ἄπειμι· χάριν σοι ἔχω πᾶσαν, ὅτι ἠξίωσάς με συμπανηγυρίσαι σοι, καὶ ἰδεῖν ἔργα τὰ σὰ, καὶ τῇ διοικήσει σου συμπαρακολουθῆσαι. » (11) Ταῦτά με ἐνθυμούμενον, ταῦτα γράφοντα, ταῦτα ἀναγινώσκοντα καταλάβοι ὁ θάνατος.

12. Ἀλλ' ἡ μήτηρ μου τὴν κεφαλὴν νοσοῦντος οὐ κρατήσει. Ἄπιθι τοίνυν πρὸς τὴν μητέρα· ἄξιος γὰρ εἶ τὴν κεφαλὴν κρατούμενος νοσεῖν. (13) Ἀλλ' ἐπὶ κλιναρίου κομψοῦ ἐν οἴκῳ κατεκείμην. Ἄπιθί σου ἐπὶ τὸ κλινάριον· καὶ ὑγιαίνων ἄξιος εἶ ἐπὶ τοιούτου κατακεῖσθαι. Μὴ τοίνυν ἀπόλλυε ἃ δύνασαι ἐκεῖ ποιεῖν.

14. Ἀλλ' ὁ Σωκράτης τί λέγει; Ὥσπερ ἄλλος τις, φησὶ, χαίρει τὸν ἀγρὸν τὸν αὑτοῦ ποιῶν κρείσσονα, ἄλλος τὸν ἵππον· οὕτως ἐγὼ καθ' ἡμέραν χαίρω παρακολουθῶν ἐμαυτῷ βελτίονι γινομένῳ. (15) Πρὸς τί; μή τι πρὸς λεξείδια; Ἄνθρωπε, εὐφήμει. Μή τι πρὸς θεωρημάτια; Τί ποιεῖς; (16) Καὶ μὴν οὐ βλέπω τί ἐστιν ἄλλο, περὶ ὃ ἀσχολοῦνται οἱ φιλόσοφοι. Οὐδέν σοι δοκεῖ εἶναι, τὸ μηδέποτ' ἐγκαλέσαι τινί; μὴ θεῷ, μὴ ἀνθρώπῳ; μὴ μέμψασθαι μηδένα; τὸ αὐτὸ πρόσωπον ἀεὶ καὶ ἐκφέρειν καὶ εἰσφέρειν; (17) Ταῦτα ἦν ἃ ᾔδει Σωκράτης· καὶ ὅμως οὐδέποτε εἶπεν ὅτι οἶδέ τι, ἢ διδάσκει. Εἰ δέ τις λεξείδια ᾔτει ἢ θεωρημάτια, ἀπῆγε πρὸς Πρωταγόραν, πρὸς Ἱππίαν· καὶ γὰρ εἰ λάχανά τις ζητῶν ἐλήλυθε, πρὸς τὸν κηπουρὸν ἂν αὐτὸν ἀπήγαγε. (18) Τίς οὖν ὑμῶν ἔχει ταύτην τὴν ἐπιβολήν; ἐπεί τοι, εἰ εἴχετε, καὶ ἐνοσεῖτε ἂν ἡδέως, καὶ ἐπεινᾶτε, καὶ ἀπεθνήσκετε. (19) Εἴ τις ὑμῶν ἠράσθη κορασίου κομψοῦ, οἶδεν ὅτι ἀληθῆ λέγω.

ΚΕΦ. ϛ'.

Σποράδην τινά.

1. Πυθομένου δέ τινος, [πῶς] τὸ νῦν μᾶλλον ἐκπεπονημένου τοῦ λόγου, πρότερον μείζονες προκοπαὶ ἦσαν· (2) Κατὰ τί, ἔφη, ἐκπεπόνηται, καὶ κατὰ τί μείζους αἱ προκοπαὶ τότε ἦσαν; καθ' ὃ γὰρ νῦν ἐκπεπόνηται, κατὰ τοῦτο καὶ προκοπαὶ νῦν εὑρεθήσονται. (3) Καὶ νῦν μὲν ὥστε συλλογισμοὺς ἀναλύειν ἐκπεπόνηται, καὶ προκοπαὶ γίνονται· τότε δ', ὥστε τὸ ἡγεμονικὸν κατὰ

7. Nam mihi quidem contingat velim, ut ab eis deprehendar nulla alia re occupatus, nisi voluntate mea curanda, ut perturbatione vacet, ut nulla re impediatur, ut nulla re cogatur, ut libera sit. (8) Hæc agens volo deprehendi; ut dicere possim deo : « Num qua in re præcepta tua violavi? « num ad alia sum abusus facultatibus, quas mihi dedisti? « num sensibus? num anticipationibus? num te umquam « incusavi? num administrationem tuam reprehendi? (9) « Ægrotavi, quia tu voluisti : ægrotarunt et alii, sed ego « volens : pauper fui, te volente; sed lætus. Magistratum « non gessi, quia tu non voluisti; numquam appetivi im« perium. An umquam me hac de caussa tristiorem vidisti? « an umquam vultu minus hilari te accessi, minus paratus « si quid mandares, si quid significares? (10) Vis me nunc « ludorum celebritate abire? abeo : gratiam quam possum « maximam habeo, quod me dignatus es ad ludos tuos ad« mittere, et ad spectanda opera tua, et administrationem « tuam intelligendam. » (11) Hæc me cogitantem, hæc scribentem, hæc legentem mors deprehendat.

12. Atqui mater mea ægrotanti mihi caput non tenebit. Abi ergo ad matrem; dignus enim es cui caput teneatur ægrotanti. (13) At in eleganti lectulo domi decumbebam. Abi ad lectulum tuum : dignus es profecto qui vel sanus in tali recumbas. Noli ergo perdere ea, quæ illic facere potes.

14. Socrates autem quid dicit? « Quemadmodum alius, « inquit, delectatur cum agrum suum meliorem facit, alius « cum equum : sic ego delector cum me quotidie fieri me« liorem deprehendo. » (15) Quam ad rem? an ad dictiunculas? Bona verba! homo. An ad præceptiunculas? Quid agis? (16) Atqui non video quid sit aliud, quo philosophi occupentur. Nihilne tibi esse videtur, numquam accusare quemquam? non deum, non hominem? de nemine conqueri? eodem semper vultu et egredi et ingredi? (17) Hæc erant quæ norat Socrates : neque tamen umquam dixit se scire aliquid, aut docere. Si quis vero dictiunculas aut præceptiunculas postulabat, eum ad Protagoram adducebat, ad Hippiam : nam et, si olera aliquis quæsitum venisset, ad olitorem eum adduxisset. (18) Quis ergo vestrûm tale institutum habet? Sane, si haberetis, libenter etiam ægrotaretis, et esuriretis, et moreremini. (19) Si quis vestrûm lepidam puellam adamat, is me vere dicere intelligit.

CAP. VI.

Miscellanea quædam.

1. Sciscitante quodam, quum hac ætate magis elaborata esset ratio, cur majores progressus olim fuissent : (2) Qua parte, inquit, nunc magis elaborata est? et qua parte olim progressus majores fuerunt? quatenus enim nunc elaborata est, eatenus etiam progressus nunc reperiuntur. (3) Nunc enim, ut resolvere syllogismos sciamus, præcipue laboratur; et in hoc genere etiam progressus fiunt : tunc autem

φύσιν ἔχον τηρῆσαι, καὶ ἐξεπονεῖτο καὶ προκοπαὶ ἦσαν. (4) Μὴ οὖν ἐνάλλασσε, μηδὲ ζήτει, ὅταν ἄλλο ἐκπονῇς, ἐν ἄλλῳ προκόπτειν. Ἀλλ' ἴδε, εἴ τις ἡμῶν, πρὸς τούτῳ ὢν, ὥστε *καὶ* κατὰ φύσιν ἔχειν καὶ διεξάγειν, οὐ προκόπτει. Οὐδένα γὰρ εὑρήσεις.

5. Ὁ σπουδαῖος ἀήττητος· καὶ γὰρ οὐκ ἀγωνίζεται ὅπου μὴ κρείσσων ἐστίν. (6) Εἰ τὰ κατὰ τὸν ἀγρὸν θέλεις, λάβε· λάβε τοὺς οἰκέτας, λάβε τὴν ἀρχήν, λάβε τὸ σωμάτιον· τὴν δ' ὄρεξιν οὐ ποιήσεις ἀποτευκτικήν, οὐδὲ τὴν ἔκκλισιν περιπτωτικήν. (7) Εἰς τοῦτον μόνον τὸν ἀγῶνα καθίησι, τὸν περὶ τῶν προαιρετικῶν· πῶς οὖν οὐ μέλλει ἀήττητος εἶναι;

8. Πυθομένου δέ τινος, τί ἐστιν ὁ κοινὸς νοῦς, Ὥσπερ, φησί, κοινή τις ἀκοὴ λέγοιτ' ἂν ἡ μόνον φωνῶν διακριτική· ἡ δὲ τῶν φθόγγων, οὐκέτι κοινή, ἀλλὰ τεχνική· οὕτως ἐστί τινα, ἃ οἱ μὴ παντάπασι διεστραμμένοι τῶν ἀνθρώπων κατὰ τὰς κοινὰς ἀφορμὰς ὁρῶσιν· Ἡ τοιαύτη κατάστασις κοινὸς νοῦς καλεῖται.

9. Τῶν νέων τοὺς μαλακοὺς οὐκ ἔστι προτρέψαι ῥᾴδιον· οὐδὲ γὰρ τυρὸν ἀγκίστρῳ λαβεῖν. Οἱ δ' εὐφυεῖς, κἂν ἀποτρέπῃς, ἔτι μᾶλλον ἔχονται τοῦ λόγου. (10) Διὸ καὶ ὁ Ῥοῦφος τὰ πολλὰ ἀπέτρεπε, τούτῳ δοκιμαστηρίῳ χρώμενος τῶν εὐφυῶν καὶ ἀφυῶν. Ἔλεγε γὰρ ὅτι, ὡς ὁ λίθος, κἂν ἄνω βάλῃς, ἐνεχθήσεται κάτω ἐπὶ γῆν τῇ αὐτοῦ κατασκευῇ· οὕτω καὶ ὁ εὐφυής, ὅσῳ μᾶλλον ἀποκρούεταί τις αὐτόν, τοσούτῳ μᾶλλον νεύει ἐφ' ὃ πέφυκεν.

ΚΕΦ. Ζ'.

Πρὸς τὸν διορθωτὴν τῶν ἐλευθέρων πόλεων Ἐπικούρειον ὄντα.

1. Τοῦ δὲ διορθωτοῦ εἰσελθόντος πρὸς αὐτὸν (ἦν δ' οὗτος Ἐπικούρειος), Ἄξιον ἔφη, τοὺς ἰδιώτας ἡμᾶς παρ' ὑμῶν τῶν φιλοσόφων πυνθάνεσθαι, καθάπερ τοὺς εἰς ξένην πόλιν ἐλθόντας παρὰ τῶν πολιτῶν καὶ εἰδότων, τί κράτιστόν ἐστιν ἐν κόσμῳ, ἵνα καὶ αὐτοὶ ἱστορήσαντες μετίωμεν, ὡς ἐκεῖνοι τὰ ἐν ταῖς πόλεσι, καὶ θεώμεθα. (2) Ὅτι μὲν γὰρ τρία ἐστὶ περὶ τὸν ἄνθρωπον, ψυχή, καὶ σῶμα, καὶ τὰ ἐκτός, σχεδὸν οὐδεὶς ἀντιλέγει· λοιπὸν ὑμέτερόν ἐστιν ἀποκρίνασθαι, τί ἐστι τὸ κράτιστον. (3) Τί ἐροῦμεν τοῖς ἀνθρώποις; τὴν σάρκα; Καὶ διὰ ταύτην Μάξιμος ἔπλευσε μέχρι Κασσιόπης χειμῶνος μετὰ τοῦ υἱοῦ, προπέμπων, ἵν' ἡσθῇ τῇ σαρκί; (4) Ἀρνησαμένου δ' ἐκείνου, καὶ εἰπόντος, Μὴ γένοιτο· Οὐ προσήκει οὖν, ἔφη, περὶ τὸ κράτιστον ἐσπουδακέναι; Πάντων μάλιστα προσήκει. Τί οὖν κρεῖσσον ἔχομεν τῆς σαρκός; Τὴν ψυχήν, ἔφη. (5) Ἀγαθὰ δὲ τὰ τοῦ κρατίστου κρείττονά ἐστιν, ἢ τὰ τοῦ φαυλοτέρου; Τὰ τοῦ κρατίστου. Ψυχῆς δὲ ἀγαθὰ πότερον προαιρετικά ἐστιν, ἢ ἀπροαίρετα; Προαιρετικά. Προαιρετικὸν οὖν ἐστιν ἡ ἡδονὴ ἡ ψυχική; Ἔφη. (6) Αὕτη δ' ἐπὶ τίσι γένηται; πότερον ἐφ' αὑτῇ; Ἀλλ' ἀδιανόητόν ἐστι· προηγουμένην γάρ τινα ὑφεστάναι δεῖ οὐσίαν τοῦ ἀγαθοῦ, ἧς τυγχάνοντες ἡσθησόμεθα κατὰ ψυχήν. Ὡμολό-

in eo elaborabatur progressusque fiebant, ut mens in eo statu conservaretur, qui esset naturæ consentaneus. (4) Noli ergo hæc invertere, neque postules in alio te progredi, cum in alio elabores. Sed illud vide, an nostrûm aliquis, in id intentus in eoque elaborans, ut naturæ convenienter se habeat vivatque, nullos faciat progressus. Neminem invenies.

5. Vir bonus invictus est : etenim ad certamen non descendit, nisi ubi viribus est superior. (6) Si agrum et quæ sunt in eo, habere cupis, cape : cape famulos; cape magistratum; cape corpusculum meum : illud autem non efficies, ut vel appetitio mea frustretur, vel ut incidam in rem quam declino. (7) In hoc solum certamen descendit, de rebus quæ in ipsius potestate sunt sita. Fieri ergo qui potest, quin sit invictus?

8. Interrogante quodam, quinam esset SENSUS COMMUNIS : Quemadmodum, inquit, communis quispiam auditus dici queat, qui voces tantum discernat; is vero qui sonos musicos, non jam communis, sed artificiosus : sic sunt nonnulla, quæ homines non prorsus perversi ex communibus notionibus perspiciunt. Illa humanæ mentis constitutio SENSUS COMMUNIS appellatur.

9. Molles adolescentes exhortari non est facile : neque enim caseus tenellus hamo capitur. Qui vero nobili sunt ingenio, tametsi eos dehorteris, magis etiam adhærent doctrinæ. (10) Ea de caussa Rufus plerumque dehortari juvenes consueverat, eaque tamquam regula ad deprehendendos ingeniosos et stupidos utebatur. Ut enim, inquit, lapis, quamvis sursum eum jeceris, sua natura deorsum feretur : sic etiam ingeniosus, quo magis repulsus fuerit, eo magis inclinabit illuc, quo a natura ducitur.

CAP. VII.

Ad Epicureum quemdam, liberarum civitatum correctorem.

1. Correctore ad eum ingresso (erat autem is Epicureus), Decet, inquit, nos rudes e vobis philosophis quærere, sicut eos qui in peregrinam urbem venerunt, e civibus et rerum gnaris; quid in mundo sit præstantissimum : ut, postquam intellexerimus, et nos persequamur illud spectemusque, sicut isti ea quæ sunt in urbibus visitatum eunt. (2) Nam tria quidem data esse homini, animum, corpus, et res externas, nemo fere est qui refragetur : illud ergo restat, ut vos nobis dicatis, quid sit præstantissimum. (3) Quid dicemus hominibus? carnem? Propter eam igitur Maximus, procelloso mari, comitandi filii caussa, Cassiopen usque navigavit, quo caro ejus voluptate demulceretur? (4) Negante vero illo, dicenteque, Absit! Nonne igitur, *ait Epictetus*, in præstantissimo maxime elaborandum est? Omnium maxime, inquit. Quid ergo melius carne habemus? Animum, inquit. (5) Bona vero melioris partis suntne præstantiora, an deterioris? Melioris, inquit. Animi vero bona suntne arbitrii nostri, an alieni? Nostri, inquit. Nostri igitur arbitrii est delectatio animi? Est, inquit. (6) Hæc vero unde exsistit an ex se ipsa? (*ut delectemur, quia delectamur.*) At hoc intelligi non potest : præcedere enim et ante adesse debet natura quædam boni, quo qui potiatur, is animo delectetur. Concedebat et hoc.

γει καὶ τοῦτο. (7) Ἐπὶ τίνι οὖν ἡσθησόμεθα ταύτην τὴν ψυχικὴν ἡδονήν; εἰ γὰρ ἐπὶ τοῖς ψυχικοῖς, [ἐν τοῖς ψυχικοῖς] εὕρηται ἡ οὐσία τοῦ ἀγαθοῦ. Οὐ γὰρ δύναται ἄλλο μὲν εἶναι ἀγαθὸν, ἄλλο δ' ἐφ' ᾧ εὐλόγως ἐπαιρόμεθα· οὐδὲ τοῦ προηγουμένου μὴ ὄντος ἀγαθοῦ, τὸ ἐπιγέννημα ἀγαθὸν εἶναι. Ἵνα γὰρ εὔλογον ᾖ τὸ ἐπιγέννημα, τὸ προηγούμενον δεῖ ἀγαθὸν εἶναι. (8) Ἀλλ' οὐ μὴ εἴπητε, φρένας ἔχοντες· ἀνακόλουθα γὰρ ἐρεῖτε καὶ Ἐπικούρῳ καὶ τοῖς ἄλλοις δμῶν δόγμασιν. (9) Ὑπολείπεται λοιπὸν, ἐπὶ τοῖς σωματικοῖς ἥδεσθαι τὴν κατὰ ψυχὴν ἡδονήν· πάλιν ἵν' ἐκεῖνα γένηται προηγούμενα, καὶ οὐσία τοῦ ἀγαθοῦ.

10. Διὰ τοῦτο ἀφρόνως ἐποίησε Μάξιμος, εἰ δι' ἄλλο τι ἔπλευσεν ἢ διὰ τὴν σάρκα, τοῦτ' ἔστι, διὰ τὸ κράτιστον. (11) Ἀφρόνως δὲ ποιεῖ καὶ εἰ ἀπέχεται τῶν ἀλλοτρίων, δικαστὴς ὢν καὶ δυνάμενος λαμβάνειν. Ἀλλ', ἄν σοι δόξῃ, ἐκεῖνο μόνον σκεπτώμεθα, ἵνα κεκρυμμένως, ἵνα ἀσφαλῶς, ἵνα μή τις γνῷ. (12) Τὸ γὰρ κλέψαι οὐδ' αὐτὸς ὁ Ἐπίκουρος ἀποφαίνει κακὸν, ἀλλὰ τὸ ἐμπεσεῖν· καὶ ὅτι πίστιν περὶ τοῦ λαθεῖν λαβεῖν ἀδύνατον, διὰ τοῦτο λέγει, Μὴ κλέπτετε. (13) Ἀλλ' ἐγώ σοι λέγω ὅτι, ἐὰν κομψῶς καὶ περιεσταλμένως γένηται, λησόμεθα. Εἶτα καὶ φίλους ἐν τῇ Ῥώμῃ ἔχομεν δυνατοὺς, καὶ φίλας, καὶ οἱ Ἕλληνες ἀδρανεῖς εἰσιν· οὐδεὶς τολμήσει ἀναβῆναι τούτου ἕνεκα. (14) Τί ἀπέχῃ τοῦ ἰδίου ἀγαθοῦ; Ἄφρον ἐστὶ τοῦτο, ἠλίθιόν ἐστιν. Ἀλλ' οὐδ', ἂν λέγῃς μοι ὅτι ἀπέχῃ, πιστεύσω σοι. (15) Ὡς γὰρ ἀδύνατόν ἐστι τῷ ψευδεῖ φαινομένῳ συγκαταθέσθαι, καὶ ἀπὸ ἀληθοῦς ἀπονεῦσαι· οὕτως ἀδύνατόν ἐστι τοῦ φαινομένου ἀγαθοῦ ἀποστῆναι. Ὁ πλοῦτος δ' ἀγαθὸν, καὶ τὸ ποιητικώτατόν γε τῶν ἡδονῶν. Διὰ τί μὴ περιποιήσῃ αὐτόν; (16) Διὰ τί δὲ μὴ τὴν τοῦ γείτονος γυναῖκα διαφθείρωμεν, ἂν δυνώμεθα λαθεῖν; ἂν δὲ φλυαρῇ ὁ ἀνὴρ, καὶ αὐτὸν προσεκτραχηλίσωμεν; (17) Εἰ θέλεις εἶναι φιλόσοφος οἷος δεῖ, εἴ γε τέλειος, εἰ ἀκολουθῶν σου τοῖς δόγμασιν· εἰ δὲ μὴ, οὐδὲν διοίσεις ἡμῶν τῶν λεγομένων Στωϊκῶν· καὶ αὐτοὶ γὰρ ἄλλα λέγομεν, ἄλλα δὲ ποιοῦμεν. (18) Ἡμεῖς λέγομεν τὰ καλὰ, ποιοῦμεν τὰ αἰσχρά· σὺ τὴν ἐναντίαν διαστροφὴν ἔσῃ διεστραμμένος, δογματίζων τὰ αἰσχρὰ, ποιῶν τὰ καλά.

19. Τὸν θεόν σοι, ἐπινοεῖς Ἐπικουρείων πόλιν; Ἐγὼ οὐ γαμῶ. Οὐδ' ἐγώ· οὐ γὰρ γαμητέον. Ἀλλ' οὐδὲ παιδοποιητέον· ἀλλ' οὐδὲ πολιτευτέον. Τί οὖν γένηται; πόθεν οἱ πολῖται; τίς αὐτοὺς παιδεύσει; τίς ἐφήβαρχος; τις γυμνασίαρχος; τί δὲ καὶ παιδεύσει αὐτούς; ἃ Λακεδαιμόνιοι ἐπαιδεύοντο, ἢ ἃ Ἀθηναῖοι; (20) Λάβε μοι νέον, ἄγαγε κατὰ τὰ δόγματά σου. Πονηρά ἐστι τὰ δόγματα, ἀνατρεπτικὰ πόλεως, λυμαντικὰ οἴκων, οὐδὲ γυναιξὶ πρέποντα. (21) Ἄφες ταῦτ', ἄνθρωπε· ζῇς ἐν ἡγεμονευούσῃ πόλει· ἄρχειν σε δεῖ, κρίνειν δικαίως, ἀπέχεσθαι τῶν ἀλλοτρίων, σοὶ καλὴν γυναῖκα φαίνεσθαι μηδεμίαν ἢ τὴν σὴν, καλὸν παῖδα μηδένα, καλὸν ἀργύρωμα μηδὲν, χρύσωμα μηδέν. (22) Τούτοις σύμ-

(7) Qua ergo ex re ista animi delectatio orietur? nam si e rebus ad animum pertinentibus, in his inventa est natura boni : neque enim aliud potest esse bonum, et aliud illud quo consentaneum sit lætari : neque, si id quod antecedit bonum non sit, illud quod sequitur bonum esse potest; ut enim propago probabilis sit, stirpem ipsam esse bonam oportet. (8) At vero vos istud, sani si sitis, nequaquam dicetis : neque enim ista cum Epicuro reliquisque vestris decretis consentiunt. (9) Reliquum ergo est, ut animi delectatio e rebus corporeis oriatur, illæque rursus primum locum teneant, et boni habeant naturam.

10. Quapropter stulte fecit Maximus, si ob quidquam aliud, nisi propter carnem, navigavit, hoc est, propter præstantissimum. (11) Insipienter item facit, qui rebus alienis abstinet, si sit judex, easque accipere possit : sed, si placet, illud modo videamus, ut occulte, ut tuto, ut nemine resciscente. (12) Nam furtum ne ipse quidem Epicurus malum esse pronunciat, sed deprehendi : et, quia fidem tibi dare nemo potest fore ut lateas, idcirco furari vetat. (13) At ego tibi affirmo, si solerter et caute fiat, fore ut lateamus. Deinde amicos Romæ potentes habemus, et amicas : et Græci imbecilles sunt; nemo hujus rei caussa eo proficisci audebit. (14) Quid bono tuo abstines? Vecordiæ atque amentiæ istud est. Neque vero, si te abstinere dixeris, mihi persuadebis. (15) Nam quemadmodum fieri nequit ut ei quod falsum videatur, assentiamur et veritatem aversemur; sic fieri non potest ut ab eo quod bonum putes, desciscas. Divitiæ autem sunt bonum, et ad conficiendas voluptates paratissimæ. Cur eas tibi non parares? (16) Cur autem vicini uxorem non corrumpamus, si clam id facere liceat? quodsi maritus ejus nugas egerit, quidni illum etiam supinum præcipitabimus? (17) Si philosophus esse vis, qualem esse decet; si perfectus, si tibi ipsi consentiens, *utique hæc facies* : sin minus, nihil differes a nobis qui Stoici appellamur; nam et ipsi alia dicimus, alia facimus. (18) Nos honesta loquimur; facimus turpia : tu vero contraria ratione perversus eris : decreta tua turpia erunt, facta honesta.

19. Per deos, civitatem Epicureorum animo tibi fingis? « Ego uxorem non duco. Nec ego : neque enim contrahendum est matrimonium. Neque vero procreandi liberi, ac « ne respublica quidem capessenda. » Quid autem consequens erit? unde erunt cives? quis eos instituet? quis erit adolescentiæ præfectus? quis gymnasiarcha? quid vero etiam docuerit eos institutor? eane quæ Lacedæmone, an quæ Athenis tradebantur? (20) Cape adolescentem; educa secundum decreta tua. Improba sunt decreta, ad evertendam rempublicam comparata, perniciosa familiis, ne mulieribus quidem decora. (21) Omitte ista, homo : in principe civitate vivis; sunt tibi gerendi magistratus; est juste judicandum; est abstinendum alieno; nulla tibi mulier, præter tuam, formosa videri debet, nullus puer, nullum vas argenteum, nullum aureum. (22) His consentanea decreta quærito;

νωνα δόγματα ζήτησον, ἀφ' ὧν ὁρμώμενος ἡδέως ἀφέξῃ πραγμάτων οὕτω πιθανῶν πρὸς τὸ ἀγαγεῖν καὶ νικῆσαι. (23) Ἂν δὲ πρὸς τῇ πιθανότητι τῇ ἐκείνων, καὶ φιλοσοφίαν τινά ποτε ταύτην ἐξευρηκότες ὦμεν, συνεπωθοῦσαν ἡμᾶς ἐπ' αὐτὰ καὶ ἐπιῤῥωννύουσαν, τί ἂν γένηται; (24) Ἐν τορεύματι τί κράτιστόν ἐστιν; ὁ ἄργυρος, ἢ ἡ τέχνη; Χειρὸς οὐσία μὲν ἡ σάρξ· προηγούμενα δὲ, τὰ χειρὸς ἔργα. (25) Οὐκοῦν καὶ καθήκοντα τρισσά· τὰ μὲν, πρὸς τὸ εἶναι· τὰ δὲ, πρὸς τὸ ποιὰ εἶναι· τὰ δ' αὐτὰ τὰ προηγούμενα. Οὕτω καὶ ἀνθρώπου οὐ τὴν ὕλην δεῖ τιμᾶν, τὰ σαρκίδια, ἀλλὰ τὰ προηγούμενα. (26) Τίνα ἐστὶ ταῦτα; Πολιτεύεσθαι, γαμεῖν, παιδοποιεῖσθαι, θεὸν σέβειν, γονέων ἐπιμελεῖσθαι, καθόλου, ὀρέγεσθαι, ἐκκλίνειν, ὁρμᾶν, ἀφορμᾶν, ὡς ἕκαστον τούτων δεῖ ποιεῖν, ὡς πεφύκαμεν. (27) Πεφύκαμεν δὲ πῶς; Ὡς ἐλεύθεροι, ὡς γενναῖοι, ὡς αἰδήμονες. Ποῖον γὰρ ἄλλο ζῷον ἐρυθριᾷ; ποῖον γὰρ ἄλλο αἰσχροῦ φαντασίαν λαμβάνει; (28) Τὴν δ' ἡδονὴν ὑποτάξαι τούτοις ὡς διάκονον, ὡς ὑπηρέτιν, ἵνα προθυμίας ἐκκαλέσηται, ἵν' ἐν τοῖς κατὰ φύσιν ἔργοις παρακρατῇ.

29. Ἀλλ' ἐγὼ πλούσιός εἰμι, καὶ οὐδενὸς χρεία μοι ἐστί. Τί οὖν ἔτι προσποιῇ φιλοσοφεῖν; ἀρκεῖ τὰ χρυσώματα καὶ τὰ ἀργυρώματα· τίς σοι χρεία δογμάτων; (30) Ἀλλὰ καὶ κριτής εἰμι τῶν Ἑλλήνων. Οἶδας κρίνειν; τίς σε ἐποίησεν εἰδέναι; Καῖσάρ μοι κωδίκελλον ἔγραψε. (31) Γραψάτω σοι, ἵνα κρίνῃς περὶ τῶν μουσικῶν, καὶ τί σοι ὄφελος; Ὅμως δὲ πῶς κριτὴς ἐγένου; τὴν τίνος χεῖρα καταφιλήσας; τὴν Συμφόρου, ἢ τὴν τοῦ Νουμηνίου; τίνος πρὸ τοῦ κοιτῶνος κοιμηθείς; τίνι πέμψας δῶρα; εἶτα οὐκ αἰσθάνῃ, ὅτι τοσούτου ἄξιόν ἐστι κριτὴν εἶναι ὅσου Νουμήνιος; (32) Ἀλλὰ δύναμαι, ὃν θέλω, εἰς φυλακὴν βαλεῖν. Ὡς λίθον. Ἀλλὰ δύναμαι ξυλοκοπῆσαι ὃν θέλω. Ὡς ὄνον. (33) Οὐκ ἔστι τοῦτο ἀνθρώπων ἀρχή. Ὡς λογικῶν ἡμῶν ἄρξον· δείκνυε ἡμῖν τὰ συμφέροντα, καὶ ἀκολουθήσομεν· δείκνυε τὰ ἀσύμφορα, καὶ ἀποστραφησόμεθα. (34) Ζηλωτὰς ἡμᾶς κατασκεύασον σεαυτοῦ, ὡς Σωκράτης ἑαυτοῦ. Ἐκεῖνος ἦν ὁ ὡς ἀνθρώπων ἄρχων, ὁ κατεσκευακὼς ὑποτεταχότας αὐτῷ τὴν ὄρεξιν τὴν αὐτῶν, τὴν ἔκκλισιν, τὴν ὁρμὴν, τὴν ἀφορμήν. (35) Τοῦτο ποίησον, τοῦτο μὴ ποιήσῃς· εἰ δὲ μὴ, εἰς φυλακήν σε βαλῶ. Οὐκέτι ὡς λογικῶν ἡ ἀρχὴ γίνεται. (36) Ἀλλ', Ὡς ὁ Ζεὺς διέταξε, τοῦτο ποίησον· ἂν δὲ μὴ ποιήσῃς, ζημιωθήσῃ, βλαβήσῃ. Ποίαν βλάβην; Ἄλλην οὐδεμίαν, ἀλλὰ τὸ μὴ ποιῆσαι ἃ δεῖ· ἀπολέσεις τὸν πιστὸν, τὸν αἰδήμονα, τὸν κόσμιον. Τούτων ἄλλας βλάβας μείζονας μὴ ζήτει.

ΚΕΦ. Η'.

Πῶς πρὸς τὰς φαντασίας γυμναστέον.

1. Ὡς πρὸς τὰ ἐρωτήματα τὰ σοφιστικὰ γυμναζόμεθα, οὕτω καὶ πρὸς τὰς φαντασίας καθ' ἡμέραν ἔδει γυμνάζεσθαι· προτείνουσι γὰρ ἡμῖν καὶ αὗται ἐρωτήματα. (2) Ὁ υἱὸς ἀπέθανε τοῦ δεῖνος. Ἀπόκριναι,

quibus instructus, libenter illis rebus abstineas, quæ tam aptæ sunt ad alliciendum subjugandumque. (23) Si vero, præter ipsarum rerum illecebras, talem etiam doctrinam excogitaverimus, quæ nos ad illas simul impellat et robur addat; quid fiet? (24) In cælato vase utrum præstantius est? argentum, an ars? Manus quidem substantia caro est; principalia vero sunt manus opera. (25) Ergo et officia triplicia sunt : alia, quæ pertinent ad esse; alia ad certo modo esse; alia denique ipsa principalia. Ita et in homine non materiam, id est carnem, magni facere oportet, sed principalia. (26) Quæ sunt ista? Rempublicam gerere, uxorem ducere, procreare liberos, deum colere, parentes curare; omnino, expetere, aversari, impetum ad agendum capere aut retinere, prout horum quidque faciendum est, utque natura fert nostra. (27) Quid autem fert nostra natura? Ut liberi simus, ut strenui, ut verecundi. Quod enim aliud animal erubescit? quod aliud turpitudinis notionem capit? (28) Voluptas vero principalibus istis subjicienda est, tamquam ministra, tamquam famula, ut alacritatem provocet, ut in factis naturæ consentaneis nos contineat.

29. « Verum ego dives sum : nec ulla re egeo. » Quid ergo adhuc philosophiam affectas? Satis tibi sunt aurea atque argentea vasa: quid tibi opus est decretis? (30) « Immo et judex sum Græcorum. » Nosti judicare? unde scientiam eam consecutus es? Cæsar mihi codicillum scripsit. (31) Scribat tibi, ut de rebus musicis judices; quem inde fructum capies? Tamen quo pacto judex evasisti? cujus manum osculatus es? Symphori, aut Numenii? ante cujus thalamum obdormivisti? cui munera misisti? Et deinde non animadvertis tanti esse munus judicis, quanti est Numenius? (32) « At, quem voluero, in carcerem possum conjicere. » Nempe veluti saxum. « Possum fustibus cædere. » Nempe sicut asinum. (33) Non est illud imperium in homines. Sic impera nobis, tamquam ratione præditis : ostende nobis quid expediat, et sequemur; ostende quæ sint noxia et ea aversabimur. (34) Fac tui imitatores simus; quemadmodum Socrates alios sui imitatores fecit. Is erat qui tamquam hominibus imperavit, qui effecit ut illi appetitus suos, aversationes, impetus ad agendum, et declinationes, ipsi submitterent. (35) Hoc facito, hoc ne facito; alioqui in carcerem te conjiciam! Sic non jam tamquam hominibus imperatur. (36) Immo, Ut Jupiter ordinavit, ita facito : si non feceris, mulctaberis, damnum facies. Quale damnum? Nullum aliud, nisi quod officio defueris : amittes fidem, verecundiam, modestiam. His alia majora damna quærere noli.

CAP. VIII.

Quomodo adversus visa exerceri debeamus.

1. Quemadmodum adversus quæstiones sophisticas exercemur; ita etiam contra visa quotidie nos exercere debebamus : nam et hæc ipsa quæstiones nobis proponunt. (2) Illius filius obiit. Responde : Non in hominis voluntate est po-

ἀπροαίρετον, οὐ κακόν. Ὁ πατὴρ τὸν δεῖνα ἀποκληρονόμον ἀπέλιπε. Τί σοι δοκεῖ; Ἀπροαίρετον, οὐ κακόν. (3) Καῖσαρ αὐτὸν κατέκρινεν. Ἀπροαίρετον, οὐ κακόν. Ἐλυπήθη ἐπὶ τούτοις. Προαιρετικὸν, κακόν. Γενναίως ὑπέμεινε. Προαιρετικὸν, ἀγαθόν. (4) Κἂν οὕτως ἐθιζώμεθα, προκόψομεν· οὐδέποτε γὰρ ἄλλῳ συγκαταθησόμεθα, ἢ οὗ φαντασία καταληπτικὴ γίνεται. (5) Ὁ υἱὸς ἀπέθανε. Τί ἐγένετο; Ὁ υἱὸς ἀπέθανεν. Ἄλλο οὐδέν; Οὐδέν. Τὸ πλοῖον ἀπώλετο. Τί ἐγένετο; Τὸ πλοῖον ἀπώλετο. Εἰς φυλακὴν ἀπήχθη. Τί γέγονεν; Εἰς φυλακὴν ἀπήχθη. Τὸ δ', ὅτι κακῶς πέπραχεν, ἐξ αὐτοῦ ἕκαστος προστίθησιν. (6) Ἀλλ' οὐκ ὀρθῶς ταῦτα ὁ Ζεὺς ποιεῖ. Διὰ τί; ὅτι σε ὑπομενητικὸν ἐποίησεν; ὅτι μεγαλόψυχον; ὅτι ἀφεῖλεν αὐτῶν τὸ εἶναι κακά; ὅτι ἔξεστί σοι, πάσχοντα ταῦτα εὐδαιμονεῖν; ὅτι σοι τὴν θύραν ἤνοιξεν, ὅταν σοι μὴ ποιῇ; Ἄνθρωπε, ἔξελθε, καὶ μὴ ἐγκάλει.

7. Πῶς ἔχουσι Ῥωμαῖοι πρὸς φιλοσόφους ἂν θέλῃς γνῶναι, ἄκουσον. Ἰταλικὸς ὁ μάλιστα δοκῶν αὐτῶν φιλόσοφος εἶναι, παρόντος ποτέ μου χαλεπήνας τοῖς ἰδίοις, ὡς ἀνήκεστα πάσχων, Οὐ δύναμαι, ἔφη, φέρειν· ἀπόλλυτέ με· ποιήσετέ με τοιοῦτον γενέσθαι· δείξας ἐμέ.

ΚΕΦ. Θ'.

Πρός τινα ῥήτορα ἀνιόντα εἰς Ῥώμην ἐπὶ δίκῃ.

1. Εἰσελθόντος δέ τινος πρὸς αὐτὸν, ὃς εἰς Ῥώμην ἀνῄει δίκην ἔχων περὶ τιμῆς τῆς αὑτοῦ, πυθόμενος τὴν αἰτίαν δι' ἣν ἄνεισιν, ἐπερωτήσαντος ἐκείνου τίνα γνώμην ἔχει περὶ τοῦ πράγματος, (2) Εἴ μου πυνθάνῃ, τί πράξεις ἐν Ῥώμῃ, φησὶ, πότερον κατορθώσεις ἢ ἀποτεύξῃ, θεώρημα πρὸς τοῦτο οὐκ ἔχω· εἰ δέ μου πυνθάνῃ πῶς πράξεις, τοῦτο εἰπεῖν, ὅτι εἰ μὲν ὀρθὰ δόγματα ἔχεις, καλῶς· εἰ δὲ φαῦλα, κακῶς. Παντὶ γὰρ αἴτιον τοῦ πράσσειν τι, δόγμα. (3) Τί γάρ ἐστι, δι' ὃ ἐπεθύμησας προστάτης χειροτονηθῆναι Κνωσίων; Τὸ δόγμα. Τί ἐστι, δι' ὃ νῦν ἀνέρχῃ εἰς Ῥώμην; Τὸ δόγμα. Καὶ μετὰ χειμῶνος καὶ κινδύνου καὶ ἀναλωμάτων; Ἀνάγκη γάρ ἐστι. Τίς σοι λέγει τοῦτο; Τὸ δόγμα. (4) Οὐκοῦν εἰ πάντων αἴτια τὰ δόγματα, φαῦλα δέ τις ἔχει δόγματα, οἷον ἂν ᾖ τὸ αἴτιον, τοιοῦτον καὶ τὸ ἀποτελούμενον. (5) Ἆρ' οὖν πάντες ἔχομεν ὑγιῆ δόγματα, καὶ σὺ καὶ ὁ ἀντίδικός σου; Καὶ πῶς διαφέρεσθε; Ἀλλὰ σὺ μᾶλλον ἢ ἐκεῖνος; Διὰ τί; Δοκεῖ σοι. Κἀκείνῳ, καὶ τοῖς μαινομένοις. (6) Τοῦτο πονηρὸν κριτήριον. Ἀλλὰ δεῖξόν μοι, ὅτι ἐπίσκεψίν τινα καὶ ἐπιμέλειαν πεποίησαι τῶν σαυτοῦ δογμάτων. Καὶ, ὡς νῦν εἰς Ῥώμην πλεῖς ἐπὶ τῷ προστάτης εἶναι Κνωσίων, καὶ οὐκ ἐξαρκεῖ σοι μένειν ἐν οἴκῳ τὰς τιμὰς ἔχοντι ἃς εἶχες, ἀλλὰ μείζονός τινος ἐπιθυμεῖς καὶ ἐπιφανεστέρου· πότε οὕτως ἔπλευσας ὑπὲρ τοῦ τὰ δόγματα ἐπισκέψασθαι τὰ σαυτοῦ, καὶ, εἴ τι φαῦλον ἔχεις, ἐκβαλεῖν; (7) Τίνι προσελήλυθας τούτου ἕνεκα; ποῖον χρόνον ἐπέταξας σαυτῷ; ποίαν

situm; malum non est. Pater illum exhæredavit: quid tibi videtur? Involuntarium est; ergo non malum. (3) Cæsar eum condemnavit. Involuntarium; non malum. Rem illam ægre tulit. Hoc in ejus arbitrio erat positum; malum est. Fortiter tulit. In voluntate hoc est positum; bonum est. (4) His si assueverimus, proficiemus: neque enim umquam alii rei assentiemur, nisi ei quam ipsum visum perspicue renunciat. (5) Filius obiit. Quid factum est? Filius obiit. Aliud nihil? Nihil. Navigium periit. Quid accidit? Navigium periit. In carcerem ductus est. Quid accidit? In carcerem ductus est. Illud autem de suo quisque addit, in malo eum esse. (6) At non recte ista Jupiter facit! Cur? quod te tolerantem fecit? quod magnanimum? quod providit ne quid mali illis rebus inesset? quod tibi, quamvis ista patiaris, beato esse licet? quod tibi fores aperuit, si ista non placent? Homo, exi: accusare autem noli.

7. Si scire vis, quemadmodum Romani erga philosophos affecti sint, audi. Italicus, qui inter eos in primis philosophus habetur, aliquando me præsente suis iratus, ut intolerabili affectus injuria, Ferre, inquit, nequeo: perditis me; facietis me talem, qualis iste est; me demonstrans.

CAP. IX.

Ad rhetorem quemdam, Romam ad judicium proficiscentem.

1. Cum quidam ad eum ingressus esset, Romam profecturus, ubi lis ei in judicio erat de ipsius dignitate; cognita profectionis caussa, illoque sciscitante, quid ea de re sentiret; (2) Si me, inquit, rogas, quid Romæ sis effecturus, sisne caussa casurus, an victor evasurus; quid respondeam non habeo. Sin illud rogas, quomodo sis rem gesturus; illud habeo dicere: Si quidem recta decreta habes, bene; sin prava, male. Nam unumquemque ad aliquid agendum impellit suum aliquod decretum. (3) Quid enim est cur Gnosiorum præfectus designari cupiveras? Decretum. Quid est cur nunc Romam proficisceris? Decretum. Et quidem procelloso mari, cum periculo et sumptibus? « Necessitas enim postulat. » Quis tibi dicit istud? Decretum. (4) Ergo si omnium actionum caussæ decreta sunt, prava autem aliquis decreta habet; qualis caussa fuerit, talis etiam erit effectus. (5) An igitur omnes decreta habemus sana, et tu, et adversarius tuus? Cur ergo disceptatis? At tu magis, quam ille? Cur? Videtur tibi. Etiam illi; etiam furiosis. (6) Prava hæc regula est. Age, ostende mihi, te decreta tua diligenter considerasse et curavisse. Et quemadmodum nunc Romam navigas, quo præfectus Gnosiorum constituaris; nec tibi manere domi visum est, iis honoribus contento, quos habebas, sed majorem aliquem expetis et illustriorem: eodemne modo umquam navigasti, ut decreta tua considerares, et, si quod pravum haberes, id ejiceres? (7) Quem hac de caussa convenisti? quod tibi tempus statuisti?

ἡλικίαν; ἐπελθέ σου τοὺς χρόνους, εἰ ἐμὲ αἰσχύνῃ, αὐτὸς πρὸς αὐτόν. (8) Ὅτε παῖς ἦς, ἐξήταζες τὰ σαυτοῦ δόγματα; οὐχὶ δ' ὡς πάντα ποιεῖς, ἐποίεις ἃ ἐποίεις; ὅτε δὲ μειράκιον ἤδη, καὶ τῶν ῥητόρων ἤκουες καὶ αὐτὸς ἐμελέτας, τί σοι λείπειν ἐφαντάζου; (9) Ὅτε δὲ νεανίσκος, καὶ ἤδη ἐπολιτεύου, καὶ δίκας αὐτὸς ἔλεγες, καὶ εὐδοκίμεις, τίς σοι ἔτι ἴσος ἐφαίνετο; ποῦ δ' ἂν ἠνέσχου ὑπό τινος ἐξεταζόμενος, ὅτι πονηρὰ ἔχεις δόγματα; Τί οὖν σοι θέλεις εἴπω; (10) Βοήθησόν μοι εἰς τὸ πρᾶγμα. Οὐκ ἔχω πρὸς τοῦτο θεωρήματα· οὐδὲ σὺ, εἰ τούτου ἕνεκα ἐλήλυθας πρὸς ἐμὲ, ὡς πρὸς φιλόσοφον ἐλήλυθας, ἀλλ' ὡς πρὸς λαχανοπώλην, ἀλλ' ὡς πρὸς σκυτέα. (11) Πρὸς τί οὖν ἔχουσιν οἱ φιλόσοφοι θεωρήματα; Πρὸς τοῦτο, ὅ τι ἂν ἀποβῇ, τὸ ἡγεμονικὸν ἡμῶν κατὰ φύσιν ἔχειν καὶ διεξάγειν. Μικρόν σοι δοκεῖ τοῦτο; Οὔ· ἀλλὰ τὸ μέγιστον. Τί οὖν; ὀλίγου χρόνου χρείαν ἔχει; καὶ ἔστι παρερχόμενον αὐτὸ λαβεῖν; Εἰ δύνασαι, λάμβανε.

12. Εἶτ' ἐρεῖς, Συνέβαλον Ἐπικτήτῳ ὡς λίθῳ, ὡς ἀνδριάντι. Εἶδες γάρ με, καὶ πλέον οὐδέν. Ἀνθρώπῳ δ' ὡς ἀνθρώπῳ συμβάλλει ὁ τὰ δόγματα αὐτοῦ καταμανθάνων, καὶ ἐν τῷ μέρει τὰ ἴδια δεικνύων. (13) Κατάμαθέ μου τὰ δόγματα, δεῖξόν μοι τὰ σά· καὶ οὕτω λέγε συμβεβληκέναι μοι. Ἐλέγξωμεν ἀλλήλους· εἴ τι ἔχω κακὸν δόγμα, ἄφελε αὐτό· εἴ τι ἔχεις, θὲς εἰς τὸ μέσον. Τοῦτό ἐστι φιλοσόφῳ συμβάλλειν. (14) Οὔκ· ἀλλὰ πάροδός ἐστι, καὶ, ἕως τὸ πλοῖον μισθούμεθα, δυνάμεθα καὶ Ἐπίκτητον ἰδεῖν. Ἴδωμεν τί ποτε λέγει. Εἶτ' ἐξελθὼν, Οὐδὲν ἦν ὁ Ἐπίκτητος, ἐσολοίκιζεν, ἐβαρβάριζε. Τίνος γὰρ ἄλλου κριταὶ εἰσέρχεσθε; (15) Ἀλλ' ἂν πρὸς τούτοις, φησὶν, ὦ, ἀγρὸν οὐχ ἕξω, ὡς οὐδὲ σύ· ποτήρια ἀργυρᾶ οὐχ ἕξω, ὡς οὐδὲ σύ· κτήνη καλὰ, ὡς οὐδὲ σύ. (16) Πρὸς ταῦτα ἴσως ἀρκεῖ ἐκεῖνο εἰπεῖν, ὅτι Ἀλλὰ χρείαν αὐτῶν οὐκ ἔχω· σὺ δ', ἂν πολλὰ κτήσῃ, ἄλλων χρείαν ἕξεις· θέλεις, οὐ θέλεις, πτωχότερός μου εἶ. (17) Τίνος οὖν ἔχω χρείαν; Τοῦ σοὶ μὴ παρόντος· τοῦ εὐσταθεῖν, τοῦ κατὰ φύσιν ἔχειν τὴν διάνοιαν, τοῦ μὴ ταράσσεσθαι. (18) Πάτρων, οὐ πάτρων, τί μοι μέλει; σοὶ μέλει. Πλουσιώτερός σου εἰμί· οὐκ ἀγωνιῶ τί φρονήσει περὶ ἐμοῦ ὁ Καῖσαρ· οὐδένα κολακεύω τούτου ἕνεκα. Ταῦτα ἔχω ἀντὶ τῶν ἀργυρωμάτων, ἀντὶ τῶν χρυσωμάτων. Σὺ χρυσᾶ σκεύη· ὀστράκινον τὸν λόγον, τὰ δόγματα, τὰς συγκαταθέσεις, τὰς ὁρμὰς, τὰς ὀρέξεις. (19) Ὅταν δὲ ταῦτα ἔχω κατὰ φύσιν, διὰ τί μὴ φιλοτεχνήσω καὶ περὶ τὸν λόγον; εὐσχολῶ γάρ· οὐ περισπᾶταί μου ἡ διάνοια. Τί ποιήσω μὴ περισπώμενος; τούτου τί ἀνθρωπικώτερον ἔχω; (20) Ὑμεῖς, ὅταν μηδὲν ἔχητε, ταράσσεσθε, εἰς θέατρον εἰσέρχεσθε, ἢ ἀλύετε· διὰ τί ὁ φιλόσοφος μὴ ἐξεργάσηται τὸν αὐτοῦ λόγον; (21) Σὺ κρυστάλλινα, ἐγὼ τὰ τοῦ ψευδομένου· σὺ μούρρινα, ἐγὼ τὰ τοῦ ἀποφάσκοντος. Σοὶ πάντα μικρὰ φαίνεται ἃ ἔχεις, ἐμοὶ τὰ ἐμὰ πάντα μεγάλα· ἀπλήρωτός σου ἐστὶν ἡ ἐπιθυμία, ἡ ἐμὴ πεπλήρωται. (22) Παιδίοις εἰς στενόβρογχον

quam ætatem? percurre diversa tempora, si me vereris, ipse apud te. (8) Num, puer cum esses, decreta tua examinabas? nonne vero, ut nunc omnia facis, ita tunc ea faciebas quæ faciebas? Cum vero jam adolescens esses, et rhetores audires, et ipse declamares, quid tibi deesse putabas? (9) Cum vero juvenis, et jam rempublicam attigisses, et caussas ipse ageres, et fama fruereris, quis tibi jam similis videbatur? num tulisses quemquam decreta tua scrutantem et prava arguentem? Quid ergo tibi vis dicam? (10) Adjuva me in hoc negotio. Non habeo ad istam rem ulla præcepta : neque tu, si hac gratia me convenisti, ut philosophum adiisti, sed ut olitorem, ut cerdonem. (11) Ad quid ergo philosophi præcepta habent? Ad hoc, ut, quidquid evenerit, mens et ratio nostra naturæ convenienter se habeat perseveretque. Parvumne hoc tibi videtur? Non; immo vero maximum. Quid ergo? brevene tempus ea res postulat? et in transcursu capi potest? Si potes, cape.

12. Deinde dices : Congressus sum cum Epicteto, tamquam cum lapide, tamquam cum statua. Vidisti enim me, prætereaque nihil. Cum homine vero ut cum homine congreditur, qui decreta illius pervestigat, vicissimque sua demonstrat. (13) Cognosce decreta mea; ostende mihi tua : tum dicito te mecum esse congressum. Alter alterum arguamus : si quod habeo pravum dogma, eripe illud : si quod habes tu, affer in medium. Hoc est cum philosopho congredi. (14) Non; sed transcursus hic est, et, dum navem conducamus, Epictetum etiam videre possumus. Videamus quidnam dicat? Deinde egressus, Nihil, inquis, erat Epictetus : solœce ac barbare loquebatur. Cujus enim alterius rei judices adestis? (15) At si istis rebus, inquit, operam dabo, agrum non habebo, sicut nec tu; neque argentea pocula, sicut nec tu; neque jumenta pulcra, sicut nec tu. (16) Ad ista fortassis illud dicere satis est, Ego istis non egeo : tu, cum multa paraveris, aliis indiges : velis, nolis, pauperior me es. (17) Quo ergo egeo? Eo quo tu cares : constantia, animi consensione cum natura, vacuitate perturbationum. (18) Sive patronus mihi sit, sive non sit, quid ego id curo? tu curas. Ditior ego sum te : non sollicitus sum quid de me sentiat Cæsar; ea de caussa nemini adulor. Hæc ego habeo pro tuis argenteis et aureis vasis. Tibi aurea vasa sunt; sed fictilis ratio, fictilia decreta, assensiones, impetus, appetitiones. (19) Hæc si habuero naturæ consentanea, cur ratiocinandi arti non dem operam? est enim otium; animus meus aliis occupationibus non distrahitur. Quid agam in hac tranquillitate? homine quid dignius, quam hoc, habeo? (20) Vos, cum nihil negotii habetis, perturbati estis, theatrum ingredimini, aut temere oberratis : quidni philosophus expoliendæ rationi suæ daret operam? (21) Tu crystallina vasa tractas; ego mentientem syllogismum : tu murrhina; ego infitiantem. Tibi omnia videntur parva quæ habes; mihi mea omnia magna : inexplebilis est tua cupiditas; mea expleta est. (22) Pueris manum in vas angusti oris inferentibus,

κεράμιον καθιεῖσι τὴν χεῖρα καὶ ἐκφέρουσιν ἰσχαδοκάρυα τοῦτο συμβαίνει, ἂν πληρώσῃ τὴν χεῖρα, ἐξενεγκεῖν οὐ δύναται, εἶτα κλάει. Ἄφες ὀλίγα ἐξ αὐτῶν, καὶ ἐξοίσεις. Καὶ σὺ ἄφες τὴν ὄρεξιν· μὴ πολλῶν ἐπιθύμει, καὶ οἴσεις.

ΚΕΦ. Ι'.

Πῶς δεῖ φέρειν τὰς νόσους.

1. Ἑκάστου δόγματος ὅταν ἡ χρεία παρῇ, πρόχειρον αὐτὸ ἔχειν δεῖ· ἐπ' ἀρίστῳ, τὰ περὶ ἀρίστου· ἐν βαλανείῳ, τὰ τοῦ βαλανείου· ἐν τῇ κοίτῃ, τὰ περὶ τῆς κοίτης·

2. Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων λογίσασθαι ἕκαστα·
3. Πῆ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ τοῦδε ἐπέξιθι· καὶ μετέπειτα,
δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου.

(4) Καὶ τούτους τοὺς στίχους κατέχειν χρηστικῶς, οὐχ ἵνα δι' αὐτῶν ἀναφωνῶμεν, ὡς διὰ τοῦ Παιὰν Ἄπολλον. (5) Πάλιν ἐν πυρετῷ, τὰ πρὸς τοῦτο· μὴ, ἂν πυρέξωμεν, ἀφιέναι πάντα, καὶ ἐπιλανθάνεσθαι. Ἂν ἐγὼ ἔτι φιλοσοφήσω, ὃ θέλει γινέσθω. Ποῦ ποτ' ἀπελθόντα τοῦ σωματίου ἐπιμελεῖσθαί με δεῖ, καὶ πυρετὸς οὐκ ἔρχεται. (6) Τὸ δὲ φιλοσοφῆσαι τί ἐστιν; οὐχὶ παρασκευάσασθαι πρὸς τὰ συμβαίνοντα; Οὐ παρακολουθεῖς οὖν, ὅτι τοιοῦτόν τι λέγεις, Ἂν ἔτι ἐγὼ παρασκευάσωμαι πρὸς τὸ πρᾴως φέρειν τὰ συμβαίνοντα, ὃ θέλει γινέσθω; οἷον εἴ τις, πληγὰς λαβὼν, ἀποσταίη τοῦ παγκρατιάζειν. (7) Ἀλλ' ἐκεῖ μὲν ἔξεστι καταλῦσαι καὶ μὴ δαίρεσθαι· ἐνθάδε δ' ἂν καταλύσωμεν φιλοσοφοῦντες, τί ὄφελος; Τί οὖν δεῖ λέγειν αὐτὸν ἐφ' ἑκάστου τῶν τραχέων; Ὅτι ἕνεκα τούτου ἐγυμναζόμην, ἐπὶ τοῦτο ἤσκουν. (8) Ὁ θεός σοι λέγει, Δός μοι ἀπόδειξιν, εἰ νομίμως ἤθλησας, εἰ ἔφαγες ὅσα δεῖ, εἰ ἐγυμνάσθης, εἰ τοῦ ἀλείπτου ἤκουσας. Εἶτ' ἐπ' αὐτοῦ τοῦ ἔργου καταμαλακίζῃ; Νῦν τοῦ πυρέττειν καιρός ἐστι. Τοῦτο καλῶς γινέσθω· τοῦ διψῆν, δίψα καλῶς· τοῦ πεινῆν, πεῖνα καλῶς. (9) Οὐκ ἔστιν ἐπὶ σοί; τίς σε κωλύσει; Ἀλλὰ πιεῖν μὲν κωλύσει ὁ ἰατρός· καλῶς δὲ διψῆν, οὐ δύναται· καὶ φαγεῖν μὲν κωλύσει· πεινῆν δὲ καλῶς, οὐ δύναται.

10. Ἀλλ' οὐ φιλολογῶ. Τίνος δ' ἕνεκα φιλολογεῖς; ἀνδράποδον, οὐχ ἵνα εὐροῇς; οὐχ ἵνα εὐσταθῇς; οὐχ ἵνα κατὰ φύσιν ἔχῃς καὶ διεξάγῃς; (11) Τί κωλύει πυρέσσοντα κατὰ φύσιν ἔχειν τὸ ἡγεμονικόν; Ἐνθάδ' ὁ ἔλεγχος τοῦ πράγματος, ἡ δοκιμασία τοῦ φιλοσοφοῦντος· μέρος γάρ ἐστι καὶ τοῦτο τοῦ βίου, ὡς περίπατος, ὡς πλοῦς, ὡς ὁδοιπορία, οὕτω καὶ πυρετός. (12) Μή τι περιπατῶν ἀναγινώσκεις; Οὔ. Οὕτως οὐδὲ πυρέσσων. Ἀλλ' ἂν καλῶς περιπατῇς, ἔχεις τὸ τοῦ περιπατοῦντος· ἂν καλῶς πυρέξῃς, ἔχεις τὸ τοῦ πυρέσσοντος. (13) Τί ἐστι καλῶς πυρέσσειν; Μὴ θεὸν μέμψασθαι, μὴ ἄνθρωπον· μὴ θλιβῆναι ὑπὸ τῶν γινο-

ficus mistas nucibus eximentibus, accidit hoc, ut manum plenam extrahere non possint, deinde plorant. Omitte paucas ex iis, et extrahes. Tu quoque omitte appetitionem: noli multa desiderare, et consequeris.

CAP. X.

Quo pacto ferendi sint morbi.

1. Quodlibet decretum, cum opus eo fuerit, in promptu est habendum : quod ad prandium pertinet, in prandio; quod ad balneum, in balneo; quod ad lectum, in lecto :

2. Ne somnum admittas oculis languentibus, ante
quam singillatim perpenderis acta diei :
3. Quid feci? qua lapsus ego? quod debitum omisi?
Principio hinc capto percense singula : deinde,
si mala fecisti, castiga; si bona, gaude.

(4) Hi versus ita sunt tenendi, ut accommodentur ad usum; non ut in exclamando iis utamur, veluti cum dicimus, Pæan Apollo! (5) In febri in promptu sint, quæ eo pertinent : non autem, cum febricitamus, omittenda et obliviscenda omnia. « Quodsi ego posthac philosophatus fuero, « quidvis mihi accidat! Quocumque tandem abeundo cura « gerenda est corporis *potius quam philosophandum* : « atque ita febris non obrepet. » (6) Quid vero est philosophari? annon, parare se ad omnem eventum? Non igitur intelligis, perinde esse ac si dicas : Si adhuc posthac me exercuero ad ferendos æquo animo casus humanos, quidvis fiat? perinde ac si quis, quoniam plagas accepit, a pancratii certamine desistat. (7) Verum illic quidem desistere licet et effugere verbera : hic vero, a philosophia si desciverimus, quæ erit utilitas? Quid ergo illi in qualibet aspera re dicendum est? Hujus rei caussa exercitabar; ad hoc certamen me parabam. (8) Deus demonstrare te jubet, an legitime operam dederis athleticæ, an ederis quantum oportuit, an exercitatus sis, an aliptæ auscultaveris. Deinde in ipso certaminis articulo mollem te præbes? Nunc febricitandi tempus est; hoc recte fiat : sitiendi; recte siti : esuriendi; recte esuri. (9) An non id penes te est? quis te prohibuerit? Ne bibas, prohibebit te medicus; ne autem recte sitias, prohibere non potest : ne edas, te prohibebit; ne autem recte esurias, prohibere non potest.

10. At philosophorum sermonibus non possum vacare. Qua vero de caussa eis vacas? mancipium; nonne ut vitam beatam, ut animi tranquillitatem tibi pares? nonne ut naturæ convenienter te habeas vivasque? (11) Quid autem obstat quominus febricitans mentem tuam serves naturæ convenienter se habentem? Hic arguitur res : hic philosophus exploratur. Febris enim, ut deambulatio, ut navigatio, ut iter, pars quædam vitæ est et ipsa. (12) Num inter deambulandum legis? Non. Sic neque in febri. Sed cum bene deambulas, id tenes quod deambulantis est : cum bene febricitas, id quod febricitantis est, tenes. (13) Quid est bene febricitare? Non deum culpare, non hominem; non excruciari

μένων, εὖ καὶ καλῶς προσδέχεσθαι τὸν θάνατον, ποιεῖν τὰ προστασσόμενα· ὅταν ὁ ἰατρὸς εἰσέρχηται, μὴ φοβεῖσθαι τί εἴπῃ· μηδ', ἂν εἴπῃ, Κομψῶς ἔχεις, ὑπερχαίρειν. Τί γάρ σοι ἀγαθὸν εἶπεν; ὅτε γὰρ ὑγίαινες, τί σοι ἦν ἀγαθόν; (14) Μηδ', ἂν εἴπῃ, κακῶς ἔχεις, ἀθυμεῖν. Τί γάρ ἐστι τὸ κακῶς ἔχειν; ἐγγίζειν τῷ διαλυθῆναι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος; Τί οὖν δεινόν ἐστιν; ἐὰν νῦν μὴ ἐγγίσῃς, ὕστερον οὐκ ἐγγιεῖς; ἀλλὰ ὁ κόσμος μέλλει ἀνατρέπεσθαι, σοῦ ἀποθανόντος; (15) Τί οὖν κολακεύεις τὸν ἰατρόν; τί λέγεις, Ἐὰν σὺ θέλῃς, κύριε, καλῶς ἕξω· τί παρέχεις αὐτῷ ἀφορμὴν τοῦ ἐπᾶραι ὀφρύν; οὐχὶ δὲ τὴν αὐτοῦ ἀξίαν αὐτῷ ἀποδίδως, ὡς σκυτεῖ περὶ τὸν πόδα, ὡς τέκτονι περὶ τὴν οἰκίαν, οὕτω καὶ τῷ ἰατρῷ περὶ τὸ σωμάτιον, τὸ οὐκ ἐμὸν, τὸ φύσει νεκρόν; Τούτων ὁ καιρός ἐστι τῷ πυρέσσοντι· ἂν ταῦτα ἐκπληρώσῃ, ἔχει τὰ αὑτοῦ. (16) Οὐ γάρ ἐστιν ἔργον τοῦ φιλοσόφου, ταῦτα τὰ ἐκτὸς τηρεῖν, οὔτε τὸ οἰνάριον, οὔτε τὸ ἐλάδιον, οὔτε τὸ σωμάτιον, ἀλλὰ τὸ ἴδιον ἡγεμονικόν. Τὰ δ' ἔξω, πῶς; Μέχρι τοῦ μὴ ἀλογίστως κατὰ τοῦτα ἀναστρέφεσθαι. (17) Ποῦ οὖν ἔτι καιρὸς τοῦ φοβεῖσθαι; ποῦ οὖν ἔτι καιρὸς ὀργῆς; ποῦ φόβου περὶ τῶν ἀλλοτρίων, περὶ τῶν μηδενὸς ἀξίων; (18) Δύο γὰρ ταῦτα πρόχειρα ἔχειν δεῖ· ὅτι ἔξω τῆς προαιρέσεως οὐδέν ἐστιν οὔτε ἀγαθὸν, οὔτε κακόν καὶ, ὅτι οὐ δεῖ προηγεῖσθαι τῶν πραγμάτων, ἀλλ' ἐπακολουθεῖν. (19) Οὐκ ἔδει οὕτω μοι προσενεχθῆναι τὸν ἀδελφόν. Οὐκ· ἀλλὰ τοῦτο μὲν ἐκεῖνος ὄψεται· ἐγὼ δ', ὡς ἂν προσενεχθῇ αὐτὸς, ὡς δεῖ χρήσομαι τοῖς πρὸς ἐκεῖνον. (20) Τοῦτο γὰρ ἐμόν ἐστιν, ἐκεῖνο δ' ἀλλότριον· τοῦτο οὐδεὶς κωλῦσαι δύναται, ἐκεῖνο κωλύεται.

ΚΕΦ. ΙΑ'.

Σποράδην τινά.

1. Εἰσί τινες ὡς ἐκ νόμου διατεταγμέναι κολάσεις τοῖς ἀπειθοῦσι τῇ θείᾳ διοικήσει. (2) Ὃς ἂν ἄλλο τι ἡγήσηται ἀγαθὸν παρὰ τὰ προαιρετικὰ, φθονείτω, ἐπιθυμείτω, κολακευέτω, ταρασσέσθω· ὃς ἂν ἄλλο κακὸν, λυπείσθω, πενθείτω, θρηνείτω, δυστυχείτω. (3) Καὶ ὅμως, οὕτω πικρῶς κολαζόμενοι, ἀποστῆναι οὐ δυνάμεθα.

4. Μέμνησο τί λέγει ὁ ποιητὴς περὶ τοῦ ξένου·

Ξεῖν', οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι.

(5) Τοῦτο οὖν καὶ ἐπὶ πατρὸς πρόχειρον ἔχειν· Οὔ μοι θέμις ἔστ', οὐδ' εἰ κακίων σέθεν ἔλθοι, πατέρ' ἀτιμῆσαι· « πρὸς γὰρ Διός εἰσιν ἅπαντες » τοῦ Πατρῴου. (6) Καὶ ἐπ' ἀδελφῷ· « πρὸς γὰρ Διός εἰσιν ἅπαντες » τοῦ Ὁμογνίου. Καὶ οὕτω κατὰ τὰς ἄλλας σχέσεις εὑρήσομεν ἐπόπτην τὸν Δία.

ΚΕΦ. ΙΒ'.

Περὶ ἀσκήσεως.

1. Τὰς ἀσκήσεις οὐ δεῖ διὰ τῶν παρὰ φύσιν καὶ πα-

iis quæ accidunt, recte et pulcre exspectare mortem, agere quæ præscribuntur; cum intrat medicus, non timere quid dicturus sit; nec exsultare lætitia, si te commode habere dixerit. Quid enim boni tibi dixit? nam quando valebas, quid tibi erat bonum? (14) Nec, si te male habere dixerit, animo dejici. Quid enim est male habere? Appropinquare animi segregationi a corpore. Quid ergo in eo mali est? si nunc non appropinquaveris, post non appropinquabis? At nimirum mundus, te mortuo corruet! (15) Quid ergo adularis medico? quid dicis, Si tu voles, domine, bene habebo? quid ei occasionem præbes tollendi supercilii? Quin potius, ut sutorem, quod ad pedem; ut fabrum, quod ad sedes; sic medicum quoque, quod ad corpusculum attinet, quod meum non est, quod natura est mortuum, non pluris facis quam pro merito? Hæc sunt quæ tempus postulat febricitantis : hæc ille si præstiterit, habet quod suum est. (16) Neque enim philosophi munus est externa ista conservare, sive vinum, sive oleum, sive corpusculum; sed suam mentem rationemque. Externa vero quomodo? Eatenus hæc tuenda sunt, ne præter rationem circa ea versemur. (17) Quæ cum ita sint, quæ porro caussa est timoris? quæ caussa iracundiæ? quæ sollicitudinis de alienis? de nullius pretii rebus? (18) Hæc enim duo in promptu esse debent : præter voluntatem, nihil vel bonum esse, vel malum; et, non præeundum esse rebus, sed sequendas esse res. (19) Non ita me tractare debuit frater! Non : verum hoc quidem illi curæ erit; ego vero, utcumque ille me tractarit, cum eo sic agam ut officium postulat. (20) Hoc enim meum est, illud alienum; hoc prohibere nemo potest, illud prohibetur.

CAP. XI.

Miscellanea quædam.

1. Sunt quædam pœnæ quasi lege constitutæ iis qui divinæ gubernationi refragantur. (2) Qui aliud quiddam præter voluntaria bonum judicarit; is invideat, concupiscat, aduletur, perturbetur : qui aliud malum judicarit; is doleat, lugeat, ejulet, sit infelix. (3) Quamvis autem tam acerbe mulctemur, desistere tamen non possumus.

4. Memento quid Poeta de hospite dicat,

Non mihi fas, etsi pejor te venerit, hospes,

indigne tractare. (5) Idem etiam de patre in promptu sit : Mihi fas non fuerit, etiamsi pejor te venerit, patrem indigne tractare : « namque omnes sunt ab Jove, » patrum præside. (6) Et de fratre : « namque omnes sunt ab Jove, » fratrum præside. Eodemque modo Jovem aliarum quoque necessitudinum inspectorem inveniemus.

CAP. XII.

De exercitatione.

1. Exercitationes neque contra naturam, neque in rebus

ραδόξων ποιεῖσθαι· ἐπεί τοι τῶν θαυματοποιῶν οὐδὲν διοίσομεν οἱ λέγοντες φιλοσοφεῖν. (2) Δύσκολον γάρ ἐστι καὶ τὸ ἐπὶ σχοινίου περιπατεῖν· καὶ οὐ μόνον δύσκολον, ἀλλὰ καὶ ἐπικίνδυνον. Τούτου ἕνεκα δεῖ καὶ ἡμᾶς μελετᾷν ἐπὶ σχοινίου περιπατεῖν, ἢ φοίνικα ἱστάνειν, ἢ ἀνδριάντας περιλαμβάνειν; Οὐδαμῶς. (3) Οὐκ ἔστι τὸ δύσκολον πᾶν καὶ ἐπικίνδυνον, ἐπιτήδειον πρὸς ἄσκησιν· ἀλλὰ τὸ πρόσφορον τῷ προκειμένῳ ἐκπονηθῆναι. (4) Τί δ' ἐστὶ τὸ προκείμενον ἐκπονηθῆναι; Ὀρέξει καὶ ἐκκλίσει ἀκωλύτως ἀναστρέφεσθαι. Τοῦτο δὲ τί ἐστι; Μήτε ὀρεγόμενον ἀποτυγχάνειν, μήτ' ἐκκλίνοντα περιπίπτειν. Πρὸς τοῦτο οὖν καὶ τὴν ἄσκησιν ῥέπειν δεῖ. (5) Ἐπεὶ γὰρ οὐκ ἔστιν ἀναπότευκτον σχεῖν τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν ἀπερίπτωτον ἄνευ μεγάλης καὶ συνεχοῦς ἀσκήσεως, ἴσθι ὅτι, ἐὰν ἔξω ἐάσῃς ἀποστρέφεσθαι αὐτὴν ἐπὶ τὰ ἀπροαίρετα, οὔτε τὴν ὄρεξιν ἐπιτευκτικὴν ἕξεις, οὔτε τὴν ἔκκλισιν ἀπερίπτωτον. (6) Καὶ ἐπεὶ τὸ ἔθος ἰσχυρὸν προηγεῖται, πρὸς μόνα ταῦτα εἰθισμένων ἡμῶν χρῆσθαι ὀρέξει καὶ ἐκκλίσει· δεῖ τῷ ἔθει τούτῳ ἐναντίον ἔθος ἀντιθεῖναι, καὶ ὅπου ὁ πολὺς ὄλισθος τῶν φαντασιῶν, ἐκεῖ ἀντιτιθέναι τὸ ἀσκητικόν.

7. Ἑτεροκλινῶς ἔχω πρὸς ἡδονήν· ἀνατοιχήσω ἐπὶ τὸ ἐναντίον ὑπὲρ τὸ μέτρον τῆς ἀσκήσεως ἕνεκα. Ἐκκλιτικῶς ἔχω πόνου· τρίψω μου καὶ γυμνάσω πρὸς τοῦτο τὰς φαντασίας, ὑπὲρ τοῦ ἀποστῆναι τὴν ἔκκλισιν ἀπὸ παντὸς τοῦ τοιούτου. (8) Τίς γάρ ἐστιν ἀσκητής; Ὁ μελετῶν ὀρέξει μὲν μὴ χρῆσθαι, ἐκκλίσει δὲ πρὸς μόνα τὰ προαιρετικὰ χρῆσθαι, καὶ μελετῶν μᾶλλον ἐν τοῖς δυσκαταπονήτοις. Καθ' ὃ καὶ ἄλλῳ πρὸς ἄλλα μᾶλλον ἀσκητέον. (9) Τί οὖν ὧδε ποιεῖ τὸ φοίνικα στῆσαι, ἢ τὸ στέγην δερματίνην καὶ ὅλμον καὶ ὕπερον περιφέρειν; (10) Ἄνθρωπε, ἄσκησον, εἰ γοργὸς εἶ, λοιδορούμενος ἀνέχεσθαι, ἀτιμασθεὶς μὴ ἀχθεσθῆναι. Εἶθ' οὕτω προβήσῃ, ἵνα, κἂν πλήξῃ σέ τις, εἴπῃς αὐτὸς πρὸς αὐτόν, ὅτι Δόξον ἀνδριάντα περιειληφέναι. (11) Εἶτα καὶ οἰναρίῳ κομψῶς χρῆσθαι, μὴ εἰς τὸ πολὺ πίνειν (καὶ γὰρ περὶ τοῦτο ἐπαρίστεροι ἀσκηταί εἰσιν), ἀλλὰ πρῶτον εἰς τὸ ἀποσχέσθαι, καὶ κορασιδίου ἀπέχεσθαι, καὶ πλακουνταρίου. Εἶτά ποτε ὑπὲρ δοκιμασίας, εἰ ἄρα, καθήσεις εὐκαίρως αὐτὸς σαυτόν, ὑπὲρ τοῦ γνῶναι εἰ ὁμοίως ἡττῶσί σε αἱ φαντασίαι. (12) Τὰ πρῶτα δὲ φεῦγε μακρὰν ἀπὸ τῶν ἰσχυροτέρων. Ἄνισος ἡ μάχη κορασιδίῳ κομψῷ πρὸς νέον ἀρχόμενον φιλοσοφεῖν· χύτρα, φασί, καὶ πέτρα οὐ συμφωνεῖ.

13. Μετὰ τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν δεύτερος τόπος ὁ περὶ τὴν ὁρμὴν καὶ ἀφορμήν· ἵν' εὐπειθὴς τῷ λόγῳ, ἵνα μὴ παρὰ καιρὸν, μὴ παρὰ τόπον, μὴ παρὰ ἄλλην τινὰ τοιαύτην συμμετρίαν.

14. Τρίτος ὁ περὶ τὰς συγκαταθέσεις, ὁ πρὸς τὰ πιθανὰ καὶ ἑλκυστικά. (15) Ὡς γὰρ ὁ Σωκράτης ἔλεγεν, ἀνεξέταστον βίον μὴ ζῆν· οὕτως ἀνεξέταστον φαντασίαν μὴ παραδέχεσθαι, ἀλλὰ λέγειν, Ἔκδεξαι, ἄφες ἴδω τίς εἶ, καὶ πόθεν ἔρχῃ· ὡς οἱ νυκτοφύλακες, Δεῖξόν

mirabilibus institui debent : alioqui nihil inter præstigiatores et nos, qui philosophi perhiberi volumus, intererit. (2) Est enim etiam in fune ambulare difficile : nec difficile tantum, sed etiam periculosum. Eane de caussa nobis etiam meditandum est, quemadmodum in fune ambulemus, aut palmam erigamus, statuasve amplectamur? Nequaquam : (3) Neque enim omnia difficilia et periculosa exercitationi quoque apta sunt : sed ea quæ conducunt ad id quod est nobis ad elaborandum propositum. (4) Quid vero est quod ad elaborandum nobis est propositum? Ut appetitione et aversatione citra impedimentum utamur. Hoc vero quid est? Ut nec eo quod appetimus frustremur, nec in id quod aversamur incidamus. Huc igitur etiam exercitatio tendere debet. (5) Cum enim fieri non possit, ut vel appetitio non frustretur, vel aversatio non implicetur, sine magna et continenti exercitatione; scito, si eam extrorsum averti passus fueris ad ea quæ nostri arbitrii non sunt, neque appetitionem voti compotem, neque aversationem expertem calamitatis te esse habiturum. (6) Et quia præcipua vis est consuetudinis inveteratæ, cum appetitione et aversatione adversus ista sola assueverimus uti, isti consuetudini contraria consuetudo est opponenda, et, ubi visorum lapsus maxime in proclivi est, ibi exercitatio maxime opponenda.

7. Sum ad voluptatem propensior : in partem contrariam ultra modum exercitationis caussa inclinabo. Abhorreo a labore : teram et exercebo ad hoc visa mea, ut aversatio a talibus omnibus recedat. (8) Quis enim sese exercet? Is qui in eo elaborat, ut appetitione non utatur, aversatione vero ad ea sola, quæ nostri sunt arbitrii; quique in iis magis elaborat, quæ difficilius superantur. Quo fit etiam, ut alii adversus alia magis exercere sese necesse habeant. (9) Quid ergo ad hanc rem facit, palmam erigere, aut tabernaculum pelliceum et mortarium ac pistillum circumferre? (10) Homo, si sis irritabilis, exerce te ut convicia toleres, ut contumelia affectus non doleas. Sic deinde eo progredieris, ut, si quis etiam te verberarit, ipse tibi dicas, Finge te statuam esse amplexum. (11) Deinde te exerce, ut vino etiam scite utaris; non ad ingurgitandum (sunt enim qui in hoc perperam sese exerceant); sed primum, ut vino abstineas, et ut puellula abstineas, et placentula. Deinde aliquando explorandi tui caussa, si ita res tulerit, opportuno tempore in certamen aliquod descendes, quo cognoscas an æque te, *ut olim*, visa vincant. (12) Principio autem procul fuge a fortioribus. Iniqua pugna est eleganti puellæ adversus adolescentem qui nuper philosophari cœpit : olla, quod aiunt, et saxum non concinunt.

13. Post appetitionem et aversationem alter locus est de impetu ad actionem capiendo, vel retinendo; ut obtemperes rationi, ne quid alieno tempore, ne quid alieno loco facias, neve in aliam hujusmodi pecces convenientiam.

14. Tertius locus assensionum est; pertinens ad probabilia et allicientia. (15) Ut enim Socrates vitam, in quam non inquiritur, vivendam esse negabat; ita nec visum ullum inexploratum est admittendum; sed dicendum : Exspecta, sine videam qui sis, et unde venias; quemadmodum excu-

μοι τὰ συνθήματα. Ἔχεις τὸ παρὰ τῆς φύσεως σύμβολον, ὃ δεῖ τὴν παραδεχθησομένην ἔχειν φαντασίαν; (16) Καὶ λοιπὸν, ὅσα τῷ σώματι προσάγεται ὑπὸ τῶν γυμναζόντων αὐτὸ, ἂν μὲν ὧδέ που ῥέπῃ, πρὸς ὄρεξιν καὶ ἔκκλισιν, εἴη ἂν καὶ αὐτὰ ἀσκητικά· ἂν δὲ πρὸς ἐπίδειξιν, ἔξω νενευκότος ἐστὶ, καὶ ἄλλο τι θηρωμένου, καὶ θεατὰς ζητοῦντος τοὺς ἐροῦντας, Ὦ μεγάλου ἀνθρώπου. (17) Διὰ τοῦτο καλῶς ὁ Ἀπολλώνιος ἔλεγεν, ὅτι Ὅταν θέλῃς σαυτῷ ἀσκῆσαι, διψῶν ποτε καύματος, ἐφέλκυσαι βρόγχον ψυχροῦ, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

ΚΕΦ. ΙΓ'.

Τί ἐστιν ἐρημία, καὶ ποῖος ἔρημος.

1. Ἐρημία ἐστὶ κατάστασίς τις ἀβοηθήτου. Οὐ γὰρ ὁ μόνος ὢν, εὐθὺς καὶ ἔρημος· ὥσπερ οὐδ' ὁ ἐν πολλοῖς ὢν, οὐκ ἔρημος. (2) Ὅταν γοῦν ἀπολέσωμεν ἢ ἀδελφὸν, ἢ υἱὸν, ἢ φίλον ᾧ προσανεπαυόμεθα, λέγομεν ἀπολελεῖφθαι ἔρημοι, πολλάκις ἐν Ῥώμῃ ὄντες, τοσούτου ὄχλου ἡμῖν ἀπαντῶντος, καὶ τοσούτων συνοικούντων, ἔσθ' ὅτε [καὶ] πλῆθος δούλων ἔχοντες. (3) Θέλει γὰρ ὁ ἔρημος, κατὰ τὴν ἔννοιαν, ἀβοήθητός τις εἶναι καὶ ἐκκείμενος τοῖς βλάπτειν βουλομένοις. Διὰ τοῦτο, ὅταν ὁδεύωμεν, τότε μάλιστα ἐρήμους λέγομεν ἑαυτοὺς, ὅταν εἰς λῃστὰς ἐμπέσωμεν· οὐ γὰρ ἀνθρώπου ὄψις ἐξαιρεῖται ἐρημίας, ἀλλὰ πιστοῦ καὶ αἰδήμονος καὶ ὠφελίμου. (4) Ἐπεὶ εἰ τὸ μόνον εἶναι ἀρκεῖ πρὸς τὸ ἔρημον εἶναι, λέγε ὅτι καὶ ὁ Ζεὺς ἐν τῇ ἐκπυρώσει ἔρημός ἐστι, καὶ κατακλαίει αὐτὸς ἑαυτοῦ· Τάλας ἐγὼ, οὔτε τὴν Ἥραν ἔχω, οὔτε τὴν Ἀθηνᾶν, οὔτε τὸν Ἀπόλλωνα, οὔτε ὅλως ἢ ἀδελφὸν, ἢ υἱὸν, ἢ ἔγγονον, ἢ συγγενῆ. (5) Ταῦτα καὶ λέγουσί τινες ὅτι ποιεῖ μόνος ἐν τῇ ἐκπυρώσει. Οὐ γὰρ ἐπινοοῦσι διεξαγωγὴν μόνου, καὶ ἀπό τινος φυσικοῦ ὁρμώμενοι, ἀπὸ τοῦ φύσει κοινωνικοῦ εἶναι καὶ φιλαλλήλου, καὶ ἡδέως συναναστρέφεσθαι ἀνθρώποις. (6) Ἀλλ' οὐδὲν ἧττον δεῖ τινα καὶ πρὸς τοῦτο παρασκευὴν ἔχειν, τὸ δύνασθαι αὐτὸν ἑαυτῷ ἀρκεῖν, δύνασθαι αὐτὸν ἑαυτῷ συνεῖναι. (7) Ὡς ὁ Ζεὺς αὐτὸς ἑαυτῷ σύνεστι, καὶ ἡσυχάζει ἐφ' ἑαυτοῦ, καὶ ἐννοεῖ τὴν διοίκησιν τὴν ἑαυτοῦ οἵα ἐστὶ, καὶ ἐν ἐπινοίαις γίνεται πρεπούσαις ἑαυτῷ· οὕτω καὶ ἡμᾶς δύνασθαι δεῖ αὐτοὺς ἑαυτοῖς λαλεῖν, μὴ προσδεῖσθαι ἄλλων, διαγωγῆς μὴ ἀπορεῖν· (8) ἐφιστάνειν τῇ θείᾳ διοικήσει, τῇ αὐτῶν πρὸς τἆλλα σχέσει· ἐπιβλέπειν πῶς πρότερον εἴχομεν πρὸς τὰ συμβαίνοντα, πῶς νῦν· τίνα ἐστὶν ἔτι τὰ θλίβοντα· πῶς ἂν θεραπευθῇ καὶ ταῦτα, πῶς ἐξαιρεθῇ· εἴ τινα ἐξεργασίας δεῖται, κατὰ τὸν αὐτοῦ λόγον ἐξεργάσασθαι.

9. Ὁρᾶτε γὰρ ὅτι εἰρήνην μεγάλην ὁ Καῖσαρ ἡμῖν δοκεῖ παρέχειν, ὅτι οὐκ εἰσὶν οὐκέτι πόλεμοι, οὐδὲ μάχαι, οὐδὲ λῃστήρια μεγάλα, οὐδὲ πειρατικά· ἀλλ' ἔξεστι πάσῃ ὥρᾳ ὁδεύειν, πλεῖν ἀπὸ ἀνατολῶν ἐπὶ δυσμάς. (10) Μή τι οὖν καὶ ἀπὸ πυρετοῦ δύναται ἡμῖν εἰρήνην

bitores, Ostende mihi tesseras. Habesne tesseram a natura datam, quam afferre debet visum omne, quod admittendum sit? (16) Denique, quæ corpori ab iis, qui id exercent, adhibentur, siquidem huc quodammodo spectant, nempe ad appetitionem et aversationem, pertinebunt et ipsa ad exercitationem : sin ad ostentationem solam spectant, sunt ejus qui extrorsum prominet et aliud quid venatur, et spectatores quærit dicturos, O magnum hominem! (17) Quapropter recte dictum est ab Apollonio, si quis se sua caussa velit exercere, ut, si quando sitiverit æstu, frigidæ haustum attrahat ore, deinde exspuat, ac dicat nemini.

CAP. XIII.

Qui sit status desertus, et qui sit desertus.

1. Status desertus est ejus, qui auxilio destituitur. Non enim qui solus est, idem etiam continuo desertus est; quemadmodum nec is, qui inter multos versatur, idcirco non desertus. (2) Itaque fit sæpe, cum vel fratrem amisimus, vel filium, vel amicum quo confidebamus ut desertos nos esse queramur; licet Romæ agentes, tanta turba nobis occurrente, in tantaque hominum frequentia habitantes, interdum etiam famulorum multitudine stipati. (3) Desertus enim is esse intelligitur, qui auxilio destituitur, et obnoxius eis est qui lædere volunt. Quapropter, cum iter facimus, tum nos maxime desertos dicimus, cum in latrones inciderimus : neque enim conspectus hominis solitudine liberat, sed fidelis, verecundi et utilis hominis conspectus. (4) Nam si solitudo satis ad id est, ut sis desertus; dicendum erit Jovem etiam in conflagratione mundi desertum esse, et apud se ipsum lamentari : Me miserum! neque Junonem habeo, neque Minervam, neque Apollinem, denique neque fratrem, neque filium, neque nepotem, neque cognatum. (5) Hoc etiam nonnulli facturum eum in conflagratione mundi, cum solus erit, aiunt. Neque enim intelligunt, quo pacto vitam aliquis transigere possit solus; et proficiscuntur quidem a naturali quodam principio, scilicet ab ingenito hominibus communionis studio, et mutuo amore, et delectatione consuetudinis cum hominibus. (6) Sed tamen paranda est ad hoc quoque habilitas quædam, ut se ipso esse contentus, et secum vivere quispiam possit. (7) Sicut enim Jupiter secum vivit et in se ipse acquiescit, et administrationem suam qualis sit secum reputat, et in cogitationibus sese dignis versatur : eodem modo et nos decet nobiscum posse colloqui, non requirere alios, non indigere oblectatione qua tempus fallamus, (8) mentem adjicere ad divinam administrationem; et, quæ relatio sit nostra erga res ceteras, expendere; considerare quomodo antea casus humanos tulerimus, quomodo nunc feramus; quæ sint quæ nos adhuc angant; quomodo hæc quoque curari, quomodo tolli queant; si qua expolienda sint, ut recta ratione adhibita expoliantur.

9. Videte enim quam amplam pacem nobis præstare Cæsar videatur, cum neque bella jam supersint, neque pugnæ, neque latrocinia magna, neque piraticæ grassationes; sed ut quovis anni tempore, quavis hora iter facere liceat, ab oriente in occidentem navigare. (10) Num ergo etiam

παρασχεῖν; μή τι καὶ ἀπὸ ναυαγίου; μή τι ἀπὸ ἐμπρησμοῦ, ἢ ἀπὸ σεισμοῦ, ἢ ἀπὸ κεραυνοῦ; Ἄγε, ἀπ' ἔρωτος; Οὐ δύναται. Ἀπὸ πένθους; Οὐ δύναται. Ἀπὸ φθόνου; Οὐ δύναται. Ἀπὸ οὐδενὸς ἁπλῶς τούτων. (11) Ὁ δὲ λόγος ὁ τῶν φιλοσόφων ὑπισχνεῖται καὶ ἀπὸ τούτων εἰρήνην παρέχειν. Καὶ τί λέγει; Ἄν μοι προσέχητε, ὦ ἄνθρωποι, ὅπου ἂν ἦτε, ὅ τι ἂν ποιῆτε, οὐ λυπηθήσεσθε, οὐκ ὀργισθήσεσθε, οὐκ ἀναγκασθήσεσθε, οὐ κωλυθήσεσθε, ἀπαθεῖς δὲ καὶ ἐλεύθεροι διάξετε ἀπὸ πάντων. (12) Ταύτην τὴν εἰρήνην τις ἔχων, οὐχὶ κεκηρυγμένην ὑπὸ τοῦ Καίσαρος, (πόθεν γὰρ αὐτῷ ταύτην κηρύξαι;) ἀλλ' ὑπὸ τοῦ θεοῦ κεκηρυγμένην διὰ τοῦ λόγου, οὐκ ἀρκεῖται ὅταν ᾖ μόνος; (13) ἐπιβλέπων, καὶ ἐνθυμούμενος, Νῦν ἐμοὶ κακὸν οὐδὲν δύναται συμβῆναι, ἐμοὶ λῃστὴς οὐκ ἔστιν, ἐμοὶ σεισμὸς οὐκ ἔστιν, πάντα εἰρήνης μεστά, πάντα ἀταραξίας· πᾶσα ὁδός, πᾶσα πόλις, πᾶς σύνοδος, γείτων, κοινωνός, ἀβλαβής. Ἄλλος παρέχει τροφάς, ᾧ μέλει, ἄλλος ἐσθῆτα, ἄλλος αἰσθήσεις ἔδωκεν, ἄλλος προλήψεις. (14) Ὅταν δὲ μὴ παρέχῃ τἀναγκαῖα, τὸ ἀνακλητικὸν σημαίνει· τὴν θύραν ἤνοιξε, καὶ λέγει σοι, Ἔρχου. Ποῦ; Εἰς οὐδὲν δεινόν· ἀλλ' ὅθεν ἐγένου, εἰς τὰ φίλα καὶ συγγενῆ, εἰς τὰ στοιχεῖα. (15) Ὅσον ἦν ἐν σοὶ πυρός, εἰς πῦρ ἄπεισιν· ὅσον ἦν γηδίου, εἰς γήδιον· ὅσον πνευματίου, εἰς πνευμάτιον· ὅσον ὑδατίου, εἰς ὑδάτιον. Οὐδεὶς Ἅδης, οὐδ' Ἀχέρων, οὐδὲ Κωκυτός, οὐδὲ Πυριφλεγέθων· ἀλλὰ πάντα θεῶν μεστὰ καὶ δαιμόνων. (16) Ταῦτά τις ἐνθυμεῖσθαι ἔχων, καὶ βλέπων τὸν ἥλιον, καὶ σελήνην καὶ ἄστρα, καὶ γῆς ἀπολαύων καὶ θαλάσσης, ἐρημός ἐστιν οὐ μᾶλλον ἢ καὶ ἀβοήθητος. (17) Τί οὖν; ἄν τις ἐπελθὼν μόνῳ ἀποσφάξῃ με; Μωρέ, σὲ οὐκ, ἀλλὰ τὸ σωμάτιον.

18. Ποία οὖν ἔτι ἐρημία; ποία ἀπορία; τί χείρονας ἑαυτοὺς ποιοῦμεν τῶν παιδαρίων; ἅτινα ὅταν ἀπολειφθῇ μόνα, τί ποιεῖ; ἄραντα ὀστράκια καὶ σποδόν, οἰκοδομεῖ τί ποτε, εἶτα καταστρέφει, καὶ πάλιν ἄλλο οἰκοδομεῖ· καὶ οὕτως οὐδέποτε ἀπορεῖ διαγωγῆς. (19) Ἐγὼ οὖν, ἂν πλεύσητε ὑμεῖς, μέλλω καθήμενος κλαίειν, ὅτι μόνος ἀπελείφθην καὶ ἔρημος; Οὕτως οὐκ ὀστράκια ἕξω; οὐ σποδόν; Ἀλλ' ἐκεῖνα ὑπ' ἀφροσύνης ταῦτα ποιεῖ, ἡμεῖς δ' ὑπὸ φρονήσεως δυστυχοῦμεν;

20. Πᾶσα μεγάλη δύναμις ἐπισφαλὴς τῷ ἀρχομένῳ. Φέρειν οὖν δεῖ τὰ τοιαῦτα κατὰ δύναμιν, ἀλλὰ κατὰ φύσιν. * * Ἀλλ' οὐχὶ τῷ φθισικῷ. (21) Μελέτησόν ποτε διαγωγὴν ὡς ἄῤῥωστος, ἵνα ποθ' ὡς ὑγιαίνων διαγάγῃς. Ἀσίτησον, ὑδροπότησον· ἀπόσχου ποτὲ παντάπασιν ὀρέξεως, ἵνα ποτὲ καὶ εὐλόγως ὀρεχθῇς. Εἰ δ' εὐλόγως, ὅταν ἔχῃς τι ἐν σεαυτῷ ἀγαθόν, εὖ ὀρεχθήσῃ. (22) Οὔκ· ἀλλ' εὐθέως ὡς σοφοὶ διάγειν ἐθέλομεν, καὶ ὠφελεῖν ἀνθρώπους. Ποίαν ὠφέλειαν; τί ποιεῖς; σαυτὸν γὰρ ὠφέλησας; Ἀλλὰ προτρέψαι αὐτοὺς θέλεις. Σὺ γὰρ προτέτρεψαι; (23) Θέλεις αὐτοὺς ὠφελῆσαι. Δεῖξον αὐτοῖς ἐπὶ σεαυτοῦ, οἵους ποιεῖ φιλοσοφία· καὶ μὴ φλυάρει. Ἐσθίων, τοὺς συνεσθίοντας ὠφέλει· πίνων, τοὺς

a febre pacem præstare nobis potest? num et a naufragio? num ab incendio, a terræ motu, a fulmine? Age, num ab amore? Non potest. A luctu? Non potest. Ab invidia? Non potest. Omnino a nulla tali re. (11) At doctrina philosophorum pollicetur ab his quoque rebus se pacem præstituram esse. Quid autem ait? « Si me, inquit, homines! audiveritis; ubicumque fueritis, quidquid feceritis, non dolebitis, non irascemini, non cogemini, non impediemini; sed tranquilli et ab omnibus rebus liberi « ætatem degetis. » (12) Hanc pacem si quis habeat, non a Cæsare promulgatam, (quo pacto enim eam ille promulgare queat?) sed a deo per rationem pronunciatam, is ea contentus non erit cum solus fuerit? (13) cum videat, et ita secum cogitet : Nunc mali nihil accidere mihi potest. mihi latro non est, mihi terræ motus non est, omnia plena pacis, plena tranquillitatis; omnis via, omnis urbs, omnis viæ comes, vicinus, socius, innoxius. Alius præbet victum, cui id curæ est; alius vestem, alius sensus dedit, alius anticipatas animi notiones. (14) Quodsi vero ea quibus opus est, non suppeditat, receptui canit, januam aperuit, teque venire jubet. Quo? Non in malam rem; sed eo unde ortus es, ad amica et cognata, ad elementa. (15) Quidquid in te ignis fuit, ad ignem redit; quidquid terræ, ad terram; quidquid spirantis aeris, ad aerem; quidquid aquæ, ad aquam. Nullus est Orcus, nullus Acheron, nullus Cocytus, nullus Pyriphlegethon : sed omnia plena deorum et Geniorum. (16) Hæc qui cogitare potest, et qui solem et lunam et sidera intuetur, et terra fruitur atque mari, is non magis desertus est, quam adjumenti expers. (17) Quid ergo, si quis me solum aggressus jugularit? Stulte, non te, sed corpusculum.

18. Quæ ergo solitudo restat? quæ inopia? quid nos ipsi pueris deteriores facimus? qui, cum soli relinquuntur, quid agunt? tollunt testas ac cinerem, nunc aliquid exstruunt, nunc diruunt, nunc rursus aliud exstruunt : quo fit ut numquam eis desit quo tempus fallant. (19) Ego igitur, si vos hinc profecti eritis, plorans scilicet sedebo, quod solus relictus sim ac desertus? Itane testulas non habebo? non cinerem? At illi præ stultitia istud faciunt; nos vero præ sapientia calamitosi sumus!

20. [*Hæc ad sequens caput referenda esse videntur.*] Omnis magna facultas periculosa est incipienti. Ferenda igitur talia sunt pro virili, sed naturæ convenienter. * * * * * At non ei qui phthisi laborat. (21) Eam vitæ rationem aliquando meditare, quæ valetudinario sit accommodata, ut olim etiam tamquam recte valens vivere possis. Abstine cibis, aquam bibe : aliquando omnem appetitionem cohibe, ut tandem etiam recta ratione appetas. Si vero recta cum ratione quum habueris in te boni aliquid, tum recte appetitione uteris. (22) At hoc nobis non placet; sed statim tamquam sapientes vivere volumus, et utilitatem afferre hominibus. Quam utilitatem? quid facis? num ipse tibi profuisti? At adhortari eos vis. An te ipse prius es cohortatus? (23) Vis eis prodesse. Ostende in te ipso, quales philosophia faciat, neque nugas age. Comedens, utilis esto una comedentibus; bibens, una bibentibus; cedendo omni-

πίνοντας· εἴκων πᾶσι, παραχωρῶν, ἀνεχόμενος, οὕτως αὐτοὺς ὠφέλει· καὶ μὴ κατεξέρα αὐτῶν τὸ σαυτοῦ φλέγμα.

ΚΕΦ. ΙΔʹ.

Σποράδην τινά.

1. Ὡς οἱ κακοὶ τραγῳδοὶ μόνοι ᾆσαι οὐ δύνανται, ἀλλὰ μετὰ πολλῶν· οὕτως ἔνιοι μόνοι περιπατῆσαι οὐ δύνανται. (2) Ἄνθρωπε, εἴ τι εἶ, καὶ μόνος περιπάτησον, καὶ σαυτῷ λάλησον, καὶ μὴ ἐν τῷ χορῷ κρύπτου. (3) Σκώφθητί ποτε, περίβλεψαι, ἐνσείσθητι, ἵνα γνῷς τίς εἶ.

4. Ὅταν τις ὕδωρ πίνῃ, ἢ ποιῇ τι ἀσκητικόν, ἐκ πάσης ἀφορμῆς λέγει αὐτὸ πρὸς πάντας, Ἐγὼ ὕδωρ πίνω. (5) Διὰ γὰρ τοῦτο ὕδωρ πίνεις, διὰ τὸ ὕδωρ πίνειν; Ἄνθρωπε, εἴ σοι λυσιτελεῖ πίνειν, πῖνε· εἰ δὲ μή, γελοίως ποιεῖς. (6) Εἰ δὲ συμφέρει σοι καὶ πίνεις, σιώπα πρὸς τοὺς δυσαρεστοῦντας τοῖς ἄλλοις. Τί οὖν; αὐτοῖς τούτοις ἀρέσκειν θέλεις;

7. Τῶν πραττομένων τὰ μὲν προηγουμένως πράττεται, τὰ δὲ κατὰ περίστασιν, τὰ δὲ κατ' οἰκονομίαν, τὰ δὲ κατὰ συμπεριφοράν, τὰ δὲ κατ' ἔνστασιν.

8. Δύο ταῦτα ἐξελεῖν τῶν ἀνθρώπων, οἴησιν καὶ ἀπιστίαν. Οἴησις μὲν οὖν ἐστι τὸ δοκεῖν μηδενὸς προσδεῖσθαι· ἀπιστία δὲ τὸ ὑπολαμβάνειν μὴ δυνατὸν εἶναι εὐροεῖν σε τοσούτων περιεστηκότων. (9) Τὴν μὲν οὖν οἴησιν ἔλεγχος ἐξαιρεῖ. Καὶ τοῦτο πρῶτον ποιεῖ Σωκράτης. Ὅτι δ' οὐκ ἀδύνατόν ἐστι τὸ πρᾶγμα, σκέψαι καὶ ζήτησον. (10) Οὐδέν σε βλάψει ἡ ζήτησις αὕτη· καὶ σχεδὸν τὸ φιλοσοφεῖν τοῦτ' ἔστι, ζητεῖν πῶς ἐνδέχεται ἀπαραποδίστως ὀρέξει χρῆσθαι καὶ ἐκκλίσει.

11. Κρείσσων εἰμί σου, ὁ γὰρ πατήρ μου ὑπατικός ἐστιν. Ἄλλος λέγει, Ἐγὼ δεδημάρχηκα, σὺ δ' οὔ. (12) Εἰ δ' ἵπποι ἦμεν, ἔλεγες ἄν, ὅτι Ὁ πατήρ μου ὠκύτερος ἦν; ὅτι Ἐγὼ ἔχω πολλὰς κριθὰς καὶ χόρτον, ἢ ὅτι, κομψὰ περιτραχήλια; Εἰ οὖν, ταῦτά σου λέγοντος, εἶπον, ὅτι Ἔστω ταῦτα, τρέχωμεν οὖν. (13) Ἄγε, ἐπ' ἀνθρώπου οὖν οὐδέν ἐστι τοιοῦτον οἷον ἐφ' ἵππου δρόμος, ἐξ οὗ γνωσθήσεται ὁ κρείττων καὶ ὁ χείρων; μήποτ' ἔστιν αἰδώς, πίστις, δικαιοσύνη; (14) Τούτοις δεῖκνυε κρείττονα σεαυτόν, ἵν' ὡς ἄνθρωπος ᾖς κρείττων. Ἂν μοι λέγῃς, ὅτι Μεγάλα λακτίζω, ἐρῶ σοι κἀγώ, ὅτι Ἐπὶ ὄνου ἔργῳ μέγα φρονεῖς.

ΚΕΦ. ΙΕʹ.

Ὅτι δεῖ περιεσκεμμένως ἔρχεσθαι ἐφ' ἕκαστα.

1. Ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα καὶ τὰ ἀκόλουθα, καὶ οὕτως ἔρχου ἐπ' αὐτό. Εἰ δὲ μή, τὴν μὲν πρώτην ἥξεις προθύμως, ἅτε μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δ' ἀναφανέντων τινῶν, αἰσχρῶς ἀποστήσῃ. (2) Θέλω Ὀλύμπια νικῆσαι. [Κἀγώ, νὴ τοὺς θεούς· κομψὸν γάρ ἐστιν.] Ἀλλὰ σκόπει τὰ καθηγούμενα αὐτοῦ καὶ τὰ ἀκόλουθα· καὶ οὕτως, ἄν σοι λυσιτελῇ, ἅπτου τοῦ ἔργου. (3) Δεῖ σε εὐτακτεῖν, ἀναγ-

bus, concedendo, tolerando, sic eos juvato : sed pituitam tuam in eos noli evomere.

CAP. XIV.

Miscellanea quædam.

1. Quemadmodum mali tragœdi soli canere non possunt, sed cum multis : sic nonnulli soli deambulare non possunt. (2) Homo, si quid es, et solus deambula, et tibi loquere, neve in choro delitesce. (3) Aliquando rideri te patere, circumspice; concuti te patere, ut cognoscas qui sis.

4 Si quis aquam bibit, aliave quapiam re sese exercet, quavis occasione id omnibus dicit, Ego aquam bibo. (5) Ergo eo tantum aquam bibis, ut aquam bibas? Homo, si tibi aquam bibere expedit, bibito : sin minus, ridicule facis. (6) Sin aquæ potus tibi expedit, ideoque tu bibis; tace apud eos qui moleste ferunt diversum institutum sequentes. Quid ergo? istis ipsis placere studes?

7. Eorum quæ aguntur, alia principali quadam et præcipua ratione fiunt, alia temporum caussa, alia per dispensationem quamdam, alia obsequii caussa, alia ex vitæ instituto.

8. Duo hæc eximenda sunt hominibus, arrogantia et diffidentia. Et arrogantia quidem est eorum, qui sibi nihil deesse putant : diffidentia vero eorum, qui existimant se inter tot circumstantes casus non posse esse beatos. (9) Arrogantiam igitur tollit reprehensio argumentis nitens. Atque id primum faciebat Socrates. Fieri autem rem posse, considerato et quærito. (10) Nihil tibi nocebit ista inquisitio : ac potius in eo magna ex parte sita est philosophia, ut inquirat quomodo citra impedimentum appetitione et aversatione uti liceat.

11. Melior sum te, nam pater meus consularis est. Alius ait : Ego tribunatum gessi, tu non. (12) Quodsi vero equi essemus, diceresne, Pater meus velocior fuit : Ego multum hordei habeo et fœni; aut elegantes phaleras? Si igitur tibi ista dicenti responderem, Esto ita, curramus ergo! (13) Age, nihilne tale est in homine, quale est in equo cursus, quo cognoscatur, quis sit præstantior, quis deterior? an non est verecundia, fides, justitia? (14) His rebus ostende præstantiorem esse te, ut tamquam homo sis præstantior. Sin mihi dixeris, te vehementer calcitrare : dicam et ipse tibi, eo te superbire, quod sit asini proprium.

CAP. XV.

Considerate singula aggredienda esse.

1. Cujusque operis antecedentia et consequentia considera; et sic illud aggreditor. Alioqui alacriter quidem illud aggredieris; quippe qui nihil eorum, quæ sequuntur, consideraris : postea vero, cum aliquæ difficultates intercesserint, turpiter desistes. (2) Cupio vincere Olympia. [Et ego, per deos : nam bella res est.] At considera antecedentia et consequentia : et sic, si e re tua fuerit, rem aggredere. (3) Oportet te ordine omnia agere, coactum

χοφαγεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, [ἐν] ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει· μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὅτ' ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ· (4) εἶτα, ἐν τῷ ἀγῶνι, παρορύσσεσθαι, ἔστιν ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἁφὴν καταπιεῖν, μαστιγωθῆναι, καὶ μετὰ τούτων πάντων ἔσθ' ὅτε νικηθῆναι. (5) Ταῦτα λογισάμενος, ἂν ἔτι θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν· εἰ δὲ μή, ὅρα ὅτι ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν ἀθλητὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ, ὅ, τι ἂν ἴδῃ καὶ θαυμάσῃ. (6) Οὕτω καὶ σύ· νῦν μὲν ἀθλητής, νῦν δὲ μονομάχος, εἶτα φιλόσοφος, εἶτα ῥήτωρ, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ', ὡς ὁ πίθηκος, πᾶν ὃ ἂν ἴδῃς μιμῇ, καὶ ἀεί σοι ἄλλο ἐξ ἄλλου ἀρέσκει, τὸ σύνηθες δ' ἀπαρέσκει. (7) Οὔτε γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιοδεύσας ὅλον τὸ πρᾶγμα, οὐδὲ βασανίσας, ἀλλ' εἰκῇ καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. (8) Οὕτω τινές, ἰδόντες φιλόσοφον καὶ ἀκούσαντές τινος οὕτω λέγοντος, ὡς Εὐφράτης λέγει, (καίτοι τίς οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος;) θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν.

9. Ἄνθρωπε, σκέψαι πρῶτον τί ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σαυτοῦ φύσιν, τί δύνασαι βαστάσαι. Εἰ παλαιστής, ἰδοῦ σου τοὺς ὤμους, τοὺς μηρούς, τὴν ὀσφύν. Ἄλλος γὰρ πρὸς ἄλλο τι πέφυκε. (10) Δοκεῖς ὅτι ταῦτα ποιῶν δύνασαι φιλοσοφεῖν; δοκεῖς ὅτι δύνασαι ὡσαύτως ἐσθίειν, ὡσαύτως πίνειν, ὁμοίως ὀργίζεσθαι, ὁμοίως δυσαρεστεῖν; (11) Ἀγρυπνῆσαι δεῖ, πονῆσαι, νικῆσαί τινας ἐπιθυμίας, ἀπελθεῖν ἀπὸ τῶν οἰκείων, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν ἀπαντώντων καταγελασθῆναι, ἐν παντὶ ἔλασσον ἔχειν, ἐν ἀρχῇ, ἐν τιμῇ, ἐν δίκῃ. (12) Ταῦτα περισκεψάμενος, εἴ σοι δοκεῖ, προσέρχου· εἰ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. Εἰ δὲ μή, μὴ πρόσαγε· μή, ὡς τὰ παιδία, νῦν μὲν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος Καίσαρος. (13) Ταῦτα οὐ συμφωνεῖ. Ἕνα σε δεῖ ἄνθρωπον εἶναι, ἢ ἀγαθόν, ἢ κακόν· ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοπονεῖν, ἢ περὶ τὰ ἔξω· τοῦτ' ἔστι, φιλοσόφου στάσιν ἔχειν, ἢ ἰδιώτου.

14. Ῥούφῳ τις ἔλεγε, Γάλβα σφαγέντος, ὅτι Νῦν προνοίᾳ ὁ κόσμος διοικεῖται; Ὁ δέ, Μὴ γὰρ ἐγώ σοί ποτ', ἔφη, ἀπὸ Γάλβα κατεσκεύασα, ὅτι προνοίᾳ ὁ κόσμος διοικεῖται;

edere, bellariis abstinere, exercere corpus vel invitum, hora definita, in æstu, in frigore; non bibenda frigida, aliquando ne vinum quidem; omnino, lanistæ tamquam medico te tradere. (4) Deinde, in certamine, arena obrui oportet; aliquando manum luxari; distorqueri pedis malleolum; multum pulveris deglutire; flagris cædi; et cum his omnibus interdum vinci. (5) His rebus consideratis, si adhuc placet, athleticæ te trade. Sin minus, vide ut puerorum more acturus sis, qui nunc luctatores ludunt, nunc gladiatores, nunc tuba canunt, nunc tragœdias agunt, quidquid viderint admiratique fuerint. (6) Sic et tu, nunc athleta eris, nunc gladiator, mox philosophus, postea orator; toto autem animo nihil: sed, ut simius, quidquid videris, imitaris; et semper aliud ex alio tibi placet, assueta vero displicent. (7) Neque enim considerate quidquam aggressus es, neque rem totam circumcirca explorasti; sed temere accessisti, frigida cupiditate impulsus. (8) Sic nonnulli, viso philosopho, auditove aliquo sic disserente ut Euphrates disserit, (quamquam quis sic dicere, ut ille, potest?) volunt et ipsi philosophari.

9. Homo, considera prius, quæ res sit deinde naturam quoque tuam, quid ferre possit. Si luctator esse vis, vide humeros tuos, femora, lumbos. Alius enim ad aliud aliquid natus est. (10) Putasne te, si ista agas, posse philosophari? putasne te posse eodem modo edere, eodem modo bibere, æque irasci, æque indignari? (11) Vigilandum est, laborandum, vincendæ sunt quædam cupiditates, a cognatis discedendum; oportet a servulo contemni, ab obviis derideri, omnibus in rebus deteriori conditione esse, in magistratu, in honore, in judicio. (12) His consideratis, si lubet, accedito; si pro his permutare velis perturbationum vacuitatem, libertatem, constantiam: alioqui noli accedere; ne, ut pueri, nunc philosophus sis, postea publicanus, mox orator, denique procurator Cæsaris. (13) Hæc non consentiunt. Unum te hominem esse oportet, sive bonum, sive malum; aut principalem tui ipsius partem excolere te oportet, aut res externas; laborem vel internis rebus impendere, vel externis; hoc est, tuendus est tibi vel philosophi status, vel hominis indocti.

14. Rufo quidam, occiso Galba, dixit: Nunc adeo mundum providentia gubernari? At ille, An ego umquam, inquit, Galba usus sum, ut demonstrarem mundum providentia administrari?

ΚΕΦ. Ιϛ'.

Ὅτι εὐλαβῶς δεῖ συγκαθιέναι εἰς συμπεριφοράν.

1. Ἀνάγκη τὸν συγκαθιέντα τισὶν ἐπιπλέον, ἢ εἰς λαλιάν, ἢ εἰς συμπόσια, ἢ ἁπλῶς εἰς συμβίωσιν, ἢ αὐτὸν ἐκείνοις ἐξομοιωθῆναι, ἢ ἐκείνους μεταθεῖναι ἐπὶ τὰ αὐτοῦ. (2) Καὶ γὰρ ἄνθρακα ἀπεσβεσμένον ἂν θῇ παρὰ τὸν καιόμενον, ἢ αὐτὸς ἐκεῖνον ἀποσβέσει, ἢ ἐκεῖνος τοῦτον ἐκκαύσει. (3) Τηλικούτου οὖν τοῦ κινδύνου ὄν-

CAP. XVI.

Caute utendum esse hominum consuetudine.

1. Qui frequentius cum aliquo convenit, sive confabulandi caussa, sive compotandi, sive omnino consuetudinis caussa; eum necesse est vel ipsum illi fieri similem, vel illum ad suam rationem traducere. (2) Nam si quis carbonem exstinctum ardenti adjunxerit, aut hic illum exstinguet, aut ille hunc incendet. (3) Cum igitur tantum periculum sit,

τος, εὐλαβῶς δεῖ τοῖς ἰδιώταις συγκαθιέναι εἰς τὰς τοιαύτας συμπεριφοράς, μεμνημένους ὅτι ἀμήχανον τὸν συνανατριβόμενον τῷ ἠσβολωμένῳ μὴ καὶ αὐτὸν ἀπολαῦσαι τῆς ἀσβόλης. (4) Τί γὰρ ποιήσεις, ἂν περὶ μονομάχων λαλῇ, ἂν περὶ ἵππων, ἂν περὶ ἀθλητῶν, ἄν, τὸ ἔτι τούτων χεῖρον, περὶ ἀνθρώπων; Ὁ δεῖνα κακός, ὁ δεῖνα ἀγαθός· τοῦτο καλῶς ἐγένετο, τοῦτο κακῶς. Ἔτι, ἂν σκώπτῃ, ἂν γελοιάζῃ, ἂν κακοηθίζηται. (5) Ἔχει τις ὑμῶν παρασκευήν, οἵαν ὁ κιθαριστικὸς τὴν λύραν λαβών, ὥστ' εὐθὺς ἁψάμενος τῶν χορδῶν, γνῶναι τὰς ἀσυμφώνους, καὶ ἁρμόσασθαι τὸ ὄργανον; οἵαν εἶχε Σωκράτης δύναμιν, ὥστ' ἐν πάσῃ συμπεριφορᾷ ἄγειν ἐπὶ τὸ αὐτοῦ τοὺς συνόντας; (6) Πόθεν ὑμῖν; ἀλλ' ἀνάγκη ὑπὸ τῶν ἰδιωτῶν ὑμᾶς περιάγεσθαι.

7. Διὰ τί οὖν ἐκεῖνοι ὑμῶν ἰσχυρότεροι; Ὅτι ἐκεῖνοι μὲν τὰ σαπρὰ ταῦτα ἀπὸ δογμάτων λαλοῦσιν· ὑμεῖς δὲ τὰ κομψὰ ἀπὸ τῶν χειλῶν· διὰ τοῦτο ἄτονά ἐστι καὶ νεκρά· καὶ σικχᾶναί ἐστιν ἀκούοντα ὑμῶν τοὺς προτρεπτικούς, καὶ τὴν ἀρετὴν τὴν ταλαίπωρον, ἣ ἄνω κάτω θρυλεῖται. (8) Οὕτως ὑμᾶς οἱ ἰδιῶται νικῶσι. Πανταχοῦ γὰρ ἰσχυρὸν τὸ δόγμα, ἀνίκητον τὸ δόγμα. (9) Μέχρις ἂν οὖν παγῶσιν ἐν ὑμῖν αἱ κομψαὶ ὑπολήψεις, καὶ δύναμίν τινα περιποιήσησθε εἰς ἀσφάλειαν, συμβουλεύω ὑμῖν, εὐλαβῶς τοῖς ἰδιώταις συγκαταβαίνειν· εἰ δὲ μή, καθ' ἡμέραν, ὡς κηρὸς ἐν ἡλίῳ, διατακήσεται ὑμῶν εἴ τινα ἐν τῇ σχολῇ ἐγγράφετε. (10) Μακρὰν οὖν ἀπὸ τοῦ ἡλίου πού ποτε ὑπάγετε, μέχρις ἂν κηρίνας τὰς ὑπολήψεις ἔχητε. (11) Διὰ τοῦτο καὶ τῶν πατρίδων συμβουλεύουσιν ἀποχωρεῖν οἱ φιλόσοφοι, ὅτι τὰ παλαιὰ ἔθη περισπᾷ, καὶ οὐκ ἐᾷ ἀρχὴν γενέσθαί τινα ἄλλου ἐθισμοῦ, οὐδὲ φέρομεν τοὺς ἀπαντῶντας καὶ λέγοντας, Ἴδ' ὁ δεῖνα φιλοσοφεῖ, ὁ τοῖος καὶ ὁ τοῖος. (12) Οὕτω καὶ οἱ ἰατροὶ τοὺς μακρονοσοῦντας ἐκπέμπουσιν εἰς ἄλλην χώραν καὶ ἄλλον ἀέρα· καλῶς ποιοῦντες. (13) Καὶ ὑμεῖς ἀντεισαγάγετε ἄλλα ἔθη· πήξατε ὑμῶν τὰς ὑπολήψεις, ἐναθλεῖτε αὐταῖς. (14) Οὐκ· ἀλλ' ἔνθεν ἐπὶ θεωρίαν, εἰς μονομαχίαν, εἰς ξυστόν, εἰς κίρκον· εἶτ' ἐκεῖθεν ὧδε, καὶ πάλιν ἔνθεν ἐκεῖ οἱ αὐτοί. (15) Καὶ ἔθος κομψὸν οὐδέν, οὔτε προσοχή, οὔτ' ἐπιστροφὴ ἐφ' αὑτόν, καὶ παρατήρησις· πῶς χρῶμαι ταῖς προσπιπτούσαις φαντασίαις; κατὰ φύσιν, ἢ παρὰ φύσιν; πῶς ἀποκρίνομαι πρὸς αὐτάς; ὡς δεῖ, ἢ ὡς οὐ δεῖ; ἐπιλέγω τοῖς ἀπροαιρέτοις, ὅτι οὐδὲν πρὸς ἐμέ; (16) Εἰ γὰρ μή πω οὕτως ἔχετε, φεύγετε ἔθη τὰ πρότερον, φεύγετε τοὺς ἰδιώτας, εἰ θέλετε ἄρξασθαί ποτε τινὲς εἶναι.

indoctorum familiaritate et consuetudine caute uti debemus; memores, fieri nullo modo posse quin, si quis cum fuliginoso versetur, ipse quoque fuliginosus fiat. (4) Quid enim ages, si de gladiatoribus loquatur, sive de equis, sive de pugilibus, sive (quod his pejus etiam est) de hominibus? Iste malus, iste bonus est: hoc recte factum, illud male. Præterea, si cavillator est, si risor, si maligno ingenio. (5) Estne aliquis vestrûm ita solliers, ut citharœdus, qui sumpta lyra, simul ac chordas tetigerit, intelligat quæ non concinant; instrumentumque ad concentum intendere potest? eane facultate præditi estis, qua fuit Socrates, qui familiares, ubicumque cum eis versatus esset, ad suum morem sensumque traduceret? (6) Unde vobis istud? Immo vos ab indoctis circumagi necesse est.

7. Cur igitur illi vobis potentiores sunt? Quia illi putida ista sua proferunt ex animi decretis; vos vero pulcra vestra non nisi de labris; ea caussa sine robore hæc et mortua sunt; nec sine fastidio audiri possunt adhortationes vestræ, et misera virtus, quam susque deque jactatis. (8) Ita vos plebeii vincunt. Ubique enim robur habet decretum, invictum est decretum. (9) Donec igitur confirmatæ in vobis fuerint pulcræ sententiæ, donec facultatem aliquam paraveritis, qua in tuto collocemini; auctor vobis sum, ut caute indoctorum utamini consuetudine: alioqui quotidie, si qua animis vestris in schola inscribitis, sicut cera in sole diffluent. (10) Longe igitur a sole recedite, dum cereas habetis opiniones. (11) Hac etiam de caussa philosophi e patria discedendum esse suadent, quoniam domi veteres mores in diversa nos trahunt, nec sinunt nos novæ consuetudinis initium facere; nec ferimus obvios dicentes, Ecce iste philosophatur, cum talis et talis sit. (12) Sic et medici eos, qui diuturnis morbis laborant, in aliam regionem aliumque aerem ablegant: et recte quidem. (13) Proinde et vos mores alios introducite; confirmate vestras opiniones, in eis strenue vos exercete. (14) At id non curatis; sed hinc ad spectacula, ad gladiatorum exercitium, in xystum, in circum; postea illinc huc, vicissimque hinc illuc, semper iidem. (15) Non ullus liberalis mos, non animadversio, non cura vestrûm ipsorum, neque observatio, ut quisque se ipse interroget, Quo pacto oblatis utor visis? secundum naturam, an contra? quomodo respondeo eis? sicut decet, an contra? eisne rebus, quæ mei arbitrii non sunt, edico, Nihil mihi vobiscum est? (16) Nam si nondum sic affecti estis, fugite mores priores, fugite vulgus, si tandem auspicari negotium et aliqui esse vultis.

ΚΕΦ. ΙΖ'.

Περὶ προνοίας.

1. Ὅταν τι τῇ προνοίᾳ ἐγκαλῇς, ἐπιστράφηθι, καὶ γνώσῃ ὅτι κατὰ λόγον γέγονε. (2) Ναί, ἀλλ' ὁ ἄδικος πλέον ἔχει. Ἐν τίνι; Ἐν ἀργυρίῳ. Πρὸς γὰρ τοῦτό σου κρείττων ἐστίν, ὅτι κολακεύει, ἀναισχυντεῖ, ἀγρυ-

CAP. XVII.

De providentia.

1. Si qua in re providentiam accusas, curatius rem considera, et intelliges certa ratione eam factam esse. (2) At improbus meliore conditione est! Qua in re? In pecunia. Nam in hoc præstat tibi, quod adulatur, quod impudens

κνεῖ. (3) Τί θαυμαστόν; Ἀλλ' ἐκεῖνο βλέπε, εἰ ἐν τῷ πιστὸς εἶναι πλέον σου ἔχει, εἰ ἐν τῷ αἰδήμων. Οὐ γὰρ εὑρήσεις· ἀλλ' ὅπου σὺ κρείττων, ἐκεῖ σαυτὸν εὑρήσεις πλέον ἔχοντα. (4) Κἀγώ ποτ' εἶπόν τινι, ἀγανακτοῦντι ὅτι Φιλόστοργος εὐτυχεῖ· Ἤθελες ἂν σὺ μετὰ Σούρα κοιμᾶσθαι; Μὴ γένοιτο, φησὶν, ἐκείνη ἡ ἡμέρα. (5) Τί οὖν ἀγανακτεῖς, εἰ λαμβάνει τι ἀνθ' οὗ πωλεῖ; ἢ πῶς μακαρίζεις τὸν διὰ τούτων, ἃ σὺ ἀπεύχῃ, κτώμενον ἐκεῖνα; ἢ τί κακὸν ποιεῖ ἡ πρόνοια, εἰ τοῖς κρείττοσι τὰ κρείττω δίδωσιν; Ἢ οὐκ ἔστι κρεῖττον, αἰδήμονα εἶναι ἢ πλούσιον; Ὡμολόγει. Τί οὖν ἀγανακτεῖς, ἄνθρωπε, ἔχων τὸ κρεῖττον; (6) Μέμνησθε οὖν ἀεὶ, καὶ πρόχειρον ἔχετε, ὅτι νόμος οὗτος φυσικὸς, τὸν κρείττονα τοῦ χείρονος πλέον ἔχειν, ἐν ᾧ κρείττων ἐστί· καὶ οὐδέποτ' ἀγανακτήσετε. (7) Ἀλλ' ἡ γυνή μοι κακῶς χρῆται. Καλῶς. Ἄν τίς σου πυνθάνηται, τί ἐστὶ τοῦτο; λέγε, Ἡ γυνή μοι κακῶς χρῆται. Ἄλλο οὖν οὐδέν; Οὐδέν. (8) Ὁ πατήρ μοι οὐδὲν δίδωσιν. [Τί ἐστι τοῦτο; Ὁ πατήρ μοι οὐδὲν δίδωσι. Ἄλλο οὖν οὐδέν; Οὐδέν·] ὅτι δὲ κακόν ἐστι, τί τοῦτο ἔξωθεν αὐτῷ δεῖ προσθεῖναι καὶ προσκαταψεύσασθαι; (9) Διὰ τοῦτο οὐ δεῖ τὴν πενίαν ἐκβάλλειν, ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτῆς, καὶ οὕτως εὐροήσομεν.

est, quod vigilat. (3) Quid mirum? Sed illud intuere, num fide, num verecundia tibi præstet. Neque enim ita esse invenies; sed ubi tu melior es, ibi te meliore esse conditione cognosces. (4) Quare ego aliquando cuidam, Philostorgi florentem fortunam ægre ferenti, Num ergo, inquam, tu cum Sura dormire velles? Ne, inquit, is mihi dies illucescat. (5) Quid ergo succenses, si pretii aliquid pro iis quæ vendit accipit? aut cur beatum eum prædicas, quod ob ea, quæ tu detestaris, ista acquirit? aut quid peccat providentia, si melioribus meliora tribuit? Nonne præstat verecundum esse, quam divitem? Assentiebatur. Quid ergo succenses, homo, cum id habeas quod melius est? (6) Semper igitur mementote, atque in promptu habetote eam naturæ legem, « meliorem, in eo quo sit me« lior, meliore conditione esse illo qui sit deterior : » ita numquam succensebitis. (7) At uxor male me tractat. Recte : si quis sciscitetur, quid est istud? dic, Uxor male me tractat. Nihil ergo aliud? Nihil. (8) Pater nihil mihi largitur. [*Quid istud est? Pater nihil mihi largitur. Nihil igitur aliud est? Nihil :*] id vero malum esse, an extrinsecus adjiciendum est et affingendum mendacium? (9) Quocirca non paupertas repudianda est, sed opinio paupertatis : atque ita in tranquillo erimus.

ΚΕΦ. ΙΗ'.

Ὅτι οὐ δεῖ πρὸς τὰς ἀγγελίας ταράσσεσθαι.

1. Ὅταν σοί τι προσαγγελθῇ ταρακτικὸν, ἐκεῖνο ἔχε πρόχειρον, ὅτι ἀγγελία περὶ οὐδενὸς προαιρετικοῦ γίνεται. (2) Μή τι γὰρ δύναταί σοί τις ἀγγεῖλαι ὅτι κακῶς ὑπέλαβες, ἢ κακῶς ὠρέχθης; Οὐδαμῶς. Ἀλλ', ὅτι ἀπέθανέ τις. Τί οὖν πρὸς σέ; Ὅτι σε κακῶς τις λέγει. Τί οὖν πρὸς σέ; (3) Ὅτι ὁ πατὴρ τάδε τινὰ ἑτοιμάζεται. Ἐπὶ τίνα; μή τι ἐπὶ τὴν προαίρεσιν; πόθεν δύναται; ἀλλ' ἐπὶ τὸ σωμάτιον, ἐπὶ τὸ κτησείδιον; Ἐσώθης, οὐκ ἐπὶ σέ. (4) Ἀλλ' ὁ κριτὴς ἀποφαίνεται ὅτι ἠσέβησας. Περὶ Σωκράτους δ' οὐκ ἀπεφήναντο οἱ δικασταί; Μή τι σὸν ἔργον ἐστὶ τὸ ἐκεῖνο ἀποφήνασθαι; Οὔ. Τί οὖν ἔτι σοι μέλει; (5) Ἔστι τι τοῦ πατρός σου ἔργον, ὃ ἂν μὴ ἐκπληρώσῃ, ἀπώλεσε τὸν πατέρα, τὸν φιλόστοργον, τὸν ἥμερον. Ἄλλο μηδὲν ζήτει τούτου ἕνεκα αὐτὸν ἀπολέσαι. Οὐδέποτε γὰρ ἐν ἄλλῳ μέν τις ἁμαρτάνει, εἰς ἄλλο δὲ βλάπτεται. (6) Πάλιν σὸν ἔργον τὸ ἀπολογηθῆναι εὐσταθῶς, αἰδημόνως, ἀοργήτως· εἰ δὲ μὴ, ἀπώλεσας καὶ σὺ τὸν υἱὸν, τὸν αἰδήμονα, τὸν γενναῖον. (7) Τί οὖν; ὁ κριτὴς ἀκίνδυνός ἐστιν; Οὔ· ἀλλὰ κἀκείνῳ τὰ ἴσα κινδυνεύεται. Τί οὖν ἔτι φοβῇ τί ἐκεῖνος κρινεῖ; τί σοὶ καὶ τῷ ἀλλοτρίῳ κακῷ; (8) Σὸν κακόν ἐστι τὸ κακῶς ἀπολογηθῆναι· τοῦτο φυλάσσου μόνον· κριθῆναι δ', ἢ μὴ κριθῆναι, ὥσπερ ἄλλου ἐστὶν ἔργον, οὕτω κακὸν ἄλλου ἐστίν. (9) Ἀπειλεῖ σοι ὁ δεῖνα. Ἐμοί; Οὔ. Ψέγει σε. Αὐτὸς ὄψεται πῶς ποιεῖ τὸ ἴδιον ἔργον. Μέλλει σε κατακρινεῖν ἀδίκως. Ἄθλιος.

CAP. XVIII.

Non perturbari oportere nunciis.

1. Si quid, quod turbare possit, nunciatum tibi fuerit, illud habeto in promptu, Nuncium ad nihil eorum posse pertinere, quæ tui arbitrii sint. (2) Num quis enim nunciare tibi potest, te perperam sensisse, aut prave appetivisse? Nequaquam. Sed, mortuum esse aliquem, nunciare potest. Quid ergo ad te? Aliquem tibi maledicere. Quid ergo ad te? (3) Patrem nescio quid moliri. Contra quem? numquid contra animi tui institutum? qui potest? At contra corpusculum, contra reculam? Salvus es; non contra te. (4) At judex pronunciat te impie fecisse. Annon et Socratem judices impietatis condemnarunt? Num tui arbitrii est quid illi pronuncient? Non. Quid ergo amplius curas? (5) Est quoddam patris tui officium, quod ille nisi præstiterit, patris rationem perdiderit, pietatem, mansuetudinem. Tu noli cupere ut aliud quid, ea quidem de caussa, ille perdat. Neque enim umquam in alio peccatur, in alio detrimentum capitur. (6) Rursus, tuum munus est caussam dicere constanter, verecunde, sine ira : alioqui et tu filii pietatem, verecundiam, probitatem amiseris. (7) Quid ergo? judexne periculi expers est? Non; sed et ille in eodem periculo versatur. Quid ergo etiamnum times quidnam ille pronunciaturus sit? quid tibi cum alienis malis? (8) Tuum malum est caussam tuam male agere; unum hoc caveto : condemnari vero te, vel non condemnari, ut alterius munus, sic alterius quoque malum est. (9) Iste tibi minatur. Mihi? Non. Vituperat te. Ipse viderit quemadmodum munus suum administret. Injuste te condemnaturus est. Ob id ipsum miser.

ΚΕΦ. ΙΘ'.

Τίς στάσις ἰδιώτου καὶ φιλοσόφου.

1. Ἡ πρώτη διαφορὰ ἰδιώτου καὶ φιλοσόφου, ὁ μὲν λέγει, Οὐαί μοι διὰ τὸ παιδάριον, διὰ τὸν ἀδελφὸν, οὐαὶ διὰ τὸν πατέρα· ὁ δ', ἄν ποτ' εἰπεῖν ἀναγκασθῇ, Οὐαί μοι, ἐπιστήσας λέγει, δι' ἐμέ. (2) Προαίρεσιν γὰρ οὐδὲν δύναται κωλῦσαι ἢ βλάψαι ἀπροαίρετον, εἰ μὴ αὐτὴ ἑαυτήν. (3) Ἂν μὲν οὖν ἐπὶ τοῦτο ῥέψωμεν καὶ αὐτοὶ, ὥσθ', ὅταν δυσοδῶμεν, ἑαυτοὺς αἰτιᾶσθαι, καὶ μεμνῆσθαι ὅτι οὐδὲν ἄλλο ταραχῆς ἢ ἀκαταστασίας αἴτιόν ἐστιν ἢ δόγμα· ὀμνύω ὑμῖν πάντας τοὺς θεοὺς, ὅτι προεκόψαμεν. (4) Νῦν δ' ἄλλην ὁδὸν ἐξ ἀρχῆς ἐληλύθαμεν. Εὐθὺς ἔτι παίδων ἡμῶν ὄντων, ἡ τίτθη, εἴ ποτε προσεπταίσαμεν χάσκοντες, οὐχὶ ἡμῖν ἐπέπλησσεν, ἀλλὰ τὸν λίθον ἔτυπτε. Τί γὰρ ἐποίησεν ὁ λίθος; διὰ τὴν τοῦ παιδίου σου μωρίαν ἔδει μεταβῆναι αὐτόν; (5) Πάλιν, ἂν μὴ εὕρωμεν φαγεῖν ἐκ βαλανείου, οὐδέποθ' ἡμῶν καταστέλλει τὴν ἐπιθυμίαν ὁ παιδαγωγὸς, ἀλλὰ δαίρει τὸν μάγειρον. Ἄνθρωπε, μὴ γὰρ ἐκείνου σε παιδαγωγὸν κατεστήσαμεν, ἀλλ' οὐ τοῦ παιδίου ἡμῶν; τοῦτο ἐπανόρθου, τοῦτο ὠφέλει. (6) Οὕτω καὶ αὐξηθέντες φαινόμεθα παιδία. Παῖς γὰρ ἐν μουσικοῖς, ὁ ἄμουσος· ἐν γραμματικοῖς, ὁ ἀγράμματος, ἐν βίῳ ὁ ἀπαίδευτος.

CAP. XIX.

Quis status sit hominis indocti et philosophi.

1. Primum indocti et philosophi discrimen est, quod ille dicit, Heu mihi propter filium, propter fratrem, propter patrem! hic vero, si quando Heu mihi! dicere cogitur, re considerata, ait, Propter me! (2) Voluntatem enim prohibere aut lædere nihil potest, quod est involuntarium; voluntas lædi, nisi a se ipsa, non potest. (3) Quodsi ergo huc tenderimus et ipsi, ut rebus male succedentibus ipsi nos accusemus, ac meminerimus non aliam esse perturbationis et inconstantiæ caussam, nisi decretum; omnes vobis juro deos, aliquid nos profecisse. (4) Nunc vero aliam viam ab initio sumus ingressi. Statim a puero nutrix, si quando per oscitantiam impegimus, non nos objurgavit, sed lapidem verberavit. Quidnam vero commisit lapis? debueratne ille propter pueruli tui stultitiam alio migrare? (5) Rursus, si quando e balneo redeuntes cibum non invenerimus, numquam cupiditatem nostram compescit pædagogus, sed coquum verberibus afficit. Homo, numquid illi te pædagogum præfecimus, non filiolo nostro? hunc corrige, hunc juvato. (6) Sic adulti etiam pro pueris nos gerimus. Puer enim in musica, est homo amusus; in re literaria, homo illiteratus : in vita, homo ineruditus.

ΚΕΦ. Κ'.

Ὅτι ἀπὸ πάντων τῶν ἐκτός ἐστιν ὠφελεῖσθαι.

1. Ἐπὶ τῶν θεωρητικῶν φαντασιῶν πάντες σχεδὸν τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐν ἡμῖν ἀπέλιπον, οὐχὶ δ' ἐν τοῖς ἐκτός. (2) Οὐδεὶς λέγει ἀγαθὸν τὸ ἡμέραν εἶναι, κακὸν τὸ νύκτα εἶναι, μέγιστον δὲ κακὸν τὸ τρία τέσσαρα εἶναι. (3) Ἀλλὰ τί; Τὴν μὲν ἐπιστήμην ἀγαθὸν, τὴν δ' ἀπάτην κακόν. Ὥστε καὶ περὶ τὸ ψεῦδος αὐτὸ ἀγαθὸν συνίστασθαι, τὴν ἐπιστήμην τοῦ ψεῦδος εἶναι αὐτό. (4) Ἔδει οὖν οὕτω καὶ ἐπὶ τοῦ βίου. Ὑγεία ἀγαθόν; νόσος δὲ κακόν; Οὐχ, ἄνθρωπε. Ἀλλὰ τί; Τὸ καλῶς ὑγιαίνειν, ἀγαθόν· τὸ κακῶς, κακόν· ὥστε καὶ ἀπὸ νόσου ἐστὶν ὠφεληθῆναι. Τὸν θεόν σοι, ἀπὸ θανάτου γὰρ οὐκ ἔστιν; ἀπὸ πηρώσεως γὰρ οὐκ ἔστι; (5) Μικρά σοι δοκεῖ ὁ Μενοικεὺς ὠφεληθῆναι, ὅτ' ἀπέθνησκε; Τοιαῦτά τις εἰπὼν, ὠφεληθείη οἷα ἐκεῖνος ὠφελήθη; Ἔα, ἄνθρωπε, οὐκ ἐτήρησε τὸν φιλόπατριν; τὸν μεγαλόφρονα; τὸν πιστόν; τὸν γενναῖον; (6) ἐπιζήσας δὲ, οὐκ ἀπώλλυε ταῦτα πάντα; οὐ περιεποιεῖτο τὰ ἐναντία; τὸν δειλὸν οὐκ ἀνελάμβανε; τὸν ἀγεννῆ; τὸν μισόπατριν; τὸν φιλόψυχον; (7) Ἄγε, δοκεῖ σοι μικρὰ ὠφεληθῆναι ἀποθανών; Οὔ· ἀλλ' ὁ τοῦ Ἀδμήτου πατὴρ μεγάλα ὠφελήθη, ζήσας οὕτως ἀγεννῶς καὶ ἀθλίως; ὕστερον γὰρ οὐκ ἀπέθανε; (8) Παύσασθε, τοὺς θεοὺς ὑμῖν, τὰς ὕλας θαυμάζοντες· παύσασθ' ἑαυτοὺς δούλους ποιοῦντες, πρῶτον τῶν πραγμάτων, εἶα δι' αὐτὰ καὶ τῶν ἀνθρώπων τῶν ταῦτα περιποιεῖν ἢ ἀφαιρεῖσθαι δυναμένων.

CAP. XX.

Posse fructum e rebus externis omnibus capi.

1. Quod ad visa theoretica attinet, propemodum omnes bonum et malum in nobis reliquerunt : non autem in rebus externis. (2) Nemo enunciationem hanc, *Dies est*, bonum appellat; aut illam, *Nox est*, malum; aut illam, *tria sunt quatuor*, maximum malum. (3) Quid ergo? Scientiam bonum dicunt; errorem, malum. Ita quidem, ut etiam circa ipsum falsum exsistat bonum, cum scimus esse illud falsum. (4) Eodem modo etiam in eis judicare debebamus, quæ ad vitam pertinent. Sanitas bonumne est? an morbus malum? Non, mi homo. Quid ergo? Recte sanitate uti, bonum est; male, malum : ita quidem, ut e morbo etiam fructum capere liceat. Per deum, nonne etiam e morte? nonne e claudítate? (5) Parum fructus cepisse Menœceum censes, cum mortem oppeteret? Hoc qui dicit, potestne is talibus fructibus frui, quales ille percepit? Eia, homo, nonne pietatem erga patriam conservavit? non magnitudinem animi? non fidem? non indolem generosam? (6) qui si diutius vixisset, nonne istis omnibus amissis in contraria incidisset? nonne ignaviæ crimen incurrisset? nonne animi degeneris? patriæ desertoris? mortem reformidantis? (7) Age, num parvum tibi fructum cepisse videtur e suo interitu? Non : sed Admeti pater magnum scilicet fructum cepit e vita sua tam degenere et misera? postea enim an non est mortuus? (8) Desinite, per deos, materias admirari : desinite vosmetipsos conjicere in servitutem, primum rerum ipsarum, deinde propter has hominum etiam eorum, qui eas vel conferre vel eripere possunt.

9. Ἔστιν οὖν ἀπὸ τούτων ὠφεληθῆναι; Ἀπὸ πάντων. Καὶ ἀπὸ τοῦ λοιδοροῦντος; Τί δ' ὠφελεῖ τὸν ἀθλητὴν ὁ προγυμναζόμενος; Τὰ μέγιστα. Καὶ οὗτος ἐμοῦ προγυμναστὴς γίνεται· τὸ ἀνεκτικόν μου γυμνάζει, τὸ ἀόργητον, τὸ πρᾷον. (10) Οὔχ· ἀλλ' ὁ μὲν τοῦ τραχήλου καθάπτων, καὶ τὴν ὀσφύν μου καὶ τοὺς ὤμους καταρτίζων, ὠφελεῖ με· καὶ ὁ ἀλείπτης καλῶς ποιῶν λέγει, Ἆρον ὕπερον ἀμφοτέραις· καὶ, ὅσον βαρύτερός ἐστιν ἐκεῖνος, τοσούτῳ μᾶλλον ὠφελοῦμαι ἐγώ· εἰ δέ τις πρὸς ἀοργησίαν με γυμνάζει, οὐκ ὠφελεῖ με; (11) Τοῦτ' ἔστι τὸ μὴ εἰδέναι ἀπ' ἀνθρώπων ὠφελεῖσθαι. Κακὸς γείτων; Αὑτῷ· ἀλλ' ἐμοὶ ἀγαθός· γυμνάζει μου τὸ εὔγνωμον, τὸ ἐπιεικές. Κακὸς πατήρ; Αὑτῷ· ἀλλ' ἐμοὶ ἀγαθός. (12) Τοῦτ' ἔστι τὸ τοῦ Ἑρμοῦ ῥαβδίον. Οὗ θέλεις, φησὶν, ἅψαι, καὶ χρυσοῦν ἔσται. Οὔ· ἀλλ' ὃ θέλεις φέρε, κἀγὼ αὐτὸ ἀγαθὸν ποιήσω. Φέρε νόσον, φέρε θάνατον, φέρε ἀπορίαν, φέρε λοιδορίαν, δίκην τὴν περὶ τῶν ἐσχάτων· πάντα ταῦτα τῷ ῥαβδίῳ τοῦ Ἑρμοῦ ὠφέλημα ἔσται. (13) Τὸν θάνατον τί ποιήσεις; Τί γὰρ ἄλλο, ἢ ἵνα σε κοσμήσῃ, ἢ ἵνα δείξῃς ἔργῳ δι' αὐτοῦ, τί ἐστιν ἄνθρωπος τῷ βουλήματι τῆς φύσεως παρακολουθῶν. (14) Τὴν νόσον τί ποιήσεις; Δείξω αὐτῆς τὴν φύσιν, διαπρέψω ἐν αὐτῇ, εὐσταθήσω, εὐροήσω, τὸν ἰατρὸν οὐ κολακεύσω, οὐκ εὔξομαι μὴ ἀποθανεῖν. (15) Τί ἔτι ἄλλο ζητεῖς; πᾶν ὃ ἂν δῷς, ἐγὼ αὐτὸ ποιήσω μακάριον, εὐδαιμονικὸν, σεμνὸν, ζηλωτόν.

16. Οὔ· ἀλλὰ βλέπε μὴ νοσήσῃς· κακόν ἐστιν. Οἷον εἴ τις ἔλεγε, Βλέπε μὴ λάβῃς ποτὲ φαντασίαν τοῦ τὰ τρία τέσσαρα εἶναι· κακόν ἐστιν. Ἄνθρωπε, πῶς κακόν; ἂν ὃ δεῖ περὶ αὐτοῦ ὑπολάβω, πῶς ἔτι με βλάψει; οὐχὶ δὲ μᾶλλον καὶ ὠφελήσει; (17) Ἂν οὖν περὶ πενίας ὃ δεῖ ὑπολάβω, ἂν περὶ νόσου, ἂν περὶ ἀναρχίας, οὐκ ἀρκεῖ μοι; οὐκ ὠφέλημα ἔσται; Πῶς οὖν ἔτι ἐν τοῖς ἐκτὸς τὰ κακὰ καὶ τἀγαθὰ δεῖ με ζητεῖν; (18) Ἀλλὰ τί; ταῦτα μέχρι ὧδε, εἰς οἶκον δ' οὐδεὶς ἀποφέρει· ἀλλ' εὐθὺς πρὸς τὸ παιδάριον πόλεμος, πρὸς τοὺς γείτονας, πρὸς τοὺς σκώψαντας, πρὸς τοὺς καταγελάσαντας. (19) Καλῶς γένοιτο Λεσβίῳ, ὅτι με καθ' ἡμέραν ἐξελέγχει μηδὲν εἰδότα.

9. Fructus ergo ex hisce rebus capi potest? Ex omnibus. Etiamne e conviciatore? Quid vero pugili fructus affert is qui eum exercet? Plurimum. Etiam hic mihi sit in palæstra præceptor; me exercet ad tolerantiam, ad mansuetudinem, ad clementiam. (10) Non : sed ille quidem collum meum contrectans, et lumbos et humeros disponens, me juvat; et alipta recte dicit, Tolle pistillum utraque manu in altum, et, quanto est ille gravior, tanto magis ego juvor; si quis vero ad mansuetudinem me exercet, is non me juvat? (11) Istud est nescire fructum capere ex hominibus. Malus vicinus est? Sibi ipse; mihi vero bonus : exercet moderationem, exercet æquitatem meam. Malus pater est? Sibi ipse; at mihi bonus. (12) Hæc est Mercurii virgula : Hac, inquit, quidquid attigeris, aureum erit. Non ita : sed, quidquid volueris, affer; idque ego bonum faciam. Affer morbum; affer mortem; affer egestatem; affer convicium; affer discrimen capitis : omnia hæc virgulâ Mercurii lucra reddentur. (13) De morte quid facies? Quid vero aliud nisi ut ea te ornet, aut ut hac re ipsa demonstres quid sit homo, si naturæ voluntatem sequatur? (14) De morbo quid facies? Ostendam ejus naturam, excellam in eo, constanter perferam, tranquillus ero, medico non adulabor, non optabo ne moriar. (15) Quid requiris amplius? quidquid mihi dederis, id ego efficiam beatum, prosperum, honorabile, expetendum.

16. At tu non ita : sed, Cave, inquis, ne ægrotes; malum est. Perinde istud est, ac si quis diceret : Cave ne quando tibi fingas tria esse quatuor : malum est. Quomodo malum, homo? si de hoc sic existimaro ut decet, quid porro mihi nocebit? nonne potius etiam proderit? (17) Si ergo de paupertate, de morbo, de conditione privata et honoribus exclusa ita sensero ut decet, nonne id mihi satis est? nonne lucrum est? Qua ergo ratione posthac bona et mala in rebus externis quærerem? (18) At quid fit? Hæc, dum in schola estis, *tenetis* : nemo autem secum aufert domum; sed statim cum puero bellum geritur, cum vicinis, cum iis qui nos cavillati sunt, qui irriserunt. (19) Bene sit Lesbio, quod in dies inscitiam meam coarguit.

ΚΕΦ. ΚΑ'.

Πρὸς τοὺς εὐκόλως ἐπὶ τὸ σοφιστεύειν ἐρχομένους.

1. Οἱ τὰ θεωρήματα ἀναλαβόντες ψιλὰ, εὐθὺς αὐτὰ ἐξεμέσαι θέλουσιν, ὡς οἱ στομαχικοὶ τὴν τροφήν. (2) Πρῶτον αὐτὸ πέψον, εἶθ' οὕτω μὴ ἐξεμέσῃς· εἰ δὲ μὴ, ἔμετος τῷ ὄντι γίνεται, πρᾶγμα ἀκάθαρτον καὶ ἄβρωτον. (3) Ἀλλ' ἀπ' αὐτῶν ἀναδοθέντων δεῖξόν τινα ἡμῖν μεταβολὴν τοῦ ἡγεμονικοῦ τοῦ σεαυτοῦ· ὡς οἱ ἀθληταὶ τοὺς ὤμους, ἀφ' ὧν ἐγυμνάσθησαν καὶ ἔφαγον· ὡς οἱ τὰς τέχνας ἀναλαβόντες, ἀφ' ὧν ἔμαθον. (4) Οὐκ ἔρχεται ὁ τέκτων καὶ λέγει, Ἀκούσατέ μου διαλεγομένου περὶ τῶν τεκτονικῶν· ἀλλ', ἐκμισθωσάμενος οἰκίαν, ταύτην κατασκευάσας, δείκνυσιν ὅτι ἔχει τὴν τέχνην. (5) Τοι-

CAP. XXI.

Ad eos qui temere doctorum munus capessunt.

1. Qui nuda præcepta didicerunt, statim ea evomere volunt; sicut qui e stomacho laborant, cibum. (2) Concoque illa prius, deinde non ita evomes. Si vero non concoxeris; revera vomitus erit *id, quod tu alterum docere volueris;* res impura, minimeque esculenta. (3) Quin potius rite digestis eis *quæ didicisti*, mutationem aliquam ostendito in mente tua factam : quemadmodum pugiles humeris suis declarant, ut exercitati fuerint, ut cibum ceperint; quemadmodum artifices, quid didicerint. (4) Faber non dicit, Audite me disserentem de re fabrili : sed conducta domo, eaque ædificata, ostendit artem se tenere. (5) Tale aliquid

αὐτόν τι καὶ σὺ ποίησον· φάγε ὡς ἄνθρωπος, πίε ὡς ἄνθρωπος, κοσμήθητι, γάμησον, παιδοποίησον, πολίτευσαι· ἀνάσχου λοιδορίας, ἔνεγκαι ἀδελφὸν ἀγνώμονα, ἔνεγκαι πατέρα, ἔνεγκαι υἱὸν, γείτονα, σύνοδον. (6) Ταῦτα ἡμῖν δεῖξον, ἵν' ἴδωμεν ὅτι μεμάθηκας ταῖς ἀληθείαις τι τῶν φιλοσόφων. Οὔ· ἀλλ ἐλθόντες ἀκούσατέ μου σχόλια λέγοντος. Ὕπαγε, ζήτει τίνων κατεξεράσεις. (7) Καὶ μὴν ἐγὼ ὑμῖν ἐξηγήσομαι τὰ Χρυσίππεια, ὡς οὐδείς· τὴν λέξιν διαλύσω καθαρώτατα· προσθήσω ἄν που καὶ Ἀντιπάτρου καὶ Ἀρχεδήμου φοράν.

8. Εἶτα τούτου ἕνεκα ἀπολίπωσιν οἱ νέοι τὰς πατρίδας καὶ τοὺς γονεῖς τοὺς αὑτῶν, ἵν' ἐλθόντες λεξείδιά σου ἐξηγουμένου ἀκούσωσιν; (9) Οὐ δεῖ αὐτοὺς ὑποστρέψαι ἀνεκτικοὺς, συνεργητικοὺς, ἀπαθεῖς, ἀταράχους, ἔχοντάς τι ἐφόδιον τοιοῦτον εἰς τὸν βίον, ἀφ' οὗ ὁρμώμενοι φέρειν δυνήσονται τὰ συμπίπτοντα καλῶς, καὶ κοσμεῖσθαι ὑπ' αὐτῶν; (10) Καὶ πόθεν σοι μεταδιδόναι τούτων ὧν οὐκ ἔχεις; Αὐτὸς γὰρ ἄλλο τι ἐποίησας ἐξ ἀρχῆς, ἢ περὶ ταῦτα κατετρίβης, πῶς οἱ συλλογισμοὶ ἀναλυθήσονται, πῶς οἱ μεταπίπτοντες, πῶς οἱ τῷ ἠρωτῆσθαι περαίνοντες; (11) Ἀλλ' ὁ δεῖνα σχολὴν ἔχει· διὰ τί μὴ κἀγὼ σχῶ; Οὐχ εἰκῇ ταῦτα γίνεται, ἀνδράποδον, οὐδ' ὡς ἔτυχεν· ἀλλὰ καὶ ἡλικίαν εἶναι δεῖ, καὶ βίον, καὶ θεὸν ἡγεμόνα. (12) Οὔ· ἀλλ' ἀπὸ λιμένος μὲν οὐδεὶς ἀνάγεται, μὴ θύσας τοῖς θεοῖς καὶ παρακαλέσας αὐτοὺς βοηθούς· οὐδὲ σπείρουσιν ἄλλως οἱ ἄνθρωποι, εἰ μὴ τὴν Δήμητραν ἐπικαλεσάμενοι· τηλικούτου δ' ἔργου ἀψάμενός τις ἄνευ θεῶν ἀσφαλῶς ἄψεται; καὶ οἱ τούτῳ προσιόντες εὐτυχῶς προσελεύσονται; (13) Τί ἄλλο ποιεῖς, ἄνθρωπε, ἢ τὰ μυστήρια ἐξορχῇ; καὶ λέγεις, Οἴκημά ἐστι καὶ ἐν Ἐλευσῖνι, ἰδοὺ καὶ ἐνθάδε· ἐκεῖ ἱεροφάντης, καὶ ἐγὼ ποιήσω ἱεροφάντην· ἐκεῖ κῆρυξ, κἀγὼ κήρυκα καταστήσω· ἐκεῖ δᾳδοῦχος, κἀγὼ δᾳδοῦχον· ἐκεῖ δᾷδες, καὶ ἐνθάδε. Αἱ φωναὶ αἱ αὐταί· τὰ γινόμενα τί διαφέρει ταῦτα ἐκείνων; (14) Ἀσεβέστατε ἄνθρωπε, οὐδὲν διαφέρει; Καὶ παρὰ τόπον ταῦτα ὠφελεῖ, καὶ παρὰ καιρόν· καὶ μετὰ θυσίας δὲ, καὶ μετ' εὐχῶν, καὶ προηγνευκότα, καὶ προδιακείμενον τῇ γνώμῃ, ὅτι ἱεροῖς προσελεύσεται, καὶ ἱεροῖς παλαιοῖς. (15) Οὕτως ὠφέλιμα γίνεται τὰ μυστήρια, οὕτως εἰς φαντασίαν ἐρχόμεθα, ὅτι ἐπὶ παιδείᾳ καὶ ἐπανορθώσει τοῦ βίου κατεστάθη πάντα ταῦτα ὑπὸ τῶν παλαιῶν. (16) Σὺ δ' ἐξαγγέλλεις αὐτὰ καὶ ἐξορχῇ, παρὰ καιρὸν, παρὰ τόπον, ἄνευ θυμάτων, ἄνευ ἁγνείας· οὐχ ἐσθῆτα ἔχεις ἣν δεῖ τὸν ἱεροφάντην, οὐ κόμην, οὐ στρόφιον οἷον δεῖ, οὐ φωνὴν, οὐχ ἡλικίαν, οὐχ ἥγνευκας ὡς ἐκεῖνος· ἀλλ' αὐτὰς μόνας τὰς φωνὰς ἀνειληφὼς λέγεις, Ἱεραί εἰσιν αἱ φωναὶ αὐταὶ καθ' αὑτάς.

17. Ἄλλον δεῖ τρόπον ἐπὶ ταῦτα ἐλθεῖν· μέγα ἐστὶ τὸ πρᾶγμα, μυστικόν ἐστιν, οὐχ ὡς ἔτυχεν, οὐδὲ τῷ τυχόντι δεδομένον. (18) Ἀλλ' οὐδὲ σοφὸν εἶναι τυχὸν ἐξαρκεῖ πρὸς τὸ ἐπιμεληθῆναι νέων· δεῖ δὲ καὶ προχειρότητα εἶναι τινὰ καὶ ἐπιτηδειότητα πρὸς τοῦτο, νὴ

etiam tu fac : ede, ut homo; bibe, ut homo; sic te come, matrimonium contrahe, liberos procrea, rempublicam gere; convicium tolera, fer fratrem iniquum, fer patrem, fer filium, vicinum, comitem. (6) Hæc nobis ostende, ut cognoscamus te vere a philosophis aliquid didicisse. Non : sed venite, *ais*, meque audite commentaria dictantem. Abi; quærito in quos ista evomas. (7) Atqui ego vobis Chrysippi libros ita enarrabo, ut nemo alius : dictionem quam liquidissime declarabo : aliquando etiam Antipatri et Archedemi impetum adjungam.

8. Haccine ergo de caussa patriam parentesque relinquent adolescentes, ut huc profecti te verba explicantem audiant? (9) Nonne domum redire debent tolerantes, officiosi, perturbatione vacui, tranquilli, tali viatico ad degendam vitam instructi, ut casus humanos pulcre ferre norint, atque inde ornari? (10) Unde autem tu illa impertias, quæ non habes? Numquid ipse quidquam aliud egisti ab initio, nisi quod in eo versatus es, quemadmodum syllogismi resolvantur, quemadmodum sophismata, quemadmodum interrogationum conclusiones? (11) At iste ludum literarium aperuit : quidni aperiam et ego? Non temere ista fiunt, mancipium, neque forte fortuna : sed et ætate opus est, et certa vitæ ratione, et deo duce. (12) At tibi id non placet : sed e portu quidem nemo solvit, nisi sacra diis fecerit, eorumque opem implorarit; neque aliter serunt agricolæ, nisi Cerere invocata; tantam vero rem qui aggreditur, is neglectis diis tuto eam aggredietur? et qui illum adeunt, felicibus auspiciis adibunt? (13) Quid aliud facis, homo, nisi Cereris mysteria divulgas? et ais : Ædes est Eleusine; ecce et hic : ibi sacrorum antistes; et ego faciam antistitem : ibi præco; et ego præconem instituam : ibi tedifer; et ego tediferum : ibi faces; et hic. Voces eædem; et res quid differunt hæc ab istis? (14) Homo impiissime, nihilne differunt? Pro ratione loci et temporis ista prosunt; tum vero adhibito sacrificio, adhibitis precibus, castitate, animoque sic affecto, ut cogitet homo, ad sacra se accessurum vetustasque cærimonias. (15) Sic utilia fiunt mysteria; sic cogitare possumus, erudiendæ et corrigendæ vitæ caussa esse ista omnia a veteribus instituta. (16) Tu vero ea enuncias et effutis alieno tempore, alieno loco, sine sacrificiis, absque castimonia : non ea tibi vestis est, quæ sacrorum antistitem deceat; non coma, non redimiculum quale requiritur, non vox, non ætas : non caste vixisti, ut ille : sed cum solas voces memoriæ mandaris, dicis, Sacræ sunt illæ voces ipsæ per sese.

17. Alio modo ad hæc accedendum est : magna res est, arcani plena, non pervulgata, nec ejus generis, quæ cuivis data sit. (18) Fortassis etiam ne sapientem quidem esse satis est ad regendos juvenes; sed et alacritas quædam ingeniique dexteritas ad hoc requiritur, hercle etiam certa cor-

τὸν Δία, καὶ σῶμα ποιὸν, καὶ πρὸ πάντων τὸν θεὸν συμβουλεύειν ταύτην τὴν χώραν κατασχεῖν· (19) ὡς Σωκράτει συνεβούλευε τὴν ἐλεγκτικὴν χώραν ἔχειν, ὡς Διογένει τὴν βασιλικὴν καὶ ἐπιπληκτικὴν, ὡς Ζήνωνι τὴν διδασκαλικὴν καὶ δογματικήν. (20) Σὺ δ' ἰατρεῖον ἀνοίγεις, ἄλλο οὐδὲν ἔχων ἢ φάρμακα· ποῦ δὲ ἢ πῶς ἐπιτίθεται ταῦτα μήτε εἰδὼς μήτε πολυπραγμονήσας. (21) Ἰδοὺ ἐκεῖνος ταῦτα [τὰ] κολλύρια· κἀγὼ ἔχω. Μή τι οὖν καὶ τὴν δύναμιν τὴν χρηστικὴν αὐτοῖς; μή τι οἶδας καὶ πότε καὶ πῶς ὠφελήσει, καὶ τίνας; (22) Τί οὖν κυβεύεις ἐν τοῖς μεγίστοις; τί ῥᾳδιουργεῖς; τί ἐπιχειρεῖς πράγματι μηδέν σοι προσήκοντι; Ἄφες αὐτὸ τοῖς δυναμένοις, τοῖς κοσμοῦσι. Μὴ προστρίβου καὶ αὐτὸς αἶσχος φιλοσοφίᾳ διὰ σαυτοῦ· μηδὲ γίνου μέρος τῶν διαβαλλόντων τὸ ἔργον. (23) Ἀλλὰ, εἴ σε ψυχαγωγεῖ τὰ θεωρήματα, καθήμενος αὐτὰ στρέφε αὐτὸς ἐπὶ σεαυτοῦ· φιλόσοφον δὲ μηδέποτ' εἴπῃς σεαυτὸν, μὴ δ' ἄλλου ἀνάσχῃ λέγοντος, ἀλλὰ λέγε, Πεπλάνηται· ἐγὼ γὰρ οὔτ' ὀρέγομαι ἄλλως ἢ πρότερον, οὐδ' ὁρμῶ ἐπ' ἄλλα, οὐδὲ συγκατατίθεμαι ἄλλοις, οὐδ' ὅλως ἐν χρήσει φαντασιῶν παρήλλαχά τι ἀπὸ τῆς πρότερον καταστάσεως. (24) Ταῦτα φρόνει καὶ λέγε περὶ σεαυτοῦ, εἰ θέλεις τὰ κατ' ἀξίαν φρονεῖν· εἰ δὲ μὴ, κύβευε καὶ ποίει ἃ ποιεῖς· ταῦτα γάρ σοι πρέπει.

ΚΕΦ. ΚΒ'.

Περὶ κυνισμοῦ.

1. Πυθομένου δὲ τῶν γνωρίμων τινὸς αὐτοῦ, ὃς ἐφαίνετο ἐπιρρεπῶς ἔχων πρὸς τὸ κυνίσαι, ποῖόν τινα εἶναι δεῖ τὸν κυνίζοντα, καὶ τίς ἡ πρόληψις ἡ τοῦ πράγματος· Σκεψόμεθα, ἔφη, κατὰ σχολήν. (2) Τοσοῦτον δ' ἔχω σοι νῦν εἰπεῖν, ὅτι ὁ δίχα θεοῦ τηλικούτῳ πράγματι ἐπιβαλλόμενος, θεοχόλωτός ἐστι, καὶ οὐδὲν ἄλλο ἢ δημοσίᾳ θέλει ἀσχημονεῖν. (3) Οὐδὲ γὰρ ἐν οἰκίᾳ καλῶς οἰκουμένῃ παρελθών τις αὐτὸς ἑαυτῷ λέγει, Ἐμὲ δεῖ οἰκονόμον εἶναι· εἰ δὲ μὴ, ἐπιστραφεὶς ὁ κύριος καὶ ἰδὼν αὐτὸν σοβαρῶς διατασσόμενον, ἑλκύσας ἔτεμεν. (4) Οὕτω γίνεται καὶ ἐν τῇ μεγάλῃ πόλει ταύτῃ· ἔστι γάρ τις καὶ ἐνθάδ' οἰκοδεσπότης, ἕκαστα διατάσσων. (5) Σὺ ἥλιος εἶ· δύνασαι περιερχόμενος ἐνιαυτὸν ποιεῖν καὶ ὥρας, καὶ τοὺς καρποὺς αὔξειν καὶ τρέφειν, καὶ ἀνέμους κινεῖν καὶ ἀνιέναι, καὶ τὰ σώματα τῶν ἀνθρώπων θερμαίνειν συμμέτρως· ὕπαγε, περιέρχου, καὶ οὕτω διακόνει ἀπὸ τῶν μεγίστων [ἐπὶ] τὰ μικρότατα. (6) Σὺ μοσχάριον εἶ· ὅταν ἐπιφανῇ λέων, τὸ σαυτοῦ πρᾶσσε· εἰ δὲ μὴ, οἰμώξεις. Σὺ ταῦρος εἶ, προσελθὼν μάχου· σοὶ γὰρ τοῦτο ἐπιβάλλει καὶ πρέπει, καὶ δύνασαι αὐτὸ ποιεῖν. (7) Σὺ δύνασαι ἡγεῖσθαι τοῦ στρατεύματος ἐπὶ Ἴλιον· ἴσθι Ἀγαμέμνων. Σὺ δύνασαι τῷ Ἕκτορι μονομαχῆσαι· ἴσθι Ἀχιλλεύς. (8) Εἰ δὲ Θερσίτης παρελθὼν ἀντεποιεῖτο τῆς ἀρχῆς, ἢ οὐκ ἂν ἔτυχεν, ἢ τυχὼν ἂν ἠσχημόνησεν ἐν πλείοσι [μάρτυσι].

9. Καὶ σὺ βούλευσαι περὶ [τοῦ] πράγματος ἐπιμε-

poris ratio, et, quod primum est omnium, ut Deus ipse munus istud capessere suadeat; (19) quemadmodum Socrati auctor fuit suscipiendi muneris coarguendorum errorum; quemadmodum Diogeni, ut regio more delinquentes objurgaret: quemadmodum Zenoni, ut doceret et præcepta traderet. (20) Tu vero tabernam medicam aperis, cum præter medicamenta nihil habeas; ubi autem et quomodo ea sint applicanda, neque noris, neque indagaris. (21) Ecce ille hæc collyria habet. Habeo et ego. An ergo etiam, quomodo illis utendum sit, nosti? scisne, quomodo, et quando, et quos juvent? (22) Quid ergo maximis in rebus ludis? quid temere agis? quid rem aggrederis nihil ad te pertinentem? Relinque illam iis qui sciunt, qui eam ornant. Noli tu quoque per te ignominiæ maculam philosophiæ affricare; neu ex eorum numero esse velis, qui munus hoc calumniantur. (23) Quodsi præcepta te delectant, ipse ea tecum tacitus animo volvito; philosophum autem numquam te profitere, neu ab alio nominari te sine; sed dic, Versatur in errore; ego enim nec aliter appeto quam prius, nec alia agere aggredior, nec aliis assentior, denique in usu visorum prorsus nihil a veteri statu recessi. (24) Hæc senti, et dic de te ipso, si ita ut decet sentire cupis: sin minus, lude, et ea fac quæ facis. Hoc enim te decet.

CAP. XXII.

De secta Cynica.

1. Quodam e discipulis, qui ad Cynicam sectam propensior videbatur, eum percontato, qualem Cynicum esse oporteret, et quæ ejus negotii notio esset; Considerabimus, inquit, per otium. (2) Tantum autem tibi nunc habeo dicere, eum, qui sine Deo rem tantam aggrediatur, ira numinis agitari, nec aliud quidquam velle, nisi publice indecore agere. (3) Neque enim in domo bene constituta progreditur aliquis, et sibi ipse dicit, Me oportet esse dispensatorem: alioqui dominus rem animadvertens, vidensque hominis insolentiam, res suo arbitratu administrantis, arreptum eum male tractabit. (4) Pari modo fit etiam in hac magna civitate. Est enim et hic quidam paterfamilias, omnia et singula ordinans. (5) Tu sol es; circuituque tuo annum annique tempora efficere potes, et fruges augere atque alere, ventos concitare et reprimere, corporaque hominum moderato calore fovere: abi, circumi, atque ita ministerium tuum age in rebus maximis minimisque. (6) Tu vitulus es: leo si conspectus fuerit, quod tuum est agito; alioquin ejulabis. Tu taurus es: accede, et pugna: tuæ enim istæ partes sunt; te hoc decet; idque præstare potes. (7) Tu exercitum ad Ilium ducere potes: esto Agamemno. Tu singulari certamine cum Hectore congredi potes: esto Achilles. (8) Quodsi vero Thersites prodiret, atque imperium sibi vindicaret; aut voto frustraretur, aut eo potitus, pluribus coram testibus turpiter se daret.

9. Et tu quoque rem diligenter considera: non est ejus-

λῶς οὐκ ἔστιν οἷον δοκεῖ σοι. (10) Τριβώνιον καὶ νῦν φορῶ, καὶ τότε ἕξω· κοιμῶμαι καὶ νῦν σκληρῶς, καὶ τότε κοιμήσομαι· πηρίδιον προσλήψομαι καὶ ξύλον, καὶ περιερχόμενος αἰτεῖν ἄρξομαι [καὶ] τοὺς ἀπαντῶντας λοιδορεῖν· κἂν ἴδω τινὰ δρωπακιζόμενον, ἐπιτιμήσω αὐτῷ, κἂν τὸ κόμιον πεπλακότα, ἢ ἐν κοκκίνοις περιπατοῦντα. (11) Εἰ τοιοῦτόν τι φαντάζῃ τὸ πρᾶγμα, μακρὰν ἀπ' αὐτοῦ· μὴ προσέλθῃς, οὐδέν ἐστι πρὸς σέ. (12) Εἰ δ' οἷόν ἐστι φανταζόμενος, οὐκ ἀπαξιοῖς σεαυτόν, σκέψαι ἡλίκῳ πράγματι ἐπιχειρεῖς.

13. Πρῶτον ἐν τοῖς κατὰ σαυτόν, οὐκέτι δεῖ σε ὅμοιον ἐν οὐδενὶ φαίνεσθαι οἷς νῦν ποιεῖς· οὐ θεῷ ἐγκαλοῦντα, οὐκ ἀνθρώπῳ· ὄρεξιν ἆραί σε δεῖ παντελῶς, ἔκκλισιν ἐπὶ μόνα μεταθεῖναι τὰ προαιρετικά· σοὶ μὴ ὀργὴν εἶναι, μὴ μῆνιν, μὴ φθόνον, μὴ ἔλεον· μὴ κοράσιόν σοι φαίνεσθαι καλόν, μὴ δοξάριον, μὴ παιδάριον, μὴ πλακουντάριον. (14) Ἐκεῖνο γὰρ εἰδέναι δεῖ, ὅτι οἱ ἄλλοι ἄνθρωποι τοὺς τοίχους προβέβληνται καὶ τὰς οἰκίας καὶ τὸ σκότος, ὅταν τι τῶν τοιούτων ποιῶσι, καὶ τὰ κρύψοντα πολλὰ ἔχουσι. Κέκλεικε τὴν θύραν, ἔστησέ τινα πρὸ τοῦ κοιτῶνος· Ἄν τις ἔλθῃ, λέγε ὅτι ἔξω ἐστίν, οὐ σχολάζει. (15) Ὁ Κυνικὸς δ' ἀντὶ πάντων τούτων ὀφείλει τὴν αἰδῶ προβεβλῆσθαι· εἰ δὲ μή, γυμνὸς καὶ ἐν ὑπαίθρῳ ἀσχημονήσει. Τοῦτο οἰκία ἐστὶν αὐτοῦ, τοῦτο θύρα, τοῦτο οἱ ἐπὶ τοῦ κοιτῶνος, τοῦτο σκότος. Οὔτε γὰρ θέλειν τι δεῖ ἀποκρύπτειν αὐτὸν τῶν ἑαυτοῦ. (16) Εἰ δὲ μή, ἀπῆλθεν, ἀπώλεσε τὸν Κυνικόν, τὸν ὕπαιθρον, τὸν ἐλεύθερον· ἤρκταί τι τῶν ἐκτὸς φοβεῖσθαι, ἤρκται χρείαν ἔχειν τοῦ ἀποκρύψοντος, οὔτε ὅταν θέλῃ δύναται. Ποῦ γὰρ αὐτὸν ἀποκρύψει, καὶ πῶς; (17) Ἂν δ' ἀπὸ τύχης ἐμπέσῃ ὁ παιδευτὴς ὁ κοινός, ὁ παιδαγωγός, οἷα πάσχειν ἀνάγκη; (18) Ταῦτ' οὖν δεδοικότα, ἐπιθαρρεῖν οἷόν τ' ἔτι ἐξ ὅλης ψυχῆς, ἐπιστατεῖν τοῖς ἄλλοις ἀνθρώποις; Ἀμήχανον, ἀδύνατον. (19) Πρῶτον οὖν τὸ ἡγεμονικόν σε δεῖ τὸ σαυτοῦ καθαρὸν ποιῆσαι, καὶ τὴν ἔνστασιν ταύτην· (20) Νῦν ἐμοὶ ὕλη ἐστὶν ἡ ἐμὴ διάνοια, ὡς τῷ τέκτονι τὰ ξύλα, ὡς τῷ σκυτεῖ τὰ δέρματα· ἔργον δ', ὀρθὴ χρῆσις τῶν φαντασιῶν. (21) Τὸ σωμάτιον δὲ οὐδὲν πρὸς ἐμέ· τὰ τούτου μέρη οὐδὲν πρὸς ἐμέ. Θάνατος; Ἐρχέσθω ὅταν θέλῃ, εἴτε ὅλου, εἴτε μέρους τινός. (22) Φεῦγε. Καὶ ποῦ; δύναταί τις ἐκβαλεῖν ἔξω τοῦ κόσμου; Οὐ δύναται· ὅπου δ' ἂν ἀπέλθω, ἐκεῖ ὁ ἥλιος, ἐκεῖ ἡ σελήνη, ἐκεῖ ἄστρα, ἐνύπνια, οἰωνοί, ἡ πρὸς θεοὺς ὁμιλία.

23. Εἶθ' οὕτω παρασκευασάμενον, οὐκ ἔστι τούτοις ἀρκεῖσθαι τὸν ταῖς ἀληθείαις Κυνικόν· ἀλλ' εἰδέναι δεῖ, ὅτι ἄγγελος ἀπὸ τοῦ Διὸς ἀπέσταλται πρὸς τοὺς ἀνθρώπους, περὶ ἀγαθῶν καὶ κακῶν ὑποδείξων αὐτοῖς, ὅτι πεπλάνηνται καὶ ἀλλαχοῦ ζητοῦσι τὴν οὐσίαν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὅπου οὐκ ἔστιν· ὅπου δ' ἔστιν, οὐκ ἐνθυμοῦνται· (24) καί, ὡς ὁ Διογένης ἀπαχθεὶς πρὸς Φίλιππον μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην, κατάσκοπος εἶναι. Τῷ γὰρ ὄντι κατάσκοπός ἐστιν ὁ Κυ-

modi, qualis tibi videtur. (10) Tritum palliolum gesto nunc; tunc quoque gestabo : dormio nunc duriter; tunc quoque duriter dormiam : peram adjungam et baculum, et passim petere atque obvios conviciis incessere incipiam : quodsi quem videro pilos evellentem, objurgabo, sive comam ornantem, aut in purpureis vestibus ambulantem. (11) Si hujusmodi esse tibi fingis negotium, longe ab eo recede; noli accedere, nihil ad te attinet. (12) Sin ita de eo sentis ut re ipsa est, et tamen id te decere putas, vide quantam rem aggrediaris.

13. Primum tuis in rebus, non amplius te tui similem esse oportet, nec quidquam eorum facere quæ nunc facis : non incusandus deus, non homo; appetitio tibi plane auferenda est, aversatio ad ea sola, quæ tui arbitrii sunt, transferenda; non te iracundum esse decet, non indignabundum, non invidum, non misericordem; puella pulcra tibi videri nulla debet, non gloriola, non puellus, non placentula. (14) Illud enim tenendum est, ceteros homines parietibus, ædibus, tenebris sese tegere, si quid ejus generis agant, et multos celandi habere modos. Januam hic claudit, collocat aliquem ante cubiculum, qui, si quis venerit, dicat, eum domi non esse, non agere otium. (15) At Cynicus, istarum rerum omnium loco, verecundia se cingere debet; alioquin nudus et sub dio turpiter se dabit. Hæc domus illi esse debet, hæc janua, hi cubicularii, hæ tenebræ. Neque enim velle debet suarum rerum quidquam occultare : (16) alioqui abiit, et Cynicum amisit, illum sub dio agentem, illum liberum; cœpit aliquid eorum quæ foris sunt formidare; cœpit egere occultatione, nec cum vult potest. Ubi enim se occultabit, et quomodo? (17) Si vero publicus ille institutor, pædagogus ille, forte deprehensus in facinore fuerit, quænam eum perpeti necesse erit? (18) Hæc ergo formidans poteritne adhuc toto animo confidere et aliis omnibus præesse? Nulla ratio id sinit : fieri nullo modo potest. (19) Primum igitur principalis illa tui pars pura tibi præstanda est, et hoc vitæ institutum : (20) Nunc materia mihi est meus animus, sicut fabro ligna, sicut calceario coria : officii vero munus est, rectus visorum usus. (21) Corpusculum autem nihil ad me; partes illius nihil ad me. Quid mors? Veniat quando volet, sive totum sive partem aliquam velit ademptam. (22) Ito in exsilium. Quo? potestne quisquam extra mundum me ejicere? Non potest : quocunque autem abiero, ibi erit sol, ibi luna, ibi stellæ, insomnia, auguria, colloquia cum deo.

23. Postquam autem ita se paravit verus Cynicus, his contentus esse nequit : sed scire debet, se a Jove legatum esse ad homines, ut, quæ bona, quæ mala sint, eis nunciet; ut, quantis in erroribus versentur, demonstret, alio in loco bonorum malorumque naturam, quam ubi ea est, quærentes; ubi revera est, non cogitantes : (24) et sicut Diogenes, post Chæronensem cladem ad Philippum adductus, *meminisse debet* exploratorem se esse. Revera enim

νικὸς, τοῦ τίνα ἐστὶ τοῖς ἀνθρώποις φίλα, καὶ τίνα πολέμια. (25) Καὶ δεῖ αὐτὸν ἀκριβῶς κατασκεψάμενον, ἐλθόντ' ἀπαγγεῖλαι τἀληθῆ· μηδ' ὑπὸ φόβου ἐκπλαγέντα, ὥστε τοὺς μὴ ὄντας πολεμίους δεῖξαι· μήτε τινὰ ἄλλον τρόπον ὑπὸ τῶν φαντασιῶν παραχθέντα ἢ συγχυθέντα.

26. Δεῖ οὖν αὐτὸν δύνασθαι ἀνατεινάμενον, ἂν οὕτω τύχῃ, καὶ ἐπὶ σκηνὴν τραγικὴν ἀνερχόμενον, λέγειν τὸ τοῦ Σωκράτους· Ὦ ἄνθρωποι, ποῖ φέρεσθε; τί ποιεῖτε; ὦ ταλαίπωροι· ὡς τυφλοὶ ἄνω καὶ κάτω κυλίεσθε· ἄλλην ὁδὸν ἀπέρχεσθε, τὴν οὖσαν ἀπολελοιπότες· ἀλλαχοῦ ζητεῖτε τὸ εὔρουν καὶ τὸ εὐδαιμονικὸν, ὅπου οὐκ ἔστιν· οὐδ' ἄλλου δεικνύοντος πιστεύετε. (27) Τί αὐτὸ ἔξω ζητεῖτε; Ἐν σώματι; Οὐκ ἔστιν. Εἰ ἀπιστεῖτε, ἴδετε Μύρωνα, ἴδετε Ὀφέλλιον. Ἐν κτήσει; Οὐκ ἔστιν. Εἰ δ' ἀπιστεῖτε, ἴδετε Κροῖσον· ἴδετε τοὺς νῦν πλουσίους, ὅσης οἰμωγῆς ὁ βίος αὐτῶν μεστός ἐστιν. Ἐν ἀρχῇ; Οὐκ ἔστιν. Εἰ δὲ μή γε, ἔδει τοὺς δὶς καὶ τρὶς ὑπάτους εὐδαίμονας εἶναι· οὐκ εἰσὶ δέ. (28) Τίσι περὶ τούτου πιστεύσομεν; ὑμῖν τοῖς ἔξωθεν τὰ ἐκείνων βλέπουσι, καὶ ὑπὸ τῆς φαντασίας περιλαμπομένοις, ἢ αὐτοῖς ἐκείνοις; (29) Τί λέγουσιν; Ἀκούσατε αὐτῶν ὅταν οἰμώζωσιν, ὅταν στένωσιν, ὅταν δι' αὐτὰς τὰς ὑπατείας καὶ τὴν δόξαν καὶ τὴν ἐπιφάνειαν ἀθλιώτερον οἴωνται καὶ ἐπικινδυνότερον ἔχειν. (30) Ἐν βασιλείᾳ; Οὐκ ἔστιν. Εἰ δὲ μὴ, Νέρων ἂν εὐδαίμων ἐγένετο, καὶ Σαρδανάπαλος. Ἀλλ' οὐδ' Ἀγαμέμνων εὐδαίμων ἦν, καίτοι κομψότερος ὢν Σαρδαναπάλου καὶ Νέρωνος· ἀλλὰ τῶν ἄλλων ῥεγκόντων, ἐκεῖνος τί ποιεῖ;

> Πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας.

Καὶ αὐτὸς τί λέγει;

> Πλάζομαι ὧδε,

φησὶ, καὶ

> ἀλαλύκτημαι· κραδίη δέ μοι ἔξω
> στηθέων ἐκθρώσκει.

(31) Τάλας, τί τῶν σῶν ἔχει κακῶς; ἡ κτῆσις; Οὐκ ἔχει. Τὸ σῶμα; Οὐκ ἔχει. Ἀλλὰ πολύχρυσος εἶ καὶ πολύχαλκος. Τί οὖν σοι κακόν ἐστιν; Ἐκεῖνο, ὅ τι ποτὲ, ἠμέληταί σου καὶ κατέφθαρται, ᾧ ὀρεγόμεθα, ᾧ ἐκκλίνομεν, ᾧ ὁρμῶμεν καὶ ἀφορμῶμεν. (32) Πῶς ἠμέληται; Ἀγνοεῖ τὴν οὐσίαν τοῦ ἀγαθοῦ πρὸς ἣν πέφυκε, καὶ τὴν τοῦ κακοῦ· καὶ τί ἴδιον ἔχει, καὶ τί ἀλλότριον. Καὶ ὅταν τι τῶν ἀλλοτρίων κακῶς ἔχῃ, λέγει, Οὐαί μοι, οἱ γὰρ Ἕλληνες κινδυνεύουσι. (33) Ταλαίπωρον ἡγεμονικὸν, καὶ μόνον ἀτημέλητον καὶ ἀθεράπευτον. Μέλλουσιν ἀποθνήσκειν, ὑπὸ τῶν Τρώων ἀναιρεθέντες. Ἂν δ' αὐτοὺς οἱ Τρῶες μὴ ἀποκτείνωσιν, οὐ μὴ ἀποθάνωσι; Ναὶ, ἀλλ' οὐχ' ὑφ' ἓν πάντες. Τί οὖν διαφέρει; εἰ γὰρ κακόν ἐστι τὸ ἀποθανεῖν, ἄν τε ὁμοῦ, ἄν τε καθ' ἕνα, ὁμοίως κακόν ἐστι. Μή τοι ἄλλο τι μέλλει γίνεσθαι ἢ τὸ σωμάτιον χωρίζεσθαι καὶ

enim explorator est Cynicus, qui, quæ hominibus amica sint, quæ inimica, speculetur. (25) Eumque oportet, postquam singula accurate indagavit, vera renunciare; nec metu perculsum, ut hostes ostenderet qui nulli sint; nec alio quovis modo a visis seductum aut confusum.

26. Oportet igitur eum posse, si res ita tulerit, elata voce et scena conscensa tragica, Socraticum illud dicere : Homines, quo ferimini? quid facitis? o miseri, cæcorum instar sursum deorsumque volvimini : aliam viam itis, relicta vera; alibi quæritis felicitatem et id quod eam efficit, ubi non est : nec, si ab alio vobis demonstretur, creditis. (27) Cur foris illa quæritis? In corpore? Non est : si non creditis, videte Myronem, videte Ofellium. In possessionibus? Non est; si non creditis, videte Crœsum; videte hujus temporis divites, quot suspiriis vita eorum plena sit. In magistratu? Non est : alioqui oportebat iterum ac tertium consules beatos esse; non autem sunt beati. (28) Quibus hac de re fidem habebimus? Vobisne, qui extrinsecus res eorum aspicitis et specie illa perstringimini, an illis ipsis? (29) Quid dicunt? Audite eos cum suspirant, cum gemunt, cum propter ipsos consulatus et gloriam et splendorem miseriores esse, et majoribus in periculis versari putant. (30) In regno? Non est : alioqui Nero beatus fuisset, et Sardanapalus. Atqui ne Agamemno quidem beatus fuit, quamvis Sardanapalo et Nerone honestior : sed reliquis stertentibus, ipse quid facit?

> **Ab radice comam multam de vertice vellit.**

Et ipse quid dicit?

> **Erro mentis inops : animus mihi pectora linquit exsiliens.**

(31) Miser, quid tuarum rerum male habet? resne familiaris? Non. Corpori male est? Non. At auro æreque abundas. Quid ergo tibi mali est? Illa tui pars, quæcumque sit, neglecta et corrupta est, qua appetimus et aversamur, qua impetum ad actionem capimus aut retinemus. (32) Quomodo est neglecta? Ignorat boni substantiam, ad quam a natura destinata est, itemque mali; et quid suum habeat, quid alienum : proinde cum aliquid alienum male habet, ait : Heu mihi, Græci in periculo sunt. (33) Misera est mens et ratio tua; hæc sola neglecta, nec ulla ejus habita ratio. Morientur, a Trojanis interfecti. Si vero Trojani eos non occiderint, non morientur? Sane, sed non simul omnes. Quid ergo interest? nam si mori malum est, perinde erit, sive simul omnes, sive seorsum singuli moriantur. Numquid aliud futurum est, nisi ut animus a corpore

ἡ ψυχή; οὐδέν. (34) Σοὶ δὲ, ἀπολλυμένων τῶν Ἑλλήνων, ἡ θύρα κέκλειται; οὐκ ἔξεστιν ἀποθανεῖν; Ἔξεστι. Τί οὖν πενθεῖς; Οὐᾶ· βασιλεὺς, καὶ τὸ τοῦ Διὸς σκῆπτρον ἔχων. Ἀτυχὴς βασιλεὺς οὐ γίνεται, οὐ μᾶλλον ἢ ἀτυχὴς θεός. (35) Τί οὖν εἶ; Ποιμὴν ταῖς ἀληθείαις· οὕτω γὰρ κλάεις, ὡς οἱ ποιμένες, ὅταν λύκος ἁρπάσῃ τι τῶν προβάτων αὐτῶν. Καὶ οὗτοι δὲ πρόβατά εἰσιν οἱ ὑπὸ σοῦ ἀρχόμενοι. (36) Τί δὲ καὶ ἤρχου; Μή τι ὄρεξις ὑμῖν ἐκινδυνεύετο; μή τι ἔκκλισις; μή τι ὁρμή; μή τι ἀφορμή; Οὔ, φησίν· ἀλλὰ τοῦ ἀδελφοῦ μου τὸ γυναικάριον ἡρπάγη. (37) Οὐκοῦν κέρδος μέγα, στερηθῆναι μοιχικοῦ γυναικαρίου. Καταφρονηθῶμεν οὖν ὑπὸ τῶν Τρώων; Τίνων ὄντων; φρονίμων ὄντων, ἢ ἀφρόνων; εἰ φρονίμων, τί αὐτοῖς πολεμεῖτε; εἰ δ' ἀφρόνων, τί ὑμῖν μέλει;

38. Ἐν τίνι οὖν ἐστὶ τὸ ἀγαθὸν, ἐπειδὴ ἐν τούτοις οὐκ ἔστιν; Εἰπὲ ἡμῖν, κύριε ἄγγελε, καὶ κατάσκοπε. Ὅπου οὐ δοκεῖτε, οὐδὲ θέλετε ζητῆσαι αὐτό. Εἰ γὰρ ἠθέλετε, εὕρετε ἂν αὐτὸ ἐν ὑμῖν ὄν· οὐδ' ἂν ἔξω ἐπλάζεσθε, οὐδ' ἂν ἐζητεῖτε τὰ ἀλλότρια ὡς ἴδια. (39) Ἐπιστρέψατε αὐτοὶ ἐφ' ἑαυτούς· καταμάθετε τὰς προλήψεις ἃς ἔχετε. Ποῖόν τι φαντάζεσθε τὸ ἀγαθόν; Τὸ εὔρουν, τὸ εὐδαιμονικὸν, τὸ ἀπαραπόδιστον. Ἄγε, μέγα δ' αὐτὸ φυσικῶς οὐ φαντάζεσθε; ἀξιόλογον οὐ φαντάζεσθε; ἀβλαβὲς οὐ φαντάζεσθε; (40) Ἐν ποίᾳ οὖν ὕλῃ δεῖ ζητεῖν τὸ εὔρουν καὶ ἀπαραπόδιστον; ἐν τῇ δούλῃ, ἢ ἐν τῇ ἐλευθέρᾳ; Ἐν τῇ ἐλευθέρᾳ. Τὸ σωμάτιον οὖν ἐλεύθερον ἔχετε, ἢ δοῦλον; Οὐκ ἴσμεν. Οὐκ ἴστε ὅτι πυρετοῦ δοῦλόν ἐστι, ποδάγρας, ὀφθαλμίας, δυσεντερίας, τυράννου, πυρὸς, σιδήρου, παντὸς τοῦ ἰσχυροτέρου; Ναὶ δοῦλον. (41) Πῶς οὖν ἔτι ἀνεμπόδιστον εἶναί τι δύναται τῶν τοῦ σώματος; πῶς δὲ μέγα ἢ ἀξιόλογον, τὸ φύσει νεκρὸν, ἡ γῆ, ὁ πηλός; (42) Τί οὖν; οὐδὲν ἔχετε ἐλεύθερον; Μήποτε οὐδέν. Καὶ τίς ὑμᾶς ἀναγκάσαι δύναται συγκαταθέσθαι τῷ ψευδεῖ φαινομένῳ; Οὐδείς. Τίς δὲ, μὴ συγκαταθέσθαι τῷ φαινομένῳ ἀληθεῖ; Οὐδείς. Ἐνθάδ' οὖν ὁρᾶτε ὅτι ἔστι τι ἐν ὑμῖν ἐλεύθερον φύσει. (43) Ὀρέγεσθαι δ', ἢ ἐκκλίνειν, ἢ ὁρμᾶν, ἢ ἀφορμᾶν, ἢ παρασκευάζεσθαι, ἢ προτίθεσθαι, τίς ὑμῶν δύναται, μὴ λαβὼν φαντασίαν λυσιτελοῦς ἢ μὴ καθήκοντος; Οὐδείς. Ἔχετε οὖν καὶ ἐν τούτοις ἀκώλυτόν [τι] καὶ ἐλεύθερον. (44) Ταλαίπωροι, τοῦτο ἐξεργάζεσθε, τούτου ἐπιμέλεσθε, ἐνταῦθα ζητεῖτε τὸ ἀγαθόν.

45. Καὶ πῶς ἐνδέχεται, μηδὲν ἔχοντα, γυμνὸν, ἄοικον, ἀνέστιον, αὐχμῶντα, ἄδουλον, ἄπολιν, διεξάγειν εὐρόως; (46) Ἰδοὺ ἀπέσταλκεν ὑμῖν ὁ θεὸς τὸν δείξοντα ἔργῳ, ὅτι ἐνδέχεται. (47) Ἴδετέ με, ὅτι ἄπολίς εἰμι, ἄοικος, ἀκτήμων, ἄδουλος· χαμαὶ κοιμῶμαι· οὐ γυνὴ, οὐ παιδία, οὐ πραιτωρίδιον, ἀλλὰ γῆ μόνον καὶ οὐρανὸς, καὶ ἓν τριβωνάριον. (48) Καὶ τί μοι λείπει; οὐκ εἰμὶ ἄλυπος; οὐκ εἰμὶ ἄφοβος; οὐκ εἰμὶ ἐλεύθερος; Πότε ὑμῶν εἶδέ μέ τις ἐν ὀρέξει ἀποτυγχάνοντα; πότ' ἐν ἐκκλίσει περιπίπτοντα; πότ' ἐμεμψάμην ἢ θεὸν

separetur? Nihil. (34) Tibi vero num, pereuntibus Græcis, janua clausa est? mori non licet? Licet. Quid ergo luges? Vah! rex et Jovis sceptrum gerens! Rex non magis fit miser, quam deus. (35) Quid ergo es? Revera opilio : ita enim ploras, ut opiliones, si quam ovem lupi abripuerint. Enimvero isti, qui tibi parent, oves sunt. (36) Cur autem vel venisti huc ad Trojam? Num vestra appetitio periclitabatur? num aversatio? num impetus? num declinatio? Non, inquit : sed fratris mei muliercula rapta fuit. (37) Atqui ingens lucrum est, adultera muliercula spoliari. Itane igitur contemni nos pateremur a Trojanis? Quales sunt Trojani? cordati, an vecordes? si cordati, cur bellum cum eis geritis? sin vecordes, quid eos curatis?

38. In quo ergo bonum est, si in istis rebus non est? Dic nobis, domine nuncie, et explorator! Ubi non putatis, neque id quærere vultis. Nam si quærere voluissetis, in vobis ipsis id esse invenissetis : neque foris oberraretis, nec aliena quæreretis tanquam propria. (39) Redite ipsi ad vos : considerate anticipationes quas habetis. Quale quid imaginamini bonum? Quod tranquillum, quod beatum, quod impedimentorum expers. Agite vero; nonne ipsius naturæ instinctu magnum id esse putatis? nonne magni pretii? nonne expers noxæ? (40) In quali ergo materia quærenda est tranquillitas et impedimentorum remotio? in servili, an libera? In libera. Corpusculum igitur liberum habetis, an servum? Nescimus. Nescitis servire illud febri, podagræ, oculorum et intestinorum doloribus, tyranno, igni, ferro, cuivis fortiori? Immo sane, servit. (41) Quo pacto ergo aliquid, quod ad corpus pertinet, immune ab impedimentis esse potest? quo pacto magnum, aut alicujus pretii, quod est natura mortuum, terra, cœnum? (42) Quid ergo? nihilne habetis liberum? Fortasse nihil. Quis autem cogere vos potest ut, quod falsum esse appareat, ei assentiamini? Nemo. Quis, ut non assentiamini ei, quod verum esse appareat? Nemo. Hic ergo videtis aliquid in vobis esse liberum suapte natura. (43) Appetere autem aut aversari; impetum ad actionem capere, vel non capere; aut parare sese, aut proponere aliquid, vestrûm quis potest, nisi opinione utilitatis aut officii adductus? Nemo. Habetis ergo in his etiam aliquid immune et liberum. (44) Id, miseri, excolite; id curate; ibi quærite bonum.

45. At fieri qui potest, si nihil habeam, si nudus sim, sine domicilio, sine lare, squalidus, sine servo, extorris, ut vitam agam beatam? (46) Ecce misit vobis deus qui re ipsa ostenderet posse illud fieri. (47) Ecce me extorrem, sine domicilio, sine possessionibus, sine servis : humi cubo; uxor mihi nulla est, liberi nulli, nullum prætoriolum; nihil præter cœlum et terram, et unum palliolum. (48) Et quid mihi deest? annon molestia vaco? non sum imperterritus? non sum liber? Quando quisquam vestrûm me vel voto frustratum, vel in id quod vitavi delapsum

ἢ ἄνθρωπον; πότ' ἐνεκάλεσά τινι; μή τις ὑμῶν ἐσκυθρωπακότα με εἶδε; (49) Πῶς δ' ἐντυγχάνω τούτοις, οὓς ὑμεῖς φοβεῖσθε καὶ θαυμάζετε; οὐχ ὡς ἀνδραπόδοις; Τίς με ἰδὼν οὐχὶ τὸν βασιλέα τὸν ἑαυτοῦ ὁρᾷν οἴεται καὶ δεσπότην;

50. Ἴδε Κυνικαὶ φωναί, ἴδε χαρακτήρ, ἴδ' ἐπιβολή. Οὔ· ἀλλὰ πηρίδιον, καὶ ξύλον, καὶ γνάθοι μεγάλαι· καταφαγεῖν πᾶν ὃ ἐὰν δῷς, ἢ ἀποθησαυρίσαι, ἢ τοῖς ἀπαντῶσι λοιδορεῖσθαι ἀκαίρως, ἢ καλὸν τὸν ὦμον δεικνύειν. (51) Τηλικούτῳ πράγματι ὁρᾷς πῶς μέλλεις ἐγχειρεῖν; Ἔσοπτρον πρῶτον λάβε· ἴδε σου τοὺς ὤμους· κατάμαθε τὴν ὀσφύν, τοὺς μηρούς. Ὀλύμπια μέλλεις ἀπογράφεσθαι, ἄνθρωπε· οὐχί τινά ποτε ἀγῶνα ψυχρὸν καὶ ἀταλαίπωρον. (52) Οὐκ ἔστιν ἐν Ὀλυμπίοις νικηθῆναι μόνον καὶ ἐξελθεῖν, ἀλλὰ πρῶτον μὲν ὅλης τῆς οἰκουμένης βλεπούσης δεῖ ἀσχημονῆσαι, οὐχὶ Ἀθηναίων μόνον, ἢ Λακεδαιμονίων, ἢ Νικοπολιτῶν· εἶτα καὶ δαίρεσθαι δεῖ τὸν εἰκῇ εἰσελθόντα· πρὸ δὲ τοῦ δαρῆναι, διψῆσαι, καυματισθῆναι, πολλὴν ἀφὴν καταπιεῖν.

53. Βούλευσαι ἐπιμελέστερον, γνῶθι σαυτόν, ἀνάκρινον τὸ δαιμόνιον, δίχα θεοῦ μὴ ἐπιχειρήσῃς. Ἂν γὰρ συμβουλεύσῃ, ἴσθι ὅτι μέγαν σε θέλει γενέσθαι, ἢ πολλὰς πληγὰς λαβεῖν. (54) Καὶ γὰρ λίαν τοῦτο κομψὸν τῷ Κυνικῷ παραπέπλεκται· δαίρεσθαι δεῖ αὐτὸν, ὡς ὄνον, καὶ δαιρόμενον φιλεῖν αὐτοὺς τοὺς δαίροντας, ὡς πατέρα πάντων, ὡς ἀδελφόν. (55) Οὔ· ἀλλ' ἄν τίς σε δαίρῃ, κραύγαζε στὰς ἐν τῷ μέσῳ, Ὦ Καῖσαρ, ἐν τῇ σῇ εἰρήνῃ οἷα πάσχω; Ἄγωμεν ἐπὶ τὸν ἀνθύπατον. (56) Κυνικῷ δὲ Καῖσαρ τίς ἐστιν ἢ ἀνθύπατος ἄλλος, ἢ ὁ καταπεπομφὼς αὐτὸν, καὶ ᾧ λατρεύει, ὁ Ζεύς; ἄλλον τινὰ ἐπικαλεῖται, ἢ ἐκεῖνον; οὐ πέπεισται δ', ὅ τι ἂν πάσχῃ τούτων, ὅτι ἐκεῖνος αὐτὸν γυμνάζει; (57) Ἀλλ' ὁ μὲν Ἡρακλῆς, ὑπὸ Εὐρυσθέως γυμναζόμενος, οὐκ ἐνόμιζεν ἄθλιος εἶναι, ἀλλ' ἀόκνως ἐπετέλει πάντα τὰ προστασσόμενα· οὗτος δ' ὑπὸ τοῦ Διὸς ἀθλούμενος καὶ γυμναζόμενος, μέλλει κεκραγέναι καὶ ἀγανακτεῖν, ἄξιος φορεῖν τὸ σκῆπτρον τοῦ Διογένους; (58) Ἄκουε τί λέγει ἐκεῖνος, πυρέσσων, πρὸς τοὺς παριόντας· Κακαί, ἔφη, κεφαλαί, οὐ μενεῖτε; Ἀλλ' ἀθλητῶν μὲν ὄλεθρον ἢ μάχην ὀψόμενοι, ἄπιτε ὁδὸν τοσαύτην εἰς Ὀλυμπίαν· πυρετοῦ δὲ καὶ ἀνθρώπου μάχην ἰδεῖν οὐ βούλεσθε; (59) Ταχύ γ' ἂν ὁ τοιοῦτος ἐνεκάλεσε τῷ θεῷ τῷ καταπεπομφότι αὐτὸν, ὡς παρ' ἀξίαν αὐτῷ χρωμένῳ, ὅς γε ἐνεκαλλωπίζετο ταῖς περιστάσεσι, καὶ θέαμα εἶναι ἠξίου τῶν παριόντων. Ἐπὶ τίνι γὰρ ἐγκαλέσει; ὅτι εὐσχημονεῖ; ἐπὶ τίνι κατηγορήσει; ὅτι λαμπροτέραν ἐπιδείκνυται τὴν ἀρετὴν τὴν ἑαυτοῦ; (60) Ἄγε, περὶ πενίας δὲ τί λέγει; περὶ θανάτου; περὶ πόνου; πῶς συνέκρινε τὴν εὐδαιμονίαν τὴν ἑαυτοῦ τῇ μεγάλου βασιλέως; μᾶλλον δ' οὐδὲ συγκριτὸν ᾤετο εἶναι. (61) Ὅπου γὰρ ταραχαί, καὶ λῦπαι, καὶ φόβοι, καὶ ὀρέξεις ἀτελεῖς, καὶ ἐκκλίσεις περιπίπτουσαι, καὶ φθόνοι καὶ ζηλοτυπίαι, ποῦ ἐκεῖ πάροδος εὐδαιμονίας; Ὅπου δ' ἂν ᾖ σαπρὰ δόγματα, ἐκεῖ πάντα ταῦτα εἶναι ἀνάγκη·

vidit? quando vel deum vel hominem accusavi? quando de ullo questus sum? num quis vestrûm tristi vultu me esse vidit? (49) Quomodo eos tracto, quos vos et timetis, et admiramini? annon ut mancipia? Quis, me conspecto, se regem et dominum suum videre non putat?

50. Ecce hæ Cynicæ voces sunt, ecce character, ecce institutum. Non: sed pera, et baculus, et amplæ maxillæ: quidquid dederis, devorare, aut recondere; aut in obvios importune invehi, aut pulcrum humerum ostentare. (51) Tantam rem videsne quomodo sis aggressurus? Speculum ante omnia cape; contemplare tuos humeros; explora lumbos, femora. Inter Olympicos certatores nomen professurus es, homo, non ad certamen aliquod frigidum et sine labore. (52) In Olympiis non illud tantum accidit, ut victus abeas: sed primum in conspectu totius orbis, non solum Atheniensium, aut Lacedæmoniorum, aut Nicopolitanorum, turpiter te dare necesse est; deinde vapulandum etiam ei est, qui temere stadium ingressus fuerit; priusquam vero vapulet, sitiendum, æstu torrendum, multum pulveris degluttiendum.

53. Delibera diligentius; ipse te cognosce; deum consule; citra deum ne aggredere: qui si istius rei auctor tibi fuerit, scito, velle eum vel magnum te fieri, vel multas plagas pati. (54) Nam et hoc perquam festivum Cynico adjunctum est, ut instar asini vapulet; et, dum vapulat, eos a quibus verberatur diligat, tamquam pater omnium, tamquam frater. (55) Non: sed si quis te verberarit, in medio exclama: Cæsar, in pace a te constituta quomodo tractor? Eamus ad Proconsulem. (56) At Cynico quis est Cæsar alius aut Proconsul, nisi is quis cœlitus eum misit, is cui servit, Jupiter? aliumne quemquam invocat, præter illum? nonne persuasum habet, quidquid sibi acciderit, se ab illo exerceri? (57) Enimvero Hercules, cum ab Eurystheo exerceretur, non putabat se miserum esse; sed, quidquid mandabatur, obibat impigre. At iste, qui a Jove ad certamen exercetur, clamitabit et indignabitur? dignus scilicet qui sceptrum Diogenis ferat? (58) Audi, quid ille febricitans ad prætereuntes dicat: Prava, inquit, capita, non manebitis? Athletarum interitum aut pugnam spectaturi, Olympiam proficiscimini, tam longum iter; febris vero et hominis pugnam spectare non vultis? (59) Iste scilicet deum, a quo demissus est, quasi præter meritum tractetur, accusaturus erat? qui etiam placebat sibi in asperis rebus, et spectaculum esse voluit prætereuntibus. Qua enim de caussa accusaturus esset? quod honestatem et decus conservat? qua de caussa criminaturus? quod virtutem suam ostendit et in clariore luce ponit? (60) Age vero, de paupertate quid dicit? de morte, de dolore? quomodo suam ipsius felicitatem regis Persarum felicitati comparavit? immo potius, ne comparabilem quidem esse duxit. (61) Ubi enim turbæ sunt, ubi mœrores, ubi terrores, ubi appetitiones irritæ, et aversiones inanes, ubi invidia et æmulatio; quis ibi aditus felicitati relictus est? Ubi vero pravæ opiniones sunt, ibi ista esse omnia necesse est.

62. Πυθομένου δὲ τοῦ νεανίσκου, εἰ νοσήσας, ἀξιοῦντος φίλου πρὸς αὐτὸν ἐλθεῖν ὥστε νοσοκομηθῆναι, ὑπακούσει· Ποῦ δὲ φίλον μοι δώσεις Κυνικοῦ; ἔφη. (63) Δεῖ γὰρ αὐτὸν ἄλλον εἶναι τοιοῦτον, ἵν' ἄξιος ᾖ φίλος αὐτοῦ ἀριθμεῖσθαι· κοινωνὸν αὐτὸν εἶναι δεῖ τοῦ σκήπτρου καὶ τῆς βασιλείας, καὶ διάκονον ἄξιον, εἰ μέλλει φιλίας ἀξιωθήσεσθαι· ὡς Διογένης Ἀντισθένους ἐγένετο, ὡς Κράτης Διογένους. (64) Ἢ δοκεῖ σοι, ὅτι, χαίρειν ἂν αὐτῷ λέγῃ προσερχόμενος, φίλος ἐστὶν αὐτοῦ, κἀκεῖνος αὐτὸν ἄξιον ἡγήσεται τοῦ πρὸς αὐτὸν εἰσελθεῖν; (65) Ὥστε, ἄν σοι δοκῇ, καὶ ἐνθυμήθητί [τι] τοιοῦτον· κοπρίαν μᾶλλον περιϐλέπου κομψήν, ἐν ᾗ πυρέξεις, ἀποσκέπουσαν τὸν βορέαν, ἵνα μὴ περιψυχῇς. (66) Σὺ δέ μοι δοκεῖς θέλειν εἰς οἶκόν τινος ἀπελθὼν διὰ χρόνου χορτασθῆναι. Τί οὖν σοι καὶ ἐπιχειρεῖν πράγματι τηλικούτῳ;

67. Γάμος δ', ἔφη, καὶ παῖδες προηγουμένως παραληφθήσονται ὑπὸ τοῦ Κυνικοῦ; Ἄν μοι σοφῶν, ἔφη, δῷς πόλιν, τάχα μὲν οὐδ' ἥξει τις ῥᾳδίως ἐπὶ τὸ κυνίζειν. Τίνων γὰρ ἕνεκα ἂν δέξηται ταύτην τὴν διεξαγωγήν; (68) Ὅμως δ' ἂν ὑποθώμεθα, οὐδὲν κωλύσει καὶ γῆμαι αὐτὸν, καὶ παιδοποιήσασθαι· καὶ γὰρ ἡ γυνὴ αὐτοῦ ἔσται ἄλλη τοιαύτη, καὶ ὁ πενθερὸς ἄλλος τοιοῦτος, καὶ τὰ παιδία οὕτως ἀνατραφήσεται. (69) Τοιαύτης δ' οὔσης καταστάσεως, οἵα νῦν ἐστιν, ὡς ἐν παρατάξει· μήποτ' ἀπερίσπαστον εἶναι δεῖ τὸν Κυνικὸν ὅλον πρὸς τῇ διακονίᾳ τοῦ θεοῦ, ἐπιφοιτᾶν ἀνθρώποις δυνάμενον, οὐ προσδεδεμένον καθήκουσιν ἰδιωτικοῖς, οὐδ' ἐμπεπλεγμένον σχέσεσιν, ἃς παραϐαίνων οὐκέτι σώσει τὸ τοῦ καλοῦ καὶ ἀγαθοῦ πρόσωπον· τηρῶν δ' ἀπολεῖ τὸν ἄγγελον καὶ κατάσκοπον καὶ κήρυκα τῶν θεῶν; (70) Ὅρα γὰρ ὅτι δεῖ αὐτὸν ἀποδεικνύναι τινὰ τῷ πενθερῷ, χρὴ ἀποδιδόναι τοῖς ἄλλοις συγγενέσι τῆς γυναικὸς, αὐτῇ τῇ γυναικί· εἰς νοσοκομίας λοιπὸν ἐκκλείεται, εἰς πορισμόν. (71) Ἵνα τἄλλα ἀφῶ, δεῖ αὐτὸν κουκούμιον ἔχειν, ὅπου τὸ θερμὸν ποιήσει τῷ παιδίῳ, ἵν' αὐτὸ λούσῃ εἰς σκάφην· ἐρίδια τεκούσῃ τῇ γυναικὶ, ἔλαιον, κραϐϐάτιον, ποτήριον· γίνεται ἤδη πλείω σκευάρια· [ἐῶ] τὴν ἄλλην ἀσχολίαν, τὸν περισπασμόν. (72) Ποῦ μοι λοιπὸν ἐκεῖνος ὁ βασιλεὺς, ὁ τοῖς κοινοῖς προσευκαιρῶν;

ᾯ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλεν;

ὃν δεῖ τοὺς ἄλλους ἐπισκοπεῖν, τοὺς γεγαμηκότας, τοὺς πεπαιδοποιημένους· τίς καλῶς χρῆται τῇ αὐτοῦ γυναικὶ, τίς κακῶς· τίς διαφέρεται· ποία οἰκία εὐσταθεῖ, ποία οὐχ· ὡς ἰατρὸν περιερχόμενον καὶ τῶν σφυγμῶν ἁπτόμενον; (73) Σὺ πυρέττεις, σὺ κεφαλαλγεῖς, σὺ ποδαγρᾷς· σὺ ἀνάτεινον, σὺ φάγε, σὺ ἀλούτησον· σὲ δεῖ τμηθῆναι, σὲ δεῖ καυθῆναι. (74) Ποῦ σχολὴ τῷ εἰς τὰ ἰδιωτικὰ καθήκοντα ἐνδεδεμένῳ; οὐ δεῖ αὐτὸν πορίσαι ἱματίδια τοῖς παιδίοις; ἄγε, πρὸς γραμματιστὴν ἀποστεῖλαι πινακίδια ἔχοντα, γραφεῖα, τυλάρια; καὶ τούτοις κραϐϐάτιον ἑτοιμάσαι; οὐ γὰρ ἐκ τῆς κοιλίας ἐξελθόντα δύναται Κυνικὰ εἶναι· εἰ δὲ μή, κρεῖσσον ἦν

62. Interrogante autem eodem adolescente, an ægrotans Cynicus amico morem gesturus sit, qui eum domum suam invitaverit, ut ægroti cura habeatur : Ubi vero, inquit, amicum mihi Cynici dabis? (63) Oportet enim eum alterum esse talem, ut dignus sit qui amici loco habeatur : participem esse eum oportet sceptri et regni, et ministrum dignum, si dignus amicitia esse velit; quemadmodum Diogenes Antisthenis fuit amicus, quemadmodum Crates Diogenis. (64) Aut censesne, si quis modo adeat eum et salvere jubeat, propterea esse amicum, et dignum ab eo judicatum iri in cujus domum se ille recipiat? (65) Proinde, si tibi videtur, tale etiam cogita, fimetum potius aliquod minus sordidum circumspicito, in quo febricites; modo aquilonem illud tibi arceat, ne frigore pereas. (66) Tu vero potius ædes alicujus ingredi velle mihi videris, ut ad tempus ibi pascaris. Quæ te ergo res impulit ad tantum negotium suscipiendum?

67. At conjugium, inquit, et procreationem liberorum præcipue spectabit Cynicus? Si mihi sapientium dederis civitatem, forsitan, inquit, haud temere ad Cynicam sectam quisquam se applicuerit. Nam quorum hominum caussa tale vitæ institutum amplecteretur? (68) Tamen, fac ita esse; nihil prohibebit quominus ille et uxorem ducat, et liberos suscipiat : nam et uxor ejus plane illius similis erit, itemque socer; et liberi ad eumdem modum educabuntur. (69) Cum autem talis sit præsens rerum status, tamquam in acie; nonne Cynicum nulla prorsus re a dei ministerio decet avocari, ut convenire possit homines, nullis privatis officiis illigatus, aut implicitus relationibus, quas si neglexerit, honesti bonique viri personam tueri non possit; sin eas tuebitur, perdet nuncium, exploratorem et præconem deorum immortalium? (70) Ecce enim, præstanda sunt quædam socero; sunt quædam tribuenda affinibus, quædam ipsi uxori : denique suorum valetudinem curare, reique familiari operam dare coactus, a Cynici instituto distinetur. (71) Ut mittam cetera, cucuma opus est, ubi calidam faciat puerulo, qua lavet eum in labro : uxori, postquam peperit, præbenda est lana, oleum, lectulus, poculum. Sic augentur vascula. Omitto reliquas occupationes, quæ hominem distrahunt. (72) Ubi nunc tandem ille rex est, qui rebus communibus totus vacet? cui

commissi populi, cui tanta negotia curæ?

qui ceteros inspicere debet, maritos, parentes; quis recte tractet uxorem suam, quis male; quis litiget; quæ domus bene constituta sit, quæ secus : quem medici instar circumire oportet, et tangere pulsum. (73) Tu febricitas; tibi dolet caput; tu laboras e pedibus : tu cibis abstine; tu ede; tu balnea cave; tibi sectione est opus; tibi ustione. (74) Unde tantum otii suppetit ei qui privatis officiis est illigatus? nonne illi parandæ sunt tuniculæ pueris? age, nonne ad ludimagistrum mittendi sunt cum tabellis, stylo et tomento? nonne parandus his quoque est lectulus? neque enim a primo statim ortu Cynici esse queunt. Id ni faciat, exposuisse illos statim a partu præstitisset, quam ita

αὐτὰ γενόμενα ῥῖψαι, ἢ οὕτως ἀποκτεῖναι. (75) Σκόπει, ποῦ κατάγομεν τὸν Κυνικόν· πῶς αὐτοῦ τὴν βασιλείαν ἀφαιρούμεθα. (76) Ναί· ἀλλὰ Κράτης ἔγημε. Περίστασίν μοι λέγεις ἐξ ἔρωτος γενομένην, καὶ γυναῖκα τίθης ἄλλον Κράτητα. Ἡμεῖς δὲ περὶ τῶν κοινῶν γάμων καὶ ἀπεριστάτων ζητοῦμεν· καὶ οὕτω ζητοῦντες, οὐχ εὑρίσκομεν ἐν ταύτῃ τῇ καταστάσει προηγούμενον τῷ Κυνικῷ τὸ πρᾶγμα.

77. Πῶς οὖν ἔτι, φησὶ, διασώσει τὴν κοινωνίαν; Τὸν θεόν σοι· μεῖζον δ' εὐεργετοῦσιν ἀνθρώπους οἱ δύο ἢ τρία κακόῤῥυγχα παιδία ἀνθ' αὐτῶν εἰσάγοντες, ἢ οἱ ἐπισκοποῦντες πάντας κατὰ δύναμιν ἀνθρώπους, τί ποιοῦσι, πῶς διάγουσι, τίνος ἐπιμελοῦνται, τίνος ἀμελοῦσι παρὰ τὸ προσῆκον; (78) καὶ Θηβαίους μείζονα ὠφέλησαν ὅσοι τεκνία αὐτοῖς κατέλιπον, Ἐπαμινώνδου τοῦ ἀτέκνου ἀποθανόντος; καὶ Ὁμήρου πλείονα τῇ κοινωνίᾳ συνεβάλετο Πρίαμος ὁ πεντήκοντα γεννήσας περικαθάρματα, ἢ Δαναὸς, ἢ Αἴολος; (79) Εἶτα στρατηγία μὲν ἢ σύνταγμά τινα ἀπείρξει γάμου ἢ παιδοποιίας, καὶ οὐ δόξει οὗτος ἀντ' οὐδενὸς ἠλλάχθαι τὴν ἀτεκνίαν· ἡ δὲ τοῦ Κυνικοῦ βασιλεία οὐκ ἔσται ἀνταξία; (80) Μήποτε οὐκ αἰσθανόμεθα τοῦ μεγέθους αὐτοῦ, οὐδὲ φανταζόμεθα κατ' ἀξίαν τὸν χαρακτῆρα τὸν Διογένους· ἀλλ' εἰς τοὺς νῦν ἀποβλέπομεν, τοὺς τραπεζῆας πυλαωρούς, οἳ οὐδὲν μιμοῦνται ἐκείνους, ἢ, εἰ ἄρα, ὅτι πόρδωνες γίνονται, ἄλλο δ' οὐδέν· (81) ἐπεὶ οὐκ ἂν ἡμᾶς ἐκίνει ταῦτα, οὐδ' ἂν ἐπεθαυμάζομεν εἰ μὴ γαμήσει, ἢ παιδοποιήσεται. Ἄνθρωπε, πάντας ἀνθρώπους πεπαιδοποίηται, τοὺς ἄνδρας υἱοὺς ἔχει, τὰς γυναῖκας θυγατέρας· πᾶσιν οὕτω προσέρχεται, οὕτω πάντων κήδεται. (82) Ἢ σὺ δοκεῖς ὑπὸ περιεργίας λοιδορεῖσθαι τοῖς ἀπαντῶσιν; Ὡς πατὴρ αὐτὸ ποιεῖ, ὡς ἀδελφὸς, καὶ τοῦ κοινοῦ πατρὸς ὑπηρέτης τοῦ Διός.

83. Ἂν σοι δόξῃ, πυθοῦ μου καὶ εἰ πολιτεύσεται. Σαννίων, μείζονα πολιτείαν ζητεῖς ἧς πολιτεύεται; (84) εἰ ἐν Ἀθηναίοις παρελθὼν ἐρεῖ τι περὶ προσόδων ἢ πόρων; ὃν δεῖ πᾶσιν ἀνθρώποις διαλέγεσθαι, ἐπίσης μὲν Ἀθηναίοις, ἐπίσης δὲ Κορινθίοις, ἐπίσης δὲ Ῥωμαίοις, οὐ περὶ πόρων, οὐδὲ περὶ προσόδων, οὐδὲ περὶ εἰρήνης ἢ πολέμου, ἀλλὰ περὶ εὐδαιμονίας καὶ κακοδαιμονίας, περὶ εὐτυχίας καὶ δυστυχίας, περὶ δουλείας καὶ ἐλευθερίας. (85) Τηλικαύτην πολιτείαν πολιτευομένου ἀνθρώπου, σύ μου πυνθάνῃ, εἰ πολιτεύσεται; πυθοῦ μου καὶ, εἰ ἄρξει· πάλιν ἐρῶ σοι, Μωρὲ, ποίαν ἀρχὴν μείζονα ἧς ἄρχει;

86. Χρεία μέντοι καὶ σώματος ποιοῦ τῷ τοιούτῳ. Ἐπεί τοι, ἂν φθισικὸς προέρχηται, λεπτὸς καὶ ὠχρὸς, οὐκέτι ὁμοίαν ἔμφασιν ἡ μαρτυρία αὐτοῦ ἔχει. (87) Δεῖ γὰρ αὐτὸν οὐ μόνον τὰ τῆς ψυχῆς ἐπιδεικνύοντα παριστάνειν τοῖς ἰδιώταις, ὅτι ἐνδέχεται δίχα τῶν θαυμαζομένων ὑπ' αὐτῶν εἶναι καλὸν καὶ ἀγαθόν· ἀλλὰ καὶ διὰ τοῦ σώματος ἐνδείκνυσθαι, ὅτι ἡ ἀφελὴς καὶ λιτὴ καὶ ὕπαιθρος δίαιτα οὐδὲ τὸ σῶμα λυμαίνεται. (88) Ἰδοὺ καὶ τούτου μάρτυς εἰμὶ ἐγὼ, καὶ τὸ σῶμα τὸ ἐμόν. Ὡς

perimere. (75) Vide quo deducamus Cynicum; quo pacto regnum ei adimamus. (76) Esto : at Crates uxorem duxit. Casum mihi singularem narras ex amore ortum, et mulierem dicis quæ alter Crates erat. Nos vero de communibus conjugiis et peculiare nihil habentibus quærimus : atque ita quærentes non invenimus in hoc rerum statu rem istam admodum præcipuam esse Cynico.

77. Qui ergo, inquit, conservabit societatem? Per deum, plus prosuntne vitæ mortalium ii qui binos vel ternos male grunientes parvulos suo loco in mundum introducunt, quam hi qui pro virili omnes homines inspiciunt, quid agant, qua ratione vivant, quid curent, quid contra officium negligant? (78) Num Thebanis plus ii profuerunt, qui liberos eis reliquerunt, quam Epaminondas, qui orbus decessit? num Priamus, quinquaginta filiis relictis, iisque impurissimis, aut Danaus, aut Æolus, plus ad vitæ communitatem contulerunt, quam Homerus? (79) Itane imperium militare, aut opus literarium abstrahet aliquem a conjugio aut a sobolis procreatione, nec is nihilo permutasse videbitur orbitatem; Cynici autem imperium compensare illam non videbitur? (80) Nempe non satis percipimus magnitudinem Cynici, neque pro merito æstimamus Diogenis characterem; sed hodiernos hos respicimus, mensarum asseclas janitores, qui nulla in re veteres illos imitantur nisi forte oppedendo, cetera omnia dissimillima habent : (81) alioqui non moverent nos ista, neque miraremur, si uxorem non duxerit Cynicus, aut liberos non procreaverit. Homo, omnium hominum ille parens est; viros habet filios, mulieres filias; omnes sic convenit, sic omnes curat. (82) Aut censesne, ea caussa, quod rerum alienarum curiosus sit, objurgare eum obvios? Ut pater hoc facit, ut frater, et ut communis patris minister Jovis.

83. Si tibi visum fuerit, percontare me etiam, an ad rempublicam sit accessurus. Sannio, num majorem rempublicam quæris ea, quam administrat? (84) An apud Athenienses de reditibus aut parandæ pecuniæ ratione verba facturus sit, quem oportet apud omnes homines, peræque apud Athenienses et Corinthios et Romanos, concionari, non de parandæ pecuniæ ratione, non de pace aut bello, sed de felicitate et miseria, de rebus secundis et adversis, de servitute et libertate? (85) Tantam rempublicam cum administret ille homo, tu ex me quæris, an ei capessenda sit respublica? Roga me etiam, an imperaturus sit : rursus tibi dicam : Stulte, quod imperium geret majus eo cui nunc præest?

86. Oportet tamen et corpus certo quodam modo affectum habeat talis homo. Nam si morbidus aut macilentus et pallidus prodierit; non jam idem pondus habebit ejus testimonium. (87) Oportet enim non modo animi virtutes ostendendo demonstrare indoctis, posse virum bonum probumque carere iis quæ vulgus admiratur; sed etiam ipso corpore probare oportet, simplicem et tenuem victum, quamvis sub dio agas, non lædere valetudinem. (88) Ecce hujus quoque rei testis ego sum, et corpus meum! Quem-

Διογένης ἐποίει· στίλβων γὰρ περιήρχετο, καὶ καθ' αὑτὸ τὸ σῶμα ἐπέστρεφε τοὺς πολλούς. (89) Ἐλεούμενος δὲ Κυνικὸς, ἐπαίτης δοκεῖ· πάντες ἀποστρέφονται, πάντες προσκόπτουσιν. Οὐδὲ γὰρ ῥυπαρὸν αὐτὸν δεῖ φαίνεσθαι, ὡς μηδὲ κατὰ τοῦτο τοὺς ἀνθρώπους ἀποσοβεῖν· ἀλλ' αὐτὸν τὸν αὐχμὸν αὐτοῦ δεῖ καθαρὸν εἶναι, καὶ ἀγωγόν.

90. Δεῖ δὲ καὶ χάριν προσεῖναι πολλὴν φυσικὴν τῷ Κυνικῷ, καὶ ὀξύτητα· εἰ δὲ μὴ, μύξα γίνεται, ἄλλο δ' οὐδέν· ἵνα ἑτοίμως δύνηται καὶ παρακειμένως πρὸς τὰ ἐμπίπτοντα ἀπαντᾷν. (91) Ὡς Διογένης πρὸς τὸν εἰπόντα, Σὺ εἶ ὁ Διογένης ὁ μὴ οἰόμενος εἶναι θεούς; Καὶ πῶς, ἔφη, σὲ θεοῖς ἐχθρὸν νομίζων; (92) Πάλιν Ἀλεξάνδρῳ ἐπιστάντι αὐτῷ κοιμωμένῳ, καὶ εἰπόντι,

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,

ἔνυπνος ἔτι ὢν, ἀπήντησεν,

Ὧ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέμηλε.

93. Πρὸ πάντων δὲ τὸ ἡγεμονικὸν αὐτοῦ δεῖ καθαρώτερον εἶναι τοῦ ἡλίου· εἰ δὲ μὴ, κυβευτὴν ἀνάγκη καὶ ῥᾳδιουργὸν εἶναι, ὅστις, ἐνεχόμενός τινι αὐτὸς κακῷ, ἐπιτιμήσει τοῖς ἄλλοις. (94) Ὅρα γὰρ, οἷόν ἐστι. Τοῖς βασιλεῦσι τούτοις καὶ τυράννοις οἱ δορυφόροι καὶ τὰ ὅπλα παρεῖχε τὸ ἐπιτιμᾷν τισι, καὶ δύνασθαι καὶ κολάζειν τοὺς ἁμαρτάνοντας, καὶ αὐτοῖς οὖσι κακοῖς· τῷ δὲ Κυνικῷ ἀντὶ τῶν ὅπλων καὶ τῶν δορυφόρων τὸ συνειδὸς τὴν ἐξουσίαν ταύτην παραδίδωσιν. (95) Ὅταν ἴδῃ ὅτι ὑπερηγρύπνηκεν ὑπὲρ ἀνθρώπων καὶ πεπόνηκεν, καὶ καθαρὸς μὲν κεκοίμηται, καθαρώτερον δ' αὐτὸν ἔτι ὁ ὕπνος ἀφῆκεν, ἐντεθύμηται δ' ὅσα ἐντεθύμηται ὡς φίλος τοῖς θεοῖς, ὡς ὑπηρέτης, ὡς μετέχων τῆς ἀρχῆς τοῦ Διός· πανταχοῦ δ' αὐτῷ πρόχειρον τὸ,

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη·

καὶ ὅτι, Εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γενέσθω· (96) διὰ τί μὴ θαῤῥήσῃ παῤῥησιάζεσθαι πρὸς τοὺς ἀδελφοὺς τοὺς ἑαυτοῦ, πρὸς τὰ τέκνα, ἁπλῶς πρὸς τοὺς συγγενεῖς; (97) Διὰ τοῦτο οὔτε περίεργος οὔτε πολυπράγμων ἐστὶν ὁ οὕτω διακείμενος· οὐ γὰρ τὰ ἀλλότρια πολυπραγμονεῖ, ὅταν τὰ ἀνθρώπινα ἐπισκοπῇ, ἀλλὰ τὰ ἴδια. Εἰ δὲ μὴ, λέγε καὶ τὸν στρατηγὸν πολυπράγμονα, ὅταν τοὺς στρατιώτας ἐπισκοπῇ καὶ ἐξετάζῃ καὶ παραφυλάσσῃ, καὶ τοὺς ἀκοσμοῦντας κολάζῃ. (98) Ἐὰν δ' ὑπὸ μάλης ἔχων πλακουντάριον ἐπιτιμᾷς ἄλλοις, ἐρῶ σοι, Οὐ θέλεις μᾶλλον ἀπελθὼν εἰς γωνίαν καταφαγεῖν ἐκεῖνο ὃ κέκλοφας; τί δέ σοι καὶ τοῖς ἀλλοτρίοις; (99) Τίς γὰρ εἶ; ὁ ταῦρος εἶ, ἢ ἡ βασίλισσα τῶν μελισσῶν; Δεῖξόν μοι τὰ σύμβολα τῆς ἡγεμονίας, οἷα ἐκείνη ἐκ φύσεως ἔχει. Εἰ δὲ κηφὴν εἶ, ἐπιδικαζόμενος τῆς βασιλείας τῶν μελισσῶν, οὐ δοκεῖς ὅτι καὶ σὲ καταβαλοῦσιν οἱ συμπολιτευόμενοι, ὡς αἱ μέλισσαι τοὺς κηφῆνας;

100. Τὸ μὲν γὰρ ἀνεκτικὸν τοσοῦτον ἔχειν δεῖ τὸν

admodum Diogenes faciebat; nitidus et bene curata cute passim ibat, ipsumque ejus corpus populum advertit. (89) Cynicus autem cujus vicem dolent homines, mendicus esse videtur; omnes eum aversantur, omnes offenduntur. Nam nec sordidum eum conspici oportet, ne vel eo ipso absterreat homines; sed ipsum squalorem ejus mundum esse decet et allicientem.

90. Oportet vero etiam multam naturalem gratiam inesse Cynico, et ingenii acumen (alioqui mucus erit, præterea que nihil) : ut expedite et apposite ad ea, quæ inciderint, respondere possit. (91) Quemadmodum Diogenes ei respondit, qui dixerat : Tune is es Diogenes, qui deos esse non putat? Quo pacto, inquit, cum te diis invisum esse judicem? (92) Rursus, cum Alexander eum dormientem aggressus dixisset, Non decet

pernoctem dormire virum qui consiliatur,

semisomnis adhuc respondit :

Cui populus commissus, et ampla negotia curæ.

93. Ante omnia vero mentem illius sole puriorem esse decet : alioquin scurra et improbus sit necesse est, qui ipse vitio cuipiam obnoxius, alios reprehendat. (94) Vide enim, hoc quale sit. Regibus istis et tyrannis, quamvis ipsi quoque sint improbi, satellites et arma id præstant, ut reprehendere aliquos, et punire etiam delinquentes possint : Cynico vero, armorum et satellitum loco, conscientia dat istam potestatem. (95) Quodsi videt se pro aliorum salute vigilare et laborare, et mundum dormire, mundioremque e somno expergisci, et, quæcumque cogitet, cogitare se ut diis amicum, ut deorum ministrum, ut participem imperii Jovis; si ubique in promptu illud habet,

O Juppiter, me, tuque, Fatum, ducito :

itemque illud : Si diis ita placet, ita fiat : (96) cur non libere loqui auderet cum fratribus suis, cum filiis, omnino cum consanguineis? (97) Quapropter neque supervacaneis rebus occupatus neque curiosus est, qui sic est affectus. Neque enim in aliena curiose inquirit, cum res humanas inspicit, sed in sua : alioqui etiam imperator curiosus dicendus erit, cum milites inspicit et lustrat observatque, et militaris disciplinæ perturbatores castigat. (98) Sin placentulam sub ala gestans alios increparis, dicam tibi, Quin potius in angulum aliquem abiens devoras id quod furatus es? Quid ad te res alienæ? (99) Quis enim es? num taurus es, aut apum regina? Ostende mihi principatus insignia, qualia illis a natura data sunt. Quod si fucus es, et tamen regnum apum tibi vindicas; nonne putas cives tuos te pari modo dejecturos esse regno, quemadmodum apes fucos?

100. Jam tolerantia in Cynico esse tanta debet, ut vulgo

Κυνικὸν, ὥστ' αὐτὸν ἀναίσθητον δοκεῖν τοῖς πολλοῖς, καὶ λίθον· οὐδεὶς αὐτὸν λοιδορεῖ, οὐδεὶς τύπτει, οὐδεὶς ὑβρίζει· τὸ σωμάτιον δ' αὐτοῦ δέδωκεν αὐτὸς χρῆσθαι τῷ θέλοντι ὡς βούλεται. (101) Μέμνηται γὰρ ὅτι τὸ χεῖρον ἀνάγκη νικᾶσθαι ὑπὸ τοῦ κρείττονος, ὅπου χεῖρόν ἐστι· τὸ δὲ σωμάτιον τῶν πολλῶν χεῖρον, τὸ ἀσθενέστερον τῶν ἰσχυροτέρων. (102) Οὐδέποτ' οὖν εἰς τοῦτον καταβαίνει τὸν ἀγῶνα, ὅπου δύναται νικηθῆναι· ἀλλὰ τῶν ἀλλοτρίων εὐθὺς ἐξίσταται, τῶν δούλων οὐκ ἀντιποιεῖται. (103) Ὅπου δὲ προαίρεσις καὶ χρῆσις τῶν φαντασιῶν, ἐκεῖ ὄψει ὅσα ὄμματα ἔχει· ἵν' εἴπῃς, ὅτι Ἄργος τυφλὸς ἦν πρὸς αὐτόν. (104) Μή που συγκατάθεσις προπετής; μή που ὁρμὴ εἰκαία; μή που ὄρεξις ἀποτευκτική; μή που ἔκκλισις περιπτωτική; [ἢ] ἐπιβολὴ ἀτελής; μή που μέμψις; μή που ταπείνωσις, ἢ φθόνος; (105) ὧδε ἡ προσοχὴ ἡ πολλὴ, καὶ σύντασις· τῶν δ' ἄλλων ἕνεκα, ὕπτιος ῥέγχει· εἰρήνη πᾶσα. Λῃστὴς προαιρέσεως οὐ γίνεται, τύραννος οὐ γίνεται. Σωματίου δέ; Ναί. Καὶ κτησειδίου δέ; Ναί. Καὶ ἀρχῶν καὶ τιμῶν. (106) Τί οὖν αὐτῷ τούτων μέλει; Ὅταν οὖν τις διὰ τούτων αὐτὸν ἐκφοβῇ, λέγει αὐτῷ, Ὕπαγε, ζήτει τὰ παιδία· ἐκείνοις τὰ προσωπεῖα· φοβερά ἐστιν, ἐγὼ δ' οἶδα ὅτι ὀστράκινά ἐστιν, ἔσωθεν δὲ οὐδὲν ἔχει.

107. Περὶ τοιούτου πράγματος βουλεύῃ. Ὥστε, ἐάν σοι δόξῃ, τὸν θεόν σοι, ὑπέρθου, καὶ ἰδοὺ σου πρῶτον τὴν παρασκευήν. (108) Ἰδοὺ γὰρ τί καὶ ὁ Ἕκτωρ λέγει τῇ Ἀνδρομάχῃ· Ὕπαγε, φησὶ, μᾶλλον εἰς οἶκον, καὶ ὕφαινε·

Πόλεμος δ' ἄνδρεσσι μελήσει
πᾶσιν, ἐμοὶ δὲ μάλιστα.

(109) Οὕτω καὶ τῆς ἰδίας παρασκευῆς συνῄσθετο καὶ τῆς ἐκείνης ἀδυναμίας.

ΚΕΦ. ΚΓ'.

Πρὸς τοὺς ἀναγινώσκοντας καὶ διαλεγομένους ἐπιδεικτικῶς.

1. Τίς εἶναι θέλεις, σαυτῷ πρῶτον εἰπέ· εἶθ' οὕτω ποίει ἃ ποιεῖς. Καὶ γὰρ ἐπὶ τῶν ἄλλων σχεδὸν ἁπάντων οὕτως ὁρῶμεν γινόμενα. (2) Οἱ ἀθλοῦντες πρῶτον κρίνουσι τίνες εἶναι θέλουσιν, εἶθ' οὕτω τὰ ἑξῆς ποιοῦσιν. Εἰ δολιχοδρόμος, τοιαύτη τροφὴ, τοιοῦτος περίπατος, τοιαύτη τρῖψις, τοιαύτη γυμνασία· εἰ σταδιοδρόμος, πάντα ταῦτα ἀλλοῖα· εἰ πένταθλος, ἔτι ἀλλοιότερα. (3) Οὕτως εὑρήσεις καὶ ἐπὶ τῶν τεχνῶν. Εἰ τέκτων, τοιαῦτα ἕξεις· εἰ χαλκεὺς, τοιαῦτα. Ἕκαστον γὰρ τῶν γινομένων ὑφ' ἡμῶν, ἂν μὲν ἐπὶ μηδὲν ἀναφέρωμεν, εἰκῇ ποιήσομεν· ἐὰν δ' ἐφ' ὃ μὴ δεῖ, διεσφαλμένως. (4) Λοιπὸν ἡ μέν τίς ἐστι κοινὴ ἀναφορὰ, ἡ δ' ἰδία. Πρῶτον, ἵν' ὡς ἄνθρωπος. Ἐν τούτῳ τί περιέχεται; Μὴ ὡς πρόβατον, εἰ καὶ ἐπιεικής· ἢ βλαπτικὸς, ὡς θηρίον. (5) Ἡ δ' ἰδία, πρὸς τὸ ἐπιτήδευμα ἑκάστου καὶ τὴν προαίρεσιν. Ὁ κιθαρῳδὸς, ὡς κιθαρῳδός· ὁ τέκτων, ὡς τέκτων· ὁ φιλόσοφος, ὡς φιλόσοφος·

sensus expers et lapis esse videatur : nemo ei maledicit, nemo eum verberat, nemo injuria afficit; corpusculum vero suum ab aliis tractari sinit ut volunt. (101) Meminit enim, necesse esse, ut id, quod est imbecillius, a robustiore vincatur, quatenus est imbecillius; corpusculum autem, imbecillius esse multitudine; id quod infirmius est, cedere debere robustioribus. (102) Numquam igitur in id certamen, in quo vinci possit, descendit; sed alienis rebus statim cedit; non vindicat sibi ea quæ serva sunt. (103) Ubi vero voluntas et usus visorum valent, ibi videbis quot habeat oculos; adeo ut dicas, Argum etiam, cum eo collatum, fuisse cæcum. (104) Est alicubi assensio præceps? impetus ad agendum temere captus? appetitio frustrata? aversatio calamitosa? propositum irritum? est alicubi querela? abjectio animi, aut invidia? (105) hic excitata est ejus attentio, et animi contentio: quod autem ad cetera attinet, supinus stertit; pacata sunt omnia. Voluntatis latro nullus est, nullus tyrannus. At corpusculi? Utique. Rei familiaris? Utique : atque etiam magistratuum et honorum. (106) Quid ergo hæc ille curat? Quodsi igitur his rebus aliquis eum terrere conetur, ei dicit, Abi, pueros quære! illi larvis terrentur! ego vero testaceas istas esse novi, intrinsecus autem nihil continere.

107. Talis res est de qua deliberas. Quamobrem, si visum tibi fuerit, per deum, differ, tuamque primum præparationem atque instructionem circumspice. (108) Vide enim quid Hector Andromachæ dicit : Abi, inquit, potius domum, et telam texe :

Nam bellum cura virorum,
præcipue mea.

(109) Sic et suas vires intellexit, et illius imbecillitatem.

CAP. XXIII.

Ad eos qui ostentationis caussa legunt aut disputant.

1. Principio tecum ipse constitue, quem te esse velis : deinde sic ea facito quæ facis. Nam ita fieri etiam aliis in rebus prope omnibus videmus. (2) Pugiles primum statuunt qui esse velint; et sic deinde, quæ consequentia sunt, faciunt. Si dolichodromus; talis victus convenit, talis deambulatio, talis frictio, talis exercitatio : si stadiodromus, hæc omnia diversa erunt : si pentathlus, magis etiam diversa. (3) Eodem modo et in artibus se rem habere deprehendes. Si faber lignarius esse volueris, talia habebis : si ærarius, talia. Nam quæcumque fuerint quæ agimus, si ad nullum finem retulerimus, temere agemus : sin eo quo non pertinent, aberrabimus. (4) Ceterum est respectus alius communis, alius peculiaris. Primum, ut agas tamquam homo. In hoc quid continetur? Ne ut ovis, licet mansuetus; neve nocivus, sicut fera bestia. (5) Peculiaris autem respectus ad cujusque vitæ genus et institutum pertinet. Citharœdus agat ut citharœdus; faber, ut faber; philosophus, ut

ὁ ῥήτωρ, ὡς ῥήτωρ. (6) Ὅταν οὖν λέγῃς, Δεῦτε καὶ ἀκούσατέ μου ἀναγινώσκοντος ὑμῖν· σκέψαι πρῶτον μὴ εἰκῇ αὐτὸ ποιεῖν· εἶτ', ἂν εὕρῃς [ἐφ'] ὅ τι ἀναφέρῃς, σκέψαι εἰ ἐφ' ὃ δεῖ. (7) Ὠφελῆσαι θέλεις; ἢ ἐπαινεθῆναι; Εὐθὺς ἀκούεις λέγοντος, Ἐμοὶ δὲ τοῦ παρὰ τῶν πολλῶν ἐπαίνου τίς λόγος; Καὶ καλῶς λέγει. Οὐδὲ γὰρ τῷ μουσικῷ, καθὸ μουσικός ἐστιν, οὐδὲ τῷ γεωμετρικῷ. (8) Οὐκοῦν ὠφελῆσαι θέλεις; πρὸς τί; εἰπὲ καὶ ἡμῖν, ἵνα καὶ αὐτοὶ τρέχωμεν εἰς τὸ ἀκροατήριόν σου. Νῦν δύναταί τις ὠφελῆσαι καὶ ἄλλους, μὴ αὐτὸς ὠφελημένος; Οὔ· οὐδὲ γὰρ εἰς τεκτονικὴν ὁ μὴ τέκτων, οὐδ' εἰς σκυτικὴν ὁ μὴ σκυτεύς.

9. Θέλεις οὖν γνῶναι εἰ ὠφέλησαι; Φέρε σου τὰ δόγματα, φιλόσοφε. Τίς ἐπαγγελία ὀρέξεως; Μὴ ἀποτυγχάνειν. Τίς ἐκκλίσεως; Μὴ περιπίπτειν. (10) Ἄγε, πληροῦμεν αὐτῶν τὴν ἐπαγγελίαν; εἰπέ μοι τἀληθῆ· ἂν δὲ ψεύσῃ, ἐρῶ σοι, Πρῴην ψυχρότερόν σοι τῶν ἀκροατῶν συνελθόντων, καὶ μὴ ἐπιβοησάντων σοι, τεταπεινωμένος ἐξῆλθες· (11) Πρῴην ἐπαινεθεὶς, περιήρχου καὶ πᾶσιν ἔλεγες, Τί σοι ἔδοξα; Θαυμαστὸς, κύριε, τὴν ἐμήν σοι σωτηρίαν. Πῶς δ' εἶπον ἐκεῖνο; Τὸ ποῖον; Ὅπου διέγραψα τὸν Πᾶνα καὶ τὰς Νύμφας. Ὑπερφυῶς. (12) Εἶτά μοι λέγεις [ὅτι] ἐν ὀρέξει καὶ ἐκκλίσει κατὰ φύσιν ἀναστρέφῃ; Ὕπαγε, ἄλλον πεῖθε. (13) Τὸν δεῖνα δὲ πρῴην οὐκ ἐπῄνεις παρὰ τό σοι φαινόμενον; τὸν δεῖνα δ' οὐκ ἐκολάκευες τὸν συγκλητικόν; Ἤθελές σου τὰ παιδία εἶναι τοιαῦτα; Μὴ γένοιτο. (14) Τίνος οὖν ἕνεκα ἐπῄνεις καὶ περιεῖπες αὐτόν; Εὐφυὴς νεανίσκος καὶ λόγων ἀκουστικός. Πόθεν τοῦτο; Ἐμὲ θαυμάζει. Εἴρηκας τὴν ἀπόδειξιν. Εἶτα τί δοκεῖ σοι; αὐτοί σου οὗτοι οὐ καταφρονοῦσι λεληθότως; (15) Ὅταν οὖν ἄνθρωπος συνειδὼς ἑαυτῷ μηδὲν ἀγαθὸν μήτε πεποιηκότι μήτε ἐνθυμουμένῳ, εὕρῃ φιλόσοφον τὸν λέγοντα, Μεγαλοφυὴς, καὶ ἁπλοῦς, καὶ ἀκέραιος· τί δοκεῖς ἄλλο αὐτὸν λέγειν, ἤ, Οὗτός τινά μου ποτὲ χρείαν ἔχει; (16) Ἢ εἰπέ μοι, τί μεγαλοφυοῦς ἔργον ἐπιδέδεικται; Ἰδοὺ σύνεστί σοι τοσούτῳ χρόνῳ· διαλεγομένου σου ἀκήκοεν, ἀναγινώσκοντός σου ἀκήκοε· κατέσταλται; ἐπέστραπται ἐφ' αὐτόν; ᾔσθηται ἐν οἵοις κακοῖς ἐστιν; ἀποβέβληκεν οἴησιν; ζητεῖ τὸν διδάξοντα; Ζητεῖ, φησί. (17) Τὸν διδάξοντα πῶς δεῖ βιοῦν; Οὔ, μωρέ· ἀλλὰ, πῶς δεῖ φράζειν· τούτου γὰρ ἕνεκα καὶ σὲ θαυμάζει. Ἄκουσον αὐτοῦ, τίνα λέγει. Οὗτος ὁ ἄνθρωπος πάνυ τεχνικώτατα γράφει, Δίωνος πολὺ κάλλιον. (18) Ὅλον ἄλλο ἐστί. Μή τι λέγει, Ὁ ἄνθρωπος αἰδήμων ἐστὶν οὗτος, πιστός ἐστιν, ἀτάραχός ἐστιν; Εἰ δὲ καὶ ἔλεγεν, εἶπον ἂν αὐτῷ· Ἐπειδὴ οὗτος πιστός ἐστιν, οὗτος ὁ πιστὸς τί ἐστί; Καὶ, εἰ μὴ εἶχεν εἰπεῖν, προσέθηκα ἂν, ὅτι Πρῶτον μάθε τί λέγεις, εἶθ' οὕτω λέγε.

19. Οὕτως οὖν κακῶς διακείμενος καὶ χάσκων περὶ τοὺς ἐπαινέσοντας καὶ ἀριθμῶν τοὺς ἀκούοντάς σου, θέλεις ἄλλους ὠφελεῖν; Σήμερόν μου πολλῷ πλείονες ἤκουσαν. Ναί, πολλοί· δοκοῦμεν ὅτι πεντακόσιοι.

philosophus; orator, ut orator. (6) Cum igitur dicis, Adeste, audite me vobis recitantem; primum vide ne temere id facias; deinde, si deprehenderis te hoc aliquo referre, vide num eo quo referri debet. (7) Prodesse vis? an laudari? Statim audis dicentem, Mea vero popularis laus nihil refert. Recte dicit: nec enim musico, quatenus musicus est, neque geometræ, quatenus geometra est, ea confert. (8) Ergo prodesse vis? Qua re? dic nobis quoque, ut et nos in auditorium tuum accurramus. Potestne vero quisquam prodesse aliis, qui nullum ipse fructum e doctrina ceperit? Non: neque enim qui faber non est, ad artem fabrilem aliis prodesse potest; neque ad sutoriam, qui sutor non est.

9. Vis ergo scire, an fructum ceperis? Profer decreta tua, philosophe. Quodnam est propositum appetitionis? Non frustrari. Quod aversationis? Non incidere in id quod declines. (10) Age, num propositum harum exsequimur? Dic mihi verum; sin fefelleris, ipse tibi dicam: Nuper, cum segnius convenissent auditores, nec tibi acclamassent, abjecto animo egressus es: (11) Nuper laudatus, circumibas, et omnibus dicebas, Quis tibi visus sum? Mirabilis, domine, ita salvus sim. Quomodo vero illud dixi? Quodnam? Ubi descripsi Panem et Nymphas. Nihil supra. (12) Et post hæc tu mihi dicis, te in appetitione et aversatione versari naturæ convenienter? Abi, aliis id persuade. (13) Nonne vero nuper istum contra sententiam animi tui laudasti? nonne adulatus es illi senatoris filio? Vellesne tuos liberos esse tales? Absit. (14) Qua igitur gratia laudabas et colebas eum? Ingeniosus est adolescens, et doctrinæ cupidus. Unde istud? Me admiratur. Veram caussam attulisti. Quid deinde putas? nonne isti ipsi clanculum te contemnunt? (15) Cum enim homo, nullius honestæ vel actionis vel cogitationis sibi conscius, philosophum invenerit qui ei dicat, Magno es ingenio, simplex et candidus; quid eum dicere putas, nisi, Iste quadam in re opera mea eget? (16) Aut dic mihi, quodnam magni ingenii opus præstitit? Ecce tanto tempore familiaritate tua utitur; te disserentem audivit, recitantem audivit: estne factus modestior? an in se ipsum descendit? an sentit quibus in malis sit? abjecitne arrogantiam? num quærit doctorem? Quærit, inquit. (17) Eumne, qui doceat qua ratione vivendum sit? Non, stulte; sed, quomodo sit dicendum: hac enim gratia te quoque admiratur. Audi quid dicat: iste homo artificiosissime scribit, multo elegantius Dione. (18) Tota res alia est. Num dicit, Homo hic verecundus est, fidus est, imperturbatus est? Quod etsi diceret, ego ei responderem: Quoniam iste fidus est, dic mihi, quem dicis fidum hominem? Si dicere non posset, subjicerem, Prius disce quid dicas; deinde dicito.

19. Ergo tam male affectus et laudatoribus inhians et auditores tuos numerans, aliis prodesse vis? Hodie multo plures me audiverunt. Sane plurimi: quingenti, opinor, fuimus. Nihil dicis; dic mille fuisse. Dionem numquam

Οὐδὲν λέγεις· θὲς αὐτοὺς χιλίους. Δίωνος οὐδέποτε ἤκουσαν τοσοῦτοι. Πόθεν αὐτῷ; καὶ κομψῶς αἰσθάνονται λόγων. Τὸ καλὸν, κύριε, καὶ λίθον κινῆσαι δύναται. (20) Ἰδοὺ φωναὶ φιλοσόφου, ἰδοὺ διάθεσις ὠφελήσοντος ἀνθρώπους· ἰδοὺ ἀκηκοὼς ἄνθρωπος λόγου, ἀνεγνωκὼς τὰ Σωκρατικὰ ὡς Σωκρατικὰ, οὐχὶ δ' ὡς Λυσίου καὶ Ἰσοκράτους. « Πολλάκις ἐθαύμασα, τίσι « ποτὲ λόγοις. » Οὔ· ἀλλὰ, « Τίνι ποτὲ λόγῳ· » τοῦτ' ἐκείνου τελειότερον. (21) Μὴ γὰρ ἄλλως αὐτὰ ἀνεγνώκατε, ἢ ὡς ᾠδάρια; Ὡς εἴ γε ἀνεγινώσκετε ὡς δεῖ, οὐκ ἂν πρὸς τούτοις ἐγίνεσθε, ἀλλ' ἐκεῖνο μᾶλλον ἐβλέπετε, « Ἐμὲ δ' Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δ' οὔ· » καὶ ὅτι « Ὡς ἐγὼ ἀεὶ τοιοῦτος, οἷος μηδενὶ προσέχειν τῶν ἐμῶν, ἢ τῷ λόγῳ, ὅς ἄν μοι σκοπουμένῳ βέλτιστος φαίνηται. » (22) Διὰ τοῦτο τίς ἤκουσε Σωκράτους ποτὲ λέγοντος, ὅτι Οἶδά τι καὶ διδάσκω; ἀλλὰ ἄλλον ἀλλαχοῦ ἔπεμπε. Τοιγαροῦν ἤρχοντο πρὸς αὐτὸν ἀξιοῦντες φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι· κἀκεῖνος ἀπῆγε, καὶ συνίστανεν. (23) Οὔ· ἀλλὰ προπέμπων ἔλεγεν, Ἄκουσόν μου σήμερον διαλεγομένου ἐν τῇ οἰκίᾳ τῇ Κοδράτου; Τί σου ἀκούσω; ἐπιδεῖξαί μοι θέλεις, ὅτι κομψῶς συντιθεῖς τὰ ὀνόματα; συντιθεῖς, ἄνθρωπε· καὶ τί σοι ἀγαθόν ἐστιν; (24) Ἀλλ' ἐπαίνεσόν με. Τί λέγεις τὸ ἐπαίνεσον; Εἰπέ μοι, Οὐᾶ, καὶ, Θαυμαστῶς. Ἰδοὺ λέγω. Εἰ δ' ἔστιν ἔπαινος ἐκεῖνο, ὅ τι ποτὲ λέγουσιν οἱ φιλόσοφοι τῇ τοῦ ἀγαθοῦ κατηγορίᾳ, τί σε ἔχω ἐπαινέσαι; εἰ ἀγαθόν ἐστι τὸ φράζειν ὀρθῶς, δίδαξόν με, καὶ ἐπαινέσω. (25) Τί οὖν; ἀηδῶς δεῖ τῶν τοιούτων ἀκούειν; Μὴ γένοιτο. Ἐγὼ μὲν οὐδὲ κιθαρῳδοῦ ἀηδῶς ἀκούω· μή τι οὖν τούτου ἕνεκα κιθαρῳδεῖν με δεῖ στάντα; Ἄκουσον τί λέγει Σωκράτης· « Οὐδὲ γὰρ ἂν πρέποι, ὦ ἄνδρες, τῇδε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλάττοντι λόγους, εἰς ὑμᾶς εἰσιέναι. » Ὥσπερ μειρακίῳ, φησίν. (26) Ἔστι γὰρ τῷ ὄντι κομψὸν τὸ τέχνιον, ἐκλέξαι ὀνομάτια, καὶ ταῦτα συνθεῖναι, καὶ παρελθόντα εὐφυῶς ἀναγνῶναι ἢ εἰπεῖν, καὶ μεταξὺ ἀναγινώσκοντα ἐπιφθέγξασθαι, ὅτι Τούτοις οὐ πολλοὶ δύνανται παρακολουθεῖν, μὰ τὴν ὑμετέραν σωτηρίαν.

27. Φιλόσοφος δ' ἐπ' ἀκρόασιν παρακαλεῖ; Οὐχὶ δ', ὡς ὁ ἥλιος ἄγει αὐτὸς ἐφ' ἑαυτὸν, ἢ ἡ τροφὴ, οὕτω δὴ καὶ οὗτος ἄγει τοὺς ὠφεληθησομένους; Ποῖος ἰατρὸς παρακαλεῖ, ἵνα τις ὑπ' αὐτοῦ θεραπευθῇ; Καίτοι νῦν ἀκούω ὅτι καὶ οἱ ἰατροὶ παρακαλοῦσιν ἐν Ῥώμῃ· πλὴν ἐπ' ἐμοῦ παρεκαλοῦντο. (28) Παρακαλῶ σε ἐλθόντα ἀκοῦσαι ὅτι σοι κακῶς ἐστι, καὶ πάντων μᾶλλον ἐπιμελῇ ἢ οὗ δεῖ σε ἐπιμελεῖσθαι, καὶ ὅτι ἀγνοεῖς τὰ ἀγαθὰ καὶ τὰ κακὰ, καὶ κακοδαίμων εἶ καὶ δυστυχής. Κομψὴ παράκλησις. Καὶ μὴν, ἂν μὴ ταῦτα ἐμποιῇ ὁ τοῦ φιλοσόφου λόγος, νεκρός ἐστι καὶ αὐτὸς, καὶ ὁ λέγων. (29) Εἴωθε λέγειν ὁ Ῥοῦφος· Εἰ εὐσχολεῖτε ἐπαινέσαι με, ἐγὼ * δ' * οὐδὲν λέγω. Τοιγαροῦν οὕτως ἔλεγεν, ὥσθ' ἕκαστον ἡμῶν καθήμενον οἴεσθαι ὅτι τίς ποτε αὐτὸν διαβέβληκεν· οὕτως ἥπτετο τῶν γι-

tot audiverunt. Qui illum tot? etenim eruditas habent aures, valent judicio. Pulcrum, domine, vel lapidem movere queat. (20) Ecce voces philosophi! ecce affectionem ejus, qui profuturus sit hominibus! ecce hominem qui doctrinam audierit, qui Socratica scripta legerit ut Socratica, non autem ut Lysiæ et Isocratis! — « *Sæpe sum ad-* « *miratus, quibus tandem rationibus.* Non : sed, *qua* « *ratione :* hoc isto perfectius est. » — (21) Aliterne vero legistis illa, quam veluti cantilenas? Sane, si ita legissetis ut decet, in istis rebus non hæreretis; sed illud potius spectaretis : « Me quidem Anytus et Melitus occidere pos- « sunt, lædere autem non possunt : » itemque illud : « Nam « talis ego semper sum, ut nihil mearum rerum curem præ- « ter rationem, quæ cogitanti mihi optima visa fuerit. » (22) Quapropter quis umquam Socratem dicentem audivit, se scire aliquid ac docere? Immo alium alio mittebat. Itaque veniebant ad eum petentes ut ab eo philosophis commendarentur; et ipse adducebat eos, et commendabat. (23) Non : sed, dum eos comitabatur, dicebatne, Audi me hodie in ædibus Quadrati disserentem? Quid te audiam? ostentare mihi vis quam belle verba construas? Belle construis : et quid ex eo boni consequeris? (24) Lauda me vero, homo. Quomodo vis laudem? Dic mihi, Papæ! et Præclare! Ecce dico. Si vero laus illud est quod philosophi in classe boni ponunt, quid habeo in quo te laudem? si recte loqui bonum est, doce me, et laudabo. (25) Quid ergo? num aspernanda sunt hæc? Absit. Ego ne citharœdum quidem aspernor : num ergo me astantem pulsare citharam oportet? Audi, quid Socrates dicat : « Neque enim decet, inquit, judices, hanc « ætatem, composita oratione more adolescentuli venire in « judicium. » More adolescentuli, ait. (26) Est enim elegans sane istud artificium, seligere verba, eaque componere, ac progressum in medium solerter recitare aut eloqui, atque inter recitandum subinde adjicere, Haud, ita dii vos amabunt, ista multi possunt assequi.

27. Num vero philosophus homines ad se audiendum invitat et orat? An non, ut sol ipse ad sese allicit homines, aut ut cibus et potus, sic etiam philosophus eos quibus profuturus est? Quis medicus rogat, ut aliquis se ab ipso curari sinat? Quamquam nunc audio Romæ medicos etiam rogare homines et ad se vocare; at meo tempore ipsi vocabantur. (28) « Rogo te, ut venias, atque audias male tibi esse; te quidvis potius curare quam id quod curandum est, ignorare bona et mala, infelicem et calamitosum esse. » Lepida vero invitatio! Enimvero nisi philosophi sermo hoc effecerit, mortuus est cum ipse, tum is a quo habetur. (29) Solitus est dicere Rufus : Si tantum habetis otii, ut me laudetis, ego nihil dico. Itaque sic dicebat ut quisque nostrûm, qui assidebamus, putaret, se ab aliquo apud eum fuisse accusatum : sic veluti acu tangebat ea quæ fiebant;

νομένων, οὕτω πρὸ ὀφθαλμῶν ἐτίθει τὰ ἑκάστου κακά. (30) Ἰατρεῖόν ἐστιν, ἄνδρες, τὸ τοῦ φιλοσόφου σχολεῖον· οὐ δεῖ ἡσθέντας ἐξελθεῖν, ἀλλ' ἀλγήσαντας. Ἔρχεσθε γὰρ οὐχ ὑγιεῖς· ἀλλ' ὁ μὲν ὦμον ἐκβεβληκώς, ὁ δ' ἀπόστημα ἔχων, ὁ δὲ σύριγγα ἔχων, ὁ δὲ κεφαλαλγῶν. (31) Εἶτ' ἐγὼ καθίσας ὑμῖν λέγω νοημάτια καὶ ἐπιφωνημάτια, ἵν' ὑμεῖς ἐπαινέσαντές με ἐξέλθητε, ὁ μὲν τὸν ὦμον ἐκφέρων οἷον εἰσήνεγκεν, ὁ δὲ τὴν κεφαλὴν ὡσαύτως ἔχουσαν, ὁ δὲ τὴν σύριγγα, ὁ δὲ τὸ ἀπόστημα; (32) Εἶτα τούτου ἕνεκα ἀποδημήσουσιν ἄνθρωποι νεώτεροι; καὶ τοὺς γονεῖς τοὺς αὐτῶν ἀπολίπωσι, καὶ τοὺς φίλους, καὶ τοὺς συγγενεῖς, καὶ τὸ κτησείδιον, ἵνα σοι Οὐᾶ φῶσιν, ἐπιφωνημάτια λέγοντι; Τοῦτο Σωκράτης ἐποίει; τοῦτο Ζήνων; τοῦτο Κλεάνθης;

33. Τί οὖν; οὐκ ἔστιν ὁ προτρεπτικὸς χαρακτήρ; Τίς γὰρ οὐ λέγει; ὡς ὁ ἐλεγκτικός, ὡς ὁ διδασκαλικός. Τίς οὖν πώποτε τέταρτον εἶπε μετὰ τούτων, τὸν ἐπιδεικτικόν; (34) Τίς γάρ ἐστιν ὁ προτρεπτικός; δύνασθαι καὶ ἑνὶ καὶ πολλοῖς δεῖξαι τὴν μάχην ἐν ᾗ κυλίονται· καὶ ὅτι μᾶλλον πάντων φροντίζουσιν ἢ ὧν θέλουσι. Θέλουσι μὲν γὰρ τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἀλλαχοῦ δ' αὐτὰ ζητοῦσι. (35) Τοῦτο ἵνα γένηται, δεῖ τεθῆναι χίλια βάθρα, καὶ παρακληθῆναι τοὺς ἀκουσομένους, καὶ σὲ ἐν κομψῷ στολίῳ ἢ τριβωναρίῳ ἀναβάντα ἐπὶ πούλβινον, διαγράφειν πῶς Ἀχιλλεὺς ἀπέθανε. Παύσασθε, τοὺς θεοὺς ὑμῖν, καλὰ ὀνόματα καὶ πράγματα καταισχύνοντες ὅσον ἐφ' ἑαυτοῖς. (36) Οὐδὲν ἂν προτρεπτικώτερον, ἢ ὅταν ὁ λέγων ἐμφαίνῃ τοῖς ἀκούουσιν, ὅτι χρείαν αὐτῶν ἔχει. (37) Ἢ εἰπέ μοι, τίς, ἀκούων ἀναγινώσκοντός σου ἢ διαλεγομένου, περὶ αὐτοῦ ἠγωνίασεν, ἢ ἐπεστράφη εἰς αὐτόν; ἢ ἐξελθὼν εἶπεν ὅτι Καλῶς μου ἥψατο ὁ φιλόσοφος; οὐκέτι δεῖ ταῦτα ποιεῖν. (38) Οὐχὶ δ', ἂν λίαν εὐδοκιμῇς, λέγει πρός τινα, Κομψῶς ἔφρασε τὰ περὶ τὸν Ξέρξην· ἄλλος, Οὔκ· ἀλλὰ τὴν ἐπὶ Πύλαις μάχην. Τοῦτό ἐστιν ἀκρόασις φιλοσόφου;

sic mala cujusque ponebat ob oculos. (30) Schola philosophi taberna medica est: non inde exeundum est cum lætitia, sed cum dolore: neque enim sani acceditis; sed alius humero luxato, alius apostemate laborans, alius fistulam habet, alii caput dolet. (31) Ego vero sedens sententiolas vobis et epiphonematia dicam, ut me laudantes exeatis; alius humerum sic afflictum referens, qualem attulerat; alius caput eodem modo affectum; alius fistulam suam, alius apostema? (32) Itane adolescentes propter ista peregrinarentur? eone parentes suos relinquerent, et amicos, et cognatos, et rem familiarem, ut tibi epiphonematia jactanti, Vah, et Ohe, acclament? Idne Socrates faciebat? idne Zenon? idne Cleanthes?

33. Quid ergo? non est dicendi genus hortatorium? Quis negat? æque atque illud quo coarguimus, quo docemus. Quis vero umquam præter hæc quartum esse dixit, ostentatorium? (34) Quodnam enim est hortandi genus? Posse et singulis et multis inconstantiam et pugnam ostendere, in qua volutantur; eisque demonstrare, quidvis potius eos curare quam ea quæ volunt. Volunt enim ea quæ ad felicitatem faciunt, sed quærunt alibi. (35) Hoc ut fiat, mille subsellia collocari oportet, et advocare auditores, et te eleganti veste aut palliolo, conscenso pulpito, in pulvino sedentem, describere quemadmodum occubuerit Achilles. Desinite, quæso per deos, pulcra verba et res deformare, quantum in vobis est. (36) Nihil magis ad hortandum scilicet facit, quam cum is, qui dicit, auditoribus significat, sibi illis opus esse. (37) Dic mihi, quis, te recitantem aut disserentem audiens, de se ipso sit sollicitus? quis in sese descenderit? quis egressus dixerit, Pulcre me tetigit philosophus? posthac ista facienda non sunt. (38) Nonne vero, si vel maxime probatus fueris, dicit ad aliquem, Eleganter disseruit ista de Xerxe: Alius, Non, sed de pugna ad Thermopylas. Hæccine est auscultatio philosophi?

ΚΕΦ. ΚΔ'.

Περὶ τοῦ μὴ δεῖν προσπάσχειν τοῖς οὐκ ἐφ' ἡμῖν.

1. Τὸ ἄλλῳ παρὰ φύσιν σοὶ κακὸν μὴ γινέσθω· οὐ γὰρ συνταπεινοῦσθαι πέφυκας, οὐδὲ συνατυχεῖν, ἀλλὰ συνευτυχεῖν. (2) Ἂν δέ τις ἀτυχῇ, μέμνησο ὅτι παρ' αὐτὸν ἀτυχεῖ· ὁ γὰρ θεὸς πάντας ἀνθρώπους ἐπὶ τὸ εὐδαιμονεῖν, ἐπὶ τὸ εὐσταθεῖν ἐποίησε. (3) Πρὸς τοῦτο ἀφορμὰς ἔδωκε, τὰ μὲν ἴδια δοὺς ἑκάστῳ, τὰ δ' ἀλλότρια· τὰ μὲν κωλυτὰ καὶ ἀναγκαστὰ καὶ ἀφαιρετά, οὐκ ἴδια· τὰ δὲ ἀκώλυτα, ἴδια· τὴν δ' οὐσίαν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὥσπερ ἦν ἄξιον τὸν κηδόμενον ἡμῶν καὶ πατρικῶς προϊστάμενον, ἐν τοῖς ἰδίοις. (4) Ἀλλ' ἀποκεχώρηκα τοῦ δεῖνος, καὶ ὀδυνᾶται. Διὰ τί γὰρ τὰ ἀλλότρια ἴδια ἡγήσατο; διὰ τί, ὅτε σε βλέπων ἔχαιρεν, οὐκ ἐπελογίζετο ὅτι θνητὸς εἶ, ἀποδημητικὸς εἶ; Τοιγαροῦν τίνει δίκας τῆς αὐτοῦ μω-

CAP. XXIV.

Non debere nos earum rerum desiderio teneri, quæ in nostra potestate non sunt.

1. Quod alter contra naturam facit aut patitur, tibi malum ne esto: neque enim tu natus es, ut una deprimaris cum altero, et calamitosus sis; sed, ut una sis fortunatus. (2) Si quis vero calamitosus est, memento sua culpa esse calamitosum. Deus enim omnes homines ad felicitatem, ad constantiam condidit. (3) Ad hoc subsidia eis dedit; quandoquidem alia cuique propria dedit, alia vero aliena: nempe ea quæ prohiberi et cogi et adimi possunt, non propria; quæ vero prohiberi nequeunt, propria: naturam vero boni et mali, sicut dignum fuit eo qui nos curaret, patriaque sollicitudine tueretur, in propriis collocavit. (4) « At ab illo discessi, ideoque dolet. » Cur autem aliena sua esse duxit? cur, conspectu tuo delectatus, te mortalem esse, peregrinari te posse, non cogitavit? Idcirco pœnas dat suæ stul-

ρίας. (5) Σὺ δ' ἀντὶ τίνος, ἐπὶ τί κλᾷς σεαυτόν; Ἢ οὐδὲ σὺ ταῦτα ἐμελέτησας; ἀλλ', ὡς τὰ γύναια τὰ οὐδενὸς ἄξια, πᾶσιν οἷς ἔχαιρες, ὡς ἀεὶ συνεσόμενος συνῆς, τοῖς τόποις, τοῖς ἀνθρώποις, ταῖς διατριβαῖς; καὶ νῦν κλαίων ἐκάθισας, ὅτι μὴ τοὺς αὐτοὺς βλέπεις καὶ ἐν τοῖς αὐτοῖς τόποις διατρίβεις. (6) Τούτου γὰρ ἄξιος εἶ, ἵνα καὶ τῶν κοράκων καὶ κορωνῶν ἀθλιώτερος ᾖς, οἷς ἔξεστιν ἵπτασθαι ὅπου θέλουσι, καὶ μετοικοδομεῖν τὰς νεοσσιὰς, καὶ τὰ πελάγη διαπερᾶν, μὴ στένουσι, μηδὲ ποθοῦσι τὰ πρῶτα. (7) Ναί· ἀλλ' ὑπὸ τοῦ ἄλογα εἶναι πάσχει αὐτά. Ἡμῖν οὖν ὁ λόγος ἐπὶ ἀτυχίᾳ καὶ κακοδαιμονίᾳ δέδοται ὑπὸ τῶν θεῶν, ἵν' ἄθλιοι, ἵνα πενθοῦντες διατελῶμεν; (8) Ἢ πάντες ἔστωσαν ἀθάνατοι, καὶ μηδεὶς ἀποδημείτω· μηδ' ἡμεῖς που ἀποδημῶμεν, ἀλλὰ μένωμεν ὡς τὰ φυτὰ προσερριζωμένοι· ἂν δέ τις ἀποδημήσῃ τῶν συνήθων καθήμενοι κλαίωμεν· καὶ πάλιν, ἂν ἔλθῃ, ὀρχώμεθα καὶ κροτῶμεν, ὡς τὰ παιδία;

9. Οὐκ ἀπογαλακτίσομεν ἤδη ποθ' ἑαυτοὺς, καὶ μεμνησόμεθα ὧν ἠκούσαμεν παρὰ τῶν φιλοσόφων; (10) Εἴ γε μὴ ὡς ἐπαοιδῶν αὐτῶν ἠκούομεν, ὅτι ὁ κόσμος οὗτος μία πόλις ἐστὶ, καὶ ἡ οὐσία ἐξ ἧς δεδημιούργηται μία· καὶ ἀνάγκη περίοδόν τινα εἶναι, καὶ παραχώρησιν ἄλλων ἄλλοις, καὶ τὰ μὲν διαλύεσθαι, τὰ δ' ἐπιγίνεσθαι, τὰ μὲν μένειν ἐν τῷ αὐτῷ, τὰ δὲ κινεῖσθαι· (11) πάντα δὲ φίλων μεστὰ, πρῶτον μὲν θεῶν, εἶτα καὶ ἀνθρώπων, φύσει πρὸς ἀλλήλους ᾠκειωμένων· καὶ δεῖ τοὺς μὲν παρεῖναι ἀλλήλοις, τοὺς δ' ἀπαλλάττεσθαι, τοῖς μὲν συνοῦσι χαίροντας, τοῖς δ' ἀπαλλαττομένοις μὴ ἀχθομένους· (12) ὁ δ' ἄνθρωπος, πρὸς τῷ φύσει μεγαλόφρων εἶναι καὶ πάντων τῶν ἀπροαιρέτων καταφρονητικὸς, ἔτι κἀκεῖνο ἔσχηκε, τὸ μὴ ἐρριζῶσθαι, μηδὲ προσπεφυκέναι τῇ γῇ, ἀλλὰ ἄλλοτ' ἐπ' ἄλλους ἵεσθαι τόπους, ποτὲ μὲν χρειῶν τινων ἐπειγουσῶν, ποτὲ δὲ καὶ αὐτῆς τῆς θέας ἕνεκα.

13. Καὶ τῷ Ὀδυσσεῖ τὸ συμβὰν τοιοῦτόν τι ἦν·

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω·

καὶ ἔτι πρόσθεν τῷ Ἡρακλεῖ, περιελθεῖν τὴν οἰκουμένην ὅλην,

Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντα·

καὶ τὴν μὲν ἐκβάλλοντα καὶ καθαίροντα, τὴν δ' ἀντεισάγοντα. (14) Καίτοι πόσους οἴει φίλους ἔσχεν ἐν Θήβαις; πόσους ἐν Ἄργει, πόσους ἐν Ἀθήναις; πόσους δὲ περιερχόμενος ἐκτήσατο; ὅς γε καὶ ἐγάμει, ὅπου καιρὸς ἐφάνη αὐτῷ, καὶ ἐπαιδοποιεῖτο, καὶ τοὺς παῖδας ἀπέλειπεν, οὐ στένων; οὐδὲ ποθῶν, οὐδ' ὡς ὀρφανοὺς ἀφιείς. (15) Ἤδει γὰρ ὅτι οὐδείς ἐστιν ἄνθρωπος ὀρφανὸς, ἀλλὰ πάντων ἀεὶ καὶ διηνεκῶς ὁ πατήρ ἐστιν ὁ κηδόμενος. (16) Οὐ γὰρ μέχρι λόγου ἠκηκόει ὅτι πατήρ ἐστιν ὁ Ζεὺς τῶν ἀνθρώπων, ὅς γε καὶ αὐτοῦ πατέρα ᾤετο αὐτὸν, καὶ ἐκάλει, καὶ πρὸς ἐκεῖνον ἀφορῶν ἔπραττεν ἃ ἔπραττε. Τοιγάρτοι πανταχοῦ ἐξῆν αὐτῷ

titiæ. (5) Tu vero qua de caussa, aut cui bono ipse animo frangeris? An ne tu quidem ista meditatus es? sed, ut mulierculæ nullius pretii, omnibus quibus delectabaris, ita fruitus es, quasi semper iisdem fruiturus, locis, hominibus, conversationibus? Et nunc plorans sedes, quod eosdem non cernas, nec iisdem in locis verseris. (6) Nempe hoc tu meritus es, ut corvis etiam atque cornicibus esses miserior, quibus, quocumque libuerit, volare licet, nidosque suos transferre, et mare transmittere, nec gementibus, nec priora desiderantibus. (7) Atqui, ais, idcirco istis hoc accidit, quoniam rationis sunt expertes. Nobis igitur ratio ad calamitatem et infelicitatem data est a diis, ut in miseria et luctu ætatem exigeremus? (8) Aut omnes immortales esse debebunt, neque quisquam peregre abire debebit, nec nos uspiam proficiscemur, sed stirpium instar radicibus affixi manebimus? si quis vero familiarium discesserit, sedebimus plorantes; ac vicissim, cum redierit, exsultabimus et plaudemus, quemadmodum pueri?

9. Annon tandem lac relinquemus, et quæ ex philosophis audierimus recordabimur? (10) Nisi forte sic eos, tamquam incantatores, audivimus disserentes, mundum hunc unam esse urbem; unamque esse qua ille constet substantiam; ac necesse esse ut sit circuitus quidam, ut alia aliis cedant, hæc dissolvantur, illa suboriantur, hæc suum statum teneant, illa vero moveantur : (11) esse autem omnia amicorum plena, primum deorum, deinde hominum, quos natura inter sese conciliarit; quorum alios una vivere, alios discedere oporteat, sic ut præsentibus gaudeant, digressis non doleant : (12) hominem autem, præterquam quod ad animi magnitudinem natus sit, et ad contemnenda omnia quæ in ipsius arbitrio non sunt, etiam hoc habere, ut non radicibus adhærescat in terra, sed alias in alia loca migrare possit, nunc postulante aliqua necessitate, nunc etiam solummodo spectandi gratia. »

13. Id quidem olim et Ulyssi accidit;

Qui mores hominum multorum vidit, et urbes :

et, ante hunc, Herculi, qui totum terrarum orbem pervagatus,

Hominum inspexit qui fasque nefasque;

ut et hoc ejiceret ac repurgaret, et illud restitueret : (14) quamquam quot eum amicos habuisse putas Thebis? quot Argis? quot Athenis? quot in istis peregrinationibus parasse? quippe qui uxorem etiam duxerit, ubi ipsi commodum videretur, et liberos procrearit, eosque deseruerit, non gemens, non desiderans, neque ut orphanos relinquens. (15) Norat enim, mortalium neminem orphanum esse; sed esse patrem, qui continenter omnes curet. (16) Neque enim verbo tenus tantum audierat Jovem patrem esse hominum; sed etiam suum patrem et putavit eum et appellavit, eumque respiciens res, quas suscepit, gessit omnes. Unde factum ut ubique beate illi vivere liceret. (17)

διάγειν εὐδαιμόνως. (17) Οὐδέποτε δ' ἐστὶν οἷόν τ' εἰς τὸ αὐτὸ ἐλθεῖν εὐδαιμονίαν καὶ πόθον τῶν οὐ παρόντων. Τὸ γὰρ εὐδαιμονοῦν ἀπέχειν δεῖ πάντα ἃ θέλει, πεπληρωμένῳ τινὶ ἐοικέναι· οὐ δίψος δεῖ προσεῖναι αὐτῷ, οὐ λιμόν. (18) Ἀλλ' Ὀδυσσεὺς ἐπεπόνθει πρὸς τὴν γυναῖκα· καὶ ἔκλαιεν ἐπὶ πέτρας καθεζόμενος. Σὺ δ' Ὁμήρῳ πάντα προσέχεις καὶ τοῖς μύθοις αὐτοῦ; Ἦ, εἰ ταῖς ἀληθείαις ἔκλαιε, τί ἄλλο ἢ ἐδυστύχει; Τίς δὲ καλός τε καὶ ἀγαθὸς δυστυχεῖ; (19) Τῷ ὄντι κακῶς διοικεῖται τὰ ὅλα, εἰ μὴ ἐπιμελεῖται ὁ Ζεὺς τῶν ἑαυτοῦ πολιτῶν, ἵν' ὦσιν ὅμοιοι αὐτῷ εὐδαίμονες. Ἀλλὰ ταῦτα οὐ θεμιτὰ οὐδ' ὅσια ἐνθυμηθῆναι. (20) Ἀλλ' Ὀδυσσεύς, εἰ μὲν ἔκλαε καὶ ὠδύρετο, οὐχ ἦν ἀγαθός. Τίς γὰρ ἀγαθός ἐστιν, οὐκ εἰδὼς ὅς ἐστι; τίς δ' οἶδε τοῦτο, ἐπιλελησμένος ὅτι φθαρτὰ τὰ γενόμενα, καὶ ἄνθρωπον ἀνθρώπῳ συνεῖναι οὐ δυνατὸν ἀεί; (21) Τὸ οὖν τῶν μὴ δυνατῶν ἐφίεσθαι, ἀνδραποδῶδες καὶ ἠλίθιον· ξένου, θεομαχοῦντος, ὡς μόνον οἷόν τε, τοῖς δόγμασι τοῖς ἑαυτοῦ.

22. Ἀλλ' ἡ μήτηρ μου στένει μὴ ὁρῶσά με. Διὰ τί γὰρ οὐκ ἔμαθε τούτους τοὺς λόγους; καὶ οὐ τοῦτό φημι, ὅτι οὐκ ἐπιμελητέον τοῦ μὴ οἰμώζειν αὐτήν· ἀλλ', ὅτι οὐ δεῖ θέλειν τὰ ἀλλότρια ἐξ ἅπαντος. (23) Λύπη δ' ἡ ἄλλου ἀλλότριόν ἐστιν· ἡ δ' ἐμή, ἐμόν. Ἐγὼ οὖν τὸ μὲν ἐμὸν παύσω ἐξ ἅπαντος· ἐπ' ἐμοὶ γάρ ἐστι· τὸ δ' ἀλλότριον πειράσομαι κατὰ δύναμιν, ἐξ ἅπαντος δ' οὐ πειράσομαι. (24) Εἰ δὲ μή, θεομαχήσω, ἀντιθήσω πρὸς τὸν Δία, ἀντιδιατάξομαι αὐτῷ πρὸς τὰ ὅλα· καὶ τἀπίχειρα τῆς θεομαχίας ταύτης καὶ ἀπειθείας οὐ μόνον παῖδες παίδων ἐκτίσουσιν, ἀλλὰ καὶ αὐτὸς ἐγώ, μεθ' ἡμέραν τε καὶ νυκτός, διὰ τῶν ἐνυπνίων ἐκπηδῶν, ταρασσόμενος, πρὸς πᾶσαν ἀπαγγελίαν τρέμων, ἐξ ἐπιστολῶν ἀλλοτρίων ἠρτημένην ἔχων τὴν ἐμαυτοῦ ἀπάθειαν. (25) Ἀπὸ Ῥώμης τις ἥκει. Μόνον μή τι κακόν. Τί δὲ κακὸν ἐκεῖ σοι συμβῆναι δύναται, ὅπου μὴ εἶ; Ἀπὸ τῆς Ἑλλάδος. Μόνον μή τι κακόν. Οὕτω σοι πᾶς τόπος δύναται δυστυχίας εἶναι αἴτιος. (26) Οὐχ ἱκανὸν ἐκεῖ σε ἀτυχεῖν ὅπου αὐτὸς εἶ, ἀλλὰ καὶ πέραν θαλάσσης, καὶ διὰ γραμμάτων; Οὕτως ἀσφαλῶς σοι τὰ πράγματα ἔχει; (27) Τί οὖν, ἂν ἀποθάνωσιν οἱ ἐκεῖ φίλοι; Τί γὰρ ἂν ἄλλο ἢ οἱ θνητοὶ ἀπέθανον; Ἢ πῶς ἅμα μὲν γηράσαι θέλεις, ἅμα δὲ μηδενὸς τῶν στεργομένων μὴ ἰδεῖν θάνατον; (28) οὐκ οἶσθ' ὅτι ἐν τῷ μακρῷ χρόνῳ πολλὰ καὶ ποικίλα ἀποβαίνειν ἀνάγκη; τοῦ μὲν πυρετὸν γενέσθαι κρείττονα, τοῦ δὲ λῃστήν, τοῦ δὲ τύραννον; (29) Τοιοῦτο γὰρ τὸ περιέχον, τοιοῦτοι οἱ συνόντες, ψύχη, καὶ καύματα, καὶ τροφαὶ ἀσύμμετροι, καὶ ὁδοιπορίαι, καὶ πλοῦς, καὶ ἄνεμοι, καὶ περιστάσεις ποικίλαι, τὸν μὲν ἀπώλεσαν, τὸν δ' ἐξώρισαν, τὸν δ' εἰς πρεσβείαν, ἄλλον δ' εἰς στρατείαν ἐνέβαλον. (30) Κάθησο τοίνυν, πρὸς πάντα ταῦτα ἐπτοημένος, πενθῶν, ἀτυχῶν, δυστυχῶν, ἐξ ἄλλου ἠρτημένος, καὶ τούτου οὐχ ἑνὸς ἢ δυοῖν, ἀλλὰ μυρίων ἐπὶ μυρίοις.

Numquam autem fieri potest ut felicitas et rerum absentium desiderium eodem in loco conveniant. Quem enim beatum esse intelligimus, is habeat oportet omnia quæ vult; similis esse debet repleto : abesse oportet sitim, abesse famem. (18) At Ulysses, inquis, afficiebatur uxoris desiderio, et in rupe sedens plorabat. Tu vero Homerum in omnibus audis, atque etiam in fabulis ejus? Ceterum, si vere ploravit Ulysses, quid aliud nisi miser fuit? Quis autem vir bonus probusque miser est? (19) Omnino male gubernatur universum, si cives suos non curat Jupiter, ut, quemadmodum et ipse, beati sint. Atqui ista vel cogitare nefas est. (20) Ulysses autem, si quidem ploravit et lamentatus est, vir bonus non fuit. Quis enim bonus est, qui se ipsum ignorat? quis vero se ipsum novit, qui oblitus est, quidquid ortum fuerit, id caducum esse, neque posse fieri ut homo ab homine numquam divellatur? (21) Atqui ea cupere quæ fieri nequeunt, servile est, stultum est; est hospitis in hoc mundo, qui, qua una re potest, suis decretis cum deo bellum gerit.

22. « At mater mea, cum me non videt, gemit. » Cur enim rationes has non didicit? Neque vero hoc dico, non curandum esse quominus illa ploret; sed illud, non sine exceptione expetenda esse aliena. (23) Alterius vero dolor alienus est; meus in mea est potestate. Ego ergo, quod meum est, quovis modo sedabo, quoniam in mea potestate est; alienum vero pro virili sedare conabor, sed non obstinate quovis modo sedatum voluero. (24) Alioqui cum diis pugnavero, adversabor Jovi, memet ei in universitatis administratione opposuero : atque istius belli adversus deos et inobedientiæ non modo filiorum filii pœnas dabunt, sed et ego ipse, interdiu et noctu, præ insomniis exsiliens, turbatus, ad quemvis nuncium tremens, ex alienis literis suspensa tranquillitate mea. (25) « Roma venit aliquis. Modo ne quid mali! » Quid vero illic mali tibi accidere potuit, ubi tu non es? — E Græcia. Modo ne quid mali! — Sic quivis locus calamitatis caussa tibi esse potest. (26) Non satis est eo te in loco esse miserum, in quo es; nisi etiam trans mare, et per literas sis calamitosus? Adeo res tuæ in tuto sunt? — (27) Quid igitur, si amici, qui illic sunt, mortui fuerint? — Quid aliud nisi quod mortui fuerint mortales? Aut quo pacto simul expetis senectutem; simul nullius eorum, quos diligis, mortem vis videre? (28) an nescis, longo vitæ tempore necesse esse multa atque varia accidere? hunc succumbere febri, illum latroni, alium tyranno? (29) Talis enim aer nos ambiens, tales homines quibuscum vivimus, frigora, et æstus, et cibus immodicus, et itinera, et navigationes, et venti, et varii casus, alium perdunt, alium extorrem agunt; alium legationem obire, alium militare cogunt. (30) Sede ergo, ad hæc omnia attonitus, lugens, impos voti, calamitosus, aliunde pendens, neque ex uno atque altero, sed ex infinitis.

31. Ταῦτα ἤκουες παρὰ τῶν φιλοσόφων; ταῦτ' ἐμάνθανες; οὐκ οἶσθ' ὅτι στρατεία τὸ χρῆμα ἐστί; τὸν μὲν δεῖ φυλάττειν, τὸν δὲ κατασκοπήσοντα ἐξιέναι, τὸν δὲ καὶ πολεμήσοντα; οὐχ οἷόν τ' εἶναι πάντας ἐν τῷ αὐτῷ, οὐδ' ἄμεινον. (32) Σὺ δ', ἀφεὶς ἐκτελεῖν τὰ προστάγματα τοῦ στρατηγοῦ, ἐγκαλεῖς ὅταν τί σοι προσταχθῇ τραχύτερον· καὶ οὐ παρακολουθεῖς οἷον ἀποφαίνεις, ὅσον ἐπὶ σοί, τὸ στράτευμα· ὅτι, ἄν σε πάντες μιμήσωνται, οὐ τάφρον σκάψει τις, οὐ χάρακα περιβαλεῖ, οὐκ ἀγρυπνήσει, οὐ κινδυνεύσει, ἀλλὰ ἄχρηστος δόξει στρατεύεσθαι; (33) Πάλιν ἐν πλοίῳ, ναύτης ἂν πλέῃς, μίαν χώραν κάτεχε, καὶ ταύτῃ προσλιπάρει· ἂν δ' ἐπὶ τὸν ἱστὸν ἀναβῆναι δέῃ, μὴ θέλε· ἂν εἰς τὴν πρῷραν διαδραμεῖν, μὴ θέλε· καὶ τίς ἀνέξεταί σου κυβερνήτης; οὐχὶ δ' ὡς σκεῦος ἄχρηστον ἐκβαλεῖ, οὐδὲν ἄλλο ἢ ἐμπόδιον καὶ κακὸν παράδειγμα τῶν ἄλλων ναυτῶν; (34) Οὕτω δὲ καὶ ἐνθάδε· στρατεία τίς ἐστιν ὁ βίος ἑκάστου, καὶ αὕτη μακρὰ καὶ ποικίλη. Τηρεῖν σε δεῖ τὸ τοῦ στρατιώτου, καὶ πρὸς νεῦμα τοῦ στρατηγοῦ πράσσειν ἕκαστα· εἰ οἷόν τε, μαντευόμενον ἃ θέλει. (35) Οὐδὲ γὰρ ὅμοιος ἐκεῖνος ὁ στρατηγὸς καὶ οὗτος, οὔτε κατὰ τὴν ἰσχὺν, οὔτε κατὰ τὴν τοῦ ἤθους ὑπεροχήν. (36) Τέταξαι ἐν πολλῇ ἡγεμονίᾳ, καὶ οὐχ ἐν ταπεινῇ τινι χώρᾳ· ἀλλὰ εἶ βουλευτής. Οὐχ οἶσθ' ὅτι τὸν τοιοῦτον ὀλίγα μὲν δεῖ οἰκονομεῖν, τὰ πολλὰ δ' ἀποδημεῖν, ἄρχοντα, ἢ ἀρχόμενον, ἢ ὑπηρετοῦντά τινι ἀρχῇ, ἢ στρατευόμενον, ἢ δικάζοντα; Εἶτά μοι θέλεις, ὡς φυτὸν, προσηρτῆσθαι τοῖς αὐτοῖς τόποις καὶ προσερριζῶσθαι; (37) Ἡδὺ γάρ ἐστι. Τίς οὔ φησιν; ἀλλὰ καὶ ζωμὸς ἡδύς ἐστι, καὶ γυνὴ καλὴ ἡδύ ἐστι. Τί ἄλλο λέγουσιν οἱ τέλος ποιούμενοι τὴν ἡδονήν;

38. Οὐκ αἰσθάνῃ τίνων ἀνθρώπων φωνὴν ἀφῆκας; ὅτι Ἐπικουρείων καὶ κιναίδων; εἶτα τὰ ἐκείνων ἔργα πράσσων, καὶ τὰ δόγματα ἔχων, τοὺς λόγους ἡμῖν λέγεις τοὺς Ζήνωνος καὶ Σωκράτους; οὐκ ἀπορρίψεις ὡς μακροτάτω τὰ ἀλλότρια οἷς κοσμῇ, μηδέν σοι προσήκουσιν; (39) Ἢ τί ἄλλο θέλουσιν ἐκεῖνοι, ἢ καθεύδειν ἀπαραποδίστως καὶ ἀναναγκάστως· [ἀναστῆναι], καὶ ἀναστάντες ἐφ' ἡσυχίας χασμήσασθαι, καὶ τὸ πρόσωπον ἀποπλύναι, εἶτα γράψαι καὶ ἀναγνῶναι ἃ θέλουσιν· εἶτα φλυαρῆσαί τί ποτ', ἐπαινούμενοι ὑπὸ τῶν φίλων ὅ τι ἂν λέγωσιν· εἶτα εἰς περίπατον προελθόντες, καὶ ὀλίγα περιπατήσαντες λούσασθαι, εἶτα φαγεῖν, εἶτα κοιμηθῆναι, οἵαν δὴ κοίτην καθεύδειν τοὺς τοιούτους εἰκός· τί ἄν τις λέγοι; ἔξεστι γὰρ τεκμαίρεσθαι. (40) Ἄγε, φέρε μοι καὶ σὺ τὴν σαυτοῦ διατριβὴν ἣν ποθεῖς, ζηλωτὰ τῆς ἀληθείας καὶ Σωκράτους καὶ Διογένους. Τί θέλεις ἐν Ἀθήναις ποιεῖν; Ταῦτα αὐτά· μή τι ἕτερα; Τί οὖν Στωϊκὸν σαυτὸν εἶναι λέγεις; (41) Εἶτα οἱ μὲν τῆς Ῥωμαίων πολιτείας καταψευδόμενοι, κολάζονται πικρῶς· τοὺς δ' οὕτω μεγάλου καὶ σεμνοῦ καταψευδομένους πράγματος καὶ ὀνόματος, ἀθώους ἀπαλλάττεσθαι δεῖ; (42) Ἢ τοῦτό γε οὐ δυνατὸν, ἀλλὰ νόμος θεῖος καὶ ἰσχυρὸς καὶ ἀναπόδραστος οὗτός ἐστιν, ὁ τὰς μεγί-

31. Istane audisti e philosophis? ista didicisti? Anne scis militiæ similem esse rem? alium oportet in præsidio manere; alium, speculatum abire; alium, pugnatum. Fieri nequit ut eodem in loco sint omnes; neque etiam expedit. (32) Tu vero, omissis imperatoris mandatis, quereris tibi aliquid durius mandatum esse; neque animadvertis qualem facias, quantum quidem in te est, exercitum? nam si te quidem omnes imitentur, non fossam quisquam fodiet, non vallum muniet, non excubabit, non pugnabit; sed inutilis militare videbitur. (33) Rursus in navi, nauta si mare trajicis, unum locum tene, in eoque permane : si vero malus conscendendus erit, recusa; si in proram currendum, noli: quis te gubernator feret, ac non potius tamquam inutile vas ejiciet, qui nihil aliud sis nisi impedimentum et malum exemplum ceteris nautis? (34) Ita et hic res sese habet: militia quædam est vita cujusque, et quidem longa et varia militia. Tuendum tibi est militis munus; et, quidquid imperator jusserit, ad nutum ejus exsequendum; et, si fieri queat, divinandum etiam quid velit. (35) Neque enim ille dux et hic similes inter sese sunt, neque viribus neque præstantia morum. (36) In amplo constitutus es imperio, atque haud in humili loco; sed es senator. An ignoras tali parum curandam esse domi rem familiarem, sed crebro peregrinandum, vel imperando vel parendo, vel magistratui alicui inserviendo, vel militando, vel jus dicendo? Nihilominus tu mihi vis, plantæ ad instar, iisdem hærere in locis, ac quasi radices agere. (37) Suave est enim. Quis negat? sed et pulmentum suave est, et formosa mulier suavis est. Quid aliud ii dicunt, qui finem esse Voluptatem dicunt?

38. Non animadvertis, quorum hominum vocem protuleris? an non Epicureorum et cinædorum? quorum mores cum sequaris, et instituta teneas, Zenonis et Socratis sermones nobis refers? nonne quam longissime rejicies aliena quibus ornaris, nihil ad te attinentibus? (39) Nam quid aliud illi volunt, nisi citra impedimentum dormire, et surgere cum libitum est; et cum surrexerint, per otium oscitare, et faciem abluere, postea scribere et legere quæ volunt; deinde nugari aliquid, quod laudetur ab amicis, quidquid sit quod dixerint; deinde, deambulatum progressi, mox loti, capere cibum; inde in lectum se conferre, et ea ibi agere, quæ agere tales homines consentaneum est : nam quorsum attinet dicere, quod quivis facile conjicere potest? (40) Age, prome et tu mihi eam vitæ rationem quam tu expetis, sectator veritatis et Socratis et Diogenis. Quid Athenis acturus es? Hæc eadem. An alia? Quid ergo Stoicum te profiteris? (41) Atqui, si quis Romana civitate falso gloriatur, acerbis afficitur suppliciis; qui vero rem tantam et tam præclaram falso jactitant, iine impuniti abibunt? (42) An vero id sane fieri non potest, sed lex hæc divina et firma et inevitabilis est, quæ maximas pœnas

στας εἰσπρασσόμενος κολάσεις παρὰ τῶν τὰ μέγιστα ἁμαρτανόντων; Τί γὰρ λέγει; (43) Ὁ προσποιούμενος τὰ μηδὲν πρὸς αὐτὸν, ἔστω ἀλαζὼν, ἔστω κενόδοξος· ὁ ἀπειθῶν τῇ θείᾳ διοικήσει, ἔστω ταπεινὸς, ἔστω δοῦλος, λυπείσθω, φθονείτω, ἐλεείτω· τὸ κεφάλαιον πάντων, δυστυχείτω, θρηνείτω.

44. Τί οὖν; θέλεις με τὸν δεῖνα θεραπεύειν; ἐπὶ θύρας αὐτοῦ πορεύεσθαι; Εἰ τοῦτο αἱρεῖ λόγος, ὑπὲρ τῆς πατρίδος, ὑπὲρ τῶν συγγενῶν, ὑπὲρ ἀνθρώπων, διὰ τί μὴ ἀπέλθῃς; ἀλλ' ἐπὶ μὲν τὰς τοῦ σκυτέως οὐκ αἰσχύνῃ πορευόμενος, ὅταν δέῃ ὑποδημάτων, οὐδ' ἐπὶ τὰς τοῦ κηπουροῦ, ὅταν θριδάκων· ἐπὶ δὲ τὰς τῶν πλουσίων, ὅταν τινὸς ὁμοίου δέῃ; (45) Ναί· τὸν σκυτέα γὰρ οὐ θαυμάζω. Μηδὲ τὸν πλούσιον. Οὐδὲ τὸν κηπουρὸν κολακεύσω. Μηδὲ τὸν πλούσιον. (46) Πῶς οὖν τύχω οὗ δέομαι; Ἐγὼ δέ σοι λέγω, ὅτι, ὡς τευξόμενος ἀπέρχου; οὐχὶ δὲ μόνον, ἵνα πράξῃς τὸ σαυτῷ πρέπον; (47) Τί οὖν ἔτι πορεύομαι; Ἵν' ἀπέλθῃς, ἵνα ἀποδεδωκὼς ᾖς τὰ τοῦ πολίτου ἔργα, τὰ ἀδελφοῦ, τὰ φίλου. (48) Καὶ λοιπὸν μέμνησο ὅτι πρὸς σκυτέα ἀφῖξαι, πρὸς λαχανοπώλην, οὐδενὸς μεγάλου ἢ σεμνοῦ ἔχοντα τὴν ἐξουσίαν, κἂν αὐτὸ πολλοῦ πωλῇ. Ὡς ἐπὶ τὰς θρίδακας ἀπέρχῃ· ὀβολοῦ γάρ εἰσι, ταλάντου δ' οὐκ εἰσίν· οὕτω κἀνταῦθα. (49) Τοῦ ἐπὶ θύρας ἐλθεῖν ἄξιον τὸ πρᾶγμα· ἔστω, ἀφίξομαι. Τοῦ διαλεχθῆναι· οὕτως ἔστω, διαλεχθήσομαι. Ἀλλὰ καὶ τὴν χεῖρα δεῖ καταφιλῆσαι, καὶ θωπεῦσαι δι' ἐπαίνου. Ἄπαγε, ταλάντου ἐστίν· οὐ λυσιτελεῖ μοι, οὐδὲ τῇ πόλει, οὐδὲ τοῖς φίλοις, ἀπολέσαι καὶ πολίτην ἀγαθὸν καὶ φίλον.

50. Ἀλλὰ δόξεις μὴ προτεθυμῆσθαι, μὴ ἀνύσας. Πάλιν ἐπελάθου τίνος ἕνεκα ἐλήλυθας; οὐκ οἶσθ' ὅτι ἀνὴρ καλὸς καὶ ἀγαθὸς οὐδὲν ποιεῖ τοῦ δόξαι ἕνεκα, ἀλλὰ τοῦ πεπρᾶχθαι καλῶς; (51) Τί οὖν ὄφελος αὐτῷ τοῦ πρᾶξαι καλῶς; Τί δ' ὄφελος τῷ γράφοντι τὸ Δίωνος ὄνομα, ὡς χρὴ γράφειν αὐτό; Τὸ γράψαι. Ἔπαθλον οὖν οὐδέν; Σὺ δὲ ζητεῖς ἔπαθλον ἀνδρὶ ἀγαθῷ μεῖζον τοῦ καλὰ καὶ δίκαια πράττειν; (52) Ἐν Ὀλυμπίᾳ δ' οὐ θέλεις ἄλλο οὐδέν· ἀλλ' ἀρκεῖν σοι δοκεῖ τὸ ἐστεφανῶσθαι Ὀλύμπια. Οὕτω σοι μικρὸν καὶ οὐδενὸς ἄξιον εἶναι φαίνεται, τὸ εἶναι καλὸν καὶ ἀγαθὸν καὶ εὐδαίμονα; (53) Πρὸς ταῦτα ὑπὸ θεῶν εἰς τὴν πόλιν ταύτην εἰσηγμένος, καὶ ἤδη τῶν ἀνδρὸς ἔργων ὀφείλων ἅπτεσθαι, τίτθας ἔτι ποθεῖς καὶ μάμμην, καὶ κάμπτει σε καὶ ἀποθηλύνει κλαίοντα γύναια μωρά; οὕτως οὐδέποτε παύσῃ παιδίον ὢν νήπιον; οὐκ οἶσθ' ὅτι ὁ τὰ παιδίου ποιῶν, ὅσῳ πρεσβύτερος, τοσούτῳ γελοιότερος;

54. Ἐν Ἀθήναις δ' οὐδένα ἑώρας, εἰς οἶκον αὐτοῦ φοιτῶν; Ὃν ἐβουλόμην. Καὶ ἐνθάδε τοῦτον θέλε ὁρᾶν, καὶ ὃν βούλει ὄψει· μόνον μὴ ταπεινῶς, μὴ μετ' ὀρέξεως ἢ ἐκκλίσεως, καὶ ἔσται τὰ σὰ καλῶς. (55) Τοῦτο δ' οὐκ ἐν τῷ ἐλθεῖν ἐστιν, οὐδ' ἐν τῷ ἐπὶ θύραις στῆναι, ἀλλ' ἔνδον ἐν τοῖς δόγμασιν. (56) Ὅταν τὰ ἐκτὸς καὶ ἀπροαίρετα ἠτιμακὼς ᾖς, καὶ μηδὲν αὐτῶν σὸν ἡγημένος, μόνα δ' ἐκεῖνα σὰ, τὸ κρῖναι καλῶς, τὸ ὑπολαβεῖν,

delictis maximis irrogat? Quid enim ea dicit? (43) Qui ea sibi arrogat, quæ ad ipsum nihil pertinent, is esto arrogans, esto ambitiosus : qui divinæ gubernationi non paret, is esto humilis, esto servus; doleat, invideat, misereseat, et, quod extremum est omnium, sit calamitosus, ploret.

44. Quid ergo? vis me hunc aut illum colere? vis, me fores ejus frequentare? Si ratio ita postulat, pro patria, pro cognatis, propter homines, quidni ad eum abeas? Cum non pudeat sutoris tabernam ingredi, quando calceis tibi est opus, neque convenire olitorem, cum opus est lactucis; cur divites accedere, cum simili quapiam re indiges, graveris? (45) Recte, *quod de sutore et olitore ais;* nam sutorem non admiror. Ne divitem quidem admirare! Olitori non adulabor. Ne diviti quidem adulaberis. (46) Quo pacto ergo impetrabo quod peto? Num vero ego te ad eum sic abire jubeo, tamquam voti haud dubie compotem futurum? nonne ea solum caussa, ut facias quod est officii tui? (47) Cur ergo abeam? Ut abeas; ut munere civis, fratris, amici fungaris. (48) Ceterum memento, sutorem, olitorem te adiisse, qui nullius magnæ præclaræve rei potestatem habeat, quamvis eam magno vendat. Quemadmodum ad emendas lactucas abis, quæ obolum valent, talentum non valent; sic et hic. (49) Dignum est negotium, cujus caussa fores adeam : esto, adibo. Tanti est, ut ejus caussa cum illo homine colloquar; sic esto, colloquar. Sed et manus ejus deosculanda est, et laude aliqua conciliandus animus! Apage, talentum hoc est : nec mihi, nec reipublicæ, nec amicis expedit, perdidisse bonum civem et amicum.

50. At, re non confecta, videberis non adhibuisse diligentiam. Iterumne oblitus es qua caussa accesseris? Nescis virum bonum nihil facere, ut fecisse videatur, sed ut fungatur officio? (51) Quemnam ergo fructum ex recte factis capit? Quem vero fructum capit is, qui Dionis nomen recte scribit? Ipsum hoc, quod recte scripserit. Præmium ergo nullum? Tu vero viro bono majus præmium quæris, quam hoc ipsum, ut honeste et juste agat? (52) In Olympiis vero aliud nihil petis, sed satis tibi videtur si victor coronere. Igitur ita parvum quid et rem nullius momenti judicas, esse virum bonum, probum, et beatum? (53) Ad hæc a diis in civitatem hanc introductus, cum jam virilia munera tibi obeunda sint, tu adhuc nutrices et mammam desideras, teque flectunt et ploratu suo effeminant stultæ mulierculæ? ita numquam desines infans esse? Nescisne, qui puerilia faciat, quo natu major, eo magis esse ridiculum?

54. Athenis vero an vidisti neminem, cujus domum frequentares? Eum quem volui. Etiam hic illum videre velis; et, quem volueris, videbis : modo ne abjecte, ne cum appetitione aut aversatione; ita se res tuæ bene habebunt. (55) Istud autem non in accedendo positum est, neque in stando ad januam; sed intus, in animi decretis. (56) Si res externas, et quæ non sunt in tua voluntate positæ, despexeris, neque quidquam illarum tuum esse duxeris; si hæc sola tua

τὸ ὁρμῆσαι, τὸ ὀρεχθῆναι, τὸ ἐκκλῖναι· ποῦ ἔτι κολακείας τόπος; ποῦ ταπεινοφροσύνης; τί ἔτι ποθεῖς τὴν ἡσυχίαν τὴν ἐκεῖ; τί τοὺς συνήθεις τόπους; (57) Ἔκδεξαι βραχὺ, καὶ τούτους πάλιν ἕξεις συνήθεις. Εἶτα, ἂν οὕτως ἀγεννῶς ἔχῃς, πάλιν καὶ τούτων ἀπαλλαττόμενος, κλαῖε καὶ στένε.

58. Πῶς οὖν γένωμαι φιλόστοργος; Ὡς γενναῖος, ὡς εὐτυχής. Οὐδέποτε γὰρ αἱρεῖ ὁ λόγος ταπεινὸν εἶναι, οὐδὲ καταχλᾶσθαι, οὐδ' ἐξ ἄλλου κρέμασθαι, οὐδὲ μέμψασθαί ποτε θεὸν ἢ ἄνθρωπον. (59) Οὕτω μοι γίνου φιλόστοργος, ὡς ταῦτα τηρήσων· εἰ δὲ διὰ τὴν φιλοστοργίαν ταύτην, ἥντινά ποτε καλεῖς φιλοστοργίαν, δοῦλος μέλλεις εἶναι καὶ ἄθλιος, οὐ λυσιτελεῖ φιλόστοργον εἶναι. (60) Καὶ τί κωλύει φιλεῖν τινα ὡς θνητὸν, ὡς ἀποδημητικόν; Ἢ Σωκράτης οὐκ ἐφίλει τοὺς παῖδας τοὺς ἑαυτοῦ; ἀλλ' ὡς ἐλεύθερος, ὡς μεμνημένος ὅτι πρῶτον δεῖ θεοῖς εἶναι φίλον. (61) Διὰ τοῦτο οὐδὲν παρέβη τῶν πρεπόντων ἀνδρὶ ἀγαθῷ, οὔτ' ἀπολογούμενος, οὔθ' ὑποτιμώμενος, οὔτ' ἔτι πρόσθεν, βουλεύων, ἢ στρατευόμενος. (62) Ἡμεῖς δὲ πάσης προφάσεως πρὸς τὸ ἀγεννεῖς εἶναι εὐποροῦμεν· οἱ μὲν διὰ παῖδα, οἱ δὲ διὰ μητέρα, ἄλλοι δὲ δι' ἀδελφούς. (63) Δι' οὐδένα δὲ προσήκει δυστυχεῖν, ἀλλὰ εὐτυχεῖν διὰ πάντας, μάλιστα δὲ διὰ τὸν θεὸν τὸν ἐπὶ τοῦτο ἡμᾶς κατασκευάσαντα. (64) Ἄγε, Διογένης δ' οὐκ ἐφίλει οὐδένα, ὃς οὕτως ἥμερος ἦν καὶ φιλάνθρωπος, ὥστε ὑπὲρ τοῦ κοινοῦ τῶν ἀνθρώπων τοσούτους πόνους καὶ ταλαιπωρίας τοῦ σώματος ἄσμενος ἀναδέχεσθαι; (65) Ἀλλ' ἐφίλει πῶς; ὡς τοῦ Διὸς διάκονον ἔδει, ἅμα μὲν κηδόμενος, ἅμα δ' ὡς τῷ θεῷ ὑποτεταγμένος. (66) Διὰ τοῦτο πᾶσα γῆ πατρὶς ἦν ἐκείνῳ * μόνῳ *, ἐξαίρετος δ' οὐδεμία· καὶ ἁλοὺς, οὐκ ἐπόθει τὰς Ἀθήνας, οὐδὲ τοὺς ἐκεῖ συνήθεις καὶ φίλους, ἀλλ' αὐτοῖς τοῖς πειραταῖς συνήθης ἐγίνετο, καὶ ἐπανορθοῦν ἐπειρᾶτο· καὶ πραθεὶς ὕστερον, ἐν Κορίνθῳ διῆγεν οὕτως, ὡς πρόσθεν ἐν Ἀθήναις· καὶ εἰς Περραιβοὺς δ' ἂν ἀπελθὼν, ὡσαύτως εἶχεν. Οὕτως ἐλευθερία γίνεται. (67) Διὰ τοῦτο ἔλεγεν, ὅτι Ἐξ οὗ μ' Ἀντισθένης ἠλευθέρωσεν, οὐκέτι ἐδούλευσα. (68) Πῶς ἠλευθέρωσεν; Ἄκουε τί λέγει· Ἐδίδαξέ με τὰ ἐμὰ, καὶ τὰ οὐκ ἐμά· κτῆσις οὐκ ἐμή· συγγενεῖς, οἰκεῖοι, φίλοι, φήμη, συνήθεις τόποι, διατριβὴ, πάντα ταῦτα ὅτι ἀλλότρια. (69) Σὸν οὖν τί; Χρῆσις φαντασιῶν. Ταύτην ἔδειξέ μοι ὅτι ἀκώλυτον ἔχω, ἀνανάγκαστον, οὐδεὶς ἐμποδίσαι δύναται, οὐδεὶς βιάσασθαι ἄλλως χρήσασθαι ἢ ὡς θέλω. (70) Τίς οὖν ἔτι ἔχει μου ἐξουσίαν; Φίλιππος, ἢ Ἀλέξανδρος, ἢ Περδίκκας, ἢ ὁ μέγας βασιλεύς; Πόθεν αὐτοῖς; τὸν γὰρ ὑπ' ἀνθρώπου μέλλοντα ἡττᾶσθαι, πολὺ πρότερον ὑπὸ τῶν πραγμάτων δεῖ ἡττᾶσθαι. (71) Οὗτινος οὖν οὐχ ἡδονὴ κρείττων ἐστὶν, οὐ πόνος, οὐ δόξα, οὐ πλοῦτος, δύναται δ', ὅταν αὐτῷ δόξῃ, τὸ σωμάτιον ὅλον προσπτύσας τινὶ ἀπελθεῖν, τίνος ἔτι οὗτος δοῦλός ἐστι; τίνι ὑποτέτακται; (72) Εἰ δ' ἡδέως ἐν Ἀθήναις διῆγε, καὶ ἥττητο ταύτης τῆς διατριβῆς, ἐπὶ παντὶ ἂν ἦν τὰ ἐκείνου πράγματα·

esse existimaveris, ut recte judices, ut opinione, ut impetu, ut appetitione et aversatione recte utaris; quis porro adulationi locus reliquus est, quis animi pusillitati? quid adhuc otium domesticum requiris? quid consueta loca? (57) Exspecta paulisper, et rursus hæc tibi assueta erunt. Deinde, si tam degeneri sis animo, rursus, cum hæc relinques, plora et geme.

58. Quo pacto igitur caritatem servabo in meos? Ut homo generosus, et qui non sit miser. Numquam enim ratio dictat, ut abjecto sis animo et fracto, aut ut ex aliis pendeas, aut umquam vel deum vel hominem accuses. (59) Sic mihi pius in tuos esto, ut ista conserves : sin propter istam, quam pietatem tu vocas sive caritatem, servus futurus es et miser, non expedit esse pium. (60) Et quid prohibet, aliquem diligere ut mortalem, ut peregrinaturum? Num Socrates liberos suos non amabat? amabat, sed ut liber, sed ut qui meminisset inprimis dei amicum esse oportere. (61) Quapropter nihil eorum, quæ bonum virum decent, transgressus est, neque in defendendo se, nec in statuenda sibi mulcta; neque ante hæc, cum senator esset, aut cum militaret. (62) Nobis vero nulla non species suppetit, quam ignaviæ nostræ et animi humilitati prætendamus; alius filium caussatur, alius matrem, alius fratres. (63) Enimvero propter neminem calamitosi esse debemus, sed felices propter omnes; maxime vero propter deum, qui ad hoc nos condidit. (64) Age, an neminem amabat Diogenes, qui ea bonitate et humanitate fuit, ut propter publicum hominum bonum tot labores et ærumnas corporis ultro susciperet? (65) Immo amabat; sed quomodo? Ut Jovis ministrum decebat; simul illos curans, simul ut deo subjectus. (66) Quapropter huic [soli] omnis terra erat patria, propria vero præ ceteris sedes nulla: itaque captus, non desideravit Athenas, nec illius loci familiares et amicos; sed ipsis etiam piratis familiaris factus, eos corrigere studuit : deinde Corinthi venditus, eodem modo ibi vixit ut ante Athenis : quodsi ad Perrhæbos venisset, haud aliter fuisset affectus. Sic paratur libertas. (67) Ea de caussa dicebat : « Ex quo me Antisthenes in libertatem asseruit, servire desii. (68) Quomodo asseruit? Audi quid dicat : Docuit me quæ mea essent, quæ non mea : rem familiarem non esse meam : cognatos, propinquos, amicos, famam, consueta loca, consuetudinem cum hominibus, omnia hæc aliena esse. (69) Quid ergo tuum est? Usus visorum. Hunc mihi ostendit me nulli impedimento aut violentiæ obnoxium habere, neminem impedire posse, neminem adigere ut aliter ac velim utar. (70) Quis ergo adhuc potestatem in me habet? Philippus, aut Alexander, aut Perdiccas, aut rex Persarum? Unde istis illa potestas foret? nam qui hominibus succubiturus est, eum multo ante rebus ipsis succubuisse oportet. (71) Qui ergo a voluptate non vincitur, non a labore, non a gloria, non a pecuniæ cupiditate; qui, cum ipsi visum fuerit, toto corpore veluti in faciem alicui exsputo, discedere e vita potest, cujus adhuc servus est? cui obnoxius? (72) Sed, si libenter vixisset Athenis, si illius urbis consuetudini fuisset addictus, res illius in cujusvis potestate fuissent : ro-

ὁ ἰσχυρότερος κυριος ἂν ἦν λυπῆσαι αὐτόν. (73) Πῶς ἂν δοκεῖς τοὺς πειρατὰς ἐκολάκευεν, ἵν' αὐτὸν Ἀθηναίων τινὶ πωλήσωσιν; ἵν' ἴδῃ ποτὲ τὸν Πειραιᾶ τὸν καλὸν, καὶ τὰ μακρὰ τείχη, καὶ τὴν ἀκρόπολιν; (74) Τίς ὢν ἴδῃς; Ἀνδράποδον, δοῦλος, καὶ ταπεινός. Καὶ τί σοι ὄφελος; Οὐχ, ἀλλ' ἐλεύθερος. Δεῖξον πῶς ἐλεύθερος.

75. Ἰδοὺ ἐπειλήπτταί σου τίς ποτε οὗτος, ὁ ἐξάγων σε ἀπὸ τῆς συνήθους σοι διατριβῆς, καὶ λέγει, Δοῦλος ἐμὸς εἶ· ἐπ' ἐμοὶ γάρ ἐστι κωλῦσαί σε διάγειν ὡς θέλεις, ἐπ' ἐμοὶ τὸ ἀνεῖναί σε, τὸ ταπεινοῦν· ὅταν θέλω, πάλιν εὐφραίνῃ, καὶ μετέωρος πορεύῃ εἰς Ἀθήνας. (76) Τί λέγεις πρὸς τοῦτον τὸν δουλαγωγοῦντά σε; ποῖον αὐτῷ καρπιστὴν δίδως; ἢ οὐδ' ὅλως ἀντιβλέπεις; ἀλλ' ἀφεὶς τοὺς πολλοὺς λόγους, ἱκετεύεις ἵνα ἀφεθῇς; (77) Ἄνθρωπε, εἰς φυλακήν σε δεῖ χαίροντα ἀπιέναι, σπεύδοντα, φθάνοντα τοὺς ἀπάγοντας. Εἶτά μοι σὺ μὲν ἐν Ῥώμῃ διάγειν ὀκνεῖς, τὴν Ἑλλάδα ποθεῖς; ὅταν δ' ἀποθνήσκειν δέῃ, καὶ τότε μέλλεις ἡμῶν κατακλαίειν, ὅτι τὰς Ἀθήνας οὐ μέλλεις βλέπειν, καὶ ἐν Λυκείῳ οὐ περιπατήσεις; (78) Ἐπὶ τούτῳ ἀπεδήμησας; τούτου ἕνεκα ἐζήτησάς τινι συμβαλεῖν, ἵν' ὠφεληθῇς ὑπ' αὐτοῦ; Ποίαν ὠφέλειαν; συλλογισμοὺς ἵν' ἀναλύσῃς ἑκτικώτερον, ἢ ἐφοδεύσῃς ὑποθετικούς; καὶ διὰ ταύτην τὴν αἰτίαν ἀδελφὸν ἀπέλιπες, πατρίδα, φίλους, οἰκείους, ἵνα ταῦτα μαθὼν ἐπανέλθῃς; (79) Ὥστ' οὐχ ὑπὲρ εὐσταθείας ἀπεδήμεις, οὐχ ὑπὲρ ἀταραξίας, οὐχ ἵν' ἀβλαβὴς γενόμενος μηκέτι μηδένα μέμφῃ, μηδενὶ ἐγκαλῇς, μηδείς σε ἀδικῇ, καὶ οὕτω τὰς σχέσεις ἀποσώζῃς ἀπαραποδίστως; (80) Καλὴν ἔστειλω ταύτην τὴν ἐμπορίαν, συλλογισμοὺς καὶ μεταπίπτοντας καὶ ὑποθετικούς. Κἄν σοι φανῇ, ἐν τῇ ἀγορᾷ καθίσας πρόγραψον, ὡς οἱ φαρμακοπῶλαι. (81) Οὐχ ἀρνήσῃ καὶ ὅσα ἔμαθες εἰδέναι, ἵνα μὴ διαβάλῃς τὰ θεωρήματα ὡς ἄχρηστα; Τί σοι κακὸν ἐποίησε φιλοσοφία; τί σε ἠδίκησε Χρύσιππος, ἵν' αὐτοῦ τοὺς πόνους ἔργῳ αὐτὸς ἀχρήστους ἐξελέγχῃς; Οὐχ ἤρκει σοι τὰ ἐκεῖ κακὰ, ὅσα εἶχες αἴτια τοῦ λυπεῖσθαι καὶ πενθεῖν, εἰ καὶ μὴ ἀπεδήμησας; ἀλλὰ πλείω προσέλαβες; (82) Κἂν ἄλλους πάλιν ἔχῃς συνήθεις καὶ φίλους, ἕξεις πλείονα τοῦ οἰμώζειν αἴτια· κἂν πρὸς ἄλλην χώραν προσπαθῇς. Τί οὖν ζῇς, ἵνα λύπας ἄλλας ἐπ' ἄλλαις περιβάλλῃ, δι' ἃς ἀτυχεῖς; (83) Εἶτά μοι καλεῖς τοῦτο φιλοστοργίαν; Ποίαν, ἄνθρωπε, φιλοστοργίαν; Εἰ ἀγαθόν ἐστιν, οὐδενὸς κακοῦ αἴτιον γίνεται· εἰ κακόν ἐστιν, οὐδὲν μοὶ καὶ αὐτῇ. Ἐγὼ πρὸς τὰ ἀγαθὰ τὰ ἐμαυτοῦ πέφυκα, πρὸς κακὰ οὐ πέφυκα.

84. Τίς οὖν ἡ πρὸς τοῦτο ἄσκησις; Πρῶτον μὲν, ἡ ἀνωτάτω καὶ κυριωτάτη, καὶ εὐθὺς ὥσπερ ἐν πύλαις, ὅταν τινὶ προσπάσχῃς, ὡς οὐδενὶ τῶν ἀναφαιρέτων, ἀλλά τινι τοιούτῳ γένει, οἷόν ἐστι χύτρα, οἷον ὑάλινον ποτήριον· ἵν', ὅταν καταγῇ, μεμνημένος μὴ ταραχθῇς. (85) Οὕτω καὶ ἐνθάδε· ἐὰν παιδίον σαυτοῦ καταφιλῇς, ἐὰν ἀδελφὸν, ἐὰν φίλον, μηδέποτε ἐπιδῷς τὴν φαντασίαν εἰς ἅπαν, μηδὲ τὴν διάχυσιν ἐάσῃς προελθεῖν ἐφ'

bustior jus lædendi ejus habuisset. (73) Quomodo censes eum piratis fuisse adulaturum, ut Atheniensi alicui ipsum venderent? ut aliquando Piræeum illum elegantem conspiceret, et longos muros, et arcem? (74) Tu vero quomodo ista spectaturus esses? Ut mancipium, ut servus, ut humilis et abjectus. Et quem inde fructum caperes? Immo ut ingenuus. Ostende quomodo ingenuus.

75. Ecce prehendit te ille, quisquis fuerit, qui a consueta vita ratione abstrahit, et dicit tibi : Servus meus es : nam penes me est te prohibere quominus arbitratu tuo vivas; penes me est te et indulgentius habere, et premere : cum volo, rursus exhilararis, et spe exsultans Athenas proficisceris. (76) Quid dicis huic te servitute opprimenti? qualem ei assertorem opponis? an ne intueri quidem illum audes? sed, omissis multis disputationibus, supplicas ut dimittaris? (77) Homo, hilarem te in custodiam ire decet, festinantem, antevertentem lictores : tu vero Romæ degere recusas, Græciamque desideras? et cum moriendum erit, tum quoque nobis oploraturus es, quod Athenas visurus non sis, et in Lyceo non deambulaturus? (78) Eane de caussa peregrinatus es? propterane quæsivisti aliquem cum quo sermones conferres, ut ab eo juvareris? Qua in re? in syllogismis expeditius resolvendis, aut hypotheticis tractandis? et hanc ob caussam fratrem reliquisti, patriam, amicos, propinquos; ut his cognitis domum redires? (79) Ergo non constantiæ caussa, non propter animi tranquillitatem peregre profectus es; non, ut extra omnem fortunæ aleam positus, posthac neminem accusares, neminem reprehenderes, nemo te læderet, atque ita relationes tuas citra impedimentum tuereris? (80) Egregiam vero mercaturam fecisti, tanto mari emenso syllogismos et sophismata et hypotheticos reportando. Quodsi visum tibi fuerit, in foro sedens ista proscribito, quemadmodum pharmacopolæ. (81) Nonne potius ea etiam quæ didicisti, negare deberes te nosse; ne præcepta tamquam inutilia damnes? Quid mali tibi dedit philosophia? qua te injuria Chrysippus affecit, ut ejus labores facto tuo inutiles esse argueres? Non satis tibi domi erat malorum, quæ tibi caussæ dolendi lugendique fuissent, etiam si non esses peregre profectus? sed plura etiam adjicere voluisti? (82) Quodsi alios familiares atque amicos asciveris, plures tibi plorandi caussæ erunt : item si alia regione delectatus fueris. Quid ergo vivis, alias atque alias molestias cumulando, propter quas sis miser? (83) Istam tu mihi caritatem in tuos vocas? Quam caritatem, homo? Si bona est, nullius mali caussa est; sin mala, nihil cum ea rei mihi sit. Ego ad bona mea natus sum; ad mala non sum natus.

84. Quæ ergo ad hæc exercitatio requiritur? Primum, summa illa et principalis, et statim velut in introitu, ut, si qua re jucunde afficiaris, non ita te ea affici patiaris, tamquam re quæ eripi tibi non possit; sed tamquam re ex eo genere, cujusmodi est olla fictilis, aut vitreum poculum; ut, eo fracto, memineris *quale fuerit*, nec perturberis. (85) Eodem modo et in his : quodsi filiolum tuum deoscularis, si fratrem, si amicum; numquam effuse evagari patere phantasiam tuam, neque quousque volet progredi sine læ-

ὅσον αὐτὴ θέλει· ἀλλ' ἀντίσπασον, κώλυσον, οἷον οἱ τοῖς θριαμβεύουσιν ἐφεστῶτες ὄπισθεν, καὶ ὑπομιμνήσκοντες ὅτι ἄνθρωποι εἰσί. (86) Τοιοῦτόν τι καὶ σὺ ὑπομίμνησκε σεαυτόν· ὅτι θνητὸν φιλεῖς, οὐδὲν τῶν σεαυτοῦ φιλεῖς· ἐπὶ τοῦ παρόντος σοι δέδοται, οὐκ ἀναφαίρετον, οὐδ' εἰς ἅπαν, ἀλλ' ὡς σῦκον, ὡς σταφυλή, τῇ τεταγμένῃ ὥρᾳ τοῦ ἔτους· ἂν δὲ χειμῶνος ἐπιποθῇς, μωρὸς εἶ. (87) Οὕτω κἂν τὸν υἱὸν ἢ τὸν φίλον τότε ποθῇς ὅτε οὐ δέδοταί σοι, ἴσθι ὅτι χειμῶνος σῦκον ἐπιποθεῖς. Οἷον γάρ ἐστι χειμὼν πρὸς σῦκον, τοιοῦτόν ἐστι πᾶσα ἡ ἀπὸ τῶν ὅλων περίστασις πρὸς τὰ κατ' αὐτὴν ἀναιρούμενα. (88) Καὶ λοιπὸν ἐν αὐτοῖς οἷς χαίρεις τινί, τὰς ἐναντίας φαντασίας σαυτῷ πρόβαλλε. Τί κακόν ἐστι, μεταξὺ καταφιλοῦντα τὸ παιδίον, ἐπιψελλίζοντα λέγειν, Αὔριον ἀποθανῇ· τῷ φίλῳ ὡσαύτως, Αὔριον ἀποδημήσεις, ἢ σύ, ἢ ἐγώ, καὶ οὐκέτι ὀψόμεθα ἀλλήλους; (89) Ἀλλὰ δύσφημά ἐστι ταῦτα. Καὶ γὰρ τῶν ἐπαοιδῶν ἔνια· ἀλλ' ὅτι ὠφελοῦσιν, οὐκ ἐπιστρέφομαι, μόνον ὠφελείτω. Σὺ δὲ δύσφημα καλεῖς ἄλλα, ἢ τὰ κακοῦ τινος σημαντικά; (90) Δύσφημόν ἐστι δειλία, δύσφημον ἀγέννεια, πένθος, λύπη, ἀναισχυντία. Ταῦτα τὰ ὀνόματα δύσφημά ἐστι. Καίτοι γε οὐδὲ ταῦτα ὀκνεῖν δεῖ φθέγγεσθαι, ὑπὲρ φυλακῆς τῶν πραγμάτων. (91) Δύσφημον δέ μοι λέγεις ὄνομα φυσικοῦ τινος πράγματος σημαντικόν; λέγε δύσφημον εἶναι καὶ τὸ θερισθῆναι τοὺς στάχυας· ἀπώλειαν γὰρ σημαίνει τῶν σταχύων· ἀλλ' οὐ τοῦ κόσμου. Λέγε δύσφημον καὶ τὸ φυλλοῤῥοεῖν, καὶ τὸ ἰσχάδα γίνεσθαι ἀντὶ σύκου, καὶ ἀσταφίδας ἐκ τῆς σταφυλῆς. (92) Πάντα γὰρ ταῦτα τῶν προτέρων εἰσὶν εἰς ἕτερα μεταβολαί· οὐκ ἀπώλεια, ἀλλὰ τεταγμένη τις οἰκονομία καὶ διοίκησις. (93) Τοῦτ' ἔστιν ἀποδημία, * καὶ * μεταβολὴ μικρά· τοῦτο θάνατος, μεταβολὴ μείζων, οὐκ ἐκ τοῦ νῦν ὄντος εἰς τὸ μὴ ὄν, ἀλλ' εἰς τὸ νῦν μὴ ὄν. (94) Οὐκέτι οὖν ἔσομαι; Οὐκ ἔσῃ, ἀλλ' ἄλλο τι, οὗ νῦν ὁ κόσμος χρείαν ἔχει. Καὶ γὰρ σὺ ἐγένου οὐχ ὅτε σὺ ἠθέλησας, ἀλλ' ὅτε ὁ κόσμος χρείαν ἔσχε.

95. Διὰ τοῦτο ὁ καλὸς καὶ ἀγαθός, μεμνημένος τίς τ' ἐστί, καὶ πόθεν ἐλήλυθε, καὶ ὑπὸ τίνος γέγονε, πρὸς μόνῳ τούτῳ ἐστί, πῶς τὴν αὑτοῦ χώραν ἐκπληρώσῃ εὐτάκτως καὶ εὐπειθῶς τῷ θεῷ. (96) Ἔτι μ' εἶναι θέλεις; Ὡς ἐλεύθερος, ὡς γενναῖος, ὡς σὺ ἠθέλησας. Σὺ γάρ με ἀκώλυτον ἐποίησας ἐν τοῖς ἐμοῖς. (97) Ἀλλ' οὐκέτι μου χρείαν ἔχεις; Καλῶς σοι γένοιτο· καὶ μέχρι νῦν διὰ σὲ ἔμενον, δι' ἄλλον οὐδένα· καὶ νῦν σοι πειθόμενος ἀπέρχομαι. (98) Πῶς ἀπέρχῃ; Πάλιν ὡς σὺ ἠθέλησας, ὡς ἐλεύθερος, ὡς ὑπηρέτης σός, ὡς ᾐσθημένος σου τῶν προσταγμάτων καὶ ἀπαγορευμάτων. (99) Μέχρι δ' ἂν οὗ διατρίβω ἐν τοῖς σοῖς, τίνα με θέλεις εἶναι; ἄρχοντα, ἢ ἰδιώτην; βουλευτήν, ἢ δημότην; στρατιώτην, ἢ στρατηγόν; παιδευτήν, ἢ οἰκοδεσπότην; ἣν ἂν χώραν καὶ τάξιν ἐγχειρίσῃς, ὡς λέγει ὁ Σωκράτης, μυριάκις ἀποθανοῦμαι πρότερον, ἢ ταύτην ἐγκαταλείψω. (100) Ποῦ δέ μ' εἶναι θέλεις; ἐν Ῥώμῃ, ἢ

titiam tuam; sed retrahito, prohibeto, velut ii qui triumphantibus a tergo astant, eosque commonefaciunt esse mortales. (86) Tale aliquid et tu tibi ipse subjicito: mortalem te diligere; nihil eorum diligere quæ tua sint: data tibi esse in præsentia, eripi posse, non in perpetuum concessa esse; sed ut ficum, ut uvam, stato anni tempore; quas si sub brumam desideres, stultus fueris. (87) Eodem modo, si filium aut amicum eo tempore desideraris, quo tibi datus non est, scito te in bruma desiderare ficum. Ut enim se habet hiems ad ficum; eodem modo se habet quilibet casus, qui in rerum universitate evenit, ad ea quæ per illum tolluntur. (88) Itaque eodem tempore, quo re quadam gaudes, contraria visa tibi propone. Quid mali in eo est, si inter deosculandum puerum balba voce dicas, Cras morieris; amico itidem, Cras peregre abibis, vel tu, vel ego, neque alter alterum posthac visuri sumus. (89) At mali ominis ista sunt! Etiam incantamenta quædam ejusmodi sunt: sed quia juvant, non curo; modo juvent. Tu vero ominosa numquid alia vocas, nisi ea quæ aliquid mali significant? (90) Ominosa est ignavia, ominosus est degener animus, luctus, mœror, impudentia. Hæc nomina ominosa sunt. Tamen ne ab his quidem nominandis est abhorrendum, ut res ipsæ caveantur. (91) Tu vero ominosam mihi vocem dicis, quæ rem aliquam naturalem declarat? Dic etiam ominosum esse, demeti spicas; interitum enim spicarum significat; at non mundi. Ominosum dic foliorum quoque defluxum ab arboribus, et caricam fieri e ficu, et aridas uvas e botro. (92) Nam hæc omnia ex iis, quæ antea fuerant, in alia mutantur: non internecio ista est, sed certa quædam dispensatio et administratio. (93) Hujusmodi res est peregrinatio, et exigua quidem mutatio: hujusmodi mors; mutatio major, non ex eo quod nunc est in id quod non est, sed in id quod nunc non est. (94) Non amplius igitur ero? Non; eris, sed aliud quiddam, quo nunc mundus indiget: nam et natus tu es, non cum tu voluisti, sed cum opus te habuit mundus.

95. Quocirca vir bonus et sapiens, memor quis sit, et unde venerit, et a quo genitus sit, in eo solo elaborat, quo pacto suam stationem rite tueatur, deoque suam probet obedientiam. (96) Vis me diutius esse? *Ero*, ut liber, ut generosus, ut tu voluisti: tu enim ita me fecisti, ut prohiberi non possim meis in rebus. (97) At tibi non amplius me opus est? Bene tibi sit: etiam ad hoc tempus propter te mansi, propter alium neminem; et nunc, ut tibi pareum, discedo. (98) Quomodo discedis? Rursus quemadmodum tu voluisti; ut liber, ut minister tuus, ut mandatorum tuorum intelligens et interdictorum. (99) Quoad vero in tuis rebus versabor, quem me esse vis? principem, an privatum? senatorem, an plebeium? militem, an ducem? ludimagistrum, an patrem familias? quemcumque mihi locum, quamcumque stationem mandaris, ut ait Socrates, millies potius mortem oppetam, quam eam ut deseram. (100) Ubi autem

ἐν Ἀθήναις, ἢ ἐν Θήβαις, ἢ ἐν Γυάροις; Μόνον ἐκεῖ μου μέμνησο. (101) Ἂν μ' ἐκεῖ πέμπῃς, ὅπου κατὰ φύσιν διεξαγωγὴ οὐκ ἔστιν ἀνθρώπων, οὐ σοὶ ἀπειθῶν ἔξειμι, ἀλλ' ὡς σοῦ μοι σημαίνοντος τὸ ἀνακλητικόν· οὐκ ἀπολείπω σε (μὴ γένοιτο), ἀλλ' αἰσθάνομαι ὅτι μου χρείαν οὐκ ἔχεις. (102) Ἂν δὲ διδῶται κατὰ φύσιν διεξαγωγή, οὐ ζητήσω ἄλλον [τόπον] ἢ ἐν ᾧ εἰμί, ἢ ἄλλους ἀνθρώπους ἢ μεθ' ὧν εἰμί.

103. Ταῦτα νυκτός, ταῦτα ἡμέρας πρόχειρα ἔστω· ταῦτα γράφειν, ταῦτα ἀναγινώσκειν· περὶ τούτων τοὺς λόγους ποιεῖσθαι, αὐτὸν πρὸς αὐτόν, πρὸς ἕτερον. Μή τι ἔχεις μοι πρὸς τοῦτο βοηθῆσαι; καὶ πάλιν ἄλλῳ [προσ]ελθεῖν καὶ ἄλλῳ. (104) Εἶτα, ἄν τι γίνηται τῶν λεγομένων ἀβουλήτων, εὐθὺς ἐκεῖνο πρῶτον ἐπικουφίσει σε, ὅτι οὐκ ἀπροσδόκητον. (105) Μέγα γὰρ ἐπὶ πάντων τό, Ἤδειν θνητὸν γεγεννηκώς. Οὕτω γὰρ ἐρεῖς καὶ σύ, ὅτι ἤδειν θνητὸς ὤν, ἤδειν ἀποδημητικὸς ὤν, ἤδειν ἔκβλητος ὤν, ἤδειν εἰς φυλακὴν ἀπακτὸς ὤν. (106) Εἶτ', ἂν ἐπιστραφῇς κατὰ σαυτόν, καὶ ζητήσῃς τὴν χώραν ἐξ ἧς ἐστι τὸ συμβεβηκός, εὐθὺς ἀναμνησθήσῃ ὅτι ἐκ τῆς τῶν ἀπροαιρέτων, τῶν οὐκ ἐμῶν. Τί οὖν πρὸς ἐμέ; (107) Εἶτα, τὸ κυριώτατον· Τίς δ' αὐτὸ καὶ ἐπιπέπομφεν; Ὁ ἡγεμών, ἢ ὁ στρατηγός, ἡ πόλις, ὁ τῆς πόλεως νόμος. Δὸς οὖν αὐτό· δεῖ γάρ με ἀεὶ τῷ νόμῳ πείθεσθαι ἐν παντί. (108) Εἶθ', ὅταν σε ἡ φαντασία δάκνῃ (τοῦτο γὰρ οὐκ ἐπὶ σοί), ἀναμάχου τῷ λόγῳ, καταγωνίζου αὐτήν· Μὴ ἐάσῃς ἐνισχύειν, μηδὲ προάγειν ἐπὶ τὰ ἑξῆς, ἀναπλάσσουσαν ὅσα θέλει, καὶ ὡς θέλει. (109) Ἂν ἐν Γυάροις ᾖς, μὴ ἀνάπλασσε τὴν ἐν Ῥώμῃ διατριβήν, καὶ ὅσαι διαχύσεις ἦσαν ἐκεῖ διάγοντι, καὶ ὅσαι γένοιντ' ἂν ἐπανελθόντι· ἀλλ' ἐκεῖ τέτασο, ὅπως δεῖ τὸν ἐν Γυάροις διάγοντα, ἐν Γυάροις ἐῤῥωμένως διάγειν. Κἂν ἐν Ῥώμῃ ᾖς, μὴ ἀνάπλασσε τὴν ἐν Ἀθήναις διατριβήν, ἀλλὰ περὶ μόνης τῆς ἐκεῖ μελέτα.

110. Εἶτ' ἀντὶ τῶν ἄλλων ἁπασῶν διαχύσεων ἐκείνην ἀντείσαγε, τὴν ἀπὸ τοῦ παρακολουθεῖν ὅτι πείθῃ τῷ θεῷ, ὅτι οὐ λόγῳ, ἀλλ' ἔργῳ τὰ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἐκτελεῖς. (111) Οἷον γάρ ἐστιν αὐτὸν αὐτῷ δύνασθαι εἰπεῖν· Νῦν ἃ ἂν οἱ ἄλλοι ἐν ταῖς σχολαῖς σεμνολογῶσι καὶ παραδοξολογεῖν δοκῶσι, ταῦτα ἐγὼ ἀποτελῶ· κἀκεῖνοι καθήμενοι τὰς ἐμὰς ἀρετὰς ἐξηγοῦνται, καὶ περὶ ἐμοῦ ζητοῦσι, καὶ ἐμὲ ὑμνοῦσι· (112) καὶ τούτου με ὁ Ζεὺς αὐτὸν παρ' ἐμαυτοῦ λαβεῖν ἀπόδειξιν ἠθέλησε, καὶ αὐτὸς δὲ γνῶναι, εἰ ἔχει στρατιώτην οἷον δεῖ, πολίτην οἷον δεῖ, καὶ τοῖς ἄλλοις ἀνθρώποις προάγειν με μάρτυρα τῶν ἀπροαιρέτων· Ἴδετε, ὅτι εἰκῇ φοβεῖσθε, μάτην ἐπιθυμεῖτε ὧν ἐπιθυμεῖτε. Τὰ ἀγαθὰ ἔξω μὴ ζητεῖτε, ἐν ἑαυτοῖς ζητεῖτε· εἰ δὲ μή, οὐχ εὑρήσετε. (113) Ἐπὶ τούτοις με νῦν μὲν ἐνταῦθα ἄγει, νῦν δ' ἐκεῖ πέμπει, πένητα δείκνυσι τοῖς ἀνθρώποις, δίχα ἀρχῆς, νοσοῦντα· εἰς Γύαρα πέμπει, εἰς δεσμωτήριον εἰσάγει· οὐ μισῶν· μὴ γένοιτο·

esse me vis? Romæ? an Athenis? an Thebis? an in Gyaris? *Perinde mihi est :* modo illic mei memento. (101) Si eo me miseris, ubi homines secundum naturam vivere nequeunt; non contra imperium tuum discedam, sed tamquam te receptui mihi canente; non te deseram (absit hoc), sed animadverto, tibi opera mea non esse opus : (102) sin naturæ convenienter ibi vivere licuerit, alium locum, præter eum in quo sum, non quæram; non alios homines, nisi eos cum quibus sum.

103. Hæc noctu, hæc interdiu in promptu esse debent; hæc scribenda, hæc legenda; de his verba facienda sunt cuique, et secum, et apud alios. Numquid in hoc juvare me potes? Et rursus alius atque alius conveniendus. (104) Postea si quid eorum, quæ præter voluntatem dicuntur, acciderit, statim illud primum te sublevabit, quod inexspectatum non fuit. (105) Magnum enim omnibus in rebus illud est : « Noram me genuisse mortalem. » Sic enim dices et tu : Noram me mortalem esse; noram peregrinari posse; noram ejici posse; noram includi carcere posse. (106) Postea, si circa te circumspexeris, et locum, e quo eventus ille est, quæsieris, statim recordabere, fuisse ex iis quæ nostri arbitrii non sunt, quæ nostra non sunt. Quid ergo ad me? (107) Deinde summum illud adjungendum est : Quisnam istud immisit? Dux, aut imperator, civitas, lex civitatis. Da ergo illud : oportet enim me semper legi parere in omnibus rebus. (108) Postea cum te phantasia momorderit (istud enim in potestate tua non est); ratione pugnam adversus illam instrue, et debella eam; ne sinas invalescere, et ad alia progredi, ut comminiscatur quæ volet, et ut volet. (109) Cum in Gyaris fueris, noli animo tibi fingere vitam quæ Romæ agitur, et quam multæ voluptates illic degenti fuerint, quantæve futuræ essent reverso : sed ibi in id sis intentus, ut, quo pacto decet eum qui in Gyaris vivit, fortiter in Gyaris vivas. Romæ cum fueris, noli tibi fingere vitæ rationem quæ Athenis agitur; sed eam solam meditare, quæ Romæ agenda sit.

110. Dein loco aliarum delectationum omnium hanc substitue, quod intelligis te obtemperare deo; te non verbo, sed re ipsa, boni et sapientis viri officio fungi. (111) Quanti enim est posse tibi ipsi dicere : Nunc, quæ ceteri in scholis magnifice loquuntur, et quæ incredibilia dicere videntur, ea ego re ipsa præsto; atque illi sedentes meas virtutes explicant, et de me disputant, et me celebrant : (112) harumque rerum Jupiter me voluit ipsum a me petere probationem, atque etiam ipse cognoscere, an habeat militem qualem oportet, an civem qualem oportet; meque ceteris hominibus testem proponere voluit rerum quæ ab hominis non pendent voluntate : Videte, sine caussa vos timere; frustra desiderare quæ desideratis : bona foris ne quærite, sed quærite in vobis ipsis; alioqui non invenietis. (113) His de caussis me nunc huc ducit, nunc alio mittit, pauperem ostendit hominibus, sine imperio, ægrotantem; in Gyara mittit, in carcerem conjicit : non ex odio, absit;

τίς δὲ μισεῖ τὸν ἄριστον τῶν ὑπηρετῶν τῶν ἑαυτοῦ; οὐδ᾽ ἀμελῶν· ὅς γε οὐδὲ τῶν μικροτάτων τινὸς ἀμελεῖ· ἀλλὰ γυμνάζων, καὶ μάρτυρι πρὸς τοὺς ἄλλους χρώμενος. (114) Εἰς τοιαύτην ὑπηρεσίαν κατατεταγμένος, ἔτι φροντίζω ποῦ εἰμι, ἢ μετὰ τίνων, ἢ τί περὶ ἐμοῦ λέγουσιν; οὐχὶ δ᾽ ὅλος πρὸς τὸν θεὸν τέταμαι, καὶ τὰς ἐκείνου ἐντολὰς καὶ τὰ προστάγματα;

115. Ταῦτα ἔχων ἀεὶ ἐν χερσὶ καὶ τρίβων αὐτὸς παρὰ σαυτῷ, καὶ πρόχειρα ποιῶν, οὐδέποτε δεήσῃ τοῦ παραμυθουμένου, τοῦ ἐπιῤῥωννύντος. (116) Καὶ γὰρ αἰσχρὸν, οὐ τὸ φαγεῖν μὴ ἔχειν, ἀλλὰ τὸ λόγον μὴ ἔχειν ἀρκοῦντα πρὸς ἀφοβίαν, πρὸς ἀλυπίαν. (117) Ἂν δ᾽ ἅπαξ περιποιήσῃ τὸ ἄλυπον καὶ ἄφοβον, ἔτι σοι τύραννος ἔσται τις, ἢ δορυφόρος, ἢ Καισαριανοί; ἢ ὀρδινατίων δήξεταί σε, ἢ οἱ ἐπιθύοντες ἐν τῷ Καπιτωλίῳ ἐπὶ τοῖς ὀπφικίοις, τὸν τηλικαύτην ἀρχὴν παρὰ τοῦ Διὸς εἰληφότα; (118) Μόνον μὴ πόμπευε αὐτὴν, μηδ᾽ ἀλαζονεύου ἐπ᾽ αὐτῇ· ἀλλ᾽ ἔργῳ δείκνυε· κἂν μηδεὶς αἰσθάνηται, ἀρκοῦ αὐτὸς ὑγιαίνων καὶ εὐδαιμονῶν.

ΚΕΦ. ΚΕ΄.

Πρὸς τοὺς ἀποπίπτοντας ὧν προέθεντο.

1. Σκέψαι ὧν προέθου ἀρχόμενος, τίνων μὲν ἐκράτησας, τίνων δ᾽ οὔ· καὶ πῶς ἐφ᾽ οἷς μὲν εὐφραίνῃ ἀναμιμνησκόμενος, ἐφ᾽ οἷς δ᾽ ἄχθῃ· καὶ, εἰ δυνατὸν, ἀνάλαβε κἀκεῖνα ὧν ἀπώλισθες. (2) Οὐ γὰρ ἀποκνητέον τὸν ἀγῶνα τὸν μέγιστον ἀγωνιζομένοις, ἀλλὰ καὶ πληγὰς ληπτέον. (3) Οὐ γὰρ ὑπὲρ πάλης καὶ παγκρατίου ὁ ἀγὼν πρόκειται· οὗ καὶ τυχόντι καὶ μὴ τυχόντι ἔξεστι μὲν πλείστου ἀξίῳ, ἔξεστι δὲ ὀλίγου εἶναι, καὶ νὴ Δία ἔξεστι μὲν εὐτυχεστάτῳ, ἔξεστι δὲ κακοδαιμονεστάτῳ εἶναι· ἀλλ᾽ ὑπὲρ αὐτῆς εὐτυχίας καὶ εὐδαιμονίας. (4) Τί οὖν; οὐδ᾽, ἂν ἀπαυδήσωμεν ἐνταῦθα, κωλύει τις πάλιν ἀγωνίζεσθαι· οὐδὲ δεῖ περιμεῖναι τετραετίαν ἄλλην, ἵν᾽ ἔλθῃ ἄλλα Ὀλύμπια· ἀλλ᾽ εὐθὺς ἀναλαβόντι καὶ ἀνακτησαμένῳ ἑαυτὸν, καὶ τὴν αὐτὴν εἰσφέροντι προθυμίαν, ἔξεστιν ἀγωνίζεσθαι· κἂν πάλιν ἀπείπῃς, πάλιν ἔξεστι· κἂν ἅπαξ νικήσῃς, ὅμοιος εἶ τῷ μηδέποτε ἀπειπόντι· (5) μόνον μὴ ὑπὸ ἔθους τοῦ αὐτοῦ ἡδέως αὐτὸ ἄρξῃ ποιεῖν, καὶ λοιπὸν ὡς κακὸς ἀθλητὴς περιέρχῃ νικώμενος τὴν περίοδον, ὅμοιος τοῖς ἀποφυγοῦσιν ὄρτυξιν. (6) Ἡττᾷ με φαντασία παιδισκαρίου καλοῦ. Τί γάρ; πρῴην οὐχ ἡττήθην; Προθυμία μοι ἐγγίνεται ψέξαι τινά. Πρῴην γὰρ οὐκ ἔψεξα; (7) Οὕτως ἡμῖν λαλεῖς, ὡς ἀζήμιος ἐξεληλυθώς· οἷον εἴ τις τῷ ἰατρῷ, κωλύοντι λούσασθαι, λέγοι, Πρῴην γὰρ οὐκ ἐλουσάμην; Ἂν οὖν ὁ ἰατρὸς αὐτῷ ἔχῃ λέγειν, Ἄγε, λουσάμενος οὖν τί ἔπαθες; οὐκ ἐπύρεξας; οὐκ ἐκεφαλάλγησας; (8) Καὶ σὺ ψέξας πρῴην τινὰ, οὐ κακοήθους ἔργον ἔπραξας, οὐ φλυάρου; οὐκ ἔθρεψάς σου τὴν ἕξιν ταύτην, παραβάλλων αὐτῇ τὰ οἰκεῖα ἔργα; Ἡττηθεὶς δὲ τοῦ παιδισκαρίου, ἀπῆλθες ἀζήμιος; (9) Τί οὖν τὰ πρῴην λέγεις; ἔδει δ᾽ οἶμαι μεμνημένον, ὡς οἱ δοῦλοι τῶν πληγῶν, ἀπέχεσθαι τῶν αὐτῶν ἁμαρτημάτων. (10) Ἀλλ᾽ οὐχ

quis enim ministrum suum optimum oderit? neque ex negligentia; quippe qui ne minutissimum quidem quidquam negligit: sed exercendi mei caussa, et ut me teste utatur apud alios. (114) Ad tale ministerium constitutus, curo adhuc ubi sim, aut cum quibus, aut quid de me dicant? nec totus me intendo in deum, in ejusque præcepta atque jussa?

115. Hæc si perpetuo in manibus habueris, eaque semper ipse tecum tractaveris, et parata et in promptu tibi feceris; numquam opus tibi erit eo qui te consoletur, qui confirmet. (116) Neque enim id turpe est non habere quod edas; sed, non esse præditum ratione, quæ ad pellendum timorem mœroremque sufficiat. (117) Quodsi vero hoc tibi semel paraveris, ut mœrore metuque vaces; eritne adhuc tibi tyrannus aliquis, aut satelles, aut Cæsariani? an ordinatio te mordebit, aut ii qui in Capitolio sacra faciunt propter delegata sibi officia, cum tu tantum principatum a Jove acceperis? (118) Cave modo ne cum pompa eum ostentes, neque inde insolenter te geras; sed re ipsa eum demonstra: ac, tametsi nemo sentiat, satis sit tibi, sanam habere mentem vitamque beatam.

CAP. XXV.

Ad eos qui a proposito desciscunt.

1. Considera quid ex iis, quæ intitio tibi proposuisti, tenueris, quid non; et quomodo alia te recordantem delectent, alia mœrore afficiant: ac, fieri si potest, illa quoque recuperare stude, unde excidisti. (2) Neque enim iis, qui in id certamen omnium maximum descenderunt, ullus labor refugiendus, sed nec plagæ recusandæ sunt. (3) Neque enim luctæ et pancratii certamen propositum est; quod sive viceris, sive non, nihil vetat te vel maximi vel exigui pretii esse, itemque vel felicissimum vel calamitosissimum: sed hic beata vita et ipsa felicitas agitur. (4) Quid vero? nec, si hic defatigati fuerimus, quisquam prohibet certamen repetere; nec quatuor annos, dum Olympia redeant, exspectare necesse est: sed statim ubi vires recepimus, nosque recollegimus, eodem studio adhibito, rursus certare licet: et ibi si denuo succubueris, denuo licet. Si vero semel viceris, similis eris ei qui perpetuo vicit: (5) modo ne, præ consuetudine idem faciendi, libenter illud facere incipias, ac denique tamquam ignavus athleta oberres toto circuitu [*in quatuor Græciæ certaminibus*] victus, elapsis coturnicibus similis. (6) « Vincit me pulcræ puellæ visum. Quid vero? pridem non sum victus? Cupido mihi incessit vituperandi alicujus. An pridem non vituperavi? » (7) Sic nobis loqueris, quasi indemnis inde sis egressus. Perinde ac si quis medico lotionem prohibenti, dicat, An pridem non lavi? Si igitur medicus ei respondere queat, Age, ergo quid tibi post balneum accidit? nonne febricitasti? non dolore capitis es affectus? (8) Et tu, pridem vituperans aliquem, nonne malevoli hominis opus fecisti? nonne nugatoris? non aluisti habitum istum, objectis illi consentaneis operibus? Victus a puella, num impune discessisti? (9) Quid ergo pristina tua facta recenses? quum potius oportebat te, puto, veluti servum verberum memo

ὅμοιον· ἐνταῦθα μὲν γὰρ ὁ πόνος τὴν μνήμην ποιεῖ· ἐπὶ δὲ τῶν ἁμαρτημάτων ποῖος πόνος; ποία ζημία; πότε γὰρ εἰθίσθης φεύγειν τὸ κακῶς ἐνεργῆσαι; (11) Οἱ πόνοι ἄρα οἱ τῶν πειρατηρίων, ἑκόντων ἢ ἀκόντων ἡμῶν, ὠφέλιμοι.

ΚΕΦ. ΚϚʹ.

Πρὸς τοὺς τὴν ἀπορίαν δεδοικότας.

1. Οὐκ αἰσχύνῃ δειλότερος ὢν καὶ ἀγεννέστερος τῶν δραπετῶν; Πῶς ἐκεῖνοι φεύγοντες ἀπολείπουσι τοὺς δεσπότας; ποίοις ἀγροῖς πεποιθότες, ποίοις οἰκέταις; οὐχὶ δ' ὀλίγον ὅσον πρὸς τὰς πρώτας ἡμέρας ὑφελόμενοι, εἶθ' ὕστερον διὰ γῆς ἢ καὶ διὰ θαλάττης φέρονται, ἄλλην ἐξ ἄλλης ἀφορμὴν πρὸς τὸ διατρέφεσθαι φιλοτεχνοῦντες; (2) Καὶ τίς πώποτε δραπέτης λιμῷ ἀπέθανε; Σὺ δὲ τρέμεις, μή σοι λίπῃ τὰ ἀναγκαῖα, καὶ τὰς νύκτας ἀγρυπνεῖς. (3) Ταλαίπωρε, οὕτω τυφλὸς εἶ; καὶ τὴν ὁδὸν οὐχ ὁρᾷς, ὅποι φέρει ἡ τῶν ἀναγκαίων ἔνδεια; Ποῦ γὰρ φέρει; Ὅπου καὶ ὁ πυρετός, ὅπου καὶ λίθος ἐπιπεσών· εἰς θάνατον. Τοῦτο οὖν οὐ πολλάκις αὐτὸς εἶπες πρὸς τοὺς ἑταίρους; πολλὰ δ' ἀνέγνως τοιαῦτα, πολλὰ δ' ἔγραφες; ποσάκις δ' ἠλαζονεύσω, ὅτι πρός γε τὸ ἀποθανεῖν μετρίως ἔχεις; (4) Ναί· ἀλλὰ καὶ οἱ ἐμοὶ πεινήσουσι. Τί οὖν; μή τι καὶ ὁ ἐκείνων λιμὸς ἀλλαχοῦ που φέρει; οὐχὶ καὶ ἡ αὐτή που κάθοδος; τὰ κάτω τὰ αὐτά; (5) Οὐ θέλεις οὖν ἐκεῖ βλέπειν θαρρῶν πρὸς πᾶσαν ἀπορίαν καὶ ἔνδειαν, ὅπου καὶ τοὺς πλουσιωτάτους, καὶ τοὺς ἀρχὰς τὰς μεγίστας ἄρξαντας, καὶ αὐτοὺς βασιλεῖς καὶ τυράννους δεῖ κατελθεῖν; ἢ σὲ πεινῶντα, ἂν οὕτω τύχῃ, ἐκείνους δὲ διαρραγέντας ὑπὸ ἀπεψιῶν καὶ μέθης; (6) Τίνα πώποτ' ἐπαίτην ῥᾳδίως εἶδες μὴ γέροντα; τίνα δ' οὐκ ἐσχατόγηρων; ἀλλὰ ῥιγῶντες τὰς νύκτας καὶ τὰς ἡμέρας, καὶ χαμαὶ ἐρριμμένοι, καὶ ὅσον αὐτὸ τὸ ἀναγκαῖον σιτούμενοι, ἐγγὺς ἥκουσι τοῦ μηδ' ἀποθανεῖν δύνασθαι. (7) [Οὐκ ἐργάζεσθαί τι δύνασαι;] οὐ γράφειν; οὐ παιδαγωγεῖν; οὐ θύραν ἀλλοτρίαν φυλάττειν; Ἀλλ' αἰσχρόν, εἰς ταύτην ἐλθεῖν τὴν ἀνάγκην. Μάθε οὖν πρῶτον τίνα τὰ αἰσχρά ἐστι, καὶ οὕτως ἡμῖν λέγε σαυτὸν φιλόσοφον· τὸ νῦν δέ, μηδ' ἂν ἄλλος τις εἴπῃ σε ἀνέχου.

8. Αἰσχρόν ἐστί σοι τὸ μὴ σὸν ἔργον, οὗ σὺ αἴτιος οὐκ εἶ, ὃ ἄλλως ἀπήντηκέ σοι, ὡς κεφαλαλγία, ὡς πυρετός; εἴ σου οἱ γονεῖς πένητες ἦσαν, [ἢ πλούσιοι μέν,] ἄλλους δὲ κληρονόμους ἀπέλιπον, [ἢ] καὶ ζῶντες οὐκ ἐπαρκοῦσιν οὐδέν, σοὶ ταῦτα αἰσχρά ἐστι; (9) Ταῦτα ἐμάνθανες παρὰ τοῖς φιλοσόφοις; οὐδέποτε ἤκουσας, ὅτι τὸ αἰσχρὸν ψεκτόν, τὸ δὲ ψεκτὸν ἄξιόν ἐστι τοῦ ψέγεσθαι; Τίνα ἐπὶ τῷ μὴ αὐτοῦ ψέγεις ἔργῳ, ὃ αὐτὸς οὐκ ἐποίησε; (10) Σὺ οὖν ἐποίησάς σου τὸν πατέρα τοιοῦτον; ἢ ἔξεστί σοι ἐπανορθῶσαι αὐτόν; δέδοταί σοι τοῦτο; Τί οὖν; δεῖ σε θέλειν τὰ μὴ δεδομένα, ἢ μὴ τυγχάνοντα αὐτῶν αἰσχύνεσθαι; (11) Οὕτω δὲ καὶ εἰθίζου φιλοσοφῶν, ἀφορᾷν εἰς ἄλλους, καὶ μηδὲν αὐτὸς ἐλπίζειν ἐκ σεαυτοῦ; (12) Τοιγαροῦν οἴμωζε, καὶ στένε, καὶ ἔσθιε δεδοικὼς μὴ οὐ

rem, iisdem peccatis abstinere. (10) Sed non eadem res est : nam illic quidem dolor memoriam facit : in peccatis autem quis dolor est? quæ pœna? quando enim assuevisti malefacta aversari? (11) Dolores igitur tentationum utiles sunt nobis, sive volentibus, sive invitis.

CAP. XXVI.

Ad eos qui inopiam timent.

1. Non te pudet ignaviorem fugitivis et abjectiore animo esse? Quomodo illi, cum fugiunt, relinquunt dominos? quibus agris freti, quibus famulis? nonne exiguum quiddam ad primos dies tolerandos suffurati, post et terram et maria quoque pervagantur, alia atque alia subsidia ad sese alendos impigre sibi parantes? (2) Et quis umquam fugitivus fame periit? Tu vero tremis, ne tibi necessaria desint, et noctes pervigilas. (3) Miser, adeone cæcus es, et viam non cernis, quo fert penuria rerum necessariarum? Quo enim fert? Quo febris, quo saxum in caput delapsum : ad mortem. Nonne hoc sæpe et ipse ad amicos dixisti? non talia multa legisti, multa scripsisti? quoties vero etiam gloriatus es, te mortem quidem æquo animo exspectare? (4) Sane : at et mei esurient. Quid ergo? num eorum quoque fames alio quopiam fert? nonne idem est descensus? nonne inferi iidem? (5) Non ergo vis infracto adversus omnem egestatem et penuriam animo, illo convertere oculos, quo etiam ditissimos, et qui summos magistratus gesserunt, et ipsos reges ac tyrannos descendere oportet? *nullo alio discrimine*, nisi quod tu fortasse esuriens descendes, illi autem cruditate et ebrietate disrupti. (6) Quem vero umquam facile mendicum vidisti non senem? quem non ætate confectum? Atqui frigore et noctu et interdiu rigent; humi jacent abjecti; et, quamquam vix tantum edunt, quantum summa necessitas postulat, parum abest quin emori non possint. (7) * * Nescis scribere? nescis instituere pueros? nescis alienas fores custodire? At turpe est, inquis, in eam devenire necessitatem. Disce ergo prius, quæ turpia sint; et sic nobis dic te philosophum esse : nunc autem nec ab alio te dici patere.

8. Num tibi id turpe est, quod tuum opus non est, cujus tu auctor non es, quod citra tuam culpam te invasit, sicut capitis dolor, sicut febris? Si parentes tui pauperes fuerunt; si [divites quidem,] alios vero hæredes instituerunt; si, dum vivunt, nihil tibi impertiunt; hæccine tibi turpia sunt? (9) Hoccine est quod apud philosophos didicisti? Numquamne audivisti, quod turpe sit, id esse vituperabile, vituperabile autem dignum esse vituperatione? Quemnam ob factum alienum, quod ipse non fecit, reprehendis? (10) Tune igitur patrem tuum fecisti talem? an penes te est eum corrigere? datumne tibi est hoc? Quid ergo? debesne ea velle quæ tibi non data sunt, aut, si eis frustreris, erubescere? (11) An ita, cum philosophiæ operam dares, assuefactus es alios intueri, et nullam in te ipso spem collocare? (12) Proinde lamentare, et geme, et edens time ne in crastinum desit quod edas : de servulis

σχῇς τροφὰς αὔριον· περὶ τῶν δουλαρίων τρέμε, μὴ κλέψῃ, μὴ φύγῃ, μὴ ἀποθάνῃ. (13) Οὕτω σὺ ζῆθι, καὶ μὴ παύσῃ μηδέποτε· ὅστις ὀνόματι μόνῳ πρὸς φιλοσοφίαν προσῆλθες, καὶ τὰ θεωρήματα αὐτῆς ὅσον ἐπὶ σοὶ κατῄσχυνας, ἄχρηστα ἐπιδείξας καὶ ἀνωφελῆ τοῖς ἀναλαμβάνουσιν· οὐδέποτε δ' εὐσταθείας ὠρέχθης, ἀταραξίας, ἀπαθείας· οὐδένα τούτου ἕνεκα ἐθεράπευσας, συλλογισμῶν δ' ἕνεκα πολλούς· οὐδέποτε τούτων τινὰ τῶν φαντασιῶν διεβασάνισας αὐτὸς ἐπὶ σεαυτοῦ, Δύναμαι φέρειν, ἢ οὐ δύναμαι *φέρειν*; τί μοι τὸ λοιπόν ἐστιν; (14) Ἀλλ' ὡς πάντων ἐχόντων σοι καλῶς καὶ ἀσφαλῶς, περὶ τὸν τελευταῖον κατεγίνου τόπον, τὸν τῆς ἀμεταπτωσίας· ἵν' ἀμετάπτωτα σχῇς τίνα; τὴν δειλίαν, τὴν ἀγέννειαν, τὸν θαυμασμὸν τῶν πλουσίων, τὴν ἀτελῆ ὄρεξιν, τὴν ἀποτευκτικὴν ἔκκλισιν; περὶ τῆς τούτων ἀσφαλείας ἐφρόντιζες.

15. Οὐκ ἔδει [τι] προσκτήσασθαι πρῶτον ἐκ τοῦ λόγου, εἶτα τούτῳ περιποιεῖν τὴν ἀσφάλειαν; Καὶ τίνα ποτ' εἶδες θριγκὸν περιοικοδομοῦντα, μηδενὶ τειχίῳ περιβαλλόμενον αὐτόν; ποῖος δὲ θυρωρὸς καθίσταται ἐπὶ οὐδεμίᾳ θύρᾳ; (16) Ἀλλὰ σὺ μελετᾷς ἀποδεικνύειν δύνασθαι· τίνα; μελετᾷς μὴ ἀποσαλεύεσθαι διὰ σοφισμάτων· ἀπὸ τίνων; (17) Δεῖξόν μοι πρῶτον, τί τηρεῖς, τί μετρεῖς, ἢ τί ἱστάνεις· εἶθ' οὕτως ἐπιδείκνυε τὸν ζυγὸν ἢ τὸν μέδιμνον. Ἢ μέχρι τίνος μετρήσεις τὴν σποδόν; (18) Οὐ ταῦτά σε ἀποδεικνύειν δεῖ, ἃ ποιεῖ τοὺς ἀνθρώπους εὐδαίμονας· ἃ ποιεῖ προχωρεῖν αὐτοῖς τὰ πράγματα ὡς θέλουσι· δι' ἃ οὐ δεῖ μέμφεσθαι οὐδενί, ἐγκαλεῖν οὐδενί, προσθέσθαι τῇ διοικήσει τῶν ὅλων; ταῦτά μοι δείκνυε. (19) Ἰδοὺ δεικνύω, φησίν· ἀναλύσω σοι συλλογισμούς. Τοῦτο τὸ μετροῦν ἐστιν, ἀνδράποδον· τὸ μετρούμενον δ' οὐκ ἔστι. (20) Διὰ ταῦτα νῦν τίνεις δίκας ὧν ἠμέλησας φιλοσοφίας· τρέμεις, ἀγρυπνεῖς, μετὰ πάντων βουλεύῃ· κἂν μὴ πᾶσιν ἀρέσκειν μέλλῃ τὰ βουλεύματα, κακῶς οἴει βεβουλεῦσθαι.

21. Εἶτα φοβῇ λιμόν, ὡς δοκεῖς. Σὺ δ' οὐ λιμὸν φοβῇ, ἀλλὰ δέδοικας μὴ οὐ σχῇς μάγειρον, μὴ οὐ σχῇς ἄλλον ὀψωνητήν, ἄλλον τὸν ὑποδήσοντα, ἄλλον τὸν ἐνδύσοντα, ἄλλους τοὺς τρίψοντας, ἄλλους τοὺς ἀκολουθήσοντας· (22) ἵν' ἐν τῷ βαλανείῳ ἐκδυσάμενος καὶ ἐκτείνας σεαυτὸν ὡς οἱ ἐσταυρωμένοι, τρίβῃ ἔνθεν καὶ ἔνθεν· εἶθ' ὁ ἀλείπτης ἐπιστὰς λέγῃ, Μετάβηθι, δὸς πλευρόν· κεφαλὴν αὐτοῦ λάβε, παράθες τὸν ὦμον· εἶτ', ἐλθὼν ἐκ τοῦ βαλανείου εἰς οἶκον, κραυγάσῃς, Οὐδεὶς φέρει φαγεῖν; εἶτ', Ἆρον τὰς τραπέζας, σπόγγισον. (23) Τοῦτο φοβῇ, μὴ οὐ δύνῃ ζῆν ἀῤῥώστου βίον. Ἐπεί τοι τὸν τῶν ὑγιαινόντων μάθε πῶς οἱ δοῦλοι ζῶσι, πῶς οἱ ἐργάται, πῶς οἱ γνησίως φιλοσοφοῦντες· πῶς Σωκράτης ἔζησεν, ἐκεῖνος μὲν καὶ μετὰ γυναικὸς καὶ παίδων· πῶς Διογένης, πῶς Κλεάνθης ἅμα σχολάζων καὶ ἀντλῶν. (24) Ταῦτα ἂν θέλῃς ἔχειν, ἕξεις πανταχοῦ, καὶ ζήσεις θαῤῥῶν. Τίνι; Ὧ μόνῳ θαῤῥεῖν ἐνδέχεται· τῷ πιστῷ, τῷ ἀκωλύτῳ, τῷ ἀναφαιρέτῳ· τοῦτ' ἔστι, τῇ προαιρέσει τῇ σεαυτοῦ. (25) Διὰ τί δ' οὕτως ἄχρηστον

sollicitus esto, ne furentur, ne fugiant, ne moriantur. (13) Ita vivito, neve umquam desinito, qui nomine dumtaxat ad philosophiam accessisti, ejusque præcepta, quantum in te est, probro affecisti, et inutilia ea esse discentibus et supervacanea ostendisti; qui constantiam, tranquillitatem, perturbationum vacuitatem numquam expetivisti; qui neminem umquam hujus rei caussa coluisti, sed propter syllogismos, complures; qui numquam istorum visorum aliquod ipse tecum diligenter explorasti, *aut e te ipse quæsisti*, Ferrene hoc possum, an non ferre? quid mihi restat? (14) Sed, quasi omnia tua belle habeant atque in tuto collocata sint, in postremo loco tempus contrivisti, de immoto animi statu; ut immota tibi sint quænam? Ignavia? degener animus? admiratio divitum? irrita appetitio, infelix aversatio? Hæc ut firma et in tuto tibi essent in eo elaborasti!

15. An non possessio primum paranda e doctrina erat, deinde curandum ut in tuto illa collocaretur? Quem vidisti umquam loricam pinnatam exstruentem, quin muro alicui eam circumduxerit? quis janitor constituitur, ubi nulla est janua? (16) Tu vero id meditaris, ut demonstrare possis? quænam demonstrare? Id meditaris, ne sophistarum captiunculis dimovearis: undenam ne dimovearis? (17) Ostende mihi primum, quid teneas, quid metiaris, aut quid ponderes: tum deinde ostende mihi libram aut modium. Aut quousque mensurus es cinerem? (18) Annon ea tibi demonstranda sunt, quæ homines beant; quæ id præstant, ut res ex sententia eis succedant; quæ doceant, de nulla re esse conquerendum, neminem accusandum, sed assentiendum gubernationi universitatis rerum? Hæc mihi ostende! (19) Ecce, inquit, ostendo: resolvam tibi syllogismos. Hæc mensura est, mancipium; non id quod mensuræ subjicitur. (20) Propterea nunc pœnas das neglectæ philosophiæ; tremis, vigilas, cum omnibus deliberas; et, nisi deliberationes tuæ omnibus placituræ sint, consilii te pœnitet.

21. Deinde famem pertimescis, ut tibi quidem videris. At tu non famem times, sed ne desit tibi coquus, ne non præsto tibi sit alius qui obsonatoris fungatur vice, alius qui tibi calceos induat, alius qui vestem induat, alii qui te fricent, alii qui te comitentur; (22) ut in balneo, posita veste, distentus instar eorum qui in cruces sublati sunt, hinc et inde teraris; deinde, ut alipta astans dicat *famulo*, Illuc transi, præbe latus, caput ejus prehende, exhibe scapulam! post, balneo egressus, domumque reversus, ut clamites, Nemo affert cibum? deinde, Aufer mensas, abstergito. (23) Hoc times, ne non vitam possis vivere ægroti. Nam recte valentium vitam vide ut agant servi, ut agant operarii, ut ii qui vere philosophantur; eam vide quomodo Socrates egerit, et is quidem cum uxore etiam et liberis; quomodo Diogenes; quomodo Cleanthes, qui simul et doctrinæ vacavit, et aquam hausit. (24) Hæc habere si voles, habebis ubique, et vives confidens. Qua fidens re? Qua sola confidere licet; eo quod fidum est, quod nec prohiberi nec auferri potest; hoc est, voluntate tua. (25) Cur

καὶ ἀνωφελῆ σαυτὸν παρεσκεύασας, ἵνα μηδείς σε εἰς οἰκίαν θέλῃ δέξασθαι, μηδεὶς ἐπιμεληθῆναι; ἀλλὰ σκεῦος μὲν ὁλόκληρον καὶ χρήσιμον ἔξω ἐῤῥιμμένον, πᾶς τις εὑρὼν ἀναιρήσεται, καὶ κέρδος ἡγήσεται· σὲ δ' οὐδεὶς, ἀλλὰ πᾶς ζημίαν. (26) Οὕτως οὐδὲ κυνὸς δύνασαι χρείαν παρασχεῖν, οὐδ' ἀλεκτρυόνος; Τί οὖν ἔτι ζῆν θέλεις, τοιοῦτος ὤν;

27. Φοβεῖταί τις ἀνὴρ ἀγαθὸς, μὴ λίπωσιν αὐτῷ τροφαί; Τοῖς τυφλοῖς οὐ λείπουσι, τοῖς χωλοῖς οὐ λείπουσι· λείψουσιν ἀνδρὶ ἀγαθῷ; Καὶ στρατιώτῃ μὲν ἀγαθῷ οὐ λείπει ὁ μισθοδοτῶν, οὐδ' ἐργάτῃ, οὐδὲ σκυτεῖ· τῷ δ' ἀγαθῷ λείψει; (28) Οὕτως ὁ θεὸς ἀμελεῖ τῶν αὑτοῦ ἐπιτηδευμάτων, τῶν διακόνων, τῶν μαρτύρων, οἷς μόνοις χρῆται παραδείγμασι πρὸς τοὺς ἀπαιδεύτους, ὅτι καὶ ἔστι, καὶ καλῶς διοικεῖ τὰ ὅλα, καὶ οὐκ ἀμελεῖ τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ὅτι ἀνδρὶ ἀγαθῷ οὐδέν ἐστι κακὸν, οὔτε ζῶντι, οὔτε ἀποθανόντι; (29) Τί οὖν, ὅταν μὴ παρέχῃ τροφάς; Τί γὰρ ἄλλο, ἢ ὡς ἀγαθὸς στρατηγὸς τὸ ἀνακλητικόν μοι σεσήμαγκε; πείθομαι, ἀκολουθῶ, ἐπευφημῶν τὸν ἡγεμόνα, ὑμνῶν αὐτοῦ τὰ ἔργα. (30) Καὶ γὰρ ἦλθον ὅτ' ἐκείνῳ ἔδοξε, καὶ ἄπειμι πάλιν ἐκείνῳ δοκοῦν· καὶ ζῶντός μου τοῦτο τὸ ἔργον ἦν, ὑμνεῖν τὸν θεὸν, καὶ αὐτὸν ἐπ' ἐμαυτοῦ, καὶ πρὸς ἕνα, καὶ πρὸς πολλούς. (31) Οὐ παρέχει μοι πολλὰ, οὐκ ἄφθονα, τρυφᾶν με οὐ θέλει· οὐδὲ γὰρ τῷ Ἡρακλεῖ παρεῖχε, τῷ υἱῷ τῷ ἑαυτοῦ· ἀλλ' ἄλλος ἐβασίλευσεν Ἄργους καὶ Μυκηνῶν, ὁ δ' ἐπετάσσετο, καὶ ἐπόνει, καὶ ἐγυμνάζετο. (32) Καὶ ἦν Εὐρυσθεὺς μὲν ὃς ἦν, οὔτε Ἄργους, οὔτε Μυκηνῶν βασιλεὺς, ὅς γ' οὐδ' αὐτὸς ἑαυτοῦ· ὁ δ' Ἡρακλῆς ἁπάσης γῆς καὶ θαλάττης ἄρχων καὶ ἡγεμὼν ἦν, καθαρτὴς ἀνομίας καὶ ἀδικίας, εἰσαγωγεὺς δὲ δικαιοσύνης καὶ ὁσιότητος· καὶ ταῦτα ἐποίει καὶ γυμνὸς καὶ μόνος. (33) Ὁ δ' Ὀδυσσεὺς, ὅτε ναυαγὸς ἐξεῤῥίφθη, μή τι ἐταπείνωσεν αὐτὸν ἡ ἀπορία; μή τι ἐπέκλασεν; ἀλλὰ πῶς ἀπῄει πρὸς τὰς παρθένους αἰτήσων τὰ ἀναγκαῖα, ὧν αἴσχιστον εἶναι δοκεῖ δεῖσθαι παρ' ἄλλου·

Ὥστε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθώς.

(34) Τίνι πεποιθώς; Οὐ δόξῃ, οὐδὲ χρήμασιν, οὐδ' ἀρχαῖς, ἀλλ' ἀλκῇ τῇ ἑαυτοῦ, τοῦτ' ἔστι, δόγμασι τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν. (35) Ταῦτα γάρ ἐστι μόνα τὰ τοὺς ἐλευθέρους ποιοῦντα, τὰ τοὺς ἀκωλύτους, τὰ τὸν τράχηλον ἐπαίροντα τῶν τεταπεινωμένων, τὰ ἀντιβλέπειν ποιοῦντα ὀρθοῖς τοῖς ὀφθαλμοῖς πρὸς τοὺς πλουσίους, πρὸς τοὺς τυράννους. Καὶ τὸ τοῦ φιλοσόφου δῶρον τοῦτο ἦν. (36) Σὺ δ' οὐκ ἐξελεύσῃ θαῤῥῶν, ἀλλὰ περιτρέμων τοῖς ἱματιδίοις καὶ τοῖς ἀργυρωματίοις. Δύστηνε, οὕτως ἀπώλεσας τὸν μέχρι νῦν χρόνον;

37. Τί οὖν, ἂν νοσήσω; Νοσήσεις καλῶς. Τίς με θεραπεύσει; Ὁ θεὸς, οἱ φίλοι. Σκληρῶς κατακείσομαι. Ἀλλ' ὡς ἀνήρ. Οἴκημα ἐπιτήδειον οὐχ ἕξω. Ἐν ἀνεπιτηδείῳ νοσήσεις. Τίς μοι ποιήσει τὰ τροφεῖα; Οἱ καὶ τοῖς ἄλλοις ποιοῦντες. Ὡς Μάνης νοσήσεις.

autem adeo inutilem, adeo nullius pretii hominem te ipsum effecisti, ut nemo te in ædes suas recipere velit, nemo curam tui suscipere? Atqui vas integrum et utile, foras projectum, quisquis invenerit, tollet ac lucrum ducet, te vero nemo lucrum, sed quilibet damnum sibi ducet. (26) Ita ne canis quidem usum præstare potes, nec galli gallinacei? Talis autem cum sis, quid adhuc in vita esse cupis?

27. Timetne quisquam vir bonus, ne victus sibi desit? Cæcis non deest, claudis non deest: viro bono deerit? Non deest bono militi qui stipendium det, non operario, non sutori: et bono viro deerit? (28) Itane deus sua instituta, suos ministros, suos testes negligit, quibus solis adversus indoctos exemplis utitur, quibus doceat homines, et esse se, et recte gubernare omnia, et non negligere res humanas, bonoque viro nihil esse mali, nec viventi, nec mortuo? (29) Quid ergo, cum victum non præbet? Quid aliud, nisi, veluti bonus imperator, receptui mihi cecinit? Pareo, sequor, collaudo imperatorem, facta ejus prædico. (30) Nam et, cum illi visum esset, veni; rursus abeo, cum illi visum est: et dum viverem, munus fuit meum, deum celebrare, cum ipse mecum, tum apud singulos, tum apud multos. (31) Non præbet mihi multa, non copiam rerum suppeditat, delicate me vivere non vult: neque enim Herculi suppeditavit, filio suo: nam alius regnabat Argis et Mycenis; ille vero parebat, laborabat, exercebatur. (32) Ac Eurystheus quidem erat qui erat, neque Argorum rex, neque Mycenarum, qui ne ipse quidem sibi imperaret: Hercules vero totius terræ et maris princeps et imperator erat, repurgator iniquitatis et injuriarum, introductor justitiæ et sanctitatis; eaque et nudus fecit et solus. (33) Ulysses autem cum naufragus ejectus esset, num egestas humiliorem eum fecit? num eum infregit? Immo vero quomodo abiit ad virgines, necessaria petiturus, quæ ab alio petere turpissimum haberi solet?

Ut quem nutrierunt montes leo, robore fretus.

(34) Qua re fretus? Non gloria, non pecunia, non magistratibus; sed suopte robore, hoc est, decretis de eis rebus, quæ in nostra potestate sunt, et quæ non sunt. (35) Hæc enim sola sunt, quæ liberos, quæ solutos efficiunt; quæ collum eorum, qui depressi sunt, attollunt; quæ id præstant, ut rectis oculis divites intueamur, ut tyrannos. Ac philosophi munus istud fuit. (36) Tu vero non sic egredieris animo firmo, sed tremens propter vestimenta tua, propter vasa argentea. Infelix! itane omne tempus usque adhuc perdidisti?

37. Quid ergo, si ægrotaro? Ægrotabis honeste. Quis me curabit? Deus; amici. Duriter decumbam. Sed ut vir Domicilium commodum non habebo. In incommodo ægrotabis. Quis autem mihi victum parabit? Qui etiam aliis

(38) Τί δὲ καὶ τὸ πέρας τῆς νόσου; ἄλλο τι ἢ θάνατος; Ἆρ' οὖν ἐνθυμῇ ὅτι κεφάλαιον τοῦτο πάντων τῶν κακῶν τῷ ἀνθρώπῳ καὶ ἀγεννείας καὶ δειλίας οὐ θάνατός ἐστι, μᾶλλον δ' ὁ τοῦ θανάτου φόβος; (39) Ἐπὶ τοῦτον οὖν μοι γυμνάζου· ἐνταῦθα νευέτωσαν οἱ λόγοι πάντες, τὰ ἀκούσματα, τὰ ἀναγνώσματα· καὶ εἴσῃ ὅτι οὕτω μόνως ἐλευθεροῦνται οἱ ἄνθρωποι.

parant. Sicut Manes ægrotabis. (38) Quis vero erit morbi exitus? num pejus aliquid quam mors? An igitur cogitas, caput hoc malorum omnium homini et degeneris animi et timiditatis esse, non mortem, sed potius mortis metum? (39) Adversus hunc igitur te exerce: huc inclinent ratiocinationes omnes, auditiones, lectiones: tum vero cognosces hac sola ratione asseri homines in libertatem.

ΑΡΡΙΑΝΟΥ

ΤΩΝ

ΕΠΙΚΤΗΤΟΥ

ΔΙΑΤΡΙΒΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. Α'.

Περὶ ἐλευθερίας.

1. Ἐλεύθερός ἐστιν ὁ ζῶν ὡς βούλεται, ὃν οὔτ' ἀναγκάσαι ἔστιν, οὔτε κωλῦσαι, οὔτε βιάσασθαι· οὗ αἱ ὁρμαὶ ἀνεμπόδιστοι, αἱ ὀρέξεις ἐπιτευκτικαὶ, αἱ ἐκκλίσεις ἀπερίπτωτοι. (2) Τίς οὖν θέλει ζῆν ἁμαρτάνων; Οὐδείς. Τίς θέλει ζῆν ἐξαπατώμενος, προπίπτων, ἄδικος ὢν, ἀκόλαστος, μεμψίμοιρος, ταπεινός; Οὐδείς. (3) Οὐδεὶς ἄρα τῶν φαύλων ζῇ ὡς βούλεται· οὐ τοίνυν οὐδ' ἐλεύθερός ἐστι. (4) Τίς δὲ θέλει λυπούμενος ζῆν, φοβούμενος, φθονῶν, ἐλεῶν, ὀρεγόμενος καὶ ἀποτυγχάνων, ἐκκλίνων καὶ περιπίπτων; Οὐδείς. (5) Ἔχομεν οὖν τινα τῶν φαύλων ἄλυπον, ἄφοβον, ἀπερίπτωτον, ἀναπότευκτον; Οὐδένα. Οὐχ ἄρα οὐδὲ ἐλεύθερον.

6. Ταῦτα ἄν τις ἀκούσῃ δισύπατος, ἂν μὲν προσθῇς, ὅτι, Ἀλλὰ σύ γε σοφὸς εἶ, οὐδὲν πρὸς σὲ ταῦτα· συγγνώσεταί σοι. (7) Ἂν δ' αὐτῷ τὰς ἀληθείας εἴπῃς, ὅτι Τῶν τρὶς πεπραμένων οὐδὲν διαφέρεις πρὸς τὸ μὴ καὶ αὐτὸς δοῦλος εἶναι· τί ἄλλο ἢ πληγάς σε δεῖ προσδοκᾶν; (8) Πῶς γάρ, φησίν, ἐγὼ δοῦλός εἰμι; ὁ πατὴρ ἐλεύθερος, ἡ μήτηρ ἐλευθέρα, οὗ ὠνὴν οὐδεὶς ἔχει· ἀλλὰ καὶ συγκλητικός εἰμι, καὶ Καίσαρος φίλος, καὶ ὑπάτευκα, καὶ δούλους πολλοὺς ἔχω. (9) Πρῶτον μέν, ὦ βέλτιστε συγκλητικὲ, τάχα σου καὶ ὁ πατὴρ τὴν αὐτὴν δουλείαν δοῦλος ἦν, καὶ ἡ μήτηρ, καὶ ὁ πάππος, καὶ ἐφεξῆς πάντες οἱ πρόγονοι. (10) Εἰ δὲ δὴ καὶ τὰ μάλιστα ἦσαν ἐλεύθεροι, τί τοῦτο πρὸς σέ; τί γάρ, εἰ ἐκεῖνοι μὲν γενναῖοι ἦσαν, σὺ δ' ἀγεννής; ἐκεῖνοι μὲν ἄφοβοι, σὺ δὲ δειλός; ἐκεῖνοι μὲν ἐγκρατεῖς, σὺ δ' ἀκόλαστος;

11. Καὶ τί, φησὶ, τοῦτο πρὸς τὸ δοῦλον εἶναι; Οὐδέν σοι φαίνεται εἶναι τὸ ἄκοντά τι ποιεῖν, τὸ ἀναγκαζόμενον, τὸ στένοντα, πρὸς τὸ δοῦλον εἶναι; (12) Τοῦτο μὲν ἔστω, φησίν· ἀλλὰ τίς με δύναται ἀναγκάσαι, εἰ μὴ ὁ πάντων κύριος Καῖσαρ; (13) Οὐκοῦν ἕνα μὲν δεσπότην σαυτοῦ καὶ σὺ αὐτὸς ὡμολόγησας· ὅτι δὲ πάντων, ὡς λέγεις, κοινός ἐστι, μηδέν σε τοῦτο παραμυθείσθω, ἀλλὰ γίνωσκε ὅτι ἐκ μεγάλης οἰκίας δοῦλος εἶ. (14) Οὕτω καὶ Νικοπολῖται ἐπιβοᾶν εἰώθασι, Νὴ τὴν Καίσαρος Τύχην, ἐλεύθεροί ἐσμεν.

EPICTETI

DISSERTATIONUM

AB ARRIANO DIGESTARUM

LIBER IV.

CAP. I.

De libertate.

1 Liber est qui vivit ut vult; qui nec cogi, nec prohiberi, nec vim pati potest, cujus impetus non impediuntur, appetitiones non frustantur, aversationes non sunt irritæ. (2) Quis igitur vivere vult delinquens? Nemo. Quis vivere vult deceptus, temerarius, injurius, petulans, querulus, humilis et abjectus? Nemo. (3) Nemo igitur improbus vivit ut vult; eoque nec liber est. (4) Quis vero vivere vult mœrens, timens, invidens, miserans? quis ita, ut cupiat, nec voti compos fiat; ut fugiat, et in ea, quæ fugit, incidat? Nemo. (5) Estne vero improbus aliquis, qui sit mœroris, qui timoris expers? qui non sæpe in ea, quæ fugit, incidat? cujus appetitiones non sæpe irritæ sint? Nemo. Ergo ne liber quidem improbus quisquam.

6. Hæc si quis audiat iterum Consul, si adjeceris, Tu quidem sapiens es, hæc nihil ad te; veniam tibi dabit. (7) Sin verum ei dixeris, nihil eum differre (quod quidem ad servitutem attineat) ab iis qui ter venierunt; quid præter plagas exspectandum tibi erit? (8) Quo pacto enim, dicet, ego servus sim? pater meus liber est, mater libera, nec me quisquam emit; verum etiam senator sum, et Cæsaris amicus, et consularis, et servos multos habeo. (9) Primum, senator optime, fortassis et pater tuus eamdem serviit servitutem, et mater quoque, et avus, atque ordine omnes tui majores. (10) Sin vel maxime liberi illi fuerint, quid istud ad te? quid enim, si illi strenui fuerunt, tu degener? illi imperterriti, tu timidus? illi continentes, tu petulans?

11. Et quid ista, inquit, ad servitutem? Nihilne tibi ad servitutem facere videtur, si quid invitus facias, si coactus, si gemens? (12) Istud quidem esto, inquit; sed quis me cogere potest, nisi omnium dominus Cæsar? (13) Ergo unum certe dominum te habere, et ipse confessus es : qui quod, ut dicis, communis sit omnium, nihil tamen hoc te consoletur; sed cognoscito, te magnæ familiæ servum esse. (14) Sic etiam Nicopolitæ clamare solent : Per Cæsaris Genium, liberi sumus.

15. Ὅμως δ', ἄν σοι δοκῇ, τὸν μὲν Καίσαρα πρὸς τὸ παρὸν ἀφῶμεν· ἐκεῖνο δέ μοι εἰπὲ, οὐδέποτ' ἠράσθης τινός; οὐ παιδισκαρίου; οὐ δούλου; οὐκ ἐλευθέρου; (16) Τί οὖν τοῦτο πρὸς τὸ δοῦλον εἶναι, ἢ ἐλεύθερον; (17) Οὐδέποθ' ὑπὸ τῆς ἐρωμένης ἐπετάγης οὐδὲν ὧν οὐκ ἤθελες; οὐδέποτέ σου τὸ δουλάριον ἐκολάκευσας; οὐδέποτ' αὐτοῦ τοὺς πόδας κατεφίλησας; καίτοι τοῦ Καίσαρος ἄν σέ τις ἀναγκάσῃ, ὕβριν αὐτὸ ἡγῇ καὶ ὑπερβολὴν τυραννίδος. Τί οὖν ἄλλο ἐστὶ δουλεία; (18) Νυκτὸς οὐδέποτ' ἀπῆλθες ὅπου οὐκ ἤθελες; ἀνάλωσας ὅσα οὐκ ἤθελες; εἶπάς τινα οἰμώζων καὶ στένων; ἠνέσχου λοιδορούμενος, ἀποκλειόμενος; (19) Ἀλλ' εἰ σὺ αἰσχύνῃ τὰ σαυτοῦ ὁμολογεῖν, ὅρα ἃ λέγει καὶ ποιεῖ ὁ Θρασωνίδης, ὃς τοσαῦτα στρατευσάμενος ὅσα τάχα οὐδὲ σὺ, πρῶτον μὲν ἐξελήλυθε νυκτὸς, ὅτε ὁ Γέτας οὐ τολμᾷ ἐξελθεῖν· ἀλλ', εἰ προσηναγκάζετο ὑπ' αὐτοῦ, πόλλ' ἂν ἐπικραυγάσας, καὶ τὴν πικρὰν δουλείαν ἀπολοφυράμενος, ἐξῆλθεν. (20) Εἶτα, τί λέγει;

Παιδισκάριόν με,

φησὶ,

καταδεδούλωκ' εὐτελὴς,
ὃν οὐδὲ εἷς τῶν πολεμίων [οὐ]πώποτε.

(21) Τάλας, ὅς γε καὶ παιδισκαρίου δοῦλος εἶ, καὶ παιδισκαρίου εὐτελοῦς. Τί οὖν ἔτι σαυτὸν ἐλεύθερον λέγεις; τί δὲ προφέρεις σου τὰς στρατείας; (22) Εἶτα ξίφος αἰτεῖ, καὶ πρὸς τὸν ὑπ' εὐνοίας μὴ διδόντα χαλεπαίνει· καὶ δῶρα τῇ μισούσῃ πέμπει, καὶ δεῖται, καὶ κλαίει· πάλιν δὲ μικρὰ εὐημερήσας, ἐπαίρεται. (23) Πλὴν καὶ τότε πῶς; [ὡς] μηδ' ἐπιθυμεῖν ἢ φοβεῖσθαι; [οὐχ] οὕτως ἐλευθερίας εἶχε.

24. Σκέψαι δ' ἐπὶ τῶν ζῴων, πῶς χρώμεθα τῇ ἐννοίᾳ τῆς ἐλευθερίας. (25) Λέοντας τρέφουσιν ἡμέρους ἐγκλείσαντες καὶ σιτίζουσι, καὶ κομίζουσιν ἔνιοι μεθ' αὑτῶν. Καὶ τίς ἐρεῖ τοῦτον τὸν λέοντα ἐλεύθερον; οὐχὶ δ' ὅσῳ μαλακώτερον διεξάγει, τοσούτῳ δουλικώτερον; τίς δ' ἂν αἴσθησιν καὶ λογισμὸν λαβὼν, βούλοιτο τούτων τις εἶναι τῶν λεόντων; (26) Ἄγε, τὰ δὲ πτηνὰ ταῦτα ὅταν ληφθῇ καὶ ἐγκεκλεισμένα τρέφηται, οἷα πάσχει, ζητοῦντα ἐκφυγεῖν; καὶ ἔνιά γε αὐτῶν λιμῷ διαφθείρεται μᾶλλον, ἢ ὑπομένει τὴν τοιαύτην διεξαγωγήν. (27) Ὅσα δ' οὖν διασώζεται, μόγις καὶ χαλεπῶς, καὶ φθίνοντα· κἂν ὅλως εὕρῃ τι παρεῳγμένον, ἐξεπήδησεν. Οὕτως ὀρέγεται τῆς φυσικῆς ἐλευθερίας καὶ τοῦ αὐτόνομα καὶ ἀκώλυτα εἶναι. (28) Καὶ τί σοι κακόν ἐστιν ἐνταῦθα; Οἷα λέγεις· πέτεσθαι πέφυκα ὅπου θέλω, ὕπαιθρος διάγειν, ᾄδειν ὅταν θέλω· σύ με πάντων τούτων ἀφαιρῇ, καὶ λέγεις, Τί σοι κακόν ἐστι; (29) Διὰ τοῦτο ἐκεῖνα μόνα ἐροῦμεν ἐλεύθερα, ὅσα τὴν ἅλωσιν οὐ φέρει, ἀλλ', ἅμα τε ἑάλω, καὶ ἀποθανόντα διέφυγεν. (30) Οὕτω καὶ Διογένης που λέγει, μίαν εἶναι μηχανὴν πρὸς ἐλευθερίαν, τὸ εὐκόλως ἀποθνήσκειν· καὶ τῷ Περσῶν βασιλεῖ γράφει, ὅτι Τὴν Ἀθη-

15. Sed tamen, si placet, Cæsarem in præsentia omittamus. Illud autem mihi dicito, nonne aliquando amasti aliquem? non puellam? non servum? non ingenuum? (16) Quid autem hoc ad servitutem aut libertatem facit? (17) Nihilne umquam amica tibi imperavit quod nolles? numquam servulo tuo adulatus es? numquam pedes ejus deosculatus es? At vero si quis te Cæsaris pedes deosculari cogeret, injuriam esse duceres et summam tyrannidem. Quid ergo aliud est servitus? (18) Numquamne noctu ivisti quo nolles? numquam plus quam velles insumsisti? numquam plorans et gemens voces nonnullas edidisti? convicia, exclusionem tolerasti? (19) Verum si tua probra confiteri te pudet, vide quid dicat faciatque Thrasonides: qui cum toties militarit, quoties fortasse ne tu quidem, primum noctu exiit, cum Geta exire non auderet, sed, si ab eo fuisset ad exeundum coactus, multum vociferatus et acerbam servitutem deplorans exiisset. (20) Quid autem ait?

Vilis me servum reddidit puellula,
quem nemo potuit umquam subdere hostium.

(21) Itane, miser! etiam puellæ servus es, et quidem vilis puellulæ? Quid ergo te adhuc liberum esse dicis? quid expeditiones tuas jactas? (22) Deinde gladium postulat, et ei, qui ex benevolentia non dat, succenset: et puellæ, cui invisus est, munera mittit, et supplicat, et plorat: rursus vero exiguo usus successu, effertur. (23) Sed tum quoque quo pacto? an ut neque appetat, neque formidet? Non ea erat libertatis ipsius conditio.

24. Considera vero in animantibus, quam de illis habeamus notionem libertatis. (25) Leones alunt cicures cavea clausos, et pascunt, eosque nonnulli secum circumferunt. Quis autem dicat eum leonem esse liberum? nonne, quo mollius degit, eo servilius? quis vero sensus et rationis compos factus, aliquis istorum leonum esse velit? (26) Age porro, aviculæ istæ, cum captæ et inclusæ aluntur, quomodo affectæ sunt! ut effugere cupiunt! nonnullæ fame etiam perire malunt, quam vitam istam tolerare. (27) Si quæ autem conservantur, ægre quidem ac difficulter et cum tabe fit; et, si ullum foramen deprehenderint, exsiliunt. Adeo naturalem libertatem desiderant, et statum quo sui juris sint et a nemine prohibeantur. (28) Et quid hic tibi mali est? Ain'? natura mea desiderat, ut volem quo velim, ut sub dio agam, ut cantillem cum volo: quæ tu mihi eripis omnia, tum rogas, Quid mali tibi est? (29) Quamobrem illa tantum animalia libera dicimus, quæ captivitatem non ferunt; sed simulac capta sunt, morte servitutem effugerunt. (30) Sic et Diogenes alicubi dixit, unam esse rationem retinendæ libertatis, haud gravate mori: et Persarum regi scribit, eum civitatem Atheniensium non

ναίων πόλιν καταδουλώσασθαι οὐ δύνασαι· οὐ μᾶλλον, φησίν, ἢ τοὺς ἰχθύας. (31) Πῶς; οὐ γὰρ λήψομαι αὐτούς; Ἂν λάβῃς, φησίν, εὐθὺς ἀπολιπόντες σε οἰχήσονται, καθάπερ οἱ ἰχθύες. Καὶ γὰρ ἐκείνων ὃν ἂν λάβῃς, ἀπέθανε· καὶ οὗτοι ληφθέντες ἐὰν ἀποθνήσκωσι, τί σοι ἐστὶ τῆς παρασκευῆς ὄφελος; (32) Τοῦτ' ἔστιν ἐλευθέρου ἀνδρὸς φωνή, σπουδῇ ἐξητακότος τὸ πρᾶγμα, καὶ ὥσπερ εἰκὸς εὑρηκότος. Ἂν δ' ἀλλαχοῦ ζητῇς ἢ ὅπου ἐστί, τί θαυμαστὸν εἰ οὐδέποτε αὐτὸ εὑρίσκεις;

33. Ὁ δοῦλος εὐθὺς εὔχεται ἀφεθῆναι ἐλεύθερος. Διὰ τί; δοκεῖτε ὅτι τοῖς εἰκοστώναις ἐπιθυμεῖ δοῦναι ἀργύριον; Οὔχ· ἀλλ' ὅτι φαντάζεται, μέχρι τοῦ νῦν, διὰ τὸ μὴ τετυχηκέναι τούτου, ἐμποδίζεσθαι καὶ δυσροεῖν. (34) Ἂν ἀφεθῶ, φησίν, εὐθὺς πᾶσα εὔροια, οὐδενὸς ἐπιστρέφομαι, πᾶσιν ὡς ἴσος καὶ ὅμοιος λαλῶ, πορεύομαι ὅπου θέλω, ἔρχομαι ὅθεν θέλω, καὶ ὅπου θέλω. (35) Εἶτα ἀπηλευθέρωται· καὶ εὐθὺς μὲν οὐκ ἔχων ποῖ φάγῃ, ζητεῖ τίνα κολακεύσει, παρὰ τίνι δειπνήσει· εἶτα ἢ ἐργάζεται τῷ σώματι, καὶ πάσχει τὰ δεινότατα· κἂν σχῇ τινα φάτνην, ἐμπέπτωκεν εἰς δουλείαν πολὺ τῆς προτέρας χαλεπωτέραν· (36) ἢ καὶ εὐπορήσας ἄνθρωπος ἀπειρόκαλος, πεφίληκε παιδισκάριον, καὶ δυστυχῶν ἀνακλαίεται, καὶ τὴν δουλείαν ποθεῖ. (37) Τί γάρ μοι κακὸν ἦν; ἄλλος μ' ἐνέδυεν, ἄλλος μ' ὑπέδει, ἄλλος ἔτρεφεν, ἄλλος ἐνοσοκόμει, ὀλίγα αὐτῷ ὑπηρέτουν· νῦν δὲ τάλας οἷα πάσχω, πλείοσι δουλεύων ἀνθ' ἑνός; (38) Ὅμως δ' ἐὰν δακτυλίους, φησί, λάβω, τότε γ' εὐρούστατα διάξω καὶ εὐδαιμονέστατα. Πρῶτον μέν, ἵνα λάβῃ, πάσχει ὧν ἐστιν ἄξιος· εἶτα λαβών, πάλιν ταὐτά. (39) Εἶτά φησιν· Ἂν μὲν στρατεύσωμαι, ἀπηλλάγην πάντων τῶν κακῶν. Στρατεύεται· πάσχει ὅσα μαστιγίας· καὶ οὐδὲν ἧττον δευτέραν αἰτεῖ στρατείαν, καὶ τρίτην. (40) Εἶθ' ὅταν αὐτὸν τὸν κολοφῶνα ἐπιθῇ καὶ γένηται συγκλητικός, τότε γίνεται δοῦλος εἰς σύλλογον ἐρχόμενος, τότε τὴν καλλίω καὶ λιπαρωτάτην δουλείαν δουλεύει.

41. Ἵνα μὴ μωρὸς ᾖ, ἀλλ' ἵνα μάθῃ ἃ ἔλεγεν ὁ Σωκράτης, τί ἐστι τῶν ὄντων ἕκαστον, καὶ μὴ εἰκῇ τὰς προλήψεις ἐφαρμόζῃ ταῖς ἐπὶ μέρους οὐσίαις. (42) Τοῦτο γάρ ἐστι τὸ αἴτιον τοῖς ἀνθρώποις πάντων τῶν κακῶν, τὸ τὰς προλήψεις τὰς κοινὰς μὴ δύνασθαι ἐφαρμόζειν τοῖς ἐπὶ μέρους. (43) Ἡμεῖς δ' ἄλλοι ἄλλα οἰόμεθα· ὁ μέν, ὅτι νοσεῖ· οὐδαμῶς, ἀλλ' ὅτι τὰς προλήψεις οὐκ ἐφαρμόζει. Ὁ δ', ὅτι πτωχός ἐστιν· ὁ δ', ὅτι πατέρα χαλεπὸν ἔχει ἢ μητέρα· τῷ δ', ὅτι ὁ Καῖσαρ οὐχ ἵλεώς ἐστι. Τοῦτο δ' ἔστιν ἓν καὶ μόνον, τὸ τὰς προλήψεις ἐφαρμόζειν μὴ εἰδέναι. (44) Ἐπεὶ τίς οὐκ ἔχει κακοῦ πρόληψιν, ὅτι βλαβερόν ἐστιν, ὅτι φευκτόν ἐστιν, ὅτι παντὶ τρόπῳ ἀποικονόμητόν ἐστι; Πρόληψις προλήψει οὐ μάχεται, ἀλλ' ὅταν ἔλθῃ ἐπὶ τὸ ἐφαρμόζειν. (45) Τί οὖν τὸ κακόν ἐστι τοῦτο, καὶ βλαβερόν, καὶ φευκτόν; Λέγει, τὸ Καίσαρος μὴ εἶναι φίλον. Ἀπῆλθεν, ἀπέπεσε τῆς ἐφαρμογῆς, θλίβεται, ζητεῖ τὰ μηδὲν πρὸς τὸ προκείμενον· ὅτι τυχὼν τοῦ φίλος εἶναι

posse in servitutem redigere; non magis, ait, quam pisces. (31) Quomodo? non capiam eos? Si ceperis, inquit, statim te relicto abibunt, quemadmodum pisces : nam et horum quemcunque ceperis, moritur : et isti capti si morientur, quæ erit expeditionis tuæ utilitas? (32) Hæc ingenui viri vox est, qui rem serio inquisivit, et uti par est invenit. Sin eam alibi, quam ubi est, quæsiveris, non mirum si numquam invenis.

33. Servus statim optat se manumitti. Quamobrem? eone putatis, quod pecuniam Vicesimariis dare cupiat? Non; sed quia putat se, quod hactenus libertate caruerit, impediri et infeliciter vivere. (34) Si manumissus fuero, inquit, statim omnia prospera; curo neminem, omnibus ut par et æqualis verba facio; proficiscor quo volo, venio unde volo, et quo volo. (35) Ecce manumissus est : ac statim non habet ubi edat; hinc quærit cui aduletur, apud quem cœnet : deinde vel corpore opus facit, et gravissima patitur; et, si modo præsepe aliquod invenerit, in servitutem incidit priore longe graviorem : (36) aut, si opes etiam nactus fuerit homo ineptus, statim puellulam aliquam deperit, et suas calamitates deplorat, ac pristinam servitutem desiderat. (37) Quid enim mali mihi erat? alius mihi vestes præbebat, calceamenta, cibum præbebat, in morbo me curabat; paucis in rebus illi serviebam : nunc autem miser quanta patior, cum pluribus pro uno serviam? (38) Verumtamen si annulos, inquit, accepero, tum prosperrime vivam et felicissime. Primum, ut eos accipiat, ea patitur quæ meretur : deinde acceptis iis, rursus eadem. (39) Post, Si militavero, inquit, liberabor malis omnibus. Militat; ærumnas patitur verberone dignas : ac nihilominus secunda, itemque tertia, postulat stipendia. (40) Deinde, cum ipsum colophonem imposuit et senator est factus, tum fit servus curiam ingrediens, tunc pulcerrimam et nitidissimam servitutem servit.

41. Desinat esse stultus! sed discat quod Socrates ait, quæ rei cujusque sit natura; neque anticipationes rebus singularibus temere accommodet. (42) Hæc enim caussa est hominibus omnium malorum, quod anticipationes communes rebus singularibus accommodare non possunt. (43) Nos enim alii alia opinamur nobis esse caussas malorum : alius, quod ægrotet; nequaquam, sed quod anticipationes non accommodat; alius, quod pauper sit; alius, quod patrem durum habeat aut matrem; alius, quod Cæsarem sibi male propitium habeat. Sed horum omnium unica et sola caussa est, anticipationes nescire accommodare. (44) Quis enim notionem mali non habet hanc, esse id noxium, esse fugiendum, modis omnibus propulsandum esse? Notio notioni non repugnat; sed cum ad accommodationem ventum est. (45) Quid ergo est malum istud, et noxium, et fugiendum? Respondet, Non esse Cæsaris amicum. Longe abiit, accommodatione excidit, angitur, quærit ea quæ ad institutum nihil attinent : quia Cæsaris amici-

Καίσαρος, οὐδὲν ἧττον τοῦ ζητουμένου οὐ τέτευχε. (46) Τί γάρ ἐστιν, ὃ ζητεῖ πᾶς ἄνθρωπος; Εὐσταθῆσαι, εὐδαιμονῆσαι, πάντα ὡς θέλει ποιεῖν, μὴ κωλύεσθαι, μηδ' ἀναγκάζεσθαι. Ὅταν οὖν γένηται Καίσαρος φίλος, πέπαυται κωλυόμενος; πέπαυται ἀναγκαζόμενος; εὐσταθεῖ; εὐροεῖ; Τίνος πυθώμεθα; Τίνα ἔχομεν ἀξιοπιστότερον, ἢ αὐτὸν τοῦτον τὸν γεγονότα φίλον; (47) Ἐλθὲ εἰς τὸ μέσον, καὶ εἰπὲ ἡμῖν, πότε ἀταραχώτερον ἐκάθευδες; νῦν, ἢ πρὶν γενέσθαι φίλος τοῦ Καίσαρος; Εὐθὺς ἀκούεις, ὅτι Παῦσαι, τοὺς θεούς σοι, ἐμπαίζων μου τῇ τύχῃ· οὐκ οἶδας οἷα πάσχω τάλας, οὐδ' ὕπνος ἐπέρχεταί μοι· ἀλλ' ἄλλος ἐλθὼν λέγει, ὅτι Ἤδη ἐγρηγορεῖ, ἤδη πρόεισιν· εἶτα ταραχαί, εἶτα φροντίδες. (48) Ἄγε, ἐδείπνεις δὲ πότε εὐαρεστότερον; νῦν, ἢ πρότερον; Ἄκουσον αὐτοῦ καὶ περὶ τούτων τί λέγει· ὅτι, ἂν μὲν μὴ κληθῇ, ὀδυνᾶται· ἂν δὲ κληθῇ, ὡς δοῦλος παρὰ κυρίῳ δειπνεῖ, μεταξὺ προσέχων μή τι μωρὸν εἴπῃ ἢ ποιήσῃ. Καὶ τί δοκεῖς φοβεῖται; μὴ μαστιγωθῇ ὡς δοῦλος; Πόθεν αὐτῷ οὕτω καλῶς; Ἀλλ', ὡς πρέπει τηλικοῦτον ἄνδρα, Καίσαρος φίλον, μὴ ἀπολέσῃ τὸν τράχηλον. (49) Ἐλούου δὲ πότ' ἀταραχώτερον; ἐγυμνάζου δὲ πότε σχολαίτερον; (50) Τὸ σύνολον, ποῖον μᾶλλον ἤθελες βίον βιοῦν; τὸν νῦν, ἢ τὸν τότε; Ὀμόσαι δύναμαι, ὅτι οὐδεὶς οὕτως ἐστὶν ἀναίσθητος, ἢ ἀναλήθης, ὡς μὴ ἀποδύρασθαι τὰς αὑτοῦ συμφοράς, ὅσῳ ἂν ᾖ φίλτερος.

51. Ὅταν οὖν μήτε οἱ βασιλεῖς λεγόμενοι ζῶσιν ὡς θέλουσι, μήθ' οἱ φίλοι τῶν βασιλέων, τίνες ἔτι εἰσὶν ἐλεύθεροι; Ζήτει, καὶ εὑρήσεις· ἔχεις γὰρ ἀφορμὰς παρὰ τῆς φύσεως πρὸς εὕρεσιν τῆς ἀληθείας. Εἰ δ' αὐτὸς οὐχ οἷός τε εἶ, κατὰ ταύτας ψιλὰς πορευόμενος, εὑρεῖν τὸ ἑξῆς, ἄκουσον παρὰ τῶν ἐζητηκότων. (52) Τί λέγουσιν; Ἀγαθόν σοι δοκεῖ ἡ ἐλευθερία; Τὸ μέγιστον. Δύναται οὖν τις τοῦ μεγίστου ἀγαθοῦ τυγχάνων, κακοδαιμονεῖν, ἢ κακῶς πράσσειν; Οὔ. Ὅσους οὖν ἂν ἴδῃς κακοδαιμονοῦντας, δυσροοῦντας, πενθοῦντας, ἀποφαίνου θαῤῥῶν μὴ εἶναι ἐλευθέρους. Ἀποφαίνομαι. (53) Οὐκοῦν ἀπὸ μὲν ὠνῆς καὶ πράσεως, καὶ τῆς τοιαύτης ἐν κτήσει κατατάξεως, ἤδη ἀποκεχωρήκαμεν· εἰ γὰρ ὀρθῶς ὡμολόγησας ταῦτα, ἄν τε μέγας βασιλεὺς κακοδαιμονῇ, οὐκ ἂν [εἴη] ἐλεύθερος, ἄν τε μικρός, ἄν θ' ὑπατικός, ἄν τε δισύπατος. Ἔστω.

54. Ἔτι οὖν ἀπόκριναί μοι κἀκεῖνο, δοκεῖ σοι μέγα τι εἶναι καὶ γενναῖον ἡ ἐλευθερία καὶ ἀξιόλογον; Πῶς γὰρ οὔ; Ἔστιν οὖν, τυγχάνοντά τινος οὕτω μεγάλου καὶ ἀξιολόγου καὶ γενναίου, ταπεινὸν εἶναι; Οὐκ ἔστιν. (55) Ὅταν οὖν ἴδῃς τινὰ ὑποπεπτωκότα ἑτέρῳ, ἢ κολακεύοντα παρὰ τὸ φαινόμενον αὐτῷ, λέγε καὶ τοῦτον θαῤῥῶν μὴ εἶναι ἐλεύθερον· καὶ μὴ μόνον, ἂν δειπναρίου ἕνεκα αὐτὸ ποιῇ, ἀλλὰ κἂν ἐπαρχίας ἕνεκα, κἂν ὑπατείας. Ἀλλ' ἐκείνους μὲν μικροδούλους λέγε, τοὺς μικρῶν τινων ἕνεκα ταῦτα ποιοῦντας· τούτους δ', ὡς εἰσὶν ἄξιοι, μεγαλοδούλους. Ἔστω καὶ ταῦτα. (56) Δοκεῖ δέ σοι ἡ ἐλευθερία αὐτεξούσιόν τι καὶ αὐτόνομον;

tiam adeptus, nihilominus id, quod quærebat, non est adeptus. (46) Quid enim est quod quivis homo quærit? Tranquille vivere, prospera fortuna uti, arbitratu suo facere omnia, non prohiberi, non cogi. Igitur Cæsaris amicus factus, an prohiberi desiit? desiit cogi? tranquille vivit? rebus secundis utitur? Quem percontemur? Quem vero habemus fide digniorem eo ipso, qui Cæsaris amicus factus est? (47) Prodi in medium: dic nobis, quando tranquillius dormivisti? nunc, an priusquam Cæsaris amicitiam nactus esses? Statim audis: Desine, quæso per deos, fortunæ meæ insultare: haud nosti qualia perpetiar miser; ne somnus quidem mihi obrepit: sed alius venit, nunciatque, eum jam vigilare, jam prodire; mox tumultus, mox curæ. (48) Age, quando suavius cœnabas? nunc, an prius? Audi ipsum, de his etiam quid dicat: si non vocetur, angi sese: sin vocetur, cœnare ut servum apud dominum, interim sollicitum, ne quid stulte dicat aut faciat. Quid vero eum timere putas? ne vapulet, ut servus? Unde ei tam bene esset? Immo, ut decet tantum virum, Cæsaris amicum, ne caput amittat. (49) Quando autem tranquillius lavabas? quando majore otio te exercebas? (50) Denique omnino, utram vivere vitam malles? hanc, an illam? Jurare ausim, neminem adeo vel stupidum, vel a veritate alienum esse, quin magis fortunas suas misereatur, quo amicior Cæsari fuerit.

51. Cum ergo neque hi, qui reges dicuntur, ita vivant ut volunt, neque amici regum; quinam restant qui sint liberi? Quære, et invenies: habes enim ad veritatis inventionem adjumenta quædam ab ipsa natura tributa. Quodsi his solis ducibus utens non potes consequentia invenire, audi quid ii dicant, qui hæc pervestigarunt. (52) Quid dicunt? Bonum tibi videtur libertas? Maximum. Potest ergo aliquis maximo bono potitus, miser esse, et adversa fortuna uti? Non. Quoscumque igitur infelices videris, adversa fortuna conflictantes, lugentes, eos audacter pronuncia non esse liberos. Pronuncio. (53) Igitur emptionem et venditionem, et hujusmodi constitutionem in servili conditione, missam nunc fecimus, et de ea non quærimus: nam si recte ista concessisti, sive magnus rex infelix fuerit, non erit liber, sive regulus, sive consularis, sive iterum consul. Esto.

54. Jam porro illud mihi responde, num magnum quiddam et generosum et magni pretii tibi videtur esse libertas? Quidni vero? Fierine potest igitur, ut tanto, tam præclaro et generoso bono potitus, sit humilis et abjectus? Non potest. (55) Cum ergo aliquem videris alteri se submittentem, aut præter animi sui sententiam adulantem, audacter et illum liberum esse negato: neque solum, si propter cœnam id faciat; sed etiam, si ob provinciam, ob consulatum: ceterum illos quidem minutos servos appellato, qui propter minutas res ista faciunt; istos vero, ut digni sunt, magnos servos. Concedamus et hæc. (56) Num tibi libertas videtur esse status quo quis sui juris est, suique

Πῶς γὰρ οὔ; Ὅντινα οὖν ἐπ' ἄλλῳ κωλῦσαι ἔστι καὶ ἀναγκάσαι, θαῤῥῶν λέγε μὴ εἶναι ἐλεύθερον. (57) Καὶ μή μοι πάππους αὐτοῦ καὶ προπάππους βλέπε, καὶ ὠνὴν ζήτει καὶ πρᾶσιν· ἀλλ', ἂν ἀκούσῃς λέγοντος ἔσωθεν καὶ ἐκ πάθους, Κύριε· κἂν δώδεκα ῥάβδοι προάγωσι, λέγε δοῦλον. Κἂν ἀκούσῃς λέγοντος, Τάλας ἐγώ, οἷα πάσχω; λέγε δοῦλον. Ἂν ἁπλῶς ἀποκλαιόμενον ἴδῃς, μεμφόμενον, δυσροοῦντα, λέγε δοῦλον, περιπόρφυρον ἔχοντα. (58) Ἂν οὖν μηδὲν τούτων * μὴ * ποιῇ, μήπω εἴπῃς ἐλεύθερον· ἀλλὰ τὰ δόγματα αὐτοῦ κατάμαθε, μή τι ἀναγκαστά, μή τι κωλυτικά, μή τι δυσροητικά. Κἂν εὕρῃς τοιοῦτον, λέγε δοῦλον, ἀνοχὰς ἔχοντα ἐν Σατορναλίοις· λέγε ὅτι ὁ κύριος αὐτοῦ ἀποδημεῖ· εἶθ' ἥξει, καὶ γνώσῃ οἷα πάσχει. (59) Τίς ἥξει; Πᾶς ὃς ἂν ἐξουσίαν ἔχῃ τῶν ὑπ' αὐτοῦ τινος θελομένων, πρὸς τὸ περιποιῆσαι ταῦτα, ἢ ἀφελέσθαι. Οὕτως οὖν πολλοὺς κυρίους ἔχομεν; Οὕτω. Τὰ γὰρ πράγματα προτέρους τούτων κυρίους ἔχομεν· ἐκεῖνα δὲ πολλά ἐστι· διὰ ταῦτα ἀνάγκη, καὶ τοὺς τούτων τινὸς ἔχοντας ἐξουσίαν, κυρίους εἶναι. (60) Ἐπεί τοι οὐδεὶς αὐτὸν τὸν Καίσαρα φοβεῖται· ἀλλὰ θάνατον, φυγήν, ἀφαίρεσιν τῶν ὄντων, φυλακήν, ἀτιμίαν. Οὐδὲ φιλεῖ τις τὸν Καίσαρα, ἂν μή τι ᾖ πολλοῦ ἄξιος· ἀλλὰ πλοῦτον φιλοῦμεν, δημαρχίαν, στρατηγίαν, ὑπατείαν. Ὅταν ταῦτα φιλῶμεν, καὶ μισῶμεν, καὶ φοβώμεθα, ἀνάγκη τοὺς ἐξουσίαν αὐτῶν ἔχοντας κυρίους ἡμῶν εἶναι. (61) Διὰ τοῦτο καὶ ὡς θεοὺς αὐτοὺς προσκυνοῦμεν. Ἐννοοῦμεν γάρ, ὅτι τὸ ἔχον ἐξουσίαν τῆς μεγίστης ὠφελείας, θεῖόν ἐστιν. Εἶθ' ὑποτάσσομεν κακῶς, Οὗτος δ' ἔχει τῆς μεγίστης ὠφελείας ἐξουσίαν· θεῖον ἄρα ἐστίν. Εἰ γὰρ ὑποτάσσομεν κακῶς, τό, Οὗτος δ' ἔχει τῆς μεγίστης ὠφελείας ἐξουσίαν, ἀνάγκη καὶ τὸ γενόμενον ἐξ αὐτῶν ἐπενεχθῆναι κακῶς.

62. Τί οὖν ἐστι τὸ ποιοῦν ἀκώλυτον τὸν ἄνθρωπον καὶ αὐτεξούσιον; πλοῦτος γὰρ οὐ ποιεῖ, οὐδ' ὑπατεία, οὐδ' ἐπαρχία, οὐδὲ βασιλεία· ἀλλὰ δεῖ τι ἄλλο εὑρεθῆναι. (63) Τί οὖν ἐστι τὸ ἐν τῷ γράφειν ἀκώλυτον ποιοῦν καὶ ἀπαραπόδιστον; Ἡ ἐπιστήμη τοῦ γράφειν. Τί δ' ἐν τῷ κιθαρίζειν; Ἡ ἐπιστήμη τοῦ κιθαρίζειν. Οὐκοῦν καὶ ἐν τῷ βιοῦν, ἡ ἐπιστήμη τοῦ βιοῦν. (64) Ὡς μὲν οὖν ἁπλῶς, ἀκήκοας· σκέψαι δ' αὐτὸ καὶ ἐκ τῶν ἐπὶ μέρους. Τὸν ἐφιέμενόν τινος τῶν ἐπ' ἄλλοις ὄντων, ἐνδέχεται ἀκώλυτον εἶναι; Οὔ. Ἐνδέχεται ἀπαραπόδιστον; Οὔ. Οὐκοῦν οὐδ' ἐλεύθερον. (65) Ὅρα οὖν· πότερον οὐδὲν ἔχομεν ὃ ἐφ' ἡμῖν μόνοις ἐστίν; ἢ πάντα; ἢ τὰ μὲν ἐφ' ἡμῖν ἐστι, τὰ δ' ἐπ' ἄλλοις; (66) Πῶς λέγεις; Τὸ σῶμα ὅταν θέλῃς ὁλόκληρον εἶναι, ἐπὶ σοί ἐστιν, ἢ οὔχ; Οὐκ ἐπ' ἐμοί. Ὅταν δ' ὑγιαίνειν; Οὐδὲ τοῦτο. Ὅταν δὲ καλὸν εἶναι; Οὐδὲ τοῦτο. Ζῆν δέ, ἢ ἀποθανεῖν; Οὐδὲ τοῦτο. Οὐκοῦν τὸ μὲν σῶμα ἀλλότριον, ὑπεύθυνον παντὸς τοῦ ἰσχυροτέρου. (67) Ἔστω· τὸν ἀγρὸν δ' ἐπὶ σοί ἐστιν ἔχειν ὅταν θέλῃς, καὶ ἐφ' ὅσον θέλεις, καὶ οἷον θέλεις; Οὔ. Τὰ δὲ δουλάρια; Οὔ. Τὰ δ' ἱμάτια; Οὔ. Τὸ δ' οἰκίδιον; Οὔ. Τοὺς

arbitrii? Quidni? Quisquis igitur ab alio prohiberi et cogi potest, eum ne dubita negare esse liberum. (57) Neque vero avos aut proavos ejus respice; neu quære, quis emerit eum, quis vendiderit : sed, si audieris ex animo et cum affectu dicentem, Domine; quamvis duodecim fasces antecedant, servum appella. Quodsi dicentem audieris, Me miserum! quomodo mecum agitur! dic servum. Denique omnino, si deplorantem, conquerentem, adversis rebus conflictantem videris; dic servum prætextatum. (58) Quodsi horum nihil fecerit, non idcirco statim liberum dixeris; sed opiniones ejus et decreta cognosce, num cogi, num prohiberi possint, num successu carere. Quodsi talem inveneris, dic servum, cui Saturnalibus induciæ dentur : dic, dominum ejus peregre abesse; qui ubi advenerit, videbis qua ille conditione sit. (59) Quis adveniet? Quisquis potestatem habet eorum aliquid, quæ ille vult, vel conferendi, vel auferendi. Siccine tot dominos habemus? Sic. Nam res ipsas, ante hos, dominas habemus : quæ cum multæ sint, fieri non potest quin ii, qui earum rerum alicujus potestatem habeant, nostri sint domini. (60) Etenim ipsum Cæsarem nemo timet; sed mortem, sed exsilium, sed ereptionem bonorum, carcerem, ignominiam. Neque diligit quisquam ipsum Cæsarem, nisi virtute excellat; sed divitias diligimus, tribunatum, præturam, consulatum. Hæc cum diligimus, odimus, timemus; necesse est eos, quorum hæc in potestate sunt, nostros esse dominos; (61) quare etiam veluti deos adoramus illos. Sic enim statuimus, id, in cujus potestate amplissimum beneficium sit, divinum quiddam esse : deinde male subsumimus, In illius autem potestate amplissimum beneficium est : quare divinum quiddam est. Nam si male subsumimus illud, In istius potestate amplissimum beneficium est; necesse est etiam id, quod ex his conficitur, perperam inferri.

62. Quid ergo est quod homini hoc præstet, ut nec prohiberi possit, et sui juris ut sit? nam opes quidem hoc non faciunt, neque consulatus, neque provinciæ, neque imperium; sed aliud aliquid est quærendum. (63) Quid ergo est quod in scribendo faciat ut expedite et solute agere possimus? Scribendi scientia. Quid, ut cithara expedite canamus? Scientia illius artis. Ergo etiam in degenda vita, vivendi scientia. (64) Jam generatim quidem hæc audivisti; considera vero etiam particulatim. Potestne impedimenti expers esse is, qui aliquid appetit quod alieni juris est? Non potest. Potestne non prohiberi? Non potest. Ergo nec liber esse potest. (65) Vide igitur : nihilne habeamus quod in nostra potestate sit? an omnia? an vero quædam nostra, quædam aliena? (66) Quomodo ais? Corpus integrum esse cum vis, estne penes te, an non? Non est penes me. Cum recte valere? Ne hoc quidem. Cum esse pulcrum? Neque hoc. Vivere, aut mori? Neque hoc. Igitur corpus alienum est, cuivis fortiori obnoxium. (67) Esto. At penes te est, agrum habere cum voles, et quoad voles, et qualem voles? Non. Servulos autem? Non. At vestes? Non. Domunculam? Non. At equos? Horum omnium

δ' ἵππους; Τούτων μὲν οὐδέν. Ἂν δὲ τὰ τέκνα σου ζῆν θέλῃς ἐξ ἅπαντος, ἢ τὴν γυναῖκα, ἢ τὸν ἀδελφὸν, ἢ τοὺς φίλους, ἐπὶ σοὶ ἐστίν; Οὐδὲ ταῦτα.

68. Πότερον οὖν οὐδὲν ἔχεις αὐτεξούσιον, ὃ ἐπὶ μόνῳ ἐστὶ σοὶ, καὶ ἀναφαίρετον; ἢ ἔχεις τι τοιοῦτον; Οὐκ οἶδα. Ὅρα οὖν οὕτω καὶ σκέψαι αὐτό. (69) Μή τις δύναταί σε ποιῆσαι συγκαταθέσθαι τῷ ψεύδει; Οὐδείς. Οὐκοῦν ἐν μὲν τῷ συγκαταθετικῷ τόπῳ ἀκώλυτος εἶ καὶ ἀνεμπόδιστος. (70) Ἔστω. Ἄγε, ὁρμῆσαι δέ σε ἐφ' ὃ μὴ θέλεις, τίς δύναται ἀναγκάσαι; Δύναται· ὅταν γάρ μοι θάνατον ἢ δεσμὰ ἀπειλῇ, ἀναγκάζει με ὁρμῆσαι. Ἂν οὖν καταφρονῇς τοῦ ἀποθανεῖν καὶ τοῦ δεδέσθαι, ἔτι αὐτοῦ ἐπιστρέφῃ; Οὔ. (71) Σὸν οὖν ἐστιν ἔργον, τὸ καταφρονεῖν θανάτου, ἢ οὐ σόν; Ἐμόν. Σὸν ἄρα ἐστὶ καὶ τὸ ὁρμῆσαι· ἢ οὔ; Ἔστω ἐμόν. Τὸ δ' ἀφορμῆσαι, τίνος; σὸν καὶ τοῦτο. (72) Τί οὖν, ἂν, ἐμοῦ ὁρμήσαντος περιπατῆσαι, ἐκεῖνός με κωλύσῃ; Τί σου κωλύει; μή τι τὴν συγκατάθεσιν; Οὔ· ἀλλὰ τὸ σωμάτιον. Ναὶ, ὡς λίθον. Ἔστω· ἀλλ' οὐκέτι ἐγὼ περιπατῶ. (73) Τίς δέ σοι εἶπε, Τὸ περιπατῆσαι σὸν ἔργον ἐστὶ [καὶ] ἀκώλυτον; ἐγὼ γὰρ ἐκεῖνο ἔλεγον ἀκώλυτον μόνον, τὸ ὁρμῆσαι· ὅπου δὲ σώματος χρεία καὶ τῆς ἐκ τούτου συνεργείας, πάλαι ἀκήκοας ὅτι οὐδέν ἐστι σόν. Ἔστω καὶ ταῦτα. (74) Ὀρέγεσθαι δέ σε οὗ μὴ θέλεις, τίς ἀναγκάσαι δύναται; Οὐδείς. Προθέσθαι δ' ἢ ἐπιβαλέσθαι τις, ἢ ἁπλῶς χρῆσθαι ταῖς προσπιπτούσαις φαντασίαις; (75) Οὐδὲ τοῦτο. Ἀλλὰ ὀρεγόμενόν με κωλύσει τυχεῖν οὗ ὀρέγομαι. Ἂν τῶν σῶν τινος ὀρέγῃ, καὶ τῶν ἀκωλύτων, πῶς σε κωλύσει; Οὐδαμῶς. Τίς οὖν σοι λέγει ὅτι ὁ τῶν ἀλλοτρίων ὀρεγόμενος ἀκώλυτός ἐστιν;

76. Ὑγείας οὖν μὴ ὀρέγωμαι; Μηδαμῶς, μηδ' ἄλλου ἀλλοτρίου μηδενός. (77) Ὃ γὰρ οὐκ ἔστιν ἐπὶ σοὶ παρασκευάσαι ἢ τηρῆσαι ὅτε θέλεις, τοῦτο ἀλλότριόν ἐστι· μακρὰν ἀπ' αὐτοῦ οὐ μόνον τὰς χεῖρας, ἀλλὰ πολὺ πρότερον τὴν ὄρεξιν. Εἰ δὲ μὴ, παρέδωκας σαυτὸν δοῦλον, ὑπέθηκας τὸν τράχηλον, ἄν τι θαυμάσῃς τῶν μὴ σῶν, ᾧ τινι ἂν τῶν ὑπευθύνων καὶ θνητῶν προσπαθῇς. (78) Ἡ χεὶρ οὐκ ἔστιν ἐμή; Μέρος ἐστὶ σόν· φύσει δὲ πηλὸς, κωλυτὸν, ἀναγκαστὸν, δοῦλον παντὸς τοῦ ἰσχυροτέρου. (79) Καὶ τί σοι λέγω χεῖρα; ὅλον τὸ σῶμα οὕτως ἔχειν σε δεῖ ὡς ὀνάριον ἐπισεσαγμένον· ἐφ' ὅσον ἂν οἷόν τε ᾖ, ἐφ' ὅσον ἂν διδῶται. Ἂν δ' ἀγγαρεία ᾖ, καὶ στρατιώτης ἐπιλάβηται, ἄφες, μὴ ἀντίτεινε, μηδὲ γόγγυζε· εἰ δὲ μὴ, πληγὰς λαβὼν, οὐδὲν ἧττον ἀπολεῖς καὶ τὸ ὀνάριον. (80) Ὅταν δὲ πρὸς τὸ σῶμα οὕτως ἔχειν σε δέῃ, ὅρα τί ἀπολείπεται περὶ τὰ ἄλλα, ὅσα τοῦ σώματος ἕνεκα παρασκευάζεται. Ὅταν ἐκεῖνο ὀνάριον ᾖ, τἄλλα γίνεται χαλινάρια τοῦ ὀναρίου, σαγμάτια, ὑποδημάτια, κριθαὶ, χόρτος. Ἄφες κἀκεῖνα· ἀπόλυε θᾶττον καὶ εὐκολώτερον ἢ τὸ ὀνάριον.

81. Καὶ ταύτην τὴν παρασκευὴν παρασκευασάμενος καὶ τὴν ἄσκησιν ἀσκήσας, τὰ ἀλλότρια ἀπὸ τῶν ἰδίων διακρίνειν, τὰ κωλυτὰ ἀπὸ τῶν ἀκωλύτων ταῦτα πρὸς

nihil. Quodsi præcise ac sine exceptione volueris, ut in vita maneant tui liberi, aut uxor tua, aut frater, aut amici, penes te id est? Ne id quidem.

68. An ergo nihil habes proprium, quod penes te solum sit, nec eripi tibi possit? aut habesne aliquid tale? Nescio. Sic igitur istud vide atque considera. (69) Num quis efficere potest ut assentiaris mendacio? Nemo. Ergo in loco assensionis nec prohiberi nec impediri potes. (70) Esto. Age, ut impetum capias ad id quod non vis, cogere te aliquis potest? Potest: nam si mihi mortem aut vincula minitetur, impetum me capere cogit. At si vincula et mortem contemnas, adhuc eum curabis? Non. (71) Tuumne ergo est opus, mortem contemnere, an non tuum? Meum. Tuum igitur etiam est impetu uti : nonne? Esto meum, Devitare autem aliquid cujus? etiam hoc tuum est. (72) Quid ergo, si me deambulare conantem ille prohibeat? Quid tuum prohibet? num assensionem tuam? Non : at corpusculum. Nimirum tamquam lapidem. Esto : at ego non amplius deambulo. (73) Quis autem tibi dixit, deambulare tuum esse opus, quod prohiberi non possit? nam ego illud solum prohiberi posse negavi, ut impetum capias; ubi autem corpore atque illius ministerio sit opus, pridem audivisti nihil esse tuum. Sunto et hæc. (74) At, ut appetas quod tu non velis, ecquis te cogere potest? Nemo. At; instituere atque suscipere aliquid, aut omnino objectis visis uti, ad hæc quisquam te cogere potest? (75) Ne hoc quidem quisquam: sed appetentem me prohibebit eo potiri quod appeto. Si tuum aliquid appetes, et quod prohiberi nequeat, quomodo prohibebit? Nullo modo. Quis autem tibi dicit, eum, qui aliquid alieni appetat, prohiberi non posse?

76. Ergo sanitatem non appetam? Nequaquam, nec ullam rem alienam. (77) Quod enim penes te non est vel parare vel tueri cum vis, id alienum est : longe ab eo non modo manus, sed appetitionem etiam, ac multo quidem magis, abstine; alioqui in servitutem te tradideris, collum jugo subjeceris, si quid admiratus fueris quod tuum non est, si quid alienum et mortale desideraveris. (78) An manus non est mea? Pars tua est : suapte vero natura lutum; prohiberi potest, cogi potest, serva est cujusvis robustioris. (79) Et quid tibi manum dicam? totum corpus ita te habere oportet, ut asellum clitellis onustum; quatenus licuerit, quatenus datum fuerit : sin fuerit vis allata, si miles prehenderit, omitte, ne renitere, ne murmura : alioqui, plagis etiam acceptis, nihilominus asellum amittes. (80) Quodsi erga corpus te sic affectum esse decet, vide quid de ceteris rebus statuendum sit, quæ corporis gratia comparantur : si asellus est corpus, cetera freni erunt aselli, clitellæ, sparteæ calces, hordeum, fœnum. Omitte illa etiam; omitte citius et facilius, quam ipsum asellum.

81. Atque in hunc modum præparatus et exercitatus ut a propriis aliena discernas, ea quæ prohiberi possunt ab iis quæ non possunt ut hæc ad te pertinere putes, illa ni-

ἑαυτὸν ἡγεῖσθαι, ἐκεῖνα μὴ πρὸς ἑαυτὸν, ἐνταῦθα ἐπιστρόφως ἔχειν τῆς ὀρέξεως, ἐνταῦθα κατὰ τὴν ἔκκλισιν· μή τι ἔτι φοβῇ τινα; Οὐδένα. (82) Περὶ τίνος γὰρ φοβήσῃ; περὶ τῶν σεαυτοῦ, ὅπου ἡ οὐσία τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ; Καὶ τίς τούτων ἐξουσίαν ἔχει; τίς ἀφελέσθαι αὐτὰ δύναται; τίς ἐμποδίσαι; οὐ μᾶλλον ἢ τὸν θεόν. (83) Ἀλλ' ὑπὲρ τοῦ σώματος καὶ τῆς κτήσεως; ὑπὲρ τῶν ἀλλοτρίων; ὑπὲρ τῶν οὐδὲν πρὸς σέ; Καὶ τί ἄλλο ἐξαρχῆς ἐμελέτας, ἢ διακρίνειν τὰ σὰ καὶ οὐ σὰ, τὰ ἐπὶ σοὶ καὶ οὐκ ἐπὶ σοὶ, τὰ κωλυτὰ καὶ ἀκώλυτα; Τίνος δὲ ἕνεκα προσῆλθες τοῖς φιλοσόφοις; ἵνα μηδὲν ἧττον ἀτυχῆς καὶ δυστυχῆς; (84) Οὐκοῦν ἄφοβος μὲν οὕτως ἔσῃ καὶ ἀτάραχος. Λύπη δὲ τί πρὸς σέ; Ὧν γὰρ προσδοκωμένων φόβος γίνεται, καὶ λύπη παρόντων. Ἐπιθυμήσεις δὲ τίνος ἔτι; Τῶν μὲν γὰρ προαιρετικῶν, ἅτε καλῶν ὄντων καὶ παρόντων, σύμμετρον ἔχεις καὶ καθεσταμένην τὴν ὄρεξιν· τῶν δ' ἀπροαιρέτων οὐδενὸς ὀρέγῃ, ἵνα καὶ τόπον σχῇ τὸ ἄλογον ἐκεῖνο καὶ ὠστικὸν καὶ παρὰ τὰ μέτρα ἠπειγμένον.

85. Ὅταν οὖν πρὸς τὰ πράγματα οὕτως ἔχῃς, τίς ἔτι ἄνθρωπος δύναται φοβερὸς εἶναι; Τί γὰρ ἔχει ἄνθρωπος ἀνθρώπῳ φοβερὸν, ἢ ὀφθεὶς, ἢ λαλήσας, ἢ ὅλως συναναστραφείς; οὐ μᾶλλον ἢ ἵππος ἵππῳ, ἢ κύων κυνὶ, ἢ μέλισσα μελίσσῃ. Ἀλλὰ τὰ πράγματα ἑκάστῳ φοβερά ἐστι· ταῦτα δ' ὅταν περιποιεῖν τις δύνηταί τινι ἢ ἀφελέσθαι, τότε καὶ αὐτὸς φοβερὸς γίνεται. (86) Πῶς οὖν ἀκρόπολις καταλύεται; Οὐ σιδήρῳ, οὐδὲ πυρὶ, ἀλλὰ δόγμασιν. Ἂν γὰρ τὴν οὖσαν ἐν τῇ πόλει καθέλωμεν, μή τι καὶ τὴν τοῦ πυρετοῦ; μή τι καὶ τὴν τῶν καλῶν γυναικαρίων; μή τι ἁπλῶς τὴν ἐν ἡμῖν ἀκρόπολιν, καὶ τοὺς ἐν ἡμῖν τυράννους ἀποβεβλήκαμεν; οὓς ἐφ' ἑκάστοις καθ' ἡμέραν ἔχομεν, ποτὲ μὲν τοὺς αὐτοὺς, ποτὲ δ' ἄλλους. (87) Ἀλλ' ἔνθεν ἄρξασθαι δεῖ, καὶ ἔνθεν καθελεῖν τὴν ἀκρόπολιν, ἐκβαλεῖν τοὺς τυράννους· τὸ σωμάτιον ἀφεῖναι, τὰ μέρη αὐτοῦ, τὰς δυνάμεις, τὴν κτῆσιν, τὴν φήμην, ἀρχὰς, τιμὰς, τέκνα, ἀδελφοὺς, φίλους, ταῦτα πάντα ἡγήσασθαι ἀλλότρια. (88) Κἂν ἔνθεν ἐκβληθῶσιν οἱ τύραννοι, τί ἔτι ἀποτειχείζω τὴν ἀκρόπολιν, ἐμοῦ γε ἕνεκα; ἑστῶσα γάρ τί μοι ποιεῖ; τί ἔτι ἐκβάλλω τοὺς δορυφόρους; ποῦ γὰρ αὐτῶν αἰσθάνομαι; Ἐπ' ἄλλους ἔχουσι τὰς ῥάβδους, καὶ τοὺς κοντοὺς, καὶ τὰς μαχαίρας. (89) Ἐγὼ δ' οὐ πώποτε θέλων ἐκωλύθην, οὔτ' ἠναγκάσθην μὴ θέλων. Καὶ πῶς τοῦτο δυνατόν; προσκατατέταχά μου τὴν ὁρμὴν τῷ θεῷ. Θέλει μ' ἐκεῖνος πυρέσσειν; κἀγὼ θέλω. Θέλει ὁρμᾶν ἐπί τι; κἀγὼ θέλω. Θέλει ὀρέγεσθαι; κἀγὼ θέλω. (90) Θέλει με τυχεῖν τινος; κἀγὼ βούλομαι. Οὐ θέλει; οὐ βούλομαι. [Ἀποθανεῖν με θέλει; στρεβλωθῆναί με θέλει;] ἀποθανεῖν οὖν θέλω· στρεβλωθῆναι οὖν θέλω. Τίς ἔτι με κωλῦσαι δύναται παρὰ τὸ ἐμοὶ φαινόμενον, ἢ ἀναγκάσαι; Οὐ μᾶλλον ἢ τὸν Δία.

91. Οὕτω ποιοῦσι καὶ τῶν ὁδοιπόρων οἱ ἀσφαλέστεροι. Ἀκήκοεν ὅτι λῃστεύεται ἡ ὁδὸς, μόνος οὐ τολμᾷ

hil ad te attinere; ut hic appetitionem cures, illic aversationem; num quem adhuc times? Neminem. (82) *Recte :* cui enim timueris? an tuis rebus, in quibus boni et mali substantia inest? Quis vero illarum potestatem habet? quis auferre potest? quis impedire? nihilo magis quam deum. (83) An corpori timueris, et possessioni? rebus alienis, rebus nihil ad te pertinentibus? Quid vero aliud ab initio meditatus es, nisi ut tua et aliena discerneres, ea quæ in tua et quæ in aliorum essent potestate, quæ prohiberi possent et non prohiberi? Qua vero gratia philosophos accessisti? Ut nihilo minus votis tuis frustrareris et calamitosus esses? (84) Igitur imperterritus et perturbationis expers sic eris. Dolor autem quid ad te? *Nihil :* nam quorum exspectatio timetur, horum præsentia dolet. Quid autem desiderabis porro? *Nihil :* nam eorum quidem quæ tui arbitrii sunt, quippe quæ pulcra sunt et adsunt, moderatam habes et compositam appetitionem; eorum autem, quæ a tua voluntate non pendent, nihil ita appetis, ut locum habeat brutum illud et impetuosum et ultra modum concitatum.

85. Cum ergo adversus res sic affectus fueris, quis homo deinceps timendus esse potest? Quid enim habet homo homini terribile, sive conspiciatur, sive colloquatur, aut etiam una vivat? nihilo magis quicquam quam equus equo, aut canis cani, aut apis api. Sed res cuique formidabiles sunt; quas cum quis alteri conferre aut auferre potest, tum et ipse fit formidabilis. (86) Quomodo ergo evertitur arx? Non ferro, neque igni, sed decretis. Nam si eam, quæ in urbe est, sustulerimus; num etiam eam, quam febris nobis opponit? num etiam eam, quam pulcræ mulierculæ? num omnino eam, quæ in nobis est, arcem, et tyrannos, qui in nobis sunt, prostravimus? quos unicuique nostrûm quotidie imminentes experimur, modo eosdem, modo diversos. (87) Hinc ordiendum est : arx ab hac parte demolienda; hinc ejiciendi tyranni : corpusculum missum faciendum; partes ejus, facultates, possessiones, fama, magistratus, honores, liberi, fratres, amici, hæc omnia ducenda sunt aliena. (88) Quodsi hinc ejecti fuerint tyranni, cur arcem adhuc, mea utique caussa, destruam? nam stans illa quid mihi incommodat? quid adhuc ejiciam satellites? ubi enim illos sentio? Adversus alios illi fasces habent et hastas et gladios : (89) ego vero numquam, volens aliquid, prohibitus sum; nec coactus sum, nolens. Quo enim pacto fieri id possit? impetum meum obedientem præbui deo. Vult ille me febricitare? volo et ipse. Vult me aggredi quidpiam? volo et ipse. Vult me aliquid appetere? volo et ipse. (90) Vult me aliqua re potiri? volo et ipse. Non vult? nec ego volo. [Mori me vult? torqueri me vult?] mori igitur volo; torqueri volo. Quis adhuc me prohibere potest contra meam sententiam, aut cogere? *Nemo* nihilo magis quam Jovem.

91. Sic faciunt etiam viatores cautiores. Si audierint viam latrociniis infestam esse; soli se itineri committere

καθεῖναι· ἀλλὰ περιέμεινε συνοδίαν ἢ πρεσβευτοῦ, ἢ ταμίου, ἢ ἀνθυπάτου· καὶ προσκατατάξας ἑαυτὸν, παρέρχεται ἀσφαλῶς. (92) Οὕτω καὶ ἐν τῷ κόσμῳ ποιεῖ ὁ φρόνιμος. Πολλὰ λῃστήρια, τύραννοι, χειμῶνες, ἀπορίαι, ἀποβολαὶ τῶν φιλτάτων. (93) Ποῦ τις καταφύγῃ; πῶς ἀλῄστευτος παρέλθῃ; ποίαν συνοδίαν περιμείνας, ἀσφαλῶς διέλθῃ; τίνι προσκατατάξας ἑαυτόν; (94) τῷ δεῖνι, τῷ πλουσίῳ, τῷ ὑπατικῷ; Καὶ τί μοι ὄφελος; αὐτὸς ἐκδύεται, οἰμώζει, πενθεῖ. Τί δ' ἂν ὁ συνοδοιπόρος αὐτὸς ἐπ' ἐμὲ στραφεὶς, λῃστής μου γένηται; τί ποιήσω; (95) Φίλος ἔσομαι Καίσαρος· ἐκείνου με ὄντα ἑταῖρον οὐδεὶς ἀδικήσει. Πρῶτον μὲν, ἵνα γένωμαι λαμπρὸς, ἅ με δεῖ τλῆναι καὶ παθεῖν; ποσάκις καὶ ὑπὸ πόσων λῃστευθῆναι; εἶτα, ἐὰν γένωμαι, καὶ οὗτος θνητός ἐστιν. (96) Ἂν δ' αὐτὸς ἔκ τινος περιστάσεως ἐχθρός μου γένηται, ἀναχωρῆσαι ποῦ ποτε κρεῖσσον; εἰς ἐρημίαν; Ἄγε, ἐκεῖ πυρετὸς οὐκ ἔρχεται; (97) Τί οὖν γένηται; οὐκ ἔστιν εὑρεῖν ἀσφαλῆ σύνοδον, πιστὸν, ἰσχυρὸν, ἀνεπιβούλευτον; (98) Οὕτως ἐφίστησι καὶ ἐννοεῖ, ὅτι, ἐὰν τῷ θεῷ προσκατατάξῃ ἑαυτὸν, διελεύσεται ἀσφαλῶς.

non audent; sed exspectato comitatu vel legati, vel quæstoris, vel proconsulis, his aggregati tuto iter conficiunt. (92) Sic etiam in mundo facit vir prudens. Multa ibi latrocinia sunt, tyranni, tempestates, egestates, jacturæ carissimorum. (93) Quo confugias? quomodo incolumis transeas? quem comitatum exspectabis, ut tutus iter conficias? cui te adjunges? (94) diviti illi, aut consulari? Quem inde fructum capiam? ipse exuitur, plorat, luget. Quid vero, si ipse comes meus in me conversus, latro meus fiat? quid faciam? (95) Amicus ero Cæsaris; cui dum familiaris fuero, nemo mihi injuriam faciet. Primum, ut fiam illustris, quæ mihi toleranda et perferenda erunt? quoties et a quam multis spoliari me oportebit? deinde, si factus fuero, hic et ipse mortalis est. (96) Si vero casu aliquo inimicus mihi factus fuerit, quo recedendum? in solitudinem? Age, febris illuc non venit? (97) Quid ergo faciendum? non licet ergo invenire comitem, per quem tutus sis, fidelem, firmum, insidiarum expertem? (98) Ita rem considerans vir prudens cogitat, si deo se dederit, tuto se iter confecturum.

99. Πῶς λέγεις προσκατατάξαι; Ἵν', ὃ ἂν ἐκεῖνος θέλῃ, καὶ αὐτὸς θέλῃ· καὶ, ὃ ἂν ἐκεῖνος μὴ θέλῃ, τοῦτο μηδ' αὐτὸς θέλῃ. (100) Πῶς οὖν τοῦτο γένηται; Πῶς γὰρ ἄλλως, ἢ ἐπισκεψαμένῳ τὰς ὁρμὰς τοῦ θεοῦ καὶ τὴν διοίκησιν; Τί μοι δέδωκεν ἐμὸν καὶ αὐτεξούσιον; τί αὐτῷ κατέλιπε; Τὰ προαιρετικά μοι δέδωκεν, ἐπ' ἐμοὶ πεποίηκεν, ἀνεμπόδιστα, ἀκώλυτα. Τὸ σῶμα τὸ πήλινον πῶς ἐδύνατο ἀκώλυτον ποιῆσαι; ὑπέταξεν οὖν τῇ τῶν ὅλων περιόδῳ τὴν κτῆσιν, τὰ σκεύη, τὴν οἰκίαν, τὰ τέκνα, τὴν γυναῖκα. (101) Τί οὖν θεομαχῶ; τί θέλω τὰ μὴ θελητά; τὰ μὴ δοθέντα μοι ἐξ ἅπαντος ἔχειν; Ἀλλὰ πῶς; Ὡς δέδοται καὶ ἐφ' ὅσον δέδοται. Ἀλλ' ὁ δοὺς ἀφαιρεῖται. Τί οὖν ἀντιτείνω; οὐ λέγω ὅτι ἠλίθιος ἔσομαι, τὸν ἰσχυρότερον βιαζόμενος, ἀλλ' ἔτι πρότερον ἄδικος. (102) Πόθεν γὰρ ἔχων αὐτὰ ἦλθον; Ὁ πατήρ μοι αὐτὰ ἔδωκεν. Ἐκείνῳ δὲ τίς; Τὸν ἥλιον δὲ τίς πεποίηκε; τοὺς καρποὺς δὲ τίς; τὰς δ' ὥρας τίς; τὴν δὲ πρὸς ἀλλήλους συμπλοκὴν καὶ κοινωνίαν τίς;

99. Quid est istud, Dedere sese deo? Ut, quod ille voluerit, et ipse velit: quod ille noluerit, nec ipse velit. (100) Qui ergo istud fiet? Quomodo fieret aliter, nisi considerando dei consilio et administratione? Quid ille mihi dedit meum et mei juris? quid sibi ipse reservavit? Liberam voluntatem mihi dedit; et, quæ in mea potestate sunt, ea nec impediri nec prohiberi posse voluit. Corpus autem luteum, quomodo potuit tale efficere, ut a nemine prohiberetur? Subjecit igitur sub universitatis circuitum possessiones, vasa, ædes, liberos, uxorem. (101) Quid ergo deo repugno? cur volo ea, quæ velle non debeo? cur volo ut, quæ mihi data non sunt, quovis modo consequar? Sed quomodo velle res debeo? Prout datæ sunt, quatenus datæ sunt. At is, qui dedit, aufert iterum. Quid ergo repugno? Non dico, stultum me fore, si potentiori adverser, sed prius etiam injurium. (102) Unde enim ea habui? Pater illa mihi dederat. Illi vero quis? Solem vero quis fecit? fruges quis dedit? quis anni tempora distinxit? communitatem et consociationem hominum inter ipsos, quis instituit?

103. Εἶτα σὺ, πάντα εἰληφὼς παρ' ἄλλου, καὶ αὐτὸν σεαυτὸν, ἀγανακτεῖς καὶ μέμφῃ τὸν δόντα, ἄν σού τι ἀφέληται; Τίς ὤν; καὶ ἐπὶ τί ἐληλυθώς; (104) Οὐχὶ ἐκεῖνός σε εἰσήγαγεν; οὐχὶ τὸ φῶς ἐκεῖνός σοι ἔδειξεν; οὐ συνεργοὺς ἔδωκεν; οὐκ αἰσθήσεις; οὐ λόγον; Ὡς τίνα δὲ εἰσήγαγεν; οὐχ ὡς θνητόν; οὐχ ὡς μετ' ὀλίγου σαρκιδίου ζήσοντα ἐπὶ τῆς γῆς; καὶ θεασόμενον τὴν διοίκησιν αὐτοῦ, καὶ συμπομπεύσοντα αὐτῷ, καὶ συνεορτάσοντα πρὸς ὀλίγον; (105) Οὐ θέλεις οὖν, ἕως δέδοταί σοι, θεασάμενος τὴν πομπὴν καὶ τὴν πανήγυριν, εἶτα, ὅταν σ' ἐξάγῃ, πορεύεσθαι προσκυνήσας καὶ εὐχαριστήσας ὑπὲρ ὧν ἤκουσας καὶ εἶδες; Οὔ· ἀλλ' ἔτι ἑορτάζειν ἤθελον. (106) Καὶ γὰρ οἱ μύσται, μυεῖσθαι· τάχα δὲ καὶ οἱ ἐν Ὀλυμπίᾳ, ἄλλους ἀθλητὰς βλέπειν·

103. Itane tu, cum omnia, et te quoque ipsum ab alio acceperis, indignaris et accusas largitorem illorum, si quid tibi ademerit? Quis es, et ad quid venisti? (104) Nonne ille te introduxit? nonne lumen ille tibi monstravit? non adjutores adjunxit? non sensus? non rationem? Qualem vero te introduxit? nonne ut mortalem? nonne ut cum exigua caruncula victurum in terris, et spectaturum ipsius gubernationem, et ludos concelebraturum, et ad exiguum tempus celebritati interfuturum? (105) Nonne vis igitur, postquam, quoad tibi datum est, pompam ejus et celebritatem spectaveris, deinde, cum te eduxerit, abire adorans illum, et gratias ei agens de iis quæ vidisti et audivisti? Non; sed diutius festivitati interesse vellem. (106) Etiam mystæ diutius initiari se vellent; forsitan ii etiam, qui

ἀλλὰ ἡ πανήγυρις πέρας ἔχει· Ἔξελθε· ἀπαλλάγηθι ὡς εὐχάριστος, ὡς αἰδήμων· δὸς ἄλλοις τόπον· δεῖ γενέσθαι καὶ ἄλλους, καθάπερ καὶ σὺ ἐγένου, καὶ γενομένους ἔχειν χώραν καὶ οἰκήσεις καὶ τὰ ἐπιτήδεια. Ἂν δ' οἱ πρῶτοι μὴ ὑπεξάγωσι, τί ὑπολείπεται; Τί ἄπληστος εἶ; τί ἀνίκανος; τί στενοχωρεῖς τὸν κόσμον; (107) Ναί· ἀλλὰ καὶ τὰ τεκνία μετ' ἐμαυτοῦ εἶναι θέλω, καὶ τὴν γυναῖκα. Σὰ γάρ ἐστιν; οὐχὶ τοῦ δόντος; οὐχὶ καὶ τοῦ σὲ πεποιηκότος; εἶτα οὐκ ἐκστήσῃ τῶν ἀλλοτρίων; οὐ παραχωρήσεις τῷ κρείσσονι; (108) Τί οὖν μ' εἰσῆγεν ἐπὶ τούτοις; *Καὶ* εἰ μὴ ποιεῖ σοι, ἔξελθε· οὐκ ἔχει χρείαν θεατοῦ μεμψιμοίρου. Τῶν συνεορταζόντων δεῖται, τῶν συγχορευόντων, ἵν' ἐπικροτῶσι μᾶλλον, ἐπιθειάζωσιν, ὑμνῶσί τε τὴν πανήγυριν· (109) τοὺς ἀταλαιπώρους δὲ καὶ δειλοὺς οὐκ ἀηδῶς ὄψεται ἀπολελειμμένους τῆς πανηγύρεως· οὐδὲ γὰρ παρόντες, ὡς ἐν ἑορτῇ διῆγον, οὐδ' ἐξεπλήρουν τὴν χώραν τὴν πρέπουσαν, ἀλλ' ὠδυνῶντο, ἐμέμφοντο τὸν δαίμονα, τὴν τύχην, τοὺς συνόντας· ἀναίσθητοι καὶ ὧν ἔτυχον, καὶ τῶν ἑαυτῶν δυνάμεων, ἃς εἰλήφασι πρὸς τὰ ἐναντία, μεγαλοψυχίας, γενναιότητος, ἀνδρείας, αὐτῆς τῆς νῦν ζητουμένης ἐλευθερίας. (110) Ἐπὶ τί οὖν εἴληφα ταῦτα; Χρησόμενος. Μέχρι τίνος; Μέχρις ἂν ὁ χρήσας θέλῃ. Ἂν οὖν ἀναγκαῖά μοι ᾖ; Μὴ πρόσπασχε αὐτοῖς, καὶ οὐκ ἔσται. Σὺ αὐτὰ αὑτῷ μὴ εἴπῃς ἀναγκαῖα, καὶ οὐκ ἔσται.

111. Ταύτην τὴν μελέτην ἕωθεν εἰς ἑσπέραν μελετᾶν ἔδει, ἀπὸ τῶν μικροτάτων, ἀπὸ τῶν εὐεπηρεαστοτάτων ἀρξάμενος, ἀπὸ χύτρας, ἀπὸ ποτηρίου. Εἶθ' οὕτως ἐπὶ χιτωνάριον πρόελθε, ἐπὶ κυνάριον, ἐπὶ ἱππάριον, ἐπὶ ἀγρίδιον· ἔνθεν ἐπὶ σαυτόν, τὸ σῶμα, τὰ μέρη τοῦ σώματος, τὰ τέκνα, τὴν γυναῖκα, τοὺς ἀδελφούς. (112) Πανταχοῦ περιβλέψας, ἀπόρριψον ἀπὸ σεαυτοῦ· κάθηρον τὰ δόγματα, μή τι προσήρτηταί σοι τῶν οὐ σῶν, μή τι συμπέφυκε, μή τι ὀδυνήσῃ σε ἀποσπώμενον. (113) Καὶ λέγε γυμναζόμενος καθ' ἡμέραν, ὡς ἐκεῖ, μὴ ὅτι φιλοσοφεῖς (ἔστω φορτικὸν τὸ ὄνομα), ἀλλ' ὅτι καρπιστὴν δίδως. Τοῦτο γάρ ἐστιν ἡ ταῖς ἀληθείαις ἐλευθερία. (114) Ταύτην ἠλευθερώθη Διογένης παρ' Ἀντισθένους, καὶ οὐκέτι ἔφη καταδουλωθῆναι δύνασθαι ὑπ' οὐδενός. (115) Διὰ τοῦτο, ὅτε ἑάλω, πῶς τοῖς πειραταῖς ἐχρῆτο; μή τι κύριον εἶπέ τινα αὐτῶν; καὶ οὐ λέγω τὸ ὄνομα· οὐ γὰρ τὴν φωνὴν φοβοῦμαι· ἀλλὰ τὸ πάθος, ἀφ' οὗ ἡ φωνὴ ἐκπέμπεται. Πῶς ἐπιτιμᾷ αὐτοῖς, ὅτι κακῶς ἔτρεφον τοὺς ἑαλωκότας; (116) Πῶς ἐπράθη; μή τι κύριον ἐζήτει; ἀλλὰ δοῦλον. Πῶς δὲ πραθεὶς ἀνεστρέφετο πρὸς τὸν δεσπότην; εὐθὺς διελέγετο πρὸς αὐτόν, ὅτι οὐχ οὕτως ἐστολίσθαι δεῖ αὐτόν, οὐχ οὕτω κεκάρθαι· περὶ τῶν υἱῶν, πῶς δεῖ αὐτοὺς διάγειν. (117) Καὶ τί θαυμαστόν; εἰ γὰρ παιδοτρίβην ἐώνητο, ἐν τοῖς παλαιστρικοῖς ὑπηρέτῃ ἂν ἐχρῆτο αὐτῷ, ἢ κυρίῳ; εἰ δ' ἰατρόν, ὡσαύτως· εἰ δ' ἀρχιτέκτονα. Καὶ οὕτως ἐφ' ἑκάστης ὕλης τὸν ἔμπειρον τοῦ ἀπείρου κρατεῖν πᾶσα ἀνάγκη. (118) Ὅστις οὖν καθόλου τὴν

Olympiæ sunt, alios athletas spectare: sed celebritas finita est. Exi; discede, ut gratus, ut verecundus; da locum aliis: oportet alios etiam nasci, quemadmodum et tu natus es; et natos oportet habere locum, et habitationes, et victum. Si vero primi non discesserint, quid relinquitur? Cur insatiabilis es? cur satisfieri tibi non potest? quid coarctas mundum? (107) Næ: sed liberos etiam meos mecum esse volo, atque uxorem. Tuane ergo sunt? annon ejus qui dedit? annon ejus qui te quoque fecit? Ergo non missa facies aliena? non cedes meliori? (108) Cur vero iis conditionibus me introduxit? Si tibi hæc non placent, egredere: non opus ei est spectatore querulo: eos requirit qui festum una celebrent, qui una choros agant, qui applaudant potius, qui admirentur, qui divinis laudibus celebrent spectaculum; (109) morosos vero et ignavos non invitus spectaculo digressos videbit: neque enim, dum adessent, ut in festivitate vivebant; nec tuebantur locum convenientem; sed dolebant, incusabant deum, fortunam, sodales; non animadvertentes quid datum iis fuerit, oblitique virium suarum, quas ad contraria acceperunt, magnitudinis animi, generositatis, fortitudinis, illius ipsius, qua de nunc agitur, libertatis. (110) Ad quid igitur ista accepi? Ut iis utereris. Quousque? Dum is, qui utenda dedit, voluerit. Quodsi igitur necessaria sunt mihi? Noli illis esse addictus; et non erunt: tu ea tibi ipse ne dicas esse necessaria, et non erunt.

111. Hæc a diluculo usque ad vesperam erant meditanda, initio sumpto a minimis, ab eis rebus quæ facillime damnum accipere possunt, ab olla, a poculo. Deinde ad tuniculam progredere, ad caniculum, ad equuleum, ad agellum: inde ad te ipsum, ad corpus, ad partes corporis, ad liberos, uxorem, fratres. (112) Ubi oculis omnia collustraris, abjice abs te quæ tua non sunt: repurga decreta, ne quid adhæreseat tibi non tuum, ne quid infixum sit, ne quid cum dolore tuo sit evellendum. (113) Et his rebus quotidie te, ut illic, exercens, dicito, non quidem philosophari te (fuerit arrogans id nomen), sed vindicem et assertorem exhibere. Hæc enim revera est libertas. (114) Hac libertate ab Antisthene Diogenes accepta, se ab ullo in servitutem abripi deinde posse negavit. (115) Itaque, cum captus fuit, quomodo piratas tractavit? num eorum aliquem dominum appellavit? Neque vero de nomine loquor; (nec enim vocem extimesco); sed de animi affectu, unde vox proficiscitur. Immo vero quomodo increpavit eos, quod captivos male alerent? (116) Quomodo venditus est? num quærebat dominum? immo vero servum. Venditus autem, quomodo se gessit erga dominum? Statim cum eo disputavit, non sic vestitum esse oportere, non ita esse rasum; filii quomodo educandi essent. (117) Et quid mirum? nam si pædotribam emisset, numquid in palæstra ministro illo, an domino, uteretur? si medicum, eodem modo; si architectum, eodem. Atque ita in quolibet genere peritum imperito imperare omnino necesse est. (118) Igitur qui in

περὶ βίον ἐπιστήμην κέκτηται, τί ἄλλο ἢ τοῦτον εἶναι δεῖ τὸν δεσπότην; Τίς γάρ ἐστιν ἐν νηὶ κύριος; Ὁ κυβερνήτης. Διὰ τί; Ὅτι ὁ ἀπειθῶν αὐτῷ ζημιοῦται. Ἀλλὰ δῆραι [ἢ δῆσαί] με δύναται. Μή τι οὖν ἀζημίως; (119) Οὕτω μὲν κἀγὼ ἔκρινον. Ἀλλ' ὅτι οὐκ ἀζημίως, διὰ τοῦτο οὐκ ἔξεστιν· οὐδενὶ δ' ἀζήμιόν ἐστι τὸ ποιεῖν τὰ ἄδικα. (120) Καὶ τίς ἡ ζημία τῷ δήσαντι τὸν αὑτοῦ δοῦλον; Ἣν δοκεῖς; τὸ δῆσαι τοῦτο· ὃ καὶ σὺ ὁμολογήσεις, ἂν θέλῃς σώζειν, ὅτι ἄνθρωπος οὐκ ἔστι θηρίον, ἀλλ' ἥμερον ζῷον. (121) Ἐπεὶ, πότε ἄμπελος πράσσει κακῶς; Ὅταν παρὰ τὴν ἑαυτῆς φύσιν πράσσῃ. Πότ' ἀλεκτρυών; Ὡσαύτως. Οὐκοῦν καὶ ἄνθρωπος. (122) Τίς οὖν αὐτοῦ ἡ φύσις; δάκνειν, καὶ λακτίζειν, καὶ εἰς φυλακὴν βάλλειν, καὶ ἀποκεφαλίζειν; Οὔ· ἀλλ' εὖ ποιεῖν, συνεργεῖν, ἐπεύχεσθαι. Τότ' οὖν κακῶς πράσσει, ἄν τε θέλῃς, ἄν τε μὴ, ὅταν ἀγνωμονῇ.

123. Ὥστε Σωκράτης οὐκ ἔπραξε κακῶς; Οὔ, ἀλλ' οἱ δικασταὶ καὶ οἱ κατήγοροι. Οὐδ' ἐν Ῥώμῃ Ἑλουίδιος; Οὔ, ἀλλ' ὁ ἀποκτείνας αὐτόν. (124) Πῶς λέγεις; Ὡς καὶ σὺ ἀλεκτρυόνα οὐ λέγεις κακῶς πρᾶξαι τὸν νικήσαντα καὶ κατακοπέντα, ἀλλὰ τὸν ἀπλῆγα ἡττηθέντα· οὐδὲ κύνα εὐδαιμονίζεις, τὸν μήτε διώκοντα μήτε πονοῦντα, ἀλλ' ὅταν ἱδροῦντα ἴδῃς, ὅταν ὀδυνώμενον, ὅταν ῥηγνύμενον ὑπὸ τοῦ δρόμου. (125) Τί παραδοξολογοῦμεν, εἰ λέγομεν παντὸς κακὸν εἶναι τὸ παρὰ τὴν ἐκείνου φύσιν; τοῦτο παράδοξόν ἐστι; σὺ γὰρ αὐτὸ ἐπὶ πάντων τῶν ἄλλων οὐ λέγεις; διὰ τί οὖν ἐπὶ μόνου τοῦ ἀνθρώπου ἄλλως φέρῃ; (126) Ἀλλ', ὅτι λέγομεν ἥμερον εἶναι τοῦ ἀνθρώπου τὴν φύσιν καὶ φιλάλληλον καὶ πιστὴν, τοῦτο παράδοξον * οὐκ * ἔστιν; Οὐδὲ τοῦτο. (127) Πῶς οὖν, ὅτι οὐ δαιρόμενος βλάπτεται, ἢ δεσμευόμενος, ἢ ἀποκεφαλιζόμενος; οὐχὶ οὗτος, εἰ μὲν γενναίως πάσχει, καὶ προσκερδαίνων καὶ προσωφελούμενος ἀπέρχεται; ἐκεῖνος δὲ βλαπτόμενός ἐστιν, ὁ τὰ οἰκτρότατα πάσχων καὶ αἴσχιστα, ὁ ἀντὶ ἀνθρώπου λύκος γινόμενος, ἢ ἔχις, ἢ σφήξ;

128. Ἄγε οὖν, ἐπέλθωμεν τὰ ὡμολογημένα. Ὁ ἀκώλυτος ἄνθρωπος, ἐλεύθερος· ᾧ πρόχειρα τὰ πράγματα ὡς βούλεται. Ὃν δ' ἔστιν ἢ κωλῦσαι, ἢ ἀναγκάσαι, ἢ ἐμποδίσαι, ἢ ἄκοντα εἴς τι ἐμβαλεῖν, δοῦλος ἐστί. (129) Τίς δ' ἀκώλυτος; Ὁ μηδενὸς τῶν ἀλλοτρίων ἐφιέμενος. Τίνα δ' ἀλλότρια; Ἃ οὐκ ἔστιν ἐφ' ἡμῖν, οὔτ' ἔχειν, οὔτε μὴ ἔχειν, οὔτε ποιὰ ἔχειν, ἢ πως ἔχοντα. (130) Οὐκοῦν τὸ σῶμα ἀλλότριον, τὰ μέρη αὐτοῦ ἀλλότρια, ἡ κτῆσις ἀλλοτρία. Ἂν οὖν τινι τούτων ὡς ἰδίῳ προσπαθῇς, δώσεις δίκας ἃς ἄξιον τὸν τῶν ἀλλοτρίων ἐφιέμενον. (131) Αὕτη ἡ ὁδὸς ἐπ' ἐλευθερίαν ἄγει, αὕτη μόνη ἀπαλλαγὴ δουλείας, τὸ δυνηθῆναί ποτ' εἰπεῖν ἐξ ὅλης ψυχῆς, τὸ,

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη,
ὅποι ποθ' ὑμῖν εἰμὶ διατεταγμένος.

132. Ἀλλὰ τί λέγεις, φιλόσοφε; καλεῖ σε ὁ τύραννος, ἐροῦντά τι ὧν οὐ πρέπει σοι. Λέγεις, ἢ οὐ λέγεις;

universum vitæ degendæ scientia instructus est, eum quid aliud esse oportet, nisi dominum? Quis enim in navi dominatur? Gubernator. Cur? Quoniam, qui ei non obtemperat, damnum patitur. At flagris me cædere [aut vincire] dominus potest. Num absque damno? (119) Sic quidem et ipse judicabam. Sed quia non absque damno, propterea non licet : nam sine damno injuste facere nemo potest. (120) Quod vero damnum patitur qui servum suum in vincula conjicit? Quodnam existimas? nempe ipsum illud, in vincula conjicere : quod et tu fateberis, si vis hoc tueri, hominem non esse feram bestiam, sed cicur animal. (121) Nam quando male cum vite agitur? Cum aliter agitur atque ejus natura postulat. Quando cum gallo gallinaceo? Eodem modo. Ergo etiam cum homine. (122) Quæ igitur est hominis natura? mordere, et calcitrare, et in carcerem conjicere, et decollare? Non; sed bene facere, adjutare, favere votis. Tum igitur infelix est homo, velis nolis, cum perperam agit.

123. Ergo non miser fuit Socrates? Non, sed judices ejus et accusatores. Neque Romæ Helvidius? Non, sed interfector illius. (124) Quo pacto istud dicis? Quo et tu gallum gallinaceum non dicis miserum esse eum, qui vicit et vulneratus est, sed hunc qui sine vulnere victus : neque canem beatum prædicas, qui nec persequitur neque laborat; sed cum sudantem videris, cum dolentem, cum se rumpentem cursu. (125) Num, præter opinionem aliquid proferimus, si cujusque malum id esse dicimus, quod naturæ illius repugnet? hoccine aliquid est præter opinionem? nonne et tu de omnibus aliis idem illud usurpas? cur vero in solo homine aliter sentis? (126) At, cum mansuetam esse dicimus hominis naturam, et sociabilem, et fidelem; an id præter opinionem non est? [idne igitur præter opinionem est?] Ne hoc quidem. (127) Quomodo ergo præter opinionem est, eum qui vapulat, aut in vincula conjicitur, aut capite plectitur, non lædi? nonne ille, si generoso animo fert, sic discedit, ut etiam lucrum faciat et fructum capiat? ille vero læditur, qui miserrima patitur ac turpissima, qui ex homine lupus fit, aut vipera, aut crabro?

128. Age ergo, percurramus ea quæ in confesso sunt. Homo qui prohiberi non potest, liber est; cui res in promptu sunt, sicut vult. Qui autem vel prohiberi, vel cogi, vel impediri potest, vel invitus in aliquid conjici, servus est. (129) Quis vero prohiberi non potest? Qui nihil alienum desiderat. Quæ vero sunt aliena? Quæ penes nos non est vel habere, vel non habere, vel talia habere, aut tali quodam modo affecta. (130) Igitur corpus, alienum; item partes ejus alienæ sunt; possessio, aliena : quorum si quid tamquam proprium te delectarit, pœnas dabis, ut eum decet qui res alienas concupiscit. (131) Hæc ad libertatem via ducit; hæc sola manumissio est et liberatio servitutis, ut tandem toto animo dicere illud queas,

Duc tu me, Juppiter, tuque, o Necessitas,
quemcunque mihi vos destinavistis locum.

132. Sed quid ais, philosophe? Vocat te tyrannus, ut et dicas aliquid te indignum. Dicturus es, an non dicturus?

εἰπέ μοι. Ἄφες σκέψωμαι. Νῦν σκέψῃ; ὅτε δ' ἐν τῇ σχολῇ ἧς, τί ἐσκέπτου; οὐχ ἐμελέτας τίνα ἐστὶ τὰ ἀγαθὰ καὶ τὰ κακά, καὶ τίνα οὐδέτερα; Ἐσκεπτόμην. (133) Τίνα οὖν ἤρεσκεν ἡμῖν; Τὰ δίκαια καὶ καλά, ἀγαθὰ εἶναι· τὰ ἄδικα καὶ αἰσχρά, κακά. Μή τι τὸ ζῆν ἀγαθόν; Οὔ. Μή τι τὸ ἀποθανεῖν κακόν; Οὔ. Μὴ τι φυλακή; Οὔ. Λόγος δ' ἀγεννὴς καὶ ἄπιστος, καὶ φίλου προδοσία, καὶ κολακεία τυράννου, τί ἡμῖν ἐφαίνετο; Κακά. (134) Τί οὖν; οὐχὶ σκέπτῃ, οὐδ' ἔσκεψαι καὶ βεβούλευσαι. Ποία γὰρ σκέψις, εἰ καθήκει μοι, δυναμένῳ τὰ μέγιστα ἀγαθὰ ἐμαυτῷ περιποιῆσαι, μέγιστα κακὰ μὴ περιποιῆσαι; Καλὴ σκέψις καὶ ἀναγκαία, πολλῆς βουλῆς δεομένη. (135) Τί ἡμῖν ἐμπαίζεις; ἄνθρωπε· οὐδέποτε τοιαύτη σκέψις γίνεται· οὐδ', εἰ ταῖς ἀληθείαις κακὰ μὲν ἐφαντάζου τὰ αἰσχρά, ἀγαθὰ δὲ τὰ καλά, τὰ δ' ἄλλα οὐδέτερα, ἦλθες ἂν ἐπὶ ταύτην τὴν ἐπίστασιν οὐδ' ἐγγύς· ἀλλ' αὐτόθεν διακρίνειν εἶχες, ὥσπερ ὄψει, τῇ διανοίᾳ. (136) Πότε γὰρ σκέπτῃ εἰ τὰ μέλανα λευκά ἐστιν; εἰ τὰ βαρέα κοῦφα; οὐχὶ δὲ τοῖς ἐναργῶς φαινομένοις παρακολουθεῖς; Πῶς οὖν νῦν σκέπτεσθαι λέγεις, εἰ τὰ οὐδέτερα τῶν κακῶν φευκτότερα; (137) Ἀλλ' οὐκ ἔχεις τὰ δόγματα ταῦτα· ἀλλὰ φαίνεταί σοι οὔτε ταῦτα οὐδέτερα, ἀλλὰ τὰ μέγιστα κακά· οὔτ' ἐκεῖνα κακά, ἀλλ' οὐδὲν πρὸς ἡμᾶς. (138) Οὕτω γὰρ ἐξ ἀρχῆς εἴθισας σεαυτόν. Ποῦ εἰμι; Ἐν σχολῇ. Καὶ ἀκούουσί μου τίνες; Λέγω μετὰ τῶν φιλοσόφων. Ἀλλ' ἐξελήλυθα τῆς σχολῆς. Ἆρον ἐκεῖνα τὰ τῶν σχολαστικῶν καὶ τῶν μωρῶν. (139) Οὕτω καταμαρτυρεῖται φίλος ὑπὸ φιλοσόφου· οὕτω παρασιτεῖ φιλόσοφος· οὕτως ἐπ' ἀργυρίῳ ἐκμισθοῖ ἑαυτόν· οὕτως ἐν συγκλήτῳ τις οὐ λέγει τὰ φαινόμενα· ἔνδοθεν τὰ δόγματα αὐτοῦ βοᾷ. (140) Σὺ ψυχρὸν καὶ ταλαίπωρον ὑποληψείδιον, ἐκ λόγων εἰκαίων ὡς ἐκ τριχὸς ἠρτημένον. Ἀλλὰ ἰσχυρὸν καὶ χρηστικὸν καὶ * * ὑπὸ τοῦ διὰ τῶν ἔργων γεγυμνάσθαι μεμυημένον. (141) Παραφύλαξον σαυτόν, πῶς ἀκούεις, οὐ λέγω, ὅτι τὸ παιδίον σου ἀπέθανε· πόθεν σοι; ἀλλ', ὅτι σου τὸ ἔλαιον ἐξεχύθη, ὁ οἶνος ἐξεπόθη. (142) Ἵνα τις ἐπιστὰς διατεινομένῳ σοι, τοῦτ' αὐτὸ μόνον εἴπῃ, Φιλόσοφε, ἄλλα λέγεις ἐν τῇ σχολῇ· τί ἡμᾶς ἐξαπατᾷς; τί, σκώληξ ὤν, λέγεις ὅτι ἄνθρωπος εἶ; (143) Ἤθελον ἐπιστῆναί τινι αὐτῶν συνουσιάζοντι, ἵνα ἴδω πῶς τείνεται, καὶ ποίας φωνὰς ἀφίησιν, εἰ μέμνηται τοῦ ὀνόματος αὐτοῦ, τῶν λόγων οὓς ἀκούει ἢ λέγει ἢ ἀναγινώσκει.

144. Καὶ τί ταῦτα πρὸς ἐλευθερίαν; Οὐκ ἄλλα μὲν οὖν ἢ ταῦτα, ἄν τε θέλητε ὑμεῖς οἱ πλούσιοι, ἄν τε μή. (145) Καὶ τίς σοι μαρτυρεῖ ταῦτα; Τίς γὰρ ἄλλος ἢ αὐτοὶ ὑμεῖς; οἱ τὸν κύριον τὸν μέγαν ἔχοντες, καὶ πρὸς τὸ ἐκείνου νεῦμα καὶ κίνημα ζῶντες, κἂν τινα ὑμῶν ἴδῃ μόνον συνεστραμμένῳ βλέμματι, ἀποψυχόμενοι, οἱ τὰς γραίας θεραπεύοντες καὶ τοὺς γέροντας, καὶ λέγοντες, ὅτι Οὐ δύναμαι τοῦτο ποιῆσαι· οὐκ ἔξεστί μοι. (146) Διὰ τί οὐκ ἔξεστί σοι; οὐκ ἄρτι ἐμάχου μοι, λέγων ἐλεύθερος εἶναι; Ἀλλὰ Ἀπρυλλά με κεκώλυκε. Λέγε οὖν τὰς ἀληθείας, δοῦλε, καὶ

responde mihi. Sine deliberem. Nunc deliberabis? cum vero in schola esses, quid deliberabas? non meditabaris quæ bona essent, quæ mala, quæ neutra? Meditatus sum. (133) Quid igitur placebat nobis? Justum et honestum esse bonum; injustum et turpe esse malum. Num vita bonum est? Non. Num emori, malum? Non. Num carcer? Non. Sed oratio degener et perfida, et amici proditio, et assentatio tyranni, quid nobis videbantur? Mala. (134) Quid ergo? Nequaquam deliberas; neque deliberasti et considerasti. Qualis enim est deliberatio, an mihi conveniat, cum in mea potestate sit maxima bona mihi acquirere, et mala maxima propulsare? Pulcra vero consideratio et necessaria, quæ multum consilii postulet! (135) Quid nobis illudis? homo; numquam talis consideratio incidit: nec, si revera, quæ turpia sunt, mala statueres; quæ honesta, bona; cetera vero, neutrius generis; ad hanc deliberationem descendisses: sed ea longe rejecta, rem statim, tanquam acie oculorum, sic mente dijudicasses. (136) Quando enim deliberas utrum nigra candida sint? utrum gravia levia? annon, quæ evidenter in sensus cadunt, intelligis? Quomodo igitur nunc te considerare ais, utrum neutra magis fugienda sint quam mala? (137) At tu non habes ista decreta: sed neque hæc tibi neutra videntur, verum maxima mala; neque illa tibi mala, sed nihil ad nos pertinere videntur. (138) Sic enim ab initio te ipsum assuefecisti. Ubi sum? In schola. Et qui sunt qui me audiunt? Dissero inter philosophos. Atqui schola egressus sum. Tollito ista scholasticorum et stultorum. (139) Sic a philosopho amicus falso testimonio opprimitur: sic parasitum agit philosophus: sic mercede sese vendit: sic in senatu aliquis non dicit quæ sentit, intus [*in schola?*] dogmata sua clamat. (140) Tu frigida et misella opiniuncula es, e vanis disputationibus, tanquam de pilo, suspensa! Quin valida potius et ad vitæ usum accommodata * * * *Tu sis oportet* vera et in ipsis rebus instituta exercitatione sacris philosophiæ initiatus. (141) Observa te quomodo audias (non dico, filium tuum esse mortuum; unde enim id tibi *dici et ferri abs te possit?* sed) oleum tuum effusum esse, vinum epotum esse. (142) Utinam tibi interveniens aliquis acrem clamorem tollenti nihil aliud nisi hoc dicat: Philosophe, aliter tu in schola disseris; cur nos fallis? cur, vermis cum sis, hominem te esse dicis? (143) Intervenire velim eorum alicui, genio atque amoribus indulgenti, ut viderem quomodo contenderet, quasve voces ederet; an meminisset sui nominis, an sermonum, quos audit aut dicit ipse aut legit.

144. Et quid ista ad libertatem? Non certe alia nisi hæc, sive velitis vos divites, sive nolitis. (145) Et quis ista suo testimonio comprobat? Quis vero alius nisi vos ipsi, qui magnum illum dominum habetis, et ad illius nutum et votum vivitis? qui si modo vestrûm aliquem tetrico vultu aspexerit, exanimati estis, vos, qui aniculas colitis et senes; qui dicitis, Non possum hoc facere; non mihi licet. (146) Quamobrem non licet tibi? nonne modo mecum contendens, liberum te esse dicebas? At Aprulla me prohibuit. Dic igitur verum, serve, neu aufuge a dominis tuis; ne infitiare

μὴ δραπέτευέ σου τοὺς κυρίους, μηδ' ἀπαρνοῦ, μηδὲ τόλμα καρπιστὴν διδόναι, τοσούτους ἔχων τῆς δουλείας ἐλέγχους. (147) Καίτοι τὸ μὲν ὑπ' ἔρωτος ἀναγκαζόμενόν τι ποιεῖν παρὰ τὸ φαινόμενον, καὶ ἅμα μὲν ὁρῶντα τὸ ἄμεινον, ἅμα δ' οὐκ ἐξευτονοῦντα ἀκολουθῆσαι αὐτῷ, ἔτι μᾶλλον ἄν τις συγγνώμης ἄξιον ὑπολάβοι, ἅθ' ὑπό τινος βιαίου καὶ τρόπον τινὰ θείου κατεσχημένον. (148) Σοῦ δὲ τίς ἀνάσχοιτο, τῶν γραῶν ἐρῶντος καὶ τῶν γερόντων, καὶ ἐκείνας ἀπομύσσοντος καὶ ἀποπλύνοντος καὶ δωροδοκοῦντος, καὶ ἅμα μὲν νοσούσας θεραπεύοντος ὡς δούλου, ἅμα δ' ἀποθανεῖν εὐχομένου, καὶ τοὺς ἰατροὺς διακρίνοντος, εἰ ἤδη θανασίμως ἔχουσιν; ἢ πάλιν, ὅταν ὑπὲρ τῶν μεγάλων τούτων καὶ σεμνῶν ἀρχῶν καὶ τιμῶν τὰς χεῖρας τῶν ἀλλοτρίων δούλων καταφιλῇς, ἵνα μηδ' ἐλευθέρων δοῦλος ᾖς; (149) Εἶτά μοι σεμνὸς περιπατεῖς, στρατηγῶν, ὑπατεύων. Οὐκ οἶδα πῶς ἐστρατήγησας, πόθεν τὴν ὑπατείαν ἔλαβες, τίς σοι αὐτὴν ἔδωκεν; (150) Ἐγὼ μὲν οὐδὲ ζῆν ἤθελον, εἰ διὰ Φηλικίωνα ἔδει ζῆσαι, τῆς ὀφρύος αὐτοῦ καὶ τοῦ δουλικοῦ φρυάγματος ἀνασχόμενον. Οἶδα γὰρ τί ἐστι δοῦλος εὐτυχῶν, ὡς δοκεῖ, καὶ τετυφωμένος.

151. Σὺ οὖν, φησίν, ἐλεύθερος εἶ; Θέλω, νὴ τοὺς θεούς, καὶ εὔχομαι· ἀλλ' οὔπω δύναμαι ἀντιβλέψαι τοῖς κυρίοις, ἔτι τιμῶ τὸ σωμάτιον, ὁλόκληρον αὐτὸ ἔχειν ἀντὶ πολλοῦ ποιοῦμαι, καίτοι μηδ' ὁλόκληρον ἔχων. (152) Ἀλλὰ δύναμαί σοι δεῖξαι ἐλεύθερον, ἵνα μηκέτι ζητῇς τὸ παράδειγμα. Διογένης ἦν ἐλεύθερος. Πόθεν τοῦτο; Οὐχ ὅτι ἐξ ἐλευθέρων ἦν, * οὐ γὰρ ἦν *, ἀλλ' ὅτι αὐτὸς ἦν· ὅτι ἀποβεβλήκει πάσας τὰς τῆς δουλείας λαβάς, οὐδ' ἦν ὅπως τις προσέλθῃ πρὸς αὐτόν, οὐδ' ὅθεν λάβηται πρὸς τὸ καταδουλώσασθαι. (153) Πάντα εὔλυτα εἶχε, πάντα μόνον προσηρτημένα. Εἰ τῆς κτήσεως ἐπελάβου, αὐτὴν ἀφῆκεν ἄν σοι μᾶλλον ἢ ἠκολούθησε δι' αὐτήν· εἰ τοῦ σκέλους, τὸ σκέλος· εἰ ὅλου τοῦ σωματίου, ὅλον τὸ σωμάτιον· οἰκείους, φίλους, πατρίδα, ὡσαύτως. Ἤδει γὰρ πόθεν ἔχει, καὶ παρὰ τίνος, καὶ ἐπὶ τίσι λαβών. (154) Τοὺς μέν γ' ἀληθινοὺς προγόνους, τοὺς θεούς, καὶ τὴν τῷ ὄντι πατρίδα, οὐδέποτε ἂν ἐγκατέλιπεν, οὐδὲ παρεχώρησεν ἄλλῳ μᾶλλον πείθεσθαι αὐτοῖς καὶ ὑπακούειν, οὐδ' ὑπεραπέθανεν ἂν εὐκολώτερον τῆς πατρίδος ἄλλος. (155) Οὐ γὰρ ἐζήτει ποτὲ δόξαι τι ποιεῖν ὑπὲρ τῶν ἄλλων, ἀλλ' ἐμέμνητο ὅτι πᾶν τὸ γινόμενον ἐκεῖθέν ἐστι, καὶ ὑπὲρ ἐκείνης πράττεται, καὶ ὑπὸ τοῦ διοικοῦντος αὐτὴν παρεγγυᾶται. (156) Τοιγαροῦν ὅρα τί λέγει αὐτὸς καὶ γράφει· Διὰ τοῦτό σοι, φησίν, ἔξεστιν, ὦ Διόγενες, καὶ τῷ Περσῶν βασιλεῖ καὶ Ἀρχιδάμῳ τῷ Λακεδαιμονίων ὡς βούλει διαλέγεσθαι. (157) Ἆρά γ', ὅτι ἐξ ἐλευθέρων ἦν; Πάντες γὰρ Ἀθηναῖοι, καὶ πάντες Λακεδαιμόνιοι, καὶ Κορίνθιοι, διὰ τὸ ἐκ δούλων εἶναι, οὐκ ἠδύναντο αὐτοῖς ὡς ἠβούλοντο διαλέγεσθαι, ἀλλ' ἐδεδοίκεσαν καὶ ἐθεράπευον. (158) Διὰ τί οὖν, φησίν, ἔξεστιν; Ὅτι τὸ σωμάτιον, ἐμὸν οὐχ ἡγοῦμαι· ὅτι

ne aude assertorem exhibere, cum tot argumenta tuæ servitutis in promptu sint. (147) Enimvero qui præ amore aliquid contra animi sui sententiam facere cogitur, simulque quid melius sit perspicit, simul vero non tantum habet virium ut id possit persequi, eum aliquis venia digniorem judicaverit; quippe a violenta quadam re et propemodum divina detentum. (148) Te autem quis ferat, aniculas et senes deamantem, illasque extergentem, et abluentem, et muneribus conciliantem, simulque eas ægrotantes servilem in modum curantem, simul mortem earum exoptantem, et percontantem medicos, sitne jam morbus letalis? aut etiam, cum propter magnos istos præclarosque magistratus et honores manus alienorum servorum deoscularis, ut ne ingenuorum quidem sis mancipium? (149) Postea magnifice mihi incedis, prætor, consul. An nescio, quomodo præturam habueris, unde consulatum acceperis, quis eum tibi dederit? (150) Equidem ne vivere quidem vellem, si per Felicionem vivendum mihi esset, supercilium illius et servilem insolentiam toleranti. Novi enim quid sit servus, qui fortunatus est, ut vulgo videtur, et fastu tumidus.

151. Tu igitur, ait aliquis, liber es? Ita me dii ament, esse volo atque opto : sed nondum dominos intrepide intueri possum; adhuc corpusculum meum colo; magni mea referre puto, ut id integrum conservem, quamvis non integrum habeam. (152) Sed possum tibi ostendere liberum, ne diutius exemplum requiras. Diogenes fuit liber. Qui sic? Non quod ex ingenuis esset ortus [neque enim erat]; sed quod ipse esset ingenuus: quod omnes servitutis ansas abjecisset, ita ut a nulla parte eum aggredi quisquam aut prehendere posset et in servitutem trahere. (153) Omnia solutissima habuit, omnia leviter tantummodo appensa. Si opes ejus prehendisses, eas potius tibi reliquisset, quam propter illas te secutus esset; si pedem, pedem; si totum corpusculum, totum corpusculum; necessarios, amicos, patriam, eodem modo. Norat enim unde illa haberet, et a quo, et quibus conditionibus accepisset. (154) Sed veros quidem progenitores, deos, et germanam patriam, numquam sane deseruisset; neque ulli alii obedientia et observantia illorum cessisset; neque facilius quisquam alius mortem pro patria oppetiisset. (155) Neque enim occasionem quærebat, qua videretur pro aliis facere aliquid, sed meminerat, quidquid fieret, inde proficisci, atque pro illa patria geri, et a gubernatore ejus mandari. (156) Proinde vide quid ipse dicat et scribat : « Propter hoc », inquit, « licet tibi, Diogenes, et cum Persarum rege et cum Archidamo colloqui prouti libet. » (157) Num quia ex ingenuis ortus erat? Nempe omnes Athenienses, omnes Lacedæmonii et Corinthii e servis erant prognati, quia non poterant suo arbitratu cum illis colloqui, sed illos timebant et colebant? (158) Cur igitur ait sibi licere? Quod corpusculum hoc, *inquit*, non meum esse duco; quod nulla

οὐδενὸς δέομαι· ὅτι ὁ νόμος μοι πάντα ἐστὶ, καὶ ἄλλο οὐδέν. Ταῦτα ἦν τὰ ἐλεύθερον ἐκεῖνον ἐάσαντα.

159. Καὶ ἵνα μὴ δόξῃς ὅτι παράδειγμα δείκνυμι ἀνδρὸς ἀπεριστάτου, μήτε γυναῖκα ἔχοντος, μήτε τέκνα, μήτε πατρίδα, ἢ φίλους, ἢ συγγενεῖς, ὑφ' ὧν κάμπτεσθαι καὶ περισπᾶσθαι ἠδύνατο· λάβε Σωκράτην, καὶ θέασαι γυναῖκα καὶ παιδία ἔχοντα, ἀλλ' ὡς ἀλλότρια· πατρίδα, ἐφ' ὅσον ἔδει, καὶ ὡς ἔδει· φίλους, συγγενεῖς, πάντα ταῦτα ὑποτεταχότα τῷ νόμῳ καὶ τῇ πρὸς ἐκεῖνον εὐπειθείᾳ. (160) Διὰ τοῦτο στρατεύεσθαι μὲν ὁπότ' ἔδει, πρῶτος ἀπῄει, κἀκεῖ ἐκινδύνευεν ἀφειδέστατα· ἐπὶ Λέοντα δ' ὑπὸ τῶν τυράννων πεμφθεὶς, ὅτι αἰσχρὸν ἡγεῖτο, οὐδ' ἐπεβουλεύσατο· εἰδὼς ὅτι ἀποθανεῖν δεήσει, ἂν οὕτω τύχῃ. (161) Καὶ τί αὐτῷ διέφερεν; ἄλλο γάρ τι σώζειν ἤθελεν· οὐ τὸ σαρκίδιον, ἀλλὰ τὸν πιστὸν, τὸν αἰδήμονα. Ταῦτα ἀπαρεγχείρητα, ἀνυπότακτα. (162) Εἶθ', ὅτ' ἀπολογεῖσθαι ἔδει ὑπὲρ τοῦ ζῆν, μή τι ὡς τέκνα ἔχων ἀναστρέφεται; μή τι ὡς γυναῖκα; ἀλλ' ὡς μόνος. (163) Τί δ', ὅτε πιεῖν ἔδει τὸ φάρμακον, πῶς ἀναστρέφεται; δυνάμενος διασωθῆναι, καὶ τοῦ Κρίτωνος αὐτῷ λέγοντος, ὅτι Ἔξελθε διὰ τὰ παιδία· τί λέγει; ἕρμαιον ἡγεῖτο αὐτό; πόθεν; ἀλλὰ τὸ εὔσχημον σκοπεῖ, τἆλλα δ' οὐχ ὁρᾷ οὐδ' ἐπιλογίζεται. Οὐ γὰρ ἤθελε, φησὶ, σῶσαι τὸ σωμάτιον· ἀλλ' ἐκεῖνο, ὃ τῷ δικαίῳ μὲν αὔξεται καὶ σώζεται, τῷ δ' ἀδίκῳ μειοῦται καὶ ἀπόλλυται. (164) Σωκράτης δ' αἰσχρῶς οὐ σώζεται· ὁ μὴ ἐπιψηφίσας, Ἀθηναίων κελευόντων, ὁ τοὺς τυράννους ὑπεριδὼν, ὁ τοιαῦτα περὶ ἀρετῆς καὶ καλοκἀγαθίας διαλεγόμενος. (165) Τοῦτον οὐκ ἔστι σῶσαι αἰσχρῶς· ἀλλ' ἀποθνήσκων σώζεται, οὐ φεύγων. Καὶ γὰρ ὁ ἀγαθὸς ὑποκριτὴς, παυόμενος ὅτε δεῖ, σώζεται μᾶλλον, ἢ ὑποκρινόμενος παρὰ καιρόν. (166) Τί οὖν ποιήσει τὰ παιδία; « Εἰ μὲν εἰς Θετταλίαν ἀπῄειν, « ἐπεμελήθητε [ἂν] αὐτῶν· εἰς ᾅδου δέ μου ἀποδημή- « σαντος, οὐδεὶς ἔσται ὁ ἐπιμελησόμενος; » Ὅρα πῶς ὑποκορίζεται καὶ σκώπτει τὸν θάνατον. (167) Εἰ δ' ἐγὼ καὶ σὺ ἦμεν, εὐθὺς ἂν κατεφιλοσοφήσαμεν, ὅτι τοὺς ἀδικοῦντας δεῖ τοῖς ἴσοις ἀμύνεσθαι· καὶ προσθέντες, ὅτι Ὄφελος ἔσομαι πολλοῖς ἀνθρώποις σωθεὶς, ἀποθανὼν δ' οὐδενί. Εἰ γὰρ ἔδει διὰ τρώγλης ἐκδύντας, ἐξήλθομεν ἄν. (168) Καὶ πῶς ἂν ὠφελήσαμέν τινα; ποῦ γὰρ ἂν ἔτι ἔμενον ἐκεῖνοι; ἢ εἰ ὄντες ἦμεν ὠφέλιμοι, οὐχὶ πολὺ μᾶλλον ἀποθανόντες ἂν ὅτε ἔδει καὶ ὡς ἔδει, ὠφελήσαμεν ἀνθρώπους; (169) Καὶ νῦν, Σωκράτους ἀποθανόντος, οὐδὲν ἧττον, ἢ καὶ πλεῖον, ὠφέλιμός ἐστιν ἀνθρώποις ἡ μνήμη ὧν ἔτι ζῶν ἔπραξεν ἢ εἶπε.

170. Ταῦτα μελέτα, ταῦτα τὰ δόγματα, τούτους τοὺς λόγους· εἰς ταῦτα ἀφόρα τὰ παραδείγματα, εἰ θέλεις ἐλεύθερος εἶναι, εἰ ἐπιθυμεῖς κατ' ἀξίαν τοῦ πράγματος. (171) Καὶ τί θαυμαστὸν, εἰ τηλικοῦτον πρᾶγμα τοσούτων καὶ τηλικούτων ὠνῇ; Ὑπὲρ τῆς νομιζομένης ἐλευθερίας ταύτης οἱ μὲν ἀπάγχονται, οἱ δὲ κατακρημνίζουσιν ἑαυτούς· ἔστι δ' ὅτε καὶ πόλεις ὅλαι ἀπώλοντο· (172) ὑπὲρ τῆς ἀληθινῆς καὶ ἀνεπιβουλεύτου καὶ ἀσφα-

re egeo; quod lex mihi loco omnium est, et nihil præterea specto. Hæc fuere quæ liberum eum conservarunt.

159. Ne autem putes me exemplum proferre nonnisi solitarii hominis, nec uxorem habentis, nec liberos, nec patriam, nec amicos aut cognatos, a quibus flecti et in diversa trahi posset; ecce tibi Socratem : hunc specta, uxorem et liberos habentem, verum ut aliena; patriam, quatenus oportebat, et quemadmodum oportebat; amicos, cognatos, omnia hæc legi subjicientem illiusque obedientiæ. (160) Quapropter ubi militandum erat, primus exibat, fortissimeque dimicabat : sed cum adversus Leontem missus a tyrannis esset, quia turpe illud ducebat, ne deliberavit quidem; quamvis nosset moriendum sibi esse, si res ita tulisset. (161) Quid vero id ejus intererat? nam aliud conservare volebat; non corpusculum, sed fidem, sed verecundiam; hæc nemini obnoxia, nemini subjecta sunt. (162) Postea, cum caussa capitis dicenda esset, numquid ita se gerit, ut is qui liberos habeat, ut is qui uxorem? non, sed ut qui solitarius esset. (163) Quid vero, cum venenum bibendum esset, quomodo se gerit? cum servari posset, et Crito ei diceret, exire eum debere propter liberos; quid ait? idne pro inopinato lucro ducebat? minime vero : sed, quod decet, quod honestum est, id considerat; cetera non videt, neque ullam eorum rationem habet. Neque enim volebat, inquit, conservare corpusculum; sed illud, quod per justitiam crescit et conservatur, per injuriam vero minuitur et perit. (164) Socrates autem turpiter salvus esse recusat; qui, quamvis juberent Athenienses, in suffragia eos mittere noluit; qui tyrannos contempsit, qui talia de virtute et probitate disseruit : (165) hic turpiter servari non potest; sed moriens servatur, non fugiens. Nam et bonus actor scenicus, cum desinit quando oportet, magis conservatur, quam cum ultra tempus artem suam exercere pergit. (166) Quid ergo agent liberi tui? « Si in Thessaliam abiissem, vos curassetis illos : cum vero ad inferos fuero profectus, nemo erit qui illos curet? » Vide quomodo verbis extenuet derideatque mortem. (167) Si autem ego et tu illius loco fuissemus, statim disputassemus, injurios eodem modo ulciscendos esse; illo etiam adjecto, Si incolumis evasero, multos juvabo, mortuus vero neminem : nam, si necesse fuisset, per foramen etiam erepsissemus. (168) Quo pacto autem juvissemus aliquem? nam ubi tandem mansissent illi? Quodsi superstites fuissemus utiles, nonne multo magis tum mortui cum oportebat et quemadmodum oportebat, hominibus profuissemus? (169) Et nunc, Socrate mortuo, nihilo minus, aut magis etiam, utilis est hominibus memoria eorum quæ vivens fecit aut dixit.

170. Hæc meditare, hæc decreta, hos sermones; in hæc intuere exempla, si liber esse vis; si rem eam sic desideras, ut ejus dignitas postulat. (171) Et quid mirum, te rem tantam tot et tantis sumptibus mercari? Pro ista, quæ vulgo libertas habetur, alii se suspendunt, alii præcipites dant; est etiam cum totæ urbes perierunt : (172) tu ob veram,

λοῦς ἐλευθερίας, ἀπαιτοῦντι τῷ θεῷ ἃ δέδωκεν οὐκ ἀποδώσεις; οὐχ, ὡς Πλάτων λέγει, μελετήσεις, οὐχὶ ἀποθνήσκειν μόνον, ἀλλὰ καὶ στρεβλοῦσθαι, καὶ φεύγειν, καὶ δαίρεσθαι, καὶ πάνθ' ἁπλῶς ἀποδιδόναι τἀλλότρια; (173) Ἔσῃ τοίνυν δοῦλος ἐν δούλοις, κἂν μυριάκις ὑπατεύσῃς· κἂν εἰς τὸ παλάτιον ἀναβῇς, οὐδὲν ἧττον· καὶ αἰσθήσῃ ὅτι παράδοξα μὲν ἴσως φασὶν οἱ φιλόσοφοι, καθάπερ καὶ ὁ Κλεάνθης ἔλεγεν, οὐ μὴν παράλογα. (174) Ἔργῳ γὰρ εἴσῃ ὅτι ἀληθῆ ἐστι, καὶ τούτων τῶν θαυμαζομένων καὶ σπουδαζομένων ὄφελος οὐδέν ἐστι τοῖς τυχοῦσι· τοῖς δὲ μηδέπω τετευχόσι φαντασία γίνεται, ὅτι παραγενομένων αὐτῶν, ἅπαντα παρέσται αὐτοῖς τὰ ἀγαθά· εἶθ', ὅταν παραγένηται, τὸ καῦμα ἴσον, ὁ ῥιπτασμὸς ὁ αὐτός, ἡ ἄση, ἡ τῶν οὐ παρόντων ἐπιθυμία. (175) Οὐ γὰρ ἐκπληρώσει τῶν ἐπιθυμουμένων ἐλευθερία παρασκευάζεται, ἀλλὰ ἀνασκευῇ τῆς ἐπιθυμίας. (176) Καί, ἵν' εἰδῇς ὅτι ἀληθῆ ταῦτά ἐστιν, ὡς ἐκείνων ἕνεκα πεπόνηκας, οὕτω καὶ ἐπὶ ταῦτα μετάθες τὸν πόνον· ἀγρύπνησον ἕνεκα τοῦ δόγμα περιποιήσασθαι ἐλευθεροποιόν· (177) θεράπευσον, ἀντὶ γέροντος πλουσίου, φιλόσοφον· περὶ θύρας ὄφθητι τὰς τούτου· οὐκ ἀσχημονήσεις ὀφθείς· οὐκ ἀπελεύσῃ κενὸς οὐδ' ἀκερδής, ἂν ὡς δεῖ προσέλθῃς. Εἰ δὲ μή, πείρασόν γε· οὐκ ἔστιν αἰσχρὰ ἡ πεῖρα.

ΚΕΦ. Β'.

Περὶ συμπεριφορᾶς.

1. Τούτῳ τῷ τόπῳ πρὸ πάντων σε δεῖ προσέχειν, μή ποτε ἄρα τῶν πρότερον συνήθων ἢ φίλων ἀνακραθῇς τινι οὕτως, ὥστ' εἰς τὰ αὐτὰ συγκαταβῆναι αὐτῷ· εἰ δὲ μή, ἀπολεῖς σεαυτόν. (2) Ἂν δέ σ' ὑποτρέχῃ, ὅτι ἀδέξιος αὐτῷ φανοῦμαι καὶ οὐχ ὁμοίως ἕξει ὡς πρότερον· μέμνησο ὅτι προῖκα οὐδὲν γίνεται· οὐδ' ἔστι δυνατόν, μὴ τὰ αὐτὰ ποιοῦντα, τὸν αὐτὸν εἶναι τῷ ποτέ. (3) Ἑλοῦ οὖν πότερον θέλεις ὁμοίως φιλεῖσθαι ὑφ' ὧν πρότερον, ὅμοιος ὢν τῷ πρότερον σεαυτῷ· ἤ, κρείσσων ὤν, μὴ τυγχάνειν τῶν ἴσων. (4) Εἰ γὰρ τοῦτο κρεῖσσον, αὐτόθεν ἀπόνευσον ἐπὶ τοῦτο, μηδέ σε περισπάτωσαν οἱ ἕτεροι διαλογισμοί. Οὐδεὶς γὰρ ἐπαμφοτερίζων δύναται προκόψαι· ἀλλ' εἰ τοῦτο πάντων προκέκρικας, εἰ πρὸς τούτῳ μόνῳ θέλεις εἶναι, εἰ τοῦτο ἐκπονῆσαι, ἄφες ἅπαντα τἆλλα· (5) εἰ δὲ μή, οὗτος ὁ ἐπαμφοτερισμὸς ἑκάτερόν σοι ποιήσει, οὔτε προκόψεις κατ' ἀξίαν, οὔτ' ἐκείνων τεύξῃ ὧν πρότερον ἐτύγχανες. (6) Πρότερον γὰρ εἰλικρινῶς ἐφιέμενος τῶν οὐδενὸς ἀξίων, ἡδὺς ἦς τοῖς συνοῦσιν. Οὐ δύνασαι δ' ἐν ἀμφοτέρῳ τῷ εἴδει διενεγκεῖν· ἀλλ' ἀνάγκη, καθόσον ἂν τοῦ ἑτέρου κοινωνῇς, ἀπολείπεσθαί σ' ἐν θατέρῳ. (7) Οὐ δύνασαι, μὴ πίνων μεθ' ὧν ἔπινες, ὁμοίως ἡδὺς αὐτοῖς φαίνεσθαι· ἑλοῦ οὖν, πότερον μεθυστὴς εἶναι θέλεις καὶ ἡδὺς ἐκείνοις, ἢ νήφων ἀηδής. Οὐ δύνασαι, μὴ ᾄδων μεθ' ὧν ᾖδες, ὁμοίως φιλεῖσθαι ὑπ' αὐτῶν· ἑλοῦ οὖν καὶ ἐνταῦθα, πότερον θέλεις. (8) Εἰ γὰρ κρεῖσσον τὸ αἰδήμονα εἶναι καὶ κόσμιον, τοῦ εἰπεῖν τινα, Ἡδὺς ἄνθρω-

ob insidiarum expertem et tutam libertatem, repetenti deo quæ dedit non reddes? non, ut Plato ait, meditaberis, non modo emori, sed et excruciari, et exsulare, et verberibus cædi, omnia denique reddere aliena? (173) Eris ergo nihilominus servus inter servos, etsi millies consulatum gesseris, etsi palatium, *ut Cæsaris familiaris*, ingrediaris: ac senties, præter opinionem quidem fortasse, quemadmodum Cleanthes etiam dicebat, non tamen præter rationem dicere philosophos. (174) Re ipsa enim cognosces, vera ea esse; et eorum, quæ admirationi sunt quæque expetuntur, nullum esse usum iis, qui illa consecuti sunt; iis vero, qui nondum consecuti sunt, afferre opinionem, cum advenerint, bona omnia una affore: deinde vero, cum adsunt, æstus par est, jactatio eadem, idem fastidium, idem eorum quæ absunt desiderium. (175) Neque enim explendis desideriis libertas comparatur, sed tollenda cupiditate. (176) Et, ut scias vera esse hæc, quemadmodum propter illa laborasti, sic etiam ad hæc transfer laborem: vigila ut decretum tibi compares, quod te in libertatem asserat; (177) loco senis divitis cole philosophum, ad hujus fores conspicitor: non indecore ages, si conspectus ibi fueris: non vacuus discedes nec sine lucro, si accesseris ut decet. Si diffidis, saltem periculum facito: non turpe est id periculum.

CAP. II.

De familiari consuetudine cum hominibus.

1. Hoc in loco ante omnia attentum te esse oportet, ne cui veterum familiarium aut amicorum ita miscearis, ut ad ea descendas quæ illi cordi sunt: alioqui te ipsum perdes. (2) Sin tibi in mentem venerit, At videbor illi homo sinistri ingenii, neque ut prius erga me affectus erit: cogita, nihil parari gratis neque posse fieri, si non eadem agas, idem ut sis qui aliquando fueris. (3) Elige igitur utrum voles, ut vel eodem modo diligaris a veteribus amicis, talisque sis qualis ante fuisti; vel, ut illis melior sis, nec vero eadem consequaris. (4) Nam si hoc melius est, statim hanc viam ingredere, neque te aliæ cogitationes distrahant. Nemo enim huc atque illuc inclinans proficere potest, sed, si hoc aliis rebus omnibus anteponis, si huic soli insistere vis, si in hoc elaborare, missa fac cetera omnia. (5) Quod nisi feceris, inconstantia ista et vacillatio bifariam tibi incommodabit: neque enim ita promovebis, uti par erat; nec illa consequeris, quæ prius consequebaris. (6) Nam cum ante haud dissimulanter res nullius pretii desiderares, jucundus eras amicis: neque vero utroque in genere excellere potes; sed necesse est, quatenus alterius particeps fueris, eatenus altero te destitui. (7) Non poteris, nisi cum iis compotaveris quibuscum potare consueveras, æque jucundus illis videri: opta igitur, malisne ebriosus esse atque illis jucundus; an sobrius et injucundus. Non poteris, si non canas quibuscum canebas, æque ab illis diligi: ergo et hic opta, utrum malis. (8) Nam si præstat verecundum esse ac modestum, quam ab aliquo dici, O lepidum caput! omitte

πος· ἄφες τὰ ἕτερα, ἀπόγνωθι, ἀποστράφηθι, μηδέν σοι καὶ αὐτοῖς. (9) Εἰ δὲ μὴ ἀρέσει ταῦτα, ὅλος ἀπόκλινον ἐπὶ τἀναντία· γενοῦ εἷς τῶν κιναίδων, εἷς τῶν μοιχῶν, καὶ ποίει τὰ ἑξῆς, καὶ τεύξῃ ὧν θέλεις. Καὶ ἀναπηδῶν ἐπικραύγαζε τῷ ὀρχηστῇ. (10) Διάφορα δ' οὕτω πρόσωπα οὐ μίγνυται· οὐ δύνασαι καὶ Θερσίτην ὑποκρίνασθαι, καὶ Ἀγαμέμνονα. Ἂν Θερσίτης εἶναι θέλῃς, κυρτόν σε εἶναι δεῖ καὶ φαλακρόν· ἂν Ἀγαμέμνων, μέγαν καὶ καλὸν, καὶ τοὺς ὑποτεταγμένους φιλοῦντα.

ΚΕΦ. Γ'.

Τίνα τίνων ἀντικαταλλακτέον.

1. Ἐκεῖνο πρόχειρον ἔχε, ὅταν τινὸς ἀπολείπῃ τῶν ἐκτὸς, τί ἀντ' αὐτοῦ περιποιῇ· κἂν ᾖ πλείονος ἄξιον, μηδέποτ' εἴπῃς ὅτι ἐζημίωμαι· (2) οὐδ' [ἂν] ἀντὶ ὄνου ἵππον, οὐδ' ἀντὶ προβάτου βοῦν, οὐδ' ἀντὶ κέρματος πρᾶξιν καλὴν, οὐδ' ἀντὶ ψυχρολογίας ἡσυχίαν οἵαν δεῖ, οὐδ' ἀντὶ αἰσχρολογίας αἰδῶ. (3) Τούτων μεμνημένος, πανταχοῦ διασώσεις τὸ σεαυτοῦ πρόσωπον οἷον ἔχειν σε δεῖ· εἰ δὲ μὴ, σκόπει ὅτι ἀπόλλυνται οἱ χρόνοι εἰκῆ, καὶ, ὅσα νῦν προσέχεις σεαυτῷ, μέλλεις ἐκχεῖν ἅπαντα ταῦτα καὶ ἀνατρέπειν. (4) Ὀλίγων δὲ χρεία ἐστὶ πρὸς τὴν ἀπώλειαν τὴν πάντων καὶ ἀνατροπήν· μικρᾶς ἀποστροφῆς τοῦ λόγου. (5) Ἵν' ὁ κυβερνήτης ἀνατρέψῃ τὸ πλοῖον, οὐ χρείαν ἔχει τῆς αὐτῆς παρασκευῆς, ὅσης εἰς τὸ σῶσαι· ἀλλὰ μικρὸν πρὸς τὸν ἄνεμον ἂν ἐπιστρέψῃ, ἀπώλετο· κἂν μὴ αὐτὸς ἑκὼν, ὑποπαρενθυμηθῇ δὲ, ἀπώλετο. (6) Τοιοῦτόν ἐστί τι καὶ ἐνθάδε· μικρὸν ἂν ἀπονυστάξῃς, ἀπῆλθε πάντα τὰ μέχρι νῦν συνειλεγμένα. (7) Πρόσεχε οὖν ταῖς φαντασίαις, ἐπαγρύπνει. Οὐ γὰρ μικρὸν τὸ τηρούμενον· ἀλλ' αἰδὼς, καὶ πίστις, καὶ εὐστάθεια, ἀπάθεια, ἀλυπία, ἀφοβία, ἀταραξία, ἁπλῶς ἐλευθερία. (8) Τίνων μέλλεις ταῦτα πωλεῖν; βλέπε πόσου ἀξίων. Ἀλλ' οὐ τεύξομαι τοιούτου τινὸς ἀντ' αὐτοῦ. Βλέπε καὶ τυγχάνων πάλιν ἐκείνου, τί ἀντ' αὐτοῦ λαμβάνεις. (9) Ἐγὼ εὐκοσμίαν, ἐκεῖνος δημαρχίαν· ἐκεῖνος στρατηγίαν, ἐγὼ αἰδῶ. Ἀλλ' οὐ κραυγάζω, ὅπου ἀπρεπές· ἀλλ' οὐκ ἀναστήσομαι, ὅπου μὴ δεῖ. Ἐλεύθερος γάρ εἰμι καὶ φίλος τοῦ θεοῦ, ἵν' ἑκὼν πείθωμαι αὐτῷ. (10) Τῶν δ' ἄλλων οὐδενὸς ἀντιποιεῖσθαί με δεῖ, οὐ σώματος, οὐ κτήσεως, οὐκ ἀρχῆς, οὐ φήμης, ἁπλῶς οὐδενός. Οὐδὲ γὰρ ἐκεῖνος βούλεταί μ' ἀντιποιεῖσθαι αὐτῶν. Εἰ γὰρ ἤθελεν, ἀγαθὰ πεποιήκει αὐτὰ ἂν ἐμοί· νῦν δ' οὐ πεποίηκε· διὰ τοῦτο οὐδὲν δύναμαι παραβῆναι τῶν ἐντολῶν. (11) Τήρει τὸ ἀγαθὸν τὸ ἑαυτοῦ ἐν παντί· τῶν δ' ἄλλων τι, κατὰ τὸ διδόμενον, μέχρι τοῦ εὐλογιστεῖν ἐν αὐτοῖς· τούτῳ μόνῳ ἀρκούμενος. Εἰ δὲ μὴ, δυστυχήσεις, ἀτυχήσεις, κωλυθήσῃ, ἐμποδισθήσῃ. (12) Οὗτοί εἰσιν οἱ ἐκεῖθεν ἀπεσταλμένοι νόμοι, ταῦτα τὰ διατάγματα· τούτων ἐξηγητὴν δεῖ γενέσθαι, τούτοις ὑποτεταγμένον, οὐ τοῖς Μασουρίου καὶ Κασσίου.

cetera; repudia, aversare, nihil tibi cum illis rei sit. (9) Sin tibi hoc non placuerit, totus ad contraria te converte; esto cinædus, esto mœchus, ceteraque facito isti vitæ rationi consentanea : sic voti compos fies. Exsili etiam atque acclama saltatori. (10) Sed personæ tam diversæ non miscentur; non potes et Thersiten agere, et Agamemnonem : si Thersites esse vis, gibbosum te esse et recalvastrum oportet; si Agamemno, magnum et pulcrum, ac diligere populum.

CAP. III.

Quæ quibus commutanda sint.

1. Illud in promptu sit, si quam rem externam relinquis, quid loco illius consequare : et, hoc si pluris fuerit, cave umquam dicas te jacturam fecisse. (2) Neque enim *jacturam feceris*, si asinum cum equo, nec si ovem cum bove, sive leve compendium pecuniarium cum honesta actione, sive otiosam disputationem cum otio et tranquillitate homine digna, sive turpem in dicendo licentiam cum verecundia commutaveris. (3) Horum memor, ubique conservabis personam tuam qualem decet : sin minus, vide ut tempus frustra tibi perit, et, quidquid curæ nunc in te ipsum confers, id omne profusurus es atque eversurus. (4) Paucis vero est opus ad jacturam et eversionem omnium; exigua rationis aversione. (5) Ut gubernator navigium evertat, non eodem opus est apparatu, quo ad illud conservandum; sed, si id paulisper vento obverterit, periit; tametsi ipse non ultro, sed aliis cogitationibus intentus, id fecerit. (6) Eodem hic quoque modo se res habet : si paululum dormitaris, abibunt omnia quæ hactenus collegisti. (7) Observa igitur visa tua, vigila super eis : neque enim parvum est quod custoditur; sed verecundia, fides, constantia; affectuum, doloris, timoris, perturbationis expers animus; verbo ut dicam, libertas. (8) Quanti ista vendes? vide quid valeant ea quæ pro his consecuturus es. At nihil tale pro illis consequar. Vide, ut illud consequaris, quid pro eo accipias. (9) Ego modestiam, ille tribunatum : ille præturam, ego verecundiam. Non clamo, ubi dedecet; non surgo, ubi non decet : liber enim sum et amicus dei, ut ultro illi paream. (10) Reliqua vero omnia negligenda mihi sunt : corpus, possessio, magistratus, fama, denique omnia. Neque enim ille vult me hæc curare : nam si vellet, effecisset ut ea mihi bona essent : nunc cum non fecerit, nullum ejus mandatum negligere possum. (11) Conserva igitur bonum tuum in omni re : ceterorum vero unumquodque, prout tibi datum fuerit, sic usurpa, ut in eorum usu ratio tibi constet : idque unum satis tibi sit. Alioqui miser eris, votis tuis excides, prohibeberis, impedieris. (12) Hæ sunt leges illinc missæ, hæc edicta; horum interpretem esse decet, his parere, non Masurii et Cassii præceptis.

ΚΕΦ. Δ'.

Πρὸς τοὺς περὶ τὸ ἐν ἡσυχίᾳ διάγειν ἐσπουδακότας.

1. Μέμνησο ὅτι οὐ μόνον ἐπιθυμία ἀρχῆς καὶ πλούτου ταπεινοὺς ποιεῖ καὶ ἄλλοις ὑποτεταγμένους, ἀλλὰ καὶ ἡσυχίας, καὶ σχολῆς, καὶ ἀποδημίας, καὶ φιλολογίας. Ἁπλῶς γὰρ, οἷον ἂν ᾖ τὸ ἐκτὸς, ἡ τιμὴ αὐτοῦ ὑποτάσσει ἄλλῳ. (2) Τί οὖν διαφέρει, συγκλήτου ἐπιθυμεῖν, ἢ τοῦ μὴ εἶναι συγκλητικόν; τί διαφέρει, ἀρχῆς ἐπιθυμεῖν, ἢ ἀναρχίας; τί διαφέρει, λέγειν, ὅτι Κακῶς μοί ἐστιν, οὐδὲν ἔχω τί πράξω, ἀλλὰ τοῖς βιβλίοις προσδέδεμαι ὡς νεκρός· ἢ λέγειν, Κακῶς μοί ἐστιν, οὐκ εὐσχολῶ ἀναγνῶναι; (3) Ὡς γὰρ ἀσπασμοὶ καὶ ἀρχὴ τῶν ἐκτός ἐστι καὶ ἀπροαιρέτων, οὕτω καὶ βιβλίον. (4) Ἢ τίνος ἕνεκα θέλεις ἀναγνῶναι; εἰπέ μοι. Εἰ μὲν γὰρ ἐπ' αὐτὸ καταστρέφεις τὸ ψυχαγωγηθῆναι ἢ μαθεῖν τι, ψυχρὸς εἶ καὶ ἀταλαίπωρος· εἰ δ' ἐφ' ὃ δεῖ ἀναφέρεις, τί τοῦτ' ἔστιν ἄλλο ἢ εὔροια; εἰ δέ σοι τὸ ἀναγινώσκειν εὔροιαν μὴ περιποιεῖ, τί ὄφελος αὐτοῦ; (5) Ἀλλὰ περιποιεῖ, φησί· καὶ διὰ τοῦτο ἀγανακτῶ, ὡς ἀπολειπόμενος αὐτοῦ. Καὶ τίς αὕτη ἡ εὔροια, ἣν ὁ τυχὼν ἐμποδίσαι δύναται, οὐ λέγω Καῖσαρ, ἢ Καίσαρος φίλος, ἀλλὰ κόραξ, αὐλητὴς, πυρετὸς, ἄλλα τρισμύρια; ἡ δ' εὔροια οὐδὲν οὕτως ἔχει, ὡς τὸ διηνεκὲς καὶ ἀνεμπόδιστον. (6) Νῦν καλοῦμαι πράξων τι· ἄπειμι νῦν προσέξων τοῖς μέτροις ἃ δεῖ τηρεῖν, ὅτι αἰδημόνως, ὅτι ἀσφαλῶς, ὅτι δίχα ὀρέξεως καὶ ἐκκλίσεως τῆς πρὸς τὰ ἐκτός· (7) καὶ λοιπὸν προσέχω τοῖς ἀνθρώποις, τίνα φασὶ, πῶς κινοῦνται· καὶ τοῦτο οὐ κακοήθως, οὐδ' ἵνα ἔχω ψέγειν ἢ καταγελᾷν· ἀλλ' ἐπ' ἐμαυτὸν ἐπιστρέφων, εἰ ταὐτὰ κἀγὼ ἁμαρτάνω, ὅπωσοῦν παύσωμαι. Τότε καὶ ἐγὼ ἡμάρτανον· νῦν δ' οὐκέτι, χάρις τῷ θεῷ.

8. Ἄγε, ταῦτα ποιήσας καὶ πρὸς τούτοις γενόμενος, χεῖρον ἔργον πεποίηκας ἢ χιλίους στίχους ἀναγνοὺς, ἢ γράψας ἄλλους τοσούτους; ὅταν γὰρ ἐσθίῃς, ἄχθῃ ὅτι μὴ ἀναγινώσκεις; οὐκ ἀρκῇ τῷ καθ' ἃ ἀνέγνωκας ἐσθίειν; ὅταν λούῃ; ὅταν γυμνάζῃ; (9) Διὰ τί οὖν ἐπὶ πάντων οὐχ ὁμαλίζεις, καὶ ὅταν Καίσαρι προσίῃς, καὶ ὅταν τῷ δεῖνι; (10) Εἰ τὸν ἀπαθῆ τηρεῖς, εἰ τὸν ἀκατάπληκτον, εἰ τὸν κατεσταλμένον· εἰ βλέπεις μᾶλλον τὰ γινόμενα, ἢ βλέπῃ· εἰ μὴ φθονεῖς τοῖς προτιμωμένοις· εἰ μὴ ἐκπλήσσουσί σε αἱ ὗλαι· τί σοι λείπει; Βιβλία; (11) Πῶς, ἢ ἐπὶ τί; οὐχὶ γὰρ ἐπὶ τὸ βιοῦν παρασκευή τίς ἐστιν αὕτη; τὸ βιοῦν δ' ἐξ ἄλλων τινῶν ἢ τούτων συμπληροῦται. Οἷον ἂν εἰ ὁ ἀθλητὴς κλαίοι εἰς τὸ στάδιον εἰσιὼν, ὅτι μὴ ἔξω γυμνάζεται. (12) Τούτου ἕνεκα ἐγυμνάζου· ἐπὶ τούτῳ οἱ ἁλτῆρες, ἡ ἁφὴ, οἱ νεανίσκοι. Καὶ νῦν ἐκεῖνα ζητεῖς, ὅτε τοῦ ἔργου καιρός ἐστιν; (13) Οἷον εἰ ἐπὶ τοῦ συγκαταθετικοῦ τόπου, περισταμένων φαντασιῶν, τῶν μὲν καταληπτῶν, τῶν δ' ἀκαταλήπτων, μὴ ταύτας διακρίνειν θέλοιμεν, ἀλλ' ἀναγινώσκειν τὰ περὶ καταλήψεως.

14. Τί οὖν τὸ αἴτιον; Ὅτι οὐδέποτε τούτου ἕνεκα ἀνέγνωμεν, οὐδέποτε τούτου ἕνεκα ἐγράψαμεν, ἵν' ἐπὶ

CAP. IV.

Ad eos qui vitam in otio transigere cupiunt.

1. Memento, non honorum solum cupiditatem et opum reddere humiles et aliis obnoxios, sed etiam quietis studium, et otii, et peregrinationis, et literarum. Omnino enim qualiscumque fuerit res externa, admiratio et studium ejus subjectos alteri facit. (2) Quid igitur interest, utrum senator esse cupias, an cupias non esse? quid interest magistratum cupias, an privatam conditionem? quid interest utrum dicas, Miser sum; non habeo quod agam, sed libellis sum alligatus instar cadaveris; an dicas, Miser sum; non est mihi otium legendi? (3) Quemadmodum enim salutationes et honores, res externæ sunt et non nostri arbitrii; sic etiam libellus. (4) Aut dic mihi, qua gratia legere cupis? Nam si nihil aliud sequeris, nisi ipsam legendi delectationem, et ut cognoscas aliquid; frigidus es et delicatulus: sin eo refers lectionem, quo oportet; quid aliud istud est, nisi vita beata? Eam si lectio tibi non confert, quæ est illius utilitas? (5) At eam confert, inquit; eaque de re moleste fero, me ea fraudari. Quæ vero ista est vita beata, quam quivis impedire potest, non dico Cæsar, aut Cæsaris amicus, sed corvus, tibicen, febris, alia infinita? Vita beata autem nihil tam proprium habet, quam quod continua est et ab omni impedimento remota. (6) Nunc vocor acturus aliquid : abeo nunc observaturus modos, qui servandi sunt, ut agam verecunde, ut tuto, ut citra appetitionem et aversationem rerum externarum : (7) et præterea homines observo, quid dicant, quomodo moveantur : idque non malevole, neque vituperandi aut deridendi caussa; sed ut in me ipsum conversus, si et ipse sic delinquam, ab iis vitiis qualicumque modo liberer. Olim et ego peccabam : nunc vero non item; gratia sit deo.

8. Age, hæc si feceris, his si occupatus fueris, pejusne rem gesseris, quam si mille versus legisses, totidemve alios scripsisses? Nam cum edis, dolesne te non legere? nonne sufficit tibi, ex præceptis, quæ legendo cognovisti, edere? annon eodem modo, cum lavas? cum exerceris? (9) Cur igitur non in omnibus eodem modo sentis, sive Cæsarem adis, sive quem alium? (10) Si perturbatione vacuum, si imperterritum, si modestum te præbes; si potius spectas quid fiat, quam spectari cupis; si non invides iis qui tibi præferuntur; si te non in stuporem rapiunt materiæ : quid tibi deest? Libri? (11) Quomodo, aut ad quid? num ad vitam degendam ista præparatio quædam est? at ipsa vita aliis rebus quam his completur. Perinde hoc est, ac si pugil, stadium ingrediens, ploret quod non foris exerceatur. (12) Hac gratia exercebaris : huc pertinebant halteres, pulvis, adolescentuli. Et nunc tu illa desideras, cum rei gerendæ tempus adest? (13) Perinde hoc est, ac si in loco de assensione, cum visa objiciuntur, quorum alia percipi possunt, alia non possunt, ista nunc dijudicare nolimus, sed legere quæ de perceptione scripta sunt.

14. Quæ ergo caussa est? Quia numquam ea gratia legimus, numquam ea de caussa scripsimus, ut ipso facto

τῶν ἔργων κατὰ φύσιν χρώμεθα ταῖς προσπιπτούσαις φαντασίαις· ἀλλ' αὐτοῦ καταλήγομεν, μαθεῖν τί λέγεται, καὶ ἄλλῳ δύνασθαι ἐξηγήσασθαι, τὸν συλλογισμὸν ἀναλῦσαι, καὶ τὸν ὑποθετικὸν ἐφοδεῦσαι. (15) Διὰ τοῦτο, ὅπου ἡ σπουδὴ, ἐκεῖ καὶ ὁ ἐμποδισμός. Θέλεις τὰ μὴ ἐπὶ σοὶ ἐξ ἅπαντος; κωλύου τοίνυν, ἐμποδίζου, ἀποτύγχανε. (16) Εἰ δὲ τὰ περὶ ὁρμῆς τούτου ἕνεκα ἀναγινώσκοιμεν, οὐχ ἵνα ἴδωμεν τί λέγεται περὶ ὁρμῆς, ἀλλ' ἵνα εὖ ὁρμῶμεν· τὰ περὶ ὀρέξεως καὶ ἐκκλίσεως, ἵνα μήποτ' ὀρεγόμενοι ἀποτυγχάνωμεν, μήτ' ἐκκλίνοντες περιπίπτωμεν· τὰ περὶ καθήκοντος δ', ἵνα μεμνημένοι τῶν σχέσεων, μηδὲν ἀλογίστως μηδὲ παρ' αὐτὰ ποιῶμεν· (17) οὐκ ἂν ἠγανακτοῦμεν πρὸς τὰ ἀναγνώσματα ἐμποδιζόμενοι, ἀλλὰ τῷ τὰ ἔργα ἀποδιδόναι τὰ κατάλληλα ἠρκούμεθα, καὶ ἠριθμοῦμεν ἂν οὐ ταῦτα ἃ μέχρι νῦν ἀριθμεῖν εἰθίσμεθα, Σήμερον ἀνέγνων στίχους τοσούσδε, ἔγραψα τοσούσδε· (18) ἀλλὰ, Σήμερον ὁρμῇ ἐχρησάμην ὡς παραγγέλλεται ὑπὸ τῶν φιλοσόφων, ὀρέξει οὐκ ἐχρησάμην, ἐκκλίσει πρὸς μόνα τὰ προαιρετικὰ, οὐ κατεπλάγην τὸν δεῖνα, οὐκ ἐδυσωπήθην ὑπὸ τοῦ δεῖνος, τὸ ἀνεκτικὸν ἐγύμνασα, τὸ ἀφεκτικὸν, τὸ συνεργητικόν· καὶ οὕτως ἂν ηὐχαριστοῦμεν τῷ θεῷ, ἐφ' οἷς δεῖ εὐχαριστεῖν.

19. Νῦν δ' ἡμεῖς οὐκ ἴσμεν, ὅτι καὶ αὐτοὶ ἄλλον τρόπον ὅμοιοι τοῖς πολλοῖς γινόμεθα. Ἄλλος φοβεῖται μὴ οὐκ ἄρξῃ· σὺ, μὴ ἄρξῃς. (20) Μηδαμῶς, ἄνθρωπε. Ἀλλ', ὡς καταγελᾷς τοῦ φοβουμένου μὴ ἄρξαι, οὕτω καὶ σαυτοῦ καταγέλα. Οὐδὲν γὰρ διαφέρει, ἢ διψῆν πυρέσσοντα, ἢ ὡς λυσσώδη ὑδροφόβον εἶναι. (21) Ἢ πῶς ἔτι δυνήσῃ εἰπεῖν τὸ τοῦ Σωκράτους, Εἰ ταύτῃ φίλον τῷ θεῷ, ταύτῃ γενέσθω; Δοκεῖς, Σωκράτης εἰ ἐπεθύμει ἐν Λυκείῳ ἢ ἐν Ἀκαδημίᾳ σχολάζειν καὶ διαλέγεσθαι καθ' ἡμέραν τοῖς νέοις, εὐκόλως ἂν ἐστρατεύσατο ὁσάκις ἐστρατεύσατο; οὐχὶ δ' ὠδύρετ' ἂν καὶ ἔστενε, Τάλας ἐγὼ, νῦν δ' ἐνθάδ' ἀτυχῶ ἄθλιος, δυνάμενος ἐν Λυκείῳ ἡλιάζεσθαι; (22) Τοῦτο γάρ σου τὸ ἔργον ἦν, ἡλιάζεσθαι; οὐχὶ δὲ τὸ εὐροεῖν; τὸ ἀκώλυτον εἶναι; τὸ ἀπαραπόδιστον; Καὶ πῶς ἂν ἔτι ἦν Σωκράτης, εἰ ταῦτα ὠδύρετο; πῶς ἂν ἔτι ἐν τῇ φυλακῇ παιᾶνας ἔγραφεν;

23. Ἁπλῶς οὖν ἐκείνου μέμνησο, ὅτι πᾶν ὃ ἔξω τῆς προαιρέσεως τῆς σαυτοῦ τιμήσεις, ἀπώλεσας τὴν προαίρεσιν. Ἔξω δ' ἐστὶν οὐ μόνον ἀρχὴ, ἀλλὰ καὶ ἀναρχία· οὐ μόνον ἀσχολία, ἀλλὰ καὶ σχολή. (24) Νῦν οὖν ἐμὲ ἐν τῷ θορύβῳ τούτῳ διεξάγειν; Τί λέγεις, θορύβῳ; Ἐν πολλοῖς ἀνθρώποις; Καὶ τί χαλεπόν; δόξον ἐν Ὀλυμπίᾳ εἶναι, πανήγυριν αὐτὸν ἥγησαι. Κἀκεῖ ἄλλος ἄλλο τι κέκραγεν, ἄλλος ἄλλο τι πράσσει, ἄλλος τῷ ἄλλῳ ἐνσείεται. Ἐν τοῖς βαλανείοις ὄχλος· καὶ τίς ἡμῶν οὐ χαίρει τῇ πανηγύρει ταύτῃ, καὶ ὀδυνώμενος αὐτῆς ἀπαλλάσσεται; (25) Μὴ γίνου δυσάρεστος, μηδὲ κακοστόμαχος πρὸς τὰ γινόμενα. Τὸ ὄξος σαπρὸν, δριμὺ γάρ· τὸ μέλι σαπρὸν, ἀνατρέπει γάρ μου τὴν ἕξιν· λάχανα οὐ θέλω. Οὕτω καὶ, σχολὴν οὐ

secundum naturam uteremur visis objectis; sed in eo desinimus, ut cognoscamus quid dicatur, idque aliis explicare queamus; ut syllogismum resolvere, ut hypotheticam argumentationem tractare possimus. (15) Quapropter, ubi studium est, ibi etiam impedimentum. Tu quoque modo ea cupis, quæ in tua non sunt potestate? Prohibere ergo, impedire, frustrare! (16) Sin autem, quæ de impetu scripta sunt, hoc consilio legeremus, non ut, quid de impetu diceretur, sciremus, sed ut recte uteremur impetu; si, quæ de appetitione et aversatione, ut ne umquam re appetita frustraremur, aut in declinatam incideremus; si doctrinam officiorum, ut relationum memores, in quibus constituti sumus, nihil inconsiderate, nihil præter decorum faceremus: (17) non moleste ferremus, lectionem nostram impediri; sed satis nobis esset facta edere convenientia; neque numeraremus ea, quæ numerare hactenus consuevimus, Hodie legi versus tot, scripsi tot; (18) sed, Hodie sic usus sum impetu, ut a philosophis præcipitur, appetitione non usus sum, aversatione in iis solis quæ nostri arbitrii sunt, non extimui illum, illius precibus flecti me non passus sum; tolerantiam exercui, abstinentiam, beneficentiam: et sic ob ea gratias ageremus deo, ob quæ gratiæ illi sunt agendæ.

19. Nunc vero nescimus, nos ipsos quoque, opposita quidem ratione, vulgo fieri similes. Alius timet, ne careat magistratu: tu vero, ne sit gerendus tibi magistratus. (20) Nequaquam, homo! sed quemadmodum derides metuentem ne magistratu careat, sic te ipsum quoque deride. Neque enim quidquam interest, sive sitire ut febricitantem, sive ut rabidum formidare aquam. (21) Nam alioqui Socraticum illud usurpare qui potes: « Si deo ita visum est, ita fiat? » Putasne Socratem, si Lycei aut Academiæ otium et quotidianas cum adolescentibus disputationes desiderasset, toties tam alacriter militaturum fuisse, quoties militavit? ac non potius ploraturum et suspiraturum fuisse, Me miserum! nunc ego hic calamitosus sum, cum in Lyceo apricari liceret? (22) Ergone illud munus tuum fuit, apricari in Lyceo? non autem tranquillitate frui animi, non posse prohiberi, non impediri? Et quo pacto adhuc fuisset Socrates, si ista deplorasset? quo pacto adhuc in carcere hymnos scripsisset?

23. Ut paucis absolvam, illud memento: si quid extra liberam voluntatem tuam magni feceris, quidquid illud sit, liberam voluntatem amiseris. Sunt autem extra illam non modo honores, sed etiam conditio privata; non occupatio tantum, sed otium quoque. (24) Nunc ergo me in tanto tumultu vivere! Quem dicis tumultum? In frequentia hominum? Quid in isto grave est? finge te Olympiæ esse, celebritatem hanc esse existima. Illic etiam alius aliud quid clamat, alius aliud agit, alius alium trudit. In balneis est turba: quis autem nostrûm ea turba non delectatur? quis tristis inde discedit? (25) Ne sis morosus, neu fastidiosus adversus ea quæ fiunt. Acetum molestum; est enim acre: mel molestum; evertit enim habitum meum: olera nolo. Sic

θέλω, ἐρημία ἐστίν· ὄχλον οὐ θέλω, θόρυβός ἐστιν. (26) Ἀλλ' ἂν μὲν οὕτω φέρῃ τὰ πράγματα, ὥστε μόνον ἢ μετ' ὀλίγων διεξαγαγεῖν, ἡσυχίαν αὐτὸ κάλει, καὶ χρῶ τῷ πράγματι, εἰς ὃ δεῖ· λάλει σεαυτῷ, γύμναζε τὰς φαντασίας, ἐξεργάζου τὰς προλήψεις. Ἂν δ' εἰς ὄχλον ἐμπέσῃς, ἀγῶνα αὐτὸ λέγε, πανήγυριν, ἑορτήν· συνεορτάζειν πειρῶ τοῖς ἀνθρώποις. (27) Τί γάρ ἐστιν ἥδιον θέαμα τῷ φιλανθρώπῳ ἢ ἄνθρωποι πολλοί; ἵππων ἀγέλας ἢ βοῶν ἡδέως ὁρῶμεν· πλοῖα πολλὰ ὅταν ἴδωμεν, διαχεόμεθα· ἀνθρώπους πολλοὺς βλέπων τίς ἀνιᾶται; (28) Ἀλλὰ καταχραυγάζουσί μου. Οὐκοῦν ἡ ἀκοή σου ἐμποδίζεται. Τί οὖν πρὸς σέ; μή τι καὶ δύναμις ἡ ταῖς φαντασίαις χρηστική; καὶ τίς σε κωλύει ὀρέξει καὶ ἐκκλίσει χρῆσθαι κατὰ φύσιν; ὁρμῇ καὶ ἀφορμῇ; ποῖος θόρυβος πρὸς τοῦτο ἱκανός;

29. Σὺ μόνον μέμνησο τῶν καθολικῶν· τί ἐμόν; τί οὐκ ἐμόν; τί μοι δίδοται; τί θέλει με ποιεῖν ὁ θεὸς νῦν; τί οὐ θέλει; (30) Πρὸ ὀλίγου χρόνου ἤθελέ σε σχολάζειν, σαυτῷ λαλεῖν, γράφειν περὶ τούτων, ἀναγιγνώσκειν, ἀκούειν, παρασκευάζεσθαι· ἔσχες εἰς τοῦτο ἱκανὸν χρόνον. Νῦν σοι λέγει, Ἐλθὲ ἤδη ἐπὶ τὸν ἀγῶνα, δεῖξον ἡμῖν τί ἔμαθες, πῶς ἤθλησας. Μέχρι τίνος γυμνασθήσῃ μόνος; ἤδη καιρὸς γνῶναί σε, πότερον τῶν ἀξιονίκων εἶ τις ἀθλητῶν, ἢ ἐκείνων, οἳ τὴν οἰκουμένην περιέρχονται νικώμενοι. (31) Τί οὖν ἀγανακτεῖς; οὐδεὶς ἀγὼν δίχα θορύβου γίνεται. Πολλοὺς δεῖ προγυμναστὰς εἶναι, πολλοὺς τοὺς ἐπικραυγάζοντας, πολλοὺς ἐπιστάτας, πολλοὺς θεατάς. (32) Ἀλλ' ἐγὼ ἤθελον ἐφ' ἡσυχίας διάγειν. Οἴμωζε τοίνυν, καὶ στένε, ὥσπερ ἄξιος εἶ. Τίς γὰρ ἄλλη μείζων ταύτης ζημία τῷ ἀπαιδεύτῳ καὶ ἀπειθοῦντι τοῖς θείοις διατάγμασιν, ἢ τὸ λυπεῖσθαι, τὸ πενθεῖν, τὸ φθονεῖν, ἁπλῶς τὸ ἀτυχεῖν καὶ δυστυχεῖν; τούτων οὐ θέλεις ἀπαλλάξαι σεαυτόν;

33. Καὶ πῶς ἀπαλλάξω; Οὐ πολλάκις ἤκουσας ὅτι ὄρεξιν ἆραί σε δεῖ παντελῶς, τὴν ἔκκλισιν ἐπὶ μόνα τρέψαι τὰ προαιρετικά, ἀφεῖναί σε δεῖ πάντα, τὸ σῶμα, τὴν κτῆσιν, τὴν φήμην, τὰ βιβλία, θόρυβον, ἀρχάς, ἀναρχίαν; ὅπου γὰρ ἂν κλίνῃς, ἐδούλευσας, ὑπετάγης, κωλυτὸς ἐγένου, ἀναγκαστὸς, ὅλος ἐπ' ἄλλοις. (34) Ἀλλὰ τὸ Κλεάνθους πρόχειρον,

Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη.

Θέλετ' εἰς Ῥώμην; Εἰς Ῥώμην. Εἰς Γύαρα; Εἰς Γύαρα. Εἰς Ἀθήνας; Εἰς Ἀθήνας. Εἰς φυλακήν; Εἰς φυλακήν. (35) Ἂν ἅπαξ εἴπῃς, Πότε τις εἰς Ἀθήνας ἀπέλθῃ; ἀπώλου. Ἀνάγκη γε, ταύτην τὴν ὄρεξιν, ἀτελῆ μένουσαν, ἀτυχῆ σε ποιεῖν· τελειωθεῖσαν δὲ, κενόν, ἐφ' οἷς οὐ δεῖ ἐπαιρόμενον· πάλιν, ἂν ἐμποδισθῇς, δυστυχῆ, περιπίπτοντα οἷς οὐ θέλεις. (36) Ἄφες οὖν ταῦτα πάντα. Καλαὶ αἱ Ἀθῆναι. Ἀλλὰ τὸ εὐδαιμονεῖν κάλλιον πολύ· τὸ ἀπαθῆ εἶναι, τὸ ἀτάραχον, τὸ ἐπὶ μηδενὶ κεῖσθαι τὰ σὰ πράγματα. (37) Θόρυβος ἐν Ῥώμῃ, καὶ ἀσπασμοί. Ἀλλὰ τὸ εὐροεῖν ἀντὶ πάντων

etiam : Otium nolo; solitudo est : turbam nolo; tumultus est. (26) Immo vero, si ita res feret, ut solus aut cum paucis degas, tranquillitatem id appella, et utere ea ut oportet : tibi loquere, exerce visa tua, notiones expoli. Sin in turbam incideris, agonem id appella, celebritatem ludorum, festivitatem; da operam ut eam una cum aliis celebres. (27) Quod enim jucundius est humano viro spectaculum multitudine hominum? equorum et boum armenta cum voluptate spectamus : naves multas cum videmus, exhilaramur : homines multos cum videt, quis dolet? (28) At clamoribus obtundunt me. Igitur auditus tuus impeditur : quid vero ad te? num etiam facultas quæ visis utitur? quis vero te prohibebit appetitione et aversatione ex naturæ præscripto uti? quis impetu et declinatione? quis tumultus ad illud satis est?

29. Tu tantum memento generalia ista ; quid meum est? quid non meum? quid mihi datum est? quid me deus facere nunc vult, quid non vult? (30) Paulo ante voluit, otium te agere, tecum colloqui, scribere his de rebus, legere, audire, præparari : ad istud satis spatii habebas. Nunc dicit : « Veni ad certamen; ostende nobis, quid didiceris, quomodo meditatus sis pugnam. Quousque solus exerceberis? Nunc tempus est, ut cognoscas, an pugil sis dignus victoria, aut ex illorum numero, qui terrarum orbem peragrantes perpetuo succumbunt. » (31) Quid ergo indignaris? nullum certamen fit absque tumultu. Multos esse oportet qui ante exerceant; multos qui vociferentur; multos magistros, multos spectatores. (32) At ego quiete vellem vivere! Plora igitur, et suspira, ut dignus es. Nam quæ alia pœna major est illi qui ineruditus est divinisque præceptis refragatur, nisi ut doleat, lugeat, invideat, denique voto frustretur, calamitatibus conflictetur? His malis non vis te liberare?

33. Quomodo vero me liberem? Nonne sæpe audivisti appetitionem omnino tollendam esse; aversationem ad ea sola transferendam, quæ tui arbitrii sint; missa facienda tibi esse omnia, corpus, opes, famam, libros, tumultum, honores, conditionem privatam? nam quocunque inclinaveris, servus, obnoxius es; prohiberi, cogi potes; totus in aliena potestate es. (34) Sed Cleanthis illud in promptu sit.

Duc tu me, o Jupiter; duc tu, Necessitas.

Ire me Romam vultis? Romam ibo. In Gyara? In Gyara. Athenas? Athenas. In carcerem? In carcerem. (35) Quodsi semel dixeris, Quando tandem Athenas ire licebit? periisti : necesse certe est ut ista appetitio, si irrita manserit, infelicem te reddat; si sit rata, vanum, elatum ob ea propter quæ efferri non decet; rursus si impedita, calamitosum, eo redactum quo nolles. (36) Omitte igitur ista omnia. Pulcræ sunt Athenæ. Sed vita beata multo pulcrior : multo pulcrius est esse affectibus et perturbatione vacuum, in nullius potestate res tuas esse. (37) Tumultus est Romæ, salutationes. Sed animi tranquillitas omnes compensat molestias

τῶν δυσκόλων. Εἰ οὖν τούτων καιρός ἐστι, διὰ τί οὐκ αἴρεις αὐτῶν τὴν ἔκκλισιν; τίς ἀνάγκη, ὡς ὄνον ξυλοκοπούμενον ἀχθοφορεῖν; (38) εἰ δὲ μή, ὅρα ὅτι δεῖ σε δουλεύειν ἀεὶ τῷ δυναμένῳ σοι διαπράξασθαι τὴν ἔξοδον, τῷ παρεμποδίσαι δυναμένῳ· κἀκεῖνον θεραπεύειν, ὡς Κακοδαίμονα.

39. Μία ὁδὸς ἐπὶ εὔροιαν (τοῦτο καὶ ὄρθρου καὶ μεθ' ἡμέραν καὶ νύκτωρ ἔστω πρόχειρον), ἀπόστασις τῶν ἀπροαιρέτων, τὸ μηδὲν ἴδιον ἡγεῖσθαι, τὸ παραδοῦναι πάντα τῷ δαιμονίῳ, τῇ Τύχῃ· ἐκείνους ἐπιτρόπους αὐτῶν ποιήσασθαι, οὓς καὶ ὁ Ζεὺς πεποίηκεν· (40) αὐτὸν δὲ πρὸς ἑνὶ εἶναι μόνῳ, τῷ ἰδίῳ, τῷ ἀκωλύτῳ· καὶ ἀναγινώσκειν, ἐπὶ τοῦτο ἀναφέροντα τὴν ἀνάγνωσιν, καὶ γράφειν, καὶ ἀκούειν. (41) Διὰ τοῦτο οὐ δύναμαι εἰπεῖν φιλόπονον, ἂν ἀκούσω τοῦτο μόνον, ὅτι ἀναγινώσκει ἢ γράφει· κἂν προσθῇ τις, ὅλας τὰς νύκτας, οὔπω λέγω, ἂν μὴ γνῶ τὴν ἀναφοράν. (42) Οὐδὲ γὰρ σὺ λέγεις φιλόπονον τὸν διὰ παιδισκάριον ἀγρυπνοῦντα· οὐ τοίνυν οὐδ' ἐγώ. Ἀλλ' ἐὰν μὲν ἕνεκα δόξης αὐτὸ ποιῇ, λέγω φιλόδοξον· ἂν δ' ἕνεκα ἀργυρίου, φιλάργυρον, οὐ φιλόπονον· ἂν δὲ δι' ἐπιθυμίαν λόγου, φιλόλογον. (43) Ἂν δ' ἐπὶ τὸ ἴδιον ἡγεμονικὸν ἀναφέρῃ τὸν πόνον, ἵν' ἐκεῖνο κατὰ φύσιν ἔχῃ καὶ διεξάγῃ, τότε λέγω μόνον φιλόπονον. (44) Μηδέποτε γὰρ ἀπὸ τῶν κοινῶν μήτ' ἐπαινεῖτε μήτε ψέγετε, ἀλλὰ ἀπὸ δογμάτων. Ταῦτα γάρ ἐστι τὰ ἴδια ἑκάστου, τὰ καὶ τὰς πράξεις αἰσχρὰς ἢ καλὰς ποιοῦντα. (45) Τούτων μεμνημένος, χαῖρε τοῖς παροῦσι, καὶ ἀγάπα ταῦτα ὧν καιρός ἐστιν. (46) Εἴ τινα ὁρᾷς, ὧν ἔμαθες καὶ διεσκέψω, ἀπαντῶντά σοι εἰς τὰ ἔργα, εὐφραίνου ἐπ' αὐτοῖς. Εἰ τὸ κακόηθες καὶ λοίδορον ἀποτέθεισαι ἢ μεμείωκας· εἰ τὸ προπετές, εἰ τὸ αἰσχρολόγον, εἰ τὸ εἰκαῖον, εἰ τὸ ἐπισεσυρμένον· εἰ οὐ κινῇ ἐφ' οἷς πρότερον, ἢ οὐχ ὁμοίως γ' ὡς πρότερον· ἑορτὴν ἄγειν δύνασαι καθ' ἡμέραν, σήμερον, ὅτι καλῶς ἀνεστράφης ἐν τῷδε τῷ ἔργῳ, αὔριον, ὅτι ἐν ἑτέρῳ. (47) Πόσῳ μείζων αἰτία θυσίας, ἢ ὑπατεία, ἢ ἐπαρχία; Ταῦτα ἐκ σοῦ αὐτοῦ γίνεταί σοι καὶ ἀπὸ τῶν θεῶν· ἐκεῖνο μέμνησο τίς ὁ διδούς ἐστι, καὶ τίσι, καὶ διὰ τίνα. (48) Τούτοις τοῖς διαλογισμοῖς ἐντρεφόμενος, ἔτι διαφέρῃ, ποῦ ὢν εὐδαιμονήσεις; ποῦ ὢν ἀρέσεις τῷ θεῷ; Οὐ πανταχόθεν τὸ ἴσον ἀπέχουσιν; οὐ πανταχόθεν ὁμοίως ὁρῶσι τὰ γινόμενα;

Quodsi igitur harum rerum est tempus, cur non tollis earum aversationem? quæ necessitas est te velut asinum fustibus cæsum ferre onera? (38) Id ni feceris, vide quid fiat : est tibi perpetuo serviendum illi qui tibi exitum aperire queat; cuilibet, impedire qui possit; is tibi colendus est, ut malus Genius.

39. Una via est ad animi tranquillitatem vitamque beatam (hoc et mane et interdiu et noctu in promptu sit), ut rebus externis cedas; ut nihil proprium judices; ut omnia deo tradas et Fortunæ; ut hos procuratores omnium constituas, quos et Jupiter constituit : (40) tu vero ipse uno illo, quod tibi proprium est, quod prohiberi nequit, occuperis; ut, cum legis, cum scribis, cum audis, eo referas lectionem, scriptionem, auditionem. (41) Propter hoc non possum dicere industrium, si audiero istud solum, legere aliquem aut scribere : et, licet adjiciat, totas noctes se id facere, nondum industrium dico, nisi cognovero quo ista referat. (42) Neque enim tu industrium eum dicis, qui propter puellam vigilat : ergo ne ego quidem. Sed, si gloriolæ caussa id fecerit, ambitiosum dico; si pecuniæ gratia, avarum, non industrium; si autem propter literarum amorem, philologum. (43) Quodsi vero ad suam mentem rationemque laborem istum retulerit, ut illa naturæ constanter pareat, tum demum industrium dico. (44) Numquam enim e communibus istis vel vituperationes vel laudationes petendæ sunt, sed e decretis. Hæc enim sunt cujusque propria, quæ actiones quoque vel turpes vel honestas efficiunt. (45) Horum memor, delectare iis quæ adsunt, et in iis acquiesce quæ tempus fert. (46) Si qua vides eorum, quæ didicisti ac meditatus es, ad rem abs te conferri, delectare iis. Si malitiam et conviciandi libidinem deposuisti aut minuisti, si petulantiam, si turpiloquium, si temeritatem, si segnitiem; si iis rebus, quibus ante movebaris, non moveris, aut non eodem certe modo quo prius affici solebas; tum quotidie festivitatem celebrare potes; hodie quod recte versatus sis in hoc opere; cras, quod in alio. (47) Quanto major tibi hæc caussa est rei divinæ faciendæ, quam si consulatum aut præfecturam esses adeptus? Hæc a te ipso habes et a deo : ista qui largiatur, memento quis sit, et quibus largiatur, et quas ob res. (48) His cogitationibus innutritus, adhuc interesse putas quo in loco beatus sis futurus, quo in loco sis deo placiturus? Nonne ubique homines æquale recipiunt? nonne undique pariter ea, quæ sunt et fiunt in mundo, intuentur?

ΚΕΦ. Ε'.

Πρὸς τοὺς μαχίμους καὶ θηριώδεις.

1. Ὁ καλὸς καὶ ἀγαθὸς οὔτ' αὐτὸς μάχεταί τινι, οὔτ' ἄλλον ἐᾷ κατὰ δύναμιν. (2) Παράδειγμα δὲ καὶ τούτου, καθάπερ καὶ τῶν ἄλλων, ἔκκειται ἡμῖν ὁ βίος ὁ Σωκράτους· ὃς οὐ μόνον αὐτὸς πανταχοῦ ἐξέφυγε μάχην, ἀλλ' οὐδ' ἄλλους μάχεσθαι εἴα. (3) Ὅρα παρὰ Ξενοφῶντι ἐν τῷ Συμποσίῳ, πόσας μάχας λέλυκε· πῶς πάλιν ἠνέσχετο Θρασυμάχου, πῶς Πώλου, πῶς Καλλικλέους· πῶς τῆς γυναικὸς ἠνείχετο, πῶς τοῦ υἱοῦ,

CAP. V.

In pugnaces et immanes.

1. Vir bonus et sapiens nec ipse cum quoquam pugnat; nec alium, quantum in ipso est, pugnare sinit. (2) Hujus quoque rei, sicut aliarum, exemplum in Socrate nobis propositum est; qui non ipse tantum ubique pugnam effugit, sed ne alios quidem pugnare passus est. (3) Vide apud Xenophontem in Convivio, quot pugnas composuerit, quo pacto porro ipse Thrasymachum, Polum, Calliclem toleraverit; quo pacto uxorem toleraverit; quo pacto filium, callide et

ἐξελεγχόμενος ὑπ' αὐτοῦ, σοφιζόμενος. (4) Λίαν γὰρ ἀσφαλῶς ἐμέμνητο, ὅτι οὐδεὶς ἀλλοτρίου ἡγεμονικοῦ κυριεύει. Οὐδὲν οὖν ἄλλο ἤθελεν ἢ τὸ ἴδιον. (5) Τί δ' ἔστι τοῦτο; Οὐχ ἵνα κινῇ τούτους κατὰ φύσιν· τοῦτο γὰρ ἀλλότριον· ἀλλ' ὅπως, ἐκείνων τὰ ἴδια ποιούντων ὡς αὐτοῖς δοκεῖ, αὐτὸς μηδὲν ἧττον κατὰ φύσιν ἕξει καὶ διεξάξει, μόνον τὰ αὐτοῦ ποιῶν πρὸς τὸ κἀκείνους ἔχειν κατὰ φύσιν. Τοῦτο γάρ ἐστιν ὃ ἀεὶ πρόκειται τῷ καλῷ καὶ ἀγαθῷ. (6) Στρατηγῆσαι; Οὔ· ἀλλ', ἂν διδῶται, ἐπὶ ταύτης τῆς ὕλης τὸ ἴδιον ἡγεμονικὸν τηρῆσαι. Γῆμαι; Οὔ· ἀλλ', ἂν διδῶται γάμος, ἐν ταύτῃ τῇ ὕλῃ κατὰ φύσιν ἔχοντα αὑτὸν τηρῆσαι. (7) Ἂν δὲ θέλῃ τὸν υἱὸν μὴ ἁμαρτάνειν ἢ τὴν γυναῖκα, θέλει τὰ ἀλλότρια μὴ εἶναι ἀλλότρια. Καὶ τὸ παιδεύεσθαι τοῦτ' ἔστι, μανθάνειν τὰ ἴδια καὶ τὰ ἀλλότρια.

8. Ποῦ οὖν ἔτι μάχης τόπος τῷ οὕτως ἔχοντι; μὴ γὰρ θαυμάζει τι τῶν γινομένων; μὴ γὰρ καινὸν αὐτῷ φαίνεται; μὴ γὰρ οὐ χείρονα καὶ χαλεπώτερα προσδέχεται τὰ παρὰ τῶν φαύλων, ἢ ἀποβαίνει αὐτῷ; μὴ γὰρ οὐ κέρδος λογίζεται πᾶν ὅ τι ἂν ἀπολίπωσι τοῦ ἐσχάτου; (9) Ἐλοιδόρησέ σε ὁ δεῖνα. Πολλὴ χάρις αὐτῷ, ὅτι μὴ ἔπληξεν. Ἀλλὰ καὶ ἔπληξε. Πολλὴ χάρις, ὅτι μὴ ἔτρωσεν. Ἀλλὰ καὶ ἔτρωσε. Πολλὴ χάρις, ὅτι μὴ ἀπέκτεινε. (10) Πότε γὰρ ἔμαθεν, ἢ παρὰ τίνι, ὅτι ἥμερόν ἐστι ζῷον, ὅτι φιλάλληλον, ὅτι μεγάλη βλάβη τῷ ἀδικοῦντι αὐτὴ ἡ ἀδικία; ταῦτα οὖν μὴ μεμαθηκὼς μηδὲ πεπεισμένος, διὰ τί μὴ ἀκολουθήσει τῷ φαινομένῳ συμφέροντι; (11) Βέβληκεν ὁ γείτων λίθους. Μή τι οὖν σὺ ἡμάρτηκας; Ἀλλὰ τὰ ἐν οἴκῳ κατεάγη. Σὺ οὖν σκευάριον εἶ; Οὔ, ἀλλὰ προαίρεσις. (12) Τί οὖν σοι δίδοται πρὸς τοῦτο; ὡς μὲν λύκῳ, ἀντιδάκνειν, καὶ ἄλλους πλείονας λίθους βάλλειν· ἀνθρώπῳ δ' ἐὰν ζητῇς, ἐπίσκεψαί σου τὸ ταμιεῖον, ἴδε τίνας δυνάμεις ἔχων ἐλήλυθας· μή τι τὴν θηριώδη· μή τι τὴν μνησικακητικήν; (13) Ἵππος οὖν πότ' ἄθλιός ἐστιν; Ὅταν τῶν φυσικῶν δυνάμεων στέρηται· οὐχ ὅταν μὴ δύνηται κοκκύζειν, ἀλλ' ὅταν μὴ τρέχειν. Ὁ δὲ κύων; Οὐχ ὅταν πέτεσθαι μὴ δύνηται, ἀλλ' ὅταν μὴ ἰχνεύειν. (14) Μή ποτ' οὖν οὕτω καὶ ἄνθρωπος δυστυχής ἐστιν, οὐχ ὁ μὴ δυνάμενος λέοντας πνίγειν, ἢ ἀνδριάντας περιλαμβάνειν· οὐ γὰρ πρὸς τοῦτο δυνάμεις τινὰς ἔχων ἐλήλυθε παρὰ τῆς φύσεως· ἀλλ' ὁ ἀπολωλεκὼς τὸ εὔγνωμον, ὁ τὸ πιστόν; (15) Τοῦτον ἔδει συνελθόντας θρηνεῖν, εἰς ὅσα κακὰ ἐλήλυθεν· οὐχὶ, μὰ Δία, τὸν φύντα, ἢ τὸν ἀποθανόντα, ἀλλ' ᾧ ζῶντι συμβέβηκει ἀπολέσαι τὰ ἴδια· οὐ τὰ πατρῷα, τὸ ἀγρίδιον, καὶ τὸ οἰκίδιον, καὶ τὸ πανδοχεῖον, καὶ τὰ δουλάρια (τούτων γὰρ οὐδὲν ἴδιον τῷ ἀνθρώπῳ ἐστὶν, ἀλλὰ πάντα ἀλλότρια, δοῦλα, ὑπεύθυνα, ἄλλοτε ἄλλοις διδόμενα ὑπὸ τῶν κυρίων), (16) ἀλλὰ τὰ ἀνθρωπικὰ, τοὺς χαρακτῆρας οὓς ἔχων ἐν τῇ διανοίᾳ ἐλήλυθεν· οἵους καὶ ἐπὶ τῶν νομισμάτων ζητοῦντες, ἂν μὲν εὕρωμεν, δοκιμάζομεν· ἂν δὲ μὴ εὕρωμεν, ῥιπτοῦμεν. (17) Τίνα ἔχει τὸν χαρακτῆρα τοῦτο τὸ τετράσσαρον; Τραϊανοῦ. Φέρε.

captiose contra ipsum disputantem. (4) Illud enim memoriæ infixum habebat, neminem alterius menti dominari: nihil igitur aliud voluit, nisi quod suum esset. (5) Illud autem quidnam est, Non, ut hos moveat secundum naturam (id enim alienum est); sed ut, aliis suo arbitratu, quod ipsis visum esset, facientibus, ipse nihilo minus naturæ constanter pareret; modo, quoad in ipso esset, elaborans ut illi quoque ex naturæ præscripto se gererent. Hoc enim viro bono et sapienti semper est propositum. (6) Præturamne gerere? Non; sed, si ipsi mandetur prætura, in hac materia proprium animi principatum conservare. Uxorem ducere? Non; sed, si datum fuerit conjugium, in eo ita se gerere, ut naturæ præscriptum conservet. (7) Quodsi vero vult, filium aut uxorem non peccare, vult aliena non esse aliena. Atque erudiri hoc est, cognoscere quæ sua sint, quæ aliena.

8. Ad eum ergo modum affecto quis adhuc pugnæ locus relinquitur? num quid eorum, quæ fiunt, admiratur? num quid novum illi videtur? annon pejora et graviora exspectat ab improbis, quam ipsi accidunt? an non in lucro deputat quidquid ab extrema improbitate absunt? (9) Iste tibi maledixit. Magnam ei gratiam habe, quod non verberavit. Sed et verberavit. Magnam habe gratiam, quod non vulneravit. Sed et vulneravit. Magnam habe gratiam, quod non occidit. (10) Quando enim didicit, aut a quo, mansuetum animal esse hominem, sociabile, ipsam injuriam magno malo esse ei a quo inferatur? Hæc igitur cum neque didicerit, nec persuasa habeat, cur non id sequatur, quod sibi expedire putat? (11) Vicinus conjecit lapides. Quid ergo tu peccasti? At supellex confracta est. Tu ergo vasculum es? Non; sed libera voluntas. (12) Quid ergo tibi adversus istud datum est? Tamquam lupo quidem, ut remordeas, et plures lapides conjicias: ut homini autem, si quæras quid, inspice penum tuum; vide quas tecum facultates attuleris: num belluinam? num ultionis avidam? (13) Equus quando miser est? Cum naturalibus facultatibus privatur: non, cum canere, ut gallus, nequit; sed cum currere nequit. Canis? Non cum volare nequit, sed cum nequit indagare. (14) Vide itaque an non homo etiam eodem modo miser sit, non is, qui leones strangulare nequit, aut statuas amplecti (neque enim ad hoc a natura facultatibus est instructus); sed is qui probitatem, qui fidem amisit. (15) Hunc oportebat a convenientibus plorari, ob tanta in quæ inciderit mala: non, ita me dii ament, eum qui natus, aut qui mortuus fuerit; sed, qui vivens suorum jacturam fecerit; non quidem patrimonii, non agelli, non domunculæ, non deversorii, non servulorum (nihil enim horum homini est proprium, omnia sunt aliena, serva, obnoxia; alias aliis ab iis, in quorum potestate sunt, dantur): (16) sed qui humana amisit, qui sigilla, quæ impressa menti secum attulit; qualia in numismate etiam quærimus, quæ si invenerimus, probamus; sin minus, rejicimus. (17) Quam notam habet sestertius iste? Trajani. Exhibe! Ne-

Νέρωνος. Ῥῖψον ἔξω, ἀδόκιμόν ἐστι, σαπρόν. Οὕτω καὶ ἐνθάδε. Τίνα ἔχει χαρακτῆρα τὰ δόγματα αὐτοῦ; Ἥμερον, κοινωνικὸν, ἀνεκτικὸν, φιλάλληλον. Φέρε, παραδέχομαι· ποιῶ πολίτην τοῦτον, παραδέχομαι γείτονα, σύμπλουν. (18) Ὅρα μόνον μὴ Νερωνιανὸν ἔχῃ χαρακτῆρα. Μή τι ὀργίλος ἐστί; μή τι μηνιτής; μή τι μεμψίμοιρος; [μή τι], ἂν αὐτῷ φανῇ, πατάσσει τὰς κεφαλὰς τῶν ἀπαντώντων; (19) Τί οὖν ἔλεγες ὅτι ἄνθρωπός ἐστι; μὴ γὰρ ἐκ ψιλῆς μορφῆς κρίνεται τῶν ὄντων ἕκαστον; ἐπεὶ οὕτω λέγε καὶ τὸ κήρινον, μῆλον εἶναι. Καὶ ὀδμὴν ἔχειν αὐτὸ δεῖ καὶ γεῦσιν· οὐκ ἀρκεῖ ἡ ἐκτὸς περιγραφή. (20) Οὐκοῦν οὐδὲ πρὸς τὸν ἄνθρωπον ἡ ῥὶς ἐξαρκεῖ, καὶ οἱ ὀφθαλμοί· ἀλλ' ἂν τὰ δόγματα ἔχῃ ἀνθρωπικά. (21) Οὗτος οὐκ ἀκούει λόγου, οὐ παρακολουθεῖ ἐλεγχόμενος· ὄνος ἐστί. Τούτου τὸ αἰδῆμον ἀπονενέκρωται· ἄχρηστός ἐστι, πάντα μᾶλλον ἢ ἄνθρωπος. Οὗτος ζητεῖ τίνα ἀπαντήσας λακτίσῃ ἢ δάκῃ· ὥστε οὐδὲ πρόβατον ἢ ὄνος, ἀλλὰ τί ποτε ἄγριον θηρίον.

22. Τί οὖν; θέλεις με καταφρονεῖσθαι; Ὑπὸ τίνων; ὑπὸ εἰδότων; καὶ πῶς καταφρονήσουσιν οἱ εἰδότες τοῦ πρᾴου, τοῦ αἰδήμονος; ἀλλ' ὑπὸ τῶν ἀγνοούντων; τί σοι μέλει; οὐ τινι γὰρ ἄλλῳ τεχνίτῃ τῶν ἀτέχνων. (23) Ἀλλὰ πολὺ μᾶλλον ἐπιφυήσονταί μοι. Τί λέγεις τὸ ἐμοί; δύναταί τις τὴν προαίρεσιν τὴν σὴν βλάψαι, ἢ κωλῦσαι ταῖς προσπιπτούσαις φαντασίαις χρῆσθαι ὡς πέφυκεν; Οὐδαμῶς. (24) Τί οὖν ἔτι ταράσσῃ καὶ φοβερὸν σαυτὸν θέλεις ἐπιδεικνύειν; οὐχὶ δὲ παρελθὼν εἰς μέσον κηρύσσεις ὅτι εἰρήνην ἄγεις πρὸς πάντας ἀνθρώπους, ὅ τι ἂν ἐκεῖνοι ποιῶσι· καὶ μάλιστ' ἐκείνων καταγελᾷς, ὅσοι σε βλάπτειν δοκοῦσιν; Ἀνδράποδα ταῦτα οὐκ οἶδεν, οὔτε τίς εἰμι, οὔτε ποῦ μου τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ὅτι οὐ πρόσοδος αὐτοῖς πρὸς τὰ ἐμά.

25. Οὕτω καὶ οἱ ἐχυρὰν πόλιν οἰκοῦντες καταγελῶσι τῶν πολιορκούντων· Νῦν δ' οὗτοι τί πρᾶγμα ἔχουσιν ἐπὶ τῷ μηδενί; ἀσφαλές ἐστιν ἡμῶν τὸ τεῖχος, τροφὰς ἔχομεν ἐπὶ πάμπολυν χρόνον, τὴν ἄλλην ἅπασαν παρασκευήν. (26) Ταῦτά ἐστι τὰ πόλιν ἐχυρὰν καὶ ἀνάλωτον ποιοῦντα· ἀνθρώπου δὲ ψυχὴν οὐδὲν ἄλλο, ἢ δόγματα. Ποῖον γὰρ τεῖχος οὕτως ἰσχυρὸν, ἢ ποῖον σῶμα οὕτως ἀδαμάντινον, ἢ ποία κτῆσις ἀναφαίρετος, ἢ ποῖον ἀξίωμα οὕτως ἀνεπιβούλευτον; (27) Ταῦτα πανταχοῦ θνητὰ, εὐάλωτα. Οἷστισι τὸν ὁπωσοῦν προσέχοντα πᾶσα ἀνάγκη ταράσσεσθαι, κακελπιστεῖν, φοβεῖσθαι, πενθεῖν, ἀτελεῖς ἔχειν τὰς ὀρέξεις, περιπτωτικὰς ἔχειν τὰς ἐκκλίσεις. (28) Εἶτα οὐ θέλομεν τὴν μόνην δεδομένην ἡμῖν ἀσφάλειαν ἐχυρὰν ποιεῖν; οὐδ', ἀποστάντες τῶν θνητῶν καὶ δούλων, τὰ ἀθάνατα καὶ φύσει ἐλεύθερα ἐκπονεῖν; οὐδὲ μεμνήμεθα ὅτι οὔτε βλάπτει ἄλλος ἄλλον, οὔτε ὠφελεῖ, ἀλλὰ τὸ περὶ ἑκάστου τούτων δόγμα, τοῦτό ἐστι τὸ βλάπτον, τοῦτό ἐστι τὸ ἀνατρέπον, τοῦτο μάχη, τοῦτο στάσις, τοῦτο πόλεμος. (29) Ἐτεοκλέα καὶ Πολυνείκην τὸ πεποιηκὸς οὐκ ἄλλο, ἢ τοῦτο τὸ δόγμα, τὸ περὶ τυραννίδος,

rogis. Abjice; improbus est, adulterinus. Ita hic etiam. Quod signum habent decreta illius? Mansuetum, sociabile, tolerans, amans aliorum. Exhibe! accipio : hunc civem facio, admitto vicinum, navigationis comitem. (18) Vide modo ne characterem Neronianum habeat. Estne iracundus? estne persequens inimicitiarum? estne morosus? an obviorum capita cædit, cum ei visum fuerit? (19) Quid ergo hominem eum esse dicebas? num enim sola forma singulæ res judicantur? Id si ita est, ceream quoque massam dic pomum esse. At habere pomi et odorem et gustum oportet : non satis est externa circumscriptio. (20) Neque igitur ad hominem constituendum nasus satis est, et oculi; sed decreta humana requiruntur. (21) Hic non audit rationem; cum arguitur, non intelligit : asinus est. Hujus verecundia est emortua : inutilis est, et quidvis potius quam homo. Hic quærit quem obvium mordeat, aut calcibus petat : itaque ne ovis quidem aut asinus est, sed cuilibet feræ bestiæ simillimus.

22. Quid ergo? vis me contemni? A quibus? ab iis qui te norunt? quomodo autem, qui norunt te, contemnent, cum sis mansuetus, cum sis verecundus? At ab iis qui te ignorant? quid id tua refert? neque enim alius artifex ignaros artis suæ curat. (23) At multo magis adorientur me. Quid dicis, me? potestne quisquam voluntatem tuam lædere, aut prohibere quominus oblatis visis, ut natura fert, utaris? Nequaquam. (24) Quid ergo adhuc turbaris et formidabilem te præbere studes? quin potius progressus in medium, proclamas tibi pacem esse cum omnibus hominibus, quidquid illi agant; et eos inprimis derides, qui se tibi nocere putant? Mancipia ista ignorant, quis sim; ubi mea bona et mala posita sint, nesciunt; non patere sibi aditum ad meas opes, ignorant.

25. Sic, qui munitam incolunt urbem, hostilem obsidionem rident : Nunc isti quid sibi frustra facessunt negotium? tuta sunt nostra mœnia; cibaria habemus in perlongum tempus; omnibus aliis rebus instructi sumus. (26) Hæc sunt quæ civitatem munitam et inexpugnabilem faciant : hominis vero animum, nihil aliud nisi decreta. Nam qui murus adeo firmus est, aut quod corpus adeo adamantinum, quæve possessio tam certa et propria, aut quæ dignitas ita insidiarum expers? (27) Hæc ubique mortalia sunt, expugnatu facilia; quibus qui ullo modo adjungit animum, hunc turbari omnino necesse est, male sperare, timere, lugere, irritas habere appetitiones, in ea quæ nolit incidere. (28) Et tamen solam eam arcem, quæ nobis data est, munire nolumus? nec, repudiatis mortalibus rebus et servilibus, in eis elaborare quæ sunt immortales et sua natura liberæ? neque cogitamus, neminem ab alio vel juvari vel lædi, sed decretum de eo, quod vel juvandi vel lædendi vim habeat, hoc esse quod lædat, hoc esse quod evertat, hoc pugnarum, hoc seditionum, hoc bellorum caussam. (29) Quod Eteoclem et Polynicem reddidit tales, nihil aliud est, nisi hoc ipsum decretum, decretum de imperio,

τὸ δόγμα τὸ περὶ φυγῆς· ὅτι τὸ μὲν, ἔσχατον τῶν κακῶν· τὸ δὲ, μέγιστον τῶν ἀγαθῶν. (30) Φύσις δ' αὕτη παντὸς, τὸ διώκειν τὸ ἀγαθὸν, φεύγειν τὸ κακόν· τὸν ἀφαιρούμενον θατέρου, καὶ περιβάλλοντα τῷ ἐναντίῳ, τοῦτον ἡγεῖσθαι πολέμιον καὶ ἐπίβουλον, κἂν ἀδελφὸς ᾖ, κἂν υἱὸς, κἂν πατήρ. (31) Τοῦ γὰρ ἀγαθοῦ συγγενέστερον οὐδέν· λοιπὸν εἰ ταῦτα ἀγαθὰ καὶ κακὰ, οὔτε πατὴρ υἱοῖς φίλος, οὔτ' ἀδελφὸς ἀδελφῷ, πάντα δὲ πανταχοῦ μεστὰ πολεμίων, ἐπιβούλων, συκοφαντῶν. (32) Εἰ δ', οἵα δεῖ προαίρεσις, τοῦτο μόνον ἀγαθόν ἐστι, καὶ, οἵα μὴ δεῖ, τοῦτο μόνον κακόν· ποῦ ἔτι μάχη; ποῦ λοιδορία; περὶ τίνων; περὶ τῶν οὐδὲν πρὸς ἡμᾶς; πρὸς τίνας; πρὸς τοὺς ἀγνοοῦντας, πρὸς τοὺς δυστυχοῦντας, πρὸς τοὺς ἠπατημένους περὶ τῶν μεγίστων;

33. Τούτων Σωκράτης μεμνημένος, τὴν οἰκίαν τὴν αὑτοῦ ᾤκει, γυναικὸς ἀνεχόμενος τραχυτάτης, υἱοῦ ἀγνώμονος. Τραχεῖα γὰρ πρὸς τί ἦν; Ἵν' ὕδωρ καταχέῃ τῆς κεφαλῆς ὅσον καὶ θέλει, ἵνα καταπατήσῃ τὸν πλακοῦντα· καὶ τί πρὸς ἐμὲ, ἂν ὑπολάβω ὅτι ταῦτα οὐδὲν πρὸς ἐμέ; (34) Τοῦτο δ' ἐμὸν ἔργον ἐστί· καὶ οὔτε τύραννος κωλύσει με θέλοντα, οὔτε δεσπότης, οὔτε οἱ πολλοὶ τὸν ἕνα, οὔθ' ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον· τοῦτο γὰρ ἀκώλυτον δέδοται ὑπὸ τοῦ θεοῦ ἑκάστῳ. (35) Ταῦτα τὰ δόγματα ἐν οἰκίᾳ φιλίαν ποιεῖ, ἐν πόλει ὁμόνοιαν, ἐν ἔθνεσιν εἰρήνην, πρὸς θεὸν εὐχάριστον, πανταχοῦ θαῤῥοῦντα, ὡς περὶ τῶν ἀλλοτρίων, ὡς περὶ οὐδενὸς ἀξίων. (36) Ἀλλ' ἡμεῖς γράψαι μὲν καὶ ἀναγνῶναι ταῦτα, καὶ ἀναγινωσκόμενα ἐπαινέσαι ἱκανοὶ, πεισθῆναι δ' οὐδ' ἐγγύς. (37) Τοιγαροῦν τὸ περὶ τῶν Λακεδαιμονίων λεγόμενον,

Οἴκοι λέοντες, ἐν Ἐφέσῳ δ' ἀλώπεκες,

καὶ ἐφ' ἡμῶν ἁρμόσει· ἐν σχολῇ λέοντες, ἔξω δ' ἀλώπεκες.

ΚΕΦ. ς'.

Πρὸς τοὺς ἐπὶ τῷ ἐλεεῖσθαι ὀδυνωμένους.

1. Ἀνιῶμαι, φησὶν, ἐλεούμενος. Πότερον οὖν σὸν ἔργον ἐστὶ τὸ ἐλεεῖσθαί σε, ἢ τῶν ἐλεούντων; τί δέ; ἐπὶ σοί ἐστι τὸ παῦσαι αὐτό; Ἐπ' ἐμοὶ, ἂν δεικνύω αὐτοῖς μὴ ἄξιον ἐλέου ὄντα ἐμαυτόν. (2) Πότερον δ' ἤδη σοι ὑπάρχει τοῦτο, τὸ μὴ εἶναι ἐλέου ἄξιον, ἢ οὐχ ὑπάρχει; Δοκῶ ἔγωγε ὅτι οὐχ ὑπάρχει. Ἀλλ' οὗτοί γε οὐκ ἐπὶ τούτοις ἐλεοῦσιν, ἐφ' οἷς, εἴπερ ἄρα, ἦν ἄξιον, ἐπὶ τοῖς ἁμαρτανομένοις· ἀλλ' ἐπὶ πενίᾳ, καὶ ἀναρχίᾳ, καὶ νόσοις, καὶ θανάτοις, καὶ ἄλλοις τοιούτοις. (3) Πότερον οὖν πείθειν παρεσκεύασαι τοὺς πολλοὺς, ὡς ἄρα οὐδὲν τούτων κακόν ἐστιν, ἀλλ' οἷόν τε καὶ πένητι καὶ ἀνάρχῳ ὄντι καὶ ἀτίμῳ εὐδαιμονεῖν· ἢ σαυτὸν ἐπιδεικνύειν αὐτοῖς πλουτοῦντα καὶ ἄρχοντα; (4) Τούτων γὰρ τὰ μὲν δεύτερα, ἀλαζόνος καὶ ψυχροῦ, καὶ οὐδενὸς ἀξίου. Καὶ ἡ προσποίησις ὅρα δι' οἵων ἂν γένοιτο. Δουλαρίά σε χρήσασθαι δεήσει, καὶ ἀργυρωμάτια ὀλίγα κεκτῆσθαι, καὶ ταῦτα ἐν φανερῷ δεικνύειν, εἰ οἷόν τε, ταὐτὰ πολλάκις, καὶ λανθάνειν πειρᾶσθαι ὅτι ταὐτά ἐστι· καὶ

decretum de exsilio; quod scilicet alterum, extremum malorum videretur; alterum, summum bonum. (30) Est autem hæc natura omnium, ut et bona persequantur, et mala fugiant; ut, qui ex altero eripuerit et in contrarium conjecerit, eum hostem judicent et insidiatorem, sive frater fuerit sive filius, sive pater. (31) Nam bono nihil est nobis conjunctius : quodsi igitur illa bona et mala sunt, neque pater filiis erit amicus, neque frater fratri; sed ubique omnia plena hostium, insidiatorum, calumniatorum. (32) Sin voluntas talis, qualis esse debet, solum bonum est, et, qualis non debet, solum malum; quæ pugna restat? quæ obtrectatio? quibus de rebus? de iis quæ ad nos nihil attinent? contra quos? contra ignorantes, contra calamitosos, contra eos qui in maximarum rerum errore versantur?

33. Horum Socrates memor, domum suam administrabat, uxorem tolerans asperrimam, et filium ingratum. Etenim Xanthippes asperitas quo pertinebat? Aquæ quantum volet, in caput infundat meum! placentam conculcet! Quid vero ad me, si persuasum habuero ista nihil ad me pertinere? (34) Hoc vero meum munus est; in quo neque tyrannus me volentem prohibebit, neque dominus, neque multi unum, neque robustior imbecilliorem : hoc enim cuique a deo ita est datum, ut prohiberi non possit. (35) Hæc decreta in ædibus amicitiam conciliant; in urbe concordiam, inter nationes pacem : hæc faciunt gratum adversus deum, ubique fiducia plenum, tamquam de alienis et nullius pretii. (36) At nos scribere quidem ista et legere possumus, et, cum leguntur, laudare; multum vero abest ut ea sequamur. (37) Proinde illud, quod in Lacedæmonios dictum est,

Domi leones, at Ephesi vulpeculæ,

etiam nobis conveniet : in schola leones sumus, foris vero vulpeculæ.

CAP. VI.

In eos qui dolent quod miserabiles videantur aliis.

1. Moleste, inquit, fero, miserari me homines. Estne igitur tuum id opus, an eorum qui te miserantur? estne vero penes te, id compescere? Me penes, si eis ostendero, me non dignum esse miseratione. (2) Utrum vero jam ita bene tecum agitur, ut non sis miseratione dignus, an nondum? Puto equidem non ita mecum agi. At isti non ob ea me miserantur propter quæ id fieri utcumque oportebat, videlicet propter peccata; sed eo quod honoribus caream', sed propter paupertatem, propter morbos, propter orbitatem, et id genus alia. (3) Num igitur operam das ut persuadeas hominibus, nihil horum esse malum; sed posse fieri ut et pauper, et sine magistratu, et honorum expers, sis beatus? aut operam das ut tamquam divitem te et principem eis ostentes? (4) Nam hoc posterius quidem arrogantis est, et inepti, et nullius pretii hominis. Atque ista simulatio, vide quibus rebus constet. Servuli tibi conducendi erunt, argentea vascula nonnulla habenda, eaque aperte ostentanda; et quidem eadem, si fieri potest, sæpius; dandaque opera ut non eadem esse videantur : est et splendidis vestibus

ἱματίδια στιλπνά, καὶ τὴν ἄλλην πομπήν, καὶ τὸν τιμώμενον ἐπιφαίνειν ὑπὸ τῶν ἐπιφανῶν τούτων· καὶ δειπνεῖν πειρᾶσθαι παρ' αὐτοῖς, ἢ δοκεῖν γε ὅτι δειπνεῖς· καὶ περὶ τὸ σῶμα δέ τινα κακοτεχνεῖν, ὡς εὐμορφότερον φαίνεσθαι καὶ γενναιότερον τοῦ ὄντος.

5. Ταῦτά σε δεῖ μηχανᾶσθαι, εἰ τὴν δευτέραν ὁδὸν ἀπιέναι θέλεις ὥστε μὴ ἐλεεῖσθαι. Ἡ πρώτη δὲ καὶ ἀνήνυτος καὶ μακρά· ὃ ὁ Ζεὺς οὐκ ἠδυνήθη ποιῆσαι, τοῦτο αὐτὸ ἐπιχειρεῖν, πάντας ἀνθρώπους πεῖσαι, τίνα ἐστὶν ἀγαθὰ καὶ κακά. (6) Μὴ γὰρ δέδοταί σοι τοῦτο; ἐκεῖνο μόνον σοι δέδοται, σαυτὸν πεῖσαι. Καὶ οὔπω πέπεικας· εἶτά μοι νῦν ἐπιχειρεῖς πείθειν τοὺς ἄλλους; (7) καὶ τίς σοι τοσούτῳ χρόνῳ σύνεστιν, ὡς σὺ σαυτῷ; τίς δὲ οὕτω πιθανός ἐστί σοι πρὸς τὸ πεῖσαι, ὡς σὺ σαυτῷ; τίς δ' εὐνούστερον καὶ οἰκειότερον ἔχων, ἢ σὺ σαυτῷ; (8) πῶς οὖν οὔπω πέπεικας σαυτὸν μαθεῖν; νῦν οὐχὶ ἄνω κάτω; Τοῦτ' ἔστι περὶ ὃ ἐσπούδακας, * καὶ * μανθάνειν ὥστε ἄλυπος εἶναι, καὶ ἀτάραχος, καὶ ἀταπείνωτος, καὶ ἐλεύθερος; (9) Πρὸς ταῦτα οὖν οὐκ ἀκήκοας ὅτι μία ἐστὶν ἡ ὁδὸς ἡ φέρουσα, ἀφεῖναι τὰ ἀπροαίρετα, καὶ ἐκστῆναι αὐτῶν, καὶ ὁμολογῆσαι αὐτὰ ἀλλότρια; (10) Τὸ οὖν ἄλλον τι ὑπολαβεῖν περὶ σοῦ, ποίου εἴδους ἐστί; Τοῦ ἀπροαιρέτου. Οὐκοῦν οὐδὲν πρὸς σέ; Οὐδέν. Ἔτι οὖν δακνόμενος ἐπὶ τούτῳ καὶ ταρασσόμενος, οἴει πεπεῖσθαι περὶ ἀγαθῶν καὶ κακῶν;

11. Οὐ θέλεις οὖν, ἀφεὶς τοὺς ἄλλους, αὐτὸς σαυτῷ γενέσθαι καὶ μαθητὴς καὶ διδάσκαλος; Ὄψονται οἱ ἄλλοι, εἰ λυσιτελεῖ αὐτοῖς παρὰ φύσιν ἔχειν καὶ διεξάγειν· ἐμοὶ δ' οὐδείς ἐστιν ἐγγίων ἐμοῦ. (12) Τί οὖν τοῦτό ἐστιν, ὅτι τοὺς μὲν λόγους ἀκήκοα τοὺς τῶν φιλοσόφων, καὶ συγκατατίθεμαι αὐτοῖς, ἔργῳ δ' οὐδὲν γέγονα κουφότερος; μή τι οὕτως ἀφυής εἰμι; Καὶ μὴν περὶ τὰ ἄλλα, ὅσα ἠβουλήθην, οὐ λίαν ἀφυὴς εὑρέθην· ἀλλὰ καὶ γράμματα ταχέως ἔμαθον, καὶ παλαίειν, καὶ γεωμετρεῖν, καὶ συλλογισμοὺς ἀναλύειν. (13) Μή τι οὖν οὐ πέπεικέ με ὁ λόγος; Καὶ μὴν οὐκ ἄλλα τινὰ οὕτως ἐξ ἀρχῆς ἐδοκίμασα ἢ εἱλόμην· καὶ νῦν περὶ τούτων ἀναγινώσκω, ταῦτα ἀκούω, ταῦτα γράφω· ἄλλον οὐχ εὑρήκαμεν μέχρι νῦν ἰσχυρότερον τούτου λόγον. (14) Τί οὖν τὸ λεῖπόν μοι ἐστί; μὴ οὐκ ἐξῄρηται τὰ ἐναντία δόγματα; μὴ αὐταὶ αἱ ὑπολήψεις ἀγύμναστοί εἰσιν, οὐδ' εἰθισμέναι ἀπαντᾶν ἐπὶ τὰ ἔργα, ἀλλ', ὡς ὁπλάρια ἀποκείμενα, κατίωται, καὶ οὐδὲ περιαρμόσαι μοι δύναται; (15) Καίτοι οὔτ' ἐπὶ τοῦ παλαίειν, οὔτ' ἐπὶ τοῦ γράφειν ἢ ἀναγινώσκειν ἀρκοῦμαι τῷ μαθεῖν· ἀλλ' ἄνω κάτω στρέφω τοὺς προτεινομένους, καὶ ἄλλους πλέκω, καὶ μεταπίπτοντας ὡσαύτως. (16) Τὰ δ' ἀναγκαῖα θεωρήματα, ἀφ' ὧν ἔστιν ὁρμώμενον ἄλυπον γενέσθαι, ἄφοβον, ἀπαθῆ, ἀκώλυτον, ἐλεύθερον, ταῦτα δ' οὐ γυμνάζω, οὐδὲ μελετῶ κατὰ ταῦτα τὴν προσήκουσαν μελέτην. (17) Εἶτά μοι μέλει ὅ τι οἱ ἄλλοι περὶ ἐμοῦ ἐροῦσιν, εἰ φανοῦμαι αὐτοῖς ἀξιόλογος, εἰ φανοῦμαι εὐδαίμων;

opus, ceteraque pompa; et præ te ferendum, ab illustribus istis honorem tibi haberi : danda item opera ut apud eos cœnites, aut saltem cœnitare videaris : corpus etiam malis quibusdam artibus excolendum est, ut formosior et robustior videaris quam es.

5. Hæc tibi machinanda sunt, si alteram viam avertendæ commiserationis ingredi statuisti. Prior vero illa et irrita est et longa; si, quod ne Jupiter quidem efficere potuit, id ipsum tu instituas; omnibus mortalibus persuadere, quæ bona, quæ mala sint. (6) Hocne enim tibi datum est? Illud unum tibi datum, ut tibi ipsi persuadeas : quod cum ipse tibi nondum persuaseris, ceteris persuadere conaris? (7) Quis autem tanto tempore tecum est, quanto tu ipse? quis eam vim persuadendi apud te habet, quam tu ipse? quis tibi benevolentior et conjunctior est te ipso? (8) Qui fit ergo ut tibi nondum persuaseris, ut ista cognosceres? Nonne hoc igitur est ima summis mutare? Hoccine est cui operam dedisti, ut disceres quo pacto expers esses doloris, expers perturbationis, non humilis, et liber? (9) An vero non audivisti, unam esse viam quæ huc ducat, missa facere ea quæ in nostra voluntate non sunt posita, iisque cedere, et aliena ea esse confiteri? (10) Ut autem alius sic aut aliter de te sentiat, cujus generis est? Rerum involuntariarum. Ergo nihil ad te? Nihil. Cum ergo id adhuc te mordeat et turbet; putasne tibi persuasum esse quæ bona, quæ mala sint?

11. Non vis igitur, omissis aliis hominibus, ipse tuus esse et discipulus et magister? « Viderint alii, an ipsis prosit « repugnare naturæ, et ab ejus præscripto desciscere : mihi « vero nemo propior est me ipso. (12) Quid est ergo « quod disputationes quidem philosophorum audivi, iisque « assentior, re ipsa vero nihilo sum factus expeditior? « adeone sum stupidus? Enimvero in celeris, quibuscum- « que volui, non is stupor in me deprehensus est : sed et « literas celeriter didici, et luctam, et geometriam, et re- « solutiones syllogismorum. (13) Numquid ergo mihi fidem « non fecit ratio? Atqui nihil aliud inde ab initio æque pro- « bavi atque amplexus sum; et nunc etiam hæc lego, hæc « audio, hæc scribo; aliam non invenimus hactenus fir- « miorem ista rationem. (14) Quid ergo mihi deest? num « contraria decreta nondum exempta mihi sunt? num ipsa « illa animi judicia sunt inexercitata, nec assuefacta ut in « vitæ actionem conferantur; sed, velut arma *in templorum* « *muris* suspensa, æruginosa sunt, et mihi ne apta quidem. « (15) Atqui nec in luctando, nec in scribendo aut legendo « sola doctrina sum contentus; sed sursum deorsumque « verso argumentationes mihi propositas, et alias concinno, « et versatiles syllogismos eodem modo formo. (16) Sed ne- « cessaria præcepta, quibus instructus dolorem, timorem, « perturbationes, impedimenta propulsare, meque in liber- « tatem asserere possim; ea demum non exerceo, neque in « his meditationem convenientem adhibeo. (17) Et tamen « curo adhuc, quid alii de me dicant, an eis alicujus pretii « esse videar, an videar beatus? »

18. Ταλαίπωρε, οὐ θέλεις βλέπειν τί σὺ λέγεις περὶ σαυτοῦ; τίς φαίνῃ σαυτῷ· τίς ἐν τῷ ὑπολαμβάνειν· τίς ἐν τῷ ὀρέγεσθαι· τίς ἐν τῷ ἐκκλίνειν· τίς ἐν ὁρμῇ, παρασκευῇ, ἐπιβολῇ, τοῖς ἄλλοις τοῖς ἀνθρωπικοῖς ἔργοις; Ἀλλὰ μέλει σοι, εἴ σε ἐλεοῦσιν οἱ ἄλλοι; Ναί· ἀλλὰ παρὰ τὴν ἀξίαν ἐλεοῦμαι. (19) Οὐκοῦν ἐπὶ τούτῳ ὀδυνᾷ; ὁ δέ γ' ὀδυνώμενος, ἐλεεινός ἐστι; Ναί. Πῶς οὖν ἔτι παρ' ἀξίαν ἐλεῇ; αὐτοῖς γὰρ οἷς περὶ τὸν ἔλεον πάσχεις, κατασκευάζεις σεαυτὸν ἄξιον τοῦ ἐλεεῖσθαι. (20) Τί οὖν λέγει Ἀντισθένης; οὐδέποτ' ἤκουσας; « Βασιλικόν, ὦ Κῦρε, πράττειν μὲν εὖ, κακῶς δ' ἀκούειν. » (21) Τὴν κεφαλὴν ὑγιᾶ ἔχω, καὶ πάντες οἴονται ὅτι κεφαλαλγῶ. Τί μοι μέλει; Ἀπύρεκτός εἰμι, καὶ ὡς πυρέσσοντί μοι συνάχθονται· Τάλας, ἐκ τοσούτου χρόνου οὐ διέλιπες πυρέσσων. Λέγω καὶ ἐγὼ σκυθρωπάσας, ὅτι Ναί· ταῖς ἀληθείαις πολὺς ἤδη χρόνος, ἐξ οὗ μοι κακῶς ἐστι. Τί οὖν γένηται; Ὡς ἂν ὁ θεὸς θέλῃ. Καὶ ἅμα ὑποκαταγελῶ τῶν οἰκτειρόντων με. (22) Τί οὖν κωλύει καὶ ἐνταῦθα ὁμοίως; Πένης εἰμί, ἀλλὰ ὀρθὸν δόγμα ἔχω περὶ πενίας. Τί οὖν μοι μέλει, εἴ μ' ἐπὶ τῇ πενίᾳ ἐλεοῦσιν; Οὐχ ἄρχω, ἄλλοι δ' ἄρχουσιν. Ἀλλ', ὃ δεῖ ὑπειληφέναι, ὑπείληφα περὶ τοῦ ἄρχειν καὶ μὴ ἄρχειν. (23) Ὄψονται οἱ ἐλεοῦντές με. Ἐγὼ δ' οὔτε πεινῶ, οὔτε διψῶ, οὔτε ῥιγῶ· ἀλλ' ἀφ' ὧν αὐτοὶ πεινῶσιν ἢ διψῶσιν οἴονται κἀμέ. Τί οὖν αὐτοῖς ποιήσω; Περιερχόμενος κηρύσσω καὶ λέγω; Μὴ πλανᾶσθε, ἄνδρες, ἐμοὶ καλῶς ἐστιν, οὔτε πενίας ἐπιστρέφομαι, οὔτε ἀναρχίας, οὔτε ἁπλῶς ἄλλου οὐδενός, ἢ δογμάτων ὀρθῶν· ταῦτα ἔχω ἀκώλυτα, οὐδενὸς πεφρόντικα ἔτι. (24) Καὶ τίς αὕτη φλυαρία; πῶς ἔτι ὀρθὰ δόγματα ἔχω, μὴ ἀρκούμενος τῷ εἶναι ὅς εἰμι, ἀλλ' ἐπτοημένος ὑπὲρ τοῦ δοκεῖν;

25. Ἀλλ' ἄλλοι μου πλειόνων τεύξονται, καὶ προτιμηθήσονται. Τί οὖν εὐλογώτερον ἢ τοὺς περί τι ἐσπουδακότας ἐν ἐκείνῳ πλέον ἔχειν ἐν ᾧ ἐσπουδάκασι; περὶ ἀρχὰς ἐσπουδάκασι, σὺ περὶ δόγματα· καὶ περὶ πλοῦτον, σὺ περὶ τὴν χρῆσιν τῶν φαντασιῶν. (26) Ὅρα εἰ ἐν τούτῳ σου πλέον ἔχουσι, περὶ ὃ σὺ μὲν ἐσπούδακας, ἐκεῖνοι δ' ἀμελοῦσιν· εἰ συγκατατίθενται μᾶλλον περὶ τὰ φυσικὰ μέτρα· εἰ ὀρέγονταί σου ἀναποτευκτότερον· εἰ ἐκκλίνουσιν ἀπεριπτωτότερον· εἰ ἐν ἐπιβολῇ, εἰ ἐν προθέσει, εἰ ἐν ὁρμῇ μᾶλλον εὐστοχοῦσιν· εἰ τὸ πρέπον σώζουσιν ὡς ἄνδρες, ὡς υἱοί, ὡς γονεῖς, εἶθ' ἑξῆς κατὰ τὰ ἄλλα τῶν σχέσεων ὀνόματα. (27) Εἰ δὲ ἄρχουσιν ἐκεῖνοι, σὺ δ' οὔ· οὐ θέλεις σαυτῷ τὰς ἀληθείας εἰπεῖν, ὅτι σὺ μὲν οὐδὲν τούτου ἕνεκα ποιεῖς, ἐκεῖνοι δὲ πάντα; ἀλογώτατον δέ, τὸν ἐπιμελούμενόν τινος, ἔλαττον φέρεσθαι, ἢ τὸν ἀμελοῦντα.

28. Οὔ· ἀλλ' ἐπειδὴ φροντίζω ἐγὼ δογμάτων ὀρθῶν, εὐλογώτερόν ἐμέ ἐστιν ἄρχειν. Ἐν ᾧ φροντίζεις, ἐν δόγμασιν. Ἐν ᾧ δ' ἄλλοι μᾶλλον σοῦ πεφροντίκασιν, ἐκείνοις παραχώρει. Οἷον εἰ διὰ τὸ δόγματα ἔχειν ὀρθά, ἠξίους τοξεύων μᾶλλον ἐπιτυγχάνειν τῶν τοξοτῶν, ἢ χαλκεύων μᾶλλον τῶν χαλκέων. (29) Ἄφες

18. Miser, non vis videre, tu ipse de te quid dicas? quis tibi videaris? quis sis in opinionibus? quis in appetitionibus? quis in aversando? quis in impetu, in præparatione, in ipsa rerum aggressione? quis in aliis humanis operibus? At illud curas, quod alii tui misereantur? Immo : nempe quoniam secus, quam par est, me miserantur. (19) Ob id ergo doles? at nonne, qui dolet, miserabilis est? Recte. Quomodo ergo secus, quam par est, te miserantur? nam ea ipsa ratione, qua erga miserationem affectus es, facis ut sis miserabilis. (20) Quid vero Antisthenes ait? numquamne id audivisti? « Regium est, Cyre, cum recte facias, male audire. » (21) Caput sanum habeo; et omnes opinantur, e capite me laborare. Quid ad me? Cum febri non laborem, meam vicem ut febricitantis dolent : Miser, tanto tempore febricitare numquam desiisti! Dico et ipse tristi vultu, rem ita se habere : Omnino longum tempus est, ex quo male habui. « Quid ergo fiet? » Quod deus, inquam, voluerit; simulque clam eos derideo, qui me miserantur. (22) Quid ergo vetat idem hic quoque facere? Pauper sum; sed recte sentio de paupertate. Quid ergo ad me, si paupertatem meam miserantur? Non impero, sed alii imperant. Verum quid de imperio et privata vita sentiendum sit, intelligo. (23) Viderint ii qui me miserantur. Ego vero nec esurio, nec sitio, nec algeo : sed quia ipsi esuriunt aut sitiunt, eodem modo me quoque affici putant. Quid ergo eis faciam? Passim proclamabo et dicam? Nolite errare, viri; mihi bene est; neque paupertatem curo, nec quod honoribus caream; nec ullam denique rem curo, præter recta decreta : ea habeo libera, præterea nihil me sollicitat. (24) Quæ autem istæ nugæ sunt? quomodo recta decreta retineo, cum non contentus sim eo statu in quo sum, attonitus quid aliis de me videatur?

25. At alii plura consequentur, mihique præferentur. Quid ergo rationi magis consentaneum est, quam eos, qui aliqua in re elaborant, ea in re meliore conditione esse in qua elaborarunt? student illi adipiscendis magistratibus, tu informandis decretis : illi divitiis inhiant, tu recto usui visorum. (26) Vide an in eo tibi præstent, quod, ut tibi studio est, ita ab illis negligitur; an magis assentiantur modo a natura præscripto; an minus frustrentur appetitionibus suis; an minus incidant in ea quæ vitant; an in conatibus, in propositis, in impetu rectius quam tu ad scopum collineent; an decorum tueantur ut viri, ut filii, ut parentes, in ceterarum denique relationum nominibus. (27) Quodsi illi magistratus gerunt, et tu non geris; nonne vis tibi verum dicere, te ea gratia nihil facere, cum illi faciant omnia? est autem absurdissimum, qui rem aliquam curet, eum in ea re deteriore esse conditione eo qui eamdem negligat.

28. Non ita : sed quia ego recta decreta curo, æquius est me imperare. Recte; nempe in eo quod tu curas; in decretis. Quod vero alii te studiosius curant, in eo illis cedito. Perinde istud est, ac si propter recta tua decreta postulares, te sagittando magis attingere scopum quam sagittarios, aut in arte fabrili fabris antecellere. (29) Omitte

οὖν τὴν περὶ τὰ δόγματα σπουδὴν, καὶ περὶ ἐκεῖνα ἀναστρέφου ἃ κτήσασθαι θέλεις· καὶ τότε κλαῖε, ἐάν σοι μὴ προχωρῇ· κλαίειν γὰρ ἄξιος εἶ. (30) Νῦν δὲ πρὸς ἄλλοις γίνεσθαι λέγεις, ἄλλων ἐπιμελεῖσθαι· καὶ οἱ πολλοὶ δὲ τοῦτο καλῶς λέγουσιν, ὅτι ἔργον ἔργῳ οὐ κοινωνεῖ. (31) Ὁ μὲν ἐξ ὄρθρου ἀναστὰς ζητεῖ τίν' ἂν ἐξ οἴκου ἀσπάσηται, τίνι κεχαρισμένον λόγον εἴπῃ, τίνι δῶρον πέμψῃ, πῶς τῷ ὀρχηστῇ ἀρέσῃ, πῶς κακοηθισάμενος ἄλλον, ἄλλῳ χαρίσηται. (32) Ὅταν εὔχηται, περὶ τούτων εὔχεται· ὅταν θύῃ, ἐπὶ τούτοις θύει· τὸ τοῦ Πυθαγόρου,

Μὴ δ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,

ἐνταῦθα παρατέθεικε. (33) « Πῇ παρέβην » τῶν πρὸς κολακείαν; « Τί ἔρεξα; » μή τι ὡς ἐλεύθερος, μή τι ὡς γενναῖος; Κἂν εὕρῃ τι τοιοῦτον, ἐπιτιμᾷ ἑαυτῷ καὶ ἐγκαλεῖ· Τί γάρ σοι καὶ τοῦτο εἰπεῖν; οὐ γὰρ ἐνῆν ψεύσασθαι; λέγουσι καὶ οἱ φιλόσοφοι, ὅτι οὐδὲν κωλύει ψεῦδος εἰπεῖν. (34) Σὺ δ', εἴπερ ταῖς ἀληθείαις οὐδενὸς ἄλλου πεφρόντικας ἢ χρήσεως οἵας δεῖ φαντασιῶν, εὐθὺς ἀναστὰς ἕωθεν ἐνθυμοῦ, Τίνα μοι λείπει πρὸς ἀπάθειαν; τίνα πρὸς ἀταραξίαν; τίς εἰμί; μή τι σωμάτιον; μή τι κτῆσις; μή τι φήμη; οὐδὲν τούτων. Ἀλλὰ τί; Λογικόν εἰμι ζῷον. (35) Τίνα οὖν τὰ ἀπαιτήματα; Ἀναπόλει τὰ πεπραγμένα. « Πῇ παρέβην » τῶν πρὸς εὔροιαν; « τί ἔρεξα » ἢ ἄφιλον ἢ ἀκοινώνητον; « τί μοι δέον οὐκ ἐτελέσθη » πρὸς ταῦτα;

36. Τοσαύτης οὖν τῆς διαφορᾶς οὔσης τῶν ἐπιθυμουμένων, τῶν ἔργων, τῶν εὐχῶν, ἔτι θέλεις τὸ ἴσον ἔχειν ἐν ἐκείνοις, περὶ ἃ σὺ μὲν οὐκ ἐσπούδακας, ἐκεῖνοι δ' ἐσπουδάκασιν; (37) Εἶτα θαυμάζεις εἴ σ' ἐλεοῦσι, καὶ ἀγανακτεῖς; Ἐκεῖνοι δ' οὐκ ἀγανακτοῦσιν, εἰ σὺ αὐτοὺς ἐλεεῖς. Διὰ τί; Ὅτι ἐκεῖνοι μὲν πεπεισμένοι εἰσὶν, ὅτι ἀγαθῶν τυγχάνουσι, σὺ δ' οὐ πέπεισαι. (38) Διὰ τοῦτο σὺ μὲν οὐκ ἀρκῇ τοῖς σοῖς, ἀλλ' ἐφίεσαι τῶν ἐκείνων· ἐκεῖνοι δ' ἀρκοῦνται τοῖς ἑαυτῶν, καὶ οὐκ ἐφίενται τῶν σῶν. Ἐπεί τοι εἰ ταῖς ἀληθείαις ἐπέπεισο, ὅτι περὶ τὰ ἀγαθὰ σὺ ὁ ἐπιτυγχάνων εἶ, ἐκεῖνοι δ' ἀποπεπλάνηνται, οὐδ' ἂν ἐνεθυμοῦ τί λέγουσι περὶ σοῦ.

igitur studium decretorum, et illa tracta quæ comparare cupis; ac tum plora, si res tibi non successerit; nam plorare, te dignum fuerit. (30) Nunc autem aliis te rebus intentum esse, alia curare dicis : atqui recte vulgo illud dicunt, opus cum opere nullam habere communionem. (31) Ille diluculo surgens, quærit quemnam ex *Cæsaris* domesticis salutet, cujus gratiam verbis ineat, cui munus mittat, quomodo saltatori placeat; quomodo, alio in fraudem illecto, alii gratificetur. (32) Cum vota facit, de his vota facit; cum immolat, propter hæc immolat : Pythagoricum illud,

Neve sinas oculis teneris obrepere somnum [*vid.* III, 10],

huc transtulit. (33) « Qua sum transgressus, » quod ad adulationem attinet? « Quid feci? » num quid ut ingenuus, num quid ut generosus? Quodsi quid tale invenerit, se ipsum increpat et reprehendit : Quid tua intererat istud dicere? an mentiri non licuit? dicunt etiam philosophi, nihil prohibere quo minus mendacium dicatur. (34) Tu vero, si quidem revera nihil aliud curas nisi rectum visorum usum, statim ubi mane surrexeris cogita : Quid mihi deest ad vacuitatem perturbationum? quid ad animi tranquillitatem? quis sum? num corpusculum? num opes? num fama? nihil horum. Quid vero sum? Animal rationis particeps. (35) Quid ergo ab eo postulatur? Rumina acta tua. « Qua sum transgressus » ea quæ ad prosperitatem faciunt? « quid feci » ab amicitia et societate alienum? « quod debitum omisi » ad hæc pertinens?

36. Cum igitur tantum discrimen sit desideriorum, operum, votorum; adhuc istis par esse cupis, et iis quidem in rebus, in quibus tu non elaborasti, illi elaborarunt? (37) Postea miraris, si te miserantur; et indignaris? Illi vero non indignantur, cum tu illos miseraris. Quamobrem? Quoniam illi quidem persuasum habent, se potiri bonis; tu vero non persuasum habes. (38) Quapropter tu rebus tuis non es contentus, sed sortem illorum desideras : illi vero sua sorte contenti sunt, nec tuam desiderant. Nam, si revera persuasum haberes te potiri bonis, illos vero aberrare; ne in mentem quidem venisset cogitare quid illi de te dicerent.

ΚΕΦ. Ζ'.

Περὶ ἀφοβίας.

1. Τί ποιεῖ φοβερὸν τὸν τύραννον; Οἱ δορυφόροι, φησὶ, καὶ αἱ μάχαιραι αὐτῶν, καὶ οἱ ἐπὶ τοῦ κοιτῶνος, καὶ οἱ ἀποκλείοντες τοὺς εἰσιόντας. (2) Διὰ τί οὖν, ἂν παιδίον αὐτῷ προσαγάγῃς μετὰ τῶν δορυφόρων ὄντι, οὐ φοβεῖται, ἢ ὅτι οὐκ αἰσθάνεται τούτων τὸ παιδίον; (3) Ἂν οὖν τῶν δορυφόρων τις αἰσθάνηται, καὶ ὅτι μαχαίρας ἔχουσιν, ἐπ' αὐτῷ δὲ τούτῳ προσέρχηται αὐτῷ, θέλων ἀποθανεῖν διά τινα περίστασιν, καὶ ζητῶν ὑπ' ἄλλου παθεῖν αὐτὸ εὐκόλως, μή τι φοβεῖται τοὺς δορυφόρους; Θέλει γὰρ τοῦτο, δι' ὃ φοβεροί εἰσιν. (4) Ἂν οὖν τις μήτ' ἀποθανεῖν μήτε ζῆν θέλων ἐξ ἅπαντος, ἀλλ' ὡς ἂν διδῶται, προσέρχηται αὐτῷ, τί κωλύει μὴ

CAP. VII.

De timoris vacuitate.

1. Quid terribilem facit tyrannum? Satellites, inquit, eorumque gladii, et cubicularii, et ii qui ingredientes excludunt. (2) Itaque puer, cum ad eum adducitur satellites secum habentem, cur non formidat? nonne quia puer ista non intelligit? (3) Si quis igitur satellites intelligit, eosque gladiis instructos esse novit, hac ipsa vero de caussa ob aliquod infortunium accedit, ut moriatur, et ab alio citra difficultatem occidi vult, isne formidat satellites? *Non :* vult enim id ipsum, propter quod illi sunt formidabiles. (4) Si quis ergo nec mori nec vivere destinato volens, sed ut res tulerit, tyrannum accesserit, quid vetat convenire illum

δεδοικότα προσέρχεσθαι αὐτόν; Οὐδέν. (5) Ἂν τις οὖν καὶ πρὸς τὴν κτῆσιν ὡσαύτως ἔχῃ καθάπερ οὗτος πρὸς τὸ σῶμα, καὶ πρὸς τὰ τέκνα καὶ τὴν γυναῖκα, καὶ ἁπλῶς ὑπό τινος μανίας καὶ ἀπονοίας οὕτως ᾖ διακείμενος, ὥστ' ἐν μηδενὶ ποιεῖσθαι τὸ ἔχειν ταῦτα ἢ μὴ ἔχειν, ἀλλ', ὡς ὀστρακίοις τὰ παιδία παίζοντα περὶ μὲν τῆς παιδιᾶς διαφέρεται, τῶν δ' ὀστρακίων οὐ πεφρόντικεν, οὕτω δὲ καὶ οὗτος τὰς μὲν ὕλας παρ' οὐδὲν ᾖ πεποιημένος, τὴν παιδιὰν δὲ τὴν περὶ αὐτὰς καὶ ἀναστροφὴν ἀσπάζηται· ποῖος ἔτι τούτῳ τύραννος φοβερός; ἢ ποῖοι δορυφόροι; ἢ ποῖαι μάχαιραι αὐτῶν;

6. Εἶτα ὑπὸ μανίας μὲν δύναταί τις οὕτω διατεθῆναι πρὸς ταῦτα, καὶ ὑπὸ ἔθους οἱ Γαλιλαῖοι· ὑπὸ λόγου δὲ καὶ ἀποδείξεως οὐδεὶς δύναται μαθεῖν, ὅτι ὁ θεὸς πάντα πεποίηκε τὰ ἐν τῷ κόσμῳ, καὶ αὐτὸν τὸν κόσμον ὅλον μὲν ἀκώλυτον καὶ αὐτοτελῆ, τὰ ἐν μέρει δ' αὐτοῦ πρὸς χρείαν τῶν ὅλων; (7) Τὰ μὲν οὖν ἄλλα πάντα ἀπήλλακται τοῦ δύνασθαι παρακολουθεῖν τῇ διοικήσει αὐτοῦ· τὸ δὲ λογικὸν ζῷον ἀφορμὰς ἔχει πρὸς ἀναλογισμὸν τούτων ἁπάντων, ὅτι τε μέρος ἐστὶ, καὶ ποῖόν τι μέρος, καὶ ὅτι τὰ μέρη τοῖς ὅλοις εἴκειν ἔχει καλῶς. (8) Πρὸς τούτοις δὲ, φύσει γενναῖον καὶ μεγαλόψυχον καὶ ἐλεύθερον γενόμενον, ὁρᾷ ὅτι τῶν περὶ αὐτὸ τὰ μὲν ἀκώλυτα ἔχει καὶ ἐπ' αὐτῷ, τὰ δὲ κωλυτὰ καὶ ἐπ' ἄλλοις· ἀκώλυτα μὲν, τὰ προαιρετικά· κωλυτὰ δὲ, τὰ ἀπροαίρετα· (9) καὶ διὰ τοῦτο, ἐὰν μὲν ἐν τούτοις μόνοις ἡγήσηται τὸ ἀγαθὸν τὸ αὑτοῦ καὶ τὸ συμφέρον, τοῖς ἀκωλύτοις καὶ ἐφ' ἑαυτῷ· ἐλεύθερον ἔσται, εὔρουν, εὐδαιμον, ἀβλαβὲς, μεγαλόφρον, εὐσεβὲς, χάριν ἔχον ὑπὲρ πάντων τῷ θεῷ, μηδαμοῦ μεμφόμενον μηδενὶ τῶν οὐκ ἐφ' ἑαυτῷ γενομένων, μηδενὶ ἐγκαλοῦν· (10) ἂν δ' ἐν τοῖς ἐκτὸς καὶ ἀπροαιρέτοις· ἀνάγκη κωλύεσθαι αὐτὸ, ἐμποδίζεσθαι, δουλεύειν τοῖς ἐκείνων ἔχουσιν ἐξουσίαν ἃ τεθαύμακε καὶ φοβεῖται· (11) ἀνάγκη δ' ἀσεβὲς εἶναι, ἅτε βλάπτεσθαι οἰόμενον ὑπὸ τοῦ θεοῦ· καὶ ἄνισον, ὡς ἀεὶ αὑτῷ τοῦ πλείονος περιποιητικόν· ἀνάγκη δὲ καὶ ταπεινὸν καὶ μικροπρεπές.

12. Ταῦτα τί κωλύει διαλαβόντα ζῆν κούφως καὶ εὐηνίως, πάντα τὰ συμβαίνειν δυνάμενα πρᾴως ἐκδεχόμενον, τὰ δ' ἤδη συμβεβηκότα φέροντα; (13) Θέλεις πενίαν; φέρε, καὶ γνώσῃ τί ἐστι πενία τυχοῦσα καλοῦ ὑποκριτοῦ. Θέλεις ἀρχάς; φέρε, καὶ πόνους. (14) Ἀλλ' ἐξορισμόν; Ὅπου ἂν ἀπέλθω, ἐκεῖ μοι καλῶς ἔσται. Καὶ γὰρ ἐνθάδε οὐ διὰ τὸν τόπον ἦν μοι καλῶς, ἀλλὰ διὰ τὰ δόγματα, ἃ μέλλω μετ' ἐμαυτοῦ ἀποφέρειν. Οὐδὲ γὰρ δύναταί τις ἀφελέσθαι αὐτά· ἀλλὰ ταῦτα μόνα ἐμά ἐστι καὶ ἀναφαίρετα, καὶ ἀρκεῖ μοι παρόντα, ὅπου ἂν ὦ, καὶ ὅ τι ἂν ποιῶ. (15) Ἀλλ' ἤδη καιρὸς ἀποθανεῖν. Τί λέγεις; ἀποθανεῖν; Μὴ τραγῴδει τὸ πρᾶγμα, ἀλλ' εἰπὲ ὡς ἔχει ἤδη καιρὸς τὴν ὕλην, ἐξ ὧν συνῆλθεν, εἰς ἐκεῖνα πάλιν ἀναλυθῆναι. Καὶ τί δεινόν; τί μέλλει ἀπόλλυσθαι τῶν ἐν τῷ κόσμῳ; τί γενέσθαι καινὸν, παράλογον; (16) Τούτων ἕνεκα ὁ τύραννος φοβερός ἐστι; διὰ ταῦτα οἱ δορυφόροι μεγάλας δοκοῦσιν

absque metu? Nihil. (5) Si quis ergo etiam erga opes sic affectus fuerit, ut hic erga corpus; si erga liberos et uxorem; si denique furore quodam et desperatione sic affectus fuerit, ut in nullo discrimine ponat, sive habeat ista, sive non habeat; sed, quemadmodum pueri testis ludentes, ludum quidem curant, testas ipsas non curant, ita si hic quoque materias quidem nihili æstimet, ludum vero et tractationem illarum amplectatur; quis adhuc tyrannus isti erit formidabilis, aut qui satellites, quive eorum gladii?

6. Ergo furore quidem sic aliquis affici potest adversus illa, aut assuetudine, ut Galilæi; ratione vero et demonstratione cognoscere nemo potest, deum ea quæ in mundo sunt omnia fecisse, et ipsum mundum universum quidem liberum et perfectum, partes autem ejus ad usum universi? (7) Ac cetera quidem animantia gubernationem ejus assequi non possunt, animal vero rationis particeps facultatem habet istæc omnia considerandi; se et partem esse, et certam quamdam partem; et decere, ut partes cedant universo : (8) præter hæc, natura cum sit generosum, magnanimum et liberum, videt se rerum earum, quæ ipsum circumdant, alias habere liberas et sui juris; alias obnoxias, et juris alieni : liberas, quæ ad ipsius voluntatem pertinent; obnoxias, quæ ad voluntatem non pertinent : (9) propterea que, si in his solis bonum suum et commodum collocarit, quæ prohiberi non possunt et in ipsius potestate sunt, fore se liberum, prosperum, felix, indemne, magnanimum, pium, gratias agens deo pro omnibus; nusquam de quapiam re, quæ in ipsius potestate non sit, conquerens; nihil accusans : (10) si vero in externis et iis quæ alieni juris sunt, necesse esse ut prohibeatur, impediatur, serviat iis qui ea in potestate habent quæ miratur et timet; (11) necesse porro esse, ut sit impium, quippe quod sibi a deo noceri putet; et iniquum, ut quod semper sibi plus acquirere studeat; præterea necesse esse, ut sit humile et sordidum.

12. Hæc si quis animo conceperit, quid eum vetat vivere expedite et placide; quidquid accidere possit, æquo animo exspectantem; ea vero quæ jam acciderunt, tolerantem? (13) Vis paupertatem mihi imponere? Impone! cognosces, quid sit paupertas bonum nacta fabulæ actorem. Vis imperia? Cedo! atque etiam labores! (14) At relegationem? Quocumque venero, ibi mihi bene erit. Nam et hic non propter locum bene mihi fuit, sed propter decreta, quæ mecum sum ablaturus. Neque enim ea eripere quisquam potest : sed hæc sola mea sunt et propria, mihique dum adsunt sufficiunt, ubicumque fuero et quidquid fecero. (15) At jam tempus est moriendi. Quid dicis? moriendi? Noli rem tragice exaggerare; sed dic quemadmodum se habet : jam tempus est materiæ in ea, e quibus conflata est, resolvendæ. Quid hoc mali habet? quid periturum est eorum quæ sunt in mundo? quid fiet novum aut mirabile? (16) Eone tyrannus formidabilis est? propter hoc satellites ma-

ἔχειν τὰς μαχαίρας καὶ ὀξείας; ἄλλοις ταῦτα· ἐμοὶ δ' ἐσκέπται περὶ πάντων· εἰς ἐμὲ οὐδεὶς ἐξουσίαν ἔχει. (17) Ἠλευθέρωμαι ὑπὸ τοῦ θεοῦ, ἔγνωκα αὐτοῦ τὰς ἐντολάς, οὐκέτι οὐδεὶς δουλαγωγῆσαί με δύναται· καρπιστὴν ἔχω οἷον δεῖ, δικαστὰς οἵους δεῖ. (18) Οὐχὶ τοῦ σώματός μου κύριος εἶ; Τί οὖν πρὸς ἐμέ; Οὐχὶ τοῦ κτησειδίου; Τί οὖν πρὸς ἐμέ; Οὐχὶ φυγῆς, ἢ δεσμῶν; Πάλιν τούτων πάντων καὶ τοῦ σωματίου ὅλου σοι αὐτοῦ ἐξίσταμαι, ὅταν θέλῃς. Πείρασαί σου τῆς ἀρχῆς, καὶ γνώσῃ μέχρι τίνος αὐτὴν ἔχεις.

19. Τίνα οὖν ἔτι φοβηθῆναι δύναμαι; Τοὺς ἐπὶ τοῦ κοιτῶνος; Μὴ τί ποιήσωσιν; Ἀποκλείσωσί με; Ἄν με εὕρωσι θέλοντα εἰσελθεῖν, ἀποκλεισάτωσαν. Τί οὖν ἔρχῃ ἐπὶ θύρας; Ὅτι καθήκειν ἐμαυτῷ δοκῶ, μενούσης τῆς παιδιᾶς, συμπαίζειν. (20) Πῶς οὖν οὐχ ἀποκλείῃ; Ὅτι, ἄν μή τίς με δέχηται, οὐ θέλω εἰσελθεῖν· ἀλλ' ἀεὶ μᾶλλον ἐκεῖνο θέλω, τὸ γινόμενον. Κρεῖττον γὰρ ἡγοῦμαι ὃ ὁ θεὸς θέλει, ἢ [ὃ] ἐγώ. Προσκείσομαι διάκονος καὶ ἀκόλουθος ἐκείνῳ, συνορμῶ, συνορέγομαι, ἁπλῶς συνθέλω. Ἀποκλεισμὸς ἐμοὶ οὐ γίνεται, ἀλλὰ τοῖς βιαζομένοις. (21) Διὰ τί οὖν οὐ βιάζομαι; Οἶδα γὰρ ὅτι ἔσω ἀγαθὸν οὐδὲν διαδίδοται τοῖς εἰσελθοῦσιν. Ἀλλ' ὅταν ἀκούσω τινὰ μακαριζόμενον, ὅτι τιμᾶται ὑπὸ τοῦ Καίσαρος, λέγω, Τί αὐτῷ συμβαίνει; Ἐπαρχία. Μή τι οὖν καὶ δόγμα οἷον δεῖ; Ἐπιτροπή. Μή τι οὖν καὶ τὸ χρῆσθαι ἐπιτροπῇ; Τί ἔτι διωθοῦμαι; (22) Ἰσχαδοκάρυά τις διαῤῥίπτει· τὰ παιδία ἁρπάζει, καὶ ἀλλήλοις διαμάχεται· οἱ ἄνδρες οὐχί, μικρὸν γὰρ αὐτὸ ἡγοῦνται. Ἂν δ' ὀστράκια διαῤῥίπτῃ τις, οὐδὲ τὰ παιδία ἁρπάζει. (23) Ἐπαρχίαι διαδίδονται· ὄψεται τὰ παιδία. Ἀργύριον· ὄψεται τὰ παιδία. Στρατηγία, ὑπατεία· διαρπαζέτω τὰ παιδία· ἐκκλειέσθω, τυπτέσθω, καταφιλείτω τὰς χεῖρας τοῦ διδόντος, τῶν δούλων· ἐμοὶ δ' ἰσχαδοκάρυόν ἐστιν. (24) Τί οὖν; Ἂν ἀποτύχῃς ῥιπτοῦντος αὐτοῦ, μὴ φρόντιζε. Ἂν σου ἔλθῃ εἰς τὸν κόλπον ἰσχάς, ἄρας κατάφαγε· μέχρι τοσούτου γάρ ἐστι καὶ ἰσχάδα τιμῆσαι. Εἰ δὲ κύψω καὶ ἄλλον ἀνατρέψω, ἢ ὑπ' ἄλλου ἀνατραπῶ, καὶ κολακεύσω τοὺς εἰσιόντας· οὐκ ἀξία οὔτ' ἰσχάς, οὔτ' ἄλλο τι τῶν οὐκ ἀγαθῶν, ἅ με ἀναπεπείκασιν οἱ φιλόσοφοι μὴ δοκεῖν ἀγαθὰ εἶναι.

25. Δεῖκνυέ μοι τὰς μαχαίρας τῶν δορυφόρων. Ἰδοὺ ἡλίκαι εἰσί, καὶ πῶς ὀξεῖαι. Τί οὖν ποιοῦσιν αἱ μεγάλαι αὗται μάχαιραι καὶ ὀξεῖαι; Ἀποκτιννύουσι. (26) Πυρετὸς δὲ τί ποιεῖ; Ἄλλο οὐδέν. Κεραμὶς δὲ τί ποιεῖ; Ἄλλο οὐδέν. Θέλεις οὖν πάντα ταῦτα θαυμάζω καὶ προσκυνῶ, καὶ δοῦλος πάντων περιέρχωμαι; (27) Μὴ γένοιτο· ἀλλ' ἅπαξ μαθὼν ὅτι τὸ γενόμενον καὶ φθαρῆναι δεῖ, ἵνα ὁ κόσμος μὴ ἵστηται μηδ' ἐμποδίζηται, οὐκέτι διαφέρομαι πότερον πυρετὸς αὐτὸ ποιήσει, ἢ κεραμίς, ἢ στρατιώτης. Ἀλλ' εἰ δεῖ συγκρῖναι, οἶδ' ὅτι ἀπονώτερον αὐτὸ καὶ ταχύτερον ὁ στρατιώτης ποιήσει. (28) Ὅταν οὖν μήτε φοβῶμαί τι ὧν διαθεῖναί με δύναται, μήτ' ἐπιθυμῶ τινος ὧν παρασχεῖν, τί

gnos videntur habere gladios et acutos? Aliis ista dicantur: nam mihi quidem meditata sunt omnia : in me nemo ullam potestatem habet. (17) Libertate sum donatus a deo; novi ejus mandata; jam nemo in servitutem redigere me potest : assertorem habeo quem oportet, judices habeo quales oportet. (18) Nonne corporis mei dominus es? Quid ergo ad me? Nonne possessiunculæ? Quid ergo ad me? Nonne fugæ, aut vinculorum? Et his omnibus et toto ipso corpore tibi cedam, quum volueris. Fac periculum imperii tui : quam late illud pateat, cognosces.

19. Quem igitur posthac timere possum? Cubicularios? Quamobrem? Ne me excludant? Si me invenerint ingredi volentem, excludunto. Quid ergo venis ad fores? Quod convenire mihi puto, ludo durante, ut colludam. (20) Quomodo ergo non excluderis? Quia, si quis me non admittit, ingredi nolo; sed semper illud potius volo quod fit. Melius enim id judico quod deus vult, quam quod ego. Adhærebo illi ut minister et pedissequus; cum illo meus fertur impetus, cum illo appeto; denique, quod ille vult, idem et ipse volo. Mihi nulla janua clauditur, sed iis qui vi ingredi nituntur. (21) Cur autem vim ego non facio? Quia novi, intus nullum bonum distribui ingressis. Sed cum aliquem fortunatum judicari audiero, quod a Cæsare honoretur, dico, Quid ei contingit? Præfectura. Num igitur etiam animi decretum quale oportet? Munus procuratoris. Num igitur illud etiam, ut recte utatur illo munere? Quid adhuc vi perrumpere nitar? (22) Ficus et nuces aliquis projicit : pueri rapiunt, et inter sese certant; viri vero non item; parvi enim id ducunt. Si quis autem testulas projiciat, ne pueri quidem rapiunt. (23) Provinciæ distribuuntur; viderint pueri : argentum; viderint pueri : prætura, consulatus; rapiant pueri, excludantur, vapulent, deosculentur manus largitoris, servorum : mihi vero ficus et nuces sunt. (24) Quid ergo? Si projiciente illo frustratus fueris, noli curare : sin ficus in sinum tuum inciderit, sublatam devora; nam eatenus ficum etiam tanti facere licet. Si vero me inclinaro et alium evertero, aut ab alio eversus fuero, si ingredientibus fuero adulatus; tanti neque ficus est, nec quidquam eorum quæ bona non sunt, quæ philosophi mihi persuaserunt in bonis non esse habenda.

25. Ostende mihi gladios satellitum. *Dic mihi :* Vide quanti sint, et quam acuti. Quid ergo faciunt magni isti gladii et acuti? Occidunt. (26) Febris autem quid facit? Aliud nihil. Tegula quid facit? Aliud nihil. Vis ergo ut ista omnia admirer et adorem, et istorum omnium servus obambulem? (27) Absit : sed, cum semel didicerim, id quod ortum est etiam interire oportere, ne mundus in suo cursu subsistat aut impediatur; nihil mea refert, febrisne id faciat, an tegula, an miles. Sed si contendere hæc inter se licet, scio minore cum molestia et celerius id facturum esse militem. (28) Cum ergo nihil eorum timuero quæ facere mihi tyrannus potest, nec desideraro quidquam eorum quæ largiri potest; quid adhuc eum admiror? quid adhuc

ἔτι θαυμάζω αὐτόν; τί ἔτι τέθηπα; τί φοβοῦμαι τοὺς δορυφόρους; τί χαίρω, ἄν μοι φιλανθρώπως λαλήσῃ καὶ ἀποδέξηταί με, καὶ ἄλλοις διηγοῦμαι πῶς μοι ἐλάλησε; (29) μὴ γὰρ Σωκράτης ἐστί; μὴ γὰρ Διογένης; ἵν' ὁ ἔπαινος αὐτοῦ ἀπόδειξις ᾖ περὶ ἐμοῦ; μὴ γὰρ τὸ ἦθος ἐζήλωκα αὐτοῦ; (30) Ἀλλὰ τὴν παιδιὰν σώζων, ἔρχομαι πρὸς αὐτὸν, καὶ ὑπηρετῶ, μέχρις ἂν ὅτου μηδὲν ἀβέλτερον κελεύῃ, μηδ' ἄῤῥυθμον. Ἂν δέ μοι λέγῃ, Ἄπελθε ἐπὶ Λέοντα τὸν Σαλαμίνιον· λέγω αὐτῷ, Ζήτει ἄλλον· ἐγὼ γὰρ οὐκέτι παίζω. (31) Ἄπαγε αὐτόν. Ἀκολουθῶ ἐν παιδιᾷ. Ἀλλ' ἀφαιρεῖταί σου ὁ τράχηλος. Ἐκείνου δ' αὐτοῦ ἀεὶ ἐπιμενεῖ; ὑμῶν δὲ τῶν πειθομένων; Ἀλλ' ἄταφος ῥιφήσῃ. Εἰ ἐγώ εἰμι ὁ νεκρὸς, ῥιφήσομαι· εἰ δ' ἄλλος εἰμὶ τοῦ νεκροῦ, κομψότερον λέγε, ὡς ἔχει τὸ πρᾶγμα, καὶ μὴ ἐκφόβει με. (32) Τοῖς παιδίοις ταῦτα φοβερά ἐστι καὶ τοῖς ἀνοήτοις. Εἰ δέ τις, εἰς φιλοσόφου σχολὴν ἅπαξ εἰσελθὼν, οὐκ οἶδε τί ἐστιν αὐτὸς, ἄξιός ἐστι φοβεῖσθαι καὶ κολακεύειν οὓς ὕστερον ἐκολάκευεν· εἰ μήπω μεμάθηκεν ὅτι οὐκ ἔστι σὰρξ, οὐδ' ὀστᾶ, οὐδὲ νεῦρα, ἀλλὰ τὸ τούτοις χρώμενον καὶ διοικοῦν καὶ παρακολουθοῦν ταῖς φαντασίαις.

33. Ναί. Ἀλλ' οἱ λόγοι οὗτοι καταφρονητὰς ποιοῦσι τῶν νόμων. Καὶ ποῖοι μᾶλλον λόγοι πειθομένους παρέχουσι τοῖς νόμοις τοὺς χρωμένους; Νόμος δ' οὐκ ἔστι τὰ ἐπὶ μωρῷ. (34) Καὶ ὅμως ὅρα πῶς καὶ πρὸς τούτους ὡς δεῖ ἔχοντας παρασκευάζουσιν· οἵ γε διδάσκουσι μηδενὸς ἀντιποιεῖσθαι πρὸς αὐτοὺς ἐν οἷς ἂν ἡμᾶς νικῆσαι δύνανται. (35) Περὶ τὸ σωμάτιον διδάσκουσιν ἐξίστασθαι, περὶ τὴν κτῆσιν ἐξίστασθαι, περὶ τὰ τέκνα, γονεῖς, ἀδελφοὺς, πάντων παραχωρεῖν, πάντα ἀφιέναι· μόνα τὰ δόγματα ὑπεξαιροῦνται, ἃ καὶ ὁ Ζεὺς ἐξαίρετα ἑκάστου εἶναι ἠθέλησε. (36) Ποία ἐνθάδε παρανομία; ποία ἀβελτερία; Ὅπου κρείττων εἶ καὶ ἰσχυρότερος, ἐκεῖ σοι ἐξίσταμαι· ὅπου πάλιν ἐγὼ κρείττων, σὺ παραχώρει μοι· ἐμοὶ γὰρ μεμέληκε, σοὶ δ' οὔ. (37) Σοὶ μέλει πῶς ἂν ἐν λιθοστρώτοις οἰκήσητε, πῶς παῖδές σοι καὶ πελάται διακονῶσι, πῶς ἐσθῆτα περίβλεπτον φορῇς, πῶς κυνηγοὺς πολλοὺς ἔχῃς, πῶς κιθαρῳδοὺς, τραγῳδούς. (38) Μή τι ἀντιποιοῦμαι; μή τι οὖν δογμάτων σοι μεμέληκε; μή τι τοῦ λόγου τοῦ σεαυτοῦ; μή τι οἶδας ἐκ τίνων μορίων συνέστηκε, πῶς συνάγεται, τίς ἡ διάρθρωσις αὐτοῦ, τίνας ἔχει δυνάμεις, καὶ ποίας τινάς; (39) Τί οὖν ἀγανακτεῖς, εἰ ἄλλος ἐν τούτοις σου πλέον ἔχει, ὁ μεμελετηκώς; Ἀλλὰ ταῦτ' ἐστὶ τὰ μέγιστα. Καὶ τίς σε κωλύει περὶ ταῦτ' ἀναστρέφεσθαι καὶ τούτων ἐπιμελεῖσθαι; τίς δὲ μείζονα ἔχει παρασκευὴν βιβλίων, εὐσχολίας, τῶν ὠφελησόντων; (40) μόνον ἀπόνευσόν ποτε ἐπὶ ταῦτα, ἀπόνειμον κἂν ὀλίγον χρόνον τῷ σαυτοῦ ἡγεμονικῷ· σκέψαι τί ποτ' ἔχεις τοῦτο, καὶ πόθεν ἐλήλυθὸς, τὸ πᾶσι τοῖς ἄλλοις χρώμενον, πάντα τἆλλα δοκιμάζον, ἐκλεγόμενον, ἀπεκλεγόμενον. (41) Μέχρι δ' ἂν οὗ περὶ τὰ ἐκτὸς

stupeo? quid timeo satellites? quid gaudeo, si me humaniter fuerit allocutus et approbarit? cur aliis dico ut mecum sit locutus? (29) Num enim Socrates est? num Diogenes? ut ejus laus sit demonstratio mei? num enim mores ejus admiror? (30) *Minime*: sed, ut ludum tuear, accedo illum, eique ministro, quoad me nihil improbum, nihil absurdum mandarit. Si vero mihi dicat, Abi ad Leontem Salaminium; dico ei, Quære alium; ego enim non amplius ludo. (31) « Abduc in carcerem. » Sequor per jocum. « At caput tibi aufertur. » An vero illius ipsius semper manebit? vestra item capita, qui ei obtemperatis? « At insepultus abjicieris. » Si ego sum cadaver, projiciar: sin diversus sum a cadavere, loquere aptius, ut res se habet; neu me terreto. (32) Pueris ista terribilia sunt, et stultis. Si quis autem semel scholam philosophi ingressus, ignorat quid ipse sit, is dignus est qui terreatur, et aduletur quibus posthac adulatus est: si nondum didicit se non esse carnem, neque ossa, neque nervos; sed id quod his utatur, quod gubernet et sequatur visa.

33. Esto: at isti sermones efficiunt legum contemptores. Immo vero, quinam sermones legibus obedientiores reddant hos qui iis utuntur? At lex non est id quod in potestate est stultorum. (34) Et tamen vide quo pacto sermones isti nos instruant, ut etiam adversus hoc genus hominum ita ut oportet nos geramus; quippe qui docent, ut nihil nobis adversus illos vindicemus, in quo illi nos vincere possint: (35) docent cedendum esse corpore, possessione, liberis, parentibus, fratribus, omnibus his cedendum esse, omnia missa facienda: sola decreta excipiunt, quæ ipse etiam Jupiter eximia cujusque esse voluit. (36) Quæ hic est legum violatio? quæ improbitas? Qua parte tu potentior es et fortior, ea tibi cedo; vicissim, ubi ego superior sum, tu mihi cede: res enim hæc curæ mihi fuit, tibi non fuit. (37) Tibi curæ est quomodo in palatiis habites cum tuis, quomodo pueri et clientes tibi ministrent, quomodo vestem conspicuam gestes, ut venatores multos habeas, ut citharœdos, tragœdos. (38) Num ista mihi vindico? Num igitur decreta tibi curæ fuerunt? num tua ipsius ratio? num scis e quibus partibus constet, quomodo conjungatur, quæ sit ejus distinctio, quas habeat vires, et quales? (39) Quid ergo indignaris, si alius in his te superat, qui illa meditatus est? Hæc vero maxima sunt. Et quis ea te tractare prohibet et curare? quis vero instructior est libris, otio, magistris? (40) Modo diverte aliquando tandem ad hæc, vel exiguum tempus tuæ menti impende! considera quænam sit hæc principalis tui pars, et unde profecta, quæ reliquis omnibus utitur, quæ extera omnia probat, quæ eligit, repudiat. (41) Quoad autem in externis rebus versaberis,

ἀναστρέφῃ, ἐκεῖνα ἕξεις οἷα οὐδείς· τοῦτο δ', οἷον αὐτὸ ἔχειν θέλεις, ῥυπαρὸν καὶ ἀτημέλητον.

ΚΕΦ. Η'.

Πρὸς τοὺς ταχέως ἐπὶ τὸ σχῆμα τῶν φιλοσόφων ἐπιπηδῶντας.

1. Μηδέποτ' ἀπὸ τῶν κοινῶν τινα μήτ' ἐπαινέσητε μήτε ψέξητε, μήτε τέχνην τινὰ ἢ ἀτεχνίαν προσμαρτυρήσητε· καὶ ἅμα μὲν προπετείας ἑαυτοὺς ἀπαλλάξετε, (2) ἅμα δὲ κακοηθείας. Οὗτος ταχέως λούεται. Κακῶς οὖν ποιεῖ; Οὐ πάντως. Ἀλλὰ τί; Ταχέως λούεται. Πάντα οὖν καλῶς γίνεται; (3) Οὐδαμῶς· ἀλλὰ τὰ μὲν ἀπὸ δογμάτων ὀρθῶν, καλῶς· τὰ δ' ἀπὸ μοχθηρῶν, μοχθηρῶς. Σὺ δὲ, μέχρις ἂν καταμάθῃς τὸ δόγμα ἀφ' οὗ τις ποιεῖ ἕκαστα, μήτ' ἐπαίνει τὸ ἔργον, μήτε ψέγε. (4) Δόγμα δ' ἐκ τῶν ἐκτὸς οὐ ῥᾳδίως κρίνεται. Οὗτος τέκτων ἐστί. Διὰ τί; Χρῆται γὰρ σκεπάρνῳ. Τί οὖν τοῦτο; Οὗτος μουσικός· ᾄδει γάρ. Καὶ τί τοῦτο; Οὗτος φιλόσοφος. Διὰ τί; Τρίβωνα γὰρ ἔχει καὶ κόμην. Οἱ δ' ἀγύρται τί ἔχουσι; (5) Διὰ τοῦτο, ἂν ἀσχημονοῦντά τις ἴδῃ τινὰ αὐτῶν, εὐθὺς λέγει, Ἰδοὺ ὁ φιλόσοφος [τί] ποιεῖ. Ἔδει δ', ἀφ' ὧν ἠσχημόνει, μᾶλλον λέγειν αὐτὸν μὴ εἶναι φιλόσοφον. (6) Εἰ μὲν γὰρ αὕτη ἐστὶν ἡ τοῦ φιλοσόφου πρόληψις καὶ ἐπαγγελία, ἔχειν τρίβωνα καὶ κόμην, καλῶς ἂν ἔλεγον· εἰ δ' ἐκείνη μᾶλλον, ἀναμάρτητον εἶναι, διὰ τί οὐχὶ, διὰ τὸ μὴ πληροῦν τὴν ἐπαγγελίαν, ἀφαιροῦνται αὐτὸν τῆς προσηγορίας; (7) Οὕτω γὰρ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. Ὅταν τις ἴδῃ τινὰ κακῶς πελεκῶντα, οὐ λέγει, Τί ὄφελος τεκτονικῆς; ἰδοὺ οἱ τέκτονες οἷα ποιοῦσι κακά· ἀλλὰ πᾶν τοὐναντίον λέγει, Οὗτος οὐκ ἔστι τέκτων, πελεκᾷ γὰρ κακῶς. (8) Ὁμοίως κἂν ᾄδοντός τινος ἀκούσῃ κακῶς, οὐ λέγει, Ἰδοὺ πῶς ᾄδουσιν οἱ μουσικοί; ἀλλὰ μᾶλλον, ὅτι Οὗτος οὐκ ἔστι μουσικός.

9. Ἐπὶ φιλοσοφίας δὲ μόνης τοῦτο πάσχουσιν· ὅταν τινὰ ἴδωσι παρὰ τὸ ἐπάγγελμα τὸ τοῦ φιλοσόφου ποιοῦντα, οὐχὶ τῆς προσηγορίας ἀφαιροῦνται αὐτὸν, ἀλλὰ, θέντες εἶναι φιλόσοφον, εἶτ' ἀπ' αὐτοῦ τοῦ γινομένου λαβόντες ὅτι ἀσχημονεῖ, ἐπάγουσι, μηδὲν ὄφελος εἶναι τοῦ φιλοσοφεῖν. (10) Τί οὖν τὸ αἴτιον; Ὅτι τὴν μὲν τοῦ τέκτονος πρόληψιν πρεσβεύομεν, καὶ τὴν τοῦ μουσικοῦ, καὶ τῶν ἄλλων ὡσαύτως τεχνιτῶν· τὴν τοῦ φιλοσόφου δ' οὐκ, ἀλλ' ἅτε συγκεχυμένην καὶ ἀδιάρθρωτον ἀπὸ τῶν ἐκτὸς μόνον κρίνομεν. (11) Καὶ ποία ἄλλη τέχνη ἀπὸ σχήματος ἀναλαμβάνεται καὶ κόμης; οὐχὶ δὲ καὶ θεωρήματα ἔχει, καὶ ὕλην, καὶ τέλος; (12) Τίς οὖν ὕλη τοῦ φιλοσόφου; μὴ τρίβων; Οὔ, ἀλλὰ ὁ λόγος. Τί τέλος; μή τι φορεῖν τρίβωνα; Οὔ, ἀλλὰ τὸ ὀρθὸν ἔχειν τὸν λόγον. Ποῖα θεωρήματα; μή τι τὰ περὶ τοῦ πῶς πώγων μέγας γένηται, ἢ κόμη βαθεῖα; Οὔ, ἀλλὰ μᾶλλον ἃ Ζήνων λέγει, γνῶναι τὰ τοῦ λόγου στοιχεῖα, ποιόν τι ἕκαστον αὐτῶν ἐστι, καὶ πῶς ἁρμόττεται πρὸς ἄλληλα, καὶ ὅσα τούτοις ἀκόλουθά ἐστιν. (13) Οὐ θέλεις οὖν ἰδεῖν πρῶτον, εἰ πληροῖ τὴν ἐπαγ-

eas habebis quales nemo alius; hanc vero, qualem habere vis, sordidam et neglectam.

CAP. VIII.

In eos qui celeriter ad suscipiendam philosophi personam properant.

1. Numquam ob res, quæ diversissimis hominibus communes esse possunt, laudaveritis quemquam, aut reprehenderitis; neque artem aliquam aut imperitiam ei tribueritis: ita simul et a temeritate et a malevolentia eritis immunes. (2) Hic cito lavat. Male ergo facit? Non utique. Quid ergo facit? Cito lavat. (3) Ergone recte fiunt omnia? Nequaquam: sed quæ a rectis decretis proficiscuntur, ea recte fiunt; quæ a pravis, prave. Tu vero, donec decretum cognoris, ex quo quisque singula facit, nec laudato factum, nec reprehendito. (4) Decretum autem e rebus externis non facile judicatur. Hic faber est. Quare? Quia securi utitur. Quid ergo hoc ad rem? Hic musicus; canit enim. Et quid hoc? Hic philosophus. Quare? Quia pallium habet, et cæsariem. Præstigiatores vero quid habent? (5) Propterea si quis eos aliquid indecore facientes videt, statim dicit, Ecce hoc quod facit philosophus! cum potius ob indecore facta dicendum fuerit, non esse eum philosophum. (6) Nam si id philosophi institutum esset atque professio, habere pallium et cæsariem, tum quidem recte dicerent: sin illa potius est, ut nihil delinquat; cur non potius, quia professioni suæ non respondet, appellationem istam ei adimunt? (7) Sic enim in ceteris quoque fit artibus. Cum quis aliquem male dolantem ligna viderit, non dicit: Quid juvat ars fabrilis? ecce quam male res suas faciunt fabri! Sed contra potius, Iste non est, ait, faber; male enim dolat. (8) Eodem modo, si quis aliquem male canentem audierit, non dicit, Ecce quomodo canunt musici? sed potius, Iste non est musicus.

9. Verum in sola philosophia hoc faciunt: cum aliquem contra philosophiæ professionem vivere vident, non ei adimunt appellationem; sed, statuentes philosophum eum esse, tum ex ipso facto sumentes hoc, indecore eum agere, concludunt, nullum esse philosophiæ usum. (10) Quid in caussa est? Quod fabri et musici notionem curamus, eodemque modo ceterorum artificum; philosophi autem non item, sed, ut confusam et indistinctam, e rebus externis solummodo judicamus. (11) Quænam vero alia ars exteriori solum habitu et coma paratur? neque vero præcepta etiam habet, et materiam, et finem? (12) Quæ igitur materia est philosophi? num pallium? Non, sed ratio. Qui finis? num ferre pallium? Non, sed rectam tenere rationem. Quæ præcepta illius sunt? num, quo pacto barba magna fiat, aut coma promissa? Immo potius ea, quæ Zeno dicit; cognitio elementorum rationis, quale sit eorum unumquodque, et quomodo inter sese conveniant, et quæ his consequentia sunt. (13) Non igitur in primis videre

γελίαν ἀσχημονῶν, καὶ οὕτω τῷ ἐπιτηδεύματι ἐγκαλεῖν; Νῦν δ', αὐτὸς ὅταν σωφρονῇς, ἐξ ὧν ποιεῖν σοι δοκεῖ κακῶς, λέγεις, Ὅρα τὸν φιλόσοφον (ὡς πρέποντος λέγειν τὸν ταῦτα ποιοῦντα φιλόσοφον)· καὶ πάλιν, Τοῦτο φιλόσοφόν ἐστιν; Ὅρα δὲ τὸν τέκτονα, οὐ λέγεις, ὅταν μοιχεύοντά τινα γνῷς, ἢ λιχνεύοντα ἴδῃς· οὐδὲ, Ὅρα τὸν μουσικόν. (14) Οὕτως ἐπὶ ποσὸν αἰσθάνῃ καὶ αὐτὸς τῆς ἐπαγγελίας τοῦ φιλοσόφου, ἀπολισθαίνεις δὲ, καὶ συγχέῃ ὑπὸ ἀμελετησίας.

15. Ἀλλὰ καὶ αὐτοὶ οἱ καλούμενοι φιλόσοφοι ἀπὸ τῶν κοινῶν τὸ πρᾶγμα μετίασιν· εὐθὺς ἀναλαβόντες τρίβωνα, καὶ πώγωνα καθέντες, φασὶν, Ἐγὼ φιλόσοφός εἰμι. (16) Οὐδεὶς δ' ἐρεῖ, Ἐγὼ μουσικός εἰμι, ἂν πλῆκτρον καὶ κιθάραν ἀγοράσῃ· οὐδ', Ἐγὼ χαλκεύς εἰμι, ἂν πιλίον καὶ περίζωμα περιθῆται. Ἀλλ' ἁρμόζεται μὲν τὸ σχῆμα πρὸς τὴν τέχνην, ἀπὸ τῆς τέχνης δὲ τὸ ὄνομα, οὐκ ἀπὸ σχήματος, ἀναλαμβάνουσι. (17) Διὰ τοῦτο καλῶς Εὐφράτης ἔλεγεν, ὅτι Ἐπὶ πολὺ ἐπειρώμην λανθάνειν φιλοσοφῶν· καὶ ἦν μοι, φησὶ, τοῦτο ὠφέλιμον. Πρῶτον μὲν γὰρ ᾔδειν, ὅσα καλῶς ἐποίουν, ὅτι οὐ διὰ τοὺς θεατὰς ἐποίουν, ἀλλὰ δι' ἐμαυτόν· ἤσθιον ἐμαυτῷ καλῶς, κατεσταλμένον εἶχον τὸ βλέμμα, τὸν περίπατον· πάντα ἐμαυτῷ καὶ τῷ θεῷ. (18) Εἶτα, ὥσπερ μόνος ἠγωνιζόμην, οὕτω καὶ μόνος ἐκινδύνευον· οὐδὲν ἐμοὶ, δράσαντί τι αἰσχρὸν ἢ ἀπρεπὲς, τὸ τῆς φιλοσοφίας ἐκινδυνεύετο· οὐδ' ἔβλαπτον τοὺς πολλοὺς, ὡς φιλόσοφος ἁμαρτάνων. (19) Διὰ τοῦτο οἱ μὴ εἰδότες μου τὴν ἐπιβολὴν ἐθαύμαζον, πῶς, πᾶσι φιλοσόφοις χρώμενος καὶ συζῶν, αὐτὸς οὐκ ἐφιλοσόφουν. (20) Καὶ τί κακὸν, ἐν οἷς μὲν ἐποίουν, ἐπιγινώσκεσθαι τὸν φιλόσοφον, ἐν δὲ τοῖς συμβόλοις μή; Βλέπε πῶς ἐσθίω, πῶς πίνω, πῶς καθεύδω, πῶς ἀνέχομαι, πῶς ἀπέχομαι, πῶς συνεργῶ, πῶς ὀρέξει χρῶμαι, πῶς ἐκκλίσει, πῶς τηρῶ τὰς σχέσεις τὰς φυσικὰς ἢ ἐπιθέτους, ὡς ἀσυγχύτως καὶ ἀπαραποδίστως. Ἐκεῖθέν με κρῖνον, εἰ δύνασαι. (21) Εἰ δ' οὕτω κωφὸς εἶ καὶ τυφλὸς, ἵνα μηδὲ τὸν Ἥφαιστον ὑπολαμβάνῃς καλὸν χαλκέα, ἂν μὴ τὸ πιλίον ἴδῃς περὶ τὴν κεφαλὴν περικείμενον· τί κακὸν ὑφ' οὕτως ἠλιθίου κριτοῦ ἀγνοεῖσθαι;

22. Οὕτως ἐλάνθανε παρὰ τοῖς πλείστοις Σωκράτης· καὶ ἤρχοντο πρὸς αὐτὸν ἀξιοῦντες φιλοσόφοις συσταθῆναι. (23) Μή τι οὖν ἠγανάκτει ὡς ἡμεῖς, καὶ ἔλεγεν, Ἐγὼ δέ σοι οὐ φαίνομαι φιλόσοφος; Ἀλλ' ἀπῆγε, καὶ συνίστα, ἑνὶ ἀρκούμενος, τῷ εἶναι φιλόσοφος· χαίρων δὲ καὶ ὅτι μὴ δοκοῖ, οὐκ ἐδάκνετο. Ἐμέμνητο γὰρ τοῦ ἰδίου ἔργου. (24) Τί ἔργον καλοῦ καὶ ἀγαθοῦ; Μαθητὰς πολλοὺς ἔχειν; Οὐδαμῶς. Ὄψονται οἱ περὶ τοῦτο ἐσπουδακότες. Ἀλλὰ θεωρήματα δύσκολα ἀκριβοῦν; Ὄψονται καὶ περὶ τούτων οἱ ἄλλοι. (25) Ποῦ οὖν αὐτός; καὶ τίς ἦν, καὶ εἶναι ἤθελεν; Ὅπου βλάβη καὶ ὠφέλεια. Εἴ μέ τις, φησὶ, βλάψαι δύναται, ἐγὼ οὐδὲν ποιῶ· εἰ ἄλλον περιμένω ἵνα με ὠφελήσῃ, ἐγὼ οὐδέν εἰμι. Θέλω τι, καὶ οὐ γίνεται; ἐγὼ ἀτυχής

vis, an, cum indecore agit, professioni suæ respondeat, ac tum demum ipsum studium accusare? Nunc vero tu, si castis es moribus, videns ea quæ ille prave agere tibi videtur, dicis, Ecce philosophum! (quasi vero, qui talia facit, philosophus sit appellandus.) Rursusque : Hi ergo philosophi mores sunt! Atqui, Ecce fabrum! ecce musicum! non clamas, cum aliquem horum mœchari nosti, aut ligurrientem vides. (14) Sic igitur tu ipse aliquatenus percipis quidem professionem philosophi, sed rursus ab ea aberras, et confundi te pateris mera negligentia.

15. At vero ipsi etiam ii, qui philosophi perhibentur, a vulgaribus rebus professionem suam auspicantur; statim ut pallium induêre, promiseruntque barbam; dicunt, Ego sum philosophus. (16) Nemo vero musicum se esse dicit, cum plectrum et citharam mercatus est; neque fabrum ærarium, simulatque pileolo et perizomate est instructus: sed habitum quidem ad artem accommodant; ab arte vero nomen, non ab habitu, accipiunt. (17) Quapropter recte dicebat Euphrates, se longo tempore dissimulasse philosophiæ studium, eamque dissimulationem sibi profuisse. Primum enim scivisse se, quæ recte faceret, ea se non facere propter spectatores, sed propter semetipsum : se sibi ipsi recte comedisse, compositis fuisse oculis, in deambulationibus modestiæ studuisse; omnia sibi et deo præstitisse. (18) Deinde, sicut solus certasset, ita etiam solum esse periclitatum. Si quid turpe aut indecorum fecisset, philosophiam non fuisse periclitatam; neque se nocuisse vulgo, quod ut philosophus peccasset. (19) Quapropter eos, qui suum institutum ignorassent, fuisse miratos, qui fieret, cum omnium philosophorum familiaritate consuetudineque uteretur, ut ipse tamen non philosopharetur. (20) Quid vero, inquit, mali fuit, si philosophus e factis cognoscebar, non autem ex insignibus? Vide quomodo edam, quomodo bibam, quomodo dormiam, quomodo tolerem, quomodo abstineam, quomodo operam meam aliis conferam, quomodo appetitione utar, quomodo aversatione, quomodo relationes et naturales et accersitas tuear, ut absque perturbatione atque impedimentis vivam. Inde me judica, si potes. (21) Si autem ita surdus et cæcus es, ut ne Vulcanum quidem præclarum fabrum judices, nisi pileolum capiti ejus impositum videas; quid mali est, a judice adeo stolido non cognosci?

22. Sic maximæ parti hominum ignotus erat Socrates : veneruntque ad eum qui peterent, ut philosophis ab eo commendarentur. (23) Num ergo succensebat illis, ut nos; dicebatque, Ego vero tibi philosophus non videor? Immo adducebat illos, et commendabat; hoc uno contentus, quod philosophus esset : et gaudens quoque quod talis non videretur, non mordebatur. Meminerat enim sui muneris. (24) Quodnam est boni et sapientis viri munus? Discipulos multos habere? Nequaquam : viderint isti quibus ea res studio est. At præcepta difficilia subtiliter explicare? Viderint et hoc alii. (25) Ubi ergo ipse? et quis erat, atque esse volebat? Ibi se ipsum esse ratus est, ubi damnum ipsius et emolumentum posita essent. Si me quis, inquit, lædere potest; ego nihil ago : si alium exspecto, ut me juvet; ego nihil sum. Volo aliquid, et non fit? ego miser

εἰμι. (26) Εἰς τοσοῦτο σκάμμα προεκαλεῖτο πάντα ὀντιναοῦν, καὶ οὐκ ἄν μοι δοκεῖ ἐκστῆναι οὐδενί· τί δοκεῖτε; καταγγέλλων καὶ λέγων, Ἐγὼ τοιοῦτος εἰμί; Μὴ γένοιτο· ἀλλὰ ὢν τοιοῦτος. (27) Πάλιν γὰρ τοῦτο μωροῦ καὶ ἀλαζόνος· Ἐγὼ ἀπαθής εἰμι καὶ ἀτάραχος· μὴ ἀγνοεῖτε, ὦ ἄνθρωποι, ὅτι ὑμῶν κυκωμένων καὶ θορυβουμένων περὶ τὰ μηδενὸς ἄξια, μόνος ἐγὼ ἀπήλλαγμαι πάσης ταραχῆς. (28) Οὕτως οὐκ ἀρκεῖ σοι τὸ μηδὲν ἀλγεῖν, ἂν μὴ κηρύσσῃς, Συνέλθετε πάντες οἱ ποδαγρῶντες, οἱ κεφαλαλγοῦντες, οἱ πυρέσσοντες, οἱ χωλοί, οἱ τυφλοί, καὶ ἴδετέ με ἀπὸ παντὸς πάθους ὑγιᾶ; (29) Τοῦτο κενὸν καὶ φορτικόν, εἰ μή τι, ὡς ὁ Ἀσκληπιός, εὐθὺς ὑποδεῖξαι δύνασαι, πῶς θεραπεύοντες εὐθὺς ἔσονται ἄνοσοι κἀκεῖνοι, καὶ εἰς τοῦτο φέρεις παράδειγμα τὴν ὑγίειαν τὴν σεαυτοῦ.

30. Τοιοῦτος γάρ ἐστιν ὁ Κυνικός, τοῦ σκήπτρου καὶ διαδήματος ἠξιωμένος παρὰ τοῦ Διός, καὶ λέγων· Ἵν' ἴδητε, ὦ ἄνθρωποι, ὅτι τὴν εὐδαιμονίαν καὶ ἀταραξίαν οὐχ ὅπου ἐστὶ ζητεῖτε, ἀλλ' ὅπου μή ἐστιν· (31) ἰδοὺ ἐγὼ ὑμῖν παράδειγμα ὑπὸ τοῦ θεοῦ ἀπέσταλμαι, μήτε κτῆσιν ἔχων, μήτε οἶκον, μήτε γυναῖκα, μήτε τέκνα, ἀλλὰ μηδ' ὑπόστρωμα, μηδὲ χιτῶνα, μηδὲ σκεῦος· καὶ ἴδετε πῶς ὑγιαίνω· πειράθητέ μου. Κἂν ἴδητε ἀτάραχον, ἀκούσατε τὰ φάρμακα, καὶ ὑφ' ὧν ἐθεραπεύθην. (32) Τοῦτο γὰρ ἤδη καὶ φιλάνθρωπον καὶ γενναῖον. Ἀλλ' ὁρᾶτε τίνος ἔργον ἐστί· τοῦ Διός, ἢ ὃν ἂν ἐκεῖνος ἄξιον κρίνῃ ταύτης ὑπηρεσίας, ἵνα μηδαμοῦ μηδὲν παραγυμνώσῃ πρὸς τοὺς πολλούς, δι' οὗ τὴν μαρτυρίαν τὴν αὑτοῦ, ἣν τῇ ἀρετῇ μαρτυρεῖ, καὶ τῶν ἐκτὸς καταμαρτυρεῖ, αὐτὸς ἄκυρον ποιήσῃ·

Οὔτ' ὠχρήσαντα χρόα κάλλιμον, οὔτε παρειῶν
δάκρυ' ὀμορξάμενον.

(33) Καὶ οὐ μόνον τοῦτο, ἀλλ' οὐδὲ ποθοῦντά τι ἢ ἐπιζητοῦντα, ἄνθρωπον, ἢ τόπον, ἢ διαγωγήν, ὡς τὰ παιδία τὸν τρυγητὸν ἢ τὰς ἀργίας· αἰδοῖ πανταχοῦ κεκοσμημένον, ὡς οἱ ἄλλοι τοίχοις καὶ θύραις καὶ θυρωροῖς.

34. Νῦν δ' αὐτὸ μόνον, κινηθέντες πρὸς φιλοσοφίαν, ὡς οἱ κακοστόμαχοι πρός τι βρωμάτιον ὃ μετὰ μικρὸν σικχαίνειν μέλλουσιν, εὐθὺς ἐπὶ τὸ σκῆπτρον, ἐπὶ τὴν βασιλείαν. Καθεῖκε τὴν κόμην, ἀνείληφε τρίβωνα, γυμνὸν δεικνύει τὸν ὦμον, μάχεται τοῖς ἀπαντῶσι· κἂν ἐν φαινόλῃ τινὰ ἴδῃ, μάχεται αὐτῷ· (35) Ἄνθρωπε, χειμάσκησον πρῶτον· ἰδού σου τὴν ὁρμήν, μὴ κακοστομάχου ἢ κισσώσης γυναικός ἐστιν. Ἀγνοεῖσθαι μελέτησον πρῶτον τίς εἶ· σαυτῷ φιλοσόφησον ὀλίγον χρόνον. (36) Οὕτω καρπὸς γίνεται· κατορυγῆναι δεῖ ἐπί τινα χρόνον τὸ σπέρμα, κρυφθῆναι, κατὰ μικρὸν αὐξηθῆναι, ἵνα τελεσφορήσῃ. Ἂν δὲ πρὸ τοῦ γόνυ φῦσαι τὸν στάχυν ἐξενέγκῃ, ἀτελές ἐστιν, ἐκ κήπου Ἀδωνιακοῦ. (37) Τοιοῦτον εἶ καὶ σὺ φυτάριον· θᾶττον τοῦ δέοντος ἤνθηκας, ἀποκαύσει σε ὁ χειμών. (38) Ἰδοὺ τί λέγουσιν οἱ γεωργοὶ περὶ τῶν σπερ-

sum. (26) In tantum certamen quoslibet provocabat; neque cuiquam cessurus mihi videtur. Quid putatis? ita eum fecisse hoc, ut denunciaret diceretque, Ego sum talis? Absit: nihil aliud egit, nisi ut talis esset. (27) Est enim rursus hoc et stulti et arrogantis, dicere: Ego sum perturbatione et tumultu vacuus; nolite ignorare, homines, dum vos tumultuamini et de rebus nullius pretii digladiamini, ego solus omni tumultu sum liber. (28) Itane tibi non satis est nihil dolere, nisi proclamaveris, Convenite omnes qui e pedibus, e capite, qui febri laboratis, convenite claudi, cæci, ac videte me ab omni malo salvum! (29) Hoc inane et importunum est; nisi, sicut Æsculapius, statim demonstrare possis, qua curatione utentes et ipsi sanari a morbo possint, et nisi in ejus rei documentum tuam sanitatem proferas.

30. Nam talis est Cynicus, sceptro et diademate a Jove ornatus, qui ait: Ut intelligatis, homines, felicitatem et tranquillitatem vos non ubi est quærere, sed ubi non est; (31) ecce ego vobis exemplum a Jove sum missus, qui nec rem familiarum habeam, nec domum, neque uxorem, nec liberos, immo ne stragulum quidem, nec tunicam, nec vasculum. Videte quam sanus sum; facite mei periculum. Si omni perturbatione vacuum videritis, audite medicamenta, et quibus rationibus sim curatus. (32) Hoc enim jam et humanum est, et generosum. Sed videte cujus opus sit; Jovis, aut ejus quem is tali ministerio dignum judicarit, ut nusquam quidquam nudet apud vulgus, quo testimonium suum, quod virtuti perhibet, et quod contra res externas dicit, ipse irritum faciat:

Ne pallore cutis decor offundatur honestæ,
et molles oculis lacrimæ stillantibus absint.

(33) Et non hoc solum, sed et ut ne desideret quidem aut requirat quidquam; non hominem, non locum, non delectationem, quemadmodum pueri vindemiam aut ferias: denique ut sit verecundia undique tectus, quemadmodum ceteri parietibus, foribus, janitoribus.

34. Nunc autem, vix primo impulsu animorum ad philosophiam excitati, sicut ii qui e stomacho laborant ad aliquod edulium quod paulo post fastidiant, statim ruunt ad sceptrum, ad regnum: promissam alunt cæsariem, induerunt pallium, nudum humerum ostentant, rixantur cum obviis; si quem in pænula viderint, pugnant cum eo: (35) Homo! domi te sedulo prius exerce, observa tuum impetum, ne sit hominis e stomacho aut mulierculæ pica laborantis Da primum operam, ut ignorere qui sis; tibi ipsi philosophare ad breve tempus. (36) Sic fructus nascitur: defodi oportet et aliquamdiu occultari semen; tum paulatim augescere, ut fructum denique proferat: sed si spicam ante geniculum protulerit, imperfectum est frumentum, est ex Adonidis hortis. (37) Hujusmodi plantula et tu es: ante tempus floruisti, exuret te hiems. (38) Vide quid dicant agricolæ

μάτων, ὅταν πρὸ ὥρας θερμασίαι γένωνται· ἀγωνιῶσι μὴ ἐξυβρίσῃ τὰ σπέρματα, εἶτα αὐτὰ πάγος εἰσβαλὼν ἐξελέγξῃ. (39) Ὅρα καὶ σὺ, ἄνθρωπε· ἐξύβρικας, ἐπιπεπήδηκας δοξαρίῳ πρὸ ὥρας· δοκεῖς τις εἶναι· μωρὸς παρὰ μωροῖς· ἀποπαγήσῃ, μᾶλλον δ' ἀποπέπηγας ἤδη ἐν τῇ ῥίζῃ κάτω, τὰ δ' ἄνω σου μικρὸν ἔτι ἀνθεῖ, καὶ διὰ τοῦτο δοκεῖς ἔτι ζῆν καὶ θάλλειν. (40) Ἄφες ἡμᾶς γε κατὰ φύσιν πεπανθῆναι. Τί ἡμᾶς ἀποδύεις; τί βιάζῃ; οὔπω δυνάμεθα ἐνεγκεῖν τὸν ἀέρα. Ἔασον τὴν ῥίζαν αὐξηθῆναι, εἶτα γόνυ λαβεῖν τὸ πρῶτον, εἶτα τὸ δεύτερον, εἶτα τὸ τρίτον· εἶθ' οὕτως ὁ καρπὸς ἐκβιάσεται τὴν φύσιν, κἂν ἐγὼ μὴ θέλω. (41) Τίς γὰρ ἐγκύμων γενόμενος καὶ πλήρης τηλικούτων δογμάτων, οὐχὶ αἰσθάνεταί τε τῆς αὑτοῦ παρασκευῆς, καὶ ἐπὶ τὰ κατάλληλα ἔργα ὁρμᾷ; (42) Ἀλλὰ ταῦρος μὲν οὐκ ἀγνοεῖ τὴν αὑτοῦ φύσιν καὶ παρασκευὴν, ὅταν ἐπιφανῇ τι θηρίον, οὐδ' ἀναμένει τὸν προτρεψόμενον· οὐδὲ κύων, ὅταν ἴδῃ τι τῶν ἀγρίων ζῴων. (43) Ἐγὼ δ' ἂν ἴσχω τὴν ἀνδρὸς ἀγαθοῦ παρασκευὴν, ἐκδέξομαι ἵνα με σὺ παρασκευάσῃς ἐπὶ τὰ οἰκεῖα ἔργα; Νῦν δ' οὔπω ἔχω, πίστευσόν μοι. Τί οὖν με πρὸ ὥρας ἀποξηρανθῆναι θέλεις, ὡς αὐτὸς ἐξηράνθης;

de seminibus, quando ante tempus calor inciderit: timent ne luxurient semina, ac deinde frigus ingruens ea coarguat. (39) Vide et tu, homo: luxuriasti, ante tempus ad gloriolam evolasti: videris aliquis esse; stultus es apud stultos: frigore enecaberis, ac potius jam enectus es juxta radicem; superne vero paululum adhuc flores, eoque videris adhuc vivere et virere. (40) Patere nos saltem secundum naturam maturescere! Quid nos exuis? quid cogis? nondum possumus ferre aerem: sine radicem crescere, deinde geniculum primum oriri, post alterum, dein tertium; denique sic fructus naturam cogens perrumpet, vel me nolente. (41) Quis enim prægnans et plenus talium decretorum non etiam vires et copias suas intelligit, et ad opera convenientia concitatur? (42) Taurus certe quidem naturam suam haud ignorat et robur, ubi belluam aliquam conspexit, neque hortatorem operitur: neque canis, cum ferum aliquod animal vidit. (43) Ego vero, si viri boni vim atque præparationem habeam, exspectabo ut tu me ad opera convenientia instruas? Nunc vero nondum habeo, crede mihi. Quid ergo me ante tempus exarescere vis, quemadmodum ipse exaruisti?

ΚΕΦ. Θ'.

Πρὸς τὸν εἰς ἀναισχυντίαν μεταβληθέντα.

1. Ὅταν ἄλλον ἴδῃς ἄρχοντα, ἀντίθες ὅτι σὺ ἔχεις τὸ μὴ δεῖσθαι ἀρχῆς· ὅταν ἄλλον πλουτοῦντα, ἰδοὺ τί ἀντὶ τούτου ἔχεις. (2) Εἰ μὲν γὰρ μηδὲν ἔχεις ἀντ' αὐτοῦ, ἄθλιος εἶ· εἰ δ' ἔχεις τὸ μὴ χρείαν ἔχειν πλούτου, γίνωσκε ὅτι πλεῖον τούτου ἔχεις, καὶ πολλῷ πλείονος ἄξιον. Ἄλλος γυναῖκα εὔμορφον· σὺ, τὸ μὴ ἐπιθυμεῖν εὐμόρφου γυναικός. (3) Μικρά σοι δοκεῖ ταῦτα; καὶ πόσου ἂν τιμήσαιντο οὗτοι αὐτοὶ οἱ πλουτοῦντες καὶ ἄρχοντες, καὶ μετ' εὐμόρφων διαιτώμενοι, δύνασθαι πλούτου καταφρονεῖν, καὶ ἀρχῶν, καὶ αὐτῶν τούτων τῶν γυναικῶν ὧν ἐρῶσι καὶ ὧν τυγχάνουσιν; (4) Ἀγνοεῖς οἷόν τι ἐστὶ δίψος πυρέσσοντος; οὐδὲν ὅμοιον ἔχει τῷ τοῦ ὑγιαίνοντος. Ἐκεῖνος πιὼν ἀποπέπαυται· ὁ δὲ πρὸς ὀλίγον ἡσθεὶς, εἶτα ναυτιᾷ, χολὴν αὐτὸ ποιεῖ ἀντὶ ὕδατος, ἐμεῖ, στροφοῦται, διψῇ σφοδρότερον. (5) Τοιοῦτόν ἐστι μετ' ἐπιθυμίας πλουτεῖν, μετ' ἐπιθυμίας ἄρχειν, μετ' ἐπιθυμίας καλῇ συγκαθεύδειν· ζηλοτυπία πρόσεστι, φόβος τοῦ στερηθῆναι, αἰσχροὶ λόγοι, αἰσχρὰ ἐνθυμήματα, ἔργα ἀσχήμονα.

6. Καὶ τί, φησὶν, ἀπολλύω; Ἄνθρωπε, ὑπῆρχες αἰδήμων, καὶ νῦν οὐκέτι εἶ· οὐδὲν ἀπολώλεκας; ἀντὶ Χρυσίππου καὶ Ζήνωνος, Ἀριστείδην ἀναγινώσκεις καὶ Εὔηνον· οὐδὲν ἀπολώλεκας; ἀντὶ Σωκράτους καὶ Διογένους, τεθαύμακας τὸν πλείστας διαφθεῖραι καὶ ἀναπεῖσαι δυνάμενον. (7) Καλὸς εἶναι θέλεις, καὶ πλάσσεις σεαυτὸν, μὴ ὤν· καὶ ἐσθῆτα ἐπιδεικνύειν θέλεις στιλπνὴν, ἵνα τὰς γυναῖκας ἐπιστρέφῃς· κἄν που μυραφίου ἐπιτύχῃς, μακάριος εἶναι δοκεῖς. (8) Πρότερον

CAP. IX.

Ad quemdam qui ad impudentiam deflexerat.

1. Cum alium vides magistratu præditum; oppone illud, te hoc habere, ut non requiras magistratum: cum alium divitem, vide quid loco divitiarum habeas. (2) Nam si nihil pro illis habes, miser es: sin id habes ut divitiis non egeas, scito plus te, quam habet ille, habere, et longe majoris pretii rem. Alius uxorem formosam habet; tu vero id, ut formosam uxorem non concupiscas. (3) Num parva hæc tibi videntur? At ipsi isti divites et magistratum gerentes, et qui formosarum consuetudine utuntur, quanti id æstimarent, si possent divitias et magistratus, et ipsas mulieres quas amant, quibusque potiuntur, contemnere? (4) Ignoras qualis sit sitis febricitantis? nihil simile habet siti sani hominis. Hic postquam bibit, sitire desinit; ille parumper delectatus, deinde nauseat, aquam in bilem convertit, vomit, torminibus cruciatur, sitit vehementius. (5) Tale est, cum cupiditate esse divitem, cum cupiditate gerere magistratum, cum cupiditate concubare cum formosa uxore: adjuncta est æmulatio, metus amissionis, turpia verba, turpes cogitationes, facta indecora.

6. Et quid, inquit, amitto? Homo, fuisti verecundus; nunc non es: nihilne amisisti? loco Chrysippi et Zenonis, Aristidem legis et Evenum: nihilne amisisti? pro Socrate et Diogene, miraris eum qui plurimas corrumpere et decipere verbis potest. (7) Pulcer esse vis, ac te ipsum fingis, cum non sis: et vestem splendidam ostentare cupis, ut muliercularum oculos in te convertas: et sicubi pretiosum aliquod oleum cosmeticum nactus fueris, beatum te judicas. (8) Prius autem quidquam tale ne cogitabis quidem;

f' οὐδὲν ἐνεθυμοῦ τούτων τι· ἀλλὰ ποῦ εὐσχήμων λόγος, ἀνὴρ ἀξιόλογος, ἐνθύμημα γενναῖον. Τοιγαροῦν ἐκάθευδες ὡς ἀνὴρ, προῄεις ὡς ἀνὴρ, ἐσθῆτα ἐφόρεις ἀνδρικὴν, λόγους ἐλάλεις πρέποντας ἀνδρὶ ἀγαθῷ· εἶτά μοι λέγεις, οὐδὲν ἀπώλεσα; (9) Οὕτως οὐδὲν ἄλλο, ἢ κέρμα, ἀπολλύουσιν ἄνθρωποι; αἰδὼς οὐκ ἀπόλλυται; εὐσχημοσύνη οὐκ ἀπόλλυται; ἢ οὐκ ἔστι ζημιωθῆναι τὸν ταῦτα ἀπολέσαντα; (10) Σοὶ μὲν οὖν δοκεῖ τάχα τούτων οὐδὲν οὐκέτι εἶναι ζημία. Ἦν δέ ποτε χρόνος, ὅτε μόνην αὐτὴν ὑπελογίζου καὶ ζημίαν καὶ βλάβην, ὅτε ἠγωνίας μή τις ἐκσείσῃ σε τούτων τῶν λόγων καὶ ἔργων.

11. Ἰδοὺ, ἐκσέσεισαι ὑπ' ἄλλου μὲν οὐδενὸς, ὑπὸ σαυτοῦ δέ. Μαχέσθητι σαυτῷ, ἀφελοῦ σαυτὸν εἰς εὐσχημοσύνην, εἰς αἰδῶ, εἰς ἐλευθερίαν. (12) Εἴ σοί τίς ποτε ἔλεγε περὶ ἐμοῦ ταῦτα, ὅτι μέ τις μοιχεύειν ἀναγκάζει, ὅτι ἐσθῆτα φορεῖν τοιαύτην, ὅτι μυρίζεσθαι· οὐκ ἂν ἀπελθὼν αὐτόχειρ ἐγένου τούτου τοῦ ἀνθρώπου, τοῦ οὕτω μοι παραχρωμένου; (13) Νῦν οὖν οὐ θέλεις σαυτῷ βοηθῆσαι; καὶ πόσῳ ῥάων αὕτη ἡ βοήθεια; οὐκ ἀποκτεῖναί τινα δεῖ, οὐ δῆσαι, οὐχ ὑβρίσαι, οὐκ εἰς ἀγορὰν προελθεῖν· ἀλλ' αὐτὸν αὑτῷ λαλῆσαι, τῷ μάλιστα πεισθησομένῳ, πρὸς ὃν οὐδείς ἐστί σου πιθανώτερος. (14) Καὶ πρῶτον μὲν, κατάγνωθι τῶν γινομένων· εἶτα καταγνοὺς, μὴ ἀπογνῷς σεαυτοῦ· μηδὲ πάθῃς τὸ τῶν ἀγεννῶν ἀνθρώπων, οἳ ἅπαξ ἐνδόντες, εἰσάπαν ἐπέδωκαν ἑαυτοὺς, καὶ ὡς ὑπὸ ῥεύματος παρεσύρησαν. (15) Ἀλλὰ μάθε τὸ τῶν παιδοτριβῶν. Πέπτωκε τὸ παιδίον; Ἀναστὰς, φησὶ, πάλιν πάλαιε, μέχρις ἂν ἰσχυροποιηθῇς. (16) Τοιοῦτόν τι καὶ σὺ πάθε· ἴσθι γὰρ ὅτι οὐδέν ἐστιν εὐαγωγότερον ἀνθρωπίνης ψυχῆς. Θελῆσαι δεῖ· καὶ γέγονε, διώρθωται· ὡς πάλιν ἀπονυστάξαι, καὶ ἀπόλωλεν. Ἔσωθεν γάρ ἐστι καὶ ἀπώλεια καὶ βοήθεια. (17) Εἶτα τί μοι ἀγαθόν; Καὶ τί ζητεῖς τούτου μεῖζον; ἐξ ἀναισχύντου αἰδήμων ἔσῃ, ἐξ ἀκόσμου κόσμιος, ἐξ ἀπίστου πιστὸς, ἐξ ἀκολάστου σώφρων. (18) Εἴ τινα ἄλλα τούτων μείζονα ζητεῖς, ποίει ἃ ποιεῖς· οὐδὲ θεῶν σέ τις ἔτι σῶσαι δύναται.

verum, ubi esset honesta oratio, vir gravi auctoritate, generosa cogitatio. Proinde dormiebas ut vir; prodibas ut vir; ut vir vestem virilem ferebas; verba faciebas digna viro bono : et nunc mihi dicis nihil te amisisse? (9) Itane nihil aliud amittunt homines, nisi nummulos? verecundia vero non amittitur? morum modestia non amittitur? aut talium rerum jactura nihil nocet? (10) Tu fortassis nihil horum jam in damnis deputas. At fuit tempus aliquando, cum hoc unum in malis numerares et in damnis, cum sollicitus esses, ne quis ista dicta et facta tibi excuteret.

11. Ecce, excussa tibi sunt, et quidem non ab alio, sed a te ipso. Pugna ipse tecum, assere te rursus modestiæ, verecundiæ, libertati. (12) Si quis olim tibi de me hoc dixisset, esse aliquem qui me adulterare cogeret, et talem vestem ferre, et unguentis delibui; nonne accurrisses, et tua manu hominem, qui me sic abuteretur, jugulasses? (13) Nunc ergo non vis ipsi tibi opem ferre? quanto autem facilius est hoc auxilium? Non est occidendus aliquis, non vinciendus, non afficiendus contumelia; non est in forum prodeundum; sed tecum ipso colloquendum, maxime obtemperaturo, apud quem nemo plus te auctoritate valet et gratia. (14) Ac primum quidem ea, quæ facis, improbato; dein, ubi improbaris, de te ipso ne despera; neque id usu tibi veniat, quod ignavis hominibus, qui, semel remissa industria, omnino frenum laxant pravis cupiditatibus, et velut a torrente abripiuntur. (15) Observa potius pædotribarum consuetudinem. Prostratus est puer? Surge, inquit, denuo luctare, donec vires tuæ auctæ confirmatæque fuerint. (16) Ad eumdem modum et tu facito; scitoque nihil esse animo humano tractabilius. Velle oportet; et factum est, correctus est : ut e contrario, si oscitarit, periit. Intrinsecus enim est et interitus et adjumentum. (17) Quid vero ex eo mihi boni exsistet? Quodnam tandem isto majus bonum quæris? ex impudenti verecundus fies, e petulanti modestus, ex infideli fidelis, e luxurioso temperans? (18) Si qua alia his majora quæris, fac quæ facis : jam ne deorum quidem quisquam te servare potest.

ΚΕΦ. Ι'.

Τίνων δεῖ καταφρονεῖν, καὶ πρὸς τίνα διαφέρεσθαι.

1. Ἀπορία πᾶσι τοῖς ἀνθρώποις περὶ τὰ ἐκτὸς γίνεται, ἀμηχανία περὶ τὰ ἐκτός. Τί ποιήσω; πῶς γένηται; πῶς ἀποβῇ; μὴ τόδε ἀπαντήσῃ, μὴ τόδε. (2) Πᾶσαι αὗται αἱ φωναὶ περὶ τὰ ἀπροαίρετα στρεφομένων εἰσί. Τίς γὰρ λέγει, Πῶς μὴ συγκατατιθῶμαι τῷ ψεύδει; πῶς μὴ ἀπονεύσω ἀπὸ τοῦ ἀληθοῦς; (3) Ἐὰν οὕτως ᾖ εὐφυὴς ὥστε περὶ τούτων ἀγωνιᾶν, ὑπομνήσω αὐτὸν, ὅτι Τί ἀγωνιᾷς; ἐπὶ σοί ἐστιν· ἀσφαλὴς ἴσθι· μὴ πρὸ τοῦ ἐπάγειν τὸν φυσικὸν κανόνα προπήδα ἐν τῷ συγκατατίθεσθαι. (4) Πάλιν ἂν περὶ ὀρέξεως ἀγωνιᾷ, μὴ ἀτελὴς γένηται καὶ ἀποτευκτική· περὶ ἐκκλίσεως, μὴ περιπτωτική· (5) πρῶτον μὲν αὐτὸν καταφιλήσω, ὅτι ἀφεὶς περὶ ἃ οἱ ἄλλοι ἐπτόηνται,

CAP. X.

Quænam contemnenda sint, et quænam sint magni facienda.

1. Difficultas omnibus hominibus circa res externas exsistit, anxietas circa res externas. Quid faciam? quomodo fiet? quomodo eveniet? ne hoc accidat! ne illud. (2) Omnes istæ voces eorum sunt, qui rebus externis occupantur. Quis enim dicit, Quomodo cavebo ne assentiar mendacio? quomodo, ne a vero declinem? (3) Si quis ea fuerit ingenii bonitate, ut his de rebus angatur, commonefaciam illum : Cur angeris? penes te est; securus esto; modo noli ante adhibitam naturæ regulam prosilire ad assensionem. (4) Rursus si de appetitione angatur, ne irrita illa fiat et voti impos; de aversatione, ut ne in id quod aversatur incidat; (5) primum quidem eum deosculabor, quod, omissis iis quæ alii admirantur, illorumque formi-

καὶ τοὺς ἐκείνων φόβους, περὶ τῶν ἰδίων ἔργων πεφρόντικεν ὅπου αὐτός ἐστιν· (6) εἶτα ἐρῶ αὐτῷ, Εἰ μὴ θέλεις ὀρέγεσθαι ἀποτευκτικῶς, μηδ' ἐκκλίνειν περιπτωτικῶς, μηδενὸς ὀρέγου τῶν ἀλλοτρίων ἔτι, μηδὲν ἔκκλινε τῶν μὴ ἐπὶ σοί· εἰ δὲ μὴ, καὶ ἀποτυχεῖν καὶ περιπεσεῖν ἀνάγκη. (7) Ποία ἐνθάδ' ἀπορία; ποῦ τόπον ἔχει [τὸ], Πῶς γένηται; καὶ, πῶς ἀποβῇ; καὶ, μὴ ἀπαντήσῃ τόδε ἢ τόδε.

8. Νῦν οὐχὶ τὸ ἐκβησόμενον ἀπροαίρετον; Ναί. Ἡ δ' οὐσία τοῦ ἀγαθοῦ καὶ κακοῦ ἐστιν ἐν τοῖς προαιρετικοῖς; Ναί. Ἔξεστιν οὖν σοι παντὶ τῷ ἀποβάντι χρῆσθαι κατὰ φύσιν; μή τίς σε κωλῦσαι δύναται; Οὐδείς. (9) Μηκέτι οὖν μοι λέγε, Πῶς γένηται; ὅπως γὰρ ἂν γένηται, σὺ αὐτὸ θήσεις καλῶς, καὶ ἔσται σοι τὸ ἀποβὰν εὐτύχημα. (10) Ἢ τίς ἂν ἦν ὁ Ἡρακλῆς, λέγων, Πῶς μοι μὴ μέγας λέων ἐπιφανῇ, μηδὲ μέγας σῦς, μηδὲ θηριώδεις ἄνθρωποι; Καὶ τί σοι μέλει; ἂν μέγας σῦς ἐπιφανῇ, μεῖζον ἆθλον ἀθλήσεις· ἂν κακοὶ ἄνθρωποι, κακῶν ἀπαλλάξεις τὴν οἰκουμένην. (11) Ἂν οὖν οὕτως ἀποθάνω; Ἀγαθὸς ὢν ἀποθανῇ, γενναίαν πρᾶξιν ἐπιτελῶν. Ἐπεὶ γὰρ δεῖ πάντως ἀποθανεῖν, ἀνάγκη τί ποτε ποιοῦντα εὑρεθῆναι, ἢ γεωργοῦντα, ἢ σκάπτοντα, ἢ ἐμπορευόμενον, ἢ ὑπατεύοντα, ἢ ἀπεπτοῦντα, ἢ διαῤῥοίζόμενον. (12) Τί οὖν θέλεις ποιῶν εὑρεθῆναι ὑπὸ τοῦ θανάτου; Ἐγὼ μὲν, τὸ ἐμὸν μέρος, ἔργον τί ποτ' ἀνθρωπικὸν, εὐεργετικὸν, κοινωφελὲς, γενναῖον. (13) Εἰ δὲ μὴ δύναμαι τὰ τηλικαῦτα ποιῶν εὑρεθῆναι, ἐκεῖνό γε, τὸ ἀκώλυτον, τὸ διδόμενον, ἐμαυτὸν ἐπανορθῶν, ἐξεργαζόμενος τὴν δύναμιν τὴν χρηστικὴν τῶν φαντασιῶν, ἀπάθειαν ἐκπονῶν, ταῖς σχέσεσι τὰ ἴδια ἀποδιδόναι· εἰ οὕτως εὐτυχής εἰμι, καὶ τοῦ τρίτου τόπου παραπτόμενος, τοῦ περὶ τὴν τῶν κριμάτων ἀσφάλειαν.

14. Ἂν μετὰ τούτων με ὁ θάνατος καταλάβῃ, ἀρκεῖ μοι ἂν δύνωμαι πρὸς τὸν θεὸν ἀνατεῖναι τὰς χεῖρας, καὶ εἰπεῖν, ὅτι Ἃς ἔλαβον ἀφορμὰς παρὰ σοῦ πρὸς τὸ αἰσθέσθαι σου τῆς διοικήσεως, καὶ ἀκολουθῆσαι αὐτῇ, τούτων οὐκ ἠμέλησα· οὐ κατῄσχυνά σε τὸ ἐμὸν μέρος. (15) Ἰδοὺ πῶς κέχρημαι ταῖς αἰσθήσεσιν, ἰδοὺ πῶς ταῖς προλήψεσι. Μή ποτέ σε ἐμεμψάμην; μή τι τῶν γινομένων τινὶ δυσηρέστησα, ἢ ἄλλως γίνεσθαι ἠθέλησα; μή τι τὰς σχέσεις παρέβην; (16) Διότι με σὺ ἐγέννησας, [χάριν ἔχω·] χάριν ἔχω ὧν ἔδωκας· ἐφ' ὅσον ἐχρησάμην τοῖς σοῖς, ἀρκεῖ μοι. Πάλιν αὐτὰ ἀπόλαβε, καὶ κατάταξον εἰς ἣν ἂν θέλῃς χώραν. Σὰ γὰρ ἦν πάντα, σύ μοι αὐτὰ δέδωκας. (17) Οὐκ ἀρκεῖ οὕτως ἔχοντα ἐξελθεῖν; καὶ τίς βίων κρείττων καὶ εὐσχημονέστερος τοῦ οὕτως ἔχοντος; ποία δὲ καταστροφὴ εὐδαιμονεστέρα;

18. Ἵνα δὲ ταῦτα γένηται, οὐ μικρὰ δέξασθαι, οὐδὲ μικρῶν ἐστιν ἀποτυχεῖν. Οὐ δύνασαι καὶ ὑπατεῦσαι θέλειν, καὶ ταῦτα· καὶ ἀγροὺς ἔχειν ἐσπουδακέναι, καὶ ταῦτα· καὶ τῶν δουλαρίων φροντίζειν, καὶ σεαυτοῦ. (19) Ἀλλ' ἄν τι τῶν ἀλλοτρίων θέλῃς, τὰ σὰ ἀπώλετο. Αὕτη τοῦ πράγματος ἡ φύσις· προῖκα οὐδὲν γίνεται. (20) Καὶ τί θαυμαστόν; Ἂν ὑπατεῦσαι θέλῃς, ἀγρυ-

dine profligata, suis de rebus sollicitus sit, ubi ipse est: (6) post ei dicam, Si appetitum tuum frustrari non vis, si non incidere vis in ea quæ horres, nihil alienum dehinc appetito, nihil eorum declina quæ penes te non sunt: alioquin et frustrari et in calamitatem incidere necesse erit. (7) Quænam hic difficultas est? quem locum habet illud, Quomodo fiet? quomodo eveniet? ne hoc aut illud accidat!

8. Nonne eventus extra nostrum arbitrium est positus? Sic. Natura vero boni et mali in rebus nostri arbitrii sita est? Ita. Licetne ergo tibi quolibet eventu uti secundum naturam? num quis prohibere te potest? Nemo. (9) Noli ergo posthac mihi dicere, Quomodo cadet? utcumque enim ceciderit, tu recte illud compones; et erit tibi eventus prosper. (10) Nam quis fuisset Hercules, si dixisset: Quomodo faciam ne magnus leo mihi occurrat, aut magnus aper, aut homines immanes? Quid vero tu curas? si magnus aper prodierit, majus certamen obibis; si mali homines, terrarum orbem malis liberabis. (11) Si ergo sic mortuus fuero? Morieris ut vir præstans, re gesta generose. Nam cum omnino moriendum sit, necesse est te aliquid, quidquid illud sit, agentem deprehendi; sive agros colentem, sive fodientem, sive mercaturam exercentem, sive consulatum gerentem, sive cruditate laborantem aut alvi profluvio. (12) Qua ergo actione occupatus vis a morte deprehendi? Equidem, quod ad me attinet, opere aliquo humano occupatus; cujusmodi est beneficentia, publica utilitas, generosum factum. (13) Si vero tantis in rebus deprehendi non possum, illud certe volo, quod prohiberi nequit, quod mihi concessum est, ut deprehendar emendans me ipsum, expoliens facultatem utentem visis, studens perturbationum vacuitati, suum cuique relationi exsolvens officium: denique, si adeo felix fuero, tertium etiam locum attingens, illum de judiciorum firmitate.

14. Quodsi me his occupatum mors deprenderit, satis mihi erit, ad deum posse manibus extentis dicere: Quas facultates a te accepi ad intelligendum gubernationem tuam, eique obtemperandum, eas non neglexi; non dedecori tibi fui, quantum in me fuit. (15) Ecce quomodo usus sum sensibus, quomodo anticipationibus. Num te umquam incusavi? num quid eorum, quæ evenerunt, ægre tuli, aut aliter fieri volui? num officia erga alios violavi? (16) Quod tu me genuisti, [habeo gratiam;] gratiam habeo eorum quæ mihi dedisti: in quantum temporis usus sum rebus tuis, id mihi satis est: recipe eas, et, ubicumque volueris, collocato. Tua enim fuerunt omnia; tu mihi ea dedisti. (17) Nonne satis est sic affectum exire? Immo quænam vita præstantior et honestior est, quam quæ sic habet? quæ mors felicior?

18. Ut autem hæc fiant, neque parva suscipere, neque parvis carere licet. Non potes et consulatum gerere velle, et hæc consequi; non dare operam parandis agris, et his; curare servulos, et te ipsum. (19) Si quid alienum expetiveris, tua periere. Hæc rei natura est: nihil gratis datur. (20) Et quid miri est? Si consulatum expetis, vigilandum

πνῆσαί σε δεῖ, περιδραμεῖν, τὰς χεῖρας καταφιλῆσαι, πρὸς ταῖς ἀλλοτρίαις θύραις κατασαπῆναι, πολλὰ μὲν εἰπεῖν, πολλὰ δὲ πρᾶξαι ἀνελεύθερα, δῶρα πέμψαι πολλοῖς, ξένια καθ' ἡμέραν ἐνίοις. (21) Καὶ τί τὸ γινόμενόν ἐστι; Δώδεκα δεσμὰ ῥάβδων, καὶ τρὶς ἢ τετράκις ἐπὶ βῆμα καθίσαι, καὶ Κιρκήσια δοῦναι, καὶ σπυρίσι δειπνίσαι. Ἢ δειξάτω μοί τις, τί ἐστι παρὰ ταῦτα. (22) Ὑπὲρ ἀπαθείας οὖν, ὑπὲρ ἀταραξίας, ὑπὲρ τοῦ καθεύδοντα καθεύδειν, ἐγρηγορότα ἐγρηγορέναι, μὴ φοβεῖσθαι μηδέν, μὴ ἀγωνιᾷν ὑπὲρ μηδενός, οὐδὲν ἀναλῶσαι θέλεις, οὐδὲν πονῆσαι; (23) ἀλλ' ἄν τι ἀπόληταί σου περὶ ταῦτα γινομένου, ἢ ἀναλωθῇ κακῶς, ἢ ἄλλος τύχῃ ὧν ἔδει σε τυχεῖν, εὐθὺς δηχθήσῃ ἐπὶ τῷ γενομένῳ; (24) Οὐκ ἀντιθήσεις τί ἀντὶ τίνος λαμβάνεις, πόσον ἀντὶ πόσου; Ἀλλὰ προῖκα θέλεις τὰ τηλικαῦτα λαβεῖν; Καὶ πῶς δύνασαι; Ἔργον ἔργῳ οὐ κοινωνεῖ. (25) Οὐ δύνασαι καὶ τὰ ἐκτὸς ἔχειν ἐπιμελείας τετυχηκότα, καὶ τὸ σαυτοῦ ἡγεμονικόν. Εἰ δ' ἐκεῖνα θέλεις, τοῦτο ἄφες· εἰ δὲ μή, οὔτε τοῦτο ἕξεις, οὔτ' ἐκεῖνα, περισπώμενος ἐπ' ἀμφότερα. Εἰ τοῦτο θέλεις, ἐκεῖνά σε ἀφεῖναι δεῖ. (26) Ἐκχεθήσεται τὸ ἔλαιον, ἀπολεῖται τὰ σκευάρια· ἀλλ' ἐγὼ ἀπαθὴς ἔσομαι. Ἐμπρησμὸς ἔσται, ἐμοῦ μὴ παρόντος, καὶ ἀπολεῖται τὰ βιβλία· ἀλλ' ἐγὼ χρήσομαι ταῖς φαντασίαις κατὰ φύσιν. (27) Ἀλλ' οὐκ ἕξω φαγεῖν. Εἰ οὕτω τάλας εἰμί, λιμὴν τὸ ἀποθανεῖν· οὗτος δ' ἐστὶν ὁ λιμὴν πάντων, ὁ θάνατος· αὕτη ἡ καταφυγή. Διὰ τοῦτο οὐδὲν τῶν ἐν τῷ βίῳ χαλεπόν ἐστιν· ὅταν θέλῃς, ἐξῆλθες, καὶ οὐ καπνίζῃ. (28) Τί οὖν ἀγωνιᾷς; τί ἀγρυπνεῖς; οὐχὶ δὲ εὐθύς, ἀναλογισάμενος ποῦ σου τὸ ἀγαθόν ἐστι καὶ τὸ κακόν, λέγεις, ὅτι Ἐπ' ἐμοὶ ἀμφότερα· οὔτε τούτου τις ἀφελέσθαι με δύναται, οὔτ' ἐκείνῳ ἄκοντα περιβαλεῖν; (29) Τί οὖν οὐ ῥέγκω βαλών; τὰ γὰρ ἐμὰ ἀσφαλῶς ἔχει· τὰ ἀλλότρια, ὄψεται αὐτὰ ὃς ἂν φέρῃ, ὡς ἂν διδῶται παρὰ τοῦ ἔχοντος ἐξουσίαν. (30) Τίς εἰμι ὁ θέλων αὐτὰ οὕτως ἔχειν ἢ οὕτως; μὴ γάρ μοι δέδοται ἐκλογὴ αὐτῶν; μὴ γὰρ ἐμέ τις αὐτῶν διοικητὴν πεποίηκεν; ἀρκεῖ μοι ὧν ἔχω ἐξουσίαν. Ταῦτά με δεῖ κάλλιστα παρασκευάσαι· τὰ δ' ἄλλα, ὡς ἂν θέλῃ ὁ ἐκείνων κύριος.

31. Ταῦτά τις ἔχων πρὸ ὀφθαλμῶν, ἀγρυπνεῖ καὶ στρέφεται ἔνθα καὶ ἔνθα; τί θέλων; ἢ τί ποθῶν; Πάτροκλον, ἢ Ἀντίλοχον, ἢ Μενέλαον; Πότε γὰρ ἡγήσατο ἀθάνατόν τινα τῶν φίλων; πότε γὰρ οὐκ εἶχε πρὸ ὀφθαλμῶν, ὅτι αὔριον ἢ εἰς τὴν τρίτην δεῖ ἢ αὐτὸν ἀποθανεῖν ἢ ἐκεῖνον; (32) Ναί, φησίν· ἀλλ' ᾤμην ὅτι ἐκεῖνος ἐπιβιώσεταί μοι, καὶ αὐξήσει μου τὸν υἱόν. Μωρὸς γὰρ ἦς, καὶ τὰ ἄδηλα [δῆλα] ᾤου. (33) Τί οὖν οὐκ ἐγκαλεῖς σεαυτῷ, ἀλλὰ κλαίων κάθησαι ὡς τὰ κοράσια; Ἀλλ' ἐκεῖνός μοι φαγεῖν παρετίθει. Ἔζη γάρ, μωρέ· νῦν δ' οὐ δύναται. Ἀλλ' Αὐτομέδων σοι παραθήσει· ἂν δὲ καὶ Αὐτομέδων ἀποθάνῃ, ἄλλον εὑρήσεις. (34) Ἂν δ' ἡ χύτρα, ἐν ᾗ ἥψετό σοι τὸ κρέας, καταγῇ,

tibi est, circumcursandum, manus deosculandæ, ad alienas fores computrescendum; multa dicenda, multa facienda illiberalia; munera mittenda multis, nonnullis strenulæ quotidianæ. (21) Et quis eventus est? Duodecim fasciculi virgarum; et ter quaterve pro tribunali sedere; Circenses ludos exhibere; et sportulis cœnam præbere. Aut demonstrato mihi aliquis, quid præter hæc sit. (22) Ergo pro vacuitate perturbationum, pro constantia, pro eo ut dormiens dormias, vigilans vigiles, nihil timeas, nulla re angaris; pro his nihil impendere vis, nihil laboris capessere? (23) sed si quid, dum tu his rebus occuparis, perierit; si quid male collocatum fuerit; si alter consecutus fuerit quæ te consequi oportebat; statim eo cruciabere? (24) Non conferes quid quo commutaveris, quantulum quanto? At gratis accipere res tanti pretii cupis? Qui autem potes? Opus cum opere nihil commune habet. (25) Non potes et externa probe curata habere, et mentem tuam. Sin illa vis, hoc missum fac : alioqui neque hoc neque illa habebis, animo utrisque distracto. Si hoc vis, illa omittenda erunt. (26) Effundetur oleum, peribunt vascula : at ego tranquillus ero. Incendium orietur, me absente; peribunt libri : sed ego ex naturæ præscripto visis utar. (27) At non habebo quod edam! Si ita miser sum, mors portus est : hic portus est omnibus, hoc confugium. Quapropter nihil in vita grave est : cum vis, exis; neque te fumus afficiet molestia. (28) Quid ergo angeris? quid vigilas? quidni statim, reputans ubi tuum bonum sit et malum, sic dicis : Utrumque in mea potestate est; neque hoc eripere mihi quisquam potest, neque in illud invitum conjicere? (29) Cur ergo non sterto supinus? res meæ in tuto sunt; de alienis vero viderit is qui eas obtinuerit, prout concessum fuerit ab eo qui earum habet potestatem. (30) Quis sum ego, qui eas sic aut aliter se habere velim? mihine enim delectus earum concessus est? num quis administratorem earum me constituit? Satis mihi ea sunt, quorum habeo potestatem. Hæc ita sunt administranda mihi, ut quam pulcerrima efficiantur : cetera vero, prout voluerit is, in cujus sunt potestate.

31. Hæc cui ob oculos posita sunt, num vigilat et huc atque illuc vertitur? quid volens, aut quid desiderans? Patroclum, an Antilochum, aut Menelaum? Quando vero aliquem ex amicis immortalem judicavit? quando non ob oculos habuit, cras aut perendie vel sibi vel illi esse moriendum? (32) Recte, inquit : at putabam, illum mihi fore superstitem, et filium meum *opibus honoribusque* esse aucturum. Stultus enim fuisti, et incerta pro certis habuisti. (33) Cur igitur non te ipsum accusas, sed plorans sedes tamquam puellulæ? At ille mihi cibum apponebat. Vivebat enim, stulte : nunc vero non potest. At Automedon tibi apponet; si vero Automedon quoque mortuus fuerit, alium invenies. (34) Quodsi olla, in qua tibi caro

λιμῷ σε δεῖ ἀποθανεῖν, ὅτι μὴ ἔχεις τὴν συνήθη χύτραν; οὐ πέμπεις, καὶ ἄλλην καινὴν ἀγοράζεις;

35. Οὐ μὲν γάρ τι (φησὶ) κακώτερον ἄλλο πάθοιμι.

Τοῦτο γάρ σοι κακόν ἐστιν; εἶτ' ἀφεὶς τοῦτο ἐξελεῖν, αἰτιᾷ τὴν μητέρα, ὅτι σοι οὐ προεῖπεν, ἵν' ὀδυνώμενος ἐξ ἐκείνου διατελῇς; (36) Τί δοκεῖτε; μὴ ἐπίτηδες ταῦτα συνθεῖναι Ὅμηρον, ἵν' ἴδωμεν ὅτι οἱ εὐγενέστατοι, οἱ ἰσχυρότατοι, οἱ πλουσιώτατοι, οἱ εὐμορφότατοι, ὅταν οἷα δεῖ δόγματα μὴ ἔχωσιν, οὐδὲν κωλύονται ἀθλιώτατοι εἶναι καὶ δυστυχέστατοι;

elixabatur, confracta fuerit; famene moriendum erit, quod consuetam ollam non habeas? nonne mittis qui aliam emat?

35. Neque enim (inquit) quidquam aliud pejus paterer.

Hoc igitur tibi malum est? Tu vero propulsare illud omittens, matrem accusas, quod non prædixerit tibi, ut ab illo inde tempore vitam cum dolore exegisses? (36) Quid putatis? annon, de industria Homerum ista composuisse, ut videremus nobilissimos, robustissimos, ditissimos, formosissimos, cum ea decreta non habent quibus opus est, nihil prohibere quo minus miserrimi sint et calamitosissimi?

ΚΕΦ. ΙΑ'.

Περὶ καθαριότητος.

1. Ἀμφισβητοῦσί τινες, εἰ ἐν τῇ φύσει τοῦ ἀνθρώπου περιέχεται τὸ κοινωνικόν· ὅμως δ' αὐτοὶ οὗτοι οὐκ ἄν μοι δοκοῦσιν ἀμφισβητῆσαι, ὅτι τό γε καθάριον πάντως περιέχεται, καὶ, εἴ τινι ἄλλῳ, καὶ τούτῳ τῶν ζῴων χωρίζεται. (2) Ὅταν οὖν ἄλλο τι ζῷον ἴδωμεν ἀποκαθαῖρον ἑαυτὸ, ἐπιλέγειν εἰώθαμεν θαυμάζοντες, ὅτι ὡς ἄνθρωπος· καὶ πάλιν, ἄν τις ἐγκαλῇ τινι ζῴῳ, εὐθὺς εἰώθαμεν ὥσπερ ἀπολογούμενοι λέγειν, ὅτι οὐ δήπου ἄνθρωπός ἐστιν. (3) Οὕτως ἐξαίρετόν τι περὶ τὸν ἄνθρωπον εἶναι οἰόμεθα, ἀπὸ τῶν θεῶν αὐτὸ πρῶτον λαμβάνοντες. Ἐπεὶ γὰρ ἐκεῖνοι φύσει καθαροὶ καὶ ἀκήρατοι, ἐφ' ὅσον ἠγγίκασιν αὐτοῖς οἱ ἄνθρωποι κατὰ τὸν λόγον, ἐπὶ τοσοῦτον καὶ τοῦ καθαροῦ καὶ τοῦ καθαρίου εἰσὶν ἀνθεκτικοί. (4) Ἐπεὶ δ' ἀμήχανον τὴν οὐσίαν αὐτῶν παντάπασιν εἶναι καθαρὰν, ἐκ τοιαύτης ὕλης κεκραμένην· ὁ λόγος παραληφθεὶς εἰς τὸ ἐνδεχόμενον ταύτην καθάριον ἀποτελεῖν πειρᾶται. (5) Πρώτη οὖν καὶ ἀνωτάτω καθαρότης ἡ ἐν ψυχῇ γινομένη· καὶ ὁμοίως ἀκαθαρσία. Ψυχῆς δ' ὡς σώματος μὲν ἀκαθαρσίαν οὐκ ἂν εὕροις· ὡς ψυχῆς δὲ, τί ἂν ἄλλο εὕροις ἢ τὸ παρέχον αὐτὴν ῥυπαρὰν πρὸς τὰ ἔργα τὰ αὐτῆς; (6) Ἔργα δὲ ψυχῆς, ὁρμᾶν, ἀφορμᾶν, ὀρέγεσθαι, ἐκκλίνειν, παρασκευάζεσθαι, ἐπιβάλλεσθαι, συγκατατίθεσθαι. (7) Τί ποτ' οὖν ἐστι τὸ ἐν τούτοις τοῖς ἔργοις ῥυπαρὰν παρέχον αὐτὴν καὶ ἀκάθαρτον; Οὐδὲν ἄλλο, ἢ τὰ μοχθηρὰ κρίματα αὐτῆς. (8) Ὥστε ψυχῆς μὲν ἀκαθαρσία, δόγματα πονηρά· κάθαρσις δ', ἐμποίησις οἵων δεῖ δογμάτων. Καθαρὰ δ', ἡ ἔχουσα οἷα δεῖ δόγματα· μόνη γὰρ αὕτη ἐν τοῖς ἔργοις τοῖς αὐτῆς ἀσύγχυτος καὶ ἀμόλυντος.

9. Δεῖ δέ τι ἐοικὸς τούτῳ καὶ ἐπὶ σώματος φιλοτεχνεῖν, κατὰ τὸ ἐνδεχόμενον. Ἀμήχανον ἦν, μύξας μὴ ῥεῖν, τοῦ ἀνθρώπου τοιοῦτον ἔχοντος τὸ σύγκραμα. Διὰ τοῦτο χεῖρας ἐποίησεν ἡ φύσις, καὶ αὐτὰς τὰς ῥῖνας, ὡς σωλῆνας, πρὸς τὸ ἐκδιδόναι τὰ ὑγρά. Ἂν οὖν ἀναρροφῇ τις αὐτὰς, λέγω ὅτι οὐ ποιεῖ ἔργον ἀνθρωπικόν. (10) Ἀμήχανον ἦν, μὴ πηλοῦσθαι τοὺς πόδας, μηδὲ ὅλως μολύνεσθαι, διὰ τοιούτων τινῶν πορευομένους. Διὰ τοῦτο ὕδωρ παρεσκεύασε, διὰ τοῦτο χεῖρας.

CAP. XI.

De munditiei studio.

1. Disputant quidam, an natura humana societatis appetitionem complectatur; et tamen iidem isti dubitare mihi non videntur, munditiem utique natura humana comprehendi; et, si qua re alia, ista certe a brutis eam separari. (2) Cum igitur aliud quoddam animal mundare sese videmus, mirantes dicere solemus, facere id tamquam hominem; vicissimque, si quis animal aliquod vituperat, statim, quasi id defensuri, dicere solemus, non scilicet esse hominem. (3) Adeo eximie homini proprium id esse putamus; idque a diis ipsis primum accipimus. Nam cum illi natura mundi et sinceri sint; quatenus homines ad eos ratione appropinquant, eatenus etiam puritatis et munditiarum studium habent. (4) Sed quoniam fieri nequit, ut natura eorum prorsus munda sit, e tali materia permista; ratio adhibita, reddere eam talem, quoad ejus fieri potest, conatur. (5) Prima igitur et suprema puritas est ea, quæ in animo oritur : eodemque modo impuritas. Animi autem sordes non ut corporis deprehendas : quatenus vero animi, quid aliud deprehendes, præter id quod eum ad functiones ejus sordidum reddit? (6) Sunt autem animi functiones hæ : impetu uti, vel non uti, appetere, aversari, præparari, suscipere, assentiri. (7) Quid ergo est quod in his sordidum efficiat animum et impurum? Nihil aliud, nisi prava ejus judicia. (8) Itaque animi impuritas est in pravis posita decretis : purgatio vero, in inferendis rectis decretis. Et purus animus est, qui decreta habet qualia decet : solus enim is in suis functionibus confusione et pollutione caret.

9. Est autem aliquid huic simile etiam in corpore, quatenus res sinit, elaborandum. Fieri nequit quin homini, tali temperamento utenti corporis, pituita fluat : hac de caussa manus fecit natura, et ipsas nares, tamquam canales, ad excernendos humores. Si quis ergo mucos resorbet, nego eum fungi hominis officio. (10) Fieri non potuit quin polluantur pedes, nec ut prorsus puri maneant, cum lutum et pulvis transeunda sint : propterea præbuit aquam,

(11) Ἀμήχανον ἦν, ἀπὸ τοῦ τρώγειν μὴ ῥυπαρόν τι προσμένειν τοῖς ὀδοῦσι. Διὰ τοῦτο, Πλῦνον, φησὶ, τοὺς ὀδόντας. Διὰ τί; Ἵν' ἄνθρωπος ἧς, καὶ μὴ θηρίον, μηδὲ συΐδιον. (12) Ἀμήχανον, μὴ ἀπὸ τοῦ ἱδρῶτος καὶ τῆς κατὰ τὴν ἐσθῆτα συνοχῆς ὑπολείπεσθαί τι περὶ τὸ σῶμα ῥυπαρὸν καὶ δεόμενον ἀποκαθάρσεως. Διὰ τοῦτο ὕδωρ, ἔλαιον, χεῖρες, ὀθόνιον, ξύστρα, νίτρον, ἔσθ' ὅτε ἡ ἄλλη πᾶσα παρασκευὴ, πρὸς τὸ καθῆραι αὐτό. (13) Οὔ· ἀλλ' ὁ μὲν χαλκεὺς ἐξιώσει τὸ σιδήριον, καὶ ὄργανα πρὸς τοῦτο ἕξει κατεσκευασμένα· καὶ τὸ πινάκιον αὐτὸς σὺ πλύνεις ὅταν μέλλῃς ἐσθίειν, ἐὰν μὴ ἧς παντελῶς ἀκάθαρτος καὶ ῥυπαρός· τὸ σωμάτιον δ' οὐ πλυνεῖς οὐδὲ καθαρὸν ποιήσεις; Διὰ τί, φησί. (14) Πάλιν ἐρῶ σοι, πρῶτον μὲν, ἵνα τὰ ἀνθρώπου ποιῇς· εἶτα, ἵνα μὴ ἀνιᾷς τοὺς ἐντυγχάνοντας. (15) Τοιοῦτόν τι καὶ ἐνθάδε ποιεῖς, καὶ οὐκ αἰσθάνῃ. Σαυτὸν ἄξιον ἡγῇ τοῦ ὄζειν· ἔστω, ἴσθι ἄξιος. Μή τι καὶ τοὺς παρακαθίζοντας; μή τι καὶ τοὺς συγκατακλινομένους; μή τι καὶ τοὺς καταφιλοῦντας; (16) Ἢ ἄπελθ' εἰς ἐρημίαν, ὅπου ποτὲ ἧς ἄξιος· ἢ καὶ μόνος δίαγε, κατόζων σαυτοῦ. Δίκαιον γάρ ἐστι, τῆς σῆς ἀκαθαρσίας σὲ μόνον ἀπολαύειν. Ἐν πόλει δ' ὄντα, οὕτως ἀπερισκέπτως καὶ ἀγνωμόνως ἀναστρέφεσθαι, τίνος σοι φαίνεται; (17) Εἰ δ' ἵππον σοι πεπιστεύκει ἡ φύσις, περιεώρας αὐτὸν ἀτημέλητον; Καὶ νῦν οἴου σου τὸ σῶμα ὡς ἵππον ἐγκεχειρίσθαι· πλῦνον αὐτὸ, ἀπόσμηξον, ποίησον ἵνα μηδεὶς ἀποστρέφηται, μηδεὶς ἐκτρέπηται. (18) Τίς δ' οὐκ ἐκτρέπεται ῥυπαρὸν ἄνθρωπον, ὄζοντα, κακόχρουν, μᾶλλον ἢ τὸν κεκοπρωμένον; ἐκείνη ἡ ὀσμὴ ἔξωθέν ἐστιν ἐπίθετος· ἡ δ' ἐξ ἀθεραπευσίας ἔσωθεν, καὶ οἱονεὶ διασεσηπότος.

19. Ἀλλὰ Σωκράτης ὀλιγάκις ἐλούετο. Ἀλλὰ ἔστιλβεν αὐτοῦ τὸ σῶμα· ἀλλ' ἦν οὕτως ἐπίχαρι καὶ ἡδὺ, ὥστ' ἤρων αὐτοῦ οἱ ὡραιότατοι καὶ οἱ εὐγενέστατοι, καὶ ἐπεθύμουν ἐκείνῳ παρακατακλίνεσθαι μᾶλλον ἢ τοῖς εὐμορφοτάτοις. Ἐξῆν ἐκείνῳ μήτε λούεσθαι, μήτε πλύνεσθαι, εἰ ἤθελε· καίτοι καὶ τὸ ὀλιγάκις ἰσχὺν εἶχε. Κἂν θερμῷ μὴ θέλῃς, ψυχρῷ. (20) Ἀλλὰ λέγει Ἀριστοφάνης,

Τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγω.

Λέγει γὰρ καὶ ἀεροβατεῖν αὐτὸν, καὶ ἐκ τῆς παλαίστρας κλέπτειν τὰ ἱμάτια. (21) Ἐπεί τοι πάντες οἱ γεγραφότες περὶ Σωκράτους πάντα τἀναντία αὐτῷ προσμαρτυροῦσιν· ὅτι ἡδὺς οὐ μόνον ἀκοῦσαι, ἀλλὰ καὶ ἰδεῖν ἦν. Πάλιν περὶ Διογένους ταὐτὰ γράφουσι. (22) Δεῖ γὰρ μηδὲ κατὰ τὴν ἀπὸ τοῦ σώματος ἔμφασιν ἀπὸ φιλοσοφίας ἀποσοβεῖν τοὺς πολλούς· ἀλλ', ὥσπερ τὰ ἄλλα εὔθυμον καὶ ἀτάραχον ἐπιδεικνύειν αὑτὸν, οὕτω καὶ ἀπὸ τοῦ σώματος. (23) Ἴδετε, ὦ ἄνθρωποι, ὅτι οὐδὲν ἔχω, ὅτι οὐδενὸς δέομαι· ἴδετε πῶς ἄοικος ὢν, καὶ ἄπολις, καὶ φυγὰς, ἂν οὕτω τύχῃ, καὶ ἀνέστιος, πάντων τῶν εὐπατριδῶν καὶ πλουσίων ἀταραχώτερον διάγω καὶ εὐρούστερον. Ἀλλὰ καὶ τὸ σωμάτιον ὁρᾶτε,

propterea manus. (11) Fieri non potuit quin a cibo aliquid sordium dentibus adhærescat. Eapropter dentes lavare jubet. Cur? Ut homo sis; non bestia, non porcellus. (12) Fieri non potest quin a sudore et vestium applicatione sordium aliquid relinquatur in corpore, quod purgationem desideret. Ideo præsto est aqua, oleum, manus, linteolum, xystra, nitrum, et reliquus interdum omnis apparatus, ad id repurgandum. (13) *Id tu* non *curas :* sed faber ferramenta repurgabit, et instrumenta ad hoc parata habebit; et scutellam ipse tu, cum esurus es, lavas, nisi prorsus spurcus et sordidus fueris; corpus autem non lavabis neque purgabis? Cur? inquit. (14) Rursus tibi dico, primum, ut, quod hominis est, facias; deinde, ne molestus sis eis qui tecum sunt. (15) Tale quid etiam hic facis, nec animadvertis. Tu dignum te censes qui fœteas. Esto; sis dignus! Num etiam ii, qui tibi assident, qui tecum accumbunt, qui te deosculantur? (16) Aut in solitudinem abi, qua dignus fueris; aut certe solus vive, tuoque fœtore fruere! æquum est enim, te immunditie tua solum frui. Cum autem in urbe sis; adeo inconsiderate et sine sensu agere, cujus tibi esse videtur? (17) Quodsi equum tibi natura credidisset, num prorsus eum neglexisses? Nunc igitur puta, corpus tuum tanquam equum tuæ curæ esse traditum: lava id, absterge; facito ne quis illud aversetur, ne quis abhorreat. (18) Hominem vero sordidum, fœtentem, decolorem, quis non aversetur, magis etiam quam fimo conspurcatum? ille fœtor extrinsecus est accersitus; iste vero, a negligentia profectus, intrinsecus est, et veluti corporis putrefacti.

19. At Socrates raro lavabat. At nitebat ejus corpus, et adeo erat gratum et suave, ut eum pulcerrimi et nobilissimi quique adamarent, et cum illo potius quam cum formosissimis vellent accubare. Licuerat illi neque lotionibus neque balneis uti, si voluisset : et tamen raræ etiam lotiones vim habebant. Si vero calida lavare non vis, lavato frigida. (20) At Aristophanes ait,

Discalceatos istos dico, pallidos.

Ait etiam, in aere eum ambulare, et e palæstra furari vestes. (21) Atqui omnes qui de Socrate scripserunt, contraria omnia de eo testificantur : fuisse illum non modo auditu jucundum, sed etiam aspectu suavem. Pariter de Diogene eadem scribunt. (22) Neque enim oportet corporis specie a philosophia absterrere vulgus, sed, ut in ceteris rebus hilarem et tranquillum se præbere, ita etiam habitu corporis. (23) « Videte, homines, me nihil habere, nulla re egere! videte quo pacto, cum nec domicilium, nec civitatem habeam, et, si casus ita tulerit, exsul sim et extorris, omnibus tamen patriciis ac divitibus tranquillior vivam et felicior! Sed etiam corpus videtis, austera diæta neu-

ὅτι οὐ κακοῦται ὑπὸ τῆς αὐστηρᾶς διαίτης. (24) Ἂν δέ μοι ταῦτα λέγῃ τις, ἀνθρώπου σχῆμα καταδίκου ἔχων καὶ πρόσωπον, τίς με πείσει θεῶν προσελθεῖν φιλοσόφῳ, ὅς γε τοιούτους ποιεῖ; Μὴ γένοιτο· οὐδ', εἰ σοφὸς ἔμελλον εἶναι, ἤθελον.

25. Ἐγὼ μέν, νὴ τοὺς θεούς, τὸν νέον τὸν πρώτως κινούμενον θέλω μᾶλλον ἐλθεῖν πρός με πεπλασμένον, ἢ τὴν κόμην κατεφθινηκότα καὶ ῥυπαρόν. Βλέπεται γάρ τις ἐν ἐκείνῳ τοῦ καλοῦ φαντασία, ἔφεσις δὲ τοῦ εὐσχήμονος. Ὅπου δ' αὐτὸ εἶναι φαντάζεται, ἐκεῖ καὶ φιλοτεχνεῖ. (26) Λοιπὸν ὑποδεῖξαι μόνον αὐτῷ δεῖ, καὶ εἰπεῖν· Νεανίσκε, τὸ καλὸν ζητεῖς, καὶ εὖ ποιεῖς. Ἴσθι οὖν ὅτι ἐκεῖ φύεται, ὅπου τὸν λόγον ἔχεις· ἐκεῖ αὐτὸ ζήτει, ὅπου τὰς ὁρμὰς καὶ τὰς ἀφορμάς, ὅπου τὰς ὀρέξεις, τὰς ἐκκλίσεις. (27) Τοῦτο γὰρ ἔχεις ἐν σεαυτῷ ἐξαίρετον, τὸ σωμάτιον δὲ φύσει πηλός ἐστι. Τί πονεῖς εἰκῇ περὶ αὐτό; εἰ μηδὲν ἕτερον, τῷ χρόνῳ γνώσῃ ὅτι οὐδέν ἐστιν. (28) Ἂν δέ μοι ἔλθῃ κεκοπρωμένος, ῥυπαρός, μύστακα ἔχων μέχρι τῶν γονάτων, τί αὐτῷ εἰπεῖν ἔχω; ἀπὸ ποίας αὐτὸν ὁμοιότητος ἐπαγαγεῖν; (29) Περὶ τί γὰρ ἐσπούδακεν ὅμοιον τῷ καλῷ, ἵν' αὐτὸν μεταθῶ, καὶ εἴπω, Οὐκ ἔστιν ἐνθάδε τὸ καλόν, ἀλλ' ἐνθάδε; Θέλεις αὐτῷ λέγω, Οὐκ ἔστιν ἐν τῷ κεκοπρῶσθαι τὸ καλόν, ἀλλ' ἐν τῷ λόγῳ; Ἐφίεται γὰρ τοῦ καλοῦ; ἔμφασιν γάρ τινα αὐτοῦ ἔχει; Ἄπελθε, καὶ χοίρῳ διαλέγου, ἵν' ἐν βορβόρῳ μὴ κυλίηται. (30) Διὰ τοῦτο καὶ Πολέμωνος ἥψαντο οἱ Ξενοκράτους λόγοι, ὡς φιλοκάλου νεανίσκου· εἰσῆλθε γὰρ ἔχων ἐναύσματα τῆς περὶ τὸ καλὸν σπουδῆς, ἀλλαχοῦ δ' αὐτὸ ζητῶν. (31) Ἐπεί τοι οὐδὲ τὰ ζῷα τὰ ἀνθρώποις σύντροφα ῥυπαρὰ ἐποίησεν ἡ φύσις. Μή τι ἵππος κυλίεται ἐν βορβόρῳ; μή τι κύων γενναῖος; ἀλλ' ὁ ὗς, καὶ τὰ σαπρὰ χηνίδια, καὶ σκώληκες, καὶ ἀράχναι, τὰ μακροτάτω τῆς ἀνθρωπίνης συναναστροφῆς ἀπεληλαμένα. (32) Σὺ οὖν, ἄνθρωπος ὤν, οὐδὲ ζῷον εἶναι θέλεις τῶν ἀνθρώποις συντρόφων, ἀλλὰ σκώληξ μᾶλλον, ἢ ἀράχνιον; οὐ λούσῃ ποῦ ποτε, ὡς θέλεις; οὐκ ἀποπλυνεῖς σεαυτόν; οὐχ ἥξεις καθαρός, ἵνα σοι χαίρωσιν οἱ συνόντες; ἀλλὰ καὶ εἰς τὰ ἱερὰ ἡμῖν συνέρχῃ τοιοῦτος, ὅπου πτῦσαι οὐ νενόμισται οὐδ' ἀπομύξασθαι, ὅλος ὢν πτύσμα καὶ μύξα;

33. Τί οὖν; καλλωπίζεσθαί τις ἀξιοῖ; Μὴ γένοιτο· εἰ μὴ ἐκεῖνο ὃ πεφύκαμεν, τὸν λόγον, τὰ δόγματα, τὰς ἐνεργείας· τὸ δὲ σῶμα, μέχρι τοῦ καθαρίου, μέχρι τοῦ μὴ προσκόπτειν. (34) Ἀλλ' ἂν ἀκούσῃς ὅτι οὐ δεῖ φορεῖν κόκκινα, ἀπελθὼν κόπρωσόν σου τὸν τρίβωνα, ἢ κατάρρηξον. Ἀλλὰ πόθεν ἔχω καλὸν τρίβωνα; Ἄνθρωπε, ὕδωρ ἔχεις, πλῦνον αὐτόν. (35) Ἰδοὺ νέος ἀξιέραστος, ἰδοὺ πρεσβύτης ἄξιος τοῦ ἐρᾶν καὶ ἀντερᾶσθαι, ᾧ τις υἱὸν αὐτοῦ παραδῷ μαθησόμενον, ᾧ θυγατέρες, ᾧ νέοι προσελεύσονται, ἂν οὕτω τύχῃ, ἵνα ἐν κοπρῶνι λέγῃ τὰς σχολάς. (36) Μὴ γένοιτο. Πᾶσα ἐκτροπὴ ἀπό τινος ἀνθρωπικοῦ γίνεται· αὕτη δ' ἐγγύς ἐστι τοῦ μὴ ἀνθρωπικὴ εἶναι.

tiquam male affectum. » (24) Si quis autem ista mihi dicat, qui hominis condemnati habitu vultuque incedat; quis deorum mihi persuadebit, ut me ad philosophum conferam, qui tales efficiat? Absit; nollem, ne si sapiens quidem evasurus essem.

25. Ego quidem, medius fidius, adolescentem, primos ad philosophiam impetus capientem, accedere ad me malim eleganter comptum, quam sordidis capillis et squalidum. Cernitur enim in eo pulcri notio quædam, et appetitio decori. Ubi autem id esse putat, ibi etiam elaborat. (26) Illud igitur unum restat, ut ei demonstretur, et dicatur: Adolescentule, pulcritudinem quæris, et in eo recte facis: noris ergo ibi eam exsistere, ubi rationem habes; ibi eam quære, ubi impetus et declinationes habes, ubi appetitiones et aversationes. (27) Hoc enim habes in te eximium; corpusculum autem suapte natura lutum est: quid in eo frustra elaboras? ut nihil aliud, tempore certe cognosces id nihil esse. (28) Sin accesserit me stercoribus oblitus, et sordidus, mystace ad usque genua promisso, quid ei dicere possum? qua eum similitudine alliciam? (29) Qua enim in re, quæ pulcri speciem habeat aliquam, elaborat, ut eum alio traducam, et dicam, Non est hic pulcrum, sed illic? Vis ei dicam: Pulcritudo non posita est in sordibus, sed in ratione? An enim appetit pulcrum? an pulcri speciem aliquam animo impressam gerit? Abi, cum porco disputa, ne in cœno volutetur. (30) Propter hoc etiam Xenocratis rationes Polemonem pupugerunt, ut elegantem adolescentem: ingressus enim erat, fomites habens studii honestatis, sed eam alibi quærens. (31) Atque adeo ne animalia quidem ea, quæ consuetudine hominum utuntur, sordida fecit natura. Num equus volvitur in cœno? num canis generosus? Non; sed sus, et putidi anseres, et vermes, et aranei, quæ longissime remota sunt a consuetudine humana. (32) Tu ergo, cum homo sis, ne animal quidem esse vis ex eorum numero quæ convictu hominum utuntur, sed vermis potius, aut araneolus? Non lavabis tandem aliquando, quocumque demum modo volueris? annon sordes ablues tuas? annon mundus huc venies, ut te delectentur condiscipuli? Sed et templa nobiscum ingrederis tali habitu, ubi exspuere aut nares emungere religio est, cum totus ipse nihil sis nisi sputum et mucus?

33. Quid ergo? volo ut vano ornatui operam demus? Nequaquam; sed ut ornemus id quod sumus nos ipsi, rationem, decreta, actiones: corpus vero, quoad mundities postulat; eatenus, ne alios offendas. (34) At tu, cum audieris non gerendas esse vestes coccineas, abibis, et stercore inquinabis pallium tuum, aut lacerabis? « At unde habeam pulcrum pallium? » Homo, aquam habes; lava illud. (35) Ecce juvenis amabilis, ecce senex dignus qui amet et redametur, cui filium in disciplinam tradat aliquis; quem filiæ, quem adolescentes, si res ita tulerit, accedant, ut in fimeto scholas illis explicet! (36) Absit! Omnis deflexio proficiscitur ab aliquo principio, quod in hominis natura inest: ista autem prope abest ut humani nihil in se habeat.

ΚΕΦ. ΙΒ'.

Περὶ προσοχῆς.

1. Ὅταν ἀφῇς σὺ πρὸς ὀλίγον τὴν προσοχήν, μὴ τοῦτο φαντάζου, ὅτι, ὁπόταν θέλῃς, ἀναλήψῃ αὐτήν· ἀλλ' ἐκεῖνο πρόχειρον ἔστω σοι, ὅτι παρὰ τὸ σήμερον ἁμαρτηθὲν εἰς τἆλλα χεῖρον ἀνάγκη σοι τὰ πράγματα ἔχειν. (2) Πρῶτον μὲν γὰρ τὸ πάντων χαλεπώτατον, ἔθος τοῦ μὴ προσέχειν ἐγγίνεται· εἶτα ἔθος τοῦ ἀναβάλλεσθαι τὴν προσοχήν, ἀεὶ δ' εἰς ἄλλον καὶ ἄλλον χρόνον ἐξωθεῖν ὑπερτιθέμενον τὸ εὐροεῖν, τὸ εὐσχημονεῖν, τὸ κατὰ φύσιν ἔχειν καὶ διεξάγειν. (3) Εἰ μὲν οὖν λυσιτελὴς ἡ ὑπέρθεσίς ἐστιν, ἡ παντελὴς ἀπόστασις αὐτῆς ἔσται λυσιτελεστέρα· εἰ δ' οὐ λυσιτελεῖ, τί οὐχὶ διηνεκῆ τὴν προσοχὴν φυλάσσεις; (4) Σήμερον παῖξαι θέλω. Τί οὖν; οὐ δεῖ προσέχοντα; Ἆσαι. Τί οὖν κωλύει προσέχοντα; Μὴ γὰρ ἐξαιρεῖταί τι μέρος τοῦ βίου, ἐφ' ὃ οὐ διατείνει τὸ προσέχειν; Χεῖρον γὰρ αὐτὸ προσέχων ποιήσεις, βέλτιον δὲ μὴ προσέχων; (5) Καὶ τί ἄλλο τῶν ἐν τῷ βίῳ κρεῖσσον ὑπὸ τῶν μὴ προσεχόντων γίνεται; Ὁ τέκτων, μὴ προσέχων, τεκταίνει ἀκριβέστερον; ὁ κυβερνήτης, μὴ προσέχων, κυβερνᾷ ἀσφαλέστερον; ἄλλο δέ τι τῶν μικροτέρων ἔργων ὑπὸ ἀπροσεξίας ἐπιτελεῖται κρεῖσσον; (6) Οὐκ αἰσθάνῃ ὅτι, ἐπειδὰν ἀφῇς τὴν γνώμην, οὐκ ἔτι ἐπὶ σοί ἐστιν ἀνακαλέσασθαι αὐτήν, οὐκ ἐπὶ τὸ εὔσχημον, οὐκ ἐπὶ τὸ αἰδῆμον, οὐκ ἐπὶ τὸ κατεσταλμένον; ἀλλὰ πᾶν τὸ ἐπελθὸν ποιεῖς, ταῖς προθυμίαις ἐπακολουθεῖς.

7. Τίσιν οὖν δεῖ με προσέχειν; Πρῶτον μὲν ἐκείνοις τοῖς καθολικοῖς, καὶ ἐκεῖνα πρόχειρα ἔχειν, καὶ χωρὶς ἐκείνων μὴ καθεύδειν, μὴ ἀνίστασθαι, μὴ πίνειν, μὴ ἐσθίειν, μὴ συμβάλλειν ἀνθρώποις· ὅτι προαιρέσεως ἀλλοτρίας κύριος οὐδείς, ἐν ταύτῃ δὲ μόνῃ τὸ ἀγαθὸν καὶ τὸ κακόν. (8) Οὐδεὶς οὖν κύριος, οὔτ' ἀγαθόν μοι περιποιῆσαι, οὔτε κακῷ με περιβαλεῖν· ἀλλ' ἐγὼ αὐτὸς ἐμαυτοῦ κατὰ ταῦτα ἐξουσίαν ἔχω μόνος. (9) Ὅταν οὖν ταῦτα ἀσφαλῆ μοι ᾖ, τί ἔχω περὶ τὰ ἐκτὸς ταράσσεσθαι; ποῖος τύραννος φοβερός; ποία νόσος; ποία πενία; ποῖον πρόσκρουσμα; (10) Ἀλλ' οὐκ ἤρεσα τῷ δεῖνι. Μὴ οὖν ἐκεῖνος ἐμόν ἐστιν ἔργον; μή τι ἐμὸν κρῖμα; Οὔ. Τί οὖν ἔτι μοι μέλει; (11) Ἀλλὰ δοκεῖ τις εἶναι. Ὄψεται αὐτός, καὶ οἷς δοκεῖ. Ἐγὼ δ' ἔχω τίνι με δεῖ ἀρέσκειν, τίνι ὑποτετάχθαι, τίνι πείθεσθαι· τῷ θεῷ, καὶ τοῖς μετ' ἐκεῖνον. (12) Ἐμὲ ἐκεῖνος συνέστησεν ἐμαυτῷ, καὶ τὴν ἐμὴν προαίρεσιν ὑπέταξεν ἐμοὶ μόνῳ, δοὺς κανόνας εἰς χρῆσιν αὐτῆς τὴν ὀρθήν· οἷς ὅταν κατακολουθήσω ἐν συλλογισμοῖς, οὐκ ἐπιστρέφομαι οὐδενὸς τῶν ἄλλο τι λεγόντων· ἐν μεταπίπτουσιν, οὐ φροντίζω οὐδενός. Διὰ τί οὖν ἐν τοῖς μείζοσιν ἀνιῶσί με οἱ ψέγοντες; (13) Τί τὸ αἴτιον ταύτης τῆς ταραχῆς; Οὐδὲν ἄλλο ἢ ὅτι ἐν τούτῳ τῷ τόπῳ ἀγύμναστός εἰμι. (14) Ἐπεί τοι πᾶσα ἐπιστήμη καταφρονητική ἐστι τῆς ἀγνοίας, καὶ τῶν ἀγνοούντων· καὶ οὐ μόνον αἱ ἐπιστῆμαι, ἀλλὰ καὶ αἱ τέχναι. Φέρε ὃν θέλεις σκυ-

CAP. XII.

De attentione.

1. Cum tu ad breve tempus attentionem remiseris, noli putare te eam, simul atque volueris, recipere posse; sed illud in promptu tibi sit, propter hodiernum delictum necessario res tuas in posterum etiam pejus habituras. (2) Etenim primum quidem, quod omnium est gravissimum, consuetudo negligentiæ tibi accedit; deinde consuetudo differendæ attentionis, ita ut semper in aliud atque aliud tempus rejicias et a te propellas vitam beatam, honestatem, vitæ actionem ad naturæ præscriptum institutam. (3) Quodsi procrastinatio attentionis est utilis, eam omnino prætermittere utilius erit: sin utilis non est, cur non perpetuam attentionem conservas? (4) Hodie ludere volo. Quid ergo? an id cum attentione faciendum non est? Volo canere. Quid ergo vetat quominus cum attentione facias? Ullane enim vitæ pars excipitur, ad quam attentio non pertineat? num eam attentione pejorem reddes, socordia vero meliorem? (5) Quæ vero alia ulla res in vita fit melius a negligentibus? Num faber negligens melius ædificat? num gubernator negligens tutius gubernat? num aliud aliquod minorum operum per incuriam melius perficitur? (6) Non animadvertis, cum animum relaxaris, non jam penes te esse ut eum revoces ad honestatem, ad verecundiam, ad modestiam? Sed quidquid in mentem venerit facies, cuivis impetui indulgens.

7. Quibus ergo rebus intendendus est animus? Primum illis generalibus, quæ ita in promptu sunt habenda, ut sine illis non dormias, non surgas, non bibas, non edas, non homines adeas: scilicet, alienæ voluntati neminem dominari; et, in voluntate sola bonum et malum esse positum. (8) Nemo igitur eam potestatem habet, ut vel bonum in me conferat, vel in malum me conjiciat; sed ego ipse, quod ad hæc attinet, in mea potestate sum solius. (9) Cum ergo hæc tuta mihi fuerint, cur rebus externis perturber? quis mihi tyrannus est formidabilis? qui morbus? quæ paupertas? quæ offensio? (10) At non placui isti. Num ergo iste meum opus est? num meum judicium? Non. Quid ergo mea refert? (11) At videtur esse aliquis. Viderit ipse, et ii qui eum magni faciunt. Ego vero habeo cui me placere oportet, cui subjectum esse, cui obtemperare; deum, et eos qui proximum ab eo locum tenent. (12) Is me mihi ipsi commendavit, meamque voluntatem mihi soli subjecit, datis regulis ad rectum ejus usum; quas regulas si in ratiocinationibus secutus fuero, nemo me movet aliud quid dicens: si in solvendis argutiis secutus fuero, neminem curo. Cur igitur majoribus in rebus molesti mihi ii sunt qui me reprehendunt? (13) Quæ perturbationis hujus caussa est? Alia nulla, nisi quod in hoc loco inexercitatus sum. (14) Siquidem omnis scientia contemnit ignorantiam et ignorantes; nec scientiæ solum, sed artes etiam.

τέα, καὶ τῶν πολλῶν καταγελᾷ περὶ τὸ αὐτοῦ ἔργον. Φέρε ὃν θέλεις τέκτονα.

15. Πρῶτον μὲν οὖν ταῦτα ἔχειν δεῖ πρόχειρα, καὶ μηδὲν δίχα τούτων ποιεῖν· ἀλλὰ τετάσθαι τὴν ψυχὴν ἐπὶ τοῦτον τὸν σκοπὸν, μηδὲν τῶν ἔξω διώκειν, μηδὲν τῶν ἀλλοτρίων, ἀλλ' ὡς διέταξεν ὁ δυνάμενος· τὰ προαιρετικὰ ἐξ ἅπαντος, τὰ δ' ἄλλα ὡς ἂν διδῶται. (16) Ἐπὶ τούτοις δὲ μεμνῆσθαι, τίνες ἐσμὲν, καὶ τί ἡμῖν ὄνομα, καὶ πρὸς τὰς δυνάμεις τῶν σχέσεων πειρᾶσθαι τὰ καθήκοντα ἀπευθύνειν· (17) τίς καιρὸς ᾠδῆς, τίς καιρὸς παιδιᾶς, τίνων παρόντων· τί ἔσται ἀπὸ τοῦ πράγματος· μή τι καταφρονήσουσιν ἡμῶν οἱ συνόντες, μή τι ἡμεῖς αὐτῶν· πότε σκῶψαι, καὶ τίνας ποτὲ καταγελάσαι· καὶ ἐπὶ τίνι συμπεριενεχθῆναί ποτε, καὶ τίνι· καὶ λοιπὸν, ἐν τῇ συμπεριφορᾷ πῶς χρὴ τηρῆσαι τὸ αὐτοῦ. (18) Ὅπου δ' ἂν ἀπονεύσῃς ἀπό τινος τούτων, εὐθὺς ζημία, οὐκ ἔξωθέν ποθεν, ἀλλ' ἐξ αὐτῆς τῆς ἐνεργείας.

19. Τί οὖν; δυνατὸν ἀναμάρτητον ἤδη εἶναι; Ἀμήχανον· ἀλλ' ἐκεῖνο δυνατὸν, πρὸς τὸ μὴ ἁμαρτάνειν τετάσθαι διηνεκῶς. Ἀγαπητὸν γὰρ, εἰ μηδέποτ' ἀνιέντες ταύτην τὴν προσοχὴν, ὀλίγων γε ἁμαρτημάτων ἐκτὸς ἐσόμεθα. (20) Νῦν δ' ὅταν εἴπῃς, Ἀπαύριον προσέξω· ἴσθι ὅτι τοῦτο λέγεις, Σήμερον ἔσομαι ἀναίσχυντος, ἄκαιρος, ταπεινός· ἐπ' ἄλλοις ἔσται τὸ λυπεῖν με· ὀργισθήσομαι σήμερον, φθονήσω. Βλέπε ὅσα κακὰ σεαυτῷ ἐπιτρέπεις. (21) Ἀλλ' εἰ αὔριον καλῶς ἔχει, πόσῳ κρεῖττον σήμερον; εἰ αὔριον συμφέρει, πολὺ μᾶλλον σήμερον· ἵνα καὶ αὔριον δυνηθῇς, καὶ μὴ πάλιν ἀναβαλῇ εἰς τὴν τρίτην.

ΚΕΦ. ΙΓ'.

Πρὸς τοὺς εὐκόλως ἐκφέροντας τὰ αὐτῶν.

1. Ὅταν τις ἡμῖν ἁπλῶς δόξῃ διειλέχθαι περὶ τῶν ἑαυτοῦ πραγμάτων, πῶς ποτε ἐξαγόμεθα καὶ αὐτοὶ πρὸς τὸ ἐκφέρειν πρὸς αὐτὸν τὰ ἑαυτῶν ἀπόῤῥητα, καὶ τοῦτο ἁπλοῦν οἰόμεθα εἶναι· (2) πρῶτον μὲν, ὅτι ἄνισον εἶναι δοκεῖ, αὐτὸν μὲν ἀκηκοέναι τὰ τοῦ πλησίον, μὴ μέντοι μεταδιδόναι κἀκείνῳ ἐν τῷ μέρει τῶν ἡμετέρων· εἶθ', ὅτι οἰόμεθα οὐχ ἁπλῶν ἀνθρώπων παρέξειν αὐτοῖς φαντασίαν, σιωπῶντες τὰ ἴδια. (3) Ἀμέλει πολλάκις εἰώθασι λέγειν, Ἐγώ σοι πάντα τἀμαυτοῦ εἴρηκα, σύ μοι οὐδὲν τῶν σῶν εἰπεῖν θέλεις; ποῦ γίνεται τοῦτο; (4) Πρόσεστι δὲ καὶ τὸ οἴεσθαι ἀσφαλῶς πιστεύειν τῷ ἤδη τὰ αὐτοῦ πεπιστευκότι. Ὑπέρχεται γὰρ ἡμᾶς, ὅτι οὐκ ἄν ποτε οὗτος ἐξείποι τὰ ἡμέτερα, εὐλαβούμενος μή ποτε καὶ ἡμεῖς ἐξείπωμεν τὰ ἐκείνου. (5) Οὕτω καὶ ὑπὸ τῶν στρατιωτῶν ἐν Ῥώμῃ οἱ προπετεῖς λαμβάνονται. Παρακεκάθικέ σοι στρατιώτης ἐν σχήματι ἰδιωτικῷ, καὶ ἀρξάμενος κακῶς λέγειν τὸν Καίσαρα, εἶτα σὺ, ὥσπερ ἐνέχυρον παρ' αὐτοῦ λαβὼν τῆς πίστεως, τὸ αὐτὸν τῆς λοιδορίας κατῆρχθαι, λέγεις καὶ αὐτὸς ὅσα φρονεῖς· εἶτα δεθεὶς ἀπάγῃ. (6) Τοιοῦτόν τι καὶ ἐν τῷ καθόλου πάσχομεν. Αὐτὰρ ὡς

Produc quemvis sutorem : is, quod ad suum opus attinet, vulgus deridet. Produc quemvis fabrum.

15. Primum igitur hæc in promptu habenda sunt, neque sine his quidquam faciendum, sed in hunc scopum intendendus animus : neque externum et alienum quidquam cupide expetendum, sed quemadmodum constituit is, qui earum rerum potestatem habet : quæ in nostra sunt sita voluntate, sine exceptione expetenda sunt, cetera vero, prout concessa fuerint. (16) Post hæc tenendum est, qui simus, et quo nomine appellemur : et danda opera, ut officia dirigamus ad id quod postulant relationes : (17) expendendum, quod sit tempus cantilenæ, quod tempus lusus, quibus præsentibus; quid sit abs re futurum; num contempturi nos sint convictores, an nos illos; quando dicteriis utendum, quinam sint deridendi : quibus in rebus et cui indulgendum sit obsequendumque; denique, in eo obsequio qua ratione tuendum sit id quod nostram personam decet. (18) Ubi autem ab horum aliquo declinaveris, statim exsistit damnum; non aliunde, sed ex ipsa actione.

19. Quid ergo? jamne fieri potest ut peccato caream? Fieri hoc nequit : sed illud fieri potest, ut perpetuo in id intentus sis, ne pecces. Boni enim consulendum est, si, numquam remissa hac industria, vel paucis peccatis caruerimus. (20) Nunc vero si dixeris, Cras animum advertam; scito, illud te dicere : Hodie ero impudens, importunus, abjectus; penes alios erit me dolore afficere; irascar hodie, invidebo. Vide quanta mala ipse tibi indulgeas. (21) At, si bene habet ut cras animum advertas, quanto melius hodie? si cras conducit, multo magis hodie; ut et cras possis, nec rursus in tertium diem rejicias.

CAP. XIII.

Ad eos qui temere arcana sua efferunt.

1. Quando nobis aliquis simpliciter et candide visus fuerit de suis rebus disseruisse, excitamur quodammodo et ipsi ad nostra arcana ei aperienda; idque candoris esse judicamus : (2) primum quidem, quod iniquum esse videtur, cum tu res alterius audieris, non vicissim tuas etiam illi communicare; deinde, quod putamus nos speciem hominum non candidorum exhibituros aliis esse, si nostra taceamus. (3) Profecto sæpe dicere solent : Cum ego tibi omnia mea dixerim, tu mihi nihil tuorum dices? ubi fit hoc? (4) Accedit quod tuto nos ei homini fidere putamus, qui sua jam nobis crediderit : occurrit enim animo numquam illum nostra effutiturum, veritum ne quando et nos ipsius arcana vulgemus. (5) Sic etiam a militibus Romæ leves homines capiuntur. Assidet tibi miles habitu plebeio; et postquam maledicere cœpit Cæsari, tu, veluti pignore fidei ejus accepto, quod ipse convicium auspicatus est, dicis et ipse quæ sentis; deinde vinctus in carcerem abduceris. (6) Tale quiddam et in universum nobis accidit. Verum, ut ille mihi tuto sua credidit

ἐμοὶ ἐκεῖνος ἀσφαλῶς πεπίστευκε τὰ ἑαυτοῦ, οὕτως κἀγὼ τῷ ἐπιτυχόντι; (7) Ἀλλ' ἐγὼ μὲν ἀκούσας σιωπῶ, ἄν γε ὦ τοιοῦτος· ὁ δ' ἐξελθὼν ἐκφέρει πρὸς πάντας. Εἶτ', ἂν γνῶ τὸ γενόμενον, ἂν μὲν ὦ καὶ αὐτὸς ἐκείνῳ ὅμοιος, ἀμύνεσθαι θέλων, ἐκφέρω τὰ ἐκείνου· καὶ φύρω, καὶ φύρομαι. (8) Ἂν δὲ μνημονεύω ὅτι ἄλλος ἄλλον οὐ βλάπτει, ἀλλὰ τὰ αὑτοῦ ἔργα ἕκαστον καὶ βλάπτει καὶ ὠφελεῖ, τούτου μὲν κρατῶ, τοῦ μὴ ὅμοιόν τι ποιῆσαι ἐκείνῳ, ὅμως δ' ὑπὸ φλυαρίας τῆς ἐμαυτοῦ πέπονθα ἃ πέπονθα.

9. Ναί. Ἀλλ' ἄνισόν ἐστιν ἀκούσαντα τὰ τοῦ πλησίον ἀπόῤῥητα, αὐτὸν ἐν τῷ μέρει μηδενὸς μεταδιδόναι αὐτῷ. (10) Μὴ γάρ σε παρεκάλουν, ἄνθρωπε; μὴ γὰρ ἐπὶ συνθήκαις τισὶν ἐξήνεγκας τὰ σαυτοῦ, ἵν' ἀκούσῃς ἐν τῷ μέρει καὶ τὰ ἐμά; (11) εἰ σὺ φλύαρος εἶ, καὶ πάντας τοὺς ἀπαντήσαντας φίλους εἶναι δοκεῖς, θέλεις καὶ ἐμὲ ὅμοιόν σοι γενέσθαι; τί δ', εἰ σὺ καλῶς μοι πεπίστευκας τὰ σαυτοῦ, σοὶ δ' οὐκ ἔστι καλῶς πιστεῦσαι, θέλεις με προπεσεῖν; (12) Οἷον εἰ πίθον εἶχον ἐγὼ μὲν στεγνὸν, σὺ δὲ τετρυπημένον· καὶ ἐλθὼν παρακατέθου μοι τὸν σαυτοῦ οἶνον, ἵνα βάλω εἰς τὸν ἐμὸν πίθον, εἶτ' ἠγανάκτεις ὅτι μὴ κἀγὼ σοὶ πιστεύω τὸν ἐμαυτοῦ οἶνον· σὺ γὰρ τετρυπημένον ἔχεις τὸν πίθον. (13) Πῶς οὖν ἔτι ἴσον γίνεται; Σὺ πιστῷ παρακατέθου, σὺ αἰδήμονι, τὰς ἑαυτοῦ ἐνεργείας μόνας βλαβερὰς ἡγουμένῳ καὶ ὠφελίμους, τῶν δ' ἐκτὸς οὐδέν· (14) ἐγὼ σοὶ θέλεις παρακαταθῶμαι, ἀνθρώπῳ τὴν ἑαυτοῦ προαίρεσιν ἠτιμακότι, θέλοντι δὲ κερματίου τυχεῖν, ἢ ἀρχῆς τινος, ἢ προαγωγῆς ἐν τῇ αὐλῇ, κἂν μέλλῃς τὰ τέκνα σου κατασφάζειν, ὡς ἡ Μήδεια; Ποῦ τοῦτο ἴσον ἐστίν; (15) Ἀλλὰ δεῖξόν μοι σαυτὸν πιστὸν, αἰδήμονα, βέβαιον· δεῖξον ὅτι δόγματα ἔχεις φιλικά· δεῖξόν σου τὸ ἀγγεῖον ὅτι οὐ τέτρηται· καὶ ὄψει πῶς οὐκ ἀναμένω ἵνα μοι σὺ πιστεύσῃς τὰ σαυτοῦ, ἀλλ' αὐτὸς ἐλθὼν πρὸς σὲ, παρακαλῶ ἀκοῦσαι τῶν ἐμῶν. (16) Τίς γὰρ οὐ θέλει χρήσασθαι ἀγγείῳ καλῷ; τίς ἀτιμάζει σύμβουλον εὔνουν καὶ πιστόν; τίς οὐκ ἄσμενος δέξεται τὸν ὥσπερ φορτίου μεταληψόμενον τῶν αὐτοῦ περιστάσεων, καὶ αὐτῷ τούτῳ κουφιοῦντα αὐτὸν, τῷ μεταλαβεῖν;

17. Ναί. Ἀλλ' ἐγὼ σοὶ πιστεύω· σὺ ἐμοὶ οὐ πιστεύεις; Πρῶτον μὲν, οὐδὲ σὺ ἐμοὶ πιστεύεις, ἀλλὰ φλύαρος εἶ, καὶ διὰ τοῦτο οὐδὲν δύνασαι κατασχεῖν. Ἐπεί τοι, εἰ τοῦτό ἐστιν, ἐμοὶ μόνῳ αὐτὰ πίστευσον. (18) Νῦν δ' ὃν ἂν εὐσχολοῦντα ἴδῃς, παρακαθίσας αὐτῷ λέγεις· Ἀδελφὲ, οὐδένα σου ἔχω εὐνούστερον, οὐδὲ φίλτερον, παρακαλῶ σε ἀκοῦσαι τὰ ἐμά. Καὶ τοῦτο πρὸς τοὺς οὐδέ τι ὀλίγον ἐγνωρισμένους ποιεῖς. (19) Εἰ δὲ καὶ πιστεύεις ἐμοὶ, δῆλον ὅτι ὡς πιστῷ καὶ αἰδήμονι, οὐχ ὅτι σοὶ τὰ ἐμαυτοῦ ἐξεῖπον. Ἄφες οὖν, ἵνα κἀγὼ ταὐτὰ ὑπολάβω. (20) Δεῖξόν μοι, ὅτι, ἄν τίς τινι τὰ αὑτοῦ ἐξείπῃ, ἐκεῖνος πιστός ἐστι καὶ αἰδήμων. Εἰ γὰρ τοῦτο ἦν, ἐγὼ περιερχόμενος πᾶσιν ἀνθρώποις τὰ ἐμαυτοῦ ἂν ἔλεγον, εἰ τούτου ἕνεκα ἔμελλον πιστὸς

an sic et ego cuilibet? (7) At ego quidem ea, quæ audivi, taceo, siquidem sum taciturnus; sed ille egressus, vulgat apud omnes : deinde, ubi, quid factum sit, cognovero; si et ipse similis illius fuero, ulturus eum, effero illius etiam arcana : premo simul, et premor. (8) Si vero memini alium ab alio non lædi; sed facta esse cujusque, quæ quemque et lædant et juvent; hoc quidem ero consecutus, ne quid illi simile faciam, nihilominus tamen futilitatis meæ pœnas pendo.

9. Sit ita. Sed iniquum est, cum alterius arcana audieris, non et ipsum vicissim illi tua te committere. (10) Num vero te rogavi, homo? num certis conditionibus tua protulisti, ut vicissim audires mea? (11) si tu nugator es, et omnes obvios amicos judicas, vis et me tui similem esse? Quid vero, si tu quidem recte mihi tua credidisti, tibi vero recte credi non potest, vis me temere et præcipitanter agere? (12) Perinde facis, ac si dolium haberem ego quidem solidum, tu vero perforatum; tuque, cum tuum vinum mihi commisisses, ut in meum dolium reconderem, postea mihi succenseres, quod non et ipse meum tibi vinum commisissem, cum tuum perforatum esset dolium. (13) Qui ergo jam paria ista sunt? Tu apud fidelem deposuisti, apud verecundum, apud eum qui solas actiones suas noxias judicat et utiles, externarum vero rerum nihil. (14) vis autem, ut ego apud te deponam mea; apud hominem, qui voluntatis suæ libertatem aspernatus, nummos consequi studet, aut magistratum, aut gradum dignitatis aliquem in aula, quamvis liberi tui mactandi tibi sint, ut Medea fecit? Ubi hoc æquum est? (15) Age, ostende mihi te fidelem, verecundum, constantem; ostende decreta te habere benevola, ostende vas tuum non perforatum esse; et videbis me non exspectaturum, dum arcana tua mihi credas; sed rogaturum ultro, ut audias mea. (16) Quis enim non vult uti vase pulcro? quis aspernatur consiliarium benevolum et fidelem? quis non libenter admittet eum, qui difficultatum ipsum circumstantium, veluti oneris, partem in se recipiat, atque eo ipso levet, quod partem eorum capit?

17. Recte. At ego tibi credo; tu mihi non credis! Primum, ne tu quidem mihi credis, sed futilis es, proptereaque nihil continere potes. Nam, si res ita se habet, mihi soli ea crede. (18) Nunc autem, quemcumque videris otiosum, illi assidens dicis : Frater, neminem habeo te benevolentiorem, nec cariorem; rogo te ut res meas audias Idque facis apud homines minime notos. (19) Sed si etiam revera mihi credis; manifestum est te credere mihi ut fideli et verecundo; non, quod ego mea arcana tibi dixerim. Sine igitur, ut ipse quoque eadem sentiam. (20) Ostende mihi, si quis alicui sua dixerit, eum idcirco fidelem et verecundum esse. Nam si hoc ita se haberet, ego passim omnibus arcana mea communicarem, si ea de caussa fidelis et verecundus futurus essem. Res autem

καὶ αἰδήμων ἔσεσθαι. Τὸ δ' ἔστιν οὐ τοιοῦτον· ἀλλὰ δογμάτων δεῖ οὐχ ὧν ἔτυχεν. (21) Ἂν γοῦν τινα ἴδῃς περὶ τὰ ἀπροαίρετα ἐσπουδακότα, καὶ τούτοις ὑποτεταχότα τὴν ἑαυτοῦ προαίρεσιν, ἴσθι ὅτι ἄνθρωπος οὗτος μυρίους ἔχει τοὺς ἀναγκάζοντας, τοὺς κωλύοντας. (22) Οὐχ ἔστιν αὐτῷ χρεία πίσσης ἢ τροχοῦ πρὸς τὸ ἐξειπεῖν ἃ οἶδεν· ἀλλὰ παιδισκαρίου νευμάτιον, ἂν οὕτω τύχῃ, ἐκσείσει αὐτὸν, Καισαριανοῦ φιλοφροσύνη, ἀρχῆς ἐπιθυμία, κληρονομίας, ἄλλα τούτοις ὅμοια τρισμύρια. (23) Μεμνῆσθαι οὖν δεῖ ἐν τοῖς καθόλου, ὅτι οἱ ἀπόρρητοι λόγοι πίστεως χρείαν ἔχουσι, καὶ δογμάτων τοιούτων. (24) Ταῦτα δὲ ποῦ νῦν εὑρεῖν ῥᾳδίως; Ἢ δειξάτω μοί τις τὸν οὕτως ἔχοντα, ὥστε λέγειν, Ἐμοὶ μόνων μέλει τῶν ἐμῶν, τῶν ἀκωλύτων, τῶν φύσει ἐλευθέρων· ταύτην οὐσίαν ἔχω τοῦ ἀγαθοῦ· τὰ δὲ ἄλλα γινέσθω ὡς ἂν διδῶται, οὐ διαφέρομαι.

non ita se habet; sed decretis opus est non vulgaribus. (21) Si quem igitur videris rerum externarum studiosum; atque his voluntatem suam subjicientem, eum scito infinitos habere a quibus cogatur, a quibus prohibeatur. (22) Non opus est ei picem aut rotam admovere, ut ea dicat quæ novit, sed puellæ nutus, si res ita tulerit, eum excitabit, Cæsariani blanditiæ, magistratus aut hæreditatis cupiditas, alia denique id genus sexcenta. (23) In universum igitur tenendum est, arcanos sermones fidem postulare, decretaque talia. (24) Ea vero nunc ubi invenire proclive est? Ostende mihi hominem sic affectum, ut dicat, Mihi solæ meæ res curæ sunt, quæ prohiberi nequeunt, quæ natura sunt liberæ : hanc naturam boni habeo; cetera vero fiant ut res tempusque tulerint, mea non refert.

INDEX

NOMINUM ET RERUM.

(*Ench.*, loci ex Enchiridio. *Fr.*, fragmenta Epicteti.)

A.

Academici, Ἀκαδημαϊκοί. Adversus Academicos, lib. I, cap. 5. Adversus Epicureos et Academicos, lib. II, cap. 20. Sophismata Pyrrhonia et Academica, I, 27, 2 et 15. Dicunt Academici, Assentimini nobis, o homines, neminem cuiquam assentiri; credite nobis, neminem cuiquam quidquam credere, II, 20, 5. Οἱ ἀταλαίπωροι Ἀκαδημαϊκοί, II. 20, 20. Graviter contra eos disputat Epictetus, *ibid.* § 21 *sqq.* salse eosdem irridet, *ib.* § 29 *sqq.*

Acheron, nullus est, III, 13, 15.

Achilles. Lugendi caussa ei fuit, non mors Patrocli, sed opinio animo susrepta, I, 11, 31 *sqq.*; 28, 24. Pugnæ caussa Achilli et Agamemnoni fuit, quod in adplicatione notionum Honesti et Utilis ad casum particularem errarunt, I, 22, 5; II, 24, 22. Achille nemo pulcrior. II. 24, 25; II. 23, 32. Tu singulari certamine cum Hectore progredi potes, esto Achilles, III, 22, 7. Constituimus ludum repræsentare Agamemnonis et Achillis etc. I, 25, 10 *sqq.* conscenso pulpito describere quemadmodum occubuerit Achilles, III, 23, 35.

Admetus. Pater ejus mori recusat pro filio, III, 20, 7. versus ex Euripidis Alcest., Χαίρεις ὁρῶν φῶς etc. II, 22, 11.

Adonidis horti, IV, 8, 36.

Adriaticum mare transmittere, periculosum, II, 6, 20.

Ægyptii, multum differunt institutis, ad victum præsertim quod spectat, a Judæis, Syris, aliisque, I, 11, 12 *sq.*; 22, 4; II, 11, 15. nonne vides quatenus quisque dicatur Judæus, Syrus, Ægyptius, II, 9, 20.

Æolus, ventorum dispensator, I, 1, 16; numerosam sobolem habuit, III, 22, 78.

Æsculapius, curationem morborum docuit, IV, 8, 29. Ejus fana cremari jussit Alexander, II, 22, 17.

Agamemno. Pugna ejus cum Achille, unde orta, I, 22, 5; II, 24, 22. An Agamemnone es opulentior? II, 24, 25. Tu exercitum adversus Ilium ducere potes; esto Agamemno, III, 22, 7. Ne Agamemno quidem beatus fuit, scil. ob veri boni ignorationem, III, 22, 30 *sqq.* Non potes et Thersitem agere et Agamemnonem, IV, 2, 10. Fingamus nos partes agere Agamemnonis et Achillis, I, 25, 10 *sqq.*

Agrippinus (*Paconius* Agrippinus) in exsilium missus, fortiter se gerit, I, 1, 28 *sqq.*; *Fr.* 56. Ad Neronis spectacula non descendit, I, 2, 12. Numquam se laudavit; incommodorum, quæ ipsum premebant, elogia scripsit, *Fr.* 56.

Ajax. Ajantis lapidem tollere, II, 9, 22; II, 24. 26.

Alcestis Euripidis; ex ea versus citatur, II, 22, 11.

Alcibiades. Socratem vide juxta Alcib. cubantem, et ejus venustatem eludentem, II, 18, 22. Alcibiadi, omnium formosissimo, ait Socrates, da operam ut pulcer sis, III, 1, 42.

Alexander, Hectoris frater, Priami filius, II, 19, 7. Menelai hospes, mulierculæ caussa ex amico hostis fit, II, 22, 23. Suo viso obsecutus, I, 28, 12; miser fuit, non cum Troja expugnaretur, sed cum ipse fidem et hospitii jura proderet, I, 28, 22 *sqq.*

Alexander *Magnus*, cum Diogene congreditur, II, 13, 24; III, 22, 92. In sapientem virum nullam habet potestatem, III, 24, 70.

Amphiaraus, monilis caussa proditur ab uxore, II, 22, 32.

Andromache, Hectoris uxor, II, 22, 108.

Antigonus *Gonatas*, timidus Zenonem adit, II, 13, 14.

Antilochus, *Nestoris filius*, IV, 10, 31.

Antipater (*Tarsensis*) *Stoicus philosophus*, scripsit περὶ Δυνατῶν, et περὶ τοῦ Κυριεύοντος, suffragaturque Cleanthi, II, 19, 2 *et* 9. Ejus scripta laudantur cum Chrysippi scriptis, II, 17, 40; III, 2, 13. Φορᾷ usus est in scribendo et disputando. III, 21, 7.

Antisthenes, non sprevit logicam disciplinam, I, 17, 10. Tu Antisthenis in scribendo stylum exprimis, II, 17, 35. Diogenes Antisthenis erat amicus, III, 22, 63. Ex quo me Antisthenes liberavit, ait Diogenes, non amplius servivi, III, 24, 67; IV, 1, 114. Antisthenes ait: Regium est, Cyre, cum recte facias, male audire, IV, 6, 20.

Anytus. Me quidem Anytus et Melitus occidere possunt, lædere non possunt, I, 29, 18; II, 2, 15; III, 23, 21; *Ench.* 53, 3. Anyte, quomodo me ais deum esse non putare? II, 5, 18.

Apollo, vates et fons veritatis, monet homines, etiam dictis ejus non obedientes, III, 1, 16 *sqq.* Neque Junonem habeo, nec Minervam, nec Apollinem (Jupiter dicit in conflagratione mundi), III, 13, 4.

Apollonius, *Tyaneus*; præceptum ejus asceticum, III, 12, 17.

Aprulla, *anus*, vetat me facere quod volo, IV, 1, 146.

Archedemus, Stoicus, scriptis clarus, II, 4, 11; II, 17, 40.

Archelaus, *rex Macedoniæ*, opes offert Socrati, *Fr.* 174.

Archidamus, rex Spartanorum, IV, 1, 156.

Archimedes, per vim abstractus a famulis ungebatur, etc. *Fr.* 74.

Argos, *urbs Peloponnesi*, III, 24, 14; 26, 31 *sqq.*

Aricia, oppidum haud procul Roma, I, 1, 30; *Fr.* 56.

Aristides, *Atheniensis.* Aristide et Socrate ditior Themistocles fuit, non melior, *Fr.* 133. *Cf. Fr.* 44.

Aristides, *Milesius*, lascivarum rerum scriptor, IV, 9, 6.

Aristophanes, pallidum fingit Socratem, IV, 11, 20.

Athenæ. Athenis ne habites! Cedo Athenis, I, 25, 19. Athenas quando rursus videbo? II, 16, 32 *et* 36. Quot amicos ibi Herculem habuisse putas? III, 24, 14. Quid Athenis acturus es? III, 24, 40. Athenis neminem frequentasti, III, 24, 54 *et* 66, 72, 75, 100, 109. Pulcræ sunt Athenæ; sed pulcrius est, esse beatum, IV, 4, 36. Athenis chœnices quatuor farinæ obolo veneunt, *Fr.* 174. Athenarum arx, Ἀκρόπολις, II, 16, 32; III, 24, 73.

Athene, *vide* Minerva.

Athenienses; *obiter commemorantur,* III, 22, 52 *et* 84. Socrates numquam se Atheniensem dixit, I, 9, 2. Socratis corpus male tractarunt Athenienses, I, 29, 16. Cum urbem suam olim relinquerent, secutine sunt præcepta qualia Epicurus tradidit? II, 20, 26; III, 7, 19. Bella cum Spartanis gesserunt ob veri boni ignorationem, III, 22, 22. Diogenes non adulatus est piratis, ut eum Atheniensi alicui venderent, III, 24, 73. Athenienses Persarum rex non magis in servitutem redigere potest quam pisces, IV, 1, 30 *sq*. Multi Athenienses, licet non e servis nati, tamen reges servili more timent, IV, 1, 157. Socrates μὴ ἐπιψηφίσας, Ἀθηναίων κελευόντων, jubente populo, IV, 1, 164. Atheniensium ditissimus Themistocles, *Fr.* 133.

Atreus, tragœdia Euripidis, I, 28, 32.

Atticam purgat Theseus, II, 16, 45.

Averrunci dii, II, 18, 20.

Augusti sacerdotium, I, 19, 26.

Automedon, Achillis socius *et auriga*, IV, 10, 33.

B.

Bato, *celebris aliptæ nomen, id est, artis athleticæ magistri,* I, 2, 26.

Briseis, I, 25, 10.

Cæsar, de quovis cæsare vel imperatore, I, 9, 7; 10, 5; 14, 15, 18; 19, 17, 19; 29, 37; II, 6, 20; 13, 11; 19, 17; III, 3, 3; 4, 8; 7, 30; IV, 1, 12, 43, 60; IV, 4, 9; 7, 21; 13, 5. Per Genium Cæsaris! IV, 1, 14. Pax magna Cæsaris, III, 13, 9; 22, 55. Ἐπίτροπος Καίσαρος, III, 4, 2; 15, 12; *Ench.* 29, 7. Amicus Cæsaris, IV, 1, 8, 45, 95; 4, 5.

Cæsariani, *officiales Cæsaris procuratores,* I, 19, 19; III, 24, 117.

Callicles, *Gorgiæ familiaris.* Vide quomodo Socrates Calliclem toleraverit, IV, 5, 3.

Calypsus insula; quæ neque fuit, neque futura est, II, 19; 10.

Capitolium. Num Capitolium incendi? etc. I, 7, 32. Tribunus plebis ascendit in Capitolium ad sacra facienda, I, 19, 24.

Cassiope, *portus Epiri*, III, 7, 3.

Cassius *Longinus*, jurisconsultus, IV, 3, 12.

Ceres. Homines quotidie pane vescentes, dicere audent, se ignorare num qua Ceres sit, II, 20, 32. Terram non serunt homines nisi invocata Cerere, III, 21, 12.

Chæronea. Diogenes post Chæronensem cladem ad Philippum adductus, III, 22, 24.

Chrysantas, *centurio in Cyri exercitu,* percussurus hostem, cum receptui cani audiret, cohibuit impetum, II, 6, 15.

Chryseis, I, 22, 7 *sqq.;* II, 24, 22.

Chryses, Chryseidis pater, κομψὸς ἀρχιερεύς, II, 24, 24.

Chrysippus, Stoicus, naturæ interpres, I, 10, 10; 17, 15 *sqq.; Ench.* 49. Non eo profectum aliquis fecit, quod multos Chrysippi libros legerit; I, 4, *sqq.;* II, 17, 40; III, 2, 13. Nec hoc magnum est, Chrysippum intelligere et aliis interpretari, sed vitæ actionem ad præcepta illius dirigere, I, 17, 13; *Ench.* 49. Qua te injuria Chrysippus affecit, ut ejus labores facto suo inutiles esse arguas? III, 24, 81. Loco Chrysippi et Zenonis, Aristidem legis et Evenum, IV, 9, 6. Quid vetat, tametsi æque ac Chrysippus dissolvere syllogismos possis, esse miserum? II, 23, 44. Recte Chrysippus ait : quoad obscura mihi fuerint consequentia, seligo ea quæ maxime secundum naturam sunt, II, 6, 9. Logicam disciplinam necessariam esse autumat, I, 17, 11. Chrysippi liber de Mentiente, II, 17. 34. Περὶ Δυνατῶν liber primus, II, 19, 9. Περὶ Ὁρμῆς, I, 4, 14. Chrysippi scripta, II, 16, 34; III, 21, 7; ethica, II, 19, 14.

Cicones, *Thraciæ populus prope Hebrum,* II, 19, 12.

Cithæron, *mons Bœotiæ,* ubi expositus Œdipus; Ἰὼ Κιθαιρών, τί μ' ἐδέχου; I, 24, 16.

Cleanthes, simul doctrinæ vacavit, et aquam hausit, III, 26, 23. Logicam disciplinam necessariam esse autumat, I, 17, 11. Sententia ejus de λόγῳ κυριεύοντι, II, 19, 2 *sqq*. Singularem de eo librum scripsit, *ib.* § 9. Item de Ethicis, § 14; Περὶ Ὁρμῆς, I, 4, 14. Exemplum ejus, cum Socratis et Diogenis et Zenonis exemplo, proponere nobis animo debemus, III, 23, 32; 26, 23. Ait, παράδοξα quidem dicere philosophos, non παράλογα, IV, 1, 173. Ejus dictum Ἄγου δέ μ', ὦ Ζεῦ, etc. II, 23, 42; III, 22, 95; IV, 1, 121; 4, 34. *Ench.* 53.

Cnossus; *vide* Gnossus.

Cocytus, *inferorum flumen*, nullus est, III, 13, 15.

Core; *vide* Proserpina.

Corinthus, II, 17, 22. Corinthi Diogenes vixit, ut ante Athenis, III, 24, 66; II, 16, 36. Numquam te Corinthium dicas aut Atheniensem, sed Mundanum, I, 9, 2. Talis cum sis, civemne te Corinthiorum faciemus? III, 1, 34. Cynicus apud omnes homines, peræque apud Athenienses et Corinthios et Romanos, concionatur, III, 22, 84.

Crates Cynicus, Diogenis amicus, III, 22, 63. Uxor ejus alter Crates erat, *ib.* § 76.

Crinis, *Stoicus philosophus,* pavore exanimatus discessit, III, 2, 15.

Crito, *Atheniensis,* Socratis familiaris, Socratem hortatur, ut carcere excedat liberorum caussa, IV, 1, 163. ὦ φίλε Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, etc. I, 4, 24; *Ench.* 53, 3.

Crœsus, I, 2, 37; III, 22, 27.

Cynici et Cynismus. *Vide* III, *cap.* 22 *totum; add.* IV, 8, 30. Verus Cynicus est nuncius a deo ad homines missus de rebus bonis et malis, III, 22, 23, *et v. alia quæ multis exponuntur in eo cap.*

Cyrus. Antisthenes dicit : Regium est, Cyre, cum recte facias, male audire, IV, 6, 20.

D.

Danaus, quinquaginta filiorum pater, III, 22, 78.

Deiphobus, Hectoris frater, II, 19, 7.

Demetrius *Cynicus,* Neroni dixit, Tu mihi mortem minaris, natura tibi, I, 25, 22.

Demosthenes. Eloquens ut Demosthenes, II, 23, 44.

Denarius. Libellus (*Cleanthis sive Chrysippi*) περὶ Ὁρμῆς quinque denariis constat, I, 4, 16.

Deus, Dii. *Promiscue et singulari et plurali utitur Epictetus, in eadem etiam phrasi* (*ut* I, 4, 31 *sq.*), *sed frequentius fere singulari.* Τοῖς θεοῖς φίλον, I, 4, 25; *sed* τῷ θεῷ I, 29, 18; IV, 4, 21. Variæ variorum de diis sententiæ, I, 21, 1 *sqq.* Pater deorum et hominum, I, 3, 1 *sqq.*; 6, 40; 9, 6, 7. Omnia inspicit, I, 14 toto; II, 8, 14. In nobis est, I, 14, 14; II, 8, 12. Omnia diis et dæmonibus plena, III, 13, 15. Ὁ θεὸς καὶ οἱ μετ' ἐκεῖνον, IV, 12, 11. Providentia, II, 14, 11; III, 26, 28; *Ench.* 32, *sqq*. Cura hominum, I, 12, 6; I, 16; III, 24, 2 *sq.*; IV, 7, 6. Sequi deos, finis homini propositus, I, 12, 5. Canere hymnum in deum, Μέγας ὁ θεὸς etc. I, 16, 17. Ad deum contendere, III, 24, 114. Ut deus vult. I, 1, 17; IV, 7, 20; IV, 6, 21, *etc.* Deo obedire, IV, 12, 11. Cum eo consentire, II, 19, 26 *sq.*; dissentire, III,

22, 2. Deo repugnare, θεομαχεῖν, III, 24, 21, 24; IV, 1, 101. Θεομαχία, III, 24, 24. Diis invisus, θεοχόλωτος, II, 8, 14; III, 1, 37; 22, 2.

Diodorus (*Cronus*), dialecticus. Ejus sententia de λόγῳ κυριεύοντι, II, 19, 1 *et* 5.

Diogenes, Cynicus. Explorator missus, renunciat mortem non esse malum, I, 24, 6 *sqq*. Post Chæronensem pugnam ad Philippum adductus... explorator, III, 22, 24. Quid dixerit ei qui ab illo literas commendatitias petivit, II, 3, 1. Quo pacto arte dicendi sit usus, II, 13, 24. Exemplo proponitur, cum Socrate et Zenone, II, 16, 35; III; 24, 40; 26, 23; IV, 9, 6. Medio digito extento sophistam ostendit, III, 2, 11. Eum Deus regium munus et ἐπιπληκτικὴν χώραν capessere jussit, III, 21, 19. Dignus qui sceptrum Diogenis ferat, III, 22, 57. Non pro merito æstimamus Diogenis characterem, *ib.* § 80 *sqq*. Antisthenis amicus, § 63; a quo in libertatem vindicatus, non amplius servivit, IV, 1, 114 *sqq*. Liber erat, non quod ex ingenuis natus, sed quod omnes servitutis ansas abjecisset, IV, 1, 152 *sqq*. Nitidus et pinguis, III, 22, 88. Sicut Socrates, non modo auditu jucundus, sed et aspectu suavis, IV, 11, 21. Quid responderit homini, dicenti, deos ipsum negare, III, 22, 91. Quid Alexandro responderit, III, 22, 92 (*conf.* Alexander). Pro publico bono tot labores suscepit, III, 24, 64. Unam ait esse libertatis tenendæ rationem, haud gravate mori, IV, 1, 30. Ab eo laudari, laus erat, IV, 7, 29. Diogenes et Heraclitus, horumque similes, merito divini erant et dicebantur, *Ench.* 15. Nullum aiebat esse honestum laborem, cujus finis non esset animi æquitas et fortitudo, *Fr.* 57.

Diogenes *Babylonius*, Stoicus; scripsit de Moribus, II, 19, 14.

Dio, *Prusiensis, sophista et orator, Chrysostomus cognominatus.* Iste homo scribit multo elegantius Dione, III, 23, 17. Dio numquam tot habuit auditores, *ib.* § 19.

Dio, Δίων, *nomen materialiter usurpatum a philosophis, pro exemplo.* Volo scribere Dionis nomen, I, 12, 13; II, 2, 23; II, 13, 20; III, 24, 51.

Dioscuri, in tempestate invocantur a navigantibus, II, 18, 29.

Diræ, αἱ Ποιναὶ, II, 20, 17.

Domitianus *imperator*, Gratillam in exsilium miserat, II, 7, 8.

E.

Ecbatana, II, 16, 36.

Eleusis, *Atticæ oppidum, ubi Eleusinia sacra in honorem Cereris.* Ædes est Eleusine; ecce et hic! III, 21, 13.

Epaminondas, pauper, Græciam a servitute liberavit, *Fr.* 44. deus appellatur, *ib.* Tametsi absque liberis decessit, plus profuit Thebanis, quam numerosæ sobolis patres, III, 22, 78.

Epaphroditus, Neronis libertus, Lateranum convenit, I, 1, 20. Servum sutorem inutilem vendidit, etc. I, 19, 19 *sq*. Dolet vicem hominis conquerentis nonnisi sexagies sibi esse reliquum, I, 26, 11 *sq*.

Ephesus. Lacedæmonii domi leones, Ephesi vulpeculæ, IV, 5, 37.

Epictetus; ejus elogium *vide in* Arriani Epist. ad L. Gellium. Servus cum esset, præceptore usus est Rufo, I, 7, 32 *sq*.; I, 9, 29. Quid ait Jupiter? Epictete, si fieri potuisset, etiam corpus tuum liberum fecissem, I, 1, 10. Age, Epictete, rade te, I, 2, 29. Epictetus non est melior Socrate; dummodo ne pejor, I, 2, 36. Euge, Epictete, pulcram cavillatiunculam solvisti, II, 18, 17. Cur ne verbulo quidem me admonuit Epictetus? III, 1, 12. Hoc Epictetus non dixit, sed deus per eum, III, 1, 36. Congressus sum cum Epicteto, tamquam cum lapide, III, 9, 12 : Nihili, inquis, erat Epictetus; solœce et barbare loquebatur, III, 9, 14. Epictetus interrogatus, quomodo quis inimico dolorem adferre possit, etc. *Fr.* 130. Γερόντιον se dicit, II, 6, 23; et senem, I, 17, 20; II, 19, 25, *conf.* I, 9, 10. Epicteti præceptor, Rufus; *de quo vide infra suo loco.* Dominus Epicteti, Epaphroditus; *de quo paulo ante.*

Epicurus; plurimos libros scripsit, I, 20, 19; II, 20, 9; in his, περὶ Τέλους, Φυσικὰ, περὶ Κανόνος, II, 23, 21. In Epicurum, *lib.* I, *cap.* 23. In Epicureos et Academicos, *lib.* II, *cap.* 20. Ad Epicureum quemdam, *lib.* III, *cap.* 7. — Epicurus, cum societatem hominum tollere conatur, eodem ipso, quod tollere vult, utitur, II, 20, 6. Supremum eumdemque beatissimum diem se ait agere, II, 20, 9. Omnia quæ sunt viri, civis, amici, amputavit, *ib.* § 20. Honestum aut nihil esse contendit, aut id quod sit populari fama gloriosum, II, 22, 21. Quid est, Epicure, quod ista pronunciat? carone, an mens, II, 23, 21. Non furtum Epicurus malum esse pronunciat, sed deprehendi, III, 7, 12. Turpia docet, honesta facit, III, 7, 18. Corporis bonis gaudebit anima, ut ait Epicurus; suis bonis non gaudeat? *Fr.* 52. Plerosque vestrûm (*Stoicorum* deprehendetis Epicureos, II, 19, 20. Finge tibi animo Epicureorum civitatem, III, 7, 19. Epicureorum et cinædorum vocem emisisti, III, 24, 38. Epicuri rationem (τὰ Ἐπικούρου, τὰ Ἐπικούρεια) etiam Stoicus exponere potest, et fortasse etiam subtilius quam ipse Epicurus, II, 9, 19; II, 19, 22. Epicureus, si constet sibi, optare debet ut alii omnes homines sint Stoici, II, 20, 12.

Epirus. Epiri procurator, turpiter favens comœdo, III, 4, 1.

Eriphyle, monilis caussa, prodit maritum Amphiaraum, II, 22, 32.

Eteocles et Polynices, II, 22, 13 *sqq*.; IV, 5, 29; *Ench.* 31, 4.

Eubœa. Lapides ex Eubœa, *nempe marmora*, *Fr.* 82.

Evenus, poeta eroticus, IV, 9, 6.

Euphrates, philosophus, præclare disserebat, III, 15, 8, *Ench.* 29, 3. Diu dissimulaverat philosophandi studium, IV, 8, 17 *sq*.

Euripides, Tragicus. Quære versum Euripidei similem, Θερμάς τε *etc.* II, 16, 31. Atreus Euripidis, I, 28, 32. *Citatur ex Alcest.* v. 691, II, 22, 11; ex Phœniss. v. 623 *sq*. II, 22, 14. Ex incerta tragœdia, *Ench.* 53, 2; *Diss.* II, 1, 13. Respiciuntur ex Medea versus 792 et 817, II, 17, 20; citantur vero Medeæ v. 1078 *sqq*., I, 28, 7.

Eurystheus, *Mycenarum rex*, domi ignavus sedet, II, 16, 44. Herculem laboribus exercet, III, 22, 57 : sibi imperare nescit, III, 26, 32.

F.

Felicio, e servo Epaphroditi, Cæsaris sutor et magna apud eum gratia, I, 19, 19 *sqq*. Intolerabili supercilio homo, IV, 1, 150.

Florus consulit Agrippinum, an ad Neronis spectacula sibi sit descendendum, I, 2, 12.

Furiæ, Ἐριννύες, II, 20, 17.

G.

Galba, *imperator*, occiditur, III, 15, 14.

Galilæi, assuetudine non formidant tyrannos, IV, 7, 6.

Galli : τοὺς Γάλλους ἡ μανία καὶ ὁ οἶνος ἀναγκάζει ἐξαγγέλλειν τὰ αὐτῶν κακὰ, II. 20, 17.
Geta, *servi nomen apud Comicos*. Noctu, quo tempore Geta egredi non audet, IV, 1, 19.
Getæ. Romanorum bellum cum Getis, II, 22, 22.
Gnossii. Gnossiorum præfectus, προστάτης Κνωσίων, III. 9, 3 *et* 6.
Græci, imbecilles sunt et timidi (*sub Romanorum imperio*), III, 7, 13. Judex Græcorum, *ibid*. 30. Quid Judæum te esse mentiris, cum Græcus sis? II, 9, 20.
Græcia. Romæ cum vivis, Græciam desideras, III, 24. 77. Si in Persis natus esses, non desiderares in Græcia habitare, *Fr*. 23. E Græcia petita disciplina ornandi civium animi, *Fr*. 82.
Gratilla, in exsilium missa a Domitiano, II, 7, 8.
Gyara (τὰ Γύαρα), *insula maris Ægæi, quo in exilium noxios mittebant Cæsares Romani;* I, 25, 20; II, 6, 22; III, 24, 113. Qui in Gyaris vivit, fortiter in Gyaris vivat, III, 24, 109. Ubicumque tu me, o deus, esse volueris, obsequens ero, sive Romæ, sive in Gyaris *etc.* III, 24, 100; IV, 4, 34.

H.

Hector, Priami et Hecubæ filius, II, 19, 7; 24, 23 *et* 26; III, 22, 7. Ejus verba ad Andromachen, III, 22, 108.
Hecuba, Hectoris mater, II, 19, 7.
Helena, II, 19, 10. Visum erat Helenæ, sequi Menelaum, I, 28, 11. Quasi perinde commoveri posset qui Helenam adspicit, et qui aliam quamlibet mulierem, II, 23, 32.
Hellanicus, Historicus, rerum Trojanarum meminit, II, 19, 7. Scripsit Ægyptiaca, II, 19, 14.
Helvidius Priscus, minanti Vespasiano fortiter respondet, I. 2, 19 *sqq*. Non ipse, sed interfector ejus, miser fuit, IV, 1, 123.
Heraclitus, philosophus, divinus erat et dicebatur, *Ench.* 15.
Heraclitus, *Epicteti familiaris;* litem habens Rhodi de agello, imprudenter perorat caussam, II, 2, 17.
Hercules, nisi talis leo exstitisset et alia talia pericula ei fuissent objecta, non erat Hercules futurus, I, 6, 33 *sqq.;* II, 16, 44. Quis evasurus fuisset, si dixisset, quomodo vitabo magni leonis occursum? IV, 10, 10. Injuriam et iniquitatem expurgavit; tu si non, ut ille, aliena mala expurgare potes, tua expurga, II, 16, 44 *sq*. Non ideo miserum se putavit, quod ab Eurystheo exercitaretur, III, 22, 57. Totam terram peragrans, hominum fas nefasque inspexit, deumque patrem respiciens fecit quæ fecit, III, 24, 13 *sqq*. Delicate me vivere non vult Jupiter; at nec filium suum Herculem voluit delicatam vitam agere, III, 26, 31. Quotus ab Hercule? II, 18, 22.
Hesiodi dictum de procrastinatione, II, 18, 32. *Citatur ex Theogonia v.* 87, II, 12, 16.
Hippias. Si quis dictiunculas et præceptiunculas postulasset, eum ad Hippiam et Protagoram adducebat Socrates, III, 5, 17.
Hippocrates, medicus, simulque disertus, I, 8, 11. Aliud salubre, aliud contra dictum est, priusquam Hippocrates exstitisset, II, 17, 8.
Hippolytus, tragœdia *Euripidis, fortasse etiam Sophoclis*, I, 28, 32.
Homerus. Priamusne, quinquaginta filiis relictis, plus ad vitæ communitatem contulit quam Homerus? III, 22, 78. Tu ne in omnibus Homerum audis? III; 24, 18. Annon videatur consulto hæc composuisse Homerus etc. IV, 10, 36, Homeri interpres, Chrysippi interpres, *Ench.* 49, 2; II, 19, 7. *Citantur Homeri versus; ex Iliade* A, 526, II, 8, 26. B, 24, III, 22, 92. B, 25, II, 24, 24. III, 22, 72 *et* 92. Z, 492 *sqq.*, III, 22, 108. K, 15, III, 22, 30. K, 91 *sqq.*, III, 22, 30. K, 297 *sqq.*, I, 12, 3. N, 281, II, 13, 13. T, 321, IV, 10, 35. *Ex Odyss.* A, 3, III, 24, 13. A, 37 *sqq.*, III, 1, 38. Z, 130, III, 26, 33. I, II, 19, 12. A, 528 *sq.*, IV, 8, 32. Ξ, 56, III, 11, 4. P, 487, III, 24, 13.
Ilias, nihil aliud est nisi visum, et usus visorum, I, 28, 12 *sqq*. *Confer*. Homerus *et* Odyssea.

I.

Ilium. Ignoratio veri boni caussa fuit rerum ad Ilium gestarum, II, 22, 22. Tu exercitum ad Ilium ducere potes; esto Agamemno, III, 22, 7. Ab Ilio me ferens ventus etc. II, 19, 12. *Conf.* Troja, *et* Trojani.
Isocrates, *orator*. Homo qui Socratis scripta legit ut Socratica, non ut Lysiæ aut Isocratis, III, 23, 20.
Isthmiorum victor, III, 4, 11.
Italicus, summus Romæ philosophus, *parum philosophice sentit*, III, 8, 7.

J.

Judæi, institutis, præsertim in ciborum selectu, differunt ab aliis populis, I, 11, 12; I, 22, 4. Quid Judæum te simulas, cum sis Græcus? etc. II, 9, 20.
Juno non amplius adest Jovi in conflagratione mundi, III, 13, 4.
Jupiter, in conflagratione mundi, III, 13, 4. Me Jupiter liberum emisit; I, 19, 9. Si pluvius esse vult et Frugifer, et deum hominumque pater, necesse est ut in commune prosit, I, 19, 11 *sqq.;* I, 22, 16. Quo pacto officium servabo in deum, si me non curat, aut me juvare nequit, I, 22, 15. Si Phidiæ statua esses, sensumque haberes, nihil facturus esse indignum illo opifice : nunc, cum te Jupiter fecerit etc. II, 8, 18 *sq.*, II, 19, 26. Jupiter Olympius (Phidiæ) non attollit supercilium, sed gravem vultum gerit, II, 8, 26. Relationum omnium et necessitudinum (*v. gr.* quæ inter patrem et filium, quæ inter fratres intercedunt) inspector Jupiter, III, 11, 5. Duc me, o Jupiter, *etc. Vide* Cleanthes.

L.

Lacedæmon, videlicet per Epicuri rationem formata est! II, 20, 26.
Lacedæmonii flagris cædi se patiuntur, I, 2, 2. Ignoratione veri boni bella gerunt cum Atheniensibus, II, 22, 22. Domi leones, Ephesi vulpeculæ, IV, 5, 37. Timent et colunt Archidamum regem, IV, 1, 156 *sqq*. Epicureus institutor eane docebit, quæ Lacedæmoniorum pueri discunt? III, 7, 19. In conspectu totius orbis, non modo Atheniensium aut Lacedæmoniorum, III, 22, 52. Lycurgus Lacedæmonius, *Fr*. 67.
Laius, *rex Thebarum, pater Œdipi*, III, 1, 16.
Lampis, nauclerus, interrogatus quo pacto divitias esset nactus, etc. *Fr*. 75.
Lateranus, *Plautius*, securi percussus jussu Neronis, I, 1, 19 *sqq*.
Leo Salaminius, IV, 1, 160. IV, 7, 30.
Lesbius, *servi nomen, sive scurræ alicujus*. Bene sit Lesbio, quod indies inscitiam meam coarguit, III, 20, 19.
Lyceum. Ploras quod Athenas non visurus sis, et in Lyceo non deambulaturus, III, 24, 77, aut apricaturus, IV, 4, 21.
Lycurgus, longissime alienus ab Epicuri ratione, II, 20, 26. Urbem non muris cinxit, sed virtute civium muni-

vit, *Fr.* 45. *A* petulante juvene altero oculo orbatus, *Fr.* 67.
Lysias, orator, III, 23, 20. *Vide* Isocrates.

M.

Macedonum bella cum Græcis et cum rege Persarum, ex veri boni ignoratione, II, 22, 22.
Manes, *servi nomen, sigillatim servi Diogenis.* Sicut Manes ægrotabis, III, 26, 37.
Martia aqua, II, 16, 31.
Masurius, jurisconsultus, IV, 3, 12.
Maximus, filii comitandi caussa Cassiopeiam navigavit, III, 7, 3 *et* 10.
Medea. « Volo aliquid, et non fit. » Hoc non ferens Medea, eo venit, ut proprios liberos occideret, etc. II, 17, 19 *sqq.*; IV, 13, 14. *Conf.* Euripides.
Melitus et Anytus, I, 29, 18; II, 2, 15; 23, 21; *Ench.* 53, 3.
Menelaus, Helenæ maritus, I, 28, 12; *sqq.*; II, 22, 23; IV, 10, 31. *Conf.* Odyssea.
Menœceus, *Creontis filius,* pro patria mortem oppetens, III, 20, 5.
Mercurius, cœlo descendens hæc ei dicturus erat? III, 1, 38 *sq.* Mercurii virgula, III, 20, 12.
Milo, *Crotoniates*, robore præstans, I, 2, 36.
Minerva, perit in mundi conflagratione, III, 13, 4. Phidiæ Minerva, II, 19, 26; II, 8, 18; porrecta manu Victoriolam tenet, II, 18, 20.
Mycenæ. Hercules laboravit, alius regnavit Argis et Mycenis, III, 26, 31 *sqq.*
Myro, gladiator, III, 22, 27.
Mysia, Asiæ minoris regio, I, 25, 15.

N.

Naso. Ad Nasonem, *lib.* II, *cap.* 14.
Nemea. Nemeorum victor, III, 4, 11.
Neocles, pater Themistoclis, *Fr.* 133.
Nero. Epaphroditus, Neronis libertus, I, 1, 20. Neronis jussu occiditur Lateranus, I, 1, 19. Ab eodem in exilium mittitur Agrippinus, *Fr.* 56. Demetrius Neroni dixit, tu mihi mortem minaris, tibi natura, I, 25, 22. Beatus non fuit Nero, III, 22, 30. Neronis nota insigniti nummi reprobantur, IV, 5, 17. Mores Neroniani, IV, 5, 18. Thermæ Neronis, II, 16, 31.
Nicias, *pictor Atheniensis,* adeo erat operi intentus, ut e famulis sæpe quæreret, an lavisset aut pransus esset, *Fr.* 73.
Nicopolis, urbs Epiri, *sic dicta ab Augusti victoria, de Antonio reportata. Epictetus, Domitiano imperante, Urbe Italiaque senatusconsulto pulsus, Nicopolin Roma decessit, ibique scholam aperuit in qua hæc disputavit, ab Arriano literis mandata.* I, 25, 19. Nicopoli frequentes erant terræmotus, II, 6, 20 (*coll.* II, 16, 23). Erat ibi Augusti sacerdos, I, 19, 26 *sqq.* Romani juvenes Nicopoli desiderant commoditates, quibus Romæ usi erant, II, 21, 14 *sqq.*
Nicopolitani, οἱ Νικοπολῖται, II, 22, 52. Clamare solent, per Cæsaris genium! liberi sumus, IV, 1, 14.
Numenius, *homo nullius pretii*, gratia valens apud Cæsarem, III, 7, 31.
Nymphæ; studiose eas describit declamator, III, 23, 11.

O.

Odyssea. Si Menelaus existimasset expedire sibi carere tali uxore, periérat Ilias et Odyssea, I, 28, 13.
Œdipus, miser est, I, 4, 25. Sophoclis Œdipus quid est? Visum, I, 28, 32; I, 24, 16 *sqq.*
Ofellius, Ὀφέλλιος, gladiator robore præstans, III, 22, 27.
Olympia, *urbs Peloponnesi*, ludorum celebritate nobilis; in quam ad spectanda Phidiæ opera et ludorum spectacula e longiquo proficiscuntur homines, incommoda nihil curantes, I, 6, 23 et 26; III, 22, 58. In turba, finge te Olympiæ esse, IV, 4, 24. Forsan et qui Olympiæ sunt, alios insuper athletas vellent spectare, IV, 1, 106. Τί δ', ἂν καῦμα ᾖ; τί δ' ἐν Ὀλυμπίᾳ; *i. e.* quid, si non in gymnasii umbra, sed in ipso Olympico stadio decertandum est? I, 18, 21. Ζεὺς ὁ ἐν Ὀλυμπίᾳ, Jupiter Olympius, Phidiæ opus, II, 8, 26. Ludi Olympici, I, 2, 26; 29, 36; 24, 2 (Ὀλυμπιονίκης); II, 18, 22; III, 15, 2; 25, 4; 22, 51 *sq.*; 24, 25; *Ench.* 29, 2; 50, 2.
Orestes, a Furiis agitatus, II, 20, 17.

P.

Pæan Apollo, III, 10, 4.
Pan, *deus pastorum.* Pana cum Nymphis studiose describit declamator, III, 23, 11.
Panthœdes, dialecticus, II, 19, 5.
Parcæ, I, 12, 25.
Paris. *Vide* Alexander, Priami fil.
Patroclus; ejus mortem luget Achilles, I, 11, 31; I, 28, 24; IV, 10, 31.
Perdiccas, *Alexandri successor,* III, 24, 70.
Periander, ex Solone quærit, cur taceat, *Fr.* 76.
Peripatetici. Plerosque suorum discipulorum Epicureos esse ait Epictetus, paucos Peripateticos, et hos ipsos quidem enervatos, II, 19, 20. Τὰ Περιπατητικά, Peripateticorum ratio et decreta, II, 19, 22.
Perrhæbi, *Thessaliæ populus.* Diogenes, si ad Perrhæbos venisset, haud aliter fuisset adfectus, III, 24, 66.
Persæ. Si inter Persas natus esses, non desiderares in Græcia habitare, *Fr.* 23. *Rex Persarum,* μέγας βασιλεύς, II, 22, 22; III, 22, 60; 24, 70; IV, 1, 53.
Phidias. Phidiæ opera spectatum proficiscuntur Olympiam, I, 6, 23. Sicut dicimus Phidiacam statuam, quæ ad Phidiæ artem expressa est, sic Stoicus etc., II, 19, 23. Si Phidiæ statua esses, sive Minerva, sive Jupiter, etc., II, 8, 18 *sqq.*; 19, 26. Minerva Phidiæ, II, 8, 20. Ejusdem Jupiter Olympius, *ib.* § 26.
Philostorgus, Suræ scortum, et eo scelere ditatus homo, III, 17, 4.
Phœnix, *Amyntoris filius, comes Achillis in bello Trojano.* Græcorum facundissimi, Ulysses et Phœnix, II, 24, 27. Phœnix, *Euripidis* tragœdia, I, 28, 32.
Piræeus, ἵν' ἴδῃ ποτὲ τὸν Πειραιᾶ τὸν καλὸν καὶ τὰ μακρὰ τείχη, III, 24, 73.
Pittacus, miti fuit ingenio, *Fr.* 68.
Plato. Non, quia Plato formosus et robustus fuit, idcirco philosophus nemo potest esse quin formosus et robustus sit, I, 8, 11 *et* 13. Omnis mens, ut Plato ait, invita caret veritate, I, 28, 4; II, 22, 36. Platonem Theopompus accusat, quod omnia definiri voluerit, II, 17, 5. Plato definitionem subjicit notioni ejus quod utile est, II, 17, 11. Tu exprimis stylum Platonis, II, 17, 35. Plato eum, cujus animum subit visum ad voluptatem trahens, jubet ad prodigiorum expiationem ad deosque averruncos supplicem abire, II, 18, 20. Non, ut Plato ait, meditaberis non modo emori, sed et cruciari et exsulare? etc. IV, 1, 172. Romæ mulieres libros Platonis de Republica in manibus habent, *Fr.* 53. *Verba ex Platonis scriptis passim citata, vide in* Crito, *et in* Socrates.
Pluto, II, 20, 32.

Polemo, e luxuriosissimo continentissimus factus, III, 1, 14. Xenocratis sermones Polemonem pupugerunt, ut elegantem adolescentem, IV, 11, 30.
Polus, *sophista Agrigentinus, Gorgiæ auditor.* Vide quomodo Socrates Polum tulerit, IV, 5, 3.
Polus, tragœdus, *Fr.* 174.
Polynices et Eteocles, II, 22, 13 *sqq.*; IV, 5, 29; *Ench.* 31, 4.
Priamus, Hectoris pater, II, 19, 7 *et* 10; miser est, I, 4, 25. *Conf.* Homerus.
Priscus. *Vide* Helvidius.
Procrustes, *latro a Theseo occisus.* Pro Procruste et Scirone, tristitiam, timorem, cupiditatem ex animo ejice, II, 16, 45.
Proserpina, II, 20, 32.
Protagoras, III, 5, 17. *Cf.* Hippias.
Pylæ, αἱ Πύλαι. *Vide* Thermopylæ.
Pyrrho, *Eleus, a quo* Pyrrhonii *dicti, qui et Sceptici.* Aiebat Pyrrho, nihil interesse inter vitam et mortem, etc., *Fr.* 93. Occurrat Pyrrhonius aliquis et Academicus, I, 27, 15. Πυῤῥώνεια καὶ Ἀκαδημαϊκὰ σοφίσματα, 27, 2.
Pythagoras. Pythagoricum illud, Nec molles oculi somnum etc. IV, 6, 32; III, 10, 2 *sqq.*
Pythia. Pythiam sciscitantur Epicurei, ut falsa audiant, II, 20, 27.
Pythii ludi, III, 4, 11.
Pythius vates, *Apollo, Ench.* 32, 4

Q.

Quadratus; *opulentus homo Romæ.* Audi me hodie in ædibus Quadrati disserentem, III, 23, 23.

R.

Roma, Cognatio alicujus qui multum Romæ potest, I, 9, 7. Sunt tibi Romæ multi amici, II, 14, 18; III, 7, 13. Petierat aliquis a me ut sui caussa Romam scriberem, I, 9, 27. Romæ annonæ præfectus, I, 10, 2. Equorum decursus Romæ, I, 11, 27. Romam redire, I, 11, 32. Roma exi! Exibo, I, 25, 19; III, 24, 77 *et* 100 et 109; IV, 4, 34. Non nimis tuta nunc est res hæc (morum seculi reprehensio), præsertim Romæ, II, 12, 17. Romæ ostendebatur mulier barbata, III, 1, 27. Ad rhetorem quemdam, Romam ad judicium euntem, *lib*, III, *cap.* 9. Romæ medici hodie ad se vocant sollicitantque homines, III, 23, 27. Roma venit aliquis : dummodo ne malum afferat nuncium! III, 24, 25. Romæ Helvidius, IV, 1, 123. *Sic* Romæ Lateranus, I, 1, 19. Romæ a militibus, civili habitu indutis, capiuntur homines leves, IV, 13, 5. Romæ mulieres Platonis libros de Republica in manibus habent, *Fr.* 53.
Romani, institutis (præsertim in victu,) discrepant a Judæis, Syris, Ægyptiis, I, 11, 12. Bellum gerunt cum Getis, II, 22, 22. Quomodo affecti sint erga philosophos, III, 8, 7. Si quis Romana civitate falso gloriatur, acerbis afficitur suppliciis, III, 24, 42. Nec amicos potes in Romanam civitatem ascribere, *Ench.* 24, 2.
Rufus (*Musonius*) : ejus dictum ad Thraseam, I, 1, 27. præceptor Epicteti, objurgat eum quod non invenerit id quod in syllogismo præteritum esset, I, 7, 32 *sq.* Tentandi Epicteti caussa dicit ei, Hoc et illud tibi ab hero accidet, I, 9, 29. Deterrere solebat juvenes a disciplina, ut ingeniosos stupidosque dignosceret, III, 6, 10. Dictum Rufi, post Galbæ cædem, III, 15, 14. Rufi dicere discipulis solebat, Si vacat vobis me laudare; nihili est quod dico, III, 23, 29.

S.

Sannio, *appellative, pro* stulto, III, 22, 83.
Sardanapalus, non fuit beatus, III, 22, 30.
Sarpedo, Jove natus, *a Patroclo occisus*, I, 27, 8.
Saturnalia. Rex in Saturnalibus, I, 25, 8. Talem hominem dic servum, cui Saturnalibus feriæ datæ sint, IV, 1, 58. Pueri clamant, Bona Saturnalia! I, 29, 31.
Sciro, latro a Theseo occisus, II, 16, 45.
Sirenes. Juvenes apud Rhetores desidentes, veluti apud Sirenes computrescunt, II, 23, 41.
Socrates, mundanum se dixit, I, 9, 1. Ita se gessit, ut qui persuasum haberet, se deo esse cognatum, I, 9, 22 *sqq.* Millies se prius moriturum ait, quam stationem deserturum in qua locatus sit a deo, I, 9, 24. III, 24, 99. Nusquam se latere posse deum existimavit, I, 12, 3. In omni vitæ actione deum et ejus voluntatem unice spectavit, II, 16, 35. *coll.* § 33; IV, 4, 21; I, 4, 24; I, 29, 18. Operam dedit, ut quavis occasione nihil aliud sequeretur nisi Rationem, III, 23, 21; *Ench.* 51, 3. Ubi humana ratione arteque scire non possumus quid faciendum, ibi nos deum consulere debere censuit, *Ench.* 32, 3. Sui constans fuit observator, vitam ἀνεξέταστον non esse vitalem dicens, I, 26, 18; III, 12, 15. Liberos suos amavit, sed ut homo liber, qui sciret, ante omnia oportere dei esse amicum, III, 24, 60. Uxorem asperrimam patienter tulit, IV, 5, 33. Semper eumdem vultum extulit et retulit, III, 5, 16; I, 25, 31. Paucis contentus, Archelai splendidam conditionem aspernatus est; *Fr.* 174. Civibus et tyrannis injusta jubentibus non paruit, IV, 1, 160 *et* 164; I, 9, 23 *sq.* Ab omni ostentatione alienus fuit, nec pungebatur, cum alios pluris quam se æstimari intelligeret, *Ench.* 46, 1; III, 23, 22; IV, 8, 22 *sq.* Una re maxime delectabatur, si se quotidie meliorem fieri intelligeret, III, 5, 14. Mortem, exsilium, et similia, larvas vocabat, quibus terrerentur pueri, II, 1, 15; nec erat ei mors terribilis, *Ench.* 5; non fuit in custodia, ultro enim fuit, I, 12, 23. Non Socrates, sed corpusculum ejus in vincula ductum est, I, 29, 16. Anytus et Melitus occidere Socratem possunt, lædere non possunt, I, 29, 18; II, 2, 15; III, 23, 21. Pulcra verba facere ad judices dedignatur, III, 23, 35. Tota vita ejus fuerat præparatio ad caussæ dictionem, II, 2, 8. Turpiter salvus esse recusat Socrates, IV, 1, 164. Non miser ipse fuit, sed judices et accusatores ejus, IV, 1, 123; in carcere pæanas scripsit, IV, 4, 22. Deus ei signum receptus dedit, I, 29, 29. Post mortem adhuc Socrates prodest hominibus, IV, 1, 169. Socrati deus auctor fuerat suscipiendi muneris arguendorum errorum, III, 21, 19; III, 1, 19. Quo munere ita functus est, ut non putaret quovis modo fieri oportere ut ipse emendet alios (nemo enim dominus est mentis alienæ), sed ut, quod in se esset, pro virili confere conaretur, IV, 5, 5. Velut e scena tragica clamavit, quo ferimini mortales? quid agitis, veram viam deseritis, etc. III, 22, 26. Omnes hortatus est, ut sui curam gererent, III, 1, 19. Pulcrum Alcibiadem hortatus est, curet ut sit pulcher, III., 1, 42. Nec vero dicebat, se aliquid scire, quod alios doceat, III, 5, 17; III, 23, 22. Ipsum adversarium cogebat, sibi testimonium perhibere, nec ullo alio teste utebatur, II, 12, 5; II, 26, 6; III, 16, 5. Effecit ut ultro ipsi obsequerentur homines, III, 7, 34. Nunquam in disputationibus ira commovebatur, II, 12, 14. Auspicabatur a consideratione vocabulorum, I, 17, 12, et ab explicatione notionum anticipatarum, IV, 1, 41; II, 1, 32. Inde monstrabat hominibus repugnantiam, quæ inter ipsorum notiones et pronunciata intercedebant, III, 23, 34. Fecitque ut desinerent secum ipsi pugnare, II, 12, 14; IV, 5, 2 *sqq.* Semper adcommo-

dabat se ad audientium captum, I, 29, 64 *sqq*. Ubi vero seriam disputationem audire dedignabantur homines, et tamen tempus postulabat ut verba faceret, falsa ironia utebatur, ut cum Anyto; cui, proterve illudenti, pilam quasi remisit, II, 5, 18 *sq*. Socratem, ut exemplar, proponere nobis debemus, III, 23, 32; 24, 40; 26, 23; I, 19, 5; II, 6, 26; III, 7, 24; III, 18, 4; *Ench*. 33, 12. Cujus vitam et mores si non ex æquo exprimere possumus, nitamur saltem pro viribus, *Ench*. 51, 3. Sic non pejores erimus illo, I, 2, 33 *et* 36. At tu, Socratis sermones nobis referens, mores habes Epicureorum, III, 24, 38. Pro Socrate et Diogene, eum miraris qui plurimas corrumpere et decipere verbis potest, IV, 9, 6.

Socrates multa scripsit (*quod de Platonicis scriptis intelligendum esse videtur*), II, 1, 32. A Socrate laudari laus est, IV, 7, 29. Nitido corpore fuit, et gratiæ suavitatisque plenus, IV, 11, 19. Ditissimus Atheniensium Themistocles non fuit melior Aristide et Socrate, *Fr*. 133. Socratis dictum de amicis, *Fr*. 173.

Solon, inter pocula a Periandro interrogatus cur sileret, etc., *Fr*. 76.

Sophoclis Œdipus, I, 28, 32. *Ex eo citatur* v. 1391, I, 24, 16. *Ex eadem tragœdia ibidem citantur verba* Στέψατε δώματα, *quæ hodie in ea non reperiuntur*.

Sophro, *comœdi nomen;* age Sophro coronetur, III, 4, 9.

Sparta. Noli lapidibus ex Eubœa et Sparta advectis structuram parietis variegare, *Fr*. 82. *Conf*. Lacedæmon.

Stoici. Cur Stoicum te dicis, et alienis gloriaris? II, 9, 19; II, 19, 19; III, 24, 40. Unum mihi ostendite verum Stoicum, si habetis, II, 19, 22 et 24. Stoicas ratiunculas qui edisserant, mille sunt, II, 19, 22. Γέμει τὰ βιβλία τῶν Στωϊκῶν λογαρίων, I, 29, 56. Epicurei, si constantes sint, optare debent ut omnes homines sint Stoici, II, 20, 12. Stoicorum multi honesta loquuntur, turpia faciunt: Epicurus contra, III, 7, 17 *sqq*.

Sura, cinædus, vir opulentus, III, 17, 4.

Sosa, *ubi rex Persarum hiemem agebat,* II, 16, 36.

Symphorus, homo nullius pretii, gratia valens apud Cæsarem, III, 7, 31.

Syri, in victu dissentiunt a Judæis, Ægyptiis, Romanis, I, 11, 12 *et* 15; I, 22, 4. Nonne vides quatenus quisque dicatur Judæus, Syrus, Ægyptius, II, 9, 20.

T.

Thaletis dictum de Spe, *Fr*. 91.

Thebæ, III, 24, 14 *et* 100. Thebanorum bellum cum Lacedæmoniis, II, 22, 22. *Cf*. Epaminondas.

Themistocles, sane non melior Aristide aut Socrate, *Fr*. 133.

Theopompus, rhetor, reprehendit Platonem, quod omnia definiri voluisset, II, 17, 5.

Theon. Theonis nomen scribere, II, 2, 23

Thermopylæ, II, 20, 26; III, 23, 38.

Thersites. Quasi proinde affici possit qui Achillem aspiciat et qui Thersiten, II, 23, 32. Non potes simul et Thersiten agere et Agamemnonem, IV, 2, 10.

Theseus Atticam a latronibus purgat, II, 16, 45.

Thessalia, IV, 1, 166.

Thrasea *Pætus,* a Rufo reprehensus, I; 1, 26.

Thrasonides, nomen militis gloriosi *in Menandri comœdia,* IV, 1, 19.

Thrasymachus, sophista, IV, 5, 3.

Trajanus. Sestertius Trajani probus, IV, 5, 17.

Triptolemus; ei templa et aras statuerunt homines, quod eis mites fruges dederit, I, 4, 30.

Troja. Non, cum Græci Trojam invaserunt, cladem accepit Alexander, sed etc. I, 28, 22.

Trojani. Achilles, omissis Trojanis, cum Agamemnone pugnat de puella, II, 24, 22. Si Trojani non interficiunt Græcos, non sunt morituri? III, 22, 33.

U.

Ulysses, mores hominum multorum vidit et urbes, 24, 13. Græcorum facundissimus, II, 24, 27. Desiderat uxorem, III, 24, 18. Naufragus non frangitur animo, III, 26, 33. Persuasus est se nusquam latere posse deum, I, 12, 3.

V.

Vespasianus, minitatur Prisco Helvidio, I, 2, 19.

Vulcanus. Ne Vulcanum quidem solertem fabrum judicabis, ni pileolum capiti ejus impositum videas, IV, 8, 21.

Xanthippe, IV, 5, 33; *Fr*. 173.

Xenocratis sermones commoverunt Polemonem, IV, 11, 30.

X.

Xenophon, Socratem scribit auspicatum esse a consideratione vocabulorum, I, 17, 12. Legite Xenophontis Convivium, II, 12, 15; IV, 5, 3. Magnifice scribis, ad Xenophontis modum (*de Arriano, ut videtur, ab Epicteto dictum*), II, 17, 35. Mirabilis est natura, et, ut ait Xenophon, animantium studiosa, *Fr*. 94. Prima verba Memorabilium Socratis, a grammatico homine traducta, III, 23, 20.

Xerxes. Eleganter declamator disseruit illa de Xerxe, III, 23, 38.

Z.

Zeno, *Stoicorum pater*. Quis ista dicit? solusne Chrysippus, Zeno et Cleanthes? I, 17, 11. Lege Zenonis scripta, I, 20, 14. Zeno conventurus Antigonum non angebatur, sed Antigonus conventurus Zenonem, II, 13, 14. Deus Zenoni munus delegavit docendi et præcepta tradendi, III, 21, 19. Idne Socrates faciebat, aut Zeno, aut Cleanthes? III, 23, 32. Zenonis et Socratis verba refers, Epicureorum facta, III, 24, 38. Zeno docuit, quænam essent Rationis elementa, IV, 8, 12. Loco Chrysippi et Zenonis, Aristidem legis et Evenum, IV, 9, 6. Tibi propone, quid tali loco aut tempore facturus fuerit Socrates aut Zeno, *Ench*. 33, 12.

ΣΙΜΠΛΙΚΙΟΥ ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΟ

ΕΠΙΚΤΗΤΟΥ ΕΓΧΕΙΡΙΔΙΟΝ.

(P.1—8 S.)

ΠΡΟΟΙΜΙΟΝ.

Περὶ μὲν τοῦ βίου τοῦ Ἐπικτήτου, καὶ τῆς αὐτοῦ τελευτῆς, Ἀῤῥιανὸς ἔγραψεν, ὁ τὰς Ἐπικτήτου Διατριβὰς ἐν πολυστίχοις συντάξας βιβλίοις· καὶ ἀπ' ἐκείνου μαθεῖν ἐστιν, ὁποῖος γέγονε τὸν βίον ὁ ἀνήρ. Τὸ δὲ βιβλίον τοῦτο, τὸ Ἐπικτήτου Ἐγχειρίδιον ἐπιγεγραμμένον, καὶ τοῦτο αὐτὸ συνέταξεν ὁ Ἀῤῥιανὸς, τὰ καιριώτατα καὶ ἀναγκαιότατα ἐν φιλοσοφίᾳ καὶ κινητικώτατα τῶν ψυχῶν ἐπιλεξάμενος ἐκ τῶν Ἐπικτήτου λόγων· ὡς αὐτὸς ἐν τῇ πρὸς Μασσαληνὸν ἐπιστολῇ ἔγραψεν ὁ Ἀῤῥιανὸς, ᾧ καὶ τὸ σύνταγμα προσεφώνησεν, ὡς ἑαυτῷ μὲν φιλτάτῳ, μάλιστα δὲ τὸν Ἐπίκτητον τεθαυμακότι. Τὰ δὲ αὐτὰ σχεδὸν καὶ ἐπ' αὐτῶν τῶν ὀνομάτων σποράδην ἐν τοῖς Ἀῤῥιανοῦ τῶν Ἐπικτήτου Διατριβῶν γραφόμενα εὑρίσκεται.

Σκοπὸν δὲ ἔχει τὸ βιβλίον, εἰ τύχοι τῶν πειθομένων αὐτῷ, καὶ μὴ μόνον ἀκουόντων, ἀλλὰ καὶ πασχόντων ὑπὸ τῶν λόγων, καὶ εἰς ἐργασίαν αὐτοὺς ἀγόντων, ἐλευθέραν ἀποτελέσαι τὴν ἡμετέραν ψυχὴν, οἵαν αὐτὴν καὶ ὁ ποιήσας καὶ γεννήσας δημιουργὸς καὶ πατὴρ προεβάλλετο· ὥστε μήτε φοβεῖσθαί τι, μήτε λυπεῖσθαι ἐπί τινι, μήτε ὑπό τινος τῶν χειρόνων δεσπόζεσθαι. Ἐγχειρίδιον δὲ αὐτὸ ἐπιγέγραπται, διὰ τὸ πρόχειρον ἀεὶ αὐτὸ δεῖν καὶ ἕτοιμον εἶναι τοῖς βουλομένοις εὖ ζῆν· καὶ γὰρ καὶ τὸ στρατιωτικὸν ἐγχειρίδιον, ξίφος ἐστὶ, πρόχειρον ἀεὶ τοῖς χρωμένοις ὀφεῖλον εἶναι. Πολὺ δὲ τὸ δραστήριον καὶ κινητικὸν ἔχουσιν οἱ λόγοι· ὡς τοὺς μὴ πάνυ νενεκρωμένους, νύττεσθαι ἐξ αὐτῶν, καὶ συναισθάνεσθαι τῶν οἰκείων παθῶν, καὶ πρὸς διόρθωσιν αὐτῶν ἐπεγείρεσθαι· τοὺς μὲν μᾶλλον, τοὺς δὲ ἧττον. Καὶ εἴ τις ὑπὸ τούτων μὴ πάσχει τῶν λόγων, ὑπὸ μόνων ἂν τῶν ἐν ᾅδου δικαστηρίων ἀπευθυνθείη.

Παιδεύει δὲ τὸν ἄνθρωπον, ὡς κατὰ ψυχὴν λογικὴν οὐσιωμένον, τῷ σώματι χρώμενον ὡς ὀργάνῳ. Καὶ διὰ τοῦτο καὶ γαμεῖν καὶ παιδοποιεῖν ἐνδίδωσι, καὶ τῶν ἄλλων τῶν ἐν τῷ βίῳ αἱρετῶν ἀπολαύειν· πανταχοῦ δὲ βούλεται τὴν λογικὴν δύναμιν ἀδούλευτον φυλάττειν τοῦ τε σώματος καὶ τῶν ἀλόγων παθῶν, καὶ πρὸς τὸ οἰκεῖον ἀγαθὸν καὶ τὴν ἐκείνων χρῆσιν ἀναφέρουσαν. Τῶν δὲ ἐκτὸς δοκούντων ἀγαθῶν, ὅσα μὲν δύναται συμφωνεῖν πρὸς τὸ ἀληθινὸν ἀγαθὸν, καρποῦσθαι συγχωρεῖ μεμετρημένως· τὰ δὲ ἀναρμοστοῦντα πρὸς ἐκεῖνο, παραινεῖ παντελῶς ἀποτρέπεσθαι.

Καὶ τοῦτο δ' ἄν τις τῶν λόγων τούτων θαυμάσειεν, ὅτι τοὺς πειθομένους καὶ ἐργαζομένους τὰ λεγόμενα,

SIMPLICII COMMENTARIUS

IN

EPICTETI ENCHIRIDION.

(P. 1—8 H.)

PRÆFATIO.

De vita et obitu Epicteti Arrianus scripsit, is qui complurium versuum libris Dissertationes Epicteti est complexus : ab eoque disci potest, qualis ille vir in vita fuerit. Hunc vero libellum, qui *Epicteti Manuale* inscribitur, idem composuit Arrianus, delectis ex Epicteti disputationibus philosophiæ locis præcipuis maximeque necessariis; quemadmodum ipse testatur in Epistola ad Messalinum, cui hoc scriptum dedicavit, ut amicissimo sibi, et qui maximus fuisset Epicteti admirator. Quæ fere eadem, et eisdem vocabulis, sparsim in Arriani libris Dissertationum Epicteti scripta reperiuntur.

Est autem finis libelle propositus, modo eos lectores invenerit qui obtemperent, quique his cognoscendis non contenti, præceptis ipsis adficiantur, eaque in actum deducant; animum nostrum in eam adserere libertatem, ad quam a parente et auctore Deo procreatus est; ut neque formidet quidquam, neque ulla re doleat, neque ulli deteriori naturæ serviat. *Enchiridion* vero (id est, *Manuale*) inscribitur, quod iis, qui recte vivere student, ad manus at. que in promtu perpetuo esse debeat : quemadmodum et pugio militaris (qui græce *Enchiridion* dicitur) gladius est, qui semper in promtu esse debet utentibus. Genus orationis nervosum est, et acre; ut, qui non omnino mortui sint, eo veluti stimulo quodam pungantur, et suos morbos cum intelligant, tum ad eos corrigendos excitentur, alii quidem magis, alii minus : qui vero his præceptis non adficiatur, is nonnisi ab inferorum tribunalibus corrigi posse videatur.

Instituit autem eruditque hic libellus hominem, tamquam naturam cujus essentia in anima rationali insit, quæ corpore utatur velut instrumento. Qua de caussa quidem et conjugium, et procreationem liberorum, cæterarumque rerum in vita expetendarum usum homini concedit; sic tamen, ut mentis vim et a corpore et a brutis adfectibus ubique invictam præstare, eorumque usum ad bonum homini proprium jubeat referre. Externarum igitur rerum, quæ in bonis habentur, quæque cum vero bono consentire possunt, fructum, ut dixi, concedit, sed moderatum : quæ vero ab illo dissentiunt, ea plane rejicienda esse monet.

Illud vero etiam in his disputationibus mireris, quod eos qui obtemperant et præcepta in vita observant, feli-

μακαρίους ἀποτελοῦσι καὶ εὐδαίμονας, οὐδὲν δεηθέντας τὰς μετὰ θάνατον τῆς ἀρετῆς ἀμοιβὰς ἐπαγγέλλεσθαι, κἂν πάντως ἀκολουθῶσι καὶ αὗται. Τὸ γὰρ ὡς ὀργάνοις χρώμενον τῷ σώματι καὶ τοῖς ἀλόγοις πάθεσι, πάντη πάντως χωριστὴν ἔχει τὴν οὐσίαν αὐτῶν, καὶ ἐπιδιαμένουσαν μετὰ τὴν ἐκείνων φθοράν· καὶ δῆλον, ὅτι καὶ τὴν τελειότητα σύστοιχον τῇ οὐσίᾳ. Ἀλλὰ κἂν θνητήν τις ὑποθῆται τὴν ψυχὴν, συναπολλυμένην τῷ σώματι, ὁ κατὰ ταύτας ζῶν τὰς ὑποθήκας, τὴν ἑαυτοῦ τελειότητα ἀπολαμβάνων, τὸ οἰκεῖον καρπούμενος ἀγαθὸν, εὐδαίμων ὄντως ἐστὶ καὶ μακάριος. Καὶ γὰρ καὶ τὸ σῶμα τὸ ἀνθρώπινον, καίτοι θνητὸν ὑπάρχον, εἰ τὴν κατὰ φύσιν τὴν ἑαυτοῦ τελειότητα ἀπολάβοι, ἔτυχε τοῦ οἰκείου ἀγαθοῦ, καὶ οὐδενὸς ἔτι δεῖται πρὸς τοῦτο.

Κομματικοὶ δέ εἰσιν οἱ λόγοι, καὶ γνωμονικοὶ, κατὰ τὸ τῶν ὑποθηκῶν καλουμένων παρὰ τοῖς Πυθαγορείοις εἶδος. Πλὴν καὶ τάξις τίς ἐστι πρὸς ἀλλήλους ἐν πᾶσι σχεδὸν αὐτοῖς, καὶ ἀκολουθία, ὡς προϊόντες εἰσόμεθα. Κἂν τὰ κεφάλαια δὲ διωρισμένα γέγραπται, εἰς μίαν πάντα τείνει τέχνην, τὴν διορθωτικὴν τῆς ἀνθρωπίνης ζωῆς· καὶ πάντες οἱ λόγοι πρὸς ἕνα τείνουσι σκοπὸν, τὴν λογικὴν ψυχὴν διεγεῖραι πρός τε τὴν φυλακὴν τοῦ οἰκείου ἀξιώματος, καὶ πρὸς τὴν κατὰ φύσιν χρῆσιν τῶν οἰκείων ἐνεργειῶν. Καὶ εἰσὶ μὲν οἱ λόγοι σαφεῖς· οὐ χεῖρον δὲ ἴσως, κατὰ τὸ δυνατὸν διαπτύσσειν αὐτούς. Ὅ τε γὰρ γράφων, συμπαθέστερός τε ἅμα πρὸς αὐτοὺς γενήσεται καὶ τῆς ἀληθείας αὐτῶν κατανοητικώτερος· καὶ τῶν φιλομαθῶν οἱ πρὸς λόγους ἀσυνηθέστεροι, ἴσως ἕξουσί τινα χειραγωγίαν ἐκ τῆς ἑρμηνείας αὐτῶν.

Τοῦτο δὲ πρῶτον, ὅπερ εἶπον, διαρθρωτέον, πρὸς τὸν ὁποῖον ἄνθρωπον οὗτοι πεποίηνται οἱ λόγοι, καὶ πρὸς ποίας ἀνθρωπίνης ζωῆς ἀρετὴν ἀνάγουσι τὸν πειθόμενον. Οὔτε οὖν πρὸς τὸν καθαρτικῶς δυνηθέντα ζῆν· ἐκεῖνος γὰρ, ὅση δύναμις, φεύγειν ἀπὸ τοῦ σώματος βούλεται καὶ τῶν σωματικῶν παθῶν, καὶ εἰς ἑαυτὸν συννεύειν· οὔτε ἔτι μᾶλλον πρὸς τὸν θεωρητικόν· ἐκεῖνος γὰρ καὶ τὴν ἑαυτοῦ λογικὴν ζωὴν ὑπερτρέχων, ὅλος εἶναι βούλεται τῶν κρειττόνων. Ἀλλ' ἐκείνοις ἁρμόζουσι, τοῖς κατὰ τὴν λογικὴν μὲν ζωὴν οὐσιωμένοις, ὡς ὀργάνῳ δὲ χρωμένοις τῷ σώματι, καὶ μήτε μέρος τῆς ψυχῆς τὸ σῶμα νομίζουσι, μήτε αὐτὴν μέρος εἶναι τοῦ σώματος, μήτε μετὰ τοῦ σώματος συμπληροῦσαν τὸν ἄνθρωπον, ὡς ἐκ δυοῖν μερῶν συγκείμενον, τῆς τε ψυχῆς καὶ τοῦ σώματος. Οὗτος μὲν γὰρ ὁ ἄνθρωπος ὁ πολύς ἐστιν, ὁ συμπεφυρμένος τῇ γενέσει, καὶ ὑπ' αὐτῆς καταπεπονημένος, μηδὲν μᾶλλον λογικὸν ἢ ἄλογον ζῶον ὑπάρχων, καὶ διὰ τοῦτο μηδὲ κυρίως λεγόμενος ἄνθρωπος. Ὁ δὲ ὄντως ἄνθρωπος εἶναι βουλόμενος, καὶ τὴν εὐγένειαν τὴν ἑαυτοῦ προθυμούμενος ἀνακτήσασθαι, ἣν ὁ θεὸς παρὰ τὰ ἄλογα ζῶα τοῖς ἀνθρώποις ἐχαρίσατο, οὗτος φυλάσσει τὴν ἑαυτοῦ λογικὴν ψυχὴν, ὥσπερ ἔχει φύσεως, οὕτω ζῆν, ἄρχουσαν τοῦ σώματος, καὶ ὑπερανέχουσαν αὐτοῦ, καὶ οὐχ ὡς μέρει συντεταγμένῳ, ἀλλ' ὡς ὀργάνῳ χρωμένην. Καὶ τούτῳ προσή-

ces et beatos efficiunt ita, ut non necesse sit præmia virtutis post mortem eis polliceri; quamvis et hæc omnino secutura sint. Quod enim corpore brutisque adfectibus pro instrumentis utitur, id omnino naturam habet ab his diversam, et quæ post horum interitum permaneat: perspicuumque est, habere illud perfectionem, quæ sit naturæ ipsius consentanea. Sed si etiam interire animam cum corpore statuas; tamen, qui præcepta hæc observat, is perfectionem suam consecutus, suoque perfruens bono, vere felix est et beatus. Nam et corpus humanum, quamquam mortale, naturalem suam perfectionem consecutum, suo bono potitur, nec præterea quidquam desiderat.

Dictio libelli concisa est, et sententiosa, qualis præceptionum earum esse solet, quas ὑποθήκας Pythagorei vocant. Atque etiam certo ordine consentiunt illæ, et inter se ubique fere cohærent, ut in progressu operis videbimus. Quamvis enim distincta sint capita, omnia tamen ad unam artem, vitæ humanæ correctricem, referuntur: et ad unum finem præcepta omnia tendunt, ut rationis particeps animus ad suæ dignitatis conservationem et ad facultatum suarum usum eum, qui naturæ conveniens sit, excitetur. Etsi autem perspicua sint præcepta, nihil tamen fortasse nocuerit, pro virili ea explicare. Nam et interpres, dum scribit, magis eis adficietur, eorumque veritatem rectius perspiciet: et studiosis, minus adsuetis hujusmodi disputationibus, interpretatio nostra loco indicis erit, qui veluti manu eos ducat.

Principio vero id, quod dixi, est enucleandum, quem ad hominem dirigantur ista præcepta, et ad cujusnam vitæ humanæ virtutem adducant eum qui obtemperarit. Neque igitur ad eum hominem pertinent, qui repurgatam vitam vivere potest; is enim, quantum licet, a corpore corporisque adfectionibus refugit, et veluti totus in se ipsum convertitur: multoque minus ad eum, qui contemplationi est deditus; is enim, non contentus vita rationi consentanea, quantus quantus est, deorum esse collega studet. Sed illis conveniunt, qui in rationali anima essentiam suam ponentes, corpore pro instrumento utuntur; quique nec corpus animi partem, nec animum esse partem corporis, neque duabus his tamquam partibus, animo et corpore, constare hominem censent. Hic enim est vulgaris homo, demersus in materiæ sordibus, ab eaque oppressus; nihilo magis rationis particeps animal, quam brutum; ac verbo potius homo, quam re ipsa. Qui autem verus homo esse studet, et nobilitatem cupit recuperare suam, quam Deus, magna cum excellentia reliquorum animalium, ipsi donavit; is rationalem suam animam custodit, curatque ut ita vivat, ut hujus fert natura; imperans corpori, et supra illud efferens sese, eoque utens, non ut parte sibi conjuncta, sed

χουσιν αἱ ἠθικαὶ καὶ πολιτικαὶ ἀρεταί, ἐφ' ἃς οὗτοι οἱ λόγοι προτρέπουσιν.

Ἀλλ', ὅτι μὲν οὗτός ἐστιν ὁ ἀληθινὸς ἄνθρωπος, ὁ κατὰ τὴν λογικὴν ψυχὴν οὐσιωμένος, προηγουμένως μὲν ὁ τοῦ Πλάτωνος Σωκράτης ἔδειξεν, Ἀλκιβιάδῃ τῷ καλῷ, τῷ Κλεινίου, διαλεγόμενος. Ὁ δὲ [Ἐπίκτητος], ὑπόθεσιν ταύτην λαβὼν, διδάσκει τοὺς πειθομένους αὐτῷ, διὰ ποίας ζωῆς καὶ ποίων ἔργων τὸν τοιοῦτον ἄνθρωπον δυνατόν ἐστι τελεώσασθαι. Ὥσπερ γὰρ τὸ σῶμα, τὰς κατὰ φύσιν κινήσεις ἐπιτεῖνον, γυμνάζεται δι' αὐτῶν, καὶ ἐῤῥωμενέστερον ἀποδείκνυται· οὕτω καὶ ἡ ψυχὴ, διὰ τῶν κατὰ φύσιν ἐνεργειῶν, εἰς τὴν κατὰ φύσιν ἕξιν τὴν ἑαυτῆς οὐσίαν καθίστησιν. Οὐδὲν δὲ ἐμποδίζει τῇ σχολῇ τῶν λόγων, ἀλλὰ καὶ ἀναγκαῖον ἴσως ἐστὶ, τοῦτο δὴ τὸ καθ' ὑπόθεσιν ὑπὸ τοῦ Ἐπικτήτου προληφθὲν, ὅτι ὁ ἀληθῶς ἄνθρωπος ἡ λογικὴ ψυχή ἐστιν, ἡ τῷ σώματι ὡς ὀργάνῳ χρωμένη, πρὸ τῆς τῶν κατὰ μέρος ἐξηγήσεως προδιαρθρῶσαί τε καὶ προαποδεῖξαι. Καὶ γὰρ ὁ μὲν Ἐπίκτητος τὰς τῷ τοιούτῳ ἀνθρώπῳ πρεπούσας καὶ οἰκείας ἐνεργείας ὑπ' ὄψιν προτιθεὶς, γινώσκειν τε αὐτὰς ἀκριβῶς, καὶ ἐργάζεσθαι τοὺς πειθομένους αὐτῷ παρακαλεῖ καὶ ἀνακινεῖ· ἵνα δι' αὐτῶν, ὡς εἶπον, καὶ τὴν οὐσίαν τὴν ἰδίαν τελεωσώμεθα· ὅτι δὲ οὗτός ἐστιν ὁ κυρίως ἄνθρωπος, οὐκ ἀποδείκνυσιν, ἀλλ', ὅπερ εἶπον, ὡς ὑπόθεσιν λαμβάνει.

Ὁ τοίνυν Σωκράτης, λαβὼν ἐκ τῆς ἐναργείας, ὅτι ὁ ἄνθρωπος, ὥσπερ τῇ σμίλῃ, οὕτω καὶ τῇ χειρὶ χρῆται πρὸς τὴν ἐργασίαν· καὶ προσλαβὼν, ὅτι τὸ χρώμενον ἄλλο ἐστὶ, καὶ τὸ ᾧ χρῆται ἄλλο, ὡς ὄργανον· συνήγαγεν, ὅτι ἄνθρωπός ἐστι τὸ τῷ σώματι χρώμενον ὡς ὀργάνῳ. Χρῆται δὲ τῷ σώματι ὡς ὀργάνῳ, ἔν τε ταῖς τέχναις, καὶ ταῖς ἄλλαις ἐργασίαις, οὐκ ἄλλο τι ἢ ἡ λογικὴ ψυχή. Εἶτα πάλιν λαβὼν ἐκ τῶν εἰρημένων, ὅτι τὸ χρώμενον τῷ σώματι, καὶ ἄρχει πανταχοῦ ἐκείνου ᾧ χρῆται, ἐκ διαιρέσεως ἐρωτᾷ τὸν λόγον· λέγων, ὅτι ἀνάγκη, τὸν ἄνθρωπον ἢ τὴν ψυχὴν εἶναι, ἢ τὸ σῶμα, ἢ τὸ συναμφότερον. Εἰ οὖν ὁ μὲν ἄνθρωπος ἄρχει τοῦ σώματος, τὸ δὲ σῶμα ἑαυτοῦ οὐκ ἄρχει, δῆλον, ὅτι οὐκ ἔστιν ὁ ἄνθρωπος τὸ σῶμα. Ἀλλ' οὐδὲ τὸ συναμφότερον, διὰ τὴν αὐτὴν αἰτίαν· εἰ γὰρ ὁ ἄνθρωπος ὁ ἄρχων τοῦ σώματός ἐστι, μὴ ἄρχοντος τοῦ σώματος, οὐδὲ τὸ συναμφότερον ἂν εἴη τὸ ἄρχον. Ὅλως δὲ, εἰ τὸ μὲν σῶμα καθ' αὑτὸ ἀκίνητον καὶ νεκρόν ἐστιν, ἡ δὲ ψυχὴ τὸ κινοῦν ἐστιν· ὁρῶμεν δὲ καὶ ἐπὶ τῶν τεχνῶν, ὅτι κινεῖ μὲν ὁ τεχνίτης, κινεῖται δὲ τὰ ὄργανα τῆς τέχνης· δῆλον, ὅτι ὀργάνου τάξιν ἔχει τὸ σῶμα πρὸς τὴν ψυχήν. Αὕτη οὖν ἐστιν ὁ ἄνθρωπος· καὶ ὁ βουλόμενος ἀνθρώπου ἐπιμελεῖσθαι, τῆς ψυχῆς ἐπιμελείσθω τῆς λογικῆς, καὶ περὶ τὰ οἰκεῖα αὐτῆς ἀγαθὰ διατριβέτω. Ὁ γὰρ τοῦ σώματος ἐπιμελούμενος, οὐκ ἀνθρώπου, οὐδὲ τῶν ὄντως ἡμῶν ἐπιμελεῖται, ἀλλὰ τοῦ ὀργάνου. Ὁ δὲ περὶ χρήματα καὶ τὰ τοιαῦτα σπουδάζων, οὔτε ἀνθρώπου ἐπιμελεῖται, οὔτε ἀνθρώπου ὀργάνου, ἀλλὰ τῶν τοῦ ὀργάνου.

ut instrumento : et ad hunc pertinent virtutes morales ac civiles, ad quas præcepta hæc cohortantur.

Esse autem hunc verum hominem, cujus natura essentiaque in anima insit ratione prædita, inprimis quidem et ex professo ostendit Platonis Socrates, disputans cum Alcibiade illo pulcro, Cliniæ filio. Epictetus vero, argumentum illud pro concesso sumens, docet hos qui ipsi parent, quanam vitæ ratione, quibusve factis homo talis perfectionem suam consequi possit. Ut enim corpus naturalibus motionibus intendendis exercetur corroboraturque; ita etiam animus, per actiones secundum naturam institutas, ad statum habitumque naturæ congruentem sese perducit. Sed explicationi horum præceptorum non obstabit, puto, quin potius necessarium esse videtur, ut, priusquam singulas partes interpretari adgrediamur, principio id quod Epictetus pro concesso sumsit, *hominem vere nominatum, esse animum rationis participem, qui corpore tamquam instrumento utatur,* enucleemus demonstremusque. Nam Epictetus quidem, convenientibus ac propriis tali homini actionibus ob oculos positis, hortatur et stimulat suos sectatores ad illas cum adcurate cognoscendas, tum exsequendas; ut per eas, quemadmodum dixi, naturam nostram perficiamus : at, esse illum verum hominem, non demonstrat, sed pro concesso, ut modo aiebam, sumit.

Socrates igitur, ex ipsa evidentia hoc sumto, *hominem; ut scalpro, ita manu etiam uti ad opus faciendum;* deinde illo adjuncto, *alium esse utentem, et aliud id quo ille utatur,* nempe instrumentum; colligit, HOMINEM esse, *qui corpore utatur pro instrumento.* Utitur autem corpore pro instrumento; cum in artibus, tum in aliis actionibus, nihil aliud nisi *animus rationis particeps.* Deinde rursus ex eis, quæ dicta sunt, sumens, *id quod utatur corpore, omnino etiam imperare ei quo utatur,* tripartita utitur argumentatione, dicens, *hominem necessario vel animum esse, vel corpus, vel utrumque. Quod si igitur homo corpori imperet, ipsum vero corpus sibi non imperet; colligi, hominem corpus non esse. At ne utrumque quidem simul,* eadem de caussa : *nam, si homo est,* inquit, *corpori qui imperet, corpus autem sibi ipsum non imperet; non utrumque simul id erit quod imperet. Omnino vero, si corpus per sese immobile ac mortuum est, animus vero est qui moveat; et in artibus quoque si videmus, artificem esse qui moveat, instrumenta vero artis quæ moveantur; perspicuum est, instrumenti vice esse corpus, animi respectu. Animus igitur est homo :* et qui *hominem* curare voluerit, *animum* curet oportebit rationis participem, et in propriis ejus bonis versetur. Nam, qui *corpus* curat, non *hominem* curat, nec id quod vere *nos* sumus; sed *instrumentum* curat. Qui vero pecuniæ aliisque id genus rebus studet, is nec hominem curat, nec hominis instrumentum; sed ea quæ ipsi instrumento serviunt.

ΕΞΗΓΗΣΙΣ.

[IN CAP. I, § 1.] Ἐφ' ἡμῖν ἐκεῖνα λέγει, ὧν κύριοί ἐσμεν, καὶ ὧν τὴν ἐξουσίαν ἔχομεν. Ταῦτα [γὰρ] καὶ ἐπ' αὐτῷ ἑκάστῳ λέγομεν, ἃ μὴ παρ' ἄλλου ἔχει, μηδὲ ὑπ' ἄλλου τινὸς ἐμποδίζεσθαι δύναται. Τοιαῦτα δέ ἐστι τὰ κινήματα τῆς ψυχῆς, τὰ ἔνδοθεν ὑπ' αὐτῆς κατὰ τὴν αὐτῆς κρίσιν καὶ αἵρεσιν γινόμενα. Οὐ γὰρ δυνατὸν, ἔξω κινεῖσθαι τὴν αἵρεσιν· ἀλλὰ κἂν τὸ αἱρετὸν ἔξωθεν ᾖ, ἡ αἵρεσις αὐτὴ, καὶ ἡ ἐπὶ τὸ αἱρετὸν κίνησις, ἔνδοθέν ἐστι. Τοιοῦτον δέ ἐστι, τὸ τοιάνδε ἢ τοιάνδε ὑπόληψιν ἔχειν περὶ τῶν πραγμάτων· οἷον, ὅτι ὁ πλοῦτος ἢ ὁ θάνατος, ἤ τι τῶν ἄλλων, ἀγαθὸν ἢ κακὸν ἢ ἀδιάφορόν ἐστι. Κἂν γὰρ ἄλλου τινὸς ἀκούσαντες δοξάσωμεν ἢ οὕτως ἢ οὕτως περὶ αὐτοῦ, δοξάσωμεν δὲ ὅλως, καὶ μὴ, ὡς οἱ διδακτοὶ ὄρνιθες τὸ κονδῖτον πίω λέγουσι, τί λέγουσιν οὐκ εἰδότες, οὕτω καὶ ἡμεῖς λέγωμεν· ἡ δόξα αὕτη καὶ ἡ ὑπόληψις, ἡμέτερόν ἐστι κίνημα, ἠρεθισμένον ἔξωθεν ἐνίοτε, καὶ προκληθὲν ὑπὸ τοῦ διδάσκοντος, οὐ μέντοι ἐντεθὲν ὑπ' αὐτοῦ. Τοιοῦτον δέ ἐστι καὶ ἡ ἐπί τι ὁρμὴ, ἔνδοθεν οὖσα καὶ αὕτη. Κἂν γὰρ ἐκεῖνο, ἐφ' ὃ ὁρμῶμεν, ἔξωθεν ᾖ, κἂν ἀφορμή τις γίνηται τῇ ὁρμῇ, ἀλλ' αὐτή γε ἡ ὁρμὴ ἔνδοθέν ἐστιν ὅλη· οὐχ ὡς οἱ κατὰ ὠθισμὸν ἑτεροκινήτως κινούμενοι ἔξωθεν ἔχουσι τὴν ἑαυτῶν κίνησιν, ἀλλὰ μᾶλλον ὡς οἱ κατὰ τὴν ἑαυτῶν ζωὴν διεγειρόμενοι. Καὶ ἡ ὄρεξις δὲ τοιοῦτόν ἐστιν, ἔκτασις οὖσα τῆς ψυχῆς ἐπὶ τὸ ὀρεκτόν· καὶ ἡ ἔκκλισις ἐναντία τῇ ὀρέξει, ἀποστροφὴ καὶ φυγὴ οὖσα ἀπὸ τοῦ ἐκκλιτοῦ.

Δῆλον δὲ, ὅτι προηγεῖται μὲν ἡ ὑπόληψις, καὶ λογική τις οὖσα γνῶσις, καὶ ἀνθρώπῳ πρέπουσα. Ὅταν δὲ περὶ κακοῦ ἢ ἀγαθοῦ ἡμετέρου, ὄντος, ἢ δοκοῦντος, ἡ ὑπόληψις ᾖ, ἀνακινεῖται πάντως ἔκκλισις ἢ ὄρεξις, ἐπακολουθεῖ δὲ ἡ ὁρμή. Ὀρεχθῆναι γὰρ δεῖ πρῶτον ἢ ἀπαρεσθῆναι, καὶ οὕτως ὁρμῆσαι προσελθεῖν τῷ ὀρεκτῷ, ἢ ἀποστραφῆναι τὸ ἐκκλιτὸν, ὅπερ ἐναντίον ἐστὶ τῷ ὀρεκτῷ. Οἱ μέντοι Στωϊκοὶ τὴν ὁρμὴν καὶ ἀφορμὴν προετίθεσαν [τῆς τε ὀρέξεως καὶ] τῆς ἐκκλίσεως, τὰ πρὸ τῆς ὀρέξεως καὶ ἐκκλίσεως κινήματα τῆς ψυχῆς θεασάμενοι.

Ἀλλ' αἱ μὲν ἄλογοι ὀρέξεις, τοῦτ' ἔστι, θυμὸς, καὶ ἐπιθυμία, προσεχεῖς οὖσαι τοῖς σώμασι, καὶ ζωαὶ τῶν σωμάτων οὖσαι, ὡς δοκεῖν ἀπὸ τῆς κράσεως τῶν σωμάτων ἀναβλαστάνειν, πολὺ τὸ ἑτεροκίνητον ἔχουσι· καὶ οὐκ ἔτι αὐτεξούσιοι ἁπλῶς, οὐδὲ ἐπὶ τοῖς ὀρεγομένοις κυρίως εἰσὶ, κἂν ἔνδοθεν καὶ αὗται κινῶνται. Καὶ ἡ λογικὴ δὲ ψυχὴ, ὅταν μὲν ἑαυτὴν ἐνδῷ τοῖς σώμασι καὶ τοῖς ἀλόγοις καὶ τοῖς σωματικοῖς κινήμασι, καὶ αὐτὴ νευροσπαστεῖται, καὶ ὠθεῖται, καὶ οὐκ ἔτι εὔλυτα ἐφ' ἑαυτῇ ἔχει τὰ κινήματα. Ὅταν δὲ κατὰ τὴν ἑαυτῆς φύσιν καὶ ἐνέργειαν ἐνεργῇ, τότε ἐλευθέρως καὶ αὐτεξουσίως ἔνδοθεν ἀφ' ἑαυτῆς κινεῖται· καὶ ἐπὶ ταύτης τὸ ἐφ' ἡμῖν ὁρᾶται καὶ ἀναμφίλεκτον. Ἵνα δὲ καὶ ἀκριβέστερον καταμάθωμεν, καὶ τί ἐστι τὸ ἐφ'

COMMENTARIUS.

Penes nos, vel *in nobis sita*, ea dicit, quorum domini sumus, et quæ *in nostra potestate* habemus. Nam et quæ quis non ab alio habet, et quæ ab alio nemine impediri possunt, ea *penes ipsum* esse dicimus. Cujusmodi sunt motus animorum, qui intrinsecus suo cujusque judicio et arbitratu cientur. Voluntas enim extrinsecus moveri non potest : quamvis enim id, quod expetitur, extrinsecus est; ipse tamen motus ad illud, intrinsecus est. Hujus igitur generis est, talem aut talem *opinionem* de rebus *susceptam* habere; veluti, divitias, aut mortem, aut aliud quid, bonum esse, aut malum, aut indifferens. Nam quamvis, ab aliis edocti, sic aut aliter de re quapiam opinemur; tamen, si modo opinemur, nec, quemadmodum aves verba illa *conditum bibo*, prout edocti sunt, garriunt, ipsi quid dicant nescientes, sic et nos loquamur, *opinio* ista atque *sententia* noster motus est, excitatus quidem nonnumquam extrinsecus, et provocatus ab aliquo docente, nec tamen ab eodem nobis insertus. Ejusdem generis est etiam *impetus*, quem *ad agendum* capimus. Quamvis enim id, ad quod capimus impetum, extrinsecus sit, et quamvis per occasionem rei extrinsecus oblatæ ortum capiat impetus; ipse tamen totus intrinsecus est : capimus enim illum, non ut hi, qui vi externa pulsi causam motus sui extra se habent, sed ut qui suapte vi intrinsecus moventur. Est porro ejusdem generis *adpetitio*, quasi quædam animi extensio ad id quod adpetitur : et *declinatio*, adpetitioni contraria, quasi aversio et fuga ab eo quod declinatur.

Manifestum est autem, antecedere opinionem; quæ etiam esse potest cognitio rationi consentanea, et digna homine. Quæ si versatur circa bonum aut malum nostrum, sive adparens illud, sive verum; movetur omnino declinatio aut adpetitio, sequitur vero impetus. Nam adpetere prius, aut aversari oportet, quam impetum capias, quo accedas ad rem desideratam, aut fugias id quod aversaris, quod contrarium est ei quod desideras. Sed Stoici quidem impetum, et motum huic contrarium, quem ἀφορμὴν vocant, præposuerunt adpetitioni et declinationi; motus illos animi spectantes, qui adpetitionem et declinationem præcedunt.

At adpetitiones rationis expertes, id est, ira et cupiditas, quæ corporibus contiguæ, et vires quædam ac motus animales corporum sunt, ut ex corporum temperie enasci videantur, multum illæ habent alieni motus : neque prorsus voluntariæ et sui juris sunt, nec plane in potestate eorum, qui iis commoventur, licet et ipsæ intrinsecus cieantur. Atque etiam ipse particeps rationis animus, cum sese corpori dedidit et brutis corporeisque motibus, veluti nervis quibusdam trahitur impelliturque, neque jam motus suos ita expeditos habet et solutos. Idem vero cum secundum suam naturam vimque sibi propriam agit, tum quidem libere ac sua sponte intrinsecus a se ipse movetur. Ac in tali animo id, quod *penes nos* et in nostra potestate est, citra controversiam cernitur. Quo vero adcuratius cognoscamus, quidnam sit, et quibus in rebus insit hoc, quod

ἡμῖν τοῦτο, καὶ ἔν τίσι τῶν ὄντων ἐστὶ, καὶ ὅτι ῥίζα καὶ ἀρχὴ τοῦτο πάσης εὐζωίας καὶ κακοζωίας τοῖς ἀνθρώποις ἐστὶν, ἄνωθέν ποθεν ἀρξάμενοι λέγωμεν.

Πάντων τῶν ὄντων πηγὴ καὶ ἀρχὴ τὸ Ἀγαθόν ἐστιν. Οὗ γὰρ πάντα ἐφίεται, καὶ εἰς ὃ πάντα ἀνατείνεται, τοῦτο πάντων ἀρχὴ καὶ τέλος ἐστί. Καὶ ἀφ' ἑαυτοῦ τὸ Ἀγαθὸν πάντα παράγει, τά τε πρῶτα, καὶ τὰ μέσα, καὶ τὰ ἔσχατα. Ἀλλὰ τὰ μὲν πρῶτα, καὶ ἑαυτῷ προσεχῆ, ὅμοια ἑαυτῷ παράγει· μία ἀγαθότης, πολλὰς ἀγαθότητας· καὶ μία ἁπλότης, καὶ ἑνὰς ἡ ὑπὲρ πάσας, πολλὰς ἑνάδας· καὶ μία ἀρχὴ, πολλὰς ἀρχάς. Ταὐτὸν γάρ ἐστιν ἕν, καὶ ἀρχὴ, καὶ ἀγαθὸν, καὶ Θεός. Καὶ γὰρ Θεὸς μὲν τὸ πρῶτον, καὶ πάντων αἴτιον. Ἀνάγκη δὲ, τὸ πρῶτον, καὶ ἁπλούστατον εἶναι· ὅτι τὸ σύνθεσιν ὁποιανοῦν ἔχον καὶ πλῆθος, δεύτερόν ἐστι τοῦ ἑνός· καὶ τὸ πλῆθος, καὶ τὰ μὴ ἀγαθὰ, τοῦ ἀγαθοῦ ἐφίεται, ὡς ὑπὲρ αὐτὰ ὄντος· καὶ τὸ μὴ ὂν αὐτὸ ἀρχὴ, ἀπ' ἀρχῆς ἐστι πάντως. Ἀνάγκη δὲ, καὶ δύναμιν ἔχειν τὴν ἀκροτάτην καὶ πᾶσαν. Δυνάμεως δὲ περιουσία ἐστὶ, τὸ, πάντα παράγουσαν ἀφ' ἑαυτῆς, τὰ ὅμοια πρὸ τῶν ἀνομοίων παράγειν. Διὸ πολλὰς ἀρχὰς ἡ μία ἀρχὴ, καὶ πολλὰς ἁπλότητας, καὶ πολλὰς ἀγαθότητας παράγει προσεχῶς ἀφ' ἑαυτῆς. Τὰ γὰρ ὄντα πάντα, διαφορὰς ἔχοντα πρὸς ἄλληλα, καὶ πεπληθυσμένα ταῖς οἰκείαις διαφοραῖς, εἰς μίαν ἕκαστα ἀρχὴν οἰκείαν ἀνάγεται. Οἷον, τὰ καλὰ πάντα, ὅσα τε, καὶ ἐν οἷς ἐστι, καὶ ἐν ψυχαῖς, καὶ ἐν σώμασιν, εἰς μίαν ἀνάγεται κάλλους πηγήν. Οὕτω δὲ καὶ τὰ σύμμετρα πάντα, καὶ τὰ ἀληθῆ πάντα. Καὶ αἱ ἀρχαὶ πᾶσαι ὁμοφυεῖς πως εἰσὶ τῇ πρώτῃ, καθ' ὃ ἀρχαὶ καὶ πηγαὶ καὶ ἀγαθότητες, μετὰ τῆς προσηκούσης ὑφέσεως καὶ ἀναλογίας. Ὅπερ γάρ ἐστιν ἡ μία ἀρχὴ πρὸς πάντα τὰ ὄντα, τοῦτο ἑκάστη πρὸς τὸ πλῆθος τὸ περιεχόμενον ὑπὸ τῆς κατ' αὐτὴν ἰδιότητος. Οὐ γὰρ ἦν δυνατὸν, μὴ καὶ ἕκαστον πλῆθος, κατὰ διαφοράν τινα ἀφωρισμένον, εἰς οἰκείαν ἀρχὴν ἀνατείνεσθαι, τὴν πᾶσι τὸ ἓν καὶ ταὐτὸν εἶδος ἐπιλάμπουσαν. Παντὸς γὰρ πλήθους ἡγεῖται τὸ ἕν, καὶ πᾶσα ἐν πολλοῖς ἰδιότης ἀφ' ἑνὸς εἰς τὰ πολλὰ παραγίνεται.

Πᾶσαι οὖν αἱ μερικαὶ ἀρχαὶ ἐνίδρυνται τῇ ὅλῃ, καὶ ὑπ' αὐτῆς οὐ διαστηματικῶς οὐδὲ πληθυντικῶς περιέχονται, ἀλλ' ὡς ἐν τῷ ὅλῳ τὰ μέρη, καὶ ὡς ἐν τῷ ἑνὶ τὸ πλῆθος, καὶ ἐν τῇ μονάδι ὁ ἀριθμός. Πάντα γάρ ἐστιν ἐκεῖνο, πρὸ πάντων· καὶ περὶ τὴν μίαν ἀρχὴν αἱ πολλαὶ ἀρχαὶ πληθύονται, καὶ ἐν τῇ μιᾷ ἀγαθότητι αἱ πολλαὶ ἀγαθότητες ἐνίδρυνται. Καὶ ἔστιν ἐκεῖνο, οὔ τις ἀρχὴ, ὥσπερ ἑκάστη τῶν ἄλλων· ἡ μὲν, καλοῦ· ἡ δὲ, ἀληθείας· ἡ δὲ, συμμετρίας, ἢ ἄλλου τινός· ἀλλ' ἁπλῶς Ἀρχή· καὶ οὐ τῶν ὄντων ἁπλῶς ἀρχὴ, ἀλλ' Ἀρχὴ ἀρχῶν. Δεῖ γὰρ καὶ τὸ ἀρχικὸν ἰδίωμα, ὥσπερ τὰ ἄλλα, μὴ ἀπὸ πλήθους ἄρχεσθαι, ἀλλ' εἰς μίαν μονάδα συγκορυφοῦσθαι, τὴν Ἀρχὴν τῶν ἀρχῶν.

Τὰ μὲν οὖν πρῶτα τῶν ὑπὸ τοῦ πρώτου Ἀγαθοῦ παραγομένων, διὰ τὸ πρὸς αὐτὸ ὁμοφυὲς, οὐκ ἐξέστη τοῦ

penes nos esse dicimus, utque radicem atque principium id esse hominibus bene beateque vivendi, aut contra, intelligatur; paulo altius rem repetamus.

Omnium rerum principium atque fons, Bonum est. Quod enim ab omnibus adpetitur, et quo referuntur omnia, id omnium rerum et principium et finis est. Et producit ex se Bonum bona omnia, et prima, et media, et extrema. Ac prima quidem, sibique contigua, similia producit sibi ipsi : una Bonitas, multas bonitates; et una Simplicitas Unitasque, omnes alias superans, multas unitates; unumque Principium, multa principia. Est enim idem, Unum, et Principium, et Bonum, et Deus. Deus enim princeps est, et caussa rerum omnium. Quod autem Primum est, id etiam esse simplicissimum oportet. Nam quidquid compositum est et multiplex, id, utcumque sit compositum, est uno posterius : et multitudo, et ea quæ bona non sunt, Bonum adpetunt, ut se ipsis excellentius : quodque non ipsum est Principium, id omnino a principio ortum est. Necesse vero est etiam, ut id quod Primum est et simplicissimum, vim quoque summam et universam habeat. Amplitudo autem illa et excellentia virium in eo sita est, ut, cum omnia producat a se ipso, similia sui prius producat, quam dissimilia. Quapropter unum illud Principium multa principia, multas simplicitates, multas bonitates, sibi proxime contiguas, a se ipso producit. Res enim omnes, cum inter se differant, suisque differentiis sint multiplicatæ, singulæ ad unum principium sibi proprium referuntur. Veluti, pulcra omnia, quæcumque et ubicumque sunt, sive in corporibus, sive in animis, ad unum referuntur Pulcritudinis fontem. Sic etiam omnia congruentia, et vera omnia. Et principia omnia, quatenus principia et fontes et bonitates sunt, ejusdem sunt naturæ atque primum Principium, cum diminutione tamen et proportione consentanea. Quam enim rationem habet unum illud Principium ad res omnes, eamdem habet unumquodque principium ad eam multitudinem, quæ sub ipsius proprietate continetur. Neque aliter fieri poterat, quin unaquæque multitudo, discrimine aliquo separata, ad principium sibi proprium tenderet, a quo omnibus sub ipso comprehensis una eademque forma adfulgeret. Omnem enim multitudinem antecedit unum : et omnis proprietas, quæ multis rebus inest, ab uno ad multa illa porrigitur.

Igitur omnia particularia principia in illo universo Principio consistunt, illoque continentur : non ita quidem, ut loco numeroque discreta insint illi; sed quemadmodum toto continentur partes, et quemadmodum uno continetur multitudo, et unitate numerus. Est enim illud, omnia, ante omnia : et circa unum Principium multa ista principia multiplicantur; et in una Bonitate multæ istæ bonitates consistunt. Est quippe illud non aliquod principium, quemadmodum quodque reliquorum, aliud pulcri principium, aliud veri, aliud congruentiæ, aut alterius cujusdam rei; sed nude et simpliciter Principium : nec simpliciter principium eorum quæ sunt, sed Principium principiorum. Oportet enim Principii proprietatem, sicut alia omnia, non a multitudine incipere, sed in unam Unitatem, veluti communem verticem, coire, nempe in Principium principiorum.

Jam quæ prima a primo Bono producta sunt, ea, quoniam ejusdem cum illo naturæ sunt, a bonitate non defecerunt ;

εἶναι ἀγαθά· ἀκίνητα ὄντα, καὶ ἀμετάβλητα, καὶ ἐν τῇ αὐτῇ ἀεὶ μακαριότητι ἱδρυμένα, οὐχ ἐνδεῆ τοῦ ἀγαθοῦ, ὅτι αὐτοαγαθότητές εἰσι. Τὰ δὲ ἄλλα πάντα, ὑπὸ τοῦ ἀγαθοῦ τοῦ ἑνὸς καὶ τῶν πολλῶν ἀγαθοτήτων παραχθέντα, ἀποστάντα τοῦ εἶναι αὐτοαγαθὰ καὶ ἀκινήτως ἐνιδρῦσθαι ἐν τῇ ὑπάρξει τῆς θείας ἀγαθότητος, κατὰ μέθεξιν ἔχει τὸ ἀγαθόν. Ἀλλὰ τὰ μὲν ἔσχατα καὶ ἑτεροκίνητα, οἷον τὰ σώματα, ὥσπερ καὶ τὴν οὐσίαν καὶ τὴν κίνησιν ἔξωθεν ἔχει, οὔτε ὑφιστάνειν ἑαυτὰ δυνάμενα, διὰ τὸ μεριστὰ καὶ ἄστατα ὄντα μὴ δύνασθαι ὅλα δι' ὅλων ἑαυτοῖς ἐφαρμόττειν, ἵνα καὶ ὅλου ἕκαστον ὅλον ἑαυτοῦ αἴτιον ᾖ, οὔτε κινεῖν ἑαυτὰ, διὰ τὸ νεκρὰ εἶναι καθ' αὑτὰ καὶ ἀπνεύμονα· οὕτω καὶ τὸ ἀγαθὸν ἔξωθεν ἔχει. Τὰ δὲ μέσα, ἀπὸ μὲν τῆς ἀκινήτου φύσεως, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης, ὑπέβη· τῶν δὲ ἐσχάτων καὶ ἑτεροκινήτων ὑπερέχοντα, κινεῖται μὲν, ὑφ' ἑαυτῶν δὲ κινεῖται, καὶ οὐχ ἀπ' ἄλλων ἔξωθέν τινων, ὥσπερ τὰ σώματα. Τοιαῦται δέ εἰσιν αἱ ψυχαὶ, ἑαυτάς τε κινοῦσαι καὶ τὰ σώματα. Καὶ διὰ τοῦτο τὰ ἔνδοθεν κινούμενα σώματα, ἔμψυχα λέγομεν· τὰ δὲ ἔξωθεν μόνως, ἄψυχα.

Ἡ οὖν ψυχὴ, ὑφ' ἑαυτῆς κινουμένη, κινεῖ καὶ τὰ σώματα. Εἰ γὰρ ὑφ' ἑτέρου τινὸς ἔξωθεν κινουμένη, ἐκίνει τὸ σῶμα· ὑπ' ἐκείνου κυρίως ἂν ἦν τὸ σῶμα κινούμενον, τοῦ τὴν ψυχὴν κινοῦντος. Αὕτη οὖν ἡ αὐτοκίνητος οὐσία, ἅτε ὑποβᾶσα τοῦ ἀκινήτου, καὶ κατὰ μέθεξιν ἀγαθυνομένη, κινεῖται μὲν ἐπὶ τὸ ἀγαθὸν, ἀλλ' ἀφ' ἑαυτῆς κινεῖται, καὶ οὐχ ἀπ' ἄλλου, ἐφιεμένη τε αὐτοῦ καὶ κατορεγομένη. Καὶ εἰσὶν αὐτῶν ἴδιαι κινήσεις αὗται, ἥ τε ἔφεσις, καὶ ὄρεξις, καὶ ὁρμὴ, καὶ αἵρεσις. Ἀλλ' αἱ μὲν πρῶται τῶν ψυχῶν, ἅτε προσεχῶς ὑπὸ τῶν αὐτοαγαθῶν παραχθεῖσαι· κἂν ἔσχον τι πρὸς ἐκεῖνα ὑφειμένον, διὰ τὸ μὴ εἶναι ἀγαθότητες, ἀλλ' ὀρέγεσθαι τοῦ ἀγαθοῦ· πλὴν, ὡς συγγενεῖς πρὸς αὐτὸ, συμφυῶς τε αὐτοῦ καὶ ἀναποσπάστως ὀρέγονται, καὶ τὴν αἵρεσιν μονοειδῶς πρὸς ἐκεῖνο τεταμένην ἔχουσιν, οὐδέποτε ἀποκλίνουσαι πρὸς τὸ χεῖρον. Καὶ εἴπερ ἡ προαίρεσις ἄλλου ἀντ' ἄλλου τινός ἐστιν αἵρεσις, τάχα οὐκ ἂν εἴη προαίρεσις ἐν ἐκείνοις· εἰ μή τις αὐτὴν προαίρεσιν, ὡς τὰ πρῶτα ἀγαθὰ αἱρουμένην, καλοῖ. Αἱ δὲ τῶν ἀνθρώπων ψυχαὶ, πρὸς σύνδεσμον ὑποστᾶσαι τῶν τε ἀεὶ ἄνω καὶ τῶν ἀεὶ κάτω μενόντων, καὶ διὰ τοῦτο πεφυκυῖαι καὶ πρὸς ἐκεῖνα ἐπιστρέφεσθαι καὶ πρὸς ταῦτα· ὅταν μὲν πρὸς ἐκεῖνα νεύωσιν ὅλαι, ἁπλᾶς ἔχουσι καὶ ἀναντιθέτους τὰς ὀρέξεις καὶ αἱρέσεις αὐτῶν. Ὅταν δὲ ἀδυνατήσωσι πρὸς τὴν ἄνω στροφὴν, διὰ τὸ κατὰ τὴν πρὸς τὸ κάτω ἐθέλειν ἐνεργεῖν, κατ' οὐσίαν καὶ αὐτὴν ἐνυπάρχουσαν αὐτῇ πρὸς ψύχωσίν τε καὶ κίνησιν τῶν καθ' αὑτὰ ἀψύχων τε καὶ ἑτεροκινήτων σωμάτων, καὶ πρὸς διακόσμησιν τῶν ἑτεροκινήτως πεφυκότων τοῦ ἀγαθοῦ μετέχειν, ἥτις τῇ ἑαυτῆς κινήσει κινεῖ τὰ ἑτεροκίνητα· τότε οὖν τοῖς γινομένοις καὶ φθειρομένοις καὶ πρὸς τὴν τοῦ ἀγαθοῦ στέρησιν ὑποφερομένοις συνοῦσα, καὶ ἐνδιδοῦσα ἑαυτὴν ἐκείνοις, οὐχ

sunt enim immobilia et immutabilia, et in eadem semper beatitate collocata, non indiga boni, quia ipsa per se bonitates sunt. Cætera autem omnia, ab uno bono et multis bonitatibus producta, cum hoc non habeant, ut per se bona sint et in divinæ bonitatis substantia immutabiliter consistant, participatione habent bonum. Sed extrema quidem, et quæ aliunde moventur, veluti corpora; sicut et essentiam et motum extrinsecus habent, nec se ipsa constituere possunt, propterea quod, cum divisibilia et instabilia sint, non possunt tota per totum sibi ipsis consentire, ut unumquodque etiam totum sui totius caussa sit; neque movere sese possunt, quia per se mortua sunt et expertia spiritus: sic et bonum suum extrinsecus habent. Media vero inferiora quidem sunt naturis immobilibus semperque eodem modo sese habentibus, sed superiora extremis quæ aliunde moventur: et moventur illa quidem, sed a se ipsis moventur, non ab aliis rebus externis, quemadmodum corpora. Hujusmodi sunt animi, qui et se ipsos et corpora movent: eamque ob caussam corpora, quæ intrinsecus moventur, animata vocamus; quæ vero extrinsecus solum, inanimata.

Animus igitur, a se ipse commotus, corpora etiam movet. Quodsi enim ab alio quodam extrinsecus commotus moveret corpus, ab isto proprie moveretur corpus, a quo animus commotus esset. Hæc igitur natura, quæ interno motu sibique proprio cietur, inferior quidem naturis immobilibus, et bonum nonnisi participatione accipiens, movetur illa quidem ad bonum, sed suapte vi movetur, non aliena, cum illud desiderat adpetitque. Et sunt animorum proprii motus hi: desiderium, adpetitio, impetus, voluntas. Ac principes quidem animi, utpote proxime ab iis quæ per se bona sunt producti; etsi nonnihil his inferiores, quia bonitates non sunt, sed adpetunt bonum; tamen, ut bono cognati, sua natura et indivulse illud adpetunt, et voluntatem uniformiter ad illud intentam habent, numquam ad deterius declinantes. Et, si deliberata voluntas (quam προαίρεσιν Græci, veluti *præelectionem*, vocant) est unius rei electio præ altera; non erit fortasse in his deliberata voluntas sive προαίρεσις, nisi quis voluntatem eorum hoc ipso προαίρεσιν adpellaverit, quod primaria bona seligat. Sed hominum animi, veluti vinculum constituti quo jungantur ea quæ semper supra, et quæ semper infra manent, eaque præditi natura, ut et ad illa et ad hæc convertere sese possint; si ad superna illa toti inclinant, simplices habent et nulli oppositioni obnoxias adpetitiones voluntatesque. Quodsi vero sursum niti non possunt, eo quod pro illo nisu agere volunt, qui ad inferiora tendit; qui quidem nisus et ipse natura insitus est illis, quo animent moveantque corpora per se inanima, nec nisi alieno pulsu mobilia, et quo gubernent ea quæ non nisi alieno motu boni aliquid consequi possint: (etenim suo motu animus hominis movet ea quæ aliunde cientur:) tunc igitur animus, iis rebus adfixus deditusque quæ oriuntur et intereunt et ad boni privationem prolabuntur, voluntatem suam non amplius ab

ἔτι ἀναντίθετον ἔχει τὴν ἑαυτῆς αἵρεσιν· ἀλλ' ἀεὶ μὲν πρὸς τὸ αἱρετὸν καὶ ἀγαθὸν φερομένην, τὸ δὲ ἀγαθὸν, ἢ ὄντως ἀγαθὸν ὑπάρχον, ἢ ὡς ἀγαθὸν ἐξαπατῶν καὶ δελεάζον, διά τινα συνοῦσαν αὐτῷ ἡδονήν. Ἐπειδὴ γὰρ τῷ ἀληθινῷ ἀγαθῷ σύνεστιν ἡ ἀληθινὴ ἡδονὴ, ὅπου ἂν ἡδονῆς αἴσθηται σκιαγραφίας, μὴ κρίνουσα αὐτὴν ὁποία τις ἐστὶ, πότερον ἀληθὴς καὶ τῷ ἀληθινῷ ἀγαθῷ συγγενὴς, ἢ ἀπατηλὴ καὶ σκιὰ ἀγαθοῦ ψευδώνυμος, ἐπιτρέχει ὡς πρὸς τὸ ἀγαθὸν, οὐκ ἐφιστάνουσα ὅτι πολλαπλάσιον ἔχει τὸ λυπηρόν· προηγούμενόν τε πάντως· οὐ γὰρ ἥδεται ἐσθίων ὁ μὴ πρότερον ὑπὸ πείνης λυπηθεὶς, οὐδὲ πίνων ἥδεται ὁ μὴ διψήσας. Καὶ σύνεστι δὲ πάντως τῇ ἡδονῇ ἡ λύπη. Τοιγαροῦν ἐὰν μεταξὺ στήσῃς τὸν ἐν τῷ πίνειν ἡδόμενον, ἔτι ἐνοῦσαν ὄψει τὴν δίψαν. Καὶ ἕως τότε ἐστὶν ἡ ἡδονὴ, ἕως ἂν ἡ λύπη συνυπάρχῃ· παυσαμένης γὰρ τῆς πείνης, ἢ δίψης, ἢ ῥίγους, ἢ τινος τῶν τοιούτων, οὐκ ἔτι ἡδέα, ἀλλὰ προσκορῆ φαίνεται τὰ ἐναντία. Καὶ ἕπεται δὲ ὡς ἐπίπαν λύπη τοῖς δι' ἡδονὴν εἰς ἀμετρίαν ὑποφερομένοις.

Διὰ τὴν αἵρεσιν δὲ τοῦ ἡδέος ἀγαθοῦ πάντα ἡμῖν γίνεται τὰ ἁμαρτήματα· ὥσπερ διὰ τὴν αἵρεσιν τοῦ ἀληθινοῦ ἀγαθοῦ τὰ κατορθώματα. Καὶ διὰ τῆς αἱρέσεως καὶ προαιρέσεως τυγχάνομεν τοῦ τε ἀγαθοῦ καὶ τοῦ ἐναντίου. Ὅταν μὲν γὰρ ἡ αἵρεσις εὔλυτος ᾖ καὶ καθαρὰ, αὐτῆς οὖσα τῆς λογικῆς ψυχῆς, καθ' ἣν οὐσιώμεθα, τότε ἐπὶ τὸ ὄντως αἱρετὸν καὶ τὸ ἀληθῶς φέρεται. Διὸ τὸ ἴδιον ἀγαθὸν τῆς ψυχῆς, Ἀρετὴ λέγεται, ὡς αἱρετὴ οὖσα κυρίως, καὶ κατὰ τὴν ὄντως αἵρεσιν παραγινομένη. Ὅταν δὲ τοῖς ἀλόγοις πάθεσι συνορέγηται, καὶ τὸ ἐκείνων οἰκεῖον νομίζῃ, τότε ψευδώνυμον ἔχει τὴν αἵρεσιν. Ἐπεὶ καὶ τοῦτό ἐστιν ἐφ' ἡμῖν, ἡ αἵρεσις καὶ προαίρεσις ἡμῶν. Ἡ γὰρ ὑπόληψις, καὶ ὁρμὴ, καὶ ὄρεξις, καὶ ἔκκλισις, εἰς τὴν αἵρεσιν καὶ προαίρεσιν ἀναφέρονται, ἔνδοθεν οὖσαι πᾶσαι τῆς ψυχῆς κινήσεις, καὶ οὐκ ἔξωθεν ὠθισμοί. Διὸ καὶ κυρία τούτων ἐστί. Καὶ διὰ τοῦτο καὶ ὁ Θεὸς, καὶ οἱ νόμοι, καὶ τῶν ἀνθρώπων οἱ ἔμφρονες, εἰς τὴν αἵρεσιν καὶ προαίρεσιν, ὡς ἐφ' ἡμῖν ὄντα, ἀποβλέποντες, τά τε ἁμαρτήματα καὶ τὰ κατορθώματα διακρίνουσιν, ἀλλ' οὐκ εἰς τὰς πράξεις αὐτάς· ὅτι οὐκ ἐφ' ἡμῖν ἐκεῖναι, καὶ ὅτι ταῖς αἱρέσεσι καὶ προαιρέσεσιν εἰδοποιοῦνται. Καὶ γὰρ φόνος ὁ μὲν ἀκούσιος, ὡς μὴ κατὰ αἵρεσιν, μηδὲ κατὰ τὸ ἐφ' ἡμῖν καὶ τὴν ἡμετέραν ἐξουσίαν γενόμενος, συγγινώσκεται· ὁ δὲ κατ' ἀξίαν καὶ δίκην φονεύων, καὶ ἐπαινεῖται. Οὕτως οὐχ αἱ πράξεις ἐν ἑαυταῖς ἔχουσι τὸ εὖ ἢ κακῶς, ἀλλ' ἀπὸ τῆς αἱρέσεως ἢ προαιρέσεως τῶν ἐφ' ἡμῖν ὄντων εἰδοποιοῦνται.

Καλῶς οὖν ὁ Ἐπίκτητος ἀπὸ τούτου τὴν ἀρχὴν τῆς παιδαγωγίας ἐποιήσατο, καὶ πρὸς τοῦτο ἀναφέρειν πάντα ἡμῖν παραινεῖ, ὡς κατ' αὐτὸ καὶ τοῦ ἀγαθοῦ καὶ τοῦ ἐναντίου μεταλαμβάνουσιν. Ὅταν δὲ λέγῃ, Τῶν ὄντων τὰ μὲν ἐφ' ἡμῖν ἐστι, τὰ δὲ οὐκ ἐφ' ἡμῖν·

omni oppositione liberam habet; sed fertur quidem voluntas ejus semper ad aliquid optabile atque bonum, at bonum illud alias quidem verum, alias autem specie boni decipiens, atque adliciens propter voluptatem aliquam, quæ cum eo conjuncta est. Nam quoniam cum vero bono vera voluptas est conjuncta; ubicumque animus adumbratum aliquod voluptatis simulacrum animadvertit, non dijudicans verane ea sit et vero bono cognata, an fallax et adulterina boni umbra, ad eam tamquam ad bonum adcurrit, neque expendit multiplicem molestiam, quæ cum ea conjuncta est. Nam et antecedit utique molestia: neque enim cibo delectatur quisquam, nisi prius famis molestiam senserit; neque potu, qui non sitierit. Et comitatur utique voluptatem molestia; nam, si quem bibentem in media bibendi voluptate inhibueris, sitim adhuc inesse videbis: et durat voluptas, quamdiu molestia ei adhæret; nam ubi fames, sitis, algor, aut similis aliqua molestia sedata est, non amplius suavia sunt quæ his opponuntur, sed fastidium cient. Sequitur vero etiam plerumque molestia eos, qui voluptatis impulsi illecebris excedunt modum.

E studio autem jucundi boni peccata nostra oriuntur omnia; sicut e studio veri boni, recte facta. Ac per voluntatem nostram, per nostraque proposita, et bonum consequimur, et ejus contrarium. Nam cum voluntas soluta puraque est, et animo rationali parens, in quo inest naturæ nostræ essentia, tum ad res vere ac sua natura expetendas fertur. Quapropter proprium animi bonum, *Virtus*, Ἀρετὴ Græcis dicitur, quasi αἱρετὴ, quod proprie sit *expetenda*, et vera animi *electione* paretur. Sin brutorum adfectuum cupiditates secutus fuerit noster animus, et id, quod horum est, suum duxerit; falsum tunc habet delectum. Nam et hæc *penes nos* sunt, αἵρεσις et προαίρεσις nostra, id est, delectus, et voluntas qua aliud alteri præferimus. Nam *opinio suscepta*, *impetus*, *adpetitio*, *declinatio*, ad voluntatem delectumque (αἵρεσιν et προαίρεσιν) referuntur; cum omnes sint animorum motus intrinsecus proficiscentes, non externæ impulsiones. Quare sunt hæc in animi potestate. Eaque de caussa et Deus, et leges, et homines prudentes, peccata recteque facta ita discernunt, ut voluntatem consiliumque nostrum intueantur, quæ sunt in potestate nostra; non ipsas actiones, quæ in nostra potestate non sunt, nec nisi voluntatibus nostris et propositis vel bonæ fiunt vel malæ. Nam cædi involuntariæ, ut quæ non consulto neque arbitratu nostro facta sit, venia datur: qui vero jure merito aliquem occiderit, laudatur etiam. Ita non ipsæ actiones per se laudem aut vituperationem habent; sed ex voluntate nostra et consilio nostro, quæ sunt in nostra potestate, vel bonæ fiunt, vel malæ.

Recte igitur Epictetus ab hoc exordium suæ institutionis sumsit, et, ut huc omnia nostra consilia referamus, monet, ut qui ex hoc vel bonum nostrum vel malum consequamur. Cum vero dicit, *Res alias in nostra potestate esse, alias non esse;* non rerum omnium partitionem

οὐ πάντων τῶν ὄντων ποιεῖται τὴν διαίρεσιν, ἀλλὰ τῶν ἐν ἡμῖν καὶ περὶ ἡμᾶς ὄντων. Οὐδὲ γὰρ ἔχει τινὰ ἐξισασμὸν ἡ ἀντίθεσις, ὅπερ πρέπει ταῖς διαιρέσεσιν, εἴ τις πρὸς τὴν διαίρεσιν τῶν ἐφ' ἡμῖν οὖσαν, πάντα ἀνατιθεῖ τὰ ὄντα, τά τε ὑπερκόσμια, καὶ τὰ ἐγκόσμια.

Ἐπεὶ δέ τινες ἐνίστανται, μηδὲν εἶναι βουλόμενοι ἐφ' ἡμῖν, ἀλλ' οἱ μὲν ἐξ ἀνάγκης πάσας ἡμῶν τὰς ἐνεργείας γίνεσθαι καὶ τὰ πάθη νομίζοντες, οἱ δὲ ἐκ ταυτομάτου, κατὰ τὸ εἰκῇ καὶ ὡς ἔτυχε φερομένων ἡμῶν, ὥσπερ κυλίνδρων· ἤρκει μὲν τὰ ἤδη ῥηθέντα περὶ τῆς τοῦ ἐφ' ἡμῖν καὶ τῆς αἱρέσεως καὶ προαιρέσεως ἐν τοῖς οὖσι τάξεως, καὶ τῆς ἀναγκαίας αὐτῶν ὑποστάσεως· οὐδὲν δὲ ἴσως κωλύει, καὶ προηγουμένως τινὰ ποιεῖσθαι λόγον πρὸς τοὺς ἀναιροῦντας τὸ ἐφ' ἡμῖν.

Τὸ μὲν οὖν αὐτόματον, καὶ τὸ μὴ ἐφ' ἡμῖν, καὶ τὸ ὡς ἔτυχεν, εἰ μὲν οὕτω λέγεται, ὡς ἄνευ τινὸς προηγουμένου σκοποῦ ἐνεργούντων ἡμῶν, οὔτε ἀληθὴς ὁ λόγος, οὔτε, εἰ ἀληθὴς ἦν, ἐπὶ πασῶν ἠλήθευε τῶν ἐνεργειῶν ἡμῶν. Καὶ γὰρ πᾶσαι αἱ τέχναι καὶ αἱ φύσεις, σκοπόν τινα καὶ τέλος ποιησάμεναι, πρὸς αὐτὸ πάσας τὰς ἐνεργείας τὰς ἀπ' ἀρχῆς ἄχρι πέρατος ἀπευθύνουσι. Καὶ ὅλως πᾶσα τῶν ἐμψύχων κίνησις καὶ ἐνέργεια, τινὸς ἕνεκα ἀγαθοῦ ἐπιτελεῖται, ἢ ὄντος, ἢ δοκοῦντος εἶναι. Καὶ γὰρ ἡ ἀπὸ τοῦ βλαβεροῦ φυγὴ, διὰ τὸ ἀγαθὸν καὶ ὡς ὠφέλιμος γίνεται. Εἰ δὲ οὕτω τις τὸ εἰκῇ καὶ ὡς ἔτυχε λέγει, ὡς ἀδυνάτου ἢ ἐπιβλαβοῦς ὄντος τοῦ ὀρεκτοῦ, (ὡς λέγομεν, εἰκῇ καὶ ὡς ἔτυχε φάρμακον προσέφερέ τινι, ἢ τὸ ἀδυνατοῦν ὠφελῆσαι, ἢ βλάπτον ἐνίοτε,) οὐκ ἀναιρεῖ τὸ ἐφ' ἡμῖν ὁ οὕτω λέγων. Οὐ γὰρ τῶν δυνατῶν καὶ ὠφελίμων μόνον τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν ἐφ' ἡμῖν εἶναι λέγομεν, ἀλλὰ καὶ τῶν ἀδυνάτων καὶ βλαβερῶν. Διὸ οὐ μόνον τὰς κατορθούσας ἐφ' ἡμῖν λέγομεν, ἀλλὰ καὶ τὰς ἁμαρτωλάς.

Τῶν δὲ ἠναγκασμένην καὶ οὐκ αὐτεξούσιον λεγόντων, οὐδὲ ἐφ' ἡμῖν, τὴν ὑπόληψιν καὶ ὄρεξιν, καὶ ὅλως τὴν αἵρεσιν καὶ προαίρεσιν, ὡς ἑτέρωθεν κινουμένην, καὶ οὐκ ἔνδοθεν ἀφ' ἡμῶν προαγομένην· οἱ μὲν τὴν ἔνδειαν αἰτίαν λέγουσι. Τίς γὰρ πεινῶν, ἢ διψῶν, [ἢ ῥιγῶν,] οὐκ ὀρέγεται τροφῆς, καὶ πόματος, ἢ θέρμης, κἂν θέλῃ, κἂν μὴ θέλῃ; τίς δὲ νοσῶν οὐκ ἐπιθυμεῖ ὑγείας; Τινὲς δὲ, αὐτὸ τὸ ὑποληπτὸν, καὶ τὸ ὀρεκτὸν, ἢ φευκτὸν, ἑκόντας καὶ ἄκοντας κινεῖν φασιν ἡμᾶς πρὸς ἑαυτά. Τίς γὰρ τῶν ὁπωσοῦν ἀριθμεῖν μαθόντων, τὰ δὶς δύο οὐκ ἂν ὑπολάβῃ τέσσαρα; καὶ πῶς ἐφ' ἡμῖν ἐστι τὸ οὕτως ὑπολαβεῖν, καὶ οὐ μᾶλλον ἐπὶ τῇ τοῦ ὑποληπτοῦ φύσει; τίς δὲ ἀγαθοῦ τινος αἰσθόμενος, ἢ καλοῦ, ἢ τῶν ἐναντίων, οὐχὶ τῶν μὲν ὀρέγεται, τὰ δὲ ἐκκλίνει, ὑπ' ἐκείνων κινούμενος; καὶ γὰρ τῶν φυσικῶν οἱ ἄριστοι τὸ πρώτως κινοῦν, τὸ ὀρεκτὸν εἶναί φασι. Τὸ δὲ ἑτέρωθεν ἐξ ἀνάγκης πάσης κινούμενον, πῶς ἂν εἴη ἐφ' ἡμῖν; Ἄλλοι δὲ τὴν τοῦ ὀρεγομένου διάθεσιν

facit, sed illarum tantum, quæ ad nos quodammodo spectant, aut cum nobis conjunctæ sunt. Neque enim, quod partitionem decet, adæquationem ullam haberent membra opposita, si quis ad illam partitionem rerum quæ *penes nos* sunt, vel contra, res omnes, quæ sive supra mundum sint sive in mundo, referre vellet.

Sed quoniam sunt qui contra dicant, negentque esse quidquam nostra in potestate; quorum alii aiunt, ex necessitate fieri actiones omnes nostras passionesque; alii vero, casu, utpote qui fortuito ac temere velut cylindri agitemur: sufficere quidem possent ea quæ jam diximus de rebus in nostra potestate positis et voluntati nostræ delectuique subjectis, ubi simul declaravimus fieri non posse quin ita se res habeat : at nihil tamen fortasse prohibet, ex professo etiam contra istos verba facere, qui voluntatis libertatem tollunt.

Ac Casus quidem, et negatio libertatis, [*sive*, id quod temere fit,] et Fortuitum, si ita dicuntur, quasi sine proposito aliquo fine agamus; neque vera est ea oratio, et, vera ut esset, non in omnibus actionibus nostris esset vera. Etenim artes et naturæ omnes metam quamdam et finem sibi proponunt, ad quam actiones suas omnes ab initio ad extremum usque dirigant. Atque omnis omnino naturarum animatarum motus et actio, boni alicujus caussa suscipitur, sive id vere bonum sit, sive tale esse videatur. Nam et rerum damnosarum fuga fit boni caussa, et quoniam utilis judicatur. Sin aliquis fortuitum, et id quod temere fit, ita accipiat, ut intelligat, aut impossibile aut etiam noxium esse id quod desideretur; (quemadmodum dicimus, temere ac fortuito aliquem medicinam alicui propinasse, quæ aut prodesse nequit, aut aliquando etiam obest;) ne is quidem voluntatis nostræ libertatem sustulerit. Non enim eorum modo quæ fieri possunt, quæve prosunt, adpetitionem et declinationem penes nos esse dicimus, sed eorum etiam quæ fieri nequeunt, quæque nocent. Quare non ea modo quæ recte, sed et quæ perperam fiunt, in nostra esse potestate dicimus.

Qui autem coactam, non liberam, nec in potestate nostra sitam esse dicunt opinionem et adpetitionem, et omnino consilium et voluntatem; ut quæ aliunde moveantur, et non intrinsecus a nobis progrediantur : hi partim inopiam caussantur. Quis enim, aiunt, esuriens aut sitiens, aut algens, velit nolit, cibum, potum, calorem non adpetit? quis ægrotans non desiderat sanitatem? Partim, illud ipsum quod opineris, quod adpetas, quod fugias, volentem nolentem te ad se attrahere dicunt. Quis enim qui vel minimam arithmeticæ partem didicerit, bis duo esse quatuor non existimet? Quo pacto ergo tui arbitrii sit sic existimare, ac non potius hoc ipsa rei natura te cogat? Quis vero, bono et pulcro, rebusve contrariis animadversis, non et illa expetat, et has declinet, iis ipsis impellentibus? Nam et præstantissimi quique naturæ indagatores, id quod adpetatur, primam movendi vim habere dicunt. Id vero, quod aliunde necessario plane movetur, quo pacto adhuc in nostra potestate esse queat? Partim ejus hominis, qui adpetat,

αἰτιῶνται, ὡς ἐξ ἀνάγκης κινουμένην ἐφ' ὃ πέφυκεν, οὐκ ὂν ἐπ' αὐτῷ τὸ μὴ οὕτως ὀρεχθῆναι. Ὁ γὰρ σωφρονικὸς τὴν ἕξιν τῶν σωφρόνων ἔργων καὶ ἐπιτηδευμάτων ὀρέγεται· καὶ ὁ ἀκόλαστος, τῶν ἀκολάστων· καὶ ἐπ' οὐδετέρῳ αὐτῶν ἐστι, κἂν βούληται, τὸ μὴ οὕτως ὀρεχθῆναι. Τινὲς γοῦν καὶ δυσχεραίνοντες τὰς ἑαυτῶν ὀρέξεις, καὶ βουλόμενοι μὴ κινεῖσθαι αὐτὰς, ὠθοῦνται ὅμως ὑπὸ τῶν ἕξεων καὶ τῶν συνεθισμῶν ἐπὶ τὰ οἰκεῖα ὀρεκτὰ, καὶ ἕλκονται ὑπ' ἐκείνων ἑτεροκινήτως, ὡς οὐκ ὂν ἐπ' αὐτοῖς τὸ μὴ οὕτως. Καὶ ὑπολαμβάνει δὲ περὶ τῶν πραγμάτων, ὁ μὲν ἐπιστήμων, τἀληθῆ· ὁ δὲ ἀμαθὴς, τὰ ψευδῆ. Καὶ οὐ δυνατὸν ἄλλως. Οὔτε γὰρ ἐπὶ τῷ ἐπιστήμονι ἐστὶ, τὸ ψεῦδος ὑπολαβεῖν· οὔτε ἐπὶ τῷ ἀμαθεῖ, τὸ ἀληθὲς πάντως. Ἀλλ' οὐδὲ τὸ μὲν ψευδῆ ὑπολαβεῖν, ἐπὶ τῷ ἀμαθεῖ ἐστι· τὸ δὲ μὴ ψευδῆ, ἐπὶ τῷ ἐπιστήμονι. Οὐ γὰρ ἂν εἵλετο ψεῦδος ὑπολαμβάνειν ὁ ἀμαθὴς, εἰ ἐπ' αὐτῷ ἦν· καὶ ὁ σπουδαῖος, εἰ ἐπ' αὐτῷ ἦν τὸ ἀληθῆ ὑπολαμβάνειν, εἶχεν ἂν καὶ τὸ ψευδοδοξεῖν· [ἀδύνατον δὲ, ἐν οἷς ἐπιστήμων ἐστὶ, ψευδοδοξεῖν] αὐτὸν, καὶ εἰ πάνυ τις αὐτὸν ὑπόθοιτο βούλεσθαι. Ὡς γὰρ ἐπὶ τῶν αἰσθητῶν, καὶ τῶν ἐῤῥωμένας ἐχόντων τὰς αἰσθήσεις, ἀδύνατον παραισθάνεσθαι· οὕτως ἔχει καὶ ἐπὶ τῶν λογισμῷ ληπτῶν. Ταῦτα μὲν ἄν τινες εἴποιεν, τὸ ἐφ' ἡμῖν μὴ συγχωροῦντες εἶναι. Οἱ δὲ πλεῖστοι τῶν ἀνθρώπων τὴν εἱμαρμένην περιφορὰν, ὥσπερ τῶν ἄλλων ἁπάντων, οὕτω καὶ τῶν ὀρέξεων τῶν ἡμετέρων, καὶ τῆς ὑπολήψεως, καὶ τῆς αἱρέσεως, αἰτίαν εἶναι φασί. Καὶ μαρτύρονται τοὺς ἀστρολογικοὺς, ἀπὸ τῆς ἐν τῇ γενέσει τῶν ἀστέρων θέσεως λέγοντας, ὅτι ὅδε μὲν φιλήδονος ἔσται, ὅδε δὲ φιλοχρήματος, καὶ ἄλλος φιλόμουσος καὶ φιλόσοφος. Τὰς γὰρ ὀρέξεις δηλονότι προλέγουσιν, ἃς ἐν ἡλικίᾳ προβαλοῦνται γενόμενοι. Εἴπερ οὖν ἀληθεύουσιν οὗτοι, ἀνάγκη πάντως ἐκείνας τὰς ὀρέξεις προβάλλεσθαι, τὰς ὑπὸ τῆς εἱμαρμένης δοθείσας, καὶ οὐκ ἔστιν ἐφ' ἡμῖν τὸ ἄλλας ἀντ' αὐτῶν προβάλλεσθαι. Πῶς οὖν ἐφ' ἡμῖν ἔσται ἔτι τὸ τοίως ἢ τοίως ὀρέγεσθαι, εἰ πάντως ἀνάγκη καὶ βουλομένοις καὶ μὴ βουλομένοις ἡμῖν μονοειδῶς ἐπὶ τόδε ἢ τόδε τὸ ὀρεκτὸν ἀποτείνεσθαι; Αὗται μὲν καὶ τοιαῦταί τινες ἂν εἶεν αἱ πρὸς τὸ ἐφ' ἡμῖν ἐνστάσεις, οὐδὲ τὰς ὀρέξεις ἢ ἐκκλίσεις, ἢ ὅλως τὰς αἱρέσεις ἡμῶν, ἐφ' ἡμῖν εἶναι συγχωροῦσαι.

Ῥητέον δὲ πρὸς μὲν τὸν ἀπὸ τῆς ἐνδείας λόγον, ὅτι οὐκ ἐντίθησιν ὄρεξιν ἡ ἔνδεια. Πολλὰ γοῦν καὶ τῶν πάντη ἀψύχων, ὥσπερ τὰ φυτὰ, ἐνδεῶς ἴσχοντα ποιότητός τινος, οἷον ὑγρότητος, ἢ ξηρότητος, ἢ θερμασίας, ἢ ψύξεως, ὅμως οὐκ ὀρέγονται, ὅτι μή ἐστιν ὀρεκτικά. Τὰ γὰρ ὀρεγόμενα, καὶ αἰσθάνεσθαι τοῦ ὀρεκτοῦ ἀνάγκη, καὶ κινεῖσθαι ἐπ' αὐτό. Οὐκ ἐντίθησι μὲν οὖν τὴν ὄρεξιν ἡ ἔνδεια· τὸ δὲ ὀρεκτικὸν, ἐνδεὲς γενόμενον, εἰς βοήθειαν τῆς ἐνδείας προβάλλει τὴν ὄρεξιν· ὥσπερ οὐδὲ τὰς χεῖρας ἡμῖν ἐντίθησιν ἡ κνησμώδης διάθεσις· ἐγγινομένῃ δὲ αὐτῇ βοηθοῦσιν αἱ χεῖρες. Ἀλλ' οὐδὲ τὰς τέχνας ἐντιθέασιν αἱ χρεῖαι, ἀλλ' ἡ ψυχὴ πρὸς τὴν βοήθειαν

adfectionem caussantur, ut quæ necessario moveatur ad id quod ipsius natura ferat; cum aliter facere non possit, quin hoc modo adpetat. Nam temperantiæ habitu præditus moderata facta et instituta adpetit; intemperans, immoderata : nec in alterius utrius potestate est, quamvis velit, non sic adpetere. Nonnulli certe quidem, quamvis adpetitiones suas moleste ferant, easque cieri nolint, tamen ab habitu et consuetudine impelluntur ad res a sese desideratas, ab iisque alieno motu pertrahuntur, prorsus ut penes ipsos non sit facere aliter. Jam opinionem quod attinet et judicium : qui gnarus est, vere de rebus sentit; qui ignarus, falsa opinatur : neque fieri aliter potest. Neque enim in potestate gnari est, falsum opinari : neque in potestate ignari, verum omnino sentire. At ne est quidem penes rudem, falsa opinari; nec penes scientem, sentire vera. Neque enim rudis amplecti falsa vellet, si penes ipsum id esset : et doctus, si penes ipsum esset sentire vera, falsum etiam posset opinari : atqui, quarum rerum scientiam habet, in eis falsum sentire non potest, quamvis eum id velle statueris. Ut enim sensilibus in rebus fieri nequit, ut sensus integri et valentes fallantur, ita se res in eis etiam habet, quæ ratione percipiuntur. Hæc sunt igitur quæ dici a nonnullis solent, qui libertatem voluntatis tollunt. Mortales autem plurimi, fatalem cœli conversionem, ut cæterarum rerum omnium, sic et nostrarum adpetitionum, itemque opinionum et consiliorum nostrorum, statuunt esse caussam. Et nituntur illi quidem Astrologorum testimoniis, qui e situ astrorum in ortu hominis pronuntient, alium fore voluptuarium, alium avarum, alium Musarum et sapientiæ amicum. Prædicunt enim illi adpetitiones, quas exserturi sint homines, cum adulti fuerint. Qui si vera dicunt, omnino necesse est exsistere adpetitiones fato insitas, nec situm in nobis esse, ut alias proferamus. Quo pacto igitur adhuc penes nos erit, hoc aut illo modo adpetere, si omnino necesse nobis est, nolentibus volentibus, uniformiter ad hoc illudve desiderium incitari? Hæc quidem, et id genus alia, contra libertatem voluntatis adferri queunt, quibus id effici videatur, ut neque adpetitiones, neque declinationes, neque consilia nostra, in nostra esse potestate videantur.

Adversus igitur rationem de inopia, dicendum est : inopiam aut egestatem non inserere adpetitionem. Multa enim prorsus inanima, veluti stirpes, qualitate aliqua egentia, veluti humiditate, aut siccitate, aut calore, aut refrigeratione, tamen eam non adpetunt, quia vi adpetendi carent. Nam quæ adpetunt, eadem etiam sentire id quod adpetitur necesse est, et ad id moveri. Non inserit igitur adpetitum egestas; sed id quod adpetendi vim habet, cum aliqua re eget, exserit adpetitum quo egestatem propulset : quemadmodum nec pruritus inserit nobis manus; sed manus sedare pruritum, cum adest, conantur. Neque vero vitæ necessitates inserunt nobis artes; sed animus ad eas necessitates

αὐτῶν εὑρίσκει τε καὶ προβάλλεται τὰς τέχνας. Πᾶσα μὲν γὰρ ὄρεξις, κίνησις ἔνδοθέν ἐστι τῆς ὀρεγομένης ψυχῆς, ὑπ᾽ αὐτῆς ἐκτεινομένη, οὐκ ἔξωθεν ἐντιθεμένη ποθέν. Ἀλλ᾽ ἡ μὲν τῶν ἀλόγων ζώων ἄλογος ζωὴ, σωματικὴ οὖσα, καὶ μηδὲν σχεδὸν ἔχουσα τῶν σωμάτων ὑπερανέχον, ὡς ἐπὶ οἰκείαις ἐνδείαις ταῖς τοῦ σώματος τὰς ὀρέξεις προβάλλεται μονοειδεῖς οὔσας· διὸ καὶ ἠναγκασμέναι δοκοῦσι, καὶ οὐκ αὐτεξούσιοι. Ἡ δὲ λογικὴ ψυχὴ τῶν ἀνθρώπων, διὰ τὴν ἑαυτῆς μεσότητα, τριττὴν ἔχουσα σχέσιν· τὴν μὲν πρὸς τὸ χεῖρον, τὸ σωματικὸν καὶ ἄλογον, τὴν δὲ πρὸς ἑαυτὴν, τὴν δὲ πρὸς τὸ κρεῖττον· τριττὴν καὶ ζωὴν προβάλλεται, καὶ τριττὴν ὄρεξιν. Καὶ ὅταν μὲν τοῖς σώμασιν ἑαυτὴν ἐνδῷ, καὶ ταῖς ἀλόγοις τοῦ σώματος ζωαῖς, τότε τὴν ἔνδειαν ἐκείνων οἰκείαν ἡγουμένη, συνορέγεται ἐκείνων ἠναγκασμένως. Καὶ αὕτη ἐστὶν ἡ ὄρεξις αὐτῆς, ἡ τὸ αὐτεξούσιον ἀμφισβητήσιμον ἔχουσα. Ὅταν δὲ τὴν ἑαυτῆς ζωὴν ζῇ, ἢ τὴν κρείττονα, τότε καὶ ὄρεξιν ἐκείναις οἰκείαν προβάλλεται, τοῦ ἐκείνων ἀγαθοῦ ἐφιεμένη. Αὕτη οὖν ἐστιν ὄντως κυρία ἡ ψυχὴ ἢ τῶνδε ἢ τῶνδε ὀρέγεσθαι, ὡς πλείονα ὀρέξεων εἴδη πεφυκυῖα προβάλλεσθαι, τὰ μὲν χείρονα, τὰ δὲ κρείττονα· τοῖς μὲν χείροσι κακυνομένη, τοῖς δὲ κρείττοσιν ἀρετουμένη, ὅτι ἡ κατ᾽ ἐκεῖνα αἵρεσις, ὄντως αἵρεσίς ἐστι. Διὸ πολλάκις ἐνδεῶς τοῦ σώματος ἔχοντος, καὶ πεινῶντος καὶ ὀρεγομένου τροφῆς, αὕτη ὄρεξιν ἀσιτίας προβάλλεται, ἢ διὰ θεσμόν τινα ἐπιτάττοντα τοῦτο, ἢ δι᾽ ἐπιμέλειάν τινα ἑαυτῆς ἢ τοῦ σώματος. Καὶ δῆλον, ὅτι ἐξουσίαν εἶχε τότε συνορεχθῆναι τῷ σώματι· ὅπερ αἱ πολλαὶ ποιοῦσι ψυχαί· ἀλλ᾽ ὡς μείζονος ἀγαθοῦ, τὴν ἑτέραν προβάλλεται. Πρὸς ψυχὴν οὖν λογικὴν ἀποτεινόμενος ὁ Ἐπίκτητος, εἰκότως ἐπ᾽ αὐτῇ φησιν εἶναι, τοίως ἢ τοίως ὀρέγεσθαι.

Οἱ δὲ τὸ ὀρεκτὸν κινεῖν τὴν ψυχὴν ἐπὶ τὴν ὄρεξιν λέγοντες, λέγουσι μέν τι ἀληθὲς, οὐ μέντοι ὅσον νομίζουσι λέγειν. Οὐ γὰρ ὡς ἑτεροκίνητον τὴν ψυχὴν κινεῖ εἰς ὄρεξιν, ἀλλὰ τὴν ἑαυτοῦ προτεῖνον ὑποδοχὴν ἐπιτηδείαν, δι᾽ ἧς ἐκκαλεῖται τὸ πρὸς αὐτὸ ἐκτείνεσθαι πεφυκός. Ὡς γὰρ τὸ αἰσθητὸν οὐκ ἐντίθησι τὴν αἴσθησιν τῷ αἰσθανομένῳ, οὐδ᾽ ὡς ἑτεροκίνητον ἕλκειν ἐφ᾽ ἑαυτὸ εἴωθεν, ἀλλ᾽ ἑαυτὸ προτείνει σύμμετρον εἰς συναρμογὴν τοῦ πεφυκότος αὐτῷ συναρμόζεσθαι· οὕτω καὶ τὸ ὀρεκτὸν, τὴν ἑαυτοῦ προτεῖνον ἐπιτηδειότητα, ἐκκαλεῖται τὴν ἐπ᾽ αὐτὸ τῆς ψυχῆς ἔκτασιν, τὴν ἐπιτηδείως πρὸς τοῦτο ἔχουσαν. Διὸ τῶν ὀρεκτῶν προκειμένων, οἱ μὲν ὀρέγονται, οἱ δὲ οὔ. Καίτοι, εἰ τὸ ὀρεκτὸν τοιαύτην εἶχε φύσιν, ὡς ἀναγκάζειν τὸ ὀρεγόμενον, καὶ ἀπ᾽ αὐτοῦ ἡ κίνησις ἐνεδίδοτο, πάντα ἦν ἀνάγκη ὀρέγεσθαι αὐτοῦ τὰ ὀρεκτικά· εἰ καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον· καὶ οὐδὲ ὄρεξις ἂν ἦν τὸ τοιοῦτον, ἀλλ᾽ ὠθισμὸς, ἢ ὁλκὴ βίαιος, οἷα ἐπὶ τῶν σωμάτων ὁρᾶται. Ἡ γὰρ ὄρεξις ἔκτασίς τις ἐστὶ μένοντος τοῦ ὀρεγομένου, καὶ οὐκ ἀφισταμένου· ὥσπερ τὰς χεῖρας ἐκτείνομεν, μὴ μεταβαινούσας. Ἔστιν οὖν κίνησις ἔνδοθεν ἀφ᾽ ἡμῶν ἡ ὄρεξις, καὶ ἡ ὑπόληψις, καὶ τὰ τοιαῦτα· ἀλλὰ ποτὲ μὲν ἁρμοδίως

sublevandas excogitat et exserit artes. Omnis enim adpetitio, motus internus est animi adpetentis, ab eo ipso progressa, non extrinsecus inserta. Jam brutarum quidem animantium vita, quæ corporea est, neque fere quidquam habet quod supra corpora velut emineat; in egestate corporis, tanquam sibi propria, uniformes habet adpetitiones: unde hæ coactæ videntur, et non liberæ. At hominis animus rationis particeps, eo quod in medio positus est, triplici habilitate præditus, una qua ad deterius, corporeum illud et brutum, altera qua ad seipsum, tertia qua ad id quod præstantius est, movetur: triplicem quoque vitam et adpetitionem habet. Ac quando corpori et brutæ corporis vitæ sese dediderit; tunc illius egestatem, suam esse ratus, necessario una cum illo adpetit. Et hæc est adpetitio illius, quæ libertatem controversam habeat. Cum vero suam vitam vivit, aut præstantiorem; tum et adpetitionem habet ei vitæ consentaneam ejusque bonum desiderantem. Hujus igitur animi vere est ea potestas, ut hæc aut illa possit desiderare: ut qui adpetitionum plura genera proferre possit, alia deteriora, alia præstantiora; quorum illis vitiosus redditur, his virtute augetur, quoniam voluntas, quæ hæc amplectitur, vere voluntas est. Unde et sæpe fit, ut corpore egente, esuriente et cibum adpetente, animus jejunii adpetitionem exserat, sive ob legem aliquam ita jubentem, sive propter corporis suive ipsius curam. Perspicuum est autem, licuisse illi tum una cum corpore adpetere, id quod plerique animi faciunt: sed alteram adpetitionem, ut majoris boni, exserit. Igitur respectu animi ratione prædili Epictetus, hoc aliove modo adpetere, in nostra esse potestate adfirmavit.

Qui vero adpetitionem a rebus expetitis moveri dicunt; verum illi quidem ex parte dicunt, sed non quantum ipsi putant. Res enim expetitæ animum ad adpetendum non ita movent, ut is alieno motu cieatur; sed offerentes sese tanquam ad suscipiendum idoneas, provocant eum qui ad illas amplectendas natura idoneus est. Ut enim res sensui subjecta non inserit sensum ei qui sentit, nec quasi alieno motu agitatum illum ad se trahere solet; sed sese offert, ut idoneam quæ adaptetur ei quod illam habet naturam ut ad ipsum aptum sit: sic et res expetita suam convenientiam proponens, provocat animi ad sese desiderium, qui ad illud aptus est. Quamobrem rebus adpetendis propositis, alii eas adpetunt, alii non. At, si res expetita eam naturam haberet, ut adpetentem cogeret, et motus ab illa ei injiceretur, necesse esset eam adpeti ab omnibus iis quæ adpetendi vim haberent; quamvis ab aliis magis, ab aliis minus. Ac ne adpetitio quidem illa esset, sed impulsio aut attractio violenta, qualem in corporibus cernimus. Nam adpetitio extensio quædam est, manente eo quod adpetit, nec locum movente: quemadmodum manus extendimus, quamvis loco non moveamus. Est igitur *adpetitio* motus quidam noster interior; itemque *opinio*, et similia. Verum is mo-

πρὸς τὴν φύσιν τοῦ ὀρεκτοῦ καὶ ὑποληπτοῦ προϐαλλομένη, ποτὲ δὲ παραλλάσσουσα, ὅταν ὡς πρὸς ὀρεκτόν τι φέρεσθαι δοκῶμεν, ὀρεκτὸν μὲν δοκοῦν, πλέον δὲ ἔχον τὸ ἀνόρεκτον· καὶ προφαῖνον μέν, τι ὡς ὀρεκτὸν, καθ' ὃ ἐκκαλεῖται τὴν ὄρεξιν· κρύπτον δέ τι φευκτὸν ἐν ἑαυτῷ, ὅπερ διὰ τὴν περὶ τὸ εἴδωλον τοῦ ὀρεκτοῦ εὐπρέπειαν ἐνυπάρχον αὐτῷ διαλανθάνει. Ὁ γὰρ κλέπτων, ἐπὶ τὸ τῆς εὐπορίας εἴδωλον ὡς ἐπὶ ὀρεκτὸν φερόμενος, τὸ ἐνυπάρχον φευκτὸν τῇ τοιαύτῃ εὐπορίᾳ, τὸ μὲν μάλιστα τὴν ψυχὴν ἄδικον ποιοῦν οὐδὲ οἶδεν, οὐδ' εὐλαϐεῖται· τὴν δὲ ὑπ' ἀνθρώπων σύλληψιν καὶ κόλασιν, ἣν μόνην ἀποτυχίαν τῆς τοιαύτης ὁρμῆς νομίζει, διὰ τὸ ὑπερζέον τῆς ὀρέξεως κατανωτίζεται· προϐαλλόμενος τὸ τοὺς πολλοὺς τῶν τὰ τοιαῦτα ποιούντων λανθάνειν. Ἐφ' ἡμῖν οὖν ἐστι τὸ βασανίζειν τὸ ὀρεκτὸν, εἴτε ἀληθῶς ἐστι τοιοῦτον, εἴτε εἰδώλῳ μόνον ὀρεκτοῦ, ὡς ἐπὶ τοῦ εἰρημένου τῷ τῆς εὐπορίας, παρακέχρωσται· ἔτι δὲ μᾶλλον τὴν ἡμετέραν ὄρεξιν παιδεύειν, καὶ διδάσκειν τῶν κυρίως ὀρεκτῶν ὀρέγεσθαι, καὶ μὴ πλανᾶσθαι περὶ τὰ εἴδωλα.

Πρὸς δὲ τοὺς λέγοντας, διὰ τὸ τὴν ὄρεξιν τοῦ ὀρεγομένου καὶ τὴν ὑπόληψιν τοῦ ὑπολαμϐάνοντος ἐπὶ τὸ οἰκεῖον ὀρεκτὸν καὶ ὑποληπτὸν φέρεσθαι κατὰ φύσιν, μὴ εἶναι ἐπ' αὐτῷ τὸ οὕτως ἢ ἐναντίως, ὥσπερ οὐδ' ἐπὶ τῇ βώλῳ τὸ ἐπὶ τὸ κάτω φέρεσθαι· (ἦν γὰρ ἂν ἐπ' αὐτῇ καὶ ἡ ἐπὶ τὸ ἄνω φορά·) καὶ πρὸς τούτους οὖν ῥητέον, ὅτι διττή ἐστιν ἡ ἀνάγκη· ἡ μὲν, ἀντικειμένη πρὸς τὸ αὐτεξούσιον, ἡ δὲ, συνυπάρχουσα αὐτῷ. Ἡ μὲν οὖν ἔξωθεν ἀναιρεῖ τὸ αὐτεξούσιον· οὐδεὶς γὰρ ἔξωθεν ἀναγκαζόμενός τι ποιεῖν ἢ μὴ ποιεῖν, αὐτεξουσίως ἐνεργεῖν λέγεται. Ἡ δὲ ἔνδοθεν, ἡ πάντα ἀναγκάζουσα κατὰ τὴν ἑαυτῶν φύσιν ἐνεργεῖν, αὕτη φυλάττει μᾶλλον τὸ αὐτεξούσιον. Καὶ γὰρ τὸ αὐτοκίνητον, κατὰ τὴν τοῦ αὐτοκινήτου φύσιν ὑφ' ἑαυτοῦ κινεῖσθαι ἀνάγκη· καὶ οὐ διὰ τοῦτο ἑτεροκίνητόν ἐστιν. Οὐ γὰρ ἔξωθεν ἡ ἀνάγκη, ἀλλὰ συνοῦσα τῇ τοῦ αὐτοκινήτου φύσει, καὶ σώζουσα αὐτὴν, καὶ εἰς τὰς οἰκείας ἐνεργείας προάγουσα. Εἰ δὲ καὶ τῆς ἕξεως καὶ τῆς διαθέσεως, τῆς καλλίονος, καὶ τῆς χείρονος, ἑαυτῇ αἰτία ἐστὶν ἡ ψυχὴ, διὰ τῆς εὐαγωγίας τε καὶ τῆς ἀναγωγίας· δῆλον, ὅτι καὶ τῶν ἀπὸ τῆς ἕξεως καὶ διαθέσεως ἐνεργειῶν αὐτὴν αἰτιατέον. Οὐ μέντοι οὐδὲ τούτῳ χρὴ κρίνειν ἐπὶ πάντων τὸ αὐτεξούσιον καὶ τὸ ἐφ' ἡμῖν, τῷ δύνασθαι καὶ τὰ ἐναντία ποιεῖν. Αἱ γὰρ τῷ ἀγαθῷ ἀεὶ συνηρτημέναι ψυχαὶ, καὶ τὸ ἀγαθὸν αἱρούμεναι, καὶ αὐτεξούσιον ἔχουσι τὴν αἵρεσιν, (οὐ γάρ ἐστιν αἵρεσις ἡ ἠναγκασμένη·) καὶ τοῦ ἀγαθοῦ ἀεὶ ἔχουσιν αὐτὴν, οὐδέποτε πρὸς τὸ ἐναντίον ὑποσυρόμεναι. Αἱ δὲ ἡμέτεραι ψυχαὶ, ἀγαθαὶ μὲν οὖσαι, τῶν ἀγαθῶν ὀρέγονται· καὶ κακαὶ γινόμεναι, τῶν κακῶν· μεταϐάλλουσι δὲ καὶ ἀπό τε κακίας εἰς ἀρετὴν, ἐπιμελόμεναι, καὶ ἀπὸ ἀρετῆς εἰς κακίαν, ἀμελοῦσαι· καὶ ἑκάτερον κατὰ αἵρεσιν οἰκείαν, οὐ κατὰ ἀνάγκην, ποιοῦσαι. Διὸ παντοίας ὁ θεὸς κακίας ἀναίτιός ἐστι. Κἂν γὰρ ἐποίησε ψυχὴν

tus alias convenienter ad rei adpetitæ et opinatæ naturam fit, alias ab ea recedit, cum nos ad aliquid adpetendum ferri putamus, quod adpetendum quidem videtur, sed cui plus inest quod aversari debeamus; quodque aliquid quidem adpetendum ostentat, eoque adpetitum provocat, sed fugiendum aliquid in sese occultat, quod, propter speciem adumbrati boni, inesse non animadvertitur. Nam qui furatur, dum ad opulentiæ simulacrum ut ad rem adpetendam fertur, rem fugiendam tali opulentiæ adhærentem, quæ animum cum primis injurium facit, neque novit, neque veretur : captivitatem autem et supplicium, quam solam in hac adpetitione calamitatem censet, ob fervorem cupiditatis non respicit; illud solum cogitans, multos, qui talia faciant, non deprehendi. Penes nos est igitur, rem quæ adpetitur, examinare, sitne revera talis, an simulacrum duntaxat adpetendæ rei adumbratum habeat, sicut modo de opulentia dicebamus. Atque illud etiam magis adhuc in nostra potestate est, ut nostram adpetitionem erudiamus, et doceamus ea adpetere quæ vere adpetenda sint, nec decipi falsis simulacris.

Adversus eos autem qui dicunt, quoniam adpetitus adpetentis, et opinio opinantis, suapte natura ad suum adpetibile et opinabile feratur, non penes ipsum esse, ut sic contrave feratur; sicut neque penes glebam sit deorsum ferri; (nam alioqui sursum etiam ferri posset :) adversus hos igitur dicendum, duplicem esse necessitatem; unam libertati voluntatis oppositam, alteram cum eadem conjunctam. Externa igitur quidem necessitas libertatem tollit : nemo enim qui extrinsecus aliquid facere cogitur, aut non facere, libere agere dicetur. Interna vero, quæ omnia cogit pro sua cujusque natura agere, hæc magis libertatem conservat. Quod enim per se movetur, pro natura sua moveri a sese necesse est : neque propterea ab alio movetur. Neque enim extrinsecus necessitas ea provenit, sed cum ejus quod per se movetur natura conjuncta est; eamque conservat, et ad proprias actiones movet. Quod si vero etiam habilitatis et dispositionis sive melioris, sive deterioris, sibi ipse caussa est animus, propter rectum vel pravum vivendi institutum quod ante secutus erat; actionum etiam caussa, quæ ex illo habitu et dispositione oriuntur, eidem erit tribuenda. Neque tamen in omnibus naturis libertas et soluta potestas eo metienda est, quod etiam contraria facere possint. Nam ii etiam animi, qui bono semper adhærent, semperque bonum amplectuntur, liberum delectum habent; (neque enim is delectus coactus est;) et bono semper inhærentem eum habent, ad contrarium numquam abstracti. Nostri vero animi, dum quidem boni sunt, bona adpetunt; cum vero mali facti sunt, mala. Iidem vero a pravitate transeunt ad virtutem, si id curant; et a virtute ad pravitatem, si non curant : atque utrumque faciunt arbitratu suo, nulla necessitate coacti. Quare nullius pravitatis caussa in Deum conferri potest. Etsi enim fecit animum qui ma-

κακύνεσθαι πεφυκυῖαν, διὰ τὸ μὴ τὰ πρῶτα μόνον παραγαγεῖν, ἀλλὰ καὶ τὰ μέσα καὶ τὰ ἔσχατα· ἵνα καὶ τέλειον τὸ πᾶν οὕτως ἀποτελεσθῇ, καὶ τὰ πρῶτα ὄντως πρῶτα μένῃ, καὶ μὴ ἔσχατα, καὶ ἄγονα, καὶ ἀδρανῆ, καὶ ὑλικὰ γένηται· ἐποίησε μὲν οὖν διὰ τοῦτο καὶ τὴν πεφυκυῖαν κακύνεσθαι ψυχὴν, ἀγαθὸς ὢν, διὰ τὸν πλοῦτον τῆς αὐτοῦ ἀγαθότητος· ἀλλ' οὐ συνεχώρησεν ἄλλως αὐτὴν κακύνεσθαι, εἰ μὴ αὐτὴ θελήσει.

Πρὸς δὲ τοὺς λέγοντας τὴν εἱμαρμένην περιφορὰν μὴ μόνον τὰς πράξεις ἡμῶν, ἀλλὰ καὶ τὰς αἱρέσεις ἀναγκάζειν, καὶ μηδὲν ἐφ' ἡμῖν ἀπολείπειν, ἀλλ' ὄνομα μόνον εἶναι τοῦτο τὸ ἐφ' ἡμῖν, ῥητέον, ὡς, εἴπερ ἀγένητος καὶ ἄφθαρτός ἐστιν ἡ λογικὴ ψυχὴ, (ὅπερ νῦν ὡς ὑποκείμενον εἰλήφθω, ἀποδεδειγμένον ἐν ἄλλοις, κἂν οἱ ἀπὸ τῆς Στοᾶς ἀλλοιότερόν τι περὶ αὐτῆς δοξάζωσιν·) εἰ γοῦν ἀγένητος καὶ ἄφθαρτός ἐστιν ἡ λογικὴ ψυχὴ, αὕτη μὲν οὐκ ἂν ὑπὸ τῶν κινουμένων αἰτίων ὑφίστασθαι λέγοιτο· τὸ δὲ ὄργανον αὐτῆς, τοῦτ' ἔστι, τὸ ζῶον, ὅπερ ἐστὶ τὸ σῶμα, τὸ τῆς ζωῆς μετέχον, τοῦτο ἐκεῖθεν παράγεται. Τὰ γὰρ κινούμενα αἴτια, κατὰ τὴν διάφορον πρὸς τὰ τῇδε σχέσιν, ἄλλοτε ἄλλων ἐστὶν ὑποστατικά· τὸ δὲ ὄργανον οἰκεῖον παράγεται τῇ χρησομένῃ ψυχῇ. Ὥσπερ οὖν ἀπὸ τῆς τῶν τεχνικῶν ὀργάνων διαφορᾶς δυνατόν ἐστι τοὺς χρωμένους αὐτοῖς τεχνίτας ἐπιγινώσκειν, ὅτι ταῦτα μὲν τέκτονος, ἐκεῖνα δὲ οἰκοδόμου, καὶ ἄλλα χαλκέως· καὶ οὐχ ὁλοσχερῶς μόνον οὕτως, ἀλλὰ καὶ τὰς ἕξεις τῶν χρωμένων αὐτοῖς τεχνιτῶν, καὶ τὰς ἐν τῇ τέχνῃ ὀρέξεις, καὶ τὰ ἀποτελέσματα, δυνατὸν ἀπὸ τῶν ὀργάνων διαγινώσκειν· οἱ γὰρ περιττόν τι κατὰ τὰς τέχνας ἔχοντες, καὶ τοῖς ὀργάνοις ἀκριβεστέρον κέχρηνται· οὕτως οἱ περὶ τὴν ἀστρολογίαν δεινοὶ, τὴν τοῦ ὀργάνου φύσιν ἀπὸ τῆς τῶν αἰτίων διαφορᾶς ὁρῶντες, καὶ περὶ τῆς ἕξεως τῆς τῷ ὀργάνῳ χρησομένης στοχάζονται, καὶ τὰ πολλὰ ἐπιτυγχάνουσιν· ὅτι αἱ πολλαὶ τῶν ψυχῶν, καὶ μάλιστα ἐν ταῖς μοχθηραῖς πολιτείαις, εἰς ἃς αἱ βεβαρυμμέναι ψυχαὶ ἀπὸ προτέρας ἀξίας συνάγονται, ἐκδιδοῦσαι τοῖς ὀργάνοις ἑαυτὰς περιττότερον, ὡς μηκέτι ὡς ὀργάνοις, ἀλλ' ὡς μέρεσιν οἰκείοις κεχρῆσθαι, κατ' ἐκεῖνα καὶ τὰς οἰκείας ὀρέξεις προβάλλονται. Ἔτι δὲ καὶ σύμφωνός ἐστιν ἡ εἱμαρμένη περιφορὰ τῇ προβολῇ τῶν ψυχῶν τῇ κατ' αὐτὴν ἐρχομένῃ εἰς τὴν γένεσιν, οὐκ ἀναγκάζουσα μὲν τὰς ψυχὰς τῶνδε ὀρέγεσθαι ἢ τῶνδε, σύμφωνος δὲ οὖσα ταῖς ὀρέξεσιν αὐτῶν. Ὥσπερ οὖν ἐν ταῖς πόλεσιν οἱ μὲν ἱεροὶ καιροὶ καὶ τόποι τοὺς θεοσεβεστέρους καὶ σπουδαιοτέρους εἰς ταὐτὸν συνάγουσιν, οἱ δὲ πρὸς τὰς δημώδεις ἡδονὰς ἐπιτήδειοι τοὺς μοχθηρότερον ζῶντας καὶ ἀναγωγότερον συναθροίζουσι, καὶ ἔστιν ἀπὸ τῶν καιρῶν καὶ τῶν τόπων καὶ περὶ τῆς ὀρέξεως καὶ ἕξεως τῶν συνιόντων στοχάζεσθαι· οὕτω καὶ ἀπὸ τῶν καιρῶν καὶ τῶν τόπων τῆς εἱμαρμένης περιφορᾶς περὶ τῶν συμφώνως αὐτῇ συνερχομένων εἰς γένεσιν ψυχῶν ἀποφαίνεσθαι. Ὅταν γὰρ τὸ κολαστικὸν εἶδος τῆς θείας ἀγαθότητος τῇ πρὸς τόνδε τὸν τόπον τῆς εἱμαρμένης σχέσει οἰκείως

lus fieri possit, eo quod non prima illa tantum condidit, sed media etiam, et postrema; ut ita universum perfectum redderetur, et prima vere prima manerent, non autem extrema, sterilia, imbecilla evaderent, materiæve permiscerentur: fecit igitur quidem animum qui malus fieri posset, Deus qui bonus est, ob divitias suæ bonitatis; nec tamen aliter eum fieri malum passus est, nisi ille ipse voluisset.

Adversus eos autem, qui dicunt, fatali conversione siderum non actiones modo nostras, sed et adpetitiones cogi, nec liberum quidquam nobis relinqui, nec aliud nisi nomen inane esse Libertatem, dicendum est: siquidem rationis particeps animus ortus atque interitus expers sit, (quod nunc ut concessum sumatur, demonstratum alibi; licet Stoici aliter de eo sentiant:) si igitur ortus atque interitus expers sit animus ratione præditus, non potest ille dici a mobilibus caussis effici atque constitui: sed instrumentum ejus, hoc est, animal, quod est corpus vitæ particeps, hoc inde ductum est. Mobiles enim caussæ pro diversa ad terrena habitudine, alias alia efficiunt: instrumentum vero efficitur aptum animo, qui eo est usurus. Quemadmodum igitur e discrimine instrumentorum artis usuros eis artifices cognoscere licet, hæc esse fabri lignarii, illa murarii, ista fabri ærarii; neque sic in genere tantum, sed et habitus utentium eis artificum, et artis effectiones atque opera, ex instrumentis dignosci possunt; (nam qui in artibus excellunt, etiam instrumentis exquisitioribus utuntur:) sic astrorum periti, instrumenti naturam e caussarum discrimine perspicientes, etiam de habitu ejus qui instrumento sit usurus, conjecturam capiunt, ac frequenter quidem recte conjiciunt. Nam plerique animi, in corruptis præsertim rebuspublicis, in quas pristina culpa pressi detruduntur, cum sese instrumentis effuse dediderunt, ita ut eis non amplius pro instrumentis, sed veluti partibus suis utantur, adpetitiones etiam suas illis prorsus adcommodant. Ad hæc consentanea est etiam fatalis siderum conversio cum motibus animorum, qui per id tempus in mundum ingrediuntur; non ita quidem ut ea cogat animos hæc aut illa adpetere, sed ut cum eorum adpetitionibus consentiat. Quemadmodum igitur in urbibus sacra tempora et loca religiosiores homines eodem congregant; ad populares vero voluptates idonea congregant eos qui pejus vivunt et petulantius; atque ita e locis et temporibus etiam de adpetitione et habitu eorum qui conveniunt capi conjectura potest: sic etiam e tempóribus et locis fatalis conversionis de animis qui ei convenienter generantur, pronuntiare licet. Cum enim ultrix divinæ bonitatis forma convenit cum habitu quem servat siderum situs respectu

ἔχῃ, τότε εἰς ἐκεῖνον τὸν τόπον αἱ κολάσεως δεόμεναι ψυχαὶ καταπέμπονται. Συναγωγὸς γὰρ ἐν πᾶσιν ἡ ὁμοιότης καὶ οἰκειότης ἐστίν.

Οὐκ ἀναγκάζει τοίνυν τὰς ὀρέξεις τῶν ψυχῶν ἡ εἱμαρμένη, οὐδὲ τὸ ἐφ' ἡμῖν ἀναιρεῖ, ἀλλὰ σύμφωνοι ἐκεῖναι ποτὲ μὲν πρὸς τήνδε, ποτὲ δὲ πρὸς τήνδε τὴν εἱμαρμένην εἰσί· καὶ τοῖς κατ' ἀξίαν κατασκευαζομένοις ὀργάνοις, ὅπερ εἶπον πρότερον, συντυπούμεναι· εἰκότως ἀπὸ τῆς εἱμαρμένης περιφορᾶς, ὁποίας ἕξουσι τὰς ὀρέξεις, γινώσκονται. Καὶ αἱροῦνται μὲν τοὺς βίους αἱ ψυχαὶ κατὰ τὴν προτέραν ἑαυτῶν τῆς ζωῆς ἀξίαν καὶ ἕξιν· τοῦ δὲ εὖ ἢ κακῶς χρήσασθαι τοῖς βίοις ἐν ἑαυταῖς τὴν ἐξουσίαν ἔχουσι. Διὸ καὶ ἐμπορικὸν βίον ἑλόμενοί τινες, εὖ ζῶσι πολλάκις· καὶ φιλοσοφεῖν δοκοῦντες, ἀσχημονοῦσι· διότι τὰ μὲν εἴδη τῶν βίων αὐτὰ, οἷον γεωργικὸν, ἢ ἐμπορικὸν, ἢ μουσικὸν βίον, αὐταί τε αἱ ψυχαὶ κατὰ τὴν προτέραν ἑαυτῶν ἕξιν αἱροῦνται, καὶ τὸ Πᾶν αὐταῖς ἀφορίζει κατὰ τὴν ἀξίαν· τὴν δὲ ποιότητα τῆς ζωῆς ἀφ' ἑαυτῶν προτιθέασιν αἱ ψυχαί. Διὸ καὶ ἐπαίνου καὶ ψόγου τυγχάνουσιν ἐπὶ ταῖς διαφόροις προαιρέσεσιν. Ἀλλ' οὐδὲ φαῦλόν τι ἀπὸ τῆς εἱμαρμένης ἐνδίδοται, ὥσπερ τολμῶσι λέγειν, ὅτι πανοῦργοι, καὶ παιδερασταὶ, καὶ μοιχοὶ γίνονται. Κἂν γὰρ ἀληθεύωσί τινες τῶν ἀστρολόγων ταῦτα προλέγοντες, τοῦτο συμβαίνει, τὴν τοιάνδε ἐκεῖθεν ἰοῦσαν ἰδιότητα ἀσυμμέτρως δεχομένων ἡμῶν ἢ συμμέτρως. Καὶ γὰρ φρονήσεως παράλλαξις, καὶ πανουργία[ν]** ποιεῖ· καὶ τὸ παιδεραστικὸν ἰδίωμα οἱ μὲν συμμέτρως ὑποδεχόμενοι, σωτῆρες καὶ εὐεργέται γίνονται τῆς νεότητος· οἱ δὲ ἀσυμμέτρως, ὀλέθριοι καὶ διαφθορεῖς. Ἐπεὶ καὶ εἰς τὰς ἡλιακὰς ἀκτῖνας ἀσυμμέτρως ἀτενίζων τις, πηροῦται καὶ σκοτίζεται τὴν ὄψιν· καίτοι φωτοδότης ὁ ἥλιος καὶ τοῦ ὁρᾶν καὶ ὁρᾶσθαι αἴτιος. Πόθεν οὖν οἱ ἀστρολόγοι γινώσκοντες, τίνες συμμέτρως, καὶ τίνες ἀσυμμέτρως μεθέξουσι, τοὺς μὲν φρονίμους, τοὺς δὲ πανούργους ἔσεσθαι λέγουσιν; ἢ ἄρα δυνατὸν ἐνεῖναι τούτων τεκμήρια ταῖς σχηματογραφίαις· τὰ μὲν φανερὰ, ὥσπερ ἡ ἐν καρκίνῳ τοῦ ἡλίου θέσις, [τοῦ] ἀσυμμετρότερον ὑφ' ἡμῶν μετέχεσθαι· τὰ δὲ καὶ ἀφανῆ τοῖς τὴν τέχνην ἀγνοοῦσι τὴν ἀστρολογικήν; Ὅτι γὰρ τὰ κατὰ φύσιν ἔχοντα ἀεὶ, καὶ τὴν δημιουργικὴν φυλάττοντα φύσιν, καὶ δύναμιν ἔχοντα τὴν ἀκροτάτην, πάντως καὶ βούλησιν ἀγαθὴν ἔχει, καὶ κακοῦ οὐδενὸς αἴτιά ἐστι, πρόδηλον. Πᾶσα γὰρ κακία διὰ ἀδυναμίαν συμβαίνει, εἴπερ ἡ δύναμις ἀγαθόν τι ἐστίν. Ἡ μέντοι ἀσύμμετρος καὶ τῶν ἀγαθῶν μέθεξις βλαβερὰ γίνεται πολλάκις. Ταῦτα μὲν οὖν καὶ πρὸς τοὺς ἀπὸ τῆς εἱμαρμένης τὸ ἐφ' ἡμῖν ἐπιχειροῦντας ἀναιρεῖν εἰρήσθω.

Νυνὶ δὲ λεγέσθω πρὸς πάντας, ὅτι οἱ τὸ ἐφ' ἡμῖν ἀναιροῦντες καὶ τὸ αὐτεξούσιον τῆς ψυχῆς ἀγνοοῦσι τὴν οὐσίαν τῆς ψυχῆς διὰ τοῦτο φθείροντες. Τὸ γὰρ αὐτοκίνητον αὐτῆς ἀναιροῦσι, καθ' ὃ μάλιστα οὐσίωται. Εἴτε γὰρ αὐτοκίνητός ἐστιν, ἔνδοθεν ἀφ' ἑαυτῆς ἐγείρεται πρὸς τὰς ὀρέξεις καὶ τὰς ὁρμὰς, καὶ οὐχ ἔξωθέν

talis cujusdam loci; tum in eum locum demittuntur animi, qui castigatione egent. In omnibus enim vim congregandi similitudo et necessitudo habet.

Non cogit igitur fatum adpetitiones animorum, neque libertatem tollit; sed ipsi animi nunc cum hoc, nunc cum alio fato consentiunt: et quoniam pro sua dignitate paratis instrumentis, quod modo dicebam, conformantur, mirum non est, quas adpetitiones habituri sint, e fatali conversione cognosci. Ac vitæ quidem genus amplectuntur animi pro suæ prioris vitæ dignitate et habitu: vita autem bene aut male utendi facultatem in semet ipsis habent. Unde fit, ut nonnulli mercatoriam amplexi vitam, bene vivant; et qui philosophiæ studium præ se ferunt, turpiter se gerant: quoniam vitæ quidem genus ipsum, veluti rusticum, aut mercatorium, aut musicum, tum ipsi animi pro suo pristino habitu sortiuntur, tum eis pro merito adsignat Deus; vitæ autem qualitatem, animi suo arbitratu adjungunt. Proinde et laudem inveniunt, et reprehensionem incurrunt, pro diversa vitæ ratione. Ac ne improbum quidem quidquam a Fato infertur, ut quidam adfirmare non dubitant; eo quod callidi, puerorum amatores, atque adulteri nascantur. Etsi enim quidam astrologi vere hæc prædicunt; eo id accidit, quod nos talem proprietatem inde ortam vel moderate vel immoderate suscipimus. Nam et ex prudentiæ abusu fit scelesta vafrities; et qui naturalem indolem ad puerorum amorem pronam moderate suscipiunt, hi servatores et benefactores evadunt adolescentulorum; qui vero immoderate, pestes eorum et corruptores evadunt. Nam et qui solares radios oculis non conniventibus intuetur, obscurato visu occæcatur; quamvis sol largitor sit luminis, auctorque videndi omnibus. Unde igitur cognoscunt astrologi, quinam moderate, qui immoderate naturalem illam indolem suscepturi sint; quo fit, ut alios prudentes, alios callidos fore dicant? aut fierine potest, ut insint harum rerum notæ quædam in illis figurarum cœlestium descriptionibus, aliæ quidem perspicuæ omnibus; cujusmodi illud est, quod sol Cancrum peragrans significat, immoderate nos illam suscepturos; aliæ vero obscuræ et ignotæ iis, qui artem ignorant astrologicam? Nam, quæ mentes semper secundum naturam se habent, et creatricem servant naturam, summaque potentia præditæ sunt, eas omnino voluntatem etiam habere bonam, et nullius mali esse caussam, constat. Omnis enim malitia ex imbecillitate oritur; siquidem vires bonum quiddam sunt. Veruntamen immoderata bonorum etiam susceptio nociva fit nonnunquam. Atque hæc iis responsa sint, qui propter Fatum voluntatis libertatem tollere conantur.

Nunc vero adversus omnes dicatur: eos, qui id, quod in nostra potestate est, et animi libertatem, tollant, hoc ipso naturam animi imprudentes tollere. Nam proprium illius motum tollunt; in quo natura ejus imprimis consistit. Sive enim proprium motum habet, intrinsecus e semet ipso excitatur ad adpetitiones et ad capiendos impetus, nec extrin-

ποθεν ἑλκομένη ἢ ὠθουμένη, ὥσπερ τὰ σώματα· εἴτε ἔξωθεν κινεῖται, οὐκ ἔστιν αὐτοκίνητος. Ἔπειτα τὴν ζωτικὴν ἐκτένειαν τῆς ψυχῆς, καὶ τὴν συγκατάθεσιν αὐτῆς καὶ ἀπάρνησιν οὐ προσλογίζονται οἱ τὸ ἐφ' ἡμῖν ἀναιροῦντες. Τίς δὲ οὐκ ἔχει συναίσθησιν τοῦ θέλειν καὶ μὴ θέλειν, καὶ τοῦ αἱρεῖσθαι καὶ ἐκκλίνειν, καὶ τοῦ συντίθεσθαι καὶ ἀπαρνεῖσθαι; ἅπερ πάντα ἔνδοθέν εἰσι κινήσεις ἀπ' αὐτῆς τῆς ψυχῆς, καὶ οὐκ ἔξωθεν ὠθισμοὶ ἢ ὁλκαί τινες, ὡς ἐπὶ τῶν ἀψύχων. Ταύτῃ γὰρ διαφέρει τὰ ζῶντα σώματα τῶν ἀψύχων, ὅτι ἔνδοθεν κινεῖται. Εἰ δὲ τοῦτο ἀληθές ἐστι, τὸ κινοῦν αὐτὰ αὐτοκίνητόν ἐστι, καὶ οὐχ ἑτεροκίνητον. Εἰ γὰρ ἔξωθεν ἐκεῖνο ἐκινεῖτο, καὶ τὸ σῶμα ἂν πρῶτον ὑπ' ἐκείνου ἐκινεῖτο τοῦ ἔξω, ὡς πρότερον εἴρηται, καὶ οὐκ ἔτι ἔνδοθεν, ἀλλ' ἔξωθεν ἂν ἦν κινούμενον, καὶ παραπλησίως τοῖς ἄλλοις ἀψύχοις καὶ αὐτὸ ἄψυχον ἂν ἦν. Ἔτι δὲ οἱ τὸ ἐφ' ἡμῖν ἀναιροῦντες, καὶ τὸ θέλειν, καὶ τὸ μὴ θέλειν, καὶ αἵρεσιν, καὶ προαίρεσιν, καὶ ὄρεξιν, καὶ ἔκκλισιν, καὶ ὁρμὴν, καὶ τὰ τοιαῦτα· οὗτοι καὶ τὴν ἀρετῆς καὶ κακίας ψυχικῆς διαφορὰν ἀναιροῦσι, καὶ ἔπαινον καὶ ψόγον οὐκ ἀπολείπουσι δίκαιον, ἀλλὰ καὶ τοὺς ἐπὶ τούτοις καλῶς κειμένους νόμους ἀνατρέπουσι. Καὶ ὅρα, ὁποῖος ἔτι εἴη τῶν ἀνθρώπων ὁ βίος, τούτων ἀναιρουμένων· ὅτι τοῦ τῶν θηρίων.οὐδὲν ἀπέχων.

Τί οὖν; φαίη τις ἄν· οὐκ ἀναγκαζόμενοι πολλάκις ὑπὸ τυράννων, ἢ ὑπὸ παθῶν οἰκείων, καὶ συμπαθειῶν, ἢ ἀντιπαθειῶν, αἱρούμεθα τάδε τινὰ ποιεῖν ἢ πάσχειν, καὶ μὴ βουλόμενοι; καὶ πῶς τὸ ἐφ' ἡμῖν ἔτι τότε καὶ αὐτεξούσιον ὁραθήσεται; Λέγω τοίνυν, ὅτι καὶ τότε ἡ αἵρεσις αὐτεξούσιός ἐστι. Κἂν γὰρ προηγουμένως οὐκ ἦν αἱρετὸν ἐκεῖνο ἐφ' ὃ δι' ἀνάγκην φερόμεθα, ἀλλ', ὡς πρὸς ἄλλο τι χεῖρον παραβαλλόμενον, αἱρετὸν δοκεῖ, καὶ αἱρούμεθα αὐτό. Καὶ ἀδύνατον, ποιῆσαί τι, μὴ πρότερον ἐπινεύσαντα πρὸς τὸ ποιῆσαι. Ὁ γὰρ ἄνευ τοῦ ἑλέσθαι ποιεῖν τι δοκῶν, ὥσπερ ὁ ἐμπίπτων τινὶ ἄκων ἀπ' ἄλλου ὠθούμενος, οὗτος ἀψύχου δίκην ποιεῖ· καὶ οὐδὲ ποιεῖν ἂν λέγοιτο τότε κυρίως, ἀλλὰ πάσχειν. Διὸ, κἂν ἀκουσίως ποιῶμεν, ἀλλ' αἱρούμεθα ὅμως καὶ οὕτω ποιῆσαι. Τοιγαροῦν τῆς αὐτῆς ἀνάγκης ἐπαχθείσης, οἱ μὲν εἵλοντο ποιεῖν τὸ ἐπιταχθὲν, δέει μείζονος κακοῦ· οἱ δὲ οὐχ εἵλοντο, μεῖζον κακὸν ποιῆσαι τὸ ἐπιταχθὲν τοῦ ἀπειλουμένου τοῖς μὴ ποιοῦσι νομίζοντες. Οὕτως ἄρα καὶ ἐν τοῖς ἀκουσίως τι ποιεῖν δοκοῦσι σώζεται τὸ ἐφ' ἡμῖν καὶ τὸ αὐτεξούσιον. Οὐ γὰρ ταὐτὸν τὸ ἑκούσιον, καὶ τὸ ἐφ' ἡμῖν· ἀλλ' ἑκούσιον μὲν τὸ προηγουμένως αἱρετόν· ἐφ' ἡμῖν δὲ, οὗ τὴν ἐξουσίαν ἔχομεν εἰς τὸ αἱρεῖσθαι, εἴτε προηγουμένως, εἴτε δι' ἀποφυγὴν κακοῦ μείζονος. Καὶ ἔστι δὲ ὅτε καὶ τὸ ἑκούσιον συμμίγνυται τῷ ἀκουσίῳ, ὅταν καὶ τὸ αἱρετὸν μὴ καθαρῶς αἱρετὸν ᾖ, ἀλλὰ καὶ ἀναιρέτου μετέχῃ. Καὶ καλῶς ὁ Ὅμηρος τὴν τοιαύτην ἐν τῇ ψυχῇ μῖξιν ἐνεδείξατο τοῦ ἑκουσίου καὶ τοῦ ἀκουσίου, διὰ τοῦ, « Ἑκὼν ἀέκοντί γε θυμῷ. »

Ταῦτα εἰλόμην μηκῦναι, διότι πᾶς σχεδὸν ὁ προ-

secus alicunde trahitur aut impellitur, ut corpora : sive extrinsecus movetur, proprium non habet motum. Deinde vitalem animi vim, et adsensionem, et negationem, non considerant ii, qui voluntatis libertatem tollunt. Quis vero in se ipse non animadvertit, se velle et nolle? amplecti et declinare? adsentiri et refragari? quæ omnia interni sunt ipsius animi motus, non externæ quædam impulsiones aut attractiones, ut in rebus inanimis. Hoc enim viva corpora differunt ab inanimis, quod intrinsecus moventur. Quod si verum est, id a quibus illa moventur, proprium motum habet, nec aliunde movetur. Nam si extrinsecus illud moveretur, etiam corpus primum ab eo quod extrinsecus est moveretur, ut ante dictum est, neque adeo amplius intrinsecus, sed extrinsecus commotum esset, et haud secus ac aliæ res inanimæ ipsum quoque inanimum foret. Præterea qui libertatem tollunt, qui velle et nolle, qui delectum et consilium, qui adpetitionem et declinationem, similesque animorum motus tollunt; hi simul discrimen etiam virtutis et pravitatis animorum tollunt, nec laudationem aut vituperationem justam relinquunt; quin etiam leges hisce de rebus præclare latas evertunt. His vero sublatis, vide, vita cujusmodi sit futura. Nempe ab immanitate belluarum nihil distabit.

Quid igitur? dicat aliquis : nonne sæpe a tyrannis aut a nostris adfectibus, amore atque odio coacti, alia atque alia suscipimus, aut admittimus, non volentes? quo pacto ergo tum adhuc potestas nostra et libertas cernetur? Respondeo, etiam tunc delectum sui juris esse. Quamvis enim principaliter id optabile non sit, ad quod necessitate ferimur, tamen cum alio deteriori collatum, optabile videtur, itaque id amplectimur : neque fieri potest, quidquam ut agas, nisi prius consenseris te facturum esse. Nam qui non consulto aliquid facere videtur, ut qui nolens in foveam incidit impulsus ab alio; is inanimæ rei instar id facit, ac pati, quam agere, verius dicitur. Quare licet inviti agamus; tamen vel sic agere volumus. Proinde, eadem necessitate proposita, alii, majoris mali metu, facere volunt quod jubentur; alii nolunt, quod majus malum existimant id facere quod jubeantur, quam pœnas subire recusantibus propositas. Sic igitur in iis etiam qui inviti aliquid agere videntur, potestas et libertas nostra manet. Nec enim idem est voluntarium, et id quod in nostra potestate est : sed voluntarium id est, quod præcipue expetitur; in nostra vero potestate, quod amplecti possumus, sive propter sese, sive ob mali gravioris fugam. Fit vero etiam interdum, ut voluntarium cum invito misceatur; cum res expetenda non prorsus expetenda est, sed et partem ejus habet quod aversamur. Quam quasi mixturam voluntarii et inviti probe descripsit Homerus, cum ait : *Volens, invito pectore quamvis.*

Hæc copiosius exponere volui, quod omnis fere propo-

κείμενος λόγος ἀπὸ τῆς τοῦ ἐφ' ἡμῖν διαιρέσεως ἤρτηται. Παιδευτικὸς γὰρ ὤν, καλῶς εὐθὺς ἐξ ἀρχῆς διδάσκει, ποῦ τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὰ ἡμέτερα χρὴ τίθεσθαι, καὶ ὅτι, αὐτοκίνητοι ὄντες, ἐν ταῖς ἡμετέραις ἐνεργείαις ἔχομεν αὐτά. Τὰ μὲν γὰρ ἑτεροκίνητα, ὥσπερ τὸ εἶναι, οὕτω καὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν, ἑτέρωθεν ἔχουσι, κατὰ τὸ ἐγγινόμενον αὐτοῖς ἔξωθεν πάθος· τὰ δὲ αὐτοκίνητα, τῆς ἑαυτῶν κινήσεως καὶ ἐνεργείας αἴτια ὄντα, καὶ τὸ ἀγαθὸν τὸ ἑαυτῶν, καὶ τὸ κακὸν, ἐν ταύταις ἔχουσιν. Ἐνέργειαι δὲ αὐτῶν κυρίως, κατὰ μὲν τὸ γνωστικὸν, αἱ τῶν ὄντων ὑπολήψεις εἰσί· κατὰ δὲ τὸ ζωτικὸν καὶ ὀρεκτικὸν, αἵ τε ὀρέξεις καὶ ἐκκλίσεις, καὶ ὁρμαί. Διὸ, ὅταν μὲν ὀρθῶς ὑπολαμβάνωμεν, καὶ ὀρεγώμεθα καὶ ἐκκλίνωμεν δεόντως, τότε τὸ ἀγαθὸν ἑαυτῶν καὶ τὴν κατὰ φύσιν ἔχομεν τελειότητα· ὅταν δὲ μὴ, τὰ ἐναντία. Οἰκεῖα δὲ ἡμῶν ἐστιν ἔργα ταῦτα, ὡς ὑφ' ἡμῶν μόνων κατὰ τὴν ἡμετέραν αἵρεσιν ἐνεργούμενα. Αἱ μὲν γὰρ πράξεις αἱ περὶ τὰ ἐκτὸς, αἵ τε κατὰ τὰς τέχνας καὶ τὰς ἐν τῷ βίῳ χρείας, καὶ τὸ διδάσκειν καὶ παιδεύειν, καὶ εἴ τι τούτου σεμνότερον, πολλῶν δεῖται τῶν συναιρομένων· τὸ δὲ ὑπολαμβάνειν, καὶ αἱρεῖσθαι, ἡμῶν αὐτῶν ἐστιν ἴδια ἔργα, ἐν τῇ ἐξουσίᾳ τῇ ἡμετέρᾳ κείμενα. Διὸ καὶ ἐν ἑαυτοῖς τὸ ἀγαθὸν ἡμῶν καὶ τὸ κακὸν ἐστίν· οὐδεὶς γὰρ ἂν εὐθύνοιτο ἐπ' ἐκείνοις, ὧν οὐκ ἔστι κύριος.

Οὐχ, ὅτι μηδὲν ἐν τούτοις συντελεῖ ἡ ψυχὴ, διὰ τοῦτο ταῦτα οὐκ ἐφ' ἡμῖν εἶναι λέγεται· καὶ γὰρ τὸ σῶμα καὶ ἡ κτῆσις, προνοούσης μὲν αὐτῆς, καλλιόνως διατίθεται· ἀμελούσης δὲ, χειρόνως· καὶ πρὸς τὸ εὐδοξεῖν ἀφορμὰς αὕτη δίδωσι, καὶ ἀρχὰς διὰ σπουδῆς οἰκείας περιποιεῖται· καὶ οὐδ' ἂν ἄρχοι, μάλιστα ἐν ταύταις ταῖς πολιτείαις, μὴ καὶ αὐτῆς ἑλομένης· ἀλλ', ὅτι οὐ μόνη αὕτη κυρία ἐστὶ τούτων, ἀλλὰ καὶ ἄλλων δεῖται ταῦτα πολλῶν τῶν τῇ ψυχῇ συναιρομένων ἵνα γένηται, διὰ τοῦτο οὐκ ἐφ' ἡμῖν ταῦτα εἶναι φασί. Καὶ γὰρ τὸ σῶμα δεῖται μὲν καὶ τῶν ἐξ ἀρχῆς σπερμάτων ἐῤῥωμένων, καὶ συμπήξεως ὑγιοῦς· δεῖται δὲ καὶ εὐτροφίας, καὶ γυμνασίων, τόπων τε καὶ ἀέρων εὐκράτων, καὶ ὑδάτων χρηστῶν· καὶ ἐπὶ τούτοις πᾶσιν ἔκκειται τὸ ἰσχυρότερον ποιεῖν ὅ τι ἂν εἰς αὐτὸ βούληται. Καὶ τούτων οὐδενὸς ἡμεῖς ἐσμὲν κύριοι, πρὸς τὸ πάντη πάντως περιποιῆσαι ἢ ἀποσοβῆσαι. Πολεμίων γοῦν ἐπιόντων ἰσχυροτέρων, ἐβουλήθημεν ἂν ἀφανεῖς γενέσθαι· καὶ νοσοῦντες, ἀθρόως ὑγιᾶναι· καὶ ὅμως οὐκ ἐγγίνεται ἡμῖν. Ὁμοίως δὲ καὶ ἡ κτῆσις ἔχει, καὶ πρὸς περιποίησιν πολλῶν δεομένη τῶν συναιρομένων, καὶ πρὸς μείωσιν πολλοῖς τοῖς δυνατωτέροις ὑποκειμένη. Καὶ αἱ δόξαι δὲ αἱ περὶ ἡμῶν, οὐκ ἐφ' ἡμῖν εἰσι, κἂν ἀφορμάς τινας αὐταῖς καὶ ἡμεῖς παρεχώμεθα, ἀλλ' ἐπὶ τοῖς δοξάζουσιν. Ἐπ' αὐτοῖς γάρ ἐστιν ὁποῖα βούλονται ὑπολαμβάνειν. Τοιγαροῦν καὶ ἀσεβοῦντες πολλάκις περὶ τὸ θεῖον, αὐτοί τε εὐσεβεῖν ἑαυτοὺς ἡγοῦνται, καὶ ὑπὸ τῶν ἄλλων τοιοῦτοι νομίζονται. Καὶ τὸ ἐναντίον ἄλλοι σεμνοτέρας καὶ μεγαλειοτέρας ὑπολή-

tus sermo ab eorum divisione pendet, quæ in nostra potestate sunt et non sunt. Nam cum is ad institutionem animi pertineat; bene statim initio, ubi nostrum bonum et malum sit collocandum, exponit: et, quia nostra sponte moveamur, id in actionibus nostris habere nos, docet. Nam quæ aliunde moventur, ut naturam, sic et bonum suum et malum aliunde habent, pro ea adfectione quæ extrinsecus eis accedit: quæ vero intrinsecus moventur, cum suorum motuum et actionum sint caussæ, bonum quoque suum et malum in his habent. Sunt autem illorum propriæ actiones, quod ad cognitionem spectat, *opiniones* de rebus susceptæ; quod ad vitam regendam et ad adpetendi vim spectat, *adpetitiones*, *declinationes* et *impetus*. Quare cum recte opinamur, atque ita uti par est adpetimus et declinamus; tunc etiam bonum nostrum et perfectionem naturæ convenientem habemus: sin minus, contraria. Sunt autem hæc *propria nostra opera;* ut quæ a nobis solis, arbitratu nostro, perficiantur. Nam eæ quidem actiones, quæ circa res externas versantur, cum circa artes, tum circa vitæ commoditates, atque etiam doctrina et disciplina, et si quid his est præstantius, multis egent adjumentis: sed mentis judicia atque decreta, nostra propria sunt opera, et in potestate nostra sita. Quare et in nobis ipsis bonum et malum nostrum situm est: nemo enim ea præstare cogitur, quæ in sua potestate non habet.

In nostra potestate esse hæc (*corpus* etc.) negat, non quin animus ad hæc quoque et horum contraria aliquid conferat; (nam et corpus, et res familiaris, animo curante, rectius gubernantur; destituente, pejus: idemque animus suo studio et gloriam et principatum parat; imo ne magistratum quidem gereret quisquam, in his præsertim rebuspublicis, nisi ipse voluisset:) sed quod in his rebus animus non solus dominetur, verum ad ea consequenda multis aliis adjumentis egeat. Nam *corpus* firmum a primo sui ortu semen, et sanam coagmentationem flagitat; tum vero et bonum victum, et exercitationes; salubria loca, salubrem aerem, aquas bonas. Quæ si etiam omnia suppetant, est illud tamen potestati cujusque fortioris obnoxium. Neque vero quidquam horum nostri arbitrii est, ut ea omnino vel consequamur omnia, vel propulsemus. Hostibus certe ingruentibus fortioribus, vellemus nos a nemine conspici; ægrotantes, subito convalescere vellemus: neutrum tamen horum nobis datur. Eadem est et *opum* ratio: ad quas parandas ut multis adjumentis est opus, sic eædem a multis potentioribus immminui possunt. *Existimatio* quoque *de nobis*, non est sita in nobis, quamvis occasiones quasdam ei præbeamus ipsi, sed in iis qui de nobis existimant. Penes eos enim est, existimare quæ voluerint. Itaque sæpe cum numen impie violent homines, tamen et sibi ipsi et aliis religiosi videntur. Contraque alii, qui honestius et magnificentius de numine sentiunt, et humana quædam et vilia de eo profiteri recu-

ψεις ἔχοντες περὶ τοῦ θείου, καὶ ἀνθρωπικὰ καὶ εὐτελῆ παραιτούμενοι περὶ αὐτοῦ λέγειν, ἀσεβεῖς παρά τινων ὑπολαμβάνονται· καὶ τοὺς σωφρονοῦντας, ἠλιθίους ἡγοῦνταί τινές. Οὕτω τὸ εὐδοξεῖν οὐκ ἐφ' ἡμῖν ἐστιν, ἀλλ' ἐπὶ τοῖς περὶ ἡμῶν τοίως ἢ τοίως δοξάζειν ἑλομένοις. Αἱ δὲ ἀρχαὶ, καὶ τῶν ἀρχομένων δέονται, καὶ τῶν πρὸς τὸ ἄρχειν συναιρομένων. Ἐν αἷς δὲ πολιτείαις καὶ ὤνιοί εἰσιν αἱ ἀρχαὶ, καὶ πολλοῦ χρυσίου ἀποδιδόμεναι, ἐν ταύταις ὁ χρημάτων ἀπορῶν οὐκ ἂν εἰς ἀρχὴν παρέλθοι, κἂν πάνυ βούλοιτο. Οὕτω τὰ τοιαῦτα πάντα τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν, οὐκ ὄντα ἡμέτερα ἔργα. Ἐν δὲ τῇ διαιρέσει τῶν οὐκ ἐφ' ἡμῖν προτάττει τὸ σῶμα· διὰ γὰρ τοῦτο εἰς χρείαν τῶν οὐκ ἐφ' ἡμῖν ἐμπεπτώκαμεν. Διὰ γὰρ τὰ χρήματα πάντες οἱ πόλεμοι· ταῦτα δὲ ἀναγκαζόμεθα κτᾶσθαι διὰ τὴν τοῦ σώματος θεραπείαν.

[IN CAP. I, § 2.] Εἰπὼν, τίνα μὲν τὰ ἐφ' ἡμῖν, τίνα δὲ τὰ οὐκ ἐφ' ἡμῖν, ἐφεξῆς ὁποῖά ἐστιν ἑκάτερα παραδείκνυσιν· ὅτι τὰ μὲν ἐφ' ἡμῖν, ἐλεύθερα· ὅτι οὔτε γενέσθαι ἀναγκάζεται ὑπ' ἄλλων, οὔτε κωλύεται, οὔτε ἄλλος ἔχει τὴν ἐξουσίαν τῆς χρήσεως αὐτῶν. Τοιοῦτον γάρ ἐστι τὸ ἐλεύθερον, αὐτεξούσιον ὑπάρχον, καὶ κύριον τῆς ἑαυτοῦ χρήσεως. Τὰ δὲ οὐκ ἐφ' ἡμῖν, τοῖς πορίζειν ἢ κωλύειν δυναμένοις ὑποκείμενα, δεσπότας ἐκείνους ἔχει, καὶ δοῦλα ἐκείνων ἐστί. Καὶ τὰ μὲν ἀρκοῦντα αὐτοῖς, εὐσθενῶς διάκειται, τὰ δὲ ἄλλων χρήζοντα, ἀσθενῆ καὶ ἐνδεῆ εἰσι. Καὶ τὰ μὲν ἀκώλυτά ἐστιν, ὡς αὐτεξούσια· (τίς γὰρ κωλύσει τοίως ἢ τοίως ὑπολαβεῖν, ἢ ὀρεχθῆναί τινος, ἢ ἀπαρεσθῆναι;) τὰ δὲ οὐκ ἐφ' ἡμῖν, καὶ πορίζεσθαι καὶ ἀφαιρεῖσθαι ὑπ' ἄλλων πεφυκότα, ὑπ' ἐκείνων καὶ κωλύεται πολλάκις, ἢ μὴ γινόμενα, ἢ ἀφαιρούμενα. Δῆλον δὲ, ὅτι τὰ μὲν ἐφ' ἡμῖν, ἡμέτερα ὄντα ἔργα, ἴδια ἡμῶν ἐστι· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ὡς ἐν ἄλλων ἐξουσίᾳ κείμενα, ἀλλότριά ἐστιν. Ὥστε καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ, τὰ μὲν τῶν ἐφ' ἡμῖν, οἷον τὸ ἀληθῶς ὑπολαμβάνειν ἢ ψευδῶς, ἢ ὀρθῶς ὀρέγεσθαι, ἢ πλημμελῶς, ἡμέτερά ἐστιν ἀγαθὰ ἢ κακά· τὰ δὲ τῶν οὐκ ἐφ' ἡμῖν, οὐχ ἡμέτερα· ἀλλὰ τὰ μὲν τοῦ σώματος, τοῦ ὀργάνου τοῦ ἡμετέρου· τὰ δὲ τοῦ δοξαρίου, ἔτι πορρώτερον.

[IN § 3.] Εἰπὼν, τίνα τὰ ἐφ' ἡμῖν, καὶ τίνα τὰ οὐκ ἐφ' ἡμῖν ἐστι, καὶ ὁποῖα ἑκάτερά ἐστι, καὶ ὁποίαν ἔχοντα πρὸς ἡμᾶς σχέσιν· ὅτι τὰ μὲν ἐφ' ἡμῖν, ἴδιά ἐστι, τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀλλότρια· παραινεῖ λοιπὸν συμφώνως ἡμᾶς τῇ φύσει αὐτῶν, καὶ μὴ παρηλλαγμένως, περὶ αὐτὰ ἀναστρέφεσθαι. Ταῦτα γὰρ εὐδαιμονίας ἡμῖν καὶ κακοδαιμονίας αἴτια γίνονται. Τὸ μὲν γὰρ τυγχάνειν τῶν ἀγαθῶν, καὶ κακῷ μηδενὶ περιπίπτειν, εὐδαίμονας ποιεῖ· τὸ δὲ τῶν ἀγαθῶν καὶ ὠφελίμων ἀποτυγχάνειν, ἢ περιπίπτειν τοῖς βλαβεροῖς, κακοδαίμονας. Εἰ οὖν τὸ ἀγαθὸν ἡμῶν ἐστιν ἐν τῷ κατὰ φύσιν ὀρέγεσθαι καὶ ἐκκλίνειν, ταῦτα δὲ ἐν τοῖς ἐφ' ἡμῖν ἐστιν, ἐν τούτοις ζητητέον τὸ ἀγαθόν· ἵνα τύχωμεν πάντως ζητοῦντες, διὰ τὸ κύριοι εἶναι τοῦ τυχεῖν, (εἴπερ κύριοι τοῦ ὀρέγεσθαι καὶ ἐκκλίνειν κατὰ φύσιν ἐσμέν·) καὶ μὴ οὐκ

sunt, a nonnullis impii existimantur; et frugi homines a nonnullis pro bardis habentur. Ita nec *gloria* nostri arbitrii est; sed illorum quibus hoc aut illo modo sentire de nobis libuit. Jam *magistratus* sine populo qui pareat, et absque ministris qui operam navent, constare non potest. In quibus vero civitatibus venales sunt magistratus, multoque auro addicuntur, inops pecuniæ nullum ad magistratus habebit aditum, quantumvis eos adpetat. Sic ista omnia non in potestate nostra sita sunt, quia non sunt *actiones nostræ*. Primo autem loco in illa divisione rerum, quæ in nostra non sunt potestate, *corpus* recenset; quod propter id egere iis rebus cœpimus, quæ in nostra potestate non sunt. Omnium enim bellorum pecunia caussa est; illam autem ob victum et cultum corporis adsciscere cogimur.

[IN I, § 2.] Postquam dixit, quæ nostra, quæ aliena sint; nunc cujusmodi utraque sint, declarat. *Nostra, esse libera;* quod neque, ut fiant, cogi ab aliis, *nec* quo minus fiant, *prohiberi possunt,* neque alius iis utendi potestatem habet. Talis enim est libertas, quæ sui juris est, et potestatem habet sui usus. *Aliena* vero, iis obnoxia, qui ea vel præbere vel prohibere possunt, dominos illos habent, iisque *serviunt*. Et ea quidem, quæ sibi ipsa sufficiunt, robusta et firma sunt: quæ vero alienam opem desiderant, *imbecilla* et egena. Illa *prohiberi* nequeunt, cum sui juris sint: quis enim nos prohibebit hoc aut illo modo opinari, adpetere, aversari? Aliena vero, quæ ab aliis et conferri et auferri possunt, sæpe quoque prohibentur, cum vel non tribuuntur, vel adimuntur. Perspicuum est igitur, ea quæ in nostra potestate sunt, utpote nostras effectiones, nobis esse propria: quæ vero penes nos non sunt, in aliorum sita potestate, ea esse *aliena*. Quare et bona et mala earum rerum, quæ in nostra potestate sunt, ut recte sentire, aut male, recte adpetere vel perperam, nostra bona sunt aut mala. Quæ vero ad res pertinent extra nostram potestatem positas, nostra non sunt: sed partim corporis, instrumenti nostri; partim gloriolæ, remotiora etiam a nobis.

[IN § 3.] Postquam exposuit, quæ in nobis sita sint, quæ non sint, et cujusmodi utraque sint, et quam nobiscum collata rationem habeant: nempe, quæ in nostra potestate sint, ea esse nostra; quæ non, aliena: deinceps monet, ut ea administremus, quemadmodum natura eorum fert, nec contrario modo. Nam hæ nobis felicitatis et miseriæ causæ sunt. Etenim bonis potiri, et in nullum malum incidere, beatos facit: bonis et utilibus rebus excidere, aut in noxias incidere, infelices. Quod si igitur bonum nostrum in eo situm est, ut naturæ convenienter adpetamus et declinemus, hæc vero in earum rerum numero sunt, quæ nostri sunt arbitrii; in his bonum est quærendum. Ita fiet, ut omnino et consequamur id quod quærimus, propterea quod ejus adeptio penes nos est, (siquidem adpetitio et declinatio penes

οἰκείου τύχωμεν ἀγαθοῦ. Ἐὰν δὲ τῶν οὐκ ἐφ' ἡμῖν ὀρεγώμεθα, καὶ ἐν ἐκείνοις ζητῶμεν τὸ ἀγαθὸν, διχῶς ἀποτυγχάνειν ἀνάγκη. Καθ' ἕνα μὲν τρόπον πάντη καὶ πάντως, ὅτι κἂν ἐπιτύχωμεν αὐτῶν, οὐχὶ οἰκείων ἀγαθῶν ἐπιτύχοιμεν ἄν· καθ' ἕτερον δὲ, ὅτι καὶ ἀποτυγχάνειν ἐν τοῖς πλείοσιν ἀνάγκη τὸν τὰ ἀλλότρια ὡς οἰκεῖα ἐπιζητοῦντα, καὶ ὀρεγόμενον ἐκείνων τῶν ἐν ἄλλων ἐξουσίᾳ κειμένων. Συμβαίνει οὖν ἐπὶ τούτων, καὶ τὰς ὁρμὰς ἐμποδίζεσθαι καὶ ταράττεσθαι μὴ ἰθυπορούσας, καὶ λυπεῖσθαι πάντως καὶ πενθεῖν. Ὥσπερ γὰρ ἡδόμεθα τυγχάνοντες [τῶν αἱρετῶν,] καὶ ἐκκλίνοντες τὰ ἀναίρετα· οὕτως, ἂν ἀποτυγχάνωμεν τῶν αἱρετῶν, ἢ τοῖς ἐκκλινομένοις περιπίπτωμεν, λυπεῖσθαι ἀνάγκη, καὶ τοὺς δοκοῦντας αἰτίους μέμφεσθαι, ποτὲ μὲν ἀνθρώπους, ποτὲ δὲ τοὺς τὰ ὅλα διοικοῦντας. Πάσχομεν δέ τι καὶ ἄλλο δεινόν. Συμπάσχοντες γὰρ τοῖς οὐκ ἐφ' ἡμῖν, ὅταν ἀφέληταί τις αὐτὰ, προσαπόλλυμεν καὶ τὰ ἐφ' ἡμῖν, ἅπερ ἐκεῖνος ἀφελέσθαι οὐ δύναται, τὸ ὀρθῶς ὀρέγεσθαι καὶ ἐκκλίνειν.

Εἰπὼν δὲ ὅσα κακὰ ἕπεται τῇ παραλλαγῇ· ἐὰν δὲ καλῶς [φησὶ] τὰ οἰκεῖα καὶ τὰ ἀλλότρια διαθησώμεθα, καὶ μὴ τῶν ἀλλοτρίων, ἀλλὰ τῶν οἰκείων ἀγαθῶν καὶ ἐφ' ἡμῖν ὄντων ἀντεχώμεθα, τοῦτ' ἔστι τοῦ κατὰ φύσιν ὀρέγεσθαι καὶ ἐκκλίνειν· οὔτε ἀναγκάσει (ἄλλος δηλονότι) οὐδεὶς, οὔτε κωλύσει ποτὲ ἡμᾶς οὕτως ὀρέγεσθαι καὶ ἐκκλίνειν· εἴπερ ἐφ' ἡμῖν ἐστίν. Εἰ δὲ τοῦτο, οὔτε λυπησόμεθά ποτε· λυπεῖ γὰρ ἡμᾶς οὐκ ἄλλο τι, πλὴν δυοῖν τούτων, τοῦ τε μὴ τυγχάνειν ὧν βουλόμεθα, καὶ τοῦ περιπίπτειν ἐκείνοις ἃ ἐκκλίνειν σπουδάζομεν. Περὶ δὲ τὰ ἐφ' ἡμῖν ἐσπουδακότες, οὔτε ἀποτευξόμεθα τινὸς ὧν ὀρεγόμεθα, οὔτε περιπεσούμεθά τινι ὧν ἐκκλίνομεν. Ὥστε οὐδὲ φοβηθησόμεθά ποτε τινά· εἴπερ φοβούμεθα ἢ τοὺς βλάπτοντας ἡμᾶς, ἢ τοὺς τὰς ὠφελείας κωλύοντας. Οὐδεὶς δὲ ἰσχυρός ἐστιν οὕτως, ὡς τὰς ὀρέξεις καὶ τὰς ἐκκλίσεις, ἐν αἷς τὸ ἀγαθὸν καὶ κακόν ἐστι τοῦ κατὰ λόγον ζῶντος, βιάσασθαι. Ὥστε οὐδὲ ἐχθρὸν ἕξομέν τινα. Ἐχθρὸς γὰρ ὁ βλάπτων νομίζεται· βλαβερὸς δὲ οὐδείς ἐστι τῷ βλαβῆναι μὴ δυναμένῳ ὑπ' ἄλλου. Οὐδὲ μέμφεται οὖν τινα ὁ τοιοῦτος, οὐδ' ἐγκαλέσει τινί· ἀλλ' οὐδὲ ἄκων ποτέ τι πράξει. Ἄλυπος οὖν καὶ ἄφοβος, καὶ ἐλεύθερος, καὶ εὐδαίμων ὄντως ὁ τοῦ τοιούτου βίος ἔσται, ἄνευ πάθους καὶ ἡδονῇ ζῶντος.

Καὶ ὅρα, ὅπως οὐ μόνον ὠφελιμώτερον, ἀλλὰ καὶ ἡδύτερον ἀποδείκνυσι τὸν τοῦ σπουδαίου βίον· ὥσπερ ὁ Πλάτων [φησὶν,] ὅτι πᾶν ζῶον κατὰ φύσιν τοῦ ἡδέως ἀντέχεται, καὶ φεύγει τὰ λυπηρά. Τῶν ἡδέων δὲ τὰ μὲν τοῖς ἀγαθοῖς ἡμῶν καὶ ὠφελίμοις σύνεστι, τὰ δὲ τοῖς βλαβεροῖς. Κἀνταῦθα χρὴ νήφειν, ὅπως ἂν καὶ ἐκλεγοίμεθα τὰς ἐπωφελεῖς ἡδονὰς, καὶ πρὸς ταύτας συνεθιζοίμεθα. Ὅτι γὰρ ἡδυτέρα δοκεῖ ἡ σωφροσύνη τῷ σπουδαίῳ, ἤπερ ἡ ἀκολασία τῷ μοχθηρῷ, δηλοῖ τὸ, πολλοὺς μὲν τῶν μοχθηρῶν εἰς σώφρονας μεταβάλλειν· τοὺς δὲ σώφρονας μετὰ λόγου καὶ φρονήσεως,

nos est) et ut nostrum proprium consequamur bonum. Sin ea, quæ non penes nos sunt, adpetiverimus, et in iis bonum quæsiverimus, bifariam nos frustrari necesse erit : uno modo semper et sine exceptione, quod, etsi illa consequeremur, non nostra tamen bona consecuturi essemus : altero, quod plerumque frustrari necesse est eum, qui aliena tanquam sua quærit, quique ea desiderat, quorum potestas in aliis sita est. Accidit igitur in his, ut et impetus nostri *impediantur* et *turbentur*, non recta via progredientes, et in *dolorem* utique *luctumque* incidamus. Ut enim rerum expetendarum facti compotes, et evitatis contrariis delectamur; sic rebus expetendis frustratos, aut in aversandas delapsos, *dolere* necesse est, et *queri* de auctoribus earum rerum, alias de hominibus, alias de iis qui universitatem administrant. Aliud quoque malum nobis accidit. Nam, dum graviter adficimur, si quis ea nobis, quæ nostri juris non sunt, adimit; simul etiam hæc perdimus quæ in nostra potestate sunt, quæque nobis eripere nemo potest : rectum adpetitum, et rectam declinationem.

Expositis igitur malis quæ hanc perversionem sequuntur: nunc ait, si recte nostra et aliena tractaverimus, et non alienis, sed nostris bonis et in nostra potestate sitis studuerimus; hoc est, si operam dederimus, ut secundum naturam adpetamus et declinemus : fore ut *nemo* prorsus *nos cogat,* aut unquam nos *impediat* sic adpetere et declinare, siquidem id nostri arbitrii est. Quod si ita est, nunquam etiam dolebimus : dolorem enim nobis adfert nihil aliud, nisi duo hæc, frustratio eorum quæ volumus, et eorum quæ nolumus perpessio. Iis autem intenti rebus, quæ penes nos sunt, neque ulla re frustrabimur quam desideramus, neque in ullam incidemus quam declinamus. Itaque etiam neminem unquam timebimus; siquidem eos timemus, qui aut nobis nocent, aut commoda nostra intervertunt : neque vero quisquam eam vim habet, ut adpetitiones et declinationes, in quibus situm est bonum et malum ejus qui rationi congruenter vivit, cogere queat. Quare nec *inimicum* quemquam habebimus. Inimicus enim judicatur, qui nocet : nemo vero ei nocet, cui ab alio noceri non potest. Talis igitur neque expostulat cum quoquam, neque accusabit quemquam : atque etiam nihil unquam faciet invitus. Hilaris igitur, secura, libera et vere beata erit talis hominis vita, perturbationis expers, plena voluptatis.

Et observa, quemadmodum ostendat, viri boni et sapientis vitam non modo utiliorem esse quam aliorum, sed etiam jucundiorem. Nam Platone auctore, Omne animal natura et voluptate ducitur, et molestias aversatur. Res autem jucundæ partim cum bonis et utilitatibus nostris conjunctæ sunt, partim cum malis et damnis. Proinde hic vigilandum, ut utiles seligamus voluptates, et hisce adsuescamus Modestiam enim bono viro suaviorem videri, quam luxuriam improbo, illud ostendit, quod multi quidem improbi modesti fiunt; qui vero ratione et consilio modesti sunt,

μηδέποτε μεταπίπτειν εἰς ἀκολασίαν. Καίτοι εἰ μὴ ἡδὺς ἦν ἐκπρεπῶς τοῖς σώφροσιν ὁ τοιοῦτος βίος, οὐκ ἂν ἑκόντες αὐτὸν καὶ εὐαρεστοῦντες ἠσπάζοντο. Ὅτι οὖν καὶ ἡδύτερός ἐστιν ὁ τοῦ σπουδαίου βίος, δείκνυσιν ἐκ τοῦ ἀνεμποδίστου, καὶ ἀκωλύτου, καὶ ἑκουσίου τῆς διαγωγῆς τῶν ἐν τοῖς ἐφ' ἡμῖν μόνοις καὶ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἀποτιθεμένων.

[IN CAP. I, § 4.] Δείξας, ἐν τίσιν ἐστὶ τὸ ἀγαθὸν τὸ ἡμέτερον, ὅτι ἐν τοῖς ἐφ' ἡμῖν, καὶ ὁποῖος ἔσται ὁ βίος τοῖς ἐκεῖθεν αὐτὸ πορίζεσθαι βουλομένοις, καὶ μὴ ἀπὸ τῶν ἐκτὸς καὶ οὐκ ἐφ' ἡμῖν ὄντων, καὶ ὅτι πρὸς τὴν τῶν ἀγαθῶν τεῦξιν ἀνεμπόδιστος καὶ ἀκώλυτός ἐστι παντελῶς, καὶ ἀπὸ βλάβης ἄτρωτος, οὐδεμίαν ἐπίβασιν τοῖς βλαβεροῖς παρεχόμενος· καὶ οὐ μόνον ἐπωφελής, ἀλλὰ καὶ ἡδύς, οὔτε κατὰ τὴν ὄρεξιν ἐμποδιζόμενος, οὔτε ὧν ἐκκλίνει περιπίπτων τινί, ἀλλ', ἁπλῶς εἰπεῖν, μακάριός τε καὶ εὐδαίμων διατελῶν· ἐφεξῆς προτρέπει τε καὶ συντείνει τὸν ἀκροατήν, ἀξίαν ἐπιδείξασθαι προθυμίαν τῶν τοιούτων ἐπαγγελμάτων, μὴ μόνον οὐ πάρεργον ἄλλου τινὸς ἡγούμενον τὴν περὶ τὰ τοιαῦτα σπουδήν, ἀλλὰ μηδ' ἄλλο τι πάρεργον πρὸς αὐτὴν ποιούμενον. Διὸ τῶν ἐκτὸς ὅσα μὲν ἀσύμφωνα πρὸς τὸν κατὰ φύσιν βίον τῆς λογικῆς ψυχῆς ἐστιν, ὥσπερ τρυφαί, καὶ ἡδοναὶ σωματικαί, καὶ ἀκάθαρτος πλοῦτος, καὶ δυναστεῖαι, καὶ τυραννίδες, ταῦτα παντελῶς ἀφιέναι παρακελεύεται· ὡς οὐ δυνατὸν ὂν καὶ περὶ ταῦτα σπουδάζειν, καὶ κατὰ φύσιν ἔχοντα ἑαυτὸν φυλάττειν. Τὰ δὲ ἄλλα ὅσα τῶν ἐκτὸς δύναται ἐμφρόνως μεταχειριζόμενα μὴ ἐμποδίζειν τοῖς ψυχικοῖς ἀγαθοῖς, οἷον οἴκου κτῆσιν καὶ οἰκετίας, γάμον τε ἔννομον, καὶ εὐγενῆ παιδοποιίαν, καὶ ἀρχὴν δικαίαν, ἐνίοτε καὶ τῶν χρειωδῶν ἐπιμέλειαν, ταῦτα πάντα καὶ τὰ τοιαῦτα ὑπερθέσθαι πρὸς τὸ παρὸν παραινεῖ τοὺς παιδευομένους, εἰκότως· καὶ γὰρ ἀπεριστάστους αὐτοὺς εἶναι χρὴ πανταχόθι πρὸς τὴν τῆς ἀρετῆς ἄσκησιν, εἰ μέλλοιεν τελέως κατορθοῦν αὐτήν.

Καὶ μέντοι δεῖ τὸν μέλλοντα ἐν τοῖς ἐκτὸς μὴ δημοτικῶς, ἀλλὰ κατ' ἄνδρα τὸν ἀγαθὸν ἀναστρέφεσθαι, καὶ φρόνησιν ἔχειν τῶν ἐπωφελῶν καὶ βλαπτικῶν διακριτικήν, καὶ τὰς ἀλόγους ὀρέξεις ὑπεσταλμένας τῷ λόγῳ, καὶ μὴ κατεξανισταμένας αὐτοῦ, ἀλλ' ἐφ' οἷς ἐκεῖνος ὀρεκτοῖς κελεύει κινεῖσθαι, καὶ ὅτε, καὶ ἐφ' ὅσον, ἐπ' ἐκεῖνα κατὰ τὸ μέτρον τὸ ἀφοριζόμενον αὐτοῖς διεγείρεσθαι. Τὰ γὰρ ἁμαρτήματα γίνεται, ἢ τοῦ λόγου τὸ δέον μὴ διορίζοντος διὰ φρονήσεως ἔλλειψιν· ἢ τούτου μέν, εἰ καὶ ἀτόνως, ὁρῶντος ὅμως τὸ δέον πραχθῆναι, τῶν δὲ ἀλόγων ὀρέξεων δι' ἀπαιδευσίαν κατεξανισταμένων τυραννικῶς τῆς χαλαρᾶς τοῦ λόγου κρίσεως· ὡς ὅταν ἡ τραγῳδία τὴν Μήδειαν ὑποκρινομένη λέγῃ·

Καὶ μανθάνω μέν, οἷα δρᾷν μέλλω κακά·
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων.

Χρεία τοίνυν τῷ μέλλοντι ζῆν ἀναμαρτήτως ἐν τῇ περὶ τὰ ἐκτὸς χρήσει, καὶ τὴν φρόνησιν παρασκευάσαι, καὶ

nunquam pravos mores amplectuntur. Enimvero nisi talis vita modestis insigniter jucunda esset, non eam ultro amplecterentur, nec in ea lubentes adquiescerent. Vitam igitur viri boni et sapientis jucundiorem etiam esse, demonstrat e vitæ ratione voluntaria, impedimenti omnis et offensionis experte, quam vivunt hi qui bonum et malum in iis rebus solis, quæ in nostra potestate sunt, collocant.

[IN I, § 4.] Postquam ostendit, quibus in rebus bonum sit positum nostrum, in iis nimirum quæ in nostra potestate sunt; et qualis eorum vita sit futura, qui inde bonum suum petunt, non autem a rebus externis et alienis; et in adeptione boni eam nullo modo impediri posse et prohiberi, nulloque damno esse violabilem, ut quæ nullis nocivis rebus aditum præbeat; quæque non utilis tantum, sed et jucunda sit; cujus nec adpetitio impediatur, nec declinatio in aliquid adversum incidat, sed ab omni parte mali perpetuo expers et beate : nunc deinde studium et alacritatem auditoris excitat, monetque, tantas res non modo non obiter tractandas esse, sed dum iis occupatus sis, nihil aliud vel obiter agendum. Quapropter ea, quæ cum animi ratione præditi vita, naturæ consentanea, non consentiunt; cujusmodi sunt luxuria, et voluptates corporis, sordidæ divitiæ, principatus, tyrannides; *prorsus relinqui* jubet: quod fieri non possit, ut idem homo et his rebus occupetur, et animo excolendo studeat. Quæ vero e rebus externis ejus sunt naturæ, ut, prudenter tractatæ, bonis animi non officiant; cujusmodi sunt, parare domum et servitium, legitimæ nuptiæ, ingenuorum liberorum procreatio, justus magistratus, aliquando etiam rerum ad vitæ usum necessariarum cura : hæc omnia, et id genus alia, *in præsentia esse differenda* monet studiosos; idque merito : quod nullis omnino rebus distrahi eos oporteat, et a studio virtutis atque exercitatione abstrahi, qui hanc perfecte consequi cupiunt.

Oportet tamen etiam eum, qui in rebus externis, non vulgi more, sed ut bonum virum decet voluerit versari, ea prudentia esse præditum, qua res utiles et nocivas discernat, et brutas adpetitiones rationi obedientes habeat; ut nec insurgere illas adversus hanc patiatur, nec moveri sinat, ad eas res adpetendas quas ipsa jusserit, et quando, et quatenus; et ad illas res intra præfinitum rei cuique modum excitari. Peccata enim exsistunt, aut cum ratio, quid fieri debeat, non discernit ob prudentiæ penuriam; aut cum perspicit illa quidem, quamvis languide, quid facto sit opus; sed brutæ adpetitiones, ob neglectam institutionem, tyrannice adversus languidum rationis judicium insurgunt. Qualem tragœdia Medeam depingit :

Scio nefas quod, et quod in scelus ruam :
sed ira mentis omne judicium premit.

Ad rectum igitur externarum rerum usum, et ingenio doctrina exculto, et adpetitu moderato atque subacto est opus.

τῶν ἀλόγων ὀρέξεων τὴν μετριότητα, καὶ τὸ πρὸς τὸν λόγον εὐπειθές· καὶ οὕτως, ὥσπερ ὅπλοις ἀῤῥαγέσι τούτοις πεφραγμένος, κατὰ καιρὸν ἅπτεσθαι τῶν τοιούτων. Διὸ καὶ τὰ συμφωνεῖν δυνάμενα τῶν ἐκτὸς πρὸς τὴν ἀρετὴν, ὑπερθέσθαι πρὸς τὸ παρὸν παραινεῖ τοῖς παιδευομένοις, ἕως ἂν τὴν χρηστικὴν ἀρετὴν αὐτῶν κτήσωνται, διὰ τῆς ἀπερισπάστου ἀσκήσεως. Οὔτε γὰρ εἰς πόλεμον ἀπιέναι χωρὶς ὅπλων καλὸν, οὔτε πραγμάτων χωρὶς φρονήσεως καὶ μετριοπαθείας ἐφάπτεσθαι.

Αὐτὸς δὲ οὐκ ἀσύμφορον μόνον, ἀλλὰ καὶ ἀνήνυτον δείκνυσι τοῖς παιδευομένοις τὴν περὶ τὰ ἐκτὸς σπουδήν. Εὐαγωγίας μὲν γὰρ καὶ ὀρέξεων λελογισμένων καὶ ἐκκλίσεων, δι' ὧν μόνων ἐλευθερία καὶ εὐδαιμονία τοῖς ἀνθρώποις περιγίνονται, πάντως ἀποτυγχάνειν ἀνάγκη τοὺς καὶ τῶν μὴ ἐφ' ἡμῖν ὀρεγομένους, καὶ ἐκεῖνα ἐκκλίνοντας. Δουλεύειν γὰρ ἀνάγκη ταῖς ἀλόγοις ὀρέξεσιν, ὡς λυττῶσί τε καὶ ἀγρίοις δεσπόταις· δουλεύειν δὲ καὶ τῶν ἀνθρώπων τοῖς τε πορίζουσι τὰ τοιαῦτα ὀρεκτὰ, καὶ τοῖς κωλύειν δυναμένοις, ἵνα μὴ κωλύωσι, καὶ τοῖς ἐπάγουσι τὰ φευκτά. Ἔτι δὲ καὶ τῆς σχολῆς ἡμᾶς παραιρουμένη τῆς πρὸς τὴν περὶ τὰ οἰκεῖα ἐπιμέλειαν, ἡ περὶ τὰ ἐκτὸς σπουδὴ ἀποτυγχάνειν πάντως τῶν οἰκείων ἀγαθῶν ποιεῖ. Οἱ γὰρ ἀμφοτέρων ὀρεγόμενοι, καὶ περὶ ἄμφω σπουδάζοντες, οὔτε διακρίνουσι τὰ ἀγαθὰ καὶ τὰ μὴ τοιαῦτα, οὔτε τὴν προσήκουσαν σπουδὴν τοῖς οἰκείοις ἀγαθοῖς ἀπονέμουσιν· οὔτε, μὴ σπουδάζοντες ὡς δεῖ περὶ αὐτὰ, τυγχάνειν αὐτῶν δυνήσονται. Ὡς ἐπίπαν δὲ καὶ τῶν ἐκτὸς ἀποτυγχάνουσιν, ὡς μὴ μόνοις αὐτοῖς προσασχολούμενοι, ἀλλ' ἀμηγέπῃ καὶ τῶν οἰκείων ἀγαθῶν ὀρεγόμενοι, μηδὲ ἀνέδην πάντα ποιεῖν καὶ πάσχειν ὑπὲρ τῆς τεύξεως αὐτῶν αἱρούμενοι, ἀλλ' ἔστιν ὅτε καὶ ἀπὸ αἰδοῦς τινὸς ἀνθελκόμενοι. Καὶ ἔστιν ὁ τοιοῦτος βίος τοῦ μὲν μονοτρόπως εἰς τὰ ἐκτὸς ἀποκλίναντος, ἧττον μοχθηρός· ἐπίπονος δὲ καὶ ἀηδὴς ἐκείνου μᾶλλον, συγκλώθειν τὰ ἀσύγκλωστα σπουδάζων, καὶ ἐναντιώσεσι καὶ μεταμελείαις ἀεὶ συνεχόμενος, καὶ ἀποτυγχάνων ἑκατέρων, διὰ τὸ ἑκατέρων ἐφίεσθαι· λυπηρὸς δέ ἐστι, καὶ ἀναίρετος. Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι συνεχῶς ἐν τοῖς ἑξῆς ὁ Ἐπίκτητος χρήσεται τῷ Μέμνησο, πρὸς τὴν λογικὴν ψυχὴν διαλεγόμενος, τὴν συνουσιωμένους [μὲν] ἔχουσαν ἀεὶ τοὺς τῶν ὄντων λόγους, καὶ σύμφυτον αὐτῇ τὴν τῶν ὄντων ἀλήθειαν· ἀτονοῦσαν δέ ποτε πρὸς τὴν εἰλικρινῆ θέαν, τῷ περισπασμῷ τῆς ἐν αὐτῇ γενεσιουργοῦ δυνάμεως, καὶ διὰ τοῦτο εἰς λήθην ὑποφερομένην, τὴν πάντων αὐτῇ τῶν κακῶν αἰτίαν, καὶ δεομένην τοῦ συνεχῶς ἀκούειν τοῦ Μέμνησο. Ὅταν δὲ λέγῃ, ὅτι τηλικούτων ἐφιέμενον οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, οὐ κυρίως ἐπὶ τοῦ ἐμμέτρου καὶ ἀσυμμέτρου τῷ Μετρίως, ἀλλὰ καταχρηστικῶς, ἐπὶ τοῦ ἐνδεοῦς, ἐχρήσατο. Ὁ γὰρ κίνδυνος τοῦ ἀποπεσεῖν τῶν οἰκείων ἀγαθῶν ἄναλκιν οὐ φῶτα λαμβάνει, κατὰ Πίνδαρον.

[IN CAP. I, § 5.] Εἰπὼν ὅτι χρὴ τὸν μέλλοντα τῶν οἰκείων ἀγαθῶν τυγχάνειν ἄνθρωπον καὶ τὴν οἰκείαν

Sic, hisce veluti firmissimis armis munitus, per tempus tales res suscipere poterit. Quapropter studiosos homines monet, ut res externas quæ cum virtute congruere possint, *in aliud tempus differant,* donec virtutem utendi eis continenti exercitatione compararint. Neque enim ad bellum inermem abire decet, neque res gerendas absque prudentia et moderatione animi suscipere.

At ostendit Epictetus non modo inutile, sed irritum etiam esse rerum externarum studium eis qui adhuc erudiuntur. Animi enim recta institutione, et adpetitionibus ac declinationibus ratione moderatis, *per quas solas* hominibus *libertas et felicitas pariuntur,* excidere omnino necesse est eos, qui et adpetunt et declinant ea quæ non sita sunt in potestate nostra. Necesse est enim servire eos brutis cupiditatibus, tanquam agrestibus et furiosis dominis : servireque item eis hominibus, qui talia desideria et explere et prohibere possunt, ne prohibeant; iis item, qui in res fugiendas conjicere possunt. Ad hæc, subtrahendo curandi nostras res otio, rerum externarum occupatio omnino etiam in caussa est, ut nostris bonis excidamus. Nam qui utraque expetunt, et utrisque student; hi nec discernunt bona et mala, neque justam curam suis propriis bonis impendunt; nec, legitimo studio non adhibito, iis potiri poterunt. Fit etiam fere, ut externis quoque bonis frustrentur; nempe quoniam non iis solis toti occupati sunt, sed aliquo modo sua etiam bona desiderant, neque toto pectore quidvis et facere et perpeti propter adeptionem istorum volunt, retrahente verecundia quadam. Et est quidem talis vita minus prava, quam ejus qui unice rebus externis incumbit; laboriosior illa tamen atque insuavior est : etenim, quæ connecti nequeunt, connectere studens, continuo secum ipsa pugnat, crebro pœnitet, frustratur utrisque dum utraque consectatur, molesta utique est, minimeque optabilis. Est autem observatione dignum, quod crebro dehinc Epictetus utatur verbo *Memento,* quo rationis compotem animum compellat, qui rationes quidem rerum semper conjunctas secum habet, earumque innatam veritatem; sed aliquando, velut deficiente oculorum acie ad sincere spectandum, ob distractionem genitricis suæ facultatis, in oblivionem ruit, quæ ipsi malorum omnium caussa est; ideoque opus habet, ut *Memento* illud crebro ei inculcetur. Cum vero *non mediocriter incitatum esse oportere* dicit *eum qui tantas res adpetat,* non hoc vult, *non supra modum atque immodice,* sed *non infra modum, non minus quam par sit,* incitatum esse oportere. Nam cum periculum sit, ne tuis propriis bonis excidas; periculum illud certe, ut ait Pindarus, ignavum virum non admittit.

[IN I, § 5.] Postquam monuit, eum qui suis potiri bonis et propriam sibi felicitatem comparare velit, non distrahi opor-

εὐδαιμονίαν περιποιεῖσθαι, ἀπερίσπαστον ἀπὸ τῶν ἐκτὸς θεῖναι ἑαυτόν· ἐπειδὴ καὶ τοῖς ἑαυτῶν ἐπιμελομένοις ἐμπίπτουσι πολλάκις φαντασίαι, αἱ μὲν ὀρεκτικαί τινος τῶν ἐκτὸς, αἱ δὲ ἐκκλιτικαὶ τῶν ἀναιρέτων· διδάσκει, πῶς δεῖ χρώμενον ταῖς τοιαύταις φαντασίαις ἀβλαβῆ μένειν ἀπ' αὐτῶν. Τραχείας δὲ τὰς τοιαύτας φαντασίας ἐκάλεσεν, ὡς ἀλόγους καὶ παροίστρους, καὶ τραχυνούσας ὄντως τὴν ζωὴν τῇ ἀσυμμετρίᾳ καὶ ἀνωμαλίᾳ τῶν κινήσεων. Ὅπερ δὲ ἐν τοῖς ἑξῆς σαφέστερον παραινεῖ, τὸ μὴ συναρπάζεσθαι εὐθὺς ὑπὸ τῆς ἐμπιπτούσης φαντασίας, ἢ ὀρεκτικῆς, ἢ ἐκκλιτικῆς, τοῦτο καὶ νῦν λέγει· ὅτι χρὴ πρὸς αὐτὴν κινηθεῖσαν εὐθὺς ἀνθίστασθαι, καὶ τέως τὴν σφοδρότητα αὐτῆς ἐκλύειν, διὰ τῆς ἐννοίας τοῦ φαντασίαν εἶναι. Αἱ δὲ φαντασίαι, ποτὲ μὲν ἀληθῶν εἰσιν ἀνατυπωτικαὶ καὶ ἀληθῶς ἐπωφελῶν ἢ ἡδέων· ποτὲ δὲ διακενῆς ὀνειροπολοῦσιν. Αὐτῷ τε οὖν τούτῳ τῷ διατεθῆναι εὐθὺς, ὅτι οὐ πάντως τοιοῦτόν ἐστι τὸ φανταστὸν, οἷον φαντάζεται, χαλᾶται τὸ σύντονον τῆς φαντασίας, ὥστε μὴ παρεμποδίζειν τὴν τοῦ λόγου κρίσιν· ἣν εὐθὺς μετὰ τὸ γαληνιασθῆναι τὴν φαντασίαν, καὶ τῆς τραχύτητος ἀπαλλαγῆναι, παραινεῖ προσάγειν εἰς ἀκριβῆ διάθεσιν τοῦ φαντασθέντος. Πολλοὶ δέ εἰσι τῶν τοιούτων κριτικοὶ κανόνες· οἱ μὲν, ἀπ' αὐτῆς τῆς φύσεως τῶν φανταστῶν λαμβανόμενοι· πότερον εἰς ψυχικὸν ἀγαθὸν, ἢ σωματικὸν, ἤ τι τῶν ἐκτὸς ἀναφέρονται· καὶ πότερον εἰς ὠφέλειάν τινα τείνουσιν, ἢ πρὸς ἡδονὴν μόνον· ἔτι δὲ καὶ, εἰ δυνατὰ ὅλως, ἢ ἀδύνατα. Ἔστι δέ τις κανὼν καὶ ἀπὸ τῆς περὶ αὐτὰ κρίσεως καὶ σπουδῆς τῶν ἐμφρόνων τε καὶ ἀφρόνων ἀνθρώπων· καὶ ἔτι μᾶλλον ἀπὸ τῆς θείας κρίσεως. Ὅπερ γὰρ ἀρεστὸν δοκεῖ θεῷ καὶ τοῖς ἔμφροσιν ἀνθρώποις, τοῦτο ἂν εἴη σπουδῆς ἄξιον τῷ σωθησομένῳ· τὰ δὲ ἀπαρεστὰ ἐκείνοις φευκτέα. Οὐδεὶς γὰρ ἀνόητος οὕτως ἢ ἐμπαθής ἐστιν, ὡς οἰηθῆναι τὴν ἀκολασίαν ἢ τὴν ἀδικίαν ἀρέσκειν θεῷ. Πολλῶν οὖν ὄντων κανόνων κριτικῶν τῆς τῶν φανταζομένων ἡμῖν διαφορᾶς, εἷς ἐστιν ἀνθρώπων ὡς ἀνθρώπων ἴδιος, ᾧ κοινῶς ἐπὶ πάντων ἡμᾶς δεῖ χρῆσθαι· οὗτος ὁ ἀπὸ τῆς τῶν ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν διακρίσεως. Εἰ γὰρ τῶν μὴ ἐφ' ἡμῖν ἐστί τι τῶν φανταζομένων ἢ ὀρεκτῶν ἢ ἐκκλιτῶν, καλῶς ἔχει γινώσκειν τε καὶ ἐπιλέγειν εὐθὺς, ὅτι τοῦτο οὐδὲν πρὸς ἡμᾶς. Οὔτε γὰρ ἀγαθὸν, οὔτε κακὸν ἡμέτερον εἶναί τι δύναται, μὴ ἐφ' ἡμῖν ὂν, διὰ τὸ εἰδοποιὸν τῆς ἀνθρωπίνης οὐσίας αὐτεξούσιον. Ὅλως γὰρ ὑποστᾶσα τοιαύτη φύσις ἐν τοῖς οὖσι, καὶ τὸ ἀγαθὸν ἑαυτῆς καὶ τὸ κακὸν αὐθαίρετον ἔχειν ἔμελλεν.

[**IN CAP. II.**] Καὶ τοῦτο συνεχὲς τῷ πρὸ αὐτοῦ ἐστιν, ἀπόδειξιν ἐπέχον τοῦ, τὰ φανταζόμενα ὀρεκτὰ, εἰ μὲν τῷ ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν κανονίζοιντο, ἐπιτυχεῖς καὶ μακαρίους ποιεῖν, εἰ δὲ μὴ, ἀτυχεῖς καὶ δυστυχεῖς, καὶ κακοδαίμονας. Καὶ διορίζει πρῶτον, τίνας μὲν ἐπιτυχεῖς καὶ εὐτυχεῖς καλοῦμεν, τίνας δὲ ἀτυχεῖς καὶ δυστυχεῖς· καὶ ὅτι τῆς μὲν ὀρέξεως τὸ ἐπάγγελμα καὶ τὸ τέλος ἐστὶ τὸ τυχεῖν οὗ ὀρέγεται, ἐκκλίσεως δὲ

tere rebus externis, cum iis etiam qui sua curant, visa quædam occurrant, quibus impulsi aut rem aliquam externam adpetant, aut ea declinent quæ fugienda videantur : docet, quemadmodum his utendum sit, ne ea nobis noceant. *Aspera* vero talia *visa* adpellat, utpote quæ præter rationem veluti œstro agitent hominem, et immoderatis et perturbatis commotionibus vere exasperent vitam. Quod autem in iis quæ sequuntur apertius monet, ne statim sequamur quodvis visum, sive ad adpetendum sive ad declinandum nos movens, idem nunc quoque dicit : statim ei, ubi excitatum fuerit, esse resistendum, ejusque impetum inhibendum, cogitando, *visum id esse*. Visa autem, alia quidem res veras, vereque utiles et jucundas repræsentant; alia vero inania simulacra ceu somnia nobis objiciunt. Hac ipsa igitur cogitatione laxatur visi contentio, cum statim opponimus, *rem non esse talem, qualis esse videatur* : quo fit, ut rationis judicium non impediatur; quod judicium cum primum visi tempestas remiserit, asperitate imminuta, ad rem quamque apte distinguendam monet esse adhibendum. *Regulæ* autem visa judicandi sunt multæ : quæ sumuntur partim a natura visorum; an scilicet ad animi, ad corporis, ad fortunæve bona pertineant; item, ad utilitatemne aliquam, an ad voluptatem solam referantur; denique, sintne res possibiles omnino, necne. Est vero alia regula, desumta a judicio et studio circa res easdem hominum, cum prudentium, tum imprudentium; atque etiam magis, a divino judicio. Quidquid enim Deo et cordatis hominibus probatur; in eo utique est suæ salutis studioso elaborandum : quod illis non probatur, id eidem fugiendum. Nemo enim adeo est aut amens, aut suarum cupiditatum amans, ut existimet lasciviam aut injuriam placere Deo. Cum igitur multæ sint regulæ, quibus visorum nostrorum discrimina dijudicentur; una est hominum propria, quatenus homines sunt, qua nobis peræque in omnibus est utendum : illam dico, quæ pendet a divisione *rerum quæ in nostra sunt potestate, quæve non sunt*. Nam si res, cujus visum nobis offertur, sive ut adpetendæ, sive ut declinandæ, non in nostra potestate est, rectum erit ut intelligamus, statimque dicamus, *nihil eam ad nos attinere*. Nam cum nostri arbitrii non sit, neque bonum neque malum nostrum esse potest, quoniam liberum arbitrium propria est naturæ humanæ prærogativa. Omnino enim, cum talis natura in natura rerum exstiterit, fieri aliter non potuit, quin in ipsius arbitrio et bonum ipsius et malum esset positum.

[IN II.] Hoc quoque caput cum eo quod antecessit, cohæret: quo demonstrat, ea quæ adpetenda videantur, si adhibeamus regulam rerum quæ nostri aut alieni juris sunt, facere nos votorum compotes et beatos; sin minus, voti impotes et calamitosos. Ac primum explicat, quosnam voti compotes et fortunatos dicamus, quos infortunatos et calamitosos : docetque, *adpetitionis professionem et propositum* esse, consequi id quod adpetatur; *declinationis,* non incidere

τὸ μὴ περιπεσεῖν ἐκείνῳ ὃ ἂν φύγῃς. Καὶ ἔστιν εὐτυχὲς τοῦτο, τὸ μὴ περιπεσεῖν, ὥσπερ ἀτυχὲς μὲν τὸ μὴ τυχεῖν τοῦ ὀρεκτοῦ, ὅτι οὐκ ἔτυχε· δυστυχὲς δὲ, τὸ τῷ εὐτυχεῖ ἀντικείμενον, τὸ τῷ φευκτῷ περιπεσεῖν· ὅτι ἔτυχε μὲν, ἀλλὰ κακοῦ τινος ἔτυχε. Ταῦτα καλῶς διαστήσας, ἐπάγει τὰ ἑξῆς· ὅτι, ἂν μὲν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπὶ σοὶ, οἷον ἀκολασίας, καὶ ἀδικίας, καὶ τὰ τοιαῦτα, ἐπειδὴ ἐπὶ σοί ἐστι τὸ ἐκκλῖναι, οὐδενὶ ὧν ἐκκλίνεις περιπεσῇ· ὥστε οὐδέποτε δυστυχήσεις. Νόσον δὲ, ἢ πενίαν, ἤ τι τῶν οὐκ ἐφ' ἡμῖν ἐὰν ἐκκλίνῃς, ἐπειδὴ μὴ ἔστιν ἐπὶ σοὶ τὸ ταύτας ἀποφεύγειν, ἀνάγκη δήποτε περιπεσεῖν, καὶ δυστυχῆ γενέσθαι. Ὁμοίως δὲ κἂν ὀρέγῃ τῶν οὐκ ἐπὶ σοὶ, ἀτυχεῖν πολλάκις ἀνάγκη, τοῦ ὀρεκτοῦ μὴ τυγχάνοντα. Εἰ δὲ ἐν τοῖς ἐφ' ἡμῖν ἡ ὄρεξις καὶ ἡ ἔκκλισις γίνεται, οὔτε ἀτυχεῖν οὔτε δυστυχεῖν ποτε συμβήσεται, ἀλλ' ἀεὶ εὐτυχεῖν καὶ ἐπιτυγχάνειν. Καὶ ἔστιν ἡ συναγωγὴ τοῦ λόγου τοιαύτη· Ὁ ἐν τοῖς οὐκ ἐφ' ἡμῖν τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν τιθεὶς καὶ τῶν ὀρεκτῶν ἀποτυγχάνει πολλάκις, καὶ τοῖς ἐκκλινομένοις περιπίπτει, ὡς ἐπ' ἄλλοις οὔσης τῆς ἐξουσίας αὐτῶν· ὁ δὲ τοιοῦτος ἀτυχής τε καὶ δυστυχὴς ὡμολόγηται· ὥστε καὶ ἄθλιος, καὶ κακοδαίμων.

Καὶ ὅρα, ὅπως Σωκρατικὸς ὁ λόγος καὶ συγκαταβατικὸς, καὶ ἀπ' αὐτῶν τῶν σπουδαζομένων ἡμῖν μετάγων ἐπὶ τὸ κάλλιον. Πάντες γὰρ καὶ οἱ σπουδαίως καὶ οἱ μοχθηρῶς ζῶντες ἐν τούτῳ τίθενται τὴν εὐδαιμονίαν, ἐν τῷ τῶν μὲν ὀρεκτῶν αὐτοῖς καὶ ἐφετῶν τυγχάνειν, τοῖς δὲ ἀναιρέτοις καὶ φευκτοῖς μὴ περιπίπτειν. Διαφέρουσι δὲ, ὅτι οἱ μὲν σπουδαῖοι τῶν ὄντως καὶ εἰλικρινῶς ἀγαθῶν καὶ ὠφελίμων ὀρέγονται, καὶ ἐκκλίνουσι τὰ ὄντως βλαβερὰ καὶ κακά· τοῦ λόγου ὄντος ἐν αὐτοῖς τοῦ κρίνοντος, καὶ τῶν ἀλόγων ὀρέξεων συνειθισμένων αὐτοῖς ἕπεσθαι τῷ λόγῳ, καὶ ἡδέα νομίζειν τὰ τῷ λόγῳ δοκοῦντα τοιαῦτα. Οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων, τὸν μὲν λόγον ἀνεπιμέλητον ἔχοντες, τὰς δὲ ἀλόγους ὀρέξεις ὑπὸ συνεχοῦς κινήσεως γεγυμνασμένας, τῷ ἡδεῖ τὰ ὀρεκτὰ κρίνουσιν, ἀλλ' οὐχὶ τῷ ὠφελίμῳ· καὶ ἡδοναῖς περιπίπτουσι πολλάκις ταῖς τῷ λυπηρῷ παραπλησίως κεκραμέναις, διὰ τὸ μηδὲ ἡδονὰς εἶναι κυρίως αὐτὰς, ἀλλ' οἷον σκιάς τινας ἡδονῶν καὶ παραχρώσεις. Πάντες δὲ ὅμως, ὅπερ εἶπον, ἐν τούτῳ τίθενται τὴν εὐτυχίαν τε καὶ ἐπιτυχίαν, ἐν τῷ τῶν ὀρεκτῶν τυγχάνειν, μὴ πειρᾶσθαι δὲ τῶν φευκτῶν. Ὑποδείκνυσιν οὖν ὁ λόγος οὗτος καὶ τοῖς μοχθηροῖς, ὡς, εἰ βούλοιντο μήτε ὀρεγόμενοι ἀποτυγχάνειν, μήτε ἐκκλίνοντες περιπίπτειν, ἐν τοῖς ἐφ' ἡμῖν τὰ ὠφελοῦντα, ὀρεκτὰ, καὶ τὰ βλάπτοντα, φευκτὰ τίθεσθαι. Τῶν μὲν γὰρ οὐκ ἐφ' ἡμῖν ὀρεγομένους, καὶ ἐκκλίνοντας ἐκεῖνα, καὶ ἀτυχεῖν ἀνάγκη αὐτοὺς καὶ δυστυχεῖν· ὅπερ φευκτὸν καὶ ἐκείνοις ἐστίν.

« Ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν. Νόσον μὲν γὰρ ἢ πενίαν ἂν ἐκκλίνῃς· » ἐπειδὴ οὐκ ἔστιν

in id quod declines : et esse hoc fortunatum, non incidere; sicut *infortunatum* sit, non consequi rem expetitam, hoc ipso quod non consecutus sis; *calamitosum* vero, fortunato contrarium, incidere in id quod fugias; cum scilicet consecutus quidem es aliquid, sed malum es consecutus. His probe distinctis, subjicit deinde : *si ea sola declines, quæ repugnant naturæ et in tua sunt potestate*, cujusmodi sunt intemperantia, injuria, et id genus alia, quæ vitare tui est arbitrii; *fore ut in nihil eorum incidas :* adeoque nec calamitosum unquam fore. *Morbum autem, aut paupertatem,* aut aliquid aliud quod nostri arbitrii non est, *si declines;* quia penes te non sit ista effugere, necesse esse, te aliquando in ea incidere et *infelicem* fieri. Eodemque modo, si ea adpetas, quæ tui arbitrii non sunt; necesse esse sæpe frustrari, non potitum eo quod desideres. Si vero adpetitio et declinatio in iis versetur, quæ in nobis sita sunt; nunquam frustratum iri nos, nunquam calamitatem subituros, sed semper fortunatos fore, votorumque compotes. Et est rationis conclusio hujusmodi : Qui in rebus in nostra potestate non sitis adpetitionem et declinationem collocat, is et rebus desideratis sæpe frustratur, et in eas incidit quas declinat, propterea quod eæ in aliorum potestate sunt : talem autem hominem infortunatum et calamitosum esse constat : adeoque et miserum et infelicem.

Vide autem, quam Socratica hæc ratio sit, et ad captum auditorum adcommodata; quia ab eis ipsis rebus, quibus studemus, ad res meliores et pulcriores transducimur. Nam omnes, tam boni, quam mali, felicitatem in eo collocant, si et optatis suis fruantur, et ea quæ oderunt effugiant. In eo autem differunt, quod viri boni vera et sincera bona atque commoda expetunt, et vere mala atque incommoda aversantur : nam ratio est, quæ in eis judicet, et brutæ adpetitiones eorum adsuefactæ sunt ut rationi pareant, jucundaque existiment ea quæ ratio probarit. Vulgus autem hominum, quod et rationem neglectam habet, et brutas adpetitiones ob continentem motum exercitatas, voluptate res adpetendas metitur, non utilitate; et in voluptates incidit sæpe molestiis non adeo dissimiles, quoniam ne voluptates quidem illæ proprie sunt, sed velut umbræ quædam voluptatum et simulacra. At omnes tamen, ut dixi, felicitatem et votorum finem in adeptione desideratarum rerum ponunt, et in evitatione fugiendarum. Præceptio igitur hæc etiam improbis demonstrat, si neque adpetendo frustrari, neque declinando impingere velint, res adpetendas in eis ponendas esse, quæ et in nobis positæ et utiles sint; fugiendas, in eis quæ et in nobis positæ et noxiæ. Nam si ea desiderarint aut declinarint, quæ in nostra non sunt potestate posita, et frustrari eos necesse esse, et subire calamitatem : quod et ipsi fugiendum esse censeant.

Aufer igitur declinationem ab omnibus iis quæ in nobis sita non sunt, et in ea transfer, quæ et naturæ repugnant et in nostra potestate sunt.* Nam *morbum

ἐφ' ἡμῖν τελέως τὸ ταῦτα ἐκφεύγειν· (κἂν γὰρ ἔχωμέν τινα δύναμιν συντελοῦσάν ποτε πρὸς τὴν ἀποφυγὴν, ἀλλ' οὔτε ἀεὶ οὔτε τὸ ὅλον ἰσχύει·) διὸ δυστυχεῖν ἀνάγκη, περιπίπτοντας ἐκείνοις ἃ ἐκκλίνομεν. Ἐὰν δὲ, πεισθέντες αὐτῷ, τὴν ἔκκλισιν μεταθῶμεν εἰς τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν, ὡς ἐκκλίνειν τὰς ψευδεῖς περὶ τῶν ὄντων ὑπολήψεις, καὶ τὰ πρὸς τὴν κατὰ φύσιν διαγωγὴν τὴν τῷ λόγῳ πρέπουσαν ἐμποδίζοντα· ἐφ' ἡμῖν ὄντος τοῦ ἐκφυγεῖν τὰ τοιαῦτα, διότι ἐκκλίσεως μόνης δεόμεθα τῆς ἐφ' ἡμῖν οὔσης, οὐ περιπεσούμεθά ποτε οἷς ἐκκλίνομεν.

Ἀλλὰ ταῦτα μὲν δῆλα. Πῶς δὲ πᾶσαν ὄρεξιν ἀνελεῖν παντελῶς ἐπὶ τοῦ παρόντος παρακελεύεται; Τὸ μὲν γὰρ τὴν τῶν οὐκ ἐφ' ἡμῖν ὄρεξιν ἀνελεῖν, πρόδηλον ἔχει τὴν ὠφέλειαν· ὅτι μὴ τυγχάνοντες μὲν, ἀτυχεῖς ἐσόμεθα, καὶ ἀηδῶς ζήσομεν· κἂν τύχωμεν δέ ποτε, οὔτε ὠφελίμου ἡμῖν οὔτε οἰκείου τυγχάνομεν ἀγαθοῦ. Ἀλλὰ καὶ τοὐναντίον, τῶν ἐφ' ἡμῖν ἀγαθῶν τὴν ὄρεξιν διὰ τίνα αἰτίαν ἀποκωλύει; ὅτι, φησὶ, τούτων, ὧν ὀρέγεσθαι καλὸν, οὐδὲν οὔπω σοι πάρεστι. Καίτοι εἰ παρῆν, οὐκ ἔτι τάχα τοῦ ὀρεχθῆναι καιρὸς ἦν. Καὶ γὰρ ἔκτασις τοῦ ὀρεγομένου ἡ ὄρεξις ἐπὶ τὸ ὀρεκτὸν, ὡς οὐ παρόντος. Τίς δ' ἂν καὶ τύχῃ τοῦ ἀγαθοῦ χωρὶς ὀρέξεως αὐτοῦ; Ὅλως δὲ, εἰ τὸ ἀγαθὸν ἡμῶν οὐκ ἐν ταῖς πράξεσιν, ἀλλ' ἐν ταῖς κατὰ φύσιν ὀρέξεσι καὶ ἐκκλίσεσι· πῶς τὴν ὄρεξιν παντελῶς ἀνελεῖν ἐν τῷ παρόντι διακελεύεται; πῶς δὲ δυνατὸν χωρὶς ὀρέξεως διατελεῖν ἄνθρωπον; Δοκεῖ δὲ καὶ ἐναντίον εἶναι τοῦτο τῷ πρὸ ὀλίγου ῥηθέντι, ὅτε ἔλεγε. « Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν. » Οὐ γὰρ σωματικὴν κίνησιν ἐνεδείκνυτο, ἀλλὰ τὴν κατὰ προθυμίαν καὶ ὄρεξιν. Πῶς δὲ καὶ ἔστιν ὁρμᾷν ἄνευ ὀρέξεως; ὀρεχθῆναι γὰρ ἀνάγκη πρότερον, καὶ οὕτως ὁρμῆσαι. Μήποτε οὖν πρὸς τοὺς ἀρχομένους παιδεύεσθαι ὁ λόγος ἐστὶν, οἷς οὐκ ἀσφαλὲς ὀρέγεσθαι ὅλως πρὸ τοῦ μαθεῖν τίνων ὀρέγεσθαι χρή· ὁρμᾷν δὲ χρὴ καὶ ἀφορμᾷν, κατὰ τὴν ὁρμὴν τὴν τῆς ὀρέξεως καὶ τῆς ἐκκλίσεως προηγουμένην; μήποτε δὲ πρὸς τοὺς ἔτι παιδευομένους διαλεγόμενος, οὐ πᾶσαν ἁπλῶς τὴν ὄρεξιν τῶν ἐφ' ἡμῖν ἀγαθῶν ἀνελεῖν παρακελεύεται, ὡς δοκεῖ λέγειν, ἀλλὰ τὸ σφοδρὸν παραιτεῖται τῆς ὀρέξεως; [οὐ μόνον δὲ τῆς ὀρέξεως,] ἀλλὰ καὶ τῆς ἐκκλίσεως, ἣν ἐφιέναι δοκεῖ; καὶ γὰρ ὁρμᾷν καὶ ἀφορμᾷν κούφως καὶ ἀνειμένως παρακελεύεται. Δῆλον δὲ, ὅτι ὁρμῶμεν μὲν ὀρεχθέντες, ἀφορμῶμεν δὲ ἐκκλίνοντες. Προηγεῖται γὰρ τῆς μὲν ὁρμῆς ἡ ὄρεξις, τῆς δὲ ἀφορμῆς ἡ ἔκκλισις. Καὶ ὅταν οὖν πρότερον ἔλεγε, « Τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι οὐ δεῖ μετρίως κεκινημένον ἅπτεσθαι αὐτῶν, » οὐ σφοδρὰν ὄρεξιν παρήγγειλεν, ἀλλ' ἅπερ ἐφεξῆς αὐτὸς ἐπάγει, « τὰ μὲν ἀφεῖναι παντελῶς, τὰ δὲ ὑπερθέσθαι πρὸς τὸ παρόν. »

Τὸ δὲ σφοδρὸν τῆς ὁρμῆς, καὶ τῆς ὀρέξεως, καὶ τῆς ἀφορμῆς, καὶ τῆς ἐκκλίσεως, ἐπὶ τῶν παιδευομένων εἰκότως παραιτεῖται, διὰ τὸ μὴ ὑπερπηδᾷν, καὶ ὑπερ-

quidem *aut paupertatem si declines;* quia non plane penes nos est effugere talia, (etsi enim facultatem quandam habemus, quæ ad ea effugienda nonnunquam aliquid confert; tamen ea neque semper valet, nec satis virium habet;) ideo necesse erit nos calamitatem subire, incidentes in ea quæ declinamus. Sin Epicteto paruerimus, declinationem in ea transferentes, quæ et naturæ repugnant et nostri sunt arbitrii; ut declinemus falsas de rebus opiniones, et ea quæ vitam naturæ ac rationi consentaneam impediunt; cum penes nos sit effugere talia, quoniam ad hoc sola declinatione egemus, quæ penes nos est; nunquam incidemus in ea quæ declinamus.

Sed hæc quidem perspicua sunt. Quomodo autem jubet omnem *adpetitionem omnino in præsentia tolli?* Nam adpetitionis earum quidem rerum, quæ nostri arbitrii non sunt, sublatio, evidentem habet utilitatem; quia eas res non consecuti, infelices erimus, et moleste vivemus, et, quamvis eas aliquando consequamur, neque utile nobis bonum, neque proprium bonum consequemur. Cur vero, e contrario, eorum etiam bonorum, *quæ in nostra potestate sita sunt,* adpetitione nobis interdicit? *Quia,* inquit, *eorum, quæ adpetere convenit, nihil adhuc tibi adest.* Atqui, si adesset, non amplius fortasse necesse esset adpetere. Est enim adpetitio extensio ejus qui adpetit versus rem expetitam, ut absentem. Quis vero etiam potiatur bono, nisi id adpetat? Et omnino, si bonum nostrum non in externis actionibus, sed in adpetitionibus et declinationibus naturæ consentaneis inest; qua tandem ratione hortatur, ut *in præsentia plane tollamus adpetitionem?* fieri qui potest, ut homo sine adpetitionibus vivat? Præterea pugnare videtur hoc cum eo, quod paulo ante dictum est, cum diceret: *In tantarum igitur adpetitione rerum, memento te non mediocriter incitatum adgredi eas oportere.* Neque enim de motu corporis loquebatur, sed de animi studio et adpetitione. Jam quo pacto *impetum capere ad agendum* possumus sine adpetitione? Adpetere enim prius oportet, et sic demum impetum capere. Vide igitur, ne ad solos tirones et novitios discipulos hæc verba pertineant, quibus *adpetere* minime tutum est, priusquam didicerint quæ sint adpetenda: sed *impetu uti, vel prosequi rem* et ab ea abhorrere satis est, pro eo impetu, qui adpetitionem et declinationem antecedit? Neque vero fortasse, quamquam tirones adloquens, omnem prorsus adpetitionem bonorum in nostra potestate positorum sublatam vult, quemadmodum dicere videtur; sed vehementiam adpetitionis improbat, ut et aversationis, quam permittit. Nam *prosequi rem, et refugere a re leviter et remisse* jubet. Constat autem, nos prosequi rem, ubi desideraverimus, refugere autem, cum declinamus. Nam prosecutionem antecedit adpetitio, fugam declinatio. Quare etiam, cum prius diceret : *In tantarum adpetition*· *rerum, memento, non mediocriter incitatum eas adgredi te oportere :* non vehementem adpetitionem suasit, sed ea, quæ ipse continuo subjungit, *quædam prorsus esse relinquenda, quædam in aliud tempus differenda.*

Recte vero cavet, ne ii qui erudiuntur, vehementiore impetu et adpetitione, itemque fuga et declinatione utantur, nec nimio ardore modum excedant, et quasi septa transi-

βάθμιον πόδα τείνειν ὑπὸ προθυμίας περιττοτέρας. Τοῦτο γὰρ καὶ τῆς ψυχῆς ἐπὶ τῶν πλείστων ἐκλύει τὸν τόνον, καὶ τὰ σώματα προσδιαφθείρει. Καὶ πολλοὶ τοῦτο πεπόνθασιν ἤδη, τῶν ἀκαίρῳ καὶ ἀμέτρῳ χρησαμένων προθυμίᾳ πρὸς ἄσκησιν. Ὀλίγαι γάρ εἰσι φύσεις, καὶ σωμάτων καὶ ψυχῶν, αἱ ἀθρόως μεταβαίνειν δυνάμεναι ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ εἰλικρινῆ ἀγαθά· ὅπερ Διογένει, καὶ Κράτητι, καὶ Ζήνωνι, καὶ τοῖς τοιούτοις ὑπῆρξεν· οἱ δὲ πολλοί, καὶ πίπτειν κατ' ὀλίγον, καὶ ἐγείρεσθαι κατ' ὀλίγον πεφύκαμεν, κατὰ ψυχήν, ὥσπερ καὶ κατὰ σῶμα. Ἡ γὰρ διὰ τῶν μέσων ὁδὸς βεβαιοτέρα καὶ ἀσφαλεστέρα ἐστί, τὴν τῆς ψυχῆς δύναμιν καὶ προθυμίαν συνέχουσα καὶ διακρατοῦσα, καὶ κατ' ὀλίγον προσαύξουσα. Διόπερ ὁρμᾶν καὶ ἀφορμᾶν κούφως καὶ ἀνειμένως, καὶ μεθ' ὑπεξαιρέσεως παρακελεύεται· τοῦτ' ἔστι, μετὰ τοῦ ἐνδιδόναι τι ὀλίγον, καὶ μὴ εἰς ἄκρον ἀποτείνειν τὴν ὁρμὴν καὶ τὴν ὄρεξιν, ἢ τὴν ἔκκλισίν τε καὶ ἀφορμήν. Ὁ γὰρ ἐξ ἀναγώγου βίου πρὸς ἐγκράτειαν συνεθιζόμενος, οὐκ εὐθὺς ὤφειλεν ἐπιπηδᾶν τῇ ἄκρᾳ λιτότητι καὶ νηστείᾳ, ἀλλὰ κατ' ὀλίγον ὑπεξαίρειν ἑαυτὸν ἀπὸ τῶν προτέρων· καί, ὅπερ ὁ τῶν χρυσῶν ἐπῶν ποιητὴς εἶπεν, Εἴκοντα χρὴ φεύγειν ἀπὸ τῶν τοιούτων. Καὶ ἐπὶ τῶν γνώσεων δὲ τοὺς ἀρχομένους παιδεύεσθαι οὐ χρὴ δόγματα εὐθὺς τὰ φαντάσματα ποιεῖσθαι, ἵνα, κἂν δέῃ μεταθέσθαι, εὐηνίως μετατιθῶνται.

Ἀλλ' εἰ πρὸς ἄμφω κούφως καὶ ἀνειμένως ἔχειν συμφέρει τοὺς παιδευομένους, διὰ τί τὴν μὲν ἔκκλισιν μεταθεῖναι παραινεῖ ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν, τὴν δὲ ὄρεξιν πρὸς τὸ παρὸν παντελῶς ἀναιρεῖν; ἢ ὅτι τοὺς ἀρχομένους ἀπὸ μοχθηροτέρας ἀγωγῆς ἐπὶ καλλίονα μεταβαίνειν χρὴ πρῶτον ἐξεμεῖν τὸν τῆς κακοζωίας ἰόν, καὶ τότε τοῖς τῆς εὐζωίας ἀγαθοῖς τρέφεσθαι; ὃ γὰρ ἐπὶ σωμάτων εἶπεν ὁ θαυμαστὸς Ἱπποκράτης, ὅτι τὰ μὴ καθαρὰ τῶν σωμάτων ὅσῳ ἂν θρέψῃς, μᾶλλον βλάψῃς· τοῦτο πρότερον ἐπὶ ψυχῶν ἐστιν ἀληθές. Ἡ γὰρ προϋπάρχουσα μοχθηρία τὰ προσιόντα χρηστὰ διαφθείρει· ποτὲ μὲν ἀηδῆ νομίζουσα, ποτὲ δὲ βλαβερά· ποτὲ δὲ καὶ ὡς ἀχρήστων ἢ ὡς ἀδυνάτων καταγινώσκουσα, ἅμα μὲν συντονωτέρα γίνεται, καὶ μετὰ πεῖραν, ὡς δοκεῖ, τῶν καλλιόνων καταφρονοῦσα· ἅμα δὲ ἀνιάτως ἴσχει, μηδὲ εἰς ὕστερον, ὅ τι δυνατὸν ἦν ἐνίοτε παθεῖν ὑπὸ τῶν καλλιόνων λόγων καὶ ἔργων, προσιεμένη αὐτό· ὡς εἴ τις, ἐν ἰκτερικῷ πάθει τὸ μέλι πικρὸν νομίσας, μηδὲ γεύσασθαι λοιπὸν ἀνέχοιτο μέλιτος. Ὥστε ἡ τάξις ἀπαιτεῖ τὰ παρὰ φύσιν πρῶτον ἐκκλίνειν, καὶ οὕτω τῶν κατὰ φύσιν ὀρέγεσθαι. Διὸ καλῶς ἐπὶ τοῦ παρόντος ἀνελεῖν τὴν ὄρεξιν τῷ τοιούτῳ παρακελεύεται, ἕως ἂν διὰ τῆς τῶν παρὰ φύσιν ἐκκλίσεως καθαρθεὶς ἐπιτήδειος, γένηται πρὸς τὴν τῆς εὐαγωγίας καταδοχήν. Ὁ μέντοι λόγος οὗτος καὶ τοὺς ἀρχομένους παιδεύεσθαι πρὸς τὸ ἄλυπον καὶ ἄφοβον καὶ ἐλεύθερον παρασκευάζει, ἵνα καὶ ἡδέως διάγωσι τὸν βίον, οὗπερ μάλιστα πᾶν ἀντέχεται ζῷον. Καὶ ὀρέγεσθαι μὲν καλόν ἐστιν ἀπαθείας, καὶ τῆς κατὰ φύσιν πρεπούσης τῷ

liant. Hoc enim in pleiisque et animi vigorem hebetat, et corpora consumit. Ac multis hoc jam accidit, qui importuno et immodico studio exercitationem morum sunt adgressi. Nam paucæ cum corporum tum animorum naturæ sunt, quæ subito a deterioribus ad meliora transire possint. Etenim Diogeni quidem, Crateti, Zenoni, et similibus hoc contigit : plerique vero et labi paulatim, et erigi paulatim solemus, tam animis quam corporibus. Via enim media, constantior et tutior, animi vim et alacritatem cohibet et moderatur, paulatimque auget. Quapropter *prosequi et fugere leviter et remisse* jubet, *et cum exceptione;* hoc est, sic, ut nonnihil laxetur, et non ad summum intendantur adpetitio et impetus, declinatio et fuga. Nam qui a luxuriosa vita ad temperantiam transit, non statim ad summam tenuitatem et jejunium prosilire debet, sed paulatim a priore victu subducere sese : et, quod Aureorum carminum auctor monet,

Cedendo molire fugam, ne talia vincant.

In cognitione quoque, ii qui erudiuntur, visa non statim pro decretis amplecti debent; ut, si mutanda sit forte sententia, non gravate id faciant.

At vero, si in utroque loco leviter ac remisse versari prodest studiosis : cur *declinationem in ea, quæ naturæ repugnant et in nostra potestate sunt, transferri* jubet; *adpetitionem vero in præsentia prorsus tolli?* An eo, quod, qui a prava consuetudine ad meliorem vitæ rationem transire incipiunt, hi primum evomere debent malæ vitæ venenum, et tum demum bonæ vitæ cibis ali? Nam quod de corporibus Hippocrates ait, immunda corpora, quo magis alantur, eo magis lædi : id de animis multo magis est verum. Etenim prius inhærens improbitas bona oblata corrumpit; dum ea partim molesta, partim vero nociva existimat, partim ut inutilia et nullam vim habentia aspernatur. Itaque simul viribus augetur, quippe quæ facto experimento (ut quidem sibi videtur) meliora spernat : simulque fit insanabilis, ita ut ne in posterum quidem, si quam adhuc vim ad eam corrigendam meliora præcepta exemplaque habere possent, illam vim admittat; perinde ac si quis, in morbo regio mel amarum ratus, post etiam id gustare recuset. Itaque ordo postulat, ut primum, quæ contra naturam sunt, declinemus, deinde consentanea naturæ adpetamus. Hinc recte jubet hominem, qui ea conditione est, nunc quidem adpetitionem procul habere, usquedum per declinationem rerum naturæ repugnantium purgatus, idoneus fiat ad recipiendam disciplinam rectam. Attamen hoc præceptum eos etiam, qui erudiri incipiunt, præparat ad animum tristitia timoreque vacuum et liberum præstandum, ut jucundam agant vitam, quam omne animal cum primis consectatur. Etsi adpetere quidem convenit vacuitatem a perturbationibus omnibus, et vitam naturæ

λόγῳ διαγωγῆς· τοῖς δὲ ἀρχομένοις ἀγαπητὸν μετριοπαθεῖν, καὶ πίπτειν ἔστιν ὅτε, καὶ πάλιν ἐγείρεσθαι. Τοῖς οὖν τοιούτοις οὐχ ἐφικτὰ τέως ἐκεῖνά ἐστιν, ὧν ὀρέγεσθαι καλόν. Τοῦτο γάρ ἐστι τὸ, Οὔπω σοι πάρεστιν. Ὀρεγομένους οὖν τῶν τέως μὴ ἐφικτῶν, καὶ λυπεῖσθαι, καὶ ἀτυχεῖν ἀνάγκη, καὶ ἀτονεῖν καὶ ἀπαγορεύειν ἐνίοτε. Πάντη δὲ πάντως οἱ τῶν μειζόνων ἀσυμμέτρως ὀρεγόμενοι τῶν συμμέτρων καταφρονοῦσι, καὶ περιπτύουσιν αὐτὰ, πρὸς τὰ μείζονα παραβάλλοντες· καίτοι ἀδύνατον πρὸ τῶν μικρῶν, φασὶ, τῶν μεγάλων μεταλαχεῖν, καὶ πρὸ τῶν συμμέτρων ἡμῖν ἐντὸς τῶν μειζόνων γενέσθαι.

[IN CAP. III.] Διελὼν τὰ ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν, καὶ εἰπὼν ὅτι τὰ μὲν ἴδια χρὴ νομίζειν τὰ δὲ, ἀλλότρια, καὶ ὅπως δεῖ τοῖς ἐφ' ἡμῖν προσφέρεσθαί τινα, καὶ ἐκκλίνειν μὲν τὰ παρὰ φύσιν, τὴν δὲ ὄρεξιν πρὸς τὸ παρὸν ἐπέχειν, δι' ἃς εἶπον ἴσως αἰτίας· ἐπειδὴ καὶ τοῖς οὐκ ἐφ' ἡμῖν ἀνάγκη χρῆσθαι πολλάκις, διδάσκει, ἵνα, κἂν μή ἐστιν ἐφ' ἡμῖν, ἀταράχως ὅμως καὶ ἀλύπως ἐν τούτοις ἀναστρεφώμεθα. Διαιρεῖ δὲ τὸ οὐκ ἐφ' ἡμῖν τριχῆ· εἴς τε τὰ ἡδονὴν παρεχόμενα ψιλὴν χωρὶς ὠφελείας· τοιαῦτα γὰρ τὰ ψυχαγωγοῦντα ἐστί· καὶ εἰς τὰ χρειώδη καὶ ὠφέλιμα· καὶ εἰς τὰ δι' οἰκειότητα στεργόμενα, κἂν μὴ χρείαν ἢ ὠφέλειαν παρέχηται. Ταῦτα γὰρ τὰ τρία, ἡδονὴ, καὶ χρεία, καὶ φύσεως ἀναγκαία στοργὴ, προσηλοῖ τὴν ψυχὴν τῇ θνητῇ δυσχερείᾳ. Ψυχαγωγοῦνται δὲ ἄλλοι ἄλλοις· οἱ μὲν, τραγῳδίαις καὶ κωμῳδίαις· οἱ δὲ ἀγῶσιν ἀθλητικοῖς ἢ ἱππικοῖς, ἢ τοῖς τοιούτοις· οἱ δὲ ὀρχησταῖς, καὶ θαυματοποιοῖς, καὶ μίμοις, καὶ γελοίοις. Καὶ οἱ μὲν θεάμασι τερπνοῖς· ἢ φυσικοῖς, ὡς οἱ τῶν ταώνων ἢ ὀρνέων τὰ κάλλη τεθηπότες, ἢ λειμῶνας καὶ ἄλση, καὶ τὰ τοιαῦτα· ἢ τεχνικοῖς, ὡς οἱ περὶ γραφὰς, καὶ ἀνδριάντας, καὶ οἰκοδομὰς, καὶ τῶν ἄλλων τεχνῶν τὰ κάλλη ἐσπουδακότες· οἱ δὲ τοῖς ἐν ἀκοῇ καλοῖς ἐκδεδομένοι, ὡς οἱ τὰς καλὰς φωνὰς καὶ τῶν μουσικῶν ὀργάνων τοὺς ἤχους ἀσπαζόμενοι, καὶ ἔτι μᾶλλον οἱ ταῖς ἱστορίαις καὶ τοῖς μυθικοῖς διηγήμασιν ὡς ἡδέσι χαίροντες· ψυχαγωγεῖ γὰρ καὶ ταῦτα ἡμᾶς· διὸ καὶ ἐκ παίδων φιλόμυθοι τυγχάνομεν ἅπαντες. Καὶ τὰ χρειώδη δὲ διάφορα ἐστί· τὰ μὲν, εἰς ψυχικὴν ὠφέλειαν τείνοντα, ὡς διδάσκαλος, καὶ ἀγαθοὶ ἑταῖροι, καὶ βιβλία παιδευτικὰ, καὶ τὰ τοιαῦτα· τὰ δὲ, εἰς σῶμα, ὡς τροφαὶ, καὶ ἀμπεχόναι, καὶ γυμνάσια· τὰ δὲ, εἰς τὰ ἐκτὸς, οἷον δυναστεῖαι, καὶ κτήματα, καὶ χρήματα, καὶ τὰ τοιαῦτα. Στέργεται δὲ δι' οἰκειότητα, κἂν τύχῃ μηδεμίαν χρείαν παρεχόμενα, τέκνα, γαμεταὶ, συγγενεῖς, φίλοι, πολῖται. Ἐπὶ πάντων οὖν φησὶ τῶν τοιούτων· Ἀναμιμνήσκου καὶ προχειρίζου τὴν φύσιν αὐτῶν, ὁποία τις ἐστὶν, ὅτι φθαρτὴ, ὅτι εὐαφαίρετος, ὅτι οὐκ ἐφ' ἡμῖν. Ἡ γὰρ συνεχὴς τῆς τούτων φύσεως ἀνάμνησις μελέτη τῆς ἀφαιρέσεως αὐτῶν ἐστιν· ἡ δὲ μελέτη, συνήθειάν τινα ποιοῦσα, οὐ συγχωρεῖ προσπιπτόντων αὐτῶν λυπεῖσθαι· ὥσπερ καὶ ἐν τοῖς ἄλλοις τὰ συνήθη φορητά ἐστι καὶ τῷ σώματι καὶ τῇ ψυχῇ, κἂν πάνυ δυσχερῆ τυγχάνῃ.

Καλῶς δὲ κἀνταῦθα καὶ ἐν τοῖς ἑξῆς παραινεῖ ἀπὸ

ac rationi consentaneam : at incipientibus tamen satis sit, moderari perturbationes, et cadere interdum, rursusque surgere. Tales igitur homines ea, quæ adpetere convenit, nondum valent consequi. Hoc enim verba illa volunt : *Nondum tibi adest.* Si enim ea desideraris, quæ supra vires tuas sunt; et dolere te et *frustrari necesse erit*, interdum etiam remollescere, et animum despondere. Omnino vero, qui majora suis viribus desiderant, hi sibi apta contemnunt, et cum majoribus collata aspernantur. Neque vero magnis ante parva (ut in proverbio est) potiri licet; neque ante ea quæ commoderata nobis sunt, ad majora penetrare.

[IN III.] Postquam ea divisit quæ in nostra potestate sunt aut non sunt, quorum illa propria, hæc aliena putanda; et quo pacto tractanda sint, edocuit; declinanda scilicet repugnantia naturæ, adpetitionem vero in præsentia cohibendam, ob eas fortasse caussas quas dixi : nunc, quoniam iis etiam, quæ in potestate nostra non sunt, sæpe utendum est, docet, quo pacto in his, quamquam in nostra potestate non positis, tamen ita versari possimus, ut perturbatione et molestia vacemus. Trifariam autem partitur ea quæ in nostra potestate sita non sunt : in ea, quæ nudam voluptatem præbent absque utilitate; talia enim sunt, quæ dicit *oblectantia animum;* in *res usum præstantes* et fructuosas : denique in ea, quæ ob consuetudinem aliquam et adfectionem *diliguntur,* etsi neque utilia neque fructuosa sunt. Nam hæc tria, voluptas, utilitas, et naturalis quædam ac necessaria caritas, mortalibus difficultatibus adfigunt animum. *Delectantur* autem alii aliis rebus : nonnulli tragœdiis et comœdiis; nonnulli pugilum certaminibus, aut ludis Circensibus, rebusve similibus; alii saltatoribus, præstigiatoribus, mimis, ridiculis. Tum alii spectaculis jucundis; hisque vel naturalibus, ut qui pavonum et gallinarum elegantiam, pratorumve viriditatem, aut nemorum amœnitatem admirantur; vel artificiosis, ut qui picturis, statuis, ædificiis, aut aliarum artium pulchritudini student. Alii, aurium dediti voluptatibus, partim pulcris vocibus et musicorum instrumentorum sonis capiuntur; partim vero majorem etiam voluptatem capiunt, historiis et fabulosis narrationibus (id quod a puero nobis insitum est) deliniri soliti. Sunt vero et res *usum præstantes* non unius generis. Alia enim sunt animis utilia; ut magistri, boni sodales, libri eruditi, et similia : alia corporibus; ut cibi, vestes, exercitationes : alia sunt rerum externarum; ut principatus, prædia, opes et quæ sunt ejusdem generis. *Diliguntur* vero ob naturalem aliquam conjunctionem, etsi nullum præbeant usum, liberi, uxores, cognati, amici, cives. Horum igitur omnium, inquit, recordare, et in promtu habeto *qualis sit eorum natura;* nempe mortalis, ereptu facilis, non arbitrii nostri. Nam perpetua naturæ horum recordatio, ereptionis eorum est meditatio : quæ, ubi adsueveris, te, cum illa inciderit, perturbari non sinet : sicut et alia consueta, quantumvis gravia, et corporibus et animis tolerabilia fiunt.

Recte autem et hic et in iis quæ sequuntur monet, a par-

τῶν μικρῶν ἄρχεσθαι· καὶ οὐ τῶν μικρῶν ἁπλῶς, ἀλλὰ καὶ τῶν μικροτάτων, ἵνα μὴ, κατὰ τὴν παροιμίαν, ἐν πίθῳ τὴν κεραμείαν μελετῶμεν. Ὁ μὲν γὰρ ἀπὸ τῶν μειζόνων ἀρχόμενος, ἡττᾶται ῥᾳδίως καὶ ἀτυχεῖ· καὶ ἀτονῶν, ἀσθενέστερος γίνεται, καὶ ἀπογινώσκει· ὁ δὲ τοῖς μικροτάτοις εὐθὺς ἐπιχειρῶν ἅμα ἰσχυρότερος πάντως ἐφ' ὁσονοῦν γίνεται, καὶ θαῤῥαλεώτερος, καὶ καλλίων οὗ πρότερον ἦν· ὥστε τῶν μὲν ἴσων ῥᾳδίως κρατεῖν, ἀσφαλέστερον δὲ ἤδη πρὸς τοῖς ὀλίγῳ μείζοσιν ἐπιτίθεσθαι. Ὁ γὰρ τετράκις τῆς ἡμέρας ἐσθίων, ἐὰν εὐθὺς νηστεύειν ὅλην τὴν ἡμέραν ἐπιχειρήσῃ, καὶ τὸ σῶμα τῇ ἀθρόᾳ μεταβολῇ ταράσσει, καὶ αὐτὸς ἐπιπόνως καὶ ἀηδῶς διάγει. Διὸ καὶ ἐπισφαλὴς καὶ ἀβέβαιος ἡ τοιαύτη προκοπὴ γίνεται. Εἰ δὲ ἀντὶ τοῦ τετράκις μεταλάβῃ τέως τρίτον ἐσθίειν, καὶ τοῦτο συνεθισθῇ, ῥᾳδίως ἐπὶ τὸ δὶς, καὶ ἔτι εὐχολώτερον ἐπὶ τὸ ἅπαξ μεταβαίνει ἐσθίειν, καὶ ἀσφαλέστερον, καὶ βεβαιότερον. Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἐν χρείᾳ στεργομένων, ἐὰν ἐπὶ τῶν μικρῶν καὶ μὴ πάνυ σπουδαζομένων συνεθισθῇ τις πρόχειρον αὐτῶν ποιεῖσθαι τὴν φύσιν, καὶ τὸ εὐαφαίρετον αὐτῶν οὐκ ἀνέλπιστον· (οἷον ἐπὶ τῆς χύτρας διὰ τὴν χρείαν ἀγαπωμένης, ὅτι θραυστή ἐστι· τί δ' ἂν εἴη χύτρας εὐτελέστερον;) κατ' ὀλίγον μεταβαίνων, καὶ ἰσχυροποιούμενος, ἰσχύσει καὶ τέκνον αὐτοῦ καταφιλῶν, οὐ λόγῳ μόνον εἰπεῖν, οὐδὲ φαντασίᾳ τυπωθῆναι ψιλῇ, ἀλλ' ὅλῃ ζωῇ διατεθῆναι, ὅτι ἄνθρωπον καταφιλεῖ, φθαρτόν τι πρᾶγμα, καὶ εὐαφαίρετον· διατεθεὶς δὲ οὕτω καὶ συνεθισθεὶς, οὐ ταραχθήσεται ἀφαιρουμένου.

Καὶ ὅρα, ὅπως ἡ ἔμφρων καὶ τεχνικὴ τῶν πραγμάτων μεταχείρισις καὶ τοῖς μὴ ἐφ' ἡμῖν, διὰ τῶν ἐφ' ἡμῖν, ὡς ἐφ' ἡμῖν οὖσι κέχρηται. Τὸ μὲν γὰρ μὴ ἀποθανεῖν τὸ τέκνον οὐκ ἐφ' ἡμῖν ἐστι· τὸ δὲ, πρόχειρον ἔχοντας τὴν φύσιν αὐτοῦ, καὶ διὰ τοῦτο καὶ τὸ ἀποθανεῖν ἐλπίζοντας ἐπίσης τῷ ζῆν, μὴ ταραχθῆναι ἀποθανόντος, ἀλλ' οὕτως ἔχειν ὡς εἰ καὶ μὴ ἀπέθανε, ἐφ' ἡμῖν ὂν, καὶ τὸ μὴ ἀποθανεῖν, οὐχ ὂν ἐφ' ἡμῖν, καὶ τοῦτο ἐφ' ἡμῖν εἶναι ποιεῖ· εἴπερ ἔξεστι τῷ τοιούτῳ λέγειν, ὅτι, Ἐμοὶ τὸ τέκνον οὐκ ἀπέθανεν· ἢ, τό γε ἀληθέστερον, ὅτι, Κἂν ἀπέθανεν, ἐγὼ ἐμαυτὸν ὡς μὴ ἀποθανόντος διαφυλάττω ἀτάραχον. Καλῶς δὲ τὰ παραδείγματα τῶν ἐν χρείᾳ καὶ τῶν στεργομένων παρέθετο μόνον, ὡς ἐνδεικνύμενος, ὅτι τοῖς προκόπτειν ὅλως ἀρξαμένοις εὐκαταφρόνητα ὤφειλεν εἶναι τὰ διὰ ψυχαγωγίαν μόνην ὑπό τινων σπουδαζόμενα.

[**IN CAP. IV.**] Εἰπὼν ὅπως ἔχειν δεῖ πρὸς τὰ σπουδαζόμενα παρ' ἡμῶν ἐν τοῖς ἐκτὸς, δηλονότι τὰ ψυχαγωγοῦντα, καὶ τὰ χρειώδη, καὶ τὰ στεργόμενα ὑφ' ἡμῶν· ἐφεξῆς ἐπάγει, πῶς χρὴ πρὸς τὰς καθ' ἡμᾶς πράξεις παρασκευάζεσθαι, ἐν αἷς πολὺ τὸ οὐκ ἐφ' ἡμῖν· ὅτι καὶ τούτων τὴν φύσιν δεῖ προλογίζεσθαι, ὁποῖά τινα ἔχει τὰ ἐπισυμβαίνοντα, καὶ μὴ ἀπελπίζειν, ὅτι καὶ ἐκεῖνα ἐπὶ σοῦ συμβαίνει· ἵνα, εἰ δύσκολα εἴη τὰ εἰωθότα ἐπισυμβαίνειν, εἰ μὲν μὴ ἀναγκαῖον τὸ ἔργον, μηδὲ

vis, atque adeo *a minimis esse incipiendum;* ne, ut proverbio dicitur, figlinam a dolio auspicemur. Nam qui majora initio suscipit, facile succumbit, frustratur, fractis viribus fit imbecillior, desperat. Qui vero a minimis incipit, simul utique et aliquanto robustior fit, simulque fidentior et melior quam ante fuit; ut jam et paria facile superet, et præterea paulo etiam majora tutius adgrediatur. Nam, qui quotidie quater edere consueverat, si totum jejunare diem statim conatus fuerit, et corpus mutatione subita turbabit, et ipse ærumnose molesteque vivet. Itaque talis progressio et periculosa, et inconstans esse solet. Sin a quaternario interim ad ternarium descenderit, eique adsueverit, facile deinde adsuescet bis, et multo facilius, atque etiam tutius et constantius, semel tantum edere consuescet. Eadem est eorum quoque ratio quæ propter usum diliguntur : si quis in parvis et parvi momenti rebus adsueverit naturam eorum in promtu habere, quamque facile possint eripi cogitare; (veluti de *olla,* ob usum *cara,* cogitare, esse eam fragilem : quid vero olla vilius est?) idem paullatim progrediendo, et vires acquirendo, tandem etiam *inter osculandum filium,* non verbo tantum dicere, aut animo sibi fingere poterit, sed et imo pectore ita sentire, *se hominem osculari,* rem fragilem et caducam. Ita vero sentiens, ita consuefactus, non perturbabitur, si is ereptus fuerit.

Observabis autem, quo pacto prudens et solers tractatio rerum iis etiam, quorum potestas in nobis sita non est, per ea quæ penes nos sunt, utatur quasi nostri essent arbitrii. Nam arbitrii nostri non est, ne filius moriatur : sed, quoniam in nobis situm est, naturam ejus in promtu habendo, cogitandoque mori eum posse non minus quam vivere, non perturbari eo mortuo, et sic esse adfectos quasi mortuus non esset; inde hoc ipsum, ne is moriatur, quod in nobis situm non est, efficitur ut in nobis situm sit. Talis enim dicere potest : *Mihi vero filius non est mortuus :* aut, quod verius est, *Ut mortuus sit, ego animo ita sum tranquillo quasi mortuus non esset.* Recte autem nonnisi rerum utilium et hominum dilectorum exempla adposuit; utpote significans, eos qui omnino progredi cœpissent, plane aspernari oportere illa, quæ nonnullis solius delectationis caussa studio sint.

[IN IV.] Postquam docuit, quomodo in rebus extra nos positis, quibus studemus, ut sunt jucundæ, utiles, caræ, adfecti esse debeamus; nunc subjicit, quo pacto ad actiones nostras comparare nos debeamus, quæ multa, quæ in nostra potestate non sunt posita, adjuncta habent. Docet igitur, esse et naturam earum præmeditandam, et cogitandum, qualia una incidere soleant, posse illa tibi quoque evenire; ut, si quid gravius acciderit, non sit tibi inexspectatum; si vero non necessarium sit suscipere rem, eam ne suscipias qui-

προσήσῃ αὐτὸ τὴν ἀρχήν. Ὁ γοῦν Ῥωμαῖος Κάτων, ὁ μέγας, ἓν τῶν ἑαυτοῦ παροραμάτων ἐν τῷ βίῳ ἔλεγε τὸ ἑλέσθαι πλεῦσαι κατὰ τὴν ἀποδημίαν ἐκείνην, ἣν ἠδύνατο καὶ δι' ὁδοιπορίας ποιήσασθαι. Εἰ γὰρ προσήσῃ, κἂν μὴ συμβῇ τι δυσχερὲς, φύσιν δὲ ἔχῃ πολλάκις ἐπισυμβαίνειν, ἁμάρτημά ἐστι καὶ χωρὶς ἀνάγκης ἑλέσθαι αὐτό· καὶ τὸ, δυνάμενον ἀσφαλέστερον αὐτὸ μεταχειρίσασθαι, τὴν ἐπισφαλεστέραν ὁδὸν αἱρεῖσθαι διὰ τὸ πολλοὺς καὶ ἐν αὐτῇ διασώζεσθαι. Εἰ μέντοι ἀνάγκη πάλιν ἅψασθαι τοῦ ἔργου, ἢ πλεῦσαι εἰς νῆσον πάντως δεόμενον, ἢ ἀπὸ νήσου, καὶ πατρὶ ἢ φίλῳ κινδυνεύοντι παραστῆναι, καὶ πολεμῆσαι πάντως ὑπὲρ πατρίδος· τότε μὴ φεύγειν μὲν τὸ ἔργον, προμελετῶντα δὲ τὴν φύσιν αὐτοῦ καὶ τὰ ἐπισυμβαίνειν εἰωθότα, οὕτως ἅπτεσθαι αὐτοῦ· ἵνα, διὰ τῆς μελέτης συνεθιζόμενοι πρὸς αὐτὰ, μὴ ταραττώμεθα συμβαινόντων αὐτῶν. Ὁ γὰρ οὕτω παρασκευαζόμενος καὶ μὴ συμβαινόντων εὐφραίνεται, ὡς ἤδη σχεδὸν διὰ τῆς μελέτης συμβεβηκότα ἀποφυγών· κἂν συμβῇ ποτε, τῷ ἐλπίζειν, ἀταράχως αὐτὰ καὶ ἀκινδύνως ἐκδέχεται.

Ἀλλ' ἐρεῖ τις, πρῶτον μὲν ἀτόλμους καὶ ἀπράκτους γενέσθαι τοὺς τὰς ἀποτυχίας ἀεὶ τῶν ἔργων ἐννοοῦντας· ἔπειτα, ἀνιαρὰν εἶναι τὴν τῶν λυπούντων ὡς πάντως γινομένων φαντασίαν, καὶ ἀνιαρότερον ἔτι τὸ καὶ χρόνον ἐνίοτε πολὺν αὐτῇ συνεῖναι, τοῦ ἔργου παρατείνοντος. Διὸ καὶ κάλλιον ἂν οὗτος φαίη τὸν Δημοσθένην συμβουλεύειν, ἐγχειρεῖν μὲν ἅπασιν ἀεὶ τοῖς καλοῖς, τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα· φέρειν δὲ, ἃ ἂν ὁ θεὸς διδῷ, γενναίως. Ἀλλ' εἰ μὲν ὁ Δημοσθένης, ὦ βέλτιστε, ἀγαθὴν ἐλπίδα λέγει τὴν ἐπὶ τῇ τῶν ἀγαθῶν ἐγχειρήσει, ὁποῖον ἂν τὸ τέλος ἀποβῇ· καὶ αὐτὸς ταῦτα τῷ Ἐπικτήτῳ λέγει, πλὴν τοῦ προσθεῖναι τὴν μέθοδον, πῶς δεῖ γενναίως φέρειν ἅπερ ἂν ὁ θεὸς διδῷ, κἂν τυγχάνῃ δυσχερέστερα. Ὁ μέντοι Ἐπίκτητος τὴν εὐφορίαν πορίζεσθαι συμβουλεύει, διὰ τὸ προδιεσκέφθαι τὴν φύσιν τοῦ ἔργου, καὶ ὅτι πρέπον ἡμῖν ἐστιν, καὶ ὅτι ἔχει τινὰ ἑπόμενα δυσχερῆ ἐνίοτε, ἅπερ εὔφορα γίνεται ἑκατέρωθεν· καὶ διὰ τὸ ὠφέλιμον καὶ καθῆκον τοῦ ἔργου, ᾧ ἐνίοτε συνέστη τὰ δυσχερῆ· καὶ διὰ τὸ προμεμελετῆσθαι, καὶ μὴ ἀνελπίστως προσπίπτειν αὐτά. Εἰ μέντοι ἀγαθὴν ἐλπίδα παραινεῖ προβάλλεσθαι ὁ Δημοσθένης τὴν ἐπὶ σωτηρίᾳ πάντως καὶ ἀποφυγῇ τοῦ κλιμακτῆρος, δύσκολον, οἶμαι, μᾶλλον δὲ ἀδύνατόν ἐστι, τὸν σωτηρίας ἐλπίδα ἀεὶ προβαλλόμενον εὐφόρως φέρειν τὰ ἐπισυμβαίνοντα δυστυχῆ. Οὔτε γὰρ τὸ σῶμα, οὔτε ἡ ψυχὴ, ἀταράχως τὰς ἀθρόας ὑποφέρει μεταβολάς· εἴπερ καὶ αἱ τῶν ὡρῶν μεταβολαὶ, καίτοι οὐχ ἀθρόως ἀλλὰ κατ' ὀλίγον γινόμεναι, ὅμως νοσήματα τίκτουσιν ὡς ἐπὶ τὸ πλεῖστον.

Οὐ μέντοι ἀτόλμους, οὐδὲ ἀπράκτους, οὐδὲ ἀνιαρῶς ζῶντας ποιεῖ τὸ προλογίζεσθαι τὰ ταῖς πράξεσι συνυπάρχοντα πολλάκις δυσχερῆ. Εἰ γὰρ ἀγαθὸν εἶναι καὶ ὠφέλιμον τῇ ψυχῇ (ταὐτὸν δ' εἰπεῖν, τῷ ἀνθρώπῳ,) τὴν πρᾶξιν ὁ λόγος ὑπαγορεύσει, κἂν δέῃ κινδυνεύειν

dem. Sic sane Cato major, hoc unum e suis erratis fuisse, solebat dicere, quod aliquando navigasset, cum iter terra conficere potuisset. Ut autem nihil gravius accidat, si tamen ea negotii natura sit ut sequi possit et soleat; tam suscipere id cum necesse non est, quam, cum tutiore via insistere liceret, periculosiorem ingredi, quod et eam incolumes multi confecerint, peccatum erit. Si vero necessitas urgeat, ut suscipias opus, ut verbi caussa in insulam navigandum sit, aut ex insula; ut patri aut amico ferendæ suppetiæ, ut pugnandum pro patria; ipsum quidem opus reformidandum non est, sed natura ejus præmeditanda, et ea quæ consequi solent : ut, præmeditatione ad illa adsuefacti, cum advenerint, non perturbemur. Nam qui ita se parat, is et cum non acciderint illa, gaudebit, ut evitatis iis quæ meditatione ipsius jam quasi acciderant; et cum acciderint aliquando, eo tranquillius et tutius ea excipiet, utpote exspectata.

At dices : primum, fore timidos et ignavos, qui adversos rerum exitus semper cogitarint; deinde, molestam esse omnino tristium rerum tamquam utique eventurarum cogitationem, quæ quidem etiam diuturnitate temporis augeatur, si negotium prorogetur. Itaque Demosthenicum illud magis laudabis, qui suadet, semper omnes res honestas suscipiendas esse cum bona spe ; et, quemcunque Deus eventum dederit, magno animo ferendum. Sed heus tu, si Demosthenes eam spem bonam dicit, quæ conatu bonarum rerum nititur, qualiscunque sit exitus; cum Epicteto plane consentit, nisi quod viam rationemque non adjicit, qua magno animo ferenda sint quæcunque Deus dederit; etiamsi asperrima fuerint. Epictetus autem ferendi rationem tradit, præmeditanda scilicet natura rei suscipiendæ, cogitandoque, et decere eam nos, et esse nonnunquam cum molestiis quibusdam conjunctas, sed esse has facile ferendas, cum propter ipsius rei dignitatem et utilitatem, cum qua molestiæ nonnunquam sunt conjunctæ, tum quia præmeditatæ illæ fuerint, neque præter spem acciderint. Sin eam bonam spem Demosthenes dicit, quæ et prosperum omnino successum et periculi evitationem nobis promittat; vix, ac ne vix quidem fieri potest, ut, qui spem salutis atque successus perpetuo foveat, is ingruentes præter opinionem calamitates moderato et æquo animo ferat. Neque enim corpus, neque animus, subitas mutationes sine perturbatione fert : cum et anni vicissitudines, licet earum mutatio paulatim fiat, morbos plerumque gignant.

Neque vero timidos, ignavos, mœstos, ista difficultatum et periculorum præmeditatio efficiet. Nam si actionem et bonam et utilem esse animo (hoc est homini) ratio monstrarit, tametsi non absque periculo : tamen boni desiderium

ἐν αὐτῇ· πάντως ἡ τοῦ ἀγαθοῦ ἔφεσις καὶ τολμᾷν καὶ πράττειν ποιεῖ, καὶ τὴν ἔννοιαν τοῦ ἐνίοτε καὶ κινδυνεῦσαι παραμυθεῖται τὸ πεισθῆναι τῷ ὀρθῷ λόγῳ, λέγοντι, αἱρετὸν εἶναι τὸ ἔργον, κἂν δέῃ κινδυνεύειν ἐν αὐτῷ. Καὶ γὰρ ὁ μὲν κίνδυνος καὶ ἡ βλάβη περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς ὄντα οὐχ ἡμῶν ἐστι κακὸν, τῶν ὄντως ἡμῶν, ἐὰν νήφωμεν. Ἡ δὲ ὠφέλεια ἢ τὸ ἀγαθὸν τοῦ τὴν ἀγαθὴν πρᾶξιν μετὰ κινδύνων ἑλέσθαι, τῆς ψυχῆς ὄντα, τοῦτ' ἔστιν ἡμῶν, τῶν ὄντως ἡμῶν, πολλαῖς ὀδύναις, καὶ ζημίαις, καὶ φυγαῖς, καὶ ἀτιμίαις ἀντισηκοῦται· μᾶλλον δὲ καταβαρεῖ ἐκεῖνα, καὶ τῇ ὑπερβολῇ τοῦ ἀγαθοῦ παραμυθεῖται. Καὶ γὰρ πᾶς ἄνθρωπος μεῖζον ἀγαθὸν μετὰ ἐλάττονος κακοῦ αἱρεῖται. Εἰ μέντοι φανῇ τὸ μὲν ἀγαθὸν ἡμέτερον, τὸ δὲ κακὸν ἀλλότριον, καὶ μὴ λόγος μόνον τοῦτο λέγῃ προφορικὸς, καὶ ψιλὴ φαντασία, ἀλλὰ καὶ λόγος συμφυὴς τῇ ἀληθείᾳ, καὶ ζωὴ τῆς διαφορᾶς αὐτῶν συναισθομένη· πῶς ἔτι ἀτόλμως ἢ ἀνιαρῶς διατεθήσεται ἐπὶ τῇ ἐλπίδι τῶν ἐνίοτε ἐπισυμβαινόντων δυσχερῶν ταῖς ἀγαθαῖς ἐγχειρήσεσι; καὶ αὐτὸ γὰρ τοῦτο, τὸ μετὰ κινδύνων ἑλέσθαι τὸ ἀγαθὸν, καὶ μὴ ἀταλαιπώρως, ἀλλὰ καὶ ἀποθανεῖν ὑπὲρ αὐτοῦ, μεγίστην εὐφροσύνην τοῖς κατὰ φύσιν διακειμένοις ἐνδείκνυται. Καὶ δηλοῦσιν οἱ Μενοικεῖς, καὶ ὅσοι τὸν ὑπὲρ πατρίδος εἵλοντο θάνατον.

Καὶ ὁ μὲν Ἐπίκτητος ἐπὶ τοῦ εὐτελεστάτου τὴν διδασκαλίαν ποιεῖται· ἅμα μὲν ἐπὶ τῶν πολλοῖς καὶ πολλάκις συμβαινόντων γνωριμώτερον ποιῶν τὸν λόγον, καὶ τὴν συναίσθησιν τῶν ἀκουόντων ἀνακινῶν· ἅμα δὲ, ὅπερ αὐτὸς εἶπε, προσεχῶς ἐν τοῖς ἐλάττοσι γυμνάζεσθαι τοὺς ἀρχομένους παραινῶν, διὰ τὰς εἰρημένας πρότερον αἰτίας. Ἔξεστι δὲ καὶ ἐπὶ τὰ μείζονα μετατιθέναι, ἐφ' οἷς καὶ κίνδυνοι μείζονες ἕπονται πολλάκις· καὶ ἐπ' ἐκείνων τοῦ ἔργου τὴν φύσιν λογίζεσθαι, ποία τις ἐστὶν, καὶ εἰ πρέπουσα ἡμῖν, καὶ τίνα ἔχει δυσχερῆ πολλάκις ἐπισυμβαίνοντα· καὶ προορίζειν ἑαυτῷ τὸ καὶ ταῦτα φέρειν, εἰ γίνοιτο, μετρίως. Οὕτω γὰρ ἑαυτὸν κατὰ φύσιν ἔχοντα διατηρήσει, ἐὰν καὶ τὸ τῆς πράξεως ἀγαθὸν καρπώσηται, καὶ ὑπὸ τῶν συμβαινόντων μὴ ταραχθῇ. Ταραχθεὶς γὰρ καὶ ἐν κακῷ νομίσας γενέσθαι, ἢ τὴν ἀρχὴν κακῶς ἔκρινεν ἅψασθαι τοῦ ἔργου· ἢ, εἰ τότε καλῶς, νῦν ἀγεννῶς καὶ δειλῶς ταράττεται, καὶ μεταγινώσκει· ἅπερ ἄμφω οὐ κατὰ φύσιν ἐστίν.

[IN CAP. V.] Εἰπὼν ὅπως ἀτάραχον δυνατὸν μένειν ὑπὸ τῶν ταῖς πράξεσιν ἐπισυμβαινόντων πολλάκις δυσχερῶν· ὅτι προμελετήσαντα αὐτὰ ὡς ἑπόμενα, καὶ ἐγκρίναντα καὶ μετ' αὐτῶν ἑλέσθαι τὴν πρᾶξιν· μετὰ τὴν ἀπὸ τῆς μελέτης ἀταραξίαν νῦν ἄλλην παραδίδωσι, τὴν ἀπὸ τῆς φύσεως αὐτῶν τῶν δοκούντων δυσχερῶν καὶ ταραττόντων ἡμᾶς ἔνδειξιν· ἐνταῦθα οὐκ ἔτι μικρῷ, ἀλλὰ τῷ μεγίστῳ τῶν ταραττόντων ἡμᾶς, τῷ θανάτῳ, χρώμενος εἰς παράδειγμα. Ἐὰν γὰρ ἐπὶ τούτου δειχθῇ τὸ προκείμενον, πολὺ μᾶλλον ἐπὶ τῶν ἧττον τούτου δοκούντων δεινῶν ἀποδεδειγμένον ἔσται. Λέγει

et fidentes et actuosos facit; et periculi cogitationem id consolatur, quod rectæ rationi paruerint, quæ præceperit expetendum illud opus etiam cum periculo fuisse. Etenim periculum et damnum, quæ ad corpus et res externas pertinent, non nostra sunt mala, ad nos ipsos vere pertinentia, si modo sapimus. Utilitas vero et bonum illud, quod in hoc inest ut honestam rem cum periculis susceperimus, cum sit animi bonum, adeoque vere nostrum, multos dolores, damna, exsilia, et ignominias compensat, immo vero istis omnibus præponderat, suaque excellentia ista consolatur. Omnis enim homo bonum majus cum minore malo conjunctum amplectitur. Quod si vero bonum esse nostrum, malum vero alienum esse adparet; porro si non verbis tantum et labiis, levi quadam accedente phantasia, id dicimus, sed vere et imo pectore discrimen illud sentimus; quo pacto adhuc tristes et anxii difficultates honestis conatibus interdum objici solitas exspectabimus? Nam illud ipsum iis, qui naturæ congruenter vivunt, maximam hilaritatem adfert, quod non citra ærumnam, sed cum periculis, subinde etiam cum vitæ discrimine, id quod bonum est amplectuntur. Declarant hoc Menœcei, et quicumque se pro patriæ salute Diis Manibus devoverunt.

Et Epictetus quidem id, quod vult, exemplo vilissimæ rei docet; simul præceptionem suam per ea, quæ multis et sæpe accidunt, clariorem faciens, et ipsum auditorum sensum excitans; simul (quod ipse ait) tirones in minoribus primum exercendos esse monens, ob eas caussas quas ante diximus. Sed possunt hæc etiam ad majora transferri, quæ cum majoribus sæpe periculis conjuncta sunt: ut in illis etiam naturam cujusque negotii reputemus, quale sit, an nobis dignum sit, et quibus cum molestiis sit conjunctum; tum ut nobiscum constituamus, nos has quoque, si ita res tulerit, æquo animo suscepturos. Sic enim *naturæ nostræ statum tuebimur*, et bonæ actionis fructum capiemus, et eventibus non perturbabimur. Nam qui perturbatus fuerit, seque in malis esse putaverit; is aut initio non recte judicavit suscipiendum esse negotium; aut, si tum recte, nunc effeminatum in modum et timide perturbatur, mutatque sententiam: quorum utrumque contra naturam est.

[IN V.] Hactenus exposuit, quo pacto fieri possit, ne difficultatibus, quæ comitantur sæpe actiones, perturbemur: scilicet, ante cogitandum, fore ut eæ sequantur: et statuendum, rem esse nihilo minus suscipiendam. Nunc, post istam rationem animum tutum præstandi a perturbationibus per præmeditationem, aliam tradit rationem, ab ipsarum rerum natura sumtam, quæ difficiles esse videntur, nosque perturbant: exemplo hic usus non parvo, sed morte, eorum quæ nos perturbant maximo. Nam si id, quod propositum est, in hac fuerit demonstratum; multo magis in iis, quæ minus atrocia videntur, demonstratum erit. Ait igitur,

οὖν, ὅτι τὰ πράγματα τὰ δοκοῦντα γίνεσθαι ἡμῖν δεινὰ, καὶ διὰ τοῦτο ταράττοντα ἡμᾶς ὡς ἐν δεινῷ γινομένους, οὔτε δεινά ἐστιν αὐτὰ, οὔτε τῆς ταραχῆς ἡμῖν κατ' ἀλήθειαν αἴτια· ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα, ὅτι δεινά ἐστι, ταῦτά ἐστι τὰ ταράττοντα ἡμᾶς. Καὶ δείκνυσιν, ὅτι τὸ πάντων τῶν δεινῶν δοκοῦν δεινότατον εἶναι, ὁ παρὰ καιρὸν ἐξ ἀνθρώπων ἐπαγόμενος θάνατος, οὐκ ἔστι δεινός. Δείκνυσι δὲ τοῦτο, διὰ βραχέων μὲν, ἀκριβῶς δὲ καὶ ἀποδεικτικῶς συλλογιζόμενος οὕτως· τὰ φύσει δεινὰ, πᾶσι δοκεῖ δεινὰ, ὥσπερ τὰ φύσει θερμὰ, ἢ ψυχρὰ, ἢ καλὰ, ἢ ὅμοια, πᾶσι δοκεῖ τοιαῦτα, καὶ μάλιστα τοῖς κατὰ φύσιν ἔχουσι, καὶ ἐμφρονεστέροις· ὁ δὲ θάνατος οὐ πᾶσι δοκεῖ δεινός· Σωκράτει γοῦν οὐκ ἔδοξε δεινὸς, ὅς γε, καὶ δυνάμενος φυγεῖν αὐτὸν, ὑπέμεινεν ὅμως ἀταράχως, πᾶσαν ἐκείνην τὴν ἡμέραν πρὸς τοὺς ἑταίρους τὴν τῆς ψυχῆς ἐκφαίνων ἀλήθειαν, καὶ τὴν καθαρτικὴν τῶν φιλοσόφων ζωὴν, ὁποῖά τις ἐστὶν, ἐκδιδάσκων. Καὶ τὸ συμπέρασμα δῆλον ἐκ τῶν κειμένων, ὅτι ὁ θάνατος οὐκ ἔστι δεινὸς τῇ ἑαυτοῦ φύσει· ὥστε οὐδ' ὁ ταράττων ἡμᾶς, αὐτός ἐστιν· ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτοῦ, ὅτι δεινός ἐστιν ὁ θάνατος, τοῦτό ἐστι τὸ ταράσσον ἡμᾶς. Καὶ τὸ μέλι πικρὸν οὐκ ἔστιν, ὁ δὲ ἰκτερικὸς, πικρὰν ἴσχων ἐπὶ τῷ μέλιτι διάθεσιν διὰ τὸν ἐν αὐτῷ πλεονεκτοῦντα πικρὸν χυμὸν, ὡς ἀπὸ πικροῦ τοῦ μέλιτος ταράσσεται· καὶ χρὴ τὸν χυμὸν ἐκεῖνον καθαίρειν, ἵνα κατὰ φύσιν τῶν ποιοτήτων ἀντιλαμβανώμεθα. Οὕτω δὴ κἀνταῦθα τὰ δόγματα διορθωτέον ἡμῖν τὰ περὶ τῶν πραγμάτων· τῷ κανόνι τοῦ ἐφ' ἡμῖν καὶ οὐκ ἐφ' ἡμῖν, καὶ τοῦ ἰδίου καὶ ἀλλοτρίου, κρίνοντας τὸ ἀγαθὸν ἡμῶν καὶ κακόν. Εἰ οὖν ὁ θάνατος τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν, οὐκ ἂν εἴη κακόν· εἰ δὲ μὴ τῆς ψυχῆς ἐστι κακὸν, ἀλλὰ τοῦ σώματος, οὐκ ἂν εἴη κακὸν ἡμῶν. Ὁ δέ γε Πλάτων, καὶ ὁ τοῦ Πλάτωνος Σωκράτης, καὶ ἀγαθὸν αὐτὸν εἶναι, καὶ κρείττονα τῆς μετὰ τοῦ σώματος ζωῆς, ἀποφαίνεται· οὐ τοῖς μὲν, τοῖς δὲ οὔ· ἀλλ' ἁπλῶς πᾶσι. Λέγει οὖν ὁ ἐν τῷ Φαίδωνι Σωκράτης· Ἴσως μὲν θαυμαστόν σοι φαίνεται, εἰ τοῦτο μόνον τῶν ἄλλων ἁπλοῦν ἐστι, καὶ οὐδέποτε τυγχάνει τῷ ἀνθρώπῳ, ὥσπερ καὶ τὰ ἄλλα πάντα, ὅτε καὶ βέλτιον τεθνάναι ἢ ζῆν. Ἐν δὲ τοῖς Νόμοις αὐτοπροσώπως αὐτὸς ὁ Πλάτων διατείνεται λέγων· Κοινωνία γὰρ ψυχῆς καὶ σώματος διαλύσεως οὐκ ἔστι κρείττων, ὡς ἔγωγε φαίην ἂν σπουδῇ λέγων. Ἀλλ' ὁ μὲν Ἐπίκτητος ὡς ἐπὶ δεινοτάτου πάντων τοῦ θανάτου δοκοῦντος τὴν ἀπόδειξιν ἐποιήσατο.

Ἐπειδὴ δὲ ἕκαστος ἡμῶν, ᾧ ἂν περιπέσῃ δυσχερεῖ, ἐκεῖνο καὶ θανάτου νομίζει δεινότερον· καὶ γὰρ ἐνίοτε, ὀδύνης οὐδὲ πάνυ σφοδρᾶς παρούσης, τὸν θάνατον ἑτοίμως καλοῦμεν· κἂν πενόμενοι τύχωμεν, τὴν πενίαν χείρονα τοῦ θανάτου νομίζομεν· ἔξεστι καὶ ἐπὶ τούτων τῷ αὐτῷ τρόπῳ τῆς ἀποδείξεως χρῆσθαι, ᾧπερ ὁ Ἐπίκτητος ἐπὶ τοῦ θανάτου ἐχρήσατο. Καὶ γὰρ τὰς σφοδροτάτας ὀδύνας αἱροῦνται νοσοῦντες μὲν καὶ οἱ τυχόντες,

res quæ nobis videantur acerbæ accidere, ideoque *nos turbent,* ut in periculo constitutos, *neque acerbas esse* per sese, neque veras nostræ perturbationis caussas : sed *opinionem de earum acerbitate conceptam,* esse quæ nos perturbet : atque ostendit, *mortem* immaturam humana vi illatam, quæ omnium atrocium rerum atrocissima videatur, *non esse atrocem.* Ostendit autem paucis ille quidem, sed accurate et efficaciter, hac argumentatione : Quæ natura terribilia sunt, omnibus terribilia videntur ; ut natura calida, frigida, pulcra, et alia id genus, omnibus talia videntur, iis præsertim quorum natura integrior est, et prudentia major : at mors non omnibus videtur terribilis ; nam Socrati terribilis visa non est, qui cum eam effugere posset, sustinuit tamen imperturbatus, totumque illum diem apud amicos immortalitatem animorum declaravit, et qualis sit repurgatrix philosophorum vita edocuit. Conclusio quoque ex his, quæ posita sunt, perspicua est; mortem suapte natura non esse formidabilem. Itaque mors ipsa nos non perturbat ; sed *opinio de mortis atrocitate, ea est quæ nos perturbet.* Neque mel amarum est : sed icterici adfectio id amarum videri facit, ob redundantem in eo amarum humorem ; qui humor expurgandus est, ut naturales rerum qualitates percipiamus. Ita hic etiam opiniones de rebus corrigendæ sunt, adhibita regula nostrarum et alienarum rerum, quæque in potestate nostra sunt aut non sunt, qua bonum et malum nostrum judicemus. Quod si igitur mors in nostra potestate sita non est ; malum non erit. Quæ si non animi, sed corporis malum est ; nostrum malum non erit. Plato autem, et Platonicus Socrates, eam etiam bonam esse, et meliorem vita corporea pronunciant : nec his quidem bonam, illis vero malam ; sed in universum bonam omnibus. Nam in Phædone Socrates dicit : « Fortassis hoc tibi mirabile videtur, si hoc solum cæterarum rerum sit simplex, neque unquam homini accidat, quemadmodum reliqua omnia, ut præstet ei mori, quam vivere. » In Legibus autem Plato suis verbis idem affirmat, hoc modo : « Conjunctio corporis et animi non est præstantior separatione, si id quod sentio, dicendum est. » At Epictetus mortem, ut hominum opinione maxime omnium formidabilem, instituti sui probandi caussa adhibuit.

Sed quia unusquisque nostrum, cuicumque incideri calamitati, eam morte graviorem ducit; (etenim nonnunquam dolore ne adeo vehementi quidem urgente, statim mortem optamus : cum paupertate urgemur, paupertatem morte graviorem ducimus;) in his etiam eadem uti licet demonstratione, qua Epictetus de morte usus est. Nam vehementissimos cruciatus in morbis etiam plebeii homines ultro admittunt, cum se, mercede etiam medicis numera-

ὅταν καίειν καὶ τέμνειν ἑαυτοὺς τοῖς ἰατροῖς ὑπέχωσι, καὶ μισθὸν τελοῦντες. Κἂν γὰρ διὰ τὸ ζῆν τοῦτο ποιῶσι, τὸν θάνατον χείρονα νομίζοντες, ἀλλ', ὅτι φέρειν δυνατὸν ἀταράχως, ἂν συμφέρειν δόξῃ, διὰ τούτων δηλοῦται. Οἱ δὲ Λακεδαιμονίων νέοι, διὰ τὴν φιλοτιμίαν μόνην, τὴν μαστίγωσιν ἐκείνην τὴν φοβερὰν ὑπέμενον, ἄχρι θανάτου σχεδὸν τὴν καρτερίαν ἐπιδεικνύμενοι. Καὶ δῆλον ὅτι εὐφόρως καὶ ἡδόμενοι· οὐ γὰρ ἂν ἑκόντες εἰς τοιοῦτον ἀγῶνα κατέβαινον. Διέκειντο δὲ οὕτω πρὸς ἐκείνας τὰς ὀδύνας, οὐχ ὅτι οὐχ ὠδυνῶντο, ἀλλ' ἔλαττον μὲν ἴσως τῶν ἀγυμνάστων καὶ ἁπαλῶν· δόγμα δὲ ἔχοντες, ὅτι οὐ δεινὸν αἱ ὀδύναι, ἀλλὰ καὶ καλὸν καὶ συμφέρον τοῖς ἀνδρικῶς αὐτὰς ὑπομένουσι καὶ ἀταράχως. Καὶ πενία δὲ, εἴποι ἂν ὁ Ἐπίκτητος, οὐδὲν δεινόν· ἐπεὶ καὶ Κράτητι ἂν ἔδοξε τῷ Θηβαίῳ δεινὸν, ὃς τῶν ἑαυτοῦ τῇ πόλει παραχωρήσας, καὶ εἰπὼν,

Κράτης Κράτητα χρημάτων ἀποστερεῖ·

τότε ἔδοξεν ἐλευθεροῦσθαι, καὶ στέφανον ὡς ἐπὶ ἐλευθερίᾳ περιεβάλλετο, ὅτι τὴν πενίαν ἀντὶ τῆς εὐπορίας ἠλλάξατο. Οὕτως ἄρα οὐδὲν τούτων δεινόν ἐστι φύσει καὶ ἀφόρητον, ὡς ἡμῖν δοκεῖ, ἀλλ' ἐνίοτε καὶ τῶν ἐναντίων αὐτοῖς ὠφελιμώτερα, ὅταν πρὸς ἡμᾶς αὐτοὺς, τοῦτ' ἔστι πρὸς τὴν λογικὴν ψυχὴν ἡμῶν, τὴν χρείαν αὐτῶν ἀνενέγκωμεν.

Χρὴ οὖν τὸν μέλλοντα μὴ ταράττεσθαι ὑπὸ τῶν τοιούτων δόγματα ὀρθὰ περὶ αὐτῶν ἔχειν. Τοῦτο δὲ ἐφ' ἡμῖν ἐστιν· ὥστε καὶ τὸ μὴ ταράττεσθαι ἐφ' ἡμῖν ἐστι. Καὶ μέγα τι τοῖς πειθομένοις ὑπάρξει τὸ καὶ τοῖς μὴ ἐφ' ἡμῖν ὡς ἐφ' ἡμῖν οὖσι κεχρῆσθαι. Κἂν γὰρ τὸ ἀτιμασθῆναι, ἢ χρημάτων ἀφαιρεθῆναι, ἢ τυπτηθῆναι, οὐκ ἔστιν ἐπ' ἐμοί· ἀλλὰ τὸ ὀρθὸν ἔχειν περὶ αὐτῶν δόγμα, ὅτι οὐ δεινὰ, ἀλλὰ καὶ ὠφέλιμα πολλάκις, ἐπ' ἐμοί ἐστιν. Ἀρκεῖ δὲ τὸ τοιοῦτον δόγμα πρὸς τὸ μηδὲ γίνεσθαι δοκεῖν αὐτὰ, ἢ γινόμενα μὴ βλαβερὰ νομίζειν, ἀλλ' ἔστιν ὅτε καὶ ὠφέλιμα. Πᾶς γὰρ εὖ φρονῶν, ὡς οἶμαι, κάλλιον ἂν ἡμῖν, τοῦτ' ἔστι τῇ ψυχῇ, νομίσοι τὸ ἐν δυσχερέσιν ἀταράχως διαγενέσθαι τοῦ μὴ περιπεσεῖν δυσχερείᾳ· καὶ τοσούτῳ κάλλιον, ὅσῳ μείζονα τὰ δυσχερῆ καὶ σκληρότερα. Ὡς γὰρ τῶν σωματικῶν κινήσεων αἱ σφοδρότεραι μᾶλλον γυμνάζουσι τὰ πρὸς αὐτὰς ἀντέχοντα σώματα, πρός τε ὑγείαν, καὶ πρὸς εὐσθένειαν, καὶ τάχος· οὕτω καὶ τῶν ψυχικῶν· ὥστε, ἐν οἷς χρεία του, ὡς δυνατὸν εὐφόρως καὶ ἀταράχως ὑπενεγκεῖν. Ὅπερ διὰ δύο τούτων περιγίνεται, τοῦ τε ὀρθῶς δοξάζειν περὶ αὐτῶν, καὶ τοῦ παρεσκευάσθαι περὶ αὐτὰ, διά τε τῆς τληπαθεστέρας τοῦ σώματος ἀγωγῆς, (ἥτις πρὸς πᾶν ἐστιν ἐπιτήδειος, δι' ἣν πολλοὶ καὶ τῶν μοχθηρῶν ἀνθρώπων πληγὰς, καὶ τὰ ἐπώδυνα δοκοῦντα ἡμῖν, περιπτύουσιν·) ἔτι δὲ καὶ διὰ τοῦ προμελετᾷν αὐτὰ καὶ προελπίζειν· ἅπερ πάντα τῶν ἐφ' ἡμῖν ἐστιν. Εἰ τοίνυν μήτε ὁ θάνατος, μήτε τι τῶν τοιούτων δεινόν ἐστι, δῆλον ὅτι οὔτε αὐτὰ,

ta, secandos et urendos præbent. Etsi enim hoc vitæ caussa faciunt, mortemque majus malum judicant; at, ferri posse dolores, si expedire videatur, hoc ipso declarant. Lacedæmoniorum vero adolescentes terribilem illam flagellationem, unius gloriolæ caussa, sustinebant, tolerantiam pæne ad necem usque demonstrantes: idque eos æquis animis et alacres fecisse constat; alioqui enim ultro in tale certamen non descendissent. Sic autem erga illos cruciatus adfecti erant, non quin dolorem sentirent, etsi fortasse minus quam inexercitati et delicati: sed quod persuasum haberent, cruciatus esse ornamenta potius et commoda viriliter eos tolerantibus et sine perturbatione, quam malum. Pariter, ne in paupertate quidem mali esse quidquam, dixerit Epictetus: alioqui enim et Crateti Thebano ita visum esset, qui bona sua reipublicæ concessit, dicens,

Crates Cratetem privat hac pecunia;

ac tum demum se in libertatem adsertum putavit, et coronam veluti libertate recepta capiti imposuit, cum divitias paupertate commutasset. Adeo nihil horum natura tam est grave atque intolerabile, quam videri nobis solet: sed et contrariis suis nonnunquam utiliora, siquidem usum eorum ad nosmetipsos, hoc est, ad animum nostrum rationis compotem, retulerimus.

Opus est igitur, ut, qui se a talibus perturbari nolit, recta de iis habeat decreta. Quod cum in nostra potestate sit, illud etiam in nostra potestate erit, ne perturbemur: et, qui illis decretis paruerit, maximum hunc fructum percipiet, ut iis etiam, quæ in nostra potestate non sunt, ita utatur, quasi in nostra potestate sita essent. Etsi enim, an ignominia adficiar, an pecunia spolier, an vapulem, arbitrii mei non est: at recte de his sentire, non esse ea mala, sed subinde etiam utilia, penes me est. Tale autem decretum satis est ad illud, ut ne accidere quidem nobis aspera ista videantur; aut si acciderint, noxia non judicemus, sed interdum etiam conducibilia. Quivis enim, recte sentiens, ut ego existimo, pulcrius nobis, hoc est animo, judicaverit, in rebus asperis vacare perturbatione, quam non incidere in res adversas: eoque pulcrius, quo res adversæ graviores asperioresque fuerint. Ut enim corpora vehementissimis quibusque motionibus, quas quidem ferre illa queant, maxime exercentur, tam ad valetudinem, quam ad vires et celeritatem: eadem ratio est exercitationum animi; ita quidem, ut, qui alicujus frugi sunt, facillime eas et moderatissime ferant. Quod duabus hisce rebus consequemur: una, ut recte de iis sentiamus; altera, ut præparati ad ea simus. Præparamur autem ad ea, partim, tractatione corporis asperiore; quæ ad omnia opportuna est, quaque fit ut multi etiam improbi homines verbera, et ea quæ dolorifica censentur, contemnant; partim, præmeditatione et exspectatione: quæ omnia in nobis sita sunt. Quod si igitur neque mors, nec hujusmodi quidquam ter-

οὔτε οἱ ἐπάγοντες αὐτὰ, τῆς ταραχῆς ἡμῖν εἰσιν αἴτια, ἀλλ' ἡμεῖς αὐτοὶ ἑαυτοῖς, καὶ τὰ δόγματα ἡμῶν. Οὐ χρὴ οὖν ἄλλον αἰτιᾶσθαί ποτε τῆς ταραχῆς ἡμῶν, ἢ λύπης, ἢ φόβου, ἢ τινὸς ἄλλου τοιούτου, ἀλλ' ἡμᾶς αὐτοὺς καὶ τὰ ἡμέτερα δόγματα.

[Ἀπαιδεύτου κτλ.] Τοῦτο συνεχὲς τῷ πρὸ αὐτοῦ ἐστι· καὶ εἴπερ εἶχε τὸν γὰρ σύνδεσμον, ὡς λέγειν, « Ἀπαιδεύτου γάρ ἐστιν ἔργον τὸ ἄλλοις ἐγκαλεῖν ἐφ' οἷς αὐτὸς πράσσει κακῶς, » τὴν αἰτίαν ἂν ἔλεγε καλῶς τοῦ μὴ δεῖν ἄλλοις ἐγκαλεῖν ἐφ' οἷς ταραττόμεθα, ἢ φοβούμεθα, ἢ λυπούμεθα, ἢ ὅλως ἐν κακῷ τινι εἶναι νομίζομεν. Δι' ἀπαιδευσίαν γὰρ τοῦτο πάσχομεν. Καὶ λοιπὸν καλῶς συνάπτει τῇ τοῦ ἀπαιδεύτου περὶ ταῦτα διαθέσει, τήν τε τοῦ ἀρχομένου παιδεύεσθαι, καὶ τὴν τοῦ πεπαιδευμένου· Ὁ μὲν γὰρ πεπαιδευμένος, ὡς κατὰ φύσιν ζῶν, καὶ μήτε ἀποτυγχάνων ὧν ὀρέγεται, μήτε περιπίπτων οἷς ἐκκλίνει, οὔτε ἐν κακῷ τινι νομίζει εἶναι, οὔτε αἰτιᾶταί τινα, ὡς αἴτιον αὐτῷ τοῦ κακῶς πράττειν. Ὁ δὲ ἀρχόμενος παιδεύεσθαι, ἀποτυγχάνει μὲν ἔστιν ὅτε τῶν ὀρεκτῶν, καὶ περιπίπτει τοῖς ἐκκλινομένοις, διὰ τὸ μετὰ τῶν ἀλόγων παθῶν ἐνεργεῖν τότε· κατεσχημένος δὲ ὑπὸ τῆς τῶν ἐφ' ἡμῖν [καὶ τῶν οὐκ ἐφ' ἡμῖν] διαιρέσεως, οἶδεν ὅτι αὐτὸς ἑαυτῷ αἴτιος καὶ τῆς ἀποτυχίας καὶ τῆς περιπτώσεως γίνεται, καὶ οὐκ ἄλλος, ὅταν ἐν τοῖς οὐκ ἐφ' ἡμῖν ποτε τὸ ἀγαθὸν ἡμῶν ἢ τὸ κακὸν ἀποκεῖσθαι νομίσῃ.

Διὰ τί δὲ, φαίη ἄν τις, ὁ ἀρχόμενος παιδεύεσθαι, καίτοι γινώσκων ὅτι τὸ ἀγαθὸν ἡμῶν καὶ κακὸν ἐφ' ἡμῖν ἐστιν, (οὐ γὰρ ἂν ἑαυτῷ ἐνεκάλει, μὴ τοῦτο γινώσκων,) ἁμαρτάνει, ὥστε καὶ ἑαυτῷ ἐγκαλεῖν; ἢ ὅτι προηγεῖται μὲν ἡ γνῶσις τῶν ἀγαθῶν καὶ κακῶν, τοῦ λόγου τοῦ ἐν ἡμῖν οὖσα ἐνέργεια, οὐκ εὐθὺς δὲ ἐπὶ πάντων καὶ τὰ ἄλογα πάθη τὰ ἐν ἡμῖν μετρεῖται, καὶ ῥυθμίζεται, καὶ ὑποτάττεται τῷ λόγῳ; καὶ μάλιστα, ὅταν διὰ ῥαθυμίαν καὶ ἀργίαν τοῦ λόγου, κίνησιν δὲ συνεχῆ τῆς ἀλογίας, νενευρωμένα γένηται καὶ τυραννοῦντα τὰ πάθη. Τοιαύτην δὲ εἶχεν ἐν τῇ τραγῳδίᾳ τῆς ψυχῆς διάθεσιν ἡ λέγουσα,

Καὶ μανθάνω μὲν οἷα δρᾶν μέλλω κακὰ,
θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων.

Ἀγαπητὸν οὖν, ἐν χρόνῳ τὰ μὲν βιαζόμενον τὸν λόγον, τὰ δὲ ἐπᾴδοντα, σύμφωνα ἑαυτῷ τὰ πάθη ἐργάσασθαι· ὅτε καὶ ἡ τοῦ λόγου γνῶσις τρανεστέρα, καὶ ἐπιστημονικὴ, καὶ τελέως ἀνενδοίαστος γίνεται. Εἰκότως οὖν οἱ ἀρχόμενοι παιδεύεσθαι ἁμαρτάνουσι μέν τινα, καὶ τῶν παθῶν μήπω ἡττημένων, καὶ τοῦ λόγου μήπω κατ' ἐπιστήμην ἐνεργοῦντος· ἑαυτοῖς δὲ ἐγκαλοῦσι, καὶ οὐκ ἄλλοις, διὰ τὴν ὁποιανοῦν παραδοχὴν τῆς τῶν οὐκ ἐφ' ἡμῖν καὶ τῶν ἐφ' ἡμῖν διαιρέσεως. Οἱ μέντοι ἀπαίδευτοι τελέως καὶ ἁμαρτάνουσι πολλὰ, διά τε τὰ ἄλογα πάθη σφύζοντα ἐν ἑαυτοῖς, καὶ διὰ τὴν τοῦ λόγου ἄγνοιαν· οὔπω διακρίναντες τὸ ὄντως ἀγαθὸν καὶ κακὸν, οὔτε ἑαυτοὺς ἀπὸ τῆς ἀλογίας ἑλκύσαντες, οὐδὲ

ribile est; constat, neque hæc ipsa, neque eos qui illa inferunt, perturbationis nobis esse caussam, sed nosmetipsos, nostrasque opiniones. Nunquam igitur caussa perturbationis nostræ, aut tristitiæ, aut metus, aut aliarum id genus adfectionum, in alium conferenda est; sed nobismet ipsis et nostris opinionibus tribuenda.

[*Ineruditi* etc.] Cohæret hoc cum superiore : ita ut, si conjunctione *nam* addita legeretur, *Nam ineruditi est, alios accusare ob suam calamitatem*, caussa recte exponeretur, cur alii non accusandi essent ob ea propter quæ nos perturbamur, timemus, dolemus, aut in malis esse nos existimamus. Hoc enim ex inscitia nobis usu venit. Deinde *ineruditi* adfectioni recte adnectit ejus habitum, *qui erudiri incipit*, et *ejus qui jam est eruditus*. Etenim *eruditus*, ut naturæ congruenter vivens, nec unquam suis desideriis frustrandus, nec in ea quæ declinat incidens, neque in ullo se malo esse putat, neque ullum accusat ut auctorem suæ calamitatis. Sed is *qui erudiri incipit*, interdum quidem frustratur suis desideriis, et in ea quæ vitat incidit; quia tunc in agendo brutos adfectus sequitur : sed cohibitus divisione rerum, quæ in nostra potestate sitæ sunt aut non sunt, novit se ipsum sibi auctorem esse et frustrationis et calamitatis, non autem alium, si quando bonum aut malum suum in rebus alieni juris collocarit.

Cur autem, dixerit aliquis, is qui erudiri cœpit, cum in se bonum et malum suum positum esse norit, (nisi enim id sciret, se ipsum non accusaret,) peccat, ut se ipsum accuset? An eo fit, quod cognitio bonorum et malorum antecedit, ut quæ rationis nostræ sit actio; sed non statim in omnibus brutæ adfectiones se accommodant, conformant et subjiciunt rectæ rationi? præsertim cum ob socordiam et segnitiem rationis, et continentem brutæ partis motionem, corroboratæ perturbationes quasi tyrannidem occuparint. Sic adfecta fuit ea, quæ in tragœdia dicit :

Sciam licet quod adgredi parem nefas,
tamen ira mentis omne consilium premit.

Quamobrem boni consulendum est, si progressu temporis ratio partim cogendo, partim deliniendo, adfectus ad suas partes pertraxerit : quo facto, rationis etiam cognitio fit evidentior, et scientifica, et omnis dubitationis expers. Non mirum igitur, eos *qui erudiri cœperunt*, peccare quidem interdum, adfectibus nondum plane subactis, et ratione nondum secundum scientiam agente; se autem ipsos accusare, non alios, quoniam divisionem illam rerum nostri et alieni juris utcumque jam admiserunt. Prorsus *ineruditi* autem sæpe et multum peccant, cum ob affectionum commotionem, tum ob rationis ignorationem; ut qui verum bonum et malum nondum dijudicarunt, neque a bruta natura, ne nuda quidem cogitatione, se abstraxe-

κατὰ τὴν ψιλὴν ἔννοιαν. Καὶ τί λέγω τῆς ἀλογίας; ὅτι ἡμᾶς αὐτοὺς καὶ τὴν ἡμετέραν οὐσίαν τὸ σῶμα εἶναι νομίζομεν· * * οἱ δὲ φιλοχρήματοι [τὰ χρήματα]. Ἁμαρτάνομεν μὲν οὖν, ἀπαίδευτοι ὄντες, διὰ ταῦτα· ἐν τοῖς ἐκτὸς δὲ τὸ ἀγαθὸν ἡμῶν καὶ τὸ κακὸν τιθέμενοι, καὶ τελέως ἀγνοοῦντες, τί τέ ἐστι τὸ ἡμέτερον ἀγαθὸν ὄντως καὶ κακὸν, καὶ ὅθεν ἐστὶν, αἰτίους ἡμῖν τῶν κακῶν εἶναι νομίζομεν τοὺς ἢ ἀφαιρουμένους τι τῶν ἀγαθῶν ἡμῖν καὶ ὀρεκτῶν δοκούντων ἐν τοῖς ἐκτὸς, ἢ τοῖς ἐκκλινομένοις ὑφ' ἡμῶν περιβάλλοντας ἡμᾶς. Καίτοι οὐδὲ τὰ ἀγαθὰ νομιζόμενα τὰ ἐκτὸς, οὐδὲ τὰ κακὰ, πάντως τοιαῦτά ἐστιν· ἀλλὰ καὶ τὴν ἐναντίαν ἔστιν ὅτε κατάστασιν ἔχει ἑκάτερα. Διόπερ οἱ ἀπαίδευτοι τῶν νέων, τοὺς μὲν παιδαγωγοὺς, ὡς κακῶν αὐτοῖς αἰτίους, μισοῦσι· τοὺς δ' εἰς ἡδονὰς προκαλουμένους, ὡς εὐεργέτας, ἀσπάζονται.

Τεκμήρια μέντοι ἡμῖν ἐναργῆ διὰ βραχέων ὁ Ἐπίκτητος παραδέδωκε, τῶν τε πεπαιδευμένων, καὶ τῶν ἀπαιδεύτων, καὶ τῶν ἔτι ἀρχομένων παιδεύεσθαι. Ὅτι οἱ μὲν, ἀναμάρτητοι ὄντες, διὰ τὴν τοῦ λόγου τελειότητα, καὶ τῆς ἀλογίας τὴν πρὸς τὸν λόγον εὐαρμοστίαν τε καὶ ὑποκατάκλισιν, οὐδενὶ ἐγκαλοῦσί ποτε ὡς κακῶν αἰτίῳ αὐτοῖς· οὐδὲ γὰρ ἐν κακῷ οἰκείῳ γίνονταί τινι, οὔτε ὑφ' ἑαυτῶν, εἴπερ εἰσὶ πεπαιδευμένοι, οὔτε ὑπὸ ἄλλων· ὅτι μὴ ἐν τοῖς ἐκτὸς τὸ κακὸν ἔχουσιν. Οἱ δὲ ἀπαίδευτοι, καὶ ἁμαρτωλοί εἰσι δι' ἄμφω· καὶ αὐτοὶ κακῶς διακείμενοι τόν τε λόγον καὶ τὴν ἀλογίαν· καὶ ἄλλοις τὴν ἑαυτῶν κακίαν ἐπιγράφουσιν, ὡς ἐν τοῖς ἐκτὸς αὐτὴν ὁρῶντες. Ἔστι δὲ καὶ εὔκολον, καὶ ἡδὺ, καὶ τοῖς ἀπαιδεύτοις ὄντως πρέπον, τὸ τῶν οἰκείων ἁμαρτημάτων ἄλλους αἰτίους προβάλλεσθαι. Οἱ δὲ ἀρχόμενοι παιδεύεσθαι, καὶ σωτηρίας ἔχοντες ἀρχὴν, κἂν ἁμαρτάνωσι καὶ ἐν κακῷ τινί ποτε γίνωνται, ἀλλ' ἴσασι, ποῦ τέ ἐστι, καὶ ὅπου φύεται τὸ κακὸν, καὶ τί τὸ τῆς ἐκφύσεως αὐτῷ αἴτιον· διὸ καὶ ἐκείνῳ ἐγκαλοῦσι. Καὶ οὐδεὶς οἶμαι τούτοις χρώμενος τοῖς κριτηρίοις ἐμφρόνως, διαμαρτήσαι ποτὲ τῆς ἀκριβοῦς διακρίσεως τούτων τῶν καταστημάτων, τοῦ τε πεπαιδευμένου, καὶ τοῦ ἀπαιδεύτου, καὶ τοῦ ἀρχομένου παιδεύεσθαι.

Παιδεία μὲν γάρ ἐστι κυρίως ἡ τοῦ ἐν ἡμῖν παιδὸς ὑπὸ τοῦ ἐν ἡμῖν παιδαγωγοῦ ἐπανόρθωσις. Καὶ παῖς μὲν, ἡ ἐν ἡμῖν ἀλογία, τὸ μὲν ὠφέλιμον μὴ ὁρῶσα, πρὸς δὲ τὸ ἡδὺ τεταμένη μόνον, ὥσπερ οἱ παῖδες· παιδαγωγὸς δὲ, ὁ λόγος, ῥυθμίζων ἀεὶ καὶ μετρῶν τὰς ἀλόγους ἐν ἡμῖν ὀρέξεις, καὶ πρὸς τὸ ὠφέλιμον ἀπευθύνων αὐτάς. Διὸ καὶ οἱ μὲν ἀπαίδευτοι, κατὰ τὴν τοῦ παιδὸς ὄρεξιν ζῶντες ἀνεπιστρόφως, πολλὰ ἁμαρτάνουσιν, αὐτοὶ ἐνδόντες διὰ τὸ ἀνεπίστροφον, οὔτε ἑαυτοὺς αἰτιώμενοι. Οἱ δὲ ἀρχόμενοι, καὶ τὸν παιδαγωγὸν ἤδη προσδιανιστάμενον ἔχουσι, καὶ τὸν παῖδα ὑπακούειν ἀρχόμενον· διὸ, κἂν ἁμαρτάνωσί τινα, καὶ τίς ὁ ἁμαρτάνων αἰσθάνονται, καὶ ἐκείνῳ ἐγκαλοῦσι, καὶ οὐκ ἄλλῳ τινί. Οἱ δέ γε πεπαιδευμένοι, καὶ τὸν παιδαγωγὸν ἔχουσι νήφοντα, καὶ τοῦ παιδὸς ἤδη κεκρα-

runt. Quam igitur dico brutam naturam? Quod nos ipsos naturamque nostram esse corpus opinamur; ** avari autem [a divitiis pendent]. Peccamus igitur cum inerudili sumus, propter istas caussas: quoniam vero bonum et malum nostrum in rebus externis collocamus, quodnam verum bonum et malum nostrum sit, et unde sit, prorsus ignorantes, eos nobis malorum auctores esse putamus, qui aut aliquid nobis adimunt nostra opinione bonum et adpetendum in rebus externis, aut in ea conjiciunt, quæ a nobis declinantur. Neque vero externa ista, quæ vel in bonis vel in malis habentur, omnino talia sunt, sed interdum utraque rationem contrariam habent. Quapropter inerudili adolescentes, pædagogos, ut malorum sibi auctores, oderunt; eos vero, a quibus ad voluptates invitantur, diligunt.

Epictetus autem paucis ille quidem, sed evidentes notas nobis exposuit, quibus eruditi ab ineruditis et tironibus discernantur. Scilicet *eruditi*, ab omni errore et peccato remoti, ob rationis perfectionem, et brutæ partis cum ea consensionem et obedientiam, neminem unquam accusant ut ullius sibi mali auctorem: neque enim in ullum suum malum vel ipsi sese conjiciunt, vel ab alio conjiciuntur, siquidem eruditi sunt; quia, si eruditi sunt, non in rebus externis malum collocant. *Inerudili* autem utroque modo peccant, cum quod ipsi rationem suam brutamque partem male adfectam habent, tum quod aliis suum vitium imputant, utpote in rebus externis illud ponentes. Est autem et facile et jucundum, et omnino dignum indoctis, culpam eorum quæ ipsi deliquerint, in alios conferre. *Qui* vero *erudiri incipiunt*, et principia salutis habent; etiamsi peccarint nonnumquam, et in malum aliquod inciderint, tamen, ubi sit malum, et unde nascatur, sciunt, et quæ sit ortus illius caussa; ideoque illam accusant. Neque quisquam, opinor, his judicandi velut instrumentis prudenter utens, unquam errabit in dijudicando statu eruditi, inerudili, et tironis.

Nam ea proprie est Eruditio, cum puer qui in nobis est, a pædagogo, qui et ipse in nobis est, castigatur. Puer autem in nobis est bruta illa pars, quæ non respiciens utile, in solum jucundum est intentá, ut pueri: pædagogus vero est ratio, quæ componit et moderatur brutas in nobis adpetitiones, easque ad utilitatem dirigit. Itaque *inerudili*, qui puerilem in modum adpetitum in vita inconsiderate sequuntur, multum peccant, ei ultro cedentes ob incuriam, nec semet ipsos accusant. *Qui* vero *erudiri incipiunt*, hi pædagogum intentum adstantem jam habent, et puerum obedire incipientem: quare, etiamsi peccant, tamen quis peccati sit auctor sentiunt, eumque et non alium accusant. *Eruditi* autem et pædagogum habent sobrium, et puero

τηκότα, καὶ τὸν παῖδα φρενωθέντα, καὶ τὴν ἑαυτοῦ τελειότητα ἀπολαβόντα κατὰ τὸ ὑποτετάχθαι τῷ παιδαγωγῷ, συμφωνεῖν τε αὐτῷ· αὕτη γὰρ ἀρετὴ παιδός ἐστιν.

[IN CAP. VI.] Διδάξας ὅπως δυνατόν ἐστιν ἐπὶ τοῖς ἔξωθεν προσπίπτουσι δεινοῖς ἀτάραχον καὶ ἄφοβον καὶ ἄλυπον διατελεῖν, νῦν διδάσκει, πῶς χρὴ καὶ ἐπὶ τοῖς αἱρετοῖς δοκοῦσι τῶν ἐκτὸς διαγίνεσθαι· ἅπερ ἀλλότρια καλεῖ ἀγαθὰ, κατὰ τὸν ἐξ ἀρχῆς λόγον, ἐν ᾧ ἔλεγε τὰ οὐκ ἐφ' ἡμῖν ἀσθενῆ εἶναι, καὶ δοῦλα, καὶ κωλυτὰ, καὶ ἀλλότρια. Καὶ λέγει, ὅτι ἐπ' οὐδενὶ τῶν δοκούντων ἀγαθῶν τῶν ἐκτὸς ἐπαίρεσθαι χρή. Δηλοῖ δὲ οἶμαι νῦν ἡ ἔπαρσις, οὐχὶ κουφότητα καὶ μετεωρισμὸν καὶ ἀλαζονείαν, ὡς εἰώθαμεν πολλάκις ἐπὶ κακῷ τῇ λέξει κεχρῆσθαι· οὐ γὰρ ἂν ἐπὶ τοῖς ἡμετέροις καὶ ἀληθινοῖς ἀγαθοῖς ἐπαίρεσθαι συνεβούλευεν· ἀλλὰ δοκεῖ μοι νῦν ἡ ἔπαρσις δηλοῦν αὐτῷ ὑπόληψιν αὐξήσεώς τινος καὶ ἁδρύσεως ἐπὶ προσλήψει τινὸς ἀγαθοῦ. Οὐ χρὴ οὖν, φησὶ, τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἡμᾶς νομίζειν αὐξάνεσθαι καὶ ἐν ὑπεροχῇ γίνεσθαί τινι· ἕκαστον γὰρ ἀγαθὸν ἐκείνου ἐστὶν ἀγαθὸν, ἐν ᾧ ἔχει τὴν ὑπόστασιν, καὶ ὃ κατὰ φύσιν διατίθησι, καὶ οὐκ ἄλλου. Καὶ τὸ ἐν ἵππῳ τοίνυν ἀγαθὸν, τοῦ ἵππου ἐστὶν αὐτοῦ, καὶ οὐχ ἡμέτερον. Εἰ γὰρ τολμηρὸς ἢ δρομικὸς εἴη, ἢ εὐήνιος, τὴν ἀρετὴν ἔχει τὴν ἵππου· ἥτις οὐκ ἔστιν ἡμετέρα ἀρετὴ, ὥστε οὔτε ἀγαθόν ἐστιν ἡμέτερον, οὔτε προσαύξει ἡμᾶς, οὔτε τελειοῖ.

Τί οὖν, ἂν φαίη τις, ἡ τῶν χρημάτων καὶ ὀργάνων ἀρετὴ, οὐκ εἰς τοὺς κεκτημένους καὶ χρωμένους ἀναφέρεται; ** οὐ δὲ ποιεῖ τέκτονα αὐτὸν ἀγαθὸν, μὴ πρότερον ὄντα. Ἄλλη γὰρ σκεπάρνου ἀρετὴ, κατὰ τὸ σχῆμα καὶ τὴν ὀξύτητα· καὶ ἄλλη τοῦ τέκτονος, κατὰ τὴν τέχνην. Ἀλλ' ἔστι μὲν αὐτοῦ τοῦ σκεπάρνου ἀγαθὸν ἡ ὀξύτης, καὶ ἡ εὐσχημοσύνη· συντελεῖ δὲ αὕτη πρὸς ὑπουργίαν, καὶ τὸ δι' αὐτοῦ ἀποτέλεσμα· (αὕτη γὰρ ὀργάνου ἀρετή·) οὐ μέντοι πρὸς τὴν τέκτονος τελειότητα. Ἐκεῖνος γὰρ ἐν τοῖς λόγοις τοῖς τεχνικοῖς τὸ ἀγαθὸν ἔχει τὸ οἰκεῖον, κἂν τὸ ἀποτέλεσμα τὸ ἐκτὸς χειρόνως ἀποβῇ διὰ τὴν ὕλην, ἢ τὰ ὄργανα, ἢ ἄλλο τι τῶν ἐμποδιζόντων.

Τί οὖν ἐστι, φησὶν, ἡμέτερον ἀγαθὸν, ἐφ' ᾧ χρὴ διατεθῆναι ὡς προσηυξημένους τε καὶ τελειωθέντας; Πρότερον μὲν εἶπεν ἐν πρώτοις τὴν ὀρθὴν ὑπόληψιν· νῦν δὲ, τὴν κατὰ φύσιν χρῆσιν τῶν ὑπολήψεων· ὅπερ γὰρ ἐκάλεσεν ὑπόληψιν ἐκεῖ, τοῦτο νῦν φαντασίαν ὀνομάζει. Φαίνεται γὰρ ἡμῖν καὶ ὑπολαμβάνεται καὶ δοξάζεται τὰ ὄντα τοῖα ἢ τοῖα, ποτὲ μὲν ὀρθῶς, ποτὲ δὲ διεστραμμένως. Καὶ εἴη μὲν ἂν καὶ αὕτη κατὰ φύσιν χρῆσις φαντασιῶν, τὸ φαίνεσθαι τὰ ὄντα ἡμῖν οἷα καὶ ἔστι, καὶ μὴ παραλλάττειν ἐν τῇ συμπλοκῇ αὐτῶν, ἀγαθὸν μὲν τὴν ἀκολασίαν, κακὸν δὲ τὴν σωφροσύνην νομίζουσι· κατὰ δὲ τὸ κυριώτατον, χρῆσις φαντασιῶν, ἡ τῶν κατὰ φύσιν γενομένων ἀγαθῶν ὄρεξις, καὶ κακῶν ἔκκλισις· οὐχ ἡ γνῶσις αὐτῶν ἁπλῶς,

jam imperantem, et puerum castigatum, et ad suam perfectionem jam perductum, ut pædagogo pareat, cum eoque consentiat : hæc enim pueri virtus est.

[IN VI.] Docuit quemadmodum fieri possit ut in calamitatibus extrinsecus ingruentibus tranquilli, securi et alacres simus : nunc, quales in eis rebus externis, quæ expetendæ videantur, præbere nos debeamus, tradit. Vocat autem eas *aliena bona,* ea ratione quam primum instituit, cum diceret, ea quæ in nobis sita non essent, infirma, serva, impedita esse, et aliena; nosque *vetat* ullius *externi boni specie efferri.* Significat autem, puto, nunc *elatio,* non levitatem, sublimes spiritus, aut arrogantiam, quemadmodum in malam sæpe partem ea voce uti solemus : (alioquin non suaderet, ut nostris et veris bonis efferremur :) sed, ut mihi quidem videtur, *elatio* nunc ei significat opinionem incrementi alicujus, et quasi granditatis, ob alicujus boni accessionem. Non igitur, inquit, alienis bonis augeri nos atque excellere putandum est. Nam unumquodque bonum, ejus bonum est, in quo est, et ad cujus perfectionem illud pertinet, non autem alterius. Quod igitur *in equo* bonum est, id *ipsius equi* est *bonum, non nostrum.* Sive enim animosus est, sive celer, sive tractabilis; equi virtutem habet, quæ nostra virtus non est, eoque nec bonum nostrum, neque auget nos aut perficit.

At dicat aliquis, nonne rerum et instrumentorum virtus ad possessores, et eos qui his utuntur, referri solet? [Solet illa quidem. Verum asciæ virtus] fabrum bonum non facit, nisi ante fuerit. Nam asciæ, ratione aciei et figuræ, alia virtus est; alia fabri, ratione artis. Ipsius asciæ bonum est acies, et elegantia formæ : eaque ad ministerium facit, atque ad opus quod per eam perficitur; (hæc enim instrumenti virtus est :) ad fabri autem perfectionem nihil confert. Nam hujus proprium bonum in artis rationibus situm est, etiamsi opus externum pejus confectum fuerit, sive ob materiam, sive ob instrumenta, sive ob aliquod aliud impedimentum.

Quodnam igitur, inquit, *nostrum bonum* est, quo sic adfici debemus, quasi nostro incremento et perfectione? Supra quidem in primis rectam *opinionem* nominaverat; nunc vero *usum opinionum* dicit *eum, qui sit naturæ consentaneus :* nam quod ibi *opinionem* dixerat, id ipsum nunc *visum* adpellat. Videntur enim atque existimantur a nobis res tales, aut tales, alias recte, alias perperam. Et fuerit quidem etiam hic *usus visorum naturæ consentaneus,* si res tales nobis esse videantur, quales ipsæ sunt; neque confundant vices et permutent in complexione, ut luxuriam bonum, temperantiam malum existimemus : sed rectissime inprimis intelligetur ille usus visorum, qui inest in adpetitione eorum, quæ sua natura bona sunt, fugiendisque contrariis; cum non tantum intelligimus hoc esse

ὅτι τόδε μὲν ἀγαθὸν, τόδε δὲ κακόν· ἀλλ' ἡ τοῦ φανέντος ἀγαθοῦ ὄρεξις, καὶ τοῦ φανέντος κακοῦ ἔκκλισις· ἐπειδὴ οὐ τοῦ πράττειν ἐσμὲν κύριοι, ἀλλὰ τοῦ ὀρέγεσθαι κατὰ φύσιν καὶ ἐκκλίνειν.

Μήποτε δὲ καὶ ἄλλο τι προσενδείκνυται διὰ τῆς κατὰ φύσιν χρήσεως τῶν φαντασιῶν; τὸ καὶ τὰ ἔργα δεῖν ἡμῶν σύμφωνα εἶναι ταῖς ὀρθαῖς ὑπολήψεσι καὶ ὀρέξεσι· καὶ μὴ μόνον νομίζειν, ὅτι ἀγαθόν ἐστιν ἡ σωφροσύνη, ἀλλὰ καὶ σωφρονεῖν, καὶ τὰ ἔργα κατὰ φύσιν συμφώνως ταῖς ὀρθαῖς ὑπολήψεσιν καὶ ὀρέξεσιν ἀποδιδόναι· καὶ μὴ, νομίζειν μὲν ἀγαθὸν τὴν δικαιοσύνην, καὶ ἀμυδρῶς ὀρέγεσθαι, (διὰ τὸ πᾶν τὸ δοκοῦν ἀγαθὸν καὶ ὀρεκτὸν εἶναι·) ἀδικεῖν δέ· ὅπερ τοῖς ἀκρατέσι συμβαίνει· τῆς ὀρέξεως τῆς τοῦ ἡδέος νικώσης τὴν τοῦ ἀγαθοῦ ὄρεξιν· καὶ τοῦ μὲν λόγου, κἂν ἀμυδρῶς, ὁρῶντος δὲ ὅμως τὸ δέον, καὶ μέχρι τινὸς καὶ μαχομένου ὑπὲρ αὐτοῦ· καὶ ὀρέξεων καὶ ἐκκλίσεων, ὀρθῶν μὲν, ἀμυδρῶν δὲ, συγκινουμένων· τῶν δὲ ἀλόγων παθῶν κατισχυόντων αὐτοῦ, καὶ περισπώντων, καὶ τὰ ἑαυτοῖς ὀρεκτὰ πράττειν ἀναγκαζόντων. Ὅ γε, ὡς εἶπον πρότερον, ἐν τῇ τραγῳδίᾳ ἐκεῖνο λέγει,

Καὶ μανθάνω μὲν οἷα δρᾷν μέλλω κακὰ,
θυμὸς δὲ κρείττων τῶν ἐμῶν βουλευμάτων.

Χρὴ οὖν μὴ δοξάζειν μόνον ὀρθῶς, καὶ ὀρέγεσθαι, καὶ ἐκκλίνειν· ἀλλὰ καὶ τὰ ἔργα σύμφωνα ταῖς ὀρθαῖς δόξαις ἀποδιδόναι. Καὶ τοῦτο ἴσως ἐστὶν ἡ κατὰ φύσιν τῶν φαντασιῶν χρῆσις, ἣν ἡμέτερον ἀγαθὸν ἡγεῖσθαι χρὴ, καὶ μηδὲν τῶν ἐκτός· ὥσπερ τοῦ τέκτονος ἀγαθὸν, ὡς τέκτονος, ἡ κατὰ τοὺς τεχνικοὺς λόγους ἐνέργεια· ἡ μὲν ἐν ταῖς ἐννοίαις, ἡ δὲ καὶ ἐκτὸς ἐν ταῖς πράξεσιν.

[**IN CAP. VII.**] Συντόμως καὶ ἐπιστρεπτικῶς ἡμᾶς ἀπὸ τῶν ἐκτὸς δοκούντων ἀγαθῶν ἀναχαιτίσας, διὰ τοῦ δεῖξαι πάντα ἀλλότρια ἐκεῖνα καὶ οὐδὲν αὐτῶν ἡμέτερον ἀγαθόν· ἵνα μὴ νομίσῃ τις καὶ γάμου, καὶ παιδοποιίας, καὶ πάσης κτήσεως καὶ μεθέξεως τῶν ἐκτὸς ἀποκωλύειν ἡμᾶς τελέως αὐτὸν, παραδίδωσιν ἐφεξῆς, τίνων τε, καὶ πῶς χρὴ ἐκείνων μετέχειν· ὅτι πάντα χρὴ τῆς πρὸς θεὸν ἐπιστροφῆς ἐξαρτᾷν, τὸν τοῦ παντὸς κυβερνήτην, καὶ ἐκείνου ἐχόμενον, τούτων κατὰ τάξιν μετέχειν. Πρῶτον μὲν, τῶν ἀναγκαίων ἐν βίῳ, καὶ ὧν χωρὶς ἀδύνατον ζῆν· ἅπερ διὰ τοῦ ὑδρεύσασθαι ἐδήλωσε· τὰ περὶ τροφὴν λέγων, καὶ ἀμπεχόνην, καὶ οἴκησιν· οἷα καὶ ὅσα τοῖς ἀπερίττως ζῶσιν ἀρκεῖ. Καὶ τούτοις οὖν νέμειν τινὰ σπουδὴν, κατὰ δεύτερον λόγον. Τὰ δὲ μὴ ἀναγκαῖα μὲν, χρειώδη δὲ ἄλλως ὄντα πρὸς τὸν βίον, οἷον γυνὴ, καὶ τέκνα, καὶ κτῆσις, καὶ τὰ τοιαῦτα, ὁδοῦ πάρεργον, φησὶ, καὶ κατὰ τρίτον λόγον διδόμενα ἀπὸ τοῦ Παντὸς, προσδέχεσθαι χρὴ, ὅταν καὶ κατὰ καιρὸν διδῶται, τεταμένον ἀεὶ πρὸς τὸ προηγούμενον ἐφετόν. Τρυφὰς δὲ, καὶ πλοῦτον, καὶ δυναστείας, καὶ τὰς τοιαύτας ἀλλοτριοπραγμοσύνας, ὡς μὴ δυνάμενα τῷ κατὰ φύσιν βίῳ συνεῖναι, οὐδὲ ὁδοῦ πά-

bonum, illud malum; sed cum et id ipsum, quod bonum recte judicavimus, adpetimus; quod malum, declinamus. Neque enim agendi potestas nostra est, sed adpetendi secundum naturam, et declinandi.

Fortasse vero per *usum visorum naturæ consentaneum* simul etiam innuit, opera quoque nostra consentire oportere cum rectis opinionibus et adpetitionibus : ne verbi caussa temperantiam bonum tantummodo judicemus, sed et temperantes simus, et ita vivamus, ut actiones nostræ secundum naturam rectis opinionibus et adpetitionibus congruant; aut, ne justitiam bonum quidem judicemus, et utcumque expetamus, (eo quod omne bonum expetendum videatur,) interim vero injurii simus; id quod incontinentibus accidit, cum voluptatis adpetitus boni adpetitionem vincit; ubi ratio obscure illa quidem, sed tamen cernit quid deceat, et aliquantisper pro eo pugnat, simulque excitantur etiam adpetitiones et declinationes rectæ quidem, at parum validæ; bruti vero adfectus rationi prævalent, eamque distrahunt, et suis cupiditatibus ut serviat faciunt. Cujusmodi conditionem, ut ante dixi, exprimit illud in tragœdia :

Sciam licet quod adgredi parem nefas,
tamen ira mentis omne consilium premit.

Non igitur recte tantum sentire, et adpetere, et declinare oportet; sed etiam vitæ actionem consentaneam rectis opinionibus præstare. Atque hic fortasse est *visorum usus naturæ consentaneus*, quem *nostrum* esse *bonum* judicare debemus, nihil autem rerum externarum : sicut artificis bonum, quatenus artifex est, inest in muneris functionibus, artis rationibus consentaneis; quæ non solum in animi cogitatis, sed et in externis effectionibus cernuntur.

[IN VII.] Breviter et argute nos a specie bonorum externorum avocavit, cum ostenderet omnia illa esse aliena et nullum eorum esse nostrum bonum. Ne quis autem existimet, prorsus et nuptiis et procreatione liberorum et omnibus possessionibus atque usu rerum externarum velle eum nos prohibere; nunc deinceps tradit, quibusnam ex his, et quomodo, uti liceat : scilicet debere nos omnia ei curæ, qua in Deum, universi *gubernatorem*, intentum esse oportet, postponere; et ad eum ante omnia nos adplicantes, sic deinde his ordine quodam uti. Ac primum quidem, rebus ad vitæ usum necessariis, ut sine quibus vivi non potest; quæ *aquatione* significavit, cujusmodi est victus, amictus, domicilium, quæ et quatenus homini frugi sunt satis. His igitur etiam aliquid curæ, secundo loco, tribuendum. Quæ vero necessaria non sunt, sed alioquin ad vitam agendam opportuna, ut uxor, liberi, res familiaris, et similia; quæ *obiter*, inquit, ac tertio loco dantur a gubernatore universi; cum pro tempore data fuerint, accipienda sunt, animo semper in id intento, quod præcipuo loco adpetendum est. Delicias vero, divitias, principatus, et id genus alias rerum alienarum occupationes, ut quæ cum vita naturæ consentanea conjungi nequeant, ne obiter quidem admitti sinit.

ρεργον προσίεσθαι συγχωρεῖ· ταῦτα γάρ ἐστιν, ἃ πρότερον ἔλεγε δεῖν παντελῶς ἀφιέναι. Γάμον δὲ, καὶ παιδοποιίαν, καὶ τὰ τοιαῦτα, τοῖς μὲν ἀρτίως ἀρχομένοις παιδεύεσθαι συνεβούλευσε πρὸς τὸ παρὸν ἀναβάλλεσθαι, ἵνα πῆξιν ἡ ἀρχὴ τῆς παιδείας λάβῃ· τοῖς δὲ ἤδη πως προκεκοφόσιν, ὡς δύνασθαι χρῆσθαι τοῖς τοιούτοις ἀβλαβῶς, τούτοις ὁδοῦ πάρεργον ἐκδίδωσι καὶ τούτων μετέχειν.

Δοκεῖ δέ μοι καὶ τὸ παράδειγμα πάνυ οἰκείως πεπλασμένον παραγαγεῖν. Τὴν μὲν γὰρ θάλασσαν, διὰ τὸ ἐμβριθὲς, καὶ κλυδαινόμενον, καὶ παντοίως μεταβαλλόμενον, καὶ πνίγον τοὺς καταδύνοντας εἰς αὐτὴν, ** καὶ οἱ παλαιοὶ μυθοπλάσται τῆς γενέσεως ἔλεγον σύμβολον. Τὸ δὲ πλοῖον εἴη ἂν τὸ διακομίζον εἰς τὴν γένεσιν τὰς ψυχὰς, εἴτε μοῖραν, εἴτε εἱμαρμένην, εἴτε ἄλλο τι τοιοῦτον αὐτὸ καλεῖν χρή. Ὁ δὲ κυβερνήτης τοῦ πλοίου, εἴη ἂν ὁ θεὸς, ὁ καὶ τὸ πᾶν καὶ τὴν εἰς τὴν γένεσιν κάθοδον τῶν ψυχῶν, ταῖς ἑαυτοῦ προνοίαις, πρὸς τὸ δέον καὶ κατ' ἀξίαν ἀπευθύνων τε καὶ κυβερνῶν. Ἡ δὲ καθόρμισις τοῦ πλοίου, ἡ εἰς τὸν προσήκοντα τόπον, καὶ ἔθνος, καὶ γένος, τῶν ψυχῶν κατάταξις· καθ' ἣν αἱ μὲν ἐν τῷδε τῷ τόπῳ, καὶ ἔθνει, καὶ ὑπὸ τόδε τὸ γένος, καὶ ὑπὸ τῶνδε γεννῶνται τῶν γονέων, αἱ δὲ ὑπ' ἄλλων. Ἡ δὲ ἐπὶ τὴν ὕδρευσιν ἔξοδος, ἡ περὶ τὰ ἀναγκαῖα τῷ βίῳ σπουδὴ, ὧν χωρὶς ἀδύνατόν ἐστι διαβιῶναι· τί γὰρ ὕδατος τοῖς ἐν γενέσει πρὸς τροφὴν καὶ πόσιν ἀναγκαιότερον; Τὸ δὲ, ὁδοῦ πάρεργον κοχλίδιον ἀναλέγειν, ἢ βολβάριον, καὶ αὐτὸς ἐξηγήσατο συμφώνως· ὅτι γυναῖκα, καὶ κτῆσιν, καὶ τὰ τοιαῦτα διδόμενα ἀπὸ τοῦ Παντὸς, δεκτέον μὲν, οὔτε δὲ ὡς προηγουμένως ἀγαθὰ, καὶ ἡμέτερα ἀγαθά. Τὸ γὰρ προηγούμενον, ἡ πρὸς τὸν κυβερνήτην ἐστὶ τάσις ἀεὶ καὶ ἐπιστροφή. Ἀλλ' οὐδ' ὡς περὶ ἀναγκαῖα ταῦτα σπουδαστέον, ὥσπερ περὶ τὴν ὕδρευσιν· ἀλλ' ὡς πάρεργα ὄντως, καὶ ἄλλως χρήσιμα ὄντα τῷ βίῳ, ταῦτα δεκτέον.

Ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ ἐπὶ τὸ πλοῖον, ἀνακαλούμενος ἐντεῦθεν πρὸς ἑαυτόν τε ἡμᾶς, καὶ τὴν πατρίδα τὴν ἀληθινὴν ὅθεν ἤλθομεν· τρέχε, φησὶν, ἐπὶ τὸ πλοῖον, πάντα ἀφεὶς ταῦτα τὰ πρὸς τὴν γένεσιν, ἀκολουθῶν καλοῦντι, καὶ τούτων μηδὲ ἐπιστρεφόμενος ὅλως· ἵνα μὴ, καὶ ἐὰν φυσικῶς λυθῇς, κατὰ προαίρεσιν ἐνταῦθα μένῃς· ἐὰν γὰρ, φησὶ, μὴ ἑκὼν καὶ πρόθυμος ἀκολουθήσῃς, τὰ τῇδε πάντα καταλιπὼν, δεδεμένος ἐμβληθήσῃ εἰς τὸ πλοῖον, ὥσπερ τὰ προβάτια· τοῦτ' ἔστιν, ἄκων, καὶ κατακλάων σαυτόν τε καὶ τοὺς παρόντας, ἀπολείψεις τὸν τῇδε βίον, ὥσπερ οἱ ἀνόητοι καὶ προβατώδεις ἄνθρωποι.

Ἁπτόμενον δὲ ὅλως, ὁδοῦ πάρεργον, γάμου καὶ παιδοποιίας καὶ τῶν τοιούτων, κατὰ καιρὸν ἅπτεσθαι χρή· ὥστε χόρον λαβόντα τὸν σύμμετρον, ἀσχέτως ἀπελθεῖν ἐντεῦθεν, καὶ προθύμως ὑπακοῦσαι τῷ κυβερνήτῃ καλοῦντι. Γέρων δὲ ὢν, καὶ πλησίον ἤδη τοῦ τέλους, μηδενὶ τούτων δεθῇς δεσμῷ, ἀλλ' ὅλος εἰς τὴν ἀνακο-

Hæc enim ea sunt, quæ supra *penitus* esse *relinquenda* monuit. Conjugium autem, procreationem liberorum, et similia, iis qui modo erudiri cœperint, *in aliud differendi tempus* auctor fuit, ut doctrinæ initia confirmarentur : iis vero qui jam aliquantum profecerunt, ut his absque noxa uti queant, *obiter* his etiam frui concedit.

Videtur autem mihi exemplo peropportuno esse usus. Nam mare ob impetum, fluctuationem, crebrasque et varias mutationes, et quia suffocat eos qui id intrant, veteres etiam fabularum auctores mundi symbolum esse dixerunt. *Navigium* autem fuerit, quod animos ad ortum perducit, sive id fatum, sive sors, sive quid aliud est dicendum. *Navis gubernator,* Deus; qui et universa, et animorum descensum in hunc mundum, sua providentia, eo quo decet, et pro dignitate cujusque, dirigit et gubernat. *Statio navis* est animorum in suum cujusque locum, nationem et familiam collocatio : qua fit, ut alii in aliis locis, nationibus, familiis, et e diversis parentibus nascantur. *Exitus ad aquandum* est rerum necessariarum occupatio, sine quibus propagari vita non potest : quid est enim aqua iis, qui in hoc mundo degunt, ad victum et potum magis necessarium? *Obiter* autem *cochleam aut bulbulum tollere* quid sit, ipse concinne explicavit : esse uxorem, et rem familiarem; ac talia si a rectore universitatis dentur, accipienda illa quidem esse, sed non quasi aut præcipua, aut nostra bona. Nam principale nostrum bonum est constans contentio conversioque ad navis gubernatorem. Sed in istis ne ut in necessariis quidem est elaborandum, quemadmodum in aquatione : sed, ut revera accessiones, ac nonnisi quædam commoditates vitæ, accipienda sunt.

Quod si vero *gubernator* ad navem *revocet*, hoc est, ad sese et veram patriam unde venimus : *curre,* inquit, *ad navem*, his *omnibus*, quæ ad hanc terrenam vitam pertinent, *relictis*, vocantem sequens, et hæc omnino *ne respiciens quidem;* ne, quamquam ab ipsa natura hinc abstractus, tuopte studio et voluntate hic hæreas. Nisi enim ultro atque alacer, inquit, terrenis rebus omnibus relictis, fueris secutus; *vinctus in navem pecudum instar conjicieris :* hoc est, invitus, et cum te ipsum, tum eos qui tibi adsunt deplorans, vitam hanc relinques, ut homines amentes et ovina præditi stoliditate solent.

Eum autem, qui obiter omnino conjugio et procreationi liberûm, rebusque similibus operam daturus est, tempestive id facere decet; ut modo convenienti rebus hisce satiatus, sine ulla mora hinc recedat, et alacriter gubernatorem vocantem sequatur. *Si vero senex fueris*, et prope jam a fine abfueris; nullo tali vinculo constringitor, sed totus

μιδὴν τέτασο καὶ τὸν ἐνταῦθα χωρισμόν· ἵνα μή, τοῦ καιροῦ τῆς ἀναχωρήσεως ἐνστάντος, καλούμενος, ὀπισθοβαρὴς εὑρεθῇς, ὑπὸ τῶν δεσμῶν ἀνθελκόμενος, καὶ νεόγαμον θρηνῶν γαμετήν, καὶ παῖδας νηπίους. Καὶ ἄλλως δὲ τῷ γέροντι καθήκει τῆς ἐντεῦθεν ἀναχωρήσεως μᾶλλον ἢ τῆς ἐνταῦθα ἐπιμελεῖσθαι ῥιζώσεως.

[IN CAP. VIII.] Εἰπὼν καὶ τίνων χρὴ ἀπὸ τῶν ἐκτὸς μεταλαμβάνειν· ὅτι τῶν μὲν ἀναγκαίων, ἀναγκαίως· τῶν δέ, ὁδοῦ πάρεργον· οὐδενὸς δὲ τούτων κατὰ προηγούμενον σκοπόν· καὶ διὰ τούτων ἐνδοὺς τῇ τῶν ἐκτὸς χρήσει· τοὺς τρόπους λοιπὸν παραδίδωσι, καθ' οὓς καὶ ἀβλαβῶς καὶ ἀταράχως δυνατόν ἐστι κεχρῆσθαι τοῖς ἐκτός, καὶ εὐαρέστως. Ἀνάγκη δέ ἐστιν, εἰ μέλλοιμεν μὴ δυσχεραντικῶς ζῆν ἀπαρεσκόμενοι τοῖς γινομένοις, ἢ τὸ Πᾶν ἀεὶ τὰ ἀρέσκοντα ποιεῖν ἡμῖν, ἢ ἡμᾶς τοῖς ἀπὸ τοῦ Παντὸς ἡμῖν ἀπονεμομένοις ἀρέσκεσθαι. Ἄλλως γὰρ ἀδύνατον εὐροεῖν. Ἀλλὰ τὸ μὲν ἀναγκάζειν τὸ Πᾶν ἐκεῖνα ποιεῖν τὰ ἡμῖν ἀρέσκοντα, καὶ ἀδύνατον ἡμῖν ἐστι, καὶ οὐδὲ πάντη συμφέρον· πολλὰ γὰρ ἡμῖν ἀρέσκει τῶν καὶ ἡμῖν ἀσυμφόρων ἢ δι' ἄγνοιαν τῆς φύσεως αὐτῶν, ἢ διὰ τὸ συνεκτρέχειν ἡμᾶς ποτε ἀλόγοις ὀρέξεσιν. Ἀνάγκη οὖν, εἰ μέλλοιμεν εὐροεῖν, ἡμᾶς αὐτοὺς οὕτω διατιθέναι, ὡς τοῖς ὑπὸ τοῦ Παντὸς γινομένοις ἀρέσκεσθαι.

Ἀλλὰ σκληρὸν ἴσως καὶ ἀδύνατον δόξει τισὶ τὸ ἐπίταγμα, τὸ θέλειν γίνεσθαι τὰ γινόμενα ὡς γίνεται. Τίς γὰρ τῶν εὖ φρονούντων ἀνθρώπων ἢ τὰ κοινὰ κακὰ ἀπὸ τοῦ παντὸς συμβαίνοντα, οἷον σεισμούς, καὶ κατακλυσμούς, καὶ ἐκπυρώσεις, λοιμούς τε, καὶ λιμούς, καὶ φθορὰς παντοίων ζώων τε καὶ καρπῶν· ἢ τὰ ἀπὸ ἀνθρώπων εἰς ἀνθρώπους ἀνοσίως ἐπιτελούμενα, πόλεων ἁλώσεις, καὶ αἰχμαλωτισμούς, καὶ φόνους ἀδίκους, καὶ λῃστείας, καὶ ἁρπαγάς, καὶ ἀκολασίας, καὶ τυραννικὰς βίας, μέχρι καὶ τοῦ ἀσεβεῖν ἀναγκαζούσας· ἔτι δὲ παιδείας καὶ φιλοσοφίας ἀπώλειαν, ἀρετῆς τε πάσης καὶ φιλίας, καὶ τῆς πρὸς ἀλλήλους πίστεως· καὶ τεχνῶν πασῶν καὶ ἐπιστημῶν, διὰ πολλῶν χρόνων εὑρεθεισῶν τε καὶ βεβαιωθεισῶν, τῶν μὲν παντελῆ ἀφανισμόν, ὡς μόνα τὰ ὀνόματα αὐτῶν μνημονεύεσθαι, τῶν δὲ τεχνῶν τῶν πολλῶν τῶν πρὸς βοήθειαν ἡμῖν τοῦ βίου παρὰ θεοῦ δοθεισῶν, οἷον ἰατρικῆς, καὶ οἰκοδομικῆς, καὶ τεκτονικῆς, καὶ τῶν τοιούτων, σκιὰς μόνας καὶ εἴδωλα περιλελεῖφθαι; Ταῦτα οὖν καὶ τὰ τοιαῦτα, τὰ ἐν τῷ καθ' ἡμᾶς βίῳ περιττεύσαντα, τίς ἀκούειν ἐθέλοι, οὐ λέγω καὶ ὁρᾷν, καὶ μετέχειν αὐτῶν, καὶ θέλειν γίνεσθαι αὐτά, εἰ μὴ κακοθελής τις εἴη καὶ μισόκαλος ἄνθρωπος;

Τὰ δὴ τοιαῦτα τῶν ἀπόρων, οὐ μόνον τοὺς πολλούς, ἀλλὰ καὶ τοὺς ἀστειοτέρους ἐνοχλοῦντα, τυχεῖν χρὴ διαλύσεως, εἰ μέλλοι καὶ ὁ τοῦ Ἐπικτήτου λόγος ἀνεύθυνος φαίνεσθαι, καὶ ἡ τοῦ δημιουργοῦ θεοῦ διοίκησις ἀνεπίληπτος. Ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβὲς τιθέμεθα, ὡς αὐτὸς ἡμᾶς διδάξει μετ' ὀλίγον ὁ Ἐπίκτητος. Λέγω τοίνυν, ὡς, εἰ μὲν κακὰ ὄντως ἐστὶ

in reditum et discessum ex hac vita intentus esto: ne, cum tempus discedendi adfuerit, tuque vocatus eris, sarcinis onustus deprehendaris, et istis veluti vinculis retraharis, ac recens ductam uxorem et infantes liberos lamenteris. Nam et alioqui decet senem dicessum magis ex hac vita, quam diuturnam in ea mansionem, spectare curareque.

[IN VIII.] Quæ res externæ relinquendæ, quæ percipiendæ nobis sint, disseruit: necessariis utendum necessario, cæteris vero obiter; sed harum nullam præcipue expetendam: concesso ad hunc modum rerum externarum usu, nunc regulas tradit, quibus observatis, rebus externis citra noxam et perturbationem, atque etiam placido animo, queas perfrui. Ut autem sine molestia vivamus, nec ea quæ fiunt improbemus; aut rerum naturam se ad voluntatem nostram adcommodare, aut nos ea, quæ rerum natura nobis decreverit, probare necesse est. Aliter enim fieri nequit, ut bene agi nobiscum arbitremur. At, ut rerum universitas omnibus optatis nostris respondeat, id quidem nec fieri potest, nec omnino semper expedit. Multa enim nobis placent, quæ ipsis etiam nobis sunt inutilia; sive quod eorum naturam ignoramus, sive quod brutis adfectibus interdum indulgemus. Nos igitur, si beati esse volumus, adsuescere, ut iis quæ ab universitate fiunt adquiescamus, necesse est.

Verum hoc præceptum durum fortasse, atque adeo ne fieri quidem posse nonnullis videbitur, ut quisquam *velit ea, quæ fiunt, ita fieri ut fiunt*. Quis enim sanæ mentis homo probet vel communia mala, quæ ab universo oriuntur; ut terræ motus, diluvia, incendia, pestem, famem, interitum omnis generis animantium et frugum? vel ea quæ nefarie ab hominibus in homines perpetrantur; urbium excidia, captivitates, cædes injustas, latrocinia, direptiones, libidines, et tyrannicam violentiam eo usque progredientem, ut ad impia facta cogat homines? quis eruditionis et philosophiæ interitum; omnisque virtutis, et amicitiæ, et mutuæ fidei, et scientiarum omnium artiumque, quæ vix multis ætatibus inventæ confirmatæque sunt, tantam eversionem, ut aliarum prorsus exstinctarum nonnisi nomina memorentur; artium vero plerarumque, quæ divinitus nobis juvandæ vitæ caussa datæ sunt, ut medicinæ, ut fabrilis, ut architecturæ, aliarumque similium, umbræ tantum et simulacra sint reliqua? Hæc igitur et id genus alia, quæ in nostram ætatem redundarunt, quis tandem, non dico videre, eorumque particeps esse, eaque fieri, sed vel audire velit, nisi homo malevolus et omnis honestatis inimicus?

Hujusmodi dubitationes, non hominum vulgo duntaxat, sed et eruditioribus obstrepentes, dissolvendæ sunt, si et Epicteti orationi sua debebit constare auctoritas, et rerum auctoris Dei administratio reprehensione carere. Ubi enim utilitatem, ibidem etiam pietatem collocamus, ut paulo post nos ipse docebit Epictetus. Aio igitur: si vere mala ea sunt, quæ modo tragicis verbis dubitatrix prædicavit oratio,

ταῦτα τὰ γινόμενα, ἅπερ ἐτραγῴδησεν ὁ ἀπορῶν λόγος, καὶ τοιαῦτα κακὰ οἷάπερ ἡμῖν φαίνεται, οὔτε ἀγαθὸς ἂν εἴη ἄνθρωπος ὁ εὐαρεστῶν τοῖς κακοῖς, οὔτε τὸν διοικοῦντα τὰ τῇδε ἀναίτιον εἶναι τῶν κακῶν προχωρεῖ· οὔτε αἴτιον νομίζοντας κακῶν αὐτὸν, ἢ τιμᾷν, ἢ φιλεῖν, ἢ σέβειν δυνατὸν, κἂν μυρία ἐπὶ μυρίοις ἀπομνύμεθα. Πᾶν γὰρ ζῶον, ὡς αὐτὸς ἐρεῖ, τὰ μὲν βλαβερὰ, καὶ τὰ αἴτια αὐτῶν, φεύγει τε καὶ ἐκτρέπεται· τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν, μέτεισί τε καὶ θαυμάζει. Ἢν μέντοι φανῇ τὰ μὲν γινόμενα ταῦτα μὴ κακὰ ὄντα, ὥσπερ νομίζομεν, ἀλλ' ἀγαθὰ μᾶλλον, ὡς πρὸς μεγάλα ἀγαθὰ συντελοῦντα, καὶ ἐκείνων ἕνεκα γινόμενα· εἰ δέ τι εἴη κακὸν, ὅλως ἐν τοῖς γινομένοις τοῦτο μὴ ὂν, ἀλλ' ἐν ταῖς ὀρέξεσι καὶ ὁρμαῖς ταῖς ἡμετέραις· οὔτε ὁ θέλων γίνεσθαι τὰ γινόμενα, ὡς γίνεται, κακός ἐστιν· οὔτε ὁ διοικῶν τὰ τῇδε κακοῦ φανήσεται αἴτιος.

Ταῦτα τοίνυν, ἐν οἷς ἐστι τὰ δοκοῦντα κακὰ, ἐν τῷ τῆς γενέσεως καὶ φθορᾶς ὄντα τόπῳ, τὰ μέν ἐστι σώματα, τὰ δὲ ψυχαί· αἱ μὲν, ἄλογοι, συμπεφυκυῖαι τοῖς σώμασι, καὶ οὐδὲν σχεδὸν ἔχουσαι αὐτῶν ἐξῃρημένον, ἀλλὰ ζωαὶ τῶν σωμάτων οὖσαι, καὶ κατ' ἐκεῖνα καὶ μετ' ἐκείνων κινούμεναι· αἱ δὲ, λογικαὶ, αὐτοκίνητοι, καὶ τῶν σωμάτων ἐξῃρημέναι, καὶ προαιρέσεως καὶ ὁρμῆς οὖσαι κύριαι.

Ὧν τὰ μὲν σώματα, ἑτεροκίνητα τελέως ὄντα, καὶ τὴν οὐσίαν πᾶσαν ἔξωθεν ἔχοντα, προηγουμένως μὲν ἀπὸ τῶν οὐρανίων κινήσεων γίνεταί τε, καὶ φθείρεται, καὶ μεταβάλλει παντοίας μεταβολάς· προσεχῶς δὲ, καὶ ὑλικώτερον, ὑπ' ἀλλήλων. Καὶ γὰρ ἀκόλουθόν ἐστι τοῦτο, ἀπὸ τῶν ἀϊδίων τὰ γινόμενα καὶ φθειρόμενα κυρίως ὑφίστασθαι, καὶ ἀπὸ τῶν αὐτοκινήτων τὰ ἑτεροκίνητα, καὶ ἀπὸ τῶν περιεχόντων τὰ περιεχόμενα. Καὶ ἔστιν αὕτη τάξις καὶ δίκη τοῦ Παντὸς, τὸ ταῦτα ἐκείνοις ἀκολουθεῖν, οὐκ ἔχοντα ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως ἢ αἱρέσεως, καὶ ὁρμῆς οὐκ ὄντα κύρια, οὐδὲ τὴν διαφορὰν τῆς αὐτῶν ἀξίας κατὰ προαίρεσιν ἔχοντα, ἀλλὰ τοῖς αἰτίοις συνδιατιθεμένην· ὥσπερ καὶ αἱ σκιαὶ τῶν σωμάτων οὐ κατὰ προαίρεσιν τοίως ἢ τοίως τρέπονταί τε καὶ διατίθενται, ἀλλὰ τῇ τῶν αἰτίων ἕπονται καταστάσει, τὴν αὐτὴν ἔχουσαι ἀεὶ ἀξίαν. Καὶ οὐδὲ αὐτοῖς μὲν τοῖς μεταβαλλομένοις σώμασι κακόν ἐστιν ἡ μεταβολὴ, οὔτε τοῖς συνθέτοις, οὔτε τοῖς ἁπλοῖς. Πρῶτον μὲν, ὅτι φύσις ἐστὶν αὐτοῖς τοιαύτη, καὶ ἄλλως ἔχειν ἀδύνατον αὐτοῖς· ἐπεὶ οὐδὲ ταῖς λογικαῖς ψυχαῖς κακὸν ἂν ἦν ἡ ἄγνοια, καὶ ἡ κατὰ τὰς ἀλόγους ὀρέξεις ζωὴ, εἰ μὴ πεφύκει γινώσκειν τὸ ἀληθὲς, καὶ ἄρχειν τῶν ἀλόγων ὀρέξεων, καὶ ὑπερέχειν αὐτῶν· ἔπειτα, ὅτι καὶ τὰ σύνθετα, ἐξ ἐναντίων συγκείμενα καὶ μαχομένων ἀλλήλοις, καὶ ἐν ἀλλοτρίοις ὄντων τόποις, καὶ πλεονεκτούντων ἀλλήλων διὰ τῶν νόσων, ποτὲ μὲν ἐκκρίνοντα τὰ διαφθειρόμενα ἐν αὐταῖς ἀναῤῥώννυται· ποτὲ δὲ εἰς φθορὰν ὁδεύοντα, αὐτὰ μὲν τοῦ μόχθου καὶ τῆς ταλαιπωρίας καὶ τῆς ἐν αὐτοῖς τῶν ἐναντίων πλεονεξίας ἀπαλλάττεται, τῶν δὲ ἐν αὐτοῖς ἁπλῶν ἕκαστον ἀποδί-

et talia mala, qualia nobis videntur; nec vir bonus is fuerit, qui delectetur illis malis; neque eum, qui hæc gubernat, culpa vacare eorumdem malorum, obtineri potest; neque, si malorum illum auctorem habemus, fieri potest, ut eum honoremus, aut amemus, aut colamus, etiamsi millies jūremus. Quodvis enim animal, ut ipse dicturus est, noxias res, earumque caussas, fugit et aversatur; utiles vero, earumque caussas, consectatur et veneratur. Sin demonstratum fuerit, non esse hæc, quæ fiunt, mala, ut putamus, sed bona potius, ut quæ ad magna bona conducant, eorumque caussa fiant; sin sit malum aliquod, non inesse illud utique in eis quæ fiunt, sed in nostris adpetitionibus et consiliis : consequens erit, ut neque is malus sit, qui ea, quæ fiunt, ita fieri voluerit ut fiunt; neque gubernator hujus mundi videri debeat mali esse auctor.

Ista igitur in quibus ea fiunt, quæ mala videntur, in ortus et interitus loco constituta, partim corpora sunt, partim animæ; animæ autem partim brutæ, adfixæ corporibus, nec fere quidquam sejunctum ab iis habentes, cum sint tantum vita corporum, et secundum illa cum illisque moveantur; partim animæ rationis participes, quæ per se moventur, sejunctæ a corporibus, voluntatis et consiliorum suorum liberum arbitrium habentes.

Corpora igitur, motu prorsus alieno agitata, omnemque naturam extrinsecus habentia, præcipue quidem a cœli conversionibus oriuntur, intercidunt, variasque mutationum vices subeunt : sin propiores et magis materiales caussas spectes, a sese invicem adficiuntur. Id enim est consequens: ea, quæ nascuntur et pereunt, ab æternis constitui; et ab his quæ per sese moventur, ea quæ cientur aliunde; et ab his quæ continent, ea quæ continentur. Estque hic ordo, hoc jus universi, ut hæc illa consequantur; cum in sese non habeant principium motionis aut delectus, nec adpetitio in eorum sita sit potestate, neque discrimen dignitatis eorum a libera ipsorum voluntate, sed ex necessariis caussis pendeat : quemadmodum nec umbræ corporum suo arbitratu hoc aut illo modo convertuntur aut adficiuntur, sed caussarum suarum statum sequuntur, eandem semper habentes dignitatem. Ac ne ipsis quidem quæ mutantur corporibus, sive compositis, sive simplicibus, malum est illa mutatio. Primum, quod eorum natura est talis, nec fieri potest ut aliter se habeat : etenim nec rationis capacibus animis malum esset ignorantia, et vita brutis adpetitionibus consentanea, nisi ad hoc nati essent, ut ėt verum cognoscerent, et brutis adpetitionibus imperarent, supraque illas velut eminerent. Deinde, quod composita, cum rebus constent contrariis et inter sese pugnantibus, quæ in alienis collocatæ locis, per morbos sibi mutuo sunt infestæ atque injuriæ; alias quidem id, quod corruptum est, per ipsos morbos excernentia, rursus confirmantur; alias vero ad interitum tendentia, ipsa quidem a labore et ærumna et redundantia contrariorum, quæ eis inest, liberantur; singula autem simplicia, quæ in eis insunt, suis totis restituuntur, ut quasi

δοται τῇ αὐτοῦ ὁλότητι, εἰς ἐκνεασμὸν καὶ ἀνάῤῥωσιν τῆς ἐγγενομένης αὐτοῖς ὑπὸ τῶν ἐναντίων ἀσθενείας. Ἕκαστον γὰρ αὐτῶν, ποιοῦν τι εἰς τὸ ἐναντίον, καὶ ἀντιπάσχει πάντως ὑπ' αὐτοῦ. Ὅταν δὲ τὰ ἁπλᾶ μεταβάλλῃ εἰς ἄλληλα κατὰ τὰς τῶν ἐναντίων ποιοτήτων μεταβολάς, γίνεται πάλιν ὅπερ ἦν πρότερον. Τὸ γὰρ ὕδωρ εἰς ἀέρα μεταβάλλει, ἀφ' οὗ καὶ γέγονε πρότερον· καὶ ὁ ἀὴρ εἰς πῦρ, ἐξ οὗ γέγονε.

Καὶ οὐδὲν ἐν τούτοις οἶμαι κακὸν, κἂν κατακλυσμοὺς, κἂν ἐκπυρώσεις, κἂν ἀθροωτέρας μεταβολὰς ἀπεργάσωνται, δι' ἀντανίσωσιν τῶν ἐν τῷ παντὶ στοιχείων· κἂν λοιμοὶ, ἢ σεισμοὶ, τὰ σύνθετα σώματα διαλύσωσιν. Εἰ δὲ καὶ συντελεῖ ταῦτα διὰ τὴν ἐπ' ἄπειρον ἀνακύκλησιν τοῦ γενητοῦ, διὰ τὸ τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν εἶναι· πῶς κακὸν δυνατὸν εἶναι τὴν τοῦ μέρους φθορὰν, εἰ λυσιτελεῖ τῷ ὅλῳ; Καὶ γὰρ ἐπὶ τῶν μερικῶν ζώων ἡ φύσις ὁρᾶται καταφρονοῦσα τοῦ μέρους διὰ τὸ ὅλον· ὅταν τὰ ῥεύματα ἀπὸ τῶν κοινοεργῶν μορίων, καρδίας, καὶ γαστρὸς, καὶ ἥπατος, καὶ ἐγκεφάλου, εἰς πόδας ἄκρους ἀποπέμπει καὶ χεῖρας, καὶ πρὸς τὸ δέρμα δι' ἐκφυμάτων καὶ λειχήνων καὶ τῶν τοιούτων ἀπωθεῖται, καὶ ἀποσκήμματα ποιεῖ φθοροποιὰ εἰς τὰ μόρια διὰ τὴν τοῦ ὅλου σωτηρίαν. Καὶ μέντοι καὶ ἰατρικὴ τέχνη, μιμουμένη τὴν φύσιν, σήπει τὰ ἀποστήματα, καὶ τέμνει, καὶ καίει, καὶ κατατείνει, καὶ ἐκκόπτει μόρια, διὰ τὸ σῶσαι τὸ ὅλον· καὶ οὐδεὶς τούτοις, ὡς κακῶς γινομένοις, ἐγκαλεῖ. Ὡς εἴ γε κατ' αὐτὰ μόνα ἦν τὰ σώματα, καὶ μηδαμῶς μηδὲν τῶν περὶ αὐτὰ συμβαινόντων εἰς τὰς ἀνθρωπίνας ψυχὰς ἀνεφέρετο, οὐδὲν ἂν οἶμαι τῶν κατὰ τὰς μεταβολὰς αὐτῶν κακὸν ἐνομίζετο.

Ἐπειδὴ δὲ καὶ ψυχαὶ ἡμῖν ἐν τοῖς σώμασιν· αἱ μὲν, ἄλογοι, συμπεφυκυῖαι τοῖς σώμασι, καὶ ἐκείνων οὖσαι ζωαὶ, καὶ ἐν ἐκείνοις καὶ μετ' ἐκείνων τήν τε οὐσίαν ἔχουσαι καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν· αἱ δὲ, λογικαὶ, ἐξῃρημέναι κατὰ φύσιν τῶν σωμάτων, καὶ χωρισταὶ παντελῶς ἀπ' αὐτῶν οὖσαι, αὐτοκίνητοί τε καὶ προαιρετικαὶ, καὶ κύριαι ὁρμῆς καὶ ὀρέξεως, ὡς δέδεικται πρότερον· αἱ μὲν ἄλογοι, εἰ μὲν μηδὲν μηδὲ ἴχνος ἔχουσιν αὐτοκινησίας, μηδὲ ὄρεξιν ἔνδοθεν, ἢ ὁποιανοῦν κίνησιν, ἀλλὰ τελέως τῶν σωμάτων εἰσὶ ζωαὶ, δῆλον ὅτι καὶ τὴν οὐσίαν σὺν τοῖς σώμασιν ἔχουσιν ὑπὸ τῆς εἱμαρμένης παραγινομένην, καὶ τὴν ἀξίαν κατ' ἐκεῖνά τε καὶ μετ' ἐκείνων ἀφωρισμένην, καὶ συνδιατιθεμένην ταῖς ἐκείνων κινήσεσιν, ὡς εἴρηται περὶ τῶν σκιῶν. Εἰ δὲ τοῦτο μὲν ταῖς τῶν φυτῶν ζωαῖς μᾶλλον προσήκει, διὸ καὶ κατεῤῥιζωμένα ἐστὶ, καὶ αἰσθήσεως ἐστέρηται καὶ κινήσεως, τῶν τῇ ὀρέξει καὶ ὁρμῇ τῆς ψυχῆς συνόντων· τὰ δὲ ἄλογα ζῶα καὶ τούτου ἔτυχεν· εἰκός ἐστι, τὰς τῶν ἀλόγων ψυχὰς, μέσας οὔσας τῶν ζώων, τῶν τε κατεῤῥιζωμένων τοῖς σώμασι, καὶ τῶν τελέως κατὰ φύσιν ἀπολελυμένων καὶ αὐτοκινήτων, ἔχειν τι ὀρέξεως ἴχνος καὶ ὁρμῆς, ἔνδοθεν ἀπ' αὐτῶν ἐγειρόμενον, καὶ ποτὲ μὲν κατὰ φύσιν τὴν τοῦ εἴδους κινούμενον, ὡς ὅταν

repubescant, et ab innata eis ex contrariis imbecillitate recreentur. Quodlibet enim eorum, agens aliquid in contrarium, utique vicissim etiam aliquid ab eo patitur. Cum vero simplicia contrariarum mutatione qualitatum in se mutuo convertuntur; id fiunt denuo, quod ante fuerant. Nam aqua in aerem mutatur, unde prius facta erat : et aer in ignem, unde fuerat ortus.

Atqui in his, puto, nihil est mali; etiamsi inde vel diluvia, vel conflagrationes, vel aliæ vehementiores mutationes efficiantur, ob elementorum universi æquationem; sive etiam pestilentiæ, aut terræ motus, composita corpora diremerint. Quod si hæc etiam conducunt, ob infinitam ejus quod ortum habet revolutionem, eo quod unius interitus ortus est alterius : qui fieri potest, ut partis interitus sit malum, si toti conducit? Nam in singulis etiam cernitur animantibus ipsa natura contemnere partem propter totum, cum fluxiones a partibus in commune operantibus, corde, ventre, hepate et cerebro, in extremos pedes et manus relegat, et ad cutem per tubera, lichenes, et ejus generis alia depellit, et abscessus perniciosos in membris facit ob incolumitatem totius. Atqui etiam ars medica, naturæ in hoc imitatrix, apostemata putrefacit, secat, urit, et intendit atque amputat partes, totius ergo conservandi : neque quisquam est, qui male ista fieri arguat. Itaque, si per se sola essent corpora, nec eorum quæ his accidunt quidquam ad humanos animos pertineret; nihil profecto in eorum mutationibus inesse mali crederetur.

Sed quia etiam animæ corporibus insunt, omnis ex eo querela nascitur. Hæ igitur partim brutæ sunt, cum corporibus cohærentes, eisque vitam impertientes, atque in illis et cum illis suam et naturam et vim et efficaciam habentes : partim vero rationis participes, natura sejunctæ a corporibus ac plane ab illis separabiles, quæ et per se moventur, et liberam voluntatem habent, et adpetitiones atque affectus suo arbitratu moderari possunt, ut supra ostensum est. Brutas igitur animas (siquidem ne vestigium quidem proprii sui motus, nec internam adpetitionem, aut qualemcunque motionem habent, sed plane corporum vita sunt) perspicuum est, suam quoque naturam una cum corporibus a fato attributam, et dignitatem pro illorum ratione et cum illis adsignatam habere, quæ una cum eorum motionibus adficiatur, quemadmodum de umbra ante est dictum. Hoc vero si stirpium vitæ magis convenit, quæ adeo radicibus terræ infixæ hærent, ac sensu carent et motu cum adpetitione et concitatione animi conjuncto; brutis vero animantibus si hæc etiam, quæ postremo nominavi, insunt; consentaneum est, ut brutorum animantium animæ, utpote mediæ inter illas naturas animatas, quæ corporibus suis terræ infixæ hærent, illasque quæ prorsus sua natura solutæ sunt et proprio motu utentes, aliquod vestigium habeant adpetitionis intrinsecus in ipsis excitatæ; quæ alias

ὁ λέων σύμμετρον τῷ εἴδει τὸν θυμὸν ἔχει· ποτὲ δὲ ὑπερζεόντως ἢ ἐλλειπόντως. Καὶ κατὰ ταῦτα καὶ ἀξίας ἴσχουσι διαφορὰν καὶ βίων ἀνομοιότητα, πρὸς τῇ κατὰ τὴν εἱμαρμένην διαθέσει, ἣν ὡς ἑτεροκίνητον ἔχουσι. Χρὴ γὰρ τὰ μέσα τινῶν ὄντα ἑκατέρῳ πως τῶν ἄκρων κοινωνεῖν.

Ἡ μέντοι λογικὴ ψυχή, αὐτοκίνητος οὖσα, καὶ ὀρέξεως τελέως κυρία καὶ ὁρμῆς, καὶ τὴν ἀξίαν ἔχει πρὸς τὴν προαίρεσιν· χρωμένη δὲ τῷ σώματι, καὶ τὰ πάθη αὐτοῦ πρὸς ἑαυτὴν ἔχει ἀναφερόμενα. Ἀλλ' ὅταν μὲν κατὰ φύσιν ζῶσα ὡς ὀργάνῳ χρῆται τῷ σώματι, ἐξῃρημένη αὐτοῦ καὶ ὑπερέχουσα, τότε αἱ τοῦ σώματος βλάβαι τὰς μὲν δι' αὐτοῦ ἐνεργείας ἐμποδίζουσιν αὐτῇ, οὐδενὸς δὲ αὐτῇ δεινοῦ μεταδιδόασι. Καὶ γὰρ καὶ τὸ ἀλγεῖν ἐν τῷ σκέλει μένειν ἔλεγεν ὁ θεῖος Σωκράτης. Ὅταν δὲ οἰκειώσηται τὸ σῶμα πλέον τοῦ δέοντος, οὐχ ὡς ὄργανον ἔτι, ἀλλ' ὡς μέρος ἑαυτῆς περιπτυσσομένη, μᾶλλον δὲ ὡς ἑαυτήν· τότε σὺν αὐτῷ καὶ δι' αὐτοῦ παθαινομένη καὶ ἀλογουμένη, καὶ τὰς τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας ὀρέξεις οἰκείας νομίζουσα, καὶ ὑπουργοῦσα αὐταῖς, καὶ μηχανὰς ὑποβάλλουσα πρὸς τὸ τυχεῖν τῶν ὀρεκτῶν, κακύνεται κατὰ πάντα, καὶ νοσεῖ τὴν τῆς ψυχῆς νόσον, καὶ ἰατρείας δεῖται πρὸς τὸ ἀπαλλαγῆναι αὐτῆς. Καὶ ἐπεὶ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, χρὴ τὴν δι' ἡδονῆς ὄρεξιν καὶ γλυκυθυμίας κακυνθεῖσαν, τῆς πρὸς σώματα καὶ χρήματα συμπαθείας, καὶ τιμήν, καὶ δυναστείαν, καὶ τὰ τοιαῦτα, τῇ περὶ ταῦτα λύπῃ ἀποτυγχανόμενα κολάζεσθαί τε καὶ ἰατρεύεσθαι, καὶ μάλιστα ἐπὶ τοῖς τοῦ σώματος πάθεσιν. Πλησιαίτερον γάρ ἐστιν αὐτῆς τοῦτο, καὶ αἱ ἐπ' αὐτῷ καὶ σὺν αὐτῷ ὀδύναι αἰσθητότεραι. Ἀποστᾶσα γὰρ ἡ ψυχὴ τῶν τε ἑαυτῆς κρειττόνων, καὶ ἑαυτῆς, καὶ ὅλην ἑαυτὴν ἐνδοῦσα τῷ τε σώματι καὶ τοῖς ἐκτὸς, καὶ ἐκεῖνα ἑαυτὴν νομίσασα, καὶ τὸ ἀγαθὸν τὸ ἑαυτῆς ἐν ἐκείνοις ζητοῦσα, καὶ κατὰ τοῦτο νοσήσασα καὶ κακυνθεῖσα· πῶς ἂν ἄλλως καταγνῶναι τούτων ἠδύνατο, καὶ τῆς πρὸς αὐτὰ ῥοπῆς, καὶ καταφρονῆσαι αὐτῶν, καὶ ἐπιστραφῆναι πρὸς ἑαυτὴν καὶ τὰ κρείττονα, καὶ ἐν τούτοις τὸ ἀγαθὸν ζητεῖν, εἰ μή, πρὸς τῷ βλαβερῷ, καὶ λυπηρῶν πειραθῇ τούτων; διὰ γὰρ ἡδονὴν εἰς αὐτὰ ῥέπουσα, ὡς ταύτης ἐν ἐκείνοις καὶ σὺν ἐκείνοις τυγχάνουσα, ἕως μὲν ἂν ἀπολαύοι ταύτης ἐν αὐτοῖς, προσήλωται αὐτοῖς καὶ προστέτηκεν. Οὐδεὶς γὰρ ἧλος οὕτως ἰσχυρός ἐστι προσπερονῆσαι καὶ κολλῆσαι ὡς ἡ ἡδονή, καὶ τὸ ἀπ' αὐτῆς δέλεαρ.

Ὁ τοίνυν ἀγαθὸς ἰατρὸς, ἀνιαρὰ ταῦτα, εἰς ἃ νένευκεν, αὐτῇ προσφέρων, ἀποστρέφεσθαι ποιεῖ αὐτά, ὥσπερ αἱ τὰ παιδία ἀπογαλακτίζειν βουλόμεναι, πικρῷ τινι τὰς θηλὰς ὑπαλείφουσι. Καὶ τὴν μὲν ἀρχήν, ὡς δυοῖν κακοῖν τὸ κουφότερον αἱρούμεναι αἱ ψυχαί, ἀντὶ σωματικῆς ὀδύνης, καὶ βιωτικῶν περιστάσεων, τὸν θάνατον αἱροῦνται, καὶ τὸν ἀπὸ τοῦ σώματος χωρισμόν· ὅπερ οὐκ ἄν ποτε ὑπῆρξεν αὐταῖς, εὐροούσαις περὶ τὸ σῶμα. Συνεθίζονται δὲ ὅμως μισεῖν καὶ ἀποστρέφεσθαι τὴν ἐνταῦθα ἡδονήν, μείζονος καὶ πολυπλασίονος λύπης

quidem pro natura sui generis moveatur, ut cum leo convenientem suo generi iram habet; alias vero cum fervore aut defectu. Et hactenus habent illa etiam dignitatis diversitatem, et vitarum dissimilitudinem; licet cæteroquin eam a fato naturam attributam habeant, ut aliunde moventur. Debent enim ea, quæ, ut media, inter aliqua interjecta sunt, cum utrisque extremis quamdam habere adfinitatem.

At animus rationis particeps, per se mobilis, et adpetitionis atque impetus sui plane dominus, eam etiam dignitatem habet, quam a libera voluntate consequitur: quoniam vero corpore utitur, corporis etiam adfectiones ad ipsum referuntur. Itaque cum naturæ congruenter vivens, pro instrumento utitur corpore, sejunctus ab eo, et supra id eminens; tum noxæ corporis impediunt quidem illas animi actiones quæ per corpus fiunt, nullis tamen ipsum animum adficiunt malis. Nam dolor, ut divinus Socrates ait, in pede manet. Si vero majore quam par est necessitudine cum corpore contracta, non jam ut instrumentum, sed ut sui partem, ac potius ut semet ipsum, illud amplexatur; tunc quidem cum eo et per id adfectibus agitatus, et obbrutescens, et iracundiæ atque cupiditatis adpetitiones suas esse ratus, illisque inserviens, rationesque subjiciens quibus illa desideria expleantur, depravatur prorsus, et morbis animi laborat, egetque medicina, qua illis liberetur. Et quoniam solent contraria curari contrariis; debet animus adpetitu voluptatis et suavitatis depravatus, propter nimium amorem corporum, opum, honorum, potentiæ, similiumque rerum, per illam tristitiam castigari sanarique, quæ oritur ex earumdem rerum frustratione, et imprimis e corporis doloribus; quoniam corpus est animo propinquius, et cruciatus ejus magis sentiuntur. Postquam enim animus et superos et se ipsum deseruit, seque totum corpori et rebus externis dedidit, easque res se ipsum esse putavit, et suum bonum in illis quæsivit, eaque ratione depravatus ægrotavit: quonam alio modo ista aspernarari, et ad se ipsum et ad Deum converteretur, et in his bonum suum quæreret; nisi, præter damnum, etiam tristia hæc et molesta experiretur? Nam quoniam ad ista propter voluptatem propendet, quam in eis et per ea percipit; quousque fruetur illa voluptate, adfixus eisdem rebus adhærebit. Nullus enim clavus est, qui ita fortiter adfigat et adglutinet animos, ut voluptas, et illecebræ voluptatis.

Bonus igitur ille medicus, molesta hæc simul cum jucundis, quibus inhiat animus, offerens ei, facit ut hic eadem aversetur: quemadmodum nutrices, parvulos ablactaturæ, amara aliqua re papillas inungunt. Animi ergo initio quidem, tamquam e duobus malis levius eligentes, dolori corporis et aliis vitæ molestiis mortem et discessum a corpore anteponunt: numquam id facturi, vigente et florente corpore. Simul vero adsuescunt tamen odisse et aversari corpoream voluptatem, majoris doloris formidine inde retenti:

φόβῳ ἐντεῦθεν εἰργόμεναι· ὥσπερ καὶ τὰ παιδία φόβῳ τὴν ἀρχὴν ἀπὸ τῶν βλαβερῶν ἀναστέλλονται· καί τις ὑφηδόμενος σιτίῳ τινὶ ἢ ποτῷ βλαβερῷ, πολλάκις ὀδύνης ἀπ' αὐτῶν πειρώμενος, καὶ λύπης σφοδρᾶς, φόβῳ τοῦ μὴ τούτοις περιπεσεῖν ἀπέχεται αὐτῶν. Καίτοι τίς ἂν ἀλύπως τοῖς ἡδέσι χρώμενος, κἂν βλαβερὰ τυγχάνῃ ὄντως, ἀποστρέψειεν ἂν ἀπ' αὐτῶν; Καὶ ἔστι μὲν τοῦτο, τὸ τῶν ἡδέων ἀπέχεσθαι διὰ φόβον τῆς μείζονος λύπης, οὐκ ἀπαλλαγὴ πάθους, ἀλλ' ἀνταλλαγὴ μᾶλλον· (τὸ γὰρ ἡδὺ τῆς ἀλυπίας ἀλλαττόμεθα τοῦ τῆς ἀπολαύσεως ἡδέος·) μετὰ τοῦ καὶ ἄλλο πάθος προσλαμβάνειν τὸ πάθος. Πλὴν συντελεῖ τοῦτο τὴν ἀρχὴν τοῖς παιδικῶς ἡμῖν καὶ ἀνοήτως διακειμένοις, εἰς τὸ διαβληθῆναι πρὸς ταῦτα οἷς σφοδρῶς συμπεπόνθαμεν· καὶ τότε λοιπὸν τήν τε φύσιν τούτων καταμανθάνοντες, ὅτι πρὸς τῷ βλαβερῷ καὶ τὸ λυπηρὸν ἔχουσιν τοῦ ἡδέος πλέον καὶ πολλαπλάσιον, καὶ εἰς ἑαυτοὺς ἐπιστρέφοντες, καὶ ἐν ἑαυτοῖς τὸ ἀγαθὸν εὑρίσκοντες ὄν, καὶ οὐκ ἐν σώματι ἢ τοῖς ἐκτὸς, καὶ μέν τι καὶ τῆς πρὸς τὸ Κρεῖττον ἡμῶν ὁμοιότητος αἰσθανόμενοι, καὶ ταύτην τιμῶντες, οὐκ ἔτι φόβῳ, ἀλλ' ἐπιστήμῃ καὶ ἀρετῇ τὸν κατὰ φύσιν βίον αἱρούμεθα. Καὶ γὰρ καὶ τὰ παιδία, ἅπερ ἐξέκλινον πρότερον καὶ ἐπετήδευον διὰ φόβον, ταῦτα ὕστερον φρενωθέντα λοιπὸν αἱρούμενα πράττουσι.

quemadmodum et pueri a rebus noxiis primum metu retrahuntur, et sæpe aliquis, noxio quopiam cibo aut potione impense gaudens, postquam doloribus inde adfectus est, magnæ molestiæ fuga et metu iis abstinet. Etenim quis rebus jucundis sine molestia perfruens, quamvis noxiis, ex animo ab iis abhorreat? Et est quidem ista voluptatum timore doloris majoris abstinentia, non tam liberatio, quam permutatio potius quædam adfectuum : (nam suavitate ea, quæ in vacuitate a molestiis inest, permutamus illam quæ inest in fruendo :) et unius adfectus ad alterum accessio. Expedit autem hoc initio nobis, ob pueriles et stultos adfectus nostros, ut ea suspecta habeamus et invisa, quibus vehementer dediti fuimus : deinde vero, naturam eorum considerantes, intelligentesque, præterquam quod noxia sint, multo etiam plus iis adesse molesti quam jucundi; et in nos ipsos descendentes, et bonum in nobis ipsis situm esse deprehendentes, non autem in corpore, aut rebus externis; atque etiam similitudinem, quæ nobis est cum Deo, aliquatenus sentientes, eamque honorantes; jam non amplius metu, sed scientia et virtute, vitam naturæ consentaneam amplectimur. Nam et pueri, quæ prius ob metum declinabant aut prosequebantur, eadem progressu temporis, aucta prudentia, ultro faciunt.

Καὶ οὗτος σκοπὸς τῷ ἐπιμελομένῳ ἡμῶν θεῷ, τὸ μήτε προστετηκέναι τὴν λογικὴν ψυχὴν τῷ σώματι, καὶ τοῖς ἐκτός· μήτε φόβῳ, ἀλλ' αἱρουμένην, ἀπέχεσθαι αὐτῶν· ὡς ἐν τῇ αἱρέσει καὶ τῇ ἐκκλίσει καὶ τοῦ ἀγαθοῦ ἡμῶν καὶ τοῦ κακοῦ κειμένων. Καὶ εἰς τοῦτο τὸ τέλος ἡ ἰατρεία τῆς Προνοίας ἐπείγεται, εἰς τὸ ἐπαναγαγεῖν τὴν ψυχὴν εἰς αἵρεσιν τοῦ κατὰ φύσιν βίου· ὥσπερ καὶ οἱ ἄριστοι τῶν ἰατρῶν διὰ τομῶν καὶ καύσεων, καὶ τῶν τοιούτων, τὴν κατὰ φύσιν ἕξιν περιποιοῦσι τοῖς σώμασιν, ὥστε τὰς κατὰ φύσιν ἐνεργείας ἀποδιδόναι. Καὶ ἔστιν ἰατρικὴ τῆς πονηρίας, ἡ δίκη· καὶ ταύτην ἔχει τὴν χρείαν τὰ περὶ ἡμᾶς ταῦτα δοκοῦντα κακὰ, ὥσπερ καὶ ἰατροῖς δυσχεραίνομεν, εἰ παρέχουσι τομὰς καὶ καύσεις, καὶ τὰ ἀνιαρὰ τῶν βοηθημάτων. Διὸ καὶ πρὸς ταῦτα δυσχεραίνουσιν οἱ παιδικοὶ καὶ ἀνόητοι. Καὶ ὅστις πειρᾶται τοῖς συμβαίνουσιν ἑαυτῷ παρακολουθεῖν καὶ τοῖς ἄλλοις, καὶ τὰς γινομένας τῆς ψυχῆς διαθέσεις ἐπισκοπῶν, ὁμολογήσει ῥᾳδίως, οἶμαι, τὰ δυσχερῆ ταῦτα μὲν ἀρχὴν παρέχειν τῇ ψυχῇ πρὸς τὴν τοῦ σώματος καὶ τῶν ἐκτὸς, καὶ, ὡς ἂν ὁ θαυμαστὸς εἴποι, τῶν οὐκ ἐφ' ἡμῖν καταφρόνησιν.

Et hunc scopum propositum habet curator noster Deus, ut rationis particeps animus neque adhærescat corpori adfixus et rebus externis, neque his metu, sed judicio, abstineat : quandoquidem et bonum nostrum, et malum, in adpetitione et declinatione situm est. Et ad hunc finem medicina Providentiæ contendit, ut reducat animum ad amplectendam vitam naturæ consentaneam : quemadmodum etiam optimus quisque medicus sectionibus et ustionibus, aliisque id genus remediis, naturalem habitum corporibus restituit, ut naturalibus actionibus fungi queant. Estque adeo medicina improbitatis, pœna : et hunc usum habent hæc, quæ mala nobis pari ratione videri solent, ac medicis succensemus, ustiones et sectiones et molesta remedia adhibentibus. Quare nonnisi puerili ingenio et stolidi homines his succensent; et quisquis ea, quæ sibi et aliis accidunt, diligenter observaverit, atque adfectiones animorum animadverterit; is facile nimirum intelliget, molesta ista velut ansam præbere animo ad corporis et rerum externarum, aut, ut Epicteti nostri more loquamur, eorum quæ in nostra potestate sita non sunt, contemtionem.

Ὥσπερ δὲ ἡ τῶν σωμάτων ἰατρικὴ τὸ μέν τι μέρος ἔχει θεραπευτικὸν, τὰ νοσοῦντα σώματα διὰ τῶν ἐναντίων ἐπανορθούμενον· τὸ δὲ, ὑγιεινὸν, διαίτῃ καὶ γυμνασίοις βεβαιότερόν τε καὶ τελεώτερον ὑγιαίνειν ποιοῦν· καὶ ἔστι τινὰ τῶν γυμνασίων ἐπίπονα σφόδρα, καὶ μόνοις τοῖς ἀνδρείοις καὶ τληπαθέσι φορητά· οὕτω καὶ ὁ τῶν ψυχῶν βοηθὸς οὐ μόνον τὰς νοσούσας θεραπεύει διὰ τῶν ἐν τῷ βίῳ δυσχερῶν, ἀλλὰ καὶ τὰς ὑγιεῖς γυμνάζει, καὶ ὑγιεινοτέρας καὶ ἀνδρειοτέρας ποιεῖ, καὶ τὴν

Quemadmodum autem corporum medicina duplex est, cujus una pars corpora ægrota curat et per contraria corrigit; altera victus ratione et exercitationibus sanitatem tuetur, confirmat, auget; suntque nonnullæ exercitationes valde laboriosæ, nec nisi viris fortibus et constantibus tolerabiles : sic et animorum auxiliator non ægrotantes tantum curat, immissis variis vitæ difficultatibus, sed et sanos exercet, ac saniores et fortiores facit, eorumque virtutem ad imita-

ἀρετὴν αὐτῶν διαφανεστέραν τοῖς ἄλλοις εἰς μίμησιν ἐπιδείκνυσιν. Ὅτι μὲν γὰρ δέονται γυμνασίων καὶ αἱ ἀγαθαὶ τῶν ἀνθρώπων ψυχαὶ, ὥσπερ καὶ τὰ ὑγιαίνοντα σώματα, πρόδηλον· Κίνησις γὰρ κρατύνει, ἀργίη δὲ τήκει, φησὶν ὁ Ἱπποκράτης. Διὰ τί; ὅτι τὰ μὲν ἀεὶ τὴν ἑαυτῶν ἔχοντα τελειότητα, καὶ τὰς κατὰ φύσιν ἐνεργείας ἀεὶ ἐνεργοῦντα, προχείρους ἀεὶ καὶ ἑτοίμους ἔχει τὰς ἐνεργείας· τὰ δὲ μὴ ἐνεργοῦντα δεῖται γυμνασίας εἰς μίμησιν τῆς ἀεικινησίας, ἵνα μὴ τῇ ἀργίᾳ τῆς ἐνεργείας ἐπιλαθόμενα, καὶ νεκρωθέντα, καιροῦ καλοῦντος, τῆς χρείας ἐλλείπῃ. Τὸ γὰρ ποτὲ μὲν ἐνεργοῦν, ποτὲ δὲ μὴ ἐνεργοῦν, δι' ἀτονίαν τοῦτο πάσχον, δεῖται τῆς διὰ τοῦ ἐνεργεῖν ἀναῤῥώσεως.

Πᾶσα δὲ γυμνασία διὰ τῶν αὐτῶν ἐπιτελεῖται, δι' ὧν καὶ ἡ προηγουμένη ἐνέργεια, πρὸς ἣν γυμναζόμεθα. Ἡ γοῦν πρὸς πάλην γυμνασία διὰ τοῦ συνεχῶς παλαίειν γίνεται· καὶ ἡ πρὸς πυγμὴν, διὰ τοῦ συνεχῶς πυκτεύειν, καὶ ταῖς πληγαῖς συνεθίζεσθαι· οὕτω γὰρ καὶ ἡ πρὸς πόλεμον, διὰ τὸ πολεμίους μιμεῖσθαι τοὺς συγγυμναστάς· καὶ ὅσῳ μᾶλλόν εἰσιν οἱ προσγυμναζόμενοι μεγάλοι καὶ ἰσχυροὶ, τοσούτῳ μᾶλλον τὸ γυμνάσιον ἀνύει τὸν ἑαυτοῦ σκοπόν. Ὥστε κἂν πρὸς ἡδονὴν γυμνάζηταί τις ἐπὶ τὸ κρατεῖν ἡδονῆς, ἀνάγκη τῶν ἡδέων ἐφαπτόμενον, ἐθίζεσθαι καταφρονεῖν αὐτῶν· κἂν πρὸς λύπην, λυπηρῶν μετέχειν· κἂν πρὸς φόβον, φοβεροῖς τισιν ἑαυτὸν ἐμβάλλειν· κἂν πρὸς ἀλγηδόνας, τὸν διὰ μαστιγώσεως ἀγῶνα τῶν ἐν Λακεδαίμονι νέων εὐγενῶν ζηλοῦν, καὶ τὰ πρὸς ἐκεῖνον τὸν ἀγῶνα γυμνάσια πάντα ἀλγεινὰ ὄντα· ἢ τὸν ἐφ' ἡμῶν Σαλούστιον, ἄνθρακα πεπυρακτωμένον ἐπιθέντα γυμνῷ τῷ μηρῷ, καὶ φυσῶντα αὐτὸν, καὶ δοκιμάζοντα ἑαυτὸν, μέχρι πόσου δύναται καρτερεῖν. Οὐδὲν γὰρ διαφέρει τῷ εἴδει τὰ γυμνάσια τῶν προηγουμένων ἐνεργειῶν, ἀλλὰ τοσοῦτον μόνον, ὅτι ἐλαφρότερά πως εἰσὶ, καὶ ὅτι ἐφ' ἡμῖν ἐστιν ὅταν βουλώμεθα παύεσθαι.

Ἐπειδὴ οὖν ὁ τὰς ἀνθρωπίνας ψυχὰς καταπέμπων εἰς γένεσιν Θεὸς δυνάμεις δέδωκεν αὐταῖς, καθ' ἃς καὶ ἀβλαβῶς κεχρῆσθαι τοῖς ἐν γενέσει δελεάζουσί τε καὶ ἐκπλήττουσι, καὶ ὑπερανέχειν αὐτῶν δυνήσονται· ταύτας τὰς δυνάμεις γυμνάζων ὁ θεὸς, ἵνα μὴ ἀργοῦσαι χαλαρώτεραι καὶ ἀτονώτεραι γένωνται, καὶ, καιροῦ ποτε καλοῦντος τὴν χρείαν αὐτῶν, ὑστερήσωσιν, ἄθλους πολλάκις προτίθησι ταῖς ψυχαῖς. Καὶ οὐκ ἂν Ἡρακλῆς, ἢ Θησεὺς, ἢ Διογένης, ἢ Σωκράτης τοιοῦτοί τινες ἐγένοντο, οὐδ' ἂν διεφάνη τῆς ἀνθρωπίνης ἀρετῆς τὸ μέγεθος μέχρι πόσου δύναται διελθεῖν· εἰ μὴ τοὺς μὲν πρὸς τὰ φοβερώτερα τῶν θηρίων καὶ τοὺς κακούργους τῶν ἀνθρώπων ἀγωνίσασθαι προεκαλέσατο, τοὺς δὲ εἰς λιτότητα ἄκραν καὶ τὸν κατὰ φύσιν βίον προώθησε. Καὶ ἔστιν, οἶμαι, καὶ τοῦτο τοῖς ἐφιστάνουσι πρόδηλον, ὅτι οἱ ἐν περιστάσεσι καλῶς διαγινόμενοι ἀνδρικώτεροι τὸ λοιπὸν ἀποβαίνουσιν. Εἰ γὰρ τὴν πρὸς τὰ φοβερώτατα ἀγωνίαν παίγνιον ὁ συνεθισμὸς ποιεῖ, ὡς ὀλίγου κερματίου χάριν αἱρεῖσθαί τινας αὐτὴν, πῶς οὐχ

tionem aliorum illustriorem reddit. Nam etiam sanos hominum animos, haud secus ac valentia corpora, indigere exercitationibus, in promtu est. Motio enim confirmat, ignavia vero labefacit, ut inquit Hippocrates. Cur? Quia, quæ suam perfectionem semper obtinent, et naturæ suæ convenienter semper agunt, ea suas agendi vires paratas semper atque in promtu habent: quæ vero non continenter ita agunt, exercitatione egent ad imitationem perpetuæ motionis; ne per ignaviam oblita actionis, et velut emortua, cum tempus necessitasque postularit, suo muneri desint. Quod enim alias actuosum, alias otiosum est, id, quoniam hoc ei propter virium remissionem accidit, actione confirmandum est.

Omnis autem exercitatio iisdem rebus perficitur, quibus principalis actio, ad quam exercemur. Nam exercitatio ad luctam, jugi luctatione fit; ad cestum, crebro dimicando, et verberibus adsuescendo. Sic etiam ad bellum exercebere, si collusor hostem imitetur: quoque ii, qui tecum exercentur, majores robustioresque fuerint, eo magis exercitatio metam suam attinget. Itaque si quis ad id etiam exerceatur, ut voluptatem contemnat; eum, cum rebus jucundis congrediendo, ad earum contemtum adsuescere necesse erit: si ad ferendum molestiam, opus est ut molestias suscipiat: si ad timorem, ut in res timendas se conjiciat: si ad cruciatus, ut nobilium Lacedæmone adolescentum flagellationis certamen æmuletur, et omnes eas exercitationes doloris plenas, quæ ad id certamen referuntur; aut Salustium, qui nostra ætate vivum carbonem femori impositum sufflando periculum faciebat, quam diu ardorem illum tolerare posset. Nam exercitationes a principalibus actionibus ipso genere non differunt, sed paulo majore facilitate, et desinendi, cum nobis visum fuerit, facultate.

Quoniam igitur, qui humanos animos in hanc vitam demittit Deus, vires etiam eis addidit, quibus instructi absque noxa uti rebus terrenis, tam adlicientibus, quam terrentibus, easque superare possent: eas vires exercens idem Deus, ne per ignaviam laxiores et remissiores fierent, neve tempore usum earum postulante cessarent, certamina sæpe proponit animis. Neque Hercules, aut Theseus, aut Diogenes, aut Socrates, in tales viros evasissent; nec, humanæ virtutis magnitudo quousque progredi posset, eluxisset; nisi et illos cum bestiis immanioribus et sceleratis hominibus commisisset, et hos summa victus tenuitate ad vitam naturæ consentaneam compulisset. Et est illud quoque attentis non obscurum, eos qui res adversas generose pertulerint, fortiores evadere in posterum. Si enim congressum cum rebus maxime formidabilibus adsuefactio ludum et jocum facit, ut in ejusmodi certamen nonnulli ob exiguam stipem ultro descendant; quo pacto fieri potest, quin rerum leviorum

ἂν ἐν τοῖς μετριωτέροις ἡ γυμνασία παρασκευάσοι καταφρονεῖν τῶν δυσχερῶν τοῖς ἀγυμνάστοις δοκούντων;

Εἴτε οὖν ὡς θεραπεία νοσούντων, εἴτε ὡς γυμνασία ὑγιαινόντων προσάγεται ταῖς ψυχαῖς τὰ δυσχερῆ ταῦτα καὶ ἐπίπονα δοκοῦντα, οὐκ ἂν εἴη κακὰ αὐταῖς. Ἐπεὶ οὕτω γε καὶ τοῖς σώμασι τὸ ἰατρεύεσθαι, καὶ γυμνάζεσθαι, ἐπίπονα ὄντα, καὶ κακὰ ἂν λέγοιμεν. Κατ' ἀξίαν δὲ πάντως γινόμενα τήν τε τῆς φύσεως καὶ τὴν τῆς προαιρέσεως, οὐκ ἂν εἴη κακά. Τὸ γὰρ κατ' ἀξίαν, δίκαιον· τὸ δὲ δίκαιον, ἀγαθόν. Ἀλλ' οὐδὲ τοῖς σώμασιν, ὡς σώμασιν ἀναισθήτοις καθ' αὑτὰ οὖσι, κακόν ἐστι τὸ τέμνεσθαι ἢ καίεσθαι. Ἡ γὰρ εἰς τὰ ἁπλᾶ ἀνάλυσις οὐ κακὸν τῷ συνθέτῳ. Εἰ οὖν τὴν τῶν σωμάτων ἰατρικὴν, γυμνάζουσαν, καὶ καίουσαν, καὶ κατατείνουσαν, καὶ μόρια ἀποκόπτουσαν, καὶ τὰ αὐτὰ τοῖς ἀφειδῶς κολάζουσιν ἀνθρώποις ποιοῦσαν, οὐ κακὸν λέγομεν, ἀλλ' ἀγαθὸν, καὶ χάριν καὶ μισθὸν τελοῦμεν τοῖς ἰατρεύουσι· διὰ τί τὴν τοῦ θεοῦ ἰατρείαν οὐκ ἀγαπῶμεν; οὐ γὰρ θυμῷ, οὐδὲ ἀμυντικῶς, οὐδὲ παρ' ἀξίαν, οὐδ' ἐπὶ βλάβῃ ποιεῖ τι τούτων ὁ θεός· ἀλλ' ἰατρικῶς, καὶ κηδεμονικῶς, καὶ πατρικῶς, καὶ ἐπὶ μεγίστῃ ὠφελείᾳ· καὶ ἀρκεῖ φάναι, κατὰ τὴν θείαν ἀγαθότητα.

Πολυειδὴς δέ ἐστιν ἡ τοῦ θεοῦ ἰατρική. Τοὺς μὲν νόσοις, ἢ πενίᾳ, ἢ ἀτιμίαις· τοὺς δὲ λοιμοῖς, ἢ σεισμοῖς, ἢ ἐπικλύσεσιν, ἢ ναυαγίοις, ἢ πολέμοις, ἢ ἀνθρωπίναις κολάσεσιν ἰατρεύουσα. Οὐ κακὰ οὖν, ἀλλὰ ἀγαθὰ ταῦτα· εἴπερ τὸ ἰατρεύεσθαι ἀγαθόν. Εἰ δέ τις ταῦτα μὴ ἀξιοῖ καλεῖν ἀγαθὰ, διὰ τὸ μὴ εἶναι προηγουμένως αἱρετὰ, οἷα χρὴ τὰ κυρίως ἀγαθὰ εἶναι, μὴ κακὰ εὐθὺς αὐτὰ καλείτω, ἀλλ' ἀναγκαῖα πρὸς τὴν τοῦ ὄντως ἀγαθοῦ κτῆσιν· πρὸς ἣν ἐξ ἀνάγκης τούτων δεόμενοι, αἱρούμεθα αὐτὰ δι' ἐκείνην. Καὶ γὰρ τομὰς καὶ καύσεις ἰατρικὰς, καὶ τὰ τοιαῦτα, οὐδεὶς αἱρεῖται προηγουμένως· ἀλλὰ τῆς ὑγείας ἐφιέμενοι αἱρούμεθα αὐτὰ, ἧς ἀνάγκη διὰ τούτων τυχεῖν. Καὶ καλῶς ἀναγκαῖα ταῦτα κεκλήκασιν οἱ σοφοὶ, ἅπερ ἀνάγκη πάντη προσληφθῆναι, εἰ μέλλοι τὸ ἀγαθὸν ἀποφαίνεσθαι· ἀγαθὰ μὲν ὄντα καὶ αὐτὰ, εἴπερ πρὸς ἀγαθὸν συντελεῖ, τὰ μὲν πρὸς σωματικὴν ὑγείαν, τὰ δὲ πρὸς ψυχικήν· ὑφειμένα δὲ τῶν προηγουμένων ἀγαθῶν· πρὸς ἃ παραβάλλοντες αὐτὰ οἱ πολλοὶ, κακὰ νομίζουσι, κακῶς οἶμαι περὶ τούτων φρονοῦντες, εἴπερ ἀνάγκη τοῦ ἀγαθοῦ διὰ τούτων ἡμᾶς τυγχάνειν.

Εἰ τοίνυν καὶ τὰ ὑπὸ τοῦ ἀποροῦντος προταθέντα λέλυται, καὶ πάντα τὰ γινόμενα καὶ κατ' ἀξίαν γίνεται, τὰ μὲν τῆς φύσεως, τὰ δὲ τῆς προαιρέσεως, καὶ ἐπ' ὠφελείᾳ γίνεται ὑπὸ τοῦ θεοῦ· δῆλον, ὅτι πᾶς εὖ φρονῶν καὶ θέλοι ἂν γίνεσθαι τὰ γινόμενα, (εἴπερ μὴ φθονεῖ τοῖς δικαιουμένοις τε καὶ ἰατρευομένοις,) καὶ τὸν τοιοῦτον ἰατρὸν σέβει, καὶ τιμᾷ, καὶ φιλεῖ γνησίως, καὶ εὐεργέτην ὁρίζεται.

Ἀλλ', ὅτι μὲν τὰ συμβαίνοντα ταῦτα δυσχερῆ τοῖς ἀνθρώποις ἰατρεῖαί τινές εἰσι, καὶ ὅτι τὸ ἰατρεύεσθαι

exercitatio efficiat, ut ea contemnantur, quæ inexercitatis permolesta videantur?

Quæ igitur difficultates et ærumnæ haberi vulgo solent, hæ quia sive ut curationes ægrotantium, sive ut valentium exercitationes animis adhibentur, mala eis esse non possunt. Alioqui eadem ratione et medicamenta et gymnasia, quæ sunt corporibus molesta, mala dicere oporteret: quæ tamen, si pro dignitate cum naturæ tum voluntatis fiant, mala utique non fuerint. Quod enim pro dignitate fit, justum est: quod justum, bonum. Ac ne corporibus quidem, qua corporibus, per se sensus expertibus, malum est secari aut uri. Nam composito in sua simplicia resolutio non est malum. Quod si igitur corporum medicinam, exercentem, urentem, intendentem, membra resecantem, et plane sævos carnifices imitantem, malum non dicimus, sed bonum; si gratiam etiam habemus medicis, et mercedem numeramus: cur in medicina Dei non adquiescamus? Neque enim iracunde, nec vindictæ cupiditate, nec præter meritum, neque nocendi caussa, quidquam horum facit Deus; sed instar medici et curatoris et parentis, et ad maximam utilitatem nostram, et (quo uno verbo rem complecti totam licet) pro sua divina bonitate.

Multiformis autem est Dei medicina; ut qui alios morbis, inopia, ignominia; alios pestilentia, terræ motu, inundatione, naufragio, bello; alios pœnis ab hominibus inflictis ad sanitatem reducat. Non sunt hæc igitur mala, sed bona; siquidem medicinam adferre bonum est. Si quis est autem, qui hæc dicenda esse bona haud censeat, quod non præcipuo loco sint expetenda, qualia esse ea oportet, quæ proprie bona sunt; non continuo mala vocet ea, sed res ad consequendum verum bonum necessarias, cujus caussa illis necessario indigemus, atque adeo propter illud has amplecti debeamus. Nam et sectiones et ustiones medicas, et id genus alia, nemo præcipue spectat: sed desiderio sanitatis illa eligimus, quam per ea consequi necesse habemus. Ac recte illa Necessaria vocarunt sapientes, quæ omnino necesse est adhiberi, si bono potiri studeamus: quæ quidem et ipsa bona sunt, siquidem ad bonum conducunt; illa ad valetudinem corporis, hæc ad animi sanitatem; inferiora tamen principalibus bonis: cum quibus ea vulgo conferentes, mala existimant, male utique sentientes; siquidem per hæc consequi ea quæ bona sunt, est necesse.

Profligatis igitur dubitationibus propositis, si, quæcumque fiunt, et pro dignitate fiunt, partim naturæ, partim consilii, et utilitatis caussa fiunt a Deo; dubio procul quivis cordatus homo et *volet* ea *fieri quæ fiunt*, (nisi invideat iis quibus jus suum tribuitur, aut medicina adhibetur,) et talem medicum colet, venerabitur, sincereque diliget, et bene eum de hominibus mereri statuet.

At eas quidem, quæ objiciuntur hominibus difficultates, esse quasdam medicinas, et esse eam medicationem bonum

τοῖς δεομένοις καὶ ψυχῇ καὶ σώματι ἀγαθόν ἐστι, συγχωρήσειεν ἄν τις, ὡς οἶμαι· αὐτὸ δέ τοι τὸ νοσεῖν, καὶ κατὰ ψυχὴν, καὶ κατὰ σῶμα, καὶ δεῖσθαι τοιαύτης ἰατρείας ἐπιπόνου τε καὶ ὀδυνηρᾶς, τοῦτο τίς ἂν ἀγαθὸν, καὶ οὐχὶ κακὸν, καὶ τὸν αἴτιον αὐτοῦ κακοῦ νομίζοι αἴτιον; Ἢ πάλιν τὰ αὐτὰ λέγειν ἀνάγκη; ὅτι ἡ μὲν τοῦ σώματος νόσος οὔτε αὐτῷ τῷ σώματι κακόν ἐστιν, εἴπερ καὶ φύσιν ἔχει τοιαύτην, καὶ πρὸς διάλυσιν ὁρᾷ τοῦ συνθέτου, καὶ ἀπόδοσιν τῶν ἁπλῶν εἰς τὰς οἰκείας ὁλότητας, καὶ ἀπαλλαγὴν αὐτῶν καὶ ἐλευθερίαν τῆς τε ἐν ἀλλοτρίῳ τόπῳ διαγωγῆς, καὶ τῆς πρὸς τὰ ἀντικείμενα μάχης. Ἀλλ' οὔτε τῇ ψυχῇ κακόν ἐστιν ἡ τοῦ σώματος νόσος, εἴπερ ἰατρεία οὖσα τῆς ψυχῆς δέδεικται, καὶ φαίνεται πολλαχοῦ ἐναργῶς αὐτή. Κἂν ἐπιβλαβὴς δὲ τῷ μερικῷ σώματι ἡ νόσος ἦν, καὶ ἡ φθορὰ αὐτῆς, ὠφέλιμος δὲ οὖσα ἐφαίνετο τῇ τε τοῦ χρωμένου ψυχῇ, καὶ τῇ τοῦ παντὸς συστάσει τῶν ἐν αὐτῷ στοιχείων, καὶ τῷ ἀπεράντῳ τῆς γενέσεως κύκλῳ, διὰ τοῦτο ἐπ' ἄπειρον προϊόντι, διὰ τὸ τὴν ἄλλου φθορὰν ἄλλου γένεσιν εἶναι· κατεφρόνησεν ἂν ὁ ἄριστος διοικητὴς τοῦ φθαρτοῦ τὴν φύσιν, καὶ μερικῆς καὶ χείρονος φθορᾶς, διὰ τὸ κρεῖττον καὶ τὸ ὅλον, καὶ τὸ ἀνέκλειπτον τῆς γενέσεως.

Ἀλλ' ἡ τῆς ψυχῆς γε νόσος, φαίη τις ἂν, οὔτε αὐτῆς ἀγαθόν ἐστι τῆς νοσούσης ψυχῆς, οὔτε πρὸς τὸ ὅλον τι λυσιτελεῖ· ὥστε τὴν νόσον αὐτῆς κακοῦ τινος αἴτιον εἶναι· καὶ ὁ θέλων κακύνεσθαι αὐτὴν καὶ νοσεῖν κακὸς ἂν εἴη· καὶ ἡ ἀπορία ἡ αὐτὴ δόξει μένειν. Τί οὖν τὸ αἴτιον τῆς νόσου καὶ κακίας τῇ ψυχῇ, ἐκ τῶν πρότερον περὶ τοῦ ἐφ' ἡμῖν καὶ τοῦ οὐκ ἐφ' ἡμῖν ῥηθέντων ἀναμνησθῶμεν· ὅτι τὸ μὲν ἀγαθὸν τῆς ψυχῆς ἐν τῷ κατὰ φύσιν ὀρέγεσθαι καὶ ἐκκλίνειν ἐστίν· τὸ δὲ κακὸν ἐν τῷ παρὰ φύσιν. Ἡ δὲ ὄρεξις καὶ ἡ ἔκκλισις δέδεικται, ὡς οἶμαι, ἐφ' ἡμῖν οὖσα· ὥστε ἡμεῖς ἑαυτοῖς αἴτιοι καὶ τῆς ἀρετῆς ἐσμεν, καὶ τῆς κακίας. Διὸ καὶ ἐπαινοῦνται οἱ σπουδαῖοι, ὡς τὸ ἀγαθὸν δι' οἰκείας αἱρέσεως ἔχοντες, ὅπερ διὰ τοῦτο Ἀρετὴ καλεῖται· καὶ οἱ μοχθηροὶ διὰ τοῦτο μεμπτοί εἰσιν, ὡς κύριοι μὲν ὄντες τοῦ μὴ τοιοῦτοι εἶναι, διὰ δὲ ῥαθυμίαν γενόμενοι μοχθηροί. Ὡς εἴ γε ἔξωθεν ἐνετίθετο ταῦτα, οὐκέτι προαίρεσις ἀγαθὴ ἦν, ἢ κακὴ, ἀλλὰ τύχη τις καὶ ἀνάγκη. Θεὸς οὖν καὶ ἐνταῦθα κακίας ἀναίτιος.

Μήποτε δὲ οὐδὲ ἡ τῆς ψυχῆς νόσος καὶ κακία λεγομένη ἁπλῶς κακόν ἐστιν, ἀλλ' ἔχει τι καὶ αὐτὴ ἀναγκαῖον πρὸς τὴν τῆς ἀνθρωπίνης ἀρετῆς ὑπόστασιν; Ὡς γὰρ ἡ ὑγεία τῶν ἐνταῦθα σωμάτων οὐκ ἂν ἦν αὕτη ὑγεία, εἰ μὴ καὶ μᾶλλον νοσεῖν ἐπεφύκει ταῦτα τὰ σώματα, ἀλλ' ἦν ἂν ἀκήρατός τις διάθεσις, ἀναντίθετος οὖσα πρὸς νόσον, οἷά τις ἡ τῶν οὐρανίων ἐστίν· οὕτω καὶ αἱ τῶν ἀνθρωπίνων ψυχῶν ἀρεταὶ, σωφροσύνη, καὶ δικαιοσύνη, καὶ φρόνησις, καὶ ὁ ἄλλος ἅπας αὐτῶν χορὸς, οὗτος οὐ ἂν ἦν, εἰ μὴ καὶ κακύνεσθαι ἐπεφύκεσαν αἱ ψυχαί· ἀλλ' εἶχον ἂν ἀρετάς τινας ἀγγελικὰς, ἢ θείας, οὐ μέντοι γε ἀνθρωπίνας. Αὗται γὰρ τοιαῦται

his qui ea egent, et animis, et corporibus, quilibet, (ut opinor,) concesserit. Ipsam vero seu animi seu corporis ægrotationem, et medicationis tam molestæ et dolorificæ necessitatem, quis bonum, nec vero malum, adeoque ejus auctorem, mali auctorem non existimet? An igitur iteranda eadem ista mihi? corporis morbum nec ipsi corpori esse malum, cum et tali natura illud sit præditum, et morbus ad compositi spectet dissolutionem, et restitutionem simplicium suis totis, eorumque discessum et liberationem ab habitatione alieno in loco et pugna contrariorum: nec vero animo malum esse corporis morbum; siquidem medicationem illius esse demonstratum est, et multis modis per se adparet. Atqui, si morbus uni corpori esset noxius, ejusque interitus, sed expedire constaret animo utentis, et compagi universitatis elementorum, ex quibus illud compositum est, et irrequietæ generationis circulo per hoc ipsum in infinitum progredienti, quod unius interitus ortus est alterius; consequens fuerit, ut optimus ille administrator id quod sua natura corruptibile est, et interitum partis reique deterioris, ob præstantius et ob totum et ob universæ generationis perpetuitatem contemserit.

At, dicas, animi certe morbus, neque ipsi prodest, neque universitati quidquam confert: est igitur animi morbus mali alicujus caussa: et, qui depravari animum et ægrotare vult, malus fuerit. Adeoque eadem manere dubitatio videbitur. Quæ ergo morbi et malitiæ caussa sit animo, ex iis, quæ prius de rebus nostri et alieni arbitrii dicta sunt, recordemur: animi bonum in eo situm esse, ut secundum naturam adpetat et declinet; malum in eo quod sit contra naturam. Adpetitionem autem et declinationem in nobis sitas esse, demonstratum arbitror: quare ipsi nobis et virtutis caussa et vitii sumus. Unde fit, ut et boni viri laudentur, ut qui bonum suo arbitratu sint consecuti, unde Virtus ipsa nomen habere videtur: et reprehendantur improbi, ut qui, cum ipsorum fuerit in potestate non fieri tales, ex socordia improbi evaserint. Nam si hæc extrinsecus insererentur, voluntas bona aut mala esse desineret, in ejusque locum casus et necessitas succederet. Deus igitur ne hic quidem ullius auctor mali reperietur.

Quid vero si ne ipse quidem morbus animi, qui pravitas dici solet, per se et sine exceptione malum est; sed et ipse habet aliquid ad humanæ virtutis constitutionem necessarium? Ut enim sanitas humanorum corporum talis sanitas non esset, nisi natura eorum magis etiam ferret ut ægrotarent; sed habitudo quædam foret pura et illibata, quæ morbo non esset opposita, cujusmodi cœlicolarum est: sic etiam humanorum virtutes animorum, modestia, justitia, prudentia, et omnis reliquus earum cœtus, non exsisteret, nisi animorum ea natura esset, ut depravari possent. Alioqui enim virtutibus præditi essent angelicis, ac potius divinis, non humanis: quæ quidem tales sunt, ut etiam ad

τὴν φύσιν εἰσὶν, ὡς καὶ εἰς κακίαν παρατρέπεσθαι. Εἰ τοίνυν ἀγαθαί εἰσιν αἵ τε ἀνθρώπιναι ἀρεταὶ, καὶ σωματικὴ ὑγεία, καὶ ἔδει μὴ τὰ πρῶτα μόνον ἢ ἀκήρατα ἀγαθὰ ἀπὸ τῆς τοῦ ἀγαθοῦ πηγῆς ὑποστῆναι, ἀλλὰ καὶ τὰ μέσα καὶ τὰ ἔσχατα· ἀναγκαῖον ἦν τῶν παρατρεπομένων ἀγαθῶν καὶ τὰς παρατροπὰς οὐχ ὑποστῆναι, (οὐδὲ γὰρ ἔχουσι προηγουμένην ὑπόστασιν,) ἀλλὰ παρυποστῆναι τοῖς οὖσι.

Καὶ ὅρα τὴν ὑπερβολὴν τῆς θείας ἀγαθότητος, ὅτι τὴν μὲν τοῦ σώματος φθορὰν, κἂν σκιᾶς δίκην, ὡς εἶπον, τῇ κινήσει τῶν αἰτίων ἐξ ἀνάγκης συμπεριτρέπεται, ἀλλ' ἀγαθὰ εἶναι ἐποίησε καὶ τοῖς νοσοῦσιν αὐτοῖς καὶ φθειρομένοις σώμασι, κατὰ τὴν εἰς τὰ ὅλα στοιχεῖα ἐνάπλωσιν καὶ τὸν ἐκνεασμὸν, καὶ ταῖς χρωμέναις ψυχαῖς, δι' αὐτῶν ἰατρευομέναις, καὶ τῷ ὅλῳ γεννητῷ, πρὸς τὴν ἐπ' ἄπειρον, ὡς εἴρηται, διαμονήν. Τῆς δὲ ψυχικῆς κακίας, τῆς μόνης φανείσης ὁπωσοῦν κακίας, ἑαυτὸν ἐξεῖλε· πρῶτον μὲν, ὡς ἀναγκαῖον αὐτὸ πρὸς τὸ ἀγαθὸν, καὶ οὐχ ὡς κακὸν, συγχωρήσας τοῖς οὖσι παρυποστῆναι· ἔπειτα, καὶ αὐτὸ τοῦτο τῇ βουλήσει πάντως κελεύσας ἕπεσθαι τῆς ψυχῆς, καὶ μηδέποτε εἰς τὰ ὄντα παρελθεῖν, εἰ μὴ ἐκείνη θέλοι. Διὸ τὰ ἀκούσια, ὡς οὐκ ὄντα κακὰ, καὶ ὑπὸ θεοῦ συγγινώσκεται, καὶ ὑπὸ τῶν νόμων.

Καὶ ἔστι καὶ τῇ ψυχῇ ἀκούσιόν πως τὸ κακόν. Οὐδὲ γὰρ ὡς κακὸν αἱρεῖταί ποτε κακὸν ἡ ψυχή· ἀλλ' ὡς ἀγαθῶν τινῶν ὀρεγομένη, ποτὲ μὲν χρημάτων, ποτὲ δὲ σωματικῆς ἀπολαύσεως, ἢ δυναστείας, ἢ τιμῆς, τὸ συνὸν τούτοις βλαβερὸν ἢ οὐχ ὁρᾷ ὅλως, ἢ κατανωτίζεται, ὑπὸ τῆς τῶν ἐρωμένων βιαζομένη ὀρέξεως. Οὕτω πανταχόθεν ἐκβέβληται τὸ τελέως κακὸν ἀπὸ τῶν ὄντων. Καὶ μᾶλλον ἂν εἴη τὸ μηδαμῶς ὂν, ἤπερ τὸ τελέως καὶ αὐτεξουσίως κακὸν τῆς ἀνθρωπίνης ψυχῆς παρυφίστασθαι.

Εἰ δέ τις αἴτιον νομίζει τοῦ κακοῦ τὸν θεὸν, ὡς τὴν αὐτεξούσιον ψυχὴν ὑποστήσαντα, ἧς ἀποτυχία τὸ κακόν ἐστιν· εἰ μὲν κακόν ἐστιν ἡ αὐτοκίνητος καὶ αὐτεξούσιος τῶν ψυχῶν οὐσία, κακοῦ λέγειν αἴτιον ἀνάγκη τὸν ταύτην ὑποστήσαντα· εἰ δ' ἀγαθόν ἐστι, καὶ πολλῶν τῶν ἐν τῷ κόσμῳ ἀγαθῶν μεῖζον καὶ τιμιώτερον, πῶς ἂν εἴη κακοῦ αἴτιος ὁ τὸ ἀγαθὸν ὑποστήσας; Ἐπεὶ οὖν ἐστὶ τὸ κατὰ φύσιν αἱρετόν τε καὶ ἐφετὸν εἶναι, τίς ἂν ἕλοιτο ἀνθρώπων, καὶ τῶν τῆς ἀνθρωπίνης ἀρετῆς συναισθομένων, φυτὸν εἶναι μᾶλλον, ἢ ὁτιοῦν τῶν ἀλόγων ζώων, ἤπερ ἄνθρωπος; καίτοι καὶ τὰ φυτὰ, καὶ τὰ ἄλογα, ἀγαθὰ λέγομεν, ἐν τάξει τινὶ τοῦ ἀγαθοῦ, καὶ τῇ πρὸς ἄλληλα ὑφέσει περάτων ἀφωρισμένων. Εἰ δὲ καὶ ἐφ' ἡμῖν ἐστι τὸ ἀγαθοῖς ἢ κακοῖς εἶναι, καὶ τούτου τὴν ἐξουσίαν ἡμεῖς ἔχομεν, καὶ ἡμῶν οὔτε τι ἀναγκάσαι οὔτι κωλῦσαι δύναται τὴν αἵρεσιν καὶ τὴν ἔκκλισιν, ἡ μὲν οὐσία αὕτη καὶ ἡ δύναμις ἡ αὐτεξούσιος σεμνή τις ἐστὶν, ἐμοὶ δοκεῖ, καὶ μεγαλοπρεπὴς καὶ ἀρχική· καὶ ὁ ταύτην ὑποστήσας ἀγαθός τις καὶ δυνατός ἐστιν. Εἰ δὲ αὐτή ποτε δι' ἑαυτὴν παραφέ-

vitium detorqueri possint. Si igitur bonæ sunt humanæ virtutes, si bonum est valetudo prospera corporis; denique, si non prima tantum et incorruptibilia bona promanare a fonte boni oportebat, sed et media et ultima; necesse erat, ut eorum quoque bonorum, quæ depravari possent, depravationes non exsisterent quidem, (neque enim essentiam principalem habent,) sed tamen iis, quæ exsisterent, accessionis vice adjunctæ essent.

Et consideranda hoc loco est divinæ bonitatis excellentia, quæ et corporis corruptionem, quod umbræ instar, ut dixi, una cum caussarum motu necessario circumagitur, effecerit ut multis modis bonum fieret, cum ipsis ægris caducisque corporibus, quæ in sua elementa resolvuntur, ut deinde renovari possint; tum animis, quorum instrumenta sunt corpora, qui per eam sanantur; denique toti huic mundo, ad perpetuam ejus durationem. A culpa vero pravitatis animi, quam solam utcumque malum esse vidimus, pro eadem sua bonitate, immunem se præstitit Deus; primum eo, quod illam ut ad bonum necessariam, non ut malum, accedere quodammodo ad ea quæ exsisterent, passus est: deinde, quod illam ipsam voluit in potestate esse animi, nec umquam in rerum naturam penetrare, nisi ille vellet. Quamobrem involuntariis, ut quæ mala non sint, tam a Deo, quam a legibus, ignoscitur.

Est vero etiam ipsi animo involuntarium quodammodo malum. Neque enim umquam malum tanquam malum amplectitur animus: sed, ut bona quædam, alias pecuniam, alias voluptatem corporis, aut potentiam, aut honorem, adpetit: noxam vero his adjunctam aut plane non videt, aut negligit, cupiditate amatarum rerum subactus. Sic undecumque ejectum est e rerum natura perfecte malum. Ac facilius concedi possit, esse id quod nullo modo sit, quam perfectum et arbitrarium aliquod humani animi malum exsistere.

Si quis vero Deum mali auctorem existimet, ut qui hunc animum libera voluntate præditum procreaverit, cujus aberratio a recta via malum est: siquidem proprio motu prædita et libera natura animorum malum est, mali dicere auctorem necesse est hujus conditorem: sin bonum est, et quidem multis bonis quæ in mundo sunt majus et excellentius; qui queat mali auctor esse is, bonum qui condiderit? Quod si ergo verum est, quod secundum naturam sit, et optabile et expetendum esse; quis mortalium, qui quidem humanam virtutem intellexerit, stirps aut quodlibet brutum animal, quam homo, esse malit? quamvis et stirpes et bruta animantia bona esse dicimus, certo nimirum ordine boni, et finibus ita constitutis, ut aliud alii se submittat. Si vero etiam situm in nobis est, ut vel boni simus, vel mali; si in nostro arbitrio id positum, neque quidquam est quod nostram vel voluntatem vel declinationem ulla ex parte vel cogere vel prohibere possit: hæc talis natura et vis libertatis, meo judicio, præclara res est, et magnifica, et principalis; atque illius auctor bonitate et potentia præstat. Si igitur animus per sese aberrarit, cum, ne aberraret, penes ipsum esset; quis

ροιτο, κυρία οὖσα τοῦ μὴ παρενεχθῆναι, τίς ἂν ἄλλος τῆς παραφορᾶς αἴτιος λέγοιτο δικαίως ἢ αὐτὴ ἡ ψυχή, ἀρχή τις οὖσα καὶ αἰτία τοῦ τε ἀγαθοῦ, καὶ τῆς παρατροπῆς αὐτοῦ; καὶ ἀπ' αὐτῆς ἔχει τὴν ἀρχὴν ἡ παρατροπή· τὸ γὰρ ὑποστῆσαν αὐτὴν αἴτιον οὐχ ἁπλῶς παρατρεπομένην ὑπέστησεν, ἀλλ', ἐὰν αὐτὴ θέλῃ, ἀπαράτρεπτον μένουσαν. Εἰ οὖν ἡ θέλησις αὐτῆς ἐστι τῆς ψυχῆς ἔνδοθεν οὖσα κίνησις, αὐτὴ ἂν εἴη αἰτία ἑαυτῇ τῆς παρατροπῆς. Καὶ ὅρα τὴν τοῦ θεοῦ μηχανήν. Ἐπειδὴ γὰρ ἔδει μεταξὺ τῶν ἀεὶ ὄντων ἄνω, καὶ τῶν ἀεὶ ὄντων κάτω, γενέσθαι τὰ μέσα, τὰ ποτὲ μὲν τοῖς ἄνω, ποτὲ δὲ τοῖς κάτω ὁμοιούμενα, καὶ συνδέοντα τὰ ἄκρα πρὸς τὴν τοῦ παντὸς τελειότητα· ἡ δὲ πρὸς τὰ κάτω ῥοπὴ παρυφισταμένην ἔχει παρατροπήν· δύναμιν ἐνδέδωκε τοιαύτην τοῖς μέσοις τούτοις, ὥστε ἀπαράτρεπτα μένειν ἕως ἂν βούλοιντο, καὶ πανταχόθεν αὐτὸς εἴη τῆς ὁποιασοῦν κακίας ἀναίτιος.

Ἀλλὰ ταῦτα μέν, ἐπὶ πλέον μηκυνθέντα, οὐ μόνον πρὸς τὸν Ἐπικτήτου ῥηθέντα νῦν λόγον ἁρμόζει, ἀλλὰ καὶ πρὸς τὸν περὶ τῆς τοῦ κακοῦ ὑποστάσεως, ὃν μετ' ὀλίγον διδάσκει. Ἐπεὶ πρός γε τὸ παρὸν ἀρκεῖ καὶ τοῦτο οἶμαι ῥηθέν, ὅτι, ὅταν λέγῃ ὁ Ἐπίκτητος, « Θέλε γίνεσθαι τὰ γινόμενα ὡς γίνεται, » οὐ περὶ τῆς ψυχικῆς λέγει κακίας, (οὐ γὰρ ἂν εὐροεῖν ἔλεγε τοὺς τῇ κακίᾳ τῇ ἑαυτῶν καὶ τῇ τῶν ἄλλων ἀρεσκομένους,) ἀλλὰ περὶ τῶν εἰς τὸ σῶμα καὶ τῶν ἐκτὸς συμβαινόντων· οἷς δύναται ὁ πεπαιδευμένος, ὁποῖά ποτ' ἂν ᾖ, καλῶς χρήσασθαι, καί, ὅσῳ ἂν ᾖ σκληρότερα, τοσούτῳ μᾶλλον ὑπ' αὐτῶν ὠφεληθῆναι. Καὶ γὰρ ἐκεῖνά ἐστι « τὰ γινόμενα », ἅπερ ἀπαιδεύτως ζητοῦμεν ἀκολουθεῖν ταῖς ἡμετέραις ὀρέξεσί τε καὶ ἐκκλίσεσιν· ἀλλ' οὐχὶ αἱ ὀρέξεις αὗται καὶ ἐκκλίσεις, ἐν αἷς τὸ ἀγαθὸν ἡμῶν καὶ τὸ κακόν· αὗται γὰρ ἐφ' ἡμῖν εἰσιν, ὡς βουλόμεθα. Τὰ δὲ οὐκ ἐφ' ἡμῖν συμβουλεύει μὴ ζητεῖν γίνεσθαι ὡς θέλομεν, ὅτι μήτε κύριοι τούτου ἐσμέν, μήτε ἀεὶ συμφερόντως ζητοῦμεν· τὰ μὲν ἡδέα πολλάκις, κἂν βλαβερὰ τυγχάνῃ, ζητοῦντες γίνεσθαι· τὰ δὲ σκληρότερα, κἂν ὡς ἰατρεῖαι προσάγωνται, παραιτούμενοι.

[IN CAP. IX.] Εἰπὼν ὅτι τὸν βουλόμενον εὐροεῖν οὐ χρὴ ζητεῖν τὰ γινόμενα γίνεσθαι ὡς θέλει, ἀλλὰ θέλειν γίνεσθαι ὡς γίνεται· διὰ τούτων ἅμα μὲν τὸ προκείμενον ἐπιδείκνυσιν, ὅτι εὐφόρως δεῖ φέρειν τὰ ἀπὸ τῶν ἐκτὸς προσπίπτοντα δυσχερῆ· ἅμα δὲ ἔνστασιν, ὡς οἶμαι, λύει τινά. Καὶ ἡ μὲν ἀπόδειξις τοιαύτη τις φαίνεται· εἰ μὲν ἡμέτερα ἦν τὰ ἀπὸ τῶν ἐκτὸς προσπίπτοντα δυσχερῆ, ἔδει μὲν καὶ οὕτως, εἴπερ ὠφέλιμα ἦν, εὐκόλως φέρειν αὐτά, κἂν ᾖ δυσχερέστερα· εἰ δὲ μή ἐστιν ἡμέτερα, ἀλλὰ ἕκαστον ἄλλου τινός, τί δυσχεραίνομεν ἐπὶ τοῖς ἀλλοτρίοις; « Νόσος, σώματος ἐμπόδιον· » καὶ καλῶς ἐμπόδιον εἶπεν, ἀλλ' οὐχὶ κακόν· οὐ γὰρ κακὸν τῷ σώματι ἡ νόσος, οὐδὲ ἡ φθορά, ὡς δέδεικται πρότερον, ἀλλ' ἐμπόδιον τῶν ἐνεργειῶν αὐτοῦ· καὶ χώλανσις, ἣν αὐτὸς εἶχεν Ἐπίκτητος· (διὸ καὶ ἀπὸ ζωῆς, ἀλλ' οὐκ ἀπὸ γλώσσης

alius aberrationis illius auctor dicatur jure, nisi ipse animus, qui principium et caussa est tam boni quam aversionis a bono? Atqui ab ipso animo principium aversionis ducitur: nam, qui eum procreavit, non simpliciter talem fecit qui averteretur; sed talem, qui, si ipse vellet, incorruptus maneret. Si ergo voluntas est ipsius animi motus internus, ipse sibi caussa fuerit aversionis. Ac observa Dei solertiam. Nam cum in medio eorum, quæ semper sursum, et quæ semper deorsum sunt, quædam exsistere oporteat media, quæ alias supernis, alias inferioribus adsimilarentur, et extrema in universi perfectionem devincirent; quum porro propensio ad inferiora, quæ eisdem simul cum propensione ad supera injecta est, ejusmodi sit, ut averti a recto queat; eam vim mediis hisce naturis impertivit Deus, ut, quoad ipsæ vellent, incorruptæ manerent, et ipse omni ex parte cujuslibet mali vel pravitatis culpâ vacaret.

Atque hæc prolixius tractata, non ad ea solum pertinent, quæ nunc ab Epicteto dicuntur; sed ad ea quoque declaranda, quæ de mali ortu et caussa paulo post idem docebit. Nam in præsentia quidem hoc utique satis fuerit ut teneamus: cum dicit Epictetus, *Velis ea quæ fiunt, ita fieri ut fiunt*, non loqui eum de animi improbitate, (neque enim ille dixerit, *bene agi* cum illis, qui sua et aliorum improbitate delectentur,) sed de iis, quæ corpori et rebus externis accidunt: quibus homo disciplina imbutus, cujuscumque fuerint modi, recte uti potest, et quo duriora fuerint, eo fructum ex his capere uberiorem. Nam illa sunt *ea quæ fiunt;* quæ nos imperite volumus ut nostris adpetitionibus et declinationibus respondeant: non autem ipsæ adpetitiones et declinationes, in quibus bonum et malum nostrum est situm; hæ enim penes nos sunt, nostrique arbitrii. Quæ autem nostri juris non sunt, *ea* suadet, *ne postulemus fieri ut volumus;* quod id nec penes nos sit, nec perpetuo nobis expediat: ut qui sæpe ea, quibus delectamur, quamvis perniciosa, fieri cupiamus; asperiora vero, licet medicinæ loco adhibeantur, recusemus.

[IN IX.] Postquam dixit, qui res secundas sibi esse velit, eum non id operam dare oportere, ut, quæ fiunt, ita fiant ut ipse velit, sed ut ita fiant ut fiunt: nunc his verbis simul id quod propositum est, demonstrat, externarum rerum difficultates ferendas esse modice; simul, ut opinor, quiddam quod objici possit dissolvit. Ac demonstratio quidem hujusmodi fere mihi esse videtur: Siquidem ad nos pertinerent externæ difficultates; vel sic, quia nobis expedirent, æquis animis, licet acerbiores, fuerint perferendæ: si vero ad nos non pertinent, sed earum quælibet ad aliud quid pertinet a nobis diversum; quid moleste ferimus aliena? *Morbus, corporis est impedimentum.* Et recte *impedimentum* dixit, non malum: neque enim corpori malum est morbus aut interitus, ut prius est demonstratum, sed impedimentum actionum illius. Pariter *claudicatio*, qua ipse præditus fuit Epictetus; (quare et verba ejus non ex ore solum

φθέγγεται μόνον·) καὶ « ἡ χώλανσις οὖν σκέλους ἐστὶν ἐμπόδιον· » καὶ πενία, δαπάνης· « προαιρέσεως δὲ οὔ, εἰ μὴ αὐτὴ θέλει. » Εἰ μὲν οὖν σῶμα ἦμεν, ἢ σκέλος, ἢ χρήματα· ἡμῶν ἂν ἦν ταῦτα ἐμπόδιον. Εἰ δὲ τούτων μὲν οὐδὲν, ψυχὴ δὲ λογικὴ τῷ σώματι χρωμένη ὡς ὀργάνῳ, καὶ τοῖς ἐκτὸς εἰς ὑπηρεσίαν, τὸ δὲ ἀγαθὸν καὶ τὸ κακὸν, ἐν προαιρέσει [ὂν], οὐχ ἐμποδίζεται ὑπ' αὐτῶν· δῆλον, ὅτι οὐδὲ ἡμεῖς ἐμποδιζόμεθα, οὐδὲ ἡμῶν ἐστιν ἐμπόδιον τῶν ἔξωθεν προσπιπτόντων οὐδὲν, ἀλλ' ἕκαστον ἄλλου τινὸς, ὧν οὐδὲν ἡμεῖς ἐσμέν· οὐδὲ ὡς ἐπὶ οἰκείοις χρὴ δυσχεραίνειν αὐτοῖς· συμβαίνει γὰρ οὕτω τὴν προαίρεσιν ἐπ' ἀλλοτρίοις οἰκεῖον ἴσχειν κακὸν, τὴν δυσχέρανσιν. Οὕτω μὲν οὖν, οἶμαι, τὸ προκείμενον ἀποδέδεικται.

Ἔνστασιν δὲ λύει τινὰ ἀπὸ τοῦ συμφέροντος, ὡς οἶμαι, κατὰ τοὺς τῶν ῥητόρων δεινούς. Φαίη γὰρ ἄν τις, μηδὲ συμφέρον εἶναι τὸ νοσεῖν ἢ τὸ πένεσθαι. Τίς γὰρ νοσῶν δύναται τὰς κατὰ φύσιν ἐνεργείας ἀποδιδόναι; τίς δὲ πάνυ πενόμενος οὐχ ἀναγκάζεται τῷ πορισμῷ τῶν ἀναγκαίων προσκαρτερεῖν; Λύει οὖν ταύτην τὴν ἔνστασιν ἐκ τοῦ τὴν νόσον καὶ τὴν πενίαν καὶ τὰς τοιαύτας περιστάσεις μὴ εἶναι προαιρέσεως ἐμπόδια, καθ' ἣν οὐσίωται ἄνθρωπος, καὶ καθ' ἣν τὸ ἀγαθὸν καὶ τὸ κακόν. Τίς γὰρ κωλύει τὸν νοσοῦντα τὰ μὲν κατὰ φύσιν αὐτῷ αἱρεῖσθαι, τὰ δὲ παρὰ φύσιν ἐκκλίνειν; τί δὲ ἡ ἄκρα πενία ἠνάγκασε τῶν μὴ καλῷ καὶ ἀγαθῷ ἀνδρὶ πρεπόντων ποιῆσαι; οὐχὶ δὲ καὶ Διογένης, καὶ Κράτης, καὶ Ζήνων, τότε γνησίως ἐφιλοσόφησαν, καὶ τὸν κατὰ φύσιν ἥκοντα τοῖς ἀνθρώποις βίον, καὶ τὸν ἐν τῇ λιτότητι πλοῦτον, τότε μάλιστα τοῖς ὁρᾷν δυναμένοις ἐπεδείξαντο, ὅτε τὴν ἄκραν ἀκτημοσύνην ἀντὶ τῆς εὐπορίας ἠλλάξαντο; τίς γὰρ οὐκ ἀγαπᾷ τρέφειν τὸν τοιοῦτον, λαμβάνειν χάριν μᾶλλον ἤπερ διδόναι νομίζων; Καὶ τί νῦν ἄλλων δεόμεθα παραδειγμάτων; ὅτε αὐτὸς ὁ ταῦτα λέγων Ἐπίκτητος καὶ δοῦλος ἦν, καὶ τὸ σῶμα ἀσθενὴς, καὶ χωλὸς ἐκ νέας ἡλικίας, καὶ πενίαν ἀκροτάτην ἐπετήδευσεν, ὡς τὸ ἐν Ῥώμῃ οἴκημα αὐτοῦ μηδέποτε κλείθρου δεηθῆναι, ἅτε μηδὲν ἔνδον ἔχον, εἰ μὴ τὴν στιβάδα καὶ τὴν ψίαθον, ἐφ' ὧν ἐκάθευδε. Καὶ οὗτός ἐστιν ὁ λέγων, « Χώλανσις σκέλους ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ· » ἀπὸ ζωῆς προφέρων τοὺς λόγους, καὶ οὐχὶ τὰ ἐπαινεῖσθαι δοκοῦντα σπουδάζων λέγειν· ὅπερ οἱ πολλοὶ ποιοῦσιν ἡμῶν. Διὸ καὶ οὕτως εἰσὶ δηκτικοὶ τῶν εὐμοίρων ψυχῶν οἱ τοῦδε τοῦ ἀνδρὸς λόγοι.

[IN CAP. X.] Μεγάλα προτείνας τινὰ καὶ ἀδύνατα δοκοῦντα εἶναι πολλοῖς, ὡς τὸ τὴν νόσον τοῦ σώματος ὡς ἀλλότριον κακὸν περιπτύειν, καὶ θέλειν γίνεσθαι τὰ γινόμενα ὡς γίνεται· καὶ ὑπὸ μὲν τῶν ἡδέων τῶν προσπιπτόντων ἔξωθεν μὴ δελεάζεσθαι, ὑπὸ δὲ τῶν λυπηρῶν μὴ ταπεινοῦσθαι· εἰκότως προτίθεται δεῖξαι, ὅτι δυνατὰ ταῦτά ἐστι, καὶ οὐκ ἀδύνατα προσταττόμεθα. Καὶ δείκνυσιν, ὅτι ὁ τὴν ψυχὴν ποιήσας τὴν ἀνθρωπίνην, οὐκ ἀεὶ ἄνω πεφυκυῖαν μένειν, ὡς τὰς ἀγγελικὰς, καὶ ἔτι πρότερον

modo, sed ex vitæ instituto depromuntur :) *claudicatio* igitur, *pedis est impedimentum;* paupertas, impensæ; *non voluntatis, nisi ipsa velit.* Quod si igitur corpus essemus, aut pes, aut pecunia; nostrum ista essent impedimentum. Quia vero nihil horum sumus, sed animus rationis particeps, corpore pro instrumento utens, et rebus externis ad ministerium; et quia bonum et malum in voluntate situm, ab istis non impeditur : perspicuum est, ne nos quidem impediri, neque nostrum esse impedimentum quidquid extrinsecus acciderit, sed singula alterius alicujus, quorum nos nihil sumus; adeoque nec ob illa succensendum esse quasi nostra essent; quoniam ita futurum esset, ut voluntas ob res alienas proprio laboraret malo, ægritudine. Atque ita id, quod propositum erat, demonstratum esse arbitror.

Solvit autem objectionem, quæ ab Utili peti queat, ut rhetores dicunt. Dixerit enim aliquis : ægrotare, aut egere, non esse utile. Quis enim ægrotans muneribus naturæ fungi potest? quis in extrema inopia non cogitur quærendo victui invigilare? Hanc igitur objectionem solvit, docendo, morbum, paupertatem, et id genus incommoda, *non* esse *impedimenta mentis,* in qua et essentia hominis insit, et a qua cum bonum, tum malum pendeat. Quis enim vetat ægrotantem, naturæ suæ amplecti consentanea, declinare contraria? Extrema vero inopia, quid coegit umquam inopem suscipere quod esset bono viro indignum? Nonne et Diogenes et Crates et Zeno tum germane philosophati sunt, vitamque naturæ humanæ consentaneam, et tenuitatis divitias, oculatis quidem hominibus tum vel maxime demonstrarunt, quum copias et opes cum extrema inopia commutassent? Quis enim talem virum non lubens alat, accipere se potius quam dare beneficium existimans? Atque adeo, quid alia exempla requirimus? cum is ipse qui hoc dicit Epictetus, et servus fuerit, et infirmo corpore, et ab ineunte ætate claudus, et extremæ paupertatis ita studiosus, ut ejus domuncula Romæ nullis umquam claustris eguerit, ut in qua nihil esset præter lectulum et stoream in quibus dormiret. Et is est qui dicit, *Claudicationem pedi esse impedimentum, non voluntati, nisi ipsa voluerit;* orationem ex imo pectore proferens, nec in eo laborans, ut proferat quæ vulgo laudantur; id quod plerique facimus. Quare hujus viri sermones tantam etiam vim habent ad commovendos animos bene natos.

[IN X.] Magna quædam proposuerat, quæque multis non posse fieri videntur : cujusmodi est, morbum corporis, ut alienum malum, esse despiciendum; velle quemque debere, ut ea quæ fiunt, ita fiant ut fiunt; item, nec externarum rerum suavitatibus nos demulceri, neque molestiis affligi oportere. Merito igitur nunc ostendere instituit, fieri ista posse, nec negata esse naturæ humanæ quæ præstare jubeamur. Scilicet ostendit, cum ita conditus sit humanus animus, ut non semper supra maneat, quemadmodum angeli-

τὰς θείας, ἀλλὰ καὶ εἰς γένεσίν ποτε καταβαίνουσαν, καὶ τοῖς τοιούτοις ὁμιλοῦσαν, δυνάμεις ἔδωκεν αὐτῇ πρὸς ἕκαστα, καθ' ἃς δυνήσεται ἀβλαβὴς ὑπὸ τῶν τοιούτων διαβαίνειν καὶ ὑπερανέχειν αὐτῶν· πρὸς μὲν τὰ ἡδέα δοκοῦντα, ἐγκράτειαν. Καὶ οὐκ εἶπε σωφροσύνην, ἀλλ' ἐγκράτειαν· ἐπειδὴ πρὸς τοὺς ἔτι παιδευομένους ἐστὶν ἡ παραίνεσις· ἐφ' ὧν κινεῖται μὲν τὰ πάθη καὶ ἀμφισβητεῖ πρὸς τὸν λόγον, ἡττᾶται δὲ, ὅταν ἡ παιδεία ἀνύσιμος ᾖ. Καὶ τοῦτό ἐστι τὸ ἐγκρατὲς τῆς ζωῆς εἶδος· ὡς, ὅταν γε μὴ κρατήσῃ τοῦ πάθους ὁ λόγος, αὐτὸς ἡττώμενος, ἀκρατὴς ἡ διάθεσις λέγεται. Ἐπὶ δὲ τῶν τελέως πεπαιδευμένων τὸ παθητικὸν, ὅπερ ἐν ἡμῖν παιδικὸν καθέστηκε, τελέως καὶ ἀναμφισβητήτως ὑποκέκλιται τῷ λόγῳ, ὡς ὑπ' ἐκείνων κινεῖσθαι μόνον ὑφ' ὧν ὁ λόγος προστάξει, καὶ ὅτε, καὶ ἐφ' ὅσον. Καὶ ἔστι τοῦτο σωφροσύνη, σωτηρία καὶ ὑπεροχὴ τοῦ ἐν ἡμῖν φρονοῦντος. Μερίζεται γὰρ τοῦτο, τοῖς πάθεσιν ὑποκλινόμενον, καὶ διασπώμενον ὑπ' αὐτῶν· σῷον δὲ μένει καὶ ὁλόκληρον, ὑπερανέχον τῶν παθῶν.

Πρὸς δὲ τὰ ἐπίπονα καὶ τὰ λυπηρὰ τοῖς μὲν πεπαιδευμένοις ἀνδρεία πάρεστιν, οὐδὲ παρελθεῖν εἴσω τῶν τῆς ψυχῆς προθύρων συγχωροῦσα λύπην, ἀλλὰ τὰ ἐπίπονα πάντα, ὡς γυμνάσιον αὐτῇ προτεινόμενον, ἀλύπως καὶ ἀθλίπτως ἐκπονοῦσα· τοῖς δὲ παιδευομένοις, καρτερία, πρὸς τὰ συμβαίνοντα λυπηρὰ γεννικῶς ἀνθισταμένη, καὶ ποιοῦσα μὴ καταπίπτειν τὴν ψυχὴν, ἀλλὰ μάχεσθαι, καὶ ἀμύνασθαι τὰς τῆς λύπης πληγάς. Ἡ γὰρ ἔντονος τῆς καρτερίας ἀντίταξις τὸν μὲν λόγον ποιεῖ νικᾷν, τὸ δὲ πάθος ἡττᾶσθαι. Καὶ τούτου πολλάκις γινομένου μετὰ φρονήσεως, συνεθίζεται τὸ πάθος ὑπακούειν τῷ λόγῳ, καὶ μὴ ἀντιτείνειν, ἤδη πεπαιδευμένον. Καὶ οὐκ ἔτι χρεία τὸν [πεπαιδευμένον] λυπούμενον καρτερεῖν, οὐδὲ γὰρ λυπεῖται ἔτι ὁ τοιοῦτος ἐνταῦθα. Οὐδὲ γὰρ ὀρέγεταί τινος, οὗ ἀποτυγχάνει· οὔτε ἐκκλίνει τι, ᾧ περιπίπτει. Πᾶσα δὲ λύπη ἐπὶ τούτοις συμβαίνει.

Πρὸς δὲ λοιδορίαν εὑρήσεις αὐτῆς, φησὶν, ἀμυντήριον τὴν ἀνεξικακίαν. Οὔτε γὰρ πόνον, οὔτε θλῖψιν τῇ ἑαυτῆς φύσει [φέρει] ἡ λοιδορία τοῖς λοιδορουμένοις, ἀλλὰ τὸ δόγμα τὸ ἐν ἡμῖν, ἢ κενόδοξον, ἢ θυμοειδές· τοσοῦτον δὲ μόνον ποιεῖ, καταγινώσκειν τοῦ λοιδοροῦντος. Ἵνα οὖν μὴ μετὰ πάθους ἡμετέρου κατάγνωσις γένηται, γινώσκειν μὲν χρὴ τὴν τοῦ λοιδοροῦντος κακίαν, (ἢ γὰρ ψευδῶς λοιδορεῖ, ἢ δι' ἔχθραν τινά·) ἀνέχεσθαι δὲ αὐτῆς ὡς οὐδὲν ἡμᾶς βλαπτούσης. Τάχα δὲ τῆς μὲν κακίας τοῦ λοιδοροῦντος ἀνέχεσθαι, ἐννοοῦντας ὅτι αὐτὸς ὁ βεβλαμμένος ἐστὶν, ὁ τὴν ἑαυτοῦ προαίρεσιν, ταὐτὸν δὲ εἰπεῖν ἑαυτὸν, κακύνας· ἀπὸ δὲ τῆς λοιδορίας καὶ ὠφελεῖσθαι πάντως· προφανῶς μὲν, εἰ εἴη ψευδής· εἰ δὲ καὶ ἀληθὴς ᾖ, ὅτι ἐκφαίνει τι τῶν ἡμετέρων κακῶν, καὶ ἀγνοούμενον παρ' ἡμῶν, ἢ γινωσκόμενον μὲν, νομιζόμενον δὲ λανθάνειν τοὺς ἄλλους. Ἱκανὸν γάρ ἐστι τοῦτο, ἀποστρέφειν τοὺς ἀρχομένους παιδεύεσθαι, καὶ μήπω διὰ μόνον τὸ ἀγαθὸν, ἀλλὰ καὶ διὰ φιλοτιμίαν, τῶν ῥυπαρωτέρων κρατοῦντας παθῶν. Χρήσιμος γὰρ

cæ, et præ his divinæ mentes; sed ut in hunc inferiorem mundum aliquando etiam descendat, et hujusmodi rebus conflictetur; datas ei idcirco a conditore esse adversus quasque res *vires et facultates*, quibus incolumem se ab illis in vita præstare, illasque res superare possit: nempe adversus opinionem rerum jucundarum, *continentiam*. Dixit autem Continentiam, et non Temperantiam, quia cum iis qui adhuc erudiuntur sermo institutus est; in quibus commoventur quidem adfectus, et cum ratione certant; sed vincuntur, si ratio efficax fuerit. Atque hoc est continens vitæ genus: quemadmodum, cum non vincit adfectum ratio, sed ipsa vincitur, is habitus incontinens dicitur. In iis vero qui perfecte sunt eruditi, adfectiones, quæ puerile quiddam in nobis sunt, perfecte et citra controversiam rationi parent, ut ab iis tantum moveantur quæ ratio jusserit, et quando, et quatenus: estque hæc temperantia, incolumitas et dominatus rationis nostræ. In diversa enim scinditur hæc, cum ab adfectibus subigitur, ab eisque distrahitur: salva vero manet et integra, cum adfectiones superat.

Ad res porro laboriosas et molestas eruditis quidem Fortitudo præsto est, quæ dolorem ne intra vestibulum quidem animi accedere patiatur, sed omnia aspera, tamquam exercitationis ergo sibi objecta, sine molestia et adflictatione perferat. Iis autem qui erudiuntur *tolerantia* succurrit, oblatis molestiis generose resistens, atque efficiens ne animus concidat, sed pugnet et propulset doloris ictus. Nam acris oppositio tolerantiæ victoriam rationi confert, perturbationi cladem. Quæ si sæpe adhibita cum prudentia fuerit, adsuescit perturbatio parere rationi, et non adversari, quippe jam coercita et erudita. Neque jam porro opus est, ut eruditus cum dolore toleret aliquid: nec enim qui talis est, adhuc dolet; neque enim adpetit quidquam quo frustrari possit, neque declinat quidquam in quod incidere queat. Omnis autem dolor hisce caussis excitatur.

Porro *ad convicium* propulsandum *patientia* præsto erit. Neque enim laborem, neque adflictationem suapte natura convicium iis qui id audiunt infert; sed decretum quod in nobis est, sive vanum, sive iracundum: illud unum facit convicium, ut spernamus improbemusque conviciatorem. Ne igitur ex adfectu nostro improbatio illa fiat, cognoscenda quidem est conviciatoris improbitas; (aut enim falso conviciatur, aut ob simultatem aliquam;) ipsum vero convicium ferendum, ut nihil nobis nocens. Immo vero fortasse conviciatoris quidem improbitas vel hac de caussa, quod is ipse læditur, ferenda est, qui voluntatem suam, hoc est, qui se ipsum contaminarit; e convicio autem etiam fructus aliquis capiendus: et is quidem haud dubius, si falsum id fuerit; sin verum, hunc fructum habebit, quod malum aliquod nostrum aperiat, aut ignotum nobis, aut, ut notum sit, ejusmodi tamen, quod latere alios putarimus. Magnam enim hoc vim habet ad tirones cohibendos, qui nondum propter solum bonum, sed et ex ambitione, sordidiores adfectus moderantur. Utilis est enim ad aliorum

πρὸς τὴν τῶν ἄλλων παθῶν διόρθωσιν ἡ φιλοτιμία. Διὸ καὶ ἔσχατος λέγεται χιτὼν τῶν παθῶν ἡ φιλοτιμία· ὅτι τὰ ἄλλα πάθη συνεργούσης αὐτῆς ἀποδυσαμένη ἡ ψυχή, ἐσχάτην ἀποδύεται ταύτην, εἰς αὐτὸ λοιπὸν τὸ ἀγαθὸν ἀπογυμνουμένη.

Χρὴ οὖν, φησὶν, ἐφ' ἑκάστου τῶν ἔξωθεν προσπιπτόντων, καὶ πρὸς τὸ ἐκτὸς ἑλκόντων, μὴ συναρπάζεσθαι εὐθὺς ὑπὸ τῆς φαντασίας αὐτοῦ, ἢ ἀγαθὸν τὸ προσπῖπτον ἢ κακὸν λεγούσης· μηδὲ ὄρεξιν ἢ ἔκκλισιν εὐθὺς κινεῖν, ἀλλὰ τὴν ἐν ἡμῖν οὖσαν συμμαχίαν εὑρόντα καὶ προσκαλεσάμενον, σὺν ἐκείνῃ καὶ δι' ἐκείνης ἀμύνεσθαι τὰ προσπίπτοντα.

[IN CAP. XI.] Εἰπὼν περὶ τῆς τῶν ἐκτὸς προσλήψεως καὶ περιπτώσεως, τίνων τε καὶ ὅπως χρὴ λαμβάνειν, καὶ ὅπως δεῖ τοῖς ἔξωθεν προσπίπτουσιν ἡδέσι τε καὶ λυπηροῖς κεχρῆσθαι· περὶ τῆς ἀποβολῆς αὐτῶν νῦν λέγει, πῶς χρὴ ἐπ' αὐτῇ διατίθεσθαι. Ἐπεὶ οὖν ὁ μὲν τὰ ἴδια ἑαυτοῦ νομίζων ἀπολλύναι οὐ δύναται μὴ καὶ λυπεῖσθαι, καὶ τὸν ἀφελόμενον μέμφεσθαι· ὁ δὲ τὰ ἀλλότρια ἀποδιδοὺς, εἰ μὴ πάνυ ἀγνώμων εἴη, οὔτε λυπεῖται, οὔτε μέμφεται τῷ τὰ οἰκεῖα ἀναλαμβάνοντι· ἔστι δὲ τὰ ἐκτὸς οὐχ ἡμέτερα, διὸ οὐδὲ ἐφ' ἡμῖν ἐστιν, ἀλλ' ἡμέτερα μόνα ὄρεξίς ἐστι καὶ ὁρμὴ καὶ ἔκκλισις, ἐν οἷς τὸ ἀγαθόν ἐστι καὶ τὸ κακὸν τὸ ἡμέτερον· χρὴ περὶ τῶν ἐκτὸς, ὡς περὶ ἀλλοτρίων βεβαίως διακείμενον, πρόχειρον ἔχειν τοῦτο. Ἔσται δὲ πρόχειρον, ἐὰν, μὴ μέχρι τῶν ὀνομάτων ὡς ἐπ' ἀλλοτρίοις διακεώμεθα, [ἀλλὰ] καὶ συνεθίζωμεν ἑαυτοὺς μέχρι καὶ τούτων.

Ὁ μὲν οὖν, τοῦ παιδίου ἀποθανόντος, οἰμώζων, καὶ λέγων χαῶσαι αὐτὸν, δῆλός ἐστιν ὡς ἐπ' ἰδίῳ πρότερον διακείμενος, καὶ διὰ τοῦτο ἀπώλειαν καλῶν τὴν ἀφαίρεσιν, καὶ δυσχεραίνων ἐπ' αὐτῇ· καὶ δῆλος ὁ τοιοῦτός ἐστιν, εἴπερ ἠδύνατο, καὶ ἀμύνεσθαι τὸν ἀφελόμενον θέλων. Ὁ δέ γε ὡς ἀλλότριον ἀποδεδωκέναι νομίζων, οὔτε ἑαυτὸν θλίβει, οὔτε αἰτιᾶται τὸν ἀναλαβόντα ὃν δέδωκε. Καὶ ὅρα, οἷον διὰ τούτων ἡμῖν ἐπιδείκνυσιν ὁ Ἐπίκτητος· ὅτι οὐ μόνον ἡ ἔννοια τὴν ἑαυτῆς διάθεσιν ἐντίθησι τῷ προφερομένῳ ἐξ αὐτῆς λόγῳ, ἀλλὰ καὶ οἱ λόγοι τὰς ἐννοίας πρὸς ἑαυτοὺς διατιθέασι. Χρὴ οὖν, φησὶ, καὶ τοῖς ὀνόμασι τῶν ἀλλοτρίων καλεῖν τὰ ἐκτὸς, ἵνα καὶ ἀπὸ τούτων ὡς ἐπ' ἀλλοτρίοις διατιθώμεθα· καὶ μέντοι καὶ χρῆσθαι αὐτοῖς ὡς ἀλλοτρίοις, ἀεὶ τοῦτο περὶ αὐτῶν ἐννοοῦντας. Καὶ ἐπειδὴ αἱ περὶ αὐτὰ φροντίδες καὶ ἐπιμέλειαι τὴν περὶ αὐτὰ συμπάθειαν αὔξουσι, καὶ ταύτας ὡς ἀλλοτρίων, φησὶ, χρὴ ποιεῖσθαι καὶ ἐπιμελεῖσθαι μὲν αὐτῶν, (οὐ γὰρ ῥαθυμεῖν προσήκει,) οὐ μέντοι ὡς ἰδίων, οὐδ' ὡς ἀναφαιρέτων, ἀλλ' ὡς τοῦ πανδοχείου οἱ παριόντες, ἀλλότριόν τε αὐτὸ ἡγούμενοι, καὶ μετ' ὀλίγον ἀπολείπειν ἐλπίζοντες αὐτὸ, ἕως δ' ἂν παρῶσι, τῆς εὐχρηστίας αὐτοῦ κατὰ τὸ δυνατὸν φροντίζοντες. Καλῶς δὲ, « ἕως ἂν διδῶται, » εἶπεν· ἵνα πρόχειρον ὑπάρχῃ τὸ, ὑπ' ἄλλου δεδόσθαι αὐτὸ, τοῦ καὶ ἀφαιρουμένου.

Ἐπειδὴ δέ τινες καὶ τοὺς τρόπους τῆς ἀφαιρέσεως

adfectuum, qui in nobis vigent, correctionem ambitio. Quare etiam extrema perturbationum tunica ambitio dicitur; quod reliquis perturbationibus ipsa adjutrice exutus animus, hanc postremam exuit, ut tandem ad ipsum bonum nudus perveniat.

Oportet igitur, inquit, *in quolibet externo casu*, ad res externas nos trahente, cavere, ne statim a prima ejus specie *abripi nos* patiamur, quæ id, quod accidit, sive ut bonum sive ut malum nobis proponit; nec adpetitionem aut declinationem statim sinamus commoveri: sed iis auxiliis, quæ intra nos habemus, accitis et adhibitis, quidquid inciderit propulsare.

[IN XI.] Postquam de rebus externis dixit, quæ aut accipimus aut in quas incidimus; docuitque, quasnam et quomodo accipere, tum quomodo uti debeamus rebus extrinsecus oblatis, sive jucundæ eæ sive molestæ fuerint: nunc, quemadmodum iis amissis adfecti esse debeamus, docet. Quoniam igitur fieri nequit, quin is, qui sua se retur *amittere*, doleat, et ereptorem accuset; qui vero aliena reddit, nisi plane sit stolidus, neque dolet, neque succenset sua repetenti; porro, quoniam res externæ nostræ non sunt, eoque nec in potestate nostra sitæ; sed sola hæc nostra sunt, adpetitio, impetus, et declinatio, in quibus bonum et malum nostrum situm est: firmiter persuasum et in promtu hoc ipsum debemus habere, res omnes externas nobis esse alienas. Erit autem in promtu, si non verbis tenus duntaxat pro alienis ea habuerimus, sed et re ipsa ei menti nos adsuefecerimus.

Qui igitur *filio mortuo* plorat, eumque se *perdidisse* queritur; hunc adparet sic adfectum esse, quod eum prius suum fuisse putaverit; eaque de caussa ereptionem ejus *amissionem* vocare, eamque moleste ferre: nec obscurum est, talem, si posset, ulturum esse ereptorem. Qui vero se filium, ut alienum, *restituisse* putat, is nec se ipsum adfligit, nec eum accusat qui repetiit quem dederat. Observabis autem quid nobis per hæc ostendat Epictetus: nempe, quod non modo cogitatio suam adfectionem orationi quæ ab ea profertur imprimat, sed etiam verbis excitentur cogitationes, atque adficiantur. Sunt igitur, inquit, res externæ *alienæ* adpellandæ, ut ipsis etiam nominibus admoniti *alienas* eas judicemus; simul vero uti eis debemus tamquam *alienis*, constanter hoc ipsum de eis cogitantes. Et quoniam earum cura et studium amorem etiam erga illas auget; hæc quoque ut rebus alienis adhibenda sunt. Scilicet *curandæ* sunt illæ quidem, (nec enim negligere convenit,) at non ita curandæ, quasi propriæ, quæque eripi nequeant: sed *ut deversorium curant viatores*, qui et alienum id esse norunt, seque brevi id relicturos cogitant; dum vero adsunt, commoditatis ejus pro virili rationem habent. Præclare autem, *quoad datum fuerit*, inquit: ut in promtu sit, ab alio esse data, eadem erepturo.

Quia vero sunt qui etiam ereptionis modos ad augendum

εἰς προσθήκην λύπης ἐκτραγῳδοῦσι· Διὰ τί με οὕτως, ἢ τοιῶσδε, ἀφείλετο; διὰ τί δὲ οὕτως ἐτελεύτησε τὸ παιδίον, ἢ ἡ γυνή; ἤθελον εἰ πυρετῷ, καὶ μὴ σπασμῷ· ὅμοιόν ἐστι, φησὶ, τοῦτο τῷ δυσχεραίνειν, Διὰ τί ὁ δούς μοι τόδε τι, διὰ τοῦδέ τινος αὐτὸ, ἀλλὰ μὴ διὰ τοῦδε ἀφείλετο; καίτοι τὸν δεδωκότα καθ' ὃν ἠβουλήθη τρόπον, καὶ ἀναλαβεῖν ὡς ἐβούλετο πρέπει. Καὶ αὐτὸς ὁ Ἐπίκτητος ἐπὶ τῶν τὰς μεγίστας συμπαθείας κινούντων, τέκνου, καὶ γαμετῆς, ἐποιήσατο τὸν λόγον· πρὸς ἃ παραβαλλόμενα τὰ ἄλλα, καὶ ὑπὸ τῶν τυχόντων καταφρονεῖται. Ἀλλ', ὅπερ αὐτὸς καὶ πρότερον εἶπε, καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ, ἀπὸ τῶν μικρῶν ἄρχεσθαι χρή. Ἔκλεψέ τις τὸ κερμάτιον, ἀφείλετο τὸν οἰκέτην, ἢ τὴν οἰκίαν, ἢ λοιπὸν καὶ τὰ ὑπάρχοντα ἐδήμευσε· μὴ εἴπῃς, ὅτι Ἀπώλεσα αὐτὰ, ἀλλ' ὅτι Ἀπέδωκα.

[IN CAP. XII.] Εἰπὼν ὅτι οὕτω χρὴ τῶν ἐκτὸς ἐπιμελεῖσθαι ὡς ἀλλοτρίων καὶ ὡς τοῦ πανδοχείου οἱ παριόντες· ἀκούει τινῶν πρὸς τοῦτο λεγόντων· Ἀλλ' ἂν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἂν μὴ κολάσω τὸν δοῦλον, πονηρὸς ἔσται. Πρὸς οὓς ἀποκρίνεται, τὴν ἐξ ἀρχῆς ἔνστασιν φυλάττων τοῦ λόγου, τὴν τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὸ ἡμέτερον ἐν τοῖς ἐφ' ἡμῖν τιθεῖσαν, καὶ οὔτε ἐν τῷ σώματι, οὔτε ἐν τοῖς ἐκτός. Ἔστι δὲ ὁ λόγος πρὸς τοὺς ἔτι παιδευομένους, οὔπω τοιαύτην ἕξιν ἔχοντας, ὡς δύνασθαι καὶ ἑαυτῶν ἅμα καὶ τῶν ἔξω ἐπιμελεῖσθαι ἀβλαβῶς. Τοῦτο γὰρ τοῖς ἤδη πεπαιδευμένοις ὑπάρχει, οἵτινες ἐν ἀσφαλείᾳ ἑαυτοὺς ἱδρύσαντες, τὴν ἐν αὐτοῖς ἀλογίαν ὑποτάξαντες τῷ λόγῳ, οὐ δεδοίκασιν ἔτι, μή πως ἔξω νεύοντες, ὑπὸ τῶν ἀλόγων ὀρέξεων πρὸς τὰ ἐκτὸς παρασυρῶσι, καὶ τὴν ἐκείνων ἀταξίαν καὶ ταραχὴν εἰσδέξωνται· μένοντες γὰρ ἐν ἑαυτοῖς οὗτοι, καὶ τὰ ἐκτὸς ἀπὸ τῆς ἐν αὐτοῖς τάξεως διακοσμοῦσιν. Οἷς δὲ ἔτι σφύζει τὸ ἄλογον, δέος ἐστὶν ἐπιτρέπειν πρὸς τὰ ἐκτὸς ἀποτείνεσθαι. Συγγενῶς γὰρ ἔχουσι πρὸς ταῦτα αἱ ἄλογοι ὀρέξεις, καὶ οὔπω μεμετρημέναι, οὐδὲ ὑποταχθεῖσαι τῷ λόγῳ, καθέλκουσιν αὐτὸν, καὶ καταβαπτίζουσιν εἰς τὰ ἐκτὸς, μήπω τῶν πηδαλίων τῶν οἰκείων ἐπιλαβόμενον.

Τί οὖν χρὴ ποιῆσαι πρὸς τὸ τὸν παιδευόμενον μὴ ἀπορῆσαι τῶν ἀναγκαίων τροφῶν; Δυνατὸν μὲν ἦν εἰπεῖν, ὅτι πρὸς τὴν ἀπὸ τῆς ἀμελείας μείωσιν τῶν ὑπαρχόντων ἀνθέξει καλῶς ἡ τοῦ παιδευομένου λιτότης, καὶ τὸ ὀλιγαρκὲς, ὅπερ αὐτῷ μᾶλλον προσήκει· εἰ δὲ μήτε πρὸς ταῦτα ἀντέχοι, οὐ λείψουσιν οἱ τρέφειν αἱρούμενοι τὸν καὶ ὀλίγοις ἀρκούμενον, καὶ διὰ τὴν ἑαυτοῦ ἐπιμέλειαν τῶν ὑπαρχόντων καταφρονήσαντα. Δυνατὸν μὲν οὖν, ὅπερ εἶπον, τοιούτοις πρὸς αὐτὸν χρήσασθαι λόγοις, ἀληθῶς λεγομένοις. Ὁ δὲ τούτους μὲν ὡς μαλακοὺς παρῆκε, καὶ ὡς τὸν τόνον τῆς ἀρετῆς χαλῶντας, καὶ ῥυπαίνοντας τὴν καθαρότητα αὐτῆς, εἰ πάντῃ πάντως τῶν ἐκτὸς προσδεήσεται· εἰς δὲ τὸ ἄκρον αὐτὸ τῆς συγκρίσεως ἀνέβη. Κρεῖσσον γάρ ἐστι λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, καὶ ἀπολαβόντα τὴν ἑαυτοῦ τελειότητα, ἢ ζῆν ἐν ἀφθόνοις, ταρασ-

molestiam exaggerent : Quare mihi sic, aut illo modo eripuit? Cur sic periit puer, aut uxor? Facile ferrem, si febre, non convulsione decessisset; Perinde est, inquit, istud, ac si moleste feras, *quod is qui aliquid dederat, hoc modo illud,* non autem alio, *eripuerit.* Enimvero eum qui suo arbitratu dedit, etiam suo arbitratu repetere fas est. Exempli autem loco protulit Epictetus ea quæ maximam commiserationem movent, liberos, uxorem : cum quibus reliqua collata, vel a quibuslibet contemnuntur. Sed, quod ipse prius dixit, quodque post repetet, a parvis auspicandum est. Furatus est aliquis pecuniam; ademit servulum, aut ædes, aut denique etiam rem tuam familiarem publicavit : *ne dicas, ea te perdidisse, sed reddidisse.*

[IN XII.] Res externas pro alienis curandas esse, et ut deversorium a prætereuntibus, præcepit. Audit autem quosdam dicentes : At, *si mea neglexero, non erit unde vivam; nisi castigaro servum, improbus erit.* His respondet, primum sermonis institutum observans, quo bonum et malum nostrum in rebus quæ in nostra potestate sitæ sunt collocatur, non autem in corpore, neque in rebus externis. Pertinet autem ad eos oratio, qui adhuc erudiuntur, necdum eo pervenerunt, ut simul et se ipsos et res externas citra noxam curare possint. Hoc enim eruditorum est, qui in tuto collocati, brutam sui partem rationi obedientem præbuerunt; neque jam verentur, ne forte foras prominentes, a brutis adpetitionibus ad res externas pertrahantur, earumque confusionem et perturbationem in se admittant. Hi enim cum intra sese maneant, res etiam externas pro suo cujusque ordine moderantur. In quibus autem brutus adpetitus adhuc fervet, his periculosum est si permittas, ut ad res externas convertantur. Nam brutæ adpetitiones illis cognatæ sunt; necdum moderatæ aut rationi subjectæ, detrahunt hanc, et demergunt in res externas, nondum sua gubernacula tenentem.

Quid ergo faciendum est, ne is, qui eruditur, rebus necessariis egeat? Dici quidem potuisset, ejus qui instituatur frugalitatem detrimentis rei familiaris, ab incuria ortis, facile posse opponi, cum eum paucis contentum esse in primis conveniat : sin ne hæc quidem suppetant, non defore qui hominem paucis contentum, qui ob sui ipsius curam rem familiarem neglexerit, alere velint. Licuerat igitur, ut dixi, talibus illi verbis respondere, ac vere. At is, prætermissis talibus rationibus, tanquam mollibus, et nervos virtutis incidentibus, ejusque puritatem contaminantibus, quasi ea omnibus modis rerum externarum accessionem et adjumenta desideret, ad ipsum extremum fastigium comparationis adscendit : *præstare fame emori, doloris et timoris expertem,* suamque perfectionem consecutum, *quam animo perturbato copiis omnium rerum circumfluere.* Quæ

σόμενον. Τί γὰρ ὄφελος τῆς τῶν ἐκτὸς ἀφθονίας τῷ παρὰ φύσιν διακειμένῳ, καὶ βλαπτομένῳ μᾶλλον ὑπ' αὐτῆς; τί δὲ ὄφελος πολυτελῶν καὶ ποικίλων ὄψων τῷ μὴ δυναμένῳ διὰ νόσον ἀβλαβῶς αὐτοῖς χρήσασθαι; « Κρεῖσσον δὲ καὶ τὸν παῖδα κακὸν γενέσθαι, ἢ σὲ κακοδαίμονα. » Εἰ μὲν γὰρ δυνατὸν ἦν σεαυτὸν σώζοντα τοῦ παιδὸς ἐπιμεληθῆναι, τοῦτο ἂν ἦν κάλλιον· εἰ δὲ ἀδύνατον τοῦτο, δυοῖν ἕνεκεν, καὶ ὅτι ἀπαίδευτος οὐκ ἂν ἄλλον παιδεύσειε, καὶ ὅτι, τὸν παῖδα μηδὲν ὠφελῶν, αὐτὸς τὰ μέγιστα βλάπτεται, καλὸν ἂν εἴη λοιπὸν, ἐκεῖνον μὲν ἐπὶ τῆς ἑαυτοῦ κακίας ἀφιέναι, ἡμᾶς δὲ ἑαυτῶν ἐπιμελεῖσθαι.

Οὕτως οὖν συντείνας τοῖς ἀκροτάτοις τὸν παιδευόμενον, αἱρεῖσθαι μᾶλλον αὐτὸν τὸν ἀπὸ λιμοῦ θάνατον συμβουλεύων, ἢ μένειν ἀπαίδευτον διὰ τὴν περὶ τὰ ἐκτὸς ἀσχολίαν· καὶ τὸν παῖδα περιορᾷν (εἰ ἀνάγκη) κακὸν γενόμενον, ἤπερ ἑαυτὸν κακοδαίμονα· ἐν αὐτῇ τῇ χρήσει ἀπὸ τῶν μικρῶν ἄρχεσθαι συμβουλεύει, καὶ τῆς δυνάμεως τοῦ παιδευομένου καλῶς στοχαζόμενος. Ἡ μὲν γὰρ διὰ τῶν συμμέτρων ἄσκησις καὶ γυμνασία, καὶ ἀσφαλής ἐστι καὶ ἀνύσιμος. Εἰ δέ τις τῶν μὲν συμμέτρων ὡς εὐτελῶν καταφρονήσει, τοῦ ἐν τῇ τοῦ ἐλαίου ἐκχύσει καὶ τῇ κλοπῇ τοῦ οἴνου γυμνάσασθαι, τοῖς δὲ ἀσυμμέτροις ἐπιπηδήσει· οὔτε τούτων δύναται περικρατῆσαι, ἅτε μὴ κατὰ βαθμὸν αὐτοῖς ἐπιβὰς, οὔτε δι' ἐκείνων ἔτι προκόψαι, καταφρονήσας αὐτῶν. Ὑπόθου γάρ τινα, μὴ διὰ τῶν μικρῶν γυμνασάμενον, τὸν Κράτητα μιμήσασθαι, καὶ τὰ ἑαυτοῦ πάντα ἀθρόως ἀποβαλεῖν· πόθεν ὅτι οὐ ταχέως μετανοήσει, καὶ διατελέσει τὴν προτέραν εὐπορίαν ἐπιζητῶν; κἂν γὰρ Κράτης, ἢ Διογένης, ἢ Ζήνων, ἢ ἄλλος ὅστις οὖν, ἀθρόως εἰς τὸ ἄκρον ἐπεπήδησε τῆς λιτότητος, καὶ τῆς κατὰ φύσιν ζωῆς· ἀλλὰ σπάνιον τοῦτο, καὶ οὐκ ἀσφαλὲς πρὸς τὸ σπάνιον παραβάλλεσθαι τὸν μὴ καὶ αὐτὸν σπάνιον ὄντα, ἀλλ' ἕνα ἐνίοτε τῶν πολλῶν.

Εἰπὼν δὲ, ὡς ἀπὸ τῶν μικρῶν ἀρξάμενον γυμνάζεσθαι χρὴ πρὸς τὸ καταφρονεῖν τῆς τῶν κτημάτων καὶ χρημάτων μειώσεως, τῆς ἡμετέρας ἕνεκα προκοπῆς· ἐπάγει, πῶς καὶ ἐπὶ τῶν οἰκετῶν, ἀπὸ τῶν μικρῶν ἀρξάμενοι, γυμνασώμεθα καταφρονεῖν αὐτῶν τῆς ἀνυπηρεσίας, καὶ μὴ ταράττεσθαι ἐπ' αὐτῇ. Προεπινοεῖν γὰρ δεῖ, φησὶ, τῇ φαντασίᾳ, ὅτι καλούμενος ὁ παῖς οὐχ ὑπακούσει, ἢ ὑπακούων οὐ ποιήσει τὸ προσταχθέν. Καὶ χρὴ προσεπινοεῖν, μὴ οὕτω καλῶς αὐτῷ εἶναι [ὥστε ἐπ' ἐκείνῳ εἶναι] τὸ ἐμὲ ταραχθῆναι. Τὰ μὲν γὰρ αἰφνίδια ταράττει μάλιστα τοὺς ἀρχομένους παιδεύεσθαι, καὶ ἐξίστησι, καὶ ἐπιλανθάνεσθαι ποιεῖ τῆς ἐνστάσεως· τὰ δὲ προμελετώμενα νήφειν ποιεῖ, καὶ μεμνῆσθαι, καὶ τῷ συνεθισμῷ παρασκευάζεσθαι πρὸς τὰ δυσχερῆ ταῖς φαντασίαις καὶ ταῖς ἐλπίσιν. Ὡς δὲ διαφέρει τὸ παρεσκευασμένον αὐτὰ δέχεσθαι, ἢ ἀπαράσκευον, παντὶ δῆλον. Καὶ γὰρ οὐ μόνον τὰ λυπηρὰ, ἀλλὰ καὶ τὰ ἡδέα, ἀνελπίστως προσπίπτοντα, τὰ μὲν λυπηρὰ ἀθρόως πιλεῖ καὶ συνάγει τὴν φαντασίαν, καὶ

enim utilitas est copiæ rerum externarum ei, qui contra naturam vivit, cum potius illa lædatur? quis usus est sumtuosarum et variarum epularum ei, qui per valetudinem citra noxam illis frui nequit? *Præstat* vero etiam, *pravum esse puerum*, *quam te infelicem*. Nam si fieri posset, ut simul et te ipsum conservares, et puerum curares: nihil esset hoc pulcrius. Sin id fieri nequit, duabus de caussis: tum quod ipse ineruditus alium erudire nequit; tum quod, sine ullo fructu pueri, ipse maxima detrimenta capit: reliquum est, ut illum improbitati suæ relinquamus, et nosmet ipsos curemus.

Postquam igitur eum, qui eruditur, sic ad summa excitavit, suadens ut fame perire malit, quam ob externarum rerum curam manere ineruditus; et ut pueri improbitatem (si opus sit) negligat potius, quam ut ipse miser fiat: in ipso quidem usu a parvis incipiendum monet, virium etiam tironis recte rationem habens. Moderata enim, et adcommodata viribus exercitatio, ut tuta, ita etiam efficax est. Si quis autem moderata tamquam pervulgata aspernatus, in *effusione olei* et *furto vini* exerceri se noluerit, ac subito ad immoderata perruperit; is neque hæc tenere poterit, ut qui non gradatim ad ea progressus sit, neque per illa porro proficere, quæ contemserit. Finge enim aliquem, in parvis non exercitatum, imitari Cratetem, et suam rem universam subito abjicere: fierine debet, ut eum facti mox pœniteat, et priorem opulentiam perpetuo requirat? Etsi enim Crates, Diogenes, Zeno, aut quivis alius, subito summam frugalitatem arripuit, vitamque naturæ consentaneam; rarum tamen hoc est; et non tutum, ut, qui non ipse rarus sit, sed unus fortasse de multis, ad rara grassetur.

Postquam autem dixit, quemadmodum initio a parvis facto exercendi simus ad contemtum imminutæ possessionis et pecuniæ, quo magis proficiamus: subjungit, quomodo in famulis etiam, a parvis auspicati, exercendi simus ad contemnendam et negligendam eorum incuriam nostri et contumaciam. Scilicet, ante cogitare debemus nobiscum, *puerum vocatum, aut non præsto fore; aut, ut præsto sit, imperata non facturum*: simulque cogitare, *non tam bene cum illo agi, ut illius in potestate sit, me perturbari*. Nam, quæ subita et improvisa objiciuntur, ea maxime perturbant tirones honestæ disciplinæ, et velut de gradu dejectos eo redigunt, ut instituti sui obliviscantur. Præmeditatio vero sobrios et memores facit, atque ipsa adsuetudine præparat ad ea, quæ speciem et exspectationem asperam habent. Quantum autem intersit, præparatum aut imparatum aliquid excipere, cuivis est perspicuum. Neque enim res acerbæ tantum, sed et jucundæ præter spem oblatæ, animos perturbare solent: nam molesta quidem subito obtundunt et contrahunt phantasiam, una-

σὺν αὐτῇ τὴν σύγκρισιν τοῦ τε σώματος καὶ τοῦ πνεύματος· τὰ δὲ ἡδέα ἀθρόως διαχεῖ καὶ διασπᾷ, καὶ διαφορεῖ τὸν τόνον· ὥστε ἐπ' ἀμφοῖν, καὶ ταῦτα ἐναντίων ὄντων, τὰ αὐτά πως ἕπεσθαι συμπτώματα, λειποθυμίας, καὶ ἀποψύξεις, καὶ μέχρι θανάτου πολλάκις ἀπαγορεύσεις.

Ἀλλὰ ταῦτα μὲν δῆλα. Τοῦ δὲ Ἐπικτήτου ἐπὶ μὲν τῆς τῶν ἄλλων ὑπαρχόντων μειώσεως, μετὰ τὸ γενέσθαι παραινοῦντος ἐπιλέγειν, « Τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία, προῖκα δὲ οὐδὲν παραγίνεται· » ἐπὶ τῶν οἰκετῶν δὲ, ὅτι, καλοῦντος τὸν οἰκέτην, « προενθυμεῖσθαι δεῖ, ὅτι οὐ πάντως ὑπακούσει, ἢ ὑπακούσας οὐ ποιήσει τὸ προσταχθέν· » καλῶς ἔχοι ἂν, ὡς ἐπ' ἀμφοῖν ἀμφοτέρων προστεταγμένων ἀκούειν. Καὶ γὰρ τὴν τῶν ὑπαρχόντων μείωσιν προϋπογράφειν ἑαυτῷ δεῖ καὶ προελπίζειν· καὶ τοῦ οἰκέτου μὴ ὑπακούσαντος, ἢ μὴ ποιήσαντος τὸ προσταχθὲν, ἐπιλέγειν, ὅτι Τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα δὲ οὐδὲν παραγίνεται. Αὐτὸς δὲ ἴσως ὡς ἐπὶ εὐτελεστέρῳ, τῷ ἐκχεῖσθαι τὸ ἔλαιον, καὶ κλέπτεσθαι τὸ οἰνάριον, οὐκ ἐνόμισε δεῖσθαι προπαρασκευῆς, ἀλλ' ἀρκεῖν γενομένου ἐπιλέγειν· καὶ ὅτι ἐπὶ τῶν μικροτέρων καὶ ἡ σύγκρισις ἱκανή ἐστι κινεῖν τὴν ψυχὴν, εἴπερ, ἐλαίου καὶ οἰναρίου εὐτελῶν προϊεμένων, δυνατόν ἐστι τὸν βουλόμενον ἀπάθειαν καὶ ἀταραξίαν λαβεῖν, καὶ οὐ τὴν πρὸς ἅπαξ μόνον, ἀλλὰ καὶ τὴν κατὰ ἕξιν, εἴ τις ταύτην καλῶς ἐμπορεύοιτο τὴν ἀγορασίαν Τίς γὰρ ἂν οὐ χρύσεα χαλκείων ἀνταλλάξαιτο, κατὰ τὸν Ὁμήρου Διομήδη; τίς δὲ οὐκ ἂν, νοῦν ἔχων, τὰ μέγιστα τῆς ψυχῆς ἀγαθὰ πρίαιτο, τὰ ἐκτὸς προϊέμενος; ἐνίοτε δὲ μὴ προϊέμενος, ἀλλ' ἀρκούμενος τῇ παρασκευῇ τοῦ ἀδιαφόρως προΐεσθαι;

[IN CAP. XIII.] Πολλοὶ περὶ τὰ ἐκτὸς σπουδάζομεν οὐ μόνον τοῦ πορισμοῦ τῶν ἀναγκαίων ἕνεκεν, ἀλλὰ καὶ τοῦ μὴ δοκεῖν τοῖς ἄλλοις ἄπρακτοί τινες καὶ ἀνόητοι. Καὶ πρὸς ταύτην οὖν τὴν φαντασίαν ἐνιστάμενος, συμβουλεύει τῷ παιδευομένῳ καὶ προκόψαι θέλοντι, μὴ διὰ ταύτην τοῖς ἐκτὸς ἑαυτὸν ἐπιδιδόναι, τῶν ἐντὸς ἀμελήσαντα. Οἷον γάρ ἐστι τὸ ἀνόητον ὄντως ἀποληφθῆναι, διὰ τὸ μὴ νομισθῆναι τοῖς ἀνοήτοις ἀνόητον; Καὶ αὐτὸ δὲ τοῦτο, τὸ συνεθίσαι ἑαυτὸν, μήτε κατὰ τὸ δοκοῦν τοῖς ἀνοήτοις ἐθέλειν ζῆν, μήτε ἐπιστρέφεσθαι αὐτῶν, ὅπως ἂν οὗτοι περὶ ἡμῶν διακέοιντο, ἀλλ' εἰς τὸν ὀρθὸν λόγον ἀποβλέποντα, καὶ τῇ κρίσει τῶν κατ' αὐτὸν ζώντων ἑπόμενον, τὰ καθ' ἑαυτὸν οἰκονομεῖν, εἰς τὸ τὸν κατὰ φύσιν πρέποντα λογικῷ ζώῳ, τῷ ἀνθρώπῳ, βίον περιποιήσασθαι, τὰ μέγιστα συντελεῖ.

Πολὺς λόγος ἐστὶ τῷ Ἐπικτήτῳ, τὴν τοῦ παιδευομένου ψυχὴν πρὸς ἑαυτὴν ἐπιστρέψαι, κατὰ τὸν τῆς παιδείας μάλιστα καιρόν. Ἐπειδὴ οὖν οὐ μόνη ἡ τῶν ἐκτὸς ἐπιμέλεια ἕλκει τὴν ψυχὴν πρὸς τὰ ἐκτὸς, ἀλλὰ καὶ ἔτι μᾶλλον ἡ περὶ τὴν κενὴν δόξαν πτοία, καὶ τοῖς ἀστειοτέροις καὶ ἐπὶ ποσὸν ἤδη προκεχοφόσιν ἐνοχλοῦσα· καὶ ταύτην ἀπ' αὐτῆς τῆς ῥίζης ἐκκόπτειν παρακελεύεται· « Μηδὲν βούλου δοκεῖν ἐπίστασθαι, λέγων· » οὐκ ἐμ-

que cum ea et corporis et spiritus temperamentum; jucunda vero subito diffundunt et distrahunt, ac dissipant robur animorum. Hinc fit, ut similes casus utraque horum, quantumvis inter se contraria, sequantur; ut animorum deliquia, ut rigores, et usque ad mortem interdum exanimationes.

Atque hæc quidem perspicua sunt. Cæterum quum Epictetus in aliarum rerum imminutione moneat subjiciendum esse : *Tanti venditur vacuitas a perturbationibus; tanti constantia et animi tranquillitas; gratis vero nihil adquiritur :* in servis autem, si quis vocet famulum, *ante cogitandum fore ut aut omnino præsto non sit, aut, si præsto sit, imperata non facturum :* recte fecerimus, si utrumque præceptum in utramque rem valere intellexerimus. Nam et rei familiaris diminutio ante velut ob oculos nobis ponenda, et animo concipienda est; et, servus si vocatus non audit, sive quæ jussus est non facit, subjiciendum illud, *Tanti venditur vacuitas a perturbatione, et animi tranquillitas et constantia; gratuito vero nihil contingit.* Ipse autem fortassis in effusione olei, aut vini furto, ut rebus vilioribus, præparatione nihil opus esse censuit, sed satis esse, ubi tale quid acciderit, verba illa subjungere : et in rebus minoribus ipsam comparationem hanc satis habere virium existimavit ad movendos animos; si tam vilium rerum, ut olei et vini, jactura eo quemvis adducere potest, ut eas cum vacuitate a perturbationibus, et animi tranquillitate et constantia permutet, nec ad tempus duntaxat, sed constanter et perpetuo, si quis in hac quasi mercatura solertem navarit operam. Quis enim, ut Homericus Diomedes, aureis ænea non permutet? quis vero, qui quidem sana mente est, maxima animi bona rerum externarum jactura non redimat? Quin et subinde ipsa jactura vitari potest, sufficitque præparatum esse ad illam, si ita res tulerit, æquo animo ferendam.

[IN XIII.] Multi rebus externis studemus, non modo parandarum rerum necessariarum caussa, sed et ob vitandam apud alios ignaviæ et amentiæ opinionem. Ut igitur istud quoque visum reprimat, tironem monet proficiendi cupidum, ne propter eam rebus externis se dedat, internis neglectis. Nam quæ ista ratio est, revera *amentem* deprehendi, ne ab amentibus amens judiceris? Ac ipsa illa adsuefactio, ne *amentium* in degenda vita judicium sequi velis, eosque nihil cures, utcumque de te sentiant; sed in rectam rationem intuens, et judicium eorum sequens, qui rationi convenienter vivunt, res tuas administres; ista, inquam, adsuefactio plurimum confert ad instruendam vitam naturæ consentientem, et homine, id est animante rationis participe, dignam.

In eo vehementer elaborat Epictetus, ut tironis animum, tempore institutionis præsertim, in se ipsum convertat. Quoniam igitur non rei modo familiaris cura mentem ad res externas pertrahit, sed etiam, et quidem multo magis, vanæ gloriolæ admiratio, politioribus etiam hominibus, et jam aliquo usque progressis, obstrepens; hanc quoque radicitus exstirpari jubet. *Nihil*, inquit, *scire videri velis :* non, quod scientiæ desiderium impediat; sed, ut

ποδίζων τῇ ἐφέσει τῆς ἐπιστήμης, ἀλλὰ τὴν τοῦ δοκεῖν ὄρεξιν ἀναστέλλων. Χαυνοῖ γὰρ αὕτη τὴν ψυχὴν, καὶ πρὸς τὸ ἐκτὸς ἕλκει· καὶ ἅμα μὲν τοῖς πολλοῖς ζῆν, καὶ μηκέτι ἑαυτῇ, παρασκευάζει· ἅμα δὲ τῇ δοκήσει τῇ ἐκείνων ἀρκουμένην οὐ συγχωρεῖ πρὸς τὸ εἰλικρινὲς τῆς ἐπιστήμης ὁδεύειν. Καλῶς δὲ οὐχ εἶπε, μηδὲν δόκει ἐπίστασθαι, ἀλλὰ, Μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. Ἡ μὲν γὰρ δόκησις ἡ περὶ ἡμῶν οὐχ ἡμῶν ἐστιν, οὐδὲ ἐφ' ἡμῖν· τὸ δὲ βούλεσθαι ἡμέτερόν ἐστιν ἔργον. Ἐπειδὴ οὖν δοκοῦμεν πολλάκις τισὶ, κἂν μὴ βουλώμεθα, Τότε, φησὶν, ἀπίστει σεαυτῷ· βοηθεῖ γὰρ τοῦτο πρὸς τὸ μὴ ἐπιτρέπειν ἑαυτὸν τῇ τῶν πολλῶν κρίσει, μηδὲ ἀρκούμενον ἐκείνῃ πρὸς τὴν προκοπὴν ἐμποδίζεσθαι. Δῆλον δὲ, ὅτι τὸ ἀπιστεῖν αὐτῷ ἐπὶ ταῖς καλλίοσι περὶ αὐτοῦ ὑπολήψεσι τοῖς ἔτι παιδευομένοις προσήκει. Ὁ γὰρ ἐπιστήμων, ἀσφαλῶς τε ἑαυτὸν καὶ ἀληθῶς κρίνειν δυνάμενος, οὐ δεῖται τοῦ ἑαυτῷ ἀπιστεῖν.

Δόκησις δὲ οὐ τοῦ ἐπίστασθαι μόνον γίνεται, ἀλλὰ καὶ τοῦ σώφρονα, ἢ δίκαιον, ἢ ἀνδρεῖον εἶναι, ἢ φρόνησιν ἔχειν, ἢ ὅλως ἀρετήν τινα, ἢ δύναμιν πολιτικὴν, ἢ περιττοτέραν παρ' ἀνθρώποις τιμήν. Ταῦτα πάντα καὶ τὰ τοιαῦτα περιέλαβε διὰ βραχέος μορίου, τοῦ τὶς, εἰπών· Κἂν δόξῃς τὶς εἶναί τισιν. Εἶτα λοιπὸν, κοινὸν ἐπάγει συμπέρασμα τοῖς τε νῦν εἰρημένοις, καὶ τοῖς πρότερον, περὶ τῆς τῶν ἐντὸς ἐπιμελείας, ὅτι οὐ ῥᾴδιον τῷ παιδευομένῳ καὶ τὴν προαίρεσιν κατὰ φύσιν ἔχουσαν διαφυλάξαι, καὶ τῶν ἐκτὸς ἀντιποιεῖσθαι, χρημάτων, ἢ δόξης. Ἡ μὲν γὰρ τῆς προαιρέσεως ἐν τῷ κατὰ φύσιν φυλακὴ, περίσπουδον μὲν τῶν ἐφ' ἡμῖν, καταφρονητικὸν δὲ τῶν οὐχ ἐφ' ἡμῖν ἐστιν· ἡ δὲ πρὸς τὰ ἐκτὸς συντονία, τὸ ἐναντίον ἐπιτηδεύει. Διὸ οὐ ῥᾴδιον τῷ παιδευομένῳ τὸ ἀμφότερον ποιεῖν. Καὶ ἀσφαλῶς οὐχ εἶπεν ἀδύνατον, ἀλλ', οὐ ῥᾴδιον, διὰ τὰς σπανίας φύσεις, καὶ τὰ σπάνια κινήματα τῶν μεγαλουργῶν ψυχῶν. Ἀλλ' ἀνάγκη, φησὶν, εἰ μέλλοι κατορθοῦν ὁπότερον, τοῦ ἑτέρου παντάπασιν ἀμελεῖν.

[IN CAP. XIV, § 1.] Σπουδῆς ἄξιά ἐστι τά τε δυνατὰ κατορθοῦσθαι (ὁ γὰρ περὶ τὰ ἀδύνατα σπουδάζων, ἀνόητος) καὶ ἔτι τὰ προσήκοντα τῷ σπουδάζοντι· τὸ γὰρ ἀλλοτριοπραγμονεῖν, περιττόν· καὶ τρίτον σπουδῆς ἄξιον, τὸ λόγου τινὸς ἄξια εἶναι τὰ προτιθέμενα, καὶ ἀσφάλειαν ἔχειν καὶ βεβαιότητα. Τίς γὰρ εὖ φρονῶν, περὶ τὰ εὐτελῆ, καὶ μὴ σπουδῆς ἄξια, τὰ σαθρὰ, σπουδάζοι; Βουλόμενος οὖν ἀποτρέψαι τὸν παιδευόμενον τῆς περὶ τὰ ἐκτὸς σπουδῆς, διὰ τῆς τοῦ ἐφ' ἡμῖν καὶ οὐχ ἐφ' ἡμῖν διαιρέσεως, ἐν ἀρχῇ περιληφθείσης, καὶ ἀλλότρια δείκνυσι τὰ ἐκτός. Οὐ γάρ ἐστιν ἐφ' ἡμῖν τὰ ἀλλότρια, ὡς δέδεικται. Ὁ τοίνυν τὰ τέκνα, καὶ τὴν γυναῖκα, καὶ τοὺς φίλους βουλόμενος ζῆν, βούλεταί τι καὶ σπουδάζει τῶν οὐχ ἐφ' ἡμῖν· ὅπερ εὐθὺς διὰ τοῦτο καὶ ἀδύνατον ἡμῖν ἐστι, τὸ πάντως περιποιεῖσθαι. Ὧν γὰρ οὐχ ἐσμεν κύριοι, ταῦτα οὐ πάντως ἑαυτοῖς δυνάμεθα περιποιεῖν· τῶν γὰρ κυρίων

ostentationis reprimat cupiditatem. Hæc enim cum inflat animum, et ad externa trahit, eoque redigit, ut ad vulgi opinionem, non suo judicio vitam instituat: tum eumdem opinione vulgi contentum, ad veram scientiam contendere non sinit. Recte autem non dixit, Nihil videare scire : sed, *Ne videri velis scire aliquid.* Nam existimatio de nobis, non est nostra, nec in potestate nostra sita : velle autem, nostrum est opus. Quandoquidem igitur subinde aliquibus aliquid videmur, etiam inviti ; tum, *Ipse tibi,* inquit, *diffide.* Id enim adjumento est, ne quis populari se censuræ submittat, eave contentus non progrediatur ulterius. Sibi autem non multum placere nec magnifice de sese sentire, ad eos qui erudiuntur pertinere perspicuum est. Nam, qui scientiæ est compos, et de se ipso tuto et vere judicare potest, ei non opus est sibi ipsi diffidere.

Est autem vana opinio non scientiæ tantum, sed et modestiæ, aut justitiæ, aut fortitudinis, aut prudentiæ, aut cujuscumque virtutis aut civilis facultatis, aut eminentioris alicujus apud homines dignitatis. Quæ omnia, et id genus alia, minuta particula, *Aliquis*, complexus est, cum diceret, *Et, si quibus esse aliquis videare.* Deinde communem conclusionem subjicit tam his quæ nunc, quam iis quæ antea dicta sunt, de rerum internarum cura : *non esse facile* tironi *et voluntatem naturæ consentaneam tueri, et rebus externis studere*, sive pecuniæ, sive gloriæ. Voluntatis enim gubernatio, naturæ consentanea, inest in earum rerum studio, quarum in nobis sita est potestas; et in earum, quæ nostri juris non sunt, contemtione. Contentio vero de rebus externis, contrarium consectatur. Quare in utroque elaborare tironi difficile est. Caute autem non dixit, non posse fieri; sed, *non esse facile,* ob rara ingenia, et raros motus excellentium ingeniorum. *Sed necesse est te,* inquit, *si alterum utrum recte administrare volueris,* prorsus *negligere alterum.*

[IN XIV, 1.] Studio digna sunt quæ et rite confici possunt (nam qui in rebus irritis elaborat, desipit), et quæ decent illum qui id studium suscipit; aliena enim curare, supervacaneum est. Præterea studio dignum est, si res propositæ habeant aliquod operæ pretium, firmitatem et constantiam. Quis enim cordatus homo in rebus vilibus, caducis, et studio indignis, suum studium consumat? Tironem igitur a studio rerum externarum avocaturus, divisione rerum nostri et alieni arbitrii initio proposita; externa quæ sint, *aliena* etiam esse declarat. Neque enim penes nos sunt aliena, ut demonstratum est. *Qui* igitur *liberos, qui uxorem et amicos vivere vult,* aliquid vult et expetit eorum quæ in nostra potestate sita non sunt : eaque de caussa nostri arbitrii non est, eo potiri. Quarum enim rerum potestas nostra non est, eas plane consequi non possumus : sed eo-

ἐστὶ, τὸ δοῦναι ἡμῖν. Ἔστι δὲ καὶ φύσει εὐτελῆ, καὶ σαθρὰ, καὶ εὐαπόϐλητα, τὰ ἐκτός. Τὰ γὰρ θνητὰ θνήσκειν ἀνάγκη, ὅταν ἐπέλθῃ τὸ χρεών.

Ὁμοίως δὲ καὶ ὁ τὸν οἰκέτην ἀπαιτῶν καὶ ἑαυτοῦ ἐνίοτε καλλίονα εἶναι, ὅπερ πάσχομεν πολλάκις οἱ πρὸς τὰς πλημμελείας τῶν οἰκετῶν δυσχεραίνοντες, μωρὸς, φησὶν, ἐστὶ, τὰ ἀδύνατα θέλων. Ἀδύνατον γὰρ, τὴν κατὰ τὸ ἄλογον τὸ ἑαυτῆς ζῶσαν ψυχὴν (ὅπερ ἐστὶ κακία ψυχῆς) μὴ πλημμελῶς ἐνεργεῖν, καὶ μὴ τὰς κακίᾳ πρεπούσας ἐνεργείας ἀποδιδόναι. Ἀνάγκη οὖν τὸν περὶ τὰ ἀδύνατα, καὶ ἀλλότρια, καὶ εὐαπόϐλητα, καὶ σαθρὰ σπουδάζοντα, ἀποτυγχάνειν αὐτῶν· καὶ ἀποτυγχάνοντα, λυπεῖσθαι καὶ θρηνεῖν· ἐὰν οὖν βουλώμεθα μὴ ἀποτυγχάνειν, περὶ τὸ ἐφ' ἡμῖν σπουδαστέον. Ἐφ' ἡμῖν δέ ἐστι, τὸ τῶν κατὰ φύσιν προσηκόντων ἡμῖν ὀρέγεσθαι. Περὶ τοῦτο οὖν, καὶ μὴ περὶ τὰ ἐκτὸς, τὴν ἑαυτῶν σπουδὴν δαπανήσωμεν.

[IN CAP. XIV, § 2.] Καὶ τοῦτο διαϐολὴν ἔχει τῶν ἐκτὸς, καὶ τῆς πρὸς αὐτὰ τῶν ψυχῶν ἀπονεύσεως· δι' ἣν οὐ μόνον λυπούμεθα, καὶ θρηνοῦμεν, ἀποτυγχάνοντες ὧν ὀρεγόμεθα, καὶ περιπίπτοντες οἷς ἐκκλίνομεν· ἀλλὰ καὶ δουλεύειν, καὶ οὐχ ἑνὶ μόνον, ἀλλὰ καὶ πολλοῖς, ἐνίοτε δὲ καὶ πικροῖς δεσπόταις, ἀναγκαζόμεθα. « Κύριος γὰρ, φησὶν, ἑκάστου καὶ δεσπότης ἐστὶν, ὁ ἔχων ἐξουσίαν τὰ θελόμενα ὑπ' αὐτοῦ, καὶ ὧν ὀρέγεται, ἢ περιποιῆσαι, ἢ ἀφελέσθαι ἀπ' αὐτοῦ. » Καὶ γὰρ τοῖς δυναμένοις παρασχεῖν τὰ ὀρεκτὰ ὑποκλινόμεθα, καὶ ὑποταττόμεθα, καὶ ὑπηρετοῦμεν δουλικῶς, ἵνα παράσχωσιν ἡμῖν αὐτά. Καὶ τοὺς δυναμένους ἀφελέσθαι ἃ ἔχομεν, κολακεύομεν μετὰ δέους· καὶ τρέμομεν καὶ περισαίνομεν, ὡς δεσπότην, τὸν τὰ ἐκκλινόμενα παρ' ἡμῶν ἐξουσίαν ἔχοντα ἐπαγαγεῖν, ἵνα μὴ ἐπαγάγῃ· καὶ τὸν ἀφελέσθαι δυνάμενον, ἵνα μὴ ἀφέληται. Δῆλον δὲ, ὅτι καὶ τὰ ἐκτὸς καὶ τὰ ἀλλότρια ἡμῶν ταῦτα ἐστὶν, ὧν ἄλλοι τὴν ἐξουσίαν ἔχουσιν, εἰς τὸ περιποιεῖν ἢ ἀφαιρεῖσθαι. Τῶν γὰρ ἡμετέρων ἡμεῖς κύριοι, καὶ ἐφ' ἡμῖν ἐστιν ἐκεῖνα. Εἰ οὖν ἀγαθὸν ἡ ἐλευθερία, καὶ βουλόμεθα εἶναι ἐλεύθεροι, καὶ μὴ δοῦλοι, μήτε ὀρεχθῶμεν τινὸς τῶν ἐπ' ἄλλοις ὄντων, μήτε ἐκκλίνωμεν αὐτά. Εἰ δὲ μὴ, δουλεύειν ἀνάγκη πολυειδῶς, ἵνα τύχωμεν τῶν ὀρεκτῶν, καὶ μὴ ἀφαιρεθῶμεν αὐτῶν· ἵνα ἐκκλίνωμεν τὰ φευκτὰ, καὶ μὴ περιπίπτωμεν αὐτοῖς.

Ὅρα δὲ, ὅτι ἐφ' ἑκάστου διπλοῦς ἔχομεν τοὺς δεσπότας· τὸν μὲν, ἔνδον, τὸν δὲ, ἔξω. Ἡ γὰρ ἄλογος ὄρεξις τὸν λόγον κινήσασα, τουτ' ἔστιν ἡμᾶς τοὺς κατ' αὐτὸν οὐσιωμένους, καὶ αἰχμάλωτον λαϐοῦσα, σὺν ἐκείνῳ δουλεύει λοιπὸν τῷ ἐκτὸς δεσπότῃ· ὥστε μὴ μόνον δούλους ἡμᾶς, ἀλλὰ καὶ δούλων δούλους εἶναι. Καὶ οἱ μὲν ἄλλοι δοῦλοι χωρίζονται τῶν δεσποτῶν, κἂν ἐν τοῖς ὕπνοις, καὶ ἔνδοσιν ἐξ αὐτῶν λαμϐάνουσί τινα· ἡμεῖς δὲ καὶ ἐν τοῖς ὕπνοις ταῖς ἀκολάστοις καὶ ἀδίκοις καὶ ἀλλοκότοις προστάξεσι τῶν χαλεπῶν τούτων δεσποτῶν ὑπηρετοῦμεν, καὶ ἔνδοσιν οὐδεμίαν ἔχομεν, ὅταν αὐτοῖς

rum est illas dare, quorum in potestate sunt. Præterea res externæ suapte natura sunt viles, caducæ, infirmæ, incertæ. Mortalia enim, instante fato, mori necesse est.

Similiter, qui *postulat ut famulus se ipso* interdum *sit melior* (id quod nobis sæpe accidit, qui peccata servulorum ægre ferimus), *stultus* est; cum ea desideret, quæ fieri nequeunt. Nec enim fieri potest, quin animus brutam sui partem in degenda vita sequens (in quo inest animi pravitas) vitiose et prave agat. Necesse est igitur, earum rerum studiosum, quæ nec fieri possunt, et alienæ caducæque sunt, et facile amittuntur, frustrari iis, frustratumque dolere et plorare. *Si ergo frustrari nolumus ;* in eis rebus, quæ nostri sunt arbitrii, elaborandum erit. Nostri autem arbitrii est, ea expetere, quæ secundum naturam nobis conveniunt. In hoc igitur, non in rebus externis, studium nostrum consumamus.

[IN XIV, 2.] Et hoc rerum externarum criminationem continet, et animorum ad eas propensionis; ob quam non modo frustrati iis quæ appetimus, et oppressi iis quæ declinamus, dolemus et ploramus; verum etiam servire, nec uni solum, sed multis, iisque acerbis etiam interdum, dominis cogimur. *Cujusque* enim, inquit, herus et *dominus est is, qui potestatem habet, ea quæ ille vult* et desiderat, *aut conferendi, aut auferendi.* Nam iis, qui nostra desideria explere possunt, nos submittimus, paremus, et servilem in modum ministramus, ut nobis morem gerant. Et, qui ea, quæ habemus, eripere possunt, eis cum timore adulamur : et tremimus demulcemusque, ut dominum, eum qui, quæ nos declinamus, inferre nobis potest, ne inferat; et qui eripere potest, ne eripiat. Perspicuum est autem, et externa et nobis aliena esse ea, quorum alii potestatem habent vel conferendi, vel auferendi. Nostrarum enim rerum nos domini sumus, et in nostra potestate illæ sunt. Quod si igitur bonum est libertas; *si liberi*, non autem servi *esse volumus :* nec adpetamus quidquam, nec declinemus, quod penes alios est. *Alioqui* multifariam *servire necesse erit*, ut res desideratas et consequamur et retineamus, ut effugiamus ea quæ declinamus, nec in eadem incidamus.

Vide autem : nos quavis in re binos dominos habemus; alterum intus, alterum foris. Brutus enim adpetitus, rationem movens (hoc est, nos ipsos, quorum natura et essentia in ratione inest) et captivam ducens, jam simul cum illa servit externo domino : ut non modo servi, sed et servorum servi simus. Ac alii quidem servi saltem in somno heris suis non præsto sunt, et aliquid vacationis ab eis impetrant : nos vero etiam in somno petulantibus, injuriis, et monstrosis edictis immitium istorum dominorum paremus; nec, postquam jugum eorum subiimus, ullam vaca-

ὑποταγῶμεν· ἀλλὰ ποτὲ μὲν ἔργοις, ποτὲ δὲ λόγοις, ποτὲ δὲ φαντασίαις ὑπ' αὐτῶν ἐξοιστρούμεθα. Καὶ τὸ χεῖρον, ὅτι τῶν μὲν δούλων οἱ μετριώτεροι ἄκοντες ὑπηρετοῦσι τοῖς ἀτόποις τῶν δεσποτῶν ἐπιτάγμασιν· ἡμεῖς δὲ καὶ συνηδόμενοι, καὶ μηχανὰς ὑποβάλλοντες πρὸς τὸ τυχεῖν ἢ ἐκκλῖναι ὧν οὐδέποτε ἀβλαβῶς καὶ ἀσυμφόρως κελεύουσι.

[IN CAP. XV.] Πολλαχῶς ἀναχαιτίσας τὴν ἐπὶ τὰ ἐκτὸς τῶν παιδευομένων ῥοπὴν, ἵνα μὴ τελέως πάλιν αὐτῶν ἀποτρέπειν νομισθῇ, λέγει, τίνων καὶ ὅπως χρὴ μεταλαμβάνειν. Καὶ πρῶτον μὲν ἔλεγεν, ὅτι τῶν ἀναγκαίων καὶ τῶν ἄλλως χρησίμων πρὸς τὸν βίον, ὁδοῦ πάρεργον μεταληπτέον, πρὸς τὸ πλοῖον ἀεὶ τεταμένον. Νῦν δὲ, ὅτι τὰ μὲν διδόμενα ἐξ αὐτῶν κοσμίως χρὴ λαμβάνειν, καὶ τέκνα, καὶ ἀρχὴν, καὶ πλοῦτον, καὶ τὰ τοιαῦτα· μὴ ἐκτείνειν δὲ ἐπ' αὐτὰ τὴν ὄρεξιν. Ἀλλ' εἰ μὲν γινόμενα ἀφαιροῖτο, (τοῦτο γὰρ νομίζω δηλοῦν τὸ Παρέρχεται,) μὴ κάτεχε, φησί· τοῦτ' ἔστι, μὴ βιάζου μένειν αὐτὰ, μηδὲ δυσχέραινε τὴν ἀφαίρεσιν. Εἰ δὲ οὔπω ἥκει, μὴ ὀρέγου αὐτῶν, μηδὲ πρὸς αὐτοῖς ὅλος γίνου ταῖς ἐπιθυμίαις καὶ φαντασίαις, σαυτοῦ τε καὶ τῆς ἑαυτοῦ προκοπῆς ἐπιλανθανόμενος. Καὶ διδομένων δὲ, φησὶ, μὴ ὅλον σαυτὸν περιχαρῶς καὶ λαιμάργως ἐκτείνῃς πρὸς αὐτά· ἀλλὰ κοσμίως, καὶ τεταγμένως, ἄκρῳ δακτύλῳ, τὸ λεγόμενον, αὐτῶν μεταλάμβανε· ἵνα καὶ ἄρχειν αὐτῶν δύνῃ, καὶ χρῆσθαι δεόντως, ἐξῃρημένος καὶ μὴ κατακλυζόμενος ὑπ' αὐτῶν. Συμποσίῳ δὲ ἀπείκασε τὴν εἰς ταὐτὸ συνοδίαν τῶν ὑπὸ θεοῦ συναγομένων, ὡς ἑστιάτορος, καὶ μετέχοντος ἑκάστου τῶν ἀπονεμομένων ὑπ' αὐτοῦ προσφόρως ταῖς οἰκείαις ὀρέξεσι· τοῦ μὲν κοσμίως, ἑαυτῷ τε κατὰ φύσιν, καὶ κατὰ τὴν γνώμην τοῦ ἑστιάτορος, ὅτι καὶ συμπότης αὐτῷ δοκεῖ· τοῦ δὲ ἀτάκτως καὶ ἐπισεσυρμένως, καὶ ἑαυτῷ τε ἀσυμφόρως, καὶ ἀνοικείως τῷ ἑστιάτορι.

Ἐὰν δὲ καὶ διδομένου, φησὶ, τινὸς τῶν ἐκτὸς τούτων ὑπὸ τῶν πολλῶν μακαριζομένων, μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, ὡς Κράτης ἐποίησε καὶ Διογένης· Ἀλεξάνδρου γὰρ ἐρωτήσαντος τί βούλεται, Ἀπόστηθι, φησὶ, τοῦ ἡλίου· ἔτυχε γὰρ ὑπ' αὐτὸν θερμαινόμενος· ὥστε θαυμάσαντα τὴν μεγαλοφροσύνην τοῦ ἀνδρὸς τὸν Ἀλέξανδρον εὔξασθαι, εἰ μὲν δυνατὸν, καὶ τὸν Διογένην γενέσθαι· εἰ δὲ μὴ, μεῖναι Ἀλέξανδρον. Ὁ τοίνυν, φησὶ, καὶ διδομένων αὐτῶν μὴ λαμβάνων, ἀλλ' ὑπερορῶν, καὶ εἰς τὴν ἐξῃρημένην τῆς γενέσεως ὑπεροχὴν τῆς ζωῆς ἀνατρέχων, οὐ συμπότης μόνον τῶν Κρειττόνων, ἀλλὰ καὶ συνάρχων γίνεται. Ἡ μὲν γὰρ περὶ τὴν γένεσιν πρόνοια τῶν Κρειττόνων, συνεστίους ποιεῖται τοὺς κατὰ γνώμην αὐτῶν ἐν αὐτῇ πολιτευομένους· ἡ δὲ ἐξαίρεσις αὐτῶν καὶ ὑπεροχὴ τῶν ὅλων (ἐξῄρηται γὰρ τὸ κυρίως ἄρχον τοῦ ἀρχομένου), αὕτη τὰς μιμουμένας ψυχὰς εἰς τὸ συνάρχειν αὐτοῖς καλεῖ. Μετεωροπολοῦσαι γὰρ τότε, συνδιοικοῦσι τὸ πᾶν, καὶ οὐκ ἐγκατατεταγμέναι αὐτῷ. Διὸ, φησὶν, οἱ ὑπερι-

tionem habemus : sed alias factis, alias verbis, alias imaginibus et visis ab eis exagitamur. Et (quod est pessimum) cordatiores servi absurda herorum mandata inviti exsequuntur : nos vero et lætamur, et rationes comminiscimur, quibus ea vel consequamur, vel declinemus, quæ illi nunquam sine damno et detrimento nostro nobis imperant.

[IN XV.] Tironum ad res externas propensione multifariam refrenata, ne prorsus ab eis dehortari videatur, quænam ex eis, et quomodo percipiendæ sint, docet. Et supra quidem dixerat, necessariis aut alioqui vitæ utilibus rebus obiter esse utendum, ad navem animo semper intento. Nunc vero monet, quæ ex his dentur, *modeste esse accipienda;* ut [*uxorem,*] *liberos*, *principatum, divitias*, et id genus alia, *adpetitum vero ad ea non extendendum esse.* Sed, si data auferantur (hoc enim verbum *præterire* significare opinor), *non esse retinenda vi*, ait, nec eorum ereptionem ægre ferendam. Sin *nondum adsunt*, ne adpete ea, neve in eis totus desideriis et visis tuis versare, tui ipsius et profectus tui oblitus. Atque etiam, si data fuerint, inquit, ne exsultans et avidus in illa totus incumbas : sed *sobrie*, modeste, et summis quod aiunt digitis eas attingito; ut iis et imperare, et ut decet frui queas, supra eas eminens, et non demersus in iis. Cum *convivio* autem confert cœtum eorum, qui eodem in loco a deo, tamquam convivatore, congregantur; in quo quisque cibis ab illo distributis, pro sua parte, congruenter suis adpetitionibus fruatur : alius *modeste,* tam pro natura sua, quam ex sententia convivatoris, cujus etiam sodalis esse videtur; alius immodeste et incondite, tam sibi inutiliter, quam contra voluntatem convivatoris.

Quod si quid vero, inquit, eorum quæ vulgus maximi facit, *datum non acceperis, sed despexeris,* ut Crates fecit et Diogenes : hic enim rogatus ab Alexandro quid vellet, Recede, inquit, e sole; nam apricabatur : quare miratus Alexander magnitudinem animi ejus, optavit, si fieri posset, ut Diogenis similis evaderet; sin minus, ut maneret Alexander. Qui igitur, inquit, ea etiam cum dantur, non accipit, sed aspernatur, et ad eam vitæ excellentiam contendit, quæ supra hunc mundum eminet, non *compotor* modo deorum, sed et *collega in imperio* evadit. Nam providentia deorum, quæ res hujus vitæ gubernat, contubernales et convivas sibi facit eos, qui ex ipsorum sententia vitam degunt : elatio vero et eminentia deorum super omnia (nam quod pro auctoritate imperat, elatum est et eminet supra id quod paret), hæc imitatores sui animos ad imperii societatem vocat. Nam tum velut in sublimi versantes animi, universitatem rerum una administrant, quasi exemti ex ea, nec amplius eidem illigati. Quare, inquit, ii qui hæc

δόντες τούτων, Ἡράκλειτός τε καὶ Διογένης, ἀξίως θεῖοί τε ἦσαν καὶ ἐλέγοντο· θεῖοι γὰρ οἱ κατὰ τὸ ἄκρον καὶ ἐξῃρημένον τὸ ἐν αὐτοῖς διαζήσαντες· τὸ γὰρ πανταχοῦ ἄκρον, θεῖον, ὅτι πάντων ἀκρότατον θεός.

[IN CAP. XVI.] Ὥσπερ ἐν τοῖς αἱρετοῖς δοκοῦσι τῶν ἐκτὸς οὐ δεῖ πρόχειρον καὶ ἐπιδεικτικὸν αὐτῶν εἶναι, ἐννοοῦντα, ὅτι, ὁποῖά ποτ' ἂν ᾖ, οὐκ ἔστιν ἐν αὐτοῖς τὸ ἀγαθὸν ἡμῶν· οὕτω καὶ ἐν τοῖς φευκτοῖς δοκοῦσι τῶν ἐκτὸς ἀσφαλῆ χρὴ εἶναι, ὡς οὐδὲ τῶν κακῶν τῶν ἡμετέρων ἐν τοῖς ἐκτὸς κειμένων. « Ὅταν οὖν, φησὶ, κλαίοντα ἴδῃς, ἢ ὡς ἀποθανόντος αὐτῷ τοῦ τέκνου, ἢ ὡς ἀποδημοῦντος, ἢ ὡς ἀπολωλεκότος τὰ αὐτοῦ, μή σε συναρπάσῃ ἡ φαντασία, ὡς ἐν κακοῖς ὄντος ἐκείνου τοῖς ἐκτός. » Οὐ γὰρ ἐν τοῖς ἐκτός ἐστιν ἡμῶν τὰ κακὰ, ὥσπερ οὐδὲ τὰ ἀγαθά. Πῶς οὖν ὁ κλαίων οὗτος ὡς ὑπὸ κακοῦ τοῦ συμβεβηκότος θλίβεται; οὐ γὰρ τοιοῦτον φύσει τὸ συμβεβηκός ἐστιν· ἐπεὶ καὶ πάντας ἔθλιβεν ἂν, οἷς συνέβαινεν· ὥσπερ τὸ φύσει θερμὸν πάντας θερμαίνει τοὺς ψαύοντας. Ἀναξαγόρας δὲ, ἀκούσας, ὅτι τέθνηκεν αὐτοῦ ὁ υἱὸς, γαληνῶς ἅμα καὶ μεγαλοφρόνως, Ἤδειν, φησὶ, θνητὸν γεννήσας. Τί οὖν θλίβει τοῦτον; Τὸ δόγμα τὸ περὶ τοῦ συμβεβηκότος, ὅτι κακόν· τοῦτό ἐστι τὸ θλῖβον αὐτόν. Τὸ δὲ δόγμα, ἡμέτερόν ἐστιν. Ὥστε θλίβει μὲν ὄντως τὸ κακόν· τοῦτο δὲ οὐκ ἐν τοῖς ἐκτὸς, ἀλλ' ἐν τοῖς ἐφ' ἡμῖν ἐστι, τὸ τοίως ἢ τοίως περὶ τῶν συμβαινόντων ὑπολαμβάνειν.

Τί οὖν; ἀσυμπαθῶς ἔχειν δεῖ πρὸς τοὺς θλιβομένους τὸν ἐπιεικῆ; καὶ, τοῦ δόγματος αὐτῶν καταγινώσκοντα, περιορᾷν αὐτούς; Οὐδαμῶς· ἀλλὰ συμπεριφέρεσθαι μὲν, καὶ μέχρι τινὸς συγκαταβαίνειν, καὶ λόγον συμπαθῆ λέγοντα, κἂν δέοι συνεπιστενάζοντα, οὐ προσποιητῶς· οὐ γὰρ προσήκει τῷ ἐπιεικεῖ ἡ προσποίησις· ἀλλ' αὐτὸν ἐπὶ τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ στενάζοντα, οἷα πράγματα στεναγμοῦ ἄξια νομίζει. Προσέχειν δὲ χρὴ τῷ μέτρῳ τῆς συγκαταβάσεως, μὴ τῇ συμπαθείᾳ προαχθῇ καὶ αὐτὸς ἔνδοθεν ἐπὶ τῷ συμβεβηκότι στενάξαι· οὐδὲ γὰρ βοηθεῖν ἔτι δύναται τῷ θρηνοῦντι. Χρὴ γὰρ τὸν μέλλοντα τῷ πάθει βοηθεῖν, καὶ ἀνθέλκειν αὐτὸν ἀπὸ τοῦ πάθους, μέχρι τινὸς συγκαταβαίνειν, ἀσφαλῶς ἡδρασμένον αὐτόν. Οὔτε γὰρ ἐφ' ἑαυτῷ τις τελέως μένων ἀνασπάσει τὸν κατασυρόμενον ὑπὸ ῥεύματος, οὔτε ὅλος ἐκείνῳ συγκατασπασθείς. Ὁ μὲν γὰρ τελέως ἐξῃρημένος, ἀσυμπαθὴς εἶναι δοκῶν, οὐ πείθει τὸν παθαινόμενον· ὁ δὲ καὶ αὐτὸς συνηττηθεὶς τῷ πάθει, ἄλλου δεῖται τοῦ βοηθήσοντος.

[IN CAP. XVII.] Πρότερον μὲν συμποσίῳ τὴν ἐνταῦθα διαγωγὴν καὶ μέθεξιν τῶν ἐκτὸς ἀπείκαζε, καὶ συμποσιάρχῃ τὸν διδόντα θεόν· ὅτι κυρίους ἡμᾶς τοῦ λαβεῖν, ἢ μὴ λαβεῖν, ὑπετίθετο. Καὶ διὰ τοῦτο τὴν ὄρεξιν ἡμῶν ἐπαιδαγώγει, πῶς ἔχειν αὐτὴν χρὴ, καὶ τὴν αἵρεσιν, πρός τε τὰ παρόντα τῶν ἐκτὸς, καὶ τὰ παρεληλυθότα, καὶ τὰ μέλλοντα. Καὶ γὰρ ἐν τοῖς συμποσίοις κατὰ τὴν ἑαυτοῦ αἵρεσιν ἕκαστος [καὶ ἀπέχεται] καὶ μεταλαμβάνει τῶν προσφερομένων. Νυνὶ

despexerunt, *Heraclitus* et Diogenes, *divini et erant, et merito appellabantur*. Divini enim sunt, qui secundum id quod in ipsis summum et super cætera elatum est, vivunt. Quod enim ab omni parte summum, id divinum est : omnium enim rerum summum fastigium Deus est.

[IN XVI.] Sicut in iis rebus externis quæ expetendæ videntur non præproperum nec gloriosum esse oportet; reputantem, cujuscunque sint modi, bonum nostrum in iis non esse collocatum : ita in iis etiam externis rebus, quæ fugiendæ videntur, constantem esse decet, quod nec mala nostra in rebus externis sita sint. *Cum* igitur *ejulantem*, inquit, *aliquem videris, sive filio mortuo aut peregre agente, sive re sua familiari perdita : ne te visum id impellat, ut cum ob res externas in malis esse existimes.* Neque enim in rebus externis mala nostra sunt, sicut ne bona quidem. Cur ergo iste plorans, tanquam *malum* sit *quod ei acciderit*, adfligitur? Nec id enim sua natura malum est : alioqui omnes adfligerentur, quibus tale quid evenisset; sicut id quod natura calet, omnes eos a quibus attingitur, calefacit. At vero Anaxagoras, audito filii sui obitu, placido simul et magno animo : Noram, inquit, me eum genuisse mortalem. Quid ergo est quod adfligit istum? *Quod opinatur*, sibi aliquid accidisse mali, id est quod eum adfligit. *Opinio* autem nostra est. Itaque adfligit illum quidem vere malum aliquod ; at id non in rebus externis positum, sed in iis quarum potestas est sita in nobis, scilicet, ut hoc illove modo res æstimemus.

Quid ergo? vir bonus non afficietur eorum dolore, qui adfliguntur? et, improbata eorum opinione, ipsos negliget? Nequaquam : sed *indulgendum* est quidem, et aliquatenus concedendum, cum oratione dolorem præ se ferente, tum, si opus sit, una gemendo; idque non simulate; (nec enim bonum virum decet simulatio;) sed illud gemendum est, tantam esse hominum imbecillitatem, ut istiusmodi res gemitu dignentur. Est autem animadversione dignum, quatenus ista progredi indulgentia debeat, *ne* eo veniatur, ut ipse etiam *ex animo* propter casum illum ingemiscas : hoc enim jam ne juvare quidem quidquam potest lamentantem. Debet enim is, qui dolentem juvare vult, et a dolore eum retrahere, aliquatenus obviam ei ire; sed ita, ut ipse sit firmiter et tuto collocatus. Neque enim is, qui prorsus in suo vestigio permanserit, retrahet eum qui ab flumine abripitur; nec rursus, si totus cum eo abripiatur. Qui enim rebus humanis plane exemtus est, cum immisericors videatur, nihil valet apud eum qui angitur : ei vero, qui eodem adfectu vincitur, ipsi consolatione est opus.

[IN XVII.] Prius convivio vitam hanc et externarum rerum usum comparavit, et, qui eas largitur, Deum, convivatori; quippe qui liberum nobis fecerit, oblata vel accipere vel repudiare. Ea igitur de caussa nostram adpetitionem instar pædagogi informavit, ac docuit, quemadmodum res externæ, tam præsentes, quam præteritæ et futuræ, sint amplectendæ. Nam in conviviis suo quisque arbitratu vel abstinet adpositis, vel fruitur. Nunc vero scenæ

δὲ σκηνῇ τὸν βίον ἀπεικάζει· καὶ δράματος ὑποκριτὰς τοὺς ἐν αὐτῷ πολιτευομένους, καὶ χορηγὸν τοῦ δράματος καὶ διδάσκαλον τὸν θεὸν ὑπογράφει· ὅτι τὸ μὲν λαβεῖν καὶ μὴ λαβεῖν τὸ ἀπονεμόμενον οὐκ ἔστιν ἐφ' ἡμῖν. Ἀνάγκη γὰρ πάντως λαβεῖν οἷα πολλὰ τῶν ἀπὸ τῆς εἱμαρμένης ἐστί. Κἂν γὰρ πλοῦτον ἐφ' ἡμῖν ἐστι μὴ λαβεῖν, ἀλλὰ πενίαν οὐ πάντως ἐφ' ἡμῖν ἐστιν ἐκκλῖναι, ἢ νόσον. Κἂν τὸ δεσπόταις μὴ εἶναι ἢ ἄρχουσιν ἐφ' ἡμῖν ἐστιν· ἀλλὰ τὸ μὴ δουλεῦσαι ἢ ἀρχθῆναι οὐκ ἔστιν ἐφ' ἡμῖν. Διὸ ἐπὶ τούτων ἡ χρῆσίς ἐστιν ἐφ' ἡμῖν. Καὶ τὸ ἀγαθὸν ἡμῶν ἢ τὸ κακὸν ἐν τούτοις, οὐκ ἐν τῷ ὀρεχθῆναι ἢ μὴ, ἢ λαβεῖν ἢ μὴ λαβεῖν, ὡς πρότερον ἐλέγετο, ἀλλ' ἐν τῇ χρήσει ἐστὶν, ἐφ' ἡμῖν οὔσῃ καλῶς ἢ κακῶς διατεθῆναι. Τὸ γάρ τοι νοσεῖν καλῶς, ἢ πένεσθαι καλῶς, καὶ ὅλως ἡ χρῆσις καὶ τοῦ κατὰ αἵρεσιν καὶ τοῦ ἐξ ἀνάγκης ληφθέντος ἐφ' ἡμῖν ἐστιν· ὥσπερ καὶ ἐπὶ τῆς σκηνῆς τὸ μὲν ἐκλέξασθαι τῶν ὑποκριτῶν ἕκαστον πρὸς τὸ ἐπιτήδειον πρόσωπον ἐν τῷ δράματι, πρὸς βασιλέα, ἢ δοῦλον, ἢ μαινόμενον, ὡς τὸν Ὀρέστην, τοῦ διδάσκοντος τὸ δρᾶμά ἐστι, καὶ τῶν ἐν αὐτῷ προσώπων καὶ τῶν ὑποκριτῶν τὴν ποιότητα ἐπεσκεμμένου· τὸ δὲ ὑποκρίνεσθαι καλῶς τὸ δοθὲν πρόσωπον τοῦ ἐκλεγέντος ἐστὶν ὑποκριτοῦ. Διὸ καὶ εὐδοκιμεῖ πολλάκις δοῦλος, ἢ πτωχὸς, ἢ μαινόμενος ἐν τῷ δράματι· καὶ ἀποδοκιμάζεται πλούσιος, ἢ στρατηγὸς, ἢ βασιλεύς· ὅταν ἐκεῖνοι μὲν καλῶς τὸ δοθὲν πρόσωπον ὑποκρίνωνται, οὗτοι δὲ κακῶς, τὸ ἐφ' ἑαυτοῖς· ὧν οἱ μὲν καλῶς ἐξεπόνησαν, οἱ δὲ κακῶς. Οὕτω δὲ καὶ ἐν τῷ βίῳ. Πόσων ἄρα βασιλέων, καὶ πλουσίων, καὶ ἐῤῥωμένων, ὁ δοῦλος καὶ πένης καὶ χωλὸς Ἐπίκτητος ὑπό τε τοῦ χορηγοῦ καὶ διδασκάλου θεοῦ, καὶ ὑπὸ τῶν ἐν τῷ βίῳ θεατῶν, προεκρίθη; ὅτι καλῶς τὸ δοθὲν αὐτῷ πρόσωπον καὶ κατὰ τὴν τοῦ διδασκάλου γνώμην ὑπεκρίνατο, τὸ ἐφ' ἑαυτῷ καλῶς οἰκονομήσας· ἐν ᾧ τὸ ἀγαθὸν καὶ τὸ κακόν ἐστι τὸ ἀνθρώπινον, καὶ τὸ ἐπαινετὸν παρὰ τοῖς εὖ φρονοῦσι, καὶ τὸ ψεκτόν.

[IN CAP. XVIII.] Τοῦτο, οἶμαι, τὸ κεφάλαιον τὴν προσήκουσαν ἔσχεν ἂν τάξιν, εἰ πρὸ τοῦ προσεχῶς εἰρημένου ἐτέτακτο, μετὰ τὸ πρὸ ἐκείνου, οὗ ἀρχὴ, « Ὅταν κλαίοντα ἴδῃς ἐν πένθει. » Εἰπὼν γὰρ ἐν ἐκείνῳ, ὅτι οὐ χρὴ συμπαθαίνεσθαι τοῖς ἐν κακῷ νομίζουσιν εἶναι δι' ἀφαίρεσίν τινος τῶν ἐκτὸς, οὐδὲ συναρπασθέντα νομίζειν ὅτι ἐν κακῷ ἐστιν ὁ τοιοῦτος, εἴπερ ἐν τοῖς ἐφ' ἡμῖν ἐστιν ἡ οὐσία τοῦ ἀγαθοῦ καὶ κακοῦ ἡμῶν· νῦν λέγει, ὅτι καὶ ἐὰν ὄρνις, ἢ σύμβολός τις, ἢ μαντεία, δόξῃ σοι τινὰ κακὰ σημαίνειν, μηδὲ οὕτω συναρπασθῇς· ἀλλὰ χωρίσας τῶν ἀπὸ τοῦ σώματός σου καὶ τῶν ἐκτὸς, ἐννόησον, ὅτι τὸ ἀγαθὸν καὶ τὸ κακόν σου ἐπὶ σοί ἐστιν. Ἐὰν οὖν σὺ μὴ θέλῃς ἐν κακῷ εἶναι, τὰ σημαινόμενα ταῦτα κακὰ οὐκ ἂν εἴη σοὶ σημαινόμενα, ἀλλ' ἢ τῷ σωματίῳ σου, ἢ τῷ δοξαρίῳ, ἢ τῇ περιουσίᾳ, ἢ τέκνοις, ἢ γυναικί· σοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν θέλῃς σὺ, διὰ τὸ ἐπὶ σοὶ εἶναι τὸ ἀγαθόν σου, καὶ τὸ κακόν. Ἀμέλει ἀπὸ τῶν περὶ τὰ ἐκ-

similem vitam facit: et eos, qui in ea versantur, ut *fabulæ actores*, Deum vero ut choragum et *magistrum* describit: quod eam personam, quæ adsignetur, vel accipere vel repudiare, non sit nostrum. Omnino enim necesse est multa accipere qualia a fato nobis tributa sunt. Etsi enim penes nos est, aspernari divitias; paupertatem tamen, aut morbum, vitare, non omnino penes nos est. Item licet penes nos sit, non esse dominos aut magistratus; at, quo minus serviamus aut sub alterius imperio simus, non est nostri arbitrii. Quare in his nostri arbitrii est via ratioque qua eis utamur. Et bonum aut malum nostrum, quod ad hæc attinet, in adpetendo aut non adpetendo, vel in accipiendo aut non accipiendo, ut ante dictum est, sed in usu est situm; qui nostri arbitrii est, ut ea vel bene vel male tractemus. Nam bene morbum aut paupertatem ferre, et omnino uti iis quæ vel ultro vel coactus acceperis, in tua potestate est: quemadmodum in scena singulis histrionibus aptam fabulæ personam imponere, sive regis, sive servi, sive furiosi, qualis est Orestis, ejus est qui fabulam docet, quique tam personarum quæ in ea sunt, quam histrionum ingenia perspecta habet. Sed *impositam personam belle repræsentare* designati histrionis erit. Quare sæpe servus, aut mendicus, aut furiosus probatur in fabula; dives autem, aut imperator, aut rex improbatur: cum illi, quod in ipsis est, datam personam belle exprimunt, hi vero suam male, prout utrique in eo elaborarunt. Hic etiam fit in vitâ. Quot enim regibus, divitibus, robustis, servus, pauper, et claudus Epictetus, tam a chorago et magistro Deo, quam ab hujus vitæ spectatoribus, est prælatus? quia personam sibi impositam bene et ex magistri sententia egit, et quod in ipso fuit, probe administravit; in quo bonum et malum hominis situm est, et id quod a cordatis hominibus vel laudetur, vel vituperetur.

[IN XVIII.] Caput hoc, mea quidem opinione, si præpositum superiori fuisset, commodum locum tenuisset, post id quod præcedit, cujus initium est: *Cum ejulantem quempiam videris in luctu.* Nam ibi cum dixisset, non adficí oportere eorum dolore qui ob externæ alicujus rei jacturam in malo sibi esse videantur, neque abreptum viso existimare talem in malo esse; siquidem nostri boni et mali vis ac summa in iis sit, quæ in nostra potestate sita sunt: nunc, *si augurium*, sive omen, sive divinatio *mali aliquid portendere tibi videatur;* ne sic quidem, inquit, abripi phantasiam tuam patiaris: sed, sejungens bonum et malum tuum a corpore tuo et a rebus externis, cogites, bonum et malum tuum penes te esse. Si igitur tu in malo esse nolueris; ista quæ portenduntur mala, *non tibi portenduntur, sed aut corpori tuo aut famæ, aut opibus, aut liberis, aut uxori: tibi vero prospera omnia significantur, si ipse volueris;* quia penes te est bonum et malum tuum. Immo vero fieri potest, ut *mala* quæ videntur in rebus externis,

τὸς δοκούντων κακῶν καὶ ὠφελεῖσθαί σε δυνατόν· καὶ ὅσῳ μείζονα δοκεῖ ταῦτα, τοσούτῳ μᾶλλον ὠφελεῖσθαι ἀπ' αὐτῶν, καλῶς ἐν αὐτοῖς ἀναστραφέντα. Καίτοι, εἰ σὰ κακὰ ἦν ταῦτα, ἔβλαπτεν ἄν σε, καὶ οὐκ ὠφέλει. Εἰ οὖν καὶ ὠφελεῖσθαί σε δυνατὸν ἐξ αὐτῶν, καὶ σοὶ οὐδὲν ἂν γένοιτο κακὸν, εἰ μὴ σὺ θέλεις· καὶ τὰ σημαινόμενα ταῦτα ὡς σὰ κακὰ, ἐὰν θέλῃς, οὐ σά ἐστιν, ἀλλὰ τῶν περὶ σέ τινός.

[IN CAP. XIX, § 1.] Εἰπὼν ὅτι σοὶ οὐδὲν σημαίνεται κακὸν, ἐὰν μὴ σὺ θέλῃς· ὥστε καὶ ἐπὶ σοὶ εἶναι τὸ μὴ εἶναι ἐν κακῷ· τούτου οἶμαι τὴν αἰτίαν καὶ τὴν ἀπόδειξιν διὰ τοῦ νῦν παρατεθέντος ᾐνίξατο. Εἰ γὰρ ἐπὶ σοί ἐστι τὸ μηδέποτε πρὸς τὰ ἐκτὸς παραβάλλεσθαι καὶ ἀγωνίζεσθαι, ἢ ὀρεγόμενον, ἢ ἐκκλίνοντα, ἐν οἷς ἡττᾶσθαί ποτε ἀνάγκη, ἢ ἀποτυγχάνοντα τῶν ὀρεκτῶν, ἢ περιπίπτοντα τοῖς ἐκκλινομένοις· ἀλλ' ἐν τοῖς ἐπὶ σοὶ μόνοις ἀναστρέφου, ἐν οἷς κύριος εἶ τοῦ μηδέποτε ἀποτυγχάνειν, ἢ ὀρεγόμενον ἢ ἐκκλίνοντα· ταὐτὸν δὲ εἰπεῖν, μηδέποτε ἡττᾶσθαι, ἀλλ' ἀεὶ εἶναι ἀνίκητον. Εἰ δὲ καὶ τοῦτο, δῆλον, ὅτι καὶ τὸ μηδέποτε γενέσθαι ἐν κακῷ, ἐπὶ σοί ἐστιν. Ὁ γὰρ ἐν κακῷ γενόμενος, ἡττᾶται ὑπὸ τοῦ κακοῦ. Εἰ δὲ ἐπὶ σοὶ τὸ μηδέποτε ἐν κακῷ γενέσθαι, ἐπὶ σοὶ ἂν εἴη τὸ μηδέποτε κακόν τι σοὶ σημαίνεσθαι. Ὀρθῶς ἄρα εἴρηται, ὅτι τῶν κακῶν οὐδέν σοι σημαίνεται, ἐὰν μὴ σὺ θέλῃς· τοῦτ' ἔστιν, « ἐὰν μὴ εἰς ἀγῶνα καταβαίνῃς, ὃν οὐκ ἔστιν ἐπὶ σοὶ νικῆσαι· » τοῦτ' ἔστιν, ἐὰν μὴ ἐν τοῖς ἐκτὸς τὸ ἀγαθὸν σαυτοῦ καὶ τὸ κακὸν ἀφορίζῃς.

[IN CAP. XIX, § 2.] Εἰπὼν ἀνίκητον εἶναι τὸν μὴ καταβαίνοντα εἰς ἀγῶνα τῶν οὐκ ἐφ' ἡμῖν· ἐπειδὴ πρὸς ταῦτα ἕλκει μάλιστα τὰ τῶν ἐν αὐτοῖς εὑρεῖν δοκούντων παραδείγματα, καὶ ὁ πρὸς αὐτοὺς ζῆλος, καὶ φθόνος· δείκνυσι συντόμως, ὅτι οὐδεὶς τῶν τἀγαθὸν τὸ ἀνθρώπινον ζητούντων, ἢ φθονεῖ τούτοις, ἢ ζηλεύει ποτέ. Εἰ γὰρ τὸ ἀνθρώπινον ἀγαθὸν ἐν τοῖς ἐφ' ἡμῖν ἐστιν, οἱ δὲ προτίμησιν, καὶ δυναστείαν, καὶ εὐδοκίμησιν παρὰ τοῖς πολλοῖς ἔχοντες, οὐ τῶν ἐφ' ἡμῖν τι ἔχουσιν· δῆλον, ὅτι οἱ τοιοῦτοι οὐδὲ ἀγαθὸν ἔχουσιν ἀνθρώπῳ προσῆκον. Ποίαν οὖν χώραν ἔχει πρὸς τοὺς τοιούτους φθόνος, ἢ ζηλοτυπία; καὶ γὰρ ὁ μὲν φθόνος, λύπη ἐστὶν ἐπ' ἀλλοτρίῳ ἀγαθῷ· ὁ δὲ ζῆλος, ζέουσα θέλησις τοῦ παρισωθῆναι τῷ νομιζομένῳ ἀγαθῷ. Φύεται δὲ ταῦτα τὰ πάθη, ἐκ τοῦ πάντα ἄνθρωπον κατὰ φύσιν τιμῆς ἐπιθυμεῖν, καὶ τοῦ τῶν ὁμοίων μὴ ἀποπίπτειν. Διὸ οἱ μὲν ἀτονώτεροι τὴν φύσιν, καὶ προκόπτειν αὐτοὶ μὴ ἰσχύοντες, τῇ καθαιρέσει τῶν πέλας παρισοῦσθαι ἢ ὑπερέχειν αὐτῶν βούλονται, καὶ λυποῦνται ἐπὶ ταῖς τῶν πέλας εὐπραγίαις. Καὶ ἐστὶ τοῦτο φθόνος. Πρὸς γὰρ τὸν εὖ ἔχοντα, ἢ δοκοῦντα εὖ ἔχειν, ὁ φθόνος ἕρπει· τὸν ὅμοιον δὲ μάλιστα, ἢ συγγενείᾳ, ἢ ἐπιτηδεύματι, ἢ τύχῃ. Οὐδεὶς γὰρ φθονεῖ τῷ πάνυ ὑπερέχοντι, ἢ τῷ πάνυ ἐλάττονι· ὅτι οὐδ' ἁμιλλᾶταί τις πρὸς τοὺς τοιούτους. Οἱ δὲ τόνον ἔχοντές τινα, θερμῶς κινοῦνται πρὸς τὸ αὐτοὶ προκόψαντες παρισωθῆναι, ἢ καὶ ὑπερ-

tibi prosint etiam; et tanto magis prosint, quanto majora videntur, si recte ea tractaris. Atqui, si ea tua essent mala, nocerent, non juvarent. Quoniam igitur iis et juvari potes, nec tibi quidquam accidet mali, nisi ipse velis; etiam ea quæ portendi tibi mala videntur, si volueris, non tua mala erunt, sed eorum alicujus quæ extrinsecus tibi adjacent.

[IN XIX, 1.] Quod dixit nihil tibi portendi mali, nisi ipse volueris; atque adeo in tua potestate esse, ne sis in malo: ejus, opinor, caussam et demonstrationem quamdam his verbis voluit adferre. Quod si enim penes te est, numquam cum externis rebus *congredi* et *certare*, sive adpetendo sive declinando; in quibus aliquando vinci necesse est, aut frustratum rebus desideratis, aut circumventum declinatis; versare igitur in iis solis, quæ penes te sunt, quibus ne umquam frustrere sive adpetendo sive declinando, tui est arbitrii: id vero idem est quod dicit, In quibus numquam succumbas, sed perpetuo sis *invictus*. Quod si hoc, illud etiam penes te est dubio procul, ne umquam sis in malo: nam qui in malo est, a malo vincitur. Sin penes te est, ne umquam in malum incidas: illud etiam penes te erit, ne quid umquam tibi mali portendatur. Recte igitur dictum, nihil tibi portendi mali, nisi ipse velis; hoc est, *nisi in certamen descendas, cujus victoria penes te non sit*: hoc est, si in rebus externis bonum tuum et malum tuum non collocaris.

[IN XIX, 2.] Cum invictum esse dixisset eum qui nullum de rebus alienis certamen susciperet: quoniam ad hoc certamen nos trahunt præsertim exempla eorum, quibus res externæ prospere evenisse videntur, et æmulatio adversus eos, et invidia; is compendio demonstrat, eorum neminem, qui bonum humanum quærunt, umquam his invidere aut cum eis æmulari. Nam si *bonum* humanum *in rebus nostræ potestati subjectis situm* est; qui vero populari honore, potentia, gloria præcellunt, nihil eorum habent, quæ in nostra potestate sita sunt: perspicuum est, hujusmodi homines ne bonum quidem habere homini conveniens. *Quid ergo loci* adversus istos *habeat invidia, aut æmulatio?* Nam invidia dolor est, ex alieno bono ortus: et æmulatio, fervor quidam voluntatis exæquandi se cum eo quod bonum habetur. Nascuntur autem hæ perturbationes ex eo, quod quivis homo ipsius naturæ impulsu honoris est adpetens, nec paribus de dignitate vult concedere. Itaque si qui sunt infirmioribus ingeniis, qui ipsi per se nihil promovere possunt, proximum quemque deprimendo æquare illum aut etiam superare contendunt, et successibus aliorum dolent: quæ est *invidia*. Nam ad eum, quicum bene agitur, vel agi videtur, invidia velut adrepit; in primis, vel genere, vel studio, vel fortuna fere parem. Nemo enim vel prorsus eminenti vel omnino inferiori invidet, neque cum talibus certat quispiam. In quibus vero aliquid animi et nervorum est, hi inflammati aviditate feruntur, ut illos, strenue pro-

βαλεῖν ἐκείνους, πρὸς οὓς ἡ ἅμιλλα. Διὸ ὁ μὲν φθόνος ἀεὶ φαῦλόν ἐστι πάθος· ὁ δὲ ζῆλος, ὅταν περὶ ἀρετῆς γένηται, ἀγαθὸς, καὶ συγγενὴς τοῦ ἀγαθοῦ ἔρωτος· ὅταν δὲ περί τι τῶν ἐκτὸς, φαῦλος, καὶ τῷ φθόνῳ συντεταγμένος.

Εἰ τοίνυν ὁ μὲν φθόνος, καὶ ὁ ζῆλος, ὡς ἐπ' ἀγαθοῖς γίνεται· προτίμησις δὲ, καὶ δυναστεία, καὶ εὐδοξίμησις, τὰ παρὰ τοῖς πολλοῖς ἀγαθὰ δοκοῦντα, οὐκ ἔστιν ἀγαθὰ, εἴπερ ἐν τοῖς ἐφ' ἡμῖν τὸ ἀγαθόν ἐστι· δῆλον, ὅτι ἐπὶ τούτων φθόνος καὶ ζῆλος οὐδεμίαν ἔχουσι χώραν κατά γε τὸ ἀληθές. Οὐ χρὴ τοίνυν, φθονοῦντα, ἢ ζηλοῦντα τοὺς περὶ τὰ τοιαῦτα εὐροοῦντας, ἐν τούτοις τίθεσθαι τὸ ἀγαθὸν τὸν παιδευόμενον. Ἐλευθερίας γὰρ αὐτὸν ὀρέγεσθαι χρὴ τῆς ἀπὸ τῶν αὐτῶν παθῶν ἀλογίστων ὄντων πέδης, καὶ οὐδενὸς τῶν ἐκτός. Μία δὲ ὁδὸς εἰς ἐλευθερίαν ἄγει, φησὶν, ἡ καταφρόνησις τῶν οὐκ ἐφ' ἡμῖν· ἐν οἷς ἡ δουλεία, καὶ ἡ ἧττα. Ἐν τούτοις γὰρ τὸ ἀποτυγχάνειν ὧν ὀρεγόμεθα, καὶ περιπίπτειν οἷς ἐκκλίνομεν· περὶ ταῦτα ἡ τῶν ἀλόγων ἐν ἡμῖν παθῶν ὄρεξις, καὶ ἡ καθ' ἡμῶν τυραννὶς αὐτῶν. Διὸ τῶν ἐκτὸς καταφρονοῦντες, καὶ τὰς συγγενεῖς πρὸς αὐτὰ ὀρέξεις, ὡς τῶν συμμάχων ἐρημωθείσας, ὑποκατακλίνεσθαι ποιοῦμεν τῷ λόγῳ.

[**IN CAP. XX, XXI.**] Διασύρας πάλιν τὰ ἐν τοῖς ἐκτὸς νομιζόμενα ἀγαθὰ, καὶ μίαν ὁδὸν πρὸς ἐλευθερίαν τὴν καταφρόνησιν τῶν οὐκ ἐφ' ἡμῖν εἰπών· τὰς πρὸς ταῦτα ἐνστάσεις, ἢ καὶ λόγῳ λεγομένας, ἢ πάντως γοῦν ταῖς ἐννοίαις τῶν ἄρτι παιδευομένων ἐνοχλούσας, διαλύει· ἀπὸ τῶν αὐτῶν τῆς παιδείας ἀρχῶν ὁρμώμενος. Καὶ αἱ μὲν ἐνστάσεις λέγουσιν, ὅτι καταφρονοῦντες τῶν ἐκτὸς, καὶ διὰ τοῦτο εὐτελεῖς καὶ ἀδύνατοι μένοντες, πολλὰ πεισόμεθα κακὰ ὑπὸ τῶν ὑπερεχόντων, ἐὰν μήτε δύναμιν ἔχωμεν, μήτε κολακεύειν τοὺς δυναμένους αἱρώμεθα. Καὶ γὰρ λοιδοροῦσι, καὶ τύπτουσι, καὶ παντοίως ὑβρίζουσιν ἡμᾶς, καὶ τὰ ὑπάρχοντα ἀφαιροῦνται, καὶ φυγαδεύουσι, καὶ τὸ τελευταῖον ἐνίοτε καὶ φονεύουσιν. Αὐτὸς δὲ πρὸς ταῦτά φησιν, ὅτι τούτων οὐδὲν δεινόν· ἢ γὰρ ἂν πᾶσιν ἐφαίνετο δεινά· ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτῶν, ὅτι δεινὰ, τοῦτό ἐστι δεινόν. Ὥστε οὔτε ὑβρίζουσιν οὗτοι, τοιαῦτα ποιοῦντες· ἀλλὰ τὸ ἐν ἡμῖν δόγμα, ὅτι ὑβριζόμεθα, τοῦτό ἐστι τὸ ὑβρίζον ἡμᾶς. Τὸ δὲ δόγμα, καὶ ἡ περὶ τούτου ὑπόληψις, ἡμέτερόν ἐστιν ἔργον. Ἡμεῖς οὖν ἑαυτοὺς ὑβρίζομεν. Ὅτι δὲ οὐδὲ δεινόν ἐστιν, οὐδὲ δυσχεράνσεως ἀξία ἡ ὕβρις, δῆλον ἐντεῦθεν· ἢ γὰρ ἀληθής ἐστιν, ἢ ψευδής· καὶ εἰ μὲν ἀληθὴς, τί δυσχεραίνομεν τὰ ἀληθῆ ἀκούοντες; διὰ τί δὲ ποιεῖν αὐτὰ οὐ δυσχεραίνομεν, ἀκούειν δὲ δυσχεραίνομεν; εἰ δὲ ψευδὴς, ἐκεῖνος βλάπτεται ὁ ψευδόμενος.

Τί οὖν χρὴ ποιεῖν πρὸς τοῦτο; Μὴ συναρπάζεσθαι, φησὶν, ὑπὸ τῆς φαντασίας τοῦ ὑβρίζεσθαι, καὶ βοᾷν ἢ ὀδύρεσθαι ἐν κακῷ νομίζοντας εἶναι· ἀλλὰ δοῦναι καιρὸν ἑαυτῷ τῆς τοῦ συμβάντος ἐπισκέψεως, ὁποῖόν ποτε ἐστίν. Ἂν γὰρ χρόνου τινὸς καὶ διατριβῆς τύχῃς, μὴ

grediendo, vel æquent, vel superent, cum quibus sibi certamen instituerunt. Quare invidia semper vitiosus est adfectus. *Æmulatio* vero, cum virtutem spectat, bona est, et cognata amoris boni : cum autem res externas; mala, nec invidia melior.

Si ergo et invidia et æmulatio opinione boni excitantur; honos vero, et potentia, et celebritas nominis, quæ vulgo in bonis habentur, bona non sunt, cum bonum in rebus nostræ potestati subjectis sit collocatum; perspicuum est, *in illis invidiam et æmulationem nihil habere loci*, si quidem veritas spectetur. Non decet igitur, eum qui eruditur, invidendo vel æmulando eos, quibus ista ad voluntatem fluere videntur, in eis bonum collocare. *Libertas* enim ei expetenda est ab eorumdem adfectuum rationi repugnantium compedibus; nihil autem rerum externarum. *Una* vero, inquit, *ad libertatem via* ducit, *rerum quæ in nobis sitæ non sunt*, *despicientia;* quippe in quibus est servitus et clades. In his enim inest et frustrari iis quæ adpetimus, et incidere in ea, quæ fugimus. In his versantur brutorum nostrorum adfectuum adpetitus, et tyrannis quam illi in nos exercent. Quamobrem rebus externis despiciendis, etiam adpetitiones ad illas spectantes, veluti sociis destitutas, rationi præbemus obedientes.

[IN XX, XXI.] Rursus elevatis iis quæ in rebus externis habentur bona, et via unica ad libertatem demonstrata, rerum quæ nostri arbitrii non sunt, contemtione : quæ contra hæc adferri possunt vel oratione, vel tironum tacita certe cogitatione, dissolvit, eisdem eruditionis principiis innitens. Occurrunt illi scilicet hoc modo, ut dicant : Si res externas despexerimus, eaque de caussa viles et inopes permanserimus, multas potentiorum injurias perferemus, cum et nullis muniti præsidiis simus, et eis adulari recusemus. Nam et *convicianttur* et *verberant*, et variis nos *contumeliis adficiunt*, et quæ habemus eripiunt, et relegant nos, interdum denique etiam occidunt. Ipse vero ad hæc respondet : Nihil esse in istis grave; alioqui enim omnibus utique gravia viderentur : sed *opinionem*, quæ ea gravia faciat, *esse gravem*. Quare non istos, cum talia faciant, contumelia nos adficere : sed, quæ in nobis sit, *opinionem*, qua nos adfici contumelia putemus, eam *esse quæ contumelia nos adficiat*. Opinio autem, et existimatio de ea, nostrum opus est. Nos igitur a nobis ipsis afficimur contumelia. Neque vero per se rem gravem esse, aut indignatione dignam, contumeliam, inde constat. Aut enim verum est crimen, aut falsum. Si verum : cur moleste ferimus, veritatem nobis dici? cur facere non piget, audire piget? sin falsum : iste qui mentitur, læditur.

Quid igitur faciendum? *Non committendum*, inquit, *ut abripiat te visum* contumeliæ, ut vociferetis, et lamenteris, te in malo esse existimans : sed spatium ipse tibi præbeas oportet rei considerandæ, cujusnam modi sit. Nam *si temporis aliquid et moræ impetraris*, ne repentinum

συναρπασθῇς ὑπὸ τοῦ αἰφνιδίου, ἅμα μὲν [ἄλυπος ἔσῃ,] ἅμα δὲ καιρὸν ἕξεις τὰς τῆς παιδείας ἀρχὰς προχειρίσασθαι, καὶ διελέσθαι, πότερον τῶν ἐφ' ἡμῖν ἐστι τὸ συμβὰν, ἢ τῶν οὐκ ἐφ' ἡμῖν. Κἂν τῶν οὐκ ἐφ' ἡμῖν εὕρῃς αὐτὰ, συνάψεις, ὅτι οὐδὲ ἀγαθὸν ἡμῶν οὐδὲ κακόν ἐστι, καὶ ὅτι ἐπ' ἐμοί ἐστι καὶ ὡς ἀγαθῷ χρήσασθαι αὐτῷ, καὶ ὠφεληθῆναι ἐξ αὐτοῦ, μεγαλοφρόνως αὐτὸ περιπτύοντι. Πρὸς δὲ τὸ μὴ συναρπασθῆναι συνεργεῖ τὰ μέγιστα τὸ ἐθισθῆναι, τινὸς τοιούτου συμβαίνοντος, σιωπᾷν, ἕως ἂν τῆς ἔνδοθεν ἀναζέσεως αἰσθώμεθα κατασταλείσης, καὶ ὁ ἐν ἡμῖν κύων μηκέτι ὑλακτῇ. Λέγεται γοῦν καὶ Σωκράτης, εἴ ποτε θυμωθείη, πάντως σιωπᾷν.

Τούτοις οἶμαι τὰ ἑξῆς δεῖ συμπλέκειν τάχα, καὶ συμπλεκτικὸν αὐτοῖς σύνδεσμον προσεννοεῖν, λέγοντα· « Θάνατος δὲ καὶ φυγὴ, καὶ πάντα τὰ ἄλλα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· » καὶ τὰ ἑξῆς. Κοινῷ γὰρ λόγῳ περὶ πάντων τῶν ἔξωθεν προσπιπτόντων, καὶ δοκούντων δεινῶν, εἰπὼν, ὅτι αὐτῶν μὲν οὐδὲν δεινὸν, οὐδὲ ὑβριστικὸν, οὐδὲ βλαβερόν ἐστιν· ἀλλὰ τὸ δόγμα τὸ περὶ αὐτῶν, τοῦτό ἐστι τὸ ὑβρίζον καὶ βλάπτον· βοήθειαν πρὸς τὰς λοιδορίας καὶ τὰς πληγὰς καὶ τὰ τοιαῦτα προσέθηκεν, εἰς τὸ μὴ θυμοῦσθαι ὑπ' αὐτῶν ἢ καταπίπτειν, τὸ μὴ συναρπάζεσθαι ὑπὸ τῆς φαντασίας. Πρὸς δὲ φυγὴν καὶ θάνατον, καὶ τὰ δεινότερα τῶν τοιούτων, ἄλλην πορίζει βοήθειαν, τὸ μὴ ἀπογινώσκειν τῶν τοιούτων, ἀλλὰ συνεχῶς ἐλπίζειν ὡς ἐνίοτε ἐσόμενα. Ἐὰν γὰρ ὁ μὲν λόγος ἀποδεικνύῃ, μήτε ἀγαθὰ μήτε κακὰ τὰ ἐκτὸς εἶναι, ὁ δὲ διὰ τῆς φαντασίας συνεθισμὸς φυσιοῖ πως ἡμᾶς οὕτω πρὸς αὐτὰ ἔχειν ὡς πρὸς συνήθη· οὔτε ἀπὸ τῶν δεινῶν δοκούντων ταπεινούμεθα, οὔτε τῶν ἡδέων δοκούντων λίαν ὀρεγόμεθα.

[IN CAP. XXII.] Διὰ τοσούτων παραινέσεων πάντας ἀνθρώπους προτρέψας, καθὸ ἄνθρωπους, τῶν μὲν ἐκτὸς καὶ τῆς περὶ αὐτὰ πτοίας ἀποστῆναι, ὡς ἀλλοτρίων, ἐν ἑαυτοῖς δὲ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ζητεῖν, ὅπερ τοῖς αὐτεξουσίοις προσήκει ζώοις, καὶ αἱρέσεως κυρίοις καὶ ὁρμῆς· ἐντεῦθεν λοιπὸν ὡς ἤδη ποσῶς προκεκοφόσι, καὶ φιλοσοφίας ἐπιθυμοῦσι, διαλέγεται τὰ πολλά. Καὶ τὴν ἀρχὴν εὐθὺς τῆς τοιαύτης ἐπιθυμίας προασφαλίζεται, τὰ ἐν ἀρχῇ συμβαίνειν εἰωθότα τοῖς τοιούτοις προλέγων, ἵνα μὴ ἐξαίφνης προσπεσόντα ταράξῃ, καὶ διαλύσῃ τὴν ἔνστασιν. Εἰώθασι γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων τοὺς ἀποτρέχειν βουλομένους τῆς συνήθους διαγωγῆς βαρύνεσθαι. Καὶ ποτὲ μὲν, διὰ τὸ μὴ δοκεῖν αὐτοὶ χειρόνως πράττειν, μάλιστα οἱ συνήθεις, καταγελῶσι καὶ χλευάζουσι· ποτὲ δὲ καὶ ὡς ἀναξίως ἐπαιρομένους ὀνειδίζουσιν, ἅμα μὲν θυμούμενοι κατ' αὐτῶν, ἅμα δὲ φθόνῳ, τὴν προθυμίαν ἐκκόπτειν βουλόμενοι. Καὶ δὴ πολλοὶ τοῖς γέλωσι τούτοις, καὶ τοῖς μώκοις, καὶ τοῖς ὀνειδισμοῖς ἡττηθέντες, ἔλιπον τὴν τάξιν, καὶ πρὸς τὰ πρότερον συνήθη ἐπέστρεψαν. Μῶκος δέ ἐστιν ὁ μυκτηρισμὸς, καὶ ὁ διὰ τοιούτου σχήματος εὐτελισμός.

objectum te commoveat, simul illæsus eris, simul spatium habebis principia doctrinæ promendi, et distinguendi, utrum ille sit casus in nostra potestate, necne. Quod si in nostra potestate non esse eum inveneris; adjunges, neque bonum nostrum neque malum esse : et penes te esse, tamquam bono etiam illo uti, et fructum inde capere, magno animo eum despiciendo. Ne autem abripiaris, plurimum tibi conferet tacendi consuetudo, si quid tale acciderit, donec æstum animi deferbuisse intellexeris, et canem tuum internum latrare desiisse. Fertur enim et Socrates, si quando commotus esset vehementius, prorsus tacuisse.

Cum his, mea sententia, statim reliqua sunt connectenda, conjunctiva particula subintellecta, ut dicas : *Mors* vero, *exsilium, cæteraque omnia, quæ in malis habentur, quotidie tibi sint ob oculos*, etc. Cum enim communi sermone de omnibus externis casibus, qui *formidabiles* haberi solent, disseruisset, nullum eorum per se neque terribilem, neque contumeliosum, neque noxium esse; sed opinionem de iis conceptam, esse quæ damno aut contumelia nos adficiat; id adjumentum adversus convicia et verbera, ne irriteris ab eis aut angaris, subjicit, nempe committendum non esse ut a viso statim abripiaris. Adversus *exsilium* autem et *mortem*, et id genus alia graviora, aliud remedium excogitavit; nempe, ne illa putemus numquam ad nos perventura, sed continenter exspectemus, ut quæ aliquando eveniant. Nam si simul ratio demonstrarit, res externas neque bonas esse, neque malas, simul vero consuetudo nobis eam quasi naturam attulerit, ut adversus ea tamquam usitata et quotidiana adfecti simus : nec iis quæ molesta habentur, deprimemur, nec suavium rerum imagine ultra modum adliciemur.

[IN XXII.] Tot præceptis omnes homines, quatenus homines sunt, hortatus, ut rebus externis earumque admiratione relicta, utpote alienarum, in semet ipsis bonum et malum quærant, id quod naturas libera voluntate, adpetitione ac delectu præditas deceat : jam dehinc velut cum iis qui aliquantum profecerint, et *philosophiæ studeant*, loquitur pleraque. Et statim quidem studii illius principium præmunit, ea quæ initio talibus hominibus evenire soleant prædicens; ne de improviso objecta perturbent, et destruant institutum. Nam plerique mortales, eos qui a consueta vivendi ratione recedere volunt, moleste ferre consuerunt : et alii quidem, familiares præsertim, quia sibi videntur non pejus res suas agere, *derident* eos et subsannant : alii eosdem, quasi præter meritum insolescentes, opprobriis petunt, iratique simul, et invidentes, studium eorum retundere student. Itaque multi hoc derisu, his sannis, hisce opprobriis victi, desertis ordinibus ad pristinæ vitæ consuetudinem redierunt. Est autem *sanna*, qui μῶκος græce dicitur, si quem adunco quod aiunt naso suspendimus, aut aliis id genus gestibus contemtum nostrum ei significamus.

Ἄλλοις δὲ οὐ μέχρι σχήματος καὶ μώκων καὶ ὀνειδισμῶν μόνον προχωρεῖ τὰ τοῦ πράγματος· ἀλλὰ καὶ κινδύνους ὑπομένουσι καὶ κλιμακτῆρας, αὐτοί τε καὶ οἱ συμπράττοντες αὐτοῖς εἰς εὐαγωγίαν· τοὺς μὲν ὑπὸ τῶν οἰκείων, διὰ συμπαθείας, ἀχρήστους οἰομένων ἔσεσθαι τῷ βίῳ· τοὺς δὲ ὑπὸ τῶν ἔξωθεν, τὰ μὲν φθονούντων τῇ ὑπεροχῇ τοῦ καλλίονος βίου, τὰ δὲ θυμουμένων ἐπὶ τῇ καταφρονήσει αὐτῶν τε καὶ τοῦ κατ' αὐτοὺς βίου.

Συμβαίνει δὲ τῷ ὄντι, τινὰς τῶν ὀρεχθέντων μὲν φιλοσοφίας καὶ εὐζωίας διά τινα εὐφυίαν τε καὶ εὐμοιρίαν, μήπω δὲ κατασχεθέντας ὑπ' αὐτῆς, ἀλλ' ἐν ἐλπίδι τέως καὶ φαντασίᾳ μόνῃ γενομένους τῆς ὑπεροχῆς αὐτῆς, ἣν ἔχει πρὸς τοὺς ἄλλους βίους, ὡς ἤδη ἔχοντας ἐπαίρεσθαι, διὰ τὸ μὴ ἔχειν. Οὐδὲν γὰρ οὕτω φιλοσοφίας καὶ εὐζωίας ἐστὶν ἀλλότριον, ὡς ἡ ἀνεσπασμένη ὀφρὺς, καὶ κενὴ ἔπαρσις αὕτη, τὸ Γνῶθι σαυτὸν τοῦ θεοῦ παράγγελμα μὴ λογιζομένη· ὃ καὶ ἀρχὴ καὶ τέλος πάσης ἐστὶ φιλοσοφίας καὶ εὐζωίας. Εὐθὺς οὖν ἀνάξιοι τούτων οἱ ἐπαιρόμενοι φαίνονται. Οὐ γὰρ ἀπὸ μεγέθους ψυχῆς ἡ ἔπαρσις αὕτη γίνεται, ἀλλ' ἔστιν οἴδημα κενὸν, καὶ παρὰ φύσιν πρὸς τὰ ἐκτὸς ἐκχεόμενον, καὶ τῶν ἐντὸς ἀποσπώμενον· τοῦ ὑγιεινοῦ μεγέθους, ὥσπερ ἐπὶ τοῦ σώματος, τῇ κατὰ φύσιν διαθέσει τῶν ἐντὸς ἑπομένου, καὶ δι' ὅλου γενομένου ὁμαλῶς, καὶ συνεχῆ τὴν κρίσιν πρὸς τὰ ἐντὸς τῶν ἐκτὸς διασώζοντος.

Παραγγέλλει οὖν τοῖς ἐπιθυμοῦσι φιλοσοφίας, τοῦτο μὲν τὸ πάθος φυλάττεσθαι, ὡς καὶ ἀνθρώποις ἐστυγημένον, καὶ τοῦ ἐπιβουλεύεσθαι ῥαδίως καὶ δικαίως τοῖς ἔχουσιν αἴτιον· καθαρεύοντα δὲ αὐτοῦ, μὴ ἐπιστρέφεσθαι πρὸς γέλωτας, καὶ μώκους, καὶ ὀνειδισμοὺς, ἐννοοῦντα τί ἐστιν ἄνθρωπος, καὶ τί τῇ τοιαύτῃ φύσει προσήκει· ἀλλὰ βεβαίως ἐμμένειν τῇ τοῦ βελτίονος βίου αἱρέσει, ὡς ὑπὸ θεοῦ προτρεπόμενον ἐπὶ ταῦτα. Τὸ γὰρ μέγιστον τῶν ἐκ θεοῦ δωρηθέντων ἀνθρώποις, φιλοσοφία ἐστί. Δηλοῦσι δὲ καὶ οἱ καταγελῶντες αὐτοὶ, μεγάλην μὲν ἔχοντες ἔννοιαν φιλοσοφίας, ἡμᾶς δὲ ὡς ἀναξίους αὐτῆς διασύροντες, ὅταν λέγωσιν, ὅτι Ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθεν. Ἔτι δὲ μᾶλλον, ἐὰν πράῳ καὶ μετρίῳ ἤθει τὴν ἔνστασιν μέχρι τέλους διαφυλάξωμεν, θαυμάσουσι καὶ αὐτοὶ, τὸ φιλοσοφίας κάλλος καὶ μέγεθος ἐν τῷ πρότερον καταγελωμένῳ ὁρῶντες.

Ἐὰν δὲ ἡττηθεὶς, φησὶ, τοῦ γέλωτος αὐτῶν, παραλύσῃς τὴν ἔνστασιν, καὶ ἐπανέλθῃς πρὸς τὰ πρότερον, διπλοῦν τότε προσλήψῃ καταγέλωτα. Καὶ γὰρ ὁ ἐν ἀρχῇ γέλως, προκόψαντος μὲν καὶ θαυμασθέντος ὑπὸ τῶν καταγελώντων, οὐδὲν ἦν πρὸς σὲ, ἀλλ' εἰς ἐκείνους ἀντέστραπτο τοὺς καταγελῶντας. Ἐὰν δὲ ἡττηθῇς αὐτῶν, καὶ ἐκείνου τοῦ γέλωτος γέγονας ἄξιος, ἐπὶ κοθόρνῳ ῥόπαλον ἐπιχειρήσας λαβεῖν, καὶ μετὰ ζωῆς εὐτελοῦς καὶ ἐπισεσυρμένης φιλοσοφίᾳ προσελθών· καὶ δεύτερον ἐπεσπάσω πάλιν δικαίως, τὴν τάξιν λιπὼν ἐν ᾗ κατετάχθης, καὶ ὑπὸ φαύλων οὕτω πολεμίων, γέ-

Neque vero vultu et gestu tantum ridentur, subsannantur, conviciis exagitantur : sed nonnulli etiam, cum ipsi, tum qui eorum institutionis adjutores sunt, graviora quoque discrimina adeunt; partim a cognatis, ex amore, quod existimant eos vitæ inutiles fore; partim ab alienis, qui cum excellentiæ vitæ melioris invident, tum ob sui suæque vitæ contemtum irascuntur.

Fit autem utique, ut nonnulli philosophiam et bene vivendi rationem auspicati, ingenii quadam bonitate et singulari felicitate præditi, at nondum prorsus illam amplexi, sed spe quadam et nuda imagine excellentiæ illius præ reliquis vitæ generibus imbuti, sese, quasi jam tenerent eam, efferant : [quod nempe hoc ipso illis usu venit] quoniam nondum tenent. Nihil enim æque a philosophia et recta vivendi ratione alienum est, quam altum supercilium, et inanis ista elatio, divinum illud de se ipso cognoscendo præceptum non reputans; quod et principium et finis est philosophiæ totius, et omnis recte vivendi rationis. Statim igitur indigni tantis rebus videntur, qui se efferunt. Nec enim ab animi magnitudine ista oritur elatio, sed est tumor inanis et præter naturam, ad exteriora se diffundens, avulsus ab interioribus. Nam salubris magnitudinis animi eadem ratio est, quæ corporis : nempe naturalem adfectionem interiorum partium sequitur, et per totum fusa æquabiliter, perpetuam temperiem et proportionem exteriorum ad interiora conservat.

Monet igitur philosophiæ cupidos, ut eum quidem adfectum caveant, ut et hominibus invisum, et caussam cur iis penes quos est et facile et merito struantur insidiæ. Sin purus ab eo fueris, ne risus, sannas et probra cures : sed diligenter cogites, quid sit homo, et quid tali naturæ conveniat; constanterque in melioris vitæ secta, velut a Deo ad eam amplectendam incitatus, permaneas. Nullum enim majus deorum immortalium munus hominibus datum est philosophia. Quod et ipsi derisores declarant : nam magnifice quidem de philosophia sentiunt, nos autem ut ea indignos derident, cum dicunt, *Iste nobis subito philosophus est reversus.* Multo autem magis, si mansuetis et moderatis moribus institutum nostrum ad finem usque tenuerimus, ipsi etiam admirabuntur, quum philosophiæ pulchritudinem gravitatemque in eo, quem pridem irriserant, perspexerint.

Si vero, inquit, *risu eorum victus*, ab instituto recesseris, et ad prioris vitæ consuetudinem redieris; *duplicato risu excipieris.* Nam prior ille risus, cum tu proficeres, et illi (intus) te admirarentur, nihil ad te pertinebat, sed in eos ipsos retorquebatur. Sin eis cesseris, tum vero et priori illo risu dignus eris, qui juxta muliebrem cothurnum clavam Herculis arripere institueris, et cum vitæ ratione vili et sordida ad philosophiam accesseris : et alterum risum ipse ultro merito elicies, deserta statione in qua collocatus eras; a tam vilibus hostibus, risu et sannis, aliisque

λωτος καὶ μώκου, καὶ τῶν τοιούτων, ἀπ' αὐτῆς ἐξωσθείς. Διπλοῦν οὖν ὄντως ὁ τοιοῦτος προσλήψεται καταγέλωτα, δικαίως, καὶ τοῖς ἔμφροσιν ἀρεστῶς, ὁ τῷ γέλωτι τῶν ἀδίκων καὶ ἀνοήτων ἡττηθείς, μηδὲν πρὸς αὐτὸν ὄντι, εἰ τὴν ἔνστασιν διεφύλαξε· μὴ διαφυλάξας δὲ, δίκαιον αὐτὸν καὶ ἔμφρονα γενόμενον εἰς ἑαυτὸν ἐπεσπάσατο.

Καὶ ἔστιν ἱκανὰ ταῦτα βοηθεῖν τῇ μὴ παντελῶς ἐκνενευρισμένῃ ψυχῇ πρὸς τὸ φυλάσσειν πανταχοῦ τὰς καλλίονας στάσεις. Σύμμαχον γὰρ αὐτῇ καὶ τὴν ἐπὶ τοῖς καλοῖς φιλοτιμίαν ποιεῖ, τόνον ἱκανὸν προστιθεῖσαν τῷ λόγῳ, καὶ εἰς αὐτὸν ἀποκαθαιρομένην· ὅτι τὴν τιμὴν μὴ δι' αὐτὴν καὶ τοὺς τιμῶντας ἁπλῶς ἀγαπῶμεν, καὶ ἔξω τιθέμεθα τὸ ἀγαθὸν, ἀλλὰ τεκμήριον αὐτὴν ποιούμεθα τοῦ ἔχειν τι ἀγαθὸν καὶ τιμῆς ἄξιον. Διόπερ οὐ τὴν τοῦ τυχόντος τιμὴν ἀποδεκτέον, ἀλλὰ τὴν τῶν ἐμφρόνων, ὧν τῇ μαρτυρίᾳ πιστεύειν ἀσφαλές.

[IN CAP. XXIII.] Εἰπὼν ὅτι τῶν βελτίστων φαινομένων ἔχεσθαι δεῖ, ὡς ὑπὸ θεοῦ τεταγμένων εἰς ταύτην τὴν χώραν, καὶ ὅτι ἐὰν μὲν ἐμμείνῃς τοῖς καλῶς δεδογμένοις, αὐτοί σε θαυμάσονται οἱ πρότερον καταγελῶντες· ἐὰν δὲ ἡττηθῇς, διπλοῦν προσλήψῃ καταγέλωτα· κοινῶς πρὸς ταῦτα ἐπήγαγεν, ὅτι τὸ ἀφ' ἑαυτοῦ πρὸς τὰ ἔξω στραφῆναι ἐπὶ τῷ ἀρέσαι τινὶ λύει τὴν φιλόσοφον ἔνστασιν, τὴν εἰς ἑαυτὸν καὶ τὰ κρείττονα βουλομένην ἐστράφθαι. « Ἀρκοῦ οὖν, φησὶν, ἐν παντὶ τῷ εἶναι φιλόσοφος· » τοῦτ' ἔστι, τῷ ἀγαθὸς ἀνὴρ εἶναι. Εἰ δὲ μὴ ἀρκεῖ σοι τὸ εἶναι μόνον, ἀλλὰ καὶ ἐκφαίνεσθαι βούλει τὸ σὸν ἀγαθόν· (ἐπειδὴ τὰ ὄντως ἀγαθὰ καὶ καλὰ προλάμπει· καὶ μᾶλλον ἄν τις πιστεύοι ἀγαθὸς εἶναι, εἰ καὶ διαφαίνοιτο αὐτοῦ ἡ ἀγαθότης·) καὶ τότε, φησὶ, μὴ πρὸς τὰ ἐκτὸς καὶ τοὺς πολλοὺς ἀποτείνου, τοὺς μηδὲ ἀξίους ὄντας τῶν τοιούτων κριτὰς, ἀλλὰ σεαυτῷ φαίνου, καὶ ἱκανόν ἐστι. Φιλοσοφῶν γὰρ ἤδη, (πρὸς γὰρ τὸν τοιοῦτον ὁ λόγος,) ἅμα μὲν τὴν σεαυτοῦ ἔνστασιν φυλάξεις, εἰς ἑαυτὸν ἐπεστραμμένος, ἅμα δὲ καὶ κριτὴν σεαυτοῦ σεαυτὸν ἕξεις, καλλίονα τῶν πολλῶν. Καὶ ὅρα τὴν διαφορὰν τοῦ προτέρου τοιούτου ῥηθέντος πρὸς τὸν ἀρχόμενον παιδεύεσθαι, καὶ τοῦ νῦν πρὸς τὸν ἤδη φιλοσοφεῖν ἐπιθυμοῦντα. Ἐκεῖ μὲν γὰρ ἔλεγε, Μηδὲν βούλου δοκεῖν ὅλως ἐπίστασθαι· ἐπειδὴ τοῖς ἐκτὸς ἐκεῖνος ἠβούλετο πάντως δοκεῖν, καὶ πρὸς ἐκείνην τὴν δόξαν ἐπτοημένος, καὶ οὔπω κριτὴς ὢν ἑαυτοῦ ἀξιόχρεως· ἐνταῦθα δὲ, ἐπειδὴ καὶ στρέφεσθαι πρὸς ἑαυτὸν οὗτός ἐστιν ἑτοιμότερος, καὶ τοῦ δοκεῖν ὀρέγεται, ὡς τεκμήριον τοῦ εἶναι ἀγαθὸς, διὸ οὕτως εἶπεν, Ἀρκοῦ τῷ εἶναι. Εἰ δὲ καὶ δοκεῖν θέλεις, καὶ κριτὴς μέντοι σεαυτοῦ λοιπὸν δύνασαι εἶναι, « σεαυτῷ φαίνου, φησὶ, καὶ ἱκανόν ἐστι. »

Μήποτε δὲ καὶ ἄλλην τινὰ χρείαν δηλοῖ τοῦτο τὸ κεφάλαιον; δοκεῖ γάρ μοι ὁ θαυμαστὸς οὗτος ἀνὴρ, ἀσφαλῶς χρώμενος τοῖς λόγοις, ὅταν εἴπῃ τὸ παρακούεσθαι δυνάμενον, εὐθὺς τὴν παρακοὴν διορθοῦν. Εἰπὼν οὖν πρότερον, ὅτι, ἐὰν ἐμμείνῃς τοῖς αὐτοῖς, οἱ κατα-

nugis ejusmodi, ab ea depulsus. Vere igitur et merito, et adnuentibus prudentibus omnibus, *dupliciter* talis homo *deridebitur*, ut qui et amentium risu (nihil ad se adtinente, si institutum suum tenuisset,) victus fuerit, et deinde, ab instituto desciscens, justum etiam ac prudentem sui derisum attraxerit.

Habent autem hæc magnas vires ad juvandum animum haud prorsus enervatum, ut pulcerrima quæque consilia in tota vita persequatur. Etenim certaminis socium ei adjungit honestæ gloriæ studium, quod idoneos nervos addat rationi, et ipsum rationis usu repurgetur; scilicet, ut honorem non propter se omnino, et propter honorantes amemus, et extrinsecus locemus bonum; sed ut eo argumento colligamus, nos habere aliquid boni, et honore digni. Quare non a quovis admittere honorem nos oportet, sed a prudentibus tantummodo, quorum testimonio fides haberi tuto possit.

[IN XXIII.] Dixerat ea quæ optima videantur sic tenenda esse nobis, quasi a Deo mandata sint; et, si recta consilia persequamur, fore ut hi ipsi nos admirentur, qui antea derisere: sin cesserimus, duplicatum nos derisum lucrifacturos. Nunc in genere his subjungit: Si a te ipso *ad externa convertaris, ut alicui placere velis, institutum* philosophi *destruis*, quod postulabat, ut ad te ipsum et ad Deum converteteris. *Eo* igitur, inquit, *semper contentus esto, si sis philosophus*, hoc est, vir bonus. Sin eo, ut sis, non contentus, etiam elucere bonum tuum cupis: (nam vere bona pulcraque perlucent; et fidentiori animo credimus esse nos bonos, si bonitas nostra adpareat:) ne tum quoque res externas et populum respice, qui talium rerum judex esse nequit, sed *tibi ipsi te videri* sit satis. Quum enim jam philosopheris, (cum tali enim sermo habetur,) simul et tuum institutum tenebis, in te ipsum conversus, simulque te ipsum tui ipsius judicem habebis, populo potiorem. Observabis autem discrimen ejus quod ante ad illum dictum est, qui erudiri incipit, et hujus quod nunc adpetenti jam philosophiæ dicitur. Ibi enim dicebat, *Nihil* prorsus *scire videri velis;* quia ille utique populo doctus videri volebat, et illa gloriola attonitus, judex sui ipsius idoneus nondum erat: hic vero, quia paratior est auditor ad conversionem in semet ipsum, conspicique se vult, quo testimonium habeat suæ bonitatis; ideo *re ipsa contentus esse* jubetur. Sin etiam videri vis, et tuus jam esse judex potes; *tibi ipsi videre*, inquit, *atque id satis erit.*

Fortasse vero alium quoque usum caput hoc adfert. Nam mihi quidem videtur admirabilis hic vir caute loquens, si quod dixisset quod perperam accipi queat, statim errorem illum corrigere. Cum igitur prius dixerit, Si in iisdem perseveraveris, qui dudum deridebant, iidem te admirabuntur;

γελῶντες οὗτοί σε ὕστερον θαυμάσονται· ἂν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα· καὶ δόξας τῆς ἔξωθεν κρίσεως ἐξαρτᾷν τὸν ἀκούοντα, διὰ τούτου τῶν ἐκτὸς ἀναχαιτίζει, καὶ ἀπὸ τῆς πρὸς τοὺς ἐκτὸς δοκήσεως, ἔξω τὴν ψυχὴν ἑλκούσης, καὶ ῥυπαινούσης αὐτὴν, εἰς ἑαυτὸν ἐπανάγει, ** καθαρωτέραν οὖσαν καὶ μηκέτι μάταιον, ἀλλὰ χρείαν τινὰ παρεχομένην. Τὸ γὰρ δοκεῖν τοῖς ἔμφροσι κριταῖς ἀγαθὸν εἶναι, τεκμήριον ὄντως ἱκανόν ἐστι τοῦ εἶναι ἀγαθόν. Καὶ πρὸς τοῦτο, οἶμαι, βλέπων, εἶπε τὸ Σαυτῷ φαίνου, καὶ ἱκανόν ἐστι.

[IN CAP. XXIV.] Τῶν ἐπιστρεφομένων πρὸς τὴν ἑαυτῶν ἐπιμέλειαν ἄλλοι ὑπ' ἄλλων περισπῶνται τινῶν, καὶ ἀπ' ἐκείνων τὰς ἐνστάσεις ἑαυτοῖς τε καὶ τοῖς προτρέπουσιν αὐτοὺς ἐπὶ τὸ κρεῖττον προβάλλονται. Καὶ οἱ μὲν νῦν ἀρχόμενοι παιδεύεσθαι, ταπεινοὶ ἔτι καὶ εὐτελεῖς ὄντες, λέγουσιν· Ἂν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς· ἂν μὴ κολάσω τὸν οἰκέτην, πονηρὸς ἔσται. Οἱ δὲ ἤδη προκεκοφότες, ταῦτα μὲν ὡς μικρὰ περιπτύουσι, καὶ θαῤῥοῦσιν, ὅτι οὐκ ἂν οὕτως ἄχρηστοι πρὸς τὸ πᾶν εἶεν ἔργον, ὡς ὑπὸ λιμοῦ διαφθαρῆναι· ὑπὸ δὲ τῆς τῶν καθηκόντων ἀποδόσεως, καὶ ὡς ἀγαθῆς καὶ ὡς τιμίας οὔσης, περισπῶνται. Τῆς γὰρ καθαρωτάτης τιμῆς ὀρέγονται οὗτοι, καὶ τὴν ἀτιμίαν ἐκκλίνουσι, καὶ φίλοις ἐπικουρεῖν βούλονται καὶ πατρίδι. Ἀπὸ τούτων φέρουσι τὰς ἐνστάσεις, ἃς διαλύει νῦν ὁ Ἐπίκτητος, καλῶς διὰ πασῶν ἐξελθών.

Καὶ πρώτην μὲν τὴν κοινὴν τίθησιν τὴν ἀπὸ τῆς ἀτιμίας εἰλημμένην, ὅτι ἀναχωρῶν τῶν ἐκτὸς, καὶ τῆς ἀγορᾶς, ἐν ᾗ

ἄνδρας ἀριπρεπέας τελέθουσι

κατὰ τὸν Ὅμηρον, ἀτίμως βιώσομαι, καὶ οὐδεὶς οὐδαμοῦ. Καὶ λύει, δυνάμει συλλογιζόμενος οὕτως· Ἡ ἀτιμία κακόν. Τὸ κακὸν ἐφ' ἡμῖν, ὥσπερ καὶ τὸ ἀγαθόν. Τὸ δὲ ἐφ' ἡμῖν οὐκ ἂν δι' ἄλλον ἢ ὑπ' ἄλλου ὑπάρχοι ἡμῖν· ἐπεὶ οὐκ ἂν ἐφ' ἡμῖν ἔτι ἐλέγετο. Ἡ ἄρα ἀτιμία, ὅταν παρῇ, ἐφ' ἡμῖν, καὶ ἐν ἡμῖν ἐστιν, κἂν ἀτιμάζωσί τινες ἔξωθεν, κἂν μὴ ἀτιμάζωσιν. Ὥστε οὐ χρὴ τὴν ἀπὸ τῶν ἄλλων ἀτιμίαν δεδοικέναι, οὐδὲ ἀτιμίαν ὅλως νομίζειν αὐτήν· εἴπερ ἡ ἀτιμία, κακὸν οὖσα, ἐν ἡμῖν ἐστιν.

Ἀλλ' ἴδωμεν λοιπὸν καὶ τὰ λήμματα τὰ παραληφθέντα, πῶς ἔχουσιν ἀληθείας. Ἡ ἀτιμία, φησὶ, κακόν ἐστι. Εἰ γὰρ τὸ ἀγαθὸν τιμή ἐστιν, ὡς πάντες ὁμολογοῦμεν, τὸ ἄτιμον καὶ ἡ ἀτιμία κακὸν ἂν εἴη· εἰ γὰρ ἀγαθὸν ἦν, τίμιον ἂν ἦν, καὶ οὐκ ἄτιμον. Ἔτι δὲ, εἰ ἡ τιμὴ ἀγαθόν ἐστιν, εἴπερ τοῖς ἀγαθοῖς προσήκει πᾶσι· (καὶ γὰρ θεῷ καὶ τοῖς Κρείττοσι καὶ τοῖς ἀγαθοῖς τῶν ἀνθρώπων ἡ τιμὴ προσήκει, καθὸ ἀγαθή ἐστι·) δῆλον, ὅτι ἡ ἀτιμία κακὸν ἂν εἴη. Εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρχει, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον ὑπάρξει. Ἐναντίον δὲ τιμῇ μὲν, ἀτιμία· ἀγαθῷ δὲ, κακόν. Ὅτι δὲ τὸ ἀγαθὸν ἡμῶν καὶ κακὸν, αὐτεξουσίων ὄντων,

sin ab eis victus fueris, duplicatum risum lucrifacies: cumque adeo videri potuerit ab externo judicio suspendere auditorem; hac admonitione eumdem a rebus externis revocat, et ab aliorum opinione, foras trahente animum et contaminante, ad se ipsum reducit, [et ad sui judicium,] sincerius illud, nec vanum amplius, sed usum jam aliquem præstans. Nam cordatis judicibus videri bonum, firmum certe argumentum est bonitatis. Hoc igitur, ut opinor, spectans, dixit: *Tibi ipsi videre, idque satis erit.*

[IN XXIV.] Homines in animi sui curam incumbentes, alii aliis rebus distrahuntur: eoque fit ut quædam et sibimet ipsis, et iis qui ipsos ad meliora hortantur, opponant. Ac ii quidem qui modo cœperunt erudiri, ut humiles et abjecti adhuc, dicunt: Si mea neglexero, non erit unde vivam: ni famulum castigaro, evadet improbus. Qui vero jam profecerunt, hæc ut parva despiciunt: et confidunt, se non ita ad omne opus faciendum inutiles fore, ut fame sibi pereundum sit; sed ipso servandorum officiorum studio, re tam bona, quam honorabili, anguntur. Nam verissimum honorem hi expetunt, et ignominiam fugiunt, et amicis ac patriæ succurrere volunt. Hinc igitur argumenta petunt, quæ nunc ordine omnia et præclare confutat Epictetus.

Ac primum commune illud ponit, ab ignominia sumtum: Si a rebus externis foroque recessero,

Quod solet exornare viros illustribus actis,

ut Homerus ait; *sine honore vivam, nulloque numero.* Illud autem argumentum ratiocinatione solvit quadam, quæ hanc vim habet: Ignominia malum est. Malum in nobis situm est, quemadmodum et bonum. Quod vero in nobis situm est, id nobis nec ab alio, nec per alium accidit: alioqui non amplius situm in nobis esse diceretur. Ignominia igitur, quoties adfuerit, a nobis pendet, et in nobis ipsis inest; sive alii extrinsecus ignominia nos adficiant, sive minus. Non igitur ignominia, qua ab aliis adspergimur, est pertimescenda, ac ne ignominia quidem illa judicanda: siquidem ignominia, si malum sit, in nobis erit.

Sed jam etiam ipsas sumtiones, quibus usus est, videamus, quam vere sint adhibitæ. *Ignominia*, inquit, *malum est.* Nam si bonum honorabile est, in quo consentimus omnes, ignominiosum et ipsa ignominia malum erit: si enim bonum esset, honorabile esset, non ignominiosum. Porro: si bonum est honos, quia bonis omnibus convenit; (nam et Deo, et Geniis, et bonis hominibus convenit honos, quatenus bonus est:) carere ergo honore malum esse constabit. Nam contrariorum contrariæ sibi invicem sunt qualitates. Contrarium autem est honori, carere honore: ut bono, malum. Bonum vero nostrum, qui libera voluntate præditi sumus, malumque nostrum, in no-

ἐφ' ἡμῖν ἐστι, καὶ ἐν τῇ ἡμετέρᾳ προαιρέσει, καὶ οὐδὲν μὴ κατὰ προαίρεσιν ἡμῶν ἐστι γινόμενον ἢ ἀγαθὸν ἢ κακὸν, δέδεικται, οἶμαι, πρότερον, καὶ οὐ χρὴ πάλιν τὰ αὐτὰ λέγειν. Εἰ οὖν ἐφ' ἡμῖν ἡ ἀτιμία, καὶ ἐν ἡμῖν ἐστιν, ὅταν παρῇ· οὐκ ἂν ἄτιμοι διὰ τὰ ἐκτὸς εἴημεν, κἂν τελέως αὐτῶν καταφρονήσωμεν. Εἰ γὰρ μὴ ἔστιν ἐφ' ἡμῖν τὸ μὴ τυχεῖν ἀρχῆς, ἢ τὸ παραληφθῆναι εἰς συμβουλὴν, ἢ εἰς ἑστίασιν· τὸ μὴ τυχεῖν τούτων, οὐκ ἂν εἴη κακὸν ἡμέτερον· ὥστε οὐδ' ἡ ἀτιμία, εἴπερ ἡ ἀτιμία κακόν.

Ἀλλὰ τί σημαίνει τὸ, Οὐ δύνασαι ἐν κακῷ εἶναι δι' ἄλλον, οὐ μᾶλλον ἢ ἐν αἰσχρῷ; καὶ γὰρ καὶ περισκελέστερον ἀπήγγελταί πως τὸ ῥησείδιον. Ἔοικε δὲ τὸ, μὴ δύνασθαι ἐν κακῷ εἶναι δι' ἄλλον, ** ὡς ἀπὸ προφανεστέρων. Ὡς γὰρ τοῦ ἀγαθοῦ τὸ καλὸν ἐκφανέστερόν ἐστιν, ἐπανορθοῦν αὐτοῦ τὰ ** κρυφίᾳ ἑνώσει· διὸ θέλγει καὶ κηλεῖ τοῦτο, καὶ καλεῖ πρὸς ἑαυτὸ, καὶ ἔρωτα πᾶσιν ἐναποτίκτει τῆς πρὸς αὐτὸ ἐπιστροφῆς· οὕτω καὶ τὸ αἰσχρὸν προφανέστερον καὶ προδηλότερόν ἐστι τοῦ κακοῦ. Αἰσχρὸν δὲ λέγεται, τὸ ταῖς ἡδοναῖς παρὰ τὸ προσῆκον κεχρῆσθαι. Τοῦτο δὲ κατὰ προαίρεσιν, καὶ οὐ δι' ἄλλον συμβαίνει. Τὸ γὰρ ἥδεσθαι ἡμέτερόν ἐστι κίνημα. Οὐ μᾶλλον οὖν δύναταί τις ἐν κακῷ εἶναι δι' ἄλλον ἤπερ ἐν αἰσχρῷ. Δῆλον δὲ, ὅτι καὶ ἐν αἰσχρῷ οὐκ ἔστι δι' ἄλλον. Εἰ οὖν εἶναι μὴ δύναταί τις ἐν αἰσχρῷ δι' ἄλλον, οὐ μᾶλλον δὲ ἐν κακῷ εἶναι δυνατὸν δι' ἄλλον ἤπερ ἐν αἰσχρῷ· δῆλον, ὅτι καὶ ἐν κακῷ οὐκ ἔστι δι' ἄλλον· εἴπερ μηδὲν μᾶλλον ἔχει τὸ ἐν κακῷ τοῦ ἐν αἰσχρῷ εἶναι. Καὶ γὰρ τὸ κακὸν ἐφ' ἡμῖν ὁμοίως ἐστὶν, ὥσπερ τὸ αἰσχρόν.

Μήποτε δὲ ἐκφαντικώτερος ὁ λόγος ἔσται, τὸ ἀρνητικὸν μόριον ὑπερβιβαζόντων ἡμῶν; ἵνα ᾖ μᾶλλον οὕτως, ** ἤπερ ἐν αἰσχρῷ· καὶ λέγοι ἂν, ὅτι οὐ δύναται ἐν κακῷ εἶναι δι' ἄλλον, ἵνα ἐκ τοῦ μᾶλλον ἡ κατασκευὴ τοῦ λόγου ληφθῇ. Εἶχε δ' ἂν ἀλήθειάν τινα ὁ λόγος, εἰ ἐννοήσαιμεν, ὅτι τὸ μὲν καλὸν καὶ αἰσχρὸν οἱ ῥήτορες τῷ ἐπαινετῷ καὶ τῷ ψεκτῷ χαρακτηρίζουσι, τῆς κρίσεως αὐτὸ τῶν πολλῶν ἐξαρτῶντες· τὸ δὲ συμφέρον καὶ ἀσύμφορον, ταὐτὸν δὲ εἰπεῖν τὸ ὠφέλιμον καὶ βλαβερὸν, ἤτοι τὸ ἀγαθὸν καὶ τὸ κακὸν, οὐ θέσει τινὶ, οὐδὲ κρίσει ἀνθρώπων, ἀλλὰ φύσει λέγουσιν ὑπάρχειν. Ὡς πρὸς ταύτην οὖν τὴν ὑπόθεσιν, τὴν τὸ αἰσχρὸν τῆς κρίσεως τῶν ψεγόντων ἐξαρτῶσαν, (εἶπεν,) μᾶλλον οὐ δυνατὸν ἐν κακῷ δι' ἄλλον εἶναι, ἤπερ ἐν αἰσχρῷ. Εἰ οὖν ἐν αἰσχρῷ μὴ δυνατὸν εἶναι δι' ἄλλον; ὡς εἴρηται πρότερον, μᾶλλον δὲ οὐ δυνατὸν ἐν κακῷ εἶναι δι' ἄλλον, ἤπερ ἐν αἰσχρῷ· δῆλον, ὅτι τελέως ἀδύνατον ἐν κακῷ εἶναι δι' ἄλλον.

Πῶς δὲ, φησὶ, καὶ οὐδεὶς οὐδαμοῦ ἔσῃ, ἐὰν μὴ δύναμιν πολιτικὴν ἔχῃς; ἐπελάθου, ὅτι οὐχ οὗτός ἐστιν ὁ τόπος, ἐν ᾧ τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὸ ἀνθρώπινον; ἀλλ' ἐν ὀρέξει καὶ ἐκκλίσει, καὶ ὅλως τοῖς ἐπὶ σοὶ, ἐν οἷς ἔξεστί σοι πολλοῦ ἀξίῳ εἶναι, ἐὰν σὺ θέλῃς κατὰ φύσιν ἐν αὐτοῖς ἀναστρέφεσθαι. Καὶ τὸν τόπον οὖν

bis et nostra voluntate sita esse, neque contra voluntatem nostram ullum vel bonum vel malum nobis accidere, superius utique, puto, demonstratum est; nec repetenda sunt eadem. Si ergo ignominia a nobis pendet, et in nobis ipsis inest, cum adest: non erimus in ignominia propter res externas, quamvis eas plane despexerimus. Nam si in nobis situm non est, *adipisci magistratum, aut in consilium adhiberi, aut invitari ad convivium*: non consequi hæc, malum nostrum haud fuerit; ac proinde ne ignominia quidem nostra, siquidem ignominia malum est.

Sed quid illud sibi vult? *Non potes in malo esse propter alium, non magis quam in turpitudine.* Nam sententiola hæc duriuscula esse videtur. Videtur autem illud, *non posse* quemquam *in malo esse propter alium,* [ex eo voluisse demonstrare, quod non possit quisquam *in ignominia esse propter alium,*] tamquam ex evidentiore. Nam quemadmodum pulcrum et honestum magis in oculos incurrit, quam bonum; (corrigens illius severitatem occulta copulatione; quo fit ut demulceat, deliniat, ad se vocet, et amorem omnibus convertendi se ad ipsum ingeneret;) sic et turpe malo clarius et evidentius est. Turpe autem dicitur, voluptatibus uti præter id quod decet. Hoc vero consilio fit, et non per alium. Etenim proprio motu fit, ut quis voluptati se dedat. Non magis igitur in malo quis per alium (sive propter alium) quam in turpitudine potest esse. Atqui perspicuum est, in turpitudine neminem propter alium (sive per alium) esse posse. Si ergo per alium in turpitudine esse nemo potest; non magis vero in malo quisquam per alium, quam in turpitudine esse potest: sequitur, ne in malo quidem quemquam per alium esse posse; siquidem nihil est caussæ, cur magis in malo sit quam in turpitudine. Malum enim æque in nobis situm est, atque turpitudo.

Fortassis autem evidentior fuerit oratio, transposita negandi particula; ut sit, *magis impossibile est in malo esse, quam in turpi;* atque ita dicat, non posse te in malo esse per alium, ut ex particula *magis* sumatur orationis confirmatio. Habuerit autem veri aliquid illa ratio, si cogitemus, rhetores honestum et turpe laudabili et vituperabili definire, et vulgi judicio subjicere; utile vero atque inutile, sive conducibile et noxium (quod perinde est), itemque bonum et malum, non instituto aliquo aut hominum judicio, sed natura esse, adfirmare. Secundum illam igitur hypothesin, quæ turpitudinem a judicio vituperantium pendentem facit, dixerit, *magis impossibile est, ut quis per alium sit in malo, quam in turpitudine.* Si ergo fieri nequit, ut propter alium in turpitudine sis, ut ante dictum est; multo vero minus fieri potest, ut in malo sis per alium, quam in turpitudine; perspicuum est, prorsus fieri non posse, ut sis in malo per alium.

Quomodo vero, inquit, *nullo usquam loco eris*, si reipublicæ administrandæ potestate careas? Num oblitus es, non hunc esse locum, in quo bonum et malum humanum situm sit? sed id situm esse in adpetitione et declinatione et omnino *tuis in rebus, in quibus tibi quantivis pretii esse licebit*, si eas naturæ congruenter tractare volueris.

τοῦ ἀγαθοῦ ἐν σαυτῷ ἔχων, καὶ δυνάμενος ἐν αὐτῷ πολλοῦ ἄξιος εἶναι, διὰ τί λέγεις οὐδεὶς οὐδαμοῦ εἶναι; δηλονότι διὰ τὸ τέως ἐν τοῖς ἐκτὸς τὸ ἀγαθὸν τίθεσθαι, ὧν ἀνάγκη καταφρονεῖν τὸν γνησίως φιλοσοφοῦντα. Ἀλλά, κἂν ἐγὼ σιγῶν δύναμαι ἐν ἐμαυτῷ πολλοῦ ἄξιος εἶναι, οἱ φίλοι, φησὶν, ἀβοήθητοι ἔσονται. Τοῦ ποσῶς προκεκοφότος ὁ λόγος. Οὗτος γὰρ, ὅσον μὲν ἐφ' ἑαυτῷ, καταφρονεῖ πολλάκις τῶν ἐκτὸς, ὀρέγεται δὲ βοηθεῖν τοῖς φίλοις, ἀγαθὸν νομίζων αὐτὸ καὶ καλὸν ὑπάρχειν· καὶ διὰ τοῦτο καὶ χρημάτων, ἐνίοτε δὲ καὶ πολιτικῆς δυνάμεως ἐπιθυμεῖ, διὰ τὸ μὴ ἄχρηστος εἶναι τοῖς ἑαυτοῦ φίλοις. Λύει οὖν καὶ ταύτην τὴν ἔνστασιν, ἀπό τε τοῦ ἐφ' ἡμῖν, καὶ ἀπὸ τοῦ χρησιμώτερον εἶναι φίλον, τοῦ χρήματα καὶ δυναστείας πορίζοντος, τὸν ἑαυτὸν πιστὸν εἰς τὴν φιλίαν παρεχόμενον· καὶ ἀπὸ μὲν τοῦ ἐφ' ἡμῖν, ὅτι χρήματα, καὶ πολιτικαὶ δυναστεῖαι, καὶ τιμαὶ, οὐκ εἰσὶ τῶν ἐφ' ἡμῖν. Εἰ μὲν γὰρ ἔχων τύχοι τις τῶν φιλοσοφούντων, διδότω προθύμως, λαμβάνειν χάριν μᾶλλον ἐκ τούτου, ἢ διδόναι, νομίζων· εἰ δὲ μὴ ἔχει, οὐδὲ ἀδικεῖ τὴν φιλίαν. Τίς γὰρ δύναται δοῦναι ἑτέρῳ ἃ μὴ ἔχει αὐτός;

Κτῆσαι οὖν, φασὶν οἱ φίλοι, ἵνα ἔχωμεν καὶ ἡμεῖς· Ἀλλ', εἰ μὲν δυνατὸν κτήσασθαί με, μένοντα καὶ πρὸς ὑμᾶς πιστὸν φίλον, καὶ κατ' ἐμαυτὸν πάντων κεκαθαρμένον τῶν αἰσχύνην τῷ φιλοσόφῳ φερόντων, δεῖκνυε τὴν ὁδὸν, καὶ κτήσομαι. Καὶ ἔοικεν ὁ ἀνὴρ οὗτος ἐνδιδόναι καὶ χρηματίζεσθαί ποτε διὰ τοὺς φίλους, καὶ πολιτικῆς ἀντέχεσθαι δυνάμεως, ἐὰν ᾖ δυνατὸν πορίζεσθαι ταῦτα, καὶ ἔχειν, διασώζοντα τὸν κατὰ φύσιν ἑαυτῶν προσήκοντα βίον. Εἰ δὲ ἀδύνατον ὡς ἐπιτοπλεῖστόν ἐστι τοῦτο, καὶ ἀνάγκη ταῦτα βουλόμενον περιποιήσασθαι, τὴν ἔνστασιν ἀπολέσαι τοῦ οἰκείου ἀγαθοῦ· δῆλον, ὅτι τῷ, Κτῆσαι ἵνα καὶ ἡμεῖς ἔχωμεν, τὸ ἑαυτοῦ ἀγαθὸν αἰτοῦσιν ἀπολέσαι, τοῦτ' ἔστι τὸ τῆς λογικῆς ψυχῆς ἀγαθὸν, ἵνα ἑαυτοῖς τὰ μὴ ἀγαθὰ ἑαυτῶν περιποιήσωνται. Οὐ γάρ ἐστιν, ἃ ζητοῦσιν, τῆς ψυχῆς ἀγαθὰ τῆς λογικῆς, καθ' ἣν ὁ ἄνθρωπος ἄνθρωπός ἐστιν, ἀλλ' ὀρεκτὰ τῶν ἀλόγων ὀρέξεων. Ἀγνώμονες οὗτοι καὶ ἄνισοι. Ἄνισοι μὲν ὅτι καὶ ἄφιλοι· (ἡ γὰρ φιλότης, ἰσότης, ὡς ἔλεγον οἱ Πυθαγόρειοι·) καὶ ὅτι ἄνισόν ἐστι τὸ ἐλέσθαι κακῶν τῷ ἐσχάτῳ περιβαλεῖν τὸν φίλον, διὰ τὸ ἀποπλῆσαι τὴν ἄλογον αὐτῶν ὄρεξιν. Ἀγνώμονες δὲ, καὶ ὡς τῷ δόντι ἑαυτὸν εἰς συμπεριφορὰν αὐτοῖς τοιαῦτα προστάττοντες, καὶ ὡς μὴ δυνάμενοι διακρῖναι τὴν διαφορὰν, οὗ τε ἀπόλλυσιν ὁ φίλος, πειθόμενος αὐτοῖς, καὶ οὗ αὐτοὶ περιποιήσονται· ὅτι ἐκεῖνο μὲν ἀγαθῶν τὸ μέγιστον αὐτῷ, τοῦτο δὲ οὐ μόνον οὐκ ἀγαθὸν τούτων ἴδιον, ἀλλ' ἐνίοτε καὶ κακόν. Ἀγνώμονας δὲ αὐτοὺς, καὶ ἀνοήτους ἴσως καὶ διὰ τὸ ἐφεξῆς ἐπαγόμενον καλεῖ· ὅτι ἀργύριον πιστοῦ φίλου προτιμῶσι καὶ αἰδήμονος. Διὰ τούτου δὲ καὶ ἐναργέστερον δείκνυσιν, ὅτι οὐκ ἔσται τοῖς φίλοις ὁ τοιοῦτος ἄχρηστος, ἀλλὰ καὶ χρησιμώτερος τῶν ποριζόντων ἀργύριον. Εἰ γὰρ καὶ

Cum igitur et boni locum in te ipso habeas, et in eo quantivis pretii esse possits, cur te nullo usquam esse loco dicis? Eo nimirum, quod hactenus bonum in rebus externis collocas, quas spernere debet germanus philosophus. *At*, ut ego, etsi tacuero, in me ipso magni esse pretii possim, *amici tamen*, inquit, *nihil a me juvabuntur.* Hæc ejus est oratio, qui aliquantum profecit. Is enim, quod ad sese attinet, sæpe res externas contemnit; sed amicis opem ferre cupit, quod id bonum judicat honestumque esse : eaque de caussa et opes et nonnumquam etiam potestatem civilem desiderat, ne suis amicis sit inutilis. Solvit igitur et hanc objectionem, argumento ab iis, quæ in nostra potestate sunt, petito : et comparatione, quod sit utilior amicus is, qui bona fide colat amicitiam, illo qui pecuniam et potentiam conferat. Et ab iis quidem, quæ in nostra potestate sunt : quod pecunia, civiles potestates, honores, *in nostra potestate non sint.* Quæ si quis philosophorum habeat, alacriter elargiatur; seque accipere potius ea re, quam dare beneficium existimet. Sin iis careat, nullam amicitiæ facit injuriam. *Quis enim alteri det, quod ipse non habet?*

Parato igitur, inquiunt amici, *ut et nos ea habeamus. At, equidem si ita parare possum,* ut et vir bonus permaneam, et vobis fidelis amicus, neque quidquam admittam philosopho indecorum; *vos viam ostendite, et ego parabo.* Ac videtur hic vir concedere, interdum et parare opes propter amicos, et petere magistratum, si ista sic parari tenerique possint, ut ne quid admittatur ea vita indignum, quæ naturæ instituto viroque sapienti conveniat. Sin hoc maxima ex parte fieri nequit, et eum, qui hæc consequi velit, necesse est institutum proprii sui boni perdere : illud utique, *Parato, ut et nos habeamus,* nihil aliud est, nisi petere ut meum bonum, hoc est, animi ratione præditi bonum, amittam, quo illi, quæ ipsorum bona non sunt, consequantur. Non sunt enim, quæ illi quærunt, bona animi rationalis, per quem homo homo est, sed res brutis cupiditatibus desiderabiles. *Ingrati* hi igitur, *et vecordes, et iniqui* sunt. *Iniqui,* ut desertores amicitiæ. Est enim amicitia, ut Pythagorei dicebant, æqualitas : et iniquum est, amicum in extremam calamitatem velle conjicere, brutæ tuæ cupiditatis explendæ caussa. *Ingrati* vero *et vecordes,* qui ab amico, qui lubens illis morem gerit, talia postulent : nec, quantum intersit, videant, inter id quod amicus illis obsequens perdit, et id quod ipsi consequuntur; nempe illum quidem boni maximi jacturam facere, ipsos vero non modo non suum aliquod bonum adipisci, sed interdum malum etiam. *Ingratos* autem eos *amentesque* fortassis ob id etiam, quod mox subjicit, adpellat, nempe quod *pecuniam fideli amico et verecundo anteponant.* Atque per id evidentius etiam ostendit, talem amicis non fore inutilem, sed utiliorem quam hi qui pecuniam suppeditent. Nam si servi quoque fideles et verecundi ar-

τῶν οἰκετῶν οἱ πιστοὶ καὶ αἰδήμονες χρησιμώτεροι τῶν τεχνικῶν καὶ ἐργατικῶν εἰσι, καὶ τιμιώτεροι τοῖς δεσπόταις, πόσῳ μᾶλλον οἱ τοιοῦτοι φίλοι τῶν ποριζόντων ἀργύριον τιμιώτεροι τοῖς ἔμφροσιν ἔσονται; καὶ γὰρ πρὸς συνδιαγωγὴν καὶ συμβουλὴν οὗτοι, καὶ πρὸς φυλακὴν τῶν φιλτάτων καὶ τιμίων, καὶ ἐν κινδύνοις καὶ νόσοις, καὶ μετὰ θάνατον, οἱ πιστοὶ φίλοι χρησιμώτεροι δείκνυνται, οὐδὲν ἀπᾴδοντες τῶν χρωμένων αὐτοῖς φίλων. Εἰ οὖν φίλοι ὄντως εἰσὶ, συλλήψονται τῷ φίλῳ εἰς τὸ πιστὸν διαμένειν, καὶ αἰδήμονα, καὶ πρὸς τὸ ἑαυτῶν χρησιμώτερον ἀποβλέποντες· ἀλλ' οὐχ ἐκεῖνα πράττειν ἀξιώσουσι, δι' ὧν καὶ τὸ φίλος εἶναι πιστὸς, καὶ χρήσιμος τοῖς φίλοις, ἀπολέσει.

Ἀλλ' ἡ πατρὶς, ὅσον ἐπ' ἐμοὶ, φησὶν, ἀβοήθητος ἔσται. Ἠδύνατο μὲν καὶ διὰ τῶν αὐτῶν καὶ ταύτην λῦσαι τὴν ἔνστασιν, ὅτι τῶν ἐπὶ σοὶ κύριος εἶ· τίς δέ σοι εἶπεν, ὅτι τῶν ἐπὶ σοί ἐστι, στοὰς καὶ βαλανεῖα τῇ πατρίδι περιποιεῖν; τίς δὲ δύναται ἑτέρῳ δοῦναι ἃ μὴ ἔχει αὐτός; κἂν ἀκούσῃ, Κτῆσαι οὖν, ἵνα καὶ ἡ πατρὶς ἔχῃ· τὰ πρότερα ἐκεῖνα ἐπαγαγεῖν. Ἀλλ' ἐάσας ταῦτα ἡμῖν ὡς κοινὰ συννοεῖν, εἰδικωτέραν καὶ προσφυεστέραν μετὰ πολλῆς ἐνεργείας τὴν πρὸς τὴν πατρίδα ἀπόκρισιν γοργῶς ἐποιήσατο· Τί πρὸς σὲ τοῦτο, εἰπὼν, εἰ διὰ σὲ ἡ πατρὶς στοὰς οὐχ ἕξει, καὶ βαλανεῖα; οὐδὲ γὰρ ὑποδήματα διὰ τὸν χαλκέα ἔχει, ἀλλὰ διὰ τὸν τῶν ὑποδημάτων δημιουργόν· οὐδὲ ὅπλα διὰ τὸν σκυτέα, ἀλλὰ διὰ τὸν ὁπλοποιόν. Πᾶσα γὰρ πόλις τότε συμφερόντως ἑαυτῇ καὶ δικαίως οἰκεῖται, ὅταν ἕκαστος τῶν ἐν αὐτῇ, τὸ ἑαυτοῦ ἔργον ἐκπονῶν, μὴ πολυπραγμονῇ, ἀλλ' ὁ μὲν χαλκεὺς, καὶ τῶν ἄλλων ἕκαστος τῶν τοιούτων, τὸ ἑαυτοῦ ἔργον χρήσιμον τῇ πόλει παρέχῃ. Ἐγὼ δὲ, φαίη ἂν ὁ φιλοσοφῶν, τί ἂν αὐτῇ χρήσιμος εἴην; Πρὸς ὃν πάλιν καλῶς ὑπαντᾷ, ὡς, Εἰ ἄλλον τινὰ κατεσκεύαζες ἐν αὐτῇ πιστὸν καὶ αἰδήμονα πολίτην, ἆρα οὐχ ἂν χρειωδέστερόν τι αὐτῇ τοῦ χαλκέως ἐπόριζες; ὥστε μάλιστα μὲν, ἂν καὶ ἄλλους κατασκευάσῃς τοιούτους, τὰ μὲν νουθετῶν καὶ διδάσκων, τὰ δὲ παράδειγμα καλοῦ καὶ ἀγαθοῦ πολίτου γινόμενος· εἰ δὲ μὴ, ἀλλὰ σαυτὸν αὐτὸς παρέχων τοιοῦτον· χρησιμώτερόν τι παρέχεις αὐτῇ ὧν οἱ ἄλλοι παρέχουσι.

Τίνα οὖν, φησὶν, ἕξω χώραν ἐν τῇ πόλει· ὥσπερ ἕκαστος τῶν ἄλλων ἔχει, ὁ μὲν ἄρχων, ὁ δὲ προπολεμῶν, ὁ δὲ τῶν πρὸς τὸν βίον τι χρησίμων δημιουργῶν; Αὐτὸς μὲν οὖν κοινῶς πρὸς τοῦτο ἀπήντησεν, ὅτι, Ἣν ἂν δύνῃ χώραν ἔχειν πρὸς τὴν πόλιν, φυλάττων τὸν πιστὸν καὶ αἰδήμονα, ταύτην ἔχε. Εἰ δὲ εἰς χρήματα καὶ βαλανεῖα καὶ στοὰς βουλόμενος ὠφελεῖν, ἀποβάλῃς τὸ πιστὸν καὶ αἰδῆμον, οὐδὲ εἰς ἐκεῖνα ἴσως ὠφελήσαις αὐτὴν, ἅπαξ ἄπιστος καὶ ἀναιδὴς ἀποτελεσθείς. Τί δὲ κάλλιον αὐτῇ; πιστοὺς ἔχειν καὶ αἰδήμονας πολίτας; ἢ στοὰς καὶ βαλανεῖα;

Ἀλλὰ ζητητέον, τίνα χώραν ὁ φιλοσοφῶν ἐν τῇ πόλει καθέξει· ἢ μάλιστα μὲν τὴν ἀνθρωποποιὸν, καὶ

tificiosis et operosis præstant, plurisque fiunt a dominis: quanto magis tales amici pluris æstimabuntur a cordatis hominibus, quam ii qui nummulos donant? Nam et ad jucundam vitæ consuetudinem, et ad consilium dandum, et ad tuenda ea quæ sunt carissima ac pretiosissima, et in periculis, et in morbis, et post obitum, fideles amicos utiliores esse constat, nulla in re ab his, qui ipsis utuntur, amicis dissentientes. Si ergo hi veri amici sunt, in eo juvabunt amicum, ut fidelis et verecundus permaneat, etiam privati sui commodi respectu: neque ab eo postulabunt, ut id faciat, per quod eo redigatur, ut nec fidelis amicus neque utilis esse amicis possit.

At patria, quantum in me est, inquit, auxilio carebit. Poterat eadem ratione hanc quoque objectionem solvere, ut diceret: Eorum quæ in te sita sunt, dominus es: quis vero tibi dixit, in te situm esse, ut patriæ *porticus et balnea* construas? quis vero alteri dare id potest, quod ipse non habet? Et, quod si audivisset dicentes, Parato igitur, ut et patria habeat: poterat priora illa rursus respondere. Verum hæc, ut communia, nobis cogitanda reliquit, magisque propriam et cognatam multa cum vi et acrimonia responsionem, quod ad patriam attinet, fecit. Quid ad te, inquit, si *per te patria porticus et balnea non habebit? Neque enim calceos per fabrum ferrarium habet*, sed per sutorem: *neque arma per sutorem*, sed per armorum fabrum. Omnis enim civitas tum sibi ipsi utiliter et juste administratur, cum quisque civis et incola suo intentus operi, aliena non curat: si et faber ærarius, et quivis alius opifex curat, ut suum opus civitati prosit. At dicat philosophiæ studiosus: Ego vero qua re utilis ero civitati? Cui vicissim egregie respondet: *Si efficeres, ut alium civem fidelem et verecundum civitas tua haberet*, nonne utilius ei aliquid, quam quæ faber ærarius, præstares? Igitur maxime quidem, si alios, cum monendo docendoque, tum honesti ac boni civis exemplum illis ostendendo, tales reddideris; sin id non potes, saltem te ipsum talem præstando; utiliorem te civitati, quam alii illi, (qui ista eidem conferunt) præbebis.

Quem igitur, inquis, *in civitate tenebo locum*, quemadmodum cæterorum quisque suo quopiam munere fungitur, alius magistratum gerendo, alius propugnando, alius aliquid ad degendam vitam utile suppeditando? Auctor igitur communiter ad hæc respondet: *Quemcumque locum in civitate tenere poteris, conservata fide et verecundia*, eum teneto. Si vero dum pecunia, balneis, porticibus, eam juvare studes, fidem et verecundiam amiseris, fortasse ne illis quidem rebus eam juveris, semel perfidus et impudens factus. Utri vero magis eam ornant? fideles et verecundi cives? an porticus et balnea?

Verum quærendum est, quem locum in republica philosophus tenere debeat. Annon locum potissimum ejus, qui

πιστῶν καὶ αἰδημόνων πολιτῶν δημιουργόν; Ἔργον γὰρ ἕξει οὐδὲν ἄλλο, ἢ ἑαυτόν τε καὶ τοὺς ἄλλους εἰς τὸν κατὰ φύσιν ἀνθρώπῳ προσήκοντα βίον ἀποκαθαίρειν· κοινός τε πάντων ἔσται πατὴρ καὶ παιδαγωγὸς, διορθωτής τε καὶ σύμβουλος, καὶ κηδεμονικὸν πᾶσιν ἑαυτὸν παρέχων, καὶ συνεργὸς ὢν παντὸς ἀγαθοῦ· τοῖς μὲν εὐημεροῦσι συνηδόμενος, τοῖς δὲ λυπουμένοις συνταλαιπωρῶν, καὶ παραμυθούμενος αὐτούς· καὶ ἁπλῶς ἐκεῖνα πράξει, ἅπερ ὁ νομίζων ἔργον ἴδιον ἔχειν καὶ χώραν ἐν τῇ πόλει τὴν πάντων ἀνθρώπων εὐποιητικὴν ἐπιμέλειαν, ἐφ' ὅσον δύναται. Εἰ δὲ καὶ πρὸς ἕν τι τῶν ἐν τῇ πόλει ἐπιτηδευμάτων ἀποκεχωρισμένον αὐτὸν ἐθέλοις ἰδεῖν, ἐν μὲν ταῖς ἀγαθαῖς πολιτείαις, καὶ ἄρχων πάντως ὁ τοιοῦτος αἱρεθήσεται, ὡς ὑπερέχων τῶν ἄλλων, καὶ τὴν τοῦ ποιμένος πρὸς τὰ πρόβατα σώζων ἀναλογίαν· καὶ σύμβουλος, ὡς ἔμφρων· καὶ στρατηγὸς, εἰ τῶν κατὰ πόλεμον ἔμπειρος τύχοι, ὡς ἀνδριώτερος τῶν ἄλλων καὶ εὐβουλότερος. Καὶ γὰρ Σωκράτης ἐν τῇ ἐπὶ Δηλίῳ μάχῃ τὰ ἀριστεῖα ἔλαβε· καὶ διὰ τῶν πολεμίων ἀναχωροῦντι μόνῳ, φασὶν, οὐδεὶς ἐτόλμησεν ἐπελθεῖν, πάντων τοῦ ἀνδρὸς καταπλαγέντων τὸ φρόνημα. Ἀλλὰ καὶ Ξενοφῶν τοὺς μυρίους ἐκείνους διέσωσε, στρατηγὸς αἱρεθεὶς, διὰ τοιαύτης ὁδοῦ καὶ τοιούτων ἐθνῶν, καὶ εἰς τὴν Ἑλλάδα παρακομίσας αὐτούς. Καὶ δικαστὴς δὲ οὗτος ἀδέκαστος ἔσται, καὶ πρεσβευτὴς ἀξιόχρεως, καὶ φύλαξ τῶν φυλακῆς δεομένων πιστός. Πολλὰς οὖν ἕξει χώρας ἐν τῇ τοιαύτῃ πόλει ὁ τοιοῦτος.

Ἐν μέντοι ταῖς μοχθηραῖς πολιτείαις, τῶν μὲν κοινῶν ἀφέξεται πραγμάτων, οὔτε ἀρέσκων τοῖς κακῶς πολιτευομένοις, οὔτε αὐτὸς ἐκείνοις ἀρεσκόμενος, οὔτε δυνάμενος τοῖς τῶν τοιούτων ἄρχουσιν ὑπουργεῖν, καὶ φυλάττειν ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. Διὸ, νουθετεῖν πράγματα ἀνίατα παραιτούμενος, εἰ μὲν δυνατός ἐστιν, εἰς ἄλλην καλλίονα πολιτείαν μεταχωρήσει· ὡς αὐτὸς ὁ Ἐπίκτητος, τῆς Δομετιανοῦ τυραννίδος καταγνοὺς, ἀπὸ τῆς Ῥώμης ἐξέστη πρὸς τὴν Νικόπολιν. Εἰ δὲ ἀδύνατος, ὡς ὑπὸ τειχίον τι κρυβήσεται, τὸν κονιορτὸν ἐκκλίνων· ἑαυτοῦ τε καὶ τῶν ἄλλων, ὧν ἂν δύναιτο, τῆς εὐαγωγίας ἐπιμελόμενος· καὶ πανταχοῦ νύκτωρ καὶ μεθ' ἡμέραν σκοπῶν, ἐν συγγενείᾳ, καὶ φίλοις, καὶ πᾶσι τοῖς πολίταις, εἴ πού τις παραπέσοι πρᾶξις ἀγαθὴ, τῆς αὐτοῦ δεομένη συνεργείας. Πολλαὶ δὲ καὶ κατὰ τὰς τοιαύτας εὑρίσκονται πολιτείας ἢ συμβουλῆς δεόμεναί τινος καὶ συνεργείας πιστῆς, ἢ συμπαθείας καὶ παραμυθίας, ἢ [καὶ] μέχρι τοῦ συγκινδυνεῦσαι· ὅταν καὶ τοῦτό ποτε τὸ καθῆκον ὑπαγορεύῃ. Κἂν μὲν κατὰ ῥοῦν αὐτῷ προχωρῇ τὰ πράγματα, τῷ θεῷ χάριν ὁμολογεῖν, ὡς ἐν τρικυμίᾳ γαληνιῶντα· εἰ δὲ διὰ τὸν ἀκήρυκτον πόλεμον τοῦ παρὰ φύσιν βίου πρὸς τὸν κατὰ φύσιν, καὶ τῶν μεθυόντων πρὸς τοὺς νήφοντας, καὶ δυσχερῆ προσπίπτει τινά· οἱ μὲν ὑποδειλιῶντες, καὶ τὴν ἔνστασιν διαλύοντες, ἀξίους ἑαυτοὺς τῆς μοχθηρᾶς πολιτείας ἀποδεικνύουσι καὶ μάτην αὐτὴν

homines faciat, et fidelium ac bene moratorum civium quasi opifex quidam sit? Nec enim aliud ejus munus erit, nisi et sese et alios ita repurgare, ut vitam naturæ humanæ convenientem agant: omniumque communis pater erit, et pædagogus, et corrector, et consiliarius, curatoremque præbebit se omnium, et adjutor erit omnis boni: congratulabitur iis quibus res secundæ sunt, vicem dolebit calamitosorum, eosque consolabitur: denique ea faciet, quæ is, qui persuasum habet, peculiare suum munus esse et in republica locum, eam curam, ut omnibus hominibus, quoad possit, bene faciat. Sin eum ad nnum aliquod in republica munus seorsim destinatum videre volueris; in bene quidem constitutis civitatibus utique magistratus deferetur huic, ut antecellenti cæteris, ac veluti pastoris vice fungenti apud oves; aut senator ille creabitur et consiliarius, ut vir prudens; aut imperator, si fuerit belli peritus, utpote et fortior aliis, et prudentior. Nam et Socrates in pugna ad Delium primas tulit; et per medios hostes se recipientem solum nemo ausus est adgredi, admirantibus omnibus animi magnitudinem viri. Sed et Xenophon, dux creatus, illos decies mille per talia itinera et per tales gentes, salvos et incolumes in Græciam reduxit. Tum vero et judex incorruptus hic fuerit, et legatus idoneus, et custos fidelis eorum quæ custodia indigent. Multa igitur munera tali viro, tali in civitate, patebunt.

At corruptis in civitatibus abstinebit ille publicis negotiis; quum nec placeat ipse pravis civibus, nec hi illi placeant, neque possit ille his, qui in prava civitate imperium tenent, ita ministrare, ut simul fidem verecundiamque servet. Itaque supersedens inanem in illis admonendis operam consumere, si fieri potest, in aliam meliorem rempublicam commigrabit; quemadmodum ipse noster Epictetus, damnata Domitiani tyrannide, Roma Nicopolin migravit. Id si non potest, velut post murum aliquem se occultabit, pulverem evitans; suamque et aliorum, quod poterit, rectam institutionem curabit; et ubique noctu dieque observabit, apud suos consanguineos, apud cognatos, apud alios cives, si quod incidat negotium, quod suo adjumento indigeat. Incidunt autem etiam in hujusmodi rebuspublicis multa talia, quæ aut consilio et adjumento fideli indigeant, aut commiseratione et consolatione, aut periculorum etiam participatione, quando etiam hoc postulat officii ratio. Et si quidem ex voto succedunt ei negotia, Deo gratias habebit, ut qui medios inter æstuantes fluctus tranquillitate utatur. Quod si vero propter implacabile bellum vitæ contra naturam institutæ cum vita secundum naturam, et hominum temulentorum adversus sobrios, incidant gravia nonnulla; tunc quidem, si qui periculi formidine deserunt institutum, ostendunt illi dignos se esse prava republica, et vanum fuisse, quem præ se tulerant, illius contemtum:

ὑπερορῶντες ἐλέγχονται· οἱ δὲ ὡς γυμνασίῳ χρώμενοι, καὶ τοῖς σκληροτέροις συγγυμνασταῖς προθυμότερον συμπλεκόμενοι, ὡς καὶ τῷ γυμνασιάρχῳ χάριν ὑπὲρ τούτων ὁμολογεῖν, οὗτοι ὡς ἐν Ὀλυμπίοις στεφανωθήσονται, οὐ θαλλῷ κοτίνου, ἀλλ' εὐζωίας καὶ ἀληθείας πληρώματι.

Καλὸν δὲ καὶ ἐν ταῖς τοιαύταις πολιτείαις, ἐν αἷς πολλοὶ φθονοῦσι τῷ κατὰ φύσιν βουλομένῳ ζῆν, μέτριον παρέχειν ἑαυτόν· καὶ τὸ ἔλαττον ἐν τιμῇ μὲν μάλιστα, καὶ ἐν τοῖς ἄλλοις δὲ τοῖς ἐκτὸς, ἀγαπῶντα· ὅπως ἂν ὁ φθόνος κατὰ τὸ δυνατὸν μετριάζοιτο. Καίτοι οὐκ ἀγνοῶ, ὅτι καὶ ἡ μετριοφροσύνη πολλάκις δριμὺν ἐπεσπάσατο φθόνον. Καλὸν δὲ καὶ τὰ πρὸς τοὺς δυνάστας προσκρούματα, καὶ τὰς ἀπειροκάλους παῤῥησίας, ἐν τοῖς τοιούτοις καιροῖς φυλάττεσθαι πόῤῥωθεν· ἵνα, κἂν συμβαίη τι δυσχερὲς, μὴ τὴν αἰτίαν ὁ ἐπιεικὴς ἔχῃ, ὡς ἠρεμοῦντα θηρία παρερεθίσας, ἀλλ' αὐτῶν τῶν θηρίων τὸ ἀλόγιστόν τε καὶ μανιῶδες. Δῆλον δὲ, ὅτι πραΰνειν αὐτὰ χρὴ, μήτε ταπεινούμενον, μήτε τὴν ἐλευθερίαν ἑαυτοῦ προδιδόντα, μήτε τοῖς κόλαξιν ἑαυτὸν συντάττοντα, μήτε ἐν λόγῳ τινὶ, μήτε ἐν ἔργῳ· ὁ γὰρ ὁτιοῦν τούτων παθὼν ἀπώλεσε τὴν ἔνστασιν, καὶ τῶν Ὀλυμπίων ἐξεκηρύχθη.

Ἰστέον μέντοι, ὅτι αἱ μοχθηρότεραι πολιτεῖαι, τὸ μὲν ὅλον, βλαβεραὶ τῶν ψυχῶν εἰσιν, καὶ μάλιστα τὴν θείαν ἔλλαμψιν ἀναστέλλουσαι, καὶ ἀτιμάζουσαι τὰς καλλίονας ἐπιτηδεύσεις, καὶ τὰ τῆς εὐζωίας παραδείγματα ἀφανίζουσαι. Διὸ καὶ πρὸς ἀρχὴν ὅλως εὐαγωγίας ταῖς ψυχαῖς ἐμποδίζουσι, καὶ πρὸς τὸ πῆξιν ἐν αὐταῖς τὴν εὐαγωγίαν λαβεῖν. Εἰ μέντοι τις ἐν τοιαύτῃ πολιτείᾳ εὑρεθείη ψυχὴ θείᾳ μοίρᾳ νενευρωμένη, ἤδη αὐτὴ σκληρότερον ἐν αὐτῇ γυμναζομένη, τελεωτέρα πρὸς ἀρετὴν ἀποδείκνυται. Ἀληθὲς οὖν, ὅτι πᾶσα τύχη, καὶ πᾶσα περίστασις, γαληνοτέρα τε καὶ τραχυτέρα, εἰς ὠφέλειαν συντελεῖ τῷ ἐν πᾶσιν ἀγαθὸν διὰ τῆς ἔμφρονος ἐκλογῆς ποριζομένῳ.

[IN CAP. XXV.] Καὶ οὗτος ὁ λόγος μέρος τοῦ προτέρου δοκεῖ, πρὸς τὰς λοιπὰς ἐνστάσεις ὑπαντῶν, τὰς ὑπὸ τῆς αὐτῆς ἕξεως προσαγομένας. Ὁ γὰρ πρὸς ἑαυτὸν ἐπιστρέφων, καὶ τὰ ἐκτὸς ἄλλοις καταλιμπάνων, καὶ τῆς τῶν πλουσίων καὶ δυναστευόντων θεραπείας καταφρονῶν, ἐν ἀτιμίᾳ δοκεῖ διάγειν, προτιμωμένων αὐτοῦ πολλῶν ἐν ἑστιάσεσι καὶ προσαγορεύσεσι, καὶ τῷ εἰς συμβουλὴν μᾶλλον ἐκείνου παραλαμβάνεσθαι. Καὶ δυνατὸν μὲν ἦν, καὶ ἐνταῦθα πάλιν ἀπὸ τοῦ ἐφ' ἡμῖν, καὶ οὐκ ἐφ' ἡμῖν, διαλύειν τὴν ἔνστασιν. Εἰ γὰρ τὰ μὲν ἀγαθὰ ἡμῶν ἐφ' ἡμῖν ἐστι, ταῦτα δὲ τῶν ἐφ' ἡμῖν οὐκ ἔστιν, οὐκ ἂν εἴη ταῦτα ἡμέτερα ἀγαθά. Ὁ δὲ τοῦτον μὲν τὸν τρόπον παρῆκε τῆς λύσεως, καὶ ὡς κοινὸν, καὶ ὡς ἤδη ῥηθέντα. Ἄλλῳ δὲ ἰδίῳ μᾶλλον τοῦ προκειμένου χρῆται, καὶ ἄλλην ὠφέλειαν μείζονα ἀπὸ τῶν τοιούτων τοῖς καλῶς χρωμένοις παραδείκνυσι.

Λέγει δὲ, ὅτι ταῦτα, ἐν οἷς ἄλλοι προτιμῶνται τῶν τὸν καλλίονα βίον αἱρουμένων, ἢ ἀγαθὰ πάντως ἐστὶν,

qui vero gravioribus casibus pro exercitatione utuntur, ut cum illis, tamquam in gymnasio cum ferocioribus adversariis, alacriori animo congrediantur, atque etiam moderatori certaminis gratias eo nomine habeant: hi velut in Olympicis certaminibus coronabuntur, non oleagineo serto, sed rectæ beatæque vitæ et veritatis complemento.

Conveniet vero etiam in talibus rebuspublicis, in quibus multi invident ei qui secundum naturam vivere studet, moderate se gerere; et in honore quidem maxime, sed et in omnibus rebus externis, parvo esse contentum: quo invidia etiam, quatenus fieri possit, temperetur. Quamquam non ignoro, moderationem etiam interdum acerrimam sibi invidiam contraxisse. Oportebit porro in hujusmodi temporibus offensiones potentum, et rusticam in dicendo libertatem, etiam atque etiam cavere; ne, si quid incidat grave, id merito accidisse viro bono videatur, qui belluas, cum quiescerent, irritasset: sed ut id omne nonnisi ab ipsarum belluarum furore et rabie proficiscatur. Illud autem intelligitur, non oportere easdem belluas mitigari humiliter te gerendo, aut tuam ipsius libertatem prodendo, aut adulatorum gregi te adjungendo, sive verbis, sive factis. Qui enim horum aliquid, quodcumque fuerit, admittit; is perdidit institutum suum, et indignum se reddidit qui in certatorum Olympicorum numero censeatur.

Cæterum non est dissimulandum, malas respublicas ut plurimum animis esse perniciosas, cum et divinam illustrationem repellant, et honesta instituta conspurcent, et exempla recte vivendi aboleant. Quapropter et initia veræ institutionis animorum omnino impediunt, et doctrinæ, si quis bene cœpit, confirmationem. Si quis tamen in tali republica repertus fuerit animus divino quodam fato confirmatus, is jam in ea durioribus exercitationibus ad majorem virtutis perfectionem acuetur. Verum igitur illud est, omnem fortunam, omnem eventum, sive molliorem, sive asperiorem, fructus aliquid atque utilitatis adferre ei, qui prudenti delectu, quod in quaque re inest boni, amplectitur.

[IN XXV.] Etiam hoc præceptum pars esse videtur superioris, reliquis argumentis occurrens, quæ ab iis objiciuntur, qui eodem modo sunt adfecti. Nam qui ad sese convertitur, et aliis res externas relinquit, culturamque divitum et potentum despicit, sine honore videtur ætatem degere; cum ei complures et *in salutatione, et in convivio, et in petendo consilio præponantur*. Ac potuisset ille quidem rursus hoc loco, ab eo quod in nostra potestate situm est, aut non est, objectionem istam refellere. Nam si bona nostra in nobis sita sunt, ista vero in nobis sita non sunt, non erunt ista nostra bona. Verum auctor, hac dissolvendi ratione prætermissa, tamquam communi et jam tractata, utitur alia huic loco magis propria, quæ recte utentibus subindicet, quo pacto majorem etiam ex hujusmodi rebus fructum capere possint.

Ait autem, ea in quibus alii honestioris vitæ studiosis præferantur, aut bona omnino esse, aut mala. Sed explendæ

ἢ κακά. Προσκείσθω δὲ, τοῦ τελείου τῆς διαιρέσεως ἕνεκα, ἢ ἀδιάφορα. Πολλὰ γάρ ἐστι τοιαῦτα. Ἀλλ' εἰ μὲν ἀδιάφορα, οὐδὲν μᾶλλον τίμια ἢ ἄτιμά ἐστι. Διὸ κατεφρόνησε τούτου τοῦ τμήματος τῆς διαιρέσεως. Ἢ οὖν ἀγαθὰ, ἢ κακά ἐστιν. Εἰ μὲν οὖν ἀγαθὰ, χαίρειν σε δεῖ, φησὶν, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· τοῦτ' ἔστι τῇ ἐν σοὶ δυνάμει χρῆσθαι, τῇ πᾶσι τὰ ἀγαθὰ βουλομένῃ, καὶ συγχαιρούσῃ τοῖς μετέχουσιν αὐτῶν. Καὶ ὅρα, πηλίκον ἀγαθὸν ἐν τῇ δοκούσῃ ταύτῃ ἀτιμίᾳ κρυπτόμενον ἐξέφηνεν. Ἡ γὰρ πρὸς θεὸν ὁμοίωσις κυρίως αὕτη ἐστὶν, ἧς οὐδὲν ἀγαθὸν μεῖζον τοῖς μετ' αὐτόν ἐστιν. Ὁ γὰρ θεὸς δύναμιν ἔχει τὴν ἰσχυροτάτην, πάσης δυνάμεως αἴτιος ὑπάρχων, καὶ βούλησιν τὴν ἀγαθωτάτην· ἀγαθὰ μὲν πάντα, φαῦλον δὲ μηδὲν εἶναι βουληθεὶς, ἐφ' ὅσον δυνατόν ἐστι· παρισουμένης δὲ τῇ βουλήσει τῆς δυνάμεως αὐτοῦ, πάντα ἀγαθύνει, καθόσον ἑκάστῳ μετέχειν δυνατόν ἐστι τῆς αὐτοῦ ἀγαθότητος. Ἡ δὲ ἀνθρωπίνη ψυχὴ δύναμιν μὲν ἔχειν τὴν ἀκροτάτην ἀδυνατεῖ, πολλῶν καὶ αὐτῶν τῶν μετὰ θεὸν τεταγμένων τῇ δυνάμει λειπομένη· βούλησιν δὲ ἔσχεν ἀπὸ θεοῦ αὐτεξούσιον, πεφυκυῖα πᾶσι τὰ ἀγαθὰ βούλεσθαι, ὅταν αὐτὴ τοῦτο προαιρεθῇ. Εἰκότως οὖν κατὰ τοῦτο μάλιστα πρὸς θεὸν ὁμοιοῦται, καθ' ὅσον κατὰ ταύτην τὴν βούλησιν ἐνεργεῖ· κἂν μὴ δύνηται δὲ πάντα ἀγαθύνειν ὥσπερ ὁ θεὸς, ἀλλ' ὅσα δύναται ἀγαθύνουσα, τό γε ἐφ' ἑαυτῇ πάντα ἀγαθύνει, καὶ ὅσα βούλεται. Τότε γὰρ ἡ βούλησις ὄντως ἐστὶ βούλησις, καὶ τελεία βούλησις, ὅταν ἡ δύναμις αὐτῇ πᾶσα τοῦ βουλομένου συνεργῇ. Τῶν γὰρ ἐφ' ἡμῖν ἐσμὲν κύριοι· καὶ τὸ μὲν βούλεσθαι πᾶσι τὰ ἀγαθὰ, ἐφ' ἡμῖν ἐστι. Καὶ βούλεται ὁ ἀγαθὸς ἄνθρωπος πάντας ἀνθρώπους εὖ ποιεῖν, καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ἄλογα ζῶα, καὶ φυτὰ, καὶ μέχρι τῶν ἀψύχων προάγει τὴν βούλησιν. Οὐ μέντοι δύναται ὅσα βούλεται· διότι ἡ μὲν βούλησις ἐφ' ἡμῖν ἐστιν, ἡ δὲ δύναμις αὐτὴ οὐκ ἐφ' ἡμῖν, ἀλλὰ καὶ ἄλλων πολλῶν αἰτίων δεομένη, καὶ κρειττόνων ἡμῶν. Καὶ διὰ τοῦτο ἐν τῇ βουλήσει τὸ ἀγαθὸν ἔχομεν, ὅτι αὐτὸ ἐφ' ἡμῖν ἐστί. Τοῦτο μὲν οὖν τοιοῦτον.

Εἰ δὲ κατὰ φύσιν κακά ἐστι ταῦτα, περὶ ὧν ὁ λόγος· μὴ δυσχέραινε, ἀλλὰ καὶ χαῖρε πάλιν, ὅτι σὺ μὴ ἔτυχες αὐτῶν. Οὕτως ὁ ἀγαθὸς ἄνθρωπος οὐκ ἀτιμίαν νομίσει τὸ μὴ τυγχάνειν τούτων· ἀλλὰ, κἂν ἀγαθὰ ᾖ, ἐπὶ τῷ ἄλλον τυχεῖν, κἂν κακὰ, ἐπὶ τῷ αὐτὸς μὴ τυχεῖν, εὐφρανθήσεται. Οὕτω μὲν οὖν ἀπὸ τοῦ συμφέροντος, τὴν δυσχέρανσιν, τὴν ἀπὸ τοῦ μὴ τυγχάνειν τῶν εἰρημένων τούτων, διέλυσεν. Εἴτε γὰρ ἀγαθὰ ταῦτα, μεῖζον ἀγαθὸν ἐκ τοῦ μὴ τυχεῖν ὑπέδειξε τῷ βουλομένῳ, τὴν πρὸς θεὸν ὁμοιότητα· εἴτε κακὰ, τὸ μὴ τυχεῖν ἀγαθόν ἐστιν.

Εἶτα ἀπὸ τοῦ δυνατοῦ, καὶ ἐφεξῆς ἀπὸ τοῦ δικαίου, ποιεῖται τὴν ἐπιχείρησιν. Ἀπὸ μὲν τοῦ δυνατοῦ· ὅτι ἀδυνατόν ἐστι τὸν μὴ θεραπεύοντα τὸν ἑστιάτορα τῶν αὐτῶν παρ' αὐτοῦ τυγχάνειν, ὧν οἱ θεραπεύοντες τυγχάνουσι. Θεραπεία δὲ τούτων ἐστὶ τὸ φοιτᾷν ἐπὶ θύ-

divisionis ergo adjiciatur etiam, Aut indifferentia. Multa enim talia quoque sunt. At, si indifferentia, nihilo plus honoris quam ignominiæ habent. Quare hanc divisionis partem aspernatus est Epictetus. Restat igitur, aut bona esse, aut mala. *Si* igitur *bona sunt*, *gaudere* (inquit) debes, *illum iis esse potitum;* hoc est, uti debes facultate, quæ tibi inest, bene cupiendi omnibus, et gratulandi iis qui bonis rebus potiuntur. Vide autem, quantum boni in ista, quæ habetur, ignominia delitescens, elucescat! Est enim hæc proprie similitudo cum Deo, qua iis quæ inferiora et posteriora Deo sunt, nullum majus bonum contingere potest. Deus enim facultate potentissima præditus, et omnis facultatis auctor, voluntate etiam optima, bona omnia, malum vero nihil esse voluit, quatenus fieri posset: cum autem par sit ejus potentia voluntati, omnia bona facit, quatenus unumquodque bonitatem ipsius capere potest. Humanus vero animus facultate quidem summa præditus esse non potest, multis etiam Deo posterioribus potentia inferior: at voluntatem accepit a Deo liberam, cujus ea natura esset, ut bene cuperet omnibus, modo ipsa id vellet. Merito igitur ista ratione potissimum fit Deo similis, cum pro ista voluntate agit; et, quamvis omnia bona reddere ut Deus nequeat, ea tamen bona reddit quæ potest; adeoque quantum in ipso est, omnia, et quæcumque vult, bona reddit. Tum enim voluntas vere voluntas est, et perfecta voluntas, cum ei facultas omnis ejus qui vult, navat operam. Eorum enim, quæ in nobis sita sunt, domini sumus. Cum autem bene velle omnibus in nobis situm sit; cupit bonus homo omnibus hominibus benefacere, nec eis tantum, sed et brutis animantibus et stirpibus, ejusque voluntas usque ad inanima etiam porrigitur. Verum non potest, ut vult, bene mereri de omnibus, quod voluntas quidem in nobis sita est, ipsa facultas vero non item, cum aliarum plurium caussarum adjumenta desideret, earumque potentiorum nobis. Quare nostrum bonum in voluntate inest, quoniam in nobis illud situm est. Et hoc quidem ita se habet.

Si vero ea, de quibus hic agitur, suapte natura *mala sunt;* rursus *ne moleste ferto*, sed gaude potius, *ea tibi non accidisse*. Sic vir bonus, non potiri istis, non ignominiam interpretabitur: sed, sive bona illa fuerint, eo quod iis alius potitus fuerit; sive mala, quod ipse iis careat, lætabitur. Ad hunc igitur modum loco ab utili ægritudinem istam non potiundi iis quæ dicta sunt, profligavit. Sive enim ea bona sunt, ostendit ei qui vult, majus bonum, quod ex hoc ipso, quod illis careat, capere possit, scilicet similitudinem cum Deo: sive mala, bonum esse ostendit in ea non incidisse.

Deinceps ab eo, quod fieri potest, argumentatur, et mox dein a justo. Ab eo quod fieri potest: *Non posse fieri, ut* a convivatore *tribuantur eadem non colenti, quæ colentibus* ipsum tribuantur. Cultura vero est, *frequentare fores* ejus, *adsectari* in foro, omnia ejus et dicta et facta

ραις, τὸ παραπέμπειν ἐν ἀγορᾷ, τὸ ἐπαινεῖν τὰ ὑπ' αὐτοῦ λεγόμενα καὶ γινόμενα, ὁποῖά ποτ' ἂν ᾖ. Σὲ οὖν, μὴ ποιοῦντα ταῦτα, εἴπερ βούλει φιλοσοφεῖν, ἀδύνατον τυγχάνειν τῶν αὐτῶν, ὧν οἱ ποιοῦντες τυγχάνουσιν· « Ἀλλὰ καὶ ἄδικόν ἐστι καὶ ἄπληστον τὸ, μὴ διδόντα ἐκεῖνα, ἀνθ' ὧν πωλεῖ τὸ δεῖπνον, ἐθέλειν λαμβάνειν αὐτό. » Ἄδικον μὲν γὰρ τὸ τῶν ἀλλοτρίων ἐπιθυμεῖν· ἄπληστον δὲ τὸ καὶ τὸ δεῖπνον ἐθέλειν λαβεῖν, καὶ τὸ, ὅσου πιπράσκεται, μὴ δοῦναι. Εἶτα, ὅτι οὐδὲ ἔλαττον ἕξει τούτου τοῦ δειπνοῦντος αὐτὸς μὴ δειπνῶν, δείκνυσιν ἐναργῶς ἀπὸ τοῦ τῆς θρίδακος παραδείγματος. Ἔχοντος γὰρ ἐκείνου τὸ δεῖπνον, « Ἔχεις σὺ, φησὶ, τὸ δείπνου τιμιώτερον, τὴν σαυτοῦ ἐλευθερίαν, τὸ μὴ ἐπαινεῖν ὃν οὐκ ἤθελες, τὸ μὴ ἀνέχεσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου. Εἰ δὲ ταῦτα βούλει καὶ τὸ δεῖπνον ἔχειν, καὶ ἄδικος εἶ, καὶ ἄπληστος· » καὶ, τοιοῦτος ὢν, ἀβέλτερος· ὅτι οὐχ ἕξεις, τίνι συγκρινόμενος, βελτίων φανήσῃ.

laudare. Ut igitur tu, qui ut philosophus ista non facias, eadem consequare, quæ qui faciunt, non modo fieri non potest: *iniquitatis* etiam est, et *inexplebilis cupiditatis, non dantem ea quibus ille cœnam vendit, velle eam accipere*. Iniquum est enim, aliena concupiscere: insatiabilis vero est cupiditatis, cœnam velle accipere, nec tamen pretium velle solvere quo illa venditur. Deinde, te cœnæ illius expertem, non esse deteriore conditione eo qui cœnet, evidenter *lactucæ* docet exemplo. Nam cum ille cœnam habeat, *tu habes* id, quod cœna est præstantius, *libertatem non laudandi eum quem nolis, non perferendi ea quæ in ejus vestibulo perferuntur. Si vero et hæc et cœnam habere vis; et iniquus es, et insatiabilis*; et, talis cum sis, hominum *pessimus*: quod non erit, quicum collatus melior deprehendaris.

IN CAP. XXVI.] Αἱ κοιναὶ τῶν ἀνθρώπων περὶ τῆς τῶν πραγμάτων φύσεως ἔννοιαι, καθ' ἃς οὐ διαφερόμεθα, ἀλλ' ὁμοδοξοῦμεν ἀλλήλοις οἱ ἄνθρωποι· οἷον, ὅτι τὸ ἀγαθὸν ὠφέλιμόν ἐστιν, καὶ τὸ ὠφέλιμον ἀγαθὸν, καὶ ὅτι τοῦ ἀγαθοῦ πάντα ἐφίεται, καὶ ὅτι τὸ ἴσον οὔτε ὑπερέχει οὔτε ὑπερέχεται, καὶ ὅτι τὰ δὶς δύο τέσσαρα· αὗται οὖν αἱ ἔννοιαι, καὶ ὅσαι τοιαῦται, κατὰ λόγον ὀρθὸν συστᾶσαι ἐν ἡμῖν, καὶ πολλῷ χρόνῳ βασανισθεῖσαι, ἀληθεῖς εἰσι, καὶ τῇ φύσει τῶν πραγμάτων ἐφαρμόττουσαι. Αἱ δὲ ἴδιαι ἑκάστου ἔννοιαι καὶ διαμαρτάνουσι πολλάκις· αἱ μὲν, ἐξ αἰσθήσεως λαμβανόμεναι ἀπατωμένης, ὡς, τὸ τὴν σελήνην ἴσην εἶναι τῷ μεγέθει τοῦ ἡλίου· ἢ ἀπὸ ὀρέξεως ἀλόγου, ὡς ἡ λέγουσα, πᾶσαν ἡδονὴν ἀγαθὸν εἶναι· ἢ ἀπὸ λόγου ἀβασανίστου, ὡς ἡ λέγουσα, δύο ἀρχὰς εἶναι τῶν πάντων, καὶ ἡ τὴν ψυχὴν σῶμα νομίζουσα. Αὗται οὖν, καὶ αἱ τοιαῦται, καθ' ἃς διαφερόμεθα, οὐ πάντως εἰσὶν ἀληθεῖς, ἀλλ' ἐνίοτε αἱ ταύταις ἐναντίαι· καὶ οὐχ ἀσφαλὲς ἀπὸ τούτων ἡμῖν τὴν φύσιν τῶν πραγμάτων καταμανθάνειν, ἣν εἶπε βούλημα φύσεως.

[IN XXVI.] Communes hominum de rerum natura notiones, in quibus non aliud, sed *idem sentimus omnes*: veluti, Bonum esse utile, et utile bonum; Bonum ab omnibus adpeti; Æquale nec superare, nec superari; Bis duo esse quatuor: hæ igitur notiones, et id genus aliæ, recta ratione in nobis constitutæ, longoque tempore exploratæ, veræ sunt, et cum rerum natura congruentes. Peculiares vero singulorum notiones sæpe hallucinantur: partim a sensu decepto acceptæ; cujusmodi est, lunam ejusdem esse cum sole magnitudinis: partim a bruto adpetitu; qualis ea est, quæ omnem voluptatem esse bonum adfirmat: partim a ratione non satis explorata; cujusmodi est eorum, qui duo rerum omnium principia, quive animum corpus esse, statuunt. Hæ igitur, et harum similes, de quibus dissentimus, non omnino veræ sunt, sed interdum eæ quæ sunt hisce contrariæ: neque tutum nobis est, ex his rerum naturam æstimare, quam *naturæ propositum aut voluntatem* adpellat.

Τεκμήριον δὲ τοῦ τῶν μὲν ἰδίων ἀβεβαίου, τῶν δὲ κοινῶν βεβαίου, τὸ, τὸν αὐτὸν ἄνθρωπον τὸ αὐτὸ πάθος ἄλλως μὲν, ἐὰν αὐτὸς πάθῃ, ἐμπαθέστερον μᾶλλον, καὶ ἀλογώτερον φέροντα· ἄλλως δὲ, ὅταν ἄλλῳ συμβαῖνον αὐτὸ θεάσηται. Ἀπαθέστερον γὰρ αὐτὸ τότε καὶ ἀληθέστερον ὁρᾷ, καὶ συμφωνότερον πρὸς τοὺς ἄλλους ἀνθρώπους, τοὺς μὴ πάσχοντας, μηδὲ πάθει κρίνοντας, ἀλλὰ λόγῳ. Καὶ τοῦτο ἐπὶ παραδείγματος εὐτελοῦς, τῆς τοῦ ποτηρίου καταθραύσεως, [δεικνύει]. Ὅταν γὰρ ἄλλου παιδάριον κατάξῃ ποτήριον, πρόχειρον ἡμῖν, καὶ τοῖς ἄλλοις τοῖς ἀπαθῶς κρίνουσι, λέγειν, ὅτι τῶν γινομένων ἐστὶ τὸ τὸν παῖδά ποτε ῥεμφθῆναι, καὶ προσκροῦσαι ἢ ἀφεῖναι αὐτὸ, καὶ τὸ ὑάλινον προσκρουσθὲν ἢ ἀφεθὲν καταχθῆναι. Ὅταν δὲ τὸ ἡμέτερον καταχθῇ, καὶ ἀγανακτοῦμεν, ὡς καινοτέρου τινὸς ἐφ' ἡμῶν γενομένου. Καίτοι ἔδει καὶ τότε ἐννοεῖν, ὅτι

Evidens autem illud argumentum est, cum levitatis peculiarium, tum constantiæ communium notionum, quod idem homo eumdem casum aliter, si ipsi acciderit, gravius scilicet et imprudentius fert; aliter, si alteri eum accidisse viderit: tunc enim tranquillius eum et verius intuetur, magisque cum cæteris hominibus consentit, quibus tale nihil accidit, quique non ex adfectu, sed ratione judicant. Atque hoc rei vilis, confracti poculi, exemplo declarat. Nam *cum alterius puer poculum confregerit, in promtu* nobis *est*, cæterisque sine adfectu judicantibus, *ut dicamus, ita fieri solere*, ut puer aliquando, vagans animo, allidat vitreum poculum, et ut id allisum aut manu elapsum confringatur. Cum vero nostrum confractum fuerit, indignamur, quasi novi aliquid nobis accidisset. Atqui tum quoque cogitandum erat ita solere fieri. *Hæc* igitur, inquit, *trans-*

τῶν γινομένων ἐστίν. Οὕτως οὖν, φησί, μετατίθει καὶ ἐπὶ τὰ μείζονα. Ἐὰν τέκνον ἄλλου ἀποθάνῃ, ἢ γυνή, οὐδείς ἐστιν ὃς οὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινόν ἐστι τὸ συμβάν· κατὰ τὰς κοινὰς ἐννοίας, καὶ τῇ φύσει συμβαινούσας, κρίνων τότε τὸ γεγονός. Τὸ γὰρ ἀποθανεῖν ἄνθρωπον, ἀνθρώπινόν ἐστι, τῇ φύσει τοῦ ἀνθρώπου θνητοῦ ὄντος προσῆκον. Ἀλλ' ὅταν τὸ αὐτοῦ τινος ἀποθάνῃ, εὐθὺς Οἴμοι, καί, Τάλας ἐγώ, καὶ θρῆνοι, καὶ τραγῳδίαι, ὡς ἡμῖν μόνοις παρὰ φύσιν τινὸς συμβεβηκότος.

Ἐχρῆν δὲ μεμνῆσθαι, πῶς ἄλλου θρηνοῦντος διατιθέμεθα· ὅτι ἐφιστάνομεν τότε καλῶς, μὴ τὸ πρᾶγμα ταράττειν ἐκεῖνον, φυσικὸν ὄν, καὶ ἐξ ἀνάγκης συμβαῖνον, ἀλλὰ τὸ αὐτοῦ πάθος ὃ πέπονθε περὶ τὸ πρᾶγμα. Διπλοῦν δέ ἐστι τοῦτο· συμπάθειά τε ἄλογος, καὶ ὑπὲρ τὸ δέον γινομένη, ψυχῆς λογικῆς πρὸς σῶμα θνητόν, καὶ * * εἰκὸς ἀποθανεῖν αὐτό, ἀλλ' οὕτω ζῆν, ὡς ἀεὶ συνεσομένῳ. Καὶ τοῦτο μάλιστα ἐκπλήττει καὶ θορυβεῖ, τὸ ἀνέλπιστον ἐπιέναι· ἐπεί, εἰ ἐμελετᾶτο καὶ συνειθίζετο κατὰ τὴν φαντασίαν, οὐκ ἂν οὕτως ἐτάραττε καὶ ἐλύπει. Τεκμήριον δὲ τούτου ἐναργές, οἶμαι, ἐστί, τὸ καὶ τοὺς πάνυ περιπαθῶς ἐπὶ τούτοις διατεθέντας, μετ' ὀλίγον χρόνον διὰ τὴν συνήθειαν, ὡς μηδενὸς γενομένου τοιούτου, καταπραΰνεσθαι, καὶ τότε τὰς κατὰ φύσιν ἐννοίας προβάλλεσθαι· ὅτι ἀνθρωπικόν ἐστιν, ὅτι τὸ θνητὸν ἀποθνήσκειν ἀνάγκη, ὅτι καὶ ἡμεῖς ταχέως καταληψόμεθα. Εἰ δὲ μετὰ τὸ συμβῆναι, διὰ τὸν συνεθισμὸν τοῦ χωρισμοῦ, ῥᾳδίως οὕτως αὐτὸν ὑποφέρομεν· καὶ πρὸ τοῦ συμβῆναι, οἶμαι, διὰ τῆς ἐλπίδος πρὸς τὸν χωρισμὸν συνεθιζόμενοι, οὐκ ἔτι οὕτως αὐτὸν περιπαθῶς ὑποδεξόμεθα.

Αἴτιον δὲ τοῦ μή, συνεχῶς πρὸ ὀφθαλμῶν ἔχοντας τὰ τοιαῦτα, συνεθίζεσθαι πρὸς αὐτά, ἓν μέν, τὸ τοῖς παροῦσιν ἀεὶ συντυποῦσθαι τὰς ψυχὰς τὰς πολλῶν ἀνθρώπων· ὥστε καὶ εὐημεροῦντας, ἀεὶ νομίζειν εὐημερεῖν, καί, λυπηροῦ συμβαίνοντος τινός, μηδέποτε αὐτοῦ ἐλπίζειν ἀπαλλάττεσθαι· ἕτερον δέ, οὐδὲν ἔλαττον τούτου, ἡ πολλὴ καὶ ἄμετρος περὶ τὰ τοιαῦτα συμπάθεια, δι' ἣν καὶ ἡ φαντασία τοῦ χωρισμοῦ λυπηρότατόν ἐστιν αὐτοῖς. Οὐδεὶς δὲ ἑκὼν τοῖς λυπηροῖς ἐνδιατρίβει. Τὴν οὖν συμπάθειαν μάλιστα μετρητέον, κρίνοντάς τε ὀρθῶς, τί τὸ συμπάσχον, καὶ τίνι συμπάσχει, ὅτι ἀλλοτρίῳ πράγματι· καὶ τῆς συνηθείας καὶ τοῦ χορτασμοῦ τὸ πολὺ παραιτητέον, καὶ λόγων ἀφεκτέον τὴν συμπάθειαν ἐπιτεινόντων, καὶ ἔτι μᾶλλον τῶν ἔργων.

[IN CAP. XXVII.] Ὁ περὶ τῆς ὑποστάσεως τῶν κακῶν λόγος μὴ καλῶς διαρθρωθείς, καὶ τῆς περὶ τὸ θεῖον ἀσεβείας αἴτιος γέγονε, καὶ τῆς τῶν ἠθῶν εὐαγωγίας τὰς ἀρχὰς διετάραξε, καὶ πολλαῖς καὶ ἀλύτοις ἀπορίαις ἐνέβαλε τοὺς μὴ καλῶς αἰτιολογοῦντας αὐτήν. Εἴτε [γὰρ] ἀρχήν τις λέγοι τὸ κακόν, ὡς εἶναι δύο τῶν ὄντων ἀρχάς, τό τε ἀγαθόν, καὶ τὸ κακόν, πολλὰ καὶ μεγάλα ἄτοπα συμβαίνει. Τὸ γὰρ ἀρχικὸν τοῦτο ἀξίωμα, ἓν ὃν καὶ κοινῶς ὑπάρχον ἀμφοτέροις ἐναντίοις οὖσι, πόθεν

fer etiam ad majora. Si filius alterius mortuus est, aut uxor : nemo est quin dicat, humanum esse illum casum; facto judicio secundum communes notiones, naturæque congruentes. Nam emori hominem, humanum est, naturæque hominis mortalis conveniens. *Sed cum suus alicui filius moritur, statim* auditur, *Hei mihi! Me miserum!* ploratus, tragœdiæ : quasi nobis solis contra naturam aliquid accidisset.

Meminisse autem *oportebat*, quomodo alio plorante adfecti simus : nempe, cogitare nos tum, ut rectum est, non re ipsa, quæ naturalis sit et necessario eveniat, illum turbari; sed suo, quem de re conceperit, adfectu. Is vero conduplicatus est : cum quod præter rationem et supra quam decet, rationis particeps animus mortale corpus diligit; tum [quod non cogitat,] consentaneum esse ut illud sit moriturum, sed quod ita vitam instituit, quasi perpetua ejus consuetudine frui possit. Maxime vero hoc percellit et perturbat, quod inexspectatum accidit. Nam si quidem id meditatus esset, et cogitando quasi familiare sibi fecisset, non ita perturbaretur atque doleret. Cujus rei illud evidens est utique argumentum, quod ii etiam, qui casum aliquem acerbissime tulerunt, paulo post ob adsuetudinem, quasi nihil tale accidisset, leniuntur, et tunc notionibus naturæ consentaneis sese tuentur : humanum esse; mortale necesse esse mori; nobis etiam fatum brevi impendere. Jam si post eventum, ob sejunctionis consuetudinem, eam tam facile ferimus; pari ratione, si ante eventum adsueverimus sejunctioni, cogitatione eam præcipientes, non amplius adeo perturbatis animis, puto, eamdem excipiemus.

Caussa vero, cur talia non continenter ob oculos habemus, nec adeo illis adsuescimus, una hæc est, quod rebus præsentibus vulgo ita conformantur animi hominum, ut et in rebus secundis sibi persuadeant, eadem semper fortuna sese usuros, et, aliqua molestia objecta, nunquam ea se liberatum iri putent. Altera caussa est, et ea quidem hac non levior, nimius et immodicus talium rerum amor, unde vel cogitatio sejunctionis illis fit molestissima. Nemo vero volens rebus molestis immoratur. Amor igitur in primis moderandus est; vereque judicandum, qui sis qui ames; quid sit quod ames; nempe, rem esse alienam. Tum, in ipsa consuetudine cavendum est, ne nimis et supra modum ea utamur; abstinendumque cum verbis, tum magis etiam factis, quibus adfectio nostra ultra modum augeatur.

[IN XXVII.] Disputatio de NATURA ET ORTU MALORUM non bene explicata, cum impietatis erga Deum caussa exstitit, tum morum honestæque disciplinæ principia perturbavit; tum multis, iisque inexplicabilibus, dubitationibus involvit eos, qui caussas illius non veras reddiderunt. Nam sive quis principium esse dicat Malum, ut duo sint principia rerum, bonum et malum; multæ magnæque absurditates sequuntur. Nam illa principii dignitas, si una eademque communiter ambobus insit inter se contrariis, unde eis advenit,

αὐτοῖς ἐφήκει, εἰ μὴ ὑπὸ μιᾶς αἰτίας, πρὸς ἀμφοῖν οὔσης; πῶς δὲ ὅλως ἐναντία ταῦτα ἔσται, μὴ ὑφ' ἕν τι κοινὸν γένος τεταγμένα; οὐ γὰρ τὰ διάφορα ἁπλῶς ἐναντία ἐστίν. Οὐ γὰρ ἄν τις εἴποι τὸ λευκὸν ἐναντίον εἶναι τῷ θερμῷ, ἢ τῷ ψυχρῷ· ἀλλὰ τὰ ὑπὸ τὸ αὐτὸ κοινὸν γένος πλεῖστον ἀλλήλων διεστηκότα, ταῦτά ἐστιν ἐναντία· τὸ μὲν λευκὸν τῷ μέλανι, κοινὸν ἔχοντα γένος τὸ χρῶμα, ἄμφω γὰρ ὁμοίως χρώματά ἐστι· τὸ δὲ θερμὸν τῷ ψυχρῷ, ὧν γένος ἡ ἁπτικὴ κατὰ ταὐτὰ ποιότης. Διὰ τοῦτο καὶ ἀδύνατον τὰ ἐναντία ἀρχὰς εἶναι, ὅτι ἀνάγκη προϋπάρχειν αὐτῶν τὸ κοινὸν γένος· καὶ μέντοι καὶ διότι ἀνάγκη πρὸ τοῦ πλήθους τὸ ἓν εἶναι, εἴπερ ἕκαστον τῶν πολλῶν ἓν ἀνάγκη εἶναι κατὰ τὴν τοῦ ἑνὸς τοῦ πρώτου μέθεξιν, ἢ μηδὲν εἶναι ὅλως. Ἔτι δὲ, εἰ ἀνάγκη πρὸ πάσης ἰδιότητος ἀρχικὴν εἶναι μονάδα, ἀφ' ἧς πᾶσα ἡ ἰδιότης ἡ ἐν πολλοῖς μεμερισμένη ὑφίσταται· (ἀπὸ γὰρ τοῦ θείου καὶ ἀρχικοῦ καλοῦ πάντα τὰ καλὰ πρόεισι· καὶ ἀπὸ τῆς πρώτης θείας ἀληθείας πᾶσα ἀλήθεια·) ἀνάγκη οὖν καὶ τὰς πολλὰς ἀρχὰς εἰς μίαν ἀρχὴν ἀνατείνεσθαι, οὔ τινα μερικὴν ἀρχὴν οὖσαν ἐκείνην, ὥσπερ τῶν ἄλλων ἑκάστην, ἀλλ' ἀρχὴν ἀρχῶν ὑπάρχουσαν πασῶν, καὶ ἐξῃρημένην, καὶ πάσας εἰς ἑαυτὴν συναιροῦσαν, καὶ πάσαις ἀφ' ἑαυτῆς τὸ ἀρχικὸν ἀξίωμα παρεχομένην ὁμοφυῶς, μετὰ τῆς ἑκάστῃ προσηκούσης ὑφέσεως. Οὕτω μὲν οὖν ἄτοπον, τὸ δύο ἢ πλείονας ὅλως τοῦ ἑνὸς τὰς πρώτας λέγειν ἀρχάς.

Ἀναγκάζονται δὲ οἱ δύο λέγοντες τῶν ὅλων ἀρχὰς, τό τε ἀγαθὸν καὶ τὸ κακὸν, καὶ τὸν ἀγαθὸν παρ' αὐτοῖς λεγόμενον Θεὸν μηκέτι πάντων αἴτιον λέγειν, μηδὲ παντοκράτορα δικαίως ἀνυμνεῖν, μηδὲ δύναμιν αὐτῷ τὴν ἀκροτάτην καὶ ὅλην ἀνατιθέναι, ἀλλὰ τὸ ἥμισυ τῆς ὅλης δυνάμεως, εἴπερ ἄρα καὶ τοῦτο· μηδὲ νομίζειν, πάντα ἀγαθαίνειν καὶ φωτίζειν αὐτὸν, πηγὴν λεγόμενον ἀγαθότητος καὶ φωτός. Οἷα δὲ καὶ ὅσα βλάσφημα εἰς τὸν θεὸν τοῖς ὑπ' ἐκείνων λεγομένοις ἐξ ἀνάγκης ἀκολουθεῖ; καὶ γὰρ δειλὸν εἰσάγουσιν αὐτὸν, δεδοικότα τὸ κακὸν ἐγγὺς τῶν ὅρων αὐτοῦ γενόμενον, μὴ καὶ ἐντὸς εἰσέλθῃ. Καὶ διὰ ταύτην τὴν δειλίαν ἀδίκως καὶ ἀσυμφόρως μέρη ἑαυτοῦ καὶ μέλη τὰς ψυχὰς οὔσας, ὥς φασι, μηδὲν ἁμαρτούσας πρότερον, ἔρριψε τῷ κακῷ, ἵνα τὰ λοιπὰ τῶν ἀγαθῶν διασώσῃ· ὥσπερ στρατηγὸς, φασὶ, πολεμίων ἐπιόντων, μέρος αὐτοῖς τοῦ οἰκείου στρατοῦ προΐεται, ἵνα τὸ λοιπὸν διασώσῃ. Ταῦτα γάρ ἐστιν αὐτῶν τὰ ῥήματα, εἰ καὶ μὴ ἐπ' αὐτῶν ἴσως τῶν λέξεων. Ὁ δὲ ῥίψας τὰς ψυχὰς κατ' αὐτοὺς, ἤτοι ὁ κελεύσας ῥιφῆναι, ἢ ἐλάθετο, ἢ οὐκ ἐνόησεν, οἷα μέλλουσιν αἱ ψυχαὶ πάσχειν ἐκδοθεῖσαι τῷ κακῷ· ὅτι ἐμπίπρανται, καὶ ταγηνίζονται, ὥς φασι, καὶ κακοῦνται παντοίως, μήτε ἁμαρτοῦσαί τι πρότερον, καὶ μέρη τοῦ Θεοῦ οὖσαι. Τὸ δὲ τελευταῖον, ὥς φασιν αἱ ἀσεβεῖς αὐτῶν γενόμεναι (τοιαῦται δέ εἰσι παρ' αὐτοῖς οὐχ αἱ φονεύσασαι, ἢ μοιχεύσασαι, ἤ τι τῶν ἐξαγίστων τούτων ἀπὸ ζωῆς διεφθαρμένης ποιή-

nisi ab una caussa ad utrumque pertinente? quo pacto vero omnino contraria erunt ista, ni sub uno communi genere collocentur? Neque enim contraria inter se sunt, quæ sunt prorsus et simpliciter diversa : nec enim quisquam dixerit, album contrarium esse calido, aut frigido : sed quæ uno communi genere comprehensa, plurimum inter sese differunt, ea contraria sunt; veluti album nigro, quorum commune genus est color, nam utrumque ex æquo color est; et calidum frigido, quorum genus est tactilis qualitas eodem sensu percepta. Quamobrem fieri nequit, ut, quæ contraria sunt, sint principia : quia necesse est, ante illa esse commune genus; atque etiam quia necesse est, unum esse ante multitudinem; quandoquidem unumquodque multorum aut unum esse necesse est, ob participationem unius, aut nihil esse prorsus. Præterea, si necesse est, ante omnem propriam qualitatem esse principalem unitatem, unde omnis proprietas inter multa distributa oriatur : (nam a divino et principali pulcro pulcra omnia prodeunt; et a prima divina veritate omnis veritas :) necesse est etiam multa principia ad unum referri principium, quod non ex parte principium quoddam sit, sicut reliqua singula; sed quod sit principiorum omnium principium, et eximium, omniaque cætera in sese contrahat, et omnibus a sese principii dignitatem æquabili quodam modo impertiat, cum ea quidem, quæ unicuique convenit, remissione ac diminutione. Et ita quidem absurdum est, duo, aut omnino plura uno prima principia statuere.

Qui autem duo rerum omnium principia, BONUM et MALUM, esse dicunt, coguntur hi etiam, eum, quem bonum Deum ipsi adpellant, omnium rerum auctorem esse negare, neque ut rerum omnium dominum celebrare, nec summam et omnem ei potentiam tribuere, sed totius potentiæ vix ac ne vix quidem dimidiam partem ei relinquere; denique non credere, eum, qui fons bonitatis et lucis dicatur, bonitatem et lucem omnibus impertiri. Quæ autem et quanta divinæ majestatis probra orationem eorum consequuntur! Nam et timidum inducunt Deum, MALUM ipsius finibus adpropinquans metuentem, ne intra fines quoque penetret; ob eumque timorem injuste atque inutiliter animos cum nihil ante peccassent, ut aiunt, sui partes et membra, objicientem MALO, ut bonorum reliquias tueatur; instar Imperatoris, ut aiunt, qui hostibus ingruentibus partem sui exercitus objiciat, ut reliquum conservet. Hoc enim ipsum illi dicunt, etsi fortasse verbis iisdem non utuntur. Qui vero, ut ipsi auctores sunt, animas projecit, projicive jussit, aut oblitus est, aut non cogitavit, quæ perpetienda essent animis MALO traditis; nempe uri eas, et in sartagine torreri, ut aiunt, et modis omnibus excruciari; idque cum nihil antea peccarint, et Dei partes sint. Postremo illud addunt, si quæ earum impiæ fuerint (tales autem apud eos sunt, non cædibus, non adulteriis, non aliis corruptæ vitæ sceleribus pol-

σασαι, ἀλλ' αἱ μὴ λέγουσαι δύο ἀρχὰς εἶναι τῶν πάντων, τὸ ἀγαθὸν καὶ τὸ κακόν), αὗται οὖν οὐδὲ ἐπιστρέφουσιν ἔτι, φασὶν, εἰς τὸ ἀγαθὸν, ἀλλὰ μένουσι τῷ κακῷ συγκεκολλημέναι· ὥστε καὶ ἀτελῆ μένειν ἐκεῖνον, μέρη αὐτοῦ ἀπολέσαντα.

Καὶ ἀνόητος οὖν ἐστι κατ' αὐτοὺς (μὴ γὰρ ἐμὸς ὁ λόγος ἔστω), μήτε τὸ ἑαυτοῦ συμφέρον λογίσασθαι δυνηθεὶς, μήτε τὴν τοῦ κακοῦ φύσιν γινώσκων. Πῶς γὰρ ἂν εἰσέλθοι εἰς τὴν τοῦ ἀγαθοῦ μοῖραν τὸ κακὸν, ἐξ ἀϊδίου διακεκριμένων αὐτοῖς τῶν κλήρων, ὥς φασι, καὶ κατὰ τὰς αὐτῶν φύσεις ἀφωρισμένων; Ἀπὸ τίνος οὖν λέγουσι; δῆλον δὲ, ἢ ἐκ ταὐτομάτου· καὶ εἴη ἂν πάντως ἀρχὴ κατ' αὐτοὺς τὸ αὐτόματον· ἢ ἀπό τινος ὑπὲρ ἄμφω ὄντος· ὅπως δ' ἂν ἔχῃ τοῦτο, πρὸ τοῦ κόσμου παρ' αὐτοῖς γενέσθαι. Ὡς [γὰρ] ἐν γῇ τὴν διανομὴν ποιοῦσι· τὰ μὲν τρία μέρη, τὸ ἀνατολικὸν καὶ δυτικὸν καὶ βόρειον, τῷ ἀγαθῷ διδόντες· τὸ δὲ μεσημβρινὸν, τῷ κακῷ. Καὶ γὰρ καὶ τὰ πέντε τοῦ κακοῦ ταμιεῖα ὡς ἄντρα τινὰ ὑποτίθενται· καὶ δένδρα, καὶ ζῶα πλάττουσιν ἐκεῖ χερσαῖα καὶ ἔνυδρα, μαχόμενα ἀεὶ, καὶ ὑπὸ τοῦ Πενταμόρφου παρ' αὐτοῖς ἐσθιόμενα, καίτοι ἄφθαρτα πάντα λέγονται ἐκεῖνα, ὡς καὶ τὰ πρῶτα ἀγαθά. Διῳκισμένων δ' οὖν ἐξ ἀρχῆς κατὰ φύσιν τῶν τόπων, πῶς δυνατὸν ἦν εἰς τὴν τοῦ ἀγαθοῦ μοῖραν τὸ κακὸν εἰσελθεῖν; Πῶς δὲ δυνατὸν ἦν, [μένον] ἐναντίον; οὕτω γὰρ καὶ τὸ λευκὸν, μένον λευκὸν, μέλαν ἔσται· καὶ τὸ φῶς, μένον φῶς, ἐνδέχεται σκότος. Εἰ οὖν ταῦτα ἀδύνατα, πῶς μετὰ τοῦ δειλοῦ καὶ ἀδίκου οὐχὶ καὶ ἀνόητόν ἐστι τὸ ῥῖψαι τῷ κακῷ τὴν ψυχὴν, καὶ ἀπὸ τότε μέχρι καὶ νῦν πράγματα ἔχειν, ὥς φασι, μὴ δυνάμενον αὐτὴν τελέως ἀνακαλέσασθαι, μηδὲ δυνησόμενον, διὰ τὸ τινὰς, ὡς πρότερον ἐμνήσθην, ψυχὰς μένειν κατ' αὐτοὺς ἐν τῷ κακῷ τοῦ λοιποῦ τὸν ἄπειρον αἰῶνα; Καὶ οὐδὲ προγνῶναι τοῦτό φασιν αὐτόν· καίτοι τὸ κακὸν προγινώσκειν λέγουσι τὴν μέλλουσαν ἀποστολὴν κατ' αὐτοῦ πέμπεσθαι, καὶ μηχανὰς πρὸς αὐτὴν ἀναπλάττειν. Πόσῳ δὲ κάλλιον ἦν ἐᾶσαι τὸ κακὸν περὶ ἑαυτὸ συντριβόμενον, ἤπερ ἐμμῖξαι ἑαυτὸ τῷ κακῷ, μηδὲ δυνατὸν ὂν αὐτοῦ περιγενέσθαι; ἀγένητον γὰρ καὶ ἄφθαρτον καὶ τὸ κακὸν ὁμοίως φασὶν, ὥσπερ καὶ τὸ ἀγαθόν. Καὶ γὰρ καὶ τοῦτο ἄν τις ἐπισκήψειεν, ὅτι ὁμοίως ταῦτα τῷ ἀγαθῷ καὶ τῷ κακῷ ὑπάρχειν φασὶ, τὸ ἀγένητον καὶ ἄφθαρτον, τὸ ἄναρχον καὶ ἀτελεύτητον· ὧν τί ἂν εἴη σεμνότερον;

Οἷα δὲ καὶ περὶ τῆς κοσμοποιίας λέγουσι; κίονάς τινας λέγοντες, οὐχ ἐκείνας,

αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν·

οὐ γὰρ ἀξιοῦσι μυθικῶς τινὸς τῶν λεγομένων ἀκούειν· ἀλλ', ὁποίας τις τῶν παρ' αὐτοῖς σοφῶν ἐξέφηνεν, ἐκ κραταιοῦ λίθου καὶ ἀναγλύφους αὐτὰς νομίζουσι· καὶ δώδεκα θυρίδας, μιᾶς καθ' ἑκάστην ὥραν ἀνοιγομένης. Αἱ δὲ περὶ τῶν ἐκλείψεων αἰτιολογίαι, θαυμαστὴν σοφίας ὑπερβολὴν ἐνδείκνυνται. Λέγουσι γὰρ, τῶν ἐν τῇ κοσμοποιίᾳ συνδεδεμένων κακῶν ταραχὴν καὶ θόρυβον

lutæ; sed quæ duo rerum esse principia, bonum et malum, negent), eas igitur ad bonum non reverti amplius, sed MALO adglutinatas permanere. Itaque et imperfectus ille manet, partibus suis amissis.

Fuerit igitur etiam, iisdemque auctoribus (neque enim hoc a me dictum esto), amens et vecors Deus, qui nec, quid sibi expediret, reputare potuerit, neque MALI naturam intelligat. Nam quo pacto BONI quasi provinciam intrasset MALUM, cum limites eorum ab omni æternitate disterminati separatique fuerint, ut aiunt, et pro sua natura segregati? A quo igitur id factum dicunt? Nempe, sive casu et fortuito: sic illis casus principium utique fuerit: sive ab aliquo, quod sit utroque illorum superius. Quocumque autem pacto illud se habeat, adparet, illud secundum eos ante mundum fuisse. Nam velut in terra partitionem faciunt; et orientales, occidentales et septemtrionales partes BONO tribuunt, meridionales vero MALO. Nam et quinque MALI conclavia, velut antra quædam, comminiscuntur: ibique arbores fingunt, et animalia terrestria et aquatica, perpetuo inter sese pugnantia; quæ quamvis immortalia dicantur esse omnia, haud secus ac prima bona, tamen a quinqueformi, quod fingunt, monstro devorentur. Cum autem ab initio loca natura distincta fuerint; fieri qui potuit, ut in BONI partem MALUM penetraret? Quomodo vero fieri potuit, [manens] contrarium? Sic enim et album, quamvis album maneat, nigrum erit: et lux, cum maneat lux, tenebras admittet. Quæ si fieri nequeunt, nonne cum ignaviæ et iniquitatis, tum vero amentiæ fuerit, animam objicere MALO, et ab eo tempore in hunc usque diem laboriose esse occupatum, ut aiunt, cum eam plane revocare non possit, neque umquam poterit, eo quod nonnullæ animæ, hos si audias, ut ante memini, ævo infinito maneant in MALO? Idque eum ante scivisse negant: quamvis MALUM dicant præscire, quid adversus se missum eatur, et machinas ejus rei caussa præparare. Quanto autem melius fuisset, ut BONUM sineret MALUM per se ipsum comminui, quam ut immisceret se malo, quod vincere non posset? Ortus enim et interitus MALUM æque, atque BONUM, expers statuunt. Nam et hoc ipsum in eis reprehendas, quod æque hæc in MALO, atque in BONO, inesse statuunt, et ortu et interitu et principio et fine carere utrumque: quibus rebus quid esse queat excellentius?

Jam de Mundi structura quæ dicunt? Esse columnas quasdam, non illas

Quæ cœlos terræque ferunt immobile pondus:

(neque enim fabulose horum quidquam accipi volunt:) sed ejusmodi, quales ex ipsorum sapientibus quidam prodidit, quæ solido e lapide sculptæ sint: adduntque duodenas fenestras, quarum singulis horis una aperiatur. Porro, quas caussas adferunt defectus solis lunæque, eæ admirabilem quamdam et excellentem sapientiam præ se ferunt. Aiunt enim, si quando mala, quæ in mundi structura colligata

ποιούντων ἐν ταῖς ἑαυτῶν συγκινήσεσι, παραπετάσματά τινα τοὺς φωστῆρας ἑαυτῶν προβάλλεσθαι, διὰ τὸ μὴ μετέχειν τῆς ταραχῆς ἐκείνων· καὶ τοῦτο εἶναι τὰς ἐκλείψεις, τὰς ὑπὸ τοῖς παραπετάσμασιν ἀποκρυφὰς αὐτῶν. Πόση δὲ καὶ ἡ περὶ τοῦτο ἀλλοκοτία, τὸ ἐκ πάντων τῶν ἐν τῷ οὐρανῷ μόνους τοὺς δύο φωστῆρας τιμᾷν, τῆς τοῦ ἀγαθοῦ μοίρας λέγοντας αὐτοὺς, τῶν δὲ ἄλλων καταφρονεῖν, ὡς τῆς τοῦ κακοῦ μοίρας ὄντων; καὶ τὸ φῶς τῆς σελήνης οὐκ ἀπὸ τοῦ ἡλίου νομίζειν, ἀλλὰ ψυχὰς εἶναι, ἃς ὑπὸ νουμηνίας ἕως πανσελήνου ἀπὸ τῆς γῆς ἀνασπῶσα, ἀπὸ πανσελήνου πάλιν ἕως νουμηνίας εἰς τὸν ἥλιον μεταγγίζει. Καὶ τί ταῦτα μηκύνω; τέρατα γὰρ πλάττοντές τινα, ἅπερ μηδὲ μύθους καλεῖν ἄξιον, οὐχ ὡς μύθοις χρῶνται, οὐδὲ ἐνδείκνυσθαί τι ἄλλο νομίζουσιν, ἀλλ' ὡς ἀληθέσιν αὐτοῖς τοῖς λεγομένοις πιστεύουσι· πεντάμορφον τὸ κακὸν ἀναπλάττοντες, ἀπὸ λέοντος, καὶ ἰχθύος, καὶ ἀετοῦ, καὶ οὐ μέμνημαι τίνων ἄλλων συγκείμενον, καὶ ὡς τοιοῦτον ἐπιόν τι δεδοικότες. Τοσαύτη τίς ἐστιν ἐν τοῖς λόγοις τούτοις ἡ περὶ τὸ θεῖον ἀσέβεια· καὶ τὸ θαυμαστὸν, ὅτι πάντα ταῦτα ἀνέπλασαν διὰ θεοσεβῆ δῆθεν εὐλάβειαν. Μὴ βουλόμενοι γὰρ αἴτιον τοῦ κακοῦ τὸν θεὸν εἰπεῖν, ἀρχὴν ὑπεστήσαντο ἰδίαν τοῦ κακοῦ, ἰσότιμον αὐτὴν καὶ ἰσοσθενῆ τιθέντες τῷ ἀγαθῷ, μᾶλλον δὲ καὶ ἰσχυροτέραν· μέχρι γὰρ νῦν τέως ἐν πᾶσι τοῖς ἑαυτοῦ ἐπιχειρήμασιν ὑπέρτερον φαίνεται γεγονὸς τὸ κακόν. Καὶ τοῦτο μὲν τοῦ ἀγαθοῦ φαίνεται πανταχοῦ κατ' αὐτοὺς ἀντεχόμενον, καὶ μηχανώμενον παντοίως μὴ ἀπολέσαι αὐτό· τὸ δὲ ἀγαθὸν, ὡς οὗτοι φασὶν, ἑκουσίως ἑαυτὸ τῷ κακῷ συνέμιξε· καὶ δειλῶς, καὶ ἀδίκως, καὶ ἀνοήτως, κατ' αὐτοὺς, μέχρι νῦν διεγένετο· ὥστε φεύγοντες, αἴτιον αὐτὸν τοῦ κακοῦ εἰπεῖν, πάγκακον ὑπογράφουσι· καὶ, κατὰ τὴν παροιμίαν, φεύγοντες τὸν καπνὸν εἰς πῦρ ἐμπεπτώκασιν.

Οὕτω μὲν οὖν ἀσεβὴς περὶ τὸ θεῖον οὗτος ὁ λόγος. Τὰς δὲ ἀρχὰς τῆς φυσικῆς εὐαγωγίας, ὅσον ἐφ' ἑαυτῷ, διαφθείρει, τὸ ἐφ' ἡμῖν κατὰ ἀλήθειαν ἀναιρῶν. Τὴν γὰρ τοῦ κακοῦ ἀρχὴν ἀγένητον καὶ ἄφθαρτον καὶ ἰσχυρὰν ἐπάγει, βίᾳ τὰς ψυχὰς συνωθοῦσαν εἰς τὸ κακόν· ὥστε μηκέτι ἐφ' ἡμῖν εἶναι τὸ ἁμαρτάνειν, ἢ μή· οὕτως ὄντος ἰσχυροῦ τοῦ ἀναγκάζοντος, ὡς μηδὲ ὑπὸ θεοῦ κατ' αὐτοὺς νικηθῆναι. Καίτοι ἐχρῆν ἐννοεῖν, ὅτι, ἐὰν ὑπὸ ἰσχυροτέρου τινὸς βιαζόμεναι αἱ ψυχαὶ φονεύωσιν, ἢ μοιχεύωσιν, ἤ τι τοιοῦτον πράττωσι τῶν λεγομένων κακῶν, ὠθισμῷ καὶ οὐχ ἑκουσίως, ἀναμάρτητοι ἂν εἶεν. Τὰ γὰρ βίᾳ καὶ ἀκουσίως πραττόμενα, μὴ ὄντα ἁμαρτωλὰ, καὶ ὑπὸ θεοῦ καὶ ὑπὸ τῶν νόμων συγγινώσκεται. Καὶ οὐκ ἔτι οὐδέν ἐστιν ἁμαρτία ὅλως· οὐ γὰρ κακόν· ἂν ὑπόθηταί τις βιαζομένους ἡμᾶς ὑπὸ ἰσχυροτέρων αἰτίων τὰ τοιαῦτα πράττειν. Εἰ οὖν τούτων ὡς κακῶν ὄντων τὴν αἰτίαν ζητοῦντες, ἀρχὴν ὑπέθεντο κακοῦ· ἐκείνης δὲ ὑποτεθείσης καὶ βιαζομένης, οὐκ ἔστιν οὐδὲν ἔτι κακόν· χαριέντως αὐτοῖς ὁ λόγος περιτέτραπται. Συνάγεται γάρ, ὅτι, εἰ ἔστιν ἀρχὴ τοῦ

sunt, suis commotionibus turbas atque tumultus cieant, tum lumina ista sibi vela quædam obducere, ut ab illa perturbatione sint immunia; nec solis et lunæ defectus quidquam esse aliud, nisi occultationes sub illis velis. Quam vero et illud absurdum est, quod ex omnibus corporibus cœlestibus sola illa duo lumina colunt, et in BONI parte numerant; cætera vero, ut quæ ad MALUM pertineant, contemnunt? tum quod lunæ lumen non a sole esse existimant: sed animas esse censent, quas illa sub novilunium usque ad plenilunium a terra attrahens, a plenilunio rursus usque ad novilunium ad solem transmittat? Quid multis moror? nam cum monstra confingant, quæ ne fabularum quidem nomine digna sunt, pro fabulis ea haberi, aut aliud quid significare nolunt, sed ut vera credi volunt; quinqueforme fingunt esse Malum, ex leone, pisce, aquila, et nescio quibus aliis duobus compositum; et hujus monstri impetum formidant. Tantus inest in sermonibus hisce contemtus numinis atque impietas: et quod mireris, hæc omnia confinxerunt, quasi religiosa (si diis placet) et Dei reverentiam præ se ferentia. Quem cum auctorem mali dicere nollent; peculiare MALI principium statuerunt, pari et dignitate et potentia cum BONO, ac potius eo valentius: nam adhuc quidem in omnibus suis conatibus MALUM exstitisse superius adparet. Et MALUM quidem, secundum illos, ubique amplectitur BONUM, et quidvis molitur, ne illud amittat. BONUM vero ultro se cum MALO, ut dicunt iidem, commiscuit; seque ad hunc usque diem et timide et injuste et amenter gessit. Itaque dum mali caussam dicere Deum recusant, ab omni parte malum eum describunt: et, ut proverbio dicitur, fumum fugientes in ignem inciderunt.

Ita igitur impia adversus Deum est ista ratio. Sed et rectæ institutionis vitæ, a natura præscriptæ, principia, quantum in ipsa est, corrumpit; dum voluntatis libertatem revera tollit. Nam MALI principium et ortus et interitus expers, et potentiâ valens, introducit, per vim animos in MALUM impellens; ut jam non penes nos sit, peccare, aut non peccare: quippe cum tanta vis sit cogentis MALI, ut ne a Deo quidem vinci possit. Atqui cogitandum erat, si ab aliquo robustiore coactæ animæ cædem fecerint, aut adulterarint, aut id genus aliquid aliud perpetrarint, culpa vacare, impulsione extrinsecus adlata, non sua voluntate delinquentes. Nam quæ vi et ab invitis fiunt, eis, utpote nihil peccati habentibus, et a Deo et legibus ignoscitur. Et omnino ne peccatum quidem amplius est; nam ne malum quidem; si statuas, a robustioribus caussis coactos nos talia facere. Quod si igitur talium facinorum, ut malorum, caussam requirentes, MALI principium statuerunt; eo vero posito et vim inferente, malum nullum relinquitur: festive suo ipsi (quod aiunt) gladio jugulantur. Nam inde colligitur: si MALI principium sit, nullum omnino esse malum.

χαχοῦ, οὐχ ἔστι χαχὸν ὅλως. Εἰ δὲ μὴ ἔστι χαχὸν, οὐδὲ ἀρχὴ ἂν εἴη τοῦ χαχοῦ. Ὥστε, εἰ ἔστιν ἀρχὴ τοῦ χαχοῦ, ὥς φασιν, οὔτε χαχὸν ἔσται, οὔτε ἀρχὴ τοῦ χαχοῦ.

Οὕτως οὖν ἐναργῶς ἐλεγχθείσης ταύτης τῆς ὑποθέσεως, ἐάν τις, ἐχχλίνων τοῦτον τὸν ἔλεγχον, τολμήσῃ τὸν θεὸν αὐτὸν αἴτιον τοῦ χαχοῦ λέγειν ὡς χαχοῦ, συντομώτερον χαὶ οὗτος ἀσεβῶν ἐλέγχεται περὶ τὸν θεὸν, χαὶ ψευδόμενος. Πῶς γὰρ ἂν ἀληθὴς εἴη ὁ λόγος, ὁ πρὸς τὸν θεὸν ἀσεβὴς, τὸν τῆς ἀληθείας χορηγόν; Καὶ πρῶτον μὲν, πῶς ἀγαθὸς ὁ θεὸς ὢν χατὰ τὴν ἄχραν χαὶ ἀπαράτρεπτον ἀγαθότητα, τὸ χαχὸν ἀφ' ἑαυτοῦ παράξει, εἰ γὰρ ἐναντίον ἐστὶ τῷ ἀγαθῷ τὸ χαχὸν, ὡς οἱ ἀποροῦντες νομίζουσι, πῶς τὸ ἐναντίον ὑπὸ τοῦ ἐναντίου παραχθήσεται; ἔτι δὲ ὁ παράγων τι ἀφ' ἑαυτοῦ, χαὶ αἴτιος ὢν αὐτῷ τοῦ εἶναι, τὴν αἰτίαν ἔχων αὐτοῦ, χαὶ χατ' ἐχείνην ἱστάμενος, παράγει· χατ' αἰτίαν ὢν αὐτὸς ἐχεῖνος, ὅπερ τὸ παραγόμενον χαθ' ὕπαρξιν. Ὥστε λανθάνει ἑαυτὸν ὁ λόγος οὗτος, ὅτι πρὸς τῷ χαὶ αὐτὸς ἐναργῶς εἰς τὸν θεὸν ἀσεβεῖν, χαὶ ἀρχὴν τοῦ χαχοῦ, χαὶ πρῶτον χαχὸν, ὡς ὁ πρότερος, εἰσάγει.

Εἰ οὖν μήτε ἀρχὴν ἔχει τὸ χαχὸν, μήτε ὁ θεὸς τοῦ χαχοῦ αἴτιός ἐστι, πόθεν τὸ χαχόν; ἀδύνατον γάρ τι ἄνευ αἰτίας γένεσιν ἔχειν. Ἢ χρὴ πρῶτον τί ἐστι τὸ λεγόμενον χαχὸν διαρθρωθῆναι, χαὶ οὕτω, πόθεν ἐστὶν, ζητεῖν; ὁ γὰρ ἀγνοῶν τί ποτέ ἐστιν ἕχαστον, οὐδὲ τὴν αὐτοῦ δύναται εὑρεῖν αἰτίαν. Ῥητέον τοίνυν, ὅτι τοῦτο μὲν τὸ χαχὸν, ὃ οἱ τὴν ἀρχὴν τοῦ χαχοῦ τιθέντες, χαὶ οἱ πολλοὶ τῶν ἀπορούντων περὶ αὐτοῦ, ἐννοοῦσίν τινα προηγουμένην ἔχον ὑπόστασιν, ὥσπερ τὸ ἀγαθὸν, χαὶ δύναμιν τῷ ἀγαθῷ παρισουμένην, χαὶ ἐναντίαν ἐξίσου· χαὶ αὐτὸ δὴ τοῦτο τὸ χαχὸν οὐσίαν ἄμιχτον τῇ ἑαυτοῦ φύσει πρὸς τὸ ἐναντίον αὐτῷ τὸ ἀγαθὸν, ὡς ἔχει τὸ μέλαν πρὸς τὸ λευχὸν, χαὶ τὸ θερμὸν πρὸς τὸ ψυχρόν· τὸ δὴ τοιοῦτον χαχὸν, οὐδὲ ἔστιν ὅλως ἐν τῇ φύσει τῶν ὄντων. Εἰ γὰρ ἦν προηγουμένη τις οὐσία, ὥσπερ ἄνθρωπος, εἰ τύχοι, χαὶ ἵππος, εἶχεν ἂν πάντως τινὰ χατὰ φύσιν ἑαυτοῦ τελειότητα, χαὶ εἶδος, χαθ' ὅ ἐστι τοῦτο ὅπερ ἐστί. Πᾶν δὲ εἶδος, ἔχον τὴν χατὰ φύσιν αὐτοῦ τελειότητα, ἀγαθόν ἐστι, χαὶ οὐ χαχόν. Τοιγαροῦν χαὶ ὀρέγεσθαι τοῦ ἀγαθοῦ τὸ χαχὸν ἐχεῖνό φασι, χαὶ μετέχειν αὐτοῦ, χαὶ ὠφελεῖσθαι παρ' αὐτοῦ, χαὶ ἀγαπᾶν τὴν μέθεξιν, χαὶ πάντα πράττειν πρὸς τὸ μὴ ἀπολέσαι αὐτήν. Πῶς οὖν τὸ τοιοῦτον ὡς ἁπλῶς χαχὸν ἐννοεῖν δυνατόν; Ὅπερ δέ ἐστι χαχὸν, χαθὸ χαχοὶ χαὶ ἁμαρτωλοὶ λεγόμεθα, χαὶ δίχην ὑπέχομεν ὡς χαχοὶ, τοῦτο συμβεβηχός ἐστι, χαὶ οὐχ ἔστιν οὐσία· εἴπερ γίνεται χαὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποχειμένου φθορᾶς, χαὶ χαθ' ἑαυτὴν οὐχ ὑφίσταται. Τί γὰρ ἂν εἴη χαχὸν, ὃ μή τινός ἐστι χαχόν; ὁμοίως δὲ χαὶ τὸ ἀντιχείμενον τούτῳ ἀγαθὸν, συμβεβηχός ἐστι χαὶ αὐτό. Ἀλλὰ τὸ μὲν Ἀγαθὸν, τὸ χατὰ φύσιν ἐστὶν ἑχάστου, χαθὸ τὴν αὐτοῦ ἔχει τελειότητα· τὸ δὲ Καχὸν, ἡ παρὰ

Si vero malum non est, ne principium quidem fuerit MALI. Itaque si est principium MALI, ut aiunt, nec malum erit, nec mali principium.

Hoc igitur fundamento tam evidenter labefacto : si quis, ejusdem plagæ vitandæ caussa, Deum ipsum mali auctorem esse, quatenus est malum, adfirmare conetur; majore compendio is quoque et impietatis erga Deum et mendacii reus peragetur. Nam quo modo vera erit ista ratio, majestatis Dei læsæ rea, omnis veri auctoris? Ac primo quidem, quo pacto Deus summa et immutabili præditus bonitate, malum a semetipso produceret? Si enim contrarium est bono malum, ut adversarii existimant; quo pacto contrarium a contrario producetur? Præterea, qui aliquid a se ipso producit, eique, ut sit, caussa est; is rei productæ auctor esse, et ab illius partibus stare arguitur : et caussaliter ipse illud est, quod res producta est ipso actu. Itaque ratio ista, præterquam quod adversus Deum manifeste impia est, rursus et ipsa, quemadmodum illa superior, principium mali et malum primitivum, imprudens quidem, inducit.

Quod si ergo neque principium habet malum, neque auctor mali Deus est; MALUM unde exstitit? neque enim fieri potest, ut ortum habeat quidpiam absque caussa. An vero primum, quid sit quod MALUM dicitur, explicandum, ac tum demum quærendum fuerit, unde sit? Qui enim, quid sit quæque res, ignorat, nec caussam illius reperire potest. Dicendum igitur, quod hoc MALUM (quod ii, qui principium mali statuunt, et plerique dubitantium de eo, intelligunt principalem quandam et præcipuam habere substantiam et naturam, sicut bonum; et potentiam bono parem, et ex æquo oppositam; esseque idem illud malum rem quamdam, quæ suapte natura cum bono ipsi opposito non sit permixta; quemadmodum nigrum se habeat ad album, et calidum ad frigidum :) tale igitur MALUM, dicendum est, prorsus non esse in rerum natura. Nam si esset malum res quædam principalis (sive substantia), ut, exempli gratia, homo et equus; haberet utique suapte natura perfectionem aliquam et formam, qua id esset, quod esset. Omnis autem forma perfectione suæ naturæ conveniente prædita, est bonum aliquod, non malum. Itaque etiam hi dicunt, malum illud esse boni adpetens et particeps, et fructum ex eo capere, et amare participationem, et omnia facere ne eam perdat. Tale igitur cum sit, quo pacto ut omnino et simpliciter malum cogitari potest? Quod vero malum est, quo homines mali dicimur, et peccatores, et ut mali plectimur; id vero accidens est, non substantia aut essentia : siquidem et accedit et recedit absque subjecti interitu, et per se non subsistit. Quid enim erit malum, nisi alicujus malum fuerit? Similiter vero bonum huic oppositum, et ipsum est accidens. Sed *bonum* hoc, est id quod cujusque naturæ convenit, et quo illa suam habet perfectionem : *malum* vero, adfectio contra naturam est ejus, cui

φύσιν διάθεσις τοῦ ἔχοντος αὐτὸ, καθ' ἣν ἐστέρηται τοῦ κατὰ φύσιν, καὶ τοῦ ἀγαθοῦ. Εἰ γὰρ ἦν καὶ τὸ κακὸν κατὰ φύσιν διάθεσις καὶ τελειότης τοῦ ἔχοντος αὐτὸ εἴδους, ἀγαθὸν ἂν ἦν καὶ αὐτὸ, καὶ οὐκ ἔτι κακὸν ἐλέγετο.

Ὥστε οὐκ ἔστι τις προηγουμένη φύσις καὶ ὑπόστασις τοῦ κακοῦ, ὥσπερ ἡ τοῦ ἀγαθοῦ· ἀλλὰ παρυφίσταται τῷ ἀγαθῷ, ἔκπτωσις αὐτοῦ καὶ στέρησις ὑπάρχον. Οὕτω γὰρ ἔχει καὶ νόσος πρὸς ὑγίειαν, καὶ κακία ψυχῆς πρὸς ἀρετήν. Καὶ ὥσπερ τὸ μὲν περιπατεῖν ὀρθῶς, προηγουμένη τίς ἐστιν ἐνέργεια τοῦ ζῴου, καὶ σκοπὸν αὐτὴν θέμενον ὁρμᾷ ἐπ' αὐτήν· τὸ δὲ σκάσαι καὶ χωλεῦσαι περιπατοῦντα κατὰ ἀποτυχίαν τῆς προηγουμένης ἐνεργείας ἐπισυμβαίνει, καὶ παρυφίσταται αὐτῇ, παρὰ φύσιν οὖσα κίνησις· οὕτως ἔχει πᾶν κακὸν πρὸς τὸ ἀντικείμενον αὐτῷ ἀγαθόν· καὶ οὐ δυνατὸν λέγειν οὔτε προηγούμενα ὁμοίως ταῦτα, οὔτε ἰσοστάσια ἀλλήλοις, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν. Εἴδη γὰρ ὁμοίως ταῦτα ἄμφω, καὶ οὐδὲν μᾶλλον οὐδὲ ἧττον ἑκάτερον θατέρου, τὴν κατὰ φύσιν ἔχει τελειότητα, οὐδὲ στέρησίς ἐστιν ἑτέρου τὸ ἕτερον. Ἡ γὰρ στέρησις παραφορὰ καὶ ἀποτυχία τοῦ εἴδους ἐστὶν, ὥσπερ ἡ χωλεία τῆς βαδίσεως. Τούτων δὲ ἑκάτερον εἰλικρινὲς ἔχει τὸ καθ' ἑαυτὸ εἶδος, οὐδὲ τὸ ἕτερον ἑτέρου ἔλαττον. Ἐκεῖ δὲ, τοῦ ἑτέρου κατὰ φύσιν ὄντος, τὸ ἕτερον παρὰ φύσιν· καὶ παρυφίσταται τῷ κατὰ φύσιν τὸ παρὰ φύσιν, τῷ ἀγαθῷ δηλονότι τὸ κακόν. Οὐ γὰρ τῷ κακῷ, τὸ ἀγαθόν· ὥσπερ οὐκ ἂν λέγοι τις, τῇ ἀποτυχίᾳ τοῦ σκοποῦ παρυφίστασθαι τὴν ἐπιτυχίαν αὐτοῦ· οὐδὲ γὰρ τῇ νόσῳ, τὴν ὑγίειαν· ἀλλὰ τῇ μὲν ἐπιτυχίᾳ, τὴν ἀποτυχίαν, τῇ δὲ ὑγιείᾳ τὴν νόσον. Προηγούμενον γὰρ τοῦ τοξότου τέλος ἐστὶ τὸ ἐπιτυχεῖν τοῦ σκοποῦ· διὰ γὰρ τὸ ἐπιτυχεῖν, τοξεύει· καὶ τῆς φύσεως προηγούμενον τέλος ἡ ὑγίεια· διὰ γὰρ τὴν σωτηρίαν καὶ ἡ ὑγίεια τοῦ ζῴου, καὶ ὅλως τὸ [τέλος ἐστὶ,] δι' ὃ γίνεται ἡ ἐνέργεια. Ἐπισυμβαίνει δὲ τῷ μὲν σκοπῷ τῆς ἐπιτυχίας, ἡ ἀποτυχία· ὅταν μὴ τύχῃ τοῦ σκοποῦ ἡ ἐνέργεια, μήτε τὸ τέλος ἀπολάβῃ δι' ὃ ἐνεργεῖ, ἀλλὰ τὴν ἐκείνου ἀποτυχίαν ἀντ' ἐκείνου. Τὸ δὲ ἐπισυμβαῖνον ἀκουσίως τῷ προηγουμένῳ τέλει παρυφίστασθαι ἂν λέγοιτο τῷ τέλει δικαίως, ἀλλ' οὐχὶ τὸ προηγούμενον τέλος τῷ ἀκουσίως ἐπισυμβαίνοντι.

Εἰ τοίνυν τοῦ ἀγαθοῦ πάντα ἐφίεται, καὶ πᾶν τὸ ἐνεργοῦν διὰ τὸ τοῦ ἀγαθοῦ ἐπιτυχεῖν ἐνεργεῖ, ἢ τοῦ ὄντος ἀγαθοῦ, ἢ τοῦ αὐτῷ δοκοῦντος· δῆλον, ὅτι προηγούμενον μέν ἐστι τέλος πάσης ἐνεργείας, ἡ τοῦ ἀγαθοῦ τεῦξις· ἐπισυμβαίνει δέ ποτε τῇ ἐνεργείᾳ τὸ κακὸν, ὅταν ἡ ἔφεσις μὴ τοῦ κατὰ ἀλήθειαν ἀγαθοῦ γίνοιτο, ἀλλὰ τοῦ φαινομένου, ᾧ σύνεστι τὸ ἀγαθόν. Ἡδονῆς γάρ τις ἐφιέμενος [μοιχεύει], καὶ ἐπιθυμῶν εὐπορίας, κλέπτει καὶ καταποντίζει· προηγουμένως μὲν τοῦ φαινομένου αὐτοῦ ἀγαθοῦ ἐφιέμενος, καὶ ἐκείνου ἕνεκα ἐνεργῶν, ἀναγκαζόμενος δὲ σὺν ἐκείνῳ καὶ τὸ συνὸν αὐτῷ κακὸν λαβεῖν· ἐπειδὴ οὐδεὶς τοῦ μοιχεῦσαι δι' αὐτὸ τὸ

inest; cum caret eo, quod ipsius naturæ convenit, ipsoque bono. Nam si malum pariter adfectio esset naturæ consentanea, et perfectio quædam ejus formæ in qua inesset; ipsum quoque bonum foret, nec jam malum diceretur.

Non est igitur principalis aliqua *natura* et substantia *mali*, cujusmodi est boni : sed secundario quodam loco exsistit illud juxta bonum, cujus est frustratio atque privatio. Sic enim sese et morbus habet adversus sanitatem, et pravitas animi adversus virtutem. Et quemadmodum recte incedere, principalis quædam actio est animantis, quam illud propositam habet, et ad quam contendit; titubare vero et claudicare ingrediendo, ex frustratione principalis actionis accidit, et ejus accessio est, cum sit motio præter naturam : ita se habet omne malum adversus bonum ipsi oppositum. Neque possunt hæc vel æque principalia dici, vel paris inter sese momenti, ut album et nigrum. Nam utrumque hoc genus, nec alterum altero magis aut minus, naturalem habet perfectionem, nec privatio est alterius alterum : nam privatio, aberratio et frustratio formæ est, ut claudicatio incessus : horum vero generum utrumque sinceram habet suam formam, nec alterum altero minus. Illic autem, cum alterum secundum naturam sit, alterum contra naturam est : et accedit ad id quod secundum naturam est id quod est contra naturam; videlicet malum ad bonum. Neque enim bonum ad malum : sicut nemo dixerit, ad *aberrationem a scopo* accedere adeptionem scopi, aut ad morbum accedere sanitatem : sed ad adeptionem accedit aberratio, et ad sanitatem morbus. Nam principalis sagittarii finis est, attingere scopum; eaque de caussa ille jaculatur : et naturæ principalis finis est sanitas, quæ ad conservationem animantis pertinet. Denique finis est, ad quem actio refertur. Accedit autem ad propositum aberratio, cum actio scopum non attigerit, nec eum consecuta est finem, ob quem suscepta fuit, sed illius loco frustrationem. Quod vero præter voluntatem ejus accedit, qui agit, id juxta finem secundario quodam loco existere, merito dici queat : non autem propositus finis secundario loco exsistat juxta id, quod præter voluntatem nostram accedit.

Si ergo bonum adpetunt omnia, et quidquid agit, adipiscendi boni caussa agit, sive id vere bonum sit, sive ipsi esse videatur, omnis actionis præcipuum esse finem boni adeptionem constat : malum vero interdum obiter incidere in actionem, cum non verum bonum desideratur, sed quod videtur esse bonum, et cui conjunctum est bonum. Nam voluptatem adpetens aliquis [mœchatur], et divitiarum cupidus furatur aut in mari grassatur : principaliter quidem et unice id quod ipsi bonum videtur adpetens, et ejus adipiscendi caussa agens; sed una cum illo id malum etiam, quod cum eo conjunctum est, accipere coactus. Nemo enim adulterium ob ipsum adulterium adpetit, aut furtum ob ipsum

μοιχεῦσαι ὀρέγεται, οὐδὲ τοῦ κλέψαι διὰ τὸ κλέψαι, οὐδὲ ἄλλου τινὸς κακοῦ διὰ τὸ κακόν· τῷ μηδὲ ἐφίεσθαι τοῦ κακοῦ ὡς κακοῦ. Εἰ γὰρ ἦν ἀρχὴ καὶ αἴτιον τῶν ἀπ' αὐτοῦ, καὶ τέλος ἦν αὐτῶν, καὶ ἐφετὸν αὐτοῖς, ὥσπερ τὸ ἀγαθόν. Οὕτω δὲ πάλιν ἔχον, ἀγαθὸν ἂν ἦν, καὶ οὐ κακόν. Τὸ γὰρ ἐφετὸν, ἀγαθόν· καὶ τὸ ἀγαθὸν, καὶ ἐφετόν. Πάντα οὖν τῆς ἑαυτῶν ὠφελείας ὀρέγεται, ἢ τῆς ἀληθοῦς, ἢ τῆς φαινομένης, ὡς ἀληθοῦς μέντοι καὶ ταύτης. Οὐδεὶς γὰρ ἑκὼν ἀπατᾶται, ὥστε τὸ ψεῦδος ἀντὶ τοῦ ἀληθοῦς λαβεῖν, καὶ τὸ εἴδωλον ἀντὶ τοῦ ἀρχετύπου· ἀλλ' ὑπὸ τῆς πτοίας τῆς περὶ τὸ φαινόμενον ἀγαθὸν, ποτὲ μὲν οὐδὲ ὁρῶμεν τὸ συνὸν αὐτῷ κακὸν, ποτὲ δὲ, κἂν θεασώμεθα αὐτὸ, παραλογιζόμεθα ἑαυτοὺς, ὡς μείζονος ὄντος τοῦ ἀγαθοῦ, ἐλάττονος δὲ τοῦ συνόντος αὐτῷ κακοῦ. Αἱρούμεθα δὲ πολλάκις τὸ μεῖζον ἀγαθὸν μετὰ κακοῦ ἐλάττονος· ὥσπερ καὶ τομὰς καὶ καύσεις ὑπομένομεν, τοῦ ἐν αὐταῖς κακοῦ μεῖζον ἀγαθὸν νομίζοντες τὸ τῆς ὑγιείας τῆς δι' αὐτὰς παραγινομένης. Ὅτι δὲ πάντα τοῦ ἀγαθοῦ ἐφίεται, δῆλον καὶ ἐκ τοῦ αὐτὸ τὸ κακὸν, εἴπερ ἦν, καὶ ἔπραττέ τι, τῆς ἑαυτοῦ ὠφελείας ἕνεκα πράττειν· ταὐτὸν δὲ εἰπεῖν, τοῦ ἀγαθοῦ τοῦ οἰκείου ἕνεκα. Τοιγαροῦν καὶ ὅσα λέγουσιν αὐτὸ πράττειν οἱ ὑποτιθέμενοι, διὰ τὸ μετέχειν τοῦ ἀγαθοῦ, καὶ παρ' ἑαυτῷ κατέχειν αὐτὸ, καὶ μὴ ἀπολλύναι, λέγουσιν. Εἰ οὖν μηδὲν ἐφίεται τοῦ κακοῦ, οὐκ ἔστιν ὑπόστασις αὐτοῦ προηγουμένη. Ἐπειδὴ δέ ἐστιν ὅλως καὶ γίνεται κατὰ τὸν εἰρημένον τρόπον, εἰκότως παρυφίστασθαι λέγεται, καὶ οὐχ ὑφίστασθαι.

Ἀλλ' ἔστω, φαίη ἄν τις, καὶ συμβεβηκὸς τὸ κακὸν, καὶ ἀποτυχία τοῦ ἀγαθοῦ, καὶ παρυφιστάμενον αὐτῷ· καὶ τοιούτου ὄντος, τί ἂν εἴη τὸ αἴτιον,ζητεῖ γὰρ ὁ λόγος· ἐπειδὴ πᾶν τὸ γινόμενον ὑπ' αἰτίου τινὸς γίνεται. Εἰ δὲ μὴ, πόθεν ἔσχε πάροδον ὅλως εἰς τὰ ὄντα ὁποιονοῦν κακὸν, τοῦ θεοῦ, ταὐτὸν δὲ εἰπεῖν, τῆς τῶν ὄντων πάντων ἀρχῆς, ἀγαθῆς οὔσης; Εἴρηται μέντοι περὶ τούτου καὶ πρότερον ἔν τε τοῖς περὶ τοῦ ἐφ' ἡμῖν λόγοις, καὶ ἐν τῇ τοῦ ῥητοῦ ἐκείνου ἐξηγήσει, Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις· λεγέσθω δὲ καὶ νῦν, συντομώτερον· ὅτι ὁ Θεὸς, πηγὴ καὶ ἀρχὴ πάσης ὢν ἀγαθότητος, οὐ τὰ πρῶτα ἀγαθὰ μόνα παρήγαγεν, ὅσα αὐτοαγαθότητές εἰσιν, οὐδὲ τὰ μέσα μόνα μετὰ τούτων, ὅσα ἐν τῷ ἀγαθῷ μένει διαιωνίως, ἀλλὰ καὶ τὰ ἔσχατα, ὅσα καὶ παρατρέπεσθαι πέφυκεν ἤδη ἀπό τε τοῦ κατὰ φύσιν καὶ εἰς τοῦτο δὴ ὃ λέγομεν κακόν. Καὶ γὰρ μετὰ τὰ ἀΐδια σώματα τὰ ἀεὶ κατὰ φύσιν ἔχοντα, καὶ τῷ ἀγαθῷ ἀεὶ ἐνιδρυμένα, ὑπέστη τὰ γινόμενα καὶ φθειρόμενα· καὶ μετὰ τὰς ψυχὰς τὰς ἐν τῷ ἀγαθῷ ἀεὶ ἱδρυμένας ὑπέστησαν αἱ παρατρεπόμεναι ψυχαί· ἵνα ἅμα μὲν ὁ πλοῦτος τῆς τοῦ παράγοντος ἀγαθότητος πάντα παράγῃ τὰ ἀγαθὰ, ὅσα δυνατὸν ἦν ὑποστῆναι· ἅμα δὲ τέλειος ὁ κόσμος ἀποτελεσθῇ, μὴ τὰ πρῶτα μόνα καὶ τὰ μέσα ἔχων, ἀλλὰ καὶ τὰ ἔσχατα, ὅπερ ἴδιόν ἐστι τῆς τελειότητος· ἅμα δὲ, ἵνα μὴ τὰ πρῶτα

furtum, aut ullum aliud malum eo quod malum sit : quia malum, quatenus malum est, non adpetitur. Nam si principium et caussa esset eorum quæ ab ipso oriuntur; finis etiam eorum esset, et eis adpetendum, sicut bonum. Si vero ita se haberet, bonum esset, non malum. Quod enim expetendum est, bonum : et quod bonum, est etiam expetendum. Omnia igitur utilitatem suam adpetunt, sive veram, sive imaginariam, sed eam quoque tamen ut veram. Nemo enim volens decipitur, ut mendacium pro veritate amplectatur, et simulacrum pro archetypo. Sed præ stupore et admiratione adparentis boni, alias non perspicimus conjunctum cum eo malum; alias, quamvis perspexerimus, ipsi nobis falso persuademus, bonum esse majus, malum vero cum eo conjunctum minus. Sæpe vero majus bonum eligimus cum minore malo : sicut sectiones et ustiones toleramus, malo quod eis inest majus bonum sanitatem judicantes, quæ per eas adquiritur. Bonum vero adpeti ab omnibus, vel ex eo constat, quod ipsum malum, si esset, et aliquid ageret, id suæ utilitatis caussa ageret, hoc est, boni sui caussa, quod idem valet. Quare etiam qui malum statuunt agere aliquid, hi, quidquid illud agat, id dicunt agere adipiscendi boni caussa, ejusdemque conservandi, et jacturam ejus cavendi. Quodsi igitur nihil adpetit malum, non est ejus principalis substantia. Sed quia omnino est illud atque fit eo quo dictum est modo; merito, accessisse et secundario loco exsistere, non per se subsistere, dicitur.

Verum, Esto, dicat aliquis, et accidens malum, et frustratio boni, et accessio ejus : qualecumque fuerit, quænam sit caussa ejus, quærit ratio; cum omne, quod sit, ab aliqua caussa fiat. Sin minus : unde aditus ei qualicumque malo patuit in ea quæ sunt? cum Deus (Deum autem cum dico, rerum omnium principium dico) sit bonus? Etsi autem hac de re prius etiam dictum est, cum in disputatione de libertate voluntatis, tum in explicatione verborum, quibus jubemur ea quæ fiunt ita velle fieri ut fiunt : tamen etiam nunc, brevius quidem, eam perstringemus. Nempe Deus, fons et principium omnis bonitatis, non prima bona tantum produxit, quæ per sese bona sunt; nec, præter hæc, media sola, quæ in bono æternum permanent, sed extrema etiam, quorum natura fert, ut ab eo quod secundum naturam est averti queant, ad hoc ipsum scilicet, quod malum dicimus. Etenim post æterna corpora, quæ suam naturam perpetuo tuentur, et in bono infixa sunt, ea quoque exstiterunt, quæ oriuntur atque intereunt : et post animas bono semper infixas, eæ etiam animæ, quæ ab illo averti possunt, exstiterunt : ut simul et immensa bonitas auctoris rerum omnia bona conderet, quæ exsistere possent; simulque ut mundo sua perfectio constaret, non prima tantum et media habenti, sed extrema quoque; id quod est proprium perfe-

ἢ τὰ μέσα, πανάγαθα ὄντα, ἔσχατα καὶ ἄτιμα εὑρεθῇ, καὶ ἀδρανῆ, καὶ μηκέτι** γινομένων καὶ φθειρομένων. Τοιαῦτα γὰρ ἀνάγκη τὰ ἔσχατα εἶναι. Ἅμα δὲ καὶ ἀδύνατον ἦν, τοιούτων ὄντων τῶν πρώτων καὶ τῶν μέσων, τῶν μὲν καὶ ταῖς οὐσίαις καὶ ταῖς ἐνεργείαις ἀμεταβλήτων, τῶν δὲ τὴν μὲν οὐσίαν ἀμετάβλητον ἐχόντων, κατὰ τόπον δὲ μεταβαλλόντων τοῖς μέρεσι, [μὴ] καὶ ὑποστῆναι τὰ ἔσχατα ὑπὸ σελήνην ἀπὸ τῆς τῶν οὐρανίων περιτροπῆς, καὶ κατ' οὐσίαν ἤδη μεταβάλλοντα, καὶ παρὰ φύσιν διατιθέμενα.

Διὰ δὴ τοὺς λογισμοὺς τούσδε, καὶ ἄλλους δηλονότι πολὺ τούτων σεμνοτέρους, ὑπέστη τὰ ὑπὸ σελήνην, καὶ ὁ θνητὸς τόπος ἐν ᾧ χώραν ἔσχεν ἡ τοῦ ἀγαθοῦ παρατροπή· διὰ τὸ δεῖν μὲν καὶ τὸ ἔσχατον ἀγαθὸν ὑποστῆναι, τὸ δὲ ἔσχατον ἐξ ἀνάγκης τοιοῦτον εἶναι οἷον καὶ παρατρέπεσθαι. Καὶ διὰ τοῦτο ἐν τοῖς ὑπὲρ τὸν τόπον τοῦτον οὐδέν ἐστι κακόν· ὅτι ἡ τοῦ κακοῦ φύσις, παρατροπή τις οὖσα τοῦ ἐσχάτου ἀγαθοῦ, τοῦ πεφυκότος παρατρέπεσθαι, ἐνταῦθά ἐστιν, ὅπου τὸ ἔσχατον ἀγαθόν. Διὸ καὶ ἡ ψυχὴ, τὴν οὐσίαν εὐγενεστέραν καὶ ἀμετάβλητον ἔχουσα, ὅταν μὲν καθ' ἑαυτὴν ὑπάρχῃ, οὐδενὸς μετέχει κακοῦ· πεφυκυῖα δὲ ἐν τούτῳ γίνεσθαι τῷ τόπῳ κατὰ σχέσιν, καὶ τοῖς ἐνταῦθα συμπλέκεσθαι σώμασι, (προνοίᾳ τοῦ πατρὸς καὶ δημιουργοῦ τῶν ὅλων, καὶ τὰς τοιαύτας ψυχὰς παραγαγόντος, ἵνα τὰ ἔσχατα συνδεθῇ τοῖς πρώτοις διὰ τῶν ἀλύτων δεσμῶν τῆς ζωτικῆς συνοχῆς,) τοῦ κακοῦ τοῦ ἐνταῦθα κατὰ τὴν παρὰ φύσιν αὐτῶν διάθεσιν ἐν νόσοις καὶ φθοραῖς, τοῦ ἐπιβάλλοντος αὐτοῖς κακοῦ, δοκεῖ μεταλαμβάνειν· οὐκ ὄντος οἶμαι κακοῦ τούτου, ἀλλὰ ἀγαθοῦ μᾶλλον, μαχομένων τε ἀλλήλοις, καὶ ἐν ἀλλοτρίοις τόποις ταλαιπωρουμένων, ἀπαλλάττεσθαι τοῦ μόχθου τούτου διαλυόμενα, καὶ τὰ ἁπλᾶ ἔτι μᾶλλον κεῖσθαι μάχης ἐλευθερούμενα, καὶ τοῖς οἰκείοις τόποις καὶ ταῖς οἰκείαις ὁλότησι πρὸς ἐκνεασμὸν ἀποδιδόμενα. Κἂν μεταβάλλῃ δὲ εἰς ἄλληλα, οὐδὲ ἔχει κακὸν οὐδὲ τοῦτο. Γίνεται γὰρ ἕκαστον, ὅπερ πρότερον ἦν. Τὸ γὰρ ὕδωρ, εἰς ἀέρα μεταβάλλον, ἐξ ἀέρος πάλιν ὕδωρ γίνεται. Τὸ δὲ μέγιστον, ὅτι καὶ ἡ τῶν συνθέτων διάλυσις, καὶ ἡ τῶν ἁπλῶν εἰς ἄλληλα μεταβολὴ, ἀγαθόν ἐστι τοῖς ὅλοις· εἴπερ ἡ ἄλλου φθορὰ ἄλλου γένεσίς ἐστι· καὶ τοῦτο αἴτιον γίνεται τοῦ μένειν ἀνέκλειπτον τὸν τῆς γενέσεως κύκλον. Ὁρῶμεν δὲ, ὅτι καὶ ἡ φύσις πολλάκις, καὶ ἡ τέχνη, ὡς πρότερον εἴρηται, τῶν μερῶν διὰ τὸ ὅλον καταφρονεῖ· ἡ μὲν, τὰ ῥεύματα καὶ τὰ ἀποσκήμματα εἰς τοὺς ἀκροτάτους τόπους ἐκ τῶν κυριωτέρων ἀπωθουμένη· ἡ δὲ, τέμνουσα καὶ καίουσα καὶ ἐκκόπτουσα τὸ μέρος πολλάκις διὰ τὴν τοῦ ὅλου σωτηρίαν. Ὥστε τὰ τοῖς σώμασι συμβαίνοντα ἀγαθὰ μᾶλλον ἢ κακὰ ῥητέον· καὶ τὸν αἴτιον αὐτῶν ἀγαθῶν, ἀλλ' οὐ κακῶν αἴτιον. Καὶ γὰρ τὰ μὲν ἁπλᾶ τῶν ὑπὸ σελήνην σωμάτων οὐδὲν ἔχει κακὸν, ἀΐδια καὶ αὐτὰ ὄντα· τὸ δὲ ἐν τοῖς μέρεσι δοκοῦν εἶναι κακὸν πλέον μὲν ἔχει τὸ ἀγαθὸν καὶ ἐν αὐτοῖς

ctionis : simul, ut ne prima et media, cum plane bona infima, si extrema quæ orirentur atque occiderent, non exstitissent. Talia enim extrema esse necesse est. Ad hæc fieri non poterat, cum talia essent prima et media, partim et natura et actionibus immutabilia, partim natura quidem immutabilia, sed loci mutationem suis partibus admittentia; quin exsisterent etiam extrema sublunaria, a cœlestium corporum conversione remotissima, quæ per suam essentiam jam et mutabilia essent, et contra naturam sese habere possent.

Ob has igitur rationes, et his dubio procul multo graviores, sublunaria exstiterunt, et mortalis hæc sedes, in qua locum haberet a bono aversio. Nam et infimum bonum exsistere oportebat : et infimi necessario ea natura est, ut perverti possit. Proptereaque supra locum hunc nullum est malum; quod mali natura, quæ est aversio infimi boni, quod per suam naturam potest perverti, ibi est, ubi et bonum infimum. Idcirco etiam anima, natura generosiore et immutabili prædita, cum quidem sola per se est, nullius est mali particeps : sed cum destinata sit, ut, ad exteriorem habitudinem quod attinet, in hoc esset loco, et cum hujus loci corporibus posset conjungi; (quod providentia patris et opificis universitatis factum est, qui tales etiam animas produxit, ut extrema cum primis, insolubilibus vitalis complexionis vinculis, devincirentur;) ejus mali quod hic est, secundum earum adfectionem naturæ contrariam in morbis et corruptionibus, convenientem sibi capere partem videtur : quod ipsum tamen, ut equidem arbitror, malum non est, sed potius bonum earum rerum, quæ invicem pugnant, et in alienis locis ærumnas tolerant; nempe ut dissolvantur, ærumnis his liberatæ, et simplices potius pugnæque expertes jaceant, suisque locis et suis totis restituantur, renovationis ergo. Atque etiamsi aliud in aliud mutetur, ne in eo quidem quidquam inest mali. Fit enim unumquodque id, quod ante fuerat. Nam aqua in aerem mutata, rursus ex aere fit aqua. Illud vero maximum est, quod et compositorum dissolutio, et simplicium mutua commutatio, rebus universis conducit; quandoquidem alterius interitus ortus est alterius : eaque caussa est, cur earum rerum, quæ oriuntur, circulus numquam cesset. Ad hæc sæpe videmus, et naturam et artem (ut ante diximus) partes propter totum aspernari : naturam, cum fluxiones et abscessus e principalibus locis ad extima depellat : artem, cum et secet et urat, et sæpe resecet partem conservandi totius caussa. Quæ igitur corporibus accidunt, in bonis potius quam in malis sunt habenda : eorumque auctor bonorum auctor est, non malorum. Etenim simplicia corpora quæ sub luna sunt, nihil habent mali, cum et ipsa sint æterna : quod vero in partibus videtur esse mali, id in ipsis etiam partibus, ut dictum est, tam simplicibus quam

τοῖς μέρεσιν, ὡς εἴρηται, τοῖς τε ἁπλοῖς καὶ τοῖς συνθέτοις· πρὸς δὲ τὸ τῶν ὅλων ἀγαθὸν ἀναφερόμενον, ἀγαθύνεται τελέως. Καὶ διὰ ταῦτα μὲν οὖν οὐχ ἂν εἴη κακὸν ἡ τῶν σωμάτων παρὰ φύσιν διάθεσις, πανταχόθεν ἀγαθυνθεῖσα.

Εἰ δὲ φιλονεικεῖ τις, ὡς εἴρηται καὶ τοῦτο πρότερον, μὴ καλεῖν αὐτὴν ἀγαθὸν, ὡς παρατροπὴν οὖσαν τοῦ κατὰ φύσιν· μὴ κακὸν εὐθὺς καλείτω, διὰ τὴν ἔννοιαν, ἣν ἔχομεν ἀδιάρθρωτον περὶ τοῦ κακοῦ, ὡς τῷ ἀγαθῷ παντελῶς ἐναντίου· ἀλλ' ἀναγκαῖον μᾶλλον, ὡς καθ' αὑτὸ μὲν μὴ ὂν αἱρετὸν, πολλὴν δὲ μοῖραν εἰσάγον εἰς τὸ καθ' αὑτὸ αἱρετόν. Εἰ γὰρ ἦν ἁπλῶς κακὸν, οὐκ ἂν συνετέλει πρὸς τὸ ἀγαθόν. Τὸ μέντοι ἀναγκαῖον, κἂν μὴ καθ' ἑαυτὸ ᾖ αἱρετὸν, ἀλλὰ τῇ πρὸς τὸ ἀγαθὸν ἀνατάσει καὶ αὐτὸ ἀγαθύνεται. Καὶ ἔστιν ἀγαθὸν μέντοι καὶ αὐτὸ, εἴπερ ὁπωσοῦν αἱρετόν. Καὶ γὰρ τομὰς καὶ καύσεις αἱρούμεθα, καὶ μισθὸν ὑπὲρ αὐτῶν τελοῦμεν, καὶ χάριν ὁμολογοῦμεν τοῖς ἰατροῖς· οὐκ ἂν δέον, εἰ κακὸν αὐτὰ ἐνομίζομεν. Ἀγαθὸν δὲ ὑφειμένον ἐστὶ, καὶ δευτέρας τοῦ ἀγαθοῦ τάξεως, ὡς μὴ προηγουμένως, ἀλλὰ κατὰ δεύτερόν τινα λόγον ἀγαθὸν ὑπάρχον. Ὥστε καὶ ὁ τούτου ποιητὴς οὐδαμῶς ἂν εἴη κακοῦ αἴτιος, ἀλλ' ἢ ἀγαθοῦ, ἢ ἀναγκαίου, δευτέρου τινὸς ὄντος καὶ αὐτοῦ ἀγαθοῦ, καὶ εἰκότως καὶ αὐτοῦ ἀπὸ τῆς πηγῆς τῶν ἀγαθῶν καθ' ὕφεσιν ἀποῤῥέοντος. Καὶ περὶ μὲν τοῦ ἐν τοῖς σώμασι κακοῦ, καὶ τῆς αἰτίας αὐτοῦ, ἀρκείτω τὰ εἰρημένα πρὸς τὸ παρόν.

Ἐπεὶ δὲ κακὰ μάλιστα καὶ ἁμαρτωλὰ δοκεῖ τὰ τῆς ἀνθρωπίνης ψυχῆς πταίσματα, εἴρηται μὲν καὶ περὶ τούτων πρότερον· οὐδὲν δὲ κωλύει καὶ νῦν τούτων τήν τε φύσιν καὶ τὴν αἰτίαν ἀνιχνεῦσαι. Καὶ ῥητέον, ὅτι αἱ μὲν τῶν κρειττόνων ἡμῶν ψυχαὶ ἀεὶ ἄνω οὖσαι, καὶ ἐν τῷ ἀγαθῷ αἰωνίως ἱδρυμέναι, οὐδέποτε οὐδὲν ἔχουσι κακόν· αἱ δὲ τῶν ἀλόγων ζώων ψυχαὶ, μέσαι οὖσαι τῶν τε ἀνθρωπίνων καὶ τῶν ἐν τοῖς φυτοῖς κατεῤῥιζωμένων ψυχῶν, κατὰ μὲν τὸ σωματοειδὲς αὐτῶν ὅμοιον ἔχουσι τοῖς σώμασι τὸ κακόν· καθ' ὅσον δὲ ὄρεξιν ἔχουσί τινα καὶ ὁρμὴν, τὸ ἐν αὐτοῖς κακὸν τῷ τῶν ἀνθρωπίνων ψυχῶν κακῷ ἔοικε· καὶ ἀπὸ τῶν περὶ ἐκείνου ῥηθησομένων καὶ τοῦτο γνωσθήσεται. Ἡ δὲ ἀνθρωπίνη ψυχὴ, μέση προελθοῦσα τῶν τε ἀεὶ ἄνω μενουσῶν ψυχῶν διά τε τὴν ἐν τῇ ψυχικῇ οὐσίᾳ ἀκρότητα, καὶ διὰ τὴν τοῦ νοῦ μέθεξιν· καὶ τῶν ἀεὶ κάτω, διὰ τὴν πρὸς τὸ σῶμα συγγένειαν τῆς ἀλόγου ζωῆς· καὶ σύνδεσμος ζωτικὸς γινομένη τῶν τε ἄνω καὶ τῶν κάτω· διὰ τῆς αὐτεξουσίου σχέσεως ποτὲ μὲν πρὸς ἐκεῖνα, ποτὲ δὲ πρὸς ταῦτα ὁμοιοῦται. Ἀλλ' ὅταν μὲν ἄνω μένῃ, κακοῦ παντελῶς ἀμέτοχός ἐστι, ἐν ἀγαθῷ ἱδρυμένη· ἀτονήσασα δέ ποτε πρὸς τὴν μακαρίαν ἐκείνην διαγωγὴν καὶ τὰ ἀπόῤῥητα καὶ εἰλικρινῆ ἐκεῖνα θεάματα, διὰ τὸ πεφυκέναι καὶ πρὸς τὰ κάτω ποτὲ ῥέπειν, ὅταν ἐθέλῃ· ταύτην ἀρχὴν ἔχει τῆς ὁποιασοῦν κακίας, τὴν αὐτοθελῆ κάθοδον εἰς τόνδε

compositis, plus boni habet quam mali; sin ad bonum universi referatur, plane etiam fiet bonum. Ac propterea corporum contra naturam adfectio malum non fuerit, ut quæ quovis modo in bonum vertitur.

Si quis vero contendit, ut ante a me dictum est, non vocandum id esse bonum, quod sit aversio ab eo quod secundum naturam est; is ne statim adpellet MALUM, propter notionem quam de malo habemus confusam, quasi id bono sit prorsus contrarium : sed Necessarium potius adpellet, ut per se quidem non expetendum, at multum tamen conferens ad id, quod per sese est expetendum. Nam si simpliciter malum esset, nihil ad bonum conferret. At Necessaria, etsi per sese non expetenda sunt, tamen, quoniam ad bonum conferunt, bona et ipsa fiunt : ac sunt quidem quoque bona et ipsa, quippe utcumque expetenda. Nam et sectiones et ustiones admittimus, ac mercedem pro iis solvimus, et gratias medicis agimus; haud utique facturi, si eas res malas judicaremus. At est bonum hoc inferius, et ex secundario ordine boni; ut non principaliter, sed secundaria quadam ratione sit bonum. Quamobrem et hujus auctor nequaquam mali auctor ullius fuerit, sed aut boni, aut necessarii, quod et ipsum est secundarium quoddam bonum, meritoque et ipsum ex eodem fonte bonitatis, sed cum remissione quadam, promanat. Ac hæc quidem, quæ de Malo, quod corporibus inesse putatur, ejusque caussa diximus, in præsentia sufficiant.

Quia vero Mala et peccata potissimum habentur humani animi errata, etsi de his quoque supra dictum est, nihil tamen vetat, quominus etiam nunc naturam et caussam eorum indagemus. Dicendum est igitur, eos animos, qui nobis præstantiores sunt, semper in sublimi versantes, et in bono æternum firmiter constitutos, nihil umquam habere mali : brutarum autem animantium animas (quæ mediæ sunt humanarum animarum, et earum quæ in stirpibus insunt radicibus adfixæ), quatenus sint ejusdem fere generis cum corpore, idem habere malum quod corpora; quatenus vero adpetitum habeant quemdam et impetum, quod in eis malum sit, humanorum animorum malo esse simile : quod quale sit, ex eo quod de illo dicetur, ipsum quoque cognoscetur. Humanus autem animus, in medio collocatus eorum animorum, qui semper in sublimi manent, cum ob animalis essentiæ celsitudinem, tum propter mentis communionem; et earum animarum, quæ semper humi sunt, ob brutæ animæ cum corpore cognationem : qui adeo vitale quoddam vinculum est superiorum et inferiorum : is igitur, pro liberæ voluntatis habitu, alias his, alias illis fit similis. Cum igitur in sublimi manet, omnis mali prorsus est expers, infixus bono : sin aliquando nervi ac vires illi defuerint ad beatam illam vitam amplectendam, et ad arcana illa sinceraque spectacula intuenda, propterea quod ejus natura fert, ut aliquando etiam ad inferiora declinet, si voluerit; hoc illi initium est cujuscumque malitiæ, descensus volun-

τὸν θνητὸν τόπον. Κἂν φύσιν δὲ ἀμφίβολον ἔλαχεν, οὐκ ἀναγκαζομένη κάτεισιν ἢ ἄνεισιν· ἀλλ' οὕτως ὑπέστη, ὡς, ὅταν αὐτὴ θέλῃ, κατιέναι τε καὶ ἀνιέναι. Καὶ τί θαυμαστὸν τοῦτο ἐπὶ ψυχῆς αὐτοκινήτου κατ' οὐσίαν; ὁπότε καὶ τῶν ἀλόγων ζώων τὰ ἀμφίβια, ὅσα καὶ ἐν ὕδατι καὶ ἐν γῇ πέφυκε διάγειν, φύσιν μὲν ἔχει τοιαύτην, κατὰ δὲ τὴν οἰκείαν ὄρεξιν μεθίσταται ἑκατέρωσε, οὐκ ἀναγκαζόμενα ὑπό τινος, ἀλλ' ὅταν αὐτὰ προθυμηθῇ.

Καταβαίνουσα δὲ ἡ ψυχὴ τῇ σχέσει ἐπὶ τὸν θνητὸν τοῦτον τόπον, καὶ μέλλουσα θνητῷ συμπλέκεσθαι σώματι, καὶ ζῶον ἓν θνητὸν μετ' αὐτοῦ συμπληροῦν, ἀλόγους προὐβάλλετο ζωάς· τὰς μὲν γνωστικάς, αἰσθήσεις τε, καὶ φαντασίας· τὰς δὲ ὀρεκτικάς, θυμόν, καὶ ἐπιθυμίαν· δι' ὧν τὸ θνητὸν ζῶον ἔμελλε γνῶσίν τε ἔχειν τὴν ἑαυτῷ σύστοιχον, ἣν ἔχει καὶ τὰ ἄλογα ζῶα, καὶ τὸ ἀποῤῥέον ἀεὶ διὰ τροφῆς ἀνυφαίνειν, καὶ διὰ τῆς τοῦ ὁμοίου γεννήσεως τὴν ἀϊδιότητα τοῦ γένους φυλάττειν, καὶ τὰ βλάπτοντα ἀμύνεσθαι· ἅπερ οὐκ ἂν ὑπῆρξε τῷ θνητῷ ζώῳ, μὴ συμπληρωθέντι ταῖς ἀλόγοις ταύταις δυνάμεσι. Τίς γὰρ ἄν, καὶ μάλιστα τῶν καθαρειοτέρων, ἠνέσχετο τοσοῦτον χρόνον ἐσθίειν καὶ ἀποπατεῖν, ὡς ἄλογον ζῶον, μὴ ἐρεθιζόμενος ὑπὸ τῆς ἀλόγου ὀρέξεως; τίς δ' ἂν κύημα τηλικοῦτον, τοσοῦτον χρόνον ἐβάσταζε, μὴ τῆς παροίστρου ταύτης ἐπιθυμίας ἀναφλεγούσης, καὶ τῆς τοῦ γένους διαδοχῆς; Ἀλλὰ ταῦτα μέν, ἤδη καὶ πρότερον εἰρημένα, ἀρκεῖ δηλῶσαι, ὅτι διὰ τὸ ἀγαθὸν καὶ πρὸς σύστασιν τοῦ ζώου αἱ ἄλογοι ὀρέξεις ἐδόθησαν· καὶ οὔπω οὐδὲν κακὸν ἀναφαίνεται.

Ἡ δὲ λογικὴ ψυχή, κρείττων οὖσα κατ' οὐσίαν τοῦ τε σώματος καὶ τῆς ἀλόγου ζωῆς, καὶ ἀρχικὴν ἔχουσα πρὸς ταῦτα φύσιν, ὅταν μὲν φυλάττῃ πρὸς αὐτὰ τὴν ἑαυτῆς τάξιν, ἐξῃρημένη τε αὐτῶν, καὶ ὡς ὀργάνῳ κεχρημένη, καὶ τὸ ἀγαθὸν τῆς ὑπουργίας αὐτῶν εἰς τὸ ἑαυτῆς ἀγαθὸν ἀναφέρουσα· τότε πάντα ἀγαθά ἐστι, καὶ οὐδαμοῦ κακὸν οὐδὲν παραφύεται. Ἐὰν δέ, καὶ αὐτῆς τῆς πρὸς τὸ κρεῖττον ὁμοιότητος ἐπιλαθομένη ἡ ψυχή, τὸ μὲν ἀρχικὸν ἀποβάλῃ σκῆπτρον, τῆς ἀρχικῆς δυνάμεως ἀμελήσασα, ῥέψῃ δὲ ὅλη πρὸς τὸ σῶμα καὶ τὰς ἀλόγους ζωάς· ὅπερ πάσχει μάλιστα, τὸ σφοδρὸν καὶ καταπληκτικὸν τῆς ἡδονῆς τῶν ἀλόγων ὀρέξεων τοῦ καθαροῦ καὶ προσηνοῦς τῶν λογικῶν προτιμήσασα, καὶ ὅλη ἐνδοῦσα τῇ ἀλογίᾳ, ὡς ἐκείνην ἑαυτὴν ἡγεῖσθαι· τότε παρὰ φύσιν ἀλόγως ἐνεργούσης τῆς λογικῆς, καὶ παρὰ τὴν αὐτῆς ἀξίαν, τὴν ἀρχικὴν καὶ δεσποτικήν, αἱρουμένης δουλεύειν καὶ ἄρχεσθαι, τότε τὸ κακὸν ἀναφύεται· οὔτε ἐν τῷ κρείττονι καθ' αὑτὸ ὄντι χώραν ἔχον, οὔτε ἐν τῷ χείρονι ἐφ' ἑαυτοῦ μένοντι· ἀλλ' ὅταν τὸ κρεῖττον τῷ χείρονι συμπλακέν, ἀμέτρως τὴν πρὸς τὸ χεῖρον ἀντὶ τῆς πρὸς τὸ κρεῖττον ὁμοιότητος ἀναδέξηται. Τοῦτο δὲ πάσχει οὐκ ἀναγκαζομένη [διὰ] τὸ αὐτεξούσιον αὐτῆς καὶ τὸ ἐφ' ἡμῖν· ἡ γὰρ αἵρεσις, ἐφ' ἡμῖν· ἡμέτερον ἔνδοθεν οὖσα κίνημα.

Καί μοι πρόσεχε τὸν νοῦν ἐνταῦθα, μή τι παραλο-

tarius in hunc mortalem locum. Quamvis vero naturam sortita sit ancipitem, non tamen coacta vel descendit vel adscendit : sed ita condita est, ut, cum ipsa voluerit, et descendat et adscendat. Et quis hoc in animo per suam naturam proprium motum habente miretur? cum et bruta animantia, quæ amphibia dicuntur, quæ et in aqua et in terra habitare possunt, naturam quidem talem habent, sed ex proprio adpetitu alias huc, alias illuc se conferunt, non ab aliquo coacta, sed prout ipsis libitum est.

Animus vero sua adfectione et habitudine descendens ad mortalem hunc locum, et cum mortali corpore conjungendus, et unum mortale animal cum eo confecturus, vires exseruit ratione destitutas; partim ad cognitionem spectantes, nempe sensum et phantasiam; partim ad adpetitionem, nempe iracundiam et cupiditatem : per quas mortale animal et cognitionem haberet suæ naturæ congruentem, qua et brutæ pecudes sunt præditæ; et, quod decederet, cibo et potu semper suppleret; et procreatione similium sui consuleret sui generis æternitati; et velut armis muniretur, quibus ea, quæ nocitura essent, propulsaret : quæ omnia mortali animanti non contigissent, nisi ei facultates istæ ad complendam ejus naturam insitæ fuissent. Quis enim, præsertim elegantior, tanto tempore edere et excernere vellet, brutæ pecudis instar, nisi a bruto adpetitu incitaretur? quænam mulier graviditatem tam molestam tamque diuturnam toleraret, nisi insana ista cupiditas generisque propagatio stimularet? Verum hæc, quæ et nunc et ante diximus, satis sunt ad declarandum, boni caussa, et quo constare posset animans, brutas adpetitiones ei esse datas. Atque ita nullum adhuc MALUM adparet.

At vero rationis particeps animus, natura sua, corpore brutaque vita præstantior, et dominatum in hæc sortitus; cum quidem suum adversus ea statum tuetur, eximens sese eis, eisdemque tamquam instrumentis utens, et bonum ministerii illorum ad suum bonum referens; tum vero omnia bona sunt, neque usquam malum ullum juxta exoritur. Sin similitudinis, quam cum Deo habet, oblitus animus, imperii sceptrum abjecerit, neglecta principatus auctoritate, totusque ad corpus et brutam ejus vitam inclinarit : (id quod ei potissimum accidit, cum vehementiam et impetum voluptatis brutarumque adpetitionum, puritati et mansuetudini rationalium adpetitionum anteponit, totumque se brutæ parti dedit, ut eam se ipsum esse opinetur :) tum igitur, cum animus contra suam naturam absque ratione agit, et, contra suam dignitatem principatu et dominatu pollentem, servire ac parere mavult; tunc malum exsistit, quod nec in eo, quod melius est, locum habet, si id per se maneat, neque in deteriore, si id suo loco maneat; sed tunc, cum animus, qui est præstantior, corpori deteriori implicatus, ultra modum similitudinem deterioris amplexus fuerit, eamque prætulerit similitudini præstantioris. Id vero facit, non coactus ab ullo, sed ipse arbitratu suo, per libertatem suæ voluntatis, et pro sua potestate. Optio enim in nostra potestate est, cum noster motus sit internus.

Atque hic tu mihi attende animum, ne ipse deceptus, te

γισθεὶς αὐτὸς, καὶ σὲ συνεξαπατήσω τὸν ἐντυγχάνοντα. Ὅτι μὲν γὰρ ἡ αἵρεσις καὶ προαίρεσις, τῆς ψυχῆς οἰκεῖόν ἐστιν ἔνδοθεν κίνημα, καὶ ὑπ' οὐδενὸς ἔξωθεν ἀναγκαζόμενον, καὶ προφανές ἐστιν, οἶμαι, καὶ εἴρηται καὶ δέδεικται πρότερον. Καὶ, ὅτι κατὰ αἵρεσιν καὶ προαίρεσιν ἡ ψυχὴ ποτὲ μὲν τὸ κρεῖττον ἐκλέγεται, ποτὲ δὲ τὸ χεῖρον ἀντὶ τοῦ κρείττονος, δέδεικται οἶμαι σαφῶς ἐκ τοῦ καὶ τὸν θεὸν, καὶ τοὺς καλῶς κειμένους νόμους, καὶ τῶν ἀνθρώπων τοὺς ἔμφρονας, τὰς ἀγαθὰς καὶ κακὰς ἀνθρώπων πράξεις μὴ τοῖς ἔργοις κρίνειν, ἀλλὰ ταῖς προαιρέσεσι· καὶ τιμᾷν καὶ κολάζειν, καὶ ἐπαινεῖν καὶ ψέγειν, εἰς μόνην τὴν προαίρεσιν ἀποβλέποντας, ὡς αὐτεξούσιον καὶ ἐφ' ἡμῖν οὖσαν. Διὸ τὰ βίᾳ πραττόμενα, κἂν χαλεπώτατα ᾖ, συγγνώμης ἀξιοῦσι· καὶ τὴν ἁμαρτίαν οὐ τῷ πράττοντι, ἀλλὰ τῷ βιαζομένῳ λογίζονται· διότι οὗτος μὲν κατὰ προαίρεσιν ἐβιάσατο, ἐκεῖνος δὲ παρὰ προαίρεσιν ἔπραξεν. Εἰ οὖν τοῦ κακοῦ ἡ προαίρεσις αἰτία, τῆς ψυχῆς αὐτοθελὴς οὖσα ἐνέργεια, καὶ οὐ βίᾳ ὠθουμένη· τί ἂν ἄλλο τοῦ κακοῦ λέγοιμεν αἴτιον ἢ τὴν ψυχήν; καὶ αὐτὴν δὲ, οὐχ ὡς κακοῦ (οὐδὲν γὰρ αἱρεῖται τὸ κακὸν ὡς κακόν), ἀλλ' ὡς φαινομένου μὲν ἀγαθοῦ, κρύπτοντος δὲ ἐν αὐτῷ τὸ κακὸν, ὅπερ ἀνάγκη μετὰ τοῦ φαινομένου λαβεῖν ἀγαθοῦ. Καὶ εἴρηται καὶ περὶ τούτου πρότερον.

Ἔχοντες οὖν τὴν αἰτίαν τοῦ κακοῦ, λαμπρᾷ τῇ φωνῇ βοῶμεν, ὅτι ὁ θεὸς κακίας ἀναίτιος· διότι τὸ κακὸν ἡ ψυχὴ ἐνεργεῖ αὐτεξουσίως, καὶ οὐχ ὁ θεός. Εἰ μὲν γὰρ βίᾳ τὸ κακὸν ἔπραττεν ἡ ψυχὴ, τάχα ἄν τις τὸν θεὸν ᾐτιάσατο, τὸν ἀναιτίως αὐτὴν συγχωρήσαντα βιασθῆναι· καίτοι οὐδὲ κακὸν ἦν τὸ βίᾳ πραττόμενον. Κατὰ προαίρεσιν δὲ αὐτὸ αἱρουμένη, αὐτὴ ἂν αἰτία λέγοιτο δικαίως. Εἰ γὰρ λέγοι τις, μηδὲ αὐτῇ συγχωρεῖν τὸν θεὸν ὀφείλειν αἱρεῖσθαι τὸ κακὸν, ἓν τῶν δύο λέγει· ἢ, ὅτι πεφυκυῖαν αὐτὴν ποτὲ μὲν τὸ ἀγαθὸν αἱρεῖσθαι, ποτὲ δὲ τὸ κακὸν, ἀναγκάζειν ἔδει μηδέποτε αἱρεῖσθαι τὸ κακόν· ἢ, ὅτι τοιαύτην ἐχρῆν ὑποστῆσαι, ὡς μηδὲ πεφυκέναι ποτὲ τὸ κακὸν αἱρεῖσθαι. Ἀλλὰ τὸ μὲν πρῶτον αὐτόθεν ἄλογον. Μάτην γὰρ ἡ αἵρεσις ἐφ' ἑκατέρου πεφυκυῖα ἐγίνετο, εἰ μηδέποτε ἐξῆν αὐτῇ πρὸς ἑκάτερον ἐνεργεῖν. Ἀλλ' οὐδὲ αἵρεσις ἦν ἔτι, παρούσης ἀνάγκης· ἐναντίως γὰρ ἔχει πρὸς τὴν ἀνάγκην ἡ αἵρεσις.

Ὁ δὲ δεύτερος λόγος πρῶτον μὲν ἐννοείτω, ὅτι οὐδεμία τοῦ κακοῦ οὐδέποτέ ἐστιν αἵρεσις· ἔπειτα, ὅτι συμβουλεύειν ἔοικε, τὴν αὐτεξούσιον ταύτην τῆς ψυχῆς οὐσίαν, τὴν αὐτοθελῶς καὶ ἄνευ βίας ποτὲ μὲν τὸ ἀληθῶς ἀγαθὸν αἱρουμένην, ποτὲ δὲ τὸ φαινόμενον, ἀνελεῖν ἀπὸ τοῦ κόσμου, [ἢ ὡς οὐκ ἀγαθὸν,] ἢ ὡς μέγα τι κακὸν οὖσαν· καὶ οὐ λογίζεται, πόσων ἀγαθῶν νομιζομένων ἐν τῷ κόσμῳ μεῖζόν τε καὶ τιμιώτερόν ἐστιν ἀγαθὸν ἡ αὐτεξουσιότης. Πάντων γὰρ τῶν ὑπὸ σελήνην ὑπερέχει τοῦτο· καὶ οὐδεὶς ἂν ἕλοιτο φυτὸν ἢ ζῶον ἄλογον ὁποιονοῦν γενέσθαι μᾶλλον ἢ ἄνθρωπος. Πῶς οὖν ἔμελλε, τῶν ἐλαττόνων ἀγαθῶν ὑπὸ θεοῦ παραγε-

quoque in errorem, lector, inducam. Nam delectum et voluntatem, internam esse animi motionem, et a re nulla externa cogi, perspicuum esse arbitror : prius certe quidem et explicatum id est, et demonstratum. Illud item, animum delectu et voluntate sua nunc præstantius eligere, nunc deterius præferre præstantiori; aperte, opinor, ex eo est ostensum, quod et Deus et bonæ leges et homines cordati bonas et malas hominum actiones non factis et eventu metiuntur, sed consilio et voluntate : quodque et remunerantur et pœnas irrogant, et laudant et vituperant, solum consilium et voluntatem intuentes, ut quæ nostri juris nostrique arbitrii sint : eis autem, quæ a coactis fiunt, quamvis gravissima sint, ignoscunt; et peccatum non agenti, sed cogenti tribuunt; quod hic sua voluntate nolentem coegerit, ille autem contra suam voluntatem coactus egerit. Si ergo mali caussa est voluntas, quæ spontanea est animi actio, non autem violenta impulsio; quid aliud mali caussam dicamus, nisi animum? At ne ipsum quidem, tanquam mali (nihil est enim, quod malum, quatenus malum est, eligat), sed tamquam boni, quod speciem quidem boni habet, sed malum in se occultat, quod simul cum adparente bono capere nos necesse est. Sed et de hoc jam ante dictum est.

Repertâ igitur mali caussâ, elata voce clamemus, NULLIUS MALI CAUSSAM ESSE DEUM; quoniam malum faciet animus libere atque ultro, non autem Deus. Nam si malum animus faceret coactus, fortassis aliquis accusaret Deum, qui illum citra suam culpam cogi permisisset : quamquam ne malum quidem foret quidquam, ab invito factum. Sed qui ultro et consulto aliquid susceperit, ipse merito caussa ejus rei et auctor dicitur esse. Nam si quis dicat, ne permittere quidem animo hominis debuisse Deum, ut malum amplecteretur; duorum alterum dicit : aut, cum ejus natura sit, ut alias bonum, alias malum amplecti possit, cogendum fuisse, ne umquam malum amplecteretur : aut, ita fuisse eum condendum, ne ejus natura umquam ferret ut malum eligeret. Verum prius illud aperte statim absurdum est. Frustra enim sua natura utrumque eligere potuisset, si numquam ei licuisset in alteram utram agere partem. Imo ne delectus quidem relinqueretur, adjuncta necessitate : pugnant enim inter sese delectus et necessitas.

Quod autem ad alteram rationem attinet, primum illud cogitandum est, nullum umquam eligi malum. Deinde suadere ista ratio videtur, liberam hanc animi naturam, quæ suapte voluntate et absque coactione, alias verum bonum amplectitur, alias imaginarium, e natura rerum esse tollendam, aut ut non bonum, aut ut magnum malum : neque reputat, quot rebus, quæ in mundo bonæ habentur, et majus et æstimabilius bonum sit libertas voluntatis. Omnibus enim hæc, quæ sub luna sunt, antecellit : nec quisquam est, qui aut brutum pecus aut stirps esse mallet, quam homo. Cum igitur minora bona fuerint a Deo producta, annon et id, quod illis majus est, produci debuerat?

νομένων, τὸ μεῖζον ἐκείνων μὴ παραγενέσθαι; ἔπειτα, ὅπερ εἴρηται καὶ πρότερον, ἀναιρουμένης ἀπὸ τῶν ὄντων τῆς ἐφ' ἑκάτερα ῥοπῆς τῶν ψυχῶν, ἀνάγκη καὶ τὰς πολυτιμήτους ἀνθρωπίνας ἀρετὰς συναναιρεῖσθαι, καὶ τὸ εἶδος ὅλον τὸ ἀνθρώπειον. Οὐ γάρ ἐστιν ἔτι σωφροσύνη καὶ δικαιοσύνη ἀνθρωπίνη, εἰ μὴ καὶ παρατρέπεσθαι πέφυκεν· ἀπαράτρεπτός τε οὖσα, ἀγγελική τις ἂν ἦν, ἢ θεία, καὶ οὐκ ἔτι ἀνθρωπίνη. Ἐκ δὴ τούτου τοῦ λόγου ἀναγκαία δείκνυται ἡ παρατροπὴ, καὶ τὸ κατ' αὐτὴν λεγόμενον κακόν· εἴπερ ἄνευ ταύτης οὐκ ἂν παρῆλθον εἰς τὰ ὄντα αἱ ἀρεταὶ αἱ ἀνθρώπιναι, οὐδὲ τὸ εἶδος ὅλως τοῦ ἀνθρώπου.

Ὥστε, κἂν ὑπὸ θεοῦ λέγῃ τις παραχθῆναι τὴν παρατροπὴν ταύτην, καθόσον ἀναγκαία ἐστὶ πρὸς τὴν τῶν τοσούτων ἀγαθῶν τῶν παρατρέπεσθαι πεφυκότων ὑπόστασιν, οὐκ ἂν κακοῦ λέγειν αἴτιον αὐτὸν νομίζοιτο δικαίως. Καὶ γὰρ τὸν ἰατρὸν σήποντα τὰ ἀποστήματα, καὶ τέμνοντα τὸ σῶμα, καὶ καίοντα καὶ ἀποκόπτοντα τὰ μόρια, οὐδεὶς νόσου λέγει ποιητικὸν, ἀλλ' ὑγιείας· ἐπειδὴ ἀδύνατον ἦν χωρὶς τούτων ἐκείνους ὑγιασθῆναι τοὺς ἀνθρώπους. Ἀλλὰ καὶ ἡ θεία δίκη τὸ τιμωρὸν εἶδος τῆς δικαιώσεως, τὸ ἐπιτρίβον καὶ αὖξον τὰ πάθη τῆς ψυχῆς, μέχρι τινὸς τοιούτου ἐπάγει, διὰ τὸ μὴ δύνασθαι ἄλλως ἰαθῆναι, εἰ μὴ ἐνεργήσει πρῶτον, ἢ πολλάκις ἐνίοτε, κατὰ τὴν μανιώδη ἑαυτῆς ὄρεξιν. Διὸ καὶ οἱ παιδαγωγοῦντες καλῶς οὐ μέχρι παντὸς ἐναντιοῦνται ταῖς τῶν παίδων ὀρέξεσιν, ἀλλ' ἐνδιδόασι πολλάκις, καὶ συνεργοῦσιν ἐνίοτε· ὡς μὴ δυναμένης τῆς ψυχῆς ἐκείνης ἐξεμέσαι τελέως τὰ τοιαῦτα πάθη, εἰ μὴ ἐνεργήσει ποτὲ κατ' αὐτὰ, καὶ κορεσθῇ τῆς ἐνεργείας. Καὶ οὔτε τὸν παιδαγωγὸν τοῦτον, οὔτε τὴν θείαν δίκην κακοῦ λέγομεν αἰτίαν, ἀλλ' ἀγαθοῦ· διότι τοῦ ἀγαθοῦ ἕνεκα γίνεται. Καὶ γὰρ τὰ πρὸς σωφροσύνην τείνοντα ἐπιτηδεύματα σωφρονικὰ λέγομεν, καὶ τὰ πρὸς ὑγίειαν ὑγιεινά. Πᾶσα δὲ πρᾶξις εἰδοποιεῖται τῷ τέλει, οὗ ἕνεκα γίνεται. Ὥστε ὁ θεὸς, τοῦ ἀναγκαίου τῆς παρατροπῆς εἰ γίνοιτό πως αἴτιος, οὐκ ἂν λέγοιτο δικαίως αἴτιος εἶναι κακοῦ.

Πῶς δὲ καὶ αὐτοῦ τοῦ ἀναγκαίου τῆς παρατροπῆς αἴτιος, ἄξιον ἰδεῖν· ὅτι, οὐχ ὡς αὐτὸς ἐνεργῶν τὴν παρατροπήν· μὴ γένοιτο· ἀλλ' ὡς ἐνδιδοὺς τῷ αὐτεξουσίῳ τὸ τοιοῦτον τῆς ψυχῆς, ἵνα καὶ χώραν ἐν τῷ παντὶ τὸ τοιοῦτον εἶδος ἔχῃ, καὶ τὰ ἀγαθὰ τοσαῦτα ὑποστῇ, μὴ δυνάμενα χωρὶς τῆς παρατροπῆς ὑποστῆναι. Αἴτιος δὲ κυρίως ἐστὶ τῆς αὐτεξουσίου ταύτης οὐσίας, ἀγαθῆς οὔσης, καὶ πολλῶν ἀγαθῶν τῶν ἐν τῷ κόσμῳ τιμιωτέρας· ἧς ἐνέργεια παθητική ἐστιν ἡ παρατροπὴ, θελούσης, καὶ οὐκ ἀναγκαζομένης. Ὅτι δὲ ἀγαθή ἐστιν ἡ αὐτεξούσιος αὕτη οὐσία, κἂν παρατρέπεσθαί ποτε πέφυκε, δῆλον οἶμαι καὶ ἐξ ὧν οἱ τὴν ἀρχὴν τοῦ κακοῦ τιθέντες, διὰ τὸ ἀναίτιον τοῦ κακοῦ τὸν θεὸν ἀποφαίνειν, λέγουσι. Καὶ γὰρ καὶ οὗτοι, οὐ μόνον παράγεσθαι τὴν ψυχὴν ὑπὸ τοῦ θεοῦ λέγοντες, ἀλλὰ καὶ μέρος αὐτην ἢ μέλος τοῦ θεοῦ κομπάζοντες εἶναι,

deinde, quod et supra dictum est, sublata e rerum natura propensione animorum in utramque partem, ornatissimas etiam hominum virtutes una tolli necesse fuerat, et totam omnino hominis naturam. Neque enim justitia et temperantia humana relinquitur, nisi etiam perverti animus possit: qui si perverti prorsus non posset, angelicus foret, aut divinus, nec jam humanus. Hac itaque ratione ostenditur, hanc animi humani facultatem, qua avertere sese ille a bono potest, adeoque et malum, quod inde natum perhibetur, esse necessaria; quod absque iis nec humanæ virtutes, nec ipsum etiam humanum genus in rerum natura exstitisset.

Quapropter etiamsi aliquis a Deo productam istam aversionem diceret, quatenus illa ad exsistentiam tot bonarum naturarum, quæ quidem a bono averti possent, necessaria fuisset; non idcirco MALI auctorem dicere Deum jure existimaretur. Nam et medicum, abscessus putrefacientem, et corpus secantem, et partes urentem et abscindentem, nemo auctorem morbi, sed sanitatis potius quisque auctorem dicit; quod sine his illi homines curari non potuissent. Atqui etiam divina justitia ultricem illam suæ administrationis partem, quæ incitat et auget animi adfectus, eatenus adhibet, quatenus aliter curari animus non potest, nisi prius, atque etiam sæpius fortasse, furiosis prorsus adpetitionibus esset obsecutus. Quæ caussa est, cur etiam boni pædagogi non quovis modo puerorum cupiditatibus adversentur, sed sæpe conniveant, interdum etiam obsequantur; quod hujusmodi adfectus non plane possit evomere animus pueri, nisi aliquando iis obsecutus fuerit, et ipsa actione saturatus. Neque idcirco aut pædagogum illum aut divinam vindictam, mali dicimus esse caussam, sed boni, quod boni caussa ista fiant. Etenim quæ instituta ad honestatem pertinent, ea honesta, et quæ ad sanitatem, salubria dicimus: denique omnis actio ad id genus refertur, ad quod pertinet finis, cujus caussa illa suscipitur. Itaque Deus, si necessariæ aversionis a bono aliqua ex parte caussa esset, non idcirco auctor esse mali dici merito posset.

Quomodo autem ipsius necessariæ aversionis a bono sit auctor, id quoque considerandum est. Neque enim ipse aversionem illam efficit; (absit hoc :) sed liberæ voluntati eam facultatem concessit, quo et hoc genus in universitate rerum locum haberet, et tot bona efficerentur, quæ sine aversione ista effici non possent. Proprie autem auctor est liberæ istius naturæ, quæ bona est, et multis mundi bonis pretiosior: cujus actio est aversio, ex perturbatione quidem profecta; sed volentis animi actio, non coacti. Bonam autem esse liberam istam naturam, etsi aliquando etiam perverti potest, vel ex hoc constare opinor, quod, qui MALI principium statuunt, eo id statuunt, ut Deum mali culpa immunem declarent. Nam et hi, cum non modo conditum animum a Deo dicant, sed etiam partem eum aut membrum esse Dei jactitent; talem tamen eum

πεφυκυῖαν αὐτὴν κακύνεσθαι παραδιδόασιν. Εἴτε οὖν κατὰ προαίρεσιν αὐτὴν κακύνεσθαι λέγουσιν· (ὅπερ ἀκολουθεῖ τοῖς λέγουσιν, ἐφ' ἡμῖν εἶναι τὸ νικῆσαι τὸ κακὸν ἢ ὑπ' αὐτοῦ ἡττηθῆναι, καὶ διὰ τοῦτο καὶ δίκας ἀπαιτεῖσθαι τὸν ἡττώμενον, καὶ ἀμοιβῶν ἀξιοῦσθαι τὸν νικήσαντα· ταῦτα γὰρ λέγοντες, οὐκ ἐφιστάνουσιν ὅμως, ὅτι τούτοις ἀδύνατον συνᾴδειν τὸ ἔξωθεν ὠθεῖσθαι πρὸς τὸ κακὸν τὴν ψυχήν·) ἁπλῶς δ' οὖν, εἴτε κατὰ προαίρεσιν αὐτὴν κακύνεσθαι λέγουσιν, εἴτε ἔξωθεν ὠθουμένην, πεφυκυῖα πάντως κακύνεσθαι κακύνεται· εἰ γὰρ μὴ ἐπεφύκει, οὐκ ἂν ἐκακύνθη. Τοιγαροῦν οὔτε τὸ πρῶτον ἀγαθὸν κακύνεσθαι λέγουσιν, ἐπεὶ μηδὲ πέφυκεν ὅλως, οὔτε τὰ ἄλλα ἀγαθὰ τὰ προσεχῶς αὐτῷ συνόντα, τὴν Μητέρα τῆς ζωῆς, ὡς λέγουσι, καὶ τὸν Δημιουργόν, καὶ τοὺς ἐκεῖ Αἰῶνας. Ὥστε καὶ οὗτοι πεφυκυῖαν κακύνεσθαι τὴν ψυχὴν ὑπὸ τοῦ θεοῦ παράγοντες, διὰ τὸ μὴ κακὴν εἶναι τὴν τοιαύτην οὐσίαν, ἀλλ' ἀγαθήν, οὐ λέγουσιν αἴτιον τοῦ κακοῦ τὸν θεὸν εἶναι.

Ἀλλὰ περὶ μὲν τῆς τῶν κακῶν ὑποστάσεως ἀρκείτω τὰ εἰρημένα πρὸς τὸ παρόν. Λοιπὸν δὲ χρὴ τὴν τοῦ Ἐπικτήτου ῥῆσιν ἐπισκέψασθαι, καὶ ἰδεῖν, ὅπως τὰ διὰ τοσούτων εἰρημένα περὶ τοῦ κακοῦ δι' ὀλίγων ἡμῖν αὐτὸς συλλαβὼν ἐπεδείξατο. Τῆς γὰρ τῶν ἠθῶν εὐαγωγίας περὶ τὴν αἵρεσιν τοῦ ἀγαθοῦ καὶ τὴν φυγὴν τοῦ κακοῦ καταγινομένης, ἀναγκαῖον ἦν ἐπιδεῖξαι τὴν φύσιν τοῦ κακοῦ καινοπρεπῆ τινα οὖσαν. Καὶ γάρ ἐστί πως, καὶ οὐκ ἔστι· παρυπόστασις οὖσα, καὶ οὐχ ὑπόστασις. Διὸ καὶ φευκτὴ τελέως, ὅτι προηγουμένην ὑπόστασιν οὐκ ἔχει. Καὶ διὰ τοῦτο οὐδέ ἐστι τινὶ αἱρετή, καὶ οὐδενί ἐστι σκοπὸς τῷ ποιοῦντι. Καὶ γὰρ τῷ οἰκοδόμῳ τῷ οἰκίαν οἰκοδομοῦντι σκοπός ἐστι καὶ τέλος ἡ οἰκία, δι' ἣν οἰκοδομεῖ· καὶ τῷ τέκτονι ἡ θύρα, δι' ἣν τεκταίνει· οὐδὲν δὲ τοῦ κακοῦ ἕνεκα ποιεῖται. Καὶ ἔστιν ὁ τοῦ Ἐπικτήτου συλλογισμὸς ἐν βραχεῖ τοιοῦτος· Τὸ κακὸν ἀποτυχία σκοποῦ ἐστι. Τὸ προηγουμένως κατὰ φύσιν ἐν τῷ κόσμῳ γινόμενον σκοπός ἐστι τῷ ποιοῦντι· καὶ τέλος, ἡ ἐπιτυχία αὐτοῦ· καὶ ὅταν γένηται, τυγχάνει τοῦ σκοποῦ ὁ ποιῶν. Εἰ οὖν τὸ προηγουμένως κατὰ φύσιν ἐν τῷ κόσμῳ γινόμενον οὐκ ἔστιν ἀποτυχία σκοποῦ, (ἐπιτυχία γάρ ἐστι,) τὸ δὲ κακὸν ἀποτυχία σκοποῦ ἐστι· δῆλον, ὅτι καὶ τὸ κακὸν οὐ γίνεται προηγουμένως ἐν τῷ κόσμῳ· Καὶ ὅτι μὲν ἀποτυχία σκοποῦ ἐστι τὸ κακόν, δῆλον ἐκ τῶν περὶ αὐτοῦ ῥηθέντων. Σκοπὸν γάρ τις θέμενος, ὡς ἀγαθόν, τὴν ἡδονήν, τοξεύει ἐπ' αὐτήν, ὡς ἐπὶ ἀγαθόν. ἤτοι ἐπιτρέχει αὐτῇ βέλους ταχύτερον, τῇ γε φαντασίᾳ· καὶ μὴ ἐπιτυχὼν ἀγαθοῦ, ἀλλὰ παραλλάξας αὐτό, καὶ παρατραπεὶς ἐπ' αὐτοῦ, δῆλον ὅτι ἀποτυγχάνει τοῦ σκοποῦ, κακυνόμενος. Ὅτι δὲ τὰ προηγουμένως ἐν τῷ κόσμῳ γινόμενα σκοπὸς γίνεται τοῦ ποιοῦντος, καὶ τέλος ἡ ἐπιτυχία αὐτῶν, δῆλον ἐξ ὧν εἶπον περὶ τοῦ οἰκοδόμου καὶ τοῦ τέκτονος. Πᾶν γὰρ τὸ γινόμενον σκοπὸς τοῦ ποιοῦντός ἐστιν, εἰς ὃν ἀποβλέπων, ὥσπερ βέλη, τὰς ἑαυτοῦ ἐνεργείας ἐκτείνει ἐπ' αὐτόν· καὶ τέλος ἔχει τὸ

esse perhibent, qui malus fieri possit. Atqui, sive eum suo arbitrio malum fieri dicant: (quod dicere eos necesse est, qui in nobis situm esse fateantur, aut vincere malum, aut ab eo vinci, propterea que et victum pœnis et victorem præmiis adfici: quæ cum dicunt, non expendunt, cum his externam animi ad malum impulsionem cohærere non posse :) omnino igitur, sive suo arbitrio perverti animum dicant, sive externa impulsione; eo utique malus fit, quia sic natura ejus ferebat, ut malus fieri posset. Quod ni ita fuisset, non malus evasisset. Quapropter et primum bonum non depravari dicunt, quod id ejus natura prorsus respuat; neque cætera bona cum illo proxime conjuncta, ut ea quam Matrem vitæ vocant, et Demiurgum, et qui apud illos Æones vocantur. Quamobrem etiam hi, qui animum a Deo talem esse conditum perhibent, ut perverti posset; quia talis natura non mala, sed bona sit; non dicunt mali auctorem Deum esse.

Sed hæc hactenus de natura et ortu malorum. Reliquum est ut Epicteti verba consideremus, et videamus, quemadmodum is ea quæ nos fuse persecuti sumus, brevibus complexus nobis ostenderit. Cum enim disciplina morum in amplectendis bonis et declinandis malis versetur, necesse fuit ostendere mirabilem quamdam Mali naturam. Nam et est quodam modo, et non est; cum accessio quædam rei sit, non ipsa res : eaque de caussa prorsus fugienda est, quod principalem essentiam non habet : proptereaque a nemine expetitur, nec ullius actionis finis aut *scopus* est. Nam ejus qui domum construit, scopus et finis est domus, ob quam ædificat; et fabro janua, propter quam fabricat. Mali autem caussa nihil geritur. Est igitur Epicteti ratiocinatio breviter hujusmodi : Malum aberratio a scopo est. Quidquid ex proposito secundum naturam in mundo fit, id scopus est ejus qui facit: et finis, illius adeptio. Quod cum fit, attingit scopum is qui facit. Si igitur id, quod ex proposita ratione secundum naturam in mundo fit, non est aberratio a scopo; (nam adeptio potius est :) malum vero est aberratio a scopo : malum ex proposita ratione in mundo non fieri constat. Malum autem esse aberrationem a scopo, ex iis, quæ de eo diximus, clarum est. Nam si quis sibi voluptatem tamquam scopum et bonum proposuit; sagittas eo collineat, tamquam ad bonum; aut etiam sagitta ocius ad eam, animi certe quidem impulsione, fertur. Qui si bono potitus non fuerit, sed ab eo frustratus aberrarit, utique scopum non attingit, et in malum incidit. Ea porro quæ in mundo ex proposito fiunt, scopum esse ejus qui facit, et finem, eorum esse adeptionem, ex iis constat, quæ de ædificatore dixi, et de fabro. Id enim omne quod fit, scopus est ejus qui facit : quem intuens, tamquam sagittas, ita suas actiones ad eum dirigit, eumque sibi finem proponit, ut

ἐπιτυχεῖν τοῦ σκοποῦ. Εἰπὼν δὲ οὕτως, Οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται· διὰ τοῦ τῆς φύσεως ὀνόματος τὸ κατὰ φύσιν καὶ προηγουμένως ὑφιστάμενον ἐδήλωσε.

Καὶ εἴπερ οὕτω τις ἐδέξατο τὸν συλλογισμὸν, τὴν ἐλάττονα πρότασιν θεὶς διὰ τοῦ, Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται· (τοῦτο γὰρ σημαίνει, ὅτι τὸ κακὸν ἀποτυχία σκοποῦ ἐστι·) καὶ παραλιπὼν τὴν μείζονα, τὴν λέγουσαν, ὅτι τὸ προηγουμένως ἐν τῷ κόσμῳ γινόμενον οὐκ ἔστιν ἀποτυχία σκοποῦ· (ἐπιτυχία γάρ ἐστι·) συμπέρασμα ἐπήγαγεν, ὅτι τὸ κακὸν οὐ γίνεται προηγουμένως καὶ κατὰ φύσιν ἐν τῷ κόσμῳ. Δύναται δὲ καὶ ὡς συνημμένον ἀκούεσθαι τὸ ληφθὲν τοιοῦτον· εἰ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν οὐ τίθεται, κακοῦ φύσις ἐν κόσμῳ οὐ γίνεται· εἰ γὰρ ἐγίνετο, σκοπὸς ἂν ἦν τῷ ποιοῦντι, πρὸς ὃν ἀποβλέπων ἐποίει· σκοπὸς δὲ πρὸς τὸ φυγεῖν αὐτό· φευκτὸν γὰρ τὸ κακόν. ὥστε οὐ πρὸς τὸ τυχεῖν, ἀλλὰ πρὸς τὸ ἀποτυχεῖν αὐτοῦ ἐτίθετο. Εἰ οὖν σκοπὸς πρὸς τὸ ἀποτυχεῖν αὐτοῦ οὐ τίθεται, οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται.

[IN CAP. XXVIII.] Πολλὴν ἐνέργειαν ἐποίησεν ἡ σύγκρισις τοῦ ἐπιτρέποντος ἄλλου πρὸς ἐμὲ ἐπιτρέποντα· καὶ τοῦ σώματός μου πρὸς τὴν ψυχήν μου. Χεῖρον γάρ ἐστιν ὑφ' ἑαυτοῦ βλάπτεσθαι, ἤπερ ὑπ' ἄλλου. Εἰ γὰρ μᾶλλον δυσχεραίνομεν ὑπὸ φίλων βλαπτόμενοι, ἢ ὑπὸ τῶν τυχόντων, διὰ τὴν φαντασίαν τῆς οἰκειότητος, καὶ τὸ παρ' ἐλπίδα συμβαίνειν· πολὺ ἂν ἀτοπώτερον εἴη τὸ αὐτὸν ἑαυτὸν βλάπτειν. Καὶ, εἰ τοῦ σώματος βλαπτομένου δυσχεραίνομεν, πολὺ μᾶλλον ἔδει δυσχεραίνειν, τῆς ψυχῆς ἡμῶν. Εἰ δὲ τὸ μὲν ἄλλον τινὰ ἐπιτρέψαι τὸ σῶμα ἡμῶν τῷ ὑπαντῶντι, ἢ μὴ ἐπιτρέψαι, οὐκ ἔστιν ἐφ' ἡμῖν· τὸ δὲ ἡμᾶς ἐπιτρέψαι τὴν γνώμην ἡμῶν τῷ τυχόντι, ἵνα, ἐὰν ἐκεῖνος λοιδορήσῃ ἢ ὑβρίσῃ, αὐτὴ ταραχθῇ καὶ συγχυθῇ, ἢ μὴ ἐπιτρέψαι τοῦτο παθεῖν, ἐφ' ἡμῖν ἐστιν· ἀμφότερον αἰσχύνης ἄξιον, τὸ δυσχεραίνειν μὲν τὸ μήτε ἐφ' ἡμῖν ὂν, μήτε εἰς ἡμᾶς γινόμενον κακὸν, ἐνδιδόναι δὲ ἑκόντας τὸ ἡμέτερον κακὸν, ἐφ' ἡμῖν ὂν μὴ ἐνδοῦναι. Καὶ καλῶς οὐκ εἶπεν, Οὐ δυσχεραίνεις τούτου ἕνεκα· διότι δυσχεραίνομεν μὲν καὶ ἀγανακτοῦμεν ἐφ' οἷς ἄλλοι ποιοῦσιν εἰς ἡμᾶς κακοῖς, αἰσχυνόμεθα δὲ ἐφ' οἷς αὐτοὶ ποιοῦμεν εἰς ἄλλους. Ἔτι δὲ μᾶλλον αἰσχύνεσθαι χρὴ, ἐὰν εἰς ἑαυτούς· καὶ ἔτι μᾶλλον, ἐὰν ἐφ' ἡμῖν ᾖ τὸ μὴ ποιῆσαι. Αἰσχύνεται δὲ ὁ συναισθόμενος τοῦ αἴσχους τῶν κατὰ προαίρεσιν οἰκείων ἁμαρτημάτων. Τί δ' ἂν εἴη αἴσχιον τοῦ μὴ δύνασθαι τῆς παρατεθείσης ἐνεργοῦς συγκρίσεως ταύτης τὰς διαφορὰς ἰδεῖν;

[IN CAP. XXX.] Καθήκοντά ἐστι τὰ γινόμενα κατὰ τὰ ἥκοντα καὶ ἐπιβάλλοντα καὶ κατ' ἀξίαν προσήκοντα ἑκάστοις· καὶ ταῦτά ἐστι τὰ τῆς δικαιοσύνης ἔργα τῆς τὴν ὅλην ἀρετὴν περιεχούσης. Ἔστι γὰρ δικαιοσύνη, ἡ μὲν, ἀντιδιῃρημένη πρὸς τὰς ἄλλας ἀρετάς· ἡ δὲ, πάσας ἐν ἑαυτῇ συλλαβοῦσα. Δικαιοσύνη γάρ ἐστι, τὸ τὰ κατ' ἀξίαν ἑκάστοις ἀποδιδόναι. Διὸ καὶ ἡ ἠθικὴ εὐαγωγία, καὶ ἡ πολιτικὴ περὶ τὰ καθήκοντα ἀνα-

scopum attingat. Cum autem dicit, *nec mali natura in mundo est; naturæ* nomine id intelligit, quod secundum naturam et primaria quadam ratione et ex proposito fit.

Quod si quis sic, ut dixi, accipiat ratiocinationem; minor propositio illis verbis continebitur, *Quemadmodum scopus aberrandi caussa non ponitur:* (hoc enim significat, Malum esse aberrationem a scopo :) tum, prætermissa majore quæ dicit, Quod ex proposito in mundo fiat, id non esse aberrationem a scopo, (adeptio cum sit;) subducetur conclusio : Ergo *Malum* ex proposito et *secundum naturam non est in mundo.* Potest vero etiam ut connexum efferri hæc propositio, hoc modo : Si scopus aberrandi caussa non ponitur, mali natura in mundo non exsistit. Nam si exsisteret, scôpus esset facientis, quem intuens ageret. Sed scopus est, ut id fugiatur : fugiendum est enim malum. Quare non attingendi, sed aberrandi caussa poneretur. Si igitur scopus aberrandi ab eo caussa non ponitur, nec mali natura in mundo exsistit.

[IN XXVIII.] Magnam efficaciam habet ista comparatio ejus qui *permittit alterum,* cum eo qui *se ipsum permittit;* itemque *corporis* cum *animo.* Deterius est enim, a semet ipso lædi, quam ab alio. Nam si gravius indignamur, cum lædimur ab amicis, quam cum ab aliis; partim ob cogitationem familiaritatis, partim quod præter exspectationem id nobis accidit; multo adsurdius erit, a semet ipso lædi. Si corporis læsionem ægre ferimus; multo molestius ferendæ erant animi læsiones. Jam, si nostri arbitrii non est, an alius aliquis corpus nostrum cuivis obvio permittat nec ne; hoc vero in nobis situm est, an *permittamus* nec ne *primo cuique animum nostrum, ut, si ille convicium aut contumeliam fecerit, hic perturbetur et confundatur :* utrumque *pudendum* est, et id ægre ferre quod neque in nostra potestate, neque nostrum malum est; et malum nostrum admittere, cum vitare ac propulsare licuisset. Recte vero non dixit, *non succenses ea caussa.* Succensemus enim et indignamur ob ea mala, quæ nobis alii faciunt : eorum vero nos *pudet,* quæ in alios ipsi admittimus. Magis vero erubescendum, si nos ipsos violamus : eoque magis, si id cavere nobis licuisset. Erubescit autem is, qui turpitudinem suorum peccatorum, quæ ultro commisit, agnoscit. Quid vero turpius foret, quam non posse propositæ efficacis comparationis hujus discrimina perspicere?

[IN XXX.] *Officia* sunt quæ fiunt secundum id quod convenit et congruit et pro dignitate sive merito debetur cuique: et sunt hæ ejus justitiæ partes, quæ omnem virtutem continet. Duobus enim modis Justitia dicitur: uno modo, quatenus ab aliis distinguitur virtutibus; altero modo, quatenus omnes in se virtutes complectitur. Nam Justitia est, suum cuique tribuere. Quare et recta morum institutio, et disciplina civilis, in Officiis versantur : estque illa, animi

στρέφονται· ἡ μὲν, δικαιοσύνη ψυχῆς οὖσα, καὶ τὸ καθῆκον ἑκάστῳ τῶν μερῶν τῆς ψυχῆς ἀφορίζουσα· ἡ δὲ, δικαιοσύνη πόλεως, καὶ αὐτὴ τῶν τῆς πόλεως μερῶν ἑκάστῳ τὸ πρὸς ἀξίαν ἀποδιδοῦσα. Παιδεύσας τοίνυν τὸν ἀκροατὴν διὰ τῶν προτέρων παραγγελμάτων, καὶ αὐτῶν περὶ τὰ καθήκοντα γινομένων, ἐντεῦθεν λοιπὸν αὐτῷ τὴν τέχνην τὴν περὶ τὰ καθήκοντα παραδίδωσι, πῶς ἐστιν εὑρίσκειν τε αὐτὰ, καὶ ἐργάζεσθαι. Καὶ ἅπερ ἄλλοι διὰ πολυστίχων πραγματειῶν συνέταξαν, οἱ μὲν Περὶ Καθηκόντων τὰς πραγματείας ἐπιγράψαντες, οἱ δὲ Περὶ τῶν ἐν τοῖς πρακτικοῖς Καλῶν, ὥσπερ Νικόλαος ὁ Δαμασκηνός· ταῦτα οὗτος ἐν ὀλίγοις στίχοις, μετὰ δραστικῆς ἐμφάσεως, καὶ ἐνεργείας κινούσης τὰς ψυχὰς, παραδέδωκε.

justitia, cuique parti animæ officium suum præscribens : hæc, civitatis justitia, cuique parti civitatis suum pro cujusque dignitate tribuens. Cum igitur superioribus præceptis, quæ et ipsa ad officia pertinent, auditorem erudierit; hic ei nunc ipsam Artem tractandorum officiorum, eorumque cum reperiendorum, tum præstandorum, tradit. Et, quæ alii prolixis voluminibus exposuerunt, quorum alii DE OFFICIIS titulum fecere libris suis, alii (ut Nicolaus Damascenus) DE EO QUOD IN AGENDO PULCRUM ET HONESTUM EST; ea Epictetus paucis versibus luculente nervoseque, et ad commovendos animos perquam adcommodate, tradidit.

Ταῦτα δὲ τὰ καθήκοντά ἐστιν, ὡς καθόλου [εἰς] μέρη διελεῖν αὐτὰ, τὰ μὲν πρὸς ἀνθρώπους, καὶ ὅλως πρὸς τὰ ὅμοια· τὰ δὲ πρὸς τὰ κρείττονα· τὰ δὲ πρὸς τὰ χείρονα· τὰ δὲ ἴσως καὶ πρὸς ἡμᾶς αὐτούς. Καὶ τούτων δὲ ἕκαστον πολλὰς ἔχει διαφοράς· ὧν ταῖς κυριωτέραις καὶ αὐτὸς ἐπεξέρχεται, ἀπὸ τῶν πρὸς ἀνθρώπους καθηκόντων ἀρχόμενος. Καὶ καλῶς εὐθὺς ἀπ' ἀρχῆς διδάσκει, πῶς δυνατὸν εὑρίσκειν τὰ καθήκοντα· καὶ [γὰρ] οὐ τὰ αὐτὰ καθήκει πατρὶ καὶ υἱῷ ἀποδιδόναι, οὐδὲ πολίτῃ καὶ ξένῳ, οὐδὲ εὐεργέτῃ καὶ τῷ βλάψαντι, ἀλλὰ ἄλλοις ἄλλα κατὰ τὴν τῶν σχέσεων διαφορὰν, ἣν πρὸς αὐτοὺς ἔχομεν. Ἄλλη γὰρ σχέσις πρὸς πατέρα, ὡς πρὸς αἴτιον μετὰ θεὸν, καὶ ὁλότητα ἡμῶν, καὶ εὐεργέτην· καὶ ἄλλη πρὸς υἱὸν, ὡς πρὸς αἰτιατὸν, καὶ μέρος πως ἡμέτερον.

Ἀλλὰ, τί ποτ' ἐστιν ἡ σχέσις, δεῖ πρότερον ἐννοῆσαι, καὶ οὕτω ταῖς διαφοραῖς αὐτῶν ἐπιστῆσαι. Ἡ τοίνυν σχέσις, ὡς κοινῶς εἰπεῖν, σύνταξίς ἐστι τινῶν πρὸς ἄλληλα, φυσικὴ ἢ προαιρετικὴ, ὁμοίων ἢ ἀνομοίων· ἡ μὲν, συναγωγός· ἡ δὲ, διαστατική, μενούσης τῆς περιγραφῆς τῶν ἐν σχέσει ὄντων. Μέση γὰρ ἡ σχέσις ἐστὶ τῶν ἐχόντων τὴν σχέσιν· καὶ ἔχεται ἀλλήλων κατὰ τὴν σχέσιν, ἢ μᾶλλον κατεσχέθη ὑπ' ἀλλήλων· ὥστε καὶ διακριθέντα, καὶ ἄλλα γινόμενα, μὴ τελέως ἀποσπασθῆναι, ἀλλὰ μεῖναι ἀλλήλων ὄντα. Διὸ καὶ ἔστι καὶ λέγεται προσάλληλα, τὰ τὴν σχέσιν ἔχοντα. Ἔστι δὲ σύνταξις φυσικὴ, ὁμοίων συναγωγὸς, ἡ τῶν ἀδελφῶν. Διὸ καὶ ὁμοίως πρὸς ἄλληλα ἀποδίδονται. Ὁ γὰρ ἀδελφὸς, ἀδελφοῦ ἀδελφός· καὶ ὁ ἴσος, ἴσου ἴσος· καὶ ὁ συγγενὴς, συγγενοῦς συγγενής· καὶ ὁ πολίτης, πολίτου πολίτης. Σύνταξις δὲ φυσικὴ, ὁμοίων διαστατικὴ, ἡ τῶν ἀλλοτρίων κατὰ γένος. Καὶ γὰρ καὶ αὐτὴ σύνταξίς ἐστι φυσικὴ, καὶ καθ' ὁμοιότητα. Διὸ καὶ λέγεται προσάλληλα καθ' ὁμοιότητα· ὁ γὰρ ἀλλότριος, ἀλλοτρίου ἀλλότριος. Διαστατικὴ μέντοι ἡ σύνταξις· τὸ γὰρ ἀλλότριον χωριστικὸν τῶν γενῶν ἐστιν, ὥσπερ τὸ συγγενὲς, ἑνωτικόν. Διὰ δὲ τὴν ὁμοιότητα, κἄν τε συναγωγὸς, κἄν τε διαστατικὴ, τὰ καθήκοντα τὰ αὐτά ἐστιν ἐφ' ἑκατέρου πρὸς τὸ ἕτερον. Σύνταξις δὲ φυσικὴ, ἀνομοίων συναγωγὸς, πατρὸς καὶ υἱοῦ πρὸς

Sunt autem *officia*, ut in summas quasdam partes distribuas, alia, adversus homines, omninoque adversus nostri similes; alia, adversus præstantiores; alia, adversus deteriores; alia etiam fortasse, adversus nos ipsos. Et horum quodlibet multa habet discrimina: quorum præcipua et ipse persequitur, ab officiis erga homines exorsus. Ac præclare statim initio docet, quomodo *reperienda* sint *officia* : nec enim eadem tribuenda sunt patri et filio, civi et hospiti, bene merito et ei qui læserit, alia denique aliis; pro ratione relationis, quæ cum quolibet intercedit. Alia enim ratio est adversus patrem, qui post Deum ortus nostri auctor est, et totum cujus pars sumus, et benefactor noster : alia erga filium, cujus ipsi caussa sumus, et qui nostri quædam pars est.

Sed, quidnam sit *relatio* (sive *adfectio* ea dicenda est, sive *habitudo* quædam), considerare prius oportet, quam diversa officiorum genera persequamur. Est igitur *relatio*, ut generatim dicamus, mutuus quorumdam ordo et respectus inter se invicem : isque vel natura constitutus, vel sponte susceptus; similium, vel dissimilium : alius, conjungens; alius, sejungens, eadem manente eorum definitione quæ sunt in relatione. Est enim relatio veluti media inter ea quæ sunt correlata, quæ per ipsam illam relationem mutuo sese attingunt, aut, rectius ut dicam, alterum altero continetur; ita quidem, ut quamvis alia sint atque diversa, tamen alterum maneat alterius : ex quo etiam *mutua*, et græce προσάλληλα (quasi diceres, *duo quorum alterum alterius est*) nominantur. Est autem ordo naturalis, similes conjungens, relatio fratrum. Quare alterum eorum, quæ in hujusmodi relatione sunt, altero definitur : nam frater fratris est frater; et par, pari par; et cognatus, cognato cognatus; et civis civis sui est civis. Ordo vero sive relatio naturalis, similia sejungens, obtinet inter eos qui sibi invicem quoad genus alieni sunt. Nam et hæc relatio naturalis est, et secundum similitudinem : quare etiam hæc correlata dicuntur quoad similitudinem; alienus enim alieno est alienus. Est autem relatio sejungens : nam alienum separat familias, cum cognatio conjungat. Sed propter similitudinem, sive sejungens sit relatio, sive conjungens, eadem sunt officia ab utraque parte adversus alteram. Relatio naturalis, dissimilia conjungens, est quæ in-

ἀλλήλους. Καὶ γὰρ φυσική ἐστι συναγωγὸς, ἀνομοίων δὲ, διότι οὐκέτι πρὸς τὸ αὐτὸ ἡ ἀπόδοσις, ὡς ἐπὶ τῶν ἀδελφῶν. Ἐκεῖ γὰρ ἐλέγομεν, ὁ ἀδελφὸς, ἀδελφοῦ ἀδελφός· ἐνταῦθα δὲ, ὁ πατὴρ, υἱοῦ πατήρ· καὶ, ὁ υἱὸς, πατρὸς υἱός. Ἔστιν οὖν αὕτη σύνταξις, φυσικὴ, ἀνομοίων συναγωγός· ἀλλὰ τὸ ἀνόμοιον ἔχει, ὡς αἴτιον καὶ αἰτιατόν. Ἄλλη δέ ἐστι σύνταξις φυσικὴ συναγωγὸς ἀνομοίων, τῶν ὡς ἐναντίων· ὡς ἔχει τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. Καὶ γὰρ ἀνόμοια ὄντα ταῦτα, συνῆπται μὲν πρὸς ἄλληλα, κατὰ δὲ τὴν τοπικὴν ἐναντίωσιν. Σύνταξις δὲ φυσικὴ, ἀνομοίων διαστατικὴ, ὡς τὸ πέρυσι καὶ τὸ τῆτες· σχέσις γὰρ καὶ αὕτη διαστατικὴ κατὰ χρόνον.

Σύνταξις δὲ προαιρετικὴ, ὁμοίων συναγωγὸς, ἡ τῶν φίλων· διαστατικὴ δὲ, ἡ τῶν ἐχθρῶν. Καὶ γὰρ οἱ ἐχθροὶ συντεταγμένοι μέν εἰσι κατὰ σχέσιν προαιρετικῶς, ὅμοιοι ὄντες. Διὸ καὶ πρὸς τὸ αὐτὸ ἡ ἀπόδοσις· ὁ ἐχθρὸς, ἐχθροῦ ἐχθρὸς, ὥσπερ ὁ φίλος, φίλου φίλος· διαστατικὴ δὲ ἐπὶ τῶν ἐχθρῶν ἡ σύνταξις, ὥσπερ ἐπὶ τῶν φίλων ἑνωτική. Σύνταξις δὲ προαιρετικὴ ἀνομοίων συναγωγὸς, ἡ τοῦ διδάσκοντος καὶ μανθάνοντος, ὡς αἰτίου καὶ αἰτιατοῦ· ὡς δὲ ὑπεναντίων, ἡ τοῦ πιπράσκοντος καὶ ἀγοράζοντος. Σύνταξις δὲ προαιρετικὴ, κατὰ ἀνομοιότητα διαστατικὴ, ἡ τοῦ διώκοντος καὶ τοῦ φεύγοντος· (ὁ γὰρ διώκων, φεύγοντα διώκει·) συντεταγμένη μὲν κατὰ προαιρετικὴν σχέσιν ἀνομοίων, διαστατικῶς δὲ συντεταγμένη. Ἡ μέντοι ἀνδρὸς καὶ γυναικὸς σχέσις μέση τις ἔοικεν εἶναι τῶν τε φυσικῶν, καὶ προαιρετικῶν, ὡς ἀμφοτέρων μετέχουσα, καὶ κατὰ ἀνομοιότητα ἀποδιδομένη· ὁ γὰρ ἀνὴρ, γυναικὸς ἀνὴρ, καὶ ἡ γυνὴ, ἀνδρὸς γυνή. Μέσην δὲ καὶ οἱ γείτονες ἔχουσι σχέσιν, πρὸς ὁμοιότητα ἀποδιδόμενοι. Τὸ δὲ ἄρχον, καὶ τὸ ἀρχόμενον, τὸ μὲν φυσικόν ἐστιν· (ἄρχει γὰρ ἀεὶ τὸ κρεῖττον τοῦ χείρονος ἐν τῷ παντί·) τὸ δὲ προαιρετικὸν, ὅταν κατὰ σύνταξιν οἱ μὲν πλούσιοι ἄρχωσιν, οἱ δὲ πένητες ἄρχωνται· τὸ δὲ μικτὸν, ὅταν κοινῇ δόξῃ τοὺς φρονιμωτέρους ἄρχειν.

Τοσούτων οὖν, ὡς τύπῳ φάναι, τῶν σχέσεων οὐσῶν, ἐν ὁποίᾳ ἂν τούτων πρός τινα τύχωμεν ὄντες, ἀπ' αὐτοῦ τοῦ τῆς σχέσεως εἴδους τὸ πρὸς αὐτὸν καθῆκον ἡμῖν ληπτέον, καὶ φυλακτέον· εἴτε καὶ ἐκεῖνος φυλάττει τὸ πρὸς ἡμᾶς καθῆκον, εἴτε καὶ οὔ· καὶ μάλιστα ἐπὶ τῶν φυσικῶν καθηκόντων. Τὴν μὲν γὰρ προαιρετικὴν σχέσιν καὶ ὁ ἕτερος, κακῇ προαιρέσει ἢ ἀγαθῇ χρώμενος, διαλῦσαι δύναται· τὴν μὲν φιλίαν κακῇ, τὴν δὲ ἔχθραν ἀγαθῇ· καὶ γὰρ ἡ προαίρεσις τὴν σχέσιν ταύτην εἰργάσατο· τὴν δὲ φυσικὴν, οὐχ ἡ προαίρεσις, ἀλλ' ἡ φύσις. Διὸ, εἰ μὲν ὁ φίλος ἡμῶν διὰ μοχθηρὰν προαίρεσιν ἐχθρὸς γένηται, ἔλυσε τὴν σχέσιν ἡμῶν, καὶ οὐχ ἔτι ὀφείλομεν αὐτῷ τὰ πρὸς φιλίαν καθήκοντα, οὐχ ἔτι φίλῳ εἶναι βουλομένῳ, ἀλλ' ἐχθρῷ. Εἰ δὲ πατὴρ μοχθηρᾷ χρῆται τῇ προαιρέσει, τὴν τοῦ πατρὸς σχέσιν οὐκ ἔλυσεν ἡ προαίρεσις· φυσικὴ γὰρ ἐκείνη, καὶ οὐ προαιρετική· καὶ πρὸς πατέρα ἡ τοιαύτη σχέσις, ἀλλ'

ter patrem et filium intercedit. Est enim conjunctio naturalis, sed dissimilium : quia non alter per alterum definitur, ut fit in fratribus. Ibi enim dicebamus, Frater, fratris est frater : hic vero, Pater filii est pater; et, Filius, patris filius. Est igitur hæc relatio naturalis, dissimilia conjungens : sed dissimilitudo ea est, quæ est inter caussam, et id quod a caussa proficiscitur. Est vero et alia relatio naturalis dissimilia conjungens; ut oppositorum, cujusmodi est dextrum et sinistrum. Nam hæc cum dissimilia sint, necessitudinem quidem inter se quamdam habent, sed ratione loci contrarii. Denique est alia relatio naturalis dissimilia disjungens; veluti, anno superiore, et hoc anno. Est enim et hæc relatio tempora discernens.

Relatio voluntate suscepta, et similium conjungens, est amicorum : dissimilium vero disjungens, inimicorum. Nam et inimici comparantur inter se respectu voluntatis, qua similes sunt. Quare et alter per alterum definitur : nam inimicus est inimici inimicus, sicut amicus amici. Disjungens autem est inimicorum relatio, sicut amicorum conjungens. Relatio voluntaria dissimilium conjungens est docentis et discentis; ut caussæ, et ejus quod oritur a caussa : item relatio vendentis et ementis; sed hæc quidem, ut contrariorum. Relatio voluntaria sejungens dissimilia est persequentis et fugientis : persequens enim fugientem persequitur; et conferuntur hi quoad voluntatis habitum, in quo sunt dispares; conferuntur autem ita, ut sejungantur collata. Mariti autem et uxoris relatio media quodammodo esse videtur inter naturales et voluntarias, ut et utrarumque particeps, et dissimilitudine definienda. Nam maritus uxoris est maritus; et uxor, mariti uxor. Mediam et vicini habent relationem, sed quæ similitudine definiatur. Imperans vero et obediens partim naturale est; (imperat enim semper præstantius deteriori in universo :) partim voluntarium, cum pactione quadam divites imperant, pauperes vero obtemperant : partim mixtum, cum publice decretum fuerit, ut imperent prudentiores.

Cum igitur (ut paucis complectar) tot sint *relationes* : quacumque harum cum aliquo conjuncti simus, ab ipsa relationis forma *officium* adversus eum ducendum est et conservandum; sive id ille etiam conservet, sive non; in naturalibus officiis præsertim. Nam voluntariam relationem etiam alter mala bonave voluntate dirimere potest; amicitiam mala, inimicitias bona. Etenim voluntas eam relationem constituit : naturalem vero non voluntas, sed natura. Quamobrem si amicus noster ob pravam voluntatem fit inimicus, solvit relationem nostram, nec jam ei debemus amicitiæ officia, qui amicus esse destitit, et inimicus esse voluit. Verum si *pater* improba voluntate fuerit, patris relationem non solvit voluntas : ea enim *natura* est constituta, non voluntate; et talis est *relatio ad patrem*,

οὐκ ἀγαθὸν πάντως πατέρα. Κἂν τύχῃ οὖν ὁ πατὴρ κακὸς, ἀλλὰ τὰ τῷ πατρὶ καθήκοντα ἀποδοτέον.

Χρὴ οὖν ἐπιμελεῖσθαι παντοίως αὐτοῦ, καὶ ὅτι αἴτιος ἡμῖν μετὰ θεὸν τοῦ εἶναι γέγονε, καὶ ὅτι διὰ τὰς ἐπιμελείας αὐτοῦ καὶ συμπαθείας ἐτράφημέν τε, καὶ μέχρι τοῦδε προήλθομεν· καὶ, ὡς δανεισαμένους παρὰ τῶν γονέων τὴν ἐπιμέλειαν, ἀποδιδόναι μετὰ τόκων αὐτοῖς εὐγνωμόνως προσήκει, καὶ τοῖς ἐπιτάγμασιν αὐτῶν προθύμως ὑπουργεῖν πᾶσιν, ὅσα μὴ πρὸς κακίαν ψυχῆς ἐκκαλεῖται. Ταῦτα γὰρ ἀβαρῶς αὐτοῖς κατὰ τὸ δυνατὸν παραιτητέον, ὡς τῷ πατρὶ τῶν ψυχῶν ἀπαρέσκοντα· καὶ τῶν ἄλλων δὲ χρὴ παραχωρεῖν ἁπάντων, ἢ σώματος, ἢ τῶν ἐκτός. Εἰ γὰρ τοῖς κατὰ τύχην δεσπόταις, ἀργυρίου πριαμένοις, ὑπόκειται καὶ τὰ σώματα τῶν δούλων, καὶ τὰ ὑπάρχοντα, πόσῳ μᾶλλον τοῖς κατὰ φύσιν γενομένοις αἰτίοις τοῦ εἶναι; ὥστε καὶ τυπτόντων ἀνέχεσθαι πρᾳότερον τῶν ὑπὸ τοῦ δεσπότου τυπτομένων οἰκετῶν· καὶ λοιδορούντων, ἔτι μᾶλλον, καὶ ὑβριζόντων. Οἱ δὲ παλαιοὶ τῶν Ῥωμαίων νόμοι, καὶ πρὸς τὴν τῆς φύσεως ὑπεροχὴν ἀποβλέψαντες, καὶ πρὸς τοὺς πόνους οὓς οἱ γονεῖς ὑπὲρ τῶν τέκνων πονοῦσιν, ἅμα καὶ τοὺς παῖδας παντοδαπῶς ὑποτάξαι βουλόμενοι, καὶ τῇ τῶν γονέων (οἶμαι) φυσικῇ φιλοστοργίᾳ θαῤῥήσαντες· καὶ πιπράσκειν, εἰ βούλοιντο, τοὺς παῖδας τοῖς γονεῦσιν ἐπέτρεψαν, καὶ φονεύειν ἀτιμωρήτως. Οἱ δὲ ἔτι παλαιότεροι τοσοῦτον τοὺς γονέας ἐσέφθησαν, ὡς καὶ θεοὺς αὐτοὺς ὁρμῆσαι καλεῖν· εὐλαβηθέντες δὲ τὴν θείαν ὑπεροχὴν, τοὺς τῶν γονέων ἀδελφοὺς θείους ἐκάλεσαν· ἐνδεικνύμενοι τὴν τάξιν, ἣν τοὺς γονέας ἔχειν πρὸς τοὺς παῖδας τοὺς ἑαυτῶν ὑπελάμβανον. Χρὴ δὲ ἐν τοῖς εἰς τοὺς γονέας καθήκουσι μάλιστα μὲν δι' αὐτὸ τὸ ἀγαθὸν ποιεῖν αὐτὰ, καὶ διὰ τὸ κατὰ φύσιν ἔχουσαν τὴν ἑαυτῶν προαίρεσιν διατηρεῖν· ἤδη δὲ καὶ κατὰ τὴν θείαν ἐννοεῖν δίκην, ὅτι τοιούτους εἰκὸς περὶ ἡμᾶς τοὺς ἡμετέρους παῖδας γενέσθαι, ὁποῖοί τινες ἡμεῖς πρὸς τοὺς γονέας γεγόναμεν.

Κἂν ἀδελφὸς οὖν ἀδικῇ, σὺ τὴν πρὸς ἀδελφὸν φυσικὴν τῆς σχέσεως σύνταξιν διατήρει, καὶ τὴν ὁμολογίαν, ἣν ὡμολόγησας τῷ παντὶ, πρὸς τούτους, ἀλλὰ μὴ πρὸς ἄλλους γονέας, καὶ ἀδελφοὺς, καὶ συγγενεῖς ἐλθεῖν * * αἱρησόμενος. Ἐννόει δὲ καὶ, ὅτι τὸ μὲν ἐκεῖνον δικαίως ἢ ἀδίκως σοὶ προσενεχθῆναι οὐκ ἔστιν ἐπὶ σοί· τὸ δὲ σὸν ἐπὶ σοί ἐστί. Διὸ οὐ χρὴ σκοπεῖν, πῶς προσφέρεται, ἀλλὰ τί σὺ ποιῶν κατὰ φύσιν ἕξεις. Οὗ γὰρ κύριος εἶ, τοῦτο σπούδαζε κατὰ τὸ σοὶ προσῆκον διατιθέναι. Ἐν τούτῳ γάρ σου καὶ ἡ ὠφέλεια καὶ ἡ βλάβη. Ἐκεῖνος γὰρ, ὅπως ἂν διαγένηται, σὲ οὐ βλάψει, ἐὰν τὴν ὠφέλειαν καὶ τὴν βλάβην ἐπὶ σοὶ ζητῇς. Εἰ δὲ ἐν τοῖς ἔξωθεν γινομένοις αὐτὴν ἀφορίσῃς, τότε ὑπὸ σεαυτοῦ ἔσῃ βεβλαμμένος, ἀλλ' οὐχ ὑπὸ τοῦ ἀδελφοῦ. Ἐννόει δὲ καὶ, ὅτι, ἐὰν διὰ τῆς σεαυτοῦ πρᾳότητος καὶ στοργῆς καὶ φίλον σεαυτοῦ τὸν ἀδελφὸν κατασκευάσῃς, αἱ δύο σχέσεις μιγνύμεναι θαυμαστὴν ἕνωσιν ἀπεργάζονται.

non ad bonum utique *patrem*. Etsi igitur malus fuerit pater, tamen officia quæ patri debentur, ei præstanda sunt.

Omnibus itaque modis *observandus est pater, curandusque;* ut et vitæ nostræ post Deum auctor, et quod ejus cura et caritate educati huc usque processimus; denique cura parentibus, ut quam ab illis mutuam acceperimus, gratis animis et cum fœnore reddenda est, eorumque mandata alacriter exsequenda omnia, iis exceptis quæ animi vitia provocant. Hæc enim citra eorum offensam, quantum fieri potest, recusanda sunt, ut quæ patri animorum displiceat: cæteris vero rebus omnibus cedendum illis est, tam externis rebus, quam ipso corpore. Nam si fortuitis dominis, qui argento numerato servos emerunt, et corpora et peculia servorum parent; quanto magis parebunt eadem illis, qui naturales ortus nostri auctores fuerunt? Quare et *verbera patrum æquioribus animis ferenda* sunt filiis, quam servis dominorum : multoque magis *convicium* aut contumelia. Itaque veteres Romanorum leges, tum excellentia naturæ considerata, tum laboribus, quos filiorum caussa parentes suscipiunt, expensis; tum eo etiam consilio, ut liberos quovis modo patriæ potestati subjicerent, ac fretæ (puto) naturali parentum erga liberos pietate; et vendendi illos, si vellent, potestatem dedere parentibus, et impune occidendi. His vero antiquiores ita veneratæ sunt parentes, ut *deos* etiam adpellare eos non dubitarint: et divinam excellentiam reveriti, fratres patrum nominarunt θείους (quod et *divinos* significat et *patrueles*), quo demonstrarent, quam rationem parentum adversus liberos esse existimarent. Sunt autem officia adversus parentes, maxime quidem ob hoc ipsum, quod ita rectum est, præstanda; ut ea ratione voluntatem nostram naturæ consentaneam conservemus : tum vero etiam divinæ vindictæ ratio habenda est, quod consentaneum est, fore ut tales liberorum erga nos animos experiamur, quales nos ipsos adversus parentes nostros præbuerimus.

Quod si *frater* te læserit, tu adversus fratrem naturalem relationis ordinem conserva, et pactionem universitate rerum teste et arbitra initam, quæ tibi hos, non alios parentes, fratres, atque cognatos destinavit. Illud etiam considera, ut ille te vel æque vel inique tractet, non esse penes te : tuum vero munus penes te esse. Quare non esse respiciendum, quomodo is te utatur; sed quid tu facias, ut naturæ congruenter vivas. Cujus enim rei tu dominus es, eam cura ut pro tui officii ratione exsequare. In eo enim et detrimentum tuum, et emolumentum situm est. Nam *ille* quidem utcumque se gesserit, *te non lædet*, si utilitatem et damnum in te ipso quæsieris. Sin ista in externis rebus collocaris, id *damnum* non frater, sed *tu ipse tibi dederis*. Denique etiam considera, si lenitate et caritate tua fratrem amicum etiam tibi feceris; binas relationes permixtas mirabilem effecturas esse conjunctionem.

Τὰ δὲ περὶ τοὺς τῶν ἀγαθῶν διδασκάλους καθήκοντα, τὰ αὐτά πως τοῖς πρὸς τοὺς γονέας ἐστὶ, μετά τινος τάχα ἐπιτάσεως· ὅτι οἱ τροφεῖς οὗτοι καὶ ἐπιμεληταὶ, οὐ τοῦ σώματος ἡμῶν, ἀλλ' ἡμῶν αὐτῶν εἰσι, καὶ οὐδὲ κατ' ἀνάγκην τὴν φυσικὴν, ὥσπερ οἱ γονεῖς, ἔν τε τοῖς ἀλόγοις ζώοις, καὶ ἐν τοῖς ἀνθρώποις, ἀλλὰ κατὰ προαίρεσιν ἀγαθὴν, μιμουμένην τὴν θείαν ἀγαθότητα, τὴν τὰς ψυχὰς τὰς εἰς γένεσιν πεσούσας ἐκεῖ πάλιν ἐπανάγουσαν ὅθεν προῆλθον. Πλεονάζει δὲ τὰ πρὸς τοὺς διδασκάλους καθήκοντα, τῷ δεῖν πᾶσι τοῖς ὑπὸ τούτων ἐπιταττομένοις, ὡς θεοῦ προστάττοντος, ἀπροφασίστως ὑπηρετεῖν. Ὁ γὰρ τῶν κατὰ φύσιν ἡμῖν προσηκόντων διδάσκαλος, οὐδὲν ἐπιτάξει τῶν μὴ πρὸς τοῦτον τὸν σκοπὸν ἀποτεινομένων. Ἐὰν δὲ οἱ γονεῖς ἡμῖν καὶ διδάσκαλοι τῶν ἀγαθῶν τύχωσιν ὄντες, τότε τῶν δύο σχέσεων συναφθεισῶν, καὶ τὰ καθήκοντα κατ' ἀμφοτέρους ἀποδοτέον, ὡς θεῖόν τινα τύπον προσκυνοῦντας αὐτούς· ὅτι καὶ τοῦ εἶναι, καὶ τοῦ καλῶς εἶναι, καὶ οὗτοι, ὥσπερ ὁ Θεὸς, γεγόνασιν αἴτιοι.

Τὰ δὲ περὶ τοὺς φίλους καθήκοντα, καὶ τίμια καὶ χρειώδη τυγχάνοντα, συντόμως, ὡς δυνατὸν, ῥητέον. Ἐν οἷς πρώτη μέν ἐστιν, ἡ ἐκλογὴ τῶν φίλων· δευτέρα δὲ, ἡ χρῆσις αὐτῶν, καὶ ἡ διὰ τῆς ἀρίστης χρήσεως φυλακή· ἐξ ὧν ἀποφαίνεται τὸ τῆς φιλίας παντοδαπὸν ἀγαθόν. Τὴν μὲν οὖν ἐκλογὴν ποιεῖσθαι χρὴ, πρῶτον μὲν, εἰς ὁμοιότητα τῶν ἠθῶν ἀποβλέποντα· τὰ γὰρ ἀνόμοια, ἀνάρμοστα πρὸς φιλίαν εἰσὶ, κἂν ἄμφω δόξῃ χρηστά· τὰ γὰρ δὴ ἀραιότερα καὶ σταθηρότερα τῶν ἠθῶν, πρὸς τὰ εὐκίνητα καὶ παράθερμα οὐ συναρμόττει. Δεύτερον δὲ ἀφορᾷν χρὴ, πῶς ἐχρήσατο τοῖς προτέροις ἑαυτοῦ φίλοις οὗτος, ὃν πρὸς φιλίαν ἐκλεγόμεθα. Καὶ τὸ τρίτον, ὃ καὶ πρῶτόν ἐστι, καὶ μέσον, καὶ ἔσχατον, πότερον ὑπὸ τῶν ἀλόγων ἄρχεται παθῶν, ἢ ὁπωσοῦν ὁ λόγος ἐν αὐτῷ κρατεῖ. Τούτῳ δὲ ἀκολούθως τὰς ὀρέξεις ἐπισκεπτέον, πότερον πρὸς τὰ καλὰ καὶ ἀγαθὰ, καὶ τὰ ὑπὸ τῶν ἀγαθῶν ἐπαινούμενα κινοῦνται, ἢ πρὸς τὰ ἡδέα καὶ ἀσχήμονα, καὶ τοῖς συρφετοῖς ἀνθρώποις ἀρεστά. Καὶ ἔτι μέντοι, πότερον εὐήνιοί τινές εἰσιν αἱ ὀρέξεις καὶ ἐκκλίσεις, καὶ τῷ ὀρθῷ λόγῳ ῥᾳδίως πειθόμεναι· ἢ σφοδραί τε καὶ ἀχαλίνωτοι, καὶ τὸ φαινόμενον αὐταῖς ἀρεστὸν ἀεὶ προτιμῶσαι. Αἱ μὲν γὰρ τοιαῦται, πάντα πρὸς τὸ δοκοῦν αὐταῖς βιαζόμεναι, οὐχ εἰσὶ πρὸς φιλικὴν ἕνωσιν ἐπιτήδειοι· ἀλλὰ καὶ τὸ ἀγαθὸν ἐν τοῖς ἐκτὸς τιθέμεναι, χρήμασιν, ἢ σώμασιν, ἢ δόξαις πολιτικαῖς, καὶ αὗται πρὸς φιλίαν ἀνάρμοστοι. Μεριστῶν γὰρ ὄντων τούτων, ὁ σφοδρότερον ὀρεγόμενος, καὶ τὸ πλέον λαμβάνων, τὸ ἔλαττον ἀπολείπει πάντως, ὡς μηκέτι τὸν φίλον τοῦ ἴσου τυχεῖν. Ἀλλ' ἐπὶ μὲν χρημάτων, καὶ σωμάτων, τοῦτο πρόδηλον. Καὶ ὁ δοξοκομπῶν δὲ πάντως καὶ μονοδοξεῖν βούλεται. Τὰ δὲ ψυχικὰ ἀγαθὰ, ἐπιστῆμαι καὶ ἀρεταὶ, ἀμέριστα τοῖς μετέχουσι παρόντα, τοῦ ἑτέρου μετέχοντος, οὐ μειοῦται ἐν τῷ ἑτέρῳ, ἀλλὰ καὶ αὔξεται. Συνεγείρεται γὰρ καὶ συνεκπυροῦται ταῦτα ἐν ταῖς τῶν μετεχόν-

Officia porro erga bonarum artium doctores eadem sunt, quæ erga parentes, ac fortasse cum aliquo cumulo : quod hi educatores et curatores non corporis nostri, sed nostri ipsorum sunt : idque nec naturali necessitate, ut parentes tum apud brutas animantes, tum apud homines, sed bona voluntate, divinam bonitatem imitante; quæ animas in hunc sublunarem mundum delapsas, eo unde venerunt, reducere conatur. Illud etiam prœterea præcipuum habent officia adversus magistros, quod omnibus eorum præceptis, tamquam divinis edictis, absque tergiversatione est obtemperandum. Earum enim rerum doctor, quæ secundum naturam nobis conveniunt, nihil præcipiet, nisi quod ad hunc finem referatur. Si vero ipsi parentes nostri simul bonarum etiam artium doctores nobis fuerint : tum binis his relationibus conjunctis, etiam officia utrique debita præstanda erunt, ipsique ut divina quædam imago adorandi, quod et ut essemus, et ut bene essemus, hi non secus ac Deus auctores fuerint.

Jam amicitiæ officia, quæ et honorabilia, et utilia sunt, quam brevissime percurramus. In his primum est, amicorum delectus : alterum, tractatio, et optima tractione conservatio amicorum, unde universum amicitiæ bonum exsistit. Ac delectus quidem agendus est, morum similitudine considerata. Dissimilia enim non facile in amicitiam coalescunt, quamvis utraque bona esse videantur. Mores enim tardiores et stabiliores, non conveniunt cum agilioribus et fervidioribus. Deinde videndum, quo pacto prioribus suis amicis usus sit is, cujus amicitiam expetimus. Tertium est, ac potius et primum et medium et ultimum, utrum brutis cupiditatibus pareat, an utcumque in eo ratio dominetur. Huic consequens est, ut adpetitiones spectentur, utrum hæ ad res honestas et probatas bonis viris ferantur, an vero ad jucundas et fœdas, et vili hominum vulgo placitas; præterea, num moderatæ tractabilesque sint adpetitiones eorum et declinationes, rectæque rationi facile pareant; an vehementes et effrenes, et ad id quod ipsis solis placet arripiendum semper incitatæ? Tales enim, omnia suo arbitratu cogere nitentes, non sunt idonei ad amicitiæ conjunctionem. Atque ea etiam ingenia, quæ summum bonum in rebus externis collocant, ut in opibus, aut corporibus, aut civili auctoritate et gloria, ne ipsa quidem apta sunt ad amicitiam. Nam cum hæ res dividi possint, qui ea vehementius adpetit, plus capit, et minus relinquit utique, ut amicus paria non obtineat. Ac in pecunia et corporibus id quidem clarum est. Sed et gloriolæ captator, unus scilicet vult florere gloria. Animi vero bona, quæ indivisa ii habent penes quos sunt, ut virtutes, ut scientiæ, si alter eorum sit particeps, in altero idcirco non minuuntur, sed augentur etiam. Simul enim excitantur et inflammantur hæc in animis eruditorum

των ψυχαῖς, καὶ μεταδιδόμενα πολλαπλασιάζεται, καί, ὥσπερ ἀπὸ πυρείων παρατριβομένων, ἓν ἐκλάμπει τὸ τῆς ἀληθείας καὶ εὐζωίας φῶς. Ἔτι δὲ οἱ μὲν πρὸς τὸ ἀληθῶς ἀγαθὸν ἀποτεινόμενοι φίλοι, καὶ πρὸς τὸν ὀρθὸν λόγον ἑαυτοὺς ἀποτείνοντες, ἑνὶ κανόνι χρῶνται διακριτικῷ τοῦ συμφέροντος· κοινὸν γὰρ ἐπ' ἀμφοῖν τὸ ἀγαθόν, καὶ ὁ ὀρθὸς λόγος εἷς. Κοινοῦ δὲ ὄντος ἐν ταῖς τῶν φίλων ψυχαῖς κανόνος, τοῦ διακρίνοντος τά τε ὠφέλιμα καὶ τὰ βλαβερά, καὶ τὰ ἡδέα καὶ τὰ λυπηρά, ἑνοῦσθαι πρὸς ἀλλήλους αὐτοὺς ἀνάγκη, καὶ πᾶσαν διάστασιν καὶ ταραχὴν ἐκποδὼν γίνεσθαι. Ἐὰν δὲ μὴ χρῶνται κανόνι ἄμφω κοινῷ τῷ ὀρθῷ λόγῳ, διασπᾶσθαι ἀνάγκη.

Καὶ ἡ μὲν ἐκλογὴ τῶν φίλων τοιαύτη. Ἡ δὲ χρῆσις αὐτῶν, καὶ ἡ φυλακή, ἑνὶ λόγῳ, τὸ ὀρθὸν ἕξει διὰ τοῦ τοῖς φίλοις ἡμῶν οὕτω κεχρῆσθαι, ὡς ἡμῖν ἐκείνους χρῆσθαι βουλόμεθα· καὶ τὰ μὲν ἀφ' ἡμῶν εἰς αὐτοὺς γινόμενα ἀγαθὰ κατασμικρύνειν ἀεὶ ταῖς ἐννοίαις, τὰ δὲ ἀπ' ἐκείνων εἰς ἡμᾶς μείζονα ἡγεῖσθαι. Τὸ δὲ ἐναντίον ἐπὶ τῶν παροραμάτων· τὰ μὲν ἐκείνων κατασμικρύνειν· ἐπὶ δὲ τοῖς ἡμετέροις, ὡς ἐπὶ μείζοσι, μεταγινώσκειν. Ἴδιον δὲ μηδὲν ἔχειν ὑπολαμβάνειν, ὃ μὴ καὶ μᾶλλον ἡμῶν τοῖς φίλοις προσήκει· πρωτείων τε παραχωρεῖν ἡδέως ὡς ἑαυτῷ παραχωροῦντα, εἴπερ ὁ φίλος ἄλλος ἐγὼ κατὰ τὸν παλαιόν ἐστι λόγον. Ἐπεὶ δὲ καὶ ἀνθρώπους ὄντας ἀνάγκη ποτέ τι ἁμαρτεῖν εἰς ἀλλήλους, χρὴ τὴν ἔνστασιν φυλάττοντα τῆς φιλίας πάσῃ δυνάμει, οὕτω τὸ παροραθὲν ἐπανορθοῦν μετὰ πρᾳότητος, πειθόμενον τῷ χρυσῷ ὄντως ἐκείνῳ παραγγέλματι·

Μὴ δ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρᾶς,
ὄφρα δύνῃ·

καὶ τὴν συγγνώμην πιστὴν καὶ ἔργῳ καὶ λόγῳ προσφέρειν αὐτῷ· ἵνα μὴ τὸ τῆς ἁμαρτίας συνειδὸς ὕποπτον ποιήσῃ τοῦ λοιποῦ τὴν φιλίαν τῷ ἁμαρτόντι, μὴ πιστεύοντι τὸν ἁμαρτηθέντα τὴν αὐτὴν φυλάττειν προαίρεσιν. Δῆλον δέ, ὅτι οὐ μόνον τῷ φίλῳ χρή, ἀλλὰ καὶ τοῖς τοῦ φίλου, τὰς συμπαθεῖς ἐπιμελείας ἀποδιδόναι· ὥστε καὶ ἐκείνους μηδὲν ἔλαττον οἰκείως ἔχειν πρὸς αὐτὸν νομίζειν ἢ πρὸς τὸν ἑαυτῶν. Ἀπόντος τε οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, ἐπιμελεῖσθαι προσήκει· ὅπερ ἐγὼ σύνοιδά τινι τῶν ἐμῶν φίλων. Ἵνα δὲ συντέμω τὸν λόγον, τῆς ἐκλογῆς ὀρθῶς γινομένης, καὶ ἀρχῆς ἀγαθῆς καταβαλλομένης, αὐτὴ λοιπὸν ἡ μετὰ λόγου συμπάθεια πρὸς τὴν χρῆσιν ἄγει τὴν δέουσαν, καὶ τὰ φιλικὰ καθήκοντα ῥᾳδίως διδάσκει· καὶ γὰρ αὐτοφυῶς λοιπόν, ὡς αὐτῷ, τῷ φίλῳ χρώμενος, ὁ φίλος πάντα ποιήσει τὰ δέοντα.

Οἷον δὲ κτῆμα, καὶ πόσων ἀγαθῶν αἴτιον ἡ φιλία, μακροῦ μὲν ἂν εἴη λόγου διεξελθεῖν· λεγέσθω δὲ ὅμως ὀλίγα τὰ νῦν ἐπιόντα. Πρῶτον μὲν οὖν, ἑκάτερος τῶν φίλων δύο μὲν ἕξει ψυχάς, δύο δὲ σώματα. Δῆλον δέ, ὅτι καὶ τὰ ἐκτὸς κοινά. Εἰ δὲ πλείονές εἰσιν οἱ τοιοῦτοι

et bonorum virorum, et aliis communicata multiplicantur, et velut silicis et chalybis attritu lux una veritatis et honestæ vitæ inde emicat. Præterea amici in verum bonum intenti, et ad rectæ rationis normam res suas dirigentes, una regula utuntur dijudicandæ utilitatis : nam utriusque et bonum commune est, et una recta ratio. Cum igitur in amicorum animis regula sit communis, quæ utilia et noxia dijudicet, itemque jucunda et molesta; conjungi eos inter sese est necesse, omnemque dissensionem et tumultum tolli e medio. Sin una communi regula rectæ rationis non usi ambo fuerint, divelli eos est necesse.

Ac delectus quidem amicorum est talis. Tractatio autem et conservatio, uno verbo ut dicam, id quod rectum est, tenebit, si sic utamur amicis, ut eos uti nobis volumus. Ac beneficia quidem, quæ a nobis in illos proficiscuntur, extenuanda semper sunt cogitatione nostra : contraque amplificanda, quæ in nos illi contulerint. In delictis autem contrarium faciendum; illorumque extenuanda sunt; nostra ut majora improbanda. Proprium vero nihi existimandum est, quin idem magis etiam ad amicos nostros pertineat : et principatu libenter illis est cedendum, quasi nobis ipsis cederemus; siquidem amicus, veteri proverbio, alter ipse est. Quia vero fieri non potest, quin homines aliquando delinquamus, et alii alios offendamus; amicitiæ institutum totis viribus est tuendum, delictumque leniter castigandum, ut vere aureo illi præcepto pareatur,

Crimen ob exiguum tibi amicus ne fuat hostis,

et reditus in gratiam firmus et fidelis tam verbis quam re ipsa declarandus; ne peccati conscientia ei, qui peccavit, de reliquo suspectam faciat amicitiam, non credenti eum qui offensus sit, eamdem retinere voluntatem. Illud vero etiam perspicuum est, non amico tantum, sed et ejus necessariis benevolentiam et officia præstanda esse, ut illos non minus nobiscum, quam cum ipso, conjunctos esse putemus. Nec absens minus, ac potius magis est curandus, quam præsens : quod mihi de meo quodam amico constat. Ut autem paucis complectar : si verus delectus actus fuerit, et quasi fundamenta amicitiæ rite fuerint jacta; jam ipse ille cordatus amor eam ad convenientem usum perducit, et amicitiæ officia facile perdocet. Ultro enim dehinc amicus sic amicum tractans, ut se ipsum, omni fungetur officio.

Quantum vero in amicitia insit boni, et quot ea bonorum sit caussa, prolixam id quidem desiderat commemorationem, sed tamen pauca dicantur quæ in promtu sunt. Ac primum, uterque amicus duos habebit animos, totidemque corpora : nec dubium, quin externa etiam quæ dicuntur

φίλοι, πολλαπλάσιος ἕκαστος αὐτῶν ἐστι καὶ ψυχαῖς καὶ σώμασι καὶ τοῖς ἐκτός. Ἔν τε οὖν τῇ τῶν ὄντων ζητήσει, μέγα φῶς ἀληθείας ταῖς οὕτως ἡνωμέναις ψυχαῖς ἀναφαίνεται· καὶ ἐν τῇ τῆς ἀρετῆς ἀσκήσει ἀπὸ τῶν ἑκάστου πλεονεκτημάτων, εἰς τὸ κοινὸν ἀγομένων, καὶ συγγυμναζομένων, μία τις ὁλοτελὴς ἀρετὴ κοινῶς τε ἅπασι καὶ ἰδίᾳ ἑκάστῳ παραγίνεται ῥᾳδίως, καὶ ὑπὸ τῶν κρειττόνων ἐλλαμπομένη διὰ τὴν τελειότητα. Βουλαί τε ἀσφαλεῖς ἐν τοῖς πλείοσι τοῖς τοιούτοις, καὶ πράξεις ἄπταιστοι, φρονήσει τε ἅμα καὶ δυνάμει πλουσιώτεραι πραττόμεναι. Ἀποδημῶν δὲ τῶν οἰκείων ὁ φίλος, πάρεστιν αὐτοῖς διὰ τοῦ φίλου παρόντος· καὶ οὐ ζῶν μόνον, ἀλλὰ καὶ ἀποθνήσκων θαῤῥεῖ, ὡς συνδιάγων αὐτοῖς. Ἡδὺ δὲ ὅπως ἐστὶ τὸ χρῆμα. Τί γὰρ ἂν εἴη ἡδύτερον φίλου καὶ ὄψεως καὶ ἀκοῆς, καὶ τῶν ὑπ' αὐτοῦ πραττομένων; πίστις δὲ καὶ θάῤῥος, οὔτε ἐπὶ συγγενείᾳ βεβαίως οὕτω γένοιτ' [ἂν], οὔτε ἐπὶ δυναστείᾳ, ἢ πλήθει χρημάτων, ὡς ἐπὶ φίλοις γνησίοις. Λέγεται γοῦν, ὅτι Ἀλέξανδρος ἐρωτηθεὶς, ποῦ τοὺς θησαυροὺς ἔχει, τοὺς φίλους ὑπέδειξε. Καὶ παιδαγωγὸς δὲ ἄριστος ὁ φίλος. Ὑπ' οὐδενὸς γὰρ οὕτως ἀβαρῶς ἐλέγχεταί τις πλημμελήσας, ὡς ὑπὸ φίλου· οὔτε αἰδούμεθά τινα ἄλλον οὕτως ἐφ' οἷς παραβαίνομέν τι τῶν καλῶς ἐχόντων, ὡς τὸν φίλον. Καὶ τὰς εὐημερίας δὲ καὶ εὐφροσύνας αὔξει παρὼν ὁ φίλος· καὶ τὰς λύπας καὶ φροντίδας οὐδεὶς οὕτως ἐπικουφίζει καὶ παραμυθεῖται, ὡς ὁ φίλος. Καὶ γυμνάσιον δὲ πρὸς τὴν ἀρίστην χρῆσιν τῶν ἀνθρώπων ἐστὶν ἀσφαλές. Καὶ γὰρ πρωτείων τις ἡδέως παραχωρεῖ τῷ φίλῳ, καὶ πλημμελοῦντός τις ἀβαρῶς ἀνέχεται, καὶ τὰ δοκοῦντα ἀπλάστως τις καὶ ἀληθῶς λέγει πρὸς φίλον. Ἀμείβεσθαί τε τὰς εὐεργεσίας καὶ εὐνοίας σπουδάζει προθύμως· καὶ τὸ φιλάνθρωπον δὲ καὶ ἀγαθοειδὲς τῆς ψυχῆς πρὸς οὐδένα οὕτως, ὡς πρὸς φίλον, μετ' εὐφροσύνης ἐκτείνεται. Σύμμαχός τε ἀπροφάσιστος, καὶ ἄχρι θανάτου, οὐδενὶ ἂν γένοιτο τοιοῦτός τις, οἷος τῷ φίλῳ. Καὶ εἰ δυνατὸν ἦν στρατόπεδον ἀπὸ φίλων συνεστάναι, πολλῷ ἂν ἐλάττονες ὄντες οὗτοι, πλείονας ἀντιπάλους ῥᾳδίως κατηγωνίζοντο. Πρὸς τοὺς φίλους οὖν εὐφόρως ἐν τούτοις ἀσκούμενός τις καὶ συνεθιζόμενος ἀπόνως διὰ τὴν φιλικὴν συμπάθειαν, εὐκόλως ἂν αὐτοῖς χρήσαιτο, καιροῦ καλοῦντος, καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους, κατὰ τὸ αὐτῷ προσῆκον. Ἐπιστῆσαι δὲ ἄξιον, ὅτι καὶ ταῖς φυσικαῖς σχέσεσι τὸ ἀσπαστὸν καὶ συμπαθὲς, καὶ μετὰ προθυμίας τῶν καθηκόντων ἀποδοτικὸν, ἡ φιλία παρέχεται. Καὶ γὰρ καὶ ἀδελφοὶ, (καὶ γυνὴ,) καὶ τέκνα, καὶ ἀνὴρ, καὶ γαμετὴ, ἐὰν μὴ φίλοι ὦσιν ἀλλήλων, κἂν πείθωνται τῷ Ἐπικτήτῳ, καὶ τῇ φυσικῇ σχέσει τὸ καθῆκον ἀποδιδῶσιν, ἀλλ' οὐ προθύμως, οὐδὲ μετ' εὐφροσύνης, οὐδὲ τὸ ὅλον ἑκουσίως, ἀλλ' ἀμηγέπη καὶ ὡς ἀναγκαζόμενοι ποιοῦσι· λειτουργίαν τινὰ ἐπιχειμένην νομίζοντες ἐκτελεῖν, ἀλλ' οὐχ ἐπιγήθοντες τοῖς γινομένοις, οὐδ' ὡς προηγούμενα αὐτὰ ἀγαθὰ ἀγαπῶντες, ἀλλ' ὡς ἀναγκαίως χρώμενοι, πρὸς τὴν τοῦ καθήκοντος ἀποπλήρω-

bona, sint communia. Quod si plures tales amici fuerint, unusquisque multis augetur et animis et corporibus et fortunis. Igitur et in rerum naturæ inquisitione magna lux veritatis ita conjunctis animis illucescit: et in virtutis usu, si, quæ in singulis excellunt, ea in commune conferantur et conjunctim exerceantur, una quædam integra et perfecta virtus cum publice omnibus, tum separatim singulis, facile contingit; quæ etiam a superis illustretur ob perfectionem. Eruntque consilia, a pluribus talibus inita, tutiora, et incepta certiorem successum habebunt, prudentiæ simul et virium cumulo accedente. Jam peregre profectus amicus suis per amicum præsentem adest: nec vivens tantum, sed et moriens bono animo erit, quasi apud illos manens. Quanta vero in hac re suavitas inest! Quid enim jucundius amici conspectu, sermone, actionibus? Fides vero, atque fiducia, nec ob cognationem tanta esse potest, nec ob principatum, nec ob pecuniæ magnitudinem, quanta propter sinceros amicos. Alexander certe, interrogatus ubi thesauros suos haberet, amicos suos fertur monstrasse. Est vero et pædagogus optimus amicus. Nam a nemine quisquam ob delictum minore cum offensa, quam ab amico, arguitur: neque veremur quenquam sic, neglecto officio aliquo, ut amicum. Res lætas et secundas auget amici præsentia; curas et sollicitudines nemo æque, ac amicus, levat et consolatur. Est vero etiam ad optimum hominum usum certissima exercitatio, amicitia. Nam et princeps locus amico libenter conceditur, et ejus delictis facile ignoscitur; et, quæ sentias, citra fucum et vere amico dixeris. Tum pro acceptis beneficiis et benevolentia gratiam alacriter animo referre studeas: nec humanitas et bonitas erga quemquam pari hilaritate, atque adversus amicum exercetur. Nec periculi socius æque promtus, vel cum periculo capitis, atque amicus, reperietur. Quod si exercitum ex amicis conscribere liceret; multo pauciores hi facile plures hostes profligarent. Si quis ergo se erga amicos hisce rebus solerter exercuerit, et ob amicitiæ caritatem citra molestiam consuefecerit; facile, cum tempus postularit, iisdem rebus adversus alios etiam homines utetur, pro officii sui ratione. Est vero et illud animadversione dignum, amicitiam naturalibus etiam relationibus addere hilaritatem, caritatem, et præstandi officii alacritatem. Nam et fratres, et liberi, et maritus, et uxor, nisi amici inter sese fuerint, quamvis, Epicteto obtemperantes, naturali relationi tribuerint quod convenit, tamen id nec alacriter, nec hilariter, nec ultro denique, sed veluti coacti facient, tamquam necessarium aliquod et urgens munus obituri; non autem lætantes suis factis, nec eas res ut præcipua bona amplexi, sed ideo adgressi, ne officio suo defuisse videantur. Ut

σιν. Αἴτιον δὲ τοῦ τοσαύτην δύναμιν ἔχειν τὴν σχέσιν τὴν φιλικὴν, τὸ κατὰ προαίρεσιν αὐτὴν ἐπιτελεῖσθαι. Τὰ μὲν γὰρ προαιρέσεως ἐστερημένα, διὰ τῆς φυσικῆς συνδέδεται σχέσεως· τὰ δὲ προαιρετικὰ, μείζονα τῆς φυσικῆς συνδέσεως τὴν προαιρετικὴν ἔχει, ὅτι καὶ τῆς ψυχικῆς οὐσίας ἡ λογικὴ καὶ προαιρετικὴ ὑπερτέρα ἐστὶ, καὶ μᾶλλον τῷ ἑνὶ τῷ πάντα ἑνίζοντι πλησιάζουσα.

Καὶ ἔστι μὲν μεγάλα καὶ θαυμαστὰ φιλίας ἀγαθὰ καὶ τὰ εἰρημένα, πλὴν ἀνθρώπινα τά γε πλεῖστα αὐτῶν· τὸ δὲ μέγιστον καὶ μάλιστα θεῖον αὐτῆς χρῆμα ἀγνοεῖται· ὅτι ἡ καθαρὰ φιλία, τὰς φίλας ψυχὰς εἰς ἕνωσιν συνάγουσα, μελέτη καλλίστη γίνεται τῆς πρὸς θεὸν ἑνώσεως. Καὶ γὰρ ἀδύνατον, [πρὸ] τῆς πρὸς τὰς ὁμοφύλους ψυχὰς, κρείττονος ἑνώσεως τυχεῖν. Καὶ καλῶς οἱ Πυθαγόρειοι περισσῶς τῶν ἄλλων ἀρετῶν τὴν φιλίαν ἐτίμων, καὶ σύνδεσμον αὐτὴν πασῶν τῶν ἀρετῶν ἔλεγον. Καὶ μιᾶς γὰρ ἡστινοσοῦν τῶν ἀρετῶν ἀπολειπομένης, οὐκ ἐθέλει παραγίνεσθαι φιλία. Τίς γὰρ ἄδικος, ἢ ἀκόλαστος, ἢ δειλὸς; ἢ ἔτι μᾶλλον ἀνόητος, δύναται τὸ τῆς φιλίας ἀγαθὸν ὑποδέχεσθαι; Χρὴ οὖν τὸν βουλόμενον εἶναι φίλον, καθαίρειν ἑαυτὸν, ὅση δύναμις, ἀπὸ τῶν ἀλόγων τῆς ψυχῆς παθῶν, καὶ τότε τὸν ὅμοιον ζητεῖν, καὶ εὑρόντα περιπτύσσεσθαι, τὸ ἥμισυ τὸ ἑαυτοῦ εὑρηκέναι νομίζοντα, κατὰ τὸν Ἀριστοφάνους μῦθον. Ἀλλὰ ταῦτα μὲν τῇ περὶ τὴν φιλίαν ἐπιθυμίᾳ κεχαρίσθω, τῇ κἂν ἐν λόγοις αὐτὴν ἐφιεμένῃ ὁρᾷν, διὰ τὴν παντελῆ σχεδὸν αὐτῆς ἀπὸ τῶν καθ' ἡμᾶς ἀνθρώπων ἀναχώρησιν.

Ἐπανιτέον δὲ ὅθεν ἐξέβημεν, καὶ τὰς λοιπὰς προσθετέον σχέσεις, ὧν ἐμνημόνευσεν ὁ Ἐπίκτητος. Εἰπὼν γὰρ δεῖν ἀπὸ τῆς διαφορᾶς τῶν σχέσεων τὴν διαφορὰν τῶν καθηκόντων εὑρίσκειν· Οὕτω, φησὶ, καὶ ἀπὸ τῆς τοῦ πολίτου σχέσεως τὸ περὶ αὐτὸν καθῆκον ληπτέον. Συγγένεια δέ τις ἐστὶ καὶ αὕτη. Εἰ γὰρ κοινὴ μήτηρ ἡ πόλις, μητρὶς οὖσα καὶ πατρίς· δῆλον, ὅτι κατὰ τοῦτο ἀδελφοί πως εἰσὶν οἱ πολῖται. Καὶ κατὰ τὸ προφανὲς δὲ τοῦτο, κἂν πόρρωθεν, ἀλλ' οὖν πᾶσι σχεδὸν τοῖς γνησίοις πολίταις, καὶ μὴ μετοίκοις, εὑρίσκεταί τις πρὸς ἀλλήλους συγγένεια. Ἀρκεῖ δὲ καὶ τὸ κατὰ τὴν φύσιν συγγενές. Πολλὴν γὰρ ἔχουσι κατὰ τὰς φύσεις ὁμοιότητα, οὐ μόνον οἱ τῶν αὐτῶν πόλεων, ἀλλὰ καὶ οἱ τῶν αὐτῶν ἐθνῶν. Ὡς συγγενέσιν οὖν τοῖς πολίταις προσενεκτέον, τῆς τε τῶν ἠθῶν εὐαγωγίας αὐτῶν κατὰ τὸ δυνατὸν ἐπιμελόμενον, ἵνα ἅμα περιγένηται καὶ τὸ ἀγαθοῖς συνοικεῖν ἀνθρώποις, καὶ τοῦ ἀνενδεοῦς ἐν τοῖς ἀναγκαίοις, καὶ τῆς ἐν ταῖς περιστάσεσιν ἐπικουρίας· τοῖς τε ὀρφανοῖς παισὶ καὶ ταῖς χηρευούσαις γυναιξὶ πατέρα φαίνεσθαι. Δύναται γὰρ ὁ μὲν διὰ χρημάτων, ὁ δὲ διὰ πολιτικῆς δυνάμεως αὐτοῦ ἢ φίλων, οἱ δὲ διὰ συμβουλῆς ἀγαθῆς, οἱ δὲ διὰ σωματικῆς ὑπουργίας, ὁ δὲ κἂν μηδὲν γοῦν ἄλλο, διὰ συμπαθείας γοῦν τὸν πολίτην παραμυθεῖσθαι.

Ὁ δὲ γείτων, ἐὰν καὶ πολίτης ᾖ, ἔχει τι πλέον πρὸς οἰκειότητα· ὥσπερ γὰρ πόλιν τὴν αὐτὴν καὶ γένος, οὐ

autem amicitiæ relatio tantam vim habeat, illud in caussa est, quod consilio et voluntate suscepta est. Nam quæ a voluntate non pendent, ea naturali relatione sunt devincta: quæ vero consilio et voluntate suscepta, ea ob id ipsum arctiore vinculo adstricta sunt, quod rationis et voluntatis facultas animali natura superior est, et ad Unum illud, quod om ia unit, propius accedit.

Etsi autem magna sunt et admirabilia bona hæc amicitiæ, quæ exposuimus; pleraque tamen humana sunt. Quod vero in ea maximum est, maximeque divinum, ignoratur; quod sincera amicitia, mentes amicorum in unum contrahens, optima meditatio est conjunctionis cum Deo. Neque enim fieri potest, ut ad geniorum et Dei conjunctionem perveniatur, nisi ea quæ est inter cognatos animos antecesserit. Recte igitur Pythagorei præ aliis virtutibus amicitiam coluerunt, eamque vinculum omnium virtutum esse pronuntiarunt. Nam si vel una quævis abfuerit virtus, adesse recusat amicitia. Quis enim injustus, aut intemperans, aut ignavus, aut magis etiam vecors, boni quod est in amicitia capax esse queat? Debet igitur, qui amicus esse vult, semet ipsum repurgare, quantum fieri potest, a brutis adfectibus, ac tum sui simile quærere; eumque inventum amplecti, quasi dimidio sui reperto, secundum Aristophanis fabulam. Atque hæc quidem amicitiæ desiderio tributa sint, quam vel in præceptis cernere optabile est, propemodum penitus e vita mortalium nostra ætate profligatam.

Sed eo redeundum est, unde discessimus, et reliquæ *relationes* persequendæ, quarum meminit Epictetus. Cum enim ex relationum discrimine officiorum discrimen reperiendum esse dixisset: *Sic*, inquit, *et a relatione civis officium* erga illum *est reperiendum*. Est autem quædam ea quoque cognatio. Nam si communis mater est civitas, et patrem simul ac matrem repræsentat, ex quo et Patria nominata est; ea ratione quasi fratres quosdam esse cives constat. Est et illud in promtu, inter omnes germanos cives (de inquilinis enim non loquor), etsi longinquam, aliquam tamen cognationem intercedere. Sed sufficit etiam illa naturæ et ingenii cognatio, quæ inter cives deprehenditur. Magna est enim ingeniorum similitudo non in iisdem modo civitatibus, sed etiam nationibus iisdem. *Cives* igitur sic tractandi sunt, ut cognati: et cum morum rectæ institutionis apud eos, pro virili, cura habenda; (quo et is fructus capiatur, ut apud bonos viros habites;) tum ne rerum necessariarum inopia laborent, utque difficilibus in temporibus eis succurras: denique pupillis atque viduis parentis loco esse debes. Potest enim alius pecunia, alius pro auctoritate magistratus, alius per amicos, alius bono consilio, alius opera corporis, alius denique, ut cætera deficiant omnia, animi saltem propensione et commiseratione, civi suo subvenire.

Civis autem, si simul *vicinus* fuerit, aliquanto arctiore devincitur necessitudinis vinculo. Ut enim urbem eamdem,

μάτην οὐδὲ ἐκ ταὐτομάτου τυγχάνομεν ἔχοντες, οὕτω καὶ τόπον τὸν αὐτὸν τῆς πόλεως κατά τινα κοινὴν ἀξίαν κληρούμεθα. Πλείονα γοῦν οἰκειότητα χρὴ πρὸς τοὺς γείτονας τῶν πολιτῶν ἐπιδείκνυσθαι, τά τε ἐπὶ τῶν πολιτῶν εἰρημένα μετά τινος ἐπιτάσεως καὶ ἐπὶ τῶν γειτόνων φυλάττοντα, καὶ μεταδιδόντα ὧν δυνατόν ἐστι, καὶ μεταλαμβάνοντα, καὶ τοῖς τε ἀγαθοῖς αὐτῶν συνηδόμενον, καὶ ἐν τοῖς λυπηροῖς συστυγνάζοντα· νοσούντων τε, ὡς οἰκείων, ἐπιμελεῖσθαι· καὶ ἐν ταῖς πρὸς ἄλλους αὐτῶν ὁμιλίαις δῆλον εἶναι πᾶσι, τῷ γείτονι τὰ δίκαια προϊσχομένῳ κατὰ τὸ δυνατὸν βοηθήσαντα· καὶ, ἁπλῶς εἰπεῖν, αἰσχύνης νομίζειν ἄξιον, τὸ ἐν οἷς ὁ γείτων δεῖται, δυνατοῖς ἡμῖν, ἐν τούτοις παρ' ἄλλων αὐτὸν ὠφελεῖσθαι.

Ἔστι δέ τις σχέσις καὶ πρὸς τοὺς ξένους τοὺς ἐπιδημοῦντας ἡμῖν, ὑπὸ τοῦ τοὺς ξένους ἐφορῶντος θεοῦ συνδεομένη. Χρὴ οὖν καὶ τούτοις τὸ καθῆκον ἀποδιδόναι, διά τε τὸν ἐφορῶντα αὐτοὺς θεὸν, καὶ διὰ τὴν αὔξησιν τῆς ἐν ἡμῖν φιλανθρωπίας, ὀφειλούσης μὴ μόνῃ συνάπτεσθαι τῇ οἰκειότητι, ἀλλὰ καὶ ἐπὶ τὸ γένος ὅλον τὸ τῶν ἀνθρώπων ἐκτείνεσθαι· ἔτι μέντοι, ἵνα καὶ ἡμεῖς μετὰ παῤῥησίας ἱκετεύωμεν, ἡμῖν συλλαμβάνεσθαι τὸν τοὺς ξένους ἐφορῶντα θεὸν, καὶ κατὰ τὴν θείαν δίκην καὶ ἡμεῖς τυγχάνωμεν τούτων· ὧν ἡμεῖς τοῖς ξένοις μεταδεδώκαμεν. Χρὴ γὰρ ἐννοεῖν, ὅτι καὶ τῷ θεῷ δανείζει τις τὰς ἀγαθὰς προαιρέσεις καὶ πράξεις, καὶ μετὰ τόκων μεγάλων, εὐγνωμονέστερον ἀνθρώπων, αὐτὸς ἀποδίδωσι. Καθήκει δὲ μηδαμῶς τὸν ξένον ἀδικεῖν, ἀλλὰ καὶ ὑπ' ἄλλων ἀδικουμένῳ κατὰ τὸ δυνατὸν βοηθεῖν. Ἔρημον γὰρ ὄντα ἐπικουρίας ἀνθρωπίνης ὁ τοὺς ξένους ἐφορῶν θεὸς ἐλεεῖ μᾶλλον, καὶ μᾶλλον ἐκδικεῖ. Χρὴ δὲ καὶ πρὸς τὴν χρείαν, ἧς ἕνεκεν ἀφῖκται, συλλαμβάνειν αὐτῷ τὸν δυνάμενον, καὶ ἐπιτηδείων δεομένῳ κατὰ δύναμιν παρασχεῖν· κἂν νοσήσῃ ξένος, ἐφ' ὅσον οἷόν τε, βοηθεῖν, καὶ πρὸς τὴν οἴκαδε ἐπάνοδον συμπράττειν κατὰ τὸ δυνατόν.

Χρὴ δὲ, φησὶν, καὶ ἀπὸ τῆς πρὸς τὸν στρατηγὸν σχέσεως τὸ περὶ τὸν στρατηγὸν καθῆκον εὑρίσκειν τὸν στρατιώτην. Καθήκει δὲ καὶ ἐπιτάττοντι ταχέως ὑπακούειν διὰ τὴν ὀξύτητα τῶν ἐν τοῖς πολέμοις καιρῶν, καὶ ἀνδρικῶς ἀγωνίζεσθαι τῷ στρατηγῷ πειθόμενον, ὡς ἐπ' αὐτῷ οὔσης τῆς τοῦ πολέμου τύχης. Καὶ προκινδυνεύειν δὲ καθήκει τοῦ στρατηγοῦ τὸν στρατιώτην· διότι ἑνὸς μὲν στρατιώτου πεσόντος, οὐδὲν μέγα τὸ μέρος ἐκεῖνο κατὰ τὸν πόλεμον βλάπτεται· στρατηγοῦ δὲ πεσόντος, κἂν νικῶντες τύχωσιν οἱ ὑπ' αὐτὸν στρατιῶται, καὶ τοῖς φρονήμασιν εὐθὺς καταπίπτουσιν, καὶ ὡς πρόβατα ποιμένος στερηθέντα λύκων ἐπερχομένων ἄλλος ἀλλαχοῦ πρὸς φυγὴν διασπείρονται· ὥστε οὐ μόνον τὸ στρατόπεδον, ἀλλὰ καὶ ἡ πατρὶς κινδυνεύει στρατηγοῦ κατὰ τὸν πόλεμον πίπτοντος. Δηλοῖ δὲ τὰ ἐπὶ τῷ θανάτῳ Κύρου συμβάντα, ἅπερ Ξενοφῶν ἐν τῇ Ἀναβάσει ἱστόρησεν.

Δῆλον δὲ, ὅτι καὶ πρὸς τοὺς ἐν ταῖς πόλεσιν ἄρχον-

et familiam eamdem, non temere neque fortuito consequimur : sic etiam eumdem urbis locum communi quadam ratione sortimur. Major igitur benevolentia et familiaritas vicino debetur quam civi : quæque de cive dicta sunt, uberius et cumulatius in vicino servanda, eique et communicanda et accepta referenda quæ possunt omnia : rebus vicinorum secundis gratulandum; adversis ingemiscendum; ægrotantes, tanquam familiares, curandi : in negotiis eorum cum aliis palam ostendendum, nos vicini caussam, justa si fuerit, pro virili defensuros : denique turpe habendum et erubescendum est, vicinum ea in re ab aliis adjutum fuisse, qua adjuvari a nobis potuisset.

Est vero etiam relatio quædam adversus peregrinos, qui ad nos veniunt, ab hospitum curatore Deo conciliata. Est igitur et his officium tribuendum, cum ob curatorem eorum Deum, tum propter incrementum humanitatis nostræ, quæ non solius necessitudinis et cognationis rationem habere, sed ad universum hominum genus porrigi debet : tum vero, ut et nos cum fiducia supplicare possimus Hospitali Deo, divinaque providentia et ipsi ea consequamur, quæ hospitibus tribuimus. Tenendum est enim, quemque suam rectam voluntatem et bonas actiones mutuare Deo; easdemque magna cum usura, et majore cum gratia quam homines solent, ab eo rependi. Nullo autem modo violandus est hospes : sed et, si ab aliis violetur, summa vi defendendus. Eum enim ope humana destitutum, curator hospitum Deus magis et miseratur et ulciscitur. Est et in eo negotio, cujus conficiendi caussa venit, adjuvandus ab eo qui potest; et victus egenti præbendus pro facultatibus : et in morbo juvandus est hospes, quantum licet; et quo tutus ad suos redeat, quoad possis, providendum.

Atque etiam militis officium, inquit, *ex relatione erga imperatorem* est reperiendum. Convenit autem et jubenti statim parere, ob subitas bellicæ rei conversiones : et fortiter pugnare cum jusserit imperator, quasi in ipso posita sit victoria exercitus : et pro ejus salute discrimen capitis adire; quod uno milite cæso parum in bello ei parti, cujus est miles, nocetur; duce autem interfecto, vel victores ejus milites statim et animis concidunt, et non secus atque oves pastore carentes, lupis invadentibus alii alio diffugiunt, ut non castra tantum, sed ipsa etiam patria duce in bello cæso periclitetur. Idque declarant ea quæ Cyri mortem, ut a Xenophonte scribitur in libro de expeditione principis illius, consecuta sunt.

Denique etiam populi cum principibus civitatis quamdam

τὰς ἐστί τις τῶν ἀρχομένων σχέσις, καὶ καθήκοντα τὰ πρέποντα τῇ σχέσει. Πρέπει δὲ τοῖς ὄντως ἄρχουσι πάντα πείθεσθαι τοὺς ἀρχομένους, καὶ ὑπακούειν προθύμως, καὶ τιμᾷν ὡς μετὰ θεὸν εὐεργέτας. Οἱ γὰρ ἀληθῶς ἄρχοντες ἀπὸ τῆς ψυχῆς ἄρχονται, καὶ διὰ πάντων τῶν τοῦ ἀνθρώπου χωροῦσιν ἐπιμελόμενοι. Καὶ, ὅπερ ὁ Ἱπποκράτης ἐπὶ τῶν ἰατρῶν εἶπεν, τοῦτο καὶ ἐπὶ τῶν ἀρχόντων ἰδεῖν ἐστι δαψιλέστερον· ἐπ' ἀλλοτρίαις γὰρ ξυμφοραῖς ἰδίας καρποῦνται λύπας μὲν οὐ πάντως, εἴπερ πείθοιντο Ἐπικτήτῳ, φροντίδας δὲ, καὶ πόνους, καὶ τῶν οἰκείων καταφρονήσεις, καὶ ἀσχολίας, ἀφελκούσας αὐτοὺς τῆς πρὸς ἑαυτοὺς καὶ τὰ κρείττονα ἐπιμελείας. Χρὴ δὲ μὴ μόνον ὑπουργεῖν, ἀλλὰ καὶ συνεργεῖν τοῖς ἄρχουσι τοὺς δυναμένους, καὶ συγκινδυνεύεσθαι νομίζειν αὐτοῖς τὴν ἀρχήν. Εἰ δὲ ὀνόματι μόνον τύχωσιν ἄρχοντες, τὰ τοῖς ἄρχουσι προσήκοντα μὴ πράττοντες· καὶ οὕτως, ὡς μὲν μοχθηρῶν χρὴ καταγινώσκειν, τὸ δὲ τῇ ἀρχῇ προσῆκον ἀποδιδόναι, πρωτείων παραχωροῦντας, καὶ πειθομένους ἐφ' οἷς κατὰ τὴν ψυχὴν οὐ βλαπτόμεθα. Ἀλλ' ἐπὶ τὰ λοιπὰ κεφάλαια τοῦ Ἐπικτήτου τρεπτέον, μὴ ἐμαυτὸν λάθω προθέμενος μὲν τὰ τοῦ Ἐπικτήτου σαφηνίσαι, περὶ καθηκόντων δὲ βαττολογῶν νῦν.

[**IN CAP. XXXI.**] Παραδοὺς τὰ πρὸς τοὺς ὁμοφύλους, τοῦτ' ἔστι, τὰ πρὸς τοὺς ἀνθρώπους καθήκοντα, μεταβαίνει λοιπὸν ἐπὶ τὰ πρὸς τοὺς κρείττονας ἡμῶν. Δεῖ γὰρ ἀπὸ τῶν προσεχῶν ἀρχόμενον, οὕτως ἐπὶ τὰ ὑπέρτερα ἀναβαίνειν καὶ ἐν τοῖς καθήκουσι. Καὶ ταῦτα δὲ ἀπὸ τῆς σχέσεως εὑρίσκει. Σχέσις μὲν γάρ ἐστιν, ὡς πρὸς αἴτια πρῶτα καὶ ὑπερέχοντα. Δῆλον δὲ, ὅτι τοιαῦτα ὄντα, οὐδὲν αὐτὰ δεῖται παρ' ἡμῶν. Διὸ καὶ τὰ πρὸς αὐτοὺς καθήκοντα ἡμῖν ἐστι τὰ οἰκειοῦντα καὶ ὑποτάττοντα ἡμᾶς αὐτοῖς. Τοῦτο γάρ ἐστι τὸ τὴν σχέσιν καὶ τὴν κατὰ φύσιν σύνταξιν φυλάττειν τὰ αἰτιατὰ πρὸς τὰ πρῶτα καὶ τὰ ἐξῃρημένα αἴτια. Τιμᾷν οὖν αὐτοὺς δεῖ, καὶ σέβεσθαι, καὶ πείθεσθαι τοῖς ὑπ' αὐτῶν γινομένοις, καὶ εἴκειν αὐτοῖς ἑκόντας, καὶ ἀρεσκομένους, ὡς ὑπ' ἀρίστης γνώμης καὶ ἀγαθῆς προνοίας γινομένοις. Ταῦτα δὲ ἡμῖν ὑπάρξει, τῆς τε γνώσεως ἡμῖν ἀληθιζομένης, καὶ τῆς ζωῆς κατὰ φύσιν διατιθεμένης· καὶ τῆς μὲν γνώσεως ὑπολήψεις καὶ δόξας ὀρθὰς περὶ αὐτῶν ἰσχούσης, ὅτι τέ ἐστι πρῶτα τῶν ἄλλων αἴτια, καὶ ὅτι διοικεῖ τὰ παραγόμενα, καὶ προνοεῖ τῶν ὅλων, καὶ ὅτι καλῶς αὐτὰ καὶ δικαίως κατευθύνει· (εἴτε γὰρ μὴ εἶναί τις αὐτὰ νομίζει· εἴτε εἶναι μὲν, μὴ προνοεῖν δέ· εἴτε εἶναι μὲν, καὶ προνοεῖν, μὴ δικαίως δὲ καὶ κατὰ λόγον ὀρθὸν προνοεῖν· οὔτε τιμήσειεν ἂν καὶ σεφθείη, οὔτε τοῖς γινομένοις ὑπ' αὐτῶν ὑπείκει καὶ πείθεται, ὡς ὑπ' ἀρίστης γνώμης γινομένοις·) τῆς δὲ ζωῆς εὐαρέστως πρὸς τὰ γινόμενα διατιθεμένης, ὡς ὑπὸ ἀρίστης γνώμης διοικουμένων τῶν ὅλων, καὶ μήτε μεμφομένης τι, μήτε ἐγκαλούσης τοῖς αἰτίοις. Τοῦτο δὲ οὐκ ἂν σχοίημεν, εἰ μὴ τὸ ἀγαθὸν καὶ κακὸν ἡμῶν ἐν τοῖς ἐφ' ἡμῖν ζητοῦμεν, ἵνα ἐν τούτοις τὰς ὀρέξεις ἔχω-

esse relationem, perspicuum est, et officia illi relationi congruentia. Legitimis autem et germanis principibus parere in omnibus populus debet, et alacriter obtemperare; et venerari eos, ut qui proxime et secundum Deum maxima in rempublicam beneficia conferant. Veri enim principes curationis suæ munus ab animo auspicantur, et omnes hominis partes sua cura complectuntur. Et, quod de medicis dixit Hippocrates, id uberius etiam in eis, qui civitatibus præsunt, videre licet : nam, ob alienos casus, privatis non quidem doloribus adficiuntur, si Epicteto pareant; sed tamen curas et labores subeunt, rem familiarem negligunt, occupationibus detinentur, quibus et a sui et rerum meliorum cura abstrahuntur. Neque vero magistratibus obsequi tantum, sed et operam qui possunt navare debent; atque existimare, in iis niti salutem civitatis. Sin autem verbo tantum principes fuerint, et magistratus officia negligant; improbandi illi quidem erunt, ut sunt improbi; sed quod magistratui convenit, eis præstandum, ut et primas eis deferamus, et his in rebus pareamus, quibus animus non læditur. Sed ad reliqua Epicteti capita convertatur oratio, oportet, ne cum præceptorum ejus declarationem mihi proposuerim, imprudens de officiorum ratione verbosius garriam.

[IN XXXI.] Expositis officiis adversus nostri similes, hoc est homines; nunc ad præstantiores nobis transit. Est enim a proximis inchoandum, et sic ad superiora, in officiis etiam, adscendendum. Enimvero hæc quoque ex relatione reperit, quæ nobis est cum illis, tamquam primis caussis et excellentibus. Cum autem tales sint, obscurum non est, nihil eos nostris rebus indigere. Quare officia nostra adversus illos eo spectant, ut nos illis conciliemus atque subjiciamus. In hoc enim inest conservatio relationis et naturalis ordinis, qui rebus creatis intercedit cum primis et eximiis caussis. Honorandi sunt igitur, et pie colendi, et his quæ ab eis administrantur *obsequendum*, libenterque illis *cedendum*, et in iis adquiescendum, *ut quæ* et *optimo consilio*, et summa providentia *administrentur*. Ista vero tum nobis contingent, cum et cognitio nostra vera fuerit, et vita naturæ convenienter instituta. *Recte* autem de iis *sentiemus*, si judicaverimus, et esse eos primas rerum caussas, et res conditas *gubernare*, et consulere universis, eaque *recte et juste* administrare. (Sive quis enim deos esse non censet; sive cum sint, non consulere rebus humanis; sive cum et sint, et rebus humanis consulant, id tamen et injuste et imprudenter facere opinatur : is neque colet et venerabitur eos, neque illorum administrationi obsequetur ac parebit, ut ab optimo consilio profectæ.) Vita autem naturæ convenienter instituetur, si adquiescamus in eis quæ fiunt, utpote optimo consilio administratis, *nec reprehendamus quidquam, neque auctores accusemus.* Hoc autem non consequemur, nisi bonum et malum nostrum in rebus nostri juris quæramus, ut in his et adpetitiones nostræ et declinationes versentur, utque numquam adpe-

μεν καὶ τὰς ἐκκλίσεις, καὶ μήτε ὀρεγόμενοί ποτε ἀποτυγχάνωμεν, μήτε ἐκκλίνοντες περιπίπτωμεν. Ἐὰν γὰρ τῶν ἐκτὸς ὡς ἀγαθῶν ὀρεγώμεθα, καὶ ὡς κακὰ τινὰ τῶν ἐκτὸς ἐκκλίνωμεν, ἀνάγκη καὶ τῶν ὀρεκτῶν πολλάκις ἀποτυγχάνειν, καὶ τοῖς ἐκκλινομένοις περιπίπτειν, ἀποτυγχάνοντες δὲ ὧν ὀρεγόμεθα, καὶ περιπίπτοντες οἷς ἐκκλίνομεν, ἀνάγκη μέμφεσθαι καὶ μισεῖν τοὺς αἰτίους τούτων, ἢ τοὺς δυναμένους μὲν παῦσαι, περιορῶντας δέ. Πᾶν γὰρ ζῶον, τάχα δὲ καὶ πάντα τὰ ὄντα, τοῦ μὲν ἀγαθοῦ ἐφίεται, τὰ δὲ κακὰ διὰ τὸν αὐτὸν λόγον ἐκκλίνει κατὰ φύσιν· καὶ διὰ τοῦτο τὰ μὲν βλαβερὰ ἢ ὄντα ἢ δοκοῦντα, ὡς κακὰ, καὶ τὰ αἴτια αὐτῶν, ἐκτρέπεται· τὰ δὲ ὠφέλιμα ὁμοίως, ἢ ὄντα, ἢ δοκοῦντα, καὶ τὰ αἴτια αὐτῶν, ἀσπάζεται καὶ μεταδιώκει, καὶ ὡς μεγάλα τεθαύμακεν. « Ἀδύνατον οὖν ἐστι βλάπτεσθαί τινα οἰόμενον χαίρειν τῷ δοκοῦντι βλάπτειν· ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν ἀδύνατόν ἐστιν. » Ὥσπερ γὰρ πρὸς τὴν βλάβην, οὕτω καὶ πρὸς τὸν ποιοῦντα τὴν βλάβην διατίθεται. Ἡ δὲ βλάβη, κακόν· τὸ δὲ κακὸν, φευκτὸν καὶ μισητόν· ὥσπερ τὸ ἀγαθὸν, ἐφετὸν καὶ ἀσπαστόν.

Καὶ ὅτι ἀνάγκη τὸν αἴτιον νομιζόμενον τοῦ δοκοῦντος κακοῦ μισεῖν καὶ λοιδορεῖν, πιστοῦται τέως ἐκ τοῦ μηδὲ τὴν φυσικὴν οἰκειότητα ἀρκεῖν πρὸς τὸ μὴ μισεῖν τοὺς τῶν φαινομένων ἀγαθῶν ἀποστεροῦντας, ἢ τοῖς δοκοῦσι κακοῖς περιβάλλοντας. Διὰ τοῦτο γὰρ καὶ ὁ πατὴρ ὑπὸ υἱέος μισούμενος λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν μὴ μεταδιδῷ τῷ παιδὶ, ἢ τῶν δοκούντων τι κακῶν ἐπάγῃ, τύπτων, ἢ συνεθίζων πρὸς ἐγκράτειαν. Καὶ Πολυνείκην δὲ καὶ Ἐτεοκλέα, τοὺς Οἰδίποδος παῖδας, καίτοι ἀδελφοὺς ὄντας, τοῦτο ὅμως καὶ μέχρι τοῦ μονομαχῆσαι καὶ ἀνελεῖν ἀλλήλους προήγαγε τὸ, ἀγαθὸν δοκοῦσαν τὴν τυραννίδα ὑπ' ἀλλήλων ἀφαιρεῖσθαι νομίζειν. Καὶ ὁ γεωργὸς δὲ, ὅταν σπείραντος μὴ ἐπιβρέξῃ, ἢ πλέον ὕσῃ ποτὲ, ἢ ἄλλο τι τῶν βλάπτειν ἢ ὠφελεῖν δοκούντων γένηται ἢ μὴ γένηται, λοιδορεῖ τοὺς αἰτίους· ποτὲ μὲν καὶ λόγοις βλασφημῶν· εἰ δὲ μὴ, τῇ γε ἐννοίᾳ. Καὶ οἱ ναῦται δὲ δυσχεραίνουσιν, ὅταν μὴ οἰκεῖος ἄνεμος αὐτοῖς ἐπιπνέῃ, καίτοι πολλάκις ὁ μὲν νότου χρῄζει κατὰ ταὐτὸν, ὁ δὲ βορέου· καὶ οὐκ ἐννοοῦσιν, ὅτι ἅμα πνεῖν τοὺς ἀντικειμένους ἀδύνατον· ἀλλὰ μόνον δυσφοροῦσι πρὸς τὸν τῶν ἀνέμων αἴτιον, ὅτι μὴ τοῦ οἰκείου τυγχάνουσιν, ἢ τοῦ ἐναντίου πειρῶνται. Καὶ οἱ ἔμποροι δὲ, ὠνούμενοι μὲν, ἀφθονίαν εἶναι βούλονται τῶν ἐμπορευομένων, πιπράσκοντες δὲ, σπάνιν· καὶ ἀγανακτοῦσιν, ὁπότερον ἂν τούτων μὴ γένηται, καὶ τοὺς τὰ ὅλα διοικοῦντας αἰτιῶνται. Καὶ οἱ τὰς γυναῖκας δὲ, καὶ τὰ τέκνα, καὶ ὅλως τὰ φίλτατα ἀπολλύντες, ὡς ἀποτυχόντες ὧν ὀρέγονται, καὶ περιπεσόντες οἷς ἐξέκλιναν, μέμφονται τοὺς διοικοῦντας. Τοὺς γὰρ τὸ δοκοῦν συμφέρον πορίζοντας, ἐκείνους καὶ τιμᾷν καὶ σέβειν πεφύκαμεν. Τῇ γὰρ τοῦ συμφέροντος τεύξει, σέβας εὐθὺς ἀνακινεῖται πρὸς τοὺς τὸ συμφέρον παρέχοντας· ὥσπερ τῇ τοῦ ἀσυμφόρου, μῖσος καὶ ἀποστροφὴ πρὸς

tendo frustremur, numquam incidamus in id quod declinamus. Si enim res externas ut bonas adpetimus, et quasdam earum ut malas aversamur: sæpe et frustrari desideriis, et in ea quæ fugias incidere necesse erit. Cum autem iis frustramur quæ desideramus, et in ea quæ fugimus incidimus; fieri non potest quin culpemus et oderimus auctores harum rerum; aut eos, qui, cum possent, eas non avertant, sed accidere patiantur. *Omnes* enim *animantes*, fortasse vero naturæ omnes, bonum adpetunt, eademque ratione *mala* secundum naturam *declinant*: eoque *nocentia* quæ aut sunt aut esse videntur, *eorumque caussas, aversantur; utilia vero* similiter, sive vera, sive falsa, *eorumque caussas* amplectuntur et *persequuntur, et* ut magna *admirantur. Nullo igitur modo fieri potest, ut,* qui *noceri sibi putat, eo delectetur quod nocere videatur: sicut fieri nequit, ut ipso damno gaudeamus.* Sic enim quisque adversus dantem damnum adfectus est, ut adversus ipsum damnum. Damnum autem malum est: malum vero fugiendum, et odio dignum; sicut bonum optabile, et amplectendum.

Eum autem, qui rei alicujus quæ mala habetur, caussa putatur, odium et convicia vitare non posse; ex eo statim constat, quod nec naturalis necessitudo et conjunctio satis virium habet ad odium eorum profligandum, qui nos aut bonis quæ habentur privant, aut in ea quæ mala videntur conjiciunt. Nam *propterea* et *pater invisus a filio conviciis adficitur, si bona quæ videntur filio neget,* aut quod malum habetur infligat, sive id verberando fiat, sive ad continentiam adsuefaciendo. Nam et *Polynicem et Eteoclem*, Œdipodis filios, hoc, quamvis fratres, ad duellum et cædem mutuam adegit, quod imperium bonum judicabant, et alter eo se ab altero spoliari putabat. Item *agricola*, si post sationem non pluit, aut aliquando plus pluit, aut aliquid aliud quod malum aut bonum habetur fit, aut non fit; auctores aut impiis verbis lacessit, aut certe cogitatione. *Nautæ* quoque moleste ferunt, cum ventus eis secundus non spirat, quamvis sæpe eodem tempore alius austro, alius aquilone egeat: neque cogitant, fieri non posse ut simul contrarii spirent; sed tantum auctori ventorum succensent, quod secundum non habeant, aut contrarium experiantur. *Mercatores*, cum emunt, frequentiam venditorum esse volunt; cum vendunt, paucitatem: et, utrum horum factum non fuerit, indignantur, et gubernatores universitatis hujus accusant. *Qui uxores, qui liberos*, qui denique carissima quæque *amittunt*, ut frustrati iis quæ adpetunt, et in ea prolapsi quæ declinant, gubernatores accusant. Qui enim id, quod bonum habetur, præbent, eos et colere et venerari, ipsa natura jubente, solemus. Nam utilitatis acceptæ respectus continuo venerationem excitat adversus eos qui utilitatem præbent; sicut damni accepti cogitatio excitat odium et aversationem auctorum. *Quare, qui operam dat, ut,*

τοὺς αἰτίους. Ὥστε, ὅστις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἀλλὰ μὴ πρὸς τὰ ἐκτὸς τείνει τὴν ὄρεξιν καὶ τὴν ἔκκλισιν, οὗτος ἐν ταὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται. Τυγχάνων γὰρ ἀεὶ ὧν ὀρέγεται, καὶ μὴ περιπίπτων οἷς ἐκκλίνει, διὰ τὸ ἐφ' ἡμῖν εἶναι ταῦτα, εὐαρεστεῖ πρὸς τὰ γινόμενα, καὶ τὸ προσῆκον σέβας τοῖς αἰτίοις αὐτῶν ἀποδίδωσιν. Ὁ δὲ τῶν ἐκτὸς ὀρεγόμενος, καὶ ταῦτα ἐκκλίνων· εἰ μὴ τὰς τῶν ἀνθρώπων γνώμας ἔχει τῇ ἑαυτοῦ δοκήσει συντρεπομένας, καὶ πλοῦτον καὶ πενίαν, καὶ ὑγίειαν καὶ νόσον, καὶ ζωὴν καὶ θάνατον, καὶ νίκας καὶ ἥττας, καὶ μέντοι ἀνέμους καὶ ὄμβρους καὶ χάλαζαν, καὶ πάντα τὰ μετέωρα, καὶ τὴν εἱμαρμένην πᾶσαν περιφοράν· ἐπειδὴ εἰς ταῦτα τὰς ὀρέξεις καὶ τὰς ἐκκλίσεις ἐξέτεινεν, ἀναγκαίως πολλῶν μὲν ὀρεγόμενος ἀποτυγχάνει, πολλοῖς δὲ ἐκκλίνων περιπίπτει· ὥστε καὶ δυσχεραίνει πάντως, καὶ μέμφεται τοὺς αἰτίους, καὶ ζῇ βίον πρὸς τῷ λυπηρῷ καὶ ἐπιπόνῳ καὶ ἀσεβῆ πρὸς τὸ θεῖον· ὥστε παντοίως εἶναι κακοδαίμονα.

Παραδοὺς δὲ τῆς περὶ τὸ θεῖον εὐσεβείας τὰ κυριώτατα αἴτια, τήν τε ἄπταιστον περὶ αὐτῶν ἐπιστήμην, καὶ τὸ πείθεσθαι καὶ εἴκειν τοῖς ὑπ' αὐτῶν γινομένοις ἑκόντας καὶ εὐαρεστοῦντας ὡς ὑπὸ τῆς ἀρίστης γνώμης γινομένοις· καὶ δείξας, ὅτι τοῦτο ἀδύνατόν ἐστι τοῖς μὴ τὸ ἀγαθὸν καὶ κακὸν ἐν τοῖς ἐφ' ἡμῖν τιθεμένοις, ἀλλ' ἐν τοῖς ἐκτός· ἐφεξῆς προστίθησι καὶ τὰς διὰ τῶν ἐκτὸς τῷ θείῳ προσαγομένας τιμάς· ὧν τὰς νομίμους καὶ ἐνθέσμους ὁ θεὸς πάντως τοῖς ἀνθρώποις ἐξέφηνεν, ὡς αἱ ἱστορίαι δηλοῦσιν· ἵνα καὶ ἡμεῖς δι' αὐτῶν τυγχάνωμεν τῆς πρὸς αὐτὸν οἰκειότητος· καὶ τὰ ἐκτὸς, διὰ τῶν προσφερομένων ἀπολαύοντα τῆς θείας ἐλλάμψεως, ἄφθονά τε ἡμῖν καὶ εὔχρηστα γίνηται. Ὡς γὰρ τὴν ψυχὴν, ἧς αἴτιός ἐστιν, ἀνατίθεμεν αὐτῷ, καὶ ἀφιεροῦμεν, ἀποκαθαίροντες αὐτὴν διά τε τῆς ἐπιστημονικῆς περὶ αὐτοῦ ἐννοίας, καὶ διὰ τῆς κατὰ φύσιν ζωῆς· οὕτως ἐπὶ ταύτῃ χρὴ καὶ τὸ σῶμα τὸ ὑπ' αὐτοῦ δοθὲν ἀνατιθέναι καθαίροντας, [καὶ τὰ] ἔξωθεν δὲ διὰ τὰς φανερὰς καὶ ἀφανεῖς κηλῖδας ἀπορρύπτοντας. Ἡ δὴ κεκαθαρμένη διὰ τῶν εἰρημένων τρόπων ψυχὴ, διὰ τοῦ κεκαθαρμένου ὀργάνου, καὶ ἀμφιέσμασι καθαροῖς ὡς δυνατὸν κεχρημένου, καὶ τῶν ἐκτὸς ὑπὸ τοῦ θεοῦ δοθέντων προσφερέτω τὰς ἀπαρχάς. Καὶ γὰρ ὅσιον καὶ δίκαιόν ἐστι, τοῖς δεδωκόσιν ἀπάρχεσθαι· οὐχ ὅτι δεῖται τούτων ὁ θεός· (οὐδὲ γὰρ τῆς εὐζωΐας δεῖται τῆς ἡμετέρας, οὐδὲ τῶν ὀρθῶν περὶ αὐτοῦ ἐννοιῶν·) ἀλλ' ἡμεῖς διὰ τούτων, κατὰ τὸ ἐπιβάλλον αὐτοῖς μέτρον, ἐπιτηδείων γινομένων πρὸς τὴν θείαν ἔλλαμψιν, ὑποδεχόμεθα τὸν θεὸν, ὅστις ἄξιος. Οὕτω καὶ τῶν ἐκτὸς τὰ προσαγόμενα καὶ ἀνατιθέμενα ὑπὸ ζωῆς καθαρᾶς κατὰ τὸν προσήκοντα τρόπον, μεταλαμβάνει καὶ αὐτὰ τῆς θείας ἀγαθότητος, ὡς καὶ θείας ἐνεργείας ἐπιδείκνυσθαι. Καὶ γὰρ ἐπιληψίας τις ὡμολόγησεν ἀπηλλάχθαι καὶ διὰ τῆς τῶν τοιούτων μεταλήψεως· καὶ χαλάζας καὶ θαλάσσης κλύδωνας ἔπαυσε [διὰ] τῶν τοιούτων πολλάκις ὁσίων. Καὶ οἱ προσφέροντες

quemadmodum decet, adpetat et declinet, nec ad externa porrigit adpetitum et declinationem; *is eadem opera et pietati dat operam.* Semper enim ea, quæ desiderat, adipiscitur; nec in ea incidit quæ declinat; quia hæc penes nos sunt. Adquiescit igitur in iis quæ fiunt, et convenientem cultum auctoribus eorum tribuit. Qui autem res externas desiderat, easque declinat; nisi voluntati suæ obsequentes habuerit et hominum voluntates, et divitias et paupertatem, et prosperam valetudinem et morbum, et vitam et mortem, et victorias et clades, atque etiam ventos, et pluvias, et grandinem, et omnia quæ in sublimi fiunt, et fatum universum; quoniam in ista adpetitiones et declinationes suas convertit, necessario multis adpetitionibus frustratur, et in multa adversa incidit. Proinde etiam indignatur utique, et culpat auctores, et vitam agit cum molestam et ærumnosam, tum irreligiosam et impiam adversus Deum, ut omnibus modis fiat infelix.

Postquam pietatis adversus Deum præcipuas caussas tradidit; nempe, si certam de eo scientiam habeamus, atque ultro pareamus cedamusque administrationi ejus, et his quæ ab ipso geruntur adquiescamus, ut quæ ab optimo consilio proficiscantur; et postquam demonstravit, non posse hoc eos facere, qui bonum et malum in voluntate nostra non collocent, sed in rebus externis; ordine subjungit honores, qui per res externas Deo tribuuntur: quorum legitimos et usu receptos Deus utique hominibus ostendit, ut historiæ declarant, quo et nos per eos necessitudine cum ipso conjungamur, et externæ res, per oblationes fruendo illustratione divina, et uberes nascantur, et nostris usibus adcommodatæ. Ut enim animum, cujus is auctor est, ei dedicamus et consecramus, repurgando illum, cum vera de illo cogitatione, tum vita naturæ consentanea : sic post animum corpus etiam ab ipso datum decet ei consecrari, a maculis tam conspicuis quam latentibus repurgatum. Animus autem his quas dixi rationibus repurgatus, repurgato instrumento, et vestimentis etiam quam purissimis induto, externarum quoque rerum, quas Deus dederit, primitias offerto. Nam jus fasque postulat, iis offerri primitias, qui dederunt; non quod his egeat Deus; (neque enim probitate nostra eget, neque rectis de se opinionibus;) sed nos per hæc, cum pro conveniente ipsis mensura ad recipiendam illustrationem divinam idonea facta sunt, Deum suscipimus, quisquis dignus est. Sic externæ res etiam, pura mente modoque conveniente oblatæ ac dedicatæ, fiunt et ipsæ illustrationis divinæ participes, ita ut divinas quoque vires exserant. Nam et epilepsia se quispiam horum communicatione liberatum professus est : per talia sacra etiam grandines sæpe et maris fluctus sedati sunt. Et qui ea sancte offerunt, ipsi quoque per communicationem, quam cum

δσίως αὐτὰ τῇ πρὸς αὐτὰ σχέσει συμμετέχουσι καὶ αὐτοὶ τῆς θείας ἐλλάμψεως, μετὰ τοῦ καὶ δίκαιον καὶ εὐχάριστον ἔργον ποιεῖν, τὸ τοῖς δεδωκόσιν ἀπάρχεσθαι καὶ ἀνατιθέναι. Ὅπερ δὲ εἶπον, δι' ὀλίγου τοῦ προσφερομένου καὶ τὸ ὅλον εἶδος ἐκεῖνο ἀνατίθεται καὶ ἀφιεροῦται τῷ θεῷ, καὶ τυγχάνει τῆς ἐπιβαλλούσης αὐτῷ θεόθεν ἐπικουρίας.

Ταῦτα δὲ, φησὶ, προσήκει κατὰ τὰ πάτρια ποιεῖν ἑκάστοις. Ὁ μὲν γὰρ θεὸς ἅμα πανταχοῦ πάρεστιν ἀεὶ μετὰ πασῶν αὐτοῦ τῶν θείων δυνάμεων. Ἡμεῖς δὲ καθ' ἓν εἶδος ἀφωρισμένοι, τὸ ἀνθρώπινον εἶδος, πολλῶν ὄντων τῶν ὑπὸ θεοῦ παραχθέντων, καὶ τοῦ ἀνθρωπείου εἴδους ἓν εἶδος ζωῆς νῦν καὶ βίου αἵρεσιν ἑνὸς ἀποτεμόμενοι, καὶ ἐν μέρει βραχεῖ τοῦ παντὸς καὶ αὐτῆς τῆς γῆς ἀπομερισθέντες, ἄλλος ἄλλης θείας ἀγαθότητης μετέχει, καὶ ἐν ἄλλοις τόποις καὶ χρόνοις ἄλλως. Ὁρᾷς γοῦν, ὅτι, ὅταν παρ' ἡμῖν ἡμέρα ᾖ, παρ' ἄλλοις νὺξ ἐστί· καὶ, ὅταν ἀλλαχοῦ χειμὼν, ἀλλαχοῦ θέρος· καὶ ἐνταῦθα μὲν τάδε φύεται φυτὰ καὶ ζῶα· ἐν ἄλλοις δὲ τόποις, ἕτερα· τῆς τε γῆς, καὶ τῶν ἐν αὐτῇ, μεμερισμένως δεχομένων τὰς θείας ἀγαθότητας. Ἕκαστοι οὖν, δι' ὧν ὁ θεός τε ἐξέφηνε, καὶ αὐτοὶ διὰ τῆς πείρας συνῄσθοντο, διαφόροις ὥσπερ τόποις καὶ βίοις, οὕτω καὶ καιροῖς καὶ τρόποις, καὶ τῇ τῶν θυομένων καὶ προσφερομένων ἐναλλαγῇ, τὸ θεῖον ἐξευμενίζονται. Καὶ ὅτε κατὰ θεὸν τὰ περὶ θεοῦ ὀργιάζεται, δήλη γίνεταί τις ἐν ταῖς ἀφωρισμέναις ἡμέραις ἐνέργεια τῆς θείας ἐλλάμψεως, ἥτις ἐν ἄλλαις οὐ πάντως γίνεται. Καὶ γὰρ νοσοῦντες θεραπεύονται, καὶ προλέγεταί τινα τότε τῶν συμφερόντων. Οὕτω μεγάλην ἔχει τὴν δύναμιν ἡ τῶν χρόνων διαφορὰ πρὸς τὴν θείαν οἰκειότητα. Οὕτω δὲ καὶ ἡ τῶν τόπων, καὶ τῶν λεγομένων, καὶ πραττομένων, καὶ προσφερομένων συναρμογή.

Πάντα δὲ, φησὶ, τὰ πρὸς τὴν θείαν ἀνήκοντα τιμὴν, καὶ καθαρῶς χρὴ ποιεῖν, καὶ μὴ ἐπισεσυρμένως. Μὴ καθαρῷ γὰρ καθαρῶν ἐφάπτεσθαι οὐ θεμιτόν ἐστι· τῷ δὲ καθαρῷ καὶ εἰλικρινεῖ εἴ τι νόθον παραμιχθείη, μολύνει αὐτό. Οὐ χρὴ οὖν ἐπισεσυρμένως ποιεῖν τι· τὸ γὰρ ἐπισεσυρμένον μεταλαμβάνει τινὸς ἀπὸ τοῦ ἐδάφους ἀκαθαρσίας· οὐδὲ ἀμελῶς χρὴ, φησὶν, οὐδὲν τῶν τοιούτων ποιεῖν, ὥστε διὰ ῥαθυμίαν παραλιμπάνειν τι τῶν δεόντων, ἢ συγχεῖν, ἢ ἐναλλάττειν. Ὥσπερ γὰρ, ἐὰν στοιχεῖα τοῦ λόγου ἀφέλῃς, ἢ ὑπαλλάξῃς, οὐκ ἔτι γίνεται τὸ τοῦ λόγου εἶδος· οὕτω καὶ τῶν θείων ἔργων ἢ λόγων ἐὰν ἐλλείπῃ τι, ἢ ὑπήλλακται, ἢ συγκέχυται, οὐκ ἔτι γίνεται ἡ τοῦ θεοῦ ἔλλαμψις, ἀλλὰ καὶ ἐξυδαροῖ τὴν τῶν γινομένων δύναμιν ἡ τοῦ ποιοῦντος ῥαθυμία· ὥσπερ κυριώτατον εἰς συμπλήρωσιν καὶ τελείωσιν τῶν ἄλλων ἡ σύντονος μετὰ ἐπιστήμης προθυμία τοῦ ποιοῦντος. Ὁ δὲ περὶ τὴν τοῦ θεοῦ τιμὴν ἀμελὴς καὶ ῥάθυμος φαινόμενος, περὶ τί ἂν τῶν δεόντων σπουδάσειεν; Ἀλλ' οὐδ' ἀσεβῶς, φησὶ, δεῖ προσιέναι· τοῦτ' ἔστιν, ἄνευ σεβασμοῦ· ὅσῳ γὰρ ἂν τιμιώτερα καὶ σεβασμιώτερα νομίζοιτο τὰ θεῖα, το-

illis habent, divinæ fiunt illustrationis participes; præterquam quod justi et grati animi officio funguntur, cum divinorum donorum primitias his, qui ea dederunt, offerunt atque consecrant. Per exiguas vero istas primitias, totum genus, ut dixi, Deo consecratur dedicaturque, et convenientis opis divinæ fit particeps.

Hæc vero, inquit, *patrio ritu fieri debent a singulis.* Nam Deus simul ubique præsto est semper cum omnibus suis divinis viribus. Cum autem multa sint a Deo producta, nos, qui una distincta specie constemus humana, et ex humano genere unum genus vitæ nunc, et unam ætatis degendæ rationem definitam habeamus, et in exigua parte universi et terræ adeo ipsius collocati simus; alius alio Dei beneficio fruimur, aliisque locis et temporibus aliter. Vides enim, cum aliis dies est, aliis esse noctem; cum alibi hiemem, alibi æstatem; hic alias nasci et stirpes et animantes, in aliis locis alias : cum et terra, et quæ in ea sunt, divina beneficia diversis percipiant modis. Singuli igitur, partim divina patefactione, partim experientia edocti, diversis ut locis et vitæ generibus, sic etiam temporibus et modis, vi ctimarum et oblationum varietate, numen placant. Et cum divina festa ex Dei voluntate celebrantur, statis diebus efficacia divinæ illustrationis conspicitur : quod aliis diebus nullo modo fit. Nam et ægroti curantur, et utilia quædam tunc prædicuntur. Tantam vim habet ad conjunctionem cum Deo nobis conciliandam cum temporum discrimen, tum locorum et dictorum, factorumque et oblationum apta adcommodatio.

Jubet autem omnia, quæ ad divinum cultum pertineant, et *pure* facere, et *non sordide.* Nam ab impuro pura attingi nefas est : purumque et sincerum, si quid ei adulterinum admisceatur, eo pollui solet. Neque igitur *sordide* quidquam faciendum; (nam, quod ἐπισύρεται, id de *sordibus*, quæ humi sunt, trahit aliquid;) neque *negligenter* in his versandum, ut per ignaviam aliquid factu necessarium aut prætermittamus, aut confundamus, aut permutemus. Sicut enim, si elementa sermoni subtrahas aut immutes, non manet eadem forma sermonis : sic etiam, divinorum operum et sermonum si quid aut deest, aut immutatum est, aut perturbatum, illustratio divina tollitur : et eorum quæ geruntur vim evanidam reddit ejus, qui illa gerit, socordia; sicut ad complementum et perfectionem aliarum rerum plurimum valet intenta alacritas cum scientia conjuncta. Qui vero se in Dei cultu negligentem et socordem præbet, qua in re sit ad officium fungendum excitatus? At *neque irreligiose*, inquit, est accedendum : hoc est absque veneratione. Quanto enim religiosiores et sanctiores res divinæ habentur; tanto magis ut talia attingimus. Nam et ipsi nos

σούτῳ μᾶλλον αὐτῶν ὡς τοιούτων μετέχομεν. Καὶ γὰρ καὶ ἡμεῖς [εἰ] τῷ σεβασμῷ τοῦ θείου κατὰ τὸ δυνατὸν ὑποταττόμεθα, καὶ ἁδρυνόμεθα. Εἰπὼν δὲ, ὅτι ὡ δεῖ ἀμελῶς ποιεῖν, ηὐλαβήθη, ὡς ἔοικε, μή τις ὑπολάβῃ λέγειν αὐτὸν, ὅτι καὶ ὑπὲρ δύναμιν χρὴ τὰ τοιαῦτα ποιεῖν. Πρῶτον μὲν γὰρ, ποῦ ἂν εἴη τὸ μέτρον ἄριστον, εἰ μὴ ἐπὶ τῶν θείων, τῶν μετρούντων πάντα, καὶ ὁριζόντων τοῖς ἀρίστοις ὅροις; ἔπειτα, οὐδὲν οὕτω τὰ θεῖα ἔργα συνέχει, ὡς τὸ τὴν ταυτότητα συνεχῆ καὶ ἀνέκλειπτον φυλάττειν ἐν αὐτοῖς καὶ ἔργῳ καὶ λόγῳ, μηδὲν κατὰ τὸ δυνατὸν παραλλάττοντα. Ἀδύνατον δὲ ὑπὲρ δύναμιν πολλάκις αὐτὰ ποιεῖν. Ἐοίκασι δὲ οἱ τὸ θεῖον περισσῶς φιλοτιμούμενοι, ἅμα μὲν δωροδοκίαν αὐτοῦ καταψηφίζεσθαι, ἅμα δὲ ἀγνοεῖν, τίνα χρείαν ταῦτα εἰς τὴν θείαν εἰσάγει τιμὴν, ὅτι ἀπαρχαὶ βούλονται εἶναι τῶν ὑπὸ τοῦ θεοῦ δοθέντων ἡμῖν.

Τούτῳ μὲν οὖν τῷ θαυμαστῷ συνοδεύσας, ὡς ἐμοὶ δυνατὸν, καὶ τὸ παρὸν εἶδος τοῦ λόγου διήρθρωσα. Ἐπειδὴ δὲ ἀρχόμενος τοῦ κεφαλαίου, συντόμως τὰ περὶ θεῶν τρία προβλήματα ἐνεδείξατο, ὧν προωμολογημένων δεῖται πᾶσα νομοθεσία, καὶ πᾶσα τῶν ἠθῶν εὐαγωγία, ὅτι καὶ εἰσὶ, καὶ προνοοῦσι, καὶ καλῶς καὶ δικαίως τὰ πάντα κατευθύνουσιν· οὐδὲν κωλύει, διὰ τοὺς κερασβόλους τῶν ἀνθρώπων, τὰς ἀποδείξεις προσθεῖναι τοῖς προβλήμασι. Φύσει μὲν γὰρ οὐχ ἄνθρωποι μόνοι, ἀλλὰ καὶ τὰ ἄλογα ζῶα, καὶ τὰ φυτὰ, καὶ λίθοι, καὶ πάντα ἁπλῶς τὰ ὄντα, κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστον ἐπέστραπται πρὸς τὸν θεόν· ἄνθρωποι δὲ πρὸς τούτῳ καὶ παρὰ γονέων εὐθὺς ἐκ παίδων συνεθίζονται θεοσεβεῖν, καὶ ταῖς κοιναῖς τῶν ἀνθρώπων ἐννοίαις ἀκολουθοῦσι. Πάντες γὰρ ἄνθρωποι, καὶ βάρβαροι καὶ Ἕλληνες, καὶ κατὰ τὸν πρότερον ἄπειρον χρόνον, καὶ νῦν, κἂν ἄλλοι κατ' ἄλλας ἐννοίας, νομίζουσιν εἶναι θεόν· πλὴν Ἀκροθοϊτῶν, οὓς ἱστορεῖ Θεόφραστος, ἀθέους γενομένους, ὑπὸ τῆς γῆς ἀθρόως καταποθῆναι· καὶ εἰ δή τις ἄλλος, εἷς, ἢ δύο, κατὰ πάντα τὸν πρότερον αἰῶνα ἱστόρηται. Συμβαίνει δέ τινας, καὶ διὰ τὸ ἀναποδείκτως πιστεύειν, καὶ διὰ τὸ ὁρᾶν, ποτὲ μὲν ἀγαθοὺς δοκοῦντας δυσπραγοῦντας, ποτὲ δὲ κακοὺς ἐναντίως εὐροοῦντας, ὀλιγωρεῖν ὧν ἔχουσι προλήψεων, καὶ χώραν διδόναι τῇ τραγῳδίᾳ λέγειν·

Τολμῶ κατειπεῖν, μήποτ' οὐκ εἰσὶν θεοί·
κακοὶ γὰρ εὐτυχοῦντες ἐπιπλήττουσί με.

Καλῶς οὖν ἔχει, τούτους καὶ τῷ Ἐπικτήτῳ πειθομένους, μὴ ἐν τοῖς ἐκτὸς, ἀλλ' ἐν τοῖς ἐφ' ἡμῖν τίθεσθαι τὰ ἀγαθὰ ἡμῶν, καὶ τὰ κακά. Οὕτω γὰρ οὔτε ἀγαθὸς δυσπραγήσει ποτὲ, οὔτε κακὸς εὐροήσει. Καὶ μέντοι καὶ δι' ἀποδείξεως ὡς δυνατὸν βεβαιῶσαι τὰς ἀναποδείκτους περὶ θεοῦ προλήψεις, σκεψώμεθα.

Ἀρχὴ δὲ τῆς σκέψεώς ἐστιν, ἰδεῖν πρῶτον, τί σημαίνει τὸ τοῦ Θεοῦ ὄνομα. Καὶ ἰστέον, ὅτι οἱ πρῶτον θέντες αὐτὸ, τοὺς ἐν οὐρανῷ περιπολοῦντας, παρὰ τὸ θέειν, τοῦτ' ἔστι τρέχειν καὶ ὀξέως κινεῖσθαι, οὕτως

cultui numinis, quoad fieri potest, submittentes, hoc ipso veluti grandescimus. Cum autem dixisset, non esse negligenter faciendum; veritus videtur, ne quis dicere se putaret, etiam *supra vires* ista esse facienda. [Recte igitur adjecit, *Neque supra vires*.] Ubi enim modus esset optimus, nisi in rebus ad deos pertinentibus, qui omnia moderantur, optimisque terminis definiunt? Deinde nihil æque divina continet opera, atque si in iis perennis æqualitas conservetur; et, quoad ejus fieri potest, neque dicto, neque facto quidquam immutetur. Neque vero fieri potest, ut supra vires sæpe facias. Videntur autem ii qui in sacris faciendis nimis profusi sunt, simul et Deum corruptelæ condemnare, et ignorare quem usum ista ad honorem Deo habendum conferant, cum nonnisi primitiæ esse debeant eorum quæ divinitus acceperimus.

Ego igitur mirabilem hunc virum secutus, pro virili hanc quoque partem præceptorum ejus declaravi. Sed quia capitis hujus initio, tres *de diis quæstiones* compendio perstrinxit, quæ ante omnem legum lationem morumque disciplinam certæ compertæque habendæ sunt, *deos et esse, et providere, et bene justeque administrare omnia;* nihil vetat ob importunos quosdam homines, demonstrationes subjicere quæstionibus. Natura enim quidem, non homines modo, sed et brutæ animantes, et stirpes, et lapides, ea denique omnia quæ sunt, pro suis quodque viribus, ad Deum respiciunt : homines vero præterea a parentibus etiam statim a pueris ad pietatem adsuefiunt, et communes hominum sequuntur notiones. Omnes enim homines, tam barbari quam Græci, cum infinito superiori tempore, tum nunc, quamvis alii aliis rationibus, Deum esse censent, Acrothoitis exceptis, quos narrat Theophrastus, cum nullum colerent numen, subito universos a terra absorptos esse; et si quis forte alius, unus atque alter, ab omni ævo, talis fuisse perhibetur. Fit autem, ut nonnulli, quoniam absque demonstratione crediderunt, et quia bonos qui videntur viros interdum adversa fortuna utentes, improbos vero felices vident, parum curent insitas a natura ipsa notiones, et locum faciant tragœdiæ dicendi,

Deos non esse, dicere annon audeam,
res improborum tam secundas intuens?

Rectum igitur fuerit, hos etiam, Epicteto obtemperantes, non in rebus externis, sed in nostra potestate sitis, bona et mala nostra collocare. Sic enim neque cum bono viro umquam male agetur, neque ullus improbus erit beatus. Verumtamen etiam videamus, quo pacto per demonstrationem firmari possint illæ de Deo notiones, absque demonstratione anticipatæ.

Est autem considerationis hujus initium inde faciendum, ut, quid Dei nomen significet, videamus. Sciendum igitur, initio θεοὺς (quos Latini *Deos* vocant) a cursu et motus celeritate (θέειν enim *currere* significat) stellas nominatas

ὠνόμασαν. Χρόνῳ δὲ ὕστερον καὶ ἐπὶ τὰς ἀσωμάτους καὶ νοητὰς τῶν ὄντων αἰτίας ἀνήγαγον τὸ ὄνομα, καὶ μέχρι τῆς μιᾶς τῶν πάντων ἀρχῆς καὶ αἰτίας· ὥστε δηλοῦν τὸ ὄνομα, ἀρχὴν τῶν ὄντων, καὶ αἰτίαν νοητὴν πρωτίστην, καὶ κυριωτάτην. Ἢ γὰρ ἐκ ταὐτομάτου καὶ ἀπὸ τύχης πάντα γίνεται, τὰ γινόμενα, ἢ ἔχει προηγουμένας αἰτίας, ὑφ' ὧν γίνεται. Ἀλλὰ τὸ μὲν ἐκ ταὐτομάτου, καὶ ὡς ἔτυχε, γινόμενον, οὔτε αἴτιον ὡρισμένον ἔχει τὸ ποιοῦν, οὔτε σκοπὸς ὡρισμένος ἐστὶ τινί· οὐ γὰρ ἂν ἐκ ταὐτομάτου καὶ ἀπὸ τύχης, ἀλλὰ κατὰ προηγούμενον ὑφίστα τὸ αἴτιον, καὶ σκοπὸν ἐποίει. Ἀλλ' οὐ τάξιν οὔτε ἀκολουθίαν τὴν αὐτὴν ἡ τῶν τοιούτων ἀεὶ γένεσις φυλάττει· πάντα δὲ τὰ κατὰ φύσιν καὶ προαίρεσιν γινόμενα καὶ σκοπὸς ὡρισμένος ἐστὶ τῷ ποιοῦντι. Καὶ γὰρ ὁ γεωργὸς σπείρει καὶ φυτεύει, σκοπὸν τιθέμενος τὸ γινόμενον· καὶ ἡ τῶν ζώων σύνοδος εἰς τεκνογονίαν ὁρᾷ· καὶ ἀκολουθία καὶ τάξις ἀπ' ἀρχῆς μέχρι τέλους φυλάττεται τῆς γενέσεως, τῶν μὲν ἐν ἀρχῇ, τῶν δὲ ἐν μέσῳ, τῶν δὲ τῷ πέρατι, κατὰ τὸν αὐτὸν εἱρμὸν παρακολουθούντων. Τὸ γὰρ σπέρμα καταβαλλόμενον, ἐπὶ μὲν φυτῶν, τεγγόμενον ὕδατι, ῥίζας ἀφίησι καὶ βλαστούς, εἶτα καλάμην ἢ κλάδους τρέφει, καὶ τὰ ἑξῆς, μέχρι τῆς ἀποδόσεως τοῦ καρποῦ καὶ πεπάνσεως. Ἐπὶ δὲ ζώων, ἀρδόμενον τῷ καταμηνίῳ τὸ σπέρμα ἐκτείνεταί τε, καὶ σχηματίζεται εἰς τὸ ἔμβρυον· ὃ τρεφόμενον καὶ τελειούμενον ἀποτίκτεται κατὰ τὸν προσήκοντα χρόνον. Καὶ ἡ αὐτὴ τάξις ἀεὶ καὶ ἀκολουθία φυλάττεται τῆς γενέσεως. Εἰ οὖν τὰ μὲν κατὰ φύσιν καὶ προαίρεσιν γινόμενα, καὶ αἴτιον ὡρισμένον ἔχει, καὶ σκοπὸς ὡρισμένος ἐστὶ τῷ ποιοῦντι, καὶ κατὰ τὴν ἀκολουθίαν καὶ τάξιν ἀεὶ τὴν αὐτὴν ἀποτελεῖται· δῆλον, ὅτι συνάγεται, τὸ κατὰ φύσιν καὶ προαίρεσιν, καὶ ὅλως πάντα τὰ προηγουμένως ἐν τῷ κόσμῳ γινόμενα, μὴ ἐκ ταὐτομάτου, μηδὲ ὡς ἔτυχε, γίνεσθαι, ἀλλὰ κατὰ προηγουμένας αἰτίας. Δεῖ ἄρα προηγουμένας αἰτίας εἶναι τῶν γινομένων. Καὶ εἰ γενηταὶ εἶεν αὗται, ἀνάγκη καὶ τούτων ἄλλας αἰτίας εἶναι προηγουμένας, ἕως ἂν ἐπὶ τὰ ἀγένητα ἔλθωμεν· ἅπερ οὐκέτι τῶν γινομένων ἐστὶν, ἀλλὰ ὄντα ταῦτα κυριώτερον λέγεται, ἀγένητα παντελῶς ὄντα, ἅτε ἐν αὐτοῖς ἔχοντα τὴν αἰτίαν τοῦ εἶναι, καὶ οὐκ ἔξωθεν. Ὥστε ἢ αὐθυπόστατά ἐστι τὰ πρῶτα καὶ ἀγένητα αἴτια, ἢ κρείττονα τῶν αὐθυποστάτων, ὡς δείξει προϊὼν ὁ λόγος.

fuisse, quæ in cœlo feruntur. Post autem ad incorporeas quoque naturas, et rerum caussas mente intelligendas, denique ad unicum omnium rerum principium et caussam, id nomen translatum; ut significaret Principium rerum, et Caussam, mente comprehendendam, primam omnium atque principem. Quæ enim fiunt, aut casu atque fortuito fiunt omnia, aut ex antegressis caussis oriuntur. Enimvero quod casu et fortuito fit, neque caussam effectricem definitam habet, neque finis propositus est alicui : etenim caussa efficiens non casu atque fortuito, sed ex proposito illud protulisset, et scopum illud sibi fecisset. Neque vero earum rerum ortus, quæ temere ac fortuito fiunt, certum ordinem et consecutionem perpetuam servat. Quæ autem secundum naturam et consilio geruntur, ea etiam ad certum finem referuntur. Agricola certe quidem et serit et plantat eo fine, ut aliquid nascatur : et animantium congressus procreationem sobolis spectat : et certa series, certus ordo ab initio ad finem usque procreationis servatur, aliis in initio, aliis medio, aliis in fine pari ordine consequentibus. Nam, in plantis quidem, semen in terram conjectum, et irrigatum aqua, radices agit et germina primum, mox culmum profert, aut ramos alit, cæteraque ordine usque ad fructum et maturitatem. In animalibus autem semen menstruo sanguine perfusum extenditur, et informatur ut fœtus fiat; qui eo usque alitur et perficitur, donec suo tempore in lucem edatur. Atque hic ortus ordo atque progressio perpetuo conservatur. Quod si igitur ea quæ natura consilioque fiunt, et caussam definitam habent, et eorum auctor certum sibi finem proponit, et progressione atque ordine eodem perpetuo res absolvuntur : utique colligitur, ea quæ natura consilioque fiunt, et omnino omnia quæ primario quodam loco sunt in mundo, non casu ac temere fieri, sed per caussas antecedentes. Oportet igitur, eorum, quæ oriuntur, caussas esse antecedentes. Quæ si ipsæ ortæ sunt, necesse est harum rursus alias esse caussas priores; donec ad eas perventum fuerit, quæ nullum habeant ortum : quæ non jam sint ex eorum numero quæ oriuntur, sed quæ res subsistentes dicuntur rectius, cum omni prorsus ortu careant, quippe quæ caussam, cur sint, non extra se, sed in semet ipsis habeant. Itaque primæ caussæ, ortusque expertes, aut per se subsistunt, aut his etiam sunt præstantiores; ut in progressu orationis ostendetur.

Ὁμοίως δὲ καὶ ἀπὸ τῆς κινήσεως ἀναβαίνοντες, τὰ πρῶτα κινοῦντα αἴτια, ἢ αὐτοκίνητα εὑρήσομεν, ἢ ἀκίνητα. Τὸ γὰρ ἑτεροκίνητον ὑφ' ἑτέρου τινὸς κινεῖται· τὸ δὲ ἕτερον τοῦτο, ἢ καὶ αὐτὸ ὑφ' ἑτέρου, καὶ τοῦτο ἐπ' ἄπειρον· ὅπερ ἐστὶν ἀδύνατον· (οὐδὲν γὰρ οὕτως οὔτε κινοῦν ἔσται, οὔτε κινούμενον, μὴ οὔσης ἀρχῆς τῆς κινήσεως·) ἢ ἀνάγκη πρῶτον ἑτεροκίνητον ὑπὸ αὐτοκινήτου κινεῖσθαι, ἢ ὑπὸ ἀκινήτου. Ἀλλὰ τὸ κατὰ πᾶσαν κίνησιν ἀκίνητον ἵστησι μᾶλλον καὶ πήγνυσι, καὶ τὸ

Similiter vero, a motione adscendendo, primas moventes caussas inveniemus aut per se mobiles esse, aut immobiles. Quod enim suo motu non cietur, ab alio quopiam cietur, atque id ipsum rursus ab alio : fitque sic progressio infinita, quam rerum natura respuit. Nihil enim ista ratione futurum est, quod vel moveat, vel moveatur, ni sit principium movens. Aut necesse est, id quod primum alieno cietur motu, ab eo cieri, quod vel per sese moveatur, vel quod sit immobile. At vero, quod ab omni motu prorsus alienum est,

ἀεὶ ὡσαύτως ἔχειν ἑκάστοις καὶ μὴ μεταβάλλειν παρέχεται. Ἀνάγκη οὖν τὸ αὐτοκίνητον εἶναι τὸ πρώτως κινοῦν τὰ ἑτεροκίνητα. Ταῦτα δέ ἐστι τὰ γινόμενα, καὶ φθειρόμενα, καὶ αὐξόμενα, καὶ μειούμενα, καὶ κατὰ ποιότητα μεταβάλλοντα, καὶ ἀπὸ τόπων εἰς τόπους μεταβαίνοντα. Οὔτε γὰρ τὸ γινόμενον ὑφ' ἑαυτοῦ γίνεσθαι δυνατόν· ἔμελλε γὰρ εἶναι πρὸ τοῦ γενέσθαι· οὔτε τὸ αὐξόμενον ὑφ' ἑαυτοῦ αὔξεται· προσθήκῃ γὰρ αὔξεται τὸ αὐξόμενον· οὔτε τὸ ἀλλοιούμενον ὑφ' ἑαυτοῦ ἀλλοιοῦται· ὑπὸ ἐναντίας γὰρ ποιότητος ἀλλοιοῦται τὸ ἀλλοιούμενον. Ἀλλὰ οὔτε κατὰ τόπον ὑφ' ἑαυτοῦ μεταβάλλει· σώματα γὰρ ὄντα πάντα τὰ κατὰ ταύτας κινούμενα τὰς κινήσεις δειχθήσεται, μὴ δυνάμενα εἶναι αὐτοκίνητα. Χρὴ οὖν τὰ προσεχῆ τῶν γινομένων καὶ ἑτεροκινήτων αἴτια, αὐτοκίνητα εἶναι. Καὶ γάρ, εἰ κατ' ἐπίνοιαν σταίη τὰ πάντα, οὐδαμόθεν ἄλλοθεν ἄρξαιτο ἂν τὸ κινητόν, εἰ μὴ ἀπὸ τοῦ αὐτοκινήτου. Τό τε γὰρ ἀκίνητον ἀεὶ ὡσαύτως ἔχει, καὶ τὸ ἑτεροκίνητον τὴν τοῦ κινοῦντος περιμένει δύναμιν.

Δεῖ δὲ καὶ ἁπλᾶς τὰς ἀρχὰς εἶναι. Τὰ γὰρ σύνθετα, ἐκ τῶν ἁπλῶν συνέστηκε· καὶ προηγεῖται τῇ φύσει τὰ ἁπλᾶ τῶν συνθέτων. Ἴδωμεν οὖν, κάτωθεν ἀνιόντες, καὶ ἀπὸ τῶν προσεχῶν ἀρχόμενοι, ζητῶμεν, εἰ δυνατὸν τὰ σώματα ἐν ἀρχῆς λόγῳ παραλαμβάνεσθαι, καὶ εἶναι τοιαῦτα, οἵας τὰς ἀρχὰς τὰς πρώτας ὁ λόγος ὑπέθετο· ἢ οὔτε αὐθυπόστατα, οὔτε αὐτοκίνητα εἶναι δύναται ταῦτα τὰ κινούμενα σώματα. Τὸ γὰρ αὐτοκίνητον, ἢ μέρει μὲν κινοῦν, μέρει δὲ κινούμενον, λέγεται αὐτοκίνητον· ἢ ὅλον ἑαυτὸ κινοῦν, καὶ ὑφ' ἑαυτοῦ κινούμενον. Ἀλλ' εἰ μέρει κινεῖ, καὶ μέρει κινεῖται, περὶ τοῦ κινοῦντος μέρους πάλιν τὰ αὐτὰ ἐρωτητέον, πότερον αὐτοκίνητόν ἐστιν, ἢ ἑτέρωθεν κινούμενον κινεῖ· καὶ εἰ τοῦτο, ἢ ἐπ' ἄπειρον προελευσόμεθα, ἢ αὐτοκίνητον ὑποθησόμεθα τὸ πρῶτον, ὡς ὅλον κινοῦν, καὶ ὅλον κινούμενον. Τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ αὐθυποστάτου ῥητέον. Ἀνάγκη γὰρ τὸ πρῶτον καὶ κυρίως αὐθυπόστατον ὅλον ὑφιστάνον εἶναι, καὶ ὅλον ὑφιστάμενον. Τὸ δὲ τοιοῦτον, ἀμερὲς εὐθὺς ἀνάγκη εἶναι, καὶ ἀδιάστατον. Μεριστὸν γὰρ καὶ διαστατὸν ὑπάρχον, οὐ δύναται ὅλον ὅλῳ ἑαυτῷ ἐφαρμόττειν, ὡς τὸ ὅλον εἶναι κινοῦν, καὶ ὅλον τὸ αὐτὸ κινούμενον, ἢ ὅλον ὑφιστὰν εἶναι, καὶ ὅλον ὑφιστάμενον. Ἀλλ' οὐδὲ ἁπλᾶ εἶναι τὰ σώματα δύναται, ἐξ ὑποκειμένου τινὸς ὄντα, καὶ εἴδους, καὶ πολλῶν τῶν συμπληρούντων αὐτὸ, μεγέθους, σχήματος, χρώματος, καὶ τῶν τοιούτων· ἅπερ οὐκ ἔστι πρωτουργὰ εἴδη, ἀλλὰ μεθέξεις τῶν πρωτουργῶν εἰδῶν ἐν ὑποκειμένῳ τινὶ ἀνειδέῳ τῷ μετέχοντι γινόμεναι. Ὅπου μὲν γὰρ ἐστι πρωτότυπα τὰ εἴδη, ἔστιν αὐτὸ τοῦτο ἕκαστον ὅπερ ἐστὶ, καὶ οὐ δεῖται τινὸς τοῦ μετέχοντος ἀνειδέου. Ὅπου δὲ μέθεξίς ἐστιν ἀπὸ τῶν πρωτοτύπων, δεῖ πάντως ἄλλο εἶναι τὸ μετέχον, ἀνείδεον καθ' αὐτὸ ὑπάρχον.

id sistit magis et compingit, et singulis rebus id confert, ut in eodem statu permaneant, nec immutentur. Necesse igitur est, per se mobile id esse, quod primum movet ea quæ aliunde cientur. Ea vero sunt, quæ oriuntur et occidunt, quæ augentur et minuuntur, quæ mutantur qualitatibus, quæ ex aliis locis in alia loca transeunt. Neque enim id quod oritur, oriri a se ipso potest : (sic enim esset, antequam esset :) neque id quod augescit, a se ipso augetur, sed accessione aliqua facta : neque quod fit aliud, a se ipso fit aliud, sed per qualitatem contrariam, quæ ei inducitur. Neque, quod ad locum attinet, a se ipso quidquam movetur; omnia enim, quæ hoc genere motus moventur, corpora esse demonstrabitur, quæ non possunt esse per se mobilia. Oportet igitur, proximas iis, quæ oriuntur et aliunde moventur, caussas per se esse mobiles. Nam si universa stare fingas, non aliunde incipere poterit mobile, nisi a per sese mobili. Nam quod immobile est, eodem semper modo se habet : et quod aliunde movetur, moventis exspectat facultatem.

Præterea principia simplicia esse oportet. Composita enim e simplicibus constant : itaque ab ipsa natura comparatum est, ut simplicia compositis antecedant. Videamus igitur inferne adscendendo, et a proximis auspicando quæramus, utrum corpora ut principia sumi possint, et ut talia, qualia prima principia esse oportere statuimus; an vero per sese neque subsistere, neque moveri possint mobilia ista corpora. Quod enim per se mobile statuitur, id aut eo dicitur per se mobile, quod partim movens sit, partim motum; aut quod totum se ipsum moveat, et a se ipso moveatur. Verum si parte sui movet, parte movetur; de movente parte rursus idem est quærendum, utrum per se mobilis ea sit, an ita moveat, ut ipsa aliunde moveatur. Quod si hoc, aut in infinitum progrediemur, aut per se mobile statuemus primum illud, ut quod totum et moveat et moveatur. Eadem et de iis dicenda sunt, quæ per sese subsistunt. Necesse est enim, primum illud et proprie per sese subsistens, ejusmodi esse, quod totum et subsistere faciat, et subsistat. Quod vero ejusmodi est, in id statim etiam necesse est neque partitionem neque disjunctionem cadere. Nam si dividi et disjungi queat, non potest totum sibi toti ita esse aptum, ut totum sit movens, idemque totum id quod moveatur; aut ut totum sit id quod constituat, et totum id quod constituatur. Sed ne simplicia quidem esse possunt corpora, quippe quæ subjecto aliquo constant, et forma, et multis quibus illa forma compleatur rebus, magnitudine, figura, colore et similibus, quæ non sunt primæ et efficientes species, sed participationes primitivarum specierum, in subjecto aliquo nullam formam habente, quod illas participat, exsistentes. Ubi enim primogeniæ formæ sunt, unumquodque id ipsum est, nec eget subjecto informi, quod illud participet. Ubi vero participatio est specierum primogeniarum, ibi omnino aliud esse oportet quod participat, cum per se informe sit.

Εἰ οὖν αἱ μὲν ἀρχαὶ ἀσώματοι καὶ ἀδιάστατοί εἰσι, καὶ ἁπλαῖ, καὶ πρωτουργοὶ, αὐτοκίνητοί τε, καὶ αὐθυπόστατοι, ἢ κρεῖττόν τι τούτων· τὰ δὲ σώματα οὐ δύναται εἶναι τοιαῦτα· δῆλον, ὅτι τὰ σώματα οὐκ ἂν εἶεν ἀρχαί. Τί οὖν ἐστι τὸ αὐτοκίνητον, ὅ φαμεν κινητικὸν ὑπάρχον τῶν σωμάτων ἑτεροκινήτων ὄντων, ἀρχῆς ἔχειν πρὸς αὐτὰ λόγον· ἢ τοῦτό ἐστι τὸ ἔνδοθεν κινοῦν; ἀλλὰ καὶ αὐτὸ, εἰ ὑφ' ἑτέρου ἐκινεῖτο, οὐκ ἂν ἐλέγομεν ἔνδοθεν κινεῖσθαι, ἀλλ' ἔξωθεν, ὡς τὰ σώματα. Τὸ γὰρ κυρίως κινοῦν τὸ πρώτως κινοῦν ἐστιν· ὥσπερ, εἰ διὰ τῆς χειρὸς καὶ ῥάβδου κινῶ τὸν λίθον, ἐγώ εἰμι ὁ κυρίως κινῶν. Τί οὖν ἐστι τὸ ἔνδοθεν τὰ σώματα κινοῦν; τί ἄλλο ἢ τοῦτο ὃ λέγομεν ψυχήν; καὶ γὰρ τὸ ἔμψυχον ἔνδοθεν κινεῖται· καὶ τὸ ἔνδοθεν κινούμενον ἔμψυχον λέγομεν. Εἰ τοίνυν ἡ ψυχὴ ἔνδοθεν κινεῖ τὰ σώματα, τὸ δὲ ἔνδοθεν κινοῦν τὰ σώματα τὸ αὐτοκίνητόν ἐστιν, ἡ ψυχὴ ἂν εἴη τὸ αὐτοκίνητον, ἀρχὴ καὶ αἰτία τῶν γινομένων καὶ κινουμένων ὑπάρχουσα, καὶ λόγους ἔχουσα ἐν αὑτῇ τούτων, καθ' οὓς γίνονται τὰ γινόμενα, καὶ κινοῦνται τὰ κινούμενα. Εἰ μὴ γάρ ἐστι πρωτουργὰ τὰ ἐν τοῖς σώμασιν εἴδη, ἀλλ' ἐκ τοῦ αὐτοκινήτου προσεχῶς ὑφίστανται, δῆλον ὅτι ἑκάστου εἴδους τῶν ἐν τοῖς σώμασι, καὶ ὅλως γενητῶν, ἡ πρωτουργὸς ἀρχὴ ψυχική ἐστι, καὶ ἐκεῖνά εἰσι τὰ εἰλικρινέστερα, καὶ καθαρώτερα. Ἵνα γὰρ ἐφ' ἑνὸς ποιήσωμεν τὸν λόγον· τὸ ἐν σώμασι καλὸν ἐν σαρξίν ἐστι, καὶ νεύροις, καὶ τοῖς τὸ σῶμα συμπληροῦσιν, εἰ τύχοι, τῶν ζώων· καλλῦνον μὲν, ὡς δυνατὸν, ἐκεῖνα· μεταλαμβάνον δὲ καὶ αὐτὸ τῆς ἐκείνων ἀσχημοσύνης, καὶ βεβαπτισμένον εἰς αὐτήν. Τὸ δὲ ἐν τῇ ψυχῇ καλὸν, ἀπολελυμένον τούτων ἁπάντων, καὶ οὐκ ἔτι εἰκὼν καλοῦ, ἀλλ' αὐτόκαλον ὑπάρχον, λόγος καθαρός ἐστιν· οὐ πῇ μὲν καλὸν, πῇ δὲ οὐ καλὸν, ἀλλ' ὅλον δι' ὅλου καλόν. Διὸ καὶ ὅταν ἡ ψυχὴ τὸ ἐν αὑτῇ καλὸν ἴδῃ, ἢ τὸ ἐν ἄλλῃ ψυχῇ, ἀτιμάζει τὸ σωματικὸν καλὸν, καὶ περιπτύει αὐτὸ, πρὸς ἐκεῖνό γε παραβάλλουσα. Οὕτω δὲ καὶ τῶν ἄλλων εἰδῶν ἕκαστον πρωτουργὸν καὶ εἰλικρινές ἐστιν ἐν τῇ ψυχῇ.

Δῆλον δὲ, ὅτι τοῖς σώμασιν ὁμοίως καὶ αἱ ψυχαὶ διήρηνται, ἴδια τὰ σώματα κινοῦσαι· καὶ αἱ μὲν τῶν οὐρανίων εἰσὶν, αἱ δὲ τῶν ὑπὸ σελήνην. Ἄτοπον γὰρ, τὰ μὲν χείρονα τῶν σωμάτων ἔμψυχα εἶναι καὶ ζῆν, τὰ δὲ κρείττονα ἄψυχα καὶ νεκρά. Καὶ λόγον οὖν ἔχουσιν αἱ ψυχαὶ πρὸς ἀλλήλας, ὅνπερ τὰ σώματα, αἰτίαι οὖσαι αἱ ἐν οὐρανῷ τῶν ὑπὸ σελήνην. Καὶ σεμνὸν μὲν ὄντως καὶ τίμιον τὸ χρῆμα τῆς ψυχῆς, καὶ μάλιστα τῆς οὐρανίας, καὶ εἰς ἀρχῆς λόγον ἐπιτήδειον, ἀλλ' οὔτοι γε τῆς πρώτης. Τὸ γὰρ αὐτοκίνητον καὶ αὐθυπόστατον, τῶν μὲν ἑτεροκινήτων καὶ ἑτέρωθεν ὑφισταμένων προϋπάρχον· διπλόην δὲ ὅμως ἔχει τινὰ, κινοῦντος καὶ κινουμένου, καὶ ὑφιστῶντος καὶ ὑφισταμένου. Δεῖ δὲ πρὸ τοῦ συνθέτου τὸ ἁπλοῦν εἶναι, καὶ πρὸ τῶν δύο τὸ ἕν. Ἔτι δὲ καὶ ὑφ' ἑαυτοῦ κινεῖται τὸ αὐτοκίνητον· ἀλλὰ κινεῖται ὅμως, καὶ μεταβάλλει· κἂν μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὰς

Igitur si principia sunt incorporea et indivulsa et simplicia, et per se efficacia, et per se mobilia subsistentia, aut aliquid hisce præstantius; corpora vero talia esse non possunt : corpora principia non esse constat. Quodnam ergo est illud per se mobile, quod dicimus vim habere movendi corpora, quæ alieno motu cientur, et respectu illorum habere principii rationem? Quod vero aliud id est, nisi id quod intrinsecus movetur? At, si id ipsum rursus ab alio moveretur, non intrinsecus moveri diceremus, sed extrinsecus, sicuti corpora. Nam proprie movens est primum movens : veluti, si manu et baculo moveam lapidem, ego sum proprie is qui movet. Quid est igitur quod corpora intrinsecus moveat? Quid aliud, nisi id quod Animam dicimus? Nam quod est animatum, intrinsecus movetur : et quod intrinsecus movetur, animatum dicimus. Quod si anima est quæ intrinsecus moveat corpora; quod vero corpora intrinsecus movet, per se mobile est; anima erit illud per se mobile, quod quærimus; principium et caussa eorum quæ oriuntur et moventur, horumque rationes in sese continens, secundum quas ea fiunt quæ fiunt, et moventur quæ moventur. Quod si enim primariæ non sunt in corporibus formæ, sed ex eo quod per se mobile est, proxime constituuntur; perspicuum est, cujusque formæ, quæ in corporibus inest, et omnino quæ in rebus genitis, primarium principium animam esse, et illas esse formas (sive species) sinceriores puriores que. Ut enim uno rem exemplo declaremus: pulchritudo corporum in carnibus sita est, et nervis, et omnino in iis quibus expletur corpus atque absolvitur, si ita cadat, animalium : quæ et illa quidem, quantum fieri potest, exornat; sed et deformitatem eorum participat, et in ea demergitur. Animi vero pulchritudo, his soluta omnibus, cum non jam imago pulchritudinis, sed ipsa per se pulchra sit, pura (pulchritudinis) ratio est : non partim quidem pulchra, partim vero non pulchra, sed tota et penitus pulchra. Quare etiam, cum anima vel suam vel alterius animæ pulchritudinem perspexit, pulchritudinem corporis aspernatur et despicit, cum illa altera collatam. Sic vero etiam aliarum formarum quælibet primaria et sincera est in anima.

Perspicuum est autem, ut corpora, sic etiam animas dividi, quæ sua corpora movent: aliasque esse cœlestium corporum, alias sublunarium. Absurdum est enim, cum deteriora corpora sint animata et vivant, præstantiora carere anima atque vita. Habent igitur etiam animæ inter sese eamdem rationem atque corpora : cœlestes enim animæ, earum caussæ sunt quæ infra lunam sunt. Ac revera magnificum quiddam et pretiosum est anima, præsertim cœlestis, et ad principii rationem adcommodata, neque tamen primi. Quod enim per se et movetur et subsistit, quamvis iis, quæ alieno motu cientur et aliunde exsistunt, sit prius, duplicem tamen rationem habet, moventis et mobilis, efficientis et effecti. Oportet autem simplex antecedere composito, et unum prius esse duobus. Præterea quod per se mobile est, a se ipso quidem cietur; sed movetur tamen, et mutatur, licet non essentiæ ratione, sed secundum actio-

ἐνεργείας· οὐ τὰς σωματικὰς κινούμενον κινήσεις, (κατὰ γὰρ ἐκείνας, ἀκίνητόν ἐστιν,) ἀλλὰ τὰς ψυχικάς· αἷς ὀνόματά ἐστι, σκοπεῖσθαι, βουλεύεσθαι, διανοεῖσθαι, δοξάζειν· καθ' ἃς αὐτὴ κινουμένη, κινεῖ τὰ σώματα κατὰ τὰς σωματικὰς κινήσεις.

Δεῖ δὲ πρὸ τοῦ ὁπωσοῦν μεταβάλλοντος εἶναι τὸ τελέως ἀμετάβλητον, ἵνα καὶ τὸ μεταβάλλον μένῃ μεταβάλλον. Ἡ μὲν γὰρ κίνησις καὶ μεταβολὴ καὶ τοῖς οὐρανίοις καὶ τοῖς ὑπὸ σελήνην ἀψύχοις ὑπάρχει, τῆς πρώτης * * κινούσης. Τὸ δὲ ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως, καὶ περὶ τὰ αὐτὰ, καὶ καθ' ἕνα λόγον, καὶ μίαν τάξιν, πόθεν ὑπάρχει τοῖς οὐρανίοις; πόθεν δὲ καὶ ἐν τοῖς ὑπὸ σελήνην ἡ ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ ἀεὶ ἀνακύκλησις, τῶν τε στοιχείων, καὶ τῶν ὡρῶν, καὶ τῶν ζώων, καὶ τῶν φυτῶν; κἂν γὰρ τῷ ἀριθμῷ μὴ μένῃ ταὐτὰ τὰ ἀνακυκλούμενα, ὥσπερ ἐπὶ τῶν οὐρανίων, ἀλλὰ τῷ εἴδει τὰ αὐτὰ ἀποκαθίσταται. Ἐκ γὰρ πυρὸς, ἀήρ· καὶ ἐξ ἀέρος, ὕδωρ· καὶ ἐξ ὕδατος, γῆ, καὶ πάλιν πῦρ· καὶ μετὰ ἔαρ, θέρος, καὶ μετόπωρον, καὶ χειμὼν, καὶ πάλιν ἔαρ· καὶ ἀπὸ πυροῦ, καλάμη, καὶ βοτάνη, καὶ ἄσταχυς, καὶ πάλιν πυρός· καὶ ἀπὸ ἀνθρώπου, σπέρμα, καὶ καταμήνιον, καὶ πάλιν ἄνθρωπος. Πόθεν οὖν αὕτη ἡ ταυτότης; ἡ γὰρ κίνησις, ἐκστατική ἐστι, καὶ ἑτεροποιός· δῆλον οὖν, ὅτι ἀπὸ ἀκινήτου τινὸς καὶ παντάπασιν ἀμεταβλήτου αἰτίας, τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης. Καὶ γὰρ τοῦ ποτὲ μὲν τάδε * * νοοῦντος ἢ ποιοῦντος, ποτὲ δὲ χρονικὰς τὰς ἐνεργείας ἔχοντος, προηγεῖσθαι ἀνάγκη τὸ ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως, καὶ ἐν ἀμερεῖ καὶ ἀκινήτῳ αἰῶνι πάντα ἐνεργοῦν. Ὅσῳ γὰρ τοῦτο τοῦ αὐτοκινήτου κρεῖττον, τὸ μὴ μόνον κατ' οὐσίαν ἀμετάβλητον, ἀλλὰ καὶ κατὰ δύναμιν, καὶ κατ' ἐνέργειαν, πρόδηλόν ἐστι. Τὸ δὲ κρεῖττον ἀνάγκη προϋπάρχειν κατ' οὐσίαν τῶν καταδεεστέρων. Καὶ χρὴ τὸν ἐπὶ τὰς ἀρχὰς ἀναβαίνοντα ζητεῖν, εἰ δυνατὸν εἶναί τι κρεῖττον τῆς ὑποτεθείσης ἀρχῆς· κἂν εὑρεθῇ, πάλιν ἐπ' ἐκείνου ζητεῖν· ἕως ἂν εἰς τὰς ἀκροτάτας ἐννοίας ἔλθωμεν, ὧν οὐκέτι σεμνοτέρας ἔχομεν· καὶ μὴ στῆσαι τὴν ἀνάβασιν. Οὐδὲ γὰρ εὐλαβητέον μὴ κενεμβατῶμεν, μείζονά τινα καὶ ὑπερβαίνοντα τὰς πρώτας ἀρχὰς περὶ αὐτῶν ἐννοοῦντες. Οὐ γὰρ δυνατὸν τηλικοῦτον πήδημα πηδῆσαι τὰς ἡμετέρας ἐννοίας, ὡς παρισωθῆναι τῇ ἀξίᾳ τῶν πρώτων ἀρχῶν, οὐ λέγω καὶ ὑπερπτῆναι. Μία γὰρ αὕτη πρὸς θεὸν ἀνάτασις ἀρίστη, καὶ ὡς δυνατὸν ἄπταιστος· τὸ, ὧν ἐννοοῦμεν ἀγαθῶν, τὰ σεμνότατα καὶ ἁγιώτατα καὶ πρωτουργὰ καὶ ὀνόματα καὶ πράγματα αὐτῷ ἀνατιθέντας, εἰδέναι βεβαίως, ὅτι μηδὲν ἀνατεθείκαμεν ἄξιον. Ἀρκεῖ δὲ ἡμῖν εἰς συγγνώμην, τὸ μηδὲν ἔχειν ἐκείνων ὑπέρτερον.

Ἀνελθόντος τοίνυν τοῦ λόγου ἀπὸ τοῦ αὐτοκινήτου ἐπὶ τὸ ἀκίνητον καὶ κατὰ πάντα τρόπον ἀμετάβλητον αἴτιον, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχον, τῇ τε οὐσίᾳ, καὶ ταῖς δυνάμεσι, καὶ ταῖς ἐνεργείαις, καὶ ἐν αἰῶνι ἱδρυμένον τῷ τὸν χρόνον τοῖς κινουμένοις

nes : et quidem non corporeis movetur motionibus, (nam quod ad illas attinet, immobile est,) sed quæ animarum sunt propriæ; quarum nomina sunt, considerare, deliberare, cogitare, opinari : quibus ipsa cum moveatur, corpora movet corporeis motionibus.

Omnino autem ante id quod utcumque mutatur, esse oportet id quod nullo modo mutetur, ut et id, quod mutatur, mutabile maneat. Motio enim atque mutatio et cœlestibus et sublunaribus inanimatis præsto est, movente anima prima. Quod vero semper eadem ratione, eodemque modo, et circa eadem, et una ratione eodemque ordine moventur, id cœlestibus unde contigit? unde vero etiam sublunaribus contingit perpetuus ex eisdem ad eadem veluti in orbem reditus, tam elementis, quam anni vicissitudinibus, denique animantibus, atque stirpibus? etiamsi enim numero eadem non permanent hæc in orbem redeuntia, quod fit in cœlestibus; specie tamen ac forma in eadem restituuntur. Nam ex igne fit aer et ex aere aqua, et ex aqua terra, rursusque ignis : post ver instat æstas, et autumnus, et hiems, rursusque ver : et e frumento culmus, et herba, et spica, et rursus frumentum : et ab homine semen, et menstruum, et rursus homo. Unde igitur ista ad idem reversio? Nam ipse motus discrimen diversitatemque efficit. Perspicuum est igitur, esse hoc ab immobili aliqua et prorsus immutabili caussa, cujus una eademque ratio perpetuo sit. Nam ei quod alias [hoc, alias illud,] cogitat aut agit, alias diuturnas habet actiones, antecedere necesse est id, quod uno eodemque modo perpetuo se habeat, et ævo divisionis atque motionis experte agat omnia. Quanto enim eo quod per sese movetur sit præstantius illud, cujus non essentia modo est immutabilis, sed et potentia et actio, clarum est. Quod vero præstantius, idem etiam essentiæ ratione prius esse necesse est deterioribus. Et qui ad principia adscendere vult, is quærere debebit, possitne aliquid etiam eo esse principio præstantius quod statuimus. Quod si repertum fuerit, rursus in illo quærendum, donec ad supremas cogitationes pervenerimus, quibus nihil restet excellentius; nec prius ab adscensu desistendum. Neque enim verendum, ne inanis sit nostra progressio, majora quædam, quæque prima principia excedant, de iis cogitando. Neque enim fieri potest, ut tantum saltum faciamus cogitatione nostra, ut æquemus primorum principiorum dignitatem, ne dicam superemus. Una enim hæc quæ ad Deum fit contentio, est optima; et omnis, quantum fieri potest, erroris expers : ut, cum eorum bonorum quæ cogitatione persequimur, gravissima et sanctissima et primaria tam nomina, quam res, ei tribuerimus, illud persuasissimum habeamus, nihil nos ipso dignum ei tribuisse. Sed ad veniam impetrandam illud nobis satis est, quod nihil habeamus, quod istis sit excellentius.

Ratione igitur a per se mobili ad immobile progressa, et ad caussam omnibus modis immutabilem, quæ uno eodemque modo semper se habet, tam essentia, quam viribus et actionibus, et in æternitate collocatam, quæ tempus cum iis quæ moventur produxit; etiam complurium illorum prin-

συνυποστήσαντι· καὶ τῶν πολλῶν ἀρχῶν, τῶν ἐν τῷ αὐτοκινήτῳ, τὰς ἀρχικωτέρας αἰτίας ἐν τῷ ἀκινήτῳ θεασόμεθα, ἀκινήτους, καὶ αἰωνίας, καὶ ὁλοτελεῖς, καὶ πρὸς ἀλλήλας ἡνωμένας, ὡς ἑκάστην τὰς πάσας εἶναι διὰ τὴν ἕνωσιν, μενούσης ἀσυγχύτου τῆς νοερᾶς διακρίσεως. Πόθεν γὰρ τοῖς ἐν τῷ κόσμῳ εἴδεσιν ἡ διάκρισις, εἰ μὴ ὁ τοῦ κόσμου δημιουργὸς θεὸς κατὰ τὰς ἐν αὐτῷ διακεκριμένας αἰτίας αὐτὰ παρήγαγεν; οὐ μέντοι τοιαύτην ὑπονοητέον ἐκεῖ τῶν ἀρχετύπων εἰδῶν τὴν διάκρισιν, οἵα ἐστὶν ἡ τῶν εἰκόνων ἐνταῦθα· οὐδὲ ἡ τῶν ψυχικῶν λόγων διάκρισις τοιαύτη ἐστὶν, οἵα ἡ τῶν σωματικῶν. Ὥσπερ δὲ ἕκαστος τῶν ὀκτὼ οὐρανῶν, καὶ τῶν ἐν αὐτοῖς ἀστέρων, καὶ μέρος ἐστὶ τοῦ ὅλου οὐρανοῦ, καὶ αὐτοτελὲς μέρος, οὐσίαν τε ἔχων ὁλόκληρον, καὶ δυνάμεις καὶ ἐνεργείας οἰκείας· καὶ οὐ μόνον τὰ ἐν οὐρανῷ, ἀλλὰ καὶ τῶν ὑπὸ σελήνην εἰδῶν τῶν ἀεὶ ὄντων ἕκαστον, οἷον τὸ ἀνθρώπου, τὸ ἵππου, τὸ συκῆς, ἢ ἀμπέλου· (ὁλόκληρα γὰρ τούτων ἕκαστα, κἂν μὴ κατὰ τὰ ἄτομα, ὥσπερ τὰ οὐράνια, ἀλλὰ κατὰ τὰ εἴδη, τὰ ταῖς οἰκείαις διαφοραῖς πληροῦντα τὸν κόσμον·) ὁμοίως δὲ καὶ τῶν ἁπλουστέρων γενῶν ἕκαστον τῶν συνιστώντων τὰ εἴδη, οἷον οὐσία, κίνησις, στάσις, ταυτότης, ἑτερότης, κάλλος, ἀλήθεια, συμμετρία, καὶ πάντα τὰ ἄλλα τὰ ἐν τῷ σωματικῷ κόσμῳ, ἕκαστον ὅλον καὶ τέλειόν ἐστι κατὰ τὸ ἑαυτοῦ εἶδος, καίπερ πολλὰς ἔχον διαφορὰς ἐν ἑαυτῷ. Πολλῷ δὲ ἔτι μᾶλλον ἐν τῇ τοῦ παντὸς ψυχῇ ὁλοτελὲς ἕκαστον προϋπάρχει, ἀρχὴ καὶ αἰτία τοῦ ἐνταῦθα σωματικοῦ αὐτοκίνητος, συνῃρημένως αὐτοῦ τὰς διαφορὰς περιέχουσα. Καὶ πρὸς ἐκεῖνο τὰ ἐνταῦθα ἀπεικονίσθη, τελειότερον καὶ εἰλικρινέστερον καὶ παραδειγματικώτερον ὑπάρχον· πολλῷ δὲ ἔτι μᾶλλον καὶ τὰ τούτων ἀρχέτυπα εἴδη, τὰ νοερὰ καὶ θεῖα. Διὰ γὰρ τὴν ἕνωσιν, ὡς εἶπον, ἐν ἐκείνοις οὐ κατὰ ἐπαφὴν οὖσαν, ἢ συνέχειαν, ἢ κρᾶσιν σωματικὴν, ἀλλὰ κατὰ τὴν τῶν ἀδιαστάτων καὶ ἀμερίστων εἰδῶν εἰς ἓν συναλοιφὴν, μετὰ τοῦ μένειν ἀσύγχυτον τὴν διάκρισιν, τὸ ὁλοτελὲς ἕκαστον ἔχει. Καὶ ἔστιν ἀρχὴ καὶ πρωτουργὸς ἕκαστον τοῦ καθ' ἑαυτὸ εἴδους ἄχρι τῶν ἐσχάτων. Αἱ δὲ πολλαὶ ἀρχαὶ πάντων ἀπὸ μιᾶς ἀρχῆς ἔχουσι τὸ τῆς ἀρχῆς ἀξίωμα. Ἀνάγκη γὰρ πρὸ τῶν πολλῶν ἓν εἶναι, τὸ αἴτιον. Διὸ καὶ τῶν πολλῶν ἕκαστον ἕν ἐστιν· οὐ μέντοι τοιοῦτον, οἷον τὸ πρὸ τῶν πολλῶν. Τὸ μὲν γὰρ ἓν ἀπὸ τῶν πολλῶν μέρος ἐστὶ τῶν πολλῶν, καὶ ἐν μέρει τὴν ἁπλότητα τοῦ ἑνὸς ὑπεδέξατο.

Τὸ δὲ πρὸ τῶν πολλῶν ἓν, αἴτιον τῶν πολλῶν ὑπάρχον, προείληφεν ἐν ἑαυτῷ τὰ πολλὰ κατὰ μίαν ἕνωσιν, πάντα ὂν πρὸ πάντων, αἰτία αἰτιῶν ὑπάρχον, καὶ ἀρχὴ ἀρχῶν, καὶ θεὸς θεῶν, ὥσπερ ὑπὸ πάντων αὐτοφυῶς ἀνευφημεῖται. Ἔστι δὲ καὶ ἀγαθότης ἀγαθοτήτων. Τοῦ γὰρ πρώτου καθ' ἑκάστην ἰδιότητα αἰτίου πάντα ἐφίεται τὰ μετ' αὐτό· οὗ δὲ πάντα ἐφίεται, τοῦτο ἀγαθόν ἐστιν· ἡ δὲ τῶν ἀρχῶν ἀρχὴ ἀγαθότης ἐστὶν ἀγαθοτήτων· ὁμοίως δὲ καὶ δύναμις

cipiorum, quæ sunt in per se mobili, caussas superioris ordinis inesse in immobili videbimus, immobiles, æternas, perfectas, et inter se copulatas, ut unaquæque contineat universas ob conjunctionem; ea discretione, quæ cogitatione et mente fit, impermista manente. Unde enim est formarum, quæ in mundo sunt, discrimen, nisi mundi opifex Deus pro caussis in ipso distinctis eas produxit? Neque tamen illic tale principalium formarum fingendum est discrimen, quale est hic imaginum: neque rationum animalium discretio talis est, qualis rerum corporearum. Sed quemadmodum octo cœlorum, et quæ in eis sunt siderum, unumquodque pars est totius cœli, et quidem pars absoluta atque per se integra, integram suam essentiam habens, et vires actionesque sibi proprias: neque vero cœlestia tantum, sed etiam unaquæque ex rerum sublunarium formis sempiternis, ut hominis, equi, ficus, vitis: (integra sunt enim horum singula; etsi non quoad individua, ut corpora cœlestia, at ratione formarum, quæ suis quæque differentiis complent mundum:) pari igitur modo simpliciorum etiam generum quodlibet formas constituentium, veluti essentia, motio, statio, identitas, diversitas, pulchritudo, veritas, concinnitas, cæteraque omnia quæ sunt in mundo corporeo, in sua quodque forma (sive specie) totum et perfectum est, quamquam multas habet differentias in se ipso. Multo vero magis in anima universi integrum unumquodque præexsistit, principium et caussa corporearum rerum, quæ hic sunt, per se mobilis, differentias earum copulate in se complectens. Et ad illius exemplar, ut perfectius, et sincerius, et luculentius, res terrenæ sunt effictæ; multoque etiam magis harum rerum primogeniæ formæ intelligibiles et divinæ. Ob unionem enim quæ in illis, ut dixi, est, non contactu aut continuitate aut mixtione corporea, sed inseparabilium et indivisibilium formarum copulatione et unione, ita suam quodque perfectionem habet, ut impermista maneat discretio: et unumquodque principium est et primaria caussa suæ formæ usque ad extremas. Multa vero illa omnium principia ab uno principio sortita sunt principii dignitatem. Nam ante multa illa, unum esse oportet, nempe caussam. Quare et multorum illorum quodlibet unum est; non tamen tale, quale id est quod multis antecedit. Nam unum de multis, pars est multorum, vicissimque simplicitatem unius suscipit.

Id vero unum, quod multis antecedit, multorumque caussa est, multa illa in se ipso una communione ante continet: estque Omnia ante omnia, Caussa caussarum, et Principium principiorum, et Deus deorum; quemadmodum ab omnibus, naturæ ipsius instinctu, celebratur. Est vero et Bonitas bonitatum. Nam primam in quaque proprietate caussam adpetunt omnia, quæ post eam sunt: quod vero adpetunt omnia, bonum est: ergo principium principiorum bonitas est bonitatum; itemque Potestas potestatum.

δυνάμεων. Ἑκάστη γὰρ ἀρχὴ τὴν ἀκροτάτην ἔχει δύναμιν ἐν τῷ ἑαυτῆς εἴδει· ἡ δὲ τῶν ἀρχῶν ἀρχὴ, τὴν ἀκροτάτην ὑπὲρ πάσας τὰς δυνάμεις. Ἀλλὰ καὶ γνῶσιν ἔχειν ἀνάγκη τὴν ἀκροτάτην. Οὐ γὰρ ἄν τι τῶν ὑπ' αὐτοῦ παραγομένων ἀγνοήσειε· πάντα δ' ὑπ' αὐτοῦ παρήχθη ῥᾳδίως. Διὸ ἀνάγκη, καθάπερ ὁ λόγος ἀποδεικτικῶς ἀπὸ τῶν μερῶν ἀνῆλθεν ἐπὶ τὸ ὅλον, (οὐ γὰρ ἂν ἔγνωμεν τὸ ὅλον, ὁπόσον καὶ ὁποῖόν ἐστι, μὴ τὰ μέρη προθεασάμενοι· ἀλλ' ἑνὶ πολλάκις μερικῷ περιτυγχάνοντες, ἐκεῖνο τὸ ὅλον ἡγούμεθα,) οὕτω καὶ τὴν τιμὴν καὶ τὸ σέβας διὰ τῶν μερῶν ἐπὶ τὸ ὅλον ἀναπέμπεσθαι χρὴ, εἴπερ καὶ ἑκάστη τῶν ἀρχῶν ἀρχή ἐστι, καὶ κατὰ τοῦτο ὁμοφυὴς πρὸς τὸ ὅλον, ὥσπερ καὶ ὁμώνυμος. Οὐ γὰρ ὄνομα μόνον ἐστὶ τὸ κοινὸν, ἀλλὰ καὶ αὐτὸ τὸ ἀρχικὸν ἀξίωμα, καὶ ἡ τῶν ἀρχῶν ὑπεροχὴ πρὸς τὰ ἀπ' αὐτῶν, ἀπὸ τῆς μιᾶς καὶ ὅλης ταῖς πολλαῖς καὶ μερικωτέραις ἐνδέδοται. Εἰ δέ τις δυσχεραίνει τῷ αὐτῷ καλεῖν ὀνόματι τάς τε μερικὰς καὶ τὴν ὅλην· πρῶτον μὲν οὐκ εὐλόγως δυσχεραίνει, καὶ πράγματι δοκοῦντος εἶναι κοινοῦ τοῦ ἀρχικοῦ· ἔπειτα τὰς μὲν ἀρχὰς καλείτω, τὴν δὲ ἀρχὴν ἀρχῶν. Κἂν γὰρ καὶ τῶν μερικῶν ἑκάστη ἀρχὴ ἀρχῶν ἐστιν, ὡς μερικωτέρας ὑφ' ἑαυτὴν ἔχουσα· (ἔστι γὰρ καὶ τοῦ ψυχικοῦ κάλλους ἀρχὴ, καὶ τοῦ σωματικοῦ ἄλλη καὶ κοινή πως ἀμφοῖν, ἡ τοῦ κάλλους ὡς κάλλους ἀρχή·) ἀλλ' ὅμως ἡ κυρίως ἀρχὴ τῶν ἀρχῶν, ἐκείνη ἐστὶν, ἧς ὑπερτέρα ἄλλη οὐκ ἔστιν ἀρχή· οὕτω δὲ καὶ αἴτιον αἰτίων, καὶ θεὸς θεῶν, καὶ ἀγαθότης ἀγαθοτήτων.

Ἔτι δὲ μᾶλλον ἐπιστῆσαι χρὴ, ὅτι τοῦ πάντων αἰτίου, ὑπὲρ πάντα ὄντος τὰ ὄντα, οὐδέν ἐστιν οἰκεῖον ὄνομα· πᾶν δὲ ὄνομα ἐπὶ διακεκριμένην τινὰ ἔννοιαν φέρεται· ἀλλ' ἀπὸ τῶν μετ' αὐτὸν τὰ τιμιώτατα ἐπ' αὐτὸν ἀναπέμπομεν. Καὶ αὐτὸ γοῦν, ὡς εἴρηται, τὸ τοῦ θεοῦ ὄνομα ἀπὸ τῶν οὐρανίων μετῆκται, ὡς ὀξέως κινουμένων, καὶ θεόντων. Καὶ εὐσεβῆ καλοῦμεν αὐτὸν, καὶ φιλάνθρωπον, καὶ ἀγαθὸν, καὶ δεσπότην, καὶ ἰσχυρὸν, καὶ οὐκ αἰσχυνόμεθα· ἅπερ καὶ τῶν ἀνθρώπων πολλοῖς ἐφαρμόττειν νομίζομεν. Ἀλλὰ περὶ μὲν τοῦ πρώτου τῶν τριῶν προβλημάτων, τοῦ προθεμένου δεῖξαι, ὅτι εἰσὶ πρῶται τῶν ὄντων ἀρχαὶ, καὶ θεὸς, πάντων αἴτιος, ἀρκείτω καὶ ταῦτα· κἂν ὑπολείπωνταί τινες ἔτι τῇ ἀνόδῳ βαθμοὶ πρὸς τὴν τελειοτάτην συμπλήρωσιν. Οἶδα γὰρ ὅτι καὶ τούτων τινὰ περιττὰ δόξει τισὶν, ὡς πρὸς τὸν προηγούμενον τῆς γραφῆς σκοπὸν, τὸ τοῦ Ἐπικτήτου Ἐγχειρίδιον σαφηνίσαι προθυμηθέντα.

Τὸ δὲ δεύτερον ἦν, ὅτι προνοεῖ καὶ διοικεῖ τὰ ὅλα ὁ θεός· ὅπερ ἤδη μὲν, οἶμαι, καὶ αὐτὸ διὰ πλειόνων ἐν τοῖς προειρημένοις ἀποδέδεικται, οὐ χεῖρον δ' ἂν εἴη καὶ προηγουμένης τυχεῖν ἐπισκέψεως. Εἰσὶ γάρ τινες, οἳ νομίζουσιν εἶναι τὰ θεῖα, καὶ τοιαῦτα, οἷά περ ὁ λόγος αὐτὰ ἐξέφηνεν, ἀγαθὰ, καὶ δύναμιν ἔχοντα τὴν ἀκροτάτην, καὶ γνῶσιν τὴν τελειοτάτην· τῶν μέντοι ἀνθρωπίνων καταφρονεῖν, ὡς μικρῶν καὶ εὐτελῶν ὄν-

Quodlibet enim principium summam habet in suo genere potestatem : principium vero principiorum supremam super omnes potestates potestatem. Sed et cognitionem summam possideat necesse est. Neque enim quidquam a se creatum ignoraverit : sunt autem ab illo facile procreata omnia. Quare necessario, quemadmodum ratio per demonstrationem a partibus ad totum adscendit; (nec enim cognovissemus, quantum esset totum, et quale esset, nisi partes fuissemus ante contemplati : fit enim interdum, ut, cum in partem aliquam incidimus, ipsum totum illud esse existimemus;) sic etiam honos et cultus per partes ad totum est referendus; quandoquidem et quodlibet principium est principium, eaque ratione agnatum toti, ut et nominis ejusdem particeps. Neque enim nomen tantum est commune : sed et ipsa principalis dignitas et excellentia principiorum præ iis quæ ab iis orta sunt, ab uno illo et toto multis illis et singularibus est concessa. Si quis vero non committendum putat, ut eodem adpellentur nomine singularia principia, quo totum : is primum immerito ita existimat, quoniam etiam reipsa dignitas principii communis illis esse videtur : deinde cætera quidem nude principia vocet, illud autem Principium principiorum. Etsi enim et singularium quodlibet principium principiorum est; cum alia magis particularia principia sub se complectatur; (aliud est enim animi pulchritudinis principium, et aliud pulchritudinis corporeæ; et commune quodammodo utrisque pulchritudinis, ut pulchritudinis, principium :) tamen id quod est proprie Principium principiorum, illud est, quo nullum est superius principium; adeoque Caussa caussarum, et Deus deorum, et Bonitas bonitatum.

Præterea vero intelligendum potius est, caussæ omnium, quæ super ea omnia est quæ sunt, nullum esse peculiare nomen : (omne enim nomen ad distinctam aliquam notionem refertur :) sed ex iis nominibus, quæ rebus ipso posterioribus indita sunt, honoratissima quæque nos illi tribuere. Atque adeo ipsum DEI nomen, ut dictum est, a cœlestibus corporibus est translatum, quæ celeriter moveantur et currant. Et pium etiam eum vocamus, et humanum, et bonum, et dominum, et fortem; nec nos pudet, quamquam multis etiam hominibus eadem nomina tribuere solemus. Sed de prima trium quæstionum, qua propositum fuit demonstrare, esse prima rerum principia, et auctorem omnium rerum esse Deum, hæc hactenus dicta sufficiant, licet gradus adhuc nonnulli a nobis prætermissi sint, quibus ad summum fastigium et ad absolutissimam perfectionem adscendatur. Scio enim et horum nonnulla visum iri superflua quibusdam, quod quidem ad principalem scripti scopum pertineat, qui is est, ut Epicteti Enchiridion declaretur.

Alterum erat, Deum curare et administrare universa : quod etsi et ipsum, nisi fallor, copiose in superioribus est demonstratum, tamen ex professo etiam tractari profuerit. Sunt enim qui existiment, esse numina, et quidem talia, qualia sunt exposita, bona, et summa potentia prædita, perfectissimaque cognitione : sed ea res humanas contemnere, tamquam parvas et viles, et sua curatione indignas.

των, καὶ ἀναξίων τῆς ἑαυτῶν ἐπιμελείας. Τοῦτο δὲ πάσχουσι τὸ πάθος ὑπὸ τῆς δοκούσης αὐτοῖς τῶν ἀνθρωπίνων πραγμάτων ἀνωμαλίας· ὅταν κακοὺς δοκοῦντας ἴδωσιν ἄρχοντας καὶ πλουτοῦντας καὶ ὑγιαίνοντας, καὶ μέχρι θανάτου γηραιοῦ εὐροοῦντας, καὶ παισὶ τὴν εὔροιαν ἐνίοτε παραδιδόντας· τοὺς δὲ ἀγαθοὺς ἀπὸ τούτων ἀνήκεστα πάσχοντας, μηδεμιᾶς ἑπομένης, ὡς νομίζουσιν, ἐκδικήσεως. Ἀπὸ γὰρ τούτων οἱ μέν, ὡς εἴρηται πρότερον, καὶ τὸ εἶναι τὸν θεὸν τολμῶσιν ἀναιρεῖν· οἱ δὲ τὸ μὲν εἶναι, καὶ τοιοῦτον εἶναι, διὰ τὰς κοινὰς ἐννοίας ὁμολογοῦσι, τῇ δὲ περὶ τὰ ἀνθρώπινα προνοίᾳ ἀπιστοῦσι, καὶ μάλιστα ἐν συμφοραῖς ἰδίαις γενόμενοι· μὴ γὰρ ἂν τοσαύτην ἀνωμαλίαν συμβῆναι, καὶ τοὺς μὲν κακοὺς ἀτιμωρήτους, τοὺς δὲ ἀγαθοὺς ἀνεκδικήτους ἀπολείπεσθαι, θείας προνοίας ἐπιμελομένης. Ῥητέον οὖν καὶ περὶ τούτου κοινότερον καὶ καθολικώτερον, ἐκ διαιρέσεως ἐρωτῶντι τὸν λόγον. Εἰ γὰρ ὄντα, μὴ προνοοῦσι, τὰ θεῖα· ἢ ἀγνοοῦντα, ὅτι χρὴ προνοεῖν, οὐ προνοοῦσι, [ἢ γινώσκοντα]. Καὶ εἰ τοῦτο, ἢ μὴ δυνάμενα οὐ προνοεῖ, ἢ μὴ βουλόμενα· καὶ εἰ διὰ τὸ μὴ δύνασθαι, ἢ διὰ τὸ μέγεθος ὑπερβαινόντων τῶν τῇδε τὴν δύναμιν τοῦ θείου, ἢ διὰ σμικρότητα καὶ εὐτέλειαν ἀποφευγόντων τὴν πρόνοιαν αὐτοῦ. Εἰ δὲ δύναται μέν, οὐ βούλεται δέ, ἢ διὰ τρυφὴν καὶ ῥᾳθυμίαν ἀμελεῖ, ἢ πάλιν διὰ σμικρότητα καὶ εὐτέλειαν, κἂν δύνηται, καταφρονεῖ.

Τοιαύτης τῆς διαιρέσεως οὔσης, κοινῶς τέως πρὸς πάντα τὰ τμήματα αὐτῆς ῥητέον· ὅτι τοιοῦτον ὂν τὸ θεῖον, οἷον ὑπόκειται, γνῶσίν τε ἔχον τὴν ἀκριβεστάτην, καὶ δύναμιν τὴν ἰσχυροτάτην, καὶ βούλησιν τὴν ἀγαθωτάτην, καὶ πάντα δὲ ἀφ' ἑαυτοῦ τὰ ὄντα παράγον, οὔτε ἀγνοεῖ, ὅτι χρὴ τῶν παρ' αὐτοῦ παραχθέντων ἐπιμελεῖσθαι· (ὅπερ οὐδὲ τῷ νωθεστάτῳ τῶν ἀλόγων ζώων ὑπάρχει· κἀκεῖνα γὰρ τῶν οἰκείων ἐπιμελεῖται γεννημάτων·) οὔτε ἀδυνατεῖν εἰκός, οὔτε ὡς μειζόνων ὄντων, (πῶς γὰρ ἂν εἴη μεῖζον τὸ παραχθὲν τοῦ παράγοντος;) οὔτε ὡς εὐτελεστέρων, ἢ κατὰ τὸ τυχεῖν ἐπιμελείας· εἰ γὰρ τοιαῦτα ἦν, διὰ τί ὅλως παρήγετο; ἀλλ' οὔτε τὴν βούλησιν αἰτιατέον, οὔτε ὡς διὰ τρυφὴν καὶ ῥᾳθυμίαν ἀμελοῦσαν· ἀνθρώπων γὰρ αὐτῶν ταῦτα πάθη, καὶ μοχθηρῶν ἀνθρώπων· ἐπεὶ οὐδὲ τοῖς ἀλόγοις ὑπάρχει ζώοις τὸ διὰ τρυφὴν καὶ ἀργίαν τῶν οἰκείων γεννημάτων ἀμελεῖν. Ἀλλ' οὐδ' ὡς εὐτελῶν καταφρονεῖ τούτων, ἅπερ ἠξίωσε παραγαγεῖν. Ὥστε κατὰ πάντα τρόπον ἀδύνατον μὴ προνοεῖσθαι ὑπὸ θεοῦ τὰ ὑπ' αὐτοῦ παραχθέντα.

Ἰδίᾳ δὲ λοιπὸν ῥητέον πρὸς μὲν τοὺς τῆς θείας ὑπεροχῆς αἰσθανομένους, ἢ δοκοῦντας αἰσθάνεσθαι, τὰ δὲ ἀνθρώπινα κατασμικρύνοντας, καὶ ἀνάξια τῆς θείας προνοίας ἡγουμένους· ὅτι οὐδὲ τῶν εὐτελεστάτων ἐστὶν ὁ ἄνθρωπος ἐν τῷ παντί, καὶ τὰ ἀνθρώπινα πράγματα. Καὶ γὰρ ζῷόν ἐστιν ὁ ἄνθρωπος, καὶ ψυχὴν ἔχει τιμιωτάτην καὶ λογικήν, καὶ θεοσεβέστατόν ἐστι πάντων τῶν γενητῶν ζώων. Ὥστε οὐχ ἄτιμον οὐδ' εὐτελές

In hanc vero sententiam devenerunt ex humanarum rerum, quæ iis videtur, perturbatione; cum vident homines, qui improbi videntur esse, imperiis, opibus, valetudine florere, et usque ad serum obitum secundis rebus uti, easque interdum liberis suis quasi per manus tradere : bonos autem viros ab his immaniter excarnificari, nulla sequente (ut putant) ultione. His enim de caussis, alii (ut prius dictum est) esse etiam Deum negare non dubitant : alii, quamvis et esse Deum, et talem esse, propter communes notiones fateantur, tamen res humanas ab eo curari non credunt, præsertim si cum privatis calamitatibus ipsi conflictantur. Neque enim tantam fore perturbationem rerum, neque improbos ita impunitos, bonos autem viros inultos permansuros, si divina providentia mundum procuraret. Est igitur de his etiam in universum dicendum, et bipartita utendum argumentatione. Nam si dii cum sint, non consulunt rebus humanis; aut, quod ignorant iis esse consulendum, non consulunt; aut scientes. Quod si est; aut quia non possunt, non provident; aut quia nolunt. Jam, si quia non possunt; id fit, aut propter magnitudinem rerum humanarum, Dei potentiam excedentium; aut ob parvitatem et vilitatem, providentiam effugientium. Sin, cum possit, non vult; aut ob delicias et ignaviam eas negligit; aut rursus quod ob parvitatem et vilitatem, quamvis possit, eas aspernatur.

Cum hæ sint argumentationis partes, primum communiter ad omnes ejus sectiones sic dicendum : Cum tale sit Numen, quale descriptum est, cognitione præditum exquisitissima, et potentia firmissima, et voluntate optima, et omnes res a se ipso producat : nec ignorat res a se conditas esse curandas, (qui stupor ne in stupidissimas quidem pecudes cadit; nam illæ quoque suos curant fœtus :) nec per impotentiam relinquit eas, sive quod sint majores, (qui enim major possit esse res condita suo conditore?) sive quod sint viliores quam quæ curari possint; nam si tales erant, cur omnino condebantur? At nec voluntas ejus est accusanda, quasi vel ob delicias et socordiam eas negligat : non enim nisi hominum isti adfectus sunt; nec omnium, sed improborum; cum ne pecudes quidem ita vel delicatæ vel ignavæ sint, ut fœtus suos negligant. Neque vero tanquam viles eas contemnit, quas condere non est dedignatus. Sic nullo modo fieri potest, quin Deus consulat rebus a se conditis.

Sequitur, ut seorsim iis respondeamus, qui divinam quidem magnitudinem intelligunt, ac potius intelligere sibi videntur, at res humanas extenuant, et divina providentia indignas ducunt. Dicimus ergo primum, non esse hominem aut res humanas ex vilissimis in universo. Nam et animans est homo, et anima præditus maximi pretii, et rationis capaci : et omnium animalium, quæ quidem generata sunt, maxime ad Dei cultum est idoneus. Quare homo

ἐστι τοῦ θεοῦ κτῆμα ὁ ἄνθρωπος, οὐδὲ τὰ ἀνθρώπινα πράγματα, ὑπὸ ψυχῆς πραττόμενα λογικῆς. Εἰ δὲ καὶ σμικρόν τις ὑπόθοιτο τὸν ἄνθρωπον, εὐκολωτέραν αὐτοῦ τὴν ἐπιμέλειαν ὁμολογήσει. Ὥσπερ γὰρ αἱ αἰσθήσεις τῶν μειζόνων ῥᾷον ἀντιλαμβάνονται, τῶν δὲ σμικροτέρων χαλεπώτερον· (καὶ γὰρ πρὸς ὅρασιν, καὶ πρὸς ἀκοὴν, τὰ σμικρότερα δυσληπτότερα τῶν μειζόνων·) οὕτως αἱ δυνάμεις φέρουσί τε εὐκολώτερον τὰ σμικρότερα, καὶ κρατοῦσιν ἐκείνων μᾶλλον ἢ τῶν μειζόνων. Ῥᾷον γάρ ἐστι φέρειν μνᾶν ἢ τάλαντον· καὶ ἀροῦν ἢ σκάπτειν ἡμίπλεθρον ἢ πλέθρον. Ὥστε, ὅσῳ τις σμικρότερον ὑπόθοιτο, τοσούτῳ μᾶλλον εὐκολώτερον πρὸς ἐπιμέλειαν ὁμολογήσει. Ἔτι δὲ, εἰ τοῦ ὅλου κόσμου ὁ θεὸς ἐπιμελεῖται, ἀνάγκη καὶ τῶν μερῶν αὐτοῦ προνοεῖν· ὥσπερ καὶ αἱ τέχναι ποιοῦσι. Καὶ γὰρ ἰατρὸς, τοῦ ὅλου σώματος ἐπιμεληθῆναι προθέμενος, οὐκ ἂν ἀμελήσειε τῶν μερῶν· οὐδὲ στρατηγὸς, οὐδὲ οἰκονόμος, ἢ πολιτικὸς ἀνήρ. Τῶν γὰρ μερῶν ἀμελουμένων, ἀνάγκη χειρόνως τὸ ὅλον διατίθεσθαι. Οὐκ ἂν οὖν ὁ θεὸς χείρων φαίνοιτο τῶν ἀνθρώπων ἐπιμελητὴς, πρὸς τὴν τῶν ἑαυτοῦ ἐπιμέλειαν, οἵτινες μιᾷ καὶ τῇ αὐτῇ τέχνῃ τῶν τε μερῶν καὶ τοῦ ὅλου ἐπιμελοῦνται, καὶ αὐτῶν μὲν ἕνεκα τῶν μερῶν, μάλιστα δὲ τοῦ ὅλου ἕνεκεν. Ἡμεῖς δὲ πρός τινα τῶν γινομένων, ὡς εἴρηται, δυσχεραίνομεν, ἀγνοοῦντες ὅπη καὶ ταῦτα τῷ ὅλῳ συντελεῖ.

Εἰ δὲ νομίζοι τις, τὴν περὶ τὰ ἀνθρώπινα τοῦ θεοῦ πρόνοιαν, πολὺ τὸ ἀνώμαλον ἔχοντα καὶ ἐμπαθὲς καὶ τεταραγμένον, ὄχλον ἐμποιεῖν τῷ θεῷ, καὶ περισπᾷν αὐτὸν ἀπὸ τῆς ἑαυτοῦ μακαριότητος· δῆλός ἐστι τοῖς ἀνθρωπίνοις ἐπιμεληταῖς ὁμοίους νομίζων τοὺς Κρείττονας, καὶ τὸν τρόπον τῆς ἐπιμελείας ἀγνοεῖ, νομίζων ἀνάγκην εἶναι, ὥσπερ ἡμᾶς, οὕτω καὶ τὸν θεὸν, εἴ τινος ἐπιμελοῖτο, ἀφωρισμένως ἐκείνῳ παρεῖναι, καὶ παρακολουθεῖν ἑκάστῳ τῶν ὑπ' αὐτοῦ πραττομένων, οὐδενὶ σχολάζειν ἄλλῳ δυνάμενον. Καὶ οὐκ ἐννοεῖ ὁ τοιοῦτος, ὅτι καὶ νομοθέτης ἐν πόλει τάξας νόμους, τὸν τί ποιοῦντα ἢ πάσχοντα τίνος χρὴ τυγχάνειν, καὶ ἐπιμελητὰς τούτους καὶ τῶν σμικροτάτων ἄχρις ἐπιστήσας, καὶ ἐν τῷ ἑαυτοῦ κατὰ τρόπον ἤθει μένει, καὶ, ἕως ἂν οἱ νόμοι σώζωνται, δι' αὐτῶν τῆς πόλεως προνοεῖ. Οὐκ ἐννοεῖ δὲ, ὅτι πολὺ πρότερον καὶ μᾶλλον ὁ θεὸς, ὁ τὸ πᾶν ὑποστήσας, ἐμψύχους ἡμῶν οὔσας κατιδὼν τὰς πράξεις, καὶ πολλὴν μὲν ἀρετὴν ἐχούσας, πολλὴν δὲ κακίαν, ἐμηχανήσατο, ποῖόν τινα γινόμενον ἀεὶ, ποίας χρὴ δίκης τυγχάνειν, καὶ τίνας τόπους μεταλλάττειν, χείρονας ἢ βελτίονας, καὶ ποίαις συντάττεσθαι ψυχαῖς· ὅτι τὰς μὲν κακίους γινομένας ταῖς κακαῖς, τὰς δὲ ἀμείνους ταῖς ἀγαθαῖς· καὶ τί χρὴ ποιεῖν, ἢ πάσχειν, κατ' ἀξίαν, εἰς ἀλλήλας τε καὶ ὑπ' ἀλλήλων. Τοῦ μέντοι τοίους ἢ τοίους γίνεσθαι, καὶ τήνδε τὴν ἀξίαν ἢ τήνδε μεταλαμβάνειν, ταῖς βουλήσεσιν ἡμῶν ἑκάστων τὰς αἰτίας ὁ θεὸς ἀπολέλοιπεν. Ὁποῖοι γὰρ ἂν ἐθέλωμεν γίνεσθαι, τοιοῦτοι γινόμεθα διὰ τὸ αὐτεξ-

nec inhonorata, neque vilis est Dei possessio : neque viles res humanæ, quas animus rationis particeps administrat. Quod si quis vero etiam exiguam rem statuat esse hominem, eo faciliorem ejus esse curationem fateatur. Sicut enim sensus majora facilius percipiunt, minora difficilius; (nam quo quæque minora sunt, eo difficilius et videntur et audiuntur;) ita vires minora facilius et gestant et peragunt, quam majora. Facilius enim gestatur libra, quam talentum : dimidium jugerum facilius aratur et foditur, quam integrum. Quo quis igitur minorem hominem statuerit, eo faciliorem ejus esse curationem adsentietur. Porro, si totum mundum curat Deus, mundi etiam partes eum curare est necesse : quemadmodum et artifices faciunt. Nam medicus, cura totius corporis suscepta, ne partes quidem negliget : neque imperator, neque paterfamilias, neque reipublicæ gubernator. Partibus enim neglectis, totum ipsum pejus adfici est necesse. Absit igitur, ut Deus in sua curatione vincatur hominum diligentia, qui una eademque arte et partes et totum curant, cum ipsarum partium caussa, maxime vero propter totum. At nos eventus quosdam, ut dictum est, ægre ferimus, ignorantes quatenus isti quoque conducant universo.

Si quis vero existimat, Dei curam rerum humanarum, quæ multum habeant confusionis, multum perturbationum atque tumultuum, negotium facessere Deo, eumque a sua beatitate abstrahere : eum adparet humanis curatoribus similes putare deos, et rationem curationis ignorare; qui necesse esse existimet, sicuti nos, ita Deum etiam, si quid curet, seorsim illi adesse et singulas suas actiones ita persequi, ut nulli alii rei vacare interim possit. Neque cogitat is qui ita sentit, vel legislatorem constitutis in republica legibus definiisse, quæ cuique facto pœna, quæ pro injuria satisfactio debeatur, easdemque leges curatrices ad minutissima quæque statuisse; cum ipse interim a more et habitu suo non recedat, et, quamdiu leges durarint, tamdiu per eas urbi consulat. Neque porro considerat, multo prius et magis Deum, universi conditorem, cum ab animi arbitrio proficisci actiones nostras, multumque habere et virtutis et vitii, perspexisset, rationem excogitasse, qua jus cuique suum tribueretur; constituisseque, quæ in loca, sive deteriora, sive meliora, quisquis sit transferendus, et quarum animarum in societate sit collocandus; quæ animæ deteriores fuerint factæ, eas cum pravis; quæ meliores, cum bonis animabus esse collocandas : denique quid cuique pro merito faciendum aut perferendum sit, inter sese, et a sese invicem. Cæterum caussas, quibus vel boni vel mali fiamus, et talem aut talem mercedem mereamur, eas voluntati cujusque nostrûm reliquit. Quales enim fieri volumus, tales evadimus, ob animi libertatem, et quia penes nos

οὐσιον τῆς ψυχῆς, καὶ τὸ ἐφ' ἡμῖν εἶναι τήν τε ἀρετὴν καὶ τὴν κακίαν. Πᾶσί τε ἐπέστησεν ὁ θεὸς δυνάμεις τοῦ κατ' ἀξίαν ἀποκληρωτικὰς μέχρι τῆς μικροτάτης ποιήσεως.

Καὶ οὐχ, ἅπαξ ποτὲ ταῦτα μηχανησάμενος ἐν ἀρχῇ, τινὶ χρόνῳ ἀπέστη τοῦ προνοεῖν, ὥσπερ ἄν τις ἄνθρωπος ἀρκεσθῇ τῇ νομοθεσίᾳ. Οὔτε γὰρ ἀρχὴν ἔχει χρόνου ἡ θεία ἀγαθότης, ὑφ' ἧς πάντα ἀγαθύνεται, τῷ ἀεὶ εἶναι ἐκείνην· οὔτε ὁ θεὸς ποτὲ μὲν πάρεστι, ποτὲ δὲ ἄπεστι· σωματικὰ γὰρ ταῦτα. Ἀλλ' αὐτός τε ἀεὶ πᾶσι πάρεστι, πάντων ἐξῃρημένος· καὶ ἡ πρόνοια αὐτοῦ, τῷ ἀεὶ αὐτὸν καὶ πανταχοῦ εἶναι, καὶ ἀγαθὸν εἶναι, πᾶσιν ἐφήπλωται τοῖς οὖσι, κατὰ τὴν ἐπιβάλλουσαν ἑκάστῳ τῆς ἀξίας διανομήν. Καὶ ὥσπερ ὑπὸ τοῦ ἡλιακοῦ φωτὸς πάντα φωτίζεται, καὶ τὰ μὲν ὁρᾷ, τὰ δὲ ὁρᾶται, τὰ δὲ θάλλει, τὰ δὲ ζωογονεῖται, καὶ τὰ μὲν λευκαίνεται, τὰ δὲ μελαίνεται, καὶ τὰ μὲν πήγνυται, τὰ δὲ τήκεται, ἕκαστον κατὰ τὴν ἑαυτοῦ ἐπιτηδειότητα μετέχον τῆς μιᾶς αὐτοῦ καὶ πολλῆς ἀγαθότητος ἀπραγματεύτως, οὐδὲν εἴς τι τούτων τοῦ ἡλίου πονοῦντος, οὐδὲ περισπωμένου ἀπὸ τῆς ἑαυτοῦ μακαριότητος· οὕτω πολλῷ μᾶλλον τῆς τοῦ θεοῦ ἀγαθότητος, τῆς καὶ τὸν ἥλιον τῷ κόσμῳ δωρησαμένης, πάντα μετέχει ἀπραγματεύτως, καὶ ἀγαθύνεται, κατὰ τὰ μέτρα τῆς ἑαυτῶν ἐπιτηδειότητος, οὐδὲν εἰς τοῦτο τοῦ θεοῦ πονοῦντος, οὐδὲ περισπωμένου. Οὔτε γὰρ ἀντιπάσχει ποιῶν, ὥσπερ τὰ φυσικὰ πράγματα· οὔτε ἐπείσακτον ἔχει τὴν ἀγαθότητα, ἵνα κάμῃ ποτὲ δαπανωμένη· οὔτε ἄλλοτε ἄλλα πεφυκὼς ἐνεργεῖν, ὥσπερ ἡ ἡμετέρα ψυχή, ἀδυνατεῖ ποτε πρὸς τὴν πρόνοιαν τοῦ κόσμου, ἢ πρὸς τὴν ἀνάτασιν ἐκείνην τὴν ἐπὶ τὸ ἀγαθόν, τὸ τοῦ κόσμου τέλος ἐξῃρημένον. Εἰ γὰρ ἡ ἀνθρωπίνη ψυχὴ τελειωθεῖσα, καὶ εἰς θεὸν ἀναχθεῖσα, μετεωροπολεῖν λέγεται, καὶ πάντα τὸν κόσμον διοικεῖν· πόσῳ μᾶλλον ὁ τῆς ψυχῆς ὑποστάτης θεὸς ἀπερισπάστως προνοήσει τῶν ὑπ' αὐτοῦ παραγομένων;

Ἀλλ' οὐδὲ ταῦτα τὰ συμβαίνοντα περὶ τοὺς ἀγαθοὺς καὶ κακοὺς δοκοῦντας τῶν ἀνθρώπων ἄξια κινεῖν ἐστι τὴν τῆς προνοίας ἐπιστασίαν. Οὐ γὰρ ἀληθές ἐστιν ὃ νομίζομεν, ὅτι ἀγαθοὶ μὲν δυστυχοῦσί ποτε καὶ κακῶς πάσχουσιν, κακοὶ δὲ εὐτυχοῦσί τε καὶ εὐδαιμονοῦσιν· εἴπερ ἀληθῆ ἐστιν ἐκεῖνα, καὶ μὴ μάτην ἐρραψῳδήσαμεν πρότερον, ἀποδεικνύντες, ὅτι Ἀγαθός ἐστιν ἄνθρωπος ὁ τὸ ἀγαθὸν καὶ κακὸν τὸ ἀνθρώπινον ἐν τοῖς ἐφ' ἡμῖν τιθείς· καὶ ὅτι ὁ τοιοῦτος οὐδὲ ἀποτυγχάνει ποτὲ ὀρεγόμενος, οὐδὲ περιπίπτει ἐκκλίνων. Εἰ δὲ τοῦτο, οὐδέποτε προσλήψεταί τι κακόν. Καὶ γὰρ οἱ ἀποροῦντες κακὰ ταῦτα λέγουσι, τὸ ἀποτυγχάνειν ὧν ὀρεγόμεθα, καὶ περιπίπτειν οἷς ἐκκλίνομεν· ὥστε οὐ δυστυχεῖ ποτε ἀγαθὸς ἄνθρωπος, ὡς ἄνθρωπος, οὔτε πράττει κακῶς. Πάλιν δὲ κακοὺς ἀνθρώπους πάντες ἂν ὁμολογήσαιεν τοὺς παρὰ φύσιν, ὡς ἀνθρώπους, διαζῶντας. Οὗτοι δέ, τοῦ αὐτεξουσίου καὶ τοῦ ἐφ' ἑαυτοῖς ἐπιλαθόμενοι, τοῦ τὴν ἀνθρωπίνην φύσιν

est tam virtus quam vitia : omnibusque Deus præfecit potestates, quæ cuique destinent id quo dignus est, usque ad minutissimas actiones.

Neque vero hæc initio semel constituit, et deinde destitit providere; quemadmodum homo fortasse contentus fuerit leges tulisse. Neque enim initium temporis habet divina bonitas, per quam omnia bona fiunt, quia sempiterna est : neque Deus alias adest, alias abest; corporum enim ista sunt. Sed et ipse semper omnibus adest, exemtus ab omnibus : et ejus providentia, quia ipse semper et ubique est, et bonus est, ad omnes res peræque porrigitur, pro convenienti cuique dignitatis distributione. Et ut a lumine solis illustrantur omnia, et alia vident, alia videntur, alia virent, alia generantur, tum alia candescunt, alia nigrescunt, alia densantur, alia liquefiunt; et prout cujusque captus est, ita unius et magnæ bonitatis ejus absque negotio fit particeps, nihil molestiæ in horum ullo habente sole, neque a sua beatitate abstracto; sic multo magis divina bonitate, quæ et solem mundo donavit, omnia fruuntur absque illius molestia, et bona fiunt, pro ratione sui captus, nihil idcirco operose laborante Deo, neque distracto. Neque enim cum agit, vicissim patitur, ut res naturales : neque adventitiam habet bonitatem, quæ aliquando exhausta deficiat : neque ea natura est, ut alias alia agat, sicut noster animus, ac interdum procurando mundo desit, aut contentioni illi ad bonum, qui præcipuus mundi finis est. Nam si humanus animus perfectus, et ad Deum reductus, in sublimi versari, et totum administrare mundum dicitur : quanto magis Deus, auctor animi, citra sollicitudinem et occupationem consulet rebus a se conditis?

At ne illa quidem, quæ iis accidunt, qui boni aut improbi habentur, eam vim habent, ut loco moveant providentiæ curationem. Neque enim verum id est, quod putamus, bonos aliquando calamitosos esse atque miseros, malos vero fortunatos et beatos : si modo illa vera sunt, quæ supra diximus, neque nos canoris nugis occupati fuimus, cum demonstraremus, eum esse Bonum hominem, qui malum et bonum humanum in rebus nostræ potestati subjectis collocaret : ac talis qui sit, eum numquam frustrari adpetendo, neque umquam in id incidere quod declinaret. Quod si ita est, numquam ei quidquam acciderit mali. Nam et ii qui controversiam movent, Malum esse dicunt, frustrari desideriis, et in ea quæ declines incidere. Quare numquam infortunatus est homo bonus, quatenus homo est; neque male cum eo agitur. Vicissim, malos homines esse eos, qui vitam naturæ humanæ contrariam agant, omnes fatentur. Hi vero, suæ libertatis et potestatis obliti, qua natura humana a cæteris distinguitur, in rebus externis

χαρακτηρίζοντος, ἐν τοῖς ἐκτὸς τὸ ἀγαθὸν καὶ τὸ κακὸν τὸ ἀνθρώπινον ἀποτίθενται, ἐν ὑγείαις σώματος, καὶ πλούτῳ, καὶ δυναστείαις, καὶ γένει, καὶ τρυφαῖς, καὶ τοῖς τοιούτοις· τὰ δὲ κακὰ, ἐν τοῖς ἐναντίοις. Διὸ τῶν μὲν ἐν τούτοις ἀγαθῶν δοκούντων ὀρέγονται· τὰ δὲ, ὡς κακὰ, ἐκκλίνουσιν. Ἀνάγκη δὲ, ἐν τοῖς ἐκτὸς, ἐπειδὴ μή ἐστιν ἐφ' ἡμῖν ἐκεῖνα, καὶ ὀρεγόμενον ἀποτυγχάνειν, καὶ ἐκκλίνοντα περιπίπτειν. Ταῦτα δὲ ἄμφω οὐκ ἔστιν ἀγαθὰ οὐδὲ κατὰ τοὺς ἀποροῦντας, ἀλλὰ κακά. Ὥστε οἱ κακοὶ, κακοῖς ὡς ἐπὶ τὸ πολὺ περιπίπτοντες, ἐὰν ὀλίγον νήψωσιν, αἰσθήσονται, ὅτι οὔτε εὐτυχεῖς, οὔτε εὐδαίμονές εἰσιν, ἀλλὰ τὰ ἐναντία. Κἂν ὑπόθηται δέ τις, αὐτοὺς ἐν τοῖς ἐκτὸς, ἢ ὡς ἐπὶ τὸ πολὺ, ἢ καὶ ἀεὶ, εὐροεῖν, ἔτι μᾶλλόν εἰσι κακοδαίμονες. Ὅταν [γὰρ] τυγχάνωσι τούτων, ἐπιτείνουσι μᾶλλον τὴν παρὰ φύσιν ἑαυτῶν, ὡς ἀνθρώπων, διάθεσιν. Παντὶ δὲ, τὸ παρὰ φύσιν αὐτοῦ, κακία καὶ κακοδαιμονία ἐστίν.

Ἐπειδὴ δὲ οὐ μόνον βιάζεσθαι χρὴ ταῖς ἀποδεικτικαῖς ἀνάγκαις τοὺς ἀκούοντας, ἀλλὰ καὶ συμπείθειν, εἰ μέλλουσιν αἱρεῖσθαι τὰ λεγόμενα περὶ τῶν ἀγαθῶν καὶ κακῶν δοκούντων ἐν τοῖς ἐκτὸς, ὑπομιμνήσκω τῶν ἔμπροσθεν εἰρημένων· ὅτι οὐδὲ τὰ κακὰ λεγόμενα κακά ἐστι, κἂν πόνους ἔχωσι, κἂν δυσχερείας· οὐδὲ τὰ ἀγαθὰ, κυρίως ἀγαθά· ἀλλὰ τὰ μὲν λεγόμενα κακὰ, τῶν τε νοσούντων ἰατρεῖαι, καὶ τῶν ὑγιαινόντων γυμνάσια· τὰ δὲ ἀγαθὰ, καὶ αὐτὰ, πρὸς τὴν χρείαν καὶ τὴν ἀξίαν τῶν λαμβανόντων καὶ τῶν ἀποστερουμένων δίδοται. Καὶ γὰρ πλοῦτος τῷ μὲν χρήσασθαι δυναμένῳ καλῶς δίδοται διά τε τὴν εἰς ἑαυτὸν καὶ κατὰ τοῦτο ῥᾳστώνην, καὶ τὴν εἰς ἄλλους εὐποιίαν, καὶ αὔξησιν τῆς ἀγαθουργοῦ προαιρέσεως· τοῖς δὲ μοχθηροῖς, εἰς τιμωρίαν καὶ κόλασιν. Καὶ γὰρ οἱ μὲν φιλάργυροι, πονοῦντες ἅπαντα τὸν βίον περὶ χρηματισμὸν, μετὰ ἀθυμίας, καὶ ἀγρυπνίας, καὶ δέους ἀεὶ ἐπηρτημένου, οὐδὲν ἀπολαύουσι τῶν χρημάτων. Καὶ τίς ἂν εἴη ταύτης δίκη δικαιοτέρα τε καὶ χαριεστέρα; Οἱ δὲ ἄσωτοι πάλιν ὄντες, πενέστεροι τῶν προσαιτούντων εἰσί· καὶ ὑπὸ τρυφῆς δέ τινες διαφθείρονται διὰ τὸν πλοῦτον, καὶ κλιμακτῆρσι πολλοῖς περιπίπτουσι, καὶ τῆς ἑαυτῶν ἐπιμελείας κατ' ἀξίαν ἀποτυγχάνουσι, διὰ τὸν πλοῦτον μήτε μανθάνοντές τι ἀγαθὸν, μήτε τὸν κατὰ φύσιν ἀνθρώπῳ προσήκοντα βίον ἐπιζητοῦντες καὶ ἐργαζόμενοι. Οὕτω δὲ καὶ ὑγεῖαι, καὶ δυναστεῖαι, βλάπτουσι καὶ μᾶλλον τοὺς κακούς· καὶ αἱ μὲν κολαστικῶς, αἱ δὲ κατὰ τιμωρίαν δίδονται· ἵνα διὰ τῆς ἐπιτριβῆς τῶν παθῶν κορεσθέντες, ἐξεμέσωσί ποτε τὴν ἐμπάθειαν, καὶ πρὸς κόλασιν λοιπὸν καὶ κάθαρσιν ἐπιτήδειοι γένωνται. Μέλει γὰρ τῷ προνοοῦντι τῶν ψυχῶν οὐ τοῦ τὰς ἐνεργείας κατὰ πάθος ἐπέχειν τὰς ψυχὰς ἢ διὰ φόβον ἢ δι' ἕτερα πάθη, ἀλλὰ τοῦ τὴν ἕξιν αὐτὴν τὴν μοχθηρὰν ἀποτρίψασθαι. Καὶ εἴρηται ταῦτα διὰ πλειόνων πρότερον, καὶ ἐκεῖθεν αὐτῶν ὑπομνησθῆναι δεῖ τὸν δεόμενον. Καὶ ἀρκεῖ ταῦτα πρὸς

bonum humanum et malum collocant, in valetudine corporis prospera, in divitiis, potentia, nobilitate, deliciis, et similibus : mala vero, in contrariis. Itaque ea quæ in his bona videntur, adpetunt; alia, ut mala, declinant. Necesse est autem, in externis rebus, cum in nostra potestate sitæ non sint, et iis quæ adpetuntur frustrari, et in ea quæ declinantur incidere. Quæ utraque ne adversariorum quidem judicio bona sunt, sed mala. Quare mali, cum plerumque in mala incidant, si paulisper resipuerint, intelligent, se neque fortunatos, neque beatos esse, sed contra miseros et infelices. Quod si quis vero fingat, eos in rebus externis aut plerumque, aut etiam semper, secunda fortuna uti; magis etiam infelices erunt. Quum enim iis rebus potiuntur, magis confirmantur in eis adfectus et cupiditates naturæ humanæ repugnantes. Cuilibet autem id, quod est ipsius naturæ contrarium, et malum est, et calamitosum.

Sed quoniam non tantum necessitate demonstrationum cogendi sunt auditores, verum etiam persuadendo ad nostram sententiam adducendi, si eos amplecti velis ea quæ de rebus externis, bonis, ut habentur, et malis dicuntur; eorum illos commonefacio, quæ ante dicta sunt : nec ea quæ mala dicantur, esse mala, tametsi cum laboribus et difficultatibus conjuncta; neque bona, proprie bona : sed mala quæ putantur, cum ægrotantium medicinas esse, tum valentium exercitationes : bona vero et ipsa pro usu et dignitate tam accipientium quam eorum quibus adimuntur, dari. Nam divitiæ quidem ei, qui recte iis uti potest, contingunt, ut et ipse pro se facilius agitet, et aliis habeat benefaciendi facultatem, et ad beneficæ voluntatis incrementum : improbis vero, in pœnam et castigationem. Etenim avari, per omnem ætatem in congerendis opibus dies noctesque sollicite occupati, semper impendente metu, nullum ex pecunia fructum capiunt. Qua pœna quæ justior esse possit, et festivior? Alii rursus, luxuriosi, mendicis sunt egentiores : et præ deliciis pereunt per ipsas divitias, et in maxima pericula incidunt, neque sui ipsorum pro dignitate curam gerunt; ob divitias neque boni quidquam discentes, neque vitam naturæ humanæ convenientem exquirentes et amplectentes. Sic vero et valetudo, sic potentia, nocent maxime improbis : ac partim castigandi, partim ulciscendi caussa tribuuntur, ut incitatione adfectuum saturati, evomant tandem furorem, ac dehinc ad castigationem et purgationem idonei reddantur. Nam curatori animorum id curæ est, non ut animi propter metum aut propter alios adfectus cohibeant actiones ex adfectibus oriundas; sed ut ipse malus habitus et prava consuetudo destruatur. Atque hæc supra dicta sunt copiosius : unde, si cui sit opus, ea repeti poterunt. Ac adversus eos, qui

τοὺς ἀναιρεῖν τὴν τοῦ θεοῦ πρόνοιαν ἐπιχειροῦντας τοῖς λόγοις.

Ἀλλὰ δὴ τὸ τρίτον τῷ σωτῆρι, κατὰ τὸν παλαιὸν νόμον· καὶ πρὸς τὸν τρίτον, μετὰ τοῦ σωτῆρος, τῆς ἀθεΐας λόγον ἴωμεν· ὃς εἶναι μὲν τὰ θεῖα καὶ προνοεῖν τῶν ἀνθρωπίνων ὁμολογεῖ, παρατρέπεσθαι δὲ δώροις, καὶ ἀναθήμασι, καὶ κερματίου διαδόσεσιν, ὡς οἱ νῦν οἴονται· ὥστε τοὺς ἀδικοῦντας, καὶ τοὺς πλεονεκτοῦντας καὶ ἁρπάζοντας, ὀλίγην εἰς ταῦτα μοῖραν δαπανῶντας, καὶ τοῖς ὑπὲρ τοιούτων εὔχεσθαι προσποιουμένοις καὶ πείθειν διδόντας, καὶ συγχωρεῖσθαι τὰ αὐτὰ ποιεῖν, καὶ δίκην μὴ διδόναι τῆς ἁμαρτίας. Τινὲς δὲ τῶν νῦν καὶ ἄξιον τοῦτο τῆς θείας νομίζουσιν ἀγαθότητος, τὸ συγχωρεῖν καὶ συγγινώσκειν τοῖς ἁμαρτάνουσιν· ἀδιορίστως, οἶμαι, καὶ λέγοντες, καὶ γινώσκοντες. Τί οὖν πρὸς τοῦτον ἐροῦμεν τὸν λόγον; Διπλοῦν δὴ ὄντα, διαιρετέον αὐτὸν εἴς τε τὸν ἀδικοῦντα, καὶ τὸν ἀδικούμενον· καὶ σκοπητέον τὴν λεγομένην ταύτην συγχώρησιν καὶ συγγνώμην, τί μὲν εἰς τοὺς ἀδίκους δρᾷ, πῶς δὲ τοῖς ἀδικουμένοις προσφέρεται.

Εἰ μὲν γὰρ ἀγαθὸν καὶ ὠφέλιμόν ἐστι τοῖς ἀδίκοις, τὸ συγχωρεῖσθαι ἀδικεῖν, καὶ μὴ διδόναι δίκην, τάχα ἂν εἴη παρὰ θεοῦ ἡ συγχώρησις. Πᾶν γὰρ ἀγαθὸν ἐκεῖθεν ἐφήκει τοῖς οὖσιν. Εἰ δὲ κακὸν τὸ μέγιστόν ἐστιν αὐτοῖς, καὶ συνεργεῖσθαι πρὸς τὸ ἀδικεῖν, καὶ μὴ διδόναι δίκην τῶν ἁμαρτημάτων, πῶς οὖν ἂν εἴη τούτων ὁ θεὸς αἴτιος; ὃς διὰ πολλῶν ἀποδέδεικται λόγων τῶν μὲν ἀγαθῶν πάντων αἴτιος ὑπάρχειν, κακῶν δὲ ἀναίτιος. Ἀδικία τοίνυν, καὶ πλεονεξία, καὶ ἀκολασία, καὶ ὕβρις, παρὰ φύσιν οὖσαι διαθέσεις τῆς ψυχῆς, (εἴπερ τὰ ἐναντία τούτοις κατὰ φύσιν,) δῆλον ὅτι νόσοι καὶ αἴσχη καὶ κακία τῆς ψυχῆς εἰσιν. Ὁ γοῦν αὔξων ταῦτα τῇ συγχωρήσει, καὶ ἀνίατα καταλιμπάνων, ἐπιτείνει δῆλον ὅτι τὴν κακίαν. Εἰ δὲ καὶ δωροδοκῶν αὐτὸ ποιεῖ, πῶς οὐχ ἂν χείρων φαίνοιτο καὶ τῶν μέσων ἀνθρώπων; τίς γὰρ ἐπιμελεῖσθαι τινὸς ἑλόμενος, διὰ δωροδοχίαν αὐτὸ περιορᾷ κακυνόμενον; ἆρα ἰατρὸς τῶν νομίμων ἕλοιτό τις ἂν τῷ βλαπτομένῳ ὑπὸ σιτίων ἢ ποτῶν τινων, δῶρα λαμβάνων, ἢ ἱκετευόμενος, ἐπιτρέπειν αὐτῷ χρῆσθαι τοῖς βλάπτουσιν ἀδεῶς, καὶ συνεργεῖν πρὸς τὴν χρῆσιν; ἀλλὰ τὸν τομῆς ἢ καύσεως δεόμενον ἀτημέλητον ἂν καταλίποι, δώροις πειθόμενος; Εἰ οὖν ἰατρικὴ τῆς πονηρίας ἐστὶν ἡ τοῦ θεοῦ δίκη, πῶς δυνατὸν τῆς ἀνθρωπίνης ἰατρικῆς χείρονα φαίνεσθαι;

Ἀλλὰ καὶ τῶν ἀδικουμένων προνοεῖν λεγόμενος, καὶ ἐπιμελεῖσθαι αὐτῶν, ἴδωμεν ὅπως καὶ τούτοις χρῆται, παραιτητὸς ὢν τοῖς ἀδικοῦσι συνεργεῖν διὰ τὰ δῶρα. Καίτοι, τίς ἂν μέτριος ὢν [στρατηγὸς, δωροδοκούμενος ὑπὸ τῶν] πολεμίων, προδοίη ἂν αὐτοῖς τὸ στρατόπεδον; ἢ ποιμὴν, τοῖς λύκοις τὰ πρόβατα; καὶ τί λέγω ποιμήν; ἆρα οἱ ποιμενικοὶ κύνες ἕλοιντο ἂν, μοῖραν τινὰ τῶν ἁρπασθέντων προβάτων παρὰ τῶν λύκων λαμβάνοντες, ἐπιτρέπειν αὐτοῖς τὰ λοιπὰ διαρπάζειν;

suis disputationibus Dei providentiam tollere conantur, satis multa diximus.

At tertium Servatori, veteri consuetudine. Ad tertiam igitur impietatis rationem, Servatore propitio, accedamus: quæ et esse quidem numina, et consulere fatetur rebus humanis; sed eadem muneribus et donariis et stipis distributione corrumpi statuit, ut nostræ ætatis homines sentiunt; ita quidem, ut injusti, avari, rapaces, si partem exiguam in hæc impenderint, et in eos erogarint, qui horum caussa vota se facere et exorare Deum perhibent, non modo pœnas non dent peccati, sed etiam eadem posthac perpetrandi veniam impetrent. Ex quibus sunt, qui id bonitate Dei etiam dignum esse dicant, connivere et dare veniam delictis: in quo non satis explicate, mihi quidem, et sentire videntur, et dicere. Quid ergo isti rationi respondebimus? Nempe cum duplex ea sit, dividenda est in eam, quæ pertinet ad hos qui injuriam faciunt, et quæ ad illos qui injuriam patiuntur: considerandumque, ista quæ jactatur indulgentia et venia, quid et injustis faciat, et quo modo adfectos injuriis tractet.

Nam si bonum atque utile est injustis, permitti eis injurias, neque pœnas eos dare; fortassis a Deo proficiscatur ista indulgentia. Bona enim omnia ab eo ad omnia perveniunt. Sin id maximo eis malo est, et adjuvari ad injuriam, et non dare pœnas delictorum; quo pacto istorum auctor erit Deus? quem bonorum omnium auctorem esse, et mali omnis culpa vacare, multis verbis demonstratum est. Injuria vero, avaritia, luxuria, contumelia, cum adfectiones animi sint naturæ contrariæ, (siquidem horum contraria naturæ sunt consentanea,) morbi nimirum et probra et vitia sunt animorum. Quæ qui sua indulgentia fovet atque alit, nec medicinam adhibet, is malitiam utique auget. Id vero si muneribus etiam delinitus facit; an non mediocribus etiam hominibus deterior habeatur? Quis est enim, qui suscepta rei alicujus curatione, largitionibus corruptus depravari eam sinat? Numquis ergo germanus medicus, eum qui cibis et potionibus aliquibus læditur, pretio aut precibus adductus, rebus noxiis audacter frui patietur, et ad earum usum adjutabit? num ea quæ sectionem ustionemque desiderant, acceptis muneribus, incurata relinquet? Quod si igitur medicina quædam improbitatis est vindicta divina; fieri qui potest, ut sit humana medicina deterior?

Jam cum eorum etiam qui injuriis adficiuntur, rationem habere dicatur, curamque suscipere; videamus et hos quomodo tractet, siquidem largitionibus eorum, qui injuriam faciunt, flecti se patitur, ut adjuvet eos in facienda injuria. Age vero, quis vel mediocris imperator hostibus ob largitiones prodat exercitum? quis oves lupis opilio? Et quid opilionem dico? num canes pastorales, accepta laceratarum ovium parte, diripiendum reliquum gregem lupis concedant? Et qui non erit impia ratio, quæ Deo id tribuat,

Πῶς οὖν οὐκ ἀσεϐὴς ὁ λόγος, περὶ θεοῦ τι λέγων, ὅπερ οὐδὲ κυσὶ προσήκει ποιεῖν; Ὅλως δὲ, δώροις παράγεσθαι τὸν θεὸν ὑπὸ τῶν ἀδικούντων, πῶς ἔχει λόγον; ὑπὸ μὲν γὰρ τῶν εὐσεϐούντων δῶρα πολλάκις ὁ θεὸς ὑποδέχεται, οὐκ αὐτῶν δῆλον ὅτι τῶν δώρων δεόμενος· ἀλλὰ τῶν προσαγόντων, ὥσπερ ψυχικῶς, οὕτω καὶ διὰ τῶν ἐκτὸς, πρὸς αὐτὸν ἀνατεινομένων. Καὶ εἰ μὲν προσῆγον οἱ κακοὶ τὰ δῶρα, δίκης τυχεῖν καὶ ἰατρευθῆναι δεόμενοι, τάχα ἂν ἀπεδέχετο τὰ δῶρα ὁ θεὸς καὶ παρὰ τούτων. Εἰ δὲ, ἵνα χείρονες γένωνται, πῶς ἔχει λόγον; κἂν γὰρ μηδὲν ἄλλο ἐπλημμελήσαμεν, ἤρκει τὸ δώροις ἐλπίζειν παραπείθειν τὸν θεὸν, ἔτι μᾶλλον ἀποστῆναι αὐτοὺς τῆς πρὸς αὐτὸν οἰκειότητος.

Τίς οὖν ἐστιν οὗτος ὁ λόγος, πολὺς περιφερόμενος; καὶ πόθεν ἔχει τὴν ἀρχήν; ὁ λέγων, δώροις, καὶ ἀναθήμασιν, εὐχαῖς τε καὶ εὐποιίαις, καὶ ἱκετείαις, μεταπείθεσθαι τὸ θεῖον; καὶ συγγινώσκειν τοῖς ἁμαρτάνουσιν; ἴσως γὰρ οὐ μάτην πιστεύεται. Μήποτε οὖν, ἁπλῶς μὲν οὕτω λεγόμενος, [οὔτε εὐσεϐὴς] οὔτε ὅσιος ἀποδέχεσθαι· μεταμελομένων δὲ γνησίως τῶν ἁμαρτανόντων, ταῦτα συντελεῖ πρὸς τὴν ἐπὶ τὸ θεῖον ἐπιστροφὴν, τεκμήρια τῆς μεταμελείας γινόμενα, καὶ τῆς οὐ μόνον κατὰ ψυχὴν ὑποκατακλίσεως, ἀλλὰ καὶ κατὰ τὸ σῶμα, γονυκλιτούντων τε, καὶ προσκυλιομένων, καὶ τὰ ἐκτὸς ἀνατιθέντων τε, καὶ δαπανώντων εἰς τὰ τῷ θεῷ ἀρεστά. Οὔτε γὰρ, ἁμαρτανόντων ἡμῶν, ὁ θεὸς ἀποστρέφεται, ἢ ὀργίζεται, ἢ χωρίζεται ἐξ ἡμῶν· οὔτε μεταμελομένων ἡμῶν αὐτὸς ἐπιστρέφεται, ἢ πρόσεισιν ἡμῖν ἀγαθυνθείς. Ἀνθρωπικὰ γὰρ ταῦτα, καὶ πόῤῥω τῆς κατὰ πάντα ἀμεταϐλήτου θείας μακαριότητος. Ἀλλ' ἡμεῖς, κακυνθέντες διὰ τῆς εἰς τὸ παρὰ φύσιν ἐκπτώσεως, καὶ ἀνομοιωθέντες πρὸς τὴν θείαν ἀγαθότητα, διὰ τοῦ ἄδικοι καὶ ἀνόσιοι καὶ ἄφρονες γίνεσθαι, ἀποσπῶμεν ἑαυτοὺς ἐκεῖθεν· οὐ δυνάμενοι μὲν οὐδέποτε φυγεῖν τὴν ἐπὶ πάντα διήκουσαν αὐτοῦ πρόνοιαν· ἀλλ' ὡς νοσοῦντες τότε δι' ἑαυτοὺς τῇ τῆς πονηρίας ἰατρικῇ, τῇ δίκῃ, ἐπίδοσιν ἐν ἑαυτοῖς παρέχομεν, πρὸς τὴν τοιαύτην πρόνοιαν καὶ ἐπιμέλειαν τοῦ θεοῦ ἐπιτηδείους ἑαυτοὺς παρέχοντες. Ἀνακτώμενοι δὲ τὸ κατὰ φύσιν ἑαυτῶν, καὶ πρὸς αὐτὸν ὁμοιούμενοι, (ὁμοίωσις δὲ πρὸς θεὸν, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι,) πρόσιμέν τε αὐτῷ, καὶ οἰκειούμεθα. Καὶ ταύτην τὴν ἡμῶν ἐπιστροφὴν πρὸς αὐτὸν ὡς αὐτοῦ πρὸς ἡμᾶς λέγομεν· τοιοῦτόν τι πάσχοντες, οἷον οἱ πέτρας τινὸς παραλίας κάλων ἐξάψαντες, καὶ τῷ ἐκεῖνον ἐπισπᾶσθαι ἑαυτούς τε καὶ τὸ ἀκάτιον τῇ πέτρᾳ προσάγοντες, καὶ δι' ἀπειρίαν τοῦ γινομένου δοκοῦντες οὐκ αὐτοὶ προσιέναι τῇ πέτρᾳ, ἀλλὰ τὴν πέτραν κατ' ὀλίγον ἐπ' αὐτοὺς ἰέναι. Μεταμέλειαι δὲ, καὶ ἱκετεῖαι, καὶ εὐχαὶ, καὶ τὰ τοιαῦτα, ἀναλογοῦσι τῷ κάλῳ. Διὰ γὰρ ἐκείνων τοῖς ἀποσπασθεῖσιν ἡ ἐπιστροφή· οὐχὶ λόγῳ, ἀλλ' ἔργῳ γινομένη· τῷ τοὺς μὲν ἀδικηθέντας παρ' ἡμῶν, ἢ ὑϐρισθέντας, ἢ ὁπωσοῦν ἐπηρεασθέντας, θεραπεῦσαι, αὐτοὺς, ἢ

quod et canibus sit indignum? Denique omnino, ab injustis Deum, largitionum ope, seduci, quid habet rationis? Nam a religiosis quidem hominibus sæpe munera Deus acceptat, non quod his egeat scilicet, sed quia ii a quibus offeruntur, ut animis, ita etiam externis rebus ad eum se convertunt. Quod si munera improbi offerrent, orantes pœnam sibi irrogari, et adhiberi medicinam; fortassis ne ipsorum quidem munera Deus repudiaret: sin, ut deteriores fiant; quæ ratio esse possit? Nam, si nihil aliud peccaremus, illud ipsum, quod speraremus Deum nos muneribus corrupturos, satis esset quo magis etiam ab ejus familiaritate removeremur.

Quæ est igitur ista ratio, pervulgata illa quidem, et unde ortum suum habet, quæ muneribus, et donariis, et precibus, et beneficiis, et supplicationibus ait a sententia deduci Deum, flectique ut veniam det peccantibus? fortassis enim non temere fides ei adhibetur. Videndum igitur, ne, siquidem hoc ita simpliciter dicatur, nefas sit utique dictu, et sine scelere probari non possit; sed, si eos, qui peccarunt, ex animo delictorum pœnitet, conducant ista ad reversionem ad Deum, cum sint argumenta pœnitentiæ, et submissionis non animi modo, sed etiam corporis, cum genibus flexis et prostrati res externas offerunt, et sumtus faciunt in ea quæ Deo grata esse queant. Neque enim, cum nos delinquimus, Deus aut avertitur, aut irascitur, aut recedit a nobis; neque, pœnitentibus nobis, ipse revertitur, aut accedit ad nos placatus. Humana ista sunt, et a divina beatitate, ab omni parte immutabili, remotissima. Sed nos depravati, et contra naturam prolapsi, divinæque bonitatis dissimiles facti per injustitiam, impietatem atque amentiam, ipsi nos a Deo avellimus. Et providentiam quidem ejus ad omnia pertinentem numquam effugere possumus: sed tunc, veluti ægrotantes nostra culpa, vindictæ, quæ medicina est improbitatis, aditum in nobis ipsis præbemus, ad hoc genus providentiæ et curæ divinæ idoneos nos præbentes. Tum vero, recuperato statu naturæ consentaneo, recuperataque similitudine cum Deo, (ea vero Dei similitudo est, sapientia duce fieri justum et sanctum,) Deum accedimus, et cum Deo conjungimur. De hac autem nostra ad eum conversione perinde loquimur, ac si Deus ad nos converteretur: non secus atque ii qui fune marinæ petræ injecto, quia per illum et se ipsos et naviculam ad rupem attrahunt, ob imperitiam ejus rei non se putent ad rupem accedere, sed rupem paulatim ad ipsos adpropinquare. Nam pœnitentia, supplicationes, vota, et similia, funis illius rationem habent. Per eas enim res datur evulsis reditus: qui fit non dictis, sed factis; cum læsos a nobis, aut contumelia vel damno quocumque adfectos, officiis prosequimur, vel ipsos, vel eorum posteros; cum

ἀπογόνους αὐτῶν· μισῆσαι δὲ τὴν ἀδικίαν· καὶ τῷ, τοὺς ἀδίκους ἀποστραφέντας, τοῖς τὸ δίκαιον ἀσπαζομένοις συζῆν, ἑαυτοὺς κολάζοντας. Καὶ [ἕως] ἂν τελέως καθαρθῶμεν, δεῖ ταύτῃ κεχρῆσθαι συνεχῶς, μὴ ἐκλυομένους τοῖς διαλείμμασι, καὶ ἑαυτῷ γινόμενον δίκην.

Τεκμήριον δὲ καὶ ἀποτέλεσμα τῆς ὄντως μεταμελείας, τὸ μηκέτι τὰ αὐτὰ ἁμαρτεῖν, μηδὲ τὰ ἐκείνων ἐλάττονα. Δεῖ γὰρ ἀνισοτοιχοῦντα, ὥσπερ οἱ πλέοντες, ἐπὶ τὸ ἐναντίον μεθίστασθαι. Ὅτι δὲ ἡ ἀληθὴς μεταμέλεια ἀρκεῖ πρὸς τελείαν κάθαρσιν, δῆλον ἐκ τοῦ, καὶ τὸν θεὸν εἰς τοῦτο τὸ τέλος ὁρᾷν τῆς καθάρσεως. Πάντα γὰρ τὰ εἰς ἡμᾶς γινόμενα, κολαστικά τε, καὶ τιμωρὰ, καὶ ἐνταῦθα, καὶ ἐν ᾅδου, τέλος ἔχει τὸ μεταμεληθῆναι τὴν ψυχὴν ἐπὶ τοῖς ἑαυτῆς ἀτυχήμασι, καὶ μισῆσαι μὲν τὴν κακίαν καὶ τὴν παρὰ φύσιν ζωὴν, ἑλέσθαι δὲ ἑκοῦσαν καὶ ἀσπάσασθαι τὴν ἀρετήν. Καὶ ἐπιστημονικαί τινές εἰσι τῆς λογικῆς ψυχῆς τελειότητες, ἐάν τις ἑαυτῷ γένηται δίκη. Τάχα [δὲ] καὶ θᾶττον οὗτος κατορθοῖ, διὰ τὸ αὐτοπροαιρέτως κολάζεσθαι. Καὶ γὰρ ὀδύνης χρεία, καὶ λύπης, τοῖς διὰ τρυφὴν καὶ ἡδονὴν ἁμαρτοῦσιν. Οἱ γὰρ γνησίως μεταμελόμενοι, ταῖς πικροτάταις τοῦ συνειδότος αἰκίαις ἑαυτοὺς κολάζουσιν· αἵτινες ὀδυνηρότεραι τῶν σωματικῶν εἰσι κολάσεων, καὶ τηκτικώτεραι, καὶ μᾶλλον ἐκείνων δυσπαραμύθητοι.

Ταῦτα πρὸς τὴν τρίτην ἀθείαν εἰρήσθω, χειρίστην οὖσαν ἐν ταῖς τρισίν. Αἱρετώτερον γὰρ, μὴ εἶναι μᾶλλον, μηδὲ προνοεῖν, ἢ ὄντα τινὰ, καὶ προνοεῖν δοκοῦντα, ἐπιβουλεύειν τοῖς προνοουμένοις. Τοῦτο γὰρ κακῶς εἶναι ἐστίν. Αἱρούμεθα δὲ μὴ εἶναι μᾶλλον, ἢ κακῶς εἶναι. Τούτου δὲ αἴτιον, τὸ ὑπέρτερον εἶναι τὸ ἀγαθὸν τοῦ ὄντος, καὶ εἶναι καὶ τοῦ ὄντος ἀρχὴν τὸ ἀγαθόν· ὥστε καὶ τέλος πάντων ἐκεῖνο, καὶ ἐκείνου ἕνεκα πάντα. Καὶ γὰρ καὶ τὸ εἶναι, ὡς ἀγαθὸν, ἀσπαζόμεθα. Διὸ, ὅταν κακῶς ὦμεν, ἀγαπῶμεν μᾶλλον μὴ εἶναι.

Πλείονα δὲ ἴσως, ὡς πρὸς τὸν προκείμενον σκοπὸν, προήχθην εἰπεῖν περὶ τῶνδε τῶν προβλημάτων· διότι πάσης εὐζωΐας, καὶ τελειώσεως ψυχικῆς, ἀρχὴ καὶ τέλος ἐστὶν ἡ πρὸς τὸν θεὸν ἀνάτασις διά τε τῶν ὀρθῶν περὶ αὐτοῦ προλήψεων, ὅτι τε ἔστι, καὶ προνοεῖ καλῶς, καὶ δικαίως τὰ πάντα κατευθύνει· καὶ διὰ τοῦ πείθεσθαι καὶ εἴκειν ἑκόντα τοῖς ὑπ' αὐτοῦ γινομένοις, ὡς ὑπὸ ἀρίστης γνώμης ἐπιτελουμένοις. Κἂν γὰρ αὐτοκίνητος ᾖ ἡ ψυχὴ καὶ αὐτεξούσιος, καὶ ἐν ἑαυτῇ τὰς ἀρχὰς ἔχῃ τῶν τε ἀγαθῶν καὶ τῶν κακῶν· ἀλλ' ὑπὸ θεοῦ παρήχθη τοιαύτη, ἑαυτὴν κινοῦσα. Διὸ ἕως μὲν ἐρρίζωται τῷ ἑαυτῆς αἰτίῳ, καὶ σώζεται, καὶ τὴν ἑαυτῆς ἔχει τελειότητα, μεθ' ἧς αὐτὴν ὑπέστησεν ὁ θεός· ἀποσπάσασα δὲ ἑαυτὴν, καὶ ὅσον ἐφ' ἑαυτῇ ἀποῤῥιζώσασα ἐκεῖθεν, μαραίνεται καὶ φθίνει, αἰσχρὰ καὶ ἀσθενὴς γινομένη, ἕως ἂν πάλιν ἐπιστραφῇ καὶ ἑνωθῇ πρὸς τὴν αἰτίαν, καὶ οὕτως ἀπολάβῃ τὴν ἑαυτῆς

odimus injuriam ; cum injustos aversati, eorum consuet dinem qui justitiam venerantur, expetimus, nosque ips castigamus. Et, donec plane repurgati fuerimus, hac con versione continenter est utendum, nec languescendum i termissionibus : et quemque in se ipsum vindicare oport

Evidens autem argumentum atque effectus est veræ pæ nitentiæ, rursus nec eadem committere, ac ne minora qu dem illis. Debemus enim tamquam navigantes, navi i alteram partem inclinante, in contrariam transire parte Veram autem pœnitentiam satis ad perfectam purgation esse, constat ex eo, quod et Deus hunc purgationis fine spectat. Omnis enim castigatio et ultio, quæ nobis inf gitur tam hic, quam apud inferos, eum finem habet, u animam suarum calamitatum peccatorumque pigeat, u que improbitatem et vitam naturæ repugnantem oderit, a que ultro amplectatur et diligat virtutem. Suntque etia perfectiones quædam animæ rationalis ad scientiam pert nentes, cum quis ipse sibi fit vindicta. Atque hic forta sis citius rem bene gerit, quod ultro et sua sponte castig tur. Cruciatum enim et dolorem animi postulant, q deliciis et voluptatum illecebris inescati peccaverunt. Qui enim vere delictorum et peccatorum pœnitet, hi acerbissi mis conscientiæ cruciatibus se ipsos mulctant : qui magi dolorifici sunt, et ad macerandum animum majorem vi habent, quam corporis cruciatus, et consolationem minu admittunt.

Hæc contra tertium impietatis genus dicta sunto, quo trium illorum pessimum est. Optabilius est enim, potiu non esse, neque providere, quam, si sis, et providere vi dearis, iis insidiari quibus provideas. Hoc enim est mal esse. Malumus autem non esse, quam male esse. Cuju rei caussa est, quod BONUM ESSE sublimius atque melius si quam ESSE, et quod Bonum sit etiam ejus, quod est, prin cipium. Quare finis etiam omnium hoc est; et hujus causs fiunt omnia. Nam et ipsum Esse, tanquam bonum, am plectimur. Quare, cum male nobis est, non esse malumus

Longius vero fortasse, quam hoc institutum postulabat explicandis hisce quæstionibus sum provectus; eo quo omnis honestæ vitæ et perfectionis animi principium e finis est ad Deum conversio, cum et vere de eo sentimus, *esse Deum, et consulere rebus humanis*, et *bene juste que* omnia gubernare; et cum *paremus atque ultro cedi mus iis, quæ ab ipso geruntur, tamquam ab optimo consilio profectis*. Etsi enim per sese mobilis est anima, et sui juris, et in sese principia habet bonorum et malorum; tamen a Deo ita condita est, ut se ipsa moveret. Quapropter dum suo auctori tamqnam radici inhæret, conservatur, et suam habet perfectionem, cum qua Deus eam condidit : sin ab eo sese avellerit, et suam quasi radicem, quantum in ipsa est, deseruerit; marcescit et contabescit, turpis et infirma facta, donec denuo ad suum auctorem conversa, cum eoque conjuncta, perfectionem suam recu-

τελειότητα. Ἀδύνατον δὲ ἐπιστραφῆναι γνησίως, μὴ τούτων ἐν αὐτῇ τῶν τριῶν προβλημάτων γνωστικῶς τε καὶ ζωτικῶς διηρθρωμένων. Τίς γὰρ ἂν θέλοι πρὸς τὸ μὴ ὂν ἀνατείνεσθαι; ἢ τὸ ὂν μὲν, μηδὲν δὲ φροντίζον ἡμῶν; ἢ τὸ ὂν μὲν, καὶ φροντίζον, ἐπὶ κακῷ δὲ καὶ ἐπὶ βλάβῃ τὴν φροντίδα ποιούμενον;

[IN CAP. XXXII.] Μετὰ τὰ πρὸς ἀνθρώπους καθήκοντα, καὶ τὰ πρὸς τὸν θεὸν, μέλλων περὶ τῶν πρὸς ἑαυτὸν καθηκόντων λέγειν, εἶδέ τι μέσον εἶδος, ἅμα καὶ τὸ πρὸς τὸν θεὸν καὶ τὸ πρὸς ἑαυτὸν καθῆκον ἀπαιτοῦν, τὸ τῆς μαντείας. Τριχῇ δὲ διαιρεῖ τὸν λόγον· λέγων, περὶ τίνων χρὴ μαντεύεσθαι, καὶ πῶς διακείμενον μαντεύεσθαι, καὶ πῶς τοῖς μαντεύμασι κεχρῆσθαι. Ἤρξατο δὲ αὐτὸς ἀπὸ τοῦ μέσου, τάχα καὶ πρῶτον αὐτὸ δοκιμάζων εἶναι· πῶς χρὴ διαθέντα ἑαυτὸν ἐπὶ τὸ μαντεύεσθαι ὅλως ἰέναι· ὅτι οὔτε ὄρεξιν προβαλλόμενον, οὔτε ἔκκλισιν. Ἐπεὶ ἀνάγκη, τρέμοντα προσιέναι τῇ μαντείᾳ· εἰ μὲν ὀρεγόμεθα, δεδοικότες μὴ ἀδύνατον αὐτὸ εἴπῃ ὁ μάντις· εἰ δὲ ἐκκλίνομεν, δεδοικότες μὴ προαγορεύῃ ἔσεσθαι αὐτό. Πῶς οὖν ὑπάρξει τὸ μήτε ὄρεξιν μήτε ἔκκλισιν προσαγαγεῖν; ἐὰν ἐννοήσῃς, φησὶν, ὅτι τῶν ἐκτός ἐστι ταῦτα, περὶ ὧν μαντευόμεθα. Περὶ γὰρ τῶν ἐφ' ἡμῖν οὐ χρεία μαντείας. Τίς γὰρ μαντεύσεται, εἰ χρὴ τῶν κατὰ φύσιν ὀρέγεσθαι, τὰ δὲ παρὰ φύσιν ἐκκλίνειν; Εἰ οὖν ταῦτα περὶ ὧν μαντευόμεθα, τῶν οὐκ ἐφ' ἡμῖν ἐστιν, εἰ πλευστέον, εἰ γαμητέον, εἰ τὸν ἀγρὸν ὠνητέον· τῶν δὲ μὴ ἐφ' ἡμῖν οὔτε ὀρέγεσθαι χρὴ, οὔτε ἐκκλίνειν αὐτά· δῆλον, ὅτι οὐ χρὴ τῷ μάντει προσφέρειν ἢ ὄρεξιν, ἢ ἔκκλισιν. Καὶ γὰρ, τί τὸ ἀποβαῖνόν ἐστιν, οὐκ ἴσμεν· αὐτὸ γοῦν τοῦτο παρὰ τοῦ μάντεως ἥκομεν πευσόμενοι. Ἀλλ' ὁποῖόν ἐστι, φησὶν, οἶδας, ἐὰν ᾖς φιλόσοφος· ὅτι τῶν μὴ ἐφ' ἡμῖν οὔτε ἀγαθόν ἐστιν οὐδὲν, οὔτε κακόν· ὥστε οὐδὲ ὀρεκτὸν, οὐδὲ ἐκκλιτόν. Καὶ γὰρ οἱ περὶ ταῦτα δεινοὶ καὶ τὰ σημεῖα συγχεῖσθαί φασιν ὑπὸ τῆς τῶν μαντευομένων ὀρέξεως. Καὶ τοῦτο δέ σοι πρὸς ἀταραξίαν συντελέσει μαντευομένῳ, τὸ εἰδέναι, ὅτι, ὁποῖα ἂν ᾖ τὰ ἀποβαίνοντα, ἐπὶ σοί ἐστιν ὠφεληθῆναι ἀπ' αὐτῶν· καὶ ὅσῳ μᾶλλον δυσχερέστερα, τοσούτῳ μᾶλλον ὠφεληθῆναι, καλῶς αὐτοῖς χρώμενον. Θαῤῥῶν οὖν, φησὶ, ταῦτα, καὶ μηδὲν δεδοικὼς, ἔρχου ἐπὶ τὴν θείαν συμβουλήν.

Εἶτα λοιπὸν τὸ πρὸς τὸν θεὸν καθῆκον· ὅτι, ὅταν συμβουλευθῇς, ἀκολούθει πάντως τοῖς συμβουλευθεῖσιν. Ὁ γὰρ θεῷ συμβουλεύοντι μὴ πειθόμενος τίνι ἂν πεισθείη; Καὶ μέντοι τὸ ἀπειθεῖν ποτε τοῖς μαντεύμασιν οὐκ ἀλλαχόθεν γίνεται, ἢ ἐκ τοῦ ὀρέξεις οἰκείας καὶ ἐκκλίσεις προβάλλεσθαι. Ὥστε τὸ μήτε ὀρεγόμενον μήτε ἐκκλίνοντα προσιέναι μὴ μόνον εἰς τὸ θαῤῥοῦντα καὶ μὴ τρέμοντα προσιέναι συντελεῖ, ἀλλὰ καὶ εἰς τὸ πείθεσθαι τῇ θείᾳ βουλῇ.

Εἶτα ἐφεξῆς ἐπάγει περὶ τῶν ὧν χρὴ μαντεύεσθαι· ὅτι περὶ ἐκείνων μὲν τῶν πραγμάτων, ὧν τὸ τέλος ἄδηλόν ἐστιν ἡμῖν, ἕως ἂν ἐκβῇ τὸ πρᾶγμα· οὐ δυνα-

peret. Neque vero fieri potest, ut vere convertatur, nisi tribus his quæstionibus perspicue enucleatis, et efficaciter mente perceptis. Quis enim aut ad id quod non sit, convertatur? aut quod, cum sit, nil nos curet? aut quod, cum et sit, et curet, illam curam malo fine ac nocendi studio susceperit?

[IN XXXII.] Post officia adversus homines et Deum de cujusque officiis erga se ipsum dicturus, medium quoddam genus esse vidit, quod officium et erga Deum et erga nos ipsos postularet, divinationem. Tripartita est autem oratio : nam et quibus de rebus sint consulendi vates dicit, et quo animo adeundi, et quo pacto responsis eorum sit utendum. Auspicatus est autem a medio, quod ipse primum fortasse statuit : *quo animo sit adeundus vates;* scilicet *et adpetitione et declinatione seposita.* Nam *trementes accedamus* necesse est; sive adpetimus, timentes ne id fieri posse neget vates; sin declinamus, timentes ne id fore prædicat. Quo pacto autem et adpetitionem et declinationem vitabimus? Si cogites, inquit, externa esse ea, de quibus vatem consulimus. Nam in iis quæ nostræ potestati parent, vate non est opus. Quis enim ex illo quærat, an res naturæ consentaneæ sint expetendæ, eidemque contrariæ declinandæ? Si igitur ea, de quibus percontamur, *non penes nos sunt :* ut, an sit navigandum; an contrahendum matrimonium; an ager emendus; tum, si quæ penes nos non sunt, nec adpetenda, nec declinanda sunt : ad vatem nec adpetitionem, nec declinationem adferendam esse constat. *Quid* enim *eventurum* sit, *ignoramus :* igitur *id unum quæsituri accedimus ad vatem. Sed cujusmodi id sit, nosti,* inquit, *si quidem es philosophus;* nempe, eorum quæ nostri arbitrii non sunt, neque bonum esse quidquam, neque malum; eoque nec adpetendum, nec declinandum. Nam harum rerum periti signa etiam dicunt aviditate consultorum confundi. Atque hoc tibi vatem consulenti ad animi constantiam conferet, quod scis, *quidquid eveniat, penes te esse fructum ex eo capere;* eoque majorem, quo res asperiores fuerint, si tu modo recte illis usus fueris. *Fidenti igitur,* inquit, *animo,* et nihil istorum metuens, ad expetendum divinum consilium accede.

Sequitur deinde officium adversus Deum; ut *datum consilium* omnino *sequaris.* Qui enim Deo suadenti non obtemperarit, cuinam obtemperabit? Quod vero aruspicum responsis aliquando non obtemperatur, illud ipsum in caussa est, quod nostras adpetitiones et declinationes non coercemus. Quare nec adpetentem nec declinantem accedere, non illud modo confert, ut fidenter et absque trepidatione accedas; sed et hoc, ut divino consilio pareas.

His expositis, subjicit, *quibus de rebus sint consulendi vates :* iis nimirum, quarum exitus sit nobis incertus ante rem peractam; cum ex ingenio, et arte ad illas pertinente

μένων ἡμῶν ἀπὸ φρονήσεως, ἢ τῆς περὶ ἐκεῖνα τὰ πράγματα τέχνης καὶ ἐμπειρίας, τὸ τέλος ἐννοῆσαι. Οὐδεὶς γὰρ ἂν μαντεύσαιτο, εἰ χρὴ τραφῆναι ἢ καθευδῆσαι τὸν ἄνθρωπον· δεῖται γὰρ τούτων πάντως τὸ ζῶον· ἀλλ' οὐδὲ, εἰ χρὴ φιλοσοφῆσαι, ἢ κατὰ φύσιν ζῆν· δῆλα γάρ ἐστι ταῦτα τῷ ἔμφρονι ἐπωφελῆ ὄντα· οὐδὲ, ὁποῖος ἔσται ὁ κτιζόμενος οἶκος· ἡ γὰρ τέχνη προείληφε τὸ εἶδος· οὐδὲ ὁ γεωργὸς, εἰ χρὴ σπεῖραι, ἢ φυτεῦσαι· τῷ γὰρ γεωργῷ ταῦτα ἀναγκαῖα· τὸ δὲ πότε, ἢ ποῦ, ἢ ποῖα σπέρματα ἢ φυτὰ, εἰ μὴ προείθισται ταῦτα, ἢ ἄλλως ἐν ἀρχῇ ἐστι, μαντεύσαιτο ἄν· καὶ εἰ πλευστέον, μάλιστα τοῦ καιροῦ μὴ πάντῃ ἀδεοῦς ὄντος. Οὐ μέντοι μαντευτέον, εἰ χρὴ προελθεῖν εἰς ἀγορὰν, ἢ ἐπὶ τὸν ἀγρὸν ἐξελθεῖν· καίτοι τούτοις ἕπεταί τι τέλος ποτὲ δυσχερὲς, ἀλλ' ὡς ἐπιτοπλεῖστον κατὰ νοῦν ἐκβαίνει· ἀρκεῖ δὲ, ὡς ἔοικε, τὸ ἐπιπλεῖστον, πρὸς τὸ μὴ δεῖσθαι μαντεύεσθαι. Ἐπεὶ, κἂν ἐκ λόγου τινὸς ἢ τέχνης ἀφορμαὶ διδῶνται πρὸς τὸ συνιδεῖν τὸ προκείμενον, οὐ πάντως ἀναγκαία ἔσται ἡ ἔκβασις. Οὔτε γὰρ ἡ φύσις, οὔτε ἡ τέχνη, οὔτε ἡ προαίρεσις ἐπὶ τῶν ἐκτὸς ἀναγκαίαν ἔχουσι τὴν ἔκβασιν· ἀλλ' ἀρκεῖ τὸ ὡς ἐπιτοπολὺ πρὸς τὸ μὴ δεῖσθαι μαντείας. Τὸ γὰρ ἐπὶ πάντων ἐθέλειν μαντεύεσθαι δειλοὺς ποιεῖ, καὶ ἀπράκτους, καὶ τὰ μικρὰ μεγάλα νομίζειν παρασκευάζει.

Ἀλλ' ἐκεῖνο ἄξιον ἐπισκέψεως, εἰ περὶ τῶν ἐφ' ἡμῖν ὅλως οὐ μαντευτέον· πῶς χρὴ ὑπολαβεῖν περὶ τῆς ψυχῆς; πότερον θνητή ἐστιν, ἢ ἀθάνατος; καὶ, εἰ χρὴ τῳδέ τινι διδασκάλῳ χρήσασθαι; πολλοὶ γὰρ τῶν παλαιῶν φαίνονται περὶ τῆς φύσεως τῶν ὄντων ἐρωτήσαντες· καίτοι τὸ ὑπολαμβάνειν τοίως ἢ τοίως ἡμέτερον φαμὲν, καὶ τῶν ἐφ' ἡμῖν εἶναι. Μήποτε οὖν τὰ ἀποδείξει λογικῇ ληπτὰ δι' ἀποδείξεως δεῖ μανθάνειν; οὕτω γὰρ ἡ ἐπιστημονικὴ γενήσεται γνῶσις, ἐὰν ἀπὸ τῆς αἰτίας ἡ ἀπόδειξις γένηται. Τὸ δὲ ἀκοῦσαι παρὰ θεοῦ, ὅτι ἀθάνατός ἐστιν ἡ ψυχὴ, πίστιν μὲν ποιεῖ βεβαίαν, ὡς εἰκὸς, οὐ μέντοι ἐπιστήμην τοῦ πράγματος. Εἰ δέ τις ἀξιοῦται παρὰ θεοῦ καὶ τὰς αἰτίας μανθάνειν, καὶ ἐπιστήμων γίνεσθαι, ἄλλο τοῦτο εἶδός ἐστι τῆς ἀγαθότητος, καὶ οὐ τὸ μαντικόν· τοῦτο γὰρ ἔοικεν ἐν τοῖς πρακτικοῖς τὰς ἀδήλους ἀνθρωπίνῃ διανοίᾳ ἐκβάσεις προαγορεύειν. Διὸ καὶ εἰ ἠρώτησάν τινες περὶ τῆς φύσεως τῶν ὄντων, ἀλλὰ σπάνιοί γε οὗτοι, καὶ οὐχ οἱ πρωτεύσαντες ἐν φιλοσοφίᾳ, ἀλλ' οἱ συνειθισμένοι πιστευτικὴν ἔχειν καὶ οὐκ ἐπιστημονικὴν πίστωσιν· τοῦ θεοῦ βουλομένου, ὡς ἔοικεν, αὐτοκίνητον οὖσαν τὴν ψυχὴν δι' ἑαυτῆς τὸ ἀληθὲς ὁρᾷν.

Ἀμέλει καὶ ὁ Ἐπίκτητος, καὶ ὁ Σωκράτης, ἐοίκασιν ἀπαγορεύειν ἐκεῖνα ἐρωτᾷν, ἃ δύναται καθ' ἑαυτὴν ἡ ψυχὴ γινώσκειν. Τοιγαροῦν οὐδὲ ἀποδέχεται τὸν ἐρωτῶντα, εἰ χρὴ συγκινδυνεῦσαι τῷ φίλῳ ἢ τῇ πατρίδι. Ὁ γὰρ ὀρθὸς λόγος ὑπαγορεύει συγκινδυνεύειν. Κἂν δύσκολα οὖν μαντευθῇ τινα, οὐδὲν ἧττον χρὴ συγκινδυνεύειν. Τίς οὖν χρεία τοῦ ἐπὶ τῶν τοιούτων

atque experientia, exitum animo prospicere non possumus. Nemo enim vatem consulit, an homini cibo et somno sit utendum; omnino enim his eget animal: nec, an philosophandum sit, aut naturæ congruenter vivendum; cordato enim homini perspicuum est, hæc esse utilia: neque, domus quæ ædificatur, qualis sit futura; ars enim formam ejus antea delineavit: nec agricola quærit, sitne plantandum aut serendum; hæc enim agricolæ sunt necessaria: at, quonam tempore, aut ubi loci, aut qualia semina, qualesque plantas, si hæc ante usitata non fuerint, aut non ita pridem innotuerint, talia fortasse quæret ex vate. Item, an navigandum sit; alieno præsertim et periculoso tempore. Non tamen rogandus vates, an prodeundum sit in forum, aut exeundum in agrum: quamvis enim et hæc aliquando eventus incommodus sequatur; plerumque tamen ex sententia succedunt: id autem, quod frequentius accidit, aruspicina egere non videtur. Licet enim ex ratione aliqua aut arte præsidia suppetant ad perspiciendum id quod propositum est; non tamen eventus erit omnino necessarius. Neque enim natura, neque ars, neque consilium et voluntas in rebus externis necessarium habent eventum: attamen id quod plerumque fit, satis caussæ est, cur vate non egeamus. Nam divinatio de rebus omnibus, timidos reddit et ignavos, et, ut parva magni fiant, facit.

Illud vero consideratione dignum est, an de rebus nostræ potestati subjectis vates omnino consulendi non sint; verbi caussa, quo modo sentiendum sit de anima, sitne ea mortalis an immortalis: aut, an hoc præceptore sit utendum: constat enim, multos veterum de rerum natura consuluisse oracula; quamvis, hoc aut illo modo sentire de rebus, nostrum opus esse dicamus, et in nostra potestate situm. Videntur autem ea quæ ratione percipi ac demonstrari possunt, ex demonstratione cognoscenda esse. Sic enim scientifica parabitur cognitio, si per caussam demonstratio facta fuerit. Audisse autem ex Deo, immortalem esse animam, fidem quidem firmam parit, uti par est, non tamen rei scientiam. Si quem vero caussas etiam edocere dignatur Deus, et scientem reddere; aliud hoc divinæ bonitatis genus est, non illud quod in divinatione inest; cujus munus est, exitus actionum humanis ingeniis obscuros prædicere. Quamobrem etsi quidam de rerum natura oracula consuluerunt; tamen hi et rari fuere, nec principes philosophorum, sed ii qui credere aliquid, quam scientia rem comprehendere, maluerunt: cum quidem probabile sit, velle Deum, ut anima per se mobilis, per sese etiam verum cernat.

Atque adeo Epictetus quoque, et Socrates, illa sciscitari vetare videntur, quæ anima per se cognoscere potest. Eum certe non probat Epictetus, qui roget, *an periculi societas pro patria aut amico sit ineunda.* Recta enim ratio præscribit, discrimen illud non esse recusandum. Quamvis igitur difficilia quædam prædicta fuerint; nihilominus subeundum periculum. Quorsum igitur attinet de talibus in-

ἐρωτᾶν, ἐφ' ὧν δῆλόν ἐστι τὸ πρακτέον; Φαίνεται δὲ ὁ θεὸς καὶ τοῖς ἐρωτήσασί ποτε, εἰ χρὴ τὸν ἱκέτην ἐκδοῦναι, πάνυ μεμφόμενος. Ἃ γὰρ ὁ ὀρθὸς λόγος ὑπαγορεύει δεῖν πράττεσθαι, ταῦτα δεῖ ποιεῖν, καὶ μὴ ἐρωτᾶν, κἂν ἔπηταί τι δύσκολον ἡμῖν περὶ τὸ σῶμα, ἢ τὰ ἐκτός. Χρὴ γὰρ τὸ ἡμέτερον ἀγαθὸν προτιμᾶν τῶν τοῦ σώματος, ἢ τῶν ἐκτὸς, καὶ τούτων εἰς ἡμᾶς ἐχόντων τὴν ἀναφοράν.

Ἀποδείξας δὲ, ὅτι οὐ χρὴ περὶ τῶν τοιούτων μαντεύεσθαι, ἐκ τοῦ, ὁποῖα ἂν γένηται τὰ ἱερὰ, δεῖν πάντως συγκινδυνεύειν, πιστοῦται τοῦτο καὶ ἀπὸ τοῦ τὸν θεὸν ἐκβαλεῖν τὸν μὴ βοηθήσαντα ἀναιρουμένῳ τῷ φίλῳ. Δύο γάρ τινες εἰς Δελφοὺς ἀπιόντες, λησταῖς περιπεπτώκασι· καὶ τοῦ ἑτέρου ὑπ' αὐτῶν ἀναιρουμένου, ὁ ἕτερος, ἢ φυγὼν, ἢ ἄλλως μὴ ἐπαμύνας, ἦλθεν εἰς τὸ μαντεῖον· καὶ ὁ θεὸς ἐξέβαλεν αὐτὸν, εἰπών·

> Ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐπαμύνας,
> ἤλυθες οὐ καθαρός· περικαλλέος ἔξιθι σηκοῦ.

Καὶ δῆλον μὲν, ὅτι, καὶ βουλόμενος, οὐ πάντως ἂν ἐῤῥύσατο τοῦ θανάτου τὸν φίλον· ἀλλ' ὅμως ἔδει συγκινδυνεῦσαι, καὶ συναποθανεῖν, εἰ καὶ τοῦτο ἦν ἀνάγκη βοηθοῦντα παθεῖν. Διὰ τὴν προαίρεσιν οὖν ταύτην, ἀκάθαρτον αὐτὸν ἔκρινεν ὁ θεὸς, ὡς προδόντα τὸν φίλον διὰ τὴν περιττὴν περὶ τὸ σῶμα συμπάθειαν· ὥσπερ ἐπ' ἄλλου, καὶ ἀποτυχίας γενομένης, τὴν προαίρεσιν ὅμως ὁ Θεὸς ἀπεδέξατο. Πάλιν γὰρ ἄλλων δύο τινῶν λησταῖς περιπεσόντων, καὶ τοῦ ἑτέρου κρατηθέντος ὑπὸ τῶν ληστῶν, ὁ ἕτερος ῥίψας ὡς κατὰ ληστοῦ τὸ ἀκόντιον, ἐκείνου μὲν διήμαρτεν, ἔβαλε δὲ τὸν φίλον καὶ ἀνεῖλε· καὶ ἐλθὼν εἰς τὸ μαντεῖον, οὐκ ἐτόλμησεν εἰσελθεῖν, ὡς ἀκάθαρτος τῷ φόνῳ τοῦ φίλου. Καὶ ὁ θεὸς ἐξεφώνησε πρὸς αὐτὸν τάδε τὰ ἔπη·

> Ἔκτεινας σὸν ἑταῖρον, ἀμύνων· οὔ σε μιαίνει
> αἷμα φόνου· σὺ πέλεις καθαρώτερος ἢ πάρος ἦσθα.

Εἰ γοῦν ἀπὸ τοῦ φόνου τοῦ φίλου οὐ μόνον οὐκ ἐμολύνθη, ἀλλὰ καὶ καθαρώτερος γέγονεν ἤπερ ἦν πρότερον, διὰ τὴν ὀρθὴν προαίρεσιν· δῆλον, ὅτι οὐκ ἐν τῇ πράξει, ἀλλ' ἐν τῇ προαιρέσει τῶν ἀνθρώπων, τὸ κατορθοῦν ἐστι, καὶ ἁμαρτάνειν. Ἐπιστῆσαι δὲ χρὴ, ὅτι καὶ ταῦτα τὰ προσεχῶς εἰρημένα, ἀφ' οὗ ἐπεσημηνάμην, καὶ τὰ ἐφεξῆς ῥηθησόμενα πάντα, πρὸς μέσην ἕξιν ἁρμόττει, τὴν ἤδη πως προκεκοφυῖαν, καὶ ἐν τῷ φιλοσοφεῖν οὖσαν. Καὶ γὰρ ἐνταῦθα, Εἴπερ εἶ, φησὶ, φιλόσοφος· καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ τὸ τοιοῦτον ἐπισημαίνεται.

[IN CAP. XXXIII, § 1-3.] Ἐντεῦθεν τὰ πρὸς ἑαυτὸν καθήκοντα τῷ ποσῶς προκεκοφότι καὶ ἤδη φιλοσοφοῦντι παραδοὺς, Τάξαι, φησὶν, ἤδη χρὴ, καὶ ὁρίσαι χαρακτῆρα διαγωγῆς τὸν καθήκοντα τῷ τοιούτῳ βίῳ, πρὸς ὃν χρὴ καὶ τὰ κατὰ μέρος συναρμόττειν. Οἷς ἐπεξιὼν αὐτὸς, δι' αὐτῶν καὶ τὸν ὅλον χαρακτῆρα τοῦ βίου παρίστησι, παραγγέλλων φυλάττειν αὐτὸν, ἐφ' ἑαυτοῦ

terrogare, de quibus constat quid sit agendum? Illud etiam patet, Apollinem iis qui rogarunt, an supplex dedendus esset, graviter succensuisse. Quæ enim recta ratio fieri jubet, ea facienda sunt, nec de his interrogandum, licet cum molestiis atque periculis corporum et fortunarum conjuncta fuerint. Oportet enim nostrum bonum anteferre bonis corporis et rebus externis, licet et hæ ad nos quodammodo referantur.

Postquam vero demonstravit, de hujusmodi rebus non consulendos esse vates, eo quod, cujuscumque modi victimæ fuerint, omnino tamen auxilium patriæ et amico sit ferendum; idem etiam *Apollinis* auctoritate confirmat, *qui eum, qui amico, cum interficeretur, opem non tulisset, fano ejecerit*. Nam duo Delphos petituri, in latrones inciderunt, a quibus cum alter interficeretur, alter aut fuga elapsus, aut alioqui non opitulatus, ad oraculum venit; e quo eum ejecit Apollo, his verbis :

> **Cede meis adytis, cædis reus; intereuntem**
> **qui socium non juveris, etsi proximus esses.**

Quamquam autem constat, eum, quamvis voluisset, utique amicum periculo mortis non erepturum fuisse; tamen periculi societas non fuit deserenda, sed ferendum auxilium, licet una pereundum fuisset. Ob eam igitur voluntatem Deus eum pollutum judicavit, ut qui ex nimio corporis amore amicum deseruisset : quemadmodum in alio voluntatem probavit Deus, quamvis adverso eventu. Cum enim rursus alii duo in latrones incidissent, et alter a latronibus esset comprehensus; alter, conjecto in unum e latronibus jaculo, eo frustratus, amicum percussit et interemit. Profectus igitur ad oraculum, ædem, ut cæde amici pollutus, ingredi non est ausus. Deus autem hos versus illi foris stanti edidit :

> **Te cruor haud maculat : nunc purior, atque fuisti :**
> **est occisus enim tibi, dum defendis, amicus.**

Si igitur cæde amici non modo non pollutus est, sed purior etiam factus, quam fuerat, ob bonam voluntatem; constat, recte facta non in casu atque eventu, sed in consilio et voluntate posita esse. Considerandum est autem, et hæc, quæ modo dicta sunt, ex quo significavi, et quæ deinde dicentur omnia, referri ad medium habitum ejus qui nonnullos progressus habet, et in philosophia versatur. Etenim et hoc loco ait, *Si quidem es philosophus;* et in iis, quæ sequuntur, sæpius etiam tale quid significatur.

[IN XXXIII, 1-3.] Hinc incipiens ejus qui aliquantum profecit et jam philosophatur, officia erga se ipsum tradere : *Constituenda jam,* inquit, *et definienda est certa quædam ætatis degendæ ratio,* isti vitæ generi consentanea, ad quam singulæ actiones sunt dirigendæ. Quas ipse auctor recensens, per eas formam et normam totius vitæ præscribit, *sive solus sis, sive inter alios verseris,* tenendam :

τε ὄντα καὶ ἀνθρώποις ἐντυγχάνοντα. Τοῦτο δὲ, οἶμαι, σημαίνει, τὸ δεῖν ἀεὶ κατὰ τὸ δυνατὸν ἐν ταυτότητι διαμένειν, μίαν τὴν αὐτοῦ ζωὴν ἀεὶ διαζῶντα· καὶ μὴ τοῖς ἔξωθεν προσπίπτουσι, ποικίλοις οὖσιν, Εὐρίπου δίκην συμμεταῤῥέοντα. Ἐλέγετο οὖν καὶ ὁ Σωκράτης ἐν τῷ αὐτῷ καταστήματι ἀεὶ ὁρᾶσθαι, καὶ μήθ' ὑπὸ τῶν ἡδέων, μήτε ὑπὸ τῶν λυπηρῶν δοκούντων, μετακινεῖσθαι, διὰ τὸ μίαν καὶ τὴν αὐτὴν ζωὴν ἀεὶ τὴν ἑαυτοῦ διαζῆν. Καὶ τάχα αὐτός ἐστιν ὁ εἷς χαρακτὴρ, ὃν δεῖ τάξαι καὶ ὁρίσαι, ὃν ἐνεδείξατο συντόμως διὰ τοῦ εἰπεῖν, ὅτι δεῖ τὸν αὐτὸν φυλάττειν, ἐφ' ἑαυτοῦ τε ὄντα, καὶ ἀνθρώποις ἐντυγχάνοντα.

Τῶν δὲ οἰκείων τῷ τοιούτῳ χαρακτῆρι πρῶτον καὶ κυριώτατον· Σιωπὴ, φησὶ, τὸ πολὺ ἔστω. Ἡ γὰρ ὅλη σπουδὴ τῶν παιδευτικῶν λόγων ἐστὶν, ἐπιστρέψαι τὴν ψυχὴν εἰς ἑαυτὴν, ἀπό τε τῶν ἐκτὸς, καὶ ἀπὸ τῶν ἀλόγων ἐν αὐτῇ παθῶν, καὶ τοῦ σώματος· ὥστε τὴν ἑαυτῆς ζωὴν τὴν αὐτὴν ἀεὶ ζῆν. Πρὸς δὲ τοῦτο ἡ σιωπὴ τὰ μέγιστα συντελεῖ. Διὸ καὶ οἱ Πυθαγόρειοι τῆς καθ' ἑαυτοὺς διαγωγῆς ἀρχὴν ἀνυσιμωτάτην συνέταττον τὴν πενταετῆ σιωπήν. Ὥσπερ γὰρ αἱ αἰσθήσεις ἔξω τείνουσι τὴν ψυχὴν, συνεργοῦσαν αὐταῖς, ὡς δηλοῦσιν οἱ μύοντες τοὺς ὀφθαλμοὺς, ὅταν ἑαυτοὺς βούλωνται συναγαγεῖν, καὶ συστρέψαι, καὶ διεγεῖραι τὸ προσεκτικὸν τῆς ψυχῆς· οὕτω καὶ ὁ προφορικὸς λόγος, οὐ συνεργούσης τότε ταῖς αἰσθήσεσιν, ἀλλ' αὐτῆς ἐνεργούσης, ἐκχέει μᾶλλον τὴν ψυχὴν πρὸς τὰ ἔξω. Καὶ ταύτης τῆς ἐκχύσεως ἴαμα, ἡ σιωπή. Οὐ παντελῆ δὲ σιωπὴν ἐπιτάττει. Οὐδὲ γὰρ ἐπ' ἐκεῖνο τὸ εἶδος παρακαλεῖ τὸ Πυθαγόρου, τὸ παντελέως ἀνειμένον καὶ θεοειδὲς, ἀλλ' ἐπὶ τὸ πολιτικὸν, καὶ συμμετρότερον ἀνθρώποις. Ἢ οὖν σιωπᾶν, φησὶ, χρή· ἢ λαλεῖν τὰ ἀναγκαῖα, καὶ διὰ βραχέων, ἐρωτῶντά τε καὶ ἀποκρινόμενον. Καὶ συντόμως ὥρισε τὸ εἶδος ἐκείνων περὶ ὧν χρὴ λαλεῖν, ὅτι τὰ ἀναγκαῖα χρὴ εἶναι ταῦτα, πρός τε τὴν κατὰ φύσιν τῆς ψυχῆς διαγωγὴν, καὶ τὴν τοῦ ζώου χρείαν. Τὰ γὰρ τοιαῦτα, καὶ ὀλίγα ὄντα, καὶ πραγματικώτερα, καὶ μὴ διάκενα, μηδὲ ἀόριστα, οὐ ταράττει ὁμοίως, οὐδὲ διασπᾷ τὴν φαντασίαν πρὸς τὸ ἀόριστον. Ὥρισε δὲ καὶ τὸ τοῦ λόγου εἶδος, ὅτι σύντομον, καὶ διὰ βραχέων. Εἰ γὰρ τὸ περιφαντάζεσθαι τὰ πράγματα περὶ ὧν ὁ λόγος, καὶ μὴ καταχρατεῖν αὐτῶν τῆς οὐσίας, πολυλογίαν ποιεῖ· τὸ διαβαίνειν εὐθυβόλως εἰς αὐτὰ τὴν νόησιν, καὶ τὸ συνῃρημένον τῆς οὐσίας αὐτῶν καὶ κυριώτατον ὁρᾷν, καθ' ὃ ὑφέστηκεν ἕκαστον, καὶ τὸν λόγον τὸν περὶ αὐτῶν εἰς τὰ κυριώτατα συνῃρημένον προφαίνει.

Εἰ δέ ποτε, φησὶ, χρεία καὶ μακροτέρου γένηται λόγου, (τοῦτο γάρ ἐστι τὸ, λέγειν, οὐχ ἐρωτῶντα μόνον ἢ ἀποκρινόμενον, ἀλλ' ἐφ' ἑαυτοῦ τὸν λόγον ἀποτείνοντα,) κἂν τὸ τοῦ λόγου οὖν εἶδος ἀμειφθῇ ποτε δι' ἀνάγκην, ἀντὶ βραχέος μακρότερον γενόμενον· ἀλλὰ τῶν γε πραγμάτων, περὶ ὧν οἱ λόγοι, τὸ εἶδος τὸ αὐτὸ μενέτω τῷ προτέρῳ· περὶ ἀναγκαίων γινομένου τοῦ λόγου,

illud scilicet indicans, in eodem statu et habitu, quoad fieri possit, perseverandum esse, et suam cuique vitæ rationem servandam; nec externorum casuum varietate, Euripi instar, mutandam. Socrates certe fertur eodem semper habitu fuisse, a quo nec lætis nec tristibus rebus dimoveretur, quod unam eamdemque vitæ rationem, suam utique, perpetuo sequeretur. Ac fortasse est hic unus ille *vitæ typus*, quem constituere ac definire debemus; quem breviter indicavit, cum ait, ***eumdem esse servandum, sive tecum agas, sive cum aliis verseris.***

Ejus autem typi, sive formæ, primum et maxime proprium esto *frequens silentium.* Omnis enim institutionis ratio eo refertur, ut et a rebus externis, et a brutis suis adfectibus, et a corpore, ad se ipsum revocetur animus, ut suam vitam, quæ semper eadem esse debet, vivat. Quam ad rem *silentium* plurimum confert. Quæ caussa Pythagoreis fuit, efficacissimum disciplinæ suæ jaciendi fundamentum, quinquennii silentium. Ut enim sensus animum, ipsis operam navantem, ad externa trahunt; (quod ii declarant, qui, cum sese colligere volunt, et in sese descendere, et animi attentionem excitare, claudunt oculos :) sic animum etiam oratio, tum non tam operam navantem sensibus, quam per sese ipsum agentem, magis ad externa effundit : cujus effusionis remedium est silentium. Nec tamen perpetuum indicit silentium : neque enim ad Pythagoricum illud genus prorsus sacrum et divinum adhortatur, sed ad civile et hominibus adcommodatius. ***Aut igitur tacendum est,*** inquit; ***aut necessaria dicenda, et pauca,*** sive interroges, sive respondeas. Ac formam eorum, de quibus sit dicendum, compendio descripsit : ea esse ***necessaria*** oportere, cum ad vitam degendam naturæ animi consentaneam, tum ad usum animantis. Nam talia cum et pauca sint, et ad res agendas pertineant, nec inania sint et indefinita; non æque turbant et abstrahunt cogitationem ad res infinitas. Descripsit et formam orationis, eam oportere succinctam esse, et *brevem.* Nam, si vagari, et in superficie hærere earum rerum de quibus sermo habetur, nec earum naturam habere perceptam, loquacitatem gignit; e contrario, si mens eas directe intueatur, et naturam earum velut in fascem collectam et vim ac præcipua capita perspexerit; sermo etiam qui de eis habebitur, ad præcipua capita revocatus, erit brevis.

Si quando autem, inquit, pluribus etiam verbis erit opus (hoc enim sibi vult verbum *dicere;* cum non respondemus tantum, aut interrogamus; sed cum quis solus loquitur et perpetua utitur oratione :) si igitur, inquit, orationis aliquando necessario mutata forma fuerit, ut pro breviori longior sit adhibenda; at rerum tamen, de quibus verba fiunt, genus idem cum priore maneat : ut de rebus necessariis

ἢ προτρέποντος ἐπ' ἀρετὴν, ἢ διδάσκοντος, ἢ συμβουλεύοντος, ἢ παραμυθουμένου, ἢ συζητοῦντος τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν, ἢ τοῦ θεοῦ τήν τε ὑπεροχὴν καὶ τὴν πρόνοιαν ἀνευφημοῦντος, καὶ σύλληψιν πρὸς τὸν κατὰ φύσιν βίον αἰτοῦντος δι' εὐχῆς· ἀλλὰ μὴ περὶ τῶν τυχόντων, περὶ ὧν οἱ τυχόντες διαλέγονται. Μήτε οὖν περὶ μονομαχιῶν, ἢ ἱπποδρομιῶν, ἢ τῶν τοιούτων· μήτε βρωμάτων, ἢ πομάτων, οἷς ὁ δεῖνα καὶ ὁ δεῖνα χρῶνται. Οἱ γὰρ περὶ τῶν τοιούτων λόγοι καὶ τὴν φαντασίαν αὐτοῖς προσηλοῦσιν· ἔστι δὲ ὅτε καὶ τὴν ὄρεξιν συνεφέλκονταί τε, καὶ συντυποῦσιν ἑαυτοῖς τὴν ζωήν.

Μάλιστα δὲ, φησὶ, μὴ περὶ ἀνθρώπων ποιεῖσθαι τὸν λόγον, ψέγοντα, ἢ ἐπαινοῦντα, ἢ συγκρίνοντα, ὅτι ὁ δεῖνα τοῦδε καλλίων ἢ χείρων κατὰ τάδε ἢ τάδε. Καὶ ὅτι μὲν καὶ τοῦτο τὸ εἶδος τῶν λόγων ἐπὶ τὸ ἐκτὸς τείνεσθαι ποιεῖ τὴν ψυχὴν, ἑαυτῆς ἀφισταμένην, καὶ ἀλλοτριοπραγμονοῦσαν, καὶ ματαιοπονοῦσαν, δῆλόν ἐστι. Διὰ τί δὲ, μάλιστα μὴ περὶ ἀνθρώπων, ψέγοντα, ἢ ἐπαινοῦντα, ἢ συγκρίνοντα; Τί γὰρ ἔχει τοῦτο χεῖρον ἐκείνων; ἢ πρῶτον μὲν οὗτος, πρὸς ὃν ὁ λόγος, εἴπερ ἀρχὴν [ἐποιήσατο] τοῦ φιλοσοφεῖν, ἐκείνων ὡς ἐπίπαν ἀπέστη τῶν σπουδασμάτων περὶ μονομάχους, καὶ ἀθλητὰς, καὶ τὰ τοιαῦτα, περὶ δὲ ἀνθρώπων μᾶλλον ἂν ποιοῖτο τοὺς λόγους. Πρὸς ἃ οὖν ἐπιῤῥεπῶς ἔχει, τούτων μάλιστα αὐτὸν ἀναχαιτίζει· ὡς εἰ ἔλεγε, Σὺ μάλιστα τοῦτο φυλάττου. Ἔπειτα, τῶν αὐτῶν παθῶν ὁμοίως κινουμένων ἐφ' ἑκατέρου τῶν λόγων, (καὶ γὰρ συμπάθειαι, καὶ ἀντιπάθειαι, καὶ ἐπὶ τούτων καὶ ἐπ' ἐκείνων συγκινοῦνται τοῖς περὶ αὐτῶν λόγοις,) ἴδιόν τι πάθος ἀκολουθεῖ τοῖς κριτικοῖς τῶν ἀνθρώπων λόγοις, τὸ ὑπεροπτικὸν καὶ τετυφωμένον. Ὁ γὰρ κρίνων ἀνθρώπων βίους, ὡς ὑπερέχων αὐτῶν ποιεῖται τὴν κρίσιν. Καὶ γὰρ νεμεσητὴ μᾶλλον ἡ ἁμαρτία ἡ περὶ τὴν κρίσιν τῶν ἀνθρωπίνων βίων ἤπερ ἡ ἐν τοῖς παίζουσι διαμαρτάνουσα.

Οὐ μόνον δὲ, φησὶ, τοῦ λέγειν τὰ τοιαῦτα ἀφεκτέον, ἀλλὰ καὶ τοῦ ἀκούειν. Καὶ γὰρ δι' ἀκοῆς φαντασίαι κινοῦνται καὶ ὀρέξεις ἄλογοι τῶν ἀκουόντων. Καὶ μέντοι καὶ οἱ λέγοντες τὰ τοιαῦτα, ὅταν τινὸς τῶν σεμνοτέρων δοκούντων παρόντος μὴ ὑποσταλῶσιν, ἀναιδέστεροι γίνονται, καὶ παῤῥησίαν ἀναίσχυντον καὶ ἀκατάπληκτον ἐν ἑαυτοῖς τρέφουσι. Διό φησιν, εἰ μὲν οἷός τε εἶ, μέταγε τοὺς τοιούτους τῶν συνόντων λόγους ἐπὶ τοὺς σπουδαιοτέρους. Εἰ δὲ ἀποληφθῇς ἐν ἀνθρώποις κατ' ἄλλο εἶδος ζωῆς τὸ διεφθαρμένον τραφεῖσί τε καὶ συνεθισθεῖσιν, οὓς ἀλλοφύλους ἐκάλεσε· σιώπα, φησὶ, καθαίρων ἑαυτὸν μετὰ τῆς σιωπῆς τῇ εἰς ἑαυτὸν ἐπιστροφῇ.

[**IN CAP. XXXIII, § 4.**] Μετὰ τὸ κοινὸν παράγγελμα τῷ φιλοσοφοῦντι τῆς ἐν ταὐτῷ τοῦ ἤθους μονῆς, πρὸς ἣν μεγάλην ἡ σιωπὴ μοῖραν συμβάλλεται, τὴν μεγίστην ἐκτροπὴν τῆς περιχαρείας ἀναστέλλει, τὴν διὰ τοῦ γέλωτος· διὰ ταύτης ἴσως καὶ τὴν ἀντικειμένην αὐτῇ τῆς λύπης ἐνδεικνύμενος. Τῆς γὰρ ψυχικῆς περιχαρείας ὑπερέκχυσίς ἐστιν ὁ γέλως. Διὸ γίνεται τοῦ

sermo habeatur, sive ad virtutem adhortando, sive docendo, sive consulendo, sive consolando, sive de veritate naturaque rerum inquirendo et disputando, sive Dei excellentiam et providentiam celebrando, et auxilium ad degendam vitam naturæ congruentem votis ab illo exposcendo : *non* autem *de rebus vulgaribus*, de quibus verba fieri vulgo solent. Neque igitur *de compositionibus gladiatorum, neque de ludis Circensibus*, aut id genus aliis : neque *de cibis ac potu*, quibus hic vel ille utatur. Nam qui sermones hujusmodi de rebus habentur, cogitationem etiam illis adfigunt; atque interdum etiam adpetitum attrahunt, et vitam sibi conformem faciunt.

In primis vero ne de hominibus verba faciamus, sive vituperando, sive laudando, sive comparando, illum hoc esse honestiorem aut deteriorem, in his aliisve rebus. Nam, hoc quoque sermonum genus facere, ut animus ad externa feratur, a semet ipso aversus, alienaque curet, et frustra laboret, perspicuum est. Cur vero *maxime* vetat, *ne de hominibus loquamur, vituperando, laudando, aut comparando?* Quid enim hoc habet pejus cæteris? Nempe primum illud, quod is cum quo agitur, initio susceptæ philosophiæ, illis studiis gladiatorum et pugilum et similibus relictis, de hominibus potius loqui amaverit. Ad quæ igitur præ cæteris propensus est, ab iis eum maxime retrahit; quasi dicat, Hoc tu maxime caveto. Deinde, cum iidem adfectus æque utrisque sermonibus moveantur; (nam et studia et odia tam in his quam in illis concitantur, cum verba de iis fiunt :) peculiaris etiam quidam adfectus eos comitatur, qui sibi censuram de hominibus sumunt, nempe despicientia et superbia. Nam qui vitas hominum judicat, sic judicium fert, quasi illis esset superior. Atque etiam odiosius peccatum est, in dijudicanda hominum vita errare, quam in rebus ludicris.

Neque vero dicendis solum istis, sed audiendis etiam est abstinendum. Nam et per auditum vanæ cogitationes excitantur et adpetitiones brutæ audientium. Ad hæc, qui talia dicunt, nisi auctoritate gravis alicujus viri deterreantur, fiunt impudentiores, et audaciam inverecundam nihilque reformidantem alunt. Quamobrem ait, *Siquidem potes, traduc tales sermones eorum, quibuscum versaris, ad res graviores. Si vero circumventus fueris ab hominibus, qui aliud vitæ institutum sequuntur*, prava institutione et consuetudine corrupti, *taceto*, inquit, ipse te silentio repurgans, et conversione ad temet ipsum.

[IN XXXIII, 4.] Post commune præceptum philosophanti datum, ut in iisdem moribus permaneat, quam ad rem plurimum conferat silentium : maximum vitium exsultantis lætitiæ restringit, quæ Risu declaratur : eademque fortasse ratione etiam contrarium huic vitium, nimiam mœstitiam, improbat. Nam lætantis animi ebullitio quædam *risus* est;

πνεύματος ἀνοιδισκομένου, καὶ ψόφον καχλασμῷ παραπλήσιον ἀποτελοῦντος. Ἐκτρέπει οὖν τὴν καταστηματικὴν καὶ ἵλεω διάθεσιν τῆς ψυχῆς καὶ τοῦ σώματος· ὥσπερ καὶ τὸ κλαίειν καὶ τὸ ἀνακωκύειν, ἐκ τῶν ἐναντίων, λυμαίνεται τὴν ἐν συμμετρίᾳ ταυτότητα. Διὰ ταῦτα οὖν χρὴ φυλάττεσθαι τὸν γέλωτα, μάλιστα τὸν ἐπὶ πολλοῖς. Κἂν χρεία ποτὲ γέλωτος, ἵνα μὴ ἀμειδεῖς τελείως μένοντες, τό τε ἦθος τὸ ἑαυτῶν δυσκολώτερον ἐργασώμεθα, καὶ τοῖς συνοῦσι σκαιοὶ καὶ χαρίτων ἐπιδεεῖς δόξωμεν· ἀλλ' ὀλίγα ἐστὶ τὰ γέλωτος ἄξια. Ὁ οὖν ἐπὶ πολλοῖς γελῶν δῆλός ἐστι ῥᾳδίως ὑπὸ περιχαρείας χαυνούμενος. Διὸ οὐδὲ πολλάκις χρὴ τοῦτο πάσχειν, οὐδὲ ἐπὶ πολὺν χρόνον διαμένειν γελῶντα· οὗτος γὰρ ὁ πολύς· οὔτε ἐκκεχυμένον εἶναι καὶ συγκεχωρημένον τελέως τὸν γέλωτα· ταῦτα γὰρ οἶμαι νῦν τὸ ἀνειμένον σημαίνειν· ἀλλὰ μειδιάματι μᾶλλον ἐοικέναι, ἐν τοῖς χείλεσιν ὀλίγην τὴν παράλλαξιν ἐργαζόμενον.

[IN CAP. XXXIII, § 5.] Καὶ ἐν τούτῳ τῷ καταλόγῳ τῶν εἰς ἑαυτὸν καθηκόντων, μετὰ τὸ ἀναστεῖλαι τὰς μεγάλας καὶ ἀθρόας ἐκτροπὰς τῆς ἐν ταὐτῷ τοῦ ἤθους μονῆς, ἀπὸ τοῦ πρὸς θεὸν ἄρχεται σεβασμοῦ. Ὁ γὰρ ὅρκος μάρτυρα τὸν θεὸν καλεῖ, καὶ μεσίτην αὐτὸν καὶ ἐγγυητὴν ἐφ' οἷς λέγει προΐσχεται. Τὸ γοῦν ἐπὶ ἀνθρωπίνοις πράγμασι (ταὐτὸν δὲ εἰπεῖν, μικροῖς καὶ εὐτελέσι) τὸν θεὸν παράγειν, καταφρόνησίν τινα πρὸς αὐτὸν ὑπογράφει. Διὸ χρὴ παραιτεῖσθαι τὸν ὅρκον, εἰ μὲν δυνατὸν, τελέως· καὶ πόνον καὶ ζημίαν τὴν δυνατὴν μᾶλλον αἱρούμενον, ἢ ὀμνύναι· εἰ δὲ ἀνάγκη ποτὲ ἢ φίλον ἀπὸ κινδύνου διὰ τούτου ῥύσασθαι, ἢ ὑπὲρ γονέων ἢ πατρίδος πίστιν παρασχεῖν, πᾶν μᾶλλον ὑπομεῖναι κάλλιον, ἢ παραβῆναι τὴν διὰ θεοῦ μέσου γενομένην ὁμολογίαν.

[IN CAP. XXXIII, § 6.] Μετὰ τὴν ἀναστολὴν τῆς περὶ θεὸν ἀδιαφορίας, τὴν πολυκέφαλον ἀναστέλλει ἐπιθυμίαν, μετρῶν αὐτήν· ἀπὸ τῆς ἀναγκαιοτάτης, τῆς περὶ τὰς τροφὰς, ἀρξάμενος, καὶ διὰ τῶν ἄλλων τῶν περὶ τὸ σῶμα ἐπὶ τὴν μίξιν ἐλθών. Καὶ γὰρ αἱ μὲν τῶν λογίων ἀνδρῶν ἑστιάσεις τροφὰς καὶ πόσεις καὶ τὰ ἐν συμποσίοις τερπνὰ πάρεργα ποιοῦνται, λόγων δέ εἰσι κατὰ τὸ ἀληθὲς κοινωνίαι τε καὶ διατριβαί· ὡς δηλοῖ τὰ ὑπὸ Πλάτωνος, καὶ Ξενοφῶντος, καὶ Πλουτάρχου, καὶ ἄλλων, ἱστορηθέντα συμπόσια. Αἱ δὲ τῶν πολλῶν ἀνθρώπων, εἰς τρυφὴν τεταμέναι καὶ τὰς σωματικὰς ἀπολαύσεις, τῷ σιτισμῷ τῶν ἀλόγων ζώων ἐοίκασι. Διὸ καλῶς εἴρηται, ὅτι ἡ χωρὶς λόγων τράπεζα φάτνης οὐδὲν διαφέρει. Χρὴ οὖν τὸν ἐπιεικῆ τὰς ἔξω τῆς ἑαυτοῦ ἐνστάσεως ἰδιωτικὰς ἑστιάσεις παραιτεῖσθαι. Εἰ δέ ποτε γένηται καιρὸς αὐτῶν, ἢ ἑορτῆς τινος ἀπαιτούσης, ἢ πατρὸς ἀναγκάζοντος, ἢ συμπεριφορᾶς ἕνεκεν, ἢ ἄλλης χρείας κατεπειγούσης, ἐντετάσθω σοι, φησὶν, ἡ προσοχή· τοῦτ' ἔστιν, ἐγρηγορείτω τὸ προσεκτικὸν τῆς ψυχῆς, καὶ φυλαττέτω αὐτὴν ἐν ἑαυτῇ μένουσαν, μήποτε ἑαυτῆς ἀποστᾶσα, καὶ ἰδιωτικὰς ὀρέξεις προβαλλομένη, εἰς τὴν τῶν ἰδιωτῶν ἀποῤῥυῇ

fitque spiritu intumescente, et sonitum edit ebullitioni non dissimilem. Evertit igitur constantem et placidam animi corporisque habitudinem; quemadmodum et, ab altera parte, ploratus et ejulatus moderationis stabilitati obstat. Ob hæc itaque risus est vitandus, *frequens* præsertim. Quod si quando risum res postulet, ne sine ullo risu moribus asperioribus evadamus, et familiaribus stupidi et gratiæ omnis expertes videamur, pauca certe risu digna sunt. Unde qui crebro et de multis ridet, eum adparet facile efferri lætitia. Quamobrem id non sæpe admittendum est; nec diu durare debet risus; (hic enim est *multus*, quem dicit;) nec effusus esse, neque cui sine modo indulgeatur; (hic enim est, puto, quem ἀνειμένον nunc dicit :) sed labiis leniter modo diductis fieri, ut non magna vultus adpareat mutatio.

[IN XXXIII, 5.] In hac enumeratione officiorum erga semet ipsum, post repressas magnas et vehementes constantis animi et morum sui similium eversiones, a veneratione Dei orditur. Jusjurandum enim Deum citat testem, et sequestrum ac sponsorem facit eorum quæ dicuntur. Ob res humanas autem (quod perinde est ac si parvas et viles dicas) Deum producere, contemtum ejus quendam innuit. *Recusandum* est igitur *jusjurandum, siquidem fieri potest, omnino :* et labor ac mulcta quævis, quam possis luere, toleranda potius, quam jurandum. Sin id aliquando necesse fuerit, ut vel amicum e periculo eripias, vel pro parentibus aut patria spondeas; quidvis perpeti præstabilius fuerit, quam pactionem religione Numinis sancitam violare.

[IN § 6.] Repressa levitate adversus Deum, multicipitem quoque reprimit cupiditatem, eique modum adhibet; a maxime necessaria auspicatus, cibi et potus cupiditate: deinde per alias corpori servientes, ad conjunctionis adpetitum procreandi caussa progreditur. Nam eruditorum virorum convivia, fercula quidem et pocula cæterasque suavitates compotationum non præcipue spectant : sed revera sunt sermonum communicationes et disputationes; ut indicant Platonis, Xenophontis, Plutarchi et aliorum scripta convivia. Vulgaria vero, quæ ad voluptatem unice referuntur, et ad corporum oblectationes, pastioni brutarum mutarumque pecudum non fere sunt dissimilia. Unde recte dictum est, inter mensam absque sermonibus, et præsepe, nihil interesse. Decet igitur virum bonum *vulgaria convivia, suo instituto non congruentia, recusare. Si vero*, ut iis intersit, *tempus aliquando tulerit*, seu festo aliquo postulante, seu patre cogente, aut etiam obsequii gratia, aliave quapiam graviore de caussa : *intendatur*, inquit, *animadversio*, et vigilet animus, seque intra semet ipsum contineat; ne se ipso relicto, et popularibus cupiditatibus

τάξιν, καὶ συμμολυνθῇ τοῖς ἰδιώταις διὰ τῶν ἀλόγων ὀρέξεων. Ὁ γὰρ τοῖς μεμολυσμένοις ἑαυτὸν ἐκδοὺς, καὶ τὰς ἐν αὐτοῖς ὀρέξεις προβαλλόμενος, (τοῦτο γάρ ἐστι τὸ συνανατρίβεσθαι) κἂν πρότερον ἦν καθαρὸς, καθαρὰς ἔχων τὰς ὀρέξεις, μολύνεται διὰ τούτων. Μολυσμὸς γάρ ἐστι τῷ καθαρῷ ἡ τοῦ ἀκαθάρτου μῖξις.

[IN CAP. XXXIII, § 7.] Τὰ παραλαμβανόμενα τοῦ σώματος ἕνεκεν πρῶτον κτήσασθαι ἀνάγκη, καὶ οὕτω χρήσασθαι αὐτοῖς. Αὐτὸς δὲ, περὶ τῆς χρήσεως αὐτῶν νῦν λέγων, ὕστερον ἐρεῖ περὶ τῆς κτήσεως. Καὶ τάχα μὲν καλὸν ἦν μηδενὸς δεῖσθαι τὸν ἄνθρωπον, ψυχὴν ὄντα λογικήν. Ἐπεὶ δὲ καὶ ὀργάνῳ χρῆται σώματι φθαρτῷ, ἀρκεῖ τὰ ἀναγκαῖα προσφέρειν αὐτῷ, καὶ μὴ ὀλισθαίνειν εἰς περιττότητα. Ἀλλ' ὥσπερ ὁ τέκτων τοῦ σκεπάρνου προνοῶν, ἀρκεῖται μέγεθος αὐτῷ καὶ σχῆμα περιποιεῖν τὸ προσῆκον, καὶ ἀκμὴν ἐστομωμένην, οὐ μέντοι ἐπίχρυσον αὐτὸ ποιεῖν ὀρέγεται ἢ διάλιθον, διότι καὶ εἰς τὴν δαπάνην ἐπιβλαβῶς ἔμελλε περιέλκεσθαι, καὶ παρὰ τὸν λόγον τῆς τέχνης ἐπιμελεῖσθαι τοῦ ὀργάνου, καὶ ἄχρηστον αὐτὸ τῇ τέχνῃ ποιεῖν· οὕτω χρὴ καὶ περὶ τὸ ὄργανον ἡμῶν ἡμᾶς διατίθεσθαι, τὰ πρὸς χρείαν αὐτῷ μόνα προσφέροντας· ἐν μὲν τροφαῖς καὶ πόμασι τῶν κατὰ φύσιν τρεφόντων τὸ ἀνθρώπειον σῶμα τὰ εὐπόριστα καὶ φυσικώτερα ἐκλεγομένους. Ταῦτα γὰρ εὐθὺς καὶ καθαρώτερα εὑρίσκεται, καὶ λιτότερα, καὶ ὑγιεινότερα. Τραφῆναι γὰρ δεῖται τὸ ζῶον, οὐ μέντοι τοιαῖσδε καὶ τοιαῖσδε ποικιλίαις τροφῶν. Οὐδὲ γὰρ πρὸς Θεωρίωνας καὶ Παξάμονας ἡμᾶς ἡ φύσις ᾠκείωσε, καὶ τὴν μαγειρικὴν κακοτεχνίαν, ἀλλὰ πρὸς τροφὴν, τὸ ἀποῤῥέον ἀνυφαίνουσαν. Καὶ ὅτι τοῦτο οὕτως ἔχει, δηλοῦσιν οἱ δι' ἀπορίαν ἀναγκαζόμενοι φυσικώτερον τρέφεσθαι, πολλῷ τῶν τρυφώντων ὄντες ὑγιεινότεροι· ὥσπερ ἄγροικοι μὲν τῶν πολιτικῶν, δοῦλοι δὲ τῶν δεσποτῶν, καὶ τῶν πλουτούντων οἱ πένητες. Τὰ γὰρ περιττὰ καὶ ἐσκευωρημένα βαρεῖ τὴν φύσιν, ὡς δολερὰ καὶ ἀλλόφυλα, καὶ τοῦ γένους τῶν δηλητηρίων ὄντα κατά τινα τρόπον. Διὸ καὶ πνεύματα καὶ ῥεύματα ἐξ αὐτῶν γεννᾶται φθοροποιά. Χρὴ οὖν καὶ τῷ ποσῷ, καὶ τῷ ποιῷ, πρὸς τὴν φυσικὴν τοῦ ὀργάνου χρῆσιν τὰ προσφερόμενα μετρεῖν· ἵνα μὴ καὶ τῷ πορισμῷ τῆς περιττῆς δαπάνης κατατριβώμεθα, καὶ παρὰ τὸν ὀρθὸν λόγον τοῦ ὀργάνου ἐπιμελώμεθα, καὶ ἀχρηστότερον αὐτὸ ποιῶμεν. Μακάριον δὲ καὶ τὸ ἐξ ἀρχῆς οὕτω τετράφθαι, καὶ συνειθίσθαι. Οὕτω γὰρ καὶ τῷ σώματι ἀνεκτὴ, καὶ ἐπωφελὴς, καὶ ἡδεῖα ἔσται ἡ φυσικὴ καὶ λιτὴ καὶ ἀπέριττος δίαιτα.

Οὕτω δὲ καὶ περὶ ἐσθῆτα καλὸν ἔχειν. Σωκράτης μὲν γὰρ ἐλέγετο καὶ θέρους καὶ χειμῶνος τοῖς αὐτοῖς ἀμφιέσμασι κεχρῆσθαι. Τοῖς δὲ ὡς πρὸς Σωκράτην τρυφῶσιν ἀρκέσει πρὸς τὰς ὑπερβολὰς τῶν ὡρῶν μεταμφιέννυσθαι, λίνῳ τε τῷ ἀπὸ γῆς, καὶ τῶν συνήθων ἡμῖν ζώων τοῖς ἐρίοις χρωμένοις. Τὸ δὲ τοὺς ἐν τῇ δύσει ποταμοὺς ἀνερευνᾶν, καὶ τὰ ἐν αὐτοῖς ἀποδέρειν ζῶα, καὶ Σηρῶν τῶν ἀνατολικῶν δεῖσθαι, καὶ τῶν μο-

æstuans, *ad vulgi conditionem recidat*, et una cum vulgo brutis adpetitionibus inquinetur. Nam qui se inquinatis dedit, eorumque cupiditates sequitur; is, quamvis antea purus, et puras habens cupiditates, per illos *contaminatur*. Polluitur enim id quod purum est, impuro commistum.

[IN § 7.] Quæ tuendi corporis causa adhibentur, primum parare necesse est: ac deinde iis utendum. Auctor vero nunc de usu eorum loquitur, post etiam de iis comparandis dicturus. Ac fortasse bene ageretur cum homine, si nulla re egeret, cum sit animus rationis particeps. Sed quia etiam mortalis *corporis* instrumento utitur; satis est tribuere huic necessaria, nec ad luxuriem delabi. Sicut enim fabro satis est in curanda bipenni, efficere ut sit magnitudine et figura convenienti, et acie prædita : nec eam auro bracteare cupit, aut gemmis exornare, quod et sumtibus exhauriretur, et contra rationem artis curaret instrumentum, atque arti inutile redderet : ita et nos adversus nostrum instrumentum adfecti esse debemus, nec illi nisi ea quæ usus et necessitas postulat offerre : e *cibis et potionibus*, ea quæ secundum naturam corpus humanum alunt, parabilia et naturæ convenientiora deligendo. Hæc enim statim et puriora deprehenduntur, et simpliciora, et salubriora. Victu enim opus est animanti : sed non tali aut tali ciborum varietate. Neque enim Theorionibus et Paxamonibus natura nos conciliavit, et malis culinariorum artibus, sed victui; quo id, quod decesserit, instauretur. Atque hoc ita se habere, ii declarant, qui ob inopiam uti naturali victu coguntur, multo delicatis et luxuriosis saniores; ut agricolæ oppidanis robustiores, servi dominis, pauperes divitibus. Nam supervacanea, et arte conquisita, naturam onerant, ut dolosa et aliena, et ex genere venenorum quodammodo : quare et flatus et fluxiones inde generantur perniciosæ. Est igitur et multitudo et qualitas ciborum ac potionum naturali usu instrumenti metienda, ne et parandi sumtu supervacaneo vexemur, et secus, ac recta ratio præscribit, instrumentum curemus, idque ad usum ineptius reddamus. Magnæ autem felicitatis est, ab ineunte ætate ita enutritum esse, et adsuefactum. Sic enim et corpori tolerabilis et adcommodata et suavis erit naturalis illa et tenuis et simplex diæta.

Eadem et in *vestitu* ratione uti convenit. Socrates certe vestibus iisdem et hieme et æstate usus perhibetur. Iis vero qui Socrati collati delicate vivunt, satis erit adversus caloris et frigoris intemperiem, lino e terra nato, et usitatorum nobis animalium lana et velleribus uti. At vero flumina Occidentis perscrutari, et quæ in iis sunt animalia excoriare; et Serum orientalium egere opera, et fila ver-

νιμωτάτων παρ' ἡμῖν ὑλῶν, χρυσοῦ καὶ ἀργύρου, τὰ παρ' ἐκείνοις τῶν σκωλήκων νήματα ἀνταλλάττεσθαι, πολλῆς ἂν εἴη τρυφῆς τε καὶ ἀλογιστίας. Ἀλλὰ καὶ περὶ οἴκους οὕτως ἔχειν χρή. Κράτητι μὲν ὁ πίθος ἤρκεσεν εἰς οἴκησιν, καὶ γαμετὴν ἔχοντι τὴν καλὴν Ἱππαρχίαν. Ἡμῖν δὲ ἔστω μὲν οἶκος, ἀλλὰ πρὸς τὴν χρείαν ἀρκῶν, καὶ τῷ μεγέθει καὶ τῷ καλλωπισμῷ· ἀνδρῶνα μὲν ἔχων εἰς χρείαν, καὶ γυναικωνῖτιν· (τάχα δὲ καὶ τοῦτο περιττόν·) οὐ μέντοι τριακοντάκλινον οἴκημα πάντως, καὶ τοίχοις καὶ ἐδάφει λιθόστρωτον, ἀπὸ ποικίλων κατηνθισμένον, οὐδὲ καθ' ἕκαστον μῆνα διαφόρους ἔχον καταγωγάς. Οὔτε γὰρ ἡ χρεία τὰ τοιαῦτα ἀπαιτεῖ, καὶ δυστυχές ἐστι τὸ τοιούτοις συνεθισθέντα τοῖς ἄλλοις πᾶσιν ἀπαρέσκεσθαι. Ἐῶ λέγειν, ὅτι τὸν τούτοις προστετηκότα καὶ τὴν εὐδαιμονίαν ἐν τούτοις ἀνάγκη τίθεσθαι, καὶ ἑαυτοῦ τελέως ἐπιλανθάνεσθαι· κἂν ἐκπέσῃ τούτων, (πολλὰ δὲ τὰ τῆς ἐκπτώσεως κύρια·) κλαίειν ἀνάγκη καὶ ὀδύρεσθαι, καὶ τότε κακοδαιμονᾶν ἡγεῖσθαι· καίτοι κακοδαιμονέστερον εἴχομεν μᾶλλον ὅτε τούτοις ἐνετρυφῶμεν.

Τῷ δὲ αὐτῷ λόγῳ καὶ τῷ πλήθει τῶν οἰκετῶν χρηστέον, πρός τε τὴν χρείαν βλέποντι, καὶ τὴν ἄλλην περιουσίαν· ἵνα καὶ τρέφωνται αὐτάρκως, καὶ ἐργάζωνται ἅμα μὲν ἐπιμελῶς, ἅμα δὲ ἀθλίπτως. Οἱ γὰρ ἐν ταῖς προόδοις προηγούμενοι καὶ ἀκολουθοῦντες πολλοί, καὶ τοῦτο ἔργον ἔχοντες, λανθάνουσι τὸν δεσπότην φύλακες ὄντες αὐτοῦ πικροί, ὡς μήτε ἀπελθεῖν που καθ' αὑτὸν δύνασθαι, μήτε ἰδίᾳ κοινολογήσασθαί τινι λεληθότως, μήτε πρᾶξαί τι τῶν ἀρεσκόντων αὐτῷ, τοῖς οἰκέταις ἀπόῤῥητον. Εἰσὶ δὲ καὶ τοῖς ἄλλοις ἀνθρώποις ὀχληροί, τά τε ἐκ τῆς ἀγορᾶς τὰ μὲν κλέπτοντες, τὰ δὲ ἁρπάζοντες, καὶ τύπτοντες, καὶ ὑβρίζοντες ἀδεῶς, τῇ τῶν συνδούλων ἐπικουρίᾳ. Ὑπό τε οὖν τούτων καὶ ὑπὸ τῆς ἀργίας παντοδαπῶς διαφθειρόμενοι, ἐχθροὶ πάντως εἰσὶν οἱ πλεῖστοι τῶν δεσποτῶν καὶ πολέμιοι, ἀνάγκην ἐχόντων, διὰ τὸ τούτους τρέφειν τρυφῶντας καὶ καλλωπιζομένους καὶ ἀκολασταίνοντας, πόσα μὲν πονεῖν, πόσα δὲ ἀγρυπνεῖν, πόσους δὲ κολακεύειν, καὶ πόσοις δουλεύειν, καί, τὸ κεφάλαιον τῶν κακῶν, τοῦ κατὰ φύσιν προσήκοντος ἀνθρώποις βίου διαμαρτάνειν. Ἀλλ' οὗτος μὲν ὁ βίος, πόῤῥω τῆς Ἐπικτήτου παιδαγωγίας ἀπεῤῥιμμένος, τῆς ἀξίας ἑαυτῷ δίκης ἀπολαυέτω. Ὁ δὲ ἤδη φιλοσοφῶν ἀνὴρ καὶ τῇ οἰκετίᾳ πρὸς τὴν ἀπέριττον χρείαν συμμεμετρημένῃ προσχρήσεται. Ὀλίγη δέ ἐστιν αὕτη καὶ διὰ τὴν λιτότητα τοῦ βίου, καὶ διὰ τὸ τὰ πολλὰ αὐτουργεῖν· ὥστε οἰκέτου δεῖσθαι, ἢ νοσοῦντα, ἢ τῆς χρείας δεομένης συλλήπτορος, ἢ καὶ δι' ἀσχολίαν ἐνίοτε τὴν πρὸς καλλίονα· ὥσπερ καὶ ὁ θαυμαστὸς οὗτος Ἐπίκτητος, μόνος τὸν πολὺν χρόνον διατελέσας, ὀψέ ποτε γυναῖκα προσελάβετο, παιδίου τροφόν, ὅπερ ἐκτίθεσθαι μέλλον ὑπό τινος τῶν αὐτοῦ φίλων διὰ πενίαν, αὐτὸς λαβὼν ἀνεθρέψατο.

Ὀνομάσας δὲ ἕκαστον τῶν ἐν χρείᾳ, κοινῶς ἐπήγα-

mium pretiosissimis et firmissimis apud nos rebus, auro atque argento, redimere, magni fuerit et *luxus*, et inconsiderantiæ. Eadem porro et *domiciliorum* ratio esse debebit. Nam Crateti quidem domum idoneam præbuit dolium, quamvis pulchram Hipparchiam uxorem habenti. Nobis autem sit sane domus, sed ad usum adcommodata, tam magnitudine, quam ornatu; quæ et virorum quidem et mulierum distincta habeat conclavia; quamvis et hæc fortassis supervacanea fuerint: nec vero opus est, ut habeat exedram quæ triginta lectulos capiat, aut ut parietibus et pavimento marmoreo ac tessellato et picturato sit, aut singulis mensibus distincta habeat diversoria. Neque enim usus ista postulat; et miserum est, hujusmodi habitationi adsuetum, alias omnes improbare. Neque jam dico, qui his impense delectetur, eum felicitatem etiam in hisce collocare, suimet ipsius prorsus oblitum. Qui si his exciderit, (quod quidem multis de caussis accidere potest,) plorare necesse erit, et lamentari, seque infelicem tum judicare: quamquam infeliciores tunc eramus, cum hisce deliciis circumflueremus.

Consimili ratione *servorum* etiam eo numero est utendum, qui sit ad usum et rei familiaris copias adcommodatus; ut et necessaria eis præbeantur, et operæ exigantur cum diligentes, tum tolerabiles. Qui enim, cum in publicum prodeunt, multos circumducunt anteambulones et pedissequos, quorum id unum munus est; hi non animadvertunt, se molestos sui custodes et observatores circumducere, ut neque suo arbitratu quoquam abire, neque privatim et clanculum cum ullo colloqui, nec, quæ visa fuerint, agere clam famulis possint. Sunt iidem et aliis hominibus molesti, res in foro venales partim furando, partim rapiendo, atque impune verberando et insultando, conservorum subsidio freti. Et ab his ipsis igitur, et ignavo otio prorsus corrupti, plerique profecto sunt inimici et hostes dominorum: qui quo istorum delicias et elegantias et luxuriam alant, quos labores, quas vigilias tolerare, quam multis item adulari et servire necesse habent! et, quod malorum caput est, a vita naturæ humanæ conveniente desciscere! Sed talis vita, plurimum ab Epicteti institutione abhorrens, meritas luat pœnas! Homo autem philosophus, etiam *servitiis* ad necessarium usum adcommodatis utetur. Hic vero exiguus est, cum ob tenuem vitæ rationem, tum quod suis ipse manibus pleraque administrat; ut ei famulo sit opus aut ægrotanti, aut cum res adjutorem desiderat, aut interdum ob rerum meliorum occupationem: quemadmodum et admirandus hic Epictetus, cum majorem ætatis partem solus exegisset, sero tandem mulierculam nutricem adscivit puero, quem ab amico quodam suo, propter inopiam exponendum, ipse susceptum educavit.

Nunc singulis rebus necessariis nominatis, in genere

γεν, ὅτι ἐν πᾶσι χρὴ τὸ περιττὸν ἀφαιρεῖν· ἅπαν τὸ περιττὸν εἰς δύο συνελὼν εἴδη, τὴν τρυφὴν, καὶ τὴν παρὰ τοῖς ἐκτὸς δόξαν. Ταῦτα μὲν γὰρ τὰ δύο ἐστὶν ἐν πᾶσι τοῖς εἰρημένοις, ὧν ἕνεκα τὴν χρείαν ὑπερβαίνομεν, καὶ οὐδὲν ἄλλο. Τοσαύτη δὲ ἦν ἡ σπουδὴ τοῖς θείοις ἀνδράσι πρὸς τὸ περιττὸν ἅπαν ἀποσκευάσασθαι, ὥστε τὸν Διογένην φασὶ σκύφος ξύλινον ἀεὶ περιφέροντα ἐν τῇ πήρᾳ, ᾧ τὸ ὕδωρ ἀρυόμενος ἔπινεν, ἐπειδὴ ποταμὸν διαβαίνων ἐθεάσατό τινα ταῖς χερσὶν ἀρυόμενον καὶ πίνοντα, ἔῤῥιψε τὸ σκύφος εἰς τὸν ποταμὸν, εἰπὼν, μηκέτι δεῖσθαι αὐτοῦ, τῶν χειρῶν τὴν χρείαν ποιουσῶν.

subjungit, supervacanea ubique esse repudianda. Duo autem supervacaneorum genera constituit, *delicias* et *popularem opinionem*. Hæc enim duo sunt in omnibus iis quæ dixit, ob quæ necessarium usum transiliamus, nec aliud quidquam. Tanto autem studio supervacanea omnia repudiarunt viri divini, ut Diogenem dicant, ligneum scyphum semper circumferentem in pera, e quo haustam aquam potaret, quum per flumen transiens, quemdam manibus haurientem bibentemque vidisset, scyphum in flumen projecisse; quod eo sibi nihil esset opus, vola eumdem usum præbente.

[IN CAP. XXXIII. § 8.] Πάσης μὲν σωματικῆς ἡδονῆς ἡ ἐγκράτεια τὴν μὲν λογικὴν ψυχὴν ἀναῤῥώννυσι, καὶ θαῤῥεῖν τῇ πείρᾳ ποιεῖ, ὅτι δύναται κρατεῖν τῆς ἀλογίας· τὰς δὲ ἀλόγους ὀρέξεις συστέλλει κατὰ δύο τρόπους, μαραινομένας τῇ τε ἀργίᾳ, καὶ συνεθιζομένας ἡττᾶσθαι τοῦ λόγου. Ἡ δὲ ἐγκράτεια τῆς ἡδονῆς περὶ τὰς μίξεις, ὅσῳ πληκτικωτέρα τῶν ἄλλων ἐστὶ, τοσούτῳ χρησιμωτέρα τέ ἐστι τῇ ψυχῇ καὶ τιμιωτέρα ἐκείνη. Ὅτι δὲ οὐ μόνον ὁ λόγος ὑπὸ τῆς ἀγαθῆς διδασκαλίας καὶ τῶν ἀρίστων νόμων παιδαγωγεῖται, ἀλλὰ καὶ τῶν ἀλόγων ὀρέξεων αἱ σφοδρότητες ὅτι μὴ βίᾳ μόνον χαλινοῦνται, ἀλλὰ καὶ εὐηνίως ὑποστέλλονται, δῆλον ἐκ τοῦ καὶ τὴν περὶ τροφὴν ὄρεξιν καὶ τὴν περὶ μῖξιν, καίτοι φυσικὰς οὔσας καὶ βιαίους, καλῶς συνεθιζομένας, ἀβιάστως ἠρεμεῖν. Οἵ τε γὰρ ταῖς νηστείαις συνεθισέντες οὐχ ἐνοχλοῦνται ὑπὸ τῶν ὀρέξεων, ἀλλὰ καὶ βαροῦνται παρὰ τὸ τῆς νηστείας ἔθος ἐσθίοντες· ἥ τε περὶ τὴν μῖξιν ὄρεξις ἐν τοῖς ἀθλητικοῖς, καίτοι σαρκῶν ἐμπιπλαμένοις καὶ σφριγῶσιν, ὅμως ἠρεμεῖ, συνεθισθέντων διὰ τὸν ἐν Ὀλυμπίοις στέφανον ἀπὸ θαλλοῦ ἐλαίας. Τοῦ δὲ ἔθους καὶ τοῦ νόμου τὴν πρὸς ἀδελφὴν ἢ ἀδελφὸν μῖξιν ἀποκωλύσαντος, ἴσμεν, ὅπως, ὡς ἀπ' αὐτῆς στεγθεῖσαι τῆς φύσεως, οὕτως ἀκίνητοι παντελῶς εἰσιν αἱ ὀρέξεις, ἐν οἷς μὴ ποινήλατός τις μανία ἐνέσκηψε. Τὸ δὲ πρὸ γάμου καθαρεύειν χρήσιμον. καὶ ἄλλως ἐστὶ, καὶ δίκαιον, ἵνα τὴν τῆς παρθενίας πίστιν, ἣν ὁ ἀνὴρ παρὰ τῆς γυναικὸς ἀπαιτεῖ, καὶ ἡ γυνὴ παρὰ τοῦ ἀνδρὸς ἀντιλαμβάνῃ. Εἰ δὲ ἀνάγκη, φησὶ, πρὸ γάμου, ὧν νόμιμόν ἐστι, μεταληπτέον. Τὸ γὰρ παρὰ νόμον πάντως μὲν καὶ ἀσεβές ἐστιν· οὐ γὰρ ἂν μάτην ὁ νόμος αὐτὸ περιέγραφεν· ἔστι δὲ καὶ πολλῆς ἀκρατείας τεκμήριον. Πρὸς δὲ τούτοις συνεθίζει καὶ αὐτὸν, καὶ τοὺς μιμουμένους αὐτὸν, καὶ τῶν ἄλλων καταφρονεῖν νόμων.

[IN XXXIII, 8.] Omnis corporeæ voluptatis continentia animum rationis participem corroborat, et facit ut experimento fretus coerceri posse brutam partem confidat: belluinas autem adpetitiones contrahit duobus modis, marcescentes otio, et adsuetudine rationi succumbentes. Continentia vero libidinum, quanto hæ acrius stimulant, quam aliæ voluptates, tanto est utilior animo, ac pretiosior. Non autem rationem solum bona doctrina et legibus optimis erudiri, sed brutarum etiam adpetitionum vehementiam, non solum vi refrenari, sed etiam placide admittere frena posse, ex eo constat, quod et cibi adpetitus et coitus, quamquam naturalis et violentus, si recte adsuefiat, sine vi adquiescit. Nam et jejuniis adsuefacti non vexantur ab adpetitu, sed molestiis etiam adficiuntur, cum præter jejunii consuetudinem comedunt: et adpetentia coitus in pugilibus, quamvis et carnibus impleantur, et vegeto corpore sint, tamen quiescit; quod continere eam adsueverunt ob oleagineam germinis in Olympiis corollam. Jam cum lex et consuetudo sororis et fratris consuetudine interdicat, adpetitiones non secus ac ab ipsa natura cohibitas prorsus immobiles esse novimus; nisi forte aliquos furoris intemperiæ, et diræ scelerum ultrices agitarint. *Ante nuptias* autem *caste vivere*, præter alias utilitates, etiam justum est; ut castitatis fides, quam maritus ab uxore stipulatur, etiam uxori vicissim a marito servetur. Sin ante nuptias necesse fuerit; ea utendum venere est, qua per leges licet. Quod enim legi repugnat, idem est et impium : neque enim lex frustra illud circumscripsisset : est vero idem et magnæ incontinentiæ signum : deinde adsuefacit et ipsum, et imitatores ejus, ad alias quoque leges contemnendas.

Ἀπεχόμενος δὲ, φησὶ, τῶν τοιούτων, μὴ γίνου ἐπαχθὴς τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός· μηδὲ πολλαχοῦ, ὅτι αὐτὸς οὐ χρῇ, παράφερε. Καὶ γὰρ τοῖς ἀκούουσι πικροί εἰσιν οἱ τοιοῦτοι ἔλεγχοι καὶ ὀνειδισμοὶ, ὅτε οὐδὲ τοὺς διδασκαλικοὺς ἐλέγχους ὁμαλῶς φέρομεν. Αἴτιον δὲ τῆς δυσφορίας οἶμαι τὸ, ἕως ἂν ἐλεγχθῶμεν, οἴεσθαι λανθάνειν, καὶ διὰ τοῦτο μηδὲ ἡμαρτηκέναι δοκεῖν. Καὶ τούτου δὲ αἴτιον τὸ τῇ δόξῃ τῶν ἐκτὸς κεχρῆσθαι πρὸς τὴν ἑαυτῶν κρίσιν, ἀλλὰ μὴ ἡμῖν

Cæterum, si talibus abstines, *ne sis iis*, inquit, *qui utuntur, molestus; neve eos arguas, nec te abstinere passim jactato.* Audientibus enim acerbæ sunt istæ criminationes atque opprobria. Neque enim vel præceptorum objurgationes æquis animis ferimus. Cujus molestiæ, puto, caussa est, quod errata et peccata nostra latere putamus, donec arguamur : eoque ne peccasse quidem nos putamus. Jam hujus ipsius rei caussa est, quod opinionem aliorum ad nos ipsos dijudicandos adhibemus, non nosmet

αὐτοῖς, καὶ τοῖς Κρείττοσι· ταὐτὸν δὲ εἰπεῖν, τῇ ἀληθείᾳ. Ἐὰν δὲ ὁ ἐλέγχων μὴ μόνον ἀνακαλύπτῃ τὸ ἡμῶν ἁμάρτημα, ἀλλὰ καὶ ἑαυτὸν ἀναμάρτητον λέγων, ὥσπερ ἐν ἀγῶνι νικηφόρον ἑαυτὸν καθ' ἡμῶν ἀνακηρύττῃ, τότε καὶ κατὰ σύγκρισιν ἡττᾶσθαι δοκοῦντες, ἔτι [μᾶλλον] βαρούμεθα, προστιθέντος τι τῷ βάρει τοῦ ἑαυτὸν ἐπαινεῖν τὸν λέγοντα. Βαρύτερον γὰρ τοῦτο, διὰ τοῦ τὸν ἀνταγωνιστὴν κριτὴν γίνεσθαι. Καὶ αὐτὸν δὲ τὸν ἐλέγχοντα, καὶ τὴν αὐτοῦ σύγκρισιν παραφέροντα, βλάπτει ὁ τοιοῦτος ἔλεγχος, ἔξω τείνων αὐτοῦ τὴν ψυχὴν, καὶ μήτε ἀπέχεσθαι τῶν τοιούτων, μήτε ἐλέγχειν διὰ τὸ ἀγαθὸν ποιῶν, ἀλλ' ἵνα τοὺς ἄλλους ἐλέγχων αὐτὸς εὐδοξῇ. Οὕτως δὲ ἐλεγχομένῳ προσφερόμενος, βαρύτερον ποιεῖ τὸν ἔλεγχον, μετὰ τοῦ ῥᾴδιον αὐτῷ τὴν τοῦ ἁμαρτήματος ἀπολογίαν παρασκευάζειν τὴν σύγκρισιν. Εὔκολον γὰρ εἰπεῖν, Ἀλλ' ἐγὼ οὐκ εἰμι φιλόσοφος· καὶ εὐθὺς συγγνώμην ἑαυτῷ νέμειν.

ipsos, et Deum; hoc est, veritatem. Quod si is, qui arguit, non peccatum modo nostrum retegit, sed et se peccati expertem facit, et velut in certamine suam de nobis victoriam proclamat; tum et per collationem vinci nos magis etiam ægre ferimus, eo qui se ipse laudat, ægritudinem augente. Est enim id tanto gravius, quod adversarius se judicem facit. Atque is etiam qui alium arguit, et suum exemplum profert, sibi ipse ea re nocet: etenim animum ad res externas extendens, facile eo delabitur, ut non virtutis studio abstineat talibus, aut alios arguat; sed quo aliis arguendis gloriam ipse consequatur. Qui autem sic agit cum eo quem arguit, præterquam quod objurgationem graviorem facit, defensionem etiam alteri faciliorem reddit per ipsam comparationem. In promtu est enim, ut ille dicat, Atqui ego non sum philosophus: statimque sibi ignoscat.

[IN CAP. XXXIII. § 9.] Τοῦτο πρὸς τὸν θυμὸν ἔοικε τείνειν· καὶ γὰρ ὁ θυμὸς ἐπὶ ταῖς τοιαύταις ἀπαγγελίαις κινεῖται· καὶ τὸ φιλότιμον καὶ κενόδοξον αἰτιᾶται, ἅπερ καὶ αὐτὰ τοῦ θυμοῦ κινήματά ἐστι. Διὰ τί δὲ παραινεῖ μὴ ἀπολογεῖσθαι; διὰ τί δὲ, καὶ ἄλλοις κακοῖς ὑπεύθυνον αὐτὸν λέγειν; Μήποτε γὰρ καὶ ἄμετρος ἡ μετριότης αὕτη δόξῃ; ἢ σύμφωνα καὶ ταῦτα τῷ προκειμένῳ σκοπῷ ἐστι, βουλομένῳ τὴν ψυχὴν ἀπὸ τῶν ἐκτὸς ἀναχαιτίζειν, καὶ εἰς ἑαυτὴν ἐπιστρέφειν, ὥστε ἑαυτῇ ζῆν, καὶ μὴ τοῖς ἐκτός; Ὁ δὲ ἀπολογούμενος, καὶ μὴ τῷ ἑαυτοῦ συνειδότι ἀρκούμενος, καὶ τῇ κρίσει τοῦ πάντα εἰδότος θεοῦ, δῆλός ἐστιν ἀρέσκειν ἀνθρώποις βουλόμενος. Διὸ, ἐὰν ἐκείνους καὶ ψευδῆ λέγων πείσῃ ὅτι οὐχ ἁμαρτάνει, ἀναπέπαυται, ὡς μηδὲν ἁμαρτάνων· ἀρκούμενος τῷ πεῖσαι τοὺς κριτὰς, οὓς ἑαυτῷ προὐβάλλετο. Ἐὰν δὲ τῶν ἔξω καταφρονῶν, ἑαυτοῦ κριτὴς ἀδέκαστος γένηται, ἐξελέγχεται τὸ ἁμάρτημα διὰ τῆς αὐτοῦ τοῦ ποιήσαντος μαρτυρίας. Τὸ δὲ καὶ κατηγορεῖν ἑαυτοῦ, ὡς καὶ ἄλλα ἔχοντος κακὰ, τὰς ῥίζας αὐτὰς ἐκκόπτει τῆς φιλοδοξίας. Δεινὸν γὰρ τὸ πάθος, καὶ προσισχημένον τῇ ψυχῇ, καὶ ἐρριζωμένον, καὶ εἰς ἑαυτὸ περιτρεπόμενον. Καὶ γὰρ δοκοῦμεν μὴ φιλοδοξεῖν, διὰ τοῦ * * φιλοδοξοῦντες· καὶ λανθάνει πάθος ὂν αἰσχρὸν τῇ ψυχῇ, τὸ δοκεῖν ἐπ' ἀγαθοῖς ἐθέλειν φιλοδοξεῖν· οὐκ ἐννοούντων ἡμῶν, ὅτι μολύνει τὸ ἀγαθὸν, καὶ οὐ συγχωρεῖ ἀγαθὸν αὐτὸ εἶναι, οὐδὲ προηγουμένως ἐφετὸν, εἴπερ μὴ δι' ἑαυτὸ αἱρούμεθα αὐτὸ, ἀλλὰ διὰ τὴν ἐπ' αὐτῷ δόξαν. Γίνεται γὰρ σκοπὸς μὲν καὶ τὸ ἀγαθὸν ἡμῶν, ἡ δόξα· πρὸς ταύτην δὲ ἀναγκαίως παραλαμβανομένη τυχὸν ἡ δικαιοσύνη, ἵνα δι' αὐτὴν εὐδοξῶμεν.

[IN XXXIII, 9.] Hoc ad iracundiam reprimendam pertinere videtur. Nam hujusmodi nunciis commovetur ira; et ambitio vanaque gloria coarguitur, quæ et ipsæ sunt iracundiæ commotiones. Cur vero *defensionem* vetat? cur *aliorum etiam peccatorum se reum fateri* jubet? An non immoderata videri debet ista moderatio? Nempe et hæc præcepta instituto auctoris consentanea sunt; quo a rebus externis abstrahatur animus, et ad semet ipsum revocetur, ut sibi, non aliis, vivat. Qui vero se defendit, sua conscientia non contentus, et judicio scientis omnia Dei; hunc satis adparet hominibus placere velle. Quamobrem, si illis falso etiam persuaserit, se non peccare, adquiescit, quasi nihil peccans; contentus, iis hoc, quos sibi judices delegit, persuasisse. Sin cæteros aspernatus, incorruptus ipse sui judex exstiterit, peccatum ejus testimonio ipsius auctoris convincitur. Jam vero *sese accusare, ut aliis etiam peccatis obstrictum;* id vero est ipsas gloriæ cupiditatis radices excidere. Mirus enim is adfectus est, et tenaciter adhærens animo, et radicitus ei infixus, atque etiam in se ipsum retro conversus. Putamus enim, nos non adpetere gloriam, cum eo, quod boni simus, eam adpetimus: nec animadvertimus, turpem esse morbum animi, ob res bonas velle florere gloria. Nec enim consideramus, eo adfectu inquinari bonum, ut bonum non maneat, nec primario loco expetendum; si non per sese id, sed ob consequentem gloriolam, amplectamur. Fit enim sic scopus et bonum nostrum, gloriola: ad quam quidem consequendam necessario fortassis adhibebitur, si ita ceciderit, justitia, ut propter eam gloriola fruamur.

Δοκεῖ δὲ τοῖς μὲν ἔχουσιν ἄλλα πάθη χρήσιμον. Πολλῶν γὰρ καὶ σφοδρῶν παθῶν κρατοῦμεν διὰ φιλοδοξίαν· καὶ τὰ ἐπιπονώτερα δι' αὐτὴν αἱρούμεθα πολλάκις, ἅπερ καὶ τῶν σφοδρῶν κολάσεων οὐδέν ἐστι μετριώτερα. Διὸ καὶ ἔσχατος λέγεται τῶν παθῶν χι-

Est autem hic adfectus quidem ad alios adfectus reprimendos utilis. Multos enim et vehementes adfectus gloriæ cupiditate superamus: et ejus caussa gravissimos labores interdum suscipimus, acerbis suppliciis nihilo leviores. Quare etiam extrema tunica reliquorum adfectuum dicitur

τῶν ἡ φιλοδοξία· διότι, τῶν ἄλλων πολλάκις δι' αὐτὴν ἀποδυομένων, αὕτη προσίσχεται μᾶλλον τῇ ψυχῇ. Κατ' ἀλήθειαν δὲ οὔτε ἐκείνων ἀπαλλάττει τῶν παθῶν ἡ φιλοδοξία, ἀλλὰ τὰς εἰς τὸ ἐμφανὲς αὐτῶν ἐνεργείας ἐπέχει μόνον· οἱ γὰρ δι' αὐτὴν μὴ πορνεύοντες τῷ ἔργῳ ταῖς φαντασίαις ἀσχημονοῦντες οὐ παύονται· ὥστε συμβαίνει μήτε τὰ ἄλλα πάθη παύειν αὐτὴν, καὶ αὐτὴν ἐπιτείνεσθαι χαλεπώτερον διὰ τὴν τῆς ἐνεργείας τῶν ἄλλων παθῶν ἐποχήν. Ἔοικεν οὖν νέῳ μὲν ὄντι χρήσιμος γίνεσθαι κατ' ἀρχὰς πρὸς χαλιναγωγίαν τῶν τῆς νεότητος παθῶν· εἰ δὲ καὶ προκόπτοντι τὴν ἡλικίαν ἐμμένοι, μέγας ὄλεθρος· οὔτε γὰρ ἐᾷ τὴν ψυχὴν εἰς ἑαυτὴν ἐπιστρέφεσθαι, κεχηνυῖαν πρὸς τὰς ἐκτὸς δόξας· οὔτε ἀγαθὸν οὐδὲν προηγουμένως αἱρεῖσθαί ποτε, ἀλλὰ διὰ τὴν ἑπομένην εὐδοξίαν, ταυτὸν δὲ εἰπεῖν, μηδέποτε ἀγαθὸν ὡς ἀγαθὸν αἱρεῖσθαι. Οἷον δὲ καὶ ἄλλο τοῖς τοιούτοις ἤθεσι συμβαίνει, γέλωτος ἄξιον; ἀτιμάζοντες γὰρ, ὡς ἐπίπαν, καὶ περιπτύοντες τοὺς πολλοὺς ἀνθρώπους, καὶ μηδενὸς ἀξίους λόγου ἡγούμενοι, ὅμως, ὡς μεγάλων ὄντων τινῶν, ἀπὸ τῆς δόξης αὐτῶν ἠρτήμεθα, ὡς ἀπὸ τριχός. Τοιαύτην οὖν οὖσαν τὴν φιλοδοξίαν, οὐδὲν ἄλλο δύναται οὕτως ἐκκόπτειν, ὡς ἡ μετριότης τοῦ ἤθους, καὶ τὸ ἐξαγορεύειν τὰ ἑαυτῶν κακά. Προσέχειν δὲ χρὴ, μὴ καὶ τοῦτο κενοδόξως ποιήσωμεν· ἐπεὶ, ἐὰν γνησίως γίνηται, οὔτε τὸ ἐλπίζειν ἔτι εὐδοξίαν περιλιμπάνεται· καὶ, εἴπερ ἦν ἀνάγκην ἐπιτεθῆναι τοῦ μηδενὶ τῶν ἄλλων ἀνθρώπων γνώριμα γίνεσθαι τὰ ἡμέτερα πλεονεκτήματα, τὰ δὲ ἐλαττώματα πᾶσιν, ἐξεκέκοπτο ἂν ἡ φιλοδοξία, καὶ τὸ δι' εὐδοξίαν ποιεῖν ἃ ποιοῦμεν, μηκέτι ἐλπιζόντων αὐτήν.

[IN CAP. XXXIII, § 10.] Οὐ μόνον τροφῶν καὶ μίξεων ἄλογοί εἰσιν ἐπιθυμίαι, ἀλλὰ καὶ θεαμάτων καὶ ἀκουσμάτων. Πῶς οὖν ἔχειν χρὴ πρὸς ταῦτα, διδάσκει, λέγων, Εἰς τὰ θέατρα συνεχῶς παριέναι οὐκ ἀναγκαῖον· μᾶλλον δὲ ἀναγκαῖον τὸ μὴ συνεχῶς παριέναι. Θεατρικὸς γὰρ ὁ βίος ἐστὶ τῶν τοῖς θεάτροις ἐσχολακότων. Εἰ δέ ποτε καιρὸς εἴη, ἢ κατὰ νόμον ἑορτῆς καὶ τοιούτοις ἀγῶσι τιμωμένης, ἢ διὰ τὴν πρὸς τοὺς πολλοὺς συμπεριφοράν· (βαρεῖς γὰρ φαίνονται αὐτοῖς οἱ τὴν συνήθη διαγωγὴν ὑπεκτρέχειν δοκοῦντες·) ἢ διὰ πεῖράν τινα καὶ δοκιμασίαν, πῶς μὲν πέρυσιν εἴχομεν πρὸς τὰ τοιαῦτα, πῶς δὲ ἐν τῷ παρόντι· ἢ δι' ἄλλην τινὰ χρείαν λόγον ἔχουσαν [ἐὰν] καιρὸς γένηται παρελθεῖν εἰς τὸ θέατρον, ἐντετάσθαι δεῖ καὶ τότε τὴν προσοχὴν ἡμῶν, ὥστε ἐν ἑαυτοῖς εἶναι, καὶ μὴ τοῖς ἐκεῖ γινομένοις ἐκδίδοσθαι· ἀλλὰ τὸν νικῶντα θέλειν νικᾷν, καὶ τὰ γινόμενα ὡς γίνεται· τοῦτ' ἔστι, μήτε ὄρεξιν μήτε ἔκκλισιν ἐπ' αὐτὰ φέροντα, ὡς τῶν ἐκτὸς τὰ ἐξωτάτω ὄντα. Ὥστε καὶ τὸ κατάστημα μὴ σεμνὸν μὲν οὕτω, ὡς βαρὺ τοῖς παροῦσι φαίνεσθαι, σταθερὸν δὲ μετά τινος εὐχαρείας· ὡς μήτε ἐπιβοᾷν ἢ συγκινεῖσθαι ἐπὶ τοῖς νικῶσι, μήτε γελᾷν ἐκκεχυμένως ἐπὶ τοῖς γελοίως λεγομένοις· ἀλλὰ τοὺς μὲν κριτικῶς ἐπαινεῖν, τοὺς δὲ τῷ μειδιάματι ἀποδέχεσθαι.

gloriæ cupiditas; propterea quod, aliis sæpe propter hanc depositis, ipsa magis animo adhærescat. Revera autem nec illis adfectibus liberat gloriæ cupiditas; sed eorum actiones, quominus in apertum erumpant, tantum coercet. Qui enim propter eam re ipsa non scortantur, hi fœdis cogitationibus tamen numquam sunt otiosi. Ita fit, ut neque cæteros adfectus reprimat, et ipsa magis augeatur ob repressam aliorum adfectuum actionem. Videtur igitur adolescenti quidem esse utilis initio, ad ejus ætatis adfectus coercendos: sin progressu ætatis remanserit, magna est ejus pernicies. Neque enim ad sese converti patitur animum, externæ gloriolæ inhiantem; neque bonum quidquam suo nomine expeti umquam, sed ob consequentem gloriam, hoc est, numquam bonum ut bonum amplecti. Jam quid etiam aliud risu dignum hisce moribus accidit? Nam cum omnino illi contemnant et despuant vulgus hominum, nec ullius esse pretii judicent; tamen quasi magni viri sint, ab eorum opinione tamquam a filo pendent. Cum igitur hujusmodi sit gloriæ cupiditas, nihil eam æque exstirpare potest, atque animi moderatio, suorumque peccatorum confessio. Cavendum tamen, ne id quoque per vanitatem quamdam faciamus. Nam si ex animo stat, nec spes ulla gloriæ relinquitur, et, si necessitas nobis imponi posset, ne virtutes nostræ ulli mortalium innotescerent, vitia vero universis; excisa jam esset gloriæ cupiditas, quam sperare desiissemus, nec quidquam per ostentationem faceremus.

[IN § 10.] Non epularum tantum et libidinum sunt brutæ cupiditates, sed et spectaculorum et recitationum. Quo pacto igitur erga hæc adfecti esse debeamus, docet. *Crebro,* inquit, *in theatra venire non est opus:* sed illud potius est opus, ne crebro in ea venias. Theatrica enim eorum vita est, qui theatris vacant. Si quando autem tempus tulerit, aut ob ritum festivitatis, cui etiam ludorum habetur honos, aut popularis obsequii caussa; (invisi enim populo esse solent, qui consuetam vitæ rationem negligere videntur;) aut experimenti periculique faciendi caussa, quomodo superiori anno erga talia adfecti fuerimus, quomodo in præsentia; aut ob aliam probabilem rationem si tempestivum fuerit prodire in theatrum; intento tunc etiam animo esse oportebit, et excitare animadversionem, ut apud nos simus, nec iis quæ ibi fiunt nos addicamus, sed *eum vincere velimus qui vincit; et ea, quæ fiunt, ita fieri ut fiunt:* hoc est, ut nec adpetitionem nec declinationem ad illa adferamus, ut quæ ex rerum externarum numero maxime sint externa. Itaque vultus ea constantia esse debet, quæ nec odiosa sit præsentibus, et gravitatem habeat suavitate temperatam: ut neque *adclames,* neque adsurgas victoribus; nec *effuse rideas* ob ridicule dicta; sed alios cum judicio laudes, alios leniter arridendo probes.

Καὶ μετὰ τὸ ἀπαλλαγῆναι, φησὶ, τῆς θέας, μὴ πολλὰ περὶ τῶν γεγενημένων διαλέγου, τῶν μηδὲν φερόντων πρὸς τὴν σὴν ἐπανόρθωσιν. Οὐ γὰρ παιδευτικά ἐστι τὰ γενόμενα, ἵνα καὶ λόγου τις αὐτὰ πλείονος ἀξιώσῃ. Ἢ οὖν οὕτως ἀκουστέον τοῦ Ὅσα μὴ φέρει πρὸς τὴν ἐπανόρθωσιν, ὡς ἐπὶ πάντων εἰρημένου τῶν λόγων, οὓς περὶ τῶν ἐν τῇ θέᾳ γεγενημένων ποιούμεθα· ἢ, εἰ τῷ Ὅσα προκείμενόν τι μέρος τῶν λεγομένων ἀποτέμνεται, τάχα ἂν εἴη συμβουλεύων, ἐκεῖνα μόνα λέγειν, ὅσα φέρει τι πρὸς τὴν ἡμετέραν ἐπανόρθωσιν· εἴη δ' ἂν τοιαῦτα τὰ διελέγχοντα ἡμῶν τὰ μὴ καλῶς ἀναστραφέντα πρὸς τὴν θέαν κινήματα. Τὸ δὲ περιττὰ περὶ τῶν ἐν αὐτῇ τῇ θέᾳ γεγενημένων διαλέγεσθαι τεκμήριόν ἐστιν ἐναργὲς τοῦ μέγα τι νομίσαι καὶ ἀξιάγαστον τὴν θέαν· ὅπερ ἄνευ δημώδους συμπαθείας οὐκ ἂν γένοιτο.

[IN CAP. XXXIII, § 11.] Μετὰ τὰς θέας περὶ τῶν ἀκροάσεων λέγει, ἃς οἱ περὶ λόγους ἔχοντες ῥητορικούς τε καὶ ποιητικοὺς εἰς ἐπίδειξιν τῆς ἑαυτῶν εὐγλωττίας ποιοῦνται· ποτὲ μὲν ἐγκωμιάζοντες τινὰς τῶν ἐν δυνάμει, ποτὲ δὲ πάτρια πόλεων λέγοντες, ἢ τόπους ἐκφράζοντες, ἢ δικανικὰ μελετῶντες προβλήματα, ἤ τι τοιοῦτον. Χρὴ οὖν, φησὶ, μήτε εἰς ταύτας, ἐπιδεικτικὰς οὔσας, καὶ πρὸς τὸ ἐκτὸς βλεπούσας, ῥᾳδίως παριέναι, καὶ ἄνευ τινὸς λόγου τὴν πάροδον ἐπιτρέποντος, ἢ διὰ φιλίαν τοῦ λέγοντος, ἢ διὰ δυναστείαν τοῦ ἐγκωμιαζομένου, ἢ διὰ συμπεριφοράν τινα· πολλὴ γὰρ ἡ ταύτης χρεία πολλαχοῦ, διὰ τὸ πραΰνειν τοὺς φθονοῦντας τοῖς τῆς δημώδους συνηθείας ἀναχωροῦσι. Παριὼν δὲ, φησὶν, εἰς τὴν ἀκρόασιν, τὸ σεμνὸν καὶ εὐσταθὲς, καὶ ἅμα τὸ ἀνεπαχθὲς φύλασσε. Τὸ σεμνὸν, ἐν τῷ κατὰ καιρὸν ἐπαινεῖν, καὶ συμμέτρως· τὸ εὐσταθὲς, ἐν τῷ μήτε κινεῖσθαι ἀτάκτως, μήτε ἐπιβοᾷν, μήτε παραφθέγγεσθαί τι παρὰ τὸν καιρόν· ἀλλ' ἐν κόσμῳ καὶ ταυτότητι τό τε ἦθος καὶ τὸ σῶμα διαφυλάττειν. Τὸ δὲ ἀνεπαχθὲς, ἐν τῷ μήτε σύννουν περιττῶς φαίνεσθαι, ὡς ἄλλο τι πεφροντικότα· μήτε σιωπᾷν ὑπὲρ τὸ δέον, ἀλλ' ἐπαινεῖν τὰ μετρίως λεγόμενα· μήτε κρίνειν πικρῶς αὐτὰ, μήτε διελέγχειν, ὡς οὐκ ἀληθῶς ἢ οὐκ ἐμμέτρως ἢ οὐκ εὐφραδῶς εἴρηται. Πάντως δὲ ἀνεπαχθὲς καὶ εὐάρεστον, μετὰ τοῦ δικαίου, τὸ συνηδόμενον φαίνεσθαι τῷ λέγοντι, ἐφ' οἷς καλῶς λέγει· τῷ δὲ ἐγκωμιαζομένῳ, ἐφ' οἷς ἀληθῶς καὶ δικαίως τιμᾶται.

[IN CAP. XXXIII, § 12.] Οἱ πρὸς ἑαυτοὺς ἐπιστρεφόμενοι, καὶ ἑαυτοῖς βουλόμενοι ζῆν, ἀήθεις ὡς ἐπίπαν εἰσὶ τῆς πρὸς τοὺς δυνάστας ἐντεύξεως. Διὸ παραδείγματα προὔθηκεν αὐτοῖς Σωκράτην, καὶ Ζήνωνα, πρὸς οὓς ἀποβλέποντες εὑρήσουσι τὸν τρόπον τὸν ἑαυτοῖς καθήκοντα τῆς ἐντεύξεως. Ἐννοητέον οὖν, πῶς ἄρα Σωκράτης καὶ Ζήνων τοῖς τοιούτοις ἐνετύγχανον· ὅτι οὐ πλαστῶς, οὐδὲ προσποιητῶς, ἀλλ' ἐπ' αὐτῆς τῆς ἑαυτῶν ζωῆς ἔμφρονα μεγαλοφροσύνην παρέχοντες, πάσης ὑπεροψίας καὶ ἀλαζονείας καθαρεύουσαν· μήτε

Cum autem *a spectaculo discessum fuerit, ne multa,* inquit, *de iis quæ acciderunt, verba facito, cum ad emendationem tui nihil faciant.* Neque enim ita erudiunt ea quæ ibi fiunt, ut aliquo numero esse debeant. Sive igitur sic accipienda illa verba sunt, *quæ non faciunt ad tui correctionem*, quasi ad omnia ea pertineant, quæ de his loquimur quæ in spectaculo gesta sunt : sive certam aliquam eorum, quæ dicuntur, partem intelligens, suadet fortasse, ea solum dicenda, quæ ad nostram emendationem faciant : cujusmodi fuerint ea, quæ nostros motus parum decoros in spectaculo coarguant. Multa vero verba facere de his, quæ in ipso spectaculo gesta sunt, argumentum evidens fuerit, te spectaculum illud magnificum et admirabile quiddam judicare : id quod sine plebeio adfectu fieri non potest.

[IN XXXIII, 11.] Post spectacula de *recitationibus* disserit, quas homines eloquentiæ et poeticæ studiosi, ostentandæ facundiæ ergo suscipiunt, alias potentes aliquos laudando, alias instituta civitatum enarrando, aut loca describendo, aut forenses quæstiones tractando, aut simile quidpiam. *Negat* igitur *ad has*, ut ostentationi comparatas, et res externas spectantes, *facile accedendum*, et sine ratione accessum permittente; sive id fiat ob amicitiam declamantis, sive ob potentiam ejus qui laudatur, sive obsequii alicujus caussa, quo interdum uti oportet ad eos mitigandos, qui his invident qui a populari consuetudine recedere volunt. *Sin autem*, inquit, *ad recitationem accesseris; gravitatem, constantiam, simulque facilitatem conserva. Gravitatem;* ut tempestive et modice laudes : *constantiam;* ne perturbate movearis, neve adclames, aut quidquam importune interloquaris; sed cum in moribus, tum in corporis habitu, modestiam constantiamque conserves. *Facilitatem;* ne tetrico sis vultu, quasi aliis curis intentus; neque ultra quam satis est taceas, sed laudes commode dicta, nec acerbe judices, aut redarguas, ut aut parum vere, aut inconcinne, aut invenuste dicta. Illud autem non modo facilitatis et benignitatis, sed et justitiæ est, si oratori recte dicenti, et ei qui vere meritoque laudatur, congratulari videaris.

[IN § 12.] Qui ad semet ipsos convertuntur et sibi vivere volunt, haud fere *magnates accedere* consueverunt. Quare *Socratis exemplum* nobis proponit, et *Zenonis :* in quos intuentes, rationem visuri simus, qua illi nobis sint adeundi. Cogitandum igitur, quo pacto Socrates et Zeno cum talibus congressi essent : nihil fictum aut simulatum præ se ferentes, sed veram atque prudentem animi magnitudinem adhibentes ab omni despicientia et arrogantia puram :

ταπεινούμενοι τῷ ὄγκῳ τῆς δυναστείας, μήτε ὑπερηφάνως αὐτῶν καταφρονοῦντες. Τοῦ δὲ αὐτοῦ ἤθους ἐστὶ τὸ μήτε κολακεύειν, μήτε διελέγχειν ὑβριστικῶς· ἀλλ' ἐπὶ μὲν τοῖς καλῶς γινομένοις συμμέτρως ἐπαινεῖν, καὶ ἀπὸ τούτων ἄρχεσθαι τοῦ λόγου· ὡς οἱ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων πολλάκις μέλιτι ἐπαλείφουσι· καὶ τότε τῶν μὴ καλῶς γινομένων μὴ πικρὸν ἐξεταστὴν φαίνεσθαι, ἀλλὰ συνδιορθωτὴν κηδεμονικόν τε ἅμα, καὶ συμπαθῆ, καὶ συναχθόμενον, εἰ αἱ καλαὶ πράξεις ὀλίγοις ἐνίοτε παροράμασιν ἐπιθολοῦνται. Πάντως δὲ οἶμαι τὸ τοιοῦτον ἐπεδείκνυσαν οἱ περὶ τὸν Σωκράτην καὶ Ζήνωνα, πόσα μὲν ἀναίρετα ἔχουσιν αἱ δυναστεῖαι καὶ ὑπεροχαὶ δοκοῦσαι τῶν ἀνθρώπων· τί δὲ τὸ ἐν αὐταῖς αἱρετόν· ὅτι τὸ ἀγαθουργὸν μόνον· ὥστε τοὺς τούτου καταφρονοῦντας τὰ μὲν κακὰ [ἔχειν] τοῦ πράγματος, τῶν δὲ ἀγαθῶν ἀποστερεῖσθαι. Δῆλον δὲ, ὅτι προτύπωμα μὲν ἑαυτῷ χρὴ προτιθέναι Σωκράτην καὶ Ζήνωνα· τὸ δὲ μέτρον τῆς ἑαυτοῦ ζωῆς φυλάττειν, καὶ τὰ ἐκείνῃ σύμμετρα προσφέρειν αὐτοφυῶς. Οἷον γάρ ἐστι, ζωὴν ἔχοντα προκόπτουσαν ἔτι, καὶ τῆς Ἐπικτήτου παιδαγωγίας δεομένην, τοῖς Σωκράτους ἢ Ζήνωνος λόγοις κεχρῆσθαι; πῶς γὰρ οὐκ ἂν φανείη καταγέλαστος ὁ τοιοῦτος; Καὶ Ἀντίγονος, ὁ μετὰ Ἀλέξανδρον μέγας βασιλεὺς τῆς Συρίας γενόμενος, εἰπεῖν λέγεται, μηδέποτε ἑαυτῷ συνειδέναι ἀγωνιάσαντι, εἰ μὴ ὅτε Ζήνωνι συντυγχάνοι, καίτοι πολλοῖς ἄλλοις φιλοσοφοῦσιν ἐνέτυχεν. Ἐντεῦθεν δὲ ὁ Ἐπίκτητος τὰ περὶ τὰς ἐντεύξεις τῶν τοιούτων καθήκοντα παραδίδωσιν, ἀπὸ τῶν πρὸς τοὺς δυνάστας καὶ ἐν ὑπεροχῇ ἀρχόμενος.

[IN CAP. XXXIII, § 13.] Τὸ αὐτό πως ἐλέγετο καὶ πρότερον ἐν ἐκείνῳ τῷ κεφαλαίῳ, τῷ, Ὅταν ἅπτεσθαί τινος ἔργου μέλλῃς, ὑπομίμνησκε σεαυτὸν, καὶ τὰ ἑξῆς. Ἀλλ' ἐκεῖ μὲν ἐπὶ τοῦ λούσασθαι προάγει τὸν λόγον· ἐνταῦθα δὲ, ἐπὶ μείζονος παραδείγματος, τῆς πρὸς δυνάστην ἀφίξεως. Καὶ ἐκεῖ μὲν εἰς τοῦτο συνεπλήρωσε τὸν λόγον, εἰς τὸ καταφρονῆσαι τῶν συμβαινόντων, καὶ τὴν ἑαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν διατηρῆσαι· ἐνταῦθα δὲ, ἀσφαλῶς προβουλεύσασθαι, καὶ μὴ χαύνως, ἀλλ' ἐγγυτάτω τῆς ἀληθείας ὑποτίθεσθαι [λέγων] τὰ συμβησόμενα δυσχερῆ. Ἑλόμενοι γὰρ τὴν πρὸς τὸν δυνάστην ἄφιξιν, κἂν ἀκολουθήσῃ τὰ εἰρημένα, συμβαινόντων αὐτῶν μεταμελόμεθα πολλὰ, καὶ λέγομεν, μὴ εἶναι ἄξιον τὸ τυχεῖν τῶν συμβεβηκότων· ἢ διὰ τὸ ἐξ ἀρχῆς μὴ καλῶς ἑλέσθαι, ἢ διὰ τὸ πλέον τοῦ δέοντος ὑπὸ τῶν γινομένων ταραχθῆναι. Ἰδιωτικὸν δὲ ἑκάτερον, καὶ οὐ καλῶς χρώμενον τοῖς ἐκτὸς, οὐδὲ ὡς ἔχει φύσεως, ἀλλὰ μεγάλα αὐτὰ νομίζον. Προειπὼν δὲ περὶ τῆς ἐντεύξεως τῶν ἐν ὑπεροχῇ μὲν, ἀκωλυτώτερον δὲ ἐντυγχανόντων, ὅπως αὐτοῖς προσφέρεσθαι χρὴ, ὅτι κατὰ τὸν Σωκρατικὸν καὶ Ζηνώνειον τύπον· νῦν περὶ τῶν τραχύτερον ὑπαντώντων εἰπεῖν προτίθεται, ὅπως χρὴ καὶ πρὸς τὴν τούτων ἔντευξιν παρασκευάζεσθαι· ὅτι, εἰ μὲν μὴ ἀνάγκη τις καλεῖ, παραιτητέον· εἰ δὲ ἀνάγκη, καὶ δόξει μετὰ τῶν ἀναιρέτων

non humiles et abjecti ob fastigium dignitatis, nec vero superbe illos contemnentes. Ejusdem vero moris est, nec adulari iis, nec contumeliose illos arguere : sed ob recte facta modice collaudare, et inde auspicari sermonem, sicut medici acerba medicamina melle sæpe prælinunt : ac tum demum eorum quæ perperam fiunt, non acerbum insectatorem se præbere, sed correctorem solicitum, qui dolere se significet, quod præclaræ actiones paucis interdum delictis contaminentur. Ac mea quidem sententia Socrates, Zeno, et similes, omnino demonstrarunt quam multa habeant nequaquam expetenda principatus et fastigia rerum humanarum : et unum in iis expetendum esse, benefaciendi facultatem; quam qui negligant, eos et mala illius rei experiri, et bono fraudari. Perspicuum est autem, Socratis quidem et Zenonis exemplum esse nobis proponendum; sed suæ cuique vitæ modum conservandum, et, quæ ei consentanea sint, ultro adhibenda. Cujusmodi enim foret, si is, qui adhuc in eo est ut proficiat in vita, quique Epicteti puerili institutione etiam nunc indiget, Socratis aut Zenonis uti vellet sermonibus? quo pacto enim ille derisum vitaret? Atque Antigonus, qui post Alexandrum in Syria magnus rex fuit, [*imo Antigonus Gonatas*], dixisse fertur : numquam se angi et æstuare solitum, quod sciret, nisi quando cum Zenone congrederetur, quamquam multos alios philosophos adiisset. Ab hoc igitur loco Epictetus officia in congressibus servanda tradit, ab iis auspicatus, quæ ad principes et potentes pertinent.

[IN. § 13.] Idem fere dicit quod supra, in illo capite : *Rem aliquam adgressurus, commonefac te ipsum*, et reliqua. Sed illic quidem ad lavationem oratio deducitur : hic vero majus exemplum proponitur, *congressus magnatum*. Illic orationis exitus fuit, contemnenda ea esse quæ fiant, et suum institutum naturæ consentaneum tuendum : hic vero, maturo consilio providendum, nec oscitanter, sed proxime veritatem animo proponendas esse impendentes molestias. Suscepta enim accessione ad principem, quamvis sequi possent ea quæ dicta sunt; si incidunt illa, valde nos eorum pœnitet, dicimusque indignum esse talia pati, sive quod principio non recte consuluimus, sive quod supra quam decet eventis illis sumus perturbati. Utrumque autem plebeium est, et eorum qui rebus externis non recte utuntur, neque ita ut eorum natura fert, eas magnificentium. Locutus autem prius de accessu eorum, qui eminent quidem dignitate, sed tamen facilius se conveniendos præbent, quo pacto cum his agendum sit, more Socratico et Zenonio scilicet : nunc de iis qui asperiorem difficilioremque accessum habent, dicere instituit, quo pacto et ad eorum congressum paratus esse debeas : primum, nisi necessitas aliqua coegerit, esse prætermittendum; sin et necessarium et consul-

αὐτὴν ἑλέσθαι, φέρειν τὰ προσπίπτοντα, μὴ μεταμελόμενον.

[IN CAP. XXXIII § 14-16.] Μετὰ τὴν ἔντευξιν τῶν ἐν ὑπεροχῇ, καὶ περὶ τῆς πρὸς τοὺς πολλοὺς λέγει, πῶς χρὴ καὶ ταύτην ποιεῖσθαι· ἀνεπαχθῆ τε ἑαυτὸν τοῖς ἐντυγχάνουσι, καὶ ἀκαταφρόνητον παρεχόμενον, καὶ μέντοι καὶ ὠφέλιμον εἰς δύναμιν αὐτοῖς. Τὸ μὲν γὰρ μὴ μεμνῆσθαι τῶν ἑαυτοῦ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως, ἅμα μὲν τὸ ἐκ τούτου ἐπαχθὲς ἀφαιρεῖται· (βαροῦνται γὰρ οἱ ἄνθρωποι τοῖς ἑαυτοὺς ἐπαινοῦσιν, ὡς αὐτοὶ διὰ τούτων ὑπ' αὐτῶν κατηγορούμενοι καὶ ὀνειδιζόμενοι κατὰ σύγκρισιν·) ἅμα δὲ τὸ ἔξω βλέπον καὶ φιλόδοξον τῆς ψυχῆς συστέλλει, καὶ μεγαλοφροσύνην ἐνδείκνυται.

Πρότερον δὲ εἰπών, μὴ δεῖν αὐτὸν ἐπὶ πολλοῖς γελᾷν, μηδὲ πολὺν γέλωτα, μηδὲ ἀνειμένον εἶναι· νῦν λέγει, μηδὲ τοῖς ἄλλοις δεῖν γέλωτα κινεῖν. Καὶ τὴν αἰτίαν ἐπήγαγεν, εἰπών, Ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτισμόν. Τὸ γὰρ τοιαῦτα λέγειν ὡς γέλωτα κινεῖν τοῖς ἰδιώταις, σημαίνει πάντως ἀρεστὰ εἶναι ἐκείνοις, καὶ τῆς ἰδιωτικῆς ἕξεως οἰκεῖα. Ὁμοίως οὖν, ἢ καὶ μᾶλλον αὐτῶν, ἰδιώτην νομίζουσι τὸν γέλωτα κινοῦντα· ὥστε κἂν τύχωσιν αἰδούμενοι πρότερον αὐτόν, ἱκανόν ἐστι τοῦτο χαλάσαι τὴν πρὸς αὐτὸν τῶν πλησιαζόντων αἰδῶ. Τινὲς δὲ καὶ τῶν δοκούντων ἐμφρόνων γελωτοποιοῦσι, βουλόμενοι χαρίεντες φαίνεσθαι.

Αἰσχρολογεῖν δὲ ὅτι μὲν αὐτὸς οὐκ ἀνέξεται ὁ καὶ ποσῶς προκεκοφέναι δοκῶν, πρόδηλον. Ἀλλ', οὐδὲ τῶν ἄλλων ἀνέχεσθαι κατὰ τὸ δυνατόν, συμβουλεύει. Ἀλλ', εἰ μὲν εὔκαιρον εἴη, τοῦτ' ἔστιν, εἰ μὲν νέος εἴη ὁ προαχθεὶς εἰς τοῦτο, καὶ μὴ ἀναιδής, μηδὲ ὑπὸ πλούτου ἢ ἀξιώματος κεχαυνωμένος, καὶ ἐπιπλήξεις, φησίν. Οὔτε γὰρ αὐτῷ τῷ αἰσχρολογοῦντι, οὔτ' αὐτοῖς τοῖς παροῦσι φανήσῃ φορτικός. Εἰ δὲ τύχῃ πρεσβυτικώτερος, καὶ σοβαρὸς τὸ ἦθος, καὶ πλούτῳ ἐπηρμένος ἢ ἀξιώματι· τὸ μὲν ἐπιπλῆξαι, βαρύ· πρὸς δὲ τῷ ἀπράκτῳ, καὶ ἀπεχθεῖ, καὶ ἐχθροποιῷ, καὶ καταγέλαστος ἡ παῤῥησία δόξει. Τί οὖν χρὴ τότε ποιεῖν; Τῷ σιωπῆσαι δῆλος γίνου δυσχεραίνων. Καὶ ὅρα, ὅπως τὸ προσῆκον ἐφύλαξε τῇ διαφορᾷ μέτρον. Ἐπὶ μὲν τῶν περὶ μονομαχιῶν, ἢ ἱπποδρομιῶν, ἢ βρωμάτων καὶ πομάτων ποιουμένων τοὺς λόγους, ἢ περὶ ἀνθρώπων, ἐπαινούντων, ἢ ψεγόντων, ἐὰν οἷόν τε ᾖ, φησί, μέταγε αὐτούς· ἐνταῦθα δέ, ἐὰν εὔκαιρον ᾖ, καὶ ἐπιπλῆξαι κελεύει. Καὶ ἐκεῖ μέν, εἰ μὴ δυνατὸν μεταγαγεῖν, σιώπα, φησί· * * καὶ δῆλος γίνου δυσχεραίνων.

[IN CAP. XXXIV] Ἡ σωματικὴ ἡδονὴ βλαβερωτάτη ἐστὶ τῇ ψυχῇ. Ἑκάστη γὰρ ὥσπερ ἧλος προσηλοῖ τὴν ψυχήν, καὶ διὰ τοῦτο ὁ θεὸς ὀλιγοχρόνιον αὐτὴν ἐποίησεν. Καὶ γὰρ ἐπὶ τροφῶν καὶ πομάτων, ἕως τότε ἐστὶν ἡ ἡδονή, ἕως ἂν ἐν τῷ στόματι αὐτῶν αἰσθανώμεθα· καταποθέντων δέ, οἴχεται τελέως. Καὶ ἐπὶ τῆς μίξεως κατ' αὐτὸν ἐκεῖνον τὸν καιρὸν μόνον τῆς ἐνεργείας, ἡ τῆς ἡδονῆς αἴσθησις γίνεται· παρελθούσης δὲ

tum esse videatur, etiam molestiis illis propositis accedere; ferenda esse quæ acciderint, sine pœnitentia.

[IN XXXIII, 14—16.] Post congressum cum magnatibus de congressu plebeiorum dicit, quo pacto et in eo gerere te debeas, ut iis quibuscum vivas, neque molestus, neque contemtui sis, sed potius pro virili commodes. Nam *sua acta aut pericula non prolixe atque immodice commemorare*, simul fastidium tollit, quod creare ea res solet: (moleste enim ferunt homines hos qui sese laudant; quasi ipsi verbis iisdem accusentur, et per collationem probris adficiantur:) simul vero etiam animum foras prominentem et gloriæ cupidum retinet, et generosum quiddam præ se fert.

Cum autem prius dixerit, non esse ob multa ridendum, neque risum multum esse oportere, neque effusum, nunc aliis *risum movere* vetat, causa adjecta, *esse lubricum id genus, quo facile ad plebeios mores delabaris.* Nam si ea dicas, quæ plebeculæ risum moveant, indicio est, ea grata illi esse, et apta plebeiis moribus. Æque igitur, aut magis etiam se ipsis, eum qui risum movet, idiotam judicant: ut, si prius eum reveriti fuerint, satis hoc *ad observantiam ejus extenuandam* virium habeat. Sunt tamen et ex iis qui prudentes habentur, qui risum moveant, ut faceti ac lepidi habeantur.

Jam eum, qui utcumque profecerit, *ab obscenis verbis* sibi temperaturum, in promtu est. At ne alios quidem, qui utantur illis, ferendos, si vitare possis, monet. Sed, *si tempus ferat*, hoc est, si adolescens eo provectus fuerit, non inverecundus, neque divitiis et dignitate inflatus, *hunc*, inquit, *increpabis* etiam. Neque enim vel ipsi turpiloquo, vel iis qui aderunt, videberis arrogans. Sin natu grandior et insolens fuerit, et ob divitias elatus, aut ob dignitatem; increpare quidem grave fuerit, et, præter inanem operam et odium ac simultatem inde susceptam, ridicula etiam libertas illa videbitur. Quid tum ergo faciendum? *Silentio*, inquit, *molestiam præ te ferto.* Ac dispice, quo pacto convenientem illi discrimini modum observarit. Nam de gladiatoriis aut quidem Circensibus ludis, itemque de epulis et potionibus cum verba fiunt, aut cum homines laudantur, aut vituperantur; si fieri potest, inquit, alio traduc sermones eorum: hic vero, si tempestivum fuerit, etiam objurgare jubet. Atque illic, si traduci non possint sermones, taceto, inquit; hic vero adjicit, *et molestiam præ te ferto.*

[IN XXXIV.] *Voluptas* corporis nocentissima est animo. Quælibet enim quasi clavis aliquibus adfigit animum: eaque de caussa Deus eam fecit brevem. Nam et in cibis et potionibus tamdiu voluptas durat, quamdiu in ore eas sentimus: cum vero deglutivimus, prorsus interit. Et in coitu ipso tantum actionis tempore sentitur voluptas: quod cum præteriit, perinde est ac si nulla fuisset. At in hoc ipso

αὐτῆς, ἡ συναίσθησις ὡς μηδὲ γεγονυίας ἐστί. Καὶ δῆλον δὲ, ὅτι ἐν τῷ αἰσθητῇ εἶναι ἡ ἡδονή ἐστι. Τὸ γὰρ μὴ αἰσθανόμενον οὐδὲ ἥδεται ὅλως. Ἀλλὰ καὶ αἱ περὶ τὰ ἐκτὸς ἡδοναὶ, οἷον περὶ ἐσθῆτα, ἢ κόσμον, ἢ χρήματα, ἢ κτήματα, καὶ αὗται ὀλιγοχρόνιοί εἰσιν. Ἡσθέντες γὰρ ἐπὶ τῇ κτήσει τούτων, μετὰ τὸ συνεθισθῆναι αὐτοῖς οὐκέτι ἡδονῆς ἐπ' αὐτοῖς αἰσθανόμεθα. Ἀφαιρουμένων δὲ αὐτῶν, λύπη σφοδρὰ διαδέχεται, πολὺ μονιμωτέρα τῆς ἡδονῆς. Οὕτω μὲν οὖν ἡ ἡδονὴ, ἐλάχιστον ἐπιμείνασα χρόνον, καὶ μάλιστα ἡ σωματικὴ, ἄπεισι, τὴν βλάβην τὴν ἑαυτῆς τῇ μὲν ψυχῇ πάντη καὶ πάντως καταλιποῦσα, πολλάκις δὲ καὶ τῷ σώματι, ὅταν ἀσύμμετρος ἡ ἀπόλαυσις γένηται. Ἡ δὲ τῆς ἡδονῆς ἐγκράτεια μόνιμον ὠφέλειαν ποιεῖ τῷ σώματι καὶ τῇ ψυχῇ, καὶ ἡδονῆς ἄλλο εἶδος, τὸ κατὰ φύσιν συνυπάρχον, ἀβλαβές τε καὶ ἄληκτον.

Τούτων οὖν οὕτω προειλημμένων, ἴδωμεν, τί φησιν ὁ Ἐπίκτητος. Ὅταν, φησὶν, ἡδονῆς τινος φαντασίαν λάβῃς, ὥσπερ ἐπὶ τῶν ἄλλων, οἷον πλούτου, ἢ δυναστείας, ἢ τῶν ἄλλων τινὸς τῶν ἐκτὸς, καὶ ἔτι μᾶλλον ἐπὶ τῆς ἡδονῆς· φύλαττε σεαυτὸν εὐθὺς, μὴ συναρπάσῃ σε ἐπὶ τὸ ἔργον ἡ φαντασία· ἀλλὰ τοῦτο μὲν περιμεινάτω ὀλίγον· σὺ δὲ ἀναβολήν τινα σεαυτῷ πορίσας διὰ τῆς τοιαύτης συστροφῆς, ἐννόησον τοὺς χρόνους, τόν τε τῆς ἀπολαύσεως, ἐλάχιστον ὄντα, καὶ τὸν ἐφεξῆς πολὺν, βλάβης ὄντα καὶ μεταμελείας μεστὸν, ἐν ᾧ σεαυτὸν ἐγκαλεῖς ἡττηθέντα. Καὶ τούτοις ἀντίθες τὸν καιρὸν, καθ' ὃν ἐγκρατευσάμενος, ὠφελείᾳ καὶ ἡδονῇ καθαρᾷ ἐπὶ πολὺν χρόνον σύνει, σαυτὸν ἐπαινῶν καὶ ἀποδεχόμενος. Ἐὰν γὰρ ταύτην ἀποκαθάρῃς τὴν σύγκρισιν, ῥᾳδίως ἠρεμήσει ἡ ὄρεξις, αἰσχυνομένη τὴν ἐνέργειαν τῆς ἥττης. Κἂν αὖθις τοῦτο καὶ αὖθις ποιῇς, οὐκ ἔτι ἐνοχλήσει ταπεινουμένη. Εἰ δὲ παύεται ἡ ἡδονὴ εὐθέως μετὰ τὸ ἔργον, καὶ οὐδὲν διαφέρει τότε ὁ ἀπολαύσας τοῦ μὴ ἀπολαύσαντος, πλὴν τῇ φαντασίᾳ τοῦ ἀπολελαυκέναι, οὐκ ἔχει τινὰ λόγου ἀξίαν ἡδονή· δηλοῖ [δὲ] ἡ μνήμη τῶν ἐν ὀνείροις ἀπολαύσεων, ἀμυδρὸν ἴχνος ἡδονῆς ἔχουσα. Ἐπεὶ δ' ἔστιν ὅτε τινῶν ἡδονῶν καὶ κατὰ λόγον ὀρθὸν μεταλαμβάνομεν, οἷον διὰ παιδοποιίαν, ἢ λουτροῦ μετὰ πυρετόν· ὅταν, φησὶ, καιρὸς φανῇ ἅψασθαι τοῦ τοιούτου ἔργου, πρόσεχε, μή σε ἡττήσῃ τὸ προσηνὲς αὐτοῦ καὶ ἀγωγόν· ὥστε σεαυτοῦ ἐκστάντα, ὅλον ἐκδοθῆναι τῇ ἡδονῇ· ἀλλ' ἐν ἐκείνῳ τῷ καιρῷ σύγκρινε, πόσῳ κάλλιόν ἐστι τὸ κρατῆσαι τῆς ἡδονῆς τοῦ ἡττηθῆναι αὐτῆς· δῆλον γὰρ, ὅτι τοσούτῳ, ὅσῳ κάλλιον τὸ δεσπόζειν τῶν ἀλόγων παθῶν τοῦ δουλεύειν αὐτοῖς, καὶ ἄνθρωπον εἶναι μᾶλλον ἢ θηρίον.

[IN CAP. XXXV.] Πολλὴν σπουδὴν ποιεῖται τοῦ τὸ ἀγαθὸν δι' αὐτὸ τὸ ἀγαθὸν αἱρεῖσθαι, ἵνα καὶ ὄντως ἀγαθὸν ᾖ, καὶ μὴ διὰ τὴν τῶν πολλῶν δόξαν. Ὁ γὰρ διὰ ταύτην αἱρούμενός τι ταύτην εἶναι τίθεται τὸ ἀγαθὸν, ἀλλ' οὐκ ἐκεῖνο. Διὸ, εἰ μὲν ὀρθῶς διέγνωκεν, ὅτι δέον ἐστὶ τόδε τι μὴ ποιῆσαι, φυγεῖν δεῖ τὴν πρᾶξιν, οὐκ

inesse voluptatem perspicuum est, quod sensu percipiatur. Quod enim non sentit, etiam voluptate caret omnino. Sed et externarum rerum oblectationes, uti vestium, ornamentorum, pecuniæ, possessionum, parum et ipsæ durant. Harum enim adeptione exhilarati, ubi eis adsuevimus, voluptatem porro nullam sentimus. Sin eæ nobis eripiantur, dolor vehemens succedit, voluptate multo durabilior. Ita voluptas, ubi per exiguum tempus duravit, maximeque voluptas corporis, abiit, noxa sua modis omnibus animo relicta, interdum vero etiam corpori, si fruitio excesserit modum. At continentia voluptatum durabilem adfert et corpori et animo utilitatem, et aliud voluptatis genus parit, quod per ipsam naturam cum illa conjunctum est, illudque innoxium et perpetuum.

Nunc his ita expositis, videamus quid dicat Epictetus. *Cum voluptatis*, inquit, *alicujus imaginem animo conceperis, ut in aliis*, veluti divitiis, principatu, aut similibus rebus externis, ita et in hac, ac magis etiam : statim *ipse te custodi, ne visum illud atque imago* ad rem ipsam *te abripiat :* sed ea quidem paulisper exspectet; tu vero, impetratâ a te ipso, per istam in te ipsum conversionem, morâ quadam, considera duo tempora, cum suavitatis illud brevissimum, tum secuturum noxæ diuturnum, et pœnitentiæ plenum, in quo ipse te victum accusabis. Et his oppone illud tempus, quo, si te continueris, et diuturnam utilitatem et sinceram voluptatem percipies, te ipsum et laudaturus et adprobaturus. Nam si istam comparationem in planum deduxeris, facile conquiescet adpetitus, certæ cladis verecundia. Quod si iterum atque iterum feceris; ita deprimetur, ut molestus esse desinat. Quod si vero voluptas statim post opus desinit, ac tum nihil inter eum interest qui eam percepit, et eum qui non percepit, excepta cogitatione præteritæ suavitatis, nihil habet voluptas magni æstimandum : idque declarat eorum memoria, quibus in somnis fruimur; quæ obscurum habet voluptatis vestigium. Sed quia interdum voluptatibus nonnullis recte frui possumus, cujusmodi est conjunctionis adpetitus procreandorum liberorum caussa, aut balnei post febrem; *cum*, inquit, *tempus adfuerit* hujuscemodi alicujus *operis attingendi*, vide *ne te suavitas illius atque illecebræ decipiant*, ut tui oblitus totum te voluptati tradas; *sed* eo tempore *contentionem facito, quanto pulchrius sit vincere voluptatem, quam ab ea vinci :* tanto nimirum, quanto pulchrius est imperare brutis adfectibus, quam servire; et hominem esse, quam bestiam.

[IN XXXV.] Vehementer in eo elaborat, ut bonum ob id ipsum quod bonum sit, amplectamur, non autem propter popularem opinionem. Nam qui propter hanc aliquid expetit, in ea ipsa bonum collocat, non in illo. Quamobrem, si quis recte perspexit, aliquid non esse faciendum, ipsa res eo fugienda est, quia non bona. Sin aliquid recte delibera-

ἀγαθὴν οὖσαν· εἰ δὲ ὀρθῶς διαγνοὺς ποιεῖ, οὐ χρὴ φεύγειν τὸ ὀφθῆναι ποιοῦντα διὰ τοὺς οὐκ ὀρθῶς μεμφομένους τὸ γινόμενον. Ἐπεὶ συμβαίνει τοῦ ὄντως ἀγαθοῦ (τοῦτο γάρ ἐστι τὸ ὀρθῶς γινωσκόμενον ὅτι ἀγαθόν) προτιμᾷν τὸ μὴ ἀγαθὸν, ἀλλὰ κακὸν, ὡς ψεῦδος· τοιαύτη γάρ ἐστιν ἡ τῶν πολλῶν μὴ ὀρθὴ περὶ τοῦ πραττομένου ὑπόληψις. Πρὸς δὲ τούτῳ συμβαίνει τὸ τῷ ὀρθῷ λόγῳ κριθὲν ἀγαθὸν κακὸν ἡγεῖσθαι, φεύγοντα αὐτό· τὸ γὰρ φευκτὸν, κακόν. Καὶ ἔτι μέντοι συμβαίνει τῷ τοιούτῳ, ἀφ' ἑαυτοῦ καὶ ἀπὸ τῶν πραγμάτων ἀφισταμένῳ, εἰς τὰς τῶν πολλῶν δόξας ἀποφέρεσθαι, καὶ ἐκεῖ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ζητεῖν, καὶ τὸ ἀληθὲς, καὶ τὸ ψευδές.

[**IN CAP. XXXVI.**] Τῶν ὑποθετικῶν συλλογισμῶν, ὧν οἱ Στωϊκοὶ τὴν τεχνολογίαν ἐλεπτούργησαν, οἱ μέν εἰσι διεζευγμένοι, οἱ δὲ συνημμένοι, ἤτοι συμπεπλεγμένοι. Διεζευγμένοι μὲν, ἐν οἷς, τοῦ ἑτέρου ὄντος, τὸ ἕτερον πάντως οὐκ ἔστι· καὶ, τοῦ ἑτέρου μὴ ὄντος, πάντως τὸ ἕτερον ἐστίν· ὡς, ὅταν εἴπω, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστίν· ἀλλὰ μὴν νὺξ ἐστίν· ἡμέρα ἄρα οὐκ ἔστιν. Οὕτω μὲν, τοῦ ἑτέρου τιθεμένου, ἀναιρεῖται πάντως τὸ ἕτερον· τῇ δὲ ἀναιρέσει τοῦ ἑτέρου τίθεται τὸ ἕτερον, ὅταν εἴπω, Ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστι· νὺξ ἄρα ἐστίν· ἢ, Ἀλλὰ μὴν νὺξ οὐκ ἔστιν· ἡμέρα ἄρα ἐστί. Τοιοῦτον μὲν οὖν τὸ διεζευγμένον· ἐν ᾧ τὸ, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστιν, ὡς ἀξίωμα, τοῦτ' ἔστιν, ὡς ἐναργὲς καὶ κατὰ τὰς κοινὰς ἐννοίας ἀληθὲς, παραλαμβάνεται. Ταῦτα γὰρ Ἀξιώματα ἐκάλουν οἱ Στωϊκοί. Τὸ δὲ συμπεπλεγμένον ἐστὶν, ὅταν δύο τινῶν συμπεριπεπλεγμένων ἀλλήλοις οὕτως, ὥστε τὸ μὲν ἡγούμενον εἶναι, τὸ δὲ ἑπόμενον, τῇ μὲν θέσει τοῦ ἡγουμένου ἀκολουθεῖ τὸ ἑπόμενον, τῇ δὲ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρεῖται τὸ ἡγούμενον. Οἷον συμπέπλεκται ἀληθῶς· Εἰ ἡμέρα ἐστὶ, νὺξ οὐκ ἔστιν. Ἀληθῶς γὰρ τῷ, Ἡμέρα ἐστὶν, ἡγουμένῳ, ἕπεται τὸ, Νὺξ οὐκ ἔστιν. Ἐπὶ γοῦν τούτου συμπεπλεγμένου τῇ μὲν θέσει τοῦ ἡγουμένου τίθεται τὸ ἑπόμενον· Ἀλλὰ μὴν ἡμέρα ἐστὶ, νὺξ ἄρα οὐκ ἔστι. Τῇ δὲ ἀναιρέσει τοῦ ἑπομένου ἀναιρεῖται τὸ ἡγούμενον· Ἀλλὰ μὴν οὐχὶ νὺξ οὐκ ἔστιν, ἀλλ' ἔστι δηλονότι· (αἱ γὰρ δύο ἀναιρέσεις μίαν ποιοῦσι συγκατάθεσιν·) ἡμέρα ἄρα οὐκ ἔστι. Τοιοῦτον μὲν οὖν καὶ τὸ συμπεπλεγμένον ἢ συνημμένον.

Ἀλλ' ἴδωμεν λοιπὸν καὶ τὸ ὑπὸ τοῦ Ἐπικτήτου λεγόμενον. Τὸ, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστι, ἐπὶ μὲν τοῦ διεζευγμένου συλλογισμοῦ ὡς ἀξίωμα ἀναμφίλεκτον παραλαμβάνεται· ἐπὶ δὲ τοῦ συνημμένου οὐκ ἔτι. Τὸ γὰρ ἐκεῖ παραλαμβανόμενον ἀξίωμα τὸ συμπεπλεγμένον ἐστὶ τὸ, Εἰ ἡμέρα ἐστὶ, νὺξ οὐκ ἔστιν. Ὥσπερ οὖν, φησὶ, τὸ, Ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν· ἀπ' αὐτοῦ γὰρ ἤρτηται πᾶς ὁ διεζευγμένος συλλογισμός· πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπαξίαν· διασπᾷ γὰρ τὴν συμπλοκὴν τὴν λέγουσαν, Εἰ ἡμέρα ἐστὶ, νὺξ οὐκ ἔστιν· οὕτω καὶ ἐν συμποσίῳ τὴν μείζονα μερίδα ἐκλέγεσθαι

tum suscepit, non debet propter eos, qui factum id perperam reprehendant, recusare quominus palam id agat. Fit enim ea ratione, ut vero bono (id enim est, quod *recte bonum judicatum est*) non bonum, sed malum, ut est mendacium, præferatur. Talis est enim vulgi non recta de eo quod fit opinio. Præterea fit, ut, quod recta ratio bonum judicavit, id malum putetur et fugiatur. Quod enim fugiendum, id malum. Denique fit et illud, ut qui a se ipso et a rebus discedit, ad vulgi opiniones deferatur, atque ibi bonum et malum quærat, itemque verum et mendacium.

[IN XXXVI.] *Syllogismi* hypothetici, in quibus enucleandis Stoici laborarunt, partim sunt disjuncti, partim conjuncti sive complexi. *Disjuncti*, in quibus cum est alterum, nullo modo alterum esse potest; et cum alterum non est, utique est alterum; ut cum dico : Aut dies est, aut nox est: atqui nox est : dies ergo non est. Sic cum alterum statuitur, alterum utique tollitur : alterius vero negatione, alterum adfirmatur; ut cum dico : Atqui dies non est; nox igitur est : aut, Atqui nox non est; dies ergo est. Ac tale quidem est disjunctum, in quo illud, *Aut dies est, aut nox est*, axiomatis loco, hoc est, tamquam evidens, et secundum communes notiones verum, adhibetur. Ea enim Axiomata vocabant Stoici. *Copulatum* vero est, cum duobus inter sese ita complexis, ut alterum antecedat, alterum consequatur, adfirmationem antecedentis sequitur consequens, negatione vero consequentis una tollitur antecedens. Veluti vere hæc copulantur : Si dies est, nox non est. Nam si vere hoc antecedit, Dies est; sequitur illud, Noctem non esse. In copulato igitur adfirmatione antecedentis adfirmatur consequens : Atqui dies est; nox igitur non est. Negatione vero consequentis, una tollitur etiam antecedens : Atqui non nox non est, sed est scilicet; (nam duæ negationes unam efficiunt adfirmationem;) dies igitur non est. Ac tale quidem est complexum sive copulatum.

Jam autem Epicteti verba videamus. Scilicet illud, Aut dies est, aut nox est, in syllogismo disjuncto, ut pronunciatum certum adhibetur : sed in copulato non item. Nam quod ibi adhibetur pronunciatum, complexum est, Si dies est, nox non est. *Sicut igitur,* inquit, *illud,* AUT DIES, AUT NOX EST, *ad sejunctionem quidem magnam vim habet;* (ab eo enim pendet omnis syllogismus disjunctivus;) *ad conjunctionem vero plane nullam;* (divellit enim complexionem, quæ ait, Si dies sit, noctem non esse.) *sic etiam in convivio majorem eligere partem, corpori qui-*

πρὸς μὲν τὸ σῶμα χρειῶδές ἐστι καὶ ὠφέλιμον, καὶ ἐξαίρετον· πρὸς δὲ τὸ φυλάξαι τὸ κοινωνικὸν ἐν ἑστιάσει ἀπαξίαν ἔχει· διασπᾷ γὰρ καὶ τοῦτο τὴν κοινωνίαν, ὡς τὸ συμπεπλεγμένον ἐκεῖνο. Ὅταν οὖν συνεσθίῃς ἑτέροις, μὴ μέμνησο μόνον τὴν πρὸς τὸ σῶμα τὸ σὸν ὁρᾷν ἀξίαν ἐν τοῖς παρακειμένοις, καὶ ἐκλέγεσθαι ἀπ' αὐτῶν, ἀλλὰ καὶ τὴν πρὸς τὸ κοινωνικὸν τῆς ψυχῆς, ὃ χρὴ φυλάττειν ἀνεπίληπτον.

Δῆλον δὲ, ὅτι, κἂν ἐπὶ ἑστιάσεως ἐποιήσατο τὸν λόγον, κοινῶς ἐπὶ πάσης κοινωνίας τείνειν αὐτὸν χρὴ καὶ συναναστροφῆς. Τὸ γὰρ πλεονεκτικὸν πᾶσαν διασπᾷ κοινωνίαν· ὥσπερ τὸ ἕκαστον τοῦ ἐπιβάλλοντος τυγχάνειν συνέχει, καὶ αὔξεσθαι καὶ διαμένειν ποιεῖ. Καὶ γὰρ ἡ τῶν λῃστῶν κοινωνία, καίτοι ἐκ τοιούτων ἀνδρῶν συνεστῶσα, ἕως τότε σώζεται, ἕως φυλάττει τοῦτο τὸ παράγγελμα, τὸ μὴ πλεονεκτεῖν ἀλλήλους. Διὰ γὰρ τοῦτο τῆς δικαιοσύνης τὸ ἴχνος, καὶ ἡ ἀδικία ἐκείνη συνίσταται. Προτρέψας δὲ πρότερον πολλαχοῦ τὸν ἀκροατὴν πρὸς ἐλευθερίαν, καὶ ἐν ἄλλοις πρὸς ἀνδρίαν, καὶ μεγαλοψυχίαν, καὶ πρὸς φρόνησιν, καὶ πρὸς σωφροσύνην· ἐν τούτῳ πρὸς δικαιοσύνην αὐτὸν παρακαλεῖ, τὸ πρὸς αὐτὴν ἐμπόδιον τὴν πλεονεξίαν εἰσηγούμενος.

[IN CAP. XXXVII.] Οὐ τὸ ἁπλῶς ἄριστον ἐπιτηδεύειν χρὴ, ἀλλὰ τὸ τῶν ἡμῖν συμμέτρων ἄριστον. Οὐδὲν γὰρ ἐν ἀσυμμέτροις ὑποδοχαῖς ἐπιγίνεται. Διὸ χρὴ μὴ προπετῶς τὰ μείζονα προσωπεῖα περιβάλλεσθαι, διδασκάλου, ἢ φιλοσόφου, ἢ ἐν νηῒ κυβερνήτου, ἢ ἐν πόλει ἄρχοντος. Κάλλιον γὰρ, ἐν ὑφειμένῳ προσώπῳ εὐδοκιμεῖν, περικρατοῦντα τοῦ προσώπου, καὶ ὑπερβάλλοντα αὐτὸ, ἢ ἐν ὑπερέχοντι ἀσχημονεῖν, ἀπολειπόμενον τῆς ἀξίας αὐτοῦ· καὶ κάλλιον, παιδαγωγὸν ἄριστον εἶναι ἢ διδάσκαλον εὐτελῆ· καὶ οἰκονόμον χρηστὸν ἢ ἄρχοντα μοχθηρόν. Πρὸς γὰρ τῷ ἀσχημονεῖν ἐν τῷ μείζονι προσώπῳ, (οὐ κατὰ δόξαν ἀσχημονεῖν λέγω, ἀλλὰ κατ' αὐτὴν τὴν φύσιν τοῦ πράγματος,) καὶ, ὅπερ ἠδυνάμεθα συμμέτρως ἐπιτηδεύοντες κατορθοῦν, ἀπόλλυμεν. Ἀμείνων γὰρ ὑποκριτὴς ἐν τραγῳδίᾳ καὶ κωμῳδίᾳ ὁ δοῦλον καλῶς ὑποκρινόμενος τοῦ ἐν προσωπείῳ δεσπότου ἢ βασιλέως μὴ κατορθώσαντος. Καὶ τοῦτο δέ μοι πρὸς δικαιοσύνην ὁρᾷ τὸ κεφάλαιον, καὶ τὸ ἄξιον ἐν τῷ βίῳ πρόσωπον ἐκλέγεσθαι παραινοῦν, καὶ μὴ πλεονεκτεῖν.

[IN CAP. XXXVIII.] Διχῶς ἡ ἀνθρωπίνη ψυχὴ βλάπτεται· καὶ τοῖς ἀλόγοις πάθεσιν ἑαυτὴν ἐμπείρουσα, καὶ δι' αὐτῶν προσκολλωμένη τῷ σώματι, ὅτε ὑποφθέγγεται μὲν δυσχεραίνουσά πως, ἡττᾶται δὲ τοῖς πάθεσι, τυραννουμένη ὑπ' αὐτῶν νενευρωμένων· ἢ κατὰ τὴν ἑαυτῆς κρίσιν διαστραφεῖσα, ὅτε οὐδὲ διακρίνει αὐτὴν ὡς ἄλλην ἀπὸ τῶν ἀλόγων παθῶν. Παραγγέλλει οὖν ὁ παιδαγωγὸς, ἀμφότερα ταῦτα φυλάττεσθαι κατὰ τὴν ἐν βίῳ διαγωγὴν, ἣν ἀπείκασε τῷ περιπατεῖν· ὥστε μήτε τοῖς ἀλόγοις πάθεσιν ἐμπαρῆναι, ἅπερ, σωματικὰ ὄντα, δίκην ἥλων προσηλοῖ τὴν συγκολληθεῖσαν αὐτοῖς

dem utile est, et conducibile, *et optabile; ad servandam autem communitatem in convivio, nihil valet.* Nam et hoc dirimit communitatem, ut complexum illud. Quare, sicubi cum aliis comedis, memento, ut non modo eam æstimationem respicias, quam habent cibi adpositi pro tuo corpore; sed et eam, quæ pertinet ad communitatis officium animi, quod citra reprehensionem servandum est.

Quamvis autem de *convivio* verba faciat, tamen ad omnem societatem vitæque consuetudinem in genere hæc esse transferenda, perspicuum est. Cupiditas enim plus habendi, quam alii, omnes dirimit necessitudines : sicuti æquabilitas, cum suum cuique tribuitur, easdem continet, auget, conservat. Nam et latronum communitas, quamvis ex talibus conflata viris, tantisper durat, dum præceptum hoc servatur, non fraudandos socios. Ob hoc enim justitiæ vestigium, etiam injustitia illa permanet. Cum autem prius multis locis auditorem hortatus fuerit ad libertatem, et in aliis ad fortitudinem, ad magnitudinem animi, ad prudentiam et temperantiam; in hoc eum ad justitiam vocat, cujus impedimentum avaritiam esse docet.

[IN XXXVII.] Non ei studendum, quod per sese optimum est; sed ei, quod est ex iis, quæ nobis adcommodata sunt, optimum. Nullus enim ea, quæ supra modum suscipiuntur, fructus consequitur. Quare non temere *personæ majores* induendæ sunt, ut doctoris, aut philosophi, aut in nave gubernatoris, aut in urbe magistratus. Præstat enim *personam inferiorem* cum laude sustinere, ut non par modo sis, sed etiam ea superior; quam indecore gerere superiorem, nec illius dignitati respondere : honestiusque est, optimum esse pædagogum quam ineptum doctorem; et bonum administratorem rei familiaris quam improbum magistratum. Nam majorem personam indecore gerere, (hoc autem indecorum non ad opinionem, sed ad ipsius rei naturam referatur,) illud etiam habet mali, quod eam perdimus, quam nostris rebus aptam belle sustinere possemus. Melior enim histrio et in comœdia est, et in tragœdia, qui servum bene repræsentat, quam is qui domini aut regis personam male agit. Et hoc ego caput rursus ad justitiam refero, quod quemque jubet personam se dignam eligere, nec ad altiora adspirare.

[IN XXXVIII.] Bifariam humanus animus læditur : Aut cum brutis adfectibus adfixus, per eosdem corpori adglutinatur; reclamans ille quidem nonnihil, atque ægre ferens, sed superatus ab adfectibus, qui corroborati tyrannidem in eum exercent : aut cum suopte judicio corrupto, se ipsum non discernit ut diversum a brutis adfectibus. Monet igitur pædagogus, horum utrumque in degenda vita cavendum esse, quam similem *ambulationi* facit; ne quis brutis adfectibus succumbat : qui, cum sint corporales, clavorum instar adglutinatum sibi animum corpori adfigunt. Quis

ψυχὴν τῷ σώματι. Ποῖος δὲ ἧλος οὕτω προσηλοῖ, ὡς τὰ ἄλογα ταῦτα πάθη, ποιοῦντα τὴν ψυχὴν ἓν νομίζειν ἑαυτὴν καὶ αὐτὰ καὶ τὸ σῶμα; Τὴν δὲ διαστροφὴν τοῦ δοξαστικοῦ καὶ περιπεζίου τῆς ψυχῆς μέρους, καθ' ὃ κοινωνεῖ τῷ σώματι καὶ ταῖς σωματικαῖς ζωαῖς ἡ ψυχὴ, τῷ τὸν πόδα στρέψαι οἰκείως ἀπείκασε· καὶ παρακελεύεται, ὥσπερ ἐν τῷ περιπατεῖν φυλάττομεν τὸ σῶμα, οὕτως ἐν τῇ ἐξόδῳ τῶν κατὰ τὸν βίον ἔργων τὴν λογικὴν ψυχὴν, τὴν κατὰ φύσιν ἡγεμονοῦσαν ἐν τῷ ἀνθρωπίνῳ ζώῳ, καθ' ἣν καὶ χαρακτηρίζεται τοῦτο τὸ ζῶον, φυλάσσειν· ἵνα μὴ λάθῃ ἑαυτὴν ἢ τοῖς πάθεσιν ἐμπυριζομένη διὰ λαιμαργίαν, ἢ τὴν κρίσιν καὶ τὴν δόξαν αὐτῆς διαστρεφομένη διὰ ῥᾳθυμίαν. Ἐὰν γὰρ ἐφ' ἑκάστου παραφυλάττωμεν ἑαυτοὺς, ὥσπερ οἱ βαδίζοντες, ἀσφαλέστερον ἑκάστου τῶν ἔργων ἀψόμεθα. Κἂν γὰρ συμβῇ τις ὀλίγος ὄλισθος, παραφυλαττόντων ἡμῶν, ῥᾳδίως αὐτὸν ἐπανορθοῦμεν. Κἂν γὰρ, μικρὸν ὑφέντες, τῷ ἥλῳ ἐπιβῶμεν, ἢ ἀῤῥύθμως τὸν πόδα ἀποθῶμεν, διὰ τὸ παρατηρεῖν καὶ ἀπὸ τοῦ ἥλου εὐκόλως ἀποσπῶμεν τὸν πόδα μὴ ἐμπειρόμενον, καὶ τοῦ ποδὸς τὴν βάσιν εὐκόλως μεταῤῥυθμίζομεν.

[**IN CAP. XXXIX.**] Ἐν τοῖς περὶ τὸ σῶμα, οἷον ἐσθῆσι, τροφαῖς, κτήμασι, χρήμασι, δύο ταῦτά ἐστιν, ἥ τε κτῆσις αὐτῶν, καὶ ἡ χρῆσις. Εἰπὼν οὖν πρότερον περὶ τῆς τούτων χρήσεως, ὅτι κατὰ τὴν ψιλὴν τοῦ σώματος χρείαν τὴν χρῆσιν αὐτῶν δεῖ παραλαμβάνειν, πᾶν τὸ περιττὸν ἀφαιροῦντας, τὸ πρὸς δόξαν ἢ τρυφὴν ἀποτεινόμενον· νῦν περὶ τῆς κτήσεως αὐτῶν διδάσκει, μέτρον καὶ ταύτης λέγων εἶναι τὸ σῶμα. Εἰ γὰρ τῆς μὲν κτήσεως μέτρον ἡ χρῆσις· (διὰ γὰρ τὸ χρήσασθαι κτώμεθα·) τῆς δὲ χρήσεως μέτρον τὸ σῶμα, καὶ ἡ τούτου χρεία· δῆλον, ὅτι καὶ τῆς κτήσεως μέτρον ἂν εἴη τὸ σῶμα, καὶ ἡ τούτου χρεία. Διὸ, εἰ μὲν εἰς ταύτην τις ἀπίδοι τὴν χρείαν, δέρμασιν ἀρκεσθήσεται λιτοῖς· τῷ μὲν ἐπικειμένῳ, πρὸς θάλψιν καὶ φρουρὰν τοῦ ποδός· τῷ δὲ ὑποκειμένῳ, πρὸς τὸ μὴ ἀμέσως ἐπιβαίνειν τοῖς βλάπτουσιν· ἐὰν δὲ ὑπερβῇ τις τὴν χρείαν τοῦ ποδὸς ἐπὶ καλλωπισμὸν καὶ τρυφὴν, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα, φησὶ, πορφυροῦν, εἶτα κεντητόν. Τοιαύτη δὲ ἦν, ὡς ἔοικε, παρὰ Ῥωμαίοις καὶ περὶ τὰ πορφυρᾶ καὶ κεντητὰ περιεργία, ὥστε καὶ τῶν καταχρύσων αὐτὰ προτιμᾶσθαι.

Οὕτω δὲ καὶ ἐπὶ τῆς κτήσεως, καὶ τῶν τῷ σώματι χρειωδῶν· ἐάν τις τὸ μέτρον ὑπερβῇ τῆς χρείας, καὶ τὸν κατ' αὐτὴν ὅρον, εἰς τὸ ἀόριστον λοιπὸν φέρεται, ἄλλα ἄλλοις προστιθεὶς, ἕως ἂν εἰς τὸ βαρύτατον ἐνεχθῇ τῆς τε τρυφῆς καὶ τῆς κενοδοξίας, (διὰ γὰρ ταῦτα ἡ ἐκτροπὴ,) καὶ τῆς ἀκολουθούσης τῇ ἐκτροπῇ πολυδεοῦς ἐνδείας, καὶ τῆς ἐπ' αὐτῇ θλίψεως. Ἂν γὰρ δέκα κτησώμεθα, εἴκοσι βουλόμεθα· κἂν εἴκοσι, τεσσαράκοντα· καὶ ἐφεξῆς· καὶ πέρας οὐδὲν τῆς εἰς τὸ ἀχανὲς τῆς ἀπληστίας ὠθήσεως. Δῆλον δὲ, ὅτι καθ' ἕκαστον τῶν πρὸς τὴν χρείαν τοῦ σώματος παραλαμβανομένων ἡ τὸν ὅρον ἐκβᾶσα φύσεως κτῆσις εἰς ἀοριστίαν ἐκπί-

vero clavus sic adfigit, ut bruti isti adfectus? qui efficiunt, ut putet animus, et se ipsum et illos et corpus esse unum? Perversitatem autem opinationis, et ejus partis animi, quæ quasi terræ adfinis cum corpore aliquid et cum bruta vita commune habet, *distortioni pedis* apte comparat: et hortatur, ut, quemadmodum in ambulando corpori cavemus, sic in vitæ negotiorum tractatione cavendum esse animo ratione prædito, qui naturæ instituto principatum in animali humano obtinet, quo animal hoc a cæteris distinguitur; ne vel adfectibus inflammetur ob aviditatem, vel judicium atque opinatio ejus pervertatur ex socordia. Nam si qualibet in re nos ipsos observaverimus, ut ii qui ambulant; tutius quamque rem suscipiemus. Quodsi enim modicus etiam aliquis lapsus contigerit, eum tamen per istam animadversionem facile corrigemus. Etsi enim paulum conniventes clavum calcaverimus, aut inconcinne pedem promoverimus; propter observationem et a clavo pedem facile retrahimus non infixum, et gressum pedis levi opera aliter dirigimus.

[IN XXXIX.] In rebus ad corpus spectantibus, ut in vestibus, in victu, in possessionibus, in pecuniis, duo hæc sunt: eorum adquisitio, et usus. Prius igitur de usu locutus, eatenus iis utendum esse, quatenus ad nudam corporis curationem faciant, omne supervacuum quod ad ostentationem aut delicias pertineat, removendo; nunc de *adquisitione* eorum docet, et *hujus* quoque *modum* dicit esse *corpus*. Nam si adquisitionis modus est usus; (eo enim adquirimus, ut utamur;) et ipsius usus modus est corpus, et quæ huic sunt necessaria: perspicuum est, etiam adquisitionis modum esse corpus, et quæ ei necessaria sunt. Quare si quis ad eam necessitatem respexerit, pellibus simplicibus erit contentus, quarum superiores foveant pedem et muniant; soleæ vero id præstent, ne pede nudo calcentur noxia: *sin id quod pes exigit excesserit*, et ad ornatum et delicias deflexerit, *auratus fit calceus*, inquit; *deinde purpureus*, *post interpunctus*. Tanta autem fuisse videtur apud Romanos in conficiendis calceis purpureis et interpunctis curiositas, ut auratis etiam præferrentur.

Eadem vero est et rei familiaris ratio, ac rerum corpori necessariarum. Si quis enim mensuram necessitatis transierit, ejusque terminum; jam sine termino vagabitur, alia aliis adjiciendo, donec ad extremas delicias et vanitatem præceps feratur, (propter has enim fit ille excessus,) et ad multiplicem, quæ excessum sequitur, indigentiam, et hujus comitem adflictationem. Nam si decem paravimus, volumus habere viginti; si hæc, quadraginta: et sic deinceps: nec ullus finis est prolabendi in vastum istud atque immensum pelagus insatiabilis cupiditatis. Constat enim, in singulis iis, quæ ad usum corporis adhibentur, adquisitionem, quæ limites excedit, recidere in infinitum; ut jam et

πτει· ὥστε καὶ τοῦ σκοποῦ λοιπὸν ἐπιλανθάνεσθαι, καὶ τῆς χρείας, εἰς ἣν συντελεῖ, ὅτι ἡ τοῦ σώματός ἐστιν αὕτη. Τοιγαροῦν καὶ προϊέμεθα τὸ σῶμα πολλάκις δι' ἀπλήστου τῆς τούτων κτήσεως. Μήποτε δὲ τὸ τοῦ ὑποδήματος παράδειγμα, ἐὰν κατὰ τὸ μέγεθος ληφθῇ, καὶ μὴ κατὰ τὸν καλλωπισμὸν ὑπερβαῖνον τὸ μέτρον, *** προσκόπτοντας ἡμᾶς ἐπ' αὐτῷ πολλάκις, καὶ πίπτοντας, καταχρημνίσῃ ποτέ; Χρὴ δὲ ἀπὸ τῶν περὶ τῆς χρήσεως εἰρημένων καὶ τὰ περὶ τῆς κτήσεως διαιρεῖν. Εἴη δ' ἂν καὶ ταῦτα τὰ κεφάλαια, τὸ προσῆκον μέτρον ἐν τῇ κτήσει καὶ χρήσει τῶν ἐκτὸς διδάσκοντα φυλάττειν, πρὸς δικαιοσύνην ἡμᾶς ἀπευθύνοντα.

[**IN CAP. XL.**] Ἐνδοὺς καὶ γαμεῖν τοῖς τὸν κατὰ φύσιν αἱρουμένοις βίον, καὶ τὴν καθήκουσαν αὐτοῖς περὶ γυναικὸς ἐπιμέλειαν διὰ βραχέων ἐνδείκνυται· παραβάλλων αὐτῇ τὴν τῶν πολλῶν ἀνθρώπων χρῆσιν, καὶ ἀπὸ τῶν ἐκείνῃ ἑπομένων κακῶν ταύτην ῥυθμίζων. Οἱ μὲν γὰρ πολλοί, φησίν, ἄνθρωποι τὰς γυναῖκας εὐθὺς ἐκ νέας ἡλικίας κολακεύουσι, καὶ τιμῶσι, κυρίας καλοῦντες, οὐδενὸς ἄλλου ἕνεκεν ἢ τοῦ συγκοιμᾶσθαι. Διὸ εἰκότως ἐκεῖναι περὶ τοῦτο παρασκευαζόμεναι, καλλωπίζονται, καὶ ἐν τούτῳ πάσας ἔχουσι τὰς ἐλπίδας. Καὶ οὐχ ἔστιν αὐτὰς αἰτιᾶσθαι τοσοῦτον, ὅσον τοὺς ἄνδρας, τοὺς διὰ τοῦτο τιμῶντας. Διὸ χρὴ συναίσθησιν αὐταῖς εὐθὺς ἐξ ἀρχῆς παρασχεῖν, ὅτι οὐδενὸς ἄλλου ἕνεκα παρ' ἡμῶν τιμηθεῖεν ἄν, εἰ μὴ τοῦ τά τε ἤθη κεκοσμῆσθαι, καὶ δι' αἰδοῦς ὑποκατακεκλίσθαι τῷ ἀνδρί. Ταῦτα γὰρ ἔχουσα, καὶ πρὸς οἰκονομίαν λοιπόν, καὶ παιδοτροφίαν, καὶ τὴν τοῦ ἀνδρὸς ἐπιμέλειαν, καὶ τὸν λιτὸν βίον ῥᾳδίως συνεθισθήσεται· ἅπερ ταῖς καλαῖς ἐσομέναις γυναιξὶ προσήκει.

[**IN CAP. XLI.**] Ὥσπερ οἱ εὐφυεῖς περὶ τὰ τῆς φύσεως τῆς οἰκείας ἄκρα καὶ τέλεια καὶ ἀκριβῆ σπουδάζουσι καὶ τούτοις ἐνδιατρίβουσιν· οὕτως οἱ ἀφυεῖς περὶ τὰ εὐτελῆ, καὶ ἔσχατα, καὶ ὁλοσχερῆ, καὶ τοῖς πολλοῖς βάσιμα, ἐνδιατρίβουσιν. Ἀνθρώπῳ οὖν κατὰ ψυχὴν λογικὴν οὐσιωμένῳ, χρωμένην τῷ σώματι ὡς ὀργάνῳ, τὸ ἀποστῆναι μὲν τῶν κατὰ φύσιν τῆς ψυχῆς ἐνεργειῶν, ἐνδιατρίβειν δὲ τῷ σώματι, σημεῖον ἀφυΐας ἐστίν, ὥσπερ αἴτιον τούτου, ἡ ἀφυΐα. Τίς γὰρ τεχνίτης λόγου ἄξιος περὶ τὴν τῶν ὀργάνων θεραπείαν δαπανᾷ τὸν καιρόν, τῆς τέχνης τῆς χρωμένης αὐτοῖς ἀμελῶν; Οὐ μόνον δὲ ἀφυΐας ἐστὶ σημεῖον τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα, ἀλλὰ καὶ συμπαθείας περιττῆς. Οἷς γὰρ χαίρομεν, καὶ οἷς συμπάσχομεν, τούτοις ἐνδιατρίβομεν. Χρὴ οὖν, φησί, τὴν μὲν περὶ τὸ σῶμα ἀσχολίαν πάρεργον ἡγεῖσθαι· τὴν δὲ προηγουμένην σπουδὴν περὶ τὸ χρώμενον τῷ σώματι ποιεῖσθαι· αὕτη γὰρ δικαία τῶν περὶ αὐτὸ καθηκόντων ἡμῖν διανομή.

[**IN CAP. XLII.**] Καὶ τοῦτο τὸ παράγγελμα εἰς ἀνεξικακίαν προκαλεῖται καὶ πρᾳότητα, διχόθεν ἐπιχειροῦν· καθ' ἕνα μὲν τρόπον, ὅτι ἕκαστος τῇ ἑαυτοῦ φαντασίᾳ καὶ τῷ φαινομένῳ αὐτῷ καλῶς ἔχειν ἀκολουθεῖ, εἰ μὴ καὶ αὐτῷ ὁμοίως φαίνοιτο. Οὐ χρὴ οὖν

scopi et usus obliviscatur ad quem pertinet, qui corporis est curatio. Quare nonnumquam etiam ipsius corporis curam abjicimus, dum ista sine modo cumulamus. Fortasse vero calcei exemplum, si is magnitudini pedis responderit, nec ornatu modum excesserit, *** sæpe nos idcirco offendentes et prolapsos, denique in præcipitium aget. Ex iis porro quæ de usu dicta sunt, ea quoque dijudicari debent, quæ ad adquisitionem pertinent. Pertinent autem et hæc capita, convenientem modum in adquirendis et utendis rebus externis docentia, ad justitiæ rationem.

[IN XL.] Etiam matrimonio iis qui vitam naturæ consentaneam sequuntur concesso; qua ratione his curandæ sint uxores, paucis ostendit: cum eaque id confert, quod vulgus hominum facere solet, eorumque delicta corrigit, et ad normam hanc revocat. Plerique mortales, inquit, *mulieribus* a prima ætate *adulantur,* et honorem habent, easque *dominas* vocant, solius concubitus caussa. Quare non immerito illæ ad hoc sese parantes, comuntur, et in ornatu spem suam omnem collocant. Nec tam illæ reprehendendæ sunt, quam viri, qui eas propterea colunt. Quare ab initio statim sic informandæ consuefaciendæque sunt, ut intelligant, se non alia ulla de caussa a nobis honoratum iri, nisi quod sint ornatis modestisque moribus, et marito verecunde pareant et obsecundent. Quibus dotibus si prædita fuerit mulier, jam et ad tuendam rem familiarem, et ad educationem liberorum, et ad mariti curationem, et ad vitæ frugalitatem facile adsuefiet: quæ officia honestas matronas decent.

[IN XLI.] Quemadmodum ingeniosi homines in summis, perfectis et exquisitis naturæ suæ rebus elaborant et immorantur: ita stupidi et hebetes in imperfectis, extremis, generalibus, et vulgo tritis versantur. Itaque, si homo, cujus ab animo rationis compote natura pendet, qui corpore ut instrumento utitur, omissis naturalibus animi actionibus corpori immoretur; *abjectioris* id *ingenii signum* est, quemadmodum et caussa hujus rei est abjectius ingenium. Quis enim artifex alicujus pretii in curandis instrumentis terit tempus, arte, quæ his usura est, neglecta? Neque vero obtusi tantum et abjectioris ingenii signum est *occupari circa corpus,* sed immodici etiam ejus amoris. Quibus enim rebus gaudemus atque adficimur, iis immoramur. Est igitur, inquit, occupatio corporis *accessio* quædam judicanda: præcipua vero cura ei impendenda, quod corpore utitur. Hæc enim justa est nostri adversus illud officii distributio.

[IN XLII.] Et hoc præceptum ad patientiam et mansuetudinem adhortatur, duplici argumento utens: primo, quod quilibet suam opinionem et *judicium, quod rectum ipsi videtur, sequitur,* etsi non ipsi quoque similiter videatur. Non igitur ægre ferendum, id eum sequi, quod ipsi rectum

ἀγανακτεῖν, εἰ τῷ φαινομένῳ αὐτῷ καλῶς ἔχειν ἀκολουθεῖ. Καὶ γὰρ καὶ σὺ τούτῳ ἀκολουθεῖς, καὶ πάντες ἄνθρωποι. Τίς οὖν ἂν πρὸς τὴν κοινὴν φύσιν ἀγανακτοίη, νοῦν ἔχων; Εἰ δ', ὅτι τὸ μὴ καλῶς μηδὲ δικαίως ἔχον καλῶς ἔχειν ἔδοξεν αὐτῷ, διὰ τοῦτο ἀγανακτεῖς, καὶ αὕτη ἄτοπος ἡ ἀγανάκτησις. Ἐκεῖνος γάρ ἐστιν ὁ βεβλαμμένος, καὶ οὐχὶ σύ. Ὁ γὰρ τὸ μὴ καλῶς ἔχον καλῶς ἔχειν ὑπολαμβάνων ἠπάτηται· ὁ δὲ ἠπατημένος βλάπτεται.· Ὁ γοῦν κακῶς σέ τι ποιῶν ἢ κακῶς λέγων, αὐτός ἐστιν ὁ βεβλαμμένος· κἂν οὐδὲ σὺ, οὐδὲ τῶν μέγα δυναμένων τις αὐτὸν ἰσχύσειε βλάψαι· εἴπερ τὰ μὲν ἔξωθεν ἐπιβλαβῆ δοκοῦντα εἰς σῶμα γίνεται, καὶ τὰ ἐκτός· ὥστε μηδὲ αὐτοῦ κυρίως εἶναι βλάβην· ἡ δὲ ἀπάτη, τῆς ψυχῆς, καθ' ἣν αὐτὸς ὑφέστηκεν. Ὅτι δὲ αὐτός ἐστιν ὁ βεβλαμμένος ὁ ἀπατηθεὶς, καὶ οὐχ ἐκεῖνος περὶ ὃν ἠπατήθη, ἔδειξεν ἐναργῶς ἐκ τοῦ κατὰ τὸ συμπεπλεγμένον. Οἷον, εἰ τὸ, Εἰ ἡμέρα ἐστὶν, ἥλιος ὑπὲρ γῆν ἐστιν, ψεῦδός τις ὑπολάβοι, οὐ τὸ συμπεπλεγμένον βέβλαπται· αὐτὸ γὰρ ἔχει τὴν ἑαυτοῦ ἀλήθειαν· ἀλλ' ὁ ἀπατηθεὶς περὶ αὐτοῦ. Οὕτω καὶ ὁ παρὰ τὸ καλῶς ἔχον λοιδορῶν σε ἢ κακοποιῶν, αὐτός ἐστιν ὁ βεβλαμμένος· σὺ δὲ οὐδὲ βέβλαψαι, οὐδὲ πέπονθάς τι κακόν· μάλιστα, ἐὰν ἐν τοῖς ἐφ' ἡμῖν ᾖ ἡ οὐσία τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. Ἐννοῶν οὖν, καὶ ὅτι ἀνάγκη ἕκαστον τῷ φαινομένῳ αὐτῷ ἀκολουθεῖν, καὶ ὅτι ἐκεῖνός ἐστιν ὁ βεβλαμμένος, καὶ οὐχὶ σὺ, πρᾴως ἕξεις πρὸς τὸν λοιδοροῦντα, καὶ μεγαλοφρόνως· ἐὰν καὶ συνεθίσῃς ἐφ' ἑκάστῳ τῶν τοιούτων ἐπιφθέγγεσθαι, ὅτι, Ἔδοξεν αὐτῷ· ἀνάγκη δὲ, τῷ δοκοῦντι ἀκολουθεῖν.

[IN CAP. XLIII.] Πάντα τὰ ἐν γενέσει πράγματα, ἐξ ἐναντίων συγκείμενα, κατὰ τὶ μὲν συμφωνεῖ καὶ συναρμόττει πρὸς ἄλληλα, καὶ φορητά ἐστιν ἀλλήλοις· κατὰ τὶ δὲ ἀσυμφωνεῖ καὶ ἀφόρητά ἐστιν. Οἷον, τὸ πῦρ, θερμὸν καὶ ξηρὸν ὑπάρχον, κατὰ μὲν τὸ θερμὸν συμφωνεῖ τῷ ἀέρι, καὶ φορητόν ἐστιν αὐτῷ· κατὰ δὲ τὸ ξηρὸν ἀντίκειται καὶ μάχεται. Οὕτω καὶ ἀδελφὸς ἐὰν ἀδικῇ, καὶ οὗτος δύο ἔχει λαβάς· τὴν μὲν, φορητὴν, τὴν τοῦ ἀδελφοῦ· τὴν δὲ, ἀφόρητον, τὴν τοῦ ἀδικεῖν. Δῆλον δὲ, ὅτι πρὸς μὲν τὰ φορητὰ εὐκόλως διακείμεθα, καὶ πρᾴως, καὶ εὐαρέστως· πρὸς δὲ τὰ ἀφόρητα δυσχεραίνομεν, καὶ τραχυνόμεθα, καὶ δυσαρεστοῦμεν. Εἰ τοίνυν εὐθυμεῖν δεῖ, καὶ εὐαρεστεῖν, καὶ πρᾴως ἔχειν πρὸς ἅπαντα· ἐπειδὴ πάντα τὰς δύο λαβὰς ἔχει, τήν τε φορητὴν, καὶ τὴν ἀφόρητον, ἀπὸ τῆς φορητῆς αὐτῶν δράττεσθαι χρή. Πάντα γὰρ ὄντως ἐστὶ τοιαῦτα· πλοῦτος, πενία, ὑγεία, νόσος, γάμος, ἀγαμία, τέκνα, ἀτεκνία, καὶ πάντα τὰ ἄλλα ἐν τῷ βίῳ. Καὶ γὰρ πλούτου, φορητὸν μὲν, ἡ εὐπορία· ἀφόρητον δὲ, ἡ ἀσχολία καὶ περιολκή. Καὶ πενίας, φορητὸν μὲν, ἡ ἡσυχία καὶ ἀπραγμοσύνη· ἀφόρητον δὲ, ἡ ἀπορία. Καὶ ὑγείας μὲν φορητὸν, ἡ ῥᾳστώνη καὶ ἡ εὐχρηστία· ἀφόρητον δὲ, ἡ αὐθάδεια καὶ ἐμπάθεια. Τῆς δὲ νόσου, φορητὸν μὲν, ἡ μετριότης τῶν ψυχικῶν παθῶν· ἀφόρητον δὲ,

videatur. Nam et tu et omnes homines idem faciunt. Quis ergo sanus naturæ communi succenseat? Si vero, quia id, quod neque honestum neque rectum est, recte se habere ille putavit, eo illi succenses; ea quoque indignatio absurda est: nam ille, non tu, damnum facit. Qui enim honestum putat quod est inhonestum, deceptus est: deceptus vero damnum facit. *Qui ergo tibi male dicit aut facit,* ipse est cui nocetur; quamvis neque tu, neque potentissimus quisquam, ei nocere posset. Externa enim incommoda quæ habentur, corpori aut rebus externis incommodant: quare nec ipsi proprie damnum adferunt. Opinionis autem error animi damnum est, in quo animo inest natura ejus. Esse autem damnum ei datum, qui deceptus sit, non ei super quo sit deceptus; evidenter exemplo *connexi* demonstrat. Veluti, hoc, Si dies est, sol supra terram versatur: hoc igitur si quis falsum putet; non ipsum connexum damnum facit, cui sua constat veritas; sed is, qui falsum de eo sentit. Sic etiam qui secus ac decet, tibi conviciatur aut malefacit, ipse est cui noceatur: tibi vero ne nocitum quidem est, neque mali quidquam datum; præsertim, si in rebus, quarum potestas in nobis sita est, vis et natura boni atque mali collocata est. Quare cogitans, necesse esse, quemque id sequi quod ipsi videatur et ipsum esse qui faciat damnum, non te; *lenem te* et magnanimum *præbebis adversus conviciatorem*; si te adsuefeceris, ut in quolibet horum statim tibi ipse dicas: *Ita visum est ei;* necesse vero est, ut quisque id, quod ipsi visum fuerit, sequatur.

[IN XLIII.] *Omnes res* in hoc mundo, quia constant e contrariis, *aliqua ex parte* inter sese consentiunt et conveniunt, ac *tolerabiles sunt; aliqua ex parte* dissentiunt, et sunt *intolerabiles.* Velut, ignis, qui est siccus et calidus, ratione caloris cum aere consentit, estque ei tolerabilis: quatenus vero siccus, eidem opponitur et repugnat. Sic etiam *frater, si læserit injuria,* et hic *duas habet ansas*; alteram tolerabilem, qua est frater; alteram intolerabilem, qua est injurius. Perspicuum est autem, nos ea quæ tolerabilia sunt, leniter, facile, placideque ferre: intolerabilia vero aversari, graviterque et iniquis animis pati. Quamobrem si semper bono et mansueto esse animo, si adquiescere volumus; *quoniam res omnes duas* illas *habent ansas*, tolerabilem unam, alteram intolerabilem, *ea prehendemus eas, qua sunt tolerabiles.* Nam omnia plane sunt talia, divitiæ, paupertas, sanitas, morbus, conjugium, vita cælebs, liberi, orbitas, cætera denique universa, quæ in vita versantur. Nam divitiarum tolerabilis est abundantia; intolerabilis vero occupatio et solicitudines. Paupertatis tolerabilis est tranquillitas et otium, sed intolerabilis egestas. Sanitatis tolerabilis est vacuitas doloris et expeditus membrorum usus; intolerabilis contumacia et adfectuum agitatio. Morbi tolerabilis est moderatio animorum, sed intolerabilis

ἡ ταλαιπωρία. Καὶ γάμου, φορητὸν μὲν, ἡ παιδοποιία, καὶ θεραπεία· ἀφόρητα δὲ, τό τε πολυδεὲς, καὶ ἡ ἄλογος συμπάθεια. Καὶ ἡ ἀτεχνία δὲ, τὸ εὔλυτον ἔχει, καὶ τοῖς καλλίοσι σχολαστικὸν, καὶ τὸ μὴ φροντίζειν καὶ τῆς μετὰ θάνατον εὐπορίας, καὶ τὸ μέγιστον, ὡς οἶμαι, τὸ μὴ ἀναγκάζεσθαι καὶ κακοῖς οὖσιν ἐνίοτε τοῖς τέκνοις συμπάσχειν· συμβαίνει γὰρ τῇ κακίᾳ συμπάσχειν. Καὶ ὕβρις δὲ καὶ λοιδορία, φορητὰ ἔχουσιν, ἔστι μὲν ὅτε, καὶ τὸ γινώσκειν ἃ πρότερον ἠγνοοῦμεν τῶν ἡμετέρων· ἀεὶ δὲ, τὸ προκαλεῖσθαι τὸ ἐν ἡμῖν ἀνεξίκακον. Καὶ ἡ πάντων φευκτοτάτη ἡμῖν, ἡ τοῦ σώματος κόλασις, φορητὴν ἔχει τὴν γυμνασίαν τῆς ψυχῆς, καὶ τὴν κάθαρσιν. Πάντα δὲ τὰ τοιαῦτα μέγα ἀγαθὸν ἔχει, τὸ ἀνδρικῶς ὑπομεῖναι. Καὶ γὰρ τοῦ μὴ περιπεσεῖν τὸ περιπεσόντα καλῶς διαγενέσθαι ὠφελιμώτερόν ἐστι τῷ ἀνθρώπῳ· εἴπερ τὸ μὲν μὴ περιπεσεῖν, τοῦ σώματος καὶ τῶν ἐκτός ἐστιν ἀγαθὸν, τὸ δὲ καλῶς διαγενέσθαι, τῆς ψυχῆς. Ἀλλὰ καὶ οἱ ἐχθροὶ δύο λαβὰς ἔχουσι· καὶ ἔστιν ἀπ' ἐκείνων ὠφεληθῆναι, πικρότερον ἡμῶν ἐξεταζόντων τὰ πάθη, καὶ ἀσφαλεστέρους γίνεσθαι ποιούντων. Καὶ ὅ γε Χαιρωνεὺς Πλούταρχος βιβλίον ὅλον [περὶ] τῆς ἀπὸ τῶν ἐχθρῶν ὠφελείας συνέγραψεν.

[IN CAP. XLIV.] Οἱ περὶ λόγους ἐσπουδακότες, ὡς ἐπίπαν καὶ εἰς τὴν περὶ λέξιν καὶ σύνταξιν σπουδὴν ἐκφέρονται· ὅπερ οὐ προσήκει τῷ φιλοσοφοῦντι, εἰ μὴ ἄρα ἐπιμελῶς ἀχθεὶς ἐκ παιδὸς διὰ τῶν ἐγκυκλίων λόγων, αὐτοφυῆ καὶ οὐκ ἐπιτετηδευμένην ἔχει τὴν τοιαύτην εὐφράδειαν. Κἂν τοῦτο δὲ τύχῃ, οὐ βούλεται ἐπ' αὐτῷ μέγα φρονεῖν τὸν φιλοσοφοῦντα, ὡς μὴ τοῦτο ἔχοντα τέλος, μηδὲ κατὰ τοῦτο οὐσιωμένον. Λέξις μὲν γὰρ ὅταν ᾖ καλὴ, ἔχει τὸ οἰκεῖον ἀγαθόν· καὶ ὁ τὴν καλλιλεξίαν τέλος πεποιημένος ποιητής ἐστιν, ἢ συγγραφεύς. Ὁ δὲ κατὰ ζωὴν λογικὴν οὐσιωμένος, καὶ τέλος ἔχων τὸ κατὰ φύσιν αὐτῆς, οὐκ ἂν, εὐφραδέστερος ὤν τινος, κρείττονα ἑαυτὸν λέγοι δικαίως ἐκείνου. Οὐ γάρ ἐστιν αὐτὸς ἡ λέξις, οὐδὲ τέλος τίθεται τὴν λέξιν, ὥστε κατ' ἐκείνην εἰδοποιεῖσθαι, ὡς πᾶς τεχνίτης κατὰ τὴν τέχνην. Ἀλλὰ τὸ δίκαιον εἰπεῖν· Ἡ ἐμὴ λέξις τῆς σῆς καλλίων. Καὶ ἔστι τὸ μὲν προηγούμενον πρὸς τὸν φιλοσοφοῦντα, τὸ τὴν περὶ λέξιν αὐτοῦ πτοίαν ἀναστεῖλαι· παραδείγματι δὲ τῷ πλουσιωτέρῳ χρῆται, καὶ μετριάζων ἅμα τὴν ἐπίπληξιν.

[IN CAP. XLV.] Τὴν περὶ τῶν πραγμάτων κρίσιν ἀκριβεστέραν ἡμᾶς ἔχειν βούλεται, ὥστε μήτε ψέγειν ἡμᾶς τινα, μήτε ἐπαινεῖν ἐφ' οἷς ποιεῖ, εἰ μὴ τὸν σκοπὸν μάθωμεν, εἰς ὃν ἀποβλέπων ποιεῖ. Οὗτος γάρ ἐστιν ὁ εἰδοποιῶν τὸ γινόμενον. Διὸ καὶ τύπτων τις, ὠφελεῖ· καὶ τρέφων, βλάπτει· καὶ κλέπτων, ἐνίοτε δικαιοποιεῖ· καὶ παρέχων, ἀδικεῖ. Χρὴ οὖν, φησὶ, τὰ μὲν γινόμενα αὐτὰ καθ' ἑαυτὰ κρίνειν, καὶ, εἰ λούεταί τις ταχέως, ὅτι ταχέως λούεται, λέγειν· μὴ μέντοι ποιότητα προστιθέναι, ἢ ὅτι καλῶς, ἢ ὅτι κακῶς, ἕως ἂν τὸν σκοπὸν μάθωμεν. Τί γὰρ, εἰ καμὼν, καὶ

ærumna. In conjugio tolerabilis est procreatio liberorum, et observantia: intolerabilis vero multarum rerum indigentia et rationis expers dilectio. Orbitas hoc habet, ut expedita sit, et vacare nos sinat rebus pulchrioribus, nec de copiis post obitum relinquendis curare cogat; et, quod meo judicio maximum est, ut non necesse habeat liberos interdum malos amare: tunc enim fit, ut improbitas ametur. Jam contumelia et convicium tolerabilia ista habent, interdum quidem, quod ea de rebus nostris cognoscimus quæ prius ignorabamus; semper vero, quod nostra patientia provocatur. Et, quam omnium maxime fugimus, adflictio corporis, tolerabilem habet animi exercitationem et purgationem. Sed in his omnibus magnum inest bonum, ut fortiter toleremus. Nam in ea incidisse, animique constantiam retinuisse, præclarius est, quam non incidisse: quoniam in ea non incidere, corporis bonum est et rerum externarum; sed ea pulchre tulisse, animi bonum est. Quin et inimici duas habent ansas: et fructum ex eis capere licet, in adfectus et perturbationes nostras acrius inquirentibus, atque efficientibus ut simus cautiores. Qua de re Plutarchus Chæronensis integrum volumen scripsit, de Utilitate ex hostibus capienda.

[IN XLIV.] Homines literarum studiosi plerique etiam poliendæ *orationis* et scriptionis studio feruntur: quod philosopho indignum est, nisi forte aliquis a puero in liberalibus artibus adcurate institutus, eam dicendi facultatem, quasi naturalem et non studio quæsitam, sibi compararit. Quod si cui etiam contigit, non idcirco magnos sibi spiritus sumet homo philosophus; ut qui hunc finem sibi propositum non habeat, nec inde pendeat. Nam *dictio* quidem elegans si fuerit, suum habet bonum; et is cui proposita est dictionis elegantia, poeta est, aut historicus. Is vero cujus virtus sita est in vita rationi consentanea, quique finem illi convenientem propositum habet; quamvis alio disertior, eo se tamen esse meliorem, nullo jure dicet. Neque enim ipse dictio est, neque finis ejus est dictio, ut ex ea formam suam consequatur, sicut ex arte sua quivis artifex. Sed dicendum id, quod verum est: ***Mea dictio est elegantior tua.*** Spectat igitur præcipue quidem hominem philosophiæ studiosum, quem ab admiratione dictionis et styli vult revocare: exemplo autem utitur hominis *opulentioris* altero, quo simul temperet increpationem.

[IN XLV.] Judicio nos de rebus solidiore esse vult, ut nec vituperemus, nec laudemus facta cujusquam, nisi scopo ejus cognito, ad quem illa referuntur. Ex eo enim vel bonum vel malum fit factum. Itaque et qui verberat, prodest; et qui alit, nocet: et, qui furatur, interdum recte facit; et qui præbet, injuste. Sunt igitur, inquit, facta ipsa per se judicanda: et, si quis mature lavat, dicendum, *mature eum lavare:* nec vero adjicienda qualitas, quasi recte aut *male* faciat, donec ejus consilium cognoverimus. Quid enim, si ob morbum, aut ob lucubrationem, aut aliam ob

ἀγρυπνήσας νύκτωρ, καὶ δεόμενος τῆς τοῦ λουτροῦ θεραπείας; Ἀλλ' ὁ σκοπὸς ἐπιφέρει τὴν ποιότητα τοῦ καλῶς, ἢ μὴ καλῶς. Καὶ τοῦτον δεῖ περιμένειν πρὸ τοῦ τῷ ταχέως λούεσθαι τὸ κακῶς ἢ καλῶς προσφέρειν. Καὶ γὰρ πολὺν οἶνον πίνειν ἔστι, καὶ διὰ κρᾶσιν σώματος, καὶ διὰ κατάστασιν ἀέρος, ὥσπερ πρὸ κυνὸς, καὶ ὑπὸ κύνα, καὶ διὰ λοιμῶδες χωρίον. Εἰ δὲ μὴ οὕτως ποιοῦμεν, ὥστε τὰς μὲν πράξεις αὐτὰς, ὡς ἔχουσι, κρίνειν, καὶ λέγειν, ὅτι ταχὺ, ὅτι πολὺ, τὴν δὲ ποιότητα μὴ προσφέρομεν, ἕως ἂν τὸν σκοπὸν μάθωμεν· συμβαίνει, ἄλλων μὲν αἰσθάνεσθαι, (τοῦτο γάρ ἐστι τὸ, φαντασίας καταληπτικὰς λαμβάνειν, τοῦτ' ἔστιν, ἐπ' ἄλλων μὲν καταλαμβάνειν τὸ φαινόμενον,) ὡς τὸ ταχὺ, καὶ πολύ· ἐπ' ἄλλοις δὲ συγκατατίθεσθαι, τοῦτ' ἔστι, τὴν κρίσιν ἐπάγειν, τὸ φανὲν ἢ κακῶς ἢ καλῶς λέγοντας. Ἄτοπον δὲ τοῦτο, τὸ, ἄλλο τι θεασάμενον, ἄλλο τι περὶ αὐτοῦ λέγειν. Καὶ βούλεται μὲν, οἶμαι, μήτε ἐπαινεῖν, ὡς ἔτυχε, μήτε ψέγειν· μᾶλλον δὲ παραιτεῖσθαι τὸ ψέγειν ἀδίκως· δι' ὃ ἐπὶ τούτου ποιεῖται τὸν λόγον, καὶ τοῦτο ἂν εἴη πρὸς δικαιοσύνην συντεῖνον.

[IN CAP. XLVI.] Πρὸς τὸν ἔτι προκόπτοντα τοὺς λόγους ποιούμενος· (οὐ γὰρ πρὸς τέλειον φιλόσοφον· ἐκεῖνος γὰρ οὐκ ἐδεῖτο τούτων τῶν παραινέσεων· οὐδ' ἂν εἴποι πρὸς αὐτὸν, ὅτι κίνδυνος εὐθὺς ἐξεμέσαι ἃ οὐκ ἔπεψας·) ἐπειδὴ τοῖς ἔτι προκόπτουσι τὸ φιλόδοξον καὶ ἐπιδεικτικὸν ἐνοχλεῖ πάθος, διὰ πολλῶν ἐπιχειρημάτων αὐτὸ καθαίρειν προέθετο· ὥσπερ διὰ τούτου· [ὡς γὰρ] καὶ ψεῦδος ἦν τὸν χωνευόμενον χαλκὸν ἀνδριάντα λέγειν, καὶ τὸ ἔμβρυον, ἄνθρωπον· οὕτω δὲ καὶ τὸν ἔτι προκόπτοντα, φιλόσοφον λέγειν, ψεῦδος. Εἰ δέ τις καὶ πρὸς τὸ μέγεθος ἀπίδοι τῆς ζωῆς τοῦ ὄντως φιλοσόφου, καὶ τὴν ὑπεροχὴν ἣν ἔχει πρὸς τοὺς ἄλλους ἀνθρώπους, οὐ μόνον ψεῦδος, ἀλλὰ καὶ ἀσεβὲς λέγειν δόξει. Ὁ δὲ μὴ λέγων ἑαυτὸν φιλόσοφον, οὐκ ἂν, οὐδ' ἐν τῇ τάξει τοῦ φιλοσόφου τάττων ἑαυτὸν τῇ διδασκαλικῇ, διδάσκειν ἐπιχειροίη. Πῶς οὖν ἂν γυμνάσαιτο, φαίη τις, προκόπτων; Εἰ τὸ πρὸς ἰδιώτας λαλεῖν ἀπηγόρευσεν, ἐν οἷς οὐ γυμνασίας ἕνεκεν, ἀλλ' ἐπιδεικτικῶς οἱ λόγοι λέγονται. Πῶς οὖν πρὸς τούτους ἁρμόσεται; Εἰ τὰ ἔργα ἐπιτελοίη τὰ ὑπὸ τῶν λόγων διδασκόμενα, καὶ μὴ τοὺς λόγους ἐκφυσᾷ κενούς. Καὶ γὰρ οὐ τὸ λέγειν ἐστὶ τὸ τέλος, ἀλλὰ τὸ πράττειν τὰ λεγόμενα.

Ἐν συμποσίῳ οὖν εὑρεθεὶς, μὴ λέγε, πῶς δεῖ ἐσθίειν· ἀλλ' ἔσθιε ὡς δεῖ· οὕτω γὰρ καὶ, ὅταν τοῦ διδάσκειν γένηται καιρὸς, οἱ λόγοι προϊόντες, δραστήριοι φανήσονται. Οἷον γάρ ἐστι, διδάσκειν μὲν, ὅπως δεῖ ἐσθίειν, ἢ ὅπως δεῖ φέρειν τὰς περιστάσεις, αὐτὸν δὲ τοῖς ὑφ' ἑαυτοῦ ταττομένοις νόμοις μὴ ἐμμένειν; Μὴ μόνον δὲ, φησὶν, ἀπέχου τοῦ κατάρχειν τῶν τοιούτων λόγων· ἀλλὰ κἂν ἄλλοι τινὲς ἰδιῶται περὶ τούτων διαλέγωνται, μὴ θελήσῃς ὡς ἐν ἰδιώταις φανῆναι διδάσκαλος· Ἐπεὶ κινδυνεύσεις ἐξεμέσαι, ἃ οὐκ ἔπεψας. Ὥσπερ γὰρ τὰ πεφθέντα σιτία τὴν ἕξιν τρέφει τοῦ σώματος, οὕτω καὶ οἱ πεφθέντες λόγοι τὴν ἕξιν τρέφουσι τῆς ψυχῆς· ἀφ' ἧς

caussam, curatione lavationis eguit? Consilium autem et finis in caussa est, ut recte secusve sit factum. Et hic exspectandus est, priusquam maturior lavatio, bona malave dicatur. Nam et *multum vini bibere* licet, sive ob corporis temperiem, sive ob qualitatem aeris, ut ante caniculam, aut ipsa caniculæ hora, sive ob locum pestilentem. Nisi autem ita fecerimus, ut ipsa facta, uti sunt, judicemus; et dicamus *mature*, aut *multum;* qualitatem vero non adjiciamus, ante consilium cognitum : fit, ut alia sentiamus, (hoc enim significat φαντασίας καταληπτικὰς λαμβάνειν, id est, alia sensibus nostris percipiamus,) nempe illa, mature, et multum; aliis vero adsentiamur, hoc est, judicium iis nostrum interponamus, id quod visum est laudando aut vituperando. Absurdum est autem, cum aliud videris, de eo aliud dicere. Ac vult quidem, ni fallor, ne temere laudemus aut vituperemus; maxime vero, ut injuste vituperare recusemus : eaque caussa de hoc loquitur. Pertinet autem et hoc ad justitiam.

[IN XLVI.] Cum eo qui adhuc proficit loquens, (neque enim cum perfecto philosopho, qui his admonitionibus non egebat : cui non diceret, *periculum esse ne statim evomeret, quod non concoxisset,*) quod iis qui adhuc proficiunt, gloriæ cupiditas et ostentatio adhæret, eos adfectus multis argumentis repurgare studet; ut et hoc ipso : [Quemadmodum] falsum est, æs quod conflatur adhuc, statuam dicere; et fœtum in utero conceptum, hominem : sic eum etiam qui adhuc proficit, dicere philosophum, est falsum. Quod si quis vero etiam consideret, quanta res sit vita veri philosophi, et quantum is cæteris mortalibus antecellat; non modo falso id, sed et impie dici videatur. Qui se vero philosophum esse negat, is nec docendi munus, quod est philosophorum, sibi sumet, docereque alios instituet. At quo pacto, inquies, se is exercebit, qui proficit? Si inter idiotas loqui non sustinet, apud quos non exercitationis, sed ostentationis ergo verba fiunt. Quomodo ergo se illis adcommodabit? Si re ipsa ea præstiterit, quæ verbis docentur, nec inania verba efflarit. Finis est enim non oratio, sed actio eorum quæ dicuntur.

Cum igitur *in convivio fueris, noli dicere quomodo sit edendum, sed ede uti decet.* Sic enim etiam, si docendi se dederit occasio, vires et nervos tua habebit oratio. Cujusmodi est enim, docere quomodo sit edendum, aut quomodo ferendæ sint res adversæ, si legibus a te latis ipse non parueris? Non solum autem, inquit, ipse caveto ne tales sermones ordiaris : sed et, si qui alii indocti de his disseruerint, ne velis inter ineruditos haberi doctor. *Periculum* enim *erit, ne ea evomas, quæ non concoxeris.* Ut enim cibi concocti habitudinem corporis alunt; sic et concocti sermones, animi habitum nutriunt : e quo postea, ut e sta-

λοιπὸν, ὡς ἀπὸ μονίμου ῥίζης, οἱ καρποφόροι λόγοι προέρχονται. Εἰ δέ τις πρὸ τοῦ τὴν ἕξιν τελειωθῆναι, οὓς ἤκουσε λόγους, προάγει, κινδυνεύει τῷ ὄντι ἐξεμεῖν ἃ οὔπω ἔπεψεν. Ἐμέτῳ γὰρ σιτίων ἔοικε τὸ αὐτοὺς ἐκείνους, οὓς ἤκουσέ τις, προάγειν, ἀλλὰ μὴ ἐκ τῆς ἐν ἑαυτῷ ἕξεως. Ἐπειδὴ δὲ ἔξω νεύσασα ἡ ψυχὴ ἀπὸ τῶν ἀγαθῶν παραδειγμάτων ὠφελεῖται, τὸν Σωκράτην παράγει, καίτοι τελέως ὄντα φιλόσοφον, ὡς καὶ ὑπὸ τοῦ θεοῦ πάντων ἀνδρῶν σοφώτατος ἀποφανθῆναι, τοσοῦτον ἀφελόντα τῆς ἑαυτοῦ ζωῆς τὸ ἐπιδεικτικὸν, ὥστε, τινῶν ἀνοήτων αὐτοῦ μὲν καταφρονούντων, δι' αὐτοῦ δὲ βουλομένων ἄλλοις συστῆναι πρὸς παίδευσιν, ἀπάγειν αὐτοὺς, καὶ συνιστάνειν σοφισταῖς· ὥσπερ Ἱπποκράτην τὸν Ἀπολλοδώρου, δεηθέντα αὐτοῦ, τῷ Πρωταγόρᾳ συνέστησε. Καὶ ἐν Θεαιτήτῳ δὲ αὐτὸς λέγει, ὅτι, Πολλοὺς μὲν ἤδη ἐξέδωκα Προδίκῳ, πολλοὺς δὲ ἄλλοις σοφοῖς τε καὶ θείοις ἀνδράσι.

Μὴ μόνον δὲ, φησὶ, κατὰ τοῦτο ἀφέλῃς τὸ ἐπιδεικτικὸν καὶ δοξοκόπον, κατὰ τὸ μὴ λέγειν τὰ θεωρήματα ἐν ἰδιώταις, ἢ ἐκείνων λεγόντων σιωπᾷν· ἀλλὰ καὶ, ἐὰν εἴπῃ σοί τις, ὅτι οὐδὲν οἶσθα, μὴ δηχθῇς. Τοῦτο γὰρ ἀγαθὸν τεκμήριον τοῦ καταφρονεῖν τῆς ἔξω δόξης, πλέον τοῦ μὴ λαλεῖν τὰ θεωρήματα. Οὔπω γὰρ ἐξ ἐκείνου δῆλον ἦν, ὅτι νομίζεται παρὰ τοῖς ἐκτὸς μηδὲν εἰδέναι. Ἂν δὲ καὶ ἀκούσας τοῦτο μὴ δηχθῇς, καίτοι πρότερον ἐνίοτε δακνόμενος ἐπ' αὐτῷ, τότε ἴσθι, ὅτι ἤρξω τοῦ ἔργου, δι' ὃ καὶ ὑπό σου οἱ πολλοὶ λόγοι παρελήφθησαν, καὶ ἡ ἐπὶ φιλοσοφίᾳ σπουδὴ, ἵνα ἐργάσῃ τὰ κατὰ φύσιν, οὐχ ἵνα λέγῃς καὶ ἀκούῃς αὐτά. Τὸ γὰρ, ἀκούσαντά σε ὡς οὐδὲν οἶσθα, μὴ δηχθῆναι, ἔργον ἤδη ἐστί· καταφρόνησις γάρ ἐστι τῆς ἔξωθεν εὐδοξίας καὶ ἀδοξίας. Καὶ, κἂν δεικνύναι χρή ποτε τὴν ἑαυτοῦ προκοπὴν διδασκάλῳ ἐπιζητοῦντι, τὰ ἔργα δεικνύναι, τὰ ἀπὸ τῶν πεφθέντων λόγων καὶ τὴν ἕξιν θρεψάντων ἐκδιδόμενα, ἀλλ' οὐχὶ τοὺς λόγους. Καὶ γὰρ τὰ πρόβατα, οὐ τὸν χόρτον ἐξεμέσαντα, δείκνυσι τοῖς ποιμέσι πόσον ἔφαγεν· ἀλλὰ, τὴν νομὴν πέψαντα, ἔρια φέρει καὶ γάλα.

[IN CAP. XLVII.] Πολλαὶ προφάσεις εἰσὶν, ἐφ' αἷς εὐδοξεῖν παρὰ τοῖς ἀνθρώποις βουλόμεθα. Οἱ μὲν γὰρ, τὰς πράξεις τὰς ἑαυτῶν διηγούμενοι, τὰς εὐδοξίας θηρῶνται· οἱ δὲ, ἐπὶ εὐφραδίᾳ· οἱ δὲ, ὡς διδάσκαλοι τῶν δεόντων· ἄλλος δ' ἐπὶ λιτότητι καὶ καρτερίᾳ. Τοὺς οὖν προτέρους ἤδη ἰατρεύσας, πρὸς τοῦτον νῦν ποιεῖται τὸν λόγον· παραινῶν, μήτε αὐτὸν καλλωπίζεσθαι ἐπὶ λιτότητι καὶ ἀσκήσει, (κοινὸς γὰρ ὁ λόγος·) τοῦτ' ἔστι, μὴ χαυνοῦσθαι, μηδὲ μέγα τι νομίζειν ἔχειν· ἀλλ' ἐννοεῖν πρῶτον, πόσῳ λιτότεροι ἡμῶν εἰσιν οἱ πτωχοὶ, καὶ πόσῳ καρτερικώτεροι· ἔπειτα, κἂν τοῦτο λόγου ἄξιον ἔχωμεν, πόσα ἄλλα ἀγαθὰ οὐκ ἔχομεν, ἅπερ ἄλλοι ἔχουσι. Βλάπτει δὲ τὸ ἐπί τινι πλεονεκτήματι χαυνοῦσθαι καὶ πρὸς τὸ μήτε αὐτὸ ἐκεῖνο ἀποκαθαίρειν, ἤδη μέγα αὐτὸ νομίζοντα εἶναι, μήτε ἄλλων ἐφίεσθαι, ἀρκούμενον ἐκείνῳ. Ἀλλὰ μηδὲ ἐπιδεικτικῶς, φησὶν,

bili radice, frugiferi sermones efflorescunt. Si quis vero, habitu nondum confirmato, sermones quos audivit, protulerit; revera periculum est, ne evomat ea quæ nondum concoxerit. Est enim vomitui ciborum simile, ea ipsa verba proferre, quæ audieris; sed ea non ex proprio animi habitu proferre. Quia vero foras prominens animus bonis exemplis juvatur; *Socratem* producit, quamvis perfectum philosophum, adeo ut ab Apolline omnium sapientissimus pronunciaretur, *qui ostentationem a vita sua* usque adeo *removit*, ut, cum a vecordibus quibusdam contemneretur, qui ab eo se aliis præceptoribus commendari volebant, eos abduceret, ac sophistis commendaret : sicut Hippocratem Apollodori filium rogatus Protagoræ commendavit. Et in Theæteto ipse ait, se multos jam Prodico tradidisse, multos aliis sapientibus et divinis viris.

Neque vero in eo solum, inquit, ostentationem removebis, ne apud imperitos præcepta recites, illisve loquentibus taceas : sed etiam, *si quis te nihil scire dixerit*, *ne mordearis*. Hoc enim certius argumentum est externæ gloriæ contemtionis, quam si præcepta non recitaris. Nam ex hoc nondum constat, te aliis videri nihil scire. Sin, quamvis id audieris, non moleste tuleris, ante moleste ferre solitus; tum vero te auspicatum esse opus scito, propter quod et multi illi sermones a te auditi fuerunt, et ipsum philosophiæ studium susceptum; scilicet, ut præstares ea, quæ natura postulat, non ut diceres et audires. Nam si tu, cum audis *nihil te scire*, non morderis; non jam verba hæc sunt, sed est *res*, quam tu præstas : nempe contemtus popularis famæ et infamiæ. Quod si quando magistro, quantum profeceris requirenti, ostendendum fuerit; *facta* illi ostendenda sunt, *a concoctis præceptis* et habitu confirmato *profecta*, non autem verba. *Neque enim oves gramen revomentes* pastori *ostendunt*, quantum comederint : *sed* pascuis concoctis *lanam ferunt et lac*.

[IN XLVII.] Multæ sunt caussæ, cur ab hominibus laudari nos cupiamus. Nam alii factis suis commemorandis gloriam venantur; alii ob eloquentiam; alii, ut doctores officiorum; alius propter frugalitatem et tolerantiam celebrari cupit. Prioribus igitur illis medicina jam adhibita, cum hoc nunc sermonem habet; monens, ne *ipse sibi placeat* ob frugalitatem suam, et exercitationem: (nam in utrumque valet hoc præceptum:) id est, ne quis infletur, neve magnum quiddam se consecutum arbitretur : sed cogitet primum, quanto sint mendici nobis frugaliores, quantoque tolerantiores; deinde, etiamsi habeamus hoc aliqua laude dignum, cogitemus, quot alia bona non habeamus, quibus alii sint præditi. Superbire autem ob prærogativam aliquam, cum ob hoc ipsum nocet, quod id, quod jam magnum putes, non repurges; tum quod alia non desideres, illo contentus. At vero etiam cave, inquit, per ostentationem illa facias; ut, si aquam

αὐτὰ ποίει· ὥστε, ἐὰν ὑδροποτῇς, ἐκ παντὸς τρόπου πρὸς τοὺς διαλεγομένους περιάγειν εἰς τοῦτο τοὺς λόγους, εἰς τὸ εὐκαίρως δόξαι λέγειν, ὅτι ὕδωρ πίνεις. Κἂν ἀσκῆσαι θέλῃς, καὶ πρὸς πόνον καὶ πρὸς ἐγκράτειαν καὶ πρὸς καρτερίαν γυμνάσαι, κατὰ σαυτὸν ποίει τοῦτο, καὶ μὴ φαίνου τοῖς ἔξω, μηδὲ θέλε ὁρᾶσθαι ὑπὸ πολλῶν· ὥσπερ οἱ ὑπὸ πολλῶν βιαζόμενοι δυνατωτέρων, καὶ βουλόμενοι τὸ πλῆθος εἰς βοήθειαν ἐπικαλεῖσθαι, εἰς τοὺς ἀνδριάντας ἀναβαίνοντες ἀποκράζουσι τὴν βίαν, καὶ συνάγουσι περὶ ἑαυτοὺς τὸ πλῆθος. Μὴ ἐπιδεικτικῶς οὖν, ἀλλ' ἐπὶ σαυτοῦ γυμνάζου· ὥστε, σφοδρῶς διψήσας, ἐπισπᾶσαι ψυχροῦ ὕδατος, καὶ ἀποπτύσαι, καὶ μηδὲ μετὰ τοῦτο εἰπεῖν τινι ὅτι ἐποίησας. Ὁ γὰρ ἐπιδεικτικῶς ταῦτα ποιῶν, πρῶτον μὲν ἔξω κέχηνεν ὅλος, καὶ ἀφ' ἑαυτοῦ πρὸς τὸ ἐκτὸς ἐξεχύθη· ἔπειτα τὰ ἀγαθὰ τῆς λιτότητος καὶ καρτερίας ἀπώλεσε, τέλος αὐτῶν τὴν τῶν πολλῶν δόξαν ποιούμενος. Αἱ δὲ ἀσκήσεις αὗται καὶ καρτερίαι ὠφελοῦσι, συνεθίζουσαι τὸ σῶμα, καὶ τὰ ἐν αὐτῷ ἄλογα πάθη, μὴ κατεξανίστασθαι τοῦ λόγου, ἀλλ' ὑπακούειν καὶ σκληρότερον ἐπιτάττοντι. Καὶ μέντοι καιροῦ καλοῦντος, ὁ τληπαθὴς οὐκ ἀναγκάζεται διὰ φερεπονίαν τὴν ἐλευθερίαν προΐεσθαι.

[IN CAP. XLVIII.] Πρὸς πέρας ἤδη τῶν παραινέσεων ἐλθὼν καὶ μέλλων ἐπάγειν τὸ συμπέρασμα, ὅτι χρὴ μὴ ἐπὶ τῶν εἰρημένων λόγων μένειν, ἀλλ' ἔργα αὐτῶν ἐπιτηδεύειν, μηδὲ τέλος τίθεσθαι τὸ λέγειν καὶ ἀκούειν, ἀλλὰ τὸ ἐργάζεσθαι, πρῶτον ἡμῖν τὰς τρεῖς ἕξεις παραδίδωσιν, τὰς πάντας ἀνθρώπους περιλαμβανούσας. Τῶν γὰρ ἀνθρώπων οἱ μὲν, ἰδιῶται· οἱ δὲ ἐκ διαμέτρου τούτων, φιλόσοφοι· οἱ δὲ, ἀφιστάμενοι μὲν τῶν ἰδιωτῶν, προσχωροῦντες δὲ τοῖς φιλοσόφοις· οὓς Προκόπτοντας καλεῖ, πρὸς οὓς καὶ τὰ πρότερον εἴρηται. Καὶ τούτους δὲ διεῖλεν ἐν τοῖς λόγοις, εἴς τε τοὺς ἀρχομένους παιδεύεσθαι, καὶ εἰς τοὺς ποσῶς ἤδη προκεκοφότας.

Ἑκάστην οὖν τῶν εἰρημένων τριῶν ἕξεων ὑπογράφει· ἰδιώτου λέγων στάσιν καὶ χαρακτῆρα, τὸ μηδέποτε ἐξ αὐτοῦ προσδοκᾷν ὠφέλειαν, ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. Ὄντων γὰρ ἐφ' ἡμῖν τοῦ τε λόγου, καθ' ὃν οὐσιώμεθα, καὶ τῶν ἀλόγων παθῶν, καθ' ἃ τοῖς ἀλόγοις ζώοις κοινωνοῦμεν· ὁ μὲν λόγος, κοινὸς Ἑρμῆς ἐστιν πᾶσι, κατὰ τὴν παροιμίαν. Κἂν γὰρ ἀριθμῷ διαφέρωσιν οἱ ἐν ἡμῖν λόγοι, ἀλλὰ τὸ εἶδος ἕν· οὕτως, ὡς πρὸς τὰ αὐτὰ ἀγαθὰ ἀνατείνεσθαι, καὶ τὰ αὐτὰ κακὰ ἐκκλίνειν, καὶ ἀληθῆ τὰ αὐτὰ ἡγεῖσθαι πάντας κατὰ τὸν λόγον, καὶ πάλιν ψευδῆ τὰ αὐτά· ὥστε τὸν ἐν ἑκάστῳ λόγον κανόνα εἶναι διακριτικὸν τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. Εἰδῶν δὲ ἀσωμάτων, καὶ ἀμερίστων, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων, ἐφίενται οἱ λόγοι· οἷον σωφροσύνης, καὶ δικαιοσύνης, καὶ φρονήσεως· ὧν ὅλου ἕκαστος ἑκάστου μετέχει, οὐ μειουμένου τῇ μεταλήψει. [Ἃ] διὰ τὸ κατὰ λόγον ὀρθὸν κρίνεσθαι οὐ μάχεται, ἀλλὰ συμφωνεῖ, ἐν πᾶσι τὰ αὐτὰ ὄντα. Τὰ δὲ ἄλογα πάθη, οἷον θυμὸς, καὶ ἐπιθυμία, καὶ τὰ τούτων εἴδη, κἂν τῷ εἴδει τὰ αὐτὰ ᾖ

bibas, quovis modo in colloquiis sermonem eo deducas, ut per eam occasionem te dicas *aquam bibere*. Et *cum te ad laborem*, ad continentiam, ad tolerantiam *vis exercere*; solus id facito, *nec spectari velis* ab aliis, aut conspici a multis, ut ii quibus multi potentiores vim faciunt, qui, ut opem populi implorent, statuis conscensis quiritantur, et multitudinem circa se congregant. Non igitur per ostentationem, sed solus exercere; ut vehementer sitiens, frigidam haustam exspuas, ac ne post quidem cuiquam dicas quid feceris. Nam qui ostentationis ergo ista facit, is primum totus foras prominet, et a se ipso ad externa est effusus : deinde bona frugalitatis et tolerantiæ perdit, ad opinionem popularem illas referendo. Exercitationes vero istæ et tolerantiæ prosunt, quod consuefaciunt corpus et brutas ejus adfectiones, ne contra rationem insurgant, sed et duriora imperanti pareant. Itaque, tempore postulante, vir tolerans, ob laborum adsuetudinem, non cogitur amittere libertatem.

[IN XLVIII.] Posteaquam tandem ad finem admonitionum pervenit, conclusionem additurus, non esse in iis, quæ dicta sunt, consistendum, sed vita et moribus doctrinam exprimendam; neque dicere solum atque audire, finem statuendum, sed actionem et opus : primum nobis tres habitus tradit, quibus omnes homines comprehenduntur. Nam hominum alii sunt *indocti;* alii, his oppositi, *Philosophi;* alii, qui et ab indoctis recedunt, et ad philosophos accedunt, quos *Proficientes* vocat, et quibus superiora etiam dicta fuerunt. Et hos quidem in his sermonibus rursus divisit in eos, *qui incipiunt erudiri*, et in eos *qui jam nonnihil profecerunt*.

Unumquemque igitur horum trium habituum describit, cum dicit : *Indocti statum et notam esse*, numquam bonum aut malum a semet ipso exspectare, sed a rebus externis. Nam cum in nostra potestate sit ratio, in qua essentia hominis inest, et brutæ adfectiones, quas cum brutis animantibus communes habemus; ratio quidem, ut proverbio dicitur, communis omnibus est Mercurius. Etenim licet numero differant rationes, quæ in diversis hominibus sunt; at specie sunt unum quiddam; ita quidem, ut et ad eadem bona contendant, eademque mala declinent, eademque vera ducant omnes homines ratione duce, ac vicissim falsa eadem. Itaque ratio, quæ in quolibet homine inest, instrumentum est et regula dijudicandi boni et mali, veri et falsi. Adpetens autem est ratio, quæ in unoquoque est, formarum incorporearum et indivisibilium, et semper eodem modo consimiliterque sese habentium; veluti modestiæ, justitiæ, sapientiæ : quarum totarum ratio cujusque hominis est particeps, ita ut illæ non imminuantur ista participatione. Eædemque, quatenus recta ratione judicantur, non pugnant, sed in omnibus consentiunt, et in omnibus sunt eædem. Bruti autem adfectus, velut ira, cupiditas, eorumque species, quamquam specie iidem et in me sint

ἐν ἐμοὶ καὶ σοὶ, ἀλλ' ἄλλων μὲν ὁ ἐν ἐμοὶ θυμὸς ὀρέγεται, ἄλλων δὲ ὁ ἐν σοί· καὶ αἱ ἐπιθυμίαι διάφοροι, καὶ τὰ τούτων ὀρεκτά· καὶ αἱ ἐκκλίσεις διάφοροι, καὶ ἴδιαι ἑκάστων. Κἂν τῶν αὐτῶν δὲ τῷ ἀριθμῷ ὀρέγονται, ἀλλὰ σωματικὰ ταῦτα, καὶ ἄτομα, καὶ μεριστὰ, καὶ τῇ τοῦ ἑνὸς μεταλήψει μειούμενα· οἷον χρήματα, ἢ σώματα, ἢ χωρία. Κἂν τιμὴν εἴπῃς, ἢ ἀρχὴν, ἢ δυναστείαν, διὰ τὸ ἄτομα εἶναι καὶ ταῦτα, οὐ δύναται ὅλων ἕκαστος μετέχειν· μειοῦται γὰρ τῇ μεταλήψει. Διὸ περὶ ταῦτα αἱ διάφοροι χρίσεις ἴδιαι ἑκάστων, καὶ αἱ μάχαι, καὶ αἱ στάσεις, καὶ οἱ πόλεμοι.

Ἰδιώτης οὖν ἐστιν, ὁ καταλιπὼν μὲν τὸν κοινὸν κανόνα, καὶ τὸ κοινὸν ἐφετὸν, εἰς κρίσιν δὲ ἰδίαν καὶ ὀρεκτὸν ἴδιόν τι ἄτομον, καὶ σωματικὸν, ἑαυτὸν περιγράψας· ἐν τοῖς ἐκτὸς δὲ τὰ τοιαῦτα. Ὅπου δὲ ὄρεξις τέταται καὶ ἔκκλισις, εἴτε κατὰ φύσιν, εἴτε παρὰ φύσιν, ἐκεῖ τὸ ἀγαθὸν δοκεῖ καὶ τὸ κακόν. Ἀγαθὸν γὰρ τὸ ὀρεκτὸν, κακὸν δὲ τὸ φευκτὸν νομίζεται. Ὁ δὲ φιλόσοφος, ἀποστὰς τῆς πρὸς τὰ ἐκτὸς καὶ τὰ ἀπὸ * * σεως, καὶ ἀλλότρια ἐκεῖνα τελέως ἡγούμενος, ἅτε κεκαθαρμένος ἀπὸ τῶν εἰδώλων ἤδη καὶ τῆς σκιᾶς τῶν ὄντων, εἰς ἑαυτὸν, καὶ τὸ ὄντως ὂν, καὶ τὰ κοινὰ εἴδη τοῦ λόγου τὰ ἐν αὐτῷ, ἐπιστρέφεται, καὶ ἐν ἑαυτῷ τὸ ἀγαθὸν εὑρίσκει. Κακὸν γὰρ ἐν αὐτῷ χώραν οὐκ ἔχει. Οὕτως οὖν τὰ κατὰ διάμετρον ἀλλήλων χαρακτηρίσας, ἐφεξῆς ἐπάγει τὰ τοῦ προκόπτοντος σημεῖα, πρὸς ὃν καὶ ὁ προῤῥηθεὶς πᾶς ἀπετείνετο λόγος· οὔτε γὰρ πρὸς τὸν φιλόσοφον· οὐ γὰρ παιδαγωγεῖσθαι καὶ διδάσκεσθαι, ἀλλὰ παιδαγωγεῖν ἤδη καὶ διδάσκειν ἐκεῖνος ἠξίωται. Ἀλλ' οὐδὲ φιλοσόφου ἴδιον, τὸ μηδένα ψέγειν, μηδένα ἐπαινεῖν· [καὶ γὰρ ψέγειν καὶ ἐπαινεῖν] κατὰ καιρὸν τῷ διδασκάλῳ καὶ διορθωτῇ πρέπει. Οὐ μέντοι οὐδὲ πρὸς ἰδιώτην ἁρμόζουσιν οἱ ῥηθέντες λόγοι, εἰ μὴ, ἀποταξάμενος τῷ ἰδιωτισμῷ, ἑαυτὸν ἐγχειρίσει τῷ παιδαγωγοῦντι πρὸς φιλοσοφίαν, καὶ τὴν ἀρχὴν τῆς προκοπῆς καταδέξεται.

Τῶν γοῦν συντόμως τὸ πρότερον ῥηθέντων τὰ νῦν λεγόμενα, καὶ ἐπ' αὐτῶν τῶν ὀνομάτων τὰ πλεῖστα, ὑπομιμνήσκοντά τε ἡμᾶς ἐκείνων, καὶ μνημονεύειν αὐτῶν διὰ τῆς συντομίας παρέχοντα. Τὸ δὲ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάττειν, εἴρηται διὰ τὸ ὑποπτεύειν ἑαυτοῦ τὴν μήπω πεπηγυῖαν ἕξιν, καὶ διὰ τὸ σπουδάζειν πικρότερον τὰ ἑαυτοῦ κινήματα κρίνειν· ὥσπερ τὰ τῶν ἐχθρῶν κρίνομεν, οὐδὲν διὰ συμπάθειαν ἐνδιδόντες, ὅπερ εἰώθαμεν οἱ πολλοὶ ἐφ' ἑαυτῶν τε πάσχειν, καὶ ἐπὶ τῶν φίλων. Μάσθλης δὲ, ὁ ἔκλυτός ἐστιν, τοῖς μεμαλαγμένοις δέρμασιν ὅμοιος ὤν.

[IN CAP. XLIX.] Διαστήσας τὰς τρεῖς ἕξεις, τὰς τοῖς ἀνθρώποις φυομένας, ἰδιώτου, καὶ φιλοσόφου, καὶ προκόπτοντος, καὶ τῶν πρὸς τὸν προκόπτοντα ῥηθέντων συντόμως ὑπομνήσας, τὸ συμπέρασμα λοιπὸν ἐπάγει διά τε τούτου καὶ τῶν ἐφεξῆς· ὅτι χρὴ τὰ ἔργα τὰ ὑπὸ τῶν λόγων παραδοθέντα ἐργάσασθαι. Τέλος γὰρ τῶν λόγων, τὰ ἔργα, ὧν ἕνεκα καὶ οἱ λόγοι ἐῤῥήθησαν.

et in te; at meus adfectus alia desiderat, alia tuus : et sunt cupiditates diversæ, earumque objecta; diversæ quoque declinationes, et propriæ cujusque. Quod si etiam eadem numero adpetant; sunt tamen illa corporea, et singularia, et divisibilia, denique talia, quæ alterius participatione minuantur; veluti pecuniæ, corpora, aut prædia. Et ut honorem dicas, aut magistratum, aut dominatum; eo quod et hæc singularia sunt, non potest quilibet ea tota possidere: minuuntur enim participatione. Quare diversa de his judicia sunt, et propria cujusque; pugnæ item, seditiones et bella.

Indoctus est igitur, qui relicta communi regula, et optabili communi, ipse sibi peculiare judicium, et optabile proprium et individuum et corporeum circumscripsit: quod genus in rebus externis est. Ubi autem adpetitio et declinatio versatur, sive secundum naturam ea sit, sive contra naturam; ibi bonum quisque ponit, et malum. Bonum enim habetur quod adpetitur, malum vero quod fugitur. *Philosophus* autem, relictis externarum rerum * * * cupiditatibus, easque prorsus alienas judicans; ut jam a simulacris repurgatus, et ab umbra, rerum ad semet ipsum, et ad id quod vere est, conversus, communes rationis formas, quæ in ipso insunt, amplectitur, et bonum in sese deprehendit. Malum enim in ipso locum non habet. Sic igitur iis, quæ e diametro pugnant, definitis; deinceps ea subjungit, quæ sunt ejus *qui proficit*, ad quem omnis disputatio superior pertinebat. Neque enim ad philosophum. Ejus enim ea dignitas est, ut jam non instituatur et erudiatur, sed ipse instituat atque erudiat. Ac ne philosophi quidem proprium est *vituperare neminem, laudare neminem* : sed id, pro tempore, magistrum et correctorem decet. Neque vero etiam inerudito conveniunt ii sermones; nisi, relicta inscitia, se instituendum philosophiæ tradiderit, et principium profectus faciendi admiserit.

Compendio nos igitur supra dictorum commonefaciunt ea quæ nunc dicuntur, iisdemque pleraque verbis; ut illa nobis in memoriam revocata, ob ipsam brevitatem numquam excidant. Esse autem cuique *se ipsum ut hostem observandum*, propterea dictum est, ut suspectum habeat suum *nondum confirmatum habitum*, et ut motus suos acerbius inquirere studeat; sicut in inimicorum delicta inquirimus, nihil illis ex amore concedentes : id quod plerique erga nos ipsos facere solemus, et erga amicos. Μάσθλης vero est homo *enervatus*, maceratis et humiditate emollitis loris similis.

[IN XLIX.] Tribus habitibus, qui exsistere in homine solent, distinctis, indocti, philosophi, et proficientis; et iis quæ proficienti dicta fuere, compendio repetitis : jam conclusionem addit, et hoc et iis quæ sequuntur capitibus : nempe, actiones eas, quæ verbis expositæ sint, esse suscipiendas. Finis enim orationis est actio, cujus etiam caussa usurpata fuit oratio. In his enim verissima est

Μάλιστα γὰρ ἐπὶ τῶν τοιούτων ἀληθὲς εἰπεῖν τὸ τοῦ ῥήτορος· ὡς ἅπας λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενόν. Χρὴ οὖν, φησὶν, ἐξ ἀρχῆς ἐννοεῖν, τί ἂν βούλοιτο ἄνθρωπος ὁ τὸ ἑαυτοῦ ἀγαθὸν ζητῶν· ὅτι βούλεται εὑρεῖν τὴν ἑαυτοῦ φύσιν τίς ἐστιν, καὶ τί ταύτῃ ποιεῖν ἢ πάσχειν προσήκει· οἷον, ὅτι ζωὴ λογικὴ, χρωμένη τῷ σώματι ὡς ὀργάνῳ· καὶ, χρὴ τῇ ταύτης τελειότητι τὴν ἑαυτοῦ ὄρεξιν καὶ ἔκκλισιν συναρμόσαι. Ζητῶν οὖν τοῦτο, ἀκούω ὅτι Χρύσιππος ἔγραψε περὶ τούτων. Λαβὼν τὸ βιβλίον, οὐκ ἴσχυσα ἐπ' ἐμαυτοῦ νοῆσαι τὰ γεγραμμένα· καὶ ζητῶν τὸν ἐξηγούμενον, ἐνόησα τί λέγει ὁ Χρύσιππος. Καὶ οὕτω σεμνὸν οὐδὲν, οὐδὲ τῷ ἐξηγουμένῳ, οὐδὲ τῷ νοήσαντι. Οὐδὲ γὰρ Χρύσιππος περὶ τούτου ἔγραψεν ἐπὶ τῷ ἐξηγήσασθαι καὶ νοῆσαι, ἀλλ' ἐπὶ τῷ χρήσασθαι τοῖς γεγραμμένοις. Ἐὰν οὖν χρήσωμαι τοῖς γεγραμμένοις τούτοις, τοῦ ἀγαθοῦ αὐτῶν μετέσχον. Ἐὰν δὲ θαυμάσω τὸν ἐξηγούμενον, ὅτι καλῶς ἐξηγεῖται, καὶ νοῆσαι δύνωμαι, καὶ αὐτὸς ἐξηγεῖσθαι, καὶ πάντα ἁπλῶς τὰ ἄλλα μοι παραγίνεται, πλὴν τοῦ χρήσασθαι τοῖς γεγραμμένοις· τί ἄλλο ἢ γραμματικὸς ἐξετελέσθην, ἀντὶ φιλοσόφου; μέρος γὰρ ἓν τῆς γραμματικῆς τὸ ἐξηγητικόν ἐστι. Διαφέρω δὲ τοῦ γραμματικοῦ, ὅτι Χρύσιππον ἀντὶ Ὁμήρου ἐξηγοῦμαι. Ἀλλὰ καὶ τὸ ψιλῶς ἀναγινώσκοντα τὰ Χρυσίππου, ἢ ἄλλῳ αἰτήσαντι παραναγινώσκοντα, μὴ χρῆσθαι αὐτοῖς, οὐκ ἔστιν ἀνεπίληπτον. Αἰσχύνοιτο γὰρ ἄν τις δικαίως, εἰ νοσῶν, καὶ βοηθήματα τῆς νόσου εὑρίσκων γεγραμμένα, ἀναγινώσκοι μὲν ἂν αὐτὰ σαφῶς τε καὶ διηρθρωμένως, καὶ ἄλλοις ἐξηγοῖτο, εἰ δέοι, μὴ χρῷτο δὲ τῆς ἑαυτοῦ νόσου τοῖς βοηθήμασιν.

[IN CAP. L.] Μία χελιδὼν, ὥς φησιν ἡ παροιμία, ἔαρ οὐ ποιεῖ. Οὕτω, καὶ μία χρῆσις, ἢ δύο τῶν ὑπὸ Χρυσίππου ῥηθέντων, ἕξιν οὐκ ἐμποιεῖ· ἀλλὰ δεῖ, φησὶ, τῷ προτεθέντι ὡς ἀγαθῷ καὶ ὠφελίμῳ ἐμμένειν βεβαίως· ὡς ἀσεβὲς νομίζειν τὸ παραβῆναι. Εἰ γὰρ τὰς ἐπὶ τοῖς τυχοῦσιν ὁμολογίας παραβαίνειν ἄτοπον καὶ ἀσεβὲς δοκεῖ, ὡς τῆς ἀληθείας καὶ τῆς πίστεως, δι' ὧν τὰ πάντα ὑφίσταται καὶ μένει, ὅσον ἐφ' ἡμῖν, ἀκυρουμένων· πῶς οὐχ ἀσεβὲς τὸ τὴν πρὸς φιλοσοφίαν καὶ εὐζωΐαν ὁμολογίαν παραβαίνειν; παραβαίνει δὲ ὁ συντιθέμενος μὲν τοῖς λεγομένοις καὶ γεγραμμένοις, ὡς καλῶς καὶ ἀληθῶς ἔχουσιν, εἶτα καὶ ἀρξάμενος τῆς χρήσεως αὐτῶν, μὴ ἐμμένων δὲ αὐτοῖς. Ἔμμενε οὖν, φησί· τί δὲ ἐρεῖ τις περὶ σοῦ, μὴ ἐπιστρέφου· τὰ πρότερον ῥηθέντα ἐνδεικνύμενος, ὅτι πολλοὶ ἔσονται οἱ λέγοντες, ὅτι, Ἄφνω σοφὸς ἡμῖν ἐπανελήλυθε· καὶ, Πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; καὶ τὰ τοιαῦτα. Οὐ γὰρ τῶν ἐφ' ἡμῖν ἐστι τὸ εἰπεῖν τι ἢ μὴ εἰπεῖν ἐκείνους. Ἔοικε δὲ ὁ τοιοῦτος ἀνὴρ τὸ παρὰ τῶν Πυθαγορείων συμβολικῶς εἰρημένον ἐνδείκνυσθαι· ἔλεγον δὲ ἐκεῖνοι· Εἰς τὸ ἱερὸν ἀπερχόμενος, μὴ ἐπιστρέφου· ἐνδεικνύμενοι, ὅτι τὸν εἰς θεὸν ὁρμηθέντα, οὐ χρὴ δίγνωμόν τι ἔχειν, καὶ τῶν ἀνθρωπίνων ἀντεχόμενον.

summi oratoris sententia : Omnem orationem, si facta de sint, vanum atque inane aliquid videri. Est igitur, inquit, initio considerandum, quidnam velit homo, suum bonum quærens? Vult autem *reperire, quæ sua natura sit*, et quid sibi sit faciendum aut patiendum : scilicet, hominem esse animam ratione præditam, corpore utentem ut instrumento; ac, debere illius animæ perfectioni suam adpetitionem et declinationem adcommodare. Cum igitur hoc quæro, audio *Chrysippum de his scripsisse*. Librum in manus sumtum per me intelligere non potui. *Quæsito interprete*, intellexi quid dicat Chrysippus. Necdum quidquam præclarum est vel interpretis factum vel auditoris. Neque enim Chrysippus ea de re scripsit, ut esset qui interpretaretur, quique intelligeret; sed ut in vita scripta illa sequeremur. Si ergo scriptis illis usus fuero; tunc boni eorum particeps factus sum. Sin admiror interpretem ob egregiam interpretationem, si intelligere, atque ipse etiam interpretari possum; denique si cætera omnia fuero consecutus, eo excepto quod scriptis non utor : quid aliud nisi *grammaticus sum factus, pro philosopho?* Est enim grammaticæ pars, scriptorum enarratio. Illud unum inter me et grammaticum interest, quod ego pro Homero Chrysippum enarro. Atqui simpliciter legentem Chrysippum, aut alteri petenti enarrantem, non parere præceptis illius, reprehendendum sane est. Ægrotans enim, et remedia morbi scripta inveniens, merito profecto erubescat, si ea perspicue distincteque legat, atque aliis etiam, si ita res fert, declaret, ipse autem morbi sui remediis non utatur.

[IN L.] Una hirundo, ut proverbio dicitur, non facit ver. Ita, si semel atque iterum Chrysippi præceptis parueris, habitum non confirmabis. Sed *est*, inquit, *in eo quod propositum fuerit* tamquam bonum et utile, *constanter permanendum : et religioni habendum, id violare*. Nam si vilium rerum pactionibus non stare, indecorum et nefas habetur; quippe quo veritas et fides, quibus omnia transiguntur rataque permanent, quantum quidem in nobis est, abrogatur : annon multo magis erit impium, pacta et conventa, quæ cum philosophia et honesta vita inita sunt, violare? *Violat* autem ea, qui, cum dictis et scriptis adsentiatur, ut honestis et veris, iisque uti cœperit, non tamen in iis perseveret. *Persevera* igitur, inquit : *quid vero alii de te loquantur, curare noli*. Quibus verbis innuit id, quod supra dictum est, fore multos qui dicant, subito te sapientem rediisse; quique rogent, Unde istud supercilium? et id genus alia. Non enim, quid illi dicant, aut non dicant, nostri est arbitrii. Videtur autem adludere ad id, quod Pythagorei per ambages dicunt, Si ædem sis ingressus, non debere te converti. Quo significant, qui ad Deum se contulerit, non esse debere ancipiti animo, neque res humanas curare.

[**IN CAP. LI.**] Καὶ τοῦτο προσῆκον ἦν ἀκοῦσαι τὸν τυχόντα τέως τῶν παραινέσεων, τὸ μὴ μέλλειν λοιπὸν, μηδὲ ἀναβάλλεσθαι. Ἀεὶ γὰρ

— — ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.

Ἀργίας πρόφασις, ἡ ἀναβολή. Εἰς ποῖον οὖν ἔτι χρόνον, φησὶν, ἀναβάλλῃ τὸ ἀξιοῦν σεαυτὸν τῆς καθ' ἕκαστον τῶν εἰρημένων χρήσεως; ταῦτα γάρ ἐστι τὰ βέλτιστα, ὡς τελειότατα, καὶ σκοπὸς ὄντως καὶ τέλος τῶν λόγων· καὶ τοῦ ἐν μηδενὶ παραβαίνειν τὸν ὀρθὸν λόγον, ἀλλὰ κατ' αὐτὸν πάντα ἐνεργεῖν, καὶ ὀρεγόμενον, καὶ ἐκκλίνοντα; Καὶ ἄλλος μὲν ἂν εἶπεν· ** μένω ἀκοῦσαι τῶν τε λογικῶν καὶ τῶν ἠθικῶν θεωρημάτων. Σὺ δὲ ἤδη πως προκεκοφὼς περὶ φιλοσοφίαν, προειληφὼς τὰ θεωρήματα, οἷς πρότερον χρὴ συνθέσθαι ὡς καλῶς εἰρημένοις, καὶ τότε ἐργάσασθαι αὐτὰ, συνέθου αὐτοῖς· ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθήσῃ τὴν ἐπανόρθωσιν τὴν ἑαυτοῦ; Ἄλλοις ἡ ἡλικία ἐστὶ νεάζουσα· σὺ δὲ οὐκ ἔτι μειράκιον εἶ, ἀλλὰ ἀνὴρ ἤδη τῇ γνώμῃ τέλειος, ὥστε οὐδὲ ἔξωρος γέρων. Ἐὰν τοίνυν ῥᾳθυμῇς, ἢ διὰ τῆς ἀμελείας προθεσμίας ἐκ προθεσμιῶν ποιῇ, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃς, μεθ' ἃς προσέξεις ἑαυτῷ, ἐλπίδα μὲν κενὴν ἐν σεαυτῷ τρέφεις, τὸ σήμερον καὶ αὔριον ἐννοῶν· λήσεις δὲ σεαυτὸν, οὐ προκόψας, ἀλλ' ὑποκύψας τῷ κατ' ὀλίγον συνεθισμῷ τῆς ῥᾳθυμίας, καὶ ἰδιώτης διατελῶν, καὶ ζῶν καὶ ἀποθνήσκων. Ὥσπερ γὰρ ἐκεῖνα τούτων ἄρχει, καὶ μέγα ὄφελος ἡ τῆς φύσεως προπαρασκευὴ, ἣν ἐκεῖθεν ἔχομεν· οὕτω καὶ τὰ ἐνταῦθα τῶν ἐκεῖ ἀρχὴ καὶ προευτρεπισμός. Μία γὰρ ἡ ὅλη ζωὴ, καὶ εἷς βίος, τῇδε κἀκεῖσε μεταβαλλόμενος.

Ἤδη οὖν ἀξίωσον, φησὶν, ἑαυτὸν βιοῦν ὡς τέλειον· οὐχ ὡς τέλος ἀπειληφότα· ἐκεῖνος γὰρ οὐ δεῖται τούτων τῶν λόγων· ἀλλ' ὡς κατὰ τὸ προκόπτειν τέλειον, τῷ ἀεὶ προκόπτειν, καὶ μηδαμοῦ διακόπτειν τὴν προκοπήν. Ἀλλὰ πᾶν τὸ φαινόμενόν σοι καλῶς ἔχειν, νόμον ἡγοῦ, τὴν ἐργασίαν αὐτοῦ προστάττοντα. Πᾶσι δὲ τοῖς προσπίπτουσιν ἔξεστι χρῆσθαι καλῶς, καὶ τοῖς ἐναντίοις, ἐάν [γε] κατὰ τὸν ὀρθὸν λόγον. Κἂν ἐπίπονον [μὲν] οὖν τι κἂν ἡδὺ προσαχθῇ, κἂν ἔνδοξον, κἂν ἄδοξον, ὁράττου τοῦ προσαγομένου, κἂν μικρὸν ᾖ, μὴ καταφρονῶν αὐτοῦ, κἂν μέγα, μὴ ἀποδειλιῶν· μηδὲ συγχώρει παρατρέχειν αὐτῷ, ἀλλ' ἐφ' ἑκάστου νόμιζε τὸν περὶ τῆς ἀρετῆς ἀγῶνα ἤδη προκεῖσθαι, ὥστε ἀνάγκην εἶναι, ἢ στεφανοῦσθαι ἢ ἀποκηρύττεσθαι· οὐ γάρ ἐστι λοιπὸν, ἐνεστηκότος τοῦ ἀγῶνος. Οὐ χρὴ δὲ παρορᾷν οὐδεμίαν ἡμέραν, οὐδὲ ἓν πρᾶγμα, νομίζοντα, μηδὲν ἐκ τῆς τούτων καταφρονήσεως βλάπτεσθαι.

Παρὰ μίαν γὰρ ἡμέραν, καὶ ἓν πρᾶγμα, ἡ σὴ προκοπὴ καὶ σώζεται, φησὶ, καὶ ἀπόλλυται. Πῶς τοῦτο; ἢ ὅτι μίαν ἡμέραν καὶ ἐφ' ἑνὶ πράγματι ῥᾳθυμήσας τις, ἀργότερος καὶ ῥᾳθυμότερος γίνεται, ὥστε ἄλλου προσπίπτοντος, ἀτονώτερον μᾶλλον ὄντα ἢ πρό-

[**IN LI.**] **Illud quoque decebat audire eum, qui hactenus præcepta accepit, non esse cunctandum et differendum diutius. Recte enim Hesiodus:**

Differ opus, nunquam non conflictabere damnis.

Ignaviæ prætextus mora est. ***In quod igitur,*** **inquit,** ***tempus prorogas, quominus dignum ipse te judices,*** **qui singulis iis quæ dicta sunt utaris, (hoc est enim** ***optimum*** **et perfectissimum, et finis ac meta præceptorum,)** ***et nusquam a recta ratione recedas,*** **sed, ut ea jubet, administres omnia, tam adpetendo, quam declinando? Ac alius quidem dixerit: Exspecto, dum artis disserendi et doctrinæ moralis præcepta audiero. Tu vero, qui jam nonnullos in doctrina morum progressus habeas, præceptaque perceperis, quibus primum adsentiendum est, ut veris et bonis, ac tum parendum est; tu, inquam, eis adsensus es: quem igitur adhuc magistrum exspectas, in cujus adventum correctionem tui ipsius differas? Alii sunt adolescentuli:** ***tu vero non amplius es adolescentulus, sed vir*** **perfecta prudentia, atque adeo nec decrepitus senex. Quod si** ***cessas,*** **aut per incuriam aliud atque aliud tempus,** ***aliam atque aliam diem tibi præfinis, qua te ipsum sis curaturus;*** **spe inani lactaris, diem hodiernum et crastinum cogitando: sed** ***imprudens*** **paulatim** ***regrediere magis, quam progredieris,*** **adsuetudine socordiæ,** ***et rudis atque indoctus permanebis et vivens et moriens.*** **Sicut enim ea, quæ in superiori animorum nostrorum sede gerebantur, sunt initium eorum quæ hic geruntur, et magnum adjumentum est præparatio naturæ, quam inde huc attulimus: sic et, quæ hic geruntur, sunt initium et præparatio eorum, quæ in futura vita sequentur. Una enim et continua est vita, quæ et inde huc, et hinc istuc transfertur.**

Jam igitur, **inquit,** ***vivendum tibi esse statue tamquam perfecto:*** **non quod perfectionem sis consecutus; (talis enim præcepta hujusmodi non desiderat;) sed quasi ratione progressuum perfectus, qui numquam progredi desistas, numquam cesses aut remollescas. Sed quidquid tibi rectum videbitur, id legem putato, quæ idem exsequi jubeat. Omnibus autem iis quæ inciderint, recte uti licebit, atque etiam rebus inter sese contrariis, si eas recta ratione moderere.** ***Sive*** **igitur** ***res laboriosæ, sive suaves objiciantur, sive gloria, sive ignominia;*** **cape id quod offertur: sive parvum illud fuerit, non contemne; sive magnum, non reformida: neque illud præterfluere sine, sed in unoquolibet tibi** ***certamen*** **esse propositum statuito, in quo aut coronari sit necesse, aut repudiari; nec enim aliud est reliquum, instante certamine. Nec vero ullus dies est negligendus, nec ulla res, ex ejus contemtu nihil ad te damni rediturum existimando.**

Per unum enim diem, et unam rem, tua, **inquit,** ***progressio et conservatur, et perit.*** **Quomodo istud? nisi quod is, qui uno die et in una re cessarit, segnior fit atque remissior, ut alia re incidente minus habeat virium quam prius, et magis in ea succumbat quam in priori;**

τερον, ἡττᾶσθαι αὐτῷ μᾶλλον ἤπερ τῷ πρότερον· καὶ ἔτι μᾶλλον ἄλλου· καὶ οὕτω κατ' ὀλίγον αὐξανομένην τὴν ἀτονίαν, ἀπολλύναι τὴν προκοπὴν τελέως τοῦ ὀρθοῦ λόγου; σώζεται δὲ καὶ αὔξεται ἡ προκοπὴ κατὰ τὸν ἐναντίον τρόπον. Ἀπὸ γὰρ τῆς μιᾶς ἡμέρας καὶ τοῦ ἑνὸς πράγματος ἐγγίνεταί τι σημεῖον, ὁπόση οὖν προκοπή· ὥστε τῷ ἑξῆς προσπίπτοντι ἀπροσκοπώτερον ὑπαντᾷν, καὶ ἔτι μᾶλλον τῷ ἑξῆς. Οὕτω δὲ, φησὶ, καὶ ὁ Σωκράτης ἀπετελέσθη ἀνδρῶν ἁπάντων σοφώτερος, ἐθίσας αὐτὸν ἐν μηδενὶ τὴν ὠφέλειαν τὴν αὑτοῦ ἀναβάλλεσθαι, ἀλλ' ἐπὶ παντὸς τοῦ προσπίπτοντος πείθεσθαι μηδενὶ ἄλλῳ ἢ τῷ λόγῳ, ὃς αὐτῷ λογιζομένῳ βέλτιστος καταφαίνοιτο. Σὺ δὲ, εἰ μήπω εἶ Σωκράτης, ἀλλ' οὖν, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὀφείλεις βιοῦν. Ὁ δὲ πρὸς παράδειγμά τι βλέπων, καὶ ἐξομοιωθῆναι βουλόμενος ἐκείνῳ, οὐκ ἐνδίδωσιν, ἀεὶ πρὸς τὴν μίμησιν αὐτοῦ παραβαλλόμενος.

[IN CAP. LII.] Ἐπειδὴ τῷ φιλοσοφοῦντι καὶ βουλομένῳ τὴν ἑαυτοῦ κατὰ φύσιν τελειότητα ἀπολαβεῖν, τήν τε ζωτικὴν, καὶ τὴν γνωστικὴν, ἀναγκαῖόν ἐστι ἐπιστημονικῶς γινώσκειν, [τί μὲν τὸ ἀγαθὸν,] τί δὲ τὸ ἀληθές· ἵνα μὴ, δοξαστικῶς αὐτοῖς προσβάλλων, καὶ ἀλόγως τοῖς λέγουσι πιστεύων ἄνευ μαθήσεως, ἅμα μὲν διαμαρτάνῃ, ἅμα δὲ ἄλλοτε ἐπ' ἄλλο μεταβαίνειν ἀναγκάζηται· ἡ δὲ ἐπιστημονικὴ γνῶσις δι' ἀποδείξεως γίνεται· τίς δέ ἐστιν ἡ ἀπόδειξις, (ὅτι ὁ συλλογισμὸς, δι' ἐναργῶν προτάσεων τεχνικῶς συντιθεμένων συναγόμενος·) καὶ τίνες αἱ ἐναργεῖς προτάσεις, καὶ πόσοι τῆς συνθέσεως αὐτῶν τρόποι, τῆς λογικῆς ἐστι πραγματείας διδάξαι· ἐπειδὴ οὖν ταῦτα οὕτως ἔχει, τρεῖς εἰσιν ἐν φιλοσοφίᾳ τόποι ἀναγκαιότατοι· πρῶτος μὲν, ὁ τῆς χρήσεως τῶν θεωρημάτων, τὸ σωφρονεῖν ἐν ἔργῳ, τὸ μὴ ψεύδεσθαι· δεύτερος δὲ, ὁ τῆς ἀποδείξεως, ὁ μετὰ αἰτίας ἀποδεικνὺς, ὅτι δεῖ ταῦτα πράττειν· τρίτος δὲ, ὁ διὰ τῶν λογικῶν μεθόδων βεβαιωτικὸς, καὶ διαρθρωτικὸς τοῦ ταύτην ἀπόδειξιν εἶναι, καὶ μὴ ἠπατῆσθαι ἡμᾶς· καὶ διδάσκων, τί ἀπόδειξις, τί ἀκολουθία, τί μάχη· ὅτι ἀκολουθεῖ μὲν τὰ ὁλικώτερα τοῖς μερικωτέροις· εἰ γὰρ ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστι· μάχεται δὲ τὰ ἀντικείμενα, τὸ τὶς καὶ τὸ οὐδεὶς, καὶ τὸ πᾶς καὶ οὐ πᾶς· καὶ ἀδύνατον ἀλλήλοις συναληθεύειν ταῦτα, ἢ [συμ]ψεύδεσθαι. Δείκνυσι δὲ καὶ, ὁποῖος μέν ἐστιν ἀληθὴς συλλογισμὸς, ὁ ἐκ ποίων προτάσεων, καὶ κατὰ ποίαν σύνθεσιν· ποῖος δὲ ψευδής.

Καὶ δῆλον, ὅτι οὗτος μὲν ὁ τρίτος τόπος, ὁ τὴν λογικὴν διδάσκων μέθοδον, ἀναγκαῖός ἐστι διὰ τὸν δεύτερον, ἵνα ἐπιστημονικῶς γινώσκωμεν, τίνα τὰ ἀγαθὰ ἡμῶν ἐστι, καὶ ὅπως αὐτὰ χρὴ περιποιεῖσθαι· [ἵνα] δι' αὐτῶν αὐτὰ τῶν ἔργων περιποιώμεθα. Καὶ οὗτός ἐστιν ὁ ἀναγκαιότατος, καὶ τὸ τέλος ὅπου παύεσθαι δεῖ. Διὰ γὰρ τοῦτον, καὶ τούτου ἕνεκα, οἱ ἄλλοι παραλαμβάνονται. Ἡμεῖς δὲ τὸ ἀνάπαλιν ποιοῦμεν. Ἐν γὰρ τῷ τρίτῳ τόπῳ διατρίβομεν καὶ μάλιστα· καὶ ἐπ' ὀλίγον ἐν τῷ δευτέρῳ· τοῦ δὲ πρώτου ἀμελοῦμεν, δι' ὃν

rursusque magis, incidente alia, donec, aucta paulatim socordia, funditus perierit rectæ rationis progressio : quæ ratione contraria conservatur atque augetur. Nam ab uno die et una re exsistit unum punctum, (unus gradus;) et qualiscumque fit accessio, ut, quidquid postridie inciderit, eo minus offendaris, et minus etiam die tertio. *Sic* vero *et Socrates,* inquit, *omnium virorum sapientissimus evasit;* cum se consuefecisset, ne ulla in re sui correctionem procrastinaret, sed in casu quolibet alii nemini pareret, nisi et rationi quæ ipsi cogitanti optima videretur. *Tu vero si nondum es Socrates, at sic, ut qui Socrates esse velis, vivere debes.* Qui vero exemplum aliquod intuetur, et ad ejus similitudinem contendit, non remittit, quin semper in eo imitando elaboret.

[IN LII.] Philosophanti, ut qui perfectionem naturæ suæ convenientem, cum in vivendo, tum in cognoscendo, consequi cupiat, necesse est, quidnam sit bonum, quid verum, certa scientia comprehendere ; ne, si opinione tantum fretus, magistris absque ratione ac rebus inexploratis crediderit, simul et a scopo aberret, simul etiam alias ad aliud transire cogatur. Scientifica autem cognitio demonstratione comparatur. Quidnam vero sit *demonstratio,* (nempe ratiocinatio, quæ ex evidentibus propositionibus rite collocatis concludatur,) et quænam propositiones firmamenta rationum non desiderent, quotque modis inter sese componantur : id docere, artis disserendi munus est. Quæ cum ita sint, *tres sunt in philosophia loci* maxime necessarii. *Primus, in usu* positus *præceptorum :* verbi caussa, tenendam modestiam in factis; veritatem in dictis esse colendam. *Alter, demonstrationis :* qui rationibus convincit, hæc esse facienda. *Tertius, qui* logicæ artis præceptis *confirmat, dilucideque declarat, esse eam demonstrationem,* et non deceptos esse nos : ac docet, *quid sit demonstratio, quid consecutio, quid pugna :* consequentia esse angustioribus ea, quæ latius pateant : ut, si homo sit, esse animal : contraria inter sese pugnare; verbi gratia, aliquis, nemo; omnis, non omnis : neque posse fieri ut hæc simul vera sint aut falsa. Ostendit etiam, quænam vera sit ratiocinatio, e quibus constans propositionibus, qua compositione; quænam rursus falsa.

Perspicuum est autem hunc quidem *tertium locum,* qui logica præcepta docet, necessarium esse propter secundum, ut certa scientia comprehendamus, quæ nostra bona sint, et quomodo paranda; quo factis nostris ea parare possimus. Et hic quidem *maxime* est *necessarius,* et omnis institutionis finis, *in quo quiescere oportet.* Ob hunc enim, et hujus gratia, cæteri adhibentur. *Nos vero contra facimus. Nam in tertio loco immoramur* potissimum; alterum leviter attingimus : *primum vero,* cui serviunt cæteri, *negligimus. Proinde mentimur quidem;*

οἱ ἄλλοι. Τοιγαροῦν ψευδόμεθα μέν· ὅπως δὲ ἀποδείκνυται, ὅτι οὐ δεῖ ψεύδεσθαι, καὶ διὰ τίνων λογικῶν μεθόδων, πρόχειρον ἔχομεν. Καίτοι ἔδει, μαθόντας πῶς χρὴ ἀποδεῖξαι ὅτι οὐ χρὴ ψεύδεσθαι, ἐφεξῆς ἀποδεικτικῶς καὶ ἐπιστημονικῶς γνῶναι, ὅτι οὐ χρὴ ψεύδεσθαι· ἐγνωκότας δὲ αὐτὸ, διατελεῖν τὸ λοιπὸν ἐργαζομένους, ὡς τούτου ἕνεκα καὶ τὰ πρότερον παραδοθέντα. Πάνυ οὖν καὶ εὐμεθόδως καὶ ἐντρεπτικῶς ἡμᾶς καὶ διὰ τούτου τοῦ κεφαλαίου ἐπὶ τὴν ἐργασίαν τῶν προτρεπτικῶν λόγων ἐχειραγώγησεν.

[IN. CAP. LIII.] Ἐπειδὴ τοὺς κατὰ διέξοδον ἡμῖν παραδοθέντας παιδευτικοὺς λόγους συνηρημένως τινὲς τῶν παλαιοτέρων παραδεδώκασι, συμβουλεύει πρόχειρα ἔχειν ἐκεῖνα πανταχοῦ· ὡς ἅμα μὲν εὐμνημόνευτα, ἅμα δὲ τῇ μαρτυρίᾳ τῶν κλεινῶν ἀνδρῶν, καὶ τῶν εὐστόχως ἀποφανθέντων, βεβαιοῦντα ἡμῶν τὴν ἐπὶ τοῖς παρῃνημένοις πεποίθησιν. Τὸ μὲν οὖν πρῶτον, Κλεάνθους ἐστὶ τοῦ Στωϊκοῦ, τοῦ ἀπὸ τῆς Ἄσσου· ὃς μαθητὴς μὲν ἐγένετο Ζήνωνος, διδάσκαλος δὲ Χρυσίππου. Τούτου καὶ ἀνδριάντα θαυμαστὸν ἐν αὐτῇ τῇ Ἄσσῳ ἐθεασάμην, δόγματι τῆς Ῥωμαίων συγκλήτου πρὸς τιμὴν τοῦ ἀνδρὸς ἀνατεθέντα. Εὔχεται δὲ οὗτος ἐν τοῖς ἰαμβείοις τούτοις, ἄγεσθαι ὑπὸ θεοῦ, καὶ τῆς ἀπ' αὐτοῦ διὰ πάντων ἐν τάξει φοιτώσης αἰτίας ποιητικῆς τε καὶ κινητικῆς· ἣν Πεπρωμένην καὶ Εἱμαρμένην ἐκάλει· ἐπαγγελλόμενος, ἄοκνος καὶ ἑκὼν ἕψεσθαι. Ἂν γὰρ ἀντιτείνω, φησὶ, μόνον ὅτι κακὸς ἔσομαι, καὶ οἰμώζων καὶ στένων ἀκολουθήσω. Ἀνάγκη γὰρ ἀκολουθεῖν τὸ ἀσθενέστερον τῷ ἰσχυροτέρῳ, καὶ τὸ αἰτιατὸν τῷ αἰτίῳ. Τοῦτο δὲ καὶ αὐτὸς ὁ Ἐπίκτητος ἐνεδείξατο διὰ τοῦ κεφαλαίου, ἐν ᾧ ἔλεγε, Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται, καὶ εὐροήσεις. Συνεκτικὸν δέ ἐστι τοῦτο πάσης εὐαγωγίας, τὸ συντάττειν ἑαυτὸν τοῖς ὅλοις, καὶ θέλειν ὅλον εἶναι μετ' ἐκείνων, ἀλλὰ μὴ ἑαυτὸν ἀπὸ τοῦ ὅλου ἀποσπῶντα, καὶ εἰς μικρὸν καὶ οὐδὲν περιγράφοντα, ἀντιτείνειν τοῖς ὅλοις, καὶ βούλεσθαι καὶ τὰ ὅλα τῷ οὕτως εὐτελεῖ μέρει ἀκολουθεῖν.

Καὶ τὸ δεύτερον δὲ, ἔστι μὲν Εὐριπίδου τοῦ τραγικοῦ· τὴν δὲ αὐτὴν ἔννοιαν ἔχει καὶ τοῦτο. Ἀνάγκη γάρ ἐστιν ἡ ἐπὶ τὸ ἄνω καὶ τὴν θείαν αἰτίαν πάντα ἄγουσα, ἑκόντα τε καὶ ἄκοντα. Καὶ ὁ ταύτῃ συμφωνῶν, καὶ ἀκολουθῶν, καὶ μὴ ἀντιτείνων, ἀλλ' ἀόκνως ἑπόμενος, σοφὸς ὄντως ἐστί· τήν τε τῶν ὄντων φύσιν, καὶ τὴν τῶν ὅλων καὶ τῶν μερῶν διαφορὰν καλῶς ἐπιστάμενος, καὶ τίνα τι * * τῆς θείας δυνάμεως κατὰ τὸ προσῆκον τιμῶν.

Ἀλλὰ καὶ τὸ τρίτον, τὸ, « Ὦ Κρίτων, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ γενέσθω, » ἔστι μὲν οὖν ἐκ τοῦ Πλατωνικοῦ Κρίτωνος, Σωκράτης δὲ ὁ λέγων· καὶ αὐτὸ δὲ τῆς αὐτῆς ἐννοίας ἔχεται συντομώτερον. Ὁ γὰρ τοῦτο μὴ λέγων μόνον, ἀλλὰ καὶ ζῶν οὕτως, τὸν ἀπὸ τῶν ὅλων ἑαυτοῦ μερισμὸν καὶ τὴν ἀπὸ τοῦ θεοῦ φυγὴν ἰᾶται, καὶ τῶν χειρόνων πάντων ἀφίσταται, τοῖς ὅλοις

quomodo autem demonstretur, non esse mentiendum, et quibus dialecticis viis, *id in promtu habemus*. Enimvero decebat, cum didicissemus, quomodo esset demonstrandum Mentiri non oportere, deinde demonstratione certaque scientia cognoscere, non esse mentiendum: idque ubi cognossemus, in agendo perpetuo occupari, ut cujus rei gratia superiora quoque tradita essent. Optimo igitur ordine, et acerrime, in hoc etiam capite nos ad præstanda ea, quæ præcipiuntur, veluti manu duxit.

[IN LIII.] Quia præceptiones ad instituendum hominem pertinentes, quas fuse adhuc exposuit, veterum nonnulli compendiose tradiderunt; illorum dicta in promtu semper habenda esse monet, ut et memoratu facilia, et quæ ob testimonium præstantium virorum, ipsorumque dictorum concinnitatem, fiduciam nostram de hisce admonitionibus confirment. Primum est Cleanthis dictum, Stoici philosophi, Asso oriundi, qui fuit Zenonis discipulus, Chrysippi magister: cujus etiam statuam admirabilem in ipsa urbe Asso vidi, in viri ejus honorem ex Romani senatus decreto dedicatam. Precatur autem in iis iambis, ut *a Deo ducatur*, et, quæ ab eo per omnia ordine transit, caussa effectrice et motrice, quam *Fatum* adpellabat: pollicens *se strenue* atque ultro *secuturum*. *Nam si repugnaro*, inquit, *nil aliud consequens erit, nisi ut ego pravus*, plorans et gemens *sim secuturus*. Necesse est enim, imbecilliora sequi ea quæ fortiora sunt, et, quæ orta sunt, sequi caussas, e quibus pendent. Quod ipse etiam Epictetus innuit in eo capite, quo ait: « Noli velle, ut ea quæ fiunt, ita fiant ut tu vis; sed ita velis ea fieri quæ fiunt, ut fiunt: sic facillime agitabis. » Hoc enim disciplinam morum omnem continet, conjungere se cum universo, et totum cum eo esse velle: non autem ab universo sese avellentem, et in augustias, ac potius ad nihilum redactum, universo repugnare, et velle ut universum partem tam vilem sequatur.

Alterum dictum Euripidis est Tragici, camdemque sententiam continet. *Necessitas* est enim, quæ ad superna divinamque caussam reducat omnia, tam invita quam voluntaria. Cui qui adsentitur, et comitatur, nec renititur, sed strenue sequitur, vere *sapiens* est: rerumque naturam, et partium ac totius discrimen satis intelligit, et honorem habet eum qui decet divinæ potentiæ.

Sed et tertium illud, *O Crito, si diis ita visum fuerit, ita fiat;* est quidem ex Platonis Critone, Socrates autem illud effatur: cæterum eamdem sententiam majore compendio complectitur. Qui enim non tantum ita loquitur, sed ita etiam vivit; is separationi sui ab universo, et fugæ a Deo medetur, et a deterioribus omnibus recedit,

ἑαυτὸν ἐνδιδοὺς καὶ τῷ θεῷ. Καί μοι δοκεῖ διὰ τούτων ὁ ἀνὴρ οὗτος τῶν μαρτύρων ἐπὶ τέλει προστεθέντων ἐνδείκνυσθαι, ὅτι πᾶσα ἡ τῆς ἀνθρωπίνης ψυχῆς τελειότης εἰς τὴν πρὸς θεὸν ἐπιστροφὴν, καὶ τὴν πρὸς αὐτὸν σύνταξιν ἀποκορυφοῦται.

Τὸ δὲ ἐπὶ τέλει προστεθὲν, τὸ, « Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλιτος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὔ, » ἔστι μὲν ἀπὸ τῆς Πλατωνικῆς τοῦ Σωκράτους ἀπολογίας, περὶ Ἀνύτου καὶ Μελίτου, τῶν Σωκράτους κατηγόρων, εἰρημένον· τέλος δὲ ἀρχῇ συνάπτει, ὑπομιμνῆσκον ἡμᾶς τῶν ἐν ἀρχῇ ῥηθέντων, ὅτι ὁ τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἐν τοῖς ἐφ' ἡμῖν τιθέμενος, καὶ μὴ ἐν τοῖς ἐκτὸς, οὔτε ἀναγκασθήσεται ὑπό τινος, οὔτε βλαβήσεταί ποτε.

universo et Deo mancipatus. Ac videtur mihi hic vir per hosce testes in fine citatos innuere, omnem humani animi perfectionem conversione ad Deum, ejusque conjunctione absolvi et consummari.

Quod autem extremum adjectum est, *Me vero Anytus et Melitus occidere sane possunt, lædere autem non possunt:* sumtum illud est ex Apologia Platonica Socratis, et in accusatores Socratis Anytum et Melitum dictum: finem autem principio connectit, dum initio dicta in memoriam revocat, eum qui bonum et malum in rebus in nostra potestate sitis collocet, non autem in rebus externis, neque coactum iri umquam, neque læsum iri ab ullo.

Ταῦτα εἶχον τοῖς τὰ Ἐπικτήτου μεταχειριζομένοις πρὸς σαφήνειαν τῶν εἰρημένων συμβαλέσθαι κατὰ δύναμιν· εὐχαριστῶν καὶ αὐτὸς τῇ προφάσει τῆς περὶ τοὺς τοιούτους λόγους διατριβῆς, ἐν προσήκοντι καιρῷ μοι γινομένῃ τυραννικῆς περιστάσεως. Εὐχὴν δὲ ἐπὶ τέλει τοῖς παροῦσιν οἰκείαν προσθεὶς, ἐπ' αὐτῇ καταπαύσω τὸν λόγον.

Ἱκετεύω σε, Δέσποτα, ὁ πατὴρ καὶ ἡγεμὼν τοῦ ἐν ἡμῖν λόγου, ὑπομνησθῆναι μὲν ἡμᾶς τῆς ἑαυτῶν εὐγενείας, ἧς ἠξιώθημεν παρά σου· συμπρᾶξαι δὲ ὡς αὐτοκινήτοις ἡμῖν, πρός τε κάθαρσιν τὴν ἀπὸ τοῦ σώματος καὶ τῶν ἀλόγων παθῶν, καὶ πρὸς τὸ ὑπερέχειν καὶ ἄρχειν αὐτῶν, καὶ ὡς ὀργάνοις κεχρῆσθαι κατὰ τὸν προσήκοντα τρόπον· συμπράττειν τε καὶ πρὸς διόρθωσιν ἀκριβῆ τοῦ ἐν ἡμῖν λόγου, καὶ ἕνωσιν αὐτοῦ πρὸς τὰ ὄντως ὄντα, διὰ τοῦ τῆς ἀληθείας φωτός. Καὶ τὸ τρίτον καὶ σωτήριον· ἱκετεύω, ἀφελεῖν τελέως τὴν ἀχλὺν τῶν ψυχικῶν ἡμῶν ὀμμάτων, Ὄφρ' εὖ γινώσκωμεν (κατὰ τὸν Ὅμηρον) ἠμὲν Θεὸν, ἠδὲ καὶ ἄνδρα.

Hæc habui, quæ Epicteti studiosis, ad dicta illius declaranda, pro mea virili conferrem: gaudens et ipse, datam mihi occasionem de hujusmodi præceptis commentandi, quæ quidem occasio peropportune in hoc tempus, quo tyrannide premimur, incidit. Consentaneo autem voto his adjecto, concludam hunc Commentarium.

Supplico tibi, Domine, pater et dux rationis nostræ, ut nostræ nobilitatis recordemur, qua tu nos ornasti; et ut nobis præsto sis, ut iis qui per sese moventur, quo et a corporis contagio, brutorumque adfectuum, repurgemur, eosque superemus et regamus, et, sicut decet, pro instrumentis iis utamur: deinde ut nobis adjumento sis ad accuratam rationis nostræ correctionem, et conjunctionem ejus cum iis, quæ vere sunt, per lucem veritatis. Et tertium, quo salus maxime continetur, supplex oro, ab oculis animorum nostrorum caliginem prorsus abstergas, ut (quod apud Homerum est) et Deum et hominem bene noscamus.

INDEX
NOMINUM ET RERUM.

(*Numeri indicant paginas editionis Heinsianæ Lugd. Bat. MDCXL, dextræ oræ nostrarum paginarum ascriptas.*)

A.

Accusare se ipsum. 276. 277
Acrothoitæ, natio ἄθεος.. 222. 223
Actionum omnium finis. 173
Admirationis uti fiamus participes. 139
Adversæ res tolerantem fortiorem reddunt. 91. *Adde* Mala.
Ægritudo uti profliganda? 157
Ægroti cultu divino sanati. 220
Æmulatio. 131. 132
Æquabilitas. 294
Æternitas, temporis expers. 242
Affectus bruti. 3. 4. 296. 316
Αἵρεσις, προαίρεσις. 14
Alexander Magnus cum Diogene. 123
Aliena : quæ non *In potestate nostra;* triplicia. 58. cur sic appellanda? 107. 118. relinquenda 137. *Adde* Externa.
Alii quid dicant, nil ad nos. 322
Ambitio, perturbationum extrema tunica. 106. 277
Amicus, alter ipse. 204. dimidium animæ, et altera corporis pars. 208. tot animos habet, totidemque corpora, quot amicos. 205
Amicorum omnia communia, proprium nihil. 204. 205
Amici, sunt thesaurus. 206
Amicitia. 149. 150. 198. vinculum omnium virtutum, sed e vita profligata. 208. plus quam fraternitas et cognatio. 207
Amicitiæ delectus. 201. 202. tractatio. 203. summus apex, et bona. 205. 207. vires. 206. vinculum, bona voluntas. 207
Amittere, et reddere, quorum illud ineruditorum; hoc eruditi. 107
Anaxagoras. 125
Anima humana; liberæ, sed ancipitis naturæ, et velut ἀμφιβίου, 180 sqq. immortalis. 257. principium per se mobile. 228. quomodo mobilis et immobilis. 230. *Animarum diversi ordines.* 179 sq. 229 sq.
Ansæ rerum quarumque duæ. 304
Antigonus rex, cum Zenone congressurus, angitur. 283
Anytus. 331.
Apollinis responsum memorabile. 258 sq.
Appetitio. 16 sq. 22 sq. 36. 48 sq. 99. 148
Arrianus, Epicteti enchiridii concinnator. 1
Ars, et natura. 177
Aruspices. *Vide* Vates.
Assuetudo laborum. 314. lenire potest. 161
Astrologorum conjecturæ, ex instrumentis. 25 sqq.
Athei. 222
Atheismi caussæ. 223. 237
Avaritia. 158. fugienda. 294
Avarorum infelicitas. 245
Auguria, nil ad bonum virum. 129
Axiomata. 292

B.

Beatitudo vera. 3
Beatus. *Vide* Fortunatus.
Bene faciendi facultas, expetenda principibus res. 283
Bonitas bonitatum. 235. 236. 242
Bonitatis divinæ excellentia. 96. abusus. 246
Boni mali-ve simus, in nobis situm esse. 97. 98
Boni, nunquam calamitosi. 243 seq.
Boni adeptio, omnium actionum finis. 173
Boni veri, et boni jucundi studium. 14
Bonum et malum. 317
Bonum, rerum omnium fons et principium. 9
Bonum majus, minus. 174
Bonum secundarium. 178 sq.
Bonum imaginarium. 184
Bonum, expetendum. 174. ob se ipsum. 291
Bonum animi corporis, externarum rerum. 305
Bonum in omnibus rebus. 304
Bonum animi, ubi situm? 48. 95. 99. 101
Bonum et malum, in nostra potestate. 16. 17. 31. 137. 215. 223. 243. 303
Bonorum triplex ordo. 96. 175 seq.

C.

Calamitosus, et infortunatus. 46
Calcei purpurei et interpuncti a Romanis prælati auratis. 298
Canis noster internus. 135
Casus et fortuna. 165. 224
Castigationis finis. 251
Castitas ante nuptias. 274
Cato Major. 57
Causarum ordo. 225
Causa caussarum. 236
Choragus scenæ, deus. 127. 128
Chrysippus. 320. 321. 329
Ciborum varietas. 269
Circulum orientium et mutantium nunquam cessare. 177.
Civitas, mater paterque civium. 208
Cives, fratres. 208 sq.
Clavi animi, voluptates. 188. et affectus bruti. 296
Cleanthes. 329
Coactum omne, a culpa immune. 169. 183
Cochleam obiter tollere. 77
Cogitationes, actiones philosophi. 74
Cogitationes fœdæ. 277
Cognatio, et alienum. 196
Communitas conviviorum, necessitudinis, latronum. 294
Confessio propriorum malorum. 278
Congemiscere potest bonus vir; non etiam dolore affici. 125
Congressuum officia. 282 sqq.

Conscientia contentum esse. 276
Conscientiæ cruciatus. 251
Consilium cognoscendum, priusquam de actione alterius judices. 307 sq.
Continentiæ et temperantiæ differitas. 103 sq.
Continentia voluptatis. 273. 289
Contraria, quæ? 163
Contrariis constant omnia. 304
Contumelia, non ab alienis rebus, sed nobis ipsis. 134
Conversio ad deum. 249 sqq. 322. 331
Conviciorum patientia. 105. 303
Convivator, deus. 122
Convivium hujus vitæ, uti administrandum? 122 sq.
Convivia. 266
Conviviorum communitas. 293
Corpus, principium esse non posse. 228. animi instrumentum. 120. non pars. 6. 85. 86. Corporis functionibus nimis immorari. 301 Corporis rerum usus. 268 sq. acquisitio, et possessio. 297 sq. Corporis resolutio in sua elementa nil habet mali. 177 sq.
Cothurnus. Post cothurnum clavam sumere; proverb. 139
Crates. 50. 64. 102. 112. 123. 270
Cruciatus, et mors. 64
Cruciatus conscientiæ. 251
Culpam in alios conferre, ineruditorum est. 69
Cultus divinus. 219 sqq.

D.

Damnum, et damnum qui dat, pari odio habentur. 216
Damnum quisque facit sibi; non aliis; nec alius. 303
Declinatio et adpetitio. 16 sq. 36. 48. 99. 148
Delectus voluntatis. 183. nostrum opus. 184
Depravatio. 96. 249
Deus deorum. 236. convivator. 122. 126. mali causa non est. 184. 185. 187. muneribus non corrumpitur. 246. omnipræsens. 242. omniscius. 276. rerum omnium principium. 175. simul et ubique præsto est semper, cum omnibus suis divinis copiis et virtutibus. 219. 220. temporis, vel initii, expers. 242. veritas. 275
Deus, unum, bonum, fons, principium, finis. 9
Dei nomen, et etymologia. 223. 236
Deum esse, et providere hominibus, demonstratur. 222 sqq.
Deo quæcunque attribuimus, seu nomina, seu res, nihil eorum dei dignitatem exæquat. 232. 235 sq.
Diogenes. 50. 102. 112. 123. 124. 273
Discentium officia erga doctores. 201
Disputationes, quales esse debeant? 263
Dissentienti a te cur non debeas irasci? 302
Dissimilitudo. 196
Dissolvi, non malum. 177
Divinatio. 254. 257. nil ad eruditum. 129
Divini, id est, parentum fratres. 199
Divinus, et Divinum, quid? 124
Divitiæ improbis in pœnam datæ. 245
Divitias aspernari, penes nos. 127
Divitibus corporalis sanitas infirmior quam pauperibus. 269
Docere, cujus munus. 310
Dolore vir bonus non afficitur. 125
Dolorum tolerantia. 64. 90
Domiciliorum luxus. 270
Dominæ, a quibus appellentur mulierculæ, et cur? 300
Dominus, quis? 120. et quarum rerum? 150. 157

E.

Elatio, ἔπαρσις. 71
Eloquentia, recitationes. 281. 320
Eloquentia non plus quam pecunia meliores reddit possessores. 306. 307.
Enchiridion, quid? et quis usus ejus? 2
Enchiridii præsentis dictio et oratio qualis? 3. id quibusnam scriptum? 4
Epicteti claudicatio, paupertas, domuncula. 102. vita. 272.
Epilepsia, officiis erga deum curata. 219
Epulæ. 269
Erubescere. 193
Eruditus, quis? 67. 69. *Adde* Philosophus, Bonus, Sapiens.
Eruditi in perversa rep. quæ conditio? 153
Evomere sermones nondum concoctos. 311
Euripides. 330
Exercitationis animi duo capita. 66
Exercitatio confirmat. 89. 91
Exercitatio laborum, continentiæ, tolerantiæ. 313 sq.
Exilii remedium. 135. sq
Exprobrationes. 275. 286
Externa, (quæ non *In potestate nostra. Vide* Aliena). 71. Externorum rectus usus. 75. 78 sq. criminatio. 120

F.

Facundiæ ostentatio. 281
Familiari rei studere; et bulbum tollere obiter. 77
Famulitium immodicum. 271
Fatalis cœli conversio. 18. 26
Fatum. 127. 329 sq.
Felicitas vera. 3. in qua re posita. 47
Festa divina. 220
Finis, quid? 173. actio. 315. 329. scopi adeptio. 188
Formarum, quæ in mundo sunt, discrimen. 233 sq.
Fortitudo, et tolerantia, uti differant? 104
Fortuna, et casus. 165. 224
Fortunatus, et calamitosus. 45 sq.
Fratres parentum, divini appellati. 199
Fratrum officia. 200
Fuga. *Vide* Appetitio.

G.

Gemere uti vir bonus possit? 125
Gloria externa, contemnenda. 311 sq.
Gloriæ cupiditas, extrema cæterorum vitiorum tunica. 106. 277. sq.
Gradatim proficiendum. 50. 54 sq. 60. 111
Grammaticus. 320
Gravibus in rebus nil, præter opinionem, grave. 134

H.

Habitus, affectio, σχέσις, relatio. 195
Hebetis ingenii signa. 301
Heraclitus. 123
Hippocrates, Apollodori fil. 311
Homo, est animus rationis particeps. 5. 101. in universo præcipuum quid. 239
Hominum tria genera. 315
Honestum, et turpe. 147
Honos, 145 sq.
Hospitalis deus. 210
Hospitibus officia debita. 210

I. J.

Jactantia propriæ virtutis. 274 sq. 286
Idiota. 315
Ignavia, a viro sapiente aliena. 39. 42. labefacit. 89
Ignominia. 145 sq.
Illustratio divina. 219. 221

Immobile, rerum præstantissimum. 231
Improbitatis medicina, pœna. 249
Indignari. 193
Ineruditus, quis? 67 sq. 315 sqq.
Infinitum. Progessio in infinitum absurda. 225
Infortunati uti fiamus? 45 sq.
Ingenii hebetis signa. 301
Ingrati, amentes. 149 sq.
Inimicus nullus bono viro. 37
Injurias non puniri, malis maximo malo foret; et deo indignum. 247
In potestate nostra quæ? 7 sq. 15 sqq. 30 sq. 125. 130. 146. vel secus. 32. 71. *Adde* Aliena, Externa. Cujusmodi utraque? 34. ut administranda? 35. 39. sq. 53. 117
Iniquitas. 149. 158
Interitus unius, ortus alterius. 94
Interitus corporis, non est malum. 100
Invictos esse, penes nos est. 130
Invidia. 131 sq.
Invitus nil facit sapiens. 37
Iracundia reprimenda. 276
Irrisionis caussæ, ratio, tractatio. 137 sqq.
Judicare caute debemus actiones alienas. 307 sq.
Justitia. 194
Justitiæ divinæ pars ultrix. 186
Jusjurandum. 266

L.

Lacedæmoniorum flagellatio. 64. 90
Lædi a se ipso, lædi animum, deterius quam, ab alio, quam corpus. 192. Lædi a nemine potest vir bonus. 331
Lætitia vera 157
Lavatum ire. 56. Lavari maturius. 307
Laudare se ipsum. 274 sq. 286.
Laudari velle. 313
Liberorum erga parentes officia, qualia sint? 198 sqq.
Liber, quis? 120
Libera homini voluntas. 137
Libera natura, mali caussa et principium. 183. 187
Libertas, cœna præstantior. 158
Libertas, delectum secum infert. 183
Libertas voluntatis, et naturæ, quantum bonum? 16. 23. 28. 34. 185. 187
Libertatis studium, quale, et quantum? 39. 49. una ad libertatem via. 133
Libidinum continentia. 273. 289
Loquendum paucis et quænam? 262
Ludi, et theatra, nil erudiunt. 280
Lunæ et solis defectus. 167
Luxuries. 269 sq.
Luxuriosi, mendicis egentiores. 245

M.

Magistratum esse nolle, penes nos. 127
Magistratum adipisci. 149
Magnanimitas, et supercilium. 138
Magnates adire. 282. 284
Mali nunquam fortunati, vel beati. 243 sq.
Malitiæ animi caussa et origo. 94 sqq.
Malum. *Conf.* Bonum.
Malum, et bonum, a nonnullis conficta principia. 159. 164
Malum accedit; natura non extat. 175
Malum, accidens esse, non essentiam. 171. 172. 175. In malo quis? 130
Malum, ut malum, nullus animus amplectitur. 97. 174 sq. 97. 175. 184
Mali natura et ortus. 162 sqq. Mali principium, an sit? 170 sq.
Mali caussa, animus, et natura libera. 183. 187. non deus. 184 sq.
Mali natura mirabilis; quæ est, et non est. 188
Mali quinque conficta conclavia. 166
Mala quæ dicuntur, sunt medicinæ dei multiformes, 92 sq. 245
Mala, boni caussa fieri. 186
Mansuetudo. 302
Mare, generationis symbolum. 76
Matronarum officia, 300
Medicina corporum et animorum duplex, 89 seqq. Medicina improbitatis, pœna. 249
Melitus. 331
Menœceus diis manibus se devovit pro patria. 60
Mensa absque sermonibus, præsepe. 267
Mercatores. 217
Mercurius communis. 316
Messalinus. 1
Militis officium. 211
Minima. A minimis incipienda est exercitatio. 55
Miracula, cum divino cultu conjuncta, 219 sq.
Mobile primum, 226 sqq.
Moderatio animi. 276 sqq.
Modestia boni viri. 38
Mœstitia. 265
Molestarum, et jucundarum rerum, perturbationes. 113
Molestia. *Adde* Dolor, Mala. Molestia, et suavitas, conjuncta. 14
Mora et dilatio in exsequendis præceptis. 323. 325
Morbos, et de iis pravas opiniones evitare. 48. Morbum vitare, non penes nos; sed ejus rectus usus. 127. Morbi corporis, non malum. 92. 94. 100
Morbi animi caussa et origo. 94 sqq.
Mors, et opinio de illa. 62 sqq. Mortis remedium. 135. 136
Mortis tui filii, et alieni, exemplum et usus. 160
Motus. *Vide* Mobile.
Multitudo unitatem præsupponit. 163
Mundi columnæ, et fenestræ duodecim, figmenta nonnullorum. 167
Munera, sacrificia piorum. 148. (*Primitiæ.*)
Mutari in aliud, nullum malum est. 177

N.

Natura, et ars. 177
Natura; quod secundum naturam. 189
Navigium, fati, sortis, providentiæ symbolum. 76 sq. Navis gubernator, deus. *ibid.*
Nautæ, quum adversus ventus. 216
Necessaria, bona, utcunque expetenda. 178 sq.
Necessariis acquiescendum. 268
Necessitas. (*Cf.* Fatum.) Necessitas duplex. 23. Necessitas cum delectu pugnat. 184. Necessitas peccandi, quæ ne a deo quidem vinci possit, quibus dicatur? 169
Negligentia. *Vide* Mora, Socordia.
Nicolaus Damascenus. 194
Nihil scire. 116. 311. Nihil scire velle videri. 141 sq.
Nocere. Nemo alii nocet, sed sibi, 302 sq.
Notiones communes. 159

O.

Oblivio, malorum omnium caussa. 42
Obscœna verba cavenda. 287
Oculos claudi, in attentione animi. 262
Officia. 194. Variorum officiorum ratio ex variis relationum generibus deducitur. 198 sqq.

Officia erga se ipsum. 254. 266
Omina, nil ad eruditum. 129
Opera nostra, quæ *In potestate nostra*, quod vide.
Opes parare. 149
Opinari, nostrum opus, seu in potestate nostra. 31
Opinio popularis. 272. 291
Opinio; quæ nostra est, et nostrum bonum. 72. 125. in qua sola bonum et malum nostrum. 146
Opinionis malum. 22 sq. 48. 62. 65 sq. 293. 303
Optimo per se, non ideo statim studendum. 294
Oratio absque factis, vana. 319
Ostentatio. 313. *Conf.* Gloria.
Otium. 272

P.

Pædagogus in nobis, quis? 70
Pædagogi boni. 186
Parentes, dii appellati. 199
Parentum fratres, divini appellati. 199
Parentum, apud Romanos in liberos potestas. 199
Patientia. 105. 302
Pauperibus sanitas corporis firmior quam divitibus. 269
Paupertas, an malum? 64. opinio de ea. 65
Paupertatem vitare, non penes nos, sed ejus rectus usus. 127
Paxamon. 269
Peccare. Uti peccemus? 40. 68
Peccatorum ortus. 14. Peccata, quæ? 57. *Conf.* Pœnitentia.
Pedis distortio, et opinatio perversa, comparata. 296
Penes nos, quænam? *Vide* In potestate nostra.
Perdere. *Vide* Amittere.
Peregrinorum cura, et officia in eos. 210
Perfectio, quid? 324. 331. Perfectionis proprium. 176. Perfectionis gradus omnes habere non possunt creaturæ. 237
Periculum; ignavum virum non admittit. 42
Periculorum præmeditatio. 59
Periodus boni et mali in animis. 252
Permissio mali. 184. *Adde* Malum.
Perseverantia in præceptorum executione. 321
Personæ suscipiendæ, vel supra, vel intra vires nostras. 294 sq. Personam scenæ hanc, aliamve, accipere et habere, non penes nos; sed eam belle repræsentare. 127
Phantasia quomodo utendum? 43. 73
Philosophia nil majus est datum. 139
Philosophiæ principium et finis. 138. loci communes tres. 326
Philosophus, quis? 309. 310. 315. 317. 318. *Adde* Eruditus, Sapiens, Bonus. Quem locum philosophus teneat in repub., 151 sq. cuinam debeas velle videri? 141
Pietas, et utilitas, conjuncta. 80
Pietatis studium. 217. Pietate nostra Deus non eget. 219.
Plato. 63. *Conf.* Socrates.
Plebeius. 286. *Conf.* Idiota, Ineruditus.
Poculi confracti exemplum, et applicatio. 160
Pœnarum infernalium finis. 251. *Conf.* Improbitas.
Pœnitentia. 249 sq. *Adde* Conversio.
Prædictiones, cum cultu divino conjunctæ. 220
Præmeditatio. 113
Præsepe. *Vide* Mensa.
Primitiæ cur deo dandæ? 219
Principatus et fastigia rerum multa habent nequaquam expetenda. 283. *Vide* Magnates.
Principium, fons, finis deus, unum, bonum. 9. Principium omnium rerum deus, 175. Principium primum demonstratur. 225. ejus dignitas. 232. 234. Principium principiorum. 236
Principia incorporea. 228
Principia rerum duo nonnulli statuunt, unum bonum, alterum malum. 162 sqq.
Principum officia. 212
Προαίρεσις. 13 sq.
Prodicus. 311
Proficiens, nondum philosophus. 309 sq.
Progredi semper, vera perfectio. 324
Propria, quæ *In potestate nostra*, quod vide. *Conf.* Aliena.
Proprietates multas ex unitate aliqua ortas oportet esse. 163
Prospera omnia significantur erudito et bono viro. 129
Protagoras. 311
Providentia dei. 237 sq. non humanorum curatorum similis, ut molestiis fatigetur. 240 sq.
Pudere. 193
Puer in nobis, quis? 70
Pulchritudo corporum et animi. 229
Purgatio perfecta, quæ? 250
Purum impuro mistum polluitur. 268
Pythagoreorum ὑποθῆκαι. 3. silentium. 261

Q.

Quid res sit, ignorans, rei caussam nosse nequit. 170
Quinqueforme malum. 166. 168

R.

Ratio, communis Mercurius. 316
Recitationes, eloquentia, poetica, et scriptorum enarratio. 28. 320
Reddere, eruditi est; perdere, ineruditi. 107
Relatio, affectio, σχέσις. 193 sqq.
Religio. 221
Resipiscentia. *Vide* Pœnitentia.
Resolutio in simplicia, non est mala. 92
Respectus, affectio, σχέσις. *Vide* Relatio.
Respondendum paucis. 262
Respublicæ, bonæ, malæ. 153
Risus. 265. Risum movere. 287. *Adde* Irrisio.
Rudis, et sciens. 18. *Adde* Idiota, Ineruditus.

S.

Sanitas, naturæ principalis finis. 173
Sapiens. 330. *Vide* Philosophus, Eruditus, Bonus.
Scena est hæc vita. 127
Σχέσις, affectio, respectus, relatio. 195 sqq.
Sciens, et rudis. 18
Scopus in hoc mundo. 188
Sequi quod rectum videtur, nemo ægre ferre debet in alio. 302
Sermo noster, qualis esse debeat? 262. Sermones concocti et frugiferi. 311 sq.
Servire, vel non, penes nos non est; sed in eo rectus usus. 127
Servorum numerus nimius. 271
Servus, quis? 120
Silentium. 261. 265. 287. 311 sq.
Similitudo cum deo. 156. 250
Simulatio bonum virum non decet. 125
Socordia. *Vide* Mora.
Socrates. 5. 62. 63. 85. 91. 135. 153. 258. 261. 270. 282. 283. 285. 311. 325. 330. 331
Solis et lunæ defectus. 167
Spectacula, nil erudiunt. 279
Spei conditio. 59

Studium, et contemptus, quarum rerum? 117 sq.
Studium libertatis quantum esse oporteat? 39. 49
Stultus. 119
Suavitas, et molestia, conjuncta. 14
Subditorum in magistratus officia. 212
Succensere. 193
Superbire. 313
Supercilii elatio. 138
Supervacaneorum genera. 272
Syllogismi. 292

T.

Tacendi consuetudo. 135
Ταυτότης quid? 233
Temperantiæ et continentiæ differitas. 103 sq.
Tempestas, officiis erga deum sedata. 219.
Temporum discrimen. 220
Tempus cum iis, quæ moventur, productum. 232
Tempus, initium habet. 242
Temporis consideratio, quam proficua? 289.
Theatra nil erudiunt. 279.
Theorion [Thearion? *de quo* v. *Athenæum*. F. D.] 269
Θεὸς, unde nomen? 223. 236
Timidus. 61
Tirones; qui erudiri incipiunt. 67 sq. 89. 315 sqq.
Tolerantia, et fortitudo, uti differant? 104
Totum, cognoscendum ex partibus. 235
Turpe, quid? 146 sq.
Tyrannis non tollit libertatem. 29. Tyrannide grassante commentarium hunc scripsit Simplicius. 331

V.

Vacuitas a perturbationibus, quanti ematur? 113 sq.
Vates uti consulendi? 254. viro bono mali nil vaticinari possunt. 255
Valetudo corporis, improbis noxia. 245. firmior pauperibus, quam divitibus. 269
Veritas, deus. 275
Verum et mendacium, non in populari opinione. 291
Vestimentorum luxus. 270
Vicinorum officia. 209 sq.
Victoria continentiæ, qualis? 289 sq.
Victus tenuitas, naturæ consentanea, et virtutis magnitudini. 91
Videri sibi, sufficit; non alii. 141
Videri. Quod nobis videtur, id sequimur. Id considerare, quantum sit bonum? 302 sq.
Vincere oportet, aut vinci: et utrumque in nobis situm. 187
Vindicta divina. 186. *Adde* Improbitas, Pœna.
Vindictam sibi ipsi fieri. 251
Virtus, unde ἀρετὴ dicta. 14
Visis quomodo utendum? 43. 73
Vita hæc, convivium. 122 sq. scena. 127
Vita sancte institui qui possit. 215.
Vita molesta, ærumnosa, irreligiosa, impia. 218
Unitas, ante multitudinem. 163
Universi ordo, jus, distributio. 81 sq. 84. 98. 103
Unum, deus, bonum, fons, principium, finis. 9
Voluntarii, et ejus quod in nostra potestate, differitas. 30
Voluntas, mali, bonique caussa. 98. In ea sola bonum et malum nostrum. 146. 157
Voluntas libera. *Vide* Libertas.
Voluntas vera et perfecta. 156
Voluptas cum molestia conjuncta. 14
Voluptas, ejusque illecebræ, animi ægri clavus. 86. 288. non magni æstimanda. 290. Voluptates earumque umbræ. 47.
Voluptatis continentia, et victoria. 189 sq. Voluptatum abstinentia, timore doloris, non est vera liberatio. 87
Vomitui simile, erudita verba proferre ex animo nondum confirmato. 311 sq.
Utile, et inutile. 147
Utilitas, cum pietate conjuncta. 80. *Adde* Bonum.
Vultus constantia. 280
Uxorum officium erga maritos. 300

X.

Xenophon. 153

Y.

Ὑποθῆκαι Pythagoreorum. 3

Z.

Zeno. 50. 102. 112. 282. 283. 285. 329

ΚΕΒΗΤΟΣ

ΘΗΒΑΙΟΥ

ΠΙΝΑΞ.

Διαλόγου Πρόσωπα, Ξένος καὶ Πρεσβύτης.

I. Ἐτυγχάνομεν περιπατοῦντες ἐν τῷ τοῦ Κρόνου ἱερῷ, ἐν ᾧ πολλὰ μὲν καὶ ἄλλα ἀναθήματα ἐθεωροῦμεν· ἀνέκειτο δὲ καὶ πίναξ τις ἔμπροσθεν τοῦ νεὼ, ἐν ᾧ ἦν γραφή τις ξένη, καὶ μύθους ἔχουσα ἰδίους· οὓς οὐχ ἠδυνάμεθα συμβαλεῖν, τίνες καί ποτ' ἦσαν. Οὔτε γὰρ πόλις ἐδόκει ἡμῖν εἶναι τὸ γεγραμμένον, οὔτε στρατόπεδον· ἀλλὰ περίβολος ἦν, ἐν αὐτῷ ἔχων ἑτέρους περιβόλους δύο, τὸν μὲν μείζω, τὸν δὲ ἐλάττω. Ἦν δὲ καὶ πύλη ἐπὶ τοῦ πρώτου περιβόλου· πρὸς δὲ τῇ πύλῃ ὄχλος ἐδόκει ἡμῖν πολὺς ἐφεστάναι. Καὶ ἔνδον δὲ, ἐν τῷ περιβόλῳ, πλῆθός τι γυναικῶν ἑωρᾶτο. Ἐπὶ δὲ τῆς εἰσόδου τοῦ πρώτου πυλῶνος καὶ περιβόλου γέρων τις ἑστὼς, ἔμφασιν ἐποίει, ὡς προστάττων τι τῷ εἰσιόντι ὄχλῳ.

II. Ἀπορούντων οὖν ἡμῶν περὶ τῆς μυθολογίας πρὸς ἀλλήλους πολὺν χρόνον, Πρεσβύτης τις παρεστὼς, Οὐδὲν δεινὸν πάσχετε, ὦ ξένοι, ἔφη, ἀποροῦντες περὶ τῆς γραφῆς ταύτης· οὐδὲ γὰρ τῶν ἐπιχωρίων πολλοὶ οἴδασι, τί ποτε αὕτη ἡ μυθολογία δύναιτο. Οὐδὲ γάρ ἐστι πολιτικὸν τὸ ἀνάθημα· ἀλλὰ ξένος τις πάλαι ποτὲ ἀφίκετο δεῦρο, ἀνὴρ ἔμφρων καὶ δεινὸς περὶ σοφίαν, λόγῳ τε καὶ ἔργῳ Πυθαγόρειόν τινα καὶ Παρμενίδειον ἐζηλωκὼς βίον, ὅς τό τε ἱερὸν τοῦτο καὶ τὴν γραφὴν ἀνέθηκε τῷ Κρόνῳ.

ΞΕΝΟΣ. Πότερον οὖν, ἔφην ἐγὼ, καὶ αὐτὸν τὸν ἄνδρα γιγνώσκεις ἑωρακώς;

ΠΡΕΣΒΥΣ. Καὶ ἐθαύμασά γε, ἔφη, αὐτὸν πολὺν χρόνον, νεώτερος ὤν. Πολλὰ γὰρ καὶ σπουδαῖα διελέγετο· καὶ περὶ ταύτης δὲ τῆς μυθολογίας πολλάκις αὐτοῦ ἠκηκόειν διεξιόντος.

III. ΞΕΝΟΣ. Πρὸς Διὸς τοίνυν, ἔφην ἐγὼ, εἰ μή τ ς σοι μεγάλη ἀσχολία τυγχάνει οὖσα, διήγησαι ἡμῖν· πάνυ γὰρ ἐπιθυμοῦμεν ἀκοῦσαι, τί ποτ' ἐστὶν ὁ μῦθος.

ΠΡΕΣΒΥΣ. Οὐδεὶς φθόνος, ὦ ξένοι, ἔφη. Ἀλλὰ τουτὶ πρῶτον δεῖ ὑμᾶς ἀκοῦσαι, ὅτι ἐπικίνδυνόν τι ἔχει ἡ ἐξήγησις.

ΞΕΝΟΣ. Οἷον τί; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Ὅτι, εἰ μὲν προσέξετε, ἔφη, καὶ συνήσετε τὰ λεγόμενα, φρόνιμοι καὶ εὐδαίμονες ἔσεσθε· εἰ δὲ μὴ, ἄφρονες καὶ κακοδαίμονες καὶ πικροὶ καὶ ἀμαθεῖς γενόμενοι, κακῶς βιώσεσθε. Ἔστι γὰρ ἡ ἐξήγησις ἐοικυῖα τῷ τῆς Σφιγγὸς αἰνίγματι, ὃ ἐκείνη προὐβάλλετο τοῖς ἀνθρώποις. Εἰ μὲν οὖν αὐτὸ συνίη τις, ἐσώζετο· εἰ δὲ μὴ συνίη, ἀπώλλυτο ὑπὸ τῆς Σφιγγός. Ὡσαύτως δὲ καὶ ἐπὶ τῆς ἐξηγήσεως ἔχει ταύτης· ἡ γὰρ Ἀφροσύνη τοῖς ἀνθρώποις Σφίγξ ἐστιν. Αἰνίττεται δὲ τάδε, τί ἀγαθὸν, τί κακὸν, τί οὔτε ἀγαθὸν, οὔτε κακόν ἐστιν ἐν τῷ βίῳ. Ταῦτ' οὖν ἐὰν μέν τις μὴ συνῇ,

CEBETIS

THEBANI

TABULA.

Colloquuntur hospes et senex.

(P 58, eo Corais.)

1. Casu evenerat, ut in Saturni sacello deambularemus: ubi cum pleraque alia consecrata, tum tabulam quandam pro templo positam intuebamur, in qua pictura quædam erat peregrina, et quæ peculiares fabulas contineret, quas conjicere non poteramus, quænam tandem essent. Neque enim civitas, neque vallum pictura illa nobis esse videbatur. Ceterum muri ambitus erat qui duos alios ambitus amplectebatur; alterum majorem, minorem alterum. Porta etiam erat in primo ambitu, ubi nobis turba ingens insistere videbatur. Intra vero ambitum multitudo quædam mulierum visebatur. Primi autem vestibuli et ambitus ingressum senex quidam occupabat, qui turbæ ingredienti quasi imperare aliquid videbatur.

2. Cujus fabulæ rationem nobis invicem addubitantibus, quidam natu grandior assistens, Nequaquam, inquit, hospites, absurde facitis, qui de pictura hac addubitetis. Non multi enim vel indigenæ, quid hujus fabulæ ratio valeat, intelligunt. Quippe quam non civis, sed peregrinus quidam dedicarit, qui huc jampridem advenerat; vir et magna prudentia et sapientia præditus: qui cum sermone, tum opere quandam Pythagoræ aut Parmenidis vitam fuerat æmulatus. Is utique sacellum et picturam hoc Saturno consecravit.

HOSPES. Utrum igitur, inquam ego, nosti etiam virum ipsum, vidistique?

SENEX. Immo, inquit, eum multo tempore etiam sum admiratus, adolescens adhuc: multa quippe studiose disputabat: et ego hujusce præsertim fabulæ rationem ex eo disserente sæpius audieram.

3. HOSPES. Per Jovem, inquam ego, nisi quæpiam magna occupatio te detinet, expone nobis. Audire enim magnopere concupiscimus, quidnam hoc fabulæ sit.

SENEX. Perlibenter, o hospites, inquit. Atqui hoc prius admonendi estis: periculi quippiam inesse huic expositioni.

HOSPES. Quodnam? inquam ego.

SENEX. Quoniam, inquit, si, quæ dicuntur, attendetis, intelligetisque, prudentes atque felices evadetis: si minus; insipientiam, infortunium, calamitatem, atque ignorantiam consecuti male vitam degetis. Hæc enim expositio Sphingis ænigmati, quod illa hominibus proponebat, persimilis est. Nam quicumque ipsum intellexerat, salutem; qui non intellexerat, exitium consequebatur. Eadem est hujus enarrationis conditio. Sphinx est enim hominibus ipsa Insipientia. Hæc autem proponit, quid bonum, quid malum, quid neque bonum, neque malum in vita sit. Quæ si quis minus intellexerit, ab ea interimitur; neque id semel, sicut

ἀπόλλυται ὑπ' αὐτῆς· οὐχ εἰσάπαξ ὥσπερ ὁ ὑπὸ τῆς Σφιγγὸς καταβρωθεὶς ἀπέθνησκεν· ἀλλὰ κατὰ μικρὸν ἐν ὅλῳ τῷ βίῳ καταφθείρεται, καθάπερ τῇ τιμωρίᾳ παραδιδόμενος. Ἐὰν δέ τις γνῷ, ἀνάπαλιν ἡ μὲν Ἀφροσύνη ἀπόλλυται, αὐτὸς δὲ σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ. Ὑμεῖς οὖν προσέχετε, καὶ μὴ παρακούετε.

IV. ΞΕΝΟΣ. Ὦ Ἡράκλεις, ὡς εἰς μεγάλην τινὰ ἐπιθυμίαν ἐμβέβληκας ἡμᾶς, εἰ ταῦθ' οὕτως ἔχει.

ΠΡΕΣΒΥΣ. Ἀλλ' ἔστιν, ἔφη, οὕτως ἔχοντα.

ΞΕΝΟΣ. Οὐκ ἂν φθάνοις τοίνυν διηγούμενος· ὡς ἡμῶν προσεξόντων οὐ παρέργως, ἐπείπερ καὶ τὸ ἐπιτίμιον τοιοῦτόν ἐστιν.

ΠΡΕΣΒΥΣ. Ἀναλαβὼν οὖν ῥάβδον τινὰ, καὶ ἐκτείνας πρὸς τὴν γραφήν· Ὁρᾶτε, ἔφη, τὸν περίβολον τοῦτον;

ΞΕΝΟΣ. Ὁρῶμεν.

ΠΡΕΣΒΥΣ. Τοῦτο πρῶτον δεῖ εἰδέναι ὑμᾶς, ὅτι καλεῖται ὁ τόπος οὗτος, Βίος. Καὶ ὁ ὄχλος ὁ πολὺς, ὁ παρὰ τὴν πύλην ἐφεστὼς, οἱ μέλλοντες εἰσπορεύεσθαι εἰς τὸν βίον οὗτοί εἰσιν. Ὁ δὲ γέρων ὁ ἄνω ἑστηκὼς, ἔχων χάρτην τινὰ ἐν τῇ χειρὶ, καὶ τῇ ἑτέρᾳ ὥσπερ δεικνύων τι, οὗτος Δαίμων καλεῖται· προστάττει δὲ τοῖς εἰσπορευομένοις, τί δεῖ αὐτοὺς ποιεῖν, ὡς ἂν εἰσέλθωσιν εἰς τὸν βίον· καὶ δεικνύει, ποίαν ὁδὸν αὐτοὺς δεῖ βαδίζειν, εἰ σώζεσθαι μέλλουσιν ἐν τῷ βίῳ.

V. ΞΕΝΟΣ. Ποίαν οὖν ὁδὸν κελεύει βαδίζειν, ἢ πῶς; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Ὁρᾷς, εἶπε, παρὰ τὴν πύλην θρόνον τινὰ κείμενον κατὰ τὸν τόπον τοῦτον, καθ' ὃν εἰσπορεύεται ὁ ὄχλος, ἐφ' οὗ κάθηται γυνὴ πεπλασμένη τῷ ἤθει, καὶ πιθανὴ φαινομένη, καὶ ἐν τῇ χειρὶ ἔχουσα ποτήριόν τι;

ΞΕΝΟΣ. Ὁρῶ. Ἀλλὰ τίς ἐστιν αὕτη; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Ἀπάτη καλεῖται, φησίν, ἡ πάντας τοὺς ἀνθρώπους πλανῶσα.

ΞΕΝΟΣ. Εἶτα τί πράττει αὕτη;

ΠΡΕΣΒΥΣ. Τοὺς εἰσπορευομένους εἰς τὸν βίον ποτίζει τῇ ἑαυτῆς δυνάμει.

ΞΕΝΟΣ. Τοῦτο δὲ τί ἐστι τὸ ποτόν;

ΠΡΕΣΒΥΣ. Πλάνος, ἔφη, καὶ Ἄγνοια.

ΞΕΝΟΣ. Εἶτα τί;

ΠΡΕΣΒΥΣ. Πιόντες τοῦτο, πορεύονται εἰς τὸν βίον.

ΞΕΝΟΣ. Πότερον οὖν πάντες πίνουσι τὸν πλάνον, ἢ οὔ;

VI. ΠΡΕΣΒΥΣ. Πάντες πίνουσιν, ἔφη· ἀλλ' οἱ μὲν πλεῖον, οἱ δὲ ἧττον. Ἔτι δὲ οὐχ ὁρᾷς ἔνδον τῆς πύλης πλῆθός τι γυναικῶν, ἑταιρῶν παντοδαπὰς μορφὰς ἐχουσῶν;

ΞΕΝΟΣ. Ὁρῶ.

ΠΡΕΣΒΥΣ. Αὗται τοίνυν, Δόξαι, καὶ Ἐπιθυμίαι, καὶ Ἡδοναὶ καλοῦνται. Ὅταν οὖν εἰσπορεύηται ὁ ὄχλος, ἀναπηδῶσιν αὗται, καὶ περιπλέκονται πρὸς ἕκαστον, εἶτα ἀπάγουσι.

is qui depastus a Sphinge moriebatur : sed per omnem vitam paullatim absumitur, tanquam perpetuis suppliciis addictus. Contra vero, si quis agnoverit, occidit Insipientia, atque salutem ipse consequitur, et beatus felixque per omnem vitam evadit. Quamobrem vos attendite, ac diligenter audite.

4. HOSPES. O Hercules, quam magnum nos in desiderium conjecisti! si hæc ita se habent.

SENEX. Atqui ita se habent, inquit

HOSPES. Nequaquam igitur nos oratio tua præveniet attente audituros, quum præsertim hujusmodi et præmium et pœna proponatur.

SENEX. Sumpta itaque virga quadam et ad picturam intenta, Videtisne, inquit, ambitum hunc?

HOSPES. Videmus.

SENEX. Hoc imprimis animadvertere vos oportet : locum scilicet istum Vitam vocari. Turba porro illa ingens, quæ portæ insistit, hi sunt omnes in vitam aliquando ingressuri. Senex autem ille superiore loco stans, qui manu altera chartam quandam tenet, altera quiddam quasi demonstrat, is Genius appellatur. Hic imperat introeuntibus, quid eos agere oporteat, ut ad vitam ingrediantur; et qualem viam perrecturi sint, ostendit, ut salutem in vita consequantur.

5. HOSPES. Qualem igitur eos jubet vitam carpere, aut quo pacto? inquam ego.

SENEX. Videsne, inquit, juxta portam solium quoddam eo loco constitutum, ubi turba ingreditur? in quo sedet suavibus moribus et fidem facile inveniens mulier, quæ poculum manu tenet?

HOSPES. Video : sed quænam hæc est? interrogabam.

SENEX. Fallacia, inquit, vocatur, quæ mortales omnes seducit.

HOSPES. Quid tum postea hæc agit?

SENEX. Ingredientes ad vitam de suo medicamento bibere compellit.

HOSPES. Quænam vero hæc est potio?

SENEX. Error, inquit, atque Ignorantia.

HOSPES. Quid tum postea?

SENEX. Ubi hanc ebiberunt, vitam ingrediuntur.

HOSPES. Nunquid omnes eum errorem bibunt, necne?

6. SENEX. Omnes, inquit, bibunt : sed plus alii, alii minus. Non vides præterea intra portam mulierum multitudinem quandam, aspectus meretricum varios præ se ferentium?

HOSPES. Video.

SENEX. Istæ igitur Opiniones et Concupiscentiæ et Voluptates vocantur; quæ turba ingrediente statim prosiliunt, et unumquemque amplectuntur, ac deinde abducunt.

ΞΕΝΟΣ. Ποῦ δὲ ἀπάγουσιν αὐτούς;

ΠΡΕΣΒΥΣ. Αἱ μὲν εἰς τὸ σώζεσθαι, ἔφη· αἱ δὲ εἰς τὸ ἀπόλλυσθαι διὰ τὴν ἀπάτην.

ΞΕΝΟΣ. Ὦ δαιμόνιε, ὡς χαλεπὸν τὸ πόμα λέγεις.

ΠΡΕΣΒΥΣ. Καὶ πᾶσαί γε, ἔφη, ἐπαγγέλλονται ὡς ἐπὶ τὰ βέλτιστα ἄξουσαι, καὶ εἰς βίον εὐδαίμονα καὶ λυσιτελῆ. Οἱ δὲ διὰ τὴν ἄγνοιαν καὶ τὸν πλάνον, ὃν πεπώκασι παρὰ τῆς Ἀπάτης, οὐχ εὑρίσκουσι ποία ἐστὶν ἡ ἀληθινὴ ὁδὸς ἡ ἐν τῷ βίῳ· ἀλλὰ πλανῶνται εἰκῆ, ὥσπερ ὁρᾷς καὶ τοὺς πρότερον εἰσπορευομένους, ὡς περιάγοντας ὅπῃ ἂν τύχοι.

VII. ΞΕΝΟΣ. Ὁρῶ τούτους, ἔφην. Ἡ δὲ γυνὴ ἐκείνη τίς ἐστιν, ἡ ὥσπερ τυφλὴ καὶ μαινομένη τις εἶναι δοκοῦσα, καὶ ἑστηκυῖα ἐπὶ λίθου τινὸς στρογγύλου;

ΠΡΕΣΒΥΣ. Καλεῖται μέν, ἔφη, Τύχη· ἔστι δὲ οὐ μόνον τυφλή, ἀλλὰ καὶ μαινομένη καὶ κωφή.

ΞΕΝΟΣ. Αὕτη οὖν τί ἔργον ἔχει;

ΠΡΕΣΒΥΣ. Περιπορεύεται πανταχοῦ, ἔφη, καὶ παρ' ὧν μὲν ἁρπάζει τὰ ὑπάρχοντα, καὶ ἑτέροις δίδωσι· παρὰ δὲ τῶν αὐτῶν πάλιν ἀφαιρεῖται παραχρῆμα ἃ ἔδωκε, καὶ ἄλλοις δίδωσιν εἰκῆ καὶ ἀβεβαίως. Διὸ καὶ τὸ σημεῖον καλῶς μηνύει τὴν φύσιν αὐτῆς.

ΞΕΝΟΣ. Ποῖον τοῦτο; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Ὅτι ἐπὶ στρογγύλου λίθου ἕστηκεν.

ΞΕΝΟΣ. Εἶτα τί τοῦτο σημαίνει;

ΠΡΕΣΒΥΣ. Ὅτι οὐχ ἀσφαλὴς οὐδὲ βεβαία ἐστὶν ἡ παρ' αὐτῆς δόσις. Ἐκπτώσεις γὰρ μεγάλαι καὶ σκληραὶ γίγνονται, ὅταν τις αὐτῇ πιστεύσῃ.

VIII. ΞΕΝΟΣ. Ὁ δὲ ὄχλος τῶν ἀνθρώπων, ὁ πολὺς οὗτος περὶ αὐτὴν ἑστηκώς, τί βούλεται; καὶ τίνες καλοῦνται;

ΠΡΕΣΒΥΣ. Καλοῦνται μὲν οὗτοι Ἀπροβούλευτοι· αἰτοῦσι δὲ ἕκαστος αὐτῶν ἃ ῥιπτεῖ.

ΞΕΝΟΣ. Πῶς οὖν οὐχ ὁμοίαν ἔχουσι τὴν μορφήν, ἀλλ' οἱ μὲν αὐτῶν δοκοῦσι χαίρειν, οἱ δὲ ἀθυμοῦσιν, ἐκτετακότες τὰς χεῖρας;

ΠΡΕΣΒΥΣ. Οἱ μὲν δοκοῦντες, ἔφη, χαίρειν καὶ γελᾷν αὐτῶν, οἱ εἰληφότες τι παρὰ τῆς Τύχης εἰσίν· οὗτοι δὲ καὶ Ἀγαθὴν Τύχην αὐτὴν καλοῦσιν. Οἱ δὲ δοκοῦντες κλαίειν καὶ τὰς χεῖρας ἐκτεταχότες, εἰσὶ παρ' ὧν ἀφείλετο ἃ ἔδωκε πρότερον αὐτοῖς· οὗτοι δὲ πάλιν Κακὴν Τύχην αὐτὴν καλοῦσι.

ΞΕΝΟΣ. Τίνα οὖν ἐστιν ἃ δίδωσιν αὐτοῖς, ὅτι οὕτως οἱ μὲν λαμβάνοντες χαίρουσιν, οἱ δὲ ἀποβάλλοντες κλαίουσι;

ΠΡΕΣΒΥΣ. Ταῦτα, ἔφη, ἃ παρὰ τοῖς πολλοῖς ἀνθρώποις δοκεῖ εἶναι ἀγαθά.

ΞΕΝΟΣ. Ταῦτ' οὖν τίνα ἐστί;

ΠΡΕΣΒΥΣ. Πλοῦτος δηλαδή, καὶ δόξα, καὶ εὐγένεια, καὶ τέκνα, καὶ τυραννίδες, καὶ βασιλεῖαι, καὶ τἄλλα ὅσα τούτοις παραπλήσια.

ΞΕΝΟΣ. Ταῦτ' οὖν πῶς οὐχ ἔστιν ἀγαθά;

HOSPES. Et quonam eos abducunt?

SENEX. Aliæ, inquit, ut salvent; aliæ, ut per deceptionem interimant.

HOSPES. O vir mirande, quam acerbam potionem dicis!

SENEX. Atqui omnes, inquit, pollicentur, se eos ad optima quæque, ad felicem atque conducibilem vitam esse perducturas. Illi vero per ignorantiam et errorem, quem ab ipsa Fallacia combiberunt, quænam vera via sit in vita, non inveniunt: sed inconsulto errant, quemadmodum etiam eos, qui prius ingressi sunt, vides veluti vagantes fortuito.

7. HOSPES. Video, inquam, hos: sed mulier illa quænam est, quæ veluti cæca atque insana super lapide quodam rotundo consistere videtur?

SENEX. Fortuna, inquit, vocatur. Ea vero non solum cæca, sed insana etiam et surda est.

HOSPES. Quænam hujus sunt partes?

SENEX. Obambulat, inquit, quocumque gentium, et aliis quidem facultates eripit, aliis tradit; ab eisdemque rursus aufert illico, quæ tradiderat, atque aliis temere instabiliterque concedit. Quapropter ex eo argumento ipsius ingenium facile indicatur.

HOSPES. Qualenam hoc est? inquam ego.

SENEX. Quoniam in rotundo lapide consistit.

HOSPES. Quid tunc ex re significatur?

SENEX. Quod parum certa atque instabilia sunt illius munera. Calamitates enim magnæ et duræ oriuntur, ubi quis in ea fidem collocarit.

8. HOSPES. Turba vero hæc ingens, quæ eam circumstat, quid sibi vult, et quinam vocantur?

SENEX. Vocantur hi quidem Inconsulti, quorum nemo non petit, quæ projicit illa.

HOSPES. Cur vero aspectu haudquaquam simili sunt, sed eorum alii gaudere, alii sublatis manibus tristari videntur?

SENEX. Quicumque, inquit, eorum gaudere ac ridere videntur, hi sunt qui a Fortuna quippiam acceperunt, a quibus etiam Bona Fortuna nuncupatur. Qui vero flere ac manus protendere videntur, hi sunt a quibus abstulit, quæ tradiderat antea, a quibus Fortuna Mala nominatur.

HOSPES. Et quænam sunt quæ illis elargitur, propter quæ tantopere, quum accipiunt, lætantur; quum amittunt, lugent?

SENEX. Hæc, inquit, ea sunt, quæ a plerisque hominibus bona existimantur.

HOSPES. Et quænam sunt ea?

SENEX. Divitiæ scilicet, et gloria, et nobilitas, et liberi, et tyrannides, et regna, et alia quæcunque id genus.

HOSPES. Hæc autem nunquid bona non sunt?

ΠΡΕΣΒΥΣ. Περὶ μὲν τούτων, ἔφη, καὶ αὖθις ἐκποιήσει διαλέγεσθαι· νῦν δὲ περὶ τὴν μυθολογίαν γενώμεθα.

ΞΕΝΟΣ. Ἔστω οὕτως.

IX. ΠΡΕΣΒΥΣ. Ὁρᾷς οὖν, ὡς ἂν παρέλθῃς τὴν πύλην ταύτην, ἀνώτερον ἄλλον περίβολον, καὶ γυναῖκας ἔξω τοῦ περιβόλου ἑστηκυίας, κεκοσμημένας ὥσπερ ἑταῖραι εἰώθασι;

ΞΕΝΟΣ. Καὶ μάλα.

ΠΡΕΣΒΥΣ. Αὗται τοίνυν, ἡ μὲν Ἀκρασία καλεῖται, ἡ δὲ Ἀσωτία, ἡ δὲ Ἀπληστία, ἡ δὲ Κολακεία.

ΞΕΝΟΣ. Τί οὖν ὧδε ἑστήκασιν αὗται;

ΠΡΕΣΒΥΣ. Παρατηροῦσιν, ἔφη, τοὺς εἰληφότας τι παρὰ τῆς Τύχης.

ΞΕΝΟΣ. Εἶτα τί;

ΠΡΕΣΒΥΣ. Ἀναπηδῶσι, καὶ συμπλέκονται αὐτοῖς, καὶ κολακεύουσι, καὶ ἀξιοῦσι παρ' αὐταῖς μένειν, λέγουσαι ὅτι βίον ἕξουσιν ἡδὺν καὶ ἄπονον, καὶ κακοπάθειαν ἔχοντα οὐδεμίαν. Ἐὰν οὖν τις πεισθῇ ὑπ' αὐτῶν εἰσελθεῖν εἰς τὴν ἡδυπάθειαν, μέχρι μέν τινος ἡδεῖα δοκεῖ εἶναι ἡ διατριβή, ἕως ἂν γαργαλίζῃ τὸν ἄνθρωπον· εἶτ' οὐκ ἔτι. Ὅταν γὰρ ἀνανήψῃ, αἰσθάνεται ὅτι οὐκ ἤσθιεν, ἀλλ' ὑπ' αὐτῆς κατησθίετο καὶ ὑβρίζετο. Διὸ καὶ, ὅταν ἀναλώσῃ πάντα ὅσα ἔλαβε παρὰ τῆς Τύχης, ἀναγκάζεται ταύταις ταῖς γυναιξὶ δουλεύειν, καὶ πάνθ' ὑπομένειν, καὶ ἀσχημονεῖν, καὶ ποιεῖν ἕνεκεν τούτων, ὅσα ἐστὶ βλαβερά· οἷον, ἀποστερεῖν, ἱεροσυλεῖν, ἐπιορκεῖν, προδιδόναι, λῄζεσθαι, καὶ πάνθ' ὅσα τούτοις παραπλήσια. Ὅταν οὖν πάντα αὐτοῖς ἐπιλίπῃ, παραδίδονται τῇ Τιμωρίᾳ.

X. ΞΕΝΟΣ. Ποία δέ ἐστιν αὕτη;

ΠΡΕΣΒΥΣ. Ὁρᾷς ὀπίσω τι αὐτῶν, ἔφη, ὥσπερ θυρίον μικρὸν, καὶ τόπον στενόν τινα καὶ σκοτεινόν;

[ΞΕΝΟΣ. Καὶ μάλα.

ΠΡΕΣΒΥΣ.] Οὐκοῦν καὶ γυναῖκες αἰσχραὶ, καὶ ῥυπαραὶ, καὶ ῥάκη ἠμφιεσμέναι δοκοῦσι συνεῖναι;

ΞΕΝΟΣ. Καὶ μάλα.

ΠΡΕΣΒΥΣ. Αὗται τοίνυν, ἔφη, ἡ μὲν τὴν μάστιγα ἔχουσα καλεῖται Τιμωρία· ἡ δὲ τὴν κεφαλὴν ἐν τοῖς γόνασιν ἔχουσα, Λύπη· ἡ δὲ τὰς τρίχας τίλλουσα ἑαυτῆς, Ὀδύνη.

ΞΕΝΟΣ. Ὁ δ' ἄλλος οὗτος, ὁ παρεστηκὼς αὐταῖς, δυσειδής τις καὶ λεπτὸς καὶ γυμνός· καὶ μετ' αὐτοῦ τις ὁμοία αὐτῷ, αἰσχρὰ καὶ λεπτή· τίνες εἰσίν;

ΠΡΕΣΒΥΣ. Ὁ μὲν, Ὀδυρμὸς καλεῖται, ἔφη· ἡ δὲ, ἀδελφὴ αὐτοῦ, Ἀθυμία. Τούτοις οὖν παραδίδοται, καὶ μετὰ τούτων συμβιοῖ τιμωρούμενος. Εἶτα ἐνταῦθα πάλιν εἰς τὸν ἕτερον οἶκον ῥίπτεται, εἰς τὴν Κακοδαιμονίαν, καὶ ὧδε τὸν λοιπὸν βίον καταστρέφει ἐν πάσῃ κακοπραγίᾳ, ἂν μὴ ἡ Μετάνοια αὐτῷ ἐπιτύχῃ ἐκ προαιρέσεως συναντήσασα.

XI. ΞΕΝΟΣ. Εἶτα τί γίγνεται, ἐὰν ἡ Μετάνοια αὐτῷ συναντήσῃ;

ΠΡΕΣΒΥΣ. Ἐξαίρει αὐτὸν ἐκ τῶν κακῶν, καὶ

SENEX. De his quidem, inquit, deinceps disserere licebit: nunc circa fabulæ narrationem versemur.

HOSPES. Ita, inquit, sit.

9. SENEX. Vides igitur, ubi portam hanc præterieris, ambitum alterum superiorem, mulieresque extra ambitum collocatas, meretricio ornatu insignes?

HOSPES. Sane quidem.

SENEX. Ex his hæc Incontinentia, hæc Luxuria, hæc Avaritia, hæc Assentatio nuncupatur.

HOSPES. Quid hic potissimum astant?

SENEX. Eos, inquit, observant, qui a fortuna quippiam acceperunt.

HOSPES. Quid tum deinde?

SENEX. Exsiliunt atque amplexantur eos, et adulantur, et ut penes se maneant, obtestantur; vitam jucundam, atque labore omni et incommodo vacuam illis affore promittentes. Si quis itaque persuasus earum blanditiis eo se contulerit; tantisper illi suavis videtur ea conversatio, quoad hominem titillaverit deliniveritque; postea secus. Ubi enim resipiscere cœperit, tum demum ab ea se non tam oblectatum, quam absumptum et contumeliis affectum intelligit. Quo fit ut, quum omnia dilapidarit quæ a fortuna fuerat consecutus, tunc illis mulieribus inservire atque inhonesta omnia sustinere, et turpia quæque ac perniciosa illarum gratia cogatur admittere, veluti furtum, sacrilegium, perjurium, proditionem, deprædationem, et quæcunque his similia. Ubi vero eos omnia defecerint, Punitioni addicuntur.

10. HOSPES. Et quænam hæc est?

SENEX. Videsne retro eas quoddam veluti ostiolum, locumque pariter angustum et tenebrosum?

HOSPES. Sane quidem.

SENEX. Ergo etiam mulieres turpes ac sordidæ, et pannis indutæ, tibi conspiciuntur cum illis versantes?

HOSPES. Sane.

SENEX. Ex his igitur, inquit, quæ flagellum tenet, Punitio nuncupatur: quæ caput intra genua habet, Tristitia: quæ vero capillos suos evellit, Dolor.

HOSPES. Hic alius vero, qui deformitatem, macilentiam, et nuditatem præferens, juxta eas accubat; et cum eo quædam similis illi, turpis et macilenta, quinam sunt?

SENEX. Hunc sane, inquit, Luctum appellant, illam vero ipsius sororem, Mœstitiam. His itaque traditur, et eorum contubernio cruciatur. Post denuo in aliud Infelicitatis domicilium traditur, atque ita reliquam vitam in omni miseria traducit; nisi Pœnitentia eum adierit, consulto occurrens.

11. HOSPES. Quid tum postea contingit, si Pœnitentia illi obviam fuerit?

SENEX. Eripit eum ex infortuniis, et alteram illi Opinio-

συνίστησιν αὐτῷ ἑτέραν Δόξαν καὶ Ἐπιθυμίαν, τὴν εἰς τὴν ἀληθινὴν Παιδείαν ἄγουσαν, ἅμα δὲ καὶ τὴν εἰς τὴν Ψευδοπαιδείαν καλουμένην.

ΞΕΝΟΣ. Εἶτα τί γίγνεται;

ΠΡΕΣΒΥΣ. Ἐὰν μέν, φησί, τὴν Δόξαν ταύτην προσδέξηται, τὴν ἄξουσαν αὐτὸν εἰς τὴν ἀληθινὴν Παιδείαν, καθαρθεὶς ὑπ' αὐτῆς σώζεται, καὶ μακάριος καὶ εὐδαίμων γίγνεται ἐν παντὶ τῷ βίῳ· εἰ δὲ μή, πάλιν πλανᾶται ὑπὸ τῆς Ψευδοδοξίας.

XII. ΞΕΝΟΣ. Ὦ Ἡράκλεις, ὡς μέγας ὁ κίνδυνος ἄλλος οὗτος. Ἡ δὲ Ψευδοπαιδεία, ποία ἐστίν; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Οὐχ ὁρᾷς τὸν ἕτερον περίβολον ἐκεῖνον;

ΞΕΝΟΣ. Καὶ μάλα, ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν ἔξω τοῦ περιβόλου παρὰ τὴν εἴσοδον γυνή τις ἕστηκεν, ἣ δοκεῖ πάνυ καθάριος καὶ εὔτακτος εἶναι;

ΞΕΝΟΣ. Καὶ μάλα.

ΠΡΕΣΒΥΣ. Ταύτην τοίνυν οἱ πολλοὶ καὶ εἰκαῖοι τῶν ἀνθρώπων Παιδείαν καλοῦσιν· οὐκ ἔστι δέ, ἀλλὰ Ψευδοπαιδεία, ἔφη. Οἱ μέν τοι σωζόμενοι, ὁπόταν βούλωνται εἰς τὴν ἀληθινὴν Παιδείαν ἐλθεῖν, ὧδε πρῶτον παραγίγνονται.

ΞΕΝΟΣ. Πότερον οὖν ἄλλη ὁδὸς οὐκ ἔστιν, ἐπὶ τὴν ἀληθινὴν Παιδείαν ἄγουσα;

ΠΡΕΣΒΥΣ. Ἔστιν, ἔφη.

XIII. ΞΕΝΟΣ. Οὗτοι δὲ οἱ ἄνθρωποι, οἱ ἔσω τοῦ περιβόλου ἀνακάμπτοντες, τίνες εἰσίν;

ΠΡΕΣΒΥΣ. Οἱ τῆς Ψευδοπαιδείας, ἔφη, ἐρασταί, ἠπατημένοι καὶ οἰόμενοι μετὰ τῆς ἀληθινῆς Παιδείας συνομιλεῖν.

ΞΕΝΟΣ. Τίνες οὖν καλοῦνται οὗτοι;

ΠΡΕΣΒΥΣ. Οἱ μέν, Ποιηταί, ἔφη· οἱ δέ, Ῥήτορες· οἱ δέ, Διαλεκτικοί· οἱ δέ, Μουσικοί· οἱ δέ, Ἀριθμητικοί· οἱ δέ, Γεωμέτραι· οἱ δέ, Ἀστρολόγοι· οἱ δέ, Ἡδονικοί· οἱ δέ, Περιπατητικοί· οἱ δέ, Κριτικοί· καὶ ὅσοι ἄλλοι τούτοις εἰσὶ παραπλήσιοι.

XIV. ΞΕΝΟΣ. Αἱ δὲ γυναῖκες ἐκεῖναι, αἳ δοκοῦσαι περιτρέχειν, ὅμοιαι ταῖς πρώταις, ἐν αἷς ἔφης εἶναι τὴν Ἀκρασίαν, καὶ αἱ ἄλλαι αἱ μετ' αὐτῶν, τίνες εἰσίν;

ΠΡΕΣΒΥΣ. Αὗται ἐκεῖναί εἰσιν, ἔφη.

ΞΕΝΟΣ. Πότερον οὖν καὶ ὧδε εἰσπορεύονται;

ΠΡΕΣΒΥΣ. Νὴ Δία, καὶ ὧδε· σπανίως δέ, καὶ οὐχὶ ὥσπερ ἐν τῷ πρώτῳ περιβόλῳ.

ΞΕΝΟΣ. Πότερον οὖν καὶ αἱ Δόξαι;

ΠΡΕΣΒΥΣ. Ναί, ἔφη. Μένει γὰρ καὶ ἐν τούτοις τὸ πόμα, ὃ ἔπιον παρὰ τῆς Ἀπάτης, καὶ ἡ Ἄγνοια μένει καὶ ἐν τούτοις, νὴ Δία, καὶ μετ' αὐτῆς γε ἡ Ἀφροσύνη· καὶ οὐ μὴ ἀπέλθῃ ἀπ' αὐτῶν οὔθ' ἡ Δόξα, οὔθ' ἡ λοιπὴ Κακία, μέχρις ἂν ἀπογνόντες τῆς Ψευδοπαιδείας εἰσέλθωσιν εἰς τὴν ἀληθινὴν ὁδόν, καὶ πίωσι τὰς τούτων καθαρτικὰς δυνάμεις. Εἶτα, ὅταν καθαρθῶσι καὶ

nem alterumque Desiderium addit comites, quæ ipsum ad Veram Disciplinam perducunt, sed simul etiam ad illam, quæ Falsa Disciplina nuncupatur.

HOSPES. Quid fit deinde?

SENEX. Si, inquit, eam Opinionem susceperit, quæ ad Veram Disciplinam pervehat, ab ea mundatus expiatusque salutem, beatitudinem, felicitatem in universa vita lucratur : si secus, denuo a Falsa illa Opinione seducitur.

12. HOSPES. O Hercules! quam magnum est hoc aliud discrimen! Hæc autem, inquam ego, Falsa Disciplina quænam est?

SENEX. Nonne vides alterum illum ambitum?

HOSPES. Video, inquam ego.

SENEX. Atque extra ambitum in vestibulo mulier quædam assistit, quæ munditiem decentiamque non mediocrem prætendit?

HOSPES. Sane, inquam.

SENEX. Hanc igitur, inquit, plerique homines et vulgus vocant Disciplinam : non est autem, sed Falsa potius Disciplina. Huc sane se prius applicant qui salvi fiunt, ubi ad Veram Disciplinam pervenire voluerint.

HOSPES. Nunquid alius ad Veram Disciplinam aditus non patet?

SENEX. Patet, inquit.

13. HOSPES. Hi vero intra ambitum obambulantes; quinam sunt homines?

SENEX. Falsæ, inquit, Disciplinæ sunt amatores decepti, seque opinantes Veræ Disciplinæ contubernio frui.

HOSPES. Et quinam vocantur hi?

SENEX. Alii, inquit, Poetæ, alii Oratores, alii Dialectici, alii Musici, alii Arithmetici, alii Geometræ, alii Astrologi, alii Voluptuarii, alii Doctores in xystis, alii Critici, et quicunque ejusmodi sunt.

14. HOSPES. Illæ autem mulieres, quæ videntur circumcurrere, prioribus illis similes, in quibus Incontinentiam affirmabas, et reliquæ una cum illis, quænam sunt?

SENEX. Illæ ipsæ sunt, inquit.

HOSPES. Nunquid etiam huc ingrediuntur?

SENEX. Ita per Jovem, etiam huc : sed raro, et non quemadmodum in primum ambitum.

HOSPES. Nunquid etiam Opiniones?

SENEX. Ita, inquit. Manet enim et in his adhuc potio, quam a Fallacia biberunt; et Ignorantia manet quoque, per Jovem, in his, insimulque etiam Insipientia : neque ab Opinione ac reliquis Malis evadent, priusquam repudiata Falsa disciplina, veracem viam ingressi fuerint, et purgatoria eorum medicamenta biberint. Deinde, quando

ἐκβάλωσι τὰ κακὰ πάνθ' ὅσ' ἂν ἔχωσι, καὶ τὰς Δόξας, καὶ τὴν Ἄγνοιαν, καὶ τὴν λοιπὴν Κακίαν πᾶσαν, τότε ἂν οὕτως σωθήσονται. Ὧδε δὲ μένοντες παρὰ τῇ Ψευδοπαιδείᾳ, οὐδέποτε ἀπολυθήσονται, οὐδὲ ἐλλείψει αὐτοὺς κακὸν οὐδὲν ἕνεκα τούτων τῶν μαθημάτων.

XV. ΞΕΝΟΣ. Ποία οὖν ἐστιν αὕτη ἡ ὁδὸς, ἡ φέρουσα ἐπὶ τὴν ἀληθινὴν Παιδείαν; ἔφην.

ΠΡΕΣΒΥΣ. Ὁρᾷς ἄνω, ἔφη, τόπον τινὰ ἐκεῖνον, ὅπου οὐδεὶς ἐπικατοικεῖ, ἀλλ' ἔρημος δοκεῖ εἶναι;

ΞΕΝΟΣ. Ὁρῶ.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν καὶ θύραν τινὰ μικρὰν, καὶ ὁδόν τινα πρὸ τῆς θύρας, ἥτις οὐ πολὺ ὀχλεῖται, ἀλλ' ὀλίγοι πάνυ πορεύονται, ὥσπερ ἀνοδίας τινὸς καὶ τραχείας καὶ πετρώδους εἶναι δοκούσης;

ΞΕΝΟΣ. Καὶ μάλα, ἔφην.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν καὶ βουνός τις ὑψηλὸς δοκεῖ εἶναι, καὶ ἀνάβασις στενὴ πάνυ, καὶ κρημνοὺς ἔχουσα ἔνθεν καὶ ἔνθεν βαθεῖς;

ΞΕΝΟΣ. Ὁρῶ.

ΠΡΕΣΒΥΣ. Αὕτη τοίνυν ἐστὶν ἡ ὁδὸς, ἔφη, ἡ ἄγουσα πρὸς τὴν ἀληθινὴν Παιδείαν.

ΞΕΝΟΣ. Καὶ μάλα γε χαλεπὴ προσιδεῖν.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν καὶ ἄνω ἐπὶ τοῦ βουνοῦ ὁρᾷς πέτραν τινὰ μεγάλην καὶ ὑψηλὴν, καὶ κύκλῳ ἀπόκρημνον;

ΞΕΝΟΣ. Ὁρῶ, ἔφην.

XVI. ΠΡΕΣΒΥΣ. Ὁρᾷς οὖν καὶ γυναῖκας δύο ἑστηκυίας ἐπὶ τῇ πέτρᾳ, λιπαρὰς καὶ εὐεκτούσας τῷ σώματι, ὡς ἐκτετάκασι τὰς χεῖρας προθύμως;

ΞΕΝΟΣ. Ὁρῶ· ἀλλὰ τίνες καλοῦνται, ἔφην, αὗται;

ΠΡΕΣΒΥΣ. Ἡ μὲν, Ἐγκράτεια καλεῖται, ἔφη· ἡ δὲ, Καρτερία· εἰσὶ δὲ ἀδελφαί.

ΞΕΝΟΣ. Τί οὖν τὰς χεῖρας ἐκτετάκασιν οὕτω προθύμως;

ΠΡΕΣΒΥΣ. Παρακαλοῦσιν, ἔφη, τοὺς παραγιγνομένους ἐπὶ τὸν τόπον, θαῤῥεῖν καὶ μὴ ἀποδειλιᾷν, λέγουσαι ὅτι βραχὺ ἔτι δεῖ καρτερῆσαι αὐτοὺς, εἶτα ἥξουσιν εἰς ὁδὸν καλήν.

ΞΕΝΟΣ. Ὅταν οὖν παραγένωνται ἐπὶ τὴν πέτραν, πῶς ἀναβαίνουσιν; ὁρῶ γὰρ ὁδὸν φέρουσαν οὐδεμίαν ἐπ' αὐτήν.

ΠΡΕΣΒΥΣ. Αὗται ἀπὸ τοῦ κρημνοῦ προσκαταβαίνουσι, καὶ ἕλκουσιν αὐτοὺς ἄνω πρὸς αὐτάς· εἶτα κελεύουσιν αὐτοὺς διαναπαύσασθαι· καὶ μετὰ μικρὸν διδόασιν Ἰσχὺν καὶ Θάρσος, καὶ ἐπαγγέλλονται αὐτοὺς καταστήσειν πρὸς τὴν ἀληθινὴν Παιδείαν· καὶ δεικνύουσιν αὐτοῖς τὴν ὁδὸν, ὡς ἔστι καλή τε, καὶ ὁμαλὴ, καὶ εὐπόρευτος, καὶ καθαρὰ παντὸς κακοῦ, ὥσπερ ὁρᾷς.

ΞΕΝΟΣ. Ἐμφαίνει, νὴ Δία.

XVII. ΠΡΕΣΒΥΣ. Ὁρᾷς οὖν, ἔφη, ἔμπροσθεν τοῦ ἄλσους ἐκείνου καὶ τόπον τινὰ, ὃς δοκεῖ καλός τε εἶναι καὶ λειμωνοειδὴς, καὶ φωτὶ πολλῷ καταλαμπόμενος;

ΞΕΝΟΣ. Καὶ μάλα.

purgati, mala omnia, quibus involvuntur, et opiniones et Ignorantiam, et reliquam omnem Pravitatem abjecerint, tum demum ita salvi et incolumes erunt. Verum si hic manent in Falsæ Disciplinæ commercio, non unquam liberari poterunt; neque horum studiorum gratia ullum ab ipsis malum recedet.

15. HOSPES. Et quænam hæc est via, quæ ad Veram Disciplinam fert? inquam ego.

SENEX. Vides, inquit, locum illum superiorem, ubi nullus inhabitat; sed solitudo ingens esse videtur?

HOSPES. Video.

SENEX. Præterea januam quandam pusillam, ante quam via quædam est, quæ non multum admodum frequentatur; quippe quam pauci admodum terunt, quod invia et aspera et saxosa videatur?

HOSPES. Sane, inquam.

SENEX. Collis præterea quidam excelsus apparet, ad eumque angustus admodum adscensus, et qui multa profunda hinc inde præcipitia offerat?

HOSPES. Video.

SENEX. Hæc igitur, inquit, via est, quæ ad Veram Disciplinam ducit.

HOSPES. Aspectu quidem inprimis formidolosa.

SENEX. Porro circa collis superiorem partem, saxum ingens et præaltum, usquequaque præruptum vides?

HOSPES. Video, inquam.

16. SENEX. Vides præterea mulieres duas supra saxum constitutas, pulchritudine atque habitudine corporis excellentes; ac manus perquam alacriter protendentes?

HOSPES. Video: sed quænam, inquam, vocantur?

SENEX. Altera, inquit, Continentia, altera Constantia nuncupatur: sunt autem germanæ.

HOSPES. Curnam igitur manus tam alacriter protendunt?

SENEX. Hortantur, inquit, eos qui ad eum locum veniunt, ut bono animo atque intrepido sint, admonentque ut paululum quippiam adhuc sustineant: venturos enim paullo post ad pulcherrimam viam.

HOSPES. Ubi vero ad saxum pervenerint, quomodo ascendunt? nullam enim eo ferentem viam animadverto.

SENEX. Hæ mulieres a præcipitio illo descendunt, eosque sursum ad se trahunt. Deinde recreari et quiescere jubent, ac paullo post Fortitudinem Audaciamque addunt; eosque ad Veram Disciplinam deducere se profitentur, et viam ostendunt quam sit pulchra, quam plana, quam pervia, quam nullis malis obnoxia, ut vides.

HOSPES. Ita, per Jovem, videtur.

17. SENEX. Videsne, inquit, ante illud nemus locum quendam, qui pulchritudinem amœnitatemque pratorum præfert, multoque lumine collustratur?

HOSPES. Sane video.

ΠΡΕΣΒΥΣ. Κατανοεῖς οὖν καὶ ἐν μέσῳ τῷ λειμῶνι περίβολον ἕτερον, καὶ πύλην ἑτέραν;

ΞΕΝΟΣ. Ἔστιν οὕτως. Ἀλλὰ τίς καλεῖται ὁ τόπος οὗτος;

ΠΡΕΣΒΥΣ. Εὐδαιμόνων οἰκητήριον, ἔφη· ὧδε γὰρ διατρίβουσιν αἱ Ἀρεταὶ πᾶσαι, καὶ ἡ Εὐδαιμονία.

ΞΕΝΟΣ. Εἶεν, ἔφην ἐγὼ, ὡς καλὸν λέγεις τὸν τόπον εἶναι.

XVIII. ΠΡΕΣΒΥΣ. Οὐκοῦν παρὰ τὴν πύλην ὁρᾷς, ἔφη, ὅτι γυνή τις ἐστὶ καλὴ καὶ καθεστηκυῖα τὸ πρόσωπον, μέση δὲ καὶ κεκριμένη ἤδη τῇ ἡλικίᾳ, στολὴν δ' ἔχουσα ἁπλῆν τε καὶ ἀκαλλώπιστον; ἕστηκε δὲ οὐκ ἐπὶ στρογγύλου λίθου, ἀλλ' ἐπὶ τετραγώνου, ἀσφαλῶς κειμένου. Καὶ μετ' αὐτῆς ἄλλαι δύο εἰσὶ, θυγατέρες τινὲς δοκοῦσαι εἶναι.

ΞΕΝΟΣ. Ἐμφαίνει οὕτως ἔχειν.

ΠΡΕΣΒΥΣ. Τούτων τοίνυν ἡ μὲν ἐν τῷ μέσῳ, Παιδεία ἐστίν· ἡ δὲ, Ἀλήθεια· ἡ δὲ, Πειθώ.

ΞΕΝΟΣ. Τί δὲ ἕστηκεν ἐπὶ λίθου τετραγώνου αὕτη;

ΠΡΕΣΒΥΣ. Σημεῖον, ἔφη, ὅτι ἀσφαλής τε καὶ βεβαία ἡ πρὸς αὐτὴν ὁδός ἐστι τοῖς ἀφικνουμένοις, καὶ τῶν διδομένων ἀσφαλὴς ἡ δόσις τοῖς λαμβάνουσι.

ΞΕΝΟΣ. Καὶ τίνα ἐστὶν, ἃ δίδωσιν αὕτη;

ΠΡΕΣΒΥΣ. Θάρσος, καὶ Ἀφοβία, ἔφη ἐκεῖνος.

ΞΕΝΟΣ. Ταῦτα δὲ τίνα ἐστίν;

ΠΡΕΣΒΥΣ. Ἐπιστήμη, ἔφη, τοῦ μηδὲν ἄν ποτε δεινὸν παθεῖν ἐν τῷ βίῳ.

XIX. ΞΕΝΟΣ. Ὦ Ἡράκλεις, ὡς καλὰ, ἔφην, τὰ δῶρα. Ἀλλὰ τίνος ἕνεκεν οὕτως ἔξω τοῦ περιβόλου ἕστηκεν;

ΠΡΕΣΒΥΣ. Ὅπως τοὺς παραγενομένους, ἔφη, θεραπεύῃ καὶ ποτίζῃ τὴν καθαρτικὴν δύναμιν· εἶθ', ὅταν καθαρθῶσιν, οὕτως αὐτοὺς εἰσάγει πρὸς τὰς Ἀρετάς.

ΞΕΝΟΣ. Πῶς τοῦτο; ἔφην ἐγώ· οὐ γὰρ συνίημι.

ΠΡΕΣΒΥΣ. Ἀλλὰ συνήσεις, ἔφη. Ὡς ἄν, εἴ τις φιλόθοινος κάμνων ἐτύγχανε, πρὸς ἰατρὸν ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα· εἶτα οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν κατέστησεν. Εἰ δὲ μὴ ἐπείθετο οἷς ἐπέταττεν, εὐλόγως ἂν δήπου ἀπωσθεὶς ἐξώλετο ὑπὸ τῆς νόσου.

ΞΕΝΟΣ. Ταῦτα μὲν συνίημι, ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Τὸν αὐτὸν τοίνυν τρόπον, ἔφη, καὶ πρὸς τὴν Παιδείαν ὅταν τις παραγίγνηται, θεραπεύει αὐτὸν, καὶ ποτίζει τῇ ἑαυτῆς δυνάμει, ὅπως ἐκκαθάρῃ πρῶτον καὶ ἐκβάλῃ τὰ κακὰ, ὅσα ἔχων ἦλθε.

ΞΕΝΟΣ. Ποῖα ταῦτα;

ΠΡΕΣΒΥΣ. Τὴν Ἄγνοιαν καὶ τὸν Πλάνον, ἃ παρὰ τῆς Ἀπάτης ἐπεπώκει, καὶ τὴν Ἀλαζονείαν, καὶ τὴν Ἐπιθυμίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὸν Θυμὸν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὰ λοιπὰ πάντα, ὧν ἀνεπλήσθη ἐν τῷ πρώτῳ περιβόλῳ.

XX. ΞΕΝΟΣ. Ὅταν οὖν καθαρθῇ, ποῦ αὐτὸν ἀποστέλλει;

SENEX. Animadvertis igitur in prati meditullio ambitum alium et portam aliam?

HOSPES. Ita sane : sed quonam pacto locus hic nuncupatur?

SENEX. Fortunatorum, inquit, domicilium : hic enim Virtutes omnes et Felicitas versantur.

HOSPES. Esto, inquam ego, eam esse loci quam dicis pulchritudinem.

18. SENEX. Quin, inquit, aspicis prope portam, quam formosa et constanti facie mulier adstet, media et stata jam ætate, stolam simplicem gestans et ornatus expertem? eaque non in rotundo, sed in quadrato lapide secura et munita constitit. Duæ præterea sunt aliæ, quæ tanquam filiæ ejus esse videntur.

HOSPES. Ita prorsus apparet.

SENEX. Harum igitur quæ medium locum tenet, Disciplina est; eam Veritas, et Persuasio comitatur.

HOSPES. Cur autem hæc quadrato lapidi potissimum insistit?

SENEX. Ex eo, inquit, arguitur, quod ad eam pervenientes secura et certa via proficiscuntur, et ab ea quæ donantur, munus esse certum accipientibus.

HOSPES. Et quænam illis ab ea dono dantur?

SENEX. Confidentia, inquit, atque Animus imperterritus.

HOSPES. Hæc vero quænam sunt?

SENEX. Scientia, inquit, per quam grave nihil in vita perpeti unquam posse se intelligunt.

19. HOSPES. Quam præclara, inquam, Hercule, munera! Sed quamobrem illa sic extra ambitum moratur?

SENEX. Ut, inquit, advenientes excipiat accurate, ac medicamentum illud purgatorium instillet : atque ita purgatos et emendatos ad Virtutes introducit.

HOSPES. Quonam pacto? inquam ego: non enim intelligo.

SENEX. At intelliges, inquit. Quemadmodum, si quis luxuriosus ægrotans medicum accersiverit, purgatoriis statim medicamentis ægritudinis causas eximit : atque ita demum a medico reparatus in sanitatem restituitur. Qui si medici præceptis minus obtemperaverit, merito repudiatus ab ea ægritudine conficitur.

HOSPES. Hæc intelligo, inquam ego.

SENEX. Eodem itaque pacto, ubi quis ad Disciplinam pervenerit, hæc eum probe curat, et medicina sua irrorat, ut quamprimum mala omnia expurget ejiciatque, quibus adveniens implicabatur.

HOSPES. Quænam hæc?

SENEX. Ignorantiam, Errorem, quem apud Fallaciam biberat; Arrogantiam, Concupiscentiam, Intemperantiam, Furorem, Avaritiam, et reliqua omnia, quibus in primo ambitu fuerat repletus.

20. HOSPES. Ubi vero satis emundatus fuerit, quonam eum mittit?

ΠΡΕΣΒΥΣ. Ἔνδον, ἔφη, πρὸς τὴν Ἐπιστήμην, καὶ πρὸς τὰς ἄλλας Ἀρετάς.

ΞΕΝΟΣ. Ποίας ταύτας;

ΠΡΕΣΒΥΣ. Οὐχ ὁρᾷς, ἔφη, ἔσω τῆς πύλης χορὸν γυναικῶν; ὡς εὐειδεῖς δοκοῦσιν εἶναι, καὶ εὔτακτοι, καὶ στολὴν ἀτρύφερον καὶ ἁπλῆν ἔχουσιν· ἔτι τε ὡς ἄπλαστοί εἰσι, καὶ οὐδαμῶς κεκαλλωπισμέναι καθάπερ αἱ ἄλλαι;

ΞΕΝΟΣ. Ὁρῶ, ἔφην. Ἀλλὰ τίνες αὗται καλοῦνται;

ΠΡΕΣΒΥΣ. Ἡ μὲν πρώτη, Ἐπιστήμη, ἔφη, καλεῖται· αἱ δὲ ἄλλαι, ταύτης ἀδελφαί, Ἀνδρεία, Δικαιοσύνη, Καλοκἀγαθία, Σωφροσύνη, Εὐταξία, Ἐλευθερία, Ἐγκράτεια, Πρᾳότης.

ΞΕΝΟΣ. Ὦ κάλλιστε, ἔφην ἔγωγε, ὡς ἐν μεγάλῃ ἐλπίδι ἐσμέν.

ΠΡΕΣΒΥΣ. Ἐὰν συνῆτε, ἔφη, καὶ ἕξιν περιποιήσησθ' ὧν ἀκούετε.

ΞΕΝΟΣ. Ἀλλὰ προσέξομεν ὡς μάλιστα, ἔφην ἔγωγε.

ΠΡΕΣΒΥΣ. Τοιγαροῦν, ἔφη, σωθήσεσθε.

XXI. ΞΕΝΟΣ. Ὅταν οὖν παραλάβωσιν αὐτὸν αὗται, ποῦ ἀπάγουσι;

ΠΡΕΣΒΥΣ. Πρὸς τὴν μητέρα, ἔφη.

ΞΕΝΟΣ. Αὕτη δὲ τίς ἐστιν;

ΠΡΕΣΒΥΣ. Εὐδαιμονία, ἔφη.

ΞΕΝΟΣ. Ποία δ' ἐστὶν αὕτη;

ΠΡΕΣΒΥΣ. Ὁρᾷς τὴν ὁδὸν ἐκείνην, τὴν φέρουσαν ἐπὶ τὸ ὑψηλὸν ἐκεῖνο, ὅ ἐστιν ἀκρόπολις τῶν περιβόλων πάντων;

ΞΕΝΟΣ. Ὁρῶ.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν ἐπὶ τοῦ προπυλαίου γυνὴ καθεστηκυῖα εὐειδής τις κάθηται ἐπὶ θρόνου ὑψηλοῦ, κεκοσμημένη ἐλευθέρως καὶ ἀπεριέργως, καὶ ἐστεφανωμένη στεφάνῳ εὐανθεῖ πάνυ καὶ ποικίλῳ;

ΞΕΝΟΣ. Ἐμφαίνει οὕτως.

ΠΡΕΣΒΥΣ. Αὕτη τοίνυν ἐστὶν ἡ Εὐδαιμονία, ἔφη.

XXII. ΞΕΝΟΣ. Ὅταν οὖν ὧδέ τις παραγένηται, τί ποιεῖ;

ΠΡΕΣΒΥΣ. Στεφανοῖ αὐτὸν, ἔφη, τῇ ἑαυτῆς δυνάμει ἥ τε Εὐδαιμονία, καὶ αἱ ἄλλαι Ἀρεταὶ πᾶσαι, ὥσπερ νενικηκότα τοὺς μεγίστους ἀγῶνας.

ΞΕΝΟΣ. Καὶ ποίους ἀγῶνας νενίκηκεν αὐτός; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Τοὺς μεγίστους, ἔφη, καὶ τὰ μέγιστα θηρία, ἃ πρότερον αὐτὸν κατήσθιε καὶ ἐκόλαζε καὶ ἐποίει δοῦλον. Ταῦτα πάντα νενίκηκε, καὶ ἀπέῤῥιψεν ἀφ' ἑαυτοῦ, καὶ κεκράτηκεν ἑαυτοῦ, ὥστε ἐκεῖνα νῦν τούτῳ δουλεύουσι, καθάπερ οὗτος ἐκείνοις πρότερον.

XXIII. ΞΕΝΟΣ. Ποῖα ταῦτα λέγεις θηρία; πάνυ γὰρ ἐπιποθῶ ἀκοῦσαι.

ΠΡΕΣΒΥΣ. Πρῶτον μὲν, ἔφη, τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον. Ἦ οὐ δοκεῖ σοι θηρία ταῦτα εἶναι;

ΞΕΝΟΣ. Καὶ πονηρά γε, ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Εἶτα τὴν Λύπην, καὶ τὸν Ὀδυρμὸν,

SENEX. Intro, inquit, ad Scientiam, ceterasque Virtutes.

HOSPES. Quasnam eas?

SENEX. Videsne intra portam cœtum mulierum? quam formosæ atque modestæ videntur, nec nimis culto, sed simplici habitu præditæ, nihil in se aut fictum aut accuratius ornatum more aliarum prætendentes?

HOSPES. Video, inquam. Sed quænam hæ vocantur?

SENEX. Prima, inquit, Scientia nuncupatur: ceteræ vero hujus germanæ, sunt, Fortitudo, Justitia, Probitas, Temperantia, Modestia, Libertas, Continentia, Mansuetudo.

HOSPES. Heus, inquam, optime, quam magna in spe sumus!

SENEX. Modo, inquit, intelligatis, et quæ auditis, studiose percipiatis teneatisque.

HOSPES. Atqui, inquam ego, accurate ac diligenter attendemus.

SENEX. Salvi igitur, inquit, eritis.

21. HOSPES. Ubi ergo eum ipsæ acceperint, quonam abducunt?

SENEX. Ad matrem, inquit.

HOSPES. Ea vero quænam est?

SENEX. Felicitas, inquit.

HOSPES. Cujusmodi autem hæc est?

SENEX. Videsne viam istam ad sublimem illum verticem ferentem, quem omnes ambitus veluti arcem suam amplectuntur?

HOSPES. Video.

SENEX. Ibi igitur mulier forma præcellens in vestibulo constituta solium excelsum insidet, cultu non tam curioso quam liberali, corona florentissima et varia capiti imposita.

HOSPES. Ita prorsus videtur.

SENEX. Hæc igitur, inquit, est Felicitas.

22. HOSPES. Ubi igitur ad eam quispiam accesserit, quid rerum gerit?

SENEX. Ipsa, inquit, Felicitas eum potentiæ suæ corona circumdat, et reliquæ omnes Virtutes; perinde ac maximorum certaminum victores coronari solent.

HOSPES. Et quænam, inquam ego, certamina ipse vicit?

SENEX. Maxima, inquit, et maxima etiam monstra, quæ prius ipsum absumebant, affligebant atque in servitutem redigebant. Omnia hæc devicit, ac longe ab se repressit, adeoque ipsum se superavit, ita ut huic illa nunc serviant, quibus ipse antea in servitutem redactus fuerat.

23. HOSPES. Quænam hæc monstra dicis? audire enim admodum cupio.

SENEX. Inprimis, inquit, Ignorantiam et Errorem. An tibi monstra hæc esse non videntur?

HOSPES. Imo teterrima, inquam ego.

SENEX. Deinde Tristitiam, Luctum, et Insolentiam

καὶ τὴν Ὑπερηφάνειαν, καὶ τὴν Φιλαργυρίαν, καὶ τὴν Ἀκρασίαν, καὶ τὴν λοιπὴν ἅπασαν Κακίαν. Πάντων τούτων κρατεῖ, καὶ οὐ κρατεῖται, ὥσπερ τὸ πρότερον.

ΞΕΝΟΣ. Ὢ καλῶν ἔργων, ἔφην ἐγὼ, καὶ καλλίστης νίκης. Ἀλλ' ἐκεῖνο ἔτι μοι εἰπέ· τίς ἡ δύναμις τοῦ στεφάνου, ᾧ ἔφης στεφανοῦσθαι αὐτόν;

ΠΡΕΣΒΥΣ. Εὐδαιμονικὴ, ὦ νεανίσκε. Ὁ γὰρ στεφανωθεὶς ταύτῃ τῇ δυνάμει, εὐδαίμων γίγνεται καὶ μακάριος, καὶ ἔχει οὐκ ἐν ἑτέροις τὰς ἐλπίδας τῆς εὐδαιμονίας, ἀλλ' ἐν αὑτῷ.

XXIV. ΞΕΝΟΣ. Ὡς καλὸν τὸ νίκημα λέγεις. Ὅταν δὲ στεφανωθῇ, τί ποιεῖ, ἢ ποῖ βαδίζει;

ΠΡΕΣΒΥΣ. Ἄγουσιν αὐτὸν ὑπολαβοῦσαι αἱ Ἀρεταὶ πρὸς τὸν τόπον ἐκεῖνον, ὅθεν ἦλθε πρῶτον, καὶ δεικνύουσιν αὐτῷ τοὺς ἐκεῖ διατρίβοντας, ὡς κακῶς καὶ ἀθλίως ζῶσι, καὶ ὡς ναυαγοῦσιν ἐν τῷ βίῳ, καὶ πλανῶνται, καὶ ἄγονται κατακεκρατημένοι, ὥσπερ ὑπὸ πολεμίων, οἱ μὲν ὑπ' Ἀκρασίας, οἱ δὲ ὑπ' Ἀλαζονείας, οἱ δὲ ὑπὸ Φιλαργυρίας, ἕτεροι δὲ ὑπὸ Κενοδοξίας, ἕτεροι δὲ ὑφ' ἑτέρων κακῶν. Ἐξ ὧν οὐ δύνανται ἐκλῦσαι ἑαυτοὺς τῶν δεινῶν, οἷς δέδενται, ὥστε σωθῆναι καὶ ἀφικέσθαι ὧδε· ἀλλὰ ταράττονται διὰ παντὸς τοῦ βίου. Τοῦτο δὲ πάσχουσι διὰ τὸ μὴ δύνασθαι τὴν ἐνθάδε ὁδὸν εὑρεῖν· ἐπελάθοντο γὰρ τὸ παρὰ τοῦ Δαιμονίου πρόσταγμα.

XXV. ΞΕΝΟΣ. Ὀρθῶς μοι δοκεῖς λέγειν. Ἀλλὰ καὶ τοῦτο πάλιν ἀπορῶ, διὰ τί δεικνύουσιν αὐτῷ τὸν τόπον ἐκεῖνον αἱ Ἀρεταὶ, ὅθεν ἥκει τὸ πρότερον.

ΠΡΕΣΒΥΣ. Οὐκ ἀκριβῶς ᾔδει, οὐδὲ ἠπίστατο, ἔφη, οὐδὲν τῶν ἐκεῖ· ἀλλ' ἐνεδοίαζε, καὶ διὰ τὴν Ἄγνοιαν, καὶ τὸν Πλάνον, ὃν δὴ ἐπεπώκει, τὰ μὴ ὄντα ἀγαθὰ ἐνόμιζεν ἀγαθὰ εἶναι, καὶ τὰ μὴ ὄντα κακὰ, κακά. Διὸ καὶ ἔζη κακῶς, ὥσπερ οἱ ἄλλοι οἱ ἐκεῖ διατρίβοντες. Νῦν δὲ ἀνειληφὼς τὴν ἐπιστήμην τῶν συμφερόντων, αὐτός τε καλῶς ζῇ, καὶ τούτους θεωρεῖ ὡς κακῶς πράσσουσιν.

XXVI. ΞΕΝΟΣ. Ἐπειδὰν οὖν θεωρήσῃ πάντα, τί ποιεῖ, ἢ ποῦ ἔτι βαδίζει;

ΠΡΕΣΒΥΣ. Ὅποι ἂν βούληται, ἔφη· πανταχοῦ γάρ ἐστιν αὐτῷ ἀσφάλεια, ὥσπερ τῷ τὸ Κωρύκιον ἄντρον ἔχοντι. Καὶ πανταχοῦ, οὗ ἂν ἀφίκηται, πάντα καλῶς βιώσεται μετὰ πάσης ἀσφαλείας. Ὑποδέξονται γὰρ αὐτὸν ἀσμένως πάντες, καθάπερ τὸν ἰατρὸν οἱ πάσχοντες.

ΞΕΝΟΣ. Πότερον οὖν κἀκείνας τὰς γυναῖκας, ἃς ἔφης θηρία εἶναι, οὐκ ἔτι φοβεῖται, μή τι πάθῃ ὑπ' αὐτῶν;

ΠΡΕΣΒΥΣ. Νὴ Δία, οὐδέν. Οὐ μὴ διοχληθήσεται, οὔτε ὑπὸ Ὀδύνης, οὔτε ὑπὸ Λύπης, οὔτε ὑπ' Ἀκρασίας, οὔτε ὑπὸ Φιλαργυρίας, οὔτε ὑπὸ Πενίας, οὔτε ὑπ' ἄλλου κακοῦ οὐθενός. Ἁπάντων γὰρ κυριεύει, καὶ ἐπάνω πάντων ἐστὶ τῶν πρότερον αὐτὸν λυπούντων, καθάπερ οἱ ἐχιοδεῖκται. Τὰ γὰρ θηρία δήπου, τὰ πάντας τοὺς ἄλλους κακοποιοῦντα μέχρι θανάτου, ἐκείνους οὐ λυπεῖ, διὰ τὸ ἔχειν ἀντιφάρμακον αὐτούς.

et Avaritiam, et Incontinentiam, et reliquam omnem Improbitatem. His omnibus non, ut antea, paret; sed jam imperat.

HOSPES. O præclara, inquam ego, facinora, et pulcherrimam victoriam! Illud autem mihi etiam expone, cujusmodi sit ejus coronæ potentia, qua eum coronari dixisti?

SENEX. Beatifica, inquit, o adolescens. Qui enim fuerit ea potentia coronatus, et felix et beatus evadit; neque alibi quam in se ipso spem felicitatis reponit.

24. HOSPES. Quam præclaram victoriam dicis! Ceterum coronatus quid agit, aut quo vadit?

SENEX. Suscipientes eum Virtutes ad illum locum ducunt, unde primum advenerat, eique commonstrant studia improborum; quam male degant, et misere vivant; quanta in vita naufragia patiantur; quantum aberrent; quam veluti hostium captivitatem perferant, alii Incontinentiæ, alii Arrogantiæ, alii Avaritiæ, alii Inani Gloriæ, alii aliis Malis inservientes; per quæ a calamitatibus, quibus irretiti sunt, exsolvere se nequeunt, ut salventur et illo perveniant; sed in omni vita perturbantur. Atque hoc perpetiuntur, quod hanc viam invenire non possunt: mandatum enim a Genio traditum oblivioni mandaverunt.

25. HOSPES. Recte, inquam, dicere mihi videris; tametsi hoc rursus ambigo, curnam ei Virtutes locum illum commonstrent, unde prius advenerat.

SENEX. Nihil certi noverat, neque ullam eorum, quæ ibi agerentur, scientiam tenebat; sed propter Ignorantiam atque Errorem, quem biberat, ambiguus hærebat et quæ bona non erant, bona, quæ mala non erant, mala existimabat. Quocirca male etiam vivebat, sicut alii plerique ibi deversantes. Nunc vero, percepta utilium et conducibilium rerum scientia, et ipse optimam vitam traducit, et illos, quam male agant, contemplatur.

26. HOSPES. Ubi igitur omnia fuerit contemplatus, quid agit, aut quo deinde tendit?

SENEX. Quo, inquit, ei collibitum fuerit. Ubique enim ei est securitas, perinde atque illi qui antrum Corycium tenet: et quocunque pervenerit, ibi tutissimus rectam vivendi rationem sequetur: omnes enim eum, tanquam ægroti medicum, libenter excipient.

HOSPES. Numquid igitur illas mulieres, quæ monstra abs te dicebantur, amplius non veretur, ne quid ab eis detrimenti capiat?

SENEX. Nihil penitus: qui neque Dolore, neque Tristitia, neque Intemperantia, neque Avaritia, neque Paupertate, neque ullo alio incommodo vexetur. Omnibus enim imperat, et constitutus est supra omnes, a quibus antea premebatur, eorum instar qui viperas spectandas præbent · quæ feræ, ceteris omnibus perniciem ac mortem afferentes, illis duntaxat innocuæ sunt, quod vim veneno istarum

Οὕτω καὶ τοῦτον οὐκέτι οὐθὲν λυπεῖ, διὰ τὸ ἔχειν τὸ ἀντιφάρμακον.

XXVII. ΞΕΝΟΣ. Καλῶς ἐμοὶ δοκεῖς λεγειν. Ἀλλ' ἔτι τοῦτό μοι εἰπέ· τίνες εἰσὶν οὗτοι οἱ δοκοῦντες ἐκεῖθεν ἀπὸ τοῦ βουνοῦ παραγίγνεσθαι; καὶ οἱ μὲν αὐτῶν, ἐστεφανωμένοι, ἔμφασιν ποιοῦσιν εὐφροσύνης τινός· οἱ δὲ, ἀστεφάνωτοι, λύπης καὶ ταραχῆς· καὶ τὰς κνήμας καὶ τὰς κεφαλὰς δοκοῦσι τετρῖφθαι, κατέχονται δὲ ὑπὸ γυναικῶν τινων.

ΠΡΕΣΒΥΣ. Οἱ μὲν ἐστεφανωμένοι, οἱ σεσωσμένοι εἰσὶ πρὸς τὴν Παιδείαν, καὶ εὐφραίνονται, τετυχηκότες αὐτῆς. Οἱ δὲ ἀστεφάνωτοι, οἱ μὲν, ἀπεγνωσμένοι ὑπὸ τῆς Παιδείας, ἀνακάμπτουσι, κακῶς καὶ ἀθλίως διακείμενοι· οἱ δὲ, ἀποδεδειλιακότες, καὶ ἀναβεβηκότες πρὸς τὴν Καρτερίαν, πάλιν ἀνακάμπτουσι, καὶ πλανῶνται ἀνοδίᾳ.

ΞΕΝΟΣ. Αἱ δὲ γυναῖκες αἱ μετ' αὐτῶν ἀκολουθοῦσαι, τίνες εἰσὶν αὗται;

ΠΡΕΣΒΥΣ. Λῦπαι, ἔφη, καὶ Ὀδύναι, καὶ Ἀθυμίαι, καὶ Ἀδοξίαι, καὶ Ἄγνοιαι.

XXVIII. ΞΕΝΟΣ. Πάντα κακὰ λέγεις αὐτοῖς ἀκολουθεῖν.

ΠΡΕΣΒΥΣ. Νὴ Δία, πάντα, ἔφη, καὶ ἐπακολουθοῦσιν. Οὗτοι δὲ, ὅταν παραγένωνται εἰς τὸν πρῶτον περίβολον πρὸς τὴν Ἡδυπάθειαν καὶ τὴν Ἀκρασίαν, οὐχ ἑαυτοὺς αἰτιῶνται, ἀλλ' εὐθὺς κακῶς λέγουσι καὶ τὴν Παιδείαν, καὶ τοὺς ἐκεῖσε βαδίζοντας, ὡς ταλαίπωροι καὶ ἄθλιοί εἰσι καὶ κακοδαίμονες, οἳ τὸν βίον τὸν παρ' αὐτοῖς καταλιπόντες κακῶς ζῶσι, καὶ οὐκ ἀπολαύουσι τῶν παρ' αὐτοῖς ἀγαθῶν.

ΞΕΝΟΣ. Ποῖα δὲ [καὶ] λέγουσιν Ἀγαθὰ εἶναι;

ΠΡΕΣΒΥΣ. Τὴν Ἀσωτίαν, καὶ τὴν Ἀκρασίαν, ὡς εἴποι ἄν τις ἐπὶ κεφαλαίου. Τὸ γὰρ εὐωχεῖσθαι βοσκημάτων τρόπῳ, καὶ ἀπολαύειν, μέγιστα ἀγαθὰ ἡγοῦνται εἶναι.

XXIX. ΞΕΝΟΣ. Αἱ δὲ ἐκεῖθεν παραγενόμεναι ἕτεραι γυναῖκες, ἱλαραί τε καὶ γελῶσαι, τίνες καλοῦνται;

ΠΡΕΣΒΥΣ. Δόξαι, ἔφη· καὶ ἀγαγοῦσαι πρὸς τὴν Παιδείαν τοὺς εἰσελθόντας πρὸς τὰς Ἀρετὰς, ἀνακάμπτουσιν, ὅπως ἑτέρους ἀγάγωσι, καὶ ἀναγγείλωσιν, ὅτι εὐδαίμονες ἤδη γεγόνασιν οὓς τότε ἀπήγαγον.

ΞΕΝΟΣ. Πότερον οὖν, ἔφην ἐγὼ, αὗται εἴσω πρὸς τὰς Ἀρετὰς εἰσπορεύονται;

ΠΡΕΣΒΥΣ. Ἔφη, Οὔχ. Οὐ γὰρ θέμις Δόξαν εἰσπορεύεσθαι πρὸς τὴν Ἐπιστήμην, ἀλλὰ τῇ Παιδείᾳ παραδιδόασιν αὐτούς. Εἶτα, ὅταν ἡ Παιδεία παραλάβῃ, ἀνακάμπτουσιν αὗται πάλιν, ἄλλους ἄξουσαι· ὥσπερ αἱ νῆες, τὰ φορτία ἐξελόμεναι, πάλιν ἀνακάμπτουσιν, καὶ ἄλλων τινῶν γεμίζονται.

XXX. ΞΕΝΟΣ. Ταῦτα μὲν δὴ καλῶς μοι δοκεῖς, ἔφην, ἐξηγῆσθαι. Ἀλλ' ἐκεῖνο οὐδέπω ἡμῖν δεδήλωκας, τί προστάττει τὸ Δαιμόνιον τοῖς εἰσπορευομένοις εἰς τὸν βίον ποιεῖν.

contrariam possident. Ita ne huic quidem quippiam nocet, quia antipharmacum possidet.

27. HOSPES. Recte dicere mihi videris. Sed hæc etiam insuper expone: quinam sunt illi, qui istinc a colle advenire videntur; quorum alii coronati lætitiam quandam præ se ferunt, alii non coronati, dolorem et tumultum: praeterea tibias et capita contusa habere videntur, quum alioquin a quibusdam mulieribus detineantur?

SENEX. Coronati sunt, qui sospites ad Disciplinam pervenerunt, eamque consecuti summopere lætantur. Incoronati vero, alii a Disciplina, quæ de iis desperaverat, revertuntur, male ac misere degentes: alii metu perculsi, ac perterriti, postquam ad Constantiam usque escenderant, vestigia relegentes rursus errant in viis inviis.

HOSPES. Quæ vero mulieres eos sequuntur, quænam sunt?

SENEX. Tristitiæ, inquit, et Molestiæ, et Anxietates, et Ignominiæ, et Ignorantiæ.

28. HOSPES. Omnia igitur eos mala, ut dicis, sequuntur.

SENEX. Omnia, inquit, per Jovem, eos comitantur. Ubi vero in primum ambitum ad Voluptatem et Incontinentiam pervenerint; nequaquam se ipsos accusant, sed statim Disciplinam et sectatores illius maledictis incessunt, quod ipsi miseri et calamitosi et infelices sint, quoniam ab eorum contubernio defecerunt, et jam male vivunt, et nullis eorum bonis perfruuntur.

HOSPES. Qualia autem illa bona dicunt esse?

SENEX. Luxuriam, et Intemperantiam, ut aliquis dicat brevi complexus. Gulæ enim indulgere pecudum more, et voluptatibus frui, maximorum bonorum fruitionem esse arbitrantur.

29. HOSPES. Aliæ vero mulieres, quæ illinc cum risu et hilaritate adveniunt, quænam vocantur?

SENEX. Opiniones, inquit, eos ad Disciplinam ducentes, qui ad Virtutes ingressi sunt. Jam autem revertuntur, ut alios adducant, admoneantque illos, esse felicitatem jam consecutos, quos ante adduxerant.

HOSPES. Utrum igitur, inquam ego, ipsæ intus ad Virtutes ingrediuntur?

SENEX. Nequaquam, inquit. Opinioni enim ad Scientiam introire non licet: sed Disciplinæ duntaxat eos tradunt. Quibus a Disciplina susceptis, ipsæ posthac denuo alios adducturæ revertuntur, earum instar navium, quæ depositis oneribus denuo revertuntur, ut aliis mercibus impleantur.

30. HOSPES. Hæc sane, inquam, mihi recte videris disseruisse. Illud autem nobis nondum patefecisti, quidnam Genius vitam ingredientibus imperet faciendum.

ΠΡΕΣΒΥΣ. Θαῤῥεῖν, ἔφη. Διὸ καὶ ὑμεῖς θαῤῥεῖτε· πάντα γὰρ ὑμῖν ἐξηγήσομαι, καὶ οὐδὲν ἀποκρύψω.

ΞΕΝΟΣ. Καλῶς λέγεις, ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. ἐκτείνας οὖν τὴν χεῖρα πάλιν, Ὁρᾶτε, ἔφη, τὴν γυναῖκα ἐκείνην, ἣ δοκεῖ τυφλή τις εἶναι, καὶ ἐπὶ λίθου στρογγύλου ἑστάναι, ἣν καὶ ἄρτι ὑμῖν εἶπον ὅτι Τύχη καλεῖται;

ΞΕΝΟΣ. Ὁρῶμεν.

XXXI. ΠΡΕΣΒΥΣ. Ταύτῃ κελεύει, ἔφη, μὴ πιστεύειν, καὶ βέβαιον μηδὲν πιστεύειν, μηδὲ ἀσφαλὲς ἔχειν, ὅ τι ἂν παρ' αὐτῆς λάβῃ τις, μηδὲ ὡς ἴδια ἡγεῖσθαι. Οὐδὲν γὰρ κωλύει, ταῦτα πάλιν ἀφελέσθαι, καὶ ἑτέρῳ διδόναι· πολλάκις γὰρ τοῦτο εἴωθε ποιεῖν. Καὶ διὰ ταύτην οὖν τὴν αἰτίαν κελεύει πρὸς τὰς παρ' αὐτῆς δόσεις ἀηττήτους γίγνεσθαι, καὶ μήτε χαίρειν ὅταν διδῷ, μήτε ἀθυμεῖν ὅταν ἀφέληται, καὶ μήτε ψέγειν αὐτὴν, μήτε ἐπαινεῖν. Οὐδὲν γὰρ ποιεῖ μετὰ λογισμοῦ, ἀλλ' εἰκῇ καὶ ὡς ἔτυχε, πάντα, ὥσπερ πρότερον ὑμῖν ἔλεξα. Διὰ τοῦτο οὖν τὸ Δαιμόνιον κελεύει μὴ θαυμάζειν, ὅ τι ἂν πράττῃ αὕτη, μηδὲ γίγνεσθαι ὁμοίους τοῖς κακοῖς τραπεζίταις. Καὶ γὰρ ἐκεῖνοι, ὅταν μὲν λάβωσι τὸ ἀργύριον παρὰ τῶν ἀνθρώπων, χαίρουσι, καὶ ἴδιον νομίζουσιν εἶναι· ὅταν δὲ ἀπαιτῶνται, ἀγανακτοῦσι, καὶ δεινὰ οἴονται πεπονθέναι· οὐ μνημονεύοντες, ὅτι ἐπὶ τούτῳ ἔλαβον τὰ θέματα, ἐφ' ᾧ οὐδὲν κωλύει τὸν θέμενον πάλιν κομίσασθαι. Ὡσαύτως τοίνυν κελεύει ἔχειν τὸ Δαιμόνιον καὶ πρὸς τὴν παρ' αὐτῆς δόσιν· καὶ μνημονεύειν, ὅτι τοιαύτην ἔχει φύσιν ἡ Τύχη, ὥστε, ἃ δέδωκεν, ἀφελέσθαι, καὶ ταχέως πάλιν δοῦναι πολλαπλάσια, αὖθις δὲ ἀφελέσθαι ἃ δέδωκεν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ προϋπάρχοντα. Ἃ γοῦν διδῷ, κελεύει λαμβάνειν παρ' αὐτῆς, καὶ συντόμως ἀπελθεῖν ἔχοντας πρὸς τὴν βεβαίαν καὶ ἀσφαλῆ δόσιν.

XXXII. ΞΕΝΟΣ. Ποίαν ταύτην; ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Ἣν λήψονται παρὰ τῆς Παιδείας, ἣν διασωθῶσιν ἐκεῖ.

ΞΕΝΟΣ. Αὕτη οὖν τίς ἐστιν;

ΠΡΕΣΒΥΣ. Ἡ ἀληθὴς ἐπιστήμη, ἔφη, τῶν συμφερόντων, καὶ ἀσφαλὴς δόσις, καὶ βεβαία, καὶ ἀμετάβλητος. Φεύγειν οὖν κελεύει συντόμως πρὸς ταύτην· καὶ ὅταν ἔλθωσι πρὸς τὰς γυναῖκας ἐκείνας, ἃς καὶ πρότερον εἶπον ὅτι Ἀκρασία καὶ Ἡδυπάθεια καλοῦνται, καὶ ἐντεῦθεν κελεύει συντόμως ἀπαλλάττεσθαι, καὶ μὴ πιστεύειν μηδὲ ταύταις μηδὲν, ἕως ἂν πρὸς τὴν Ψευδοπαιδείαν ἀφίκωνται. Κελεύει οὖν αὐτοῖς χρόνον τινὰ ἐνδιατρῖψαι, καὶ λαβεῖν ὅ τι ἂν βούλωνται παρ' αὐτῆς, ὥσπερ ἐφόδιον· εἶτα ἐντεῦθεν ἀπιέναι πρὸς τὴν ἀληθινὴν Παιδείαν συντόμως. Ταῦτ' ἐστὶν, ἃ προστάσσει τὸ Δαιμόνιον. Ὅστις τοίνυν παρ' αὐτά τι ποιεῖ, ἢ παρακούει, ἀπόλλυται κακὸς κακῶς.

XXXIII. Ὁ μὲν δὴ μῦθος, ὦ ξένοι, ὁ ἐν τῷ πίνακι, τοιοῦτος ἡμῖν ἐστιν. Εἰ δὲ δεῖ τι προσπυθέσθαι περὶ ἑκάστου τούτων, οὐδεὶς φθόνος. Ἐγὼ γὰρ ὑμῖν φράσω.

SENEX. Bono, inquit, et constanti animo esse. Quapropter vos etiam confidite : omnia enim edissertabo, nihilque prætermittam.

HOSPES. Recte, inquam ego, loqueris.

SENEX. Itaque protensa iterum manu, Videtisne, inquit, mulierem illam, quæ cæca esse et rotundo lapidi insistere videtur; quam paullo ante nuncupari Fortunam asserui?

HOSPES. Aspicimus.

31. SENEX. Huic, inquit, imperat non esse credendum, nec quicquam aut stabile aut securum aut proprium existimandum, quod ab ea acceperit. Nihil enim prohibet quin omnia hæc auferat, atque alteri tribuat : quippe quæ sæpius id agere consueverit. Quapropter illius etiam muneribus ne vinci patiatur admonet; neque gaudendum, ubi dederit; neque dolendum, ubi abstulerit : eamque postremo neque vituperandam, neque laudandam. Nihil enim cum ratione, sed temere omnia facit ac fortuito, ut antea vobis exposui. Quocirca Genius ille imperat, ut nulla ejus facinora demiremur, neve malos nummularios imitemur. Illi enim, ubi argentum ab hominibus acceperint, gaudent, et suum esse arbitrantur : ubi vero repetitur, moleste ferunt, et pessime secum actum putant; non meminerunt enim, ea se conditione depositum accepisse, ut plane liceret ei, qui deposuerat, iterum recipere. Eandem itaque in illius muneribus habendam esse rationem Genius imperat; recordandumque, ejusmodi ingenium esse Fortunæ, ut quæ dedit, auferat, statimque multiplicia rursus accumulet; deinde vero non his modo, quæ dederat, sed his etiam, quæ prius exstabant, facultatibus spoliet. Quæcumque igitur dederit, nos accipere ab ea jubet; et his acceptis, sine mora ad stabile securumque donum quærendum abire.

32. HOSPES. Quale hoc? inquam ego.

SENEX. Quod a Disciplina accipient, si usque ad eam salvi pervenerint.

HOSPES. Hoc ergo donum quodnam est?

SENEX. Vera, inquit, scientia utilium rerum, securumque donum, et stabile, et immutabile. Quocirca statim ad hanc confugere jubet. Quum vero ad illas mulieres accesserint, quas antea dixi Voluptatem et Incontinentiam nuncupari, illinc quoque actutum esse discedendum imperat, ac ne his quidem fidem esse adhibendam. At quando ad Falsam Disciplinam pervenerint, tum igitur aliquantisper immorari eos, et quicquid libuerit, ab ea tanquam viaticum accipere jubet; ac demum postea illinc abscedere, rectaque ad Veram Disciplinam pervenire. Hoc illud est quod a Genio præcipitur. Cui si quis aut contrarius aut minus obediens fuerit, miser miserrime moritur.

33. Istiusmodi sane fabula est, hospites, quæ in tabula continetur. Vobis autem nihil invideo, si quid ulterius interrogare ac perscrutari vultis : ego vobis exponam.

ΞΕΝΟΣ. Καλῶς λέγεις, ἔφην ἐγώ. Ἀλλὰ τί κελεύει αὐτοὺς τὸ Δαιμόνιον λαβεῖν παρὰ τῆς Ψευδοπαιδείας;

ΠΡΕΣΒΥΣ. Ταῦθ' ἃ δοκεῖ εὔχρηστα εἶναι.

ΞΕΝΟΣ. Ταῦτ' οὖν τίνα ἐστί;

ΠΡΕΣΒΥΣ. Γράμματα, ἔφη, καὶ τῶν ἄλλων μαθημάτων, ἃ καὶ Πλάτων φησὶν ὡσανεὶ χαλινοῦ τινος δύναμιν ἔχειν τοῖς νέοις, ἵνα μὴ εἰς ἕτερα περισπῶνται.

ΞΕΝΟΣ. Πότερον δὲ ἀνάγκη ταῦτα λαβεῖν, εἰ μέλλει τις ἥξειν πρὸς τὴν ἀληθινὴν Παιδείαν, ἢ οὔ;

ΠΡΕΣΒΥΣ. Ἀνάγκη μὲν οὐδεμία, ἔφη· χρήσιμα μέντοι ἐστί. Πρὸς δὲ τὸ βελτίους γενέσθαι οὐδὲν συμβάλλεται ταῦτα.

ΞΕΝΟΣ. Οὐδὲν ἄρα λέγεις ταῦτα χρήσιμα εἶναι πρὸς τὸ βελτίους γενέσθαι ἄνδρας;

ΠΡΕΣΒΥΣ. Οὐδέν. Ἔστι γὰρ καὶ ἄνευ τούτων βελτίους γενέσθαι· ὅμως δὲ οὐκ ἄχρηστα κἀκεῖνά ἐστιν. Ὡς γὰρ δι' ἑρμηνέως συμβάλλομεν τὰ λεγόμενά ποτε, ὅμως μέντοι γε οὐκ ἄχρηστον ἦν, ἡμᾶς καὶ αὐτοὺς τὴν φωνὴν ἀκριβεστέραν ἔχειν, ἄν τι συνήκαμεν· οὕτω καὶ ἄνευ τούτων τῶν μαθημάτων οὐδὲν κωλύσει γενέσθαι.

XXXIV. ΞΕΝΟΣ. Πότερον οὐδὲν προέχουσιν οὗτοι οἱ μαθηματικοὶ, πρὸς τὸ βελτίους γενέσθαι τῶν ἄλλων ἀνθρώπων;

ΠΡΕΣΒΥΣ. Πῶς μέλλουσι προέχειν, ἐπειδὰν φαίνωνται ἠπατημένοι περὶ ἀγαθῶν καὶ κακῶν, ὥσπερ καὶ οἱ ἄλλοι, καὶ ἔτι κατεχόμενοι ὑπὸ πάσης κακίας; Οὐδὲν γὰρ κωλύει, εἰδέναι μὲν γράμματα, καὶ κατέχειν τὰ μαθήματα πάντα, ὁμοίως δὲ μέθυσον καὶ ἀκρατῆ εἶναι, καὶ φιλάργυρον, καὶ ἄδικον, καὶ προδότην, καὶ τὸ πέρας ἄφρονα.

ΞΕΝΟΣ. Ἀμέλει πολλοὺς τοιούτους ἐστὶν ἰδεῖν.

ΠΡΕΣΒΥΣ. Πῶς οὖν οὗτοι προέχουσιν, ἔφη, εἰς τὸ βελτίους ἄνδρας γενέσθαι, ἕνεκα τούτων τῶν μαθημάτων;

XXXV. ΞΕΝΟΣ. Οὐδαμῶς φαίνεται, ἐκ τούτου τοῦ λόγου. Ἀλλὰ τί ἐστιν, ἔφην ἐγὼ, τὸ αἴτιον, ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ διατρίβουσιν, ὥσπερ ἐγγίζοντες πρὸς τὴν ἀληθινὴν Παιδείαν;

ΠΡΕΣΒΥΣ. Καὶ τί τοῦτο ὠφελεῖ αὐτούς; ἔφη· ὅτε πολλάκις ἐστὶν ἰδεῖν παραγιγνομένους ἐκ τοῦ πρώτου περιβόλου ἀπὸ τῆς Ἀκρασίας, καὶ τῆς ἄλλης Κακίας, εἰς τὸν τρίτον περίβολον, πρὸς τὴν Παιδείαν τὴν ἀληθινὴν, οἳ τούτους τοὺς μαθηματικοὺς παραλλάττουσιν. Ὥστε πῶς ἔτι προέχουσιν; ἄρα ἢ ἀκινητότεροι, ἢ δυσμαθέστεροί εἰσι.

ΞΕΝΟΣ. Πῶς, ἔφην ἐγὼ, τοῦτο;

ΠΡΕΣΒΥΣ. Ὅτι ἐν τῷ δευτέρῳ περιβόλῳ, εἰ μηδὲν ἄλλο, προσποιοῦνταί γε ἐπίστασθαι, ἃ οὐκ οἴδασιν** Ἕως δ' ἂν ἔχωσι ταύτην τὴν δόξαν, ἀκινήτους αὐτοὺς ἀνάγκη εἶναι πρὸς τὸ ὁρμᾶν πρὸς τὴν ἀληθινὴν Παιδείαν. Εἶτα, τὸ ἕτερον οὐχ ὁρᾷς, ὅτι καὶ αἱ Δό-

HOSPES. Benigne dicis, inquam ego. Ceterum quid eos capere a Falsa Disciplina Genius imperat?

SENEX. Quæ bona et conducibilia esse videantur.

HOSPES. Hæc igitur quænam sunt?

SENEX. Litteræ, inquit, et ex reliquis artibus quæ a Platone traduntur veluti vim freni cujuspiam in coercendis adolescentibus obtinere, ut ne ad aliena distrahantur.

HOSPES. Utrum vero ea capere omnino necesse est, si quis ad Veram Disciplinam sit perventurus, necne?

SENEX. Nihil, inquit, necesse est; sed alioquin utilia sunt, tametsi ad reddendos homines meliores nihil conferunt.

HOSPES. Nihil ergo affirmas hæc esse utilia ad meliores viros efficiendos?

SENEX. Nihil: licet enim profecto sine his etiam meliores fieri: illa tamen etiam non inutilia sunt. Quemadmodum enim, quæ aliquando pronunciantur, per interpretem conjicimus, quum alioquin non inutile fuerit nos etiam ipsos, si quid percepimus, voce ac lingua disertiore prosequi. Ita sine his etiam artibus fieri meliores nihil prohibebit.

34. HOSPES. Nunquid hi, qui litteris imbuti sunt, ad meliores quam alii sint homines efficiendos nihil excellunt?

SENEX. Et quonam pacto excellere poterunt, qui nihilo minus quam alii in bonorum et malorum cognitione decepti, etiam omnibus vitiis implicati videantur? Nihil enim prohibet eum qui litteris eruditus ac disciplinis omnibus fuerit institutus, itidem ebrium et intemperantem, et avarum, et injustum, et proditorem, ac postremo insipientem esse.

HOSPES. Multos profecto ejusmodi videre licet.

SENEX. Quare igitur fieri potest, inquit, ut per has disciplinas illi viri meliores evadant?

35. HOSPES. Nequaquam apparet, ex hac ratione. Sed quænam est causa, inquam ego, cur in secundo ambitu versentur, tanquam Veræ Disciplinæ appropinquantes?

SENEX. Et quid hoc, inquit, illis emolumenti affert? quum sæpe liceat animadvertere de primo ambitu in tertium, ab Incontinentia et reliquis Vitiis ad Veracem Disciplinam pervenientes, qui hos eruditos prætergrediuntur. Quare quonam modo præstant ceteris? nisi forte nimis indociles aut durioris ingenii sunt.

HOSPES. Cur hoc? inquam ego.

SENEX. Quoniam in secundo ambitu sunt, ut nihil aliud, aliud certe peccant, quod ea se scire profitentur, quæ nesciunt. Cujus sententiæ quoad fuerint, ipsos ad Veracem Disciplinam nihil omnino promoveri necesse est.

ξαι ἐκ τοῦ πρώτου περιβόλου εἰσπορεύονται πρὸς αὐτοὺς ὁμοίως; Ὥστε οὐθὲν οὗτοι ἐκείνων βελτίους εἰσὶν, ἐὰν μὴ καὶ τούτοις συνῇ Μεταμέλεια, καὶ πεισθῶσιν, ὅτι οὐ Παιδείαν ἔχουσιν, ἀλλὰ Ψευδοπαιδείαν, δι' ἣν ἀπατῶνται. Οὕτω δὲ διακείμενοι, οὐκ ἄν ποτε σωθεῖεν. Καὶ ὑμεῖς τοίνυν, ὦ ξένοι, ἔφη, ἐὰν μὴ οὕτω ποιῆτε, καὶ ἐνδιατρίβητε τοῖς λεγομένοις μέχρις ἂν ἕξιν λαβεῖν. Ἀλλὰ περὶ τῶν αὐτῶν πολλάκις δεῖ ἐπισκοπεῖν, καὶ μὴ διαλείπειν· τὰ δὲ ἄλλα πάρεργα ἡγήσασθαι. Εἰ δὲ μὴ, οὐδὲν ὄφελος ἔσται ὑμῖν ὧν νῦν ἀκούετε.

XXXVI. ΞΕΝΟΣ. Ποιήσομεν. Τοῦτο δὲ ἐξήγησαι, πῶς οὐκ ἔστιν ἀγαθὰ, ὅσα λαμβάνουσιν οἱ ἄνθρωποι παρὰ τῆς Τύχης· οἷον τὸ ζῆν, τὸ ὑγιαίνειν, τὸ πλουτεῖν, τὸ εὐδοξεῖν, τὸ τέκνα ἔχειν, τὸ νικᾶν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια· ἢ πάλιν, καὶ ἐναντία πῶς οὐκ ἔστι κακά· πάνυ γὰρ ἡμῖν παράδοξον καὶ ἄπιστον δοκεῖ τὸ λεγόμενον.

ΠΡΕΣΒΥΣ. Ἄγε τοίνυν, πειρῶ, ἔφη, ἀποκρίνασθαι τὸ φαινόμενον περὶ ὧν ἄν σε ἐρωτῶ.

ΞΕΝΟΣ. Ἀλλὰ ποιήσω τοῦτο, ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Πότερον οὖν, κἂν κακῶς τις ζῇ, ἀγαθὸν ἐκείνῳ τὸ ζῆν;

ΞΕΝΟΣ. Οὔ μοι δοκεῖ, ἀλλὰ κακόν· ἔφην ἐγώ.

ΠΡΕΣΒΥΣ. Πῶς οὖν ἀγαθόν ἐστι τὸ ζῆν, ἔφη, εἴπερ τούτῳ ἐστὶ κακόν;

ΞΕΝΟΣ. Ὅτι τοῖς μὲν κακῶς ζῶσι κακόν μοι δοκεῖ εἶναι· τοῖς δὲ καλῶς, ἀγαθόν.

ΠΡΕΣΒΥΣ. Καὶ κακὸν ἄρα λέγεις τὸ ζῆν, καὶ ἀγαθὸν εἶναι;

ΞΕΝΟΣ. Ἔγωγε.

XXXVII. ΠΡΕΣΒΥΣ. Μὴ οὖν ἀπιθάνως λέγε. Ἀδύνατον γὰρ τὸ αὐτὸ πρᾶγμα καὶ κακὸν καὶ ἀγαθὸν εἶναι. Οὕτω γὰρ καὶ ὠφέλιμον καὶ βλαβερὸν ἂν εἴη, καὶ αἱρετὸν καὶ φευκτὸν ἅμα ἀεί.

ΞΕΝΟΣ. Ἀπίθανον μέν· ἀλλὰ πῶς οὐκ, εἰ τὸ κακῶς ζῆν, ᾧ ἂν ὑπάρχοι, κακόν τι ὑπάρχει αὐτῷ, κακὸν αὐτῷ τὸ ζῆν ἐστιν;

ΠΡΕΣΒΥΣ. Ἀλλ' οὐ τὸ αὐτὸ, ἔφη, ὑπάρχει τὸ ζῆν τῷ κακῶς ζῆν. Ἢ οὔ σοι φαίνεται;

ΞΕΝΟΣ. Ἀμέλει οὐδ' ἐμοὶ δοκεῖ τὸ αὐτὸ εἶναι.

ΠΡΕΣΒΥΣ. Τὸ κακῶς τοίνυν ζῆν, κακόν ἐστι· τὸ δὲ ζῆν, οὐ κακόν ἐστιν.. Ἐπεὶ, εἰ ἦν κακὸν, τοῖς ζῶσι καλῶς κακὸν δὴ ὑπῆρχεν, ἐπεὶ τὸ ζῆν αὐτοῖς ὑπῆρχεν, ὅπερ ἐστὶ κακόν.

ΞΕΝΟΣ. Ἀληθῆ μοι δοκεῖς λέγειν.

XXXVIII. ΠΡΕΣΒΥΣ. Ἐπεὶ τοίνυν ἀμφοτέροις συμβαίνει τὸ ζῆν, καὶ τοῖς κακῶς ζῶσι, καὶ τοῖς καλῶς, οὐκ ἂν εἴη οὔτε ἀγαθὸν εἶναι τὸ ζῆν, οὔτε κακόν· ὥσπερ οὐδὲ τὸ τέμνειν καὶ καίειν ἐν τοῖς ἀῤῥωστοῦσίν ἐστι νοσερὸν καὶ ὑγιεινόν· οὐκοῦν οὕτω καὶ ἐπὶ τοῦ ζῆν.

ΞΕΝΟΣ. Ἔστι ταῦτα.

Illud præterea nonne vides, quod Opiniones etiam de primo ambitu ad eos similiter ingrediuntur? Quo fit, ut illis hi nihilo meliores exsistant; nisi ad hos itidem Pœnitentia accedat, sibique persuadeant, se non Disciplinam, sed Falsam Disciplinam attigisse, per quam decipiantur. Qui ita affecti sunt, salvi esse non unquam poterunt. Neque vos poteritis, hospites, nisi hoc agatis et perseveretis in iis quæ diximus usque dum habitum eorum ceperitis. Quin immo de his ipsis sæpenumero considerandum est, et nihil intermittendum : sed reliqua præter rem existimanda. Alioquin nulla eorum, quæ nunc auditis, utilitas erit.

36. HOSPES. Ita faciemus. Illud autem explica, cur bona non sint ea, quæ homines a Fortuna percipiunt, sicuti vita, sanitas, divitiæ, gloria, liberi, victoriæ, et reliqua his similia : rursusque his opposita cur mala non sint : valde enim præter rationem et incredibile hoc nobis videtur.

SENEX. Age itaque, inquit, enitere, ut, quod sentias de quibus a me interrogaberis, respondeas.

HOSPES. Atque hoc, inquam ego, faciam facile.

SENEX. Utrum igitur, si male quispiam vivat, vivere illi bonum censes?

HOSPES. Non bonum, sed malum, inquam ego, mihi videtur.

SENEX. Quonam igitur pacto vivere per se bonum est, inquit, siquidem huic homini malum est?

HOSPES. Quia male viventibus, malum, bene autem, bonum esse mihi videtur.

SENEX. Ipsum igitur vivere et malum et bonum esse contendis?

HOSPES. Ego, inquam.

37. SENEX. Absit itaque ut tam absurde loquaris. Neque enim fieri potest ut eadem res malum pariter, ac bonum sit. Ita enim et utile et perniciosum, et eligendum et fugiendum simul idem semper foret.

HOSPES. Incredibile quidem est : sed quonam pacto, si, cui male vivere contingat, eidem quoque malum contingat, ipsum vivere malum non est?

SENEX. Atqui vivere, et male vivere, sub eodem non censetur. Nunquid non ita tibi videtur?

HOSPES. Profecto, idem esse, ne mihi quidem videtur.

SENEX. Itaque male vivere, malum est; vivere autem per se, non malum est : nam, si malum esset, malum utique etiam bene viventibus esset; quia, quod per se malum est, ipsum vivere illis adesset.

HOSPES. Vera mihi dicere videris.

38. SENEX. Quoniam igitur et male et bene viventibus vivere ipsum contingit; neque bonum neque malum esse ipsum vivere confirmatur : sicuti nec secare atque urere in ægrotantibus per se morbosum aut salubre est : sic res se habet in ipso etiam vivere.

HOSPES. Ita res est.

ΠΡΕΣΒΥΣ. Σὺ τοίνυν οὕτω θεώρησον. Πότερον ἂν βούλοιο ζῆν κακῶς, ἢ ἀποθανεῖν καλῶς καὶ ἀνδρείως;

ΞΕΝΟΣ. Ἀποθανεῖν ἔγωγε καλῶς.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν οὐδὲ τὸ ἀποθανεῖν κακόν ἐστιν, εἴπερ αἱρετώτερόν ἐστι πολλάκις τὸ ἀποθανεῖν τοῦ ζῆν.

ΞΕΝΟΣ. Ἔστι ταῦτα.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν ὁ αὐτὸς λόγος καὶ περὶ τοῦ ὑγιαίνειν, καὶ νοσεῖν. Πολλάκις γὰρ οὐ συμφέρει ὑγιαίνειν, ἀλλὰ τοὐναντίον, ὅταν ἡ περίστασις τοιαύτη.

ΞΕΝΟΣ. Ἀληθῆ λέγεις.

XXXIX. ΠΡΕΣΒΥΣ. Ἄγε δή, σκεψώμεθα καὶ περὶ τοῦ πλουτεῖν οὕτως· εἴγε θεωρεῖν ἐστιν, ὡς πολλάκις ἐστὶν ἰδεῖν, ὑπάρχοντά τινι πλοῦτον, κακῶς δὲ ζῶντα τοῦτον καὶ ἀθλίως.

ΞΕΝΟΣ. Νὴ Δία, πολλούς γε.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν οὐδὲν τούτοις ὁ πλοῦτος βοηθεῖ εἰς τὸ ζῆν καλῶς;

ΞΕΝΟΣ. Φαίνεται· αὐτοὶ γὰρ φαῦλοί εἰσιν.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν τὸ σπουδαίους εἶναι, οὐχ ὁ πλοῦτος ποιεῖ, ἀλλὰ ἡ Παιδεία.

ΞΕΝΟΣ. Εἰκός γε, ἐκ τούτου ἄρα τοῦ λόγου.

ΠΡΕΣΒΥΣ. Ποῦ δὲ ὁ πλοῦτος ἀγαθόν ἐστιν, εἴπερ οὐ βοηθεῖ τοῖς ἔχουσιν αὐτὸν εἰς τὸ βελτίους εἶναι;

ΞΕΝΟΣ. Φαίνεται.

ΠΡΕΣΒΥΣ. Οὕτως οὐδὲ συμφέρει ἄρα ἐνίοις πλουτεῖν, ὅταν μὴ ἐπίστωνται τῷ πλούτῳ χρῆσθαι.

ΞΕΝΟΣ. Δοκεῖ μοι.

ΠΡΕΣΒΥΣ. Πῶς οὖν τοῦτο ἄν τις κρινεῖ ἀγαθὸν εἶναι, ὃ πολλάκις οὐ συμφέρει ὑπάρχειν;

ΞΕΝΟΣ. Οὐδαμῶς.

ΠΡΕΣΒΥΣ. Οὐκοῦν εἰ μέν τις ἐπίσταται πλούτῳ χρῆσθαι καλῶς καὶ ἐμπείρως, εὖ βιώσεται· εἰ δὲ μή, κακῶς.

ΞΕΝΟΣ. Ἀληθέστατά μοι δοκεῖς τοῦτο λέγειν.

XL. ΠΡΕΣΒΥΣ. Καὶ τὸ σύνολον δέ, τὸ τιμᾷν ταῦτα ὡς ἀγαθὰ ὄντα, ἢ ἀτιμάζειν ὡς κακά, τοῦτο δ' ἔστι τὸ ταράττον τοὺς ἀνθρώπους καὶ βλάπτον· ὅταν τιμῶνταί τε, καὶ οἴωνται διὰ τούτων μόνων εἶναι τὸ εὐδαιμονεῖν, καὶ πάνθ' ἑπομένως πράττωσιν ἕνεκα τούτων, καὶ τὰ ἀσεβέστατα δοκοῦντα εἶναι. Ταῦτα δὲ πάσχουσι διὰ τὴν τοῦ ἀγαθοῦ ἄγνοιαν. Ἀγνοοῦσι γάρ, ὅτι οὐ γίνεται ἐκ κακῶν ἀγαθόν. Πλοῦτον δέ ἐστι πολλοὺς κτησαμένους ἰδεῖν ἐκ κακῶν καὶ αἰσχρῶν ἔργων, οἷον λέγω ἐκ τοῦ προδιδόναι, καὶ λῄζεσθαι, καὶ ἀνδροφονεῖν, καὶ συκοφαντεῖν, καὶ ἀποστερεῖν, καὶ ἐξ ἄλλων πολλῶν καὶ μοχθηρῶν.

ΞΕΝΟΣ. Ἔστι ταῦτα.

XLI. ΠΡΕΣΒΥΣ. Εἰ τοίνυν γίνεται ἐκ κακοῦ ἀγαθὸν μηθέν, ὥσπερ εἰκός, πλοῦτος δὲ γίνεται ἐκ κακῶν ἔργων· ἀνάγκη μὴ εἶναι ἀγαθὸν τὸν πλοῦτον.

ΞΕΝΟΣ. Συμβαίνει οὕτως ἐκ τούτου τοῦ λόγου.

SENEX. Tu itaque sic considera. Utrum male vivere, an potius honeste ac generose mori cupias?

HOSPES. Honeste, inquam ego, potius mori.

SENEX. Quocirca ne mori quidem est malum, si quidem emori quam vivere sæpe est eligibilius.

HOSPES. Ita se res habet.

SENEX. Eadem est ratio de sanitate et infirmitate. Sæpius enim, sanum esse non confert, verum contra, quum ita res tulerit.

HOSPES. Vera dicis.

39. SENEX. Age vero, de divitiis ita consideremus: siquidem multos intueri sæpenumero licet divitiis affluentes, pessime tamen ac miserrime viventes.

HOSPES. Multos, per Jovem.

SENEX. Quapropter ad bene vivendum nihil illis divitiæ prosunt?

HOSPES. Non videtur: ipsi enim improbi sunt.

SENEX. Non divitiæ igitur, sed Disciplina, probos ac studiosos efficit.

HOSPES. Ita sane hac argumentatione comprobatum est.

SENEX. Ubi autem bonæ sunt ipsæ divitiæ, si ad meliores efficiendos possessores suos nihil adjuvant?

HOSPES. Ita prorsus apparet.

SENEX. Quibusdam ergo divitias habere non confert, ubi divitiis uti nesciunt.

HOSPES. Mihi ita videtur.

SENEX. Quomodo igitur bonum esse id aliquis judicabit, quod sæpe non possidere satius est?

HOSPES. Nullatenus.

SENEX. Si quis igitur recte ac prudenter divitiis uti noverit, bene ac feliciter vivet; si secus, male atque infeliciter.

HOSPES. Verissime dicere hoc mihi videris.

40 SENEX. Summa vero totius est rei, dum hæc aut tamquam bona expetuntur, aut tamquam mala despiciuntur: neque aliud est, quod æque hominibus aut perturbationem aut detrimentum afferat, quam quum honoribus afficiuntur, et in solis divitiis consistere felicitatem arbitrantur, consequenterque nullum earum rerum gratia, quamvis impium et flagitiosum, facinus esse recusandum. Hæc vero propter ipsam veri boni ignorantiam patiuntur. Illud enim ignorant, bonum ex malo fieri nequaquam. Multos autem videre licet in divitiarum possessionem ex pessimis ac turpissimis facinoribus devenisse, veluti proditionibus, deprædationibus, homicidiis, calumniis, rapinis, aliisque compluribus et pravis operibus.

HOSPES. Ita res est.

41. SENEX. Si igitur, ut par est, ex malo bonum nullum provenit, divitiæ vero ex malis facinoribus proveniunt; divitias nequaquam bonum esse necesse est.

HOSPES. Sic ex isto sermone colligitur.

ΠΡΕΣΒΥΣ. Ἀλλ' οὐδὲ τὸ φρονεῖν γε οὐδὲ δικαιοπραγεῖν οὐκ ἔστι κτήσασθαι ἐκ κακῶν ἔργων· ὡσαύτως δὲ οὐδὲ τὸ ἀδικεῖν καὶ ἀφρονεῖν, ἐκ καλῶν ἔργων· οὐδὲ ὑπάρχειν ἅμα τῷ αὐτῷ δύνανται. Πλοῦτον δὲ, καὶ δόξαν, καὶ τὸ νικᾷν, καὶ τὰ λοιπὰ ὅσα τούτοις παραπλήσια, οὐδὲν κωλύει ὑπάρχειν τινὶ ἅμα μετὰ κακίας πολλῆς. Ὥστε οὐκ ἂν εἴη ταῦτα ἀγαθὰ, οὐδὲ κακά· ἀλλὰ τὸ φρονεῖν μόνον ἀγαθὸν, τὸ δὲ ἀφρονεῖν κακόν.

ΞΕΝΟΣ. Ἱκανῶς μοι δοκεῖς λέγειν, ἔφην.

SENEX. Ceterum, ne sapientia quidem et justitia ex malis operibus acquiri potest; neque itidem injustitia et insipientia ex bonis : siquidem ipsa eadem simul in eodem consistere non possunt. Divitias vero et gloriam et victorias, et reliqua id genus, simul cum multa pravitate cuiquam contingere nihil prohibet. Quapropter hæc neque bona neque mala censeantur. Ceterum sapientia duntaxat bonum, insipientia vero malum.

HOSPES. Sufficienter mihi dicere videris.

ΜΑΞΙΜΟΥ ΤΥΡΙΟΥ

ΠΛΑΤΩΝΙΚΟΥ ΦΙΛΟΣΟΦΟΥ ΤΩΝ ΕΝ ΡΩΜΗ ΔΙΑΛΕΞΕΩΝ ΤΗΣ ΠΡΩΤΗΣ ΕΠΙΔΗΜΙΑΣ Α.

Περὶ ἡδονῆς, ὅτι εἰ καὶ ἀγαθὸν, ἀλλ' οὐ βέβαιον. Α'.

1. Χαλεπὸν ἐσθλὸν ἔμμεναι, κατὰ παλαιὸν ᾆσμα. Πότερα δὲ ἵππῳ χαλεπὸν ἐσθλὸν ἔμμεναι τὴν ἵππου ἀρετὴν, καὶ κυνὶ τὴν κυνός; ἢ ἵππῳ μὲν καὶ κυνὶ οὐ χαλεπὸν τὸ οἰκεῖον ἀγαθὸν, ἀλλὰ ῥᾳστώνη τούτων ἑκάστῳ ἐπιλαβέσθαι τῆς αὐτοῦ ἀρετῆς, εἰ ὁ μὲν ἵππος ὑπὸ τέχνης πωλευθείη καλῶς, ὁ δὲ κύων ἐν θήρᾳ σκυλακευθείη δεξιῶς· τῷ δὲ ἀνθρώπῳ μόνῳ δυσθήρατον τὸ ἀγαθὸν καὶ δύσληπτον καὶ ἀμφισβητήσιμον, καὶ οὐδεμία πω ἐξεύρηται τέχνη, ὑφ' ἧς παιδευθείη τουτὶ τὸ γένος; οὐ γὰρ ἀεὶ παρέξει τοῖς σοφισταῖς προφάσεις λόγων καὶ διαγωνίας καὶ ἔριδος, οὐδὲ ἀφαιρήσει αὐτοῦ τὴν ἐλπίδα τοῦ τέλους, οὐδὲ προήσεται τὴν σωτηρίαν, διὰ τὸ ἀστάθμητον τῶν λόγων ὑποτετμημένος τὰς προσδοκίας, οὐδὲ ἀμελήσει τοῦ μανθάνειν, οὐδὲ πείσεται ὅπερ τῶν πλεόντων οἱ δυσέλπιδες καὶ θαλάττῃ πρῶτον ἐντετυχηκότες· οὓς ἐὰν καὶ σμικρὸς ὑπολάβῃ κλύδων, ἐκπλαγέντες τῇ ἀηθείᾳ, καὶ καταλιπόντες τὴν ναῦν, καὶ ἀμελήσαντες τῆς σωζούσης τέχνης, παρέδωκαν αὑτοὺς τῷ κύματι, καὶ προαναλώθησαν τῆς νεώς· τοιοῦτόν τι γάρ μοι δοκοῦσι δρᾶν καὶ ὅσοι φιλοσοφίας ἐπιλαμβανόμενοι, ἐμπεσόντες αὐτῆς ταῖς πολυφωνίαις, οὐχ ὑπομένουσι τὸν τῆς ψυχῆς σάλον, ἀλλ' ἀπεγνώκασι τοῦ λόγου ὡς στησομένου ποτὲ καὶ καθορμιοῦντος αὐτοὺς εἰς ἑδραίους λιμένας.

2. Ἢ ἀγνοεῖς ὅτι ἀνθρώπων δόξαι καὶ παθήματα, καὶ αἱ τούτων αἰτίαι καὶ γενέσεις, καὶ ἐπανορθώσεις, καὶ σωτηρίαι, ὑπὲρ ὧν οἱ φιλόσοφοι ὁσημέραι πραγματεύονται καὶ λέγουσι, χρῆμα οὐ στενὸν, οὐδὲ ἁπλοῦν, οὐδὲ ἐοικὸς τοῖς εὐθυπόροις τῶν ποταμῶν, οἷς ἐστι παραδόντα τὴν ναῦν ἀφεῖναι τῷ ῥεύματι κατάγειν αὐτὴν ὡμολογημένας ὁδούς; Ἀλλ' ἔστι γὰρ κἀνταῦθα πέλαγος πλατὺ καὶ μέγα, παντὸς Σικελικοῦ καὶ Αἰγυπτίου πολυπλανέστερον· ἡ δὲ τέχνη οἶδε τὴν ὁδὸν, καὶ πρὸς τὸν οὐρανὸν ἀφορᾷ, καὶ τοὺς λιμένας γνωρίζει. Πέπονθε δὲ αὐτὸ ἐκεῖνο, ὅπερ καὶ τῶν κυβερνητῶν οἱ πολλοί· ἐφίεται μὲν γὰρ ἕκαστος τοῦ εἰδέναι, ἀπολείπονται δὲ οἱ πολλοὶ τοῦ ὀρθῶς εἰδέναι· καὶ τῶν μὲν λιμένων ἀστοχοῦσιν, ἐκφέρονται δ' οἱ μὲν ἐπὶ ῥαχίας δυσχερεῖς, οἱ δὲ ἐπ' ἠϊόνας μαλθακὰς, οἱ δὲ ἐπὶ τὰς Σειρῆνας, οἱ δὲ ἐπὶ τοὺς Λωτοφάγους καὶ ἄλλους ἄνδρας ἢ διὰ μοχθηρίαν ἀξένους, ἢ δι' ἀμαθίαν ἀθέους, ἢ ὑφ' ἡδονῆς διεφθαρμένους· εἰ δέ πού τίς ἐστιν ἀγαθὸς καὶ εὔστοχος κυβερνήτης, εὐθὺ τῶν λιμένων χωρεῖ τῶν ἀσφαλεστάτων,

Ἔνθ' οὐ χρεὼ πείσματός ἐστιν,
οὔτ' εὐνὰς βαλέειν, οὔτε πρυμνήσι' ἀνάψαι.

Τίς οὖν ἐστιν ὁ κυβερνήτης οὗτος; καὶ τίνι φέροντες

MAXIMI TYRII

PHILOSOPHI PLATONICI DISSERTATIONUM ROMÆ IN PRIMA COMMORATIONE HABITARUM I. (1. p. 1—6.)

Voluptatem etsi bonum, non tamen esse stabile. I.

1. *Difficile est bonum esse,* ut in veteri carmine est. Scire velim, utrum equo difficile sit virtute equi, et cani virtute sua excellere; an vero proprium illi bonum sine difficultate consequantur, singulisque virtutis suæ facilis sit possessio, si quidem ab arte equus tener adhuc, ut oportet, dometur, et a teneris venationi assuescat canis; solus vero homo ad investigationem boni sui non nisi ægre perveniat, nec facile assequatur, nec facile discernat; nullaque adhuc inventa ars sit, qua commode et perfecte instituatur hoc genus. Non enim omni tempore sophistis præbebit disserendi, aut disputandi, aut rixandi occasionem, nec sibi spem consequendi finis præcidet sui, neque disputationum ambiguitate deterritus salutem abjiciet suam, de profectu desperans, neque discendi studium unquam omittet; denique non experietur quod vectores meticulosi et qui primum ingrediuntur mare: quos si minima excipiat tempestas, inusitatæ rei specie deterriti navem relinquunt, artis præsidium negligunt, fluctibus (in cymba) se committunt, priusque, quam navis ipsa, pereunt. Non aliud enim mihi agere videntur philosophiæ studiosi, qui simul ac diversitatem, quæ in ea est plurima, opinionum inspexerunt, non ferunt hanc animæ vertiginem, nec futurum unquam confidunt, ut in portum eos quietum deducat ipsa ratio.

2. An ignoras mortalium opiniones et affectiones, causasque earum et initia, remedia et salutem, de quibus quotidie inter se velitantur disseruntque philosophi, rem esse non parvam neque simplicem, non directam aut expeditam, quales nonnulli sunt fluvii, quibus si navem committas, ipso cum fluxu per cognitas vias tuto devehetur? Sed et hic mare latum vastumque est, omni Siculo Ægyptioque intricatius: ars vero viam tenet, cœlum intuetur, portus agnoscit. Verumtamen accidit ei idem quoque, quod gubernatoribus plerisque, ut scire velint omnes, recte autem sciant pauci. Ergo a portubus aberrant, alii in cautes asperas, alii in cœnosa litora, alii in Sirenum scopulos, alii in Lotophagorum terram, similesque deferuntur homines, quos vel inhospitales improbitas, vel deorum ignaros fecit imperitia, vel corrupit voluptas. Si quis vero bonus peritusque est gubernator, recta portum subit tranquillum,

ubi vincula naves
nulla tenent, unco non alligat ancora morsu.

Quis vero hic gubernator est? et cui nos committemus ultro?

ἑαυτοὺς ἐπιτρέψομεν; Μήπω με τοῦτο, ὦ τὰν, ἔρῃ, πρὶν ἂν τοὺς ἄλλους ἴδῃς καὶ ἐξετάσῃς· καὶ πρῶτόν γε αὐτῶν τὸν ἁβρὸν τοῦτον καὶ ἥδιστον κυβερνήτην ἡδίστης τῆς νεὼς οὔσης ἐκ γῆς ἰδεῖν, ἐν δὲ τῷ πλῷ ἀχρειοτάτης καὶ πονηρᾶς ἀεὶ καὶ δυσέργου ταῖς ὑπηρεσίαις, καὶ ἐκτετμημένης τὰ ὄργανα, καὶ πρὸς τὰς τοῦ χειμῶνος ἐμβολὰς ἀσθενεστάτης καὶ ἐνδοσίμου.

2. Ἐπεὶ δὲ ὁ λόγος οὐκ οἶδ᾽ ὅπως εἰκόνος θαλαττίας ἐπελάβετο, μὴ ἀφῶμεν αὐτὸν ἀπελθεῖν ἡμῖν, πρὶν ἐξεργάσηται σαφῶς τὴν γραφὴν, εἰκάζων τὴν Ἐπικούρου φιλοσοφίαν βασιλικῇ ὁλκάδι Αἰήτου βασιλέως. Λέγω δὲ οὐ μῦθον πλάττων, ἀλλὰ οὐ πολὺς χρόνος ὅτε ἐξ Αἰγύπτου ἐς Τροίαν ἔπλει βασιλεὺς τῶν ὑπὲρ Φοινίκης βαρβάρων ἐκείνων τῶν ἀνδρῶν, οἳ « οὐκ ἴσασι θάλατταν, οὐδὲ ἀλέγουσι τοῦ Αἰγιόχου Διὸς οὐδὲ θεῶν μακάρων. » Παρεσκευάσατο δὴ μέλλων πλεῖν ὁ ἄθεος οὗτος καὶ ἀθάλαττος βασιλεὺς μεγάλην καὶ εὐρύχωρον ναῦν, ἵνα αὐτῷ πᾶσαι αἱ ἡδοναὶ συμπλέωσι· τὸ μὲν γὰρ αὐτῆς βασίλεια ἦν οἷα κάλλιστα, παστάδες, καὶ εὐναὶ, καὶ δρόμοι·

Ἔκτοσθεν δ᾽ αὐλῆς μέγας ὄρχατος ἄγχι θυράων
τετράγυος,

καὶ δένδρα ἐμπεφύκεσαν, ῥοιαὶ, καὶ ὄγχναι, καὶ μηλέαι, καὶ ἄμπελοι· τὸ δὲ αὐτῆς λουτρὸν ἦν, καὶ γυμνάσιον· τὸ δὲ, ὀψοποιοῖς χώρα· τὸ δὲ, θάλαμοι παλλακίσιν· τὸ δὲ, συμπόσιον· τὸ δὲ, ἄλλο τι μέρος τρυφώσης πόλεως. Περιεβέβλητο δὲ ἡ ναῦς πολλὰς μὲν χρόας ἡδίστας ἰδεῖν, πολὺν δὲ χρυσὸν καὶ ἄργυρον· καὶ διέφερεν οὐδὲν ἀνδρὸς δειλοῦ κεκοσμημένου ὅπλοις χρυσοῖς. Ἐθαύμαζον, οἷον εἰκὸς, τὸ θέαμα οἱ Αἰγύπτιοι, καὶ τὸν ἐπιβάτην ἐμακάριζον, καί πού τις εὔξατο ναύτης γενέσθαι ἡδίστης νεώς· ἐπεὶ δὲ ὥρα ἀνάγεσθαι ἦν, ἐξέπλει μὲν ἡ μεγάλη αὕτη ναῦς καὶ πολυτελὴς, καὶ ἀπεσάλευε τῶν λιμένων, καθάπερ νῆσος πλωτή. Ἐξέπλεον δὲ καὶ αἱ ἄλλαι ὁλκάδες αἱ δημοτικαὶ, εὔζωνοι καὶ πρὸς τὴν χρείαν παρεσκευασμέναι. Μέχρι μὲν ἦν τὸ πνεῦμα πρᾶον, ἐκράτει ταῖς ἡδοναῖς ἡ βασιλικὴ ναῦς, καὶ κνίσης ἦν πάντα μεστὰ,

Αὐλῶν, συρίγγων τ᾽ ἐνοπῆς, ὁμάδου τ᾽ ἀνθρώπων·

ἐπεὶ δὲ ἐξ αἰθρίας ἄφνω χειμὼν ἐπετάραξε τὸν αἰθέρα, καὶ πνεῦμα κάτεισι λάβρον σὺν πολλῷ πατάγῳ, ἔγνωσαν τότε τίς μὲν ἡδονῆς χρεία, τίς δὲ τέχνης. Αἱ μὲν γὰρ ἄλλαι ὁλκάδες ξυνενεικάμεναι τὰ ἱστία πρὸς τὸν κλύδωνα ἡμιλλῶντο, καὶ τὸ πνεῦμα ἔφερον, καὶ τὴν ἐμβολὴν τοῦ κακοῦ ἀπεμάχοντο· ἡ δὲ κακοδαίμων ἐκείνη ναῦς περιεφέρετο, καθάπερ ἀνδρὸς σῶμα μέγα καρηβαροῦν καὶ ὑπὸ μέθης σφαλλόμενον· καὶ οὔτε ὁ κυβερνήτης ὅ,τι χρήσαιτο τῇ τέχνῃ εἶχεν, ὅ, τε ἁβρὸς ἐκεῖνος ὄχλος ἔκειτο ἐκπλαγεὶς καὶ στένων· κατήριπε δὲ ὁ χειμὼν τὰ θαυμαστὰ ἐκεῖνα πάντα,

Πολλὰ δ᾽ ὅγε προθέλυμνα χαμαὶ βάλε δούρατα μακρά·

Noli id ex me quærere, priusquam diversos illos inspexeris examinaverisque, mi homo. Ante omnia autem fac ex istis prodeat deliciosus ille voluptatique deditus gubernator navis quæ e terra intuentibus appareat jucundissima, in mari vero inutilissima et ad omnia tarda sit ministeria et inepta, armamentis præterea privata omnibus, ut irruenti tempestati cedat facile, nudumque undæ præbeat latus.

3. Quandoquidem autem similitudinem a mari desumptam nescio quomodo nobis suppeditavit oratio, ne dimittamus hanc, priusquam totum, quod volumus, nobis depinxerit, Epicuri philosophiam cum prætoria Æetæ regis nave conferens. Nec fabulam referre volo: sed non ita diu est, quum rex quidam ex Ægypto Trojam versus navigaret, homo barbarus, e numero eorum, qui supra Phœnices colunt, *nec norunt mare, nec reverentur Jovem Ægida tenentem, nec divos alios*. Hic impius marisque imperitus rex maximam sibi spatiosissimamque strui navem jusserat, in qua quascunque vellet, secum voluptates veheret. Nam pars ejus erat velut regia splendidissima, thalami, cubicula, curricula:

Extra aulam magnus fuit hortus, limina juxta,
quattuor extensus per jugera:

in eo arbores crescebant diversæ, punicæ, pyri, mali, vitesque. Aliam partem lavacrum tenebat, et gymnasium; aliam, locus cocis destinatus; aliam, pellicum cubilia; aliam, triclinium; aliam aliud, in quo, non secus quam in urbe voluptatibus fracta, oblectaret genium. Picta erat navis undique coloribus variis, visu jucundissimis; neque auri deerat, aut argenti copia. Denique similis erat homini imbelli, qui arma gestaret aurea. Mirabantur, ut par erat, hoc spectaculum Ægyptii, felicemque uno omnes ore judicabant vectorem; neque deerat qui vehi in suavissima navi vehementer optaret. Quum autem jam solvendi tempus esset, exire cœpit magna hæc atque opulenta navis, multumque jactata vix egressa est portum; non aliter quam insula, quæ in aqua natat. Egressæ sunt et naves reliquæ vulgares, succinctæ ad navigationem atque ad usum expeditæ. Tantisper ergo dum a ventis esset in mari tranquillitas, longe voluptatibus suis superior erat navis regia, plenaque omnia nidore erant; tum

Tibiaque, fremitusque hominum, et stridebat arundo.

Simulatque autem e malacia illa subita aerem turbavit tempestas, multoque ventus vehemens in mare fremitu descendit; tum demum quis voluptatis esset usus, quis artis cœpit intelligi. Ceteræ namque vela contrahere naves, paria cum fluctibus facere, venti sustinere impetum, mali vim expugnare: sola vero misera illa navis, non secus quam magni corpus hominis, quod gravedine aut ebrietate vertitur, huc illuc impelli; adeo ut neque gubernator artis explorare opem posset, et effeminata illa turba hic illic metu attonita et plorans jaceret. Interim præclara illa omnia tempestas dissipavit,

Plurimaque evertit radicitus ardua ligna.

διελύετο δὲ καὶ τὰ βασίλεια, καὶ οἱ θάλαμοι, καὶ τὰ λουτρὰ, καὶ ἐξέπιπτεν εἰς γῆν πόλεως ναυάγια·

Οἱ δὲ κορώνῃσιν ἴκελοι περὶ νῆα μέλαιναν
κύμασιν ἐμφορέοντο.

Τοῦτο τέλος ἀνοήτου ἐπιβάτου, καὶ ἀχρήστου νεὼς, καὶ ἀκαίρου τρυφῆς.

4. Ἐπανάγωμεν δὲ αὖθις ἐπὶ τὸν λόγον, ᾧ τὴν εἰκόνα ταύτην παρεβάλομεν. Ἔοικε γὰρ ἀμέλει καὶ οὗτος οὐ πλοῦν βραχὺν, οὐδὲ ἡμερῶν ὀλίγων ἡμῖν δρόμον διαγωνιουμένοις, ἀλλὰ τὸν τοῦ ζῆν ξύμπαντα χρόνον νομοθετεῖν ἡδονὰς οὐδὲν τῶν θαλαττίων ἐκείνων ἀσφαλεστέρας· μήπω γάρ τις ἡμᾶς πειθέτω λόγος ὡς οὐκ ἀγαθὸν ἡδονὴ, ἀλλὰ ἀγωνιζέσθω, ἐὰν πεῖσαι δυνηθῇ μηδὲ μεταβάλλειν. Ἂν δὲ δυνηθῇ, ἀνέξομαι ἡδόμενος τὸν πάντα χρόνον, καὶ ἀμελήσω τῆς ἀρετῆς, ἐάν μοι δείξῃς ἡδονὴν ἀσφαλῆ καὶ λύπης ἀμιγῆ, ἡδονὴν ἀμετάγνωστον, ἡδονὴν ἐπαινουμένην. Δείξεις δὲ πῶς; οὐ μᾶλλον ἢ λύπην· οὐδὲν γὰρ ὑγιὲς οὐδὲ εἰλικρινὲς τούτων κατεστήσατο τοῖς ἀνθρώποις ἡ φύσις, ἀλλὰ ἀναμέμικται πανταχοῦ τὰ λυπηρὰ τοῖς ἡδέσιν, ἑκάτερον ἐν ἑκατέρῳ φυρόμενον· ἀνάγκη δὲ αἱρούμενον θάτερον καὶ τοῦ ἄλλου μετέχειν εὐθύς· ἅτε γὰρ ἀλλήλοις συμπεφυκότα τὸ ἕτερον τῷ ἑτέρῳ ἐπιρρεῖ, καὶ ἀντικαταλλάττεται τὰς γενέσεις, καὶ ἀμείβει τὰς συνουσίας. Ὑπὸ δὲ τῆς παλιρροίας ταύτης ψυχὴ κυκωμένη, πῶς ἄν ποτε ἐπιλάθοιτο ἀλυπίας, συνοῦσα ἀγαθοῖς ἐστερημένοις; Ἐγὼ καὶ θαλάττῃ διὰ τοῦτο ἀπιστῶ, κἂν νήνεμος ᾖ, κἂν γαλήνην ἔχῃ· ὑποπτεύω γὰρ αὐτῆς τὴν ἡσυχίαν· εἰ δέ με βούλει πιστεῦσαι γαλήνῃ, ἄγε λαβὼν εἰς πέλαγος ἀσφαλὲς,

Ἔνθ' οὐκ ἔστ' οὔτ' ἄρ χειμὼν πολὺς, οὔτε ποτ' ὄμβρῳ
δεύεται· ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη.

Συγκεκλήρωται δὲ καὶ ἡ ψυχὴ τοιούτῳ πάθει· καὶ μέχρις ἂν αὐτῇ ἀπῇ μὲν ὁ κυβερνήτης, ἀπῇ δὲ καὶ ἡ τέχνη, κἂν γαλήνην ἴδῃ, χειμῶνα δέδιεν· κἂν χειμῶνι ἐντύχῃ, γαλήνην ποθεῖ. Ἀνδρὸς γὰρ βίος πρὸς ἡδονὴν νενευκότος, καὶ λύπην ἐπτοημένου, κοῦφος καὶ ψοφοδεὴς καὶ ἄπιστος καὶ θαλάττης πάσης ἀδηλότερος.

5. Οὐχ ὁρᾷς τοὺς μνηστῆρας νεανικαῖς ἡδοναῖς συγγιγνομένους, πίονας αἶγας κατέδοντας, καὶ ἁπαλῶν ἐρίφων ἐμπιπλαμένους, καὶ αὐλῶν ἀκούοντας, καὶ οἶνον ἀπομισγομένους, καὶ δίσκοις τερπομένους, καὶ αἰγανέας ἱέντας; Τίς οὐκ ἂν αὐτοὺς τῆς ἡδονῆς ταύτης ἐμακάρισεν; ἀλλὰ ὁ μαντικὸς καὶ γνωριστικὸς τοῦ μέλλοντος λέγει,

Ἆ δειλοὶ, τί κακὸν τόδε πάσχετε, νυκτὶ μὲν ὑμῶν
εἰλύαται κεφαλαί·

παρὰ πόδας τὸ κακὸν καὶ ἐγγύς. Παρὰ πόδας τὸ κακὸν ἦν καὶ Ἀλεξάνδρῳ τῷ τὴν θαυμαστὴν ἐκείνην ἡδονὴν ἐκ Πελοποννήσου ἐκκλέψαντι· ταχὺ γὰρ ἐπ' αὐτῇ στόλος ἐξηρτύθη Ἑλληνικὸς, μυρίας μὲν ὀδύνας αὐτῷ τῷ

Ibi ergo dissipari regia, thalami, lavacra, alluebanturque terræ non navis, sed urbis naufragia :

Ast olli, fulicum similes, hinc inde carinam

in fluctibus agitabant. Hunc finem stolidissimus navis inutilis vector et importuna luxuria habuit.

4. Jam ad eum sermonem, quocum hanc similitudinem instituimus, denuo redeamus. Videtur enim et ille (Epicurus) non ad brevem aut dierum aliquot navigationem cum periculis subeundam, sed in totius vitæ tempus præcipere nobis voluptates velle, quæ nihilo sunt marinis illis certiores. Necdum tamen rationem, quæ voluptatem nobis e bonorum tollendam numero esse persuadeat, admittimus : verum contendat qui volet, si modo persuadere possit, non mutari voluptatem. Hoc si potest, jam concedam et voluptati per omne tempus studebo; atque adeo valedicam virtuti, hac lege, ut voluptatem mihi solidam ostendas, nullis vitiatam doloribus, voluptatem quam nulla excipit pœnitentia, voluptatem laude dignam. Quomodo autem ostendas? non magis certe, quam dolorem : nihil enim horum omni ex parte solidum penitusque sanum natura hominibus concessit : sed ubique voluptati mœror adhæret, alterumque imbutum est altero; ut necesse sit, alterum si eligas, alterum quoque extemplo contingat tibi. Hæc enim quasi natura sunt congenita, ita alterum alteri supervenit, reciprocosque mutant ortus, ut nunc hoc adsit, nunc illud. His quum fluxibus refluxibusque turbetur animus, quænam spes, ut doloris aliquando expers agat, relinquitur; præsertim quum iis fruatur bonis, quibus subito carendum erit? Quare ego nec mari credo, quamvis venti sileant, quamvis sit tranquillum : suspectum est enim mihi hoc silentium. Quippe si serenitati me velis confidere, in aliquod, quod mutationem non recipit mare me deducas;

Quod neque tempestas insana, nec humidus unquam
imber agit; semperque innubilis æther
cingit, et hinc illinc lux circum candida currit.

Eadem est animi nostri ratio, eodem jactatur modo. Si enim gubernator absit, absitque ars, licet serenitatem videat, tempestatem metuit; rursus in tempestate si versetur, serenitatem expetit. Vita enim hominis voluptati dediti et dolorem expavescentis, mobilis est, meticulosa, infida, omni salo denique incertior.

5. Nonne procos vides, quam superbe se oblectent voluptatibus, pingues capras ut comedant, molliculis hœdis se ut expleant, tibias audiant, vinum misceant, disco sese oblectent, tragulas emittant? Quis non hanc illis voluptatem invidisset? At vates optimus et futuri non ignarus illis dicit,

O miseri, quæ vos cingunt mala! vestra tenebræ
involvunt capita :

instat vobis miseria, adest malum. Sicut et Alexandro instabat malum, quum magnam illam e Peloponneso furtim avexisset voluptatem. Statim enim ob eum raptum Græcorum instructa classis est, sexcenta magno illi voluptatis ama-

τῆς ἡδονῆς ἐραστῇ ἄγων, μυρίας δὲ τῇ ξυμπάσῃ πόλει. Τὰς δὲ Ἀσσυρίους ἡδονὰς οὐ λέγω, ἃς κατέλαβεν εὐθὺς πῦρ αὐτῷ χρυσῷ καὶ αὐταῖς παλλακίσιν· οὐδὲ τὰς Πολυκράτους τὰς Ἰωνικὰς οὐ λέγω, ἃς κατέλαβεν οὐδὲ εὐσχήμων θάνατος. Πλήρης ἦν Σύβαρις ἡδονῶν, ἀλλὰ ἀπώλοντο μετὰ τῶν χρησαμένων αἱ ἡδοναί. Εὐδοκίμουν καὶ παρὰ Συρακοσίοις ἡδοναὶ, ἀλλ' ἐσωφρόνισαν αὐτοὺς μετ' ἐκείνας αἱ συμφοραί. Ἀλλ' οὐδὲ Κορινθίοις**

ΛΟΓΟΣ Β'.

Περὶ ἡδονῆς, ὅτι εἰ καὶ ἀγαθὸν, ἀλλ' οὐ βέβαιον. Β'.

1. Ἐπεχείρει ἐχθρὸς λόγος τις παρελθὼν πείθειν ἡμᾶς ὡς αἱρετέον ἡδονὴν, ἐὰν προσγένηται αὐτῇ τὸ ἀσφαλές. Σοφιστὴς λόγος καὶ ἀπατεὼν δεινῶς, ὅς, ἐξὸν σκοπεῖν τὴν ἡδονῆς φύσιν, καθόσον ἡδονή που τάττεται ἐν ἀγαθοῖς ἢ κακοῖς, ἐν ποτέρῳ χορῷ παρεὶς τὸ σκέμμα, ὡς ἀγαθοῦ τῆς ἡδονῆς οὔσης, ἐσκοπεῖτο εἰ βέβαιον τὸ ἀγαθὸν τοῦτο. Καὶ ποῖον ἄν τις ἐπινοήσαι ἀγαθὸν σαλεῦον καὶ κραδαινόμενον; Ὥσπερ γὰρ, οἶμαι, καὶ τῆς ὅλης γῆς εἰ ἀφέλοι τις τῷ λόγῳ τὴν ἕδραν καὶ τὴν μονὴν, συναφεῖλεν αὐτῆς καὶ τὸ εἶναι· καὶ τοῦ ἡλίου εἰ ἀφέλοι τις τὴν κίνησιν καὶ τὸν δρόμον, συναφεῖλεν αὐτοῦ τὴν οὐσίαν· οὕτως καὶ τοῦ ἀγαθοῦ εἴ τις ἀφέλοι τὴν ἀκρίβειαν καὶ τὴν στάσιν, συναφεῖλεν αὐτοῦ καὶ τὴν φύσιν· οὐ γὰρ χρόνῳ τὸ ἀγαθὸν ἀνθεῖ, ὡς ὥρα σώματος. Πῶς ἂν οὖν τις περὶ ἡδονῆς σκοποῖ, τὸ μὲν ἀγαθὸν αὐτῇ προσθεὶς, ἀφελὼν δὲ τὸ βέβαιον; Εἰ γὰρ ἀνάγκη ἀγαθὸν ὂν βέβαιον εἶναι, τῇ τοῦ βεβαίου ἀπουσίᾳ καὶ τὸ ἀγαθὸν τῆς ἡδονῆς συναπέρχεται. Καὶ πότερος τούτων τῷ πιθανῷ πλησιαίτερος; ὁ λέγων τὴν ἡδονὴν ἀγαθὸν εἶναι, κἂν μὴ βέβαιον ᾖ· ἢ ὁ ἀγαθὸν λέγων μὴ εἶναι, ἂν μὴ καὶ βέβαιον ᾖ; Ἐγὼ μὲν οἶμαι θάτερον· κρεῖττον γὰρ ἀφελεῖν ἡδονὴν ἀγαθοῦ, προσθέντας τὸ βέβαιον αὐτῷ, ἢ προσθεῖναι ἡδονῇ τἀγαθὸν, ἀφελόντας αὐτῆς τὸ ἀσφαλές.

2. Ἐπεὶ τοίνυν τὸ μὲν ἀγαθὸν οὐχ ἡδὺ πάντως, βέβαιον δὲ πάντως· τὸ δὲ ἡδὺ οὐ πάντως ἀγαθὸν, ἀβέβαιον δὲ πάντως· λείπεται δυοῖν θάτερον, ἢ τὴν ἡδονὴν διώκοντας ἀμελεῖν τἀγαθοῦ, ἢ τὸ ἀγαθὸν αἱρουμένους μὴ διώκειν ἡδονήν. Οὐθὲν δὲ οἶμαι διωκτὸν ὅ,τι μὴ ἀγαθόν· ἀλλ', ἀγαθοῦ φαντασίᾳ, τὸ μὴ ἀγαθὸν διώκεται ἐν χώρᾳ ἀγαθοῦ· καθάπερ ὑπὸ τῶν χρηματιστῶν τὰ κίβδηλα τῶν νομισμάτων, οὐ διότι κίβδηλα, αἱρετὰ ὄντα, ἀλλὰ τῇ πρὸς τὸ ἀληθὲς ὁμοιότητι τὴν τοῦ κιβδήλου φύσιν ἐπικρυπτόμενα. Ἀλλ' ἐνταῦθα μὲν οἱ ἀργυρογνώμονες τῇ τέχνῃ διεκρίναντο τἀληθοῦς τὸ μὴ δόκιμον· ἐν δὲ τῇ τῶν ἀγαθῶν νομῇ διακρίνει ὁ λόγος ἀπὸ τῶν ὄντων ἀγαθῶν τὰ φαινόμενα μὲν, οὐκ ὄντα δέ· ἀλλὰ λησόμεθα, ὥσπερ οἱ μοχθηροὶ χρηματισταὶ, θησαυροὺς ταμιευόμενοι κιβδήλων ἀγαθῶν.

3. Τίς ἂν οὖν καὶ γένοιτο ἡ σκέψις ἡμῖν, καὶ τίς ὁ τῆς δοκιμασίας οὗτος τρόπος; Φέρε, εἴ τις ἐπεχείρει, τὸν βοῦν ὑπολύσας τῶν ἀρότρων, καὶ τὸν ἵππον τῶν

tori, sexcenta toti urbi advehens mala. Omitto voluptates Assyrias, quas statim cum ipso auro, cum ipsis meretricibus ignis invasit. Nec Ionicas Polycratis dico, quas ne honesta quidem mors secuta est. Plena voluptatibus Sybaris erat, sed cum cultoribus suis interierunt voluptates. Etiam apud Syracusanos in deliciis erant voluptates, sed calamitates insecutæ illos ad frugem redegerunt. Sed nec apud Corinthios *diu permanserunt* **

DISSERTATIO II.

Voluptatem etsi bonum, non tamen esse stabile. II.

1. Quædam nobis conabantur persuadere rationes infestæ, voluptatem, si quidem diuturna dari stabilisque possit, eligendam esse. Sophisticæ vere, et ad decipiendos homines mirifice instructæ; quæ, quum de natura voluptatis (quatenus in bonis ea malisve alicubi numeratur,) quærere oportuerit utri cœtui assignari debeat, quasi in confesso esset in bonis voluptatem esse, an stabile hoc bonum esset, quæsiverunt. Quomodo autem mobile semper et instabile dari bonum poterit? Sicut enim toti terræ stabilitatem immobilitatemque suam si demas in ratiocinando, soli contra motum cursumque si tollas suum, essentiam una tollis utriusque; eodem modo, bono illud si demas, integritatem et perseverantiam dico, naturam ejus una sustulisti. Nec enim pro tempore, sicut forma corporis, florere potest bonum. Quomodo ergo de voluptate agat aliquis, qui bonum esse concedat, stabile esse neget? Si enim illud, quod bonum est, simul et stabile esse sit necesse; una cum stabilitate, qua caret, etiam bonum voluptatis abit. Uter autem magis veri similia dicit? qui voluptatem bonum esse vult, quamvis instabile; an qui bonum esse negat, nisi sit stabile? Ego certe alterum puto. Præstat enim e bonis voluptatem tollere, stabilitatemque illis suam relinquere; quam inter bona voluptatem ponere, nec stabilitatem illi dare.

2. Quoniam autem non semper jucundum est omne bonum, semper vero est stabile; illud autem, quod jucundum est, non semper est bonum, instabile autem est semper: restat e duobus alterum, ut vel, neglecto bono, voluptatem sequamur; vel, relicta voluptate, eligamus bonum. Puto autem nihil expeti, nisi quod sit bonum; fieri vero opinione boni, ut pro bono sequamur non bonum. Sicut a nummulariis fieri vides, qui adulterinos sequuntur nummos, non qua sunt adulterini, sed qua sua cum veris similitudine vitium abscondunt. Et ut ibi a vero adulterinum per artem suam distinguit argentarius; ita in bonorum distributione a veris bonis, quæ videntur bona, nec sunt tamen, distinguit ratio: nisi nos malemus, quod inepti solent nummularii, adulterini nobis boni congerere thesauros.

3. Quo autem hæc modo investigamus? aut quænam illa probandi nobis relinquitur ratio? Agedum, si quis in animum induceret ab aratro bovem solvere, a curru equum,

ἁρμάτων, ὑπαλλάξας ἑκατέρου τὴν ἐργασίαν, ὑπαγαγεῖν τὸν μὲν βοῦν τῷ ἅρματι, τὸν δὲ ἵππον τῷ ἀρότρῳ· ἆρ' οὐκ ἂν ἦν πρὸς μὲν τὴν φύσιν παράνομος, πρὸς δὲ τὰ ζῷα αὐτὰ ὑβριστής, πρὸς δὲ τὰς τέχνας ἀμαθής, πρὸς δὲ τὴν χρείαν ἀκερδής, πρὸς δὲ τὴν ὑπηρεσίαν καταγέλαστος; Τί δὲ τὰ τούτων ἔτι ἀτοπώτερα; εἰ τῶν μὲν ὀρνίθων ἀφελὼν τὰ πτερὰ, βαδιστικὰ ἐκ πτηνῶν εἶναί σοι θέλῃς, τὸν δὲ ἄνθρωπον πτερώσας παραδῷς τῷ αἰθέρι φέρεσθαι δι' αὐτοῦ, ὄρνιθος δίκην, οὐκ ἔσῃ καταγέλαστος τῆς ἀλλαγῆς; ὁπότε μηδὲ ὁ μῦθος τὸν Δαίδαλον ἠνέσχετο ἀτόπους οὕτω τέχνας πραγματευόμενον, ἀλλ' ἀπέῤῥιψεν αὐτῷ τὸν παῖδα τοῦ αἰθέρος εἰς γῆν κάτω αὐτοῖς πτεροῖς. Φασὶ δὲ καὶ Καρχηδόνιον νεανίαν ἀγρεῦσαι λέοντα ἄρτι ἐκ γάλακτος, καὶ ἡμερῶσαι τοῦτον παρανόμῳ τροφῇ, καὶ τὸν θυμὸν αὐτοῦ ἐξελεῖν διαίτῃ νόθῳ· ὥστε ἐπιθεὶς αὐτῷ φορτίον ἤλαυνε δι' ἄστεος ὄνου δίκην· ἀλλὰ ἀπέκτεινάν γε αὐτὸν Καρχηδόνιοι μισήσαντες τῆς παρανομίας, ὡς τύραννον μὲν τῇ φύσει, ἰδιώτην δὲ τῇ δυστυχίᾳ.

4. Ὥσπερ οὖν τῷ ἵππων γένει συγκεκλήρωται πρὸς σωτηρίαν δρόμος, καὶ τῷ βοῶν πόνοι, καὶ ὄρνισι πτερὰ, καὶ λέουσιν ἀλκὴ, καὶ ἄλλοις ἄλλο τι· οὕτως ἀμέλει καὶ ἀνθρώπῳ ὑπάρχει δύναμις ξυμφυὴς διασωστικὴ τοῦ γένους· ταύτην δὲ ἑτέραν εἶναι δεῖ παρ' ἕκαστον τῶν ἄλλων, εἰ μέλλει ἄνθρωπος ὢν μὴ ὑπὸ ἀλκῆς σωθήσεσθαι, ὥσπερ οἱ λέοντες, μηδὲ ὑπὸ δρόμου, ὥσπερ οἱ ἵπποι, μηδὲ ἀχθοφορεῖν ὄνου δίκην, μηδὲ ἀροῦν βοὸς δίκην, μηδὲ πέτασθαι κατὰ ὄρνιθας, μηδὲ νήχεσθαι κατὰ ἰχθύας. Ἀλλ' ἔστι τι καὶ τούτῳ ἔργον ἴδιον, διαγνωστικὸν τοῦ βίου, εἴ γε νενέμηται τὰ ζῷα τὰς δυνάμεις, ἑκάστην ἕκαστον κατὰ τὴν χρείαν τοῦ βίου, καὶ τὰ ἔργα κατὰ τὰς δυνάμεις, καὶ τὰ ὄργανα κατὰ τὰ ἔργα καὶ τὰ ἀγαθά· καὶ, ξυνελόντι εἰπεῖν, τὸ ἑκάστου ἀγαθὸν ἐν τῷ ἐπιχωρίῳ τῶν ἔργων μένει, τὰ δὲ ἔργα ἐν τῷ τῆς χρείας ἀναγκαίῳ, ἡ δὲ χρεία ἐν τῷ τῆς δυνάμεως εὐπόρῳ, ἡ δὲ δύναμις ἐν τῷ τῶν ὀργάνων εὐμηχάνῳ, τὰ δὲ ὄργανα ἐν τῷ φύσεως ποικίλῳ. Παντοδαπὴ γὰρ ἡ φύσις, καὶ διὰ τοῦτο περιέβαλε καὶ διεκόσμησε τὰ ζῷα ἕκαστα ἐπὶ σωτηρίᾳ τοῦ βίου, ἄλλα ἄλλοις ὅπλοις· τὰ μὲν ὀνύχων ἀκμαῖς, τὰ δὲ ὀδόντων ῥώμῃ, τὰ δὲ κεράτων ὀξύτητι, τὰ δὲ ποδῶν τάχει, τὰ δὲ θυμῷ, τὰ δὲ ἰῷ· τὸν δὲ ἄνθρωπον ἀποδύσασα τουτωνὶ τῶν προβλημάτων, ἀπέφηνε γυμνὸν καὶ ἀσκεπῆ καὶ ἄτριχον, καὶ ῥώμην ἀσθενῆ, καὶ θεῖν βράδιστον, καὶ ἀνίπτασθαι ἀμήχανον, καὶ νήχειν ἀμβλύτατον· ἐνέφυσε δέ τι αὐτῷ ζώπυρον ἀφανὲς πρὸς σωτηρίαν βίου, ὃ καλοῦσιν οἱ ἄνθρωποι νοῦν, ᾧ διατελεῖ σωζόμενον καὶ τὰς ἀπορίας ἐξιώμενον τοῦ βίου, καὶ θεραπεῦον τὴν ἔνδειαν τῶν σωμάτων, καὶ ἀντιτεχνώμενον ταῖς τῶν ἄλλων ζῴων πλεονεξίαις, καὶ πάντων κρατοῦν καὶ ὑπάγον τῷ τοῦδε νόμῳ καὶ λόγῳ.

5. Ἔρου δή με καὶ περὶ τοῦ ἀνθρώπου· σκεπτέον τὸ τούτου ἀγαθὸν ποῦ καὶ τίνα τρόπον; Ἀποκρινοῦμαί σοι ὡς περὶ τοῦ λέοντος, ὡς περὶ τοῦ ὄρνιθος, ὡς περὶ τῶν

mutatoque utriusque munere, bovem currui, aratro submittere equum; nonne is naturam violare, animalibus illudere, artem ignorare, laborem sine fructu suscipere, in ipso ridiculus esse videbitur opere? Quid si etiam absurdiora ponamus? si alas suas demas avibus, tantumque incedere eas postules, non volare; homini alas addas, velisque in altum cum avibus ferri; nonne appareas ob hanc mutationem deridiculus? quandoquidem ne Dædalum quidem suum rem tam ineptam moliri ipsa passa est fabula, sed deorsum in terras filium ejus ex alto cum alis suis dejecit. Aiunt et Pœnum aliquando juvenem leonem ab ipso lacte cepisse, quem inusitata educatione mansuetum reddidit degenerique quadam victus ratione animos enervavit belluæ, adeo ut, sarcinis tandem impositis, per mediam urbem non aliter quam asinum vectaret. Verum paullo post, tanquam legum violator, morte mulctatus est a civibus; quod conditionis quidem humilitate privatus esset, natura vero tyrannus et indole.

4. Sicut ergo ad conservationem sui cursus equis, bobus labor, alæ avibus, robur leonibus, aliisque aliud assignatum est a deo; sic et homini quædam annata est facultas, quæ hoc genus conservet. Hanc autem aliam ac discretam a reliquorum animalium facultatibus oportet esse; siquidem ille utpote homo nec robore se conservat, ut leo; nec cursu, ut equus; nec onus subire cum asino, nec arare cum bove, nec volare cum avibus, nec natare possit cum piscibus. Sed et huic peculiare necesse est opus esse, unde vita ejus a ceterorum vitis dignoscatur, siquidem sua singulis divisa animalibus est facultas, eaque prout usus flagitat singulorum, functionesque propriæ singulorum potentiæ, instrumenta vero functionibus respondent, ac proinde bonis cujusque. Nam, ut complectar quod res est, bonum singulorum in operibus propriis, opera in usus necessitate, usus in facilitate potentiæ, potentia in aptitudine instrumentorum, instrumenta in varietate naturæ consistunt. Varia est enim natura : atque hæc causa est, cur singula animalia diversum in modum instruxerit ad conservationem sui, aliaque aliis concesserit arma : his unguium aciem, illis vim dentium, aliis cornuum acumen, aliis velocitatem pedum, animos aliis, aliis venenum. Verum homini horum quidem propugnaculorum concessit nihil : nam et nudum edidit, neque tectum, ac depilem; robur exiguum, velocitatem prope nullam dedit; volandi facultatem omnino negavit, natandi vix parvam indulsit. Quid ergo? occultam, qua vitam suam tueri possit, quasi scintillam concessit ei; quam *mentem* dicunt homines. Hoc uno se tuetur usque, atque evolvit se ex vitæ difficultatibus, et explet ea omnia, quæ corpori desunt; hoc uno singula, quibus reliqua antistant animalia, scite compensat; hoc uno imperat cunctis, quæ rationi hujus et legi subjicit.

5. Quære ex me jam de homine : Ubinam et quomodo bonum hujus investigabimus? Eodem modo, quo respondi de leone, de avibus, de reliquis animalibus, etiam hic re-

ἄλλων ἁπάντων ἀπεκρινάμην· ἐνταῦθα ζήτει τὸ ἀνθρώπου ἀγαθὸν, ὅπου τὸ ἀνθρώπου ἔργον. Ποῦ δὲ εὕρω τὸ ἔργον; ὅπου τὸ ὄργανον. Ποῦ δὲ εὕρω τὸ ὄργανον; ὅπου τὸ διασῶζον. Ἐντεῦθεν ἄρξαι. Τί ἀνθρώπου διασωστικόν; ἡδονή. Πρᾶγμά μοι κοινὸν λέγεις, ἐπὶ πάσας φύσεις ἐξικνούμενον, καὶ διὰ τοῦτο αὐτοῦ τὴν προτιμίαν οὐκ ἀνέχομαι· ἥδεται καὶ βοῦς, ἥδεται καὶ ὄνος καὶ σῦς καὶ πίθηκος. Ὅρα ποῦ τάττεις τῶν ἀνθρώπων τὸ γένος, τίνας αὐτῷ κοινωνοὺς τῶν ἀγαθῶν δίδως. Εἰ δὲ ἡδονὴ τὸ σῶζον, ζήτει μετὰ τοῦτο, τί ἡδονῆς ὄργανον· ἐντεύξῃ δὲ πολλοῖς καὶ παντοδαποῖς· καὶ μέχρι μὲν ὀφθαλμῶν καὶ ὤτων τίμα τὰ ὄργανα· ἐὰν δὲ προέλθῃς περαιτέρω ἐπὶ τὰς ἡδονῆς ὁδοὺς, ὅρα τίσιν ὀργάνοις ἀνατίθῃς τὴν σωτηρίαν. Εὗρες τὰ ὄργανα, ζήτει τὰ ἔργα. Λιχνευέτω ἡ γλῶττα, τηκέσθωσαν οἱ ὀφθαλμοὶ, ἐκλυέσθω ἡ ἀκοὴ, πληρούσθω ἡ γαστὴρ, ὑβριζέτω τὰ ὑβρίζειν πεφυκότα. Εὗρες τὰ ἔργα, ἐντετύχηκας τῷ ἀγαθῷ. Τοῦτο ἡ σωτηρία; τοῦτο ἡ εὐδαιμονία; * *

spondebo tibi: Ibi quære bonum hominis, ubi ejusdem est functio. Functionem vero ubi inveniam? ubi instrumentum. Instrumentum ubi? ubi id, quod conservat hominem. Hinc jam incipiamus. Hominem quid conservat? voluptas. Rem communem dicis, qua nulla pars naturæ caret; ideoque ceteris illam præponi non possum sinere. Voluptate et bos, voluptate et asinus, et sus afficitur, et simius. Vide jam quo loco ponas humanum genus, quos illi socios bonorum adjungas. Quodsi id est voluptas, quod conservat hominem; quære quod sit instrumentum voluptatis. Ac multa invenies diversaque; et ad oculos quidem usque atque aures instrumenta laudabis: quodsi porro pergas, reliquasque voluptatis ingrediaris semitas, vide quibus instrumentis conservationem ascribas hominis. Instrumenta invenisti, quære functiones. Helluetur lingua, libidine tabescant oculi, voluptate liquescant aures, impleatur venter, veneri serviant partes illi destinatæ. Invenisti functionem, deprehendisti bonum. Hæccine est conservatio? hæccine felicitas? * *

ΛΟΓΟΣ Γ'.

Περὶ ἡδονῆς, ὅτι εἰ καὶ ἀγαθὸν, ἀλλ' οὐ βέβαιον. Γ'.

DISSERTATIO III.

Voluptatem etsi bonum, non tamen esse stabile. III.

1. Αἰσώπῳ τῷ Φρυγὶ πεποίηνται λόγοι διά τε θηρίων καὶ ** ξυνουσίας· διαλέγεται δὲ αὐτῷ καὶ τὰ δένδρα, καὶ οἱ ἰχθύες, ἄλλο ἄλλῳ καὶ ἀνθρώποις ἀναμίξ· καταμέμικται δὲ ἐν τοῖς λόγοις τούτοις νοῦς βραχὺς, αἰνιττόμενός τι τῶν ἀληθῶν. Ἄδεται δή τις αὐτῷ καὶ τοιοῦτος μῦθος. Ἔλαφον διώκει λέων· ἡ δὲ φεύγουσα ὑπεξάγει, καὶ καταδύεται εἰς δρυμὸν βαθύν· ὁ δὲ λέων (ὅσα γὰρ ἀλκῇ προὔχει, τάχει λείπεται) ἐπιστὰς τῷ δρυμῷ ἐρωτᾷ ποιμένα, εἴ που εἶδε πτήξασαν τὴν ἔλαφον. Ὁ δὲ ποιμὴν οὐκ ἔφη εἰδέναι· καὶ ὁμοῦ λέγων, τὴν χεῖρα ἀποτείνας, ἔδειξε τὸ χωρίον. ᾯχετο ὁ λέων ἐπὶ τὴν δειλαίαν ἔλαφον· ἡ δὲ ἀλώπηξ (σοφὴ γάρ τις αὕτη τῷ Αἰσώπῳ ἐστί) πρὸς τὸν ποιμένα λέγει, Ὡς δειλὸς ἅμα καὶ πονηρὸς ἦσθα· δειλὸς μὲν πρὸς λέοντας, πονηρὸς δὲ ἐς ἐλάφους.

1. Æsopus Phryx ille fabulas conscripsit, in quibus mutua inter se consuetudine bruta utuntur animalia: interdum etiam colloquentes introducit arbores, et pisces, aliud promiscue cum alio vel cum homine. Brevem autem moralem sensum admixtum continent hæ fabulæ, occulteque quasi innuunt veritatem. Celebratur igitur inter reliquas etiam talis. Cervam prosequitur leo: illa fuga evadit, densoque quodam abdit se in nemore. Leo vero, qui quantum robore cervam vincit, tantum velocitate ab ea vincitur, nemus adit, quæritque ex pastore, sicubi latitantem vidisset cervam. Negat pastor, simulque manu protensa locum ostendit. Atque ita cervam miserrimam invadit leo. Vulpecula autem (hanc enim callidam ubique Æsopus facit), Næ tu, inquit pastori, imbellis simul improbusque es; coram leonibus quidem imbellis, improbus vero in cervos.

2. Δοκεῖ μοι δὴ χρήσασθαι ἂν καὶ ὁ Ἐπίκουρος τῷ Φρυγίῳ τούτῳ αἰνίγματι πρὸς τὸν τῆς ἡδονῆς κατήγορον, τῇ μὲν φωνῇ ἀνδριζόμενον, τῇ δὲ γνώμῃ, καθάπερ τῇ χειρὶ, ἐκτεινόμενον ἐφ' ἡδονῇ. Τίς γὰρ οὕτω πολεμήσαιτο ἑαυτῷ, ὥστε τὸ μόνον δὴ πραγμάτων τῇ αὐτοῦ φύσει ἐπαγωγότατον ἀποσείσασθαι ἑκών; Τὰ μὲν γὰρ ἄλλα, ἃ ὑπ' ἀνθρώπων διώκεται, ἢ πείρᾳ γνωρισθέντα παρεδέχθη, ἢ τέχνῃ δοκιμασθέντα ἐτιμήθη, ἢ λόγῳ ἐξετασθέντα ἐπιστεύθη, ἢ χρόνῳ βασανισθέντα ἠγαπήθη· ἡδονὴ δὲ καὶ λόγου ἀδεὴς, καὶ τέχνης πρεσβυτέρα, καὶ τὴν πεῖραν φθάνει, καὶ οὐκ ἀναμένει χρόνον, ἀλλὰ ὑπερφυὴς ἡ πρὸς αὐτὴν φιλία καὶ ἡλικιῶτις τῶν σωμάτων, ὥσπερ κρηπὶς, τῇ σωτηρίᾳ τοῦ ζώου ὑποβέβληται· ἣν εἴ τις ἀφέλοι, τὸ γενόμενον εὐθὺς οἴχεσθαι δεῖ. Ἐπιστήμην μὲν γὰρ, καὶ λόγον, καὶ τοῦτο δὴ τὸ θρυλούμενον τὸν νοῦν αὐτὸν, προϊὼν

2. Videtur mihi hoc hominis Phrygii apologo adversus eos, qui voluptatem accusant, uti posse Epicurus; qui voce tenus fortes videntur, animum vero, ut ille digitum, in voluptatem intendunt. Quis enim tum sibi inimicus fuerit, ut rem, quæ una omnium natura sua maxime nos allicit, sponte sua aspernetur? Reliqua enim, quæ sequuntur homines, aut experientia intelligenda nobis dedit, aut artis approbavit industria, aut de iis fidem nobis fecit ratio, aut longi indicium temporis ea conciliavit nobis. Voluptas nec ratione eget, et arte est antiquior, et experientiam prævenit, nec tempus exspectat: sed ineffabilis ejus et naturalis amor est, una cum corporibus nobis innatus, qui quasi fundamentum aliquod, animalium subjicitur saluti; quem si quis tollat, statim id, quod natum est, evanescere est necesse. Scientiam enim. rationemque, atque id adeo, quod ab omnibus *mens* vel *intellectus* dicitur, progressu tempo-

τῷ χρόνῳ ὁ ἄνθρωπος, τῇ κατὰ βραχὺ ἐντεύξει τῶν αἰσθήσεων διὰ τῆς πείρας ξυνενεγκάμενος, ἤθροισεν ἐφ' ἑαυτῷ· ἡδονὴν δὲ αὐτοδίδακτος παρὰ τῆς φύσεως λαβὼν ἔχει ἐξ ἀρχῆς εὐθύς· καὶ ταύτην μὲν ἀγαπᾷ, πολεμεῖ δὲ τῷ ἀλγεινῷ· καὶ ὑπὸ μὲν τῆς ἡδονῆς σώζεται, ὑπὸ δὲ τοῦ ἀλγεῖν φθείρεται.

3. Φαῦλόν τι χρῆμα ἡδονή; οὐχ ἂν ἦν ξύμφυτον, οὐδὲ τῶν σωζόντων ἡμᾶς τὸ πρεσβύτατον. Τὰ δὲ ὑπὸ τῶν σοφιστῶν θρυλούμενα ἐς αὐτὴν, ἡ Σαρδαναπάλλου τρυφὴ, καὶ ἡ Μηδικὴ χλιδὴ, καὶ ἡ Ἰωνικὴ ἁβρότης, καὶ τράπεζαι Σικελικαὶ, καὶ ὀρχήσεις Συβαριτικαὶ, καὶ ἑταῖραι Κορίνθιαι, ταῦτα ἀθρόα, καὶ ὅσα τούτων ποικιλώτερα, οὐχ ἡδονῆς ἔργα, ἀλλὰ τέχνης καὶ λόγου, παρανομησάντων τῶν ἀνθρώπων εἰς ἡδονὰς δι' εὐπορίαν τῶν τεχνῶν ὀψὲ τοῦ χρόνου. Ὥσπερ οὖν οὐδεὶς λοιδορεῖται τῷ λόγῳ, ὡς οὐκ ἔστι καλὸν τῇ φύσει, κἂν ἀπάγῃ τις αὐτοῦ τὴν χρείαν ἐπὶ τὸ μὴ φύσει καλόν· οὕτως οὐδὲ τῇ ἡδονῇ λοιδορητέον, ἀλλὰ τοῖς χρωμένοις ἡδονῇ κακῶς. Δύο δὲ ὄντων τούτων ἐν ἀνθρώπου ψυχῇ, ἡδονῆς καὶ λόγου, λόγῳ μὲν ἡδονὴ κραθεῖσα, μηδὲν ἀφελοῦσα τοῦ ἀναγκαίου, προσέθηκεν αὐτῷ τὸ ἀγωγότερον· λόγος δὲ ἡδοναῖς προσγενόμενος, αὐξήσας αὐτῶν δι' εὐπορίας τὸ μέτριον, ἀφεῖλε τοῦ φύσει τερπνοῦ τὸ ἀναγκαῖον.

4. Ἀλλ' οὐκ ἴδιον ἀνθρώπου ἡδονὴ, κοινὸν δὲ τῶν ἄλλων ζῴων. Τοῦτο λέγεις τὸ ἐχεγγυώτατον ἡδονῆς πρὸς σωτηρίαν, τὸ παντὸς τοῦ πεφυκότος ζῆν διασωστικόν· ἢ διὰ τὴν κοινότητά σε ἐνοχλεῖ; Ὦ τῆς πλεονεξίας. Σύ μοι δοκεῖς οὐδὲ τοῦ ἡλίου ἀγαπᾶν τὸ φῶς, ὅτι ἐστὶ κοινὸν ὀφθαλμῶν πάντων· ἀλλὰ ἔδει γὰρ τὸν ἄνθρωπον μόνον ὁρᾶν, καὶ διὰ τοῦτο οὐκ ἀγαθὸν ἀνθρώπῳ τὸ φῶς· οὐδέ γε ὁ ἀὴρ, εἰσπνεόμενός τε καὶ οἰκονομῶν τὰ σώματα ταῖς αὐτοῦ ὁδοῖς· οὐ ποταμῶν νάματα, οὐ γῆς καρποί· πέρα γὰρ τῶν ἀναγκαίων ἐὰν μὴ προέλθῃς, πάντα κοινὰ, ἴδιον δὲ οὐδὲν οὐδενός. Ἐνταῦθά μοι τάττε καὶ τὴν ἡδονὴν, ἐν κοινότητι ἀγαθοῦ σώζοντος πᾶσαν αἰσθητικὴν φύσιν.

5. Ἐπεὶ δὲ ἀρετῆς πρὸς ἡδονὴν ἡ ἐξέτασις γίγνεται, οὐ λοιδορήσομαι μὲν τῇ ἀρετῇ (οὐ γὰρ πικρὸς, οὐδὲ βλάσφημος ὁ καθ' ἡδονὴν λόγος), τοσοῦτον δὲ λέγω, ὡς εἰ τῆς ἀρετῆς ἀφαιρήσει τις τὸ ἡδὺ, καὶ τὸ δυνατὸν αὐτῆς προσαφήρηκεν· οὐδὲν γὰρ τῶν καλῶν αἱρετὸν, ἀπογενομένης ἡδονῆς· καὶ γὰρ ὁ κατ' ἀρετὴν πονῶν ἑκὼν φιλίᾳ ἡδονῆς πονεῖ, παρούσης ἢ προσδοκωμένης. Ὥσπερ γὰρ ἐν τοῖς χρηματισμοῖς οὐδεὶς ἑκὼν ἀντικαταλλάττεται δραχμὴν ταλάντου, οὐδὲ χρυσοῦ χαλκὸν,

ᾧ μὴ φρένας ἐξέλετο Ζεύς·

ἀλλὰ δεῖ τὰς ἀμοιβὰς, κἂν ἰσοστάσιοι ὦσιν, λυσιτελεῖν τῷ ἀλλαττομένῳ κατὰ τὴν χρείαν τοῦ λαβόντος· οὕτως ἀμέλει κἂν ταῖς τῶν πόνων ὁμιλίαις οὐδεὶς πονεῖ πόνου ἐρῶν (ἢ γὰρ ἂν εἴη ὁ δυσεραστότερος;), ἀλλάττεται δὲ τοὺς παρόντας πόνους, ὡς μὲν εἴποι ἄν τις τῶν ἀγροικοτέρων, τοῦ καλοῦ· ὡς δέ τις τῶν ἀληθεστέρων, ἡδο-

ris, paullatim congredientibus cum rebus ipsis sensibus, longa experientia colligit homo, conservatque: voluptatem autem sponte statim a natura ipsa traditam haurit atque accipit; hanc amplectitur, oditque quicquid dolorem affert; ab hac servatur, ab illo corrumpitur.

3. Vituperanda res est voluptas? imo tum nobiscum ea non nasceretur, neque omnium, quibus conservationem debemus nostram, esset antiquissima. Quæ autem vulgo a sophistis objiciuntur voluptati, Sardanapalli luxus, Medicæ deliciæ, mollities Ionica, mensæ Siculæ, Sybariticæ saltationes, Corinthiæ meretriculæ, hæc omnia confertim, et si plura etiam his afferre velis, non voluptatis, sed artis rationisque sunt effectus; longo namque post tempore, quum artes facilia omnia reddidissent, voluptatem violarunt homines. Sicut autem rationem rem natura sua honestam nemo negat esse, quamvis ea in negotio minime natura sua honesto quis abutatur; ita neque de voluptate secus loquendum est, sed de iis, qui voluptate utuntur male. Duo autem hæc quum in animo sint hominis, ratio et voluptas; rationi si admisceatur voluptas, necessarium ejus usum non tollit, sed emollit et reddit suaviorem: voluptati contra si accedat ratio, modum ejus sua inveniendi facilitate intendit, eique, quod natura delectat, usum demit necessarium.

4. Atqui non propria, inquies, hominis voluptas est, sed et reliquis communis animalibus. Hoc quum dicis, dicis id quod in voluptate est evidentissimum argumentum conservatricis generis humani, quod nimirum omnia quæ vivunt, naturâ suâ conservat: an forte eo tibi displicet nomine, quod multis est communis? O circumscriptor avare! Tu, ut video, ne solis quidem lumen amabis, quia omnibus oculis commune est. Solum enim, te judice, id intueri oportebat hominem: ideoque in hac communitate non conducet homini hoc lumen; neque magis aer, qui hauritur et corpora permeat ac disponit; non fluviorum latices; non terræ fructus: nam ultra ea, quæ maxime necessaria sunt, si non processeris, communia videbis esse omnia, proprium autem nihil cujuspiam. Eodem loco etiam voluptatem pone, in societate dico boni illius, quod naturam omnem sensu præditam conservat.

5. Quandoquidem autem cum voluptate confertur virtus, virtuti quidem obtrectare haud decretum est mihi (nec enim virulenta aut maledica potest esse quæ de voluptate instituitur oratio): hoc tantum dico, si quis virtuti voluptatem demat, eum vim ejus præcidere, auferre autem potentiam. Nullum enim, si voluptas absit, petitur honestum. Quippe qui laborem sponte ex virtutis subit præscripto, amore voluptatis aut præsentis id facit, aut futuræ. Sicut enim in re quæstuaria nemo sciens talentum cum drachma permutat, nec cum argento aurum,

nisi cui mentem deus eripit omnem;

sed in permutatione, quamvis æqualis sit, permutantis spectatur commodum, prout usus flagitat accipientis: sic omnino in subeundis laboribus nemo laborum amore laborem subit (infelicior enim amor num possit inveniri?) præsentes vero labores cum pulchro, ut quidem ex agrestioribus diceret aliquis, ut vero illi, qui verius judicant, cum voluptate

νῆς· κἂν γὰρ τὸ καλὸν εἴπῃς, ἡδονὴν λέγεις· σχολῇ γὰρ ἂν εἴη τὸ κάλλος κάλλος, εἰ μὴ ἥδιστον εἴη.

6. Ἐγὼ δὲ οἶμαι καὶ αὐτὸ τοὐναντίον, διὰ τούτων ἀποφαίνεσθαι τὴν ἡδονὴν πάντων χρημάτων αἱρετωτέραν, ἧς εἵνεκα ἄν τις καὶ θάνατον ἀλλάξαιτο, καὶ τραύματα, καὶ πόνους, καὶ ἄλλα μυρία δυσχερῆ. Κἂν γὰρ ἄλλο ἄλλῳ ἐπιτιθῇς ὄνομα τῆς τούτων αἰτίας, Ἀχιλλεῖ μὲν ἀποθνήσκοντι ἑκόντι, καὶ τιμωροῦντι ἀποθανόντι τῷ Πατρόκλῳ, φιλίαν· Ἀγαμέμνονι δὲ ἀγρυπνοῦντι καὶ προβουλευομένῳ καὶ προπολεμοῦντι, βασιλείαν· τῷ δὲ Ἕκτορι ἐξηγουμένῳ καὶ προμαχομένῳ καὶ ἀριστεύοντι, σωτηρίαν πατρίδος· πάντα ταῦτα ἐρεῖς ἡδονῶν ὀνόματα. Ὥσπερ γὰρ ἐν ταῖς τῶν σωμάτων νόσοις ἀγαπᾷ ὁ κάμνων τεμνόμενος καὶ ἐμπιμπράμενος, καὶ διψῶν καὶ λιμώττων, καὶ τὰ δυσχερῆ τῇ φύσει προσιέμενος ἑκών, ἀντικαταλλαττόμενος ταῦτα τῆς προσδοκίας τοῦ ὕπνου· εἰ δὲ ἀφέλοις τὴν ἐλπίδα τοῦ μέλλοντος ἀγαθοῦ, ἀφαιρήσεις τὴν αἵρεσιν τῶν παρόντων κακῶν· οὕτω κἂν ταῖς πράξεσιν ἀντίδοσις γίγνεται πρὸς ἡδονὰς πόνων, ἣν σὺ μὲν ἀρετὴν καλεῖς, ἐγὼ δὲ τὴν μὲν ἀρετὴν δίδωμι, ἐρήσομαι δέ σε· εἰ ἄνευ τῆς πρὸς αὐτὴν φιλίας τὴν ἀρετὴν ἡ ψυχὴ εἵλετο; ἐὰν γὰρ τὴν φιλίαν δῷς, ἡδονὴν δίδως.

7. Κἂν ὑπαλλάξῃς τὸ ὄνομα, καὶ χαρὰν τὴν ἡδονὴν καλῇς, οὐ νεμεσῶ τῆς ἀφθονίας τῶν ὀνομάτων, τὸ δὲ πρᾶγμα ὁρῶ, καὶ τὴν ἡδονὴν γνωρίζω· ἢ οἴει τὸν Ἡρακλέα ἐκεῖνον τὸν τῶν πολλῶν καὶ θαυμαστῶν πόνων ὁμιλητὴν καὶ ἀγωνιστὴν καὶ ἐθάδα, τὸν πρὸς τὰ θηρία παραβαλλόμενον, τὸν τοῖς πανταχοῦ δυνάσταις προσφερόμενον, τὸν πρὸς τοὺς ἀγρίους φιλονεικοῦντα, τὸν ἡμερωτὴν τῆς γῆς, τὸν καθαρτήν, τὸν ἐπὶ τὴν Οἴτην ἰόντα, τὸν ἐπὶ πῦρ παραγιγνόμενον, ἄλλο τι ἢ μεγάλαις καὶ θαυμασταῖς καὶ ἀκράτοις ἡδοναῖς χειραγωγούμενον, ταῖς μὲν παρούσαις ὁμοῦ τοῖς πόνοις, ταῖς δὲ μελλούσαις μετὰ τοὺς πόνους, ἐπὶ ταῦτα ἰέναι ἑκόντα; Ἀλλὰ σὺ μὲν τοὺς τότε πόνους ὁρᾷς, τὰς δὲ Ἡρακλέους ἡδονὰς οὐχ ὁρᾷς, αἷς ἔχαιρεν. Ἔχαιρε καὶ ὁ Ἡρακλῆς ταῦτα δρῶν, καὶ διὰ τοῦτο ἔδρα· καὶ οὐκ ἂν ἔδρα, εἰ μὴ δρῶν ἔχαιρεν. Αἱ μὲν γὰρ Διονύσου ἡδοναὶ καὶ τελετῆς χώραν ἔχουσιν, κῶμοι ἐκεῖνοι καὶ θίασοι καὶ χοροὶ καὶ αὐλοὶ καὶ ᾄσματα· πάντα ταῦτα Διονύσου ἡδονῶν σχήματα ἐν μυστηρίοις ὀργιαζόμενα.

8. Τί λέγω Διόνυσον καὶ Ἡρακλέα; μῦθοι ταῦτα, ἡρωϊκὰ ταῦτα. Τὸν Σωκράτην λέγω. Ἐρᾷς, ὦ Σώκρατες, Ἀλκιβιάδου, καὶ μετὰ τοῦτον Φαίδρου, καὶ μετ' ἐκεῖνον Χαρμίδου· ἐρᾷς, ὦ Σώκρατες, καί σε οὐ λανθάνει κάλλος Ἀττικόν. Ἀλλ' ὁμολόγησον αὐτοῦ τὴν αἰτίαν, καὶ μὴ φοβηθῇς τὴν ἀδοξίαν· ἔξεστι καὶ μεθ' ἡδονῆς σωφρόνως ἐρᾶν, ὡς ἔξεστι καὶ μετὰ λύπης ἀκολάστως ἐρᾶν. Εἰ δὲ καὶ χωρὶς ἡδονῆς ἐρᾷς, καὶ ψυχῆς μόνης, καὶ σώματος οὐκ ἐρᾷς, ἐράσθητι Θεαιτήτου· ἀλλ' οὐκ ἐρᾷς, σιμὸς γὰρ ἦν. Ἐράσθητι Χαιρεφῶντος· ἀλλ' οὐκ ἐρᾷς, ὠχρὸς γὰρ ἦν. Ἐράσθητι Ἀριστοδήμου· ἀλλ' οὐκ ἐρᾷς· αἰσχρὸς γὰρ ἦν. Ἀλλὰ

commutat : pulchrum enim quamvis dicas, voluptatem nominas; nam minime pulchrum fuerit pulchrum illud, cui non adsit summa voluptas.

6. Ego vero contrarium plane sequi ex his arbitror, omnibus nimirum voluptatem præferendam esse rebus, cujus causa mortem aliquis et vulnera, et labores, et sexcenta subierit alia ærumnosa. Quamvis enim alii aliud nomen imponas causæ illorum malorum, ut Achilli, quum vindicandi ergo Patrocli lubens moritur, in causa esse dicas amicitiam; Agamemnoni vigilanti et ante reliquos deliberanti ac pugnanti, curam regni; Hectori exercitum ducenti, primaque in acie pugnanti, strenueque rem gerenti, patriæ salutem : nihil adhuc aliud quam voluptatis attulisti nomina. Quippe quemadmodum in corporum morbis secari non recusat æger aut uri, sitim etiam perferre famemque, et quicquid natura ingratum est admittere, ut pro his postea somno suo frui possit; quodsi spem futuri tollas boni, etiam præsentium tolles malorum electionem : ita in rebus agendis laborum cum voluptatibus vicissitudo intercedit et permutatio, quam tu quidem virtutem dicis, ego vero ut virtutem largior, ita unum hoc ex te quæram : utrum sine amore virtutis virtutem persequatur animus? Ergo hunc si das amorem, voluptatem dedisti.

7. Licet enim nomen permutes, nec voluptatem voces, sed gaudium; non invideo huic nominum multitudini, rem tamen ipsam specto, voluptatem agnosco : an putas Herculem illum, qui tot tamque admirabilibus sese obtulit laboribus, qui tot quotidie mala sustinuit, qui cum belluis decertavit, cum violentis totius terræ congressus est imperatoribus, feros homines aggressus est, terramque securam vacuamque monstris reddidit et quasi purgavit, qui Œtam petiit, ignem accessit, alio manuductore quam magnis divinisque quibusdam et egregiis usum voluptatibus, quarum aliæ comitabantur labores, sequebantur aliæ, sponte sua subiisse hæc omnia? Atqui solos, quos tum subiit, labores intueris; voluptates vero, quibus pascebatur, non vides. His ipsis, dum ageret, delectabatur Hercules, ac propterea agebat; neque egisset, nisi agendo delectaretur. Nam de Bacchi quid opus est dicere voluptatibus, quæ sacrorum vice sunt, nocturni illi discursus, thiasi, choreæ, tibiæque, ac cantus? quæ omnia nihil aliud sunt, quam diversæ voluptates Bacchicæ, quæ repræsentantur in mysteriis.

8. Quid de Baccho loquor aut Hercule? Fabulosa sunt hæc, heroica sunt. Adducamus Socratem. Amas, o noster Socrates, Alcibiadem, post hunc Phædrum, post Phædrum Charmiden : amas, o Socrates, nec te latere potest pulchritudo Attica. Age, fatere causam, neu time ignominiam : castus enim cum voluptate potest esse amor, sicut cum dolore potest impudicus. Quodsi absque voluptate ulla solum animum, non etiam corpus amas, Theætetum ama : atqui hunc non amas, simus quippe erat. Ama ergo Chærephontem : sed ne hunc quidem amas, pallebat enim. Aristodemum ergo ama : atqui nec Aristodemum amas, deformis enim erat. Sed quosnam amas? si quis delicate

τίνων ἐρᾷς; εἴ πού τις εὐκόμης, εἴ πού τις ὡραῖος, εἴ που ἁβρὸς, εἴ που καλός. Καὶ πιστεύω μὲν τῇ ἀρετῇ, ὅτι δικαίως ἐρᾷς, οὐκ ἀπιστῶ δὲ τῇ ψυχῇ, ὅτι δι' ἡδονὴν ἐρᾷς· οὐδὲ γὰρ σώματι ἀπιστῶ ὑπὸ πυρὸς θερμαινομένῳ, οὐδὲ ὀφθαλμοῖς ὑπὸ ἡλίου φωτιζομένοις, οὐδὲ ἀκοαῖς ὑπὸ αὐλῶν γανυμέναις, οὐδὲ Ἡσιόδῳ ὑπὸ Μουσῶν διδασκομένῳ, οὐδὲ Ὁμήρῳ ὑπὸ Καλλιόπης λιγαινομένῳ, οὐ Πλάτωνι ὑπὸ Ὁμήρου μεγαλυνομένῳ· πάντα ταῦτα ὑφ' ἡδονῆς ἕλκεται, καὶ ὀφθαλμοὶ, καὶ ἀκοαὶ, καὶ ᾄσματα, καὶ λόγοι.

9. Ἀλλὰ καὶ τὸν Διογένην ἐκεῖνον εἰς τὸν πίθον ἡδονὴ εἰσάγει· εἰ δὲ καὶ ἡ ἀρετὴ αὐτῷ συνεισέβαλλε, τί τὴν ἡδονὴν ἐξοικίζεις τῷ λόγῳ; Ἥδετο ὁ Διογένης τῷ πίθῳ, ὡς Βαβυλῶνι Ξέρξης· ἥδετο τῇ μάζῃ ὁ Διογένης, ὡς ὁ Σμινδυρίδης τῇ καρύκκῃ· ἥδετο ταῖς κρήναις ταῖς πανταχοῦ, ὡς ὁ Καμβύσης Χοάσπῃ μόνῳ· ἥδετο τῷ ἡλίῳ, ὡς Σαρδανάπαλλος ταῖς πορφυρίσιν· ἥδετο τῇ βακτηρίᾳ, ὡς Ἀλέξανδρος τῷ δόρατι· ἥδετο τῷ θυλάκῳ, ὡς ὁ Κροῖσος τοῖς θησαυροῖς. Κἂν παραβάλῃς ἡδονὰς ἡδοναῖς, τὰ Διογένους κρατεῖ· τὰ γὰρ ἐκείνων μεστὰ μὲν ἡδονῆς, ἀλλὰ ἀναμέμικται λύπη πανταχοῦ· ὀδύρεται Ξέρξης ἡττώμενος, στένει Καμβύσης τιτρωσκόμενος, οἰμώζει Σαρδανάπαλλος ἐμπιμπράμενος, ἀνιᾶται Σμινδυρίδης ἀπελαυνόμενος, δακρύει Κροῖσος λαμβανόμενος, λυπεῖται Ἀλέξανδρος μὴ μαχόμενος· αἱ δὲ Διογένους ἡδοναὶ οἰμωγῆς ἄπειροι, ἄστονοι, ἀδάκρυτοι, ἄλυποι. Σὺ δὲ τὰς ἡδονὰς αὐτοῦ πόνους καλεῖς· μετρεῖς γὰρ τὰ Διογένους τῇ σαυτοῦ φύσει, πονηρῷ μέτρῳ· σὺ μὲν γὰρ ἀλγήσεις ταῦτα δρῶν, Διογένης δὲ ἥδετο. Ἐπιτολμήσαιμι δ' ἂν ἔγωγε εἰπεῖν, ὡς οὐδεὶς ἡδονῆς Διογένους ἦν ἐραστὴς ἀκριβέστερος. Οὐχ ἑστίαν ἔνεμεν, ἐπίλυπον γὰρ οἰκονομία· οὐ πολιτείας ἐφήψατο, ἀνιαρὸν γὰρ τὸ χρῆμα· οὐκ ἐπειράθη γάμου, ἤκουε γὰρ τὴν Ξανθίππην· οὐκ ἐπειράθη παιδοτροφίας, ἑώρα γὰρ τὰ δεινά· ἀλλὰ ἄφετος παντὸς τοῦ δεινοῦ, ἐλεύθερος, ἄφροντις, ἀδεὴς, ἄλυπος ἐνέμετο τὴν πᾶσαν γῆν, ὡς οἶκον ἕνα, μόνος ἀνθρώπων ἡδοναῖς συνὼν ἀφρουρήτοις καὶ ἀταμιεύτοις καὶ ἀφθόνοις.

10. Τὸν Διογένην ἐῶμεν, καὶ μετίωμεν τοὺς νομοθέτας, καὶ πολιτείας σκεψώμεθα. Μή με οἰηθῇς ἐπὶ Σύβαριν ἥξειν, μηδὲ Συρακοσίων μνησθήσεσθαι τῶν ἁβροτάτων, μηδὲ Κορινθίων τῶν φιληδόνων, μηδὲ Χίων τῶν πλουσίων, μηδὲ Λεσβίων τῶν εὐοινοτάτων, μηδὲ Μιλησίων τῶν εὐειμονωτάτων· ἀλλ' ἐπὶ τοὺς ἡγεμόνας ἔρχομαι, ἐπὶ Ἀθηναίους ἔρχομαι, καὶ τὰ Λακεδαιμονίων ἐξετάζω. Μάστιγες αὗται καὶ πληγαὶ Λακωνικαὶ, καὶ θῆραι, καὶ δρόμοι, καὶ δεῖπνα λιτὰ, καὶ στιβάδες εὐτελεῖς· ἀλλ' ὁρῶ καὶ τούτων τὰ τερπνά. Εὖγε, ὦ Λυκοῦργε, σμικρῶν πόνων μεγάλας ἡδονὰς ἀντεισάγεις· ὀλίγα δοὺς, μεγάλα ἔλαβες· ἐφημέρους δοὺς πόνους, ἡδονὰς διηνεκεῖς ἀντέλαβες. Τίνες, λέξεις, αἱ Σπαρτιατικαὶ ἡδοναί; Πόλις ἀτείχιστος, ἄφοβος, ἄπειρος πυρὸς, ἀθέατος πολεμίων, ἀθέατος ξενικῶν ἀσπίδων,

comam alit, si quis formosus, aut venustus, aut pulcher est. Et de virtute quidem tua dubitare non possum, quin impudice non ames; nec diffido tamen animo, quin voluptatis causa id facias: non enim corpori diffido quin ab igne calere, nec oculis quin a sole illustrari, nec auribus quin tibiæ modis suaviter affici possint; sicut nec Hesiodo diffido qui a Musis docetur, nec Homero qui musicæ suæ suavitatem Calliopæ, nec Platoni qui orationis suæ sublimitatem Homero debet: omnia enim hæc, oculi, aures, cantus, oratio, a voluptate trahuntur.

9. Verum etiam Diogenem illum in dolium suum voluptas deduxit. Quodsi virtus quoque simul ingressa est, cur exclusum propterea is voluptatem? Delectabatur dolio suo Diogenes, ut Babylone sua Xerxes; delectabatur Diogenes sicco pane, sicut condimento suo Smindyrides; delectabatur omnibus fontibus, ut Choaspe solo Cambyses; delectabatur sole, sicut purpuris suis Sardanapallus; delectabatur baculo suo, sicut hasta sua Alexander; delectabatur pera sua, sicut omnibus thesauris Crœsus. Quodsi voluptates has confers cum aliis, vincit Diogenes. Plena quidem voluptatum sunt illorum omnia, sed quæ molestiam secum ubique trahant. Prœlio devictus lamentatur Xerxes, vulneratus gemit Cambyses, exustus ejulat Sardanapallus, rejectus dolet Smindyrides, captivus lacrimatur Crœsus, pugna prohibitus luget Alexander; at voluptates Diogenis sine ulla lamentatione aut gemitu, sine lacrimis sunt aut mœrore. Tu interim hujus voluptates vocas labores; quia ex natura tua illius hercule metiris ingenium, mensura iniqua: tibi namque dolor erit, eadem si agas; Diogeni erat voluptas. Ausim ego amplius dicere, nullum unquam veriorem fuisse voluptatis amatorem Diogene. Domum quam administraret non habuit, molesta est enim domesticæ rei administratio: rempublicam non attigit, res enim est gravissima: uxorem non duxit, nam de Xanthippe audiverat: liberos non eduxit, nam pericula ante oculos habebat. Sic omnis immunis mali, liber securusque, sine metu aut mœrore ullo, tanquam domum unam, totam colebat terram; solus mortalium voluptatibus apertis fruebatur, incustoditis, affluentibus.

10. Diogenem mittamus, et transeamus ad legislatores, ipsasque inspiciamus respublicas. Noli me arbitrari de Sybari verba facturum esse; aut Syracusiorum mentionem injecturum, quorum deliciæ, aut Corinthiorum quorum voluptates, aut Chiorum quorum opulentia, aut Lesbiorum quorum vina, aut Milesiorum quorum vestimenta celebrantur: ad principes ipsos accedo, ad Athenienses venio, Lacedæmonios lubet intueri. Hic flagella sunt plagæque Laconicæ, venationes cursusque, cœnæ parcissimæ, stragulaque vilissima: etiam in his tamen voluptates video. Macte Lycurge, qui pro minimis laboribus voluptates introducis magnas; parva dedisti, accepisti magna; labores dedisti brevissimos, voluptates pro iis accepisti perpetuas. Quæ sunt hæ voluptates, inquies, Spartanæ? Urbs sine muris, sine metu, intacta ab igne; quæ nec hostem unquam ac peregrinum vidit

ἀνήκοος στόνων, ἀνήκοος ἀπειλῆς. Τί δ' ἂν εἴη φόβου λυπηρότερον; τί δὲ δουλείας ἀνιαρότερον; τί δὲ ἀνάγκης ἐπιπονώτερον; ὅταν δὲ ταῦτα ἀπαλλάξῃς πόλεως, πολλὰς αὐτῇ ἡδονὰς ἀντεισάγεις. Ἐκείνης τῆς ἡδονῆς θρέμμα ἦν ὁ Λεωνίδας, ἐκείνης ὁ Ὀθρυάδας, ἐκείνης ὁ Καλλικρατίδας. Ἀλλ' ἀπέθνησκον οὗτοι. Ἀπέθνησκον καλῶς. Ὑπὲρ ποίων; Ἡδονῶν· καὶ γὰρ τῶν σωμάτων ἐκκόπτεται μέρη ὑπὲρ ῥαστώνης τοῦ ὅλου. Μέρος ἦν καὶ ὁ Λεωνίδας τῆς Σπάρτης, ἀλλὰ ἀπέθνησκεν ὑπὲρ τῆς Σπάρτης· μέρος ὁ Ὀθρυάδας, Καλλικρατίδας μέρος· τοιγαροῦν ἀφαιρουμένων σμικρῶν μερῶν, ἐσώζοντο αἱ οἶκοι ἡδοναί. Τὰ δὲ Ἀθηναίων τί χρὴ λέγειν; πάντα μεστὰ ἑορτῆς τὰ Ἀττικά, πάντα θυμηδίας· καὶ διέλαχον αὐτοῖς αἱ ὧραι τὰς ἡδονάς, ἦρος Διονύσια, μετοπώρου μυστήρια· καὶ ἄλλην ὥραν ἔχει ἄλλος θεός, Παναθήναια, Σκιροφόρια, Ἁλῷα, Ἀπατούρια. Ναυμαχοῦσιν ἐν θαλάττῃ, οἱ δὲ οἴκοι ἑορτάζουσι· πολεμοῦσιν ἐν γῇ, οἱ δὲ ἐν Διονύσου γελῶσιν. Ἀλλ' οὐδὲ οἱ πόλεμοι, τὸ σκυθρωπότατον, ἡδονῶν ἔρημοι· ἀλλὰ συντάττεται τούτοις ἡ Τυρρηνὴ σάλπιγξ ἢ αὐλὸς τριηρικός, ἢ ᾠδὴ ἐμβατήριος. Ὁρᾷς τὴν ἀφθονίαν τῶν ἡδονῶν.

clypeum, quæ luctum nullum, nullas unquam minas audivit. Quid autem metu tristius? quid servitute durius? quid necessitate est molestius? quibus si semel urbem liberaris, multas pro illis reddis voluptates. Illius voluptatis alumnus erat Leonidas, illius Othryadas, illius Callicratidas. Atqui hi fuere cæsi. Ita, sed honeste. Quarum rerum causa? Voluptatum: non aliter quam in corpore fieri solet, in quo partes amputantur, ut servetur et commode agat totum. Pars reipublicæ Spartanæ erat Leonidas, sed pro tota Spartanorum occidit republica; pars erat et Othryadas, pars et Callicratidas: ergo parvis hisce in bello interfectis partibus, domi vigebant cives, voluptate fruebantur integra. De Atheniensium vero rebus quid necesse est dicere? omnia ibi festorum plena, hilaritatis omnia, ut ipsa anni tempora divisisse inter se voluptates videantur: vere Dionysia celebrantur, autumno mysteria; et ita deinceps singulas anni partes aliquis sibi vindicat deus, Panathenæa, Scirophoria, Haloa, Apaturia. Dum alii navali prœlio certant, alii domi festa agunt, alii terrestrem ineunt pugnam, alii Dionysia cum risu celebrant. Sed nec ipsa bella, quæ res omnium est severissima, carent voluptatibus; sed et his vel tuba Tyrrhenica, vel tibia triremica, vel cantus militaris interjungitur. Vides voluptatum copiam.

ΛΟΓΟΣ Δ'.

Τί τέλος φιλοσοφίας.

1. Χαλεπὸν εὑρεῖν λόγον ἀληθῆ· κινδυνεύει γὰρ ἡ τοῦ ἀνθρώπου ψυχή, δι' εὐπορίαν τοῦ φρονεῖν, τοῦ κρίνειν ἀπορεῖν. Καὶ αἱ μὲν ἄλλαι τέχναι, πρόσω ἰοῦσαι, κατὰ τὴν εὕρεσιν εὐστοχώτεραι γίγνονται, ἑκάστη περὶ τὰ αὑτῆς ἔργα· φιλοσοφία δέ, ἐπειδὰν αὑτῆς εὐπορώτατα ἔχῃ, τότε μάλιστα ἐμπίμπλαται λόγων ἀντιστασίων καὶ ἰσορρόπων· καὶ ἔοικε γεωργῷ, ἐπειδὰν ἐν περιουσίᾳ γένηται ὀργάνων πολλῶν, ἀχαρποτέρᾳ τῇ γῇ χρωμένῳ. Τὰς μὲν οὖν πολιτικὰς διαδικασίας εὐθύνει ψῆφος καὶ ἀριθμὸς δικαστῶν, καὶ γνώμη ῥήτορος, καὶ δήμου χεῖρες· ἐνταῦθα δὲ τίς ἡμῖν παρέσται δικαστής, καὶ τίνι ψήφῳ τἀληθὲς κρινοῦμεν; Λόγῳ; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν λόγον, ὅτῳ οὐκ ἂν ἐξεύροις τὸν ἐναντίον. Πάθει; ἀλλ' ἄπιστος ὁ δικαστής. Πλήθει; ἀλλὰ πλείους οἱ ἀμαθέστεροι. Δόξῃ; ἀλλὰ τὰ χείρω ἐνδοξότερα.

2. Αὐτίκα ἐν τῷ παρόντι τούτῳ σκέμματι, ἡδονῆς ἀρετῇ ἁμιλλωμένης καὶ ἀντεξεταζομένης, οὐ παρωσαμένη τὴν ἀρετὴν ἡδονή, καὶ δόξῃ κρατεῖ, καὶ πλήθει μαρτύρων ὑπερβάλλεται, καὶ κατὰ πάθος δυναστεύει; Ὃ δὲ μόνον ὑπόλοιπον ἦν τῇ ἀρετῇ συμμαχικόν, ὁ λόγος, καὶ τοῦτο σχίζεται καὶ διαιρεῖται· καὶ ἐξεύρηταί τις καὶ παρ' αὐτοῦ ἐπικουρία ἡδοναῖς. Καὶ λέγει τις καλῶς, ὑπὲρ ἡδονῆς λέγων, καὶ τὴν ἀρετὴν φαυλίζει, καὶ μετατίθησι τὴν ἀρχὴν ἀπὸ τῆς ἀνδρωνίτιδος ἐπὶ τὴν γυναικωνῖτιν· καὶ τὸ μὲν σχῆμα τοῦ φιλοσόφου μετεν-

---

DISSERTATIO IV.

Quis sit philosophiæ finis.

1. Veram invenire rationem est difficile: plerumque enim id evenit homini, ut quo fœcundiore sit ingenio, eo minus valeat judicio. Et reliquæ quidem artes, in iis circa quæ versantur singulæ, cum ipso progressu majorem in recto inveniendo sollertiam adipiscuntur: philosophia quo plus proficit, eo contrariis magis ambiguisque abundat argumentis; agricolæ instar, qui, instrumenta quum habeat plurima, minus fœcundo tamen agro utitur. Et civilia quidem judicia calculus judicum ac numerus, sententia oratoris populique dirigunt suffragia: hic vero quis nobis judex erit, qua tandem verum a falso distinguemus sententia? Ratione? at nullam invenies, cui non dari possit contraria. Affectione? parum fidum narras judicem. Multitudine? plures hic indocti sunt. Opinione? deterioribus favet illa.

2. Ecce tibi, vel in hoc ipso de quo hic quærimus, quum voluptas inter se virtusque contendant atque inter se componantur, nonne et vi sua virtutem ejicit voluptas, et opinione vulgi superior evadit, et numero vincit testium, et vehementius afficit? Illud vero quod unum restabat, in quo omne virtuti erat præsidium, ipsa ratio, ea non minus secatur, non minus dividitur, nec raro suum voluptati defert patrocinium. Invenies aliquem, qui ornate pro voluptatibus dicat, virtutem vituperet, et, quod dici solet, a viris ad feminas transferat imperium; simulque et habitum mutet

δύεται, τοῦ δὲ ὀνόματος ἀξιοῖ κρατεῖν. Ἄφες, ἄνθρωπε, καὶ τοὔνομα μετὰ τοῦ λόγου. Παρανομεῖς περὶ τοὺς θεμένους· οὐδὲν φιλοσοφίᾳ καὶ ἡδονῇ κοινόν· ἄλλος μὲν ὁ φιλήδονος, ἄλλος δὲ ὁ φιλόσοφος· διακέκριται τὰ ὀνόματα, διακέκριται τὰ ἔργα, διῄρηται τὰ γένη, ὡς τὰ Λακωνικὰ τῶν Ἀττικῶν, ὡς τὰ βαρβαρικὰ τῶν Ἑλλήνων. Ἐὰν δὲ Σπαρτιάτης εἶναι λέγων καὶ Ἕλλην καὶ Δωριεὺς καὶ Ἡρακλείδης, θαυμάζῃς τιάραν Μηδικὴν καὶ τράπεζαν βαρβαρικὴν καὶ ἁρμάμαξαν Περσικήν· περσίζεις, βαρβαρίζεις, ἀπολώλεκας τὸν Παυσανίαν, Μῆδος εἶ, Μαρδόνιος εἶ. Ἀπόθου τοὔνομα μετὰ τοῦ γένους.

3. Τοὺς μὲν οὖν πολλοὺς ἡδονὴν ὑμνοῦντας φέρω· βάναυσος γὰρ ψυχὴ καὶ ἀπεληλαμένη λόγου, ἐλεεινὴ μὲν τοῦ πάθους, σύγγνωστος δὲ τῆς ἀγνοίας· Ἐπίκουρον δὲ διὰ τοὔνομα οὐ φέρω, οὐδὲ ἀνέχομαι φιλοσοφίας ὑβριζούσης. Οὐδὲ γὰρ στρατηγοῦ ἀνέχομαι τὴν τάξιν ἀπολείποντος καὶ ἐξηγουμένου τῆς φυγῆς, οὐδὲ γεωργοῦ ἀνέχομαι ἐμπιμπράντος τὰ λήϊα, οὐδὲ κυβερνήτου ἀνέχομαι ἀποδειλιῶντος πρὸς τὴν θάλατταν· πλεῖν σε δεῖ, στρατηγεῖν σε δεῖ, γεωργεῖν σε δεῖ, πόνων ταῦτα μεστά· ἀλλ' οὐδὲν καλὸν ὑπὸ ῥᾳστώνης γίγνεται. Εἰ δὲ ἕπεται ἡδονὴ τοῖς καλοῖς, δίδωμι τοῦτο· ἑπέσθω, ἀλλ' ἡγείσθω τὸ καλὸν πανταχοῦ·

Εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς,

ᾧ ἔδωκεν ἄρχειν ὁ Ζεύς. Ἐὰν δὲ μεταθῇς τὴν τάξιν, καὶ ἄρχῃ μὲν ἡδονή, ἕπηται δὲ λόγος· δίδως τῇ ψυχῇ τύραννον πικρὸν καὶ ἀπαραίτητον, ᾧ δουλεύειν ἀνάγκη, καὶ ὑπηρετεῖν ὑπηρεσίας ἀνεπιτιμήτους καὶ παντοδαπάς, κἂν αἰσχρὰ προστάττῃ, κἂν ἄδικα προστάττῃ. Τί γὰρ ἂν εἴη μέτρον ἡδονῆς ἐπιλαβομένης ἐξουσίας ἐπιθυμημάτων; Ἀκόρεστος γὰρ ὁ τύραννος οὗτος, καὶ τῶν παρόντων ὑπεροπτικός, καὶ τῶν μὴ παρόντων ὀρεκτικός, καὶ διὰ περιουσίαν ἐξαπτόμενος, καὶ ὑπὸ ἐλπίδος κουφιζόμενος, καὶ δι' εὐπορίαν ἐξυβρίζων. Οὗτος ὁ τύραννος ἐπανέστησε τὰ αἰσχρὰ τοῖς καλοῖς, οὗτος ἐφώπλισεν ἀδικίαν δικαιοσύνῃ, οὗτος μέτρῳ ἀμετρίαν· ὡς ἥ γε χρεία τῶν σωμάτων τὰς αὐτῆς ὀρέξεις οὐ χαλεπῶς ἀναπίμπλησιν. Διψῇ τις; κρῆναι πανταχοῦ· πεινῇ τις; φηγοὶ πανταχοῦ. Ἥλιος οὗτος, χλανίδων ἀλεεινότερος· λειμῶνες οὗτοι, θεαμάτων τὰ ποικιλώτατα· ἄνθη ταῦτα, εὐωδίαι φυσικαί. Καὶ μέχρι μὲν τούτων ἐστὶ λαβεῖν ὅρους ἡδονῶν, τὴν χρείαν αὐτήν· ἐὰν δὲ ταῦτα ὑπερβῇς καὶ προέλθῃς περαιτέρω, δίδως ταῖς ἡδοναῖς δρόμον ἄπαυστον, καὶ τὰς ἀρετὰς ἀποτειχίζεις.

4. Τοῦτο γεννᾷ τὰς πλεονεξίας, τοῦτο ποιεῖ τὰς τυραννίδας· οὐ γὰρ ἱκανὸν βασιλεῖ τῷ Περσῶν χωρίον Πασαργάδαι, καὶ τὸ Κύρου κάρδαμον, ἀλλ' ἡ Ἀσία ἅπασα διέλαχε χορηγεῖν ἡδοναῖς ἀνδρὸς ἑνός. Τρέφει μὲν αὐτῷ Μηδία Νισαῖον ἵππον, πέμπει δὲ Ἰωνία παλλακίδας Ἑλληνικάς, τρέφει δὲ Βαβυλὼν εὐνούχους βαρ-

philosophi, et nomen postulet retinere. Relinque, mi homo, una cum oratione tua et nomen. Injurius es in eos qui hæc nomina posuerunt : nihil philosophiæ cum voluptate est commune : alius est voluptatis, alius sapientiæ studiosus : distincta sunt nomina, distincta sunt opera, distinctum est genus, sicut aliud est Laconicum quam Atticum, aliud barbaricum quam Græcum. Si enim Spartiatam te esse dicas, Græcum, Doriensem, Heracliden; et tiaram tamen admireris Medicam, et mensam barbaricam, et essedum Persicum : jam ad Persas deficis, transis ad barbaros, Pausaniam exuisti, Medus es, es Mardonius. Depone et nomen cum genere.

3. Et vulgus quidem quum voluptatem laudant, facile ferre possum; animus enim illis illiberalis est, rectæque rationis penitus ignarus, cujus miseriam deplorare, cujus ignorantiæ possis ignoscere : Epicurum vero ob nomen quod profitetur, ferre non possum, neque philosophiam admitto, quæ lasciviat : sicut nec imperatorem fero, stationem qui deserat, tantumque in fuga dux sit; nec fero agricolam, qui segetes suas incendat; nec gubernatorem, qui marinos metuat fluctus : navigare oportet te, imperare oportet, terram colere oportet; laborum quidem plena hæc omnia, verum nihil quod pulchrum, quod honestum sit, ab ignavia producitur. Quodsi ea, quæ honesta sunt, voluptates dicas sequi, concedam : sequantur, dummodo ubique præcedat honestas;

Rex unicus esto
et dominus,

cui imperium dedit Juppiter. Nam si ordinem confundas, ut imperet voluptas, morem gerat ratio; durum animo tyrannum et inexorabilem præficis, cui ubique et sine excusatione ulla serviendum est, etiam quum fœda, quum injusta imperat. Quem enim voluptati terminum præscribes, quæ a cupiditatum vires sibi assumit licentia? Insatiabilis hic tyrannus est, qui et quæ adsunt despicit, et quæ non adsunt desiderat; qui et abundantia accenditur, et spe erigitur, nimiaque lascivit copia. Hic tyrannus contra honestatem irritat turpitudinem, contra justitiam armat injustitiam, modo opponit immodestiam. Nihil enim est, quod facilius sibi satisfieri patiatur, quam corporis necessitas. Sitit aliquis? ubique fontes sunt : esurit aliquis? ubique fagi sunt. Sol ille, quem vides, quavis penula calidior est : hæc prata quovis spectaculo amœniora sunt : hi flores genuinum odoris oblectamentum sunt. Et hactenus quidem voluptatibus præfigi potest terminus, ipse nimirum usus. Quem si semel transcenderis longiusque processeris, liberum voluptatibus cursum nullisque definitum spatiis concedis, virtutemque penitus intercludis.

4. Hoc est quod plus habendi semper sitim excitat, hoc est quod tyrannides creat : sicut nec regio angusta Pasargadæ Persarum regi, neque Cyri sufficit nasturtium; verum universa hominis unius voluptatibus vectigalis est Asia. Nisæos illi equos alit Media, meretriculas Græculas mittit Ionia, barbaros eunuchos educat Babylon, artes cujuscunque generis

βάρους, πέμπει δὲ Αἴγυπτος παντοδαπὰς τέχνας, ἐλέφαντα Ἰνδοί, Ἄραβες εὐωδίαν· χορηγοῦσι δὲ καὶ οἱ ποταμοὶ ταῖς βασιλέως ἡδοναῖς, Πακτωλὸς χρυσόν, Νεῖλος πυρόν, Χοάσπης ὕδωρ· τῷ δὲ οὐδὲ ταῦτα ἱκανά, ἀλλ' ἐπιθυμεῖ ξένης ἡδονῆς, καὶ διὰ τοῦτο ἐπὶ τὴν Εὐρώπην ἔρχεται, διώκει Σκύθας, ἀνίστησι Παίονας, Ἐρέτριαν λαμβάνει, Μαραθῶνι ἐπιπλεῖ, καὶ πλανᾶται πανταχοῦ. Ὦ τῆς πενίας δυστυχέστατος. Τί γὰρ ἂν εἴη πενέστερον ἀνδρὸς ἐπιθυμοῦντος διηνεκῶς; Ἐπειδὰν γὰρ ἅπαξ ψυχὴ γεύσηται ἡδονῶν ὑπὲρ τὴν αὐτῆς χρείαν, κόρος αὐτὴν τῶν πρότερον ἔχει, καὶ ἑτέρων ἐρᾷ. Καὶ τὸ τοῦ Ταντάλου αἴνιγμα τοῦτο ἦν ἄρα, δίψα διηνεκὴς ἀνδρὸς φιληδόνου, καὶ ἡδονῆς νάματα προσιόντα καὶ ἀπιόντα αὖθις, καὶ παλίρροια ἐπιθυμιῶν, καὶ λῦπαι πικραὶ ταύταις ἀνακεκραμέναι, καὶ ταραχαί, καὶ φόβοι. Φοβερὸν μὲν γὰρ παροῦσα ἡδονὴ μὴ ἀπέλθῃ, ἀνιαρὸν δὲ μὴ παροῦσα μὴ οὐκ ἔλθῃ· ὥστε ἀνάγκη τὸν διώκοντα ἡδονὴν λυπούμενον μὲν μὴ παύσασθαι, ἡδόμενον δὲ μὴ αἰσθάνεσθαι, ἀλλὰ συγκεχυμένον ζῆν ἐν ἀσαφείᾳ πολλῇ.

5. Ὅρα τίνα καὶ ποῖον τύραννον τῇ ψυχῇ δίδως· ὡς Ἀθηναίοις Κριτίαν, παρωσάμενος τὸν Σόλωνα· ὡς Λακεδαιμονίοις Παυσανίαν, παρωσάμενος τὸν Λυκοῦργον. Ἐγὼ δὲ ἐλευθερίαν ποθῶ, νόμου δέομαι, λόγου δέομαι. Οὗτός μοι φυλάξει τὴν εὐδαιμονίαν ὀρθὴν καὶ ἄσειστον καὶ ἀδεῆ καὶ αὐτάρκη, οὐ ταπεινὴν δέ, οὐδὲ ὑποβεβλημένην ἀνδραπόδων τέχναις· ὑφ' ὧν ἐρανιζόμενος ἀθροίσω τὸ μέγα τοῦτο ὄφελος, ἡδονήν, αἰτίζων οὐκ ἀκόλους, μὰ Δία, κατὰ τὸν Ὁμήρου πτωχεύοντα, οὐδὲ ἄορας καὶ λέβητας μόνον, ἀλλὰ τὰ τούτων ἔτι ἀτοπώτερα· παρὰ μὲν Μιθαίκου ὄψον, παρὰ δὲ Σαράμβου οἶνον, παρὰ δὲ Κόννου ἑταίραν, παρὰ δὲ Μελησίου ᾠδήν. Καὶ τί τούτων ἔσται μέτρον; τίς τῆς ἐξ ἡδονῶν εὐδαιμονίας ὅρος; ποῖ στησόμεθα; τίνι δῶμεν τὰ νικητήρια φέροντες; Τίς ὁ μακάριος ἀνήρ; οὗτος καὶ ἄγρυπνος καὶ ἐπίπονος, ὃν οὐκ ἔλαθεν οὐδὲ ἐξέφυγεν οὐδεμία ἡδονή, οὐ νύκτωρ, οὐ μεθ' ἡμέραν· ἀλλὰ ἀποτείνασα αὐτῷ ἡ ψυχὴ τὰς αἰσθήσεις πάσας, καθάπερ ὁ θαλάττιος πολύπους τὰς πολλὰς κόμας, διὰ τούτων πάντοθεν τὰς ἡδονὰς ἐπάξεται πάσας ὁμοῦ.

6. Πλάττωμεν, εἰ δυνατόν, τοιαύτην εἰκόνα, ἄνδρα εὐδαίμονα τὴν ἐξ ἡδονῶν εὐδαιμονίαν· ὁρῶντα μὲν τὰ ἥδιστα τῶν χρωμάτων, ἀκούοντα δὲ ἡδίστων ψόφων, ὀσφραινόμενον ὀδμῶν τερπνοτάτων, γευόμενον χυμῶν ποικιλωτάτων, χλιαινόμενον, ἀφροδισιάζοντα ὁμοῦ· ἐὰν γὰρ δῷς χρόνον, καὶ διαστήσῃς τὰς ἡδονάς, καὶ τὰς αἰσθήσεις διέλῃς, κολούσεις τὴν εὐδαιμονίαν· πᾶν γάρ, ὃ παρὸν εὐφραίνει, ἀφαιρεθὲν λυπεῖ. Καὶ τίς ἀνάσχοιτο ψυχὴ ἡδονῶν τοσούτων ὄχλον ἐπιρρέοντα αὐτῇ καὶ ἐπιφερόμενον, καὶ μηδεμίαν ἀναχωχὴν μηδὲ ἀναψυχὴν παρεχόμενον; ἀλλ' οὐκ ἀθλιώτατα εἰκὸς διάγειν, καὶ ἐπιθυμεῖν ἀναβολῆς, καὶ ἀναπαύλης ἐρᾶν; χρονίζουσα γὰρ ἡδονὴ λύπην γεννᾷ. Τί ἂν οὖν γένοιτο ἀπιστότερον εὐδαιμονίας ἐλεουμένης; Ὦ Ζεῦ

subministrat Ægyptus, ebur suum Indi, odores Arabes; ne ipsi quidem nihil voluptatibus illius suppeditant fluvii, Pactolus aurum, triticum Nilus, aquam præbet Choaspes. Quid quod ne hæc quidem illi sufficiunt, quin peregrinas amare incipiat voluptates? atque eo fine Europam petit, Scythas persequitur, Pæones evertit, Eretriam capit, navibus Marathonem invadit, ubique oberrat denique. O deplorandam in homine paupertatem! Quis enim pauperior illo esse potest, qui nunquam concupiscere desinit? Animus enim humanus quum semel ultra, quam flagitat necessitas, voluptates gustaverit, priorum satietas in eum ingruit, optat nova. Et hoc revera inest Tantaleæ fabulæ involucro, perpetua sitis ejus qui voluptatem sectatur, voluptatis latices accedentes et abeuntes rursum, cupiditatum fluxus et refluxus, quæ tristissimis semper imbuuntur curis, tumultu, ac metu. Si præsens adsit voluptas, times ne abeat; si absit, illud te macerat, ne non veniat: ut eum, qui hæc sectetur, nec dolore vacare unquam, nec ullas sentire voluptates sit necesse, sed perpetua in confusione rerum et ambiguitate versari.

5. Jam cogita quem qualemque animo præficias tyrannum: ut si Critiam rejecti loco Solonis Atheniensibus, ut si Pausaniam loco Lycurgi præficias Lacedæmoniis. Ego vero libertatem amo, lege opus, opus ratione habeo. Hæc erectam immobilemque felicitatem servabit mihi, sine metu ullo, nullius indigam auxilii, non dejectam animo, non quæ illiberalibus se submittat artibus; quarum symbolis donatus, præclarum illud emolumentum percipiam, non frusta panis tantum, ut mendicus ille Homericus, postulans mehercules, non cultros et lebetes solum, sed quæ etiam his sunt absurdiora; obsonium a Mithæco videlicet, vinum a Sarambo, a Conno meretriculam, cantum a Melesia. Et quis erit horum modus, quis felicitatis ejus, quæ ex voluptate oritur, terminus? ubi tandem consistemus? cui deferemus præmium? Quis est beatus ille? hic tam vigil, tam industrius, quem nec noctu, nec interdiu ulla latet aut præterit voluptas; qui omnem animum, omnes sensus, non aliter quam flagella sua marinus polypus, eo intendit, ut omnes simul, quæ ubique sunt, attrahat voluptates?

6. Fingamus, si possumus, hujusmodi imaginem, hominem, quem voluptatum beat felicitas: unum esse, qui eodem tempore colores videat jucundissimos, sonos audiat suavissimos, naribus odores percipiat gratissimos, succos gustet diversissimos, simul tepore foveatur jucundissimo, venereæ rei sit intentus: si enim spatium concedas intermedium, separesque voluptates ac disjungas sensus, enervabis voluptatem; cujus enim juvat præsentia, ejus necessario nocet absentia. Quis ergo tam firmus est animus, ut tantum tot voluptatum ferre possit impetum, qui quietem nullam, respirationem admittat nec minimam? nonne enim miserrime cum hoc agi consentaneum est, futurumque ut otiari aliquando et vacare ipse desideret? qui enim diutius perseverat voluptas, fit molestia. Quid ergo magis fluxum ea esse voluptate potest, quæ commiseratione digna vide-

καὶ θεοὶ, πατέρες καὶ ποιηταὶ γῆς καὶ θαλάττης, καὶ ὅσα γῆς καὶ θαλάττης θρέμματα, οἷον τοῦτο ζῷον τῷ δεῦρο τόπῳ καὶ βίῳ ἐγκατεστήσατε; ὡς θρασὺ καὶ ἰταμὸν καὶ λάλον, ἀγαθοῦ ἄπορον, ἔργου ἔρημον, ἡδοναῖς βοσκόμενον καὶ δημαγωγούμενον;

Αἴθ' ὄφελεν ἄγονόν τ' ἔμεναι, ἄγαμόν τ' ἀπολέσθαι

τὸ γένος τοῦτο πᾶν, εἰ μηδὲν ἕξει παρ' ὑμῶν ἡδονῆς κρεῖττον.

7. Καὶ πῶς οὐκ ἔχει; ἀποκρινώμεθα γὰρ καθ' Ὅμηρον ὑπὲρ τοῦ Διός. Ἔχει μὲν γὰρ, ἔχει νοῦν καὶ λόγον· συγκέκραται δὲ αὐτῷ ὁ βίος ἐξ ἀθανάτων καὶ θνητῶν πραγμάτων, ὡς ζῴῳ τινὶ ἐν μεθορίῳ τεταγμένῳ, καὶ παρὰ μὲν θνητῆς πλημμελείας τὸ σῶμα ἔχοντι, ἐκ δὲ τῆς ἀθανάτου ἀπορροῆς τὸν νοῦν λαμβάνοντι. Ἴδιον δὲ σαρκῶν μὲν ἡδοναὶ, νοῦ δὲ λόγος· καὶ κοινὸν μὲν αὐτῷ αἱ σάρκες πρὸς τὰ θηρία, ἴδιον δὲ νοῦς. Ἐνταῦθα τοίνυν ζήτει τὸ ἀνθρώπου ἀγαθὸν, ὅπου τὸ ἔργον· ἐνταῦθα τὸ ἔργον, ὅπου τὸ ὄργανον· ἐνταῦθα τὸ ὄργανον, ὅπου τὸ σῶζον. Ἀπὸ τοῦ σώζοντος ἄρξαι. Πότερον ποτέρου διασωστικὸν, σῶμα ψυχῆς, ἢ ψυχὴ σώματος; εὗρες τὸ σῶζον. Τί ψυχῆς ὄργανον; νοῦς. Ζήτει τὸ ἔργον. Τί νοῦ ἔργον; φρόνησις· εὗρες τὸ ἀγαθόν. Εἰ δέ τις τοῦ ἀνθρώπου τὴν μοῖραν ταύτην τὴν φρονοῦσαν καὶ θεοφιλῆ ἀτιμάσας, τὸ ἄτιμον ἐκεῖνο μόνον θρέμμα, τὰς σάρκας λέγω, τὸ ἀκόλαστον, τὸ ἀδηφάγον, τὸ ἡδοναῖς φίλον εὐωχεῖν ἐθέλοι· τίνι ἂν εἰκάσαιμι τὴν τοιαύτην τροφὴν, ἢ τῷ μύθῳ, νὴ Δία;

8. Γενέσθαι φασὶν οἱ ποιηταὶ ἄνδρας ἐν Πηλίῳ, Θετταλικὸν γένος, ἀτόπους τὰ σώματα, ἐξ ὀμφαλοῦ ἐπισυρομένους ἵππου φύσιν. Ἐν δὲ τῇ τῆς τοιαύτης ξυνουσίας ἀμουσίᾳ πᾶσά που ἀνάγκη βόσκειν ὁμοῦ τὴν θηριώδη φύσιν· φθέγγεσθαι μὲν ὡς ἄνθρωπον, σιτεῖσθαι δὲ ὡς θηρίον· ἐρᾶν ὡς ἄνθρωπον, ὀχεύειν δὲ ὡς θηρίον. Εὖγε, ὦ ποιηταὶ καὶ ποιητῶν παῖδες, πατέρες παλαιᾶς καὶ γενναίας μούσης, ὡς ἐναργῶς ἄρα ἡμῖν τὸν πρὸς τὰς ἡδονὰς δεσμὸν ᾐνίξασθε. Ἐπειδὰν ψυχῆς θηριώδεις κρατήσωσιν ἐπιθυμίαι, φυλάττουσαι τὴν ἀνθρωπίνην ἐπιφάνειαν, τῇ τῶν ἔργων ὑπηρεσίᾳ ἀπέφηναν τὸν χρώμενον ἐξ ἀνθρώπου θηρίον. Τοῦτο οἱ Κένταυροι, τοῦτο αἱ Γοργόνες, τοῦτο αἱ Χίμαιραι, ὁ Γηρυόνης, ὁ Κέκροψ. Ἄφελε τὴν γαστρὸς ἐπιθυμίαν, καὶ ἀφεῖλες τοῦ ἀνθρώπου τὸ θηρίον· ἄφελε τὴν αἰδοίων ἐπιθυμίαν, καὶ διέκοψας τὸ θηρίον. Μέχρι δὲ ταῦτά τῳ συζῇ καὶ συντρέφεται, καὶ πρὸς αὐτὰ τῇ θεραπείᾳ νένευκεν, ἀνάγκη τὰς ἐκείνων ὀρέξεις κρατεῖν, καὶ βοᾶν τὴν ψυχὴν τὰς ἐκείνων φωνάς.

ΛΟΓΟΣ Ε'.

Ὅτι ἔστι καὶ ἐκ τῶν περιστάσεων ὠφελεῖσθαι.

1. Δεινόν γε, εἰ οἱ μὲν θεοὶ διέκριναν τοῖς ἀνθρώποις τἀγαθὰ ἐκ τῆς τῶν κακῶν ὁμιλίας, ἀνεπίμικτον ἑκάτερον ἑκατέρῳ εἶναι θέμενοι, καὶ διαστήσαντες αὐτῶν τὰς

tur? O Juppiter, diique reliqui, patres artificesque terræ et maris quæque vigent in illis, quale tandem animal in hoc mundo, in hac vita constituistis? quam audax, quam temerarium, quam loquax? bonum non invenit, quod agendum est prætermittit, voluptatibus pascitur: sicut ducem suum populus, ita has sequitur:

Debuerat nasci nunquam, vel conjugis expers

interire totum hoc genus, si nihil voluptate a vobis majus poterit consequi.

7. Quomodo autem non posset? respondeamus enim cum Homero pro Jove. Habet, inquam, habet mentem, habet rationem: vita præterea ejus ex mortalibus constat immortalibusque principiis; estque tanquam animal in medio utriusque positum, quod ab humana quidem contagione corpus deducat, e divino autem fonte mentem. Jam corpori proprium est voluptas, menti ratio; et corpus quidem cum brutis commune habet, peculiarem autem sibi mentem. Quare ibi quære bonum hominis, ubi ejus est operatio; ibi operationem, ubi instrumentum; ibi instrumentum, ubi ejus conservatrix pars est. Ab hac jam incipe. Utrum alterum conservat, corpus anima, an animam corpus? conservatricem invenisti partem. Quod animi instrumentum est? mens. Operationem quære. Quæ mentis operatio est? prudentia: invenisti id, quod bonum dicimus. Si quis vero hanc in homine partem, quæ prudentiæ capax est, quæ deum respicit, contemnat; fœdam illam alteram, corpus nimirum, libidinosam, voracem, voluptatibus amicam, solam velit pascere: cui hoc dicemus esse simile, nisi mehercules huic fabulæ?

8. Fingunt poetæ homines fuisse in Pelio, Thessalicum genus, monstroso corpore, qui ab umbilico equi pone trahebant formam. In ejusmodi contaminatione monstrosa necesse fuit belluinam una cum humana saginare partem; loqui quidem ut hominem, saginari autem ut belluam; amare ut homines, coire ut belluas. Euge, poetæ poetarumque filii, antiquæ generosæque musæ primi parentes; quam manifeste nobis illud, quod voluptatibus nos conjungit, ostendistis vinculum! Simulatque enim belluinæ impegerant animo libidines, formam quidem integram relinquunt, sui vero obsequio eum, qui utitur, hominem in belluam convertunt. Hoc sibi Centauri volunt, hoc Gorgones, hoc Chimæræ, hoc Geryones, hoc Cecrops. Deme ventris libidinem, belluam dempsisti homini: deme penis libidinem, belluam amputasti. Dum vero vivunt una cum aliquo ac nutriuntur illa, quem in obsequium traxere sui, in eo necesse est cupiditates eorum dominari, animumque voces eorum personare.

DISSERTATIO V.

Etiam ex adversa fortuna utilitatem percipi.

1. Miserum est profecto, si dii quidem immortales bona in gratiam hominum a malis distinxere, ita ut diversas definitasque habeant naturas, nec cum altero confundi possit

φύσεις, καθάπερ ἡμέρας πρὸς νύκτα, καὶ φωτὸς πρὸς ζόφον, καὶ πρὸς ὕδωρ πυρός· ὧν ἕκαστον εἰ ἐθελήσαις πρὸς τοὐναντίον ἀγαγεῖν, καὶ ἀνακεράσαι αὐτῶν τὴν διαφορὰν εἰς κοινὴν φύσιν, διαφθερεῖς τὸ ἑκατέρου ἴδιον· οἱ δὲ ἄνθρωποι αὐτοὶ ἑκόντες, εὐδαίμονα διώκοντες βίον, καταμιγνύουσιν αὐτῷ δυστυχίας· κἄν τις θεῶν αὐτοῖς συγχωρήσῃ ζῆν δι' ἡμέρας ἐν φωτὶ λαμπρῷ καὶ διηνεκεῖ, ἀΰπνῳ καὶ ἀδεεῖ τῆς ἐν νυκτὶ ἀναπαύλης, ἄχθοιντο τῷ ἡλίῳ μηδέποτε ἐξισταμένῳ μηδὲ εἰς τὸ παλίσκιον παραχωροῦντι. Ἔχε δὴ αὐτόθι, μὴ ἀποκρινούμεθά σοι ποικίλον. Ὡς εἰ μέν που τίς ἐστιν ἀνθρώπου ὄψις ἀνέχεσθαι φωτὸς διηνεκοῦς, καὶ εἴπερ τις μηχανὴ στῆσαι τὸν ἥλιον τοῦ κύκλῳ δρόμου, ὥστε ἀνέχειν ὑπὲρ γῆς αἰεὶ, καθάπερ πυρσὸν ἐκ κορυφῆς ὑψηλῆς ἐκπέμποντα ἐφ' ἡμᾶς τὸ παρ' ἑαυτοῦ φῶς· εἰ ταῦτα ὑπάρχοι, καὶ σταίη μὲν ὁ ἥλιος, ἀνέχοιντο δὲ οἱ ὀφθαλμοὶ πρὸς αὐτὸν διηνεκῶς δεδορκότες· τίς οὕτως ἀνόητος καὶ ἐπιμανὴς καὶ κακοδαίμων τοῦ ἔρωτος, ὥστε ποθῆσαι νύκτα καὶ σκότος, καὶ ὀφθαλμῶν ἀργίαν, καὶ σώματος ῥίψιν ἐγγύτατα νεκροῦ; Εἰ δὲ θᾶττον μὲν ἀνάσχοιντο οἱ ὀφθαλμοὶ ἀϋπνίας, ἢ σταίη ὁ ἥλιος, θᾶττον δ' αὖ σταίη ὁ ἥλιος, ἢ ἀνάσχοιντο οἱ ὀφθαλμοὶ ἀϋπνίας· οὐκ εὐχῆς ἔργον ἡ πρὸς τὸ φῶς φιλία, ἀλλὰ ἀνάγκης ἡ πρὸς νύκτα συνουσία.

2. Ταύτῃ τοι καὶ ὁ πρὸς τὸ ἀγαθὸν ἔρως ἔχει. Ἐφίεται μὲν γὰρ αὐτοῦ ἡ ψυχή· τί δὲ οὐ μέλλει; καὶ πολεμεῖ τῷ κακῷ· τί δὲ οὐ μέλλει; ἀλλ' οὐκ ἔστιν αὐτῇ οὔτε ὧν ἐφίεται καθαρῶς τυχεῖν, οὔθ' οἷς πολεμεῖ μὴ περιπεσεῖν ἐξ ἀνάγκης· οὔπω λέγω τὴν μοχθηρὰν ψυχήν (αὕτη μὲν γὰρ πάγκακός τις, καὶ ἀγαθῶν ἄμοιρος, καὶ ἐν ἐλπίσιν ἄπιστος, καὶ ἐν εὐτυχίᾳ ἀκροσφαλής), ἀλλὰ τὴν ἐπιεικῆ καὶ φρονήσεως ἐπήβολον. Φέρε ἴδω πότερα καὶ ταύτην φῶμεν ἐπιλαβομένην τῆς ἀρετῆς εὐροίᾳ τινὶ βίου καὶ εὐτυχημάτων ἀκμῇ συγγίγνεσθαι ἀεὶ, ἢ τοῦτο μὲν ἀμήχανον ἐν ἀνθρωπίνῃ φύσει· πολλὰ γὰρ τὰ ἐν ποσὶ, καθάπερ ἀνδρὶ κούφως θέοντι ὀρύγματα καὶ κρημνοὶ καὶ βάραθρα καὶ τειχία, ἐν οἷς ὁ μὲν ἀμαθὴς τῆς ὁδοῦ, καὶ μαλθακὸς θεῖν, καὶ διαπηδᾶν ἀσθενὴς, καὶ παραθεῖν ἀκροσφαλὴς, πταίει καὶ σφάλλεται καὶ ἀποδειλιᾷ· ὁ δὲ ἀγαθὸς καὶ δρομικὸς ἀνὴρ καὶ ἐπιστήμων τῆς ὁδοῦ, κατὰ μὲν τὴν ῥώμην ὀξέως θεῖ, κατὰ δὲ τὴν ἐμπειρίαν ἀπλανῶς, κατὰ δὲ τὴν τέχνην ἀσφαλῶς· οἶδε μὴν τίς μὲν τῆς ὁδοῦ ἡ λεία καὶ ἄπταιστος, τίς δὲ ἡ διεσκαμμένη, καὶ ἀναγκαία μὲν διελθεῖν, ἀπροαίρετος δὲ τῷ θέοντι.

3. Τοῦτό μοι καὶ περὶ τὸν βίον Ὅμηρος ᾐνίξατο·

Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει,

φησίν· ὁ μὲν πλήρης κακῶν, ἀγαθῶν ἀνεπίμικτος· ὁ δὲ ἐξ ἀμφοῖν κεκραμένος· τρίτον γὰρ πίθον οὐδαμοῦ ἐν Διὸς εἶναι λέγει, ἀγαθῶν ἀκράτων. Νέμει δὲ Ζεὺς τῷ τῶν ἀνθρώπων γένει, κατὰ τὴν Ὁμήρου ᾠδὴν, ἐκ τοῖν πίθοιν τούτοιν ἀρυτόμενος, ἐκ μὲν τοῦ, κακῶν ἀενάων ῥεῦμα ἰσχυρὸν καὶ βίαιον, μεστὸν ἐρίδων καὶ

alterum, non magis quam dies cum nocte, aut lux cum tenebris, aut ignis cum aqua; quorum singula si cum contrariis velis conjungere, aut pugnantiam utriusque in eandem naturam confundere, quod utriusque proprium est penitus tollis: homines tamen, qui beatam sequuntur vitam, ultro ipsi illis mala admisceant. Ac si quis illis concedat deorum, ut perpetuo in luce clara nec unquam interrupta vivant, quæ somno nocturnaque quiete possit carere; indignaturi sint solem nunquam recedere, nec tenebris vicissim locum dare. Siste, quæso, te hic, ne plurima simul respondere cogamur. Si quidem inveniri humani possint oculi, qui lucem ferant perpetuam, et dari ars aliqua, quæ solis circularem queat sistere ambitum, ut supra terram suspensus, lampadis instar clarissimæ, quæ in excelso defigitur loco, lumen nobiscum semper communicet suum; hoc si posset fieri, staretque sol ipse, nec aspectu ejus perpetuo nostri defatigarentur oculi: quis ita demens furiosusque esset, quem tam sinistra animi afflaret cupido, ut noctem tenebrasque amare, oculos quiescere, corpus denique, adinstar defuncti hominis, malit abjicere? Verum sive oculi perpetuo vigilare sustineant facilius quam sol locum unum usque tueatur, sive sol in statione maneat facilius quam oculi perpetes agant vigilias: vides non voti nostri rem esse, ut lucem semper videamus; sed necessitatis, ut noctem admittamus.

2. Eodem modo amor qui bonum prosequitur, sese habet. Amat enim hoc animus: quidni amaret enim? et odit malum: quidni odisset enim? nec fieri tamen potest, ut vel quod amat consequatur penitus; aut quod odit vitet penitus. Nec jam de improbo loquor animo, qui et malis abundat undique, et bona ignorat; qui in spe ipsa diffidit, in felicitate summa facile labitur: sed quem probum, quem prudentem dicimus. Videamus ergo an hunc certe putemus, si ad felicitatem semel pervenerit, posse inoffenso vitæ cursu pergere, summaque illa fortunæ benignitate semper uti; an potius humanæ id naturæ contingere non posse arbitrandum sit; quia multa sunt, quæ obstant: sicut viro celeriter currenti evenire solet, multæ ut occurrant foveæ, viarumque prærupta, tum abyssi aggeresque: in quibus qui est viæ ignarus, in currendo mollis, debilis in transiliendo, in prætercurrendo facile labens, offendit, cadit, denique animum despondet: vir contra fortis, cursor strenuus, viæ peritus, a viribus suis hoc habet, celeriter ut pergat; a peritia, ut non aberret; ab arte, ut non impingat: novit vero, quæ plana sit via minimeque salebrosa; quæ contra celet foveam, transiri tamen necessario debeat, licet cursor eam repudiaverit.

3. Hoc est quod obscure de humana vita protulit Homerus:

Dolia bina jacent Jovis alto inclusa cubili,

inquit: quorum in altero mala sunt plurima, bonum nihil; alterum utroque mixtum est; tertium vero, in quo bona pura sint, nusquam in Jovis ponit domo. Jam quæ ex doliis hauriuntur illis, ita hominibus distribuit, secundum Homeri carmina, Juppiter, ut ex altero puri putique mali laticem validum et vehementem, contentionibus plenum et

ἐρινύων, καὶ πτοίας καὶ φόβου, καὶ ἄλλων μυρίων δυσαντήτων τε καὶ ἀκράτων κακῶν· ἐκ δὲ τοῦ νέμει, ὡς μὲν ἂν Ὅμηρος εἴποι, ῥεῦμα μικτὸν ἀγαθῶν καὶ κακῶν. Ἐγὼ δὲ ὁρῶ μὲν τὴν μῖξιν, καὶ πείθομαι τῷ λόγῳ, εὐφημότερον δὲ ὀνομάζειν θέλω τὴν βελτίω παρὰ Διὸς νομήν· ἔχει γὰρ δὴ ὧδε.

4. Ἀρετὴ ψυχῆς καὶ μοχθηρία, αὗται πηγαὶ τῶν Διὸς πίθων· ὧν ἡ μὲν μοχθηρία λάβρον καὶ ἔμπληκτον ὀχετὸν ἐξιεῖσα συγχεῖ τὸν βίον καὶ ταράττει, καθάπερ ἐμβολὴ χειμερίου νάματος ἐπὶ λήϊα καὶ φυτουργίας ὁρμηθεῖσα, ἐχθρὰ μὲν γεωργοῖς, ἐχθρὰ δὲ καὶ ποιμέσιν, ἐχθρὰ καὶ ὁδοιπόροις, ἄκαρπος, ἄγονος, ἀνόνητος, ἐπισφαλής· αἱ δὲ ἀρετῆς πηγαί, ὅτῳ ἂν ἐν ψυχῇ διαφανῶσι, πάντα τούτῳ ποιοῦσι τὸν βίον ἔγκαρπον καὶ ἀρόσιμον καὶ τελεσφόρον. Ἀλλὰ ἱδρῶτος δεῖ τῷ γεωργῷ, καὶ πόνου δεῖ, καὶ ταλαιπωρίας δεῖ. Οὐδὲ γὰρ ὁ Αἰγύπτιος τῷ Νείλῳ θαρρεῖ μόνῳ, οὐδὲ παραδίδωσιν αὐτῷ τὰ σπέρματα, πρὶν ἢ τἀρότρῳ ζεύξῃ βοῦν, πρὶν τέμῃ αὔλακα, πρὶν πονήσῃ μακρά· καὶ μετὰ τοῦτο ἤδη καλεῖ τὸν ποταμὸν ἐπὶ τὰ αὑτοῦ ἔργα. Αὕτη μῖξις ποταμοῦ πρὸς γεωργίαν, καὶ ἐλπίδων πρὸς πόνους, καὶ καρπῶν πρὸς ταλαιπωρίαν· οὕτως ἀγαθοῖς κακὰ κεραννυτέον· ἢ εἰ βούλει, ἄφελε μὲν τὴν δυσφημίαν, ἴσθι δὲ αὐτῶν τὴν οὐσίαν οὐκ αὐθαίρετον οὖσαν τοῖς πονοῦσιν. Κἂν ἐπὶ τοὺς λιμένας ἔλθῃς, κυβερνήτην λήψῃ, οὐ τὸν ἄπειρον χειμῶνος, οὐδὲ ὅστις ἀθέατος κλύδωνος, ἀλλ᾽ ἐκ πολλῶν σφαλμάτων ἀθροίσαντα τὴν τέχνην, ἐκ πείρας κακῶν. Ἐγὼ καὶ στρατηγῷ διαπιστῶ πάντα εὐτυχήσαντι. Οἷος ἂν ἦν Ἀθηναίοις στρατηγὸς Νικίας, σωθεὶς ἐκ Σικελίας· ἢ οἷος ἂν ἦν σωφρονέστερος δημαγωγὸς Κλέων, ἐπανελθὼν ἐξ Ἀμφιπόλεως. Ὅταν δὲ ἴδω πάντα εὐτυχοῦντα καὶ κυβερνήτην καὶ στρατηγόν, καὶ ἰδιώτην καὶ ἄρχοντα, καὶ ἄνδρα καὶ πόλιν, διαπιστῶ ταῖς εὐτυχίαις· ὡς Σόλων Κροίσῳ, ὡς Ἄμασις Πολυκράτει.

5. Κροῖσος μὲν γὰρ εἶχεν εὔιππον γῆν, Πολυκράτης δὲ εὔνεω θάλατταν· ἀλλ᾽ οὐδὲν τούτων βέβαιον, οὐχ ἡ γῆ Κροίσῳ, οὐχ ἡ θάλαττα Πολυκράτει· ἀλλ᾽ ἔλαμβανεν Ὀροίτης μὲν Πολυκράτην, Κροῖσον δὲ Κῦρος· καὶ διαδοχὴ μετ᾽ εὐτυχίαν μακρὰν ἀθρόων κακῶν. Διὰ τοῦτο Σόλων οὐκ εὐδαιμόνισε Κροῖσον, σοφὸς γὰρ ἦν· διὰ τοῦτο Ἄμασις ἀπείπατο Πολυκράτην, ἀσφαλὴς γὰρ ἦν· διὰ τοῦτ᾽ ἐγὼ ἐπαινῶ βίον γευόμενον κακῶν, ἀλλὰ γευόμενον μόνον,

Χείλεα μέν τ᾽ ἐδίην᾽, ὑπερῴην δ᾽ οὐκ ἐδίηνεν·

ἔχοντα μὲν τὴν ἀρετήν, χρώμενον δὲ αὐτῇ καὶ πρὸς ἀκουσίους τύχας. Καὶ γὰρ ὀφθαλμοῖς φίλον μὲν χρωμάτων τὸ λαμπρότατον, ἀλλ᾽ ἐὰν μὴ παραθῇς τὸ φαιόν, ἐλύπησας αὐτοῦ τὴν ἡδονήν· ἐὰν δὲ μίξῃς ταῖς εὐτυχίαις τὰ δυσχερῆ, μᾶλλον αἰσθήσῃ τῆς ἀρετῆς καὶ συνήσεις τῆς εὐτυχίας.

6. Ἡ δίψα μὲν σώματι παρασκευάζει ἡδονὴν ποτοῦ, καὶ λιμὸς σώματι παρασκευάζει ἡδονὴν βρωτοῦ, καὶ

furiis, pavore ac metu, sexcentis denique aliis inexpugnabilibus merisque malis; ex altero vero, ut Homerus diceret, laticem bono mixtum maloque. Ego temperamentum hoc quidem intelligo, nec fidem detraho; libet tamen verbis paullo lenioribus alteram distributionem Jovis, quæ melior videtur, exprimere, hoc nimirum modo habentem.

4. Virtus animi improbitasque, hi sunt doliorum Jovis fontes : quarum hæc rapidam præcipitemque evomens undarum vim vitam confundit atque inundat; haud secus quam fluminis hiberni impetus in segetes plantasque diffunditur, invisus agricolis, invisus pastoribus, nec viatoribus gratus, infructuosus, sterilis, inutilis, noxiusque : virtutis contra cujuscunque animum irrigarint fontes, totam huic vitam fœcundam, cultamque ac maturis educandis frugibus reddunt idoneam. Interim sudor requiritur agricolæ, requiritur labor, requiritur molestia. Nec enim Ægyptius colonus solo Nili fretus flumine semen suum spargit, nisi prius aratro bovem junxerit, sulcum duxerit, diu multumque laborarit : tum demum flumen vocat, opus suum illi commendat. Ita fluvius miscetur cum labore agricolæ, cum labore spes, cum molestia fructus; ita bonis miscenda sunt mala : aut deme, si vis, verbum male sonans, sed scias rem ipsam minime sitam esse in potestate laborantium. Ad portum si navigaturus aliquo iveris, gubernatorem tibi, credo, eliges, non qui tempestatem nullam sit expertus, aut nullos unquam viderit fluctus; sed qui multis ex periculis longaque malorum experientia paullatim sibi compararit artem. Ego imperatori quoque diffido, qui nunquam male rem gessit. Quantus vero Atheniensibus futurus fuisset imperator Nicias, si e Sicilia redire potuisset; aut quanto modestior et sanior Cleon in populari imperio, si Amphipoli rediisset! Quem contra, quocumque in vitæ genere, seu gubernator fuerit, seu imperator, sive private vivat, sive præsit aliis, sive unus sit, sive urbs tota, nimis felicem videro, benignitati fortunæ diffidam; ut Crœso Solon, ut Polycrati Amasis.

5. Terram equis abundantem Crœsus, navibus instructum mare possidebat Polycrates : quorum nihil diuturnum fuit, non terra Crœso, non Polycrati mare; Polycratem enim Orœtes, Crœsum cepit Cyrus. Ita felicitatem longam magna malorum excepit series. Ideoque Crœsum non judicabat felicem esse Solon, sapiens enim erat; Polycratem Amasis relinquebat, periculum enim vitabat : sic et ego vitam approbo, quæ adversam gustavit fortunam, sed gustavit tantum,

Ipsa modo tinxit labia, arescente palato;

quæ virtutem habeat, eaque utatur, quoties fortuna invitum petit. Sic inter omnes colores, qui maxime clarus est, maxime delectat oculos; nisi tamen fuscum conjungas, magnam illi voluptatis detrahis partem : ita si secundis rebus misceas adversa, magis virtutem advertes, magis felicitatem senties.

6. Sic sitis voluptatem bibendi parat homini, fames voluptatem edendi parat homini, nox oculis voluptatem parat

τοῖς ὀφθαλμοῖς παρασκευάζει ἡδονὴν ἡλίου· ποθεῖ ἄνθρωπος καὶ νύκτα μεθ' ἥλιον, καὶ λιμὸν μετὰ κόρον, καὶ δίψαν μετὰ μέθην· κἂν ἀφέλῃς αὐτοῦ τὴν μεταβολὴν, λύπην τὴν ἡδονὴν ποιεῖς. Οὕτω λέγεται καὶ Ἀρτοξέρξης, ὁ Περσῶν βασιλεὺς, τέως μὲν ὑπ' εἰρήνης μακρᾶς καὶ ἡδονῆς διηνεκοῦς μὴ συνιέναι τῆς εὐτυχίας· ᾧ παρεσκεύαζε μὲν ἡ Ἀσία τὸ δεῖπνον, ἔπεμπον δὲ πῶμα ποταμῶν οἱ κάλλιστοι, ἐμηχανῶντο δὲ αὐτῷ τὴν δίαιταν τέχναι μυρίαι· ἀλλ' ἐπεὶ πόλεμος αὐτῷ ἐκ θαλάττης ἦλθε, καὶ Ἕλληνες μύριοι, καὶ στρατηγοὶ δεινοὶ, ἡττηθεὶς ἔφευγεν ἐπὶ ψιλὸν λόφον, ὅπου τῆς νυκτὸς ἀναπαυσάμενος ἐδίψησεν ὁ δύστηνος πρῶτον τότε, ἔνθα ἦν οὐ Χοάσπης, οὐ Τίγρις, οὐ Νεῖλος, οὐκ ἐκπώματα, οὐκ οἰνοχόοι· καὶ ἠγάπησε παρὰ ἀνδρὸς Μάρδου λαβὼν ἐν ἀσκῷ ὀδωδὸς ὕδωρ· καὶ τότε ἄρα ὁ δείλαιος ἔγνω, τίς μὲν δίψης χρεία, τίς δὲ ἡδονὴ ποτοῦ.

7. Εἶτα ἡδονῆς μὲν ἔσται κόρος, εὐτυχημάτων δὲ οὐκ ἔσται κόρος; Ἔστιν, οἶμαι, καὶ σιτίων καὶ μέθης ἀνιαρότερος. Οὐ γὰρ ἀνασχετὸν εἶναι οὔτε τῷ Ἀχιλλεῖ τὴν σχολὴν, οὔτε τῷ Νέστορι τὴν σιωπὴν, οὔτε τῷ Ὀδυσσεῖ τὴν ἀσφάλειαν. Ἐξῆν γάρ τοι καὶ τῷ Ἀχιλλεῖ ζῆν καὶ βασιλεύειν Μυρμιδόνων, καὶ γεωργεῖν τὴν Θετταλῶν γῆν, καὶ γηροκομεῖν τὸν Πηλέα· καὶ τῷ Νέστορι ἐν Πύλῳ ἐν εἰρήνῃ ἄρχειν, καὶ γηράσκειν καθ' ἡσυχίαν· καὶ τῷ Ὀδυσσεῖ οἴκοι μένειν περὶ τὸ Νήριτον τὸ εὔφυλλον ἐν τῇ γῇ τῇ κουροτρόφῳ, ἢ τὸ τελευταῖον παρὰ Καλυψοῖ ἐν ἄντρῳ καταρρύτῳ καὶ κατασκίῳ, ὑπὸ Νυμφῶν θεραπευομένῳ, ἀγήρῳ ὄντι καὶ ἀθανάτῳ. Ἀλλ' οὐχ εἵλετο ἀθάνατος εἶναι ἀργὸς ὢν καὶ μηδὲν χρώμενος τῇ ἀρετῇ. Ἀνάγκη δὲ τὸν ταύτην μεταχειριζόμενον, ἀνθρωπίνοις συμπτώμασι παραβαλλόμενον, πολλάκις βοᾶν,

Τέτλαθι δὴ, κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης.

8. Τίς δ' ἂν ἦν μνήμη τοῦ Ὀδυσσέως, ἐὰν ἀφέλῃς αὐτοῦ τὰ δυσχερῆ; τίς δὲ τοῦ Ἀχιλλέως, ἐὰν ἀφέλῃς αὐτοῦ τὸν Ἕκτορα καὶ τὸν Σκάμανδρον, καὶ τὰς

Δώδεκα μὲν σὺν νηυσὶ πόλεις,

ἕνδεκα δὲ ἠπειρώτιδας; Τὸν μὲν γὰρ Ἡρακλέα οὐδὲ ἄλλοθεν οἱ ἄνθρωποι προσέθεσαν φέροντες τῷ Διὶ, ἢ ἐκ τῆς πρὸς τὰ κακὰ ὁμιλίας, ἀνταγωνισαμένης ἀρετῆς. Ἐὰν ἀφέλῃς αὐτοῦ τὰ θηρία, καὶ τοὺς δυνάστας, καὶ τὰς ἄνω καὶ κάτω ὁδοὺς, καὶ τὰ δεινὰ ἐκεῖνα πάντα, ἠκρωτηρίασας τὴν ἀρετὴν τοῦ Ἡρακλέους. Ἡ Ὀλυμπιάσι μὲν καὶ Πυθοῖ οὐκ ἔνεστι κότινον λαβεῖν, οὐδὲ μήλων τυχεῖν, αὐτὸν ἐφ' ἑαυτοῦ κονισάμενον, ἀλλὰ ἀνταγωνιστῶν δεῖ τῷ κηρύγματι· ἐν δὲ τῷ τοῦ βίου σταδίῳ καὶ τῇ δεῦρο ἀγωνίᾳ τίς ἂν γένοιτο ἀνταγωνιστὴς ἀνδρὶ ἀγαθῷ, πλὴν τῆς πείρας τῶν δυσχερῶν;

9. Φέρε, τοὺς ἀγωνιστὰς παρακαλῶμεν ἐπὶ τὸ στάδιον. Ἔγε· τίνες μὲν Ἀθηνῶν; Σωκράτης ἀγωνιούμενος πρὸς Μέλητον καὶ πρὸς τὰ δεσμὰ καὶ τὸ

ex solis lumine capiendam : optat homo etiam noctem post solem, famem etiam quum satur est, etiam sitim quum fuit ebrius. Quodsi demas hanc vicissitudinem, voluptas quæ fuerat, fit dolor. Sic et Artoxerxes rex Persarum dicitur præ voluptate nimia continuaque, in qua versatus erat, pace felicitatem aliquamdiu ne vidisse quidem suam; cui epulum parabat tota Asia, potum præbebant fluviorum omnes pulcherrimi, vitæ inserviebant artes plurimæ. Verum postquam e mari bellum illi est exortum, cum decem Græcorum millibus fortissimisque congressus imperatoribus, victus in colliculum sterilem profugit; in quo noctu quum quievisset, tum primum sitire cœpit homo miserrimus, ubi non Choaspen suum habebat, non Tigrin, non Nilum, non pocula aut pincernas. Hic illi satis fuit, quod a Mardo homine aquæ corruptæ utrem acciperet; ac tum demum scire infelicissimus potuit mortalium, quis sit sitis usus, quid sit suaviter bibere.

7. Ergone voluptatis aliqua erit satietas, secundæ fortunæ non erit? Est, ut arbitror, quam aut cibi ullius aut vini gravior. Nec enim otiari potuisse Achillem narrant, nec silere Nestorem, nec periculis carere Ulyssem. Enimvero licebat Achilli vivere Myrmidonibusque imperare, Thessalam terram colere, Pelei fovere senectutem : Nestori rursus in Pylo præessė suis sine bello, seniumque otiose transigere : domi Ulyssi circa *frondosum* Neritum in terra *juvenum nutrice* manere; aut in umbroso tandem irriguoque Calypsûs antro, famulantibus undique Nymphis, mortis seniique ignaro vitam ducere. Sed nec immortalis esse ea lege voluit, ut otiosus esset ac virtutem suam nusquam exhiberet. Necesse est enim, hac qui uti cœpit semel, sæpe in mediis, quibus humana obnoxia est vita, casibus exclamet,

Hoc quoque sustineas, cor; nam graviora tulisti.

8. Quam autem Ulyssi famam relinquis, miseriam si demis? quam Achilli, si Hectorem, si Scamandrum, si

Mœnia bis sex capta mari,

undecimque urbes quas in terra cepit? Herculem itidem non aliunde quam ex media cum malis lucta, quibus virtus se opponebat, sustulerunt Jovique ascripserunt homines. Cui feras si demas, et tyrannos, si plurima illa sursum deorsumque itinera, et adversa ista omnia; Herculis virtutem mutilasti. Olympicis quidem Pythiisque ludis oleastrum nemo, nemo malum consequitur, qui solus secum in pulvere decertarit; sed adversario prius opus est, ut præconis voce victor declareris : in hoc vero vitæ stadio, hoc in certamine, quem alium bono viro adversarium dabis, præterquam adversæ fortunæ gustum?

9. Agedum athletas nostros in stadium vocemus. Age, quinam Athenis? Socrates, qui cum Melito, cum vinculis, cum veneno luctaturus est; ex academia Plato qui cum ty-

φάρμακον· ἐκ δὲ Ἀκαδημείας, Πλάτων ἀγωνιούμενος πρὸς τυράννου ὀργὴν, καὶ θάλατταν πολλὴν, καὶ κινδύνους μεγάλους. Ἡκέτω καὶ ἄλλος ἀγωνιστὴς Ἀττικὸς, ἀγωνιούμενος πρὸς Τισσαφέρνην ἐπιορκοῦντα, καὶ Ἀριαῖον ἐπιβουλεύοντα, καὶ Μένωνα προδιδόντα, καὶ βασιλέα ἐπιτιθέμενον. Καὶ δεῖ μοι καὶ τὸν ἐκ τοῦ Πόντου ἀθλητὴν ἀγωνίζεσθαι· καὶ οὗτος ἀγῶνα ἰσχυρὸν πρὸς ἀνταγωνιστὰς πικροὺς, πενίαν καὶ ἀδοξίαν καὶ λιμὸν καὶ κρύος· ἐγὼ δὲ αὐτοῦ καὶ τὰ γυμνάσια ἐπαινῶ·

Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν,

οὐ χαλεπῶς διὰ τοῦτο ἐκράτει. Τοιγαροῦν στεφανῶ τοὺς ἄνδρας, καὶ ἀνακηρύττω νικηφόρους τῆς ἀρετῆς· ἐὰν δὲ ἀφέλῃς αὐτῶν τὴν πρὸς τὰ κακὰ ἀγωνίαν, ἀποστεφανοῖς τοὺς ἄνδρας καὶ ἀποκηρύττεις. Ἄφελε Ἀθηναίων τὸν ἐπὶ Μαραθῶνα δρόμον, καὶ τὸν ἐκεῖ θάνατον, καὶ τὴν Κυναιγείρου χεῖρα, καὶ τὴν Πολυζήλου συμφορὰν, καὶ τὰ Καλλιμάχου τραύματα· καὶ οὐδὲν Ἀθηναίοις καταλείπεις σεμνὸν, πλὴν τοῦ Ἐριχθονίου καὶ τοῦ Κέκροπος, μύθων ἀπιστουμένων. Διὰ τοῦτο ἡ Σπάρτη ἐπὶ πλεῖστον ἐλευθέρα, ὅτι οὐδὲ ἐν εἰρήνῃ σχολὴν ἄγει· μάστιγες αὗται καὶ πληγαὶ Λακωνικαὶ, καὶ ἔθη κακῶν ταῖς ἀρεταῖς ἀναμιγνύμενα.

ΛΟΓΟΣ ϛ'.

Πῶς ἄν τις πρὸς φίλον παρασκευάσαιτο.

1. Ἔχεις εἰπεῖν, τίνας ποτὲ Ὅμηρος ὀνομάζων χαίρει θεοῖς εἰκέλους, καὶ δίους, καὶ μῆτιν ἀταλάντους Διΐ; Τίνας γὰρ ἄλλ' ἢ τοὺς ἀρίστους, Ἀγαμέμνονά τε καὶ Ἀχιλλέα καὶ Ὀδυσσέα, καὶ ὅστις ἄλλος συνετέλει αὐτῷ εἰς ἐπαίνου μοῖραν; Τί δὲ, εἰ μὴ τῷ Διὶ εἴκαζεν αὐτοὺς, ἀλλ' ἢ Μαχάονι τῷ ἰατρῷ, ἢ Κάλχαντι τῷ μαντικῷ, ἢ Νέστορι τῷ ἱππικῷ, ἢ Μενεσθεῖ τῷ τακτικῷ, ἢ Ἐπειῷ τῷ τέκτονι, ἢ Νιρεῖ τῷ καλῷ; ἆρ' οὐκ ἂν εἶχες ἀποκρίνασθαί μοι τῆς εἰκόνος τὴν αἰτίαν; ἢ ἐκεῖ μὲν γνωρίζεις τὴν ὁμοιότητα· ἐνταῦθα δὲ ὅτι μὲν ὅμοιοι τῷ Διὶ οἶσθα, καὶ ἐπαινεῖς τὸν εἰκάσαντα τῆς γνωρίσεως, τὸ δὲ γνώρισμα αὐτὸ ἀγνοεῖς; Φέρε οὖν, ἐγώ σοι ὑπὲρ τοῦ Ὁμήρου διηγήσομαι, οὑτωσὶ ἠρέμα πω λέγων· οὐ γάρ εἰμι ποιητικός. Πατέρα γάρ που θεῶν καὶ ἀνθρώπων εἶναι λέγει τὸν Δία, οὔτι που διότι ὑπεκδὺς τοῦ οὐρανοῦ, νῦν μὲν ὄρνιθι εἰκασθεὶς, νῦν δὲ χρυσῷ, καὶ ἄλλοτε ἄλλῳ, γυναιξὶ θνηταῖς ἐπλησίαζε,

Σπερμαίνων τὰ πρῶτα γένος κυδρῶν βασιλήων·

οὕτω γὰρ ἂν εἴη ὁ Ζεὺς ὀλιγοτεκνότατος· ἀλλὰ τὴν αἰτίαν ἀναθεὶς αὐτῷ τοῦ εἶναι τὰ γένη ταῦτα, καὶ σώζεσθαι, προσεῖπεν πατέρα, τῶν ἐν φιλίᾳ ὀνομάτων τὸ πρεσβύτατον.

2. Εἶεν· οὕτω σοι τὰ τοῦ Διὸς ἔχει. Τὰ δὲ τῶν ὁμοίων τῷ Διὶ ἆρ' ἡγεῖ ἄλλῃ πη ἔχειν; ἢ οὐχ ὁρᾷς, ὡς οὐδὲ

ranni ira, cum mari multo, cum maximis periculis. Veniat et alius athleta Atticus, qui cum Tissaphernis perjuriis, cum Ariæi insidiis, cum proditione Menonis, et occultis regis decertet consiliis. Opus est e Ponto quoque mihi adveniat athleta, et quidem ad certamen maximum maximosque adversarios; paupertatem dico, infamiam, famem, frigusque. Ego vero etiam exercitia ejus laudo:

Corpus sponte sibi laniavit verbere multo,
injiciens pannos humeris;

nec difficulter propterea vicit. Quapropter coronam viris illis defero, victoresque eos in virtutis certamine præconio meo proclamo. Quodsi mala illis, cum quibus luctantur, dempseris; coronam illis demis, demis præconium. Deme Atheniensibus velocem illum ad Marathonem cursum, mortemque quam oppetiere ibi, et Cynægiri manum, et Polyzeli cladem, et Callimachi vulnera; nihil præclarum Atheniensibus relinquis, nisi forte Erichthonium et Cecropem, fabulas meras, quibus jam fides nulla. Hanc ob causam quam diutissime salva libertas sua Spartanis constitit, quod ne pace quidem otiantur: hæc gignunt illa flagra, illæ plagæ Laconicæ, et malorum perpetiendi consuetudo virtuti immista.

DISSERTATIO VI.

Quomodo quis ad amicum se præparare debeat.

1. Possisne dicere, qui sint illi, quos Homerus modo *diis similes*, modo *dios*, modo *prudentia Jovi æquales*, vocare amat? Quos vero alios, quam summos illos viros, Agamemnonem, Achillem, Ulyssem, et si quis alius virtute sua aliquam illi laudis subministravit materiam? Quid si vero non cum Jove eos contulisset, sed aut cum Machaone medico, aut vate Calchante, aut Nestore qui equitandi, aut Menestheo qui instruendæ aciei, aut Epeo qui fabrili arte, aut Nireo qui forma antecessit omnibus? quid, an non statim in promptu tibi causa comparationis hujus videretur? num ergo in altero similitudinis continuo tibi constat ratio; in altero Jovi quidem similes dici vides, et poetæ comparationem laudas, ipsum tamen ejus momentum non assequeris? Agedum, Homeri nomine causam tibi exponam, idque oratione sedata et humi repente; nec enim ad poesin sum factus. *Patrem* ille *deûm hominumque* Jovem dicit, non ideo quod, relicto cœlo suo, modo in avem, modo in aurum, aut quodcunque aliud postularet usus, conversus, mortales complexus sit feminas,

Sic primum generans magnorum semina regum;

quod si verum esset, næ paucorum liberorum pater esset Juppiter: sed quia ad ipsum retulit causam quæ produxit illa genera et conservat, *patrem* eum dixit poeta; quod nomen est omnium quæ in amicitia obtinent antiquissimum.

2. Esto: et hoc quidem de ipso Jove. At eorum, qui similes Jovi dicuntur, num putas aliam esse rationem? an

τὸν Σαλμωνέα εἴκασαν οἱ ποιηταὶ αὐτῷ, καίτοι κεραυνοὺς ἀφιέντα, ὡς ᾤετο, καὶ μιμούμενον τὸν βροντῶν κτύπον καὶ τὸ ἀστραπῆς φῶς; ἀλλὰ ταῦτά γε ὁ Σαλμωνεὺς δρῶν, ὅμοιος ἦν Θερσίτῃ μιμουμένῳ τὸν Νέστορα. Πῶς οὖν γένοιντ' ἂν ὅμοιοι ἄνθρωποι Διί; Μιμούμενοι αὐτοῦ τὸ σωστικὸν καὶ φιλητικὸν καὶ πατρικὸν δὴ τοῦτο. Αὕτη θνητῇ πρὸς θείαν ἀρετὴν ὁμοιότης, ἣ παρὰ μὲν θεοῖς καλεῖται θέμις καὶ δίκη, καὶ ἄλλ' ἄττα μυστικὰ καὶ θεοπρεπῆ ὀνόματα· παρὰ δὲ ἀνθρώποις, φιλία καὶ χάρις, καὶ ἄλλ' ἄττα προσηνῆ καὶ ἀνθρωπικὰ ὀνόματα. Ἐνδεέστερον δὲ δὴ τὸ ἀνθρώπειον τῆς θείας ἀρετῆς, τά τε ἄλλα, καὶ κατὰ φιλίας ἔκτασιν· οὐ γὰρ ἐξικνεῖται ἡ θνητὴ φύσις ἐπὶ τὸ ὅμοιον πᾶν, ἀλλ' ὥσπερ αἱ τῶν βοσκημάτων ἀγέλαι, οἰκειοῦται τῷ ξυννόμῳ μόνον· ἀγαπητὸν δὲ εἰ καὶ τούτῳ παντί. Νῦν δὲ ἴδοις ἂν ἐν ἀγέλῃ μιᾷ, ὑπὸ ποιμένι ἑνὶ, στάσεις πολλὰς καὶ διαφωνίας κυριττόντων ἀλλήλους καὶ διαδακνόντων, μόγις ὄντα που ζώπυρα εἰς βραχὺν ἀριθμὸν φιλίας σαφοῦς ξυνεληλαμένα. Σιτία μὲν καὶ ποτὰ καὶ ἀμπεχόνας, καὶ ὅση ἄλλη χρεία σωμάτων, πορίζονται οἱ ἄνθρωποι ἀμοιβῇ καὶ ἀντιδόσει ἐκ χαλκοῦ καὶ σιδήρου, καὶ τὰ σεμνὰ δὴ ταῦτα, χρυσοῦ καὶ ἀργύρου· ἐξὸν χαίρειν τῇ τῶν μεταλλέων φράσαντας τέχνῃ, λαμβάνειν παρ' ἀλλήλων ταῦτα ἀπονητὶ, μετρουμένους μέτρῳ τῷ πάντων ἰσαιτάτῳ, τὸν μὲν ἐνδεᾶ τὴν χρείαν λαβόντα παρὰ τοῦ ἔχοντος, τὸν δὲ ἐν περιουσίᾳ ἀφεῖναι, κτησάμενον παρὰ τοῦ λαβόντος, ὧν ἡ ἀντίδοσις οὐχ ἕξει αἰτίαν.

3. Τῷ μὲν Λυκίῳ Γλαύκῳ χρυσὸν δόντι καὶ λαβόντι χαλκὸν, καὶ « ἑκατόμβοι' ἐννεαβοίων » ἀλλαξαμένῳ, ὀνειδίζει Ὅμηρος· εἰ δὲ παρωσάμενοι τὴν τούτων ἀξίαν, τῇ γνώμῃ τὰς ἀντιδόσεις διεμετροῦντο, ἦν ἂν δήπου τὸ χρῆμα ἰσόρροπον. Νῦν δὲ καπηλείας πάντα μεστὰ καὶ ἐμπορίας, καὶ συμβολαίων πικρῶν, ἀγοραίων τε καὶ θαλαττίων καὶ ἠπειρωτικῶν, ξενικῶν τε καὶ ἀστικῶν, καὶ ἐπιχωρίων καὶ διαποντίων, ἄνω καὶ κάτω στρεφομένης τῆς γῆς καὶ τῆς θαλάττης, τὰ ἀθήρατα ἐχθηρωμένων, καὶ τὰ ἀφανῆ μεταλλευόντων, καὶ τὰ πόρρω διωκόντων, καὶ τὰ σπάνια ποριζομένων, καὶ θησαυροὺς κατορυττόντων, καὶ κατώρυχας ἐμπιμπλάντων, καὶ ταμεῖα σωρευόντων. Τὸ δὲ τούτων αἴτιον, ἀπιστία φιλίας, καὶ πλεονεξίας ἔρως, καὶ ἀπορίας δέος, καὶ μοχθηρίας ἔθος, καὶ ἡδονῆς πόθος· ὑφ' ὧν τὸ φιλεῖν ἐλαυνόμενον, καὶ κατορυττόμενον, καὶ βαπτιζόμενον, μόγις που σώζει ἀμαυρὰ ἴχνη καὶ ἀσθενῆ· καὶ τὸ κοινότατον καὶ ἀταμίευτον καὶ ἀφθονώτατον, διὰ τὴν τῶν χρωμένων σπάνιν, εἴ που καὶ γένοιτο τῆς Ἑλλάδος ἢ τῆς βαρβάρου γῆς, ᾄδεται τοῦτο, καὶ μύθου σχῆμα ἔχει, καὶ ἀπιστεῖται αὐτοῦ ἡ ἀκρίβεια. Καὶ μάλα εἰκότως.

4. Ἦλθεν ἐπὶ τὴν Ἀσίαν Ἑλληνικὸς στόλος νεῶν χιλίων, πλῆθος ἀνδρῶν τὸ καλλιστεῦον τῆς Ἑλλάδος, ὁμόσκηνον καὶ ὁμοδίαιτον, δεκαετεῖ χρόνῳ ἀντικαθημένων αὐτοῖς ἐχθρῶν βαρβάρων. Ἡ δὲ φήμη τῶν ἔργων τούτων ἐμπεσοῦσα εἰς τὴν Ὁμήρου ᾠδὴν, οὐχ ἔσχεν

non Salmoneum vides, qui fulmina se mittere opinabatur, tonitruumque strepitum ac flammæ cœlestis ignem imitari conatus est, Jovi tamen a poetis minime conferri? Hæc enim quum faceret Salmoneus, Thersitæ erat similis, qui imitatur Nestorem. Quonam igitur modo Jovis esse similes possunt homines? Si illud nimirum in Jove imitentur, ex quo salus, dilectio, paternaque ejus in homines cura dimanat. Hæc mortalium virtuti cum divina est cognatio, quæ a diis quidem Fas, et Justitia, et aliis quibusdam, mysticis et divina decentibus nominibus appellatur; apud homines Amicitia, et Benevolentia et si qua sunt mitia alia humanaque nomina, vocatur. Divinæ autem virtuti cum in aliis, tum in hoc potissimum humana cedit, quod minus late ejus pateat amicitia; quæ quidem per mortalem naturam non in totum se diffundit genus, sed, ut in pecudibus fieri videmus, tantum in ejusdem gregis consortibus locum habet; atque adeo felicissimum est, si vel in hisce omnibus. Jam vero videas eodem in grege, sub eodem pastore, crebras contentiones, crebra dissidia, quorum alii cornibus, alii dentibus inter se velitantur; ut vix amicitiæ veræ et evidentis restent scintillæ aliquot, eæque numero paucissimæ. Ac cibos quidem, potumque, et amictum, reliquaque corpori necessaria, homines æris inter se ferrique commutatione comparant, et illis, quæ quidem augusta habentur, auro argentoque: quum tamen sine ullo metallicorum artis usu possent labore nullo inter se communicare, mensura metientes omnium æquissima; ut quidem is, qui re aliqua egeat, quo necessitati suæ consulat, rem a possidente mutuetur; is, qui eadem abundet, ea lege dimittat, ut ab eo vicissim accipiat, quæ juste reddi debeant.

3. Et Glauco quidem Lycio objicit Homerus, quod pro auro quod dederit sumpserit æs, et *centum bubus digna novem bubus* permutaverit: verum si, pretio utriusque seposito, ex mente potius tam hujus, quam illius, permutationem hanc metirentur, æqualis visa erat res utraque. At nunc cauponationis et mercaturæ plena sunt omnia et strictissimorum commerciorum: sunt forensia, sunt marina, sunt terrestria, sunt peregrina, sunt urbana, sunt provincialia, sunt transmarina: sursum deorsum terra vertitur, miscetur mare, dum quæ abdita sunt venantur, quæ occulta scrutantur, quæ dissita sequuntur, quæ rara conquirunt, quæ conquisita sunt rursus defodiunt, humum opibus defossis implent, arcas stipant. Horum omnium causa hæc est, quod fidem nullam invenit amicitia, quod divitiarum omni modo cumulandarum cupiditas obtinet, egestatis metus, improbitatis consuetudo, voluptatis studium: a quibus omnibus fugatur, in terram defoditur, penitusque mergitur amicitiæ nomen, vix ut minima tenuissimaque ejus apparere queant vestigia. Atque illud natura sua communissimum, sine custodia et invidia largiter affluens, ob raritatem eorum qui eo utuntur, si forte usquam vel in Græcia vel apud barbaros apparet, celebratur a poetis, interque fabulas locum habet, neque fidem invenire potest rei exacta narratio. Atque hoc valde consentaneum est.

4. Græcorum olim classis navium mille, flos ipse virorum totius Græciæ, in Asiam venit; eodem contubernio, eodemque cibo per integrum, quo in conspectu hostium versati sunt, decennium usi. Cujus quum rei memoria in Homerico locum invenerit carmine, in tanto tamen vel populo,

ἡμῖν ἑταιρείαν εἰπεῖν ἀκριβῆ ἐν τοσούτῳ στόλῳ καὶ χρόνῳ, πλὴν μιᾶς, Θετταλικοῦ μειρακίου πρὸς Λοκρὸν ἄνδρα· ἧς οὐδὲν Ὅμηρος διηγήσατο οὔτε πρὸς ἡδονὴν τερπνότερον, οὔτε πρὸς ἀρετὴν ἀγωγότερον, οὔτε πρὸς μνήμην ἐπιχυδέστερον. Τὰ δὲ ἄλλα τοῦ Ὁμήρου εἰ σκοποίης, πόλεμοι πάντα, καὶ θυμοὶ, καὶ ἀπειλαὶ καὶ μῆνις, καὶ τὰ τούτων τέλη, οἰμωγαὶ, καὶ στόνοι, καὶ θάνατοι, καὶ φθοραὶ, καὶ ὄλεθροι. Ἄδεταί που καὶ διήγημα Ἀττικὸν ὑπὸ φιλίας σεμνυνόμενον· ἐν πολλοῖς τοῖς Ἀθηναίων λόγοις ἓν τοῦτο ἄξιον τῆς Ἀθηνᾶς, ἄξιον τοῦ Θησέως, φιλία καλὴ καὶ δικαία ἀγαθῶν ἀνδρῶν, ἣ παρέδωκεν ἀμφοτέροις ἐπὶ τυράννῳ κοινὸν ξίφος, καὶ σύνθημα κοινὸν, καὶ κοινὸν θάνατον· μεθ' ἣν οὐκέτι ὄφελος φιλίας Ἀττικῆς ἦν, ἀλλὰ πάντα ὕπουλα, καὶ σαθρὰ, καὶ ἄπιστα, καὶ διαβεβρωμένα, μεστὰ φθόνου, καὶ ὀργῆς, καὶ ἀπειροκαλίας, καὶ φιλοχρηματίας, καὶ φιλοδοξίας.

5. Κἂν τὴν λοιπὴν Ἑλλάδα ἐπίῃς, ἀφθονίαν ὄψει σκυθρωπῶν διηγημάτων, ἄνδρα ἀνδρὶ συμπεπτωκότα, καὶ πόλιν πόλει, καὶ γένος γένει· οὐ τὸ Δωρικὸν τῷ Ἰωνικῷ μόνον, οὐδὲ τὸ Βοιώτιον τῷ Ἀττικῷ, ἀλλὰ καὶ Ἴωνας Ἴωσιν, καὶ Δωριέας Δωριεῦσιν, καὶ Βοιωτοὺς Βοιωτοῖς συμπίπτοντας, καὶ Ἀθηναίους Ἀθηναίοις, καὶ Θηβαίους Θηβαίοις, καὶ Κορινθίους Κορινθίοις, συγγενεῖς καὶ συνεστίους πολεμίους, πάντας πᾶσιν ἐπιτιθεμένους, τοὺς ὑπὸ τὸν αὐτὸν ἥλιον καὶ τὸν αὐτὸν αἰθέρα καὶ τὸν αὐτὸν νόμον, καὶ τὴν αὐτὴν φωνὴν ἱέντας, καὶ τὴν αὐτὴν γῆν νεμομένους, καὶ καρποὺς τοὺς αὐτοὺς σιτουμένους, καὶ μυστήρια τὰ αὐτὰ τελουμένους· οὓς περιβάλλει τεῖχος ἓν καὶ πόλις μία, πολεμοῦντας σπενδομένους, ὀμνύντας ἐπιορκοῦντας, συντιθεμένους μετατιθεμένους, καὶ προφάσεις μικρὰς μεγίστων κακῶν. Οἷς γὰρ ἂν τὸ φιλεῖν τῆς γνώμης ἐκπέσῃ, πάντα ἤδη ἀξιόχρεα κινεῖν ὀργὴν καὶ ταράττειν· καθάπερ κοίλην ναῦν ἀφαιρεθεῖσαν τοῦ ἕρματος βραχεῖαι ῥοπαὶ σαλεύουσί τε καὶ περιτρέπουσιν.

6. Τίς ἂν οὖν παρασκευὴ γένοιτο ἀνδρὶ φιλίας ἐραστῇ πρὸς τὸ κτῆμα τοῦτο; Χαλεπὸν μὲν εἰπεῖν, ῥητέον δὲ ὅμως·

Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν·

οὐκ ἔστιν οὐδὲ ἀνδρὶ πρὸς ἄνδρα φιλίας ὁλκὴ, μέχρις ἂν αὐτῷ οἱ ὀφθαλμοὶ φαντάζωνται χρυσὸν καὶ ἄργυρον. Κἂν τούτων ἀπαγάγῃς τὴν ὄψιν, οὐκ ἀπόχρη πρὸς φιλίαν ἡ καρτερία, ἀλλ' ἐνοχλεῖ αὖθις ἡ παιδικῶν ὥρα, ἢ γυναικὸς κάλλος· κἂν καταμύσῃς πρὸς ταῦτα, « εὐπρόσωπος ὁ τοῦ μεγαλήτορος Ἐρεχθέως δῆμος, » καὶ τὰ ἐν ἐκκλησίαις κηρύγματα, καὶ ἡ ἀπ' αὐτῶν δόξα, κοῦφον χρῆμα, καὶ πᾶσαν γῆν ὀξέως ὑπεριπτάμενον. Κἂν ὑπερίδῃς ταύτης, οὐχ ὑπερόψει δικαστηρίου· κἂν ὑπερίδῃς τούτου, οὐχ ὑπερόψει δεσμωτηρίου· κἂν ἐνέγκῃς δεσμὰ, οὐχ ὑπερόψει προσιόντος τοῦ θανάτου. Πολλάς σε δεῖ ἡδονὰς παραδραμεῖν, καὶ πολλοῖς πό-

vel tempore, unicam modo, quam describere, societatem invenire veram potuit, Thessalici, dico, juvenis cum viro Locrensi : quo nihil in tota poesi Homerus narravit quod aut voluptatem afferat majorem, aut ad virtutem magis invitet, aut ab omnibus magis celebretur. Reliqua Homeri si diligenter inspexeris, quid aliud sunt quam pugnæ et furores, minæ et iræ, et, qui eorum exitus est, luctus, gemitus, neces, pernicies, ac cædes? Circumfertur etiam Attica historia, quæ ab amicitia suum mutuatur splendorem : in plurimis Atticorum scriptis solum hoc Minerva dignum, solum Theseo, honesta nimirum bonorum virorum ac justa amicitia : quæ utrique gladium communem in tyranni necem tradidit, tesseram communem, communem mortem. Post hanc nihil usquam erat quod in Atheniensium amicitia laudare posses; sed exulcerata omnia, putida omnia, infida, corrupta; plena invidia, et ira, et illiberalitate, et avaritia, et ambitione.

5. Eodem modo reliquam quoque si percurras Græciam, invenies funestas passim historias, viri cum viro, urbis cum urbe, gentis unius pugnam cum altera; non Doricam tantum cum Ionica, nec cum Attica Bœotam, sed cum Ionibus Ionas, Dores cum Doribus, cum Bœotis Bœotos, cum Atheniensibus Athenienses, cum Thebanis Thebanos, cum Corinthiis inter se decertantes Corinthios; cognatos inter se hostili esse animo contubernalesque, omnes inter se mutuo insurgere, qui sub eodem sole vivunt et eodem aere, qui iisdem legibus utuntur, eandem linguam loquuntur, eandem colunt terram, frugibus iisdem vescuntur, eadem celebrant initia, quos murus idem, eadem complectitur civitas; hos omnes, inquam, videas pugnare modo, modo fœdus pangere, jurare et pejerare, pacisci pactumque rumpere, atque ita minima interdum de causa mala movere maxima. Quibus enim semel vis amicitiæ effluxerit animo, nihil est quod non facile ad iram impellere eos et turbare possit; sicut navi concavæ saburram si demas suam, paullo momento movetur quovis, impellitur et evertitur.

6. Quam ergo rationem ineat homo, cui cordi est amicitia, ut hoc sibi vindicare possit munus? Difficile quidem est dictu, sed tamen dicendum :

Ut nullum est homini fœdus sævoque leoni,
vivere nec pariter possunt agnique lupique;

ita ad conciliandum homini hominem nihil est quod magnopere valeat, donec auro argentoque intentos habet oculos. Quodsi abs te impetraris ne hæc respicias, nondum tamen ad amicitiam sufficit ea continentia; sed aliud rursus mentem perturbat, pueri puta alicujus flos, aut uxoris forma. Hæc quoque irretorto si spectes oculo, *speciosus est magnanimi populus Erechthei*, et concionum præconia, et parta in illis gloria, res levis, quæque universam velocissime terram pervagatur. Hanc si contemnas, nondum judicium contempsisti : quod si possis, nondum potes carcerem : si carcerem feras, mortis adventum metues. Necesse est te multas præterire voluptates, multis resistere laboribus; ut id, quod

νοις ἀντιβλέψαι, ἵνα κτήσῃ κτῆμα ἡδοναῖς πάσαις ἰσοστάσιον, καὶ πόνοις πᾶσιν ἀντίρροπον, κτῆμα χρυσοῦ τιμιώτερον, κτῆμα ὥρας βεβαιότερον, κτῆμα δόξης ἀσφαλέστερον, κτῆμα τιμῆς ἀληθέστερον, κτῆμα αὐθαίρετον, αὐτεπάγγελτον, κτῆμα ἀδεκάστως ἐπαινούμενον, κτῆμα, κἂν λύπην κἂν πρᾶξιν φέρῃ, εὐφραῖνον τὸν δρῶντα κατὰ τὴν μνήμην τῆς αἰτίας.

7. Σπάνιον δὲ τὸ κτῆμα τοῦτο· τὸ δὲ εἴδωλον αὐτοῦ πρόχειρον καὶ παντοδαπὸν, κολάκων ἑσμοὶ καὶ θίασοι, σεσηρότων καὶ σαινόντων, καὶ ἐπ' ἄκρᾳ τῇ γλώττῃ τὸ φιλεῖν ἐχόντων· οὐχ ὑπ' εὐνοίας ἀγομένων, ἀλλ' ὑπὸ τῆς χρείας ἠναγκασμένων· καὶ μισθοφόρων, ἀλλὰ οὐ φίλων· καὶ οὐκ ἔστιν ἀπαλλαγὴ τοῦ κακοῦ, μέχρις ἂν οὗ τὸ φιλεῖν τὸ ὠφελεῖν νομίζωσιν· τὸ δὲ ἔστι μὲν, ἀλλ' οὐχ ὁρῶσιν οἱ πολλοὶ τὴν ἀντίδοσιν οὔτε ἰδίᾳ, οὔτε κατὰ πόλιν· ἢ γὰρ ἂν αὐτοὺς ἐξοπλίσαντες, καὶ χαίρειν φράσαντες στρατηγῶν τέχναις, καὶ ὁπλοποιῶν δημιουργίαις, καὶ μισθοφόρων ἀθροισμῷ, καὶ συνθημάτων παραδόσει, καὶ φρουρίων ἐπιτειχίσει καὶ στρατοπέδων, πάλαι ἐδέξαντο ἂν τὰς σπονδὰς ἑκόντες παρ' αὐτοῦ τοῦ Διὸς, οὐχ ἐν Ὀλυμπίᾳ, οὐδὲ ἀπὸ Ἰσθμοῦ τὴν ἐκεχειρίαν κηρύττοντος, ἀλλ' ἐξ οὐρανοῦ μέγα βοῶντος,

Σχέσθε, φίλοι, καί μ' οἷον ἐάσατε, κηδόμενόν περ,

σώζειν ὑμᾶς, καὶ μὴ περιορᾶν ὑπ' ἀλλήλων κακουμένους. Νῦν δὲ ἐφημέρους σπονδὰς σπενδόμενοι, τριακοντούτιδας, ἀνάπαυλαν κακῶν ἐπορίζοντο ἀμυδρὰν καὶ οὐ πάντῃ ἀσφαλῆ, μέχρις ἂν ἄλλη πρόφασις ἐπιπεσοῦσα πάντα ἄνω καὶ κάτω ἐπιταράξῃ αὖθις. Ἀλλὰ κἂν τὰ ὅπλα ἀποδύσωνται, κἂν εἰρήνην ἄγωσιν, ἄλλος αὖ πόλεμος ἐμπεσὼν τῇ ψυχῇ, οὐ δημόσιος, ἀλλ' ἰδιωτικὸς, οὐ σιδηροφόρων, οὐδὲ πυρφόρων, οὐδὲ νηΐτην ἄγων στρατὸν, οὐδὲ ἱππικὸν, ἀλλὰ γυμνὸς ὅπλων, ἀσίδηρος, ἄπυρος, λυμανεῖται τῇ ψυχῇ, καὶ πολιορκεῖ αὐτὴν, ἐμπιμπλὰς φθόνου, καὶ ὀργῆς, καὶ θυμοῦ, καὶ προπηλακισμοῦ, καὶ ἄλλων μυρίων κακῶν.

8. Ποῖ τις τράπηται; τίνα εὕρῃ ἐκεχειρίαν; ποίαν Ὀλυμπίαν, τίνα Νεμέαν; Καλὰ μὲν τὰ Ἀθήνησι Διονύσια καὶ Παναθήναια· ἀλλὰ ἑορτάζουσι μισοῦντες καὶ μισούμενοι· πόλεμόν μοι λέγεις, οὐχ ἑορτήν. Καλαὶ καὶ ἐν Λακεδαίμονι αἱ Γυμνοπαιδίαι, καὶ τὰ Ὑακίνθια, καὶ οἱ χοροί· ἀλλὰ Ἀγησίλαος Λυσάνδρῳ φθονεῖ, καὶ Ἀγησίπολις Ἆγιν μισεῖ, καὶ Κινάδων τοῖς βασιλεῦσιν ἐπιβουλεύει, καὶ Φάλανθος τοῖς ἐφόροις, καὶ Παρθενίαι Σπαρτιάταις· οὐ πιστεύω τῇ ἑορτῇ, πρὶν τοὺς ἑορταστὰς ἴδω φίλους. Οὗτος ἀληθινῆς ἐκεχειρίας νόμος καὶ τρόπος, ὑπὸ νομοθέτῃ τῷ θεῷ τεταγμένος, ὃν οὐκ ἔστι μὴ κτησάμενον φιλίαν ἰδεῖν, οὐδ' ἂν πολλάκις ἀναγράψηται τὰ Ὀλυμπιάσι, καὶ Ἰσθμοῖ, καὶ Νεμέᾳ. Εἴσω δεῖ ἐπὶ τὴν ψυχὴν τὸ κήρυγμα ἐλθεῖν, εἴσω τὴν ἐκεχειρίαν· ἕως δὲ ἄσπονδος καὶ ἀκήρυκτος ὁ ἐν ψυχῇ πόλεμος, ἄφιλος ἡ ψυχὴ μένει, ἐχθρὰ, σκυθρωπή. Ταῦτα αἱ Ποιναὶ, ταῦτα αἱ Ἐρινύες, τὰ δράματα, αἱ τραγῳδίαι. Διώκωμεν τὴν ἐκεχειρίαν, παρακαλῶμεν φιλοσοφίαν· ἡκέτω, σπενδέσθω, κηρυττέτω.

omnibus par sit virtutibus, omnibus æquipolleat laboribus, consequaris : bonum auri pretio majus, bonum forma diuturnius, bonum omni certius gloria, bonum omnibus integrius honoribus; bonum quod et per se petitur, et sponte offertur, et merito laudatur; bonum quod licet dolorem et negotium afferat, recordatione tamen sui se sustentat instituti.

7. Est autem bonum illud rarissimum, cujus tamen spectrum ubique invenies; adulatorum, dico, qui rideant semper, semper palpo feriant, plurima examina, cœtusque plurimos; quorum in summa lingua amicitia habitat, qui non benevolentia ducuntur; sed necessitate moventur; mercenarii vere, non amici. Et hujus quidem mali immunis futurus es nunquam, quam diu homines amicitiam putaverint nihil esse præter commodum. Et ea quidem est commodum, sed unde istud provenit commodum, id non percipiunt homines nec privatim nec publice : cito enim arma exuerent, cito militaribus artibus, armorumque officinis, et militum mercenariorum renunciarent congregationi; nemo de tesseris sollicitus esset, nemo arces muniret amplius aut castra; sed sub Jove, tanquam feciali, ultro jam olim fœdus iniissent commune, qui non ex Olympia Isthmoque inducias indicit, sed ex ipso cœlo voce maxima proclamat,

State, viri, mihique hoc permittite multa dolenti,

ut vos conservem, priusquam mutuis omnes vulneribus ad internecionem redigamini. Nunc vero fœdera ineunt momentanea, triginta fortasse annorum, quibus nec omnino nec satis tuto a malis respirant, donec novus oriatur prætextus aliquis, qui sursum deorsumque omnia moveat. Adde, quod plerumque evenit, ut quamvis ab armis decedant, quamvis pacem agant, bellum tamen aliud in ipsum animum ingruat, non publicum bellum, sed privatum; quod non ferro, non igne, non classe geritur, non equitatu, sed sine his omnibus animum corrumpet, animum oppugnans, implens invidia, ira, bile, contumeliæ studio, aliisque malis sexcentis.

8. Quonam quis se convertat? quas reperiat inducias? quam Olympiam, quam Nemeam? Pulchra quidem apud Athenienses celebrantur festa, Dionysia dico et Panathenæa; sed ab iis, qui odia exercent mutua : bellum mihi narras, non festum. Pulchra sunt etiam apud Lacedæmonios Gymnopædiæ, et Hyacinthia, chorique solemnes; sed Agesilaus Lysandro invidet, et Agin odit Agesipolis, et regibus Cinadon, et ephoris Phalanthus, et Spartiatis insidiantur Partheniæ : festo diffido, antequam convenire inter se videam iis, a quibus celebratur. Hæc una verarum induciarum lex, una ratio, a legislatore præscripta deo, sine qua amicitiam nemo videbit unquam, licet sæpe fœdus inierit, licet sæpe scripserit quæ Olympiæ et in Isthmo et Nemeæ ponuntur. In animum penetret oportet præconium, in animum induciæ. Dum enim bellum illud animi internum sine libamine, sine præcone adhuc durat, amicitiæ expers manet animus, inimicus, acerbus. Hæ sunt Pœnæ, hæ Erinyes; hinc theatrica spectacula, hinc tragœdiæ. Sequamur hac inducias, advocemus philosophiam : veniat, fœdus feriat, vocem suam præconiumque interponat.

ΜΑΞΙΜΟΥ ΤΥΡΙΟΥ

ΦΙΛΟΣΟΦΟΥΜΕΝΑ. ΛΟΓΟΙ Μ.

ΛΟΓΟΣ Ζ'.

Ὅτι πρὸς πᾶσαν ὑπόθεσιν ἁρμόσεται ὁ τοῦ φιλοσόφου λόγος.

1. Τί δήποτε οἱ ἐν Διονύσου τὰ δράματα ὑποκρινόμενοι νῦν μὲν τὰς τοῦ Ἀγαμέμνονος ἱέντες φωνάς, νῦν δὲ τὰς τοῦ Ἀχιλλέως, καὶ αὖθις Τήλεφόν τινα ὑποδυόμενοι, ἢ Παλαμήδην, ἢ ἄλλ' ὅ,τι περ ἂν τὸ δρᾶμα ἐθέλῃ, οὐδὲν πλημμελὲς οὐδὲ ἔξω τρόπου νομίζονται ποιεῖν, ἄλλοτε ἄλλοι φαινόμενοι οἱ αὐτοί· εἰ δέ τις τὰ μὲν τοῦ Διονύσου φυλάττει τῇ παιδιᾷ καὶ τῷ θεάτρῳ, ἡγεῖται δέ τι εἶναι αὐτῷ δρᾶμα πολιτικὸν, οὐχ ἰαμβείων τινῶν, μὰ Δία, πρὸς ἕνα ἑορτῆς καιρὸν ὑπὸ ποιητοῦ τέχνῃ συντεθέντων, οὐδὲ ᾀσμάτων χορῷ ἐς ἁρμονίαν συνταχθέντων, ἀλλὰ τῆς περὶ τὸν βίον πραγματείας, ὅπερ ἂν εἴη τῷ φιλοσόφῳ δρᾶμα, ἀληθέστερον μὲν τῇ ὑποθέσει, διηνεκὲς δὲ τῷ χρόνῳ, διδασκόμενον δὲ ὑπὸ ποιητῇ τῷ θεῷ, κᾆτά τις τὸ δρᾶμα τοῦτο ὑποδυόμενος, καὶ τάξας ἑαυτὸν πρωταγωνιστὴν τοῦ χοροῦ, φυλάττοι μὲν τὸ τῶν ποιημάτων ἀξίωμα, σχηματίζοιτο δὲ τῷ ἤθει τοῦ λόγου πρὸς τὴν φύσιν τῶν πραγμάτων ὧν δραματουργεῖ ὁ θεός· ἆρ' ἄν τις ἡγήσαιτο τοῦτον πλημμελῆ καὶ πολύφωνον, καὶ οἷον τὸν Πρωτέα διηγεῖται Ὅμηρος, ἥρω θαλάττιον, πολύμορφόν τινα καὶ παντοδαπὸν τὴν φύσιν; ἢ καθάπερ εἰ μουσικῆς τέχνης καὶ δυνάμεως τοῖς ἀνθρώποις ἔδει πρὸς εὐδαιμονίαν, οὐθεὶς ἂν δήπου λόγος ἦν ἀνδρὸς πρὸς μὲν τὸν Δώριον τρόπον ἡρμοσμένου καλῶς, εἰ δέ που ἐδέησεν Ἰάστιον ἁρμόσασθαι ἢ κατὰ τὸ Αἰόλιον ἦθος, ἀφώνου γιγνομένου ἐν τῇ πολυφωνίᾳ τῆς τέχνης;

2. Ἀλλ' ἐπεὶ ᾠδῆς μὲν καὶ τῆς ἐκ μελῶν ψυχαγωγίας ὀλίγη τοῖς ἀνθρώποις χρεία, δεῖ δέ τινος ἄλλης μούσης ἀνδρικωτέρας, ἣν Ὅμηρος μὲν Καλλιόπην ὀνομάζων χαίρει, ὁ Πυθαγόρας δὲ φιλοσοφίαν, ἄλλος δὲ ἴσως ἄλλο τι· τὸν τῇ μούσῃ ταύτῃ κάτοχον ἄνδρα καὶ λόγον ἆρα ἧττον ἐκείνων τῶν ᾠδικῶν ἡρμόσθαι δεῖ πολυφώνως τε καὶ πολυτρόπως, σώζοντα μὲν ἀεὶ τὸ τῶν ποιημάτων κάλλος, μηδέποτε δὲ ὑπ' ἀφωνίας ἐκπληττόμενον; Εἰ μὲν γάρ ἐστί τις χρόνος βίου ἐν τῷ μακρῷ τούτῳ καὶ διηνεκεῖ αἰῶνι ἀδεὴς φιλοσόφου λόγου, οὐθὲν δεῖ τῆς πολυμεροῦς ταύτης καὶ πολυτρόπου μούσης τε καὶ ἁρμονίας· ἢ εἴπερ τὰ ἀνθρώπινα εἰς ἓν σχῆμα συνταχθέντα ὁμοίως πρόεισιν, οὔτε εἰς λύπας ἐξ ἡδονῆς, οὔτε εἰς ἡδονὴν ἐκ λύπης μεθιστάμενα, οὔτε πάθος ἀμείβοντα ἐκ πάθους, οὔτε ἄνω καὶ κάτω στρέφοντα καὶ μεταβάλλοντα τὴν ἑκάστου γνώμην.

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε·

ἀντίστροφα γὰρ ὑπὲρ τῶν ἀνθρωπίνων βουλεύεται τὸ δαιμόνιον, καὶ ἔστιν αὐτῶν ἐφήμερος ἡ φύσις. Ὥσπερ οὖν τῶν ποταμῶν, οὓς ἀφιᾶσιν αἱ ἀέναοι πηγαὶ, τὸ μὲν

MAXIMI TYRII

PHILOSOPHICÆ DISSERTATIONES XL.

DISSERTATIO VII.

Omni subjecto philosophiam convenire.

I. Quid causæ est, cur nihil delinquere aut absurdi committere histriones putentur, qui in Bacchi theatro poetarum repræsentant fabulas, quod nunc Agamemnonis, nunc Achillis vocem exprimant, Telephi subinde, aut Palamedis personam induant, aut aliud quodcumque drama postulat; semperque iidem quum sint, alii tamen videantur: verum si quis res Bacchicas ludis malit relinquere et theatro, aliam autem sibi esse existimet in vita agendam fabulam, quæ non iambis, medius fidius, aliquot, quos festi unius causa poeta aliquis consarcinarit ex arte; aut cantiunculis, quas chorus moduletur, ad harmoniam compositis, sed ipsa vita ejusque constet actionibus, quæ philosopho digna esset fabula, utpote argumento verior, tempore perpetua, et quam deus poeta præeat et doceat; si quis ad actionem, dico, hujus fabulæ veniat histrio, primasque in choro sibi sumat, et dignitatem carminis tueatur, diversisque orationis modis et gestibus res omnes, quæ a deo in hoc conscriptæ sunt dramate, commode exprimat: num quis hunc male se gerere statuerit, quod varias voces emittat, sitque, qualem Protea describit suum Homerus, heroem marinum, talis qui in formas omnes transeat, omnes in naturas? an vero ita hic igitur, ut, exempli gratia, si nemo sine arte musica ejusque ad felicitatem pervenire posset scientia, adesset autem aliquis, qui Doricos quidem modos recte teneret omnes, in Iastiis autem vel Æoliis, si quando eos ars, quæ varia est, requireret, obmutesceret; nullus jam ejus hominis usus in arte ea esset, quæ diversitatem vocum ac varietatem requirit?

2. Quum vero musices et ejus quæ ex modulationibus hauritur voluptatis usus sit exiguus hominibus, sed alia quadam ac robustiore Musa sit opus, quam Calliopen Homerus, philosophiam Pythagoras, alio fortasse alius appellat nomine; talem ergo virum et animum, quem afflaverit hæc Musa, num minus, quam in cantibus istis, ad omnia vocum modorumque genera accommodatum et paratum esse necesse est, nec servare semper carminum ipsi mandatorum pulchritudinem, ita ut nunquam silentium facere cogatur et excidat? Si enim res ita fert, ut in tam longo perpetuoque ævo pars sit vitæ quæ philosophia opus non habeat, nihil opus est diversa hac multimodaque modulatione musica; neque magis opus esset, si res humanæ vultum servarent suum atque eodem modo procederent, non ut voluptatem mœror, mœrorem voluptas, casum casus exciperet, atque hæc ipsa sursum secum deorsumque mentem singulorum traherent. Nam

Talis mens hominum, terræ quos sustinet uber,
qualem cottidie genitor velit esse deorum:

conversionem enim rebus quotidie humanis inducit deus, nec alia quam in diem earum est conditio. Quippe sicut fluviis, quos perpetui emittunt fontes, nomen unum

ὄνομα ἕν, Σπερχειός, ἢ Ἀλφειός, ἢ ἄλλο τι, ἀμείβουσα δὲ ἡ γένεσις τὸ ἐπιὸν πρὸς τὸ οἰχόμενον ἐξαπατᾷ τὴν ὄψιν τῇ συνεχείᾳ τῆς φορᾶς, ὡς ἑνὸς ὄντος ποταμοῦ διηνεκοῦς καὶ ἡνωμένου· οὕτω καὶ τῶν ἀνθρωπίνων πραγμάτων ὥσπερ ἐκ πηγῆς ἀενάου ῥεῖ ἡ γένεσις καὶ ἡ χορηγία, ὀξέως μὲν καὶ μετὰ ἀμηχάνου τάχους, ἀνεπαίσθητος δὲ ἡ φορά, καὶ ἐξαπατᾶται ὁ λογισμός, ὥσπερ ἐπὶ τοῦ ποταμοῦ ἡ ὄψις, καὶ καλεῖ βίον ἕνα καὶ τὸν αὐτόν. Τὸ δέ ἐστι χρῆμα πολύμορφον καὶ παντοδαπόν, πολλαῖς μὲν τύχαις, πολλοῖς δὲ πράγμασι, πολλοῖς δὲ καιροῖς ἀλλοιούμενον. Ἐπιτέτακται δὲ αὐτῷ ὁ λόγος, σχηματιζόμενος ἀεὶ τοῖς παροῦσι, ὥσπερ ἰατροῦ τέχνη ἐπὶ σώματι οὐχ ἑστῶτι, ἀλλὰ φερομένῳ ἄνω καὶ κάτω, καὶ ὑπὸ κενώσεως καὶ πλησμονῆς κυκωμένῳ, οἰκονομοῦσα αὐτοῦ τὴν ἔνδειαν καὶ τὸν κόρον. Τοῦτο καὶ τῷ τῶν ἀνθρώπων βίῳ ὁ τῶν φιλοσόφων δύναται λόγος, ξυναρμοζόμενος τοῖς πάθεσι, καὶ πεπαίνων μὲν τὰ σκυθρωπά, συνευφημῶν δὲ τοῖς φαιδροτέροις.

3. Εἰ δὲ διὰ βίου τάξις μία καὶ εἶδος ἕν, ἑνὸς ἔδει λόγου καὶ ἤθους ἑνός· νῦν δὲ ἀοιδοῦ μὲν πρὸς κιθάραν μινυρίζοντος καιρὸς εἷς, ἐπειδὰν πλήθωσιν αἱ τράπεζαι

σίτου καὶ κρειῶν, μέθυ δὲ κρητῆρος ἀφύσσων
οἰνοχόος προχέῃσιν,

καὶ ῥήτορος καιρὸς εἷς, ἐπειδὰν ἀθροισθῇ τὰ δικαστήρια· καὶ ποιητοῦ καιρὸς ἐν Διονυσίοις, ἐπειδὰν χοροῦ δέῃ· τῷ δὲ φιλοσόφου λόγῳ οὐδεὶς ἀποτέτμηται καιρὸς ἴδιος, ἀλλὰ συμπέφυκεν ἀτεχνῶς τῷ βίῳ, καὶ ἀνακέκραται, καθάπερ τοῖς ὀφθαλμοῖς τὸ φῶς. Τίς γὰρ ἂν ἐπινοῆσαι ὀφθαλμοῦ ἔργον, ἀφελὼν τὸ φῶς; Ἀλλ' ὄψις μὲν ἤδη καὶ ἐν νυκτὶ θαρσεῖ, ἀμβλὺ μὲν ὁρῶσα, εἰκάζουσα δὲ ἐν τῷ ἀφανεῖ τὴν χειραγωγίαν· τοῦ δὲ τῶν ἀνθρώπων βίου ἂν ἀφέλῃς λόγον, οἰχήσεται κατὰ κρημνῶν τινῶν πονηρὰς καὶ ἀσαφεῖς ὁδοὺς καὶ τραχείας· οἵας ὁδοὺς καὶ τὸ βαρβαρικὸν ἔρχεται, ὅσον αὐτοῦ μὴ μετέσχε λόγου, τὸ μὲν ληϊζόμενον, τὸ δὲ μένον, τὸ δὲ μισθοφοροῦν, τὸ δὲ πλανώμενον. Ἀλλ' αἰπολίου μὲν ἂν ἀποστήσας τὸν ποιμένα, καὶ ἀφελὼν τὴν σύριγγα, διέλυσας τὸ αἰπόλιον· τῆς δὲ τῶν ἀνθρώπων ἀγέλης ἐὰν ἀποστήσῃς τὸν ἡγεμόνα τοῦτον καὶ συναγωγέα λόγον, τί ἄλλο δρᾷς ἢ λυμαίνῃ καὶ διαλύεις ἀγέλην, ἥμερον μὲν τὴν φύσιν, δυσπαθῆ δὲ ὑπὸ πονηρᾶς τροφῆς, καὶ δεομένην ποιμένος μουσικοῦ, μὴ μάστιγι μηδὲ κέντρῳ κολάζοντος αὐτῶν τὴν ἀπείθειαν; Παραπλήσιόν μοι γὰρ δοκεῖ δρᾶν, ὅστις οὐκ ἀξιοῖ τὸν φιλόσοφον μηδένα παριέναι καιρὸν λόγου, οἷον εἴ τις καὶ ἀνδρὶ δεινῷ τὰ πολέμια, ἀγαθῷ μὲν ὁπλιτεύειν, ἀγαθῷ δὲ ἐκηβολεῖν καὶ ἐφ' ἵππου καὶ ξὺν ἅρματι, ἀποκρίναι καιρὸν ἕνα, ἐξελόμενος τῆς ὅλης τοῦ πολέμου χρείας καὶ τύχης, πράγματος οὐχ ἑστῶτος οὐδ' ὡμολογημένου.

4. Ἀθλητῇ μὲν γάρ ἐστιν, Ὀλυμπίασιν ἀγωνισαμένῳ, ἀμελῆσαι τοῦ Ἰσθμοῦ· καίτοι κἀνταῦθα ἐπονείδιστος ἡ ῥᾳθυμία, καὶ οὐκ ἀνέχεται ἡ φιλότιμος ψυχὴ ῥᾳστώνης πόθῳ τὸ μὴ διὰ πάντων ἐλθεῖν, καὶ μετασχεῖν μὴ κοτίνου μόνον Ὀλυμπίασιν, ἀλλὰ καὶ πίτυος

est, Sperchius videlicet, Alpheus, aut aliud quodcumque; nova autem semper aquarum accessio, quarum pars transiit, pars accedit, imponit oculis per fluenti continuitatem, ut unum idemque et perpetuum esse videatur flumen : eodem modo e perenni res humanæ fonte mira quadam perpetuaque velocitate fluunt, nascuntur, proveniunt; cursum vero eorum nemo sentit, nec aliter humana in eo decipitur ratio, quam in fluvio aspectus, ut unam eandemque arbitretur et appellet vitam. Ea autem res diversa inprimis est ac varia, quæ a casibus negotiisque multis mutatur et occasionibus. Huic præest ratio, quæ præsentibus semper se accommodat; non aliter quam medicina in corpore instabili, quodque nunc in hanc nunc in illam varie movetur partem, et aut fame aut nimio infestatur cibo, utrumque arte certa temperat, ut nec egeat cibo, nec repleatur nimium. Idem in vita humana sermo præstat philosophicus, qui ipsis se accommodet affectionibus, et si quæ duriores sunt, mitiget, si quæ hilariores sunt, approbatione sua confirmet.

3. Quodsi vivendi unus esset modus, eademque ratio, una opus disciplina esset, una vivendi consuetudine : nunc vero certum vides citharœdo tempus esse, quum ad fides molliter canit, quando redundant mensæ

frugibus atque epulis, meraque e crateribus altis
effundit pincerna;

certum tempus oratori, quando frequens est judicium; certum poetæ, Dionysiis, quando chorum postulat : soli philosophiæ tempus non definitur certum, sed ea vitæ humanæ arctissime adhæret, neque magis ab ea separari, quam lux potest ab oculis. Quis enim comminisci possit opus oculo proprium, lucem si ei dempserit? At visus noster jam vel nocte non desperat, obscurum quidem cernens, sed conjectans in tenebris quasi manuductionem : sed ex humana vita rationem si tollas, de semita continuo sua per asperas incertasque aberrabit salebras, donec in præceps feratur. Per quales salebras vadunt barbari, si qui eorum ratione destituuntur; alii prædæ causa semper palantur, solo affixi manent alii, alii mercede locant operam, alii, quo error ducit, sequuntur. Nam ut e pecudum grege pastorem si tollas, fistulam demas, gregem dissolvisti; ita in hoc hominum grege, rationem si demas, quæ vitæ dux est, in unum errantes quæ cogit, quid aliud agis ac dissolvis et disjungis hunc gregem, natura quidem cicurem et mitem, sed quem pabulorum facile corrumpit incuria, et qui pastorem requirit commodum et suavem, non qui flagris semper aut stimulis in eorum rigide advertat contumaciam? Non aliud enim mihi facere videtur, qui non vult a philosopho ullum prætermitti munium suorum fungendi tempus; quam si viro quis militari, qui et inter cataphractos pugnare cum laude, et eminus tela tam ex equo quam e curru possit dirigere, certum aliquod tempus præfigat, electum ex universo exercitio et tot fortuitis belli, rei tam inconstantis et ambiguæ.

4. Forte enim athletæ, ut Olympicis certet, Isthmica vero negligat, aliquis permittat : quamquam nec hæc reprehensione caret ignavia, nec facile ab se generosa impetrare potest anima, ut non omnia experiri malit, quam otiari, nec oleastrum tantum Olympicis, sed et pinum Isthmicis, et

Ἰσθμικῆς, καὶ σελίνου Ἀργολικοῦ, καὶ μήλων Πυθικῶν· καὶ ταῦτα, οὐκ αὐτὴ ἔχουσα ἡ ψυχὴ τὴν αἰτίαν τῆς ἀγωνίας, ἀλλὰ διὰ τὴν συνοίκησίν τε καὶ πρὸς τὸ σῶμα ὁμιλίαν συναπολαύουσα τῆς νίκης αὐτῷ καὶ τῶν κηρυγμάτων· ὅπου δὲ καὶ ὁ πόνος τῆς ψυχῆς αὐτῆς, καὶ τὸ ἀγώνισμα τῆς ψυχῆς μόνης, καὶ νίκη μόνης, ἐνταῦθα παρόψεταί τινα ἀγῶνος καιρὸν, καὶ ῥαθυμήσει ἑκοῦσα, ὅπου μήτε μῆλα μήτε κότινος τὸ ἆθλον, ἀλλ' ἀντὶ τούτων ὡραιότερον μὲν πρὸς φιλοτιμίαν, ἀνυσιμώτερον δὲ τοῖς θεαταῖς πρὸς ὠφέλειαν, εὐδρομώτερον δὲ τῷ λέγοντι πρὸς πίστιν βίου; Οἱ δὲ καιροὶ τῆς ἀγωνίας καὶ οἱ τόποι ἄλλοτε ἄλλοι ἄφνω κηρυττόμενοι, καὶ ἀθροίζοντες πᾶν Ἑλληνικὸν αὐτόκλητον καὶ αὐτεπάγγελτον, καὶ ξυνιὸν οὐκ ἐφ' ἡδονῇ ὀφθαλμῶν, ἀλλὰ ἀρετῆς ἐλπίδι· ὅπερ οἶμαι τῇ τοῦ ἀνθρώπου ψυχῇ ἡδονῆς συγγενέστερον. Ἰδεῖν γοῦν ἐστιν ἐπὶ μὲν τὰς ἄλλας θέας, ὁπόσαι ῥώμης ἢ τέχνης σωμάτων, ἀφικνούμενον σπουδῇ οὐδένα τῶν θεατῶν, ὡς τὸ θέαμα ζηλώσοντα ἢ μιμησόμενον· ἀλλ' ἐκεῖ μὲν ἐξ ἀλλοτρίων πόνων τὰς ἡδονὰς τοῖς ὀφθαλμοῖς ἐρανιζόμεθα, καὶ ἐκ μυρίων θεατῶν οὐδεὶς ἂν εὔξαιτο εἷς εἶναι τῶν ἐν μέσῳ τῷ σταδίῳ κονιομένων, ἢ θεόντων, ἢ ἀγχόντων, ἢ ἀγχομένων, ἢ τυπτόντων, ἢ τυπτομένων, πλὴν εἴ πού τις ἀνδραποδώδης ψυχή· ἐνταῦθα δὲ τοσοῦτον οἶμαι καὶ τὴν ἀγωνίαν τήνδε ἐκείνης τῆς ἀγωνίας φιλοτιμοτέραν εἶναι, καὶ τοὺς πόνους τῶν πόνων ἀνυσιμωτέρους, καὶ τὸ θέατρον τοῦ θεάτρου συμπαθέστερον, ὥστε οὐδεὶς τῶν παρόντων, νοῦν ἔχων, οὐκ ἂν εὔξαιτο ἀποθέμενος τὸν θεατὴν ἀγωνιστὴς γενέσθαι.

5. Τί δήποτ' οὖν τὸ τούτου αἴτιον; Ὅτι τὰς μὲν τῶν σωμάτων τέχνας καὶ τὰς ἐπὶ ταύταις ταλαιπωρίας οὐ πᾶσα ἀνέχεται σαρκῶν φύσις, οὐδέ ἐστι τὸ χρῆμα κομιδῇ ἑκούσιον, ἀλλὰ αὐτοφυὲς καὶ αὐτόματον, καὶ εἰς ὀλίγους ἐκ πολλῶν ἧκον· ἢ γὰρ κατὰ μέγεθος φῦναι δεῖ Τιτόρμῳ ὅμοιον, ἢ κατὰ καρτερίαν Μίλωνι, ἢ κατὰ ῥώμην Πουλυδάμαντι, ἢ κατὰ τάχος Λασθένει· εἰ δέ τις ἀσθενέστερος μὲν ὢν τοῦ Ἐπειοῦ, αἰσχίων δὲ τοῦ Θερσίτου, μικρότερος δὲ τοῦ Τυδέως, βραδύτερος δὲ τοῦ Αἴαντος, καὶ πάσας τὰς τοῦ σώματος ἐλαττώσεις ἠθροισμένας ἔχων, ζηλώσαι τὴν ἀγωνίαν, ἢ ἔρωτα ἠράσθη κενὸν καὶ ἀτελεύτητον. Τὰ δὲ τῆς ψυχῆς ἀγωνίσματα ἔμπαλιν ἔχει τοῖς ἐκεῖ· ὀλίγον γὰρ καὶ σπάνιον ἐν τῷ τῶν ἀνθρώπων γένει τὸ μὴ πεφυκός· οὐ γὰρ αὐτοφυεῖς αἱ τῆς ψυχῆς ἀρεταὶ, οὐ γὰρ αὐτόματοι, ἀλλὰ προεξεργάζεται μέν τι καὶ ἡ φύσις, ὅσον ὑποβάλλειν κρηπῖδα ὀλίγην μεγάλῳ τειχίῳ, ἢ τρόπιν μικρὰν ὑψηλῇ ὁλκάδι· συγκατῴκισε δὲ ὁ θεὸς τοῖς λογισμοῖς ἔρωτα καὶ ἐλπίδα, τὸν μὲν ὡσπερεὶ πτέρωμά τι κοῦφον καὶ μετάρσιον, ἐπαῖρόν τε καὶ ἀνακουφίζον τὴν ψυχὴν, καὶ παρέχον αὐτῇ δρόμον ἐπὶ τὰς αὐτῆς ὀρέξεις (καλοῦσι δὲ οἱ φιλόσοφοι τὸ πτέρωμα τοῦτο ὁρμὴν ἀνθρωπίνην)· αἱ δὲ ἐλπίδες συγκατῳκισμέναι τῇ ψυχῇ παραμύθιον ταῖς ἑκάστου ὁρμαῖς, οὐ κατὰ τὸν Ἀττικὸν ποιητὴν τυφλαὶ, ἀλλὰ ὀξυωπεῖς πάνυ, οὐκ ἐῶσιν αὐτὴν ἀπα-

apium Argolicum, et mala consequatur Pythica; quum præcipue non causa sua hæc certamina subeat anima, sed ob eam, qua cohæret cum corpore suo et versatur, consuetudinem una cum ipso delectetur victoria et præconio. Ubi vero totus animæ solius labor poscitur, solius animæ certamen cernitur, solius est victoria, hic occasionem illius negliget anima, hic volens sciensque torpebit? ubi nec mala, nec oleaster proponitur præmium, sed illorum loco aliud, quod, si pulchritudinem intueare, magis expetendum; si spectatorum commodum, magis sit utile; in quo denique expeditior sit dicenti cursus ad adipiscendam existimationem vitæ probabilis? Tempus vero certaminis hujus et locus non est unus, neque raro indicitur ex improviso; in quibus tota sua sponte convenit Græcia, non ut oculos pascat, nec voluptatis spe tantum, sed virtutis: quod meo quidem judicio bonum animæ magis est proprium, quam voluptas illa. Illud præterea videbis, ad reliqua, quæ robore aut arte corporis constant certamina, nullum inter tot spectatores eo venire animo, ut imitari id, quod agitur, aut sequi velit: siquidem ex alienis ibi voluptatem oculorum aucupamur laboribus; nec in mille unum invenias spectatoribus, qui eorum optet esse e numero, qui medio in stadio pulvere fœdantur, aut currunt, aut angunt aut anguntur, aut feriunt aut vapulant, nisi anima quædam forte sit servilibus nata ministeriis: hic vero tanto hoc certamen illo liberalius esse, hos labores illis utiliores esse reor, tanto magis hoc quam illo spectatorem affici; ut non facile aliquem ex illis, qui quidem sanæ sit mentis, reperiri posse putem, qui non certator malit esse quam spectator.

5. Quænam vero hujus rei causa est? Quia corporis nimirum artes, laboresque earum, corpus non facile sustinet quodvis; estque ea res non in voluntate prorsus cujusvis posita, sed naturalis, sed spontanea, et quæ ex infinito hominum numero paucis sit concessa; nam aut corporis mole Titormo, aut viribus Miloni, aut robore Polydamanti, aut velocitate similem prius nasci oportet Lastheni : at si quis infirmior sit Epeo, deformior Thersite, minor Tydeo, Ajace tardior, omniaque, quæ vituperari possint, simul in corpore conjunxerit, et certare tamen velit, frustra hoc optat, frustra sperat. At vero animæ contra certamina se habent, atque illa; pauci quippe sunt mortalium, qui non ad hæc satis a natura sint instructi : non quod per se arbitrer aut sponte sua nasci animæ virtutes, ut qui sciam et naturam aliquid præstruere, non secus quam qui muro maximo fundamentum subjicit parvum, aut navi altissimæ parvam carinam : deus autem cogitationibus humanis contubernales duos adjunxit, amorem ac spem; alterum quidem tanquam alarum remigium leve, quod in altum per se feratur, animamque secum sursum ferat et extollat, viamque, qua quod petit consequatur, ostendat (quod quidem *appetitionem humanam* vocant philosophi); spes vero animam comitantes, ut illam, quam diximus, appetitionem in quoque sustineant ac solentur; non illæ quidem cæcæ, ut ab Attico dicuntur poeta, sed longe perspicacissimæ, animam non si-

γοοεῦσαι πονοῦσαν, ὡς τευξομένην πάντως ὧν ἐρᾷ. Πάλαι γὰρ ἄν, οὐχ οὔσης ἐλπίδος, καὶ ὁ χρηματιστὴς ἐπαύσατο χρηματιζόμενος, καὶ ὁ μισθοφόρος στρατευόμενος, καὶ ὁ ἔμπορος πλέων, καὶ ὁ λῃστὴς λῃϊζόμενος, καὶ ὁ ἀκόλαστος μοιχεύων· ἀλλ' οὐκ ἐῶσιν αἱ ἐλπίδες, προστάττουσαι τούτους ἀνήνυτα πονεῖν καὶ ἀτελεύτητα, τὸν μὲν χρηματιστὴν ὡς πλουτήσοντα, τὸν δὲ πολεμοῦντα ὡς νικήσοντα, τὸν δὲ πλέοντα ὡς σωθησόμενον, τὸν δὲ λῃϊζόμενον ὡς κερδανοῦντα, τὸν δὲ μοιχεύοντα ὡς λησόμενον· κᾆτά τις ἕκαστον ὑπολαβοῦσα αἰφνίδιος συμφορὰ, ἐσύλησε μὲν τὸν χρηματιστὴν, ἀπέκτεινε δὲ τὸν μισθοφόρον, κατέδυσε δὲ τὸν ἔμπορον, ἔλαβε δὲ τὸν λῃστὴν, ἐφώρασε δὲ καὶ τὸν μοιχὸν, καὶ ἀπολώλασιν αὐτοῖς αἱ ὀρέξεις αὐταῖς ἐλπίσιν. Οὐδὲν γὰρ τούτων περιέλαβε μέτρῳ οὐδὲ ὥρισεν ὁ θεὸς, οὔτε πλοῦτον, οὔτε ἡδονὰς, οὔτε ἄλλο τι τῶν ἀνθρωπίνων ἐπιθυμημάτων· ἀλλ' ἔστιν αὐτῶν ἄπειρος ἡ οὐσία, ἔνθεν που καὶ οἱ διώκοντες ταῦτα, ἐμπλησθέντες αὐτῶν, διψῶσι μᾶλλον· ἔλαττον γὰρ τὸ ληφθὲν τοῦ προσδοκωμένου. Ὁπόταν δὲ ᾄξῃ ψυχὴ ἐπὶ πρᾶγμα ἑστὸς καὶ ὡμολογημένον καὶ πεπερασμένον καὶ ὡρισμένον, καὶ καλὸν μὲν τῇ φύσει, ἀνυστὸν δὲ τῷ πόνῳ, ληπτὸν δὲ τῷ λογισμῷ, διωκτὸν δὲ τῷ ἔρωτι, καταληπτὸν δὲ τῇ ἐλπίδι· τότε γίγνεται ἡ τῆς ψυχῆς ἀγωνία ἐπιτυχὴς καὶ τελεσιουργὸς καὶ νικηφόρος. Ἔστι δὲ τοῦτο οὐκ ἄλλο τι, ἢ οὗπερ εἵνεκα ταυτὶ τὰ θέατρα οἱ φιλοσοφοῦντες ἀθροίζουσιν.

6. Πάλιν αὖ μοι δεῖ τῆς τῶν ἀθλητῶν εἰκόνος. Ἐκείνων μέν γε εὔξαιτ' ἂν ἕκαστος μηδένα ἀγωνιστὴν ἄλλον παρελθεῖν ἐπὶ τὸ στάδιον, ἀλλ' ἀκονιτὶ νικᾶν αὐτός· δεῖ γὰρ νικᾶν ἐκ πολλῶν ἕνα· ἐνταῦθα δὲ οὗτος μάλιστα τῶν ἀγωνιστῶν νικηφόρος, ὃς ἂν πολλοὺς ἐπὶ τὴν ἀγωνίαν παρακαλέσῃ. Εἰ γὰρ, ὦ θεοὶ, ἐμῶν θεατῶν γένοιτό τις συναγωνιστὴς ἐμοὶ, ἐπὶ ταυτησὶ τῆς ἕδρας συγκονιόμενος καὶ συμπονῶν, ἐγὼ τότε εὐδοκιμῶ, στεφανοῦμαι τότε, κηρύττομαι τότ' ἐν τοῖς Πανέλλησιν· ἕως δὲ νῦν ἀστεφάνωτος εἶναι ὁμολογῶ καὶ ἀκήρυκτος, κἂν ὑμεῖς βοᾶτε. Τί γὰρ ἐμοὶ ὄφελος τῶν πολλῶν λόγων, καὶ τῆς συνεχοῦς ταύτης ἀγωνίας; ἔπαινοι; ἅλις τούτων ἔχω· δόξα; διακορής εἰμι τοῦ χρήματος. Τὸ δὲ ὅλον, ἐπαινεῖ τις λόγους· καὶ οὐ λέγει, φωνὴν ἔχων, ἀκοὴν ἔχων; ἐπαινεῖ τις φιλοσοφίαν· καὶ οὐ λαμβάνει, ψυχὴν ἔχων, διδάσκαλον ἔχων; Γέγονε τοίνυν τὸ χρῆμα, οἷον αὐλήματα, ἢ κιθαρίσματα, ἢ εἴ τις ἄλλη ἐν Διονύσου μοῦσα τραγική τις καὶ κωμῳδική· ἐπαινοῦσι μὲν πάντες, μιμεῖται δὲ οὐδείς.

7. Ἢ κἀνταῦθα πάμμηκες διαφέρει ἔπαινος ἡδονῆς· ἥδονται μὲν γὰρ πάντες ἀκροώμενοι, ὃς δ' ἂν τῷ ὄντι ἐπαινέσῃ, καὶ μιμήσεται· μέχρι δέ τις μὴ ζηλοῖ, οὐκ ἐπῄνεσεν. Ἤδη τις καὶ ὑπὸ αὐλημάτων ἀνὴρ ἄμουσος διετέθη μουσικῶς, καὶ τὰ ὦτα ἔναυλος ὢν διαμέμνηται τοῦ μέλους, καὶ μινυρίζει πρὸς αὐτόν. Κἂν τοῦτό τις ὑμῶν τὸ πάθος ζηλωσάτω· τάχα γάρ που ἐρασθήσεται καὶ τῶν αὐλῶν αὐτῶν. Ἀνὴρ φιλοθρέμμων ὄρνιθας εἶχε τῶν ἡδὺ μὲν φθεγγομένων τὸ ὄρθριον δὴ τοῦτο,

nunt deficere, ut quæ plane se ea, quæ maxime optat, consecuturam confidat. Quæ quidem spes ex humanis si exularet rebus, jam diu commercia sua negotiator, et stipendia miles, et navigationem mercator, et rapinas suas prædo, et nocturna intermisisset furta mœchus; quod illa neutiquam permittit, sed illarum studio accendit rerum, quæ nec fieri possunt, nec ad finem perventura sunt suum, negotiatorem, tanquam divitias certo adepturum; militem, ut haud dubie victurum; nautam, ut pericula omnia superaturum; prædonem, ut lucra facturum; mœchum, latendi fiducia: interim subita quædam singulis intervenit calamitas, quæ negotiatorem spoliat, militem interficit, mercatorem mergit, in vincula conjicit prædonem, deprehendit mœchum: quorum omnium appetitus una cum spe occidunt sua. Nihil enim horum est, cui fines suos assignarit deus aut limites, non divitiæ, non voluptas, non aliud quodcunque sibi proponere homo possit: sed infinita est eorum natura; quare etiam, qui ea sequuntur maxime, voti si fiunt compotes, sitiunt maxime; minus est enim quicquid consecuti sunt eo quod exspectant. Quum vero aliquid anima persequitur, quod stabile, quod certum, quod non ambiguum est, sed definitum, quod decore insito hominem trahit, quod et labore comparari, et ratione comprehendi, et voto ambiri, et exambiri spe possit; ibi demum animæ certamen succedit, ibi finem consequitur suum, ibi victrix declaratur. Est vero hoc nihil aliud quam cujus causa hos auditorum cœtus congregant philosophi.

6. Atque rursus mihi opus est illo athletarum exemplo: inter quos nullus est, qui non optet alium certaminis causa in stadium descendere neminem, ut solus ipse sine ullo pulvere consequatur victoriam; siquidem uni e multis eam contingere est necesse: hic vero, qui ad certamen plurimos pellexerit, victor putatur. Faxit enim deus, ut meorum aliquis spectatorum in hac mecum certet cathedra, ejusdem mecum pulveris, ejusdem laboris fiat particeps, tum enim vincam, tum coronam auferam, tum victor, spectante tota Græcia, a præcone designer: hactenus enim, licet vos clametis, nec coronam me consecutum fateor, nec vocem præconis audivisse. Quo enim disciplinarum mihi tot exercitatio, et frequens illa decertatio? ut laudem consequar? sufficit quam habeo; ut gloriam? satietas ejus me tenet. Et ut brevius dicam: sermonem aliquis laudat; non vult uti sermone, quum nec voce careat, nec auditu? philosophiam laudat aliquis; neque eam amplectitur, qui et animum ad discendum habeat, et magistrum? Verum enim fit plane quemadmodum in tibiis aut citharis, aut si qua alia est in Bacchi theatro musa tragica et comica: omnes laudant; nemo imitatur.

7. Nisi forte et hic plurimum a voluptate laus abeit: nemo est enim qui non delectetur; qui autem vere laudarit, etiam imitabitur; priusquam enim æmuletur, ne laudat quidem. Fit etiam sæpe ut musicæ imperitus aliquis, tibiam si audiat, amore capiatur artis, sæpe etiam abeens modulationem tamen auribus retinet, carmen ruminat, secumque leniter cantillat. Etiam hoc vestrûm imitetur aliquis; forte enim et ipsas incipiet amare tibias. Homo animalium studiosus aves habebat, quæ suaviter matutinum illud canebant,

ἄσημον δὲ, καὶ οἷον ὄρνιθας εἰκός. Ἦν αὐτῷ γείτων αὐλητικὸς, ἀκροώμενοι δὲ οἱ ὄρνιθες διαμελετωμένου τοῦ αὐλητοῦ, καὶ ἀντᾴδοντες αὐτῷ ὁσημέραι, ἐτυπώθησαν τῇ ἀκοῇ πρὸς τὰ αὐλήματα, καὶ τελευτῶντες ἀρξαμένου αὐλεῖν συνεπήχουν πρὸς τὸ ἐνδόσιμον, δίκην χοροῦ· ἄνθρωποι δὲ ὄντες οὐδὲ κατὰ ὄρνιθας ξυνᾴσονται ἡμῖν, ἀκούοντες θαμὰ οὐκ ἀσήμων αὐλημάτων, ἀλλὰ νοερῶν λόγων καὶ διηρθρωμένων καὶ γονίμων καὶ πρὸς μίμησιν εὖ πεφυκότων; Ὥστε ἔγωγε τέως καὶ πρὸς ἅπαντας ὑπὲρ τῶν ἡμετέρων σιγὴν ἔχων, καὶ μηδὲν σεμνὸν μηδὲ ὑπέραυχον μήτε ἰδίᾳ μήτε εἰς κοινὸν εἰπὼν, νῦν μοι δοκῶ ὑμῶν εἵνεκεν γαυρότατα ἂν καὶ μεγαλαυχότατα εἰπεῖν. Παρελήλυθεν εἰς ὑμᾶς, ὦ νέοι, παρασκευὴ λόγων αὕτη πολύχους, καὶ πολυμερὴς, καὶ πάμφορος, καὶ ἐπὶ πάσας ἐξικνουμένη ἀκοὰς, καὶ πάσας φύσεις, καὶ πάσας ζηλώσεις λόγων, καὶ πάσας παιδευμάτων ἰδέας, ἀταμίευτος, καὶ ἄμισθος, καὶ ἀπροφάσιστος, καὶ ἄφθονος, ἐν μέσῳ κειμένη τοῖς δυναμένοις λαβεῖν. Εἴτε τις ῥητορείας ἐρᾷ, οὗτος αὐτῷ δρόμος λόγου πρόχειρος, καὶ πολυαρκὴς, καὶ εὔπορος, καὶ ὑψηλὸς, καὶ ἐκπληκτικὸς, καὶ ἄρρηκτος, καὶ ἰσχυρὸς, καὶ ἄκμητος· εἴτε τις ποιητικῆς ἐρᾷ, ἡκέτω, ποριςάμενος ἄλλοθεν τὰ μέτρα μόνον, τὴν δὲ ἄλλην χορηγίαν λαμβανέτω ἐντεῦθεν, τὸ σοβαρὸν, τὸ ἐπιφανὲς, τὸ λαμπρὸν, τὸ γόνιμον, τὸ ἔνθεον, τὴν οἰκονομίαν, τὴν δραματουργίαν, τὸ κατὰ τὰς φωνὰς ἀταμίευτον, τὸ κατὰ τὴν ἁρμονίαν ἄπταιστον. Ἀλλὰ πολιτικῆς καὶ τῆς περὶ δήμους καὶ βουλευτήρια παρασκευῆς ἥκεις ἐνδεὴς ὤν; σὺ μὲν καὶ πεφώρακας τὸ ἔργον, ὁρᾷς τὸν δῆμον, ὁρᾷς τὸ βουλευτήριον, τὸν λέγοντα, τὴν πειθὼ, τὸ κράτος. Ἀλλὰ τούτων μέν τις ὑπερορᾷ, φιλοσοφίαν δὲ ἀσπάζεται καὶ ἀλήθειαν τιμᾷ; ἐνταῦθα ὑφαιρῶ τῆς μεγαλαυχίας, ὑφίεμαι, οὐχ ὁ αὐτός εἰμι· μέγα τὸ χρῆμα καὶ δεόμενον προστάτου, οὐ δημοτικοῦ, μὰ Δία, οὐδὲ ἀνακεχραμένου τῷ τῶν πολλῶν τρόπῳ.

8. Εἰ μὲν οὖν τις τοῦτ' εἶναι φιλοσοφίαν λέγει, ῥήματα καὶ ὀνόματα, ἢ τέχνας λόγων, ἢ ἐλέγχους καὶ ἔριδας καὶ σοφίσματα, καὶ τὰς ἐν τούτοις διατριβὰς, οὐ χαλεπὸν εὑρεῖν τὸν διδάσκαλον. Πάντα ὑμῖν μεστὰ τοιούτων σοφιστῶν, εὔπορον τὸ χρῆμα, καὶ ταχὺ ἀναφαινόμενον· θαρρήσαιμι δ' ἂν ἔγωγε εἰπεῖν, ὅτι τῆς τοιαύτης φιλοσοφίας πλείους οἱ διδάσκαλοι τῶν μαθητῶν. Εἰ δὲ ταῦτα μὲν ὀλίγη τοῦ φιλοσοφεῖν μοῖρα, καὶ τοσαύτη, ὅσην αἰσχρὸν μὲν μὴ εἰδέναι, οὐ σεμνὸν δὲ εἰδέναι, διαφεύγωμεν τὸ αἰσχρὸν καὶ ταῦτα εἰδότες, μὴ καλλωπιζώμεθα δὲ ἐπ' αὐτοῖς· ἦ γὰρ ἂν πολλοῦ ἄξιοι καὶ οἱ γραμματισταὶ εἶεν, πραγματευόμενοι περὶ τὰς συλλαβὰς, καὶ συμψελλίζοντες ἔθνει παίδων ἀνοητοτάτῳ. Τὸ δὲ ἐν φιλοσοφίᾳ κεφάλαιον καὶ ἡ ἐπ' αὐτὸ ὁδὸς δεῖται διδασκάλου τὰς τῶν νέων ψυχὰς ξυνεπαίροντος, καὶ διαπαιδαγωγοῦντος αὐτῶν τὰς φιλοτιμίας, καὶ οὐδὲν ἄλλ' ἢ λύπαις καὶ ἡδοναῖς τὰς ὀρέξεις αὐτῶν συμμετρουμένου· οἷόν που καὶ οἱ πωλευταὶ δρῶσι, μήτε ἀποσβεννύντες τὸν θυμὸν τῶν πωλευμάτων, μήτε ἐφιέν-

incondite tamen, et ut aves solent. Eidem erat vicinus tibicen : atque aves quum quotidie audirent tibicinem, qui artis suæ faceret periculum, respondere voce cœperunt, auresque ita ad tibiam paullatim earum formatæ sunt, ut tandem, quoties inflare cœpisset, tibiam voce præeuntem, ut in choro fieri consuevit, sequerentur omnes. Qui ergo fit, ut ipsi homines, frequenter si audiant non inconditos tibiæ modos, verum voces sapientis, articulatas, fœcundas, ad imitationem excitandam compositas, saltem ritu avium nobiscum canere recusent? Nam mihi, qui de rationibus nostris et studio inter omnes hactenus tacuerim, nihil grande, nihil magnificum publice aut privatim dixerim, vestra libet causa libere confidenterque loqui. Offertur vobis, o juvenes, magnus disciplinarum apparatus, nec simplex ille, sed diffusissimus, amplissimus, uberrimusque, qui ab omnibus audiri potest, ad omnes cujuscunque generis pertinet homines, omnia artium studia, omnium disciplinarum sub se complectitur genera; hic large, hic gratuito citra tergiversationem ullam maxima vobis præbetur copia, omnibus, qui modo capaces ejus futuri sunt, in medio proponitur. Oratoriæ aliquis studiosus est? ecce via expedita, sufficiens, facilis, sublimis, admirabilis, nusquam interrupta, firma, non laboriosa. Poeticen aliquis amplectitur? accedat, metra solummodo aliunde sibi comparet, reliquum choragium hinc petat, sublime illud in oratione dico, illustre, splendidum, fœcundum, divinumque; etiam dispositio argumenti, fabulæ constructio, vocum ubertas, minimeque vitiosa hinc proveniet harmoniæ ratio. At civilem scientiam, viamque, qua commodissime tractes populum et senatum, invenire hic te postulas? en tibi rem ipsam; curiam ante oculos habes, habes populum, habes senatum, oratorem, suadam dicendi, vim verborum. Estne autem aliquis qui hæc quidem negligit omnia, philosophiam autem amplectitur, veritati honorem defert? hic vero magniloquentiæ meæ vela contraho, remitto, aliam personam induo : rem magnam dicis, quæque manuductore opus habeat minime vulgari, qui non humi repat, aut iisdem, quibus populus, utatur moribus.

8. Jam si quis in verbis ac nominibus, aut in artificiosis orationibus, aut refutatione argumentorum, contentione mutua, et fallaciis, similiumque versari rerum studio philosophiam velit; non magno magistrum negotio invenire posse videtur. Ejusmodi sophistarum plena sunt omnia; res hæc ubique obvia, ac in oculos passim incurrit : quin etiam dicere non verear, plures esse, qui doceant hanc philosophiam, quam qui discant. Quodsi minima hæc philosophiæ pars est, et tantilla quidem, quantam nescire quidem sit dedecus, scire autem non ita magnæ sit rei; effugiamus dedecus etiam hæc percipiendo, neque vero insolescamus propterea : eo enim modo et illi, qui prima literarum elementa docent, qui circa syllabas versantur, et cum puerorum balbutiunt grege, admiratione digni essent. Præcipua autem philosophiæ pars, et quæ eo ducit semita, præceptorem requirit qui animos juniorum erigat, studia eorum et desideria, non aliter quam pædagogus aliquis, gubernet, eorum appetitiones voluptatibus et doloribus usque attemperet : sicut illi, qui equos domant, non penitus

τες αὐτοῖς ἀνέδην χρῆσθαι τῇ γενναιότητι. Οἰκονομεῖ δὲ πώλου μὲν θυμὸν χαλινὸς, καὶ ῥυτῆρες, καὶ ἱππέως καὶ ἡνιόχου τέχνη· ψυχὴν δὲ ἀνδρὸς λόγος, οὐχ ἀργὸς, οὐδὲ ῥυπῶν, οὐδὲ ἠμελημένος, ἀλλὰ ἀνακεκραμένος ἤθει καὶ πάθει, καὶ μὴ παρέχων σχολὴν τοῖς ἀκροωμένοις τὰς φωνὰς ἐξετάζειν καὶ τὰς ἐν αὐταῖς ἡδονὰς, ἀλλ' ἀνίστασθαι προσαναγκάζει καὶ συνενθουσιᾶν ὥσπερ ὑπὸ σάλπιγγι, νῦν μὲν τὸ ἐφορμητικὸν φθεγγομένῃ, νῦν δὲ τὸ ἀνακλητικόν.

9. Εἰ τοιούτου δεῖ λόγου τοῖς φιλοσοφίας ἐφιεμένοις, τὸν ἔχοντα ἀθρητέον καὶ δοκιμαστέον καὶ αἱρετέον, ἐάν τε πρεσβύτης οὗτος ᾖ, ἐάν τε νέος, ἐάν τε πένης, ἐάν τε πλούσιος, ἐάν τε ἄδοξος, ἐάν τε ἔνδοξος. Ἀσθενέστερον δὲ, οἶμαι, καὶ νεότητος γῆρας, καὶ πλούτου πενία, καὶ δόξης ἀδοξία. Οἷς δ' ἂν τὰ ἐλαττώματα ταῦτα προσῇ, ῥᾷον ἐπ' αὐτοὺς οἱ ἄνθρωποι παραγίγνονται, καὶ γεγόνασιν αἱ παρὰ τῆς τύχης συμφοραὶ πρὸς φιλοσοφίαν ἐφόδια· καὶ ὅτι μὲν πένης ἦν ὁ Σωκράτης, ὁ πένης εὐθὺς μιμήσεται τὸν Σωκράτην· ὡς ὠνάμεθα, ὅτι μὴ καὶ οἱ σιμοὶ καὶ οἱ προγάστορες ἀμφισβητοῦσι φιλοσοφίας. Ὅτι δὲ Σωκράτης οὐκ ἐπὶ τοὺς πένητας ὠθεῖτο μόνον, ἀλλὰ καὶ ἐπὶ τοὺς πλουσίους, καὶ τοὺς ἐνδόξους, καὶ τοὺς εὐγενεστάτους, διαμέμνηται οὐδείς. Ἡγεῖτο γὰρ, οἶμαι, ὁ Σωκράτης Αἰσχίνου μὲν φιλοσοφήσαντος καὶ Ἀντισθένους ὄνασθαι ἂν ὀλίγα τὴν Ἀθηναίων πόλιν· [μᾶλλον δὲ μηδένα τῶν τότε, πλὴν ἡμῶν τῶν ἔπειτα κατὰ τὴν μνήμην τῶν λόγων·] εἰ δὲ Ἀλκιβιάδης ἐφιλοσόφει ἢ Κριτίας ἢ Κριτόβουλος ἢ Καλλίας, οὐδὲν ἂν τῶν δεινῶν τοῖς τότε Ἀθηναίοις ξυνέπεσεν. Οὐδὲ γὰρ ἡ Διογένους ζήλωσις, θυλάκιον καὶ βακτηρία, ἀλλ' ἔξεστί που καὶ ταῦτα περιβεβλημένον Σαρδαναπάλλου εἶναι κακοδαιμονέστερον. Ὁ Ἀρίστιππος ἐκεῖνος πορφυρίδι ἀμπισχόμενος, καὶ μύροις χριόμενος, οὐχ ἧττον τοῦ Διογένους ἐσωφρόνει. Ὥσπερ γὰρ, εἴ τις δύναμιν σώματος παρεσκευάσατο οὐδὲν ὑπὸ πυρὸς λυμαινομένην, ἐθάρρει ἂν, οἶμαι, καὶ τῇ Αἴτνῃ αὐτοῦ παραδοὺς τὸ σῶμα· οὕτω καὶ ὅστις πρὸς ἡδονὴν παρεσκεύασται καλῶς, οὐδὲ ἐν αὐταῖς ὢν θάλπεται, οὐδὲ ἐμπίμπραται, οὐδὲ ἐκτήκεται.

10. Ἐξεταστέον δὴ τὸν φιλόσοφον οὐ σχήματι, οὐχ ἡλικίᾳ, οὐ τύχῃ, ἀλλὰ γνώμῃ, καὶ λόγῳ, καὶ παρασκευῇ ψυχῆς, ὑφ' ὧν μόνων χειροτονεῖται φιλόσοφος· τὰ δὲ ἄλλα ταυτὶ παρὰ τῆς τύχης σχήματα ἔοικε τοῖς ἐν Διονύσου περιβλήμασι. Τὸ μὲν γὰρ τῶν ποιημάτων κάλλος ἓν καὶ ταυτὸν, ἐάν τε δυνάστης ὁ λέγων ᾖ, ἐάν τε οἰκέτης· αἱ δὲ χρεῖαι τῶν δραμάτων μεταποιοῦσι τὰ σχήματα. Ὁ Ἀγαμέμνων τὸ σκῆπτρον φέρει, ὁ βουκόλος διφθέραν, ὁ Ἀχιλλεὺς ὅπλα, Τήλεφος ῥάκια καὶ θύλακον· ἀκροῶνται δὲ οἱ θεώμενοι οὐδὲν μᾶλλον τοῦ Τηλέφου ἢ τοῦ Ἀγαμέμνονος· ἀποτείνεται γὰρ ἡ ψυχὴ ἐπὶ τὰ ποιήματα αὐτὰ, οὐ τὰς τύχας τῶν λεγόντων. Νόμιζε δὴ κἂν τοῖς τῶν φιλοσόφων λόγοις τὸ μὲν καλὸν οὐκ εἶναι παντοδαπὸν, οὐδὲ διαπεφορημένον, ἀλλ' ἓν καὶ αὐτὸ αὐτῷ παραπλήσιον· τοὺς δὲ ἀγωνιστὰς αὐτοῦ ἀλ-

eorum spiritus infringunt, nec tamen uti ubique iis permittunt. Quippe sicut equi animos habenæ et lora, equitisque ac magistri ars moderatur, ita animum hominis oratio, non ignava, aut sordida, non supina; sed quæ lenibus vehementibusque temperata affectibus ne tantillum quidem otii auditoribus relinquat, ut in verba inquirere eorumque adhærere possint voluptati; sed ut vi secum tollat et in sublime rapiat, quasi tubæ sono, quæ nunc classicum canit, nunc receptui sonat.

9. Ejusmodi oratione ei si opus est, qui philosophiam sequitur, quærendus est omni studio, explorandus, eligendus, qui docere eam possit; nec refert is senex sit an juvenis, dives an pauper, magni nominis an ignotus. Est autem senectus, ut videtur, juventute infirmior, divitiis paupertas, celebritate ignobilitas. Fit tamen ut, quibus ea adsint incommoda, facilius ad eos magistros accedant homines, atque fortunæ calamitates istæ evadunt philosophiæ studii commeatus: ergo, quia pauper erat Socrates, continuo qui pauper est imitabitur, si diis placet, Socratem: bene nobiscum agitur, quod non et simi de philosophia contendant, et ventricosi. Quod vero non ad pauperes tantum, sed ad ditissimos quoque et celeberrimos juxta ac nobilissimos studiose se conferebat Socrates, ejus jam nemo recordatur. Scivit enim Socrates, ut arbitror, dum philosophiam Æschines profitetur, aut Antisthenes, parum ad Atheniensium rempublicam boni inde perventurum esse [aut tantum potius ad illius temporis neminem, quantum ad posteros ex illorum memoria dissertationum]; at si philosophiam aut Alcibiades professus esset, aut Critias, aut Critobulus, aut Callias, gravissimas ætatis illius Athenienses clades vitassent. Nec enim Diogenem imitatur, qui cum pera incedit et baculo; quia potest cum his esse aliquis Sardanapallo infelicior. Aristippus ille olim purpura indutus, unguentis delibutus, non minus temperans erat Diogene. Nam quemadmodum, si quis vim quandam consecutus esset corporis, quæ ignem omnem ferret neque eo læderetur, nihil, credo, metueret ipsi Ætnæ corpus suum immittere; ita si quis probe adversus voluptates sit munitus, ne in ipsis quidem si versetur, uri potest, aut ardere, aut liquescere.

10. Philosophum igitur non habitus probabit, non ætas, non fortuna, sed judicium, sed sermo, sed animi institutum, a quibus solis dignitatis suæ suffragia capit philosophus; reliqua, quæ fortuna solet addere, histrionicorum instar sunt amictuum. Eadem enim et una est poematum præstantia, sive princeps ea recitet, sive famulus; drama vero postulat ut habitus mutentur. Agamemno sceptrum gerit, pellem bubulcus, arma Achilles, pannos laceros cum pera Telephus; neque magis tamen Telephum quam Agamemnonem spectator audit: animus quippe magis ipsa poetæ verba, quæ dicuntur, quam fortunam ejus respicit, qui dicit. Idem existima de oratione philosophi, virtutem ejus non variam, non distractam esse, sed unam eandemque, et sibi per omnia similem: actores vero ejus alium alio habitu indutum

λον ἄλλῳ σχήματι ὑπὸ τῆς τύχης περιβεβλημένον εἰσπέμπεσθαι ἐπὶ τὴν σκηνὴν τοῦ βίου, Πυθαγόραν μὲν πορφύρᾳ ἀμπισχόμενον, τρίβωνι δὲ Σωκράτην, Ξενοφῶντα δὲ θώρακι καὶ ἀσπίδι, τὸν δὲ ἐκ τῆς Σινώπης ἀγωνιστὴν, κατὰ τὸν Τήλεφον ἐκεῖνον, βακτηρίᾳ καὶ θυλάκῳ. Συνετέλει δὲ αὐτοῖς καὶ τὰ σχήματα αὐτὰ πρὸς τὴν δραματουργίαν· καὶ διὰ τοῦτο ὁ μὲν Πυθαγόρας ἐξέπληττεν, ὁ δὲ Σωκράτης ἤλεγχεν, ὁ δὲ Ξενοφῶν ἔπειθεν, ὁ δὲ Διογένης ὠνείδιζεν. Ὦ μακάριοι μὲν τῶν δραμάτων οἱ ὑποκριταὶ, μακάριοι δὲ τῶν ἀκουσμάτων οἱ θεαταί. Τίς ἂν ἡμῖν καὶ νῦν ποιητὴς καὶ ἀγωνιστὴς γένοιτο, οὐκ ἀσχήμων, οὐδὲ ἄφωνος, ἀλλ' ὁμιλεῖν ἀξιόχρεως θεάτροις Ἑλληνικοῖς; Ζητῶμεν τὸν ἄνδρα· τάχα που φανήσεται, καὶ φανεὶς οὐκ ἀτιμασθήσεται.

a Fortuna in vitæ scenam produci, Pythagoram in purpura, in lacerna Socratem, cum thorace Xenophontem et clypeo, cum pera, ad instar Telephi, et baculo Sinopensem illum athletam. Aliquid tamen et ipse ad repræsentationem sui dramatis singulis addebat habitus; itaque homines in stuporem dabat Pythagoras, arguebat Socrates, persuadebat Xenophon, exprobrabat Diogenes. O vos beatos histriones illorum dramatum; beatos spectatores qui vos audierunt! Quem vero nos hodie poetam, quem inveniemus histrionem, qui ornatu certo instructus, nec ut muta interim persona, sed pro dignitate possit in theatris Græcorum versari? Quæramus hominem: fortasse invenietur alicubi, nec, si id eveniat, contemptus abibit.

ΛΟΓΟΣ Η'.

Εἰ θεοῖς ἀγάλματα ἱδρυτέον.

1. Ἀρωγοὶ ἀνθρώποις θεοὶ, πάντες μὲν πᾶσιν, ἄλλοι δὲ ἄλλοις ἐνομίσθησαν, κατὰ τὴν φήμην τῶν ὀνομάτων, καὶ διένειμαν αὐτοῖς οἱ ἄνθρωποι τιμὰς καὶ ἀγάλματα, οἱ ἐς τὰ ἴδια ἕκαστοι ὠφεληθέντες. Οὕτω μὲν ναῦται ἐπὶ ἀκλύστου πέτρας ἀνέθηκαν οἴακας θαλαττίοις· οὕτω δέ τις ποιμένων τὸν Πᾶνα τιμᾷ ἐλάτην αὐτῷ ὑψηλὴν ἐξελόμενος, ἢ ἄντρον βαθύ· καὶ γεωργοὶ Διόνυσον τιμῶσι, πήξαντες ἐν ὀρχάτῳ αὐτοφυὲς πρέμνον, ἀγροικικὸν ἄγαλμα· ἱερὰ δὲ Ἀρτέμιδος πηγαὶ ναμάτων, καὶ κοῖλαι νάπαι, καὶ εὔθηροι λειμῶνες· ἐπεφήμισαν δὲ καὶ Διὶ ἀγάλματα οἱ πρῶτοι ἄνθρωποι, κορυφὰς ὀρῶν, Ὄλυμπον, καὶ Ἴδην, καὶ εἴ τι ἄλλο ὄρος πλησιάζει τῷ οὐρανῷ· ἔστι που καὶ ποταμῶν τιμὴ, ἢ κατ' ὠφέλειαν ὥσπερ Αἰγυπτίοις πρὸς τὸν Νεῖλον, ἢ κατὰ κάλλος ὡς Θετταλοῖς πρὸς τὸν Πηνειὸν, ἢ κατὰ μέγεθος ὡς Σκύθαις πρὸς τὸν Ἴστρον, ἢ κατὰ μῦθον ὡς Αἰτωλοῖς πρὸς Ἀχελῷον, ἢ κατὰ νόμον ὡς Σπαρτιάταις πρὸς τὸν Εὐρώταν, ἢ κατὰ τελετὴν ὡς Ἀθηναίοις πρὸς Ἰλισσόν. Εἶτα ποταμοὶ μὲν διέλαχον τὰς τιμὰς κατὰ τὴν χρείαν τῶν ὠφελουμένων, καὶ αἱ τέχναι τιμῶσι θεὸν ἑκάστης ἔφορον, ἄλλο ἄλλη προστησαμένη ἄγαλμα· εἰ δέ που τὶ γένος ἀνθρώπων ἐστὶν οὐ θαλάττιον οὐδὲ γεωργικὸν, ἀλλ' ἀστυπολοῦν καὶ ἀνακεκραμένον κοινωνίᾳ πολιτικῇ νόμου καὶ λόγου, ἆρα τούτοις ἀγέραστον ἔσται τὸ θεῖον καὶ ἀτίμητον, ἢ τιμήσουσι μὲν, τῇ δὲ φήμῃ μόνῃ, ἀγαλμάτων δὲ καὶ ἱδρυμάτων οὐχ οἰήσονται δεῖν τοῖς θεοῖς; οὐδὲν γὰρ δεῖ τοῖς θεοῖς ἀγαλμάτων οὐδὲ ἱδρυμάτων μᾶλλον ἢ εἰκόνων ἀγαθοῖς ἀνδράσιν.

2. Ὥσπερ δὲ, οἶμαι, τῷ κατὰ τὰς φωνὰς λόγῳ οὐδὲν δεῖ πρὸς σύστασιν χαρακτήρων Φοινικίων τινῶν, ἢ Ἰωνικῶν, ἢ Ἀττικῶν, ἢ Ἀσσυρίων, ἢ Αἰγυπτίων, ἀλλ' ἡ ἀνθρωπίνη ἀσθένεια ἐξεῦρε σημεῖα ταῦτα, ἐν οἷς ἀποτιθεμένη τὴν αὐτῆς ἀμβλύτητα ἐξ αὐτῶν ἀναμάττεται τὴν αὖθις μνήμην· οὕτως ἀμέλει καὶ τῇ τοῦ

DISSERTATIO VIII.

An diis sint dicanda signa.

1. Opitulari deos mortalibus, omnes quidem omnibus, alios tamen aliis, pro diversitate nominum, omnes confitentur; hac ratione honores illis divisere homines, signaque prout opem eorum in rebus suis experti erant singuli. Ita nautæ in eminenti scopulo, in quem undæ non assurgunt, diis maris gubernacula posuerunt: ita Pana suum pastorum colit aliquis, qui aut excelsam ei abietem, aut antrum dedicat profundum: agricolæ in horto suo stipitem figunt ingenuum, vere agrestem statuam, atque eo modo Bacchum colunt: jam fontes laticum, saltusque cavi, et beata feris prata, Dianæ sacra sunt: etiam Jovi tribuerunt ejusmodi honores primi mortalium, culmina montium ei dedicantes, Olympum, et Idam, aut si quis præterea montium cœlo proximus est: est suus et fluviis honos, sed diversus; aut enim utilitatis ergo colunt eos homines, ut Nilum Ægyptii; aut pulchritudinis causa, ut Peneum Thessali; aut magnitudinis, ut Istrum Scythæ; aut ex tradita per manum fabula, ut Acheloum Ætoli; aut ex antiqua lege, ut Spartiatæ Eurotam; aut ex sacro instituto, ut Ilissum Athenienses. Itane ergo et fluvii honores utilitatis causa, quam hominibus præstant, nacti sunt, et artes suum quæque præsidem honorant deum, aliud alia signum illi erigens; si quod vero genus sit mortalium non nauticum, nec rusticum, sed urbanum, quodque civili rationis pariter legumque inter se cohæret vinculo, solumne hoc nec cultum deo ullum exhibebit, nec honorem? an potius sola verbo tenus commemoratione id præstabit, imaginibus autem et statuis non magnopere opus esse diis putabit? hi enim non magis egent imaginibus aut statuis, quam vultus imitatione viri boni.

2. Sicut autem, opinor, sermo noster, ore quum profertur, nihil opus habet, ut constet, Phœniciis ullis, aut Ionicis, aut Atticis, aut Assyriis, aut Ægyptiis denique literis, quæ signa humanæ propterea mentis excogitavit imbecillitas, ut sic ingenii sui occurrentes tenuitati, earum opera notarum rursus in memoriam rerum redirent: ita

θείου φύσει δεῖ μὲν οὐδὲν ἀγαλμάτων οὐδὲ ἱδρυμάτων, ἀλλὰ ἀσθενὲς ὂν κομιδῇ τὸ ἀνθρώπειον, καὶ διεστὸς τοῦ θείου ὅσον οὐρανοῦ γῆ, σημεῖα ταῦτα ἐμηχανήσατο, ἐν οἷς ἀποθήσεται τὰ τῶν θεῶν ὀνόματα καὶ τὰς φήμας αὐτῶν. Οἷς μὲν οὖν ἡ μνήμη ἔρρωται, καὶ δύνανται εὐθὺ τοῦ οὐρανοῦ ἀνατεινόμενοι τῇ ψυχῇ τῷ θείῳ ἐντυγχάνειν, οὐδὲν ἴσως δεῖ τούτοις ἀγαλμάτων. Σπάνιον δὲ ἐν ἀνθρώποις τὸ τοιοῦτο γένος, καὶ οὐκ ἂν ἐντύχοις δήμῳ ἀθρόῳ τοῦ θείου μνήμονι καὶ μὴ δεομένῳ τοιαύτης ἐπικουρίας· οἷον καὶ τοῖς παισὶν οἱ γραμματισταὶ μηχανῶνται, ὑποχαράττοντες αὐτοῖς σημεῖα ἀμυδρά, οἷς ἐπάγοντες τὴν χειρουργίαν, ἐθίζονται τῇ μνήμῃ πρὸς τὴν τέχνην. Δοκοῦσι δή μοι καὶ οἱ νομοθέται, καθάπερ τινὶ παίδων ἀγέλῃ, ἐξευρεῖν τοῖς ἀνθρώποις ταυτὶ τὰ ἀγάλματα, σημεῖα τῆς πρὸς τὸ θεῖον τιμῆς, καὶ ὥσπερ χειραγωγίαν τινὰ καὶ ὁδὸν πρὸς ἀνάμνησιν.

3. Ἀγαλμάτων δὲ οὐχ εἷς νόμος, οὐδὲ εἷς τρόπος, οὐδὲ τέχνη μία, οὐδὲ ὕλη μία· ἀλλὰ τὸ μὲν Ἑλληνικὸν τιμᾶν τοὺς θεοὺς ἐνόμισε τῶν ἐν γῇ τοῖς καλλίστοις, ὕλῃ μὲν καθαρᾷ, μορφῇ δὲ ἀνθρωπίνῃ, τέχνῃ δὲ ἀκριβεῖ· καὶ οὐκ ἄλογος ἡ ἀξίωσις τῶν τὰ ἀγάλματα εἰς ἀνθρωπίνην ὁμοιότητα καταστησαμένων. Εἰ γὰρ ἀνθρώπου ψυχὴ ἐγγύτατον θεῷ καὶ ἐμφερέστατον, οὐ δήπου εἰκὸς τὸ ὁμοιότατον αὐτῷ περιβαλεῖν τὸν θεὸν σκήνει ἀτοπωτάτῳ, ἀλλ' ὅπερ ἔμελλε ψυχαῖς ἀθανάτοις εὔφορόν τε ἔσεσθαι καὶ κοῦφον καὶ εὐκίνητον. Μόνον τοῦτο τῶν ἐν γῇ σωμάτων ἀνατεῖνον τὴν κορυφὴν ὑψοῦ, σοβαρὸν, καὶ γαῦρον, καὶ σύμμετρον, οὔτε διὰ μέγεθος ἐκπληκτικὸν, οὔτε διὰ χαίτην φοβερὸν, οὔτε διὰ βάρος δυσκίνητον, οὔτε διὰ λειότητα ὀλισθηρὸν, οὔτε διὰ τραχύτητα ἀντίτυπον, οὔτε διὰ ψυχρότητα ἑρπηστικὸν, οὔτε ἰταμὸν διὰ θερμότητα, οὔτε νηκτὸν διὰ μανότητα, οὐχ ὠμοφάγον δι' ἀγριότητα, οὐ ποιηφάγον δι' ἀσθένειαν· ἀλλὰ κεχραμένον μουσικῶς πρὸς τὰ αὐτοῦ ἔργα, φοβερὸν μὲν δειλοῖς, ἥμερον δὲ ἀγαθοῖς, βαδιστικὸν μὲν τῇ φύσει, πτηνὸν δὲ τῷ λόγῳ, νηκτὸν δὲ τῇ τέχνῃ, σιτοφάγον, καὶ γεωπόνον, καὶ καρποφάγον, καὶ εὔχρουν, καὶ εὐσταθὲς, καὶ εὐωπὸν, καὶ εὐγένειον. Διὰ τοιούτου σώματος τύπων τοὺς θεοὺς τιμᾶν ἐνόμισαν οἱ Ἕλληνες.

4. Τὸ δὲ βαρβαρικὸν, ὁμοίως μὲν ἅπαντες ξυνετοὶ τοῦ θεοῦ, κατεστήσαντο δὲ αὐτοῖς σημεῖα ἄλλοι ἄλλα· Πέρσαι μὲν πῦρ, ἄγαλμα ἐφήμερον, ἀκόρεστον καὶ ἀδηφάγον· καὶ θύουσι Πέρσαι πυρὶ, ἐπιφοροῦντες αὐτῷ τὴν πυρὸς τροφὴν, ἐπιλέγοντες, Πῦρ δέσποτα, ἔσθιε. Ἄξιον δὲ πρὸς τοὺς Πέρσας εἰπεῖν, Ὦ πάντων γενῶν ἀνοητότατον, οἱ τοσούτων καὶ τηλικούτων ἀγαλμάτων ἀμελήσαντες, γῆς ἡμέρου, καὶ ἡλίου λαμπροῦ, καὶ θαλάττης πλοΐμου, καὶ ποταμῶν γονίμων, καὶ ἀέρος τροφίμου, καὶ αὐτοῦ οὐρανοῦ, περὶ ἓν μάλιστα ἀσχολεῖσθε τὸ ἀγριώτατον καὶ ὀξύτατον, οὐ ξύλων αὐτῷ τροφὴν χορηγοῦντες μόνον, οὐδὲ ἱερείων, οὐδὲ θυμιαμάτων· ἀλλὰ τούτῳ τῷ ἀγάλματι καὶ τούτῳ τῷ θεῷ καὶ τὴν Ἐρέτριαν ἀναλῶσαι δεδώκατε, καὶ τὰς Ἀθή-

deorum naturæ haud dubie nec statuis per se, nec imaginibus est opus; sed quum infirma sit oppido mortalium conditio, tantumque a divina quantum a cœlo terra recedat, signa ejusmodi excogitavit sibi, quibus et nomina et nuncupationes deorum velut depositas traderet. Si quibus igitur tam firma sit memoria, ut erecto statim animo cœlum usque ipsum possint pertingere, numenque recta adire, nihil iis fortasse opus sit statuis. Verum rarissimi inter homines sunt hujusmodi; nec facile totum aliquem populi cœtum invenias divinæ memorem naturæ, et qui ejusmodi non egeat subsidio : quale pueris, qui elementa addiscunt prima, parare student magistri, tenues quasdam notas qui præscribunt, ad quas manu deducant eos, donec paullatim memoriæ beneficio arti insuescant. Videntur certe et legislatores mihi non aliter, quam puerorum gregi, has generi mortalium invenisse imagines, honoris divini quasi signa quædam, vel notas, queis ad recordationem ejus, tanquam manuductione quadam et via, homines deducerent.

3. Harum porro imaginum nec lex una, nec ratio, nec ars una est, nec materies. Græci quippe iis, quæ pulcherrima in terra habentur, materia pura, forma humana, arte exquisitissima, colere consuevere deos : neque improbandum eorum videtur consilium, qui humanam deorum imaginibus affinxere formam. Quoniam enim deo vicina, deo simillima est anima hominum; minime est probabile rem sui simillimam deformi includere corpori voluisse deum, sed eo potius, quod animam facillime circumlaturum erat immortalem, quod leve futurum et motui aptum. Hoc solum omnium, quæ in terra sunt, corporum caput in cœlum attollit, agile, elatum, apte compositum, non tam magnum ut terrere quenquam, nec tam hirsutum ut formidabile cuiquam esse posset, nec tam grave ut non moveri, nec tam læve ut stare nequeat, non tam durum ut tactum repellat, nec tam frigidum ut humi serpere, nec tam calidum ut in altum se efferre, nec tam laxum ut natare cogatur, non tam postremo immane ut crudas carnes, nec tam infirmum ut solas e terra herbas voret; sed ea corporis totius compositione, quæ vere est concinna, singulisque ejus operibus quam maxime respondet, quæ et metum timidis, et amorem conciliet probis, natura quidem incedat, ratione tamen volet, arte natet, fruges edat, terram colat, fructus mandat, colore nitido, membris firmissimis, vultu pulchro, barba quæ deceat. Tali corporis forma repræsentare deos, eosque colere æquum censuerunt Græci.

4. Barbari vero, qui similiter omnes noverunt divinum numen, alia tamen diis atque alia signa inscripsere : ignem Persæ, diale signum dicas, rem voracem atque insatiabilem; sacrum faciunt Persæ igni, alimentum suppeditant conveniens igni, acclamantque, *Comede, Ignis domine.* Quibus merito dicat aliquis, O gens omnium dementissima, qui tot tantaque negligitis signa, terram mitissimam, solem clarissimum, mare navigationibus opportunum, fluvios fœcunditatis dominos, almum aerem, ipsumque postremo cœlum; vos uni præ ceteris elemento immanissimo omnium violentissimoque adhæretis, quod quidem vestrum signum, quem vestrum deum non lignis tantum pascitis, aut victimis, aut suffitu sacro, sed Eretriam quoque to-

νας αὐτὰς, καὶ τὰ Ἰώνων ἱερὰ, καὶ τὰ Ἑλλήνων ἀγάλματα.

5. Μέμφομαι καὶ τὸν Αἰγυπτίων νόμον. Βοῦν ἐκεῖνοι τιμῶσι καὶ ὄρνιν καὶ τράγον καὶ τοῦ ποταμοῦ τοῦ Νείλου τὰ θρέμματα, ὧν θνητὰ μὲν τὰ σώματα, δειλοὶ δὲ οἱ βίοι, ταπεινὴ δὲ ἡ ὄψις, ἀγεννὴς δὲ ἡ θεραπεία, αἰσχρὰ δὲ ἡ τιμή. Ἀποθνήσκει θεὸς Αἰγυπτίοις, καὶ πενθεῖται θεὸς, καὶ δείκνυται παρ' αὐτοῖς ἱερὸν θεοῦ, καὶ τάφος θεοῦ. Καὶ Ἕλληνες μὲν θύουσι καὶ ἀνθρώποις ἀγαθοῖς, καὶ τιμῶνται μὲν αὐτῶν αἱ ἀρεταὶ, ἀμνημονοῦνται δὲ αἱ συμφοραί· παρὰ δὲ Αἰγυπτίοις, ἰσοτιμίαν ἔχει τὸ θεῖον τιμῆς καὶ δακρύων. Γυναικὶ Αἰγυπτίᾳ θρέμμα ἦν κροκοδείλου σκύλαξ· ἐμακάριζον οἱ Αἰγύπτιοι τὴν γυναῖκα, ὡς τιθηνουμένην θεόν· τινὲς δὲ αὐτῶν καὶ προσετρέποντο καὶ αὐτὴν καὶ τὸν τρόφιμον. Ἦν αὐτῇ παῖς ἄρτι ἡβάσκων, ἡλικιώτης τοῦ θεοῦ, συναθύρων αὐτῷ καὶ συντρεφόμενος· ὁ δὲ τέως μὲν ὑπὸ ἀσθενείας ἦν τιθασὸς, προελθὼν δὲ εἰς μέγεθος ἤλεγξε τὴν φύσιν, καὶ διέφθειρε τὸν παῖδα· ἡ δὲ δύστηνος Αἰγυπτία ἐμακάριζε τὸν υἱὸν τοῦ θανάτου, ὡς γενόμενον δῶρον ἐφεστίῳ θεῷ. Τὰ μὲν Αἰγυπτίων τοιαῦτα.

6. Ἀλέξανδρος δὲ ἐκεῖνος, Πέρσας ἑλὼν, καὶ Βαβυλῶνος κρατήσας, καὶ Δαρεῖον χειρωσάμενος, ἦλθεν εἰς τὴν Ἰνδῶν γῆν, ἄβατον οὖσαν τέως στρατιᾷ ξένῃ, ὡς Ἰνδοὶ ἔλεγον, πλήν γε Διονύσου καὶ Ἀλεξάνδρου. Ἐστασίαζον Ἰνδοὶ βασιλεῖς Πῶρος καὶ Ταξίλης. Πῶρον μὲν λαμβάνει ὁ Ἀλέξανδρος, Ταξίλην δὲ κατὰ φιλίαν παρεστήσατο. Ἐπεδείκνυεν Ἀλεξάνδρῳ Ταξίλης τὰ θαυμαστὰ τῆς Ἰνδῶν γῆς, ποταμοὺς μεγίστους, καὶ ὄρνιθας ποικίλους, καὶ εὐώδη φυτὰ, καὶ εἴ τι ἄλλο ξένον ὀφθαλμοῖς Ἑλληνικοῖς. Ἐν δὲ τοῖς ἔδειξε καὶ ζῷον ὑπερφυὲς, Διονύσου ἄγαλμα, ᾧ Ἰνδοὶ ἔθυον· δράκων ἦν μῆκος πεντάπλεθρον, ἐτρέφετο δὲ ἐν χωρίῳ κοίλῳ, ἐν κρημνῷ βαθεῖ, τείχει ὑψηλῷ ὑπὲρ τῶν ἄκρων περιβεβλημένος· καὶ ἀνήλισκε τὰς Ἰνδῶν ἀγέλας, χορηγούντων αὐτῷ τροφὴν, βοῦς καὶ ὄϊς, καθάπερ τυράννῳ μᾶλλον ἢ θεῷ.

7. Οἱ ἑσπέριοι Λίβυες οἰκοῦσι γῆς αὐχένα στενὸν καὶ ἐπιμήκη καὶ ἀμφιθάλασσον· σχιζομένη γὰρ κατὰ κορυφὴν τοῦ αὐχένος ἡ ἔξω θάλασσα περιλαμβάνει τὴν γῆν κύματι πολλῷ καὶ πελαγίῳ· τοῖς ἀνθρώποις τούτοις ἱερόν ἐστι καὶ ἄγαλμα ὁ Ἄτλας. Ἔστιν δὲ ὁ Ἄτλας ὄρος κοῖλον, ἐπιεικῶς ὑψηλὸν, ἀνεῳγὸς πρὸς τὸ πέλαγος, ὥσπερ τὰ θέατρα πρὸς τὸν ἀέρα· τὸ δὲ ἐν μέσῳ τοῦ ὄρους χωρίον, αὐλὼν βραχὺς, εὔγεως καὶ εὔδενδρος· καὶ ἴδοις ἂν καὶ καρποὺς ἐπὶ τῶν δένδρων, καὶ ὀπτεύσειας ἐκ τῆς κορυφῆς, ὥσπερ εἰς φρεατείας ἔδαφος· κατελθεῖν δὲ οὔτε δυνατὸν, κρημνῶδες γὰρ, οὔτε ἄλλως θέμις. Τὸ δὲ ἐν τῷ χωρίῳ θαῦμα, ὁ ὠκεανὸς πλημμύρων ἐμπίπτει τῇ ἠϊόνι, καὶ τῇ μὲν ἄλλῃ ἀναχεῖται ἐπὶ τὰ πεδία, κατὰ δὲ τὸν Ἄτλαντα αὐτὸν κορυφοῦται τὸ κῦμα· καὶ ἴδοις ἂν τὸ ὕδωρ ἀνεστηκὸς ἐφ' ἑαυτοῦ, ὥσπερ τειχίον, οὔτε εἰσρέον ἐπὶ τὰ κοῖλα,

tam, ipsasque Athenas, et Ionum sacra, Græcorumque statuas huic devorandas objecistis.

5. Reprehendo etiam Ægyptiorum consuetudinem. Bovem illi colunt, avem, et hircum, et Nili fluminis monstra; quorum omnium mortale corpus, vita abjecta, vultus in terram conversus, cultus degener, honor pudendus est. Moritur Ægyptiis deus, et lugetur deus, ejusdemque et templum monstratur et sepulchrum. Et Græci quidem viris etiam bonis sacra faciunt defunctis, quorum virtutum memoriam celebrant, verum calamitates oblivione obruunt: at apud Ægyptios ex æquo lacrimæ deo et honores offeruntur. Mulier olim Ægyptia crocodili catulum alebat: felicissimam eam Ægyptii judicabant, utpote nutricem dei; erant etiam qui adorarent et ipsam et alumnum. Mulieri huic erat filius puer, æqualis dei, quicum adolescere unaque lusitare consueverat; interim deus præ corporis imbecillitate cicur videbatur; postquam vero adolevit, ingenium prodidit, puerum voravit. Ibi miserrima mulier filii sui morte gaudere, tanquam beatissimi, quod domestici dei factus esset victima. Atque ita quidem Ægyptiorum fert ratio.

6. Magnus autem ille Alexander, devictis jam Persis, Babylone expugnata, capto Dario, terram Indorum petiit, quæ nunquam, ut dicebant ipsi, exercitum externum admiserat, præterquam Bacchi et ipsius Alexandri. Gravi eo tempore inter se contentione dissidebant duo reges, Porus et Taxiles; et Porum quidem vi pugnantem capit Alexander, in fidem societatemque amice recipit Taxilem. Qui quidem quicquid admiratione dignum in India videri poterat, regi ostendit, fluvios maximos, aves varias, plantas odoratas, et si quid aliud oculis Græcis novum. In his animal monstravit maximum, Baccho sacrum, cui victimas Indi mactabant. Erat hoc animal draco, qui jugera terræ quinque corpore æquaret: alebatur devexo in loco, anfractuoso, profundo, altissimis desuper muris circumseptus. Hic Indorum armenta ac pecudes vorabat, quippe illis novum illi cibum quotidie præbentibus, boves puta et oves, tanquam tyranno potius quam deo.

7. Hesperii Libyes incolunt faucem angustam, in longum diffusam, mari cinctam undique; hujus faucis summum circa verticem exterius dividitur mare, multaque aquarum vi et vorticibus marinis terram amplectitur: his hominibus sacer est Atlas, hunc vice signi habent. Est autem Atlas mons cavus, satis altus, qui mari patet, sicut theatra aeri: quod in medio montis (et maris) patet spatium, vallis exigua est, terra amœna, arboribus consita; itaque et fructus ex arboribus pendentes videas, neque aliter e summo culmine contemplanti apparet, quam si in putei despicias solum: descendere autem nec possis, locus enim præceps est, nec per religionem fas sit. Nihil in illo loco magis mirandum videtur, quam pontus ipse, qui undarum vi maxima littori incumbit, et quum ceteris in locis per patentes campos diffundatur, circa Atlantem ipsum assurgunt fluctus, suoque pondere muri ad instar stare videas aquam, ut nec in prærupta terræ descendat, nec ab ipsa humo fulciatur; sed

οὔτε ὑπὸ γῆς ἐρειδόμενον, ἀλλ' ἐκ μέσου τοῦ ὄρους καὶ τοῦ ὕδατος ἀὴρ πολύς, κοῖλον ἄλσος. Τοῦτο Λιβύων καὶ ἱερὸν, καὶ θεὸς, καὶ ὅρκος, καὶ ἄγαλμα.

8. Κελτοὶ σέβουσι μὲν Δία, ἄγαλμα δὲ Διὸς Κελτικὸν ὑψηλὴ δρῦς. Παίονες σέβουσι μὲν Ἥλιον, ἄγαλμα δὲ Ἡλίου Παιονικὸν δίσκος βραχὺς ὑπὲρ μακροῦ ξύλου. Ἀράβιοι σέβουσι μὲν, ὅντινα δὲ οὐκ οἶδα· τὸ δὲ ἄγαλμα εἶδον, λίθος ἦν τετράγωνος. Παφίοις ἡ μὲν Ἀφροδίτη τὰς τιμὰς ἔχει· τὸ δὲ ἄγαλμα οὐκ ἂν εἰκάσαις ἄλλῳ τῳ ἢ πυραμίδι λευκῇ, ἡ δὲ ὕλη ἀγνοεῖται. Λυκίοις ὁ Ὄλυμπος πῦρ ἐκδιδοῖ, οὐχ ὅμοιον τῷ Αἰτναίῳ, ἀλλ' εἰρηνικὸν καὶ σύμμετρον· καὶ ἔστιν αὐτοῖς τὸ πῦρ τοῦτο καὶ ἱερὸν καὶ ἄγαλμα. Φρύγες οἱ περὶ Κελαινὰς νεμόμενοι τιμῶσι ποταμοὺς δύο, Μαρσύαν καὶ Μαίανδρον· εἶδον τοὺς ποταμούς· ἀφίησιν αὐτοὺς πηγὴ μία, ἣ προσελθοῦσα ἐπὶ τὸ ὄρος ἀφανίζεται κατὰ νώτου τῆς πόλεως, καὖθις ἐκδιδοῖ ἐκ τοῦ ἄστεος, διελοῦσα τοῖς ποταμοῖς καὶ τὸ ὕδωρ καὶ τὰ ὀνόματα· ὁ μὲν ἐπὶ Λυδίας ῥεῖ ὁ Μαίανδρος, ὁ δὲ αὐτοῦ περὶ τὰ πεδία ἀναλίσκεται. Θύουσι Φρύγες τοῖς ποταμοῖς, οἱ μὲν ἀμφοτέροις, οἱ δὲ τῷ Μαιάνδρῳ, οἱ δὲ τῷ Μαρσύᾳ· καὶ ἐμβάλλουσι τὰ μηρία εἰς τὰς πηγὰς, ἐπιφημίσαντες τοὔνομα τοῦ ποταμοῦ ὁποτέρῳ ἔθυσαν· ἀπενεχθέντα δὲ ἐπὶ τὸ ὄρος, καὶ ὑποδύντα σὺν τῷ ὕδατι, οὔτ' ἂν ἐπὶ τὸν Μαρσύαν ἐκδοθείη τὰ τοῦ Μαιάνδρου, οὔτ' ἐπὶ τὸν Μαίανδρον τὰ τοῦ Μαρσύου· εἰ δὲ ἀμφοῖν εἴη, διαιροῦνται τὸ δῶρον. Ὄρος Καππαδόκαις καὶ θεὸς καὶ ὅρκος καὶ ἄγαλμα, Μαιώταις λίμνη, Τάναϊς Μασσαγέταις.

9. Ὦ πολλῶν καὶ παντοδαπῶν ἀγαλμάτων, ὧν τὰ μὲν ὑπὸ τέχνης ἐγένετο, τὰ δὲ διὰ χρείαν ἠγαπήθη, τὰ δὲ δι' ὠφέλειαν ἐτιμήθη, τὰ δὲ δι' ἔκπληξιν ἐθαυμάσθη, τὰ δὲ διὰ μέγεθος ἐθειάσθη, τὰ δὲ διὰ κάλλος ἐπῃνέθη. Πλὴν οὐδὲν γένος, οὐ βάρβαρον, οὐχ Ἑλληνικὸν, οὐ θαλάττιον, οὐχ ἠπειρωτικὸν, οὐ νομαδικὸν, οὐχ ἀστυπολοῦν, ἀνέχεται τὸ μὴ καταστήσασθαι σύμβολα ἄττα τῆς τῶν θεῶν τιμῆς. Πῶς ἂν οὖν τις διαιτήσαι τὸν λόγον, εἴτε χρὴ ποιεῖσθαι ἀγάλματα θεῶν, εἴτε μή; Εἰ μὲν γὰρ ἄλλοις τισὶν ἐνομοθετοῦμεν ὑπερορίοις ἀνθρώποις, ἔξω τοῦ καθ' ἡμᾶς αἰθέρος ἄρτι ἐκ γῆς ἀναφυομένοις, ἢ ὑπό τινος Προμηθέως πλαττομένοις, ἀπείροις βίου καὶ νόμου καὶ λόγου, δέοι ἂν ἴσως τοῦ σκέμματος· Πότερα ἐατέον τουτὶ τὸ γένος ἐπὶ τῶν αὐτοφυῶν τούτων ἀγαλμάτων, προσκυνοῦντας οὐχ ἐλέφαντα, οὐδὲ χρυσὸν, οὐδὲ δρῦν, οὐδὲ κέδρον, οὐδὲ ποταμὸν, οὐδὲ ὄρνιθα, ἀλλὰ τὸν ἥλιον ἀνίσχοντα, καὶ τὴν σελήνην λάμπουσαν, καὶ τὸν οὐρανὸν πεποικιλμένον, καὶ γῆν αὐτὴν, καὶ ἀέρα αὐτὸν, καὶ πῦρ πᾶν, καὶ ὕδωρ πᾶν· ἢ καὶ τούτους καθείρξομεν εἰς ἀνάγκην τιμῆς ξύλων, ἢ λίθων, ἢ τύπων; Εἰ δέ ἐστιν οὗτος κοινὸς ἁπάντων νόμος, τὰ κείμενα ἐῶμεν, τὰς φήμας τῶν θεῶν ἀποδεχόμενοι, καὶ φυλάττοντες αὐτῶν τὰ σύμβολα, ὥσπερ καὶ τὰ ὀνόματα.

10. Ὁ μὲν γὰρ θεὸς, ὁ τῶν ὄντων πατὴρ καὶ δη-

medium inter montem ac mare locum multum aer occupat, nemusque in convalle. Libyum hoc templum, hic deus est, hunc jurejurando testem invocant, hoc habent signum.

8. Celtæ Jovem colunt, simulacrum autem apud eos Jovis est alta quercus. Pæones Solem colunt, Solisque apud hos simulacrum brevis discus est, perticæ supra longissimæ affixus. Colunt et Arabes, nescio autem quem deum; vidi apud eos simulacrum, lapis erat quadrangularis. Venerem Paphii colunt, cujus statuam non alii rei atque albæ pyramidi similem esse dixeris; materies ejus ignoratur. Apud Lycios mons Olympus ignem eructat, non Ætnæi instar, sed placidum compositumque; estque hic ignis ipse et templum et signum. Qui Celænas accolunt Phryges, fluvios duos, Marsyam colunt Mæandrumque; eorum ipse spectator fui: duo hi fluvii e fonte oriuntur uno, qui quum ad montem processit usque, ad posteriorem urbis partem se subducit, rursusque ex urbe oritur, simulque aquam distinguit fluviis et nomen; atque ex iis quidem Lydiam Mæander petit, alter ibidem in campis finitur ac consumitur. His fluviis rem divinam Phryges faciunt, alii utrique simul, seorsum vero alii Mæandro, Marsyæve: ac femora victimæ, quæ mactatur, in fontes, addito alterius cui mactatur fluvii nomine, projiciuntur; quæ a fluvio ad montem deferuntur usque, ubi cum aqua terram subeunt; neque unquam fit, ut, quæ Mæandro mactata sunt, in Marsya emergant, aut quæ Marsyæ, in Mæandro; quando sunt utrique, dividunt victimam. Mons Cappadocibus et deus et jusjurandum est et signum, palus Mæotis, Massagetis Tanais.

9. O multa variaque signa, quorum alia ars excogitavit, alia commendavit usus, alia utilitas colere, alia admiratio venerari præcepit, alia deorum in numerum formæ amplitudo retulit, alia pulchritudo sua evexit! quum interim nullum sit genus hominum, vel barbarum, vel Græcum, sive ad mare, sive in continente vivat, sive sine sede vagetur, sive urbes incolat; quod non aliqua divinitatis signa consecraverit. Quis ergo litem hanc de simulacris deo dicandis decidere audeat? Si enim lex nobis præscribenda esset aliis quibusdam hominibus, qui longe extra fines, quos incolimus, nostrumque aerem recens e terra emergerent, aut a Prometheo aliquo effingerentur, vitæ, legum, rationis ignari; moveri fortasse posset hæc quæstio: iisne hominibus ea relinquenda essent simulacra, quæ natura præscripsit; non ebur ut adorarent, non aurum, non quercum, aut cedrum, non fluvium, non avem; sed solis orientis imaginem, lunæque splendorem, sed pictam cœli domum, ipsamque terram et aerem ipsum, ignem omnem, omnemque aquam: an contra et hi redigendi essent in ordinem, ut ligna, ut lapides, ut imagines colerent quascunque? Quodsi hæc communis omnium lex est, nihil antiquemus, nihil de opinione deorum detrahamus, eorumque insignia una cum nominibus servemus.

10. Deus enim, omnium, quæ exstant, pater conditorque,

μιουργός, ὁ πρεσβύτερος μὲν ἡλίου, πρεσβύτερος δὲ οὐρανοῦ, κρείττων δὲ χρόνου καὶ αἰῶνος καὶ πάσης ῥεούσης φύσεως, ἀνώνυμος νομοθέταις, καὶ ἄρρητος φωνῇ, καὶ ἀόρατος ὀφθαλμοῖς· οὐκ ἔχοντες δὲ αὐτοῦ λαβεῖν τὴν οὐσίαν, ἐπερειδόμεθα φωναῖς, καὶ ὀνόμασι, καὶ ζῴοις, καὶ τύποις χρυσοῦ καὶ ἐλέφαντος καὶ ἀργύρου, καὶ φυτοῖς καὶ ποταμοῖς, καὶ κορυφαῖς καὶ νάμασιν· ἐπιθυμοῦντες μὲν αὐτοῦ τῆς νοήσεως, ὑπὸ δὲ ἀσθενείας τὰ παρ' ἡμῖν καλὰ τῇ ἐκείνου φύσει ἐπονομάζοντες· αὐτὸ ἐκεῖνο τὸ τῶν ἐρώντων πάθος, οἷς ἥδιστον εἰς μὲν θέαμα οἱ τῶν παιδικῶν τύποι, ἡδὺ δὲ εἰς ἀνάμνησιν καὶ λύρα, καὶ ἀκόντιον, καὶ θῶκός που, καὶ δρόμος, καὶ πᾶν ἁπλῶς τὸ ἐπεγεῖρον τὴν μνήμην τοῦ ἐρωμένου. Τί μοι τὸ λοιπὸν ἐξετάζειν καὶ νομοθετεῖν ὑπὲρ ἀγαλμάτων; Θεῖον ἴστωσαν γένος, ἴστωσαν μόνον. Εἰ δὲ Ἕλληνας μὲν ἐπεγείρει πρὸς τὴν μνήμην τοῦ θεοῦ ἡ Φειδίου τέχνη, Αἰγυπτίους δὲ ἡ πρὸς τὰ ζῷα τιμὴ, καὶ ποταμὸς ἄλλους, καὶ πῦρ ἄλλους, οὐ νεμεσῶ τῆς διαφωνίας· ἴστωσαν μόνον, ἐράτωσαν μόνον, μνημονευέτωσαν μόνον.

sole antiquior, antiquior cœlo, major tempore omnique ævo et quicquid in natura mutatur, cui legislatores nomen dare non potuerunt, quem vox nulla exprimit, nulla oculorum intuetur acies; cujus quum sensus nostros excedat essentia, auxilium a verbis, a nominibus, animalibusque, ab auri, eboris argentique figuris, a plantis, fluviisque, a montium jugis, aquarumque scatebris aliquod petimus, ad ejus intellectum hoc modo pervenire cupientes, quum tenuitatis nostræ ita poscat ratio, ut quicquid apud nos est pulcherrimum, illius inscribamus naturæ: plane ut amantes solent, qui eorum, quos amant, libentissime simulacra intuentur; sic cum voluptate aspiciunt aut lyram quam reliquere, aut jaculum, aut sellam in qua sedere, aut circum in quo currere solent, aut quicquid memoriam amati iis reducit. Quid ego ultra mihi inquirendum est et lex ferenda de simulacris? Notum modo habeant divinum genus, noscant modo. Ceterum sive Græcis memoriam ejus maxime suscitat ars Phidiæ, sive Ægyptiis animalium cultus, aliis fluvius, ignis aliis; varietatem non damno: noscant modo numen, ament modo, illius modo memoriam conservent.

ΛΟΓΟΣ Θ'.

Εἰ καλῶς ἐποίησε Σωκράτης μὴ ἀπολογησάμενος.

1. Δεινόν γε τὰς μὲν ἄλλας τέχνας ἀπηλλάχθαι ἑκάστην τοῦ τῶν πολλῶν δικαστηρίου, καὶ μήτε τὸν κυβερνήτην ἐπιλαβόμενον τῆς νεὼς, καὶ χρώμενον τῇ τέχνῃ κατὰ τοὺς αὐτοῦ λόγους, εὐθύνεσθαι πρὸς τῶν ἀτέχνων, μήτε τὸν ἰατρὸν ἀνέχεσθαι τοὺς κάμνοντας τὰ προστάγματα αὐτοῦ καὶ τὰ ἰάματα καὶ τὰ διαιτήματα ἐπισκοποῦντας καὶ βασανίζοντας, ἀλλ' οὐδὲ κεραμέας, οὐδὲ σκυτοτόμους, οὐδὲ τοὺς τὰ ἔτι τούτων ἀτιμότερα μεταχειριζομένους, ἄλλον τινὰ ἔχειν δικαστὴν τῶν ἔργων, πλὴν τῆς τέχνης· Σωκράτην δὲ τὸν μηδὲ τῷ Ἀπόλλωνι παρασχόντα ἀμαθίας αἰτίαν, τῷ τὰς ψάμμους εἰδότι καὶ καταμαντευσαμένῳ τῆς θαλάττης, οὔπω καὶ νῦν πεπαῦσθαι συκοφαντούμενον καὶ εὐθυνόμενον, ἀλλὰ πικροτέρους αὐτῷ εἶναι τοὺς ἐπιγιγνομένους αἰεὶ καὶ τοὺς συκοφάντας Ἀνύτου καὶ Μελήτου, καὶ τοὺς δικαστὰς Ἀθηναίων τῶν τότε· καὶ εἰ μὲν γραφεὺς ἦν ἢ δημιουργὸς ἀγαλμάτων, οἷον Ζεῦξις ἢ Πολύκλειτος ἢ Φειδίας, παρέπεμπεν ἂν τὰ ἔργα αὐτῷ μετ' εὐφημίας ἡ τῆς τέχνης δόξα· ὁρῶντες γοῦν ἐκεῖνα οἱ ἄνθρωποι, μὴ ὅτι αἰτιᾶσθαι, ἀλλ' οὐδὲ ἐξετάζειν τολμῶσιν, ἀλλ' εἰσὶν αὐτεπάγγελτοι ἐπαινέται θεαμάτων ἐνδόξων· εἰ δέ τις μὴ κατὰ γραφέας, μηδὲ κατ' ἀγαλμάτων δημιουργοὺς ἀγαθὸς ἦν τὴν χειρῶν τέχνην, ἀλλὰ τὸν αὐτοῦ βίον συμμέτρως, καὶ πρὸς τὸ ἀκριβέστατον, λόγῳ καὶ πόνῳ καὶ ἐθισμῷ καὶ εὐτελείᾳ καὶ καρτερίᾳ καὶ σωφροσύνῃ καὶ ταῖς ἄλλαις ἀρεταῖς ἡρμόσατο· τοῦτον μὴ τυγχάνειν βεβαίας δόξης, μηδὲ ἐπαίνων ὡμολογημένων, μηδὲ ὁμοφώνων δικαστῶν, ἀλλὰ ἄλλον ἄλλο τι διατελεῖν ὑπὲρ αὐτοῦ λέγοντας.

DISSERTATIO IX.

An recte fecerit Socrates, quod accusatus non responderit.

1. Indignum sane reliquas artes omnes esse a plurimorum tribunali remotas, ut verbi causa nec gubernator, quum in suo versatur munere, navemque ex propria dirigit sententia, imperitorum cuiquam cogatur rationem reddere; nec æquo ferat animo medicus, si ea, quæ præscribit, quæque aut obviam ire morbo, aut ad victus conferre salubritatem existimat, scrutetur atque curiose exploret æger; nec figuli denique, vel coriarii, aut si quis hisce etiam ignobiliore in arte versatur, alium judicem agnoverit, quam ipsam artem: Socratem vero, qui ne ab ipso quidem Apolline ignorantiæ accusari potuit, deo qui et arenæ numerum perspectum habet, et maris magnitudinem conjicere potuit, tamen hodieque calumniis peti, et quasi in judicium de integro vocari; adeo quidem ut infestior ei in dies sit posteritas, nec magis illi parcant hi sycophantæ, quam Anytus fecit et Melitus, neque magis hi judices quam illius ævi Athenienses. Idem tamen si pictor esset aut statuarius, qualis vel Zeuxis vel Polycletus aut Phidias, opera ipsi transmitteret cum admiratione concepta de arte ejus opinio: ea enim tantum abest ut accusent, ut ne examinare quidem ausint, quum intuentur homines; sed ultro, tanquam de operibus quæ communi probentur judicio, laudem illi deferunt. Si quis vero sit, qui non, ut pictor aliquis, aut statuarius, arte manuaria excellat, verum enimvero suam sibi vitam ratione, labore, assuetudine, frugalitate, temperantia, continentiaque, reliquis denique omnibus virtutibus, ad exactissimam vivendi normam direxerit; hunc nec gloriam consequi certam, nec indubitatum præconium, nec consensum inter se judicum, sed alium de eo aliter censere semper, id mihi indignissimum videtur.

2. Ὁποῖόν τι καὶ τὸ παρὸν ἡμῖν νυνὶ σκέμμα. Σωκράτην τοῦτον Μέλητος μὲν ἐγράψατο, Ἄνυτος δὲ εἰσήγαγε, Λύκων δὲ ἐδίωκε, κατεδίκασαν δὲ Ἀθηναῖοι, ἔδησαν δὲ οἱ ἕνδεκα, ἀπέκτεινε δὲ ὁ ὑπηρέτης. Καὶ Μελήτου γραφομένου ὑπερεώρα, καὶ Ἀνύτου εἰσάγοντος κατεφρόνει, καὶ Λύκωνος λέγοντος κατεγέλα, καὶ ψηφιζομένων Ἀθηναίων ἀντεψηφίζετο, καὶ τιμωμένων ἀντετιμᾶτο· καὶ δεόντων αὐτὸν τῶν ἕνδεκα, τὸ μὲν σῶμα παρεῖχεν (ἀσθενέστερον γὰρ ἦν πολλῶν σωμάτων), τὴν δὲ ψυχὴν οὐ παρεῖχε (κρείττων γὰρ ἦν Ἀθηναίων ἁπάντων), οὐδὲ τῷ ὑπηρέτῃ ἐχαλέπαινεν, οὐδὲ πρὸς τὸ φάρμακον ἐδυσχέραινεν, ἀλλ' Ἀθηναῖοι μὲν αὐτὸν οὐχ ἑκόντες κατεδίκασαν, ὁ δὲ ἀπέθνησκεν ἑκών. Ἐλέγχει δὲ τοῦ μὲν τὸ ἑκούσιον, ὅτι ἐξὸν αὐτῷ καὶ χρημάτων τιμήσασθαι, καὶ φεύγειν ἐκκλαπέντι, προείλετο ἀποθανεῖν· τῶν δὲ τὸ ἀκούσιον, μετέγνωσαν γὰρ εὐθύς· οὗ τί ἂν εἴη πάθος δικασταῖς καταγελαστότερον;

3. Ἔτ' οὖν ποθεῖς σκέψασθαι περὶ Σωκράτους, εἰ ὀρθῶς ταῦτα ἔδρα, ἢ μή; Τί οὖν εἴ τίς σοι παρελθὼν διηγεῖτο, ὅτι ἀνὴρ Ἀθηναῖος, γέρων τὴν ἡλικίαν, φιλόσοφος τὴν ἐπιτήδευσιν, πένης τὴν τύχην, δεινὸς τὴν φύσιν, ἀγαθὸς εἰπεῖν, συνετὸς νοῆσαι, ἄγρυπνος καὶ νηφάλιος, καὶ οἷος μηδὲν εἰκῇ μήτε ἔργον πρᾶξαι, μήτε εἰπεῖν λόγον, βεβιωκὼς μὲν πόρρω ἡλικίας, ἐπαινέτας δὲ σχὼν τοῦ τρόπου Ἑλλήνων μὲν οὐ τοὺς φαυλοτάτους τὴν φύσιν, θεῶν δὲ τὸν Ἀπόλλωνα· οὗτος, ἐπαναστάντων αὐτῷ, φθόνῳ καὶ ἀπεχθείᾳ καὶ τῇ πρὸς τὰ καλὰ ὀργῇ, ἐκ μὲν τοῦ θεάτρου Ἀριστοφάνους, ἐκ δὲ τῶν σοφιστῶν Ἀνύτου, ἐκ δὲ τῶν συκοφαντῶν Μελήτου, ἐκ δὲ τῶν ῥητόρων Λύκωνος * *, καὶ τοῦ μὲν κωμῳδοῦντος, τοῦ δὲ γραφομένου, τοῦ δὲ εἰσάγοντος, τοῦ δὲ λέγοντος, τῶν δὲ δικαζόντων, ἐχαλέπαινε πρῶτα μὲν τῷ Ἀριστοφάνει, καὶ καταστὰς ἐν Ἀθηναίοις ἀντεκωμῴδει τὸν ἄνδρα ἐν Διονυσίοις, ἐπὶ μεθυόντων δικαστῶν· ἔπειτα εἰς τὸ δικαστήριον παρελθὼν ἀντερρητόρευε τοῖς λέγουσι, καὶ λόγους διεξῄει μακρούς, ἀπολογίαν εὖ μάλα εἰς ἐπαγωγὴν δικαστῶν συγκειμένην, ἐξευμενιζόμενος μὲν τὸ δικαστήριον τοῖς προοιμίοις, πείθων δὲ τοῖς διηγήμασιν, ἀποδεικνὺς δὲ τεκμηρίοις καὶ πίστεσι καὶ εἰκάσμασιν, ἀναβιβαζόμενος δὲ καὶ μάρτυρας τῶν πλουσίων τινὰς καὶ ἀξιόχρεων ἐν Ἀθηναίοις δικασταῖς, κἂν τοῖς ἐπιλόγοις ἱκετεύων καὶ ἀντιβολῶν καὶ δεόμενος καί που καὶ δάκρυα ἐν καιρῷ ἀφιείς· καὶ μετὰ τοῦτο τελευτῶν τὴν Ξανθίππην ἀναβιβασάμενος κωκύουσαν, καὶ τὰ παιδία κλαυθμυριζόμενα, διὰ τούτων ἁπάντων μετεχειρίσατο τοὺς δικαστάς, καὶ ἀπεψηφίσαντο αὐτοῦ, καὶ ᾤκτειραν, καὶ ἀφῆκαν;

4. Ὢ καλοῦ τοῦ νικηφόρου· ἦ που εἰς Λύκειον ὤσατο ἂν ἐκεῖθεν, καὶ εἰς Ἀκαδημίαν αὖθις, καὶ τὰς ἄλλας διατριβὰς φαιδρός, ὥσπερ οἱ ἐκ χειμερίου θαλάττης σεσωσμένοι. Καὶ πῶς ἂν ἠνέσχετο φιλοσοφία ἐπανιόντα πρὸς ἑαυτὴν τοῦτον τὸν ἄνδρα; Οὐ μᾶλλον ἢ παιδοτρίβης ἐκ σταδίου ἀγωνιστὴν μύρῳ κεχρισμένον,

2. Talis est quam nunc nos tractaturi sumus quæstionem. Hunc Socratem nostrum reum fecit Melitus, judici stitit Anytus, in eum dixit Lyco, damnarunt Athenienses, vinxerunt undecimviri, interfecit minister capitalium. Ille tamen et Melitum contemnebat qui litem intendit, et Anytum despiciebat qui detulit libellum, et Lyconem explodebat qui causam contra eum dixit, et decretum Atheniensium decreto suo, et mulctam sua mulcta eludebat; ille et undecimviris, quum vinciretur, corpus (minus enim unius quam plurimorum potuit) præbebat, animam vero neutiquam (quæ sola omnibus erat Atheniensibus superior); neque ille ministro indignabatur, nec venenum difficulter admittebat; quumque ab invito damnaretur populo, ipse non invitus decessit. Sua sponte autem decessisse ex eo patet, quod, quum pecunia redimere litem potuerit, aut clam effugere, mortem prætulit; populo vero invito id factum esse, vel ex eo, quod factum damnarunt protinus: quo quid evenire judicibus potest ineptius?

3. Vin' igitur ulterius videamus, rectene id a Socrate factum sit, an secus? Quid si igitur ad te veniret aliquis, qui narraret, Athenis fuisse hominem, ætate provectum, professione philosophum, fortuna pauperem, indole eximium, eloquentia valentem, mentis acumine præditum, vigilem, sobrium, qui nec quicquam temere aut opus egisset, nec verbum protulisset: idem postquam diu inter homines vixisset, et laudatores instituti sui habuisset Græcorum ingenio præstantissimos, e diis Apollinem, tamen quum invidia paullatim et acerbitate et honestatis odio multi in eum insurgerent, ex theatro Aristophanes, e sophistis Anytus, e sycophantis Melitus, ex oratoribus Lyco, [ex Græcis, Athenienses,] quorum hic in comœdia tangebat hominem, ille litem intendebat, tertius nomen deferebat, quartus in eum verba faciebat, reliqui judicabant; hic ita se gessit, ut primo in Aristophanem inveheretur, mediaque in Atheniensium urbe, ipsis Dionysiis, coram ebriis judicibus, comicis contra conviciis hominem proscinderet; illinc in judicium se contulit, ubi verbis cum adversariis velitatus est, prolixaque oratione causam suam ea egit arte, quæ non difficulter judicum deliniret animos; nam et ad captandam curiæ benevolentiam exordia direxit, et ad fidem faciendam narrationes, signis vero argumentisque et similibus rationibus, quod vellet, demonstravit, testes etiam opulentissimos, quorum res fidesque spectata esset judicibus Atheniensibus, in medium adduxit, tum suppliciis, precibus obsecrationibusque orationem conclusit, neque non lacrimas, sicubi esset opus, effudit; Xanthippen postremo ejulantem adduxit: et infantes flebiliter vagientes: quibus omnibus quum animos judicantium tractaret, miserti absolverunt hominem ac dimiserunt?

4. Præclarum, Hercules, victorem! recta videlicet illinc in Lyceum, aut Academiam, reliquasque philosophorum scholas læto hilarique se contulisset vultu, non secus quam qui ex hiberna tempestate redeunt sospites. Quomodo autem ferre eum ad se hujus viri reditum philosophia potuisset? Non magis quam luctatorem sine sudore, sine pulvere, sine

ἀνιδρωτὶ καὶ ἀκονιτὶ στεφανωθέντα, ἄπληκτον, καὶ ἄτρωτον, καὶ μηδὲν ἴχνος ἀρετῆς ἔχοντα. Τίνος δ' ἂν καὶ εἵνεκα ἀπελογήσατο Σωκράτης ἐπ' ἐκείνων τῶν Ἀθηναίων; ὡς ἐπὶ δικαστῶν; ἀλλὰ ἄδικοι· ὡς ἐπὶ φρονίμων; ἀλλὰ ἀνόητοι· ὡς ἐπὶ ἀγαθῶν; ἀλλὰ μοχθηροί· ὡς ἐπὶ εὐμενῶν; ἀλλὰ ὠργίζοντο· ὡς ἐπὶ ὁμοίων; ἀλλὰ ἀνομοιότατοι· ὡς ἐπὶ κρειττόνων; ἀλλὰ χείρους ἦσαν· ὡς ἐπὶ χειρόνων; καὶ τίς κρείττων χείρονι ἀπελογήσατο; Τί δ' ἂν καὶ εἶπεν ἀπολογούμενος; ἆρα ὡς οὐκ ἐφιλοσόφει; ἀλλὰ ἐψεύδετο ἄν· ἢ ὅτι ἐφιλοσόφει; ἀλλὰ ἐπὶ τούτῳ ἐχαλέπαινον.

5. Ἀλλὰ νὴ Δία τούτων μὲν οὐδὲν, ἀπολύεσθαι δ' ἐχρῆν τὴν αἰτίαν, ὡς μήτε διέφθειρε τοὺς νέους, μήτε καινὰ δαιμόνια ἐπεισέφερεν. Καὶ τίς τεχνίτης τὸν ἄτεχνον πείθῃ ὑπὲρ τῶν κατὰ τὴν τέχνην; Ποῦ γὰρ Ἀθηναίοις συνιέναι, τί μὲν διαφθορὰ νέων, τί δὲ ἀρετή; καὶ τί μὲν τὸ δαιμόνιον, πῶς δὲ τιμητέον; Οὐ γὰρ τῷ κυάμῳ λαχόντες δικασταὶ χίλιοι ταῦτα ἐξετάζουσιν, οὐδὲ Σόλων τι ὑπὲρ αὐτῶν γέγραφεν, οὐδὲ οἱ Δράκοντος σεμνοὶ νόμοι· ἀλλὰ κλήσεις μὲν, καὶ φάσεις, καὶ γραφαὶ, καὶ εὔθυναι, καὶ ἀντωμοσίαι, καὶ πάντα τὰ τοιαῦτα ἐν Ἡλιαίᾳ εὐθύνεται, ὥσπερ ἐν ταῖς τῶν παίδων ἀγέλαις αἱ περὶ τῶν ἀστραγάλων διαμάχαι καὶ ῥητορικαὶ, ἀφαιρουμένων ἀλλήλους, καὶ ἀδικούντων καὶ ἀδικουμένων· ἀλήθεια δὲ καὶ ἀρετὴ καὶ βίος ὀρθὸς ἑτέρων δικαστῶν δεῖται, καὶ νόμων ἑτέρων, καὶ ῥητόρων ἑτέρων, ἐν οἷς Σωκράτης ἐκράτει, καὶ ἐστεφανοῦτο, καὶ εὐδοκίμει.

6. Πῶς οὖν οὐκ ἂν ἦν καταγέλαστος γέρων ἀνὴρ καὶ φιλόσοφος συναστραγαλίζων τοῖς παισίν; ἢ τίς πώποτε ἰατρὸς ἔπεισε τοὺς πυρέττοντας, ὅτι ἀγαθὸν τὸ διψῆν καὶ λιμώττειν; ἢ τίς τὸν ἀκόλαστον, ὅτι πονηρὸν ἡδονή; ἢ τίς τὸν χρηματιστὴν, ὅτι οὐδενὸς ἀγαθοῦ ἐφίεται; Ἦ γὰρ ἂν καὶ τοῦτο Σωκράτης οὐ χαλεπῶς ἔπεισε τοὺς Ἀθηναίους, ὡς οὐκ ἔστι διαφθορὰ νέων ἀρετῆς ἐπιτήδευσις, οὐδὲ ἡ τοῦ θείου γνῶσις περὶ δαίμονας παρανομία. Καὶ γὰρ ἤτοι συνηπίσταντο ταῦτα τῷ Σωκράτει, ἢ ὁ μὲν ἠπίστατο, οἱ δὲ ἠγνόουν. Καὶ εἰ μὲν ἠπίσταντο, τί ἔδει λόγων πρὸς τοὺς εἰδότας; εἰ δὲ ἠγνόουν, οὐκ ἀπολογίας αὐτοῖς, ἀλλ' ἐπιστήμης ἔδει. Τὰς μὲν γὰρ ἄλλας ἀπολογίας μάρτυρες ἀποφαίνουσι, καὶ πίστεις, καὶ ἔλεγχοι, καὶ τεκμήρια, καὶ βάσανοι, καὶ ἄλλα τοιαῦτα, ἵνα τὸ ἀφανὲς τέως ἐπὶ δικαστηρίου φωραθῇ· ἀρετῆς δὲ καὶ καλοκἀγαθίας ὁ ἔλεγχος εἷς ἡ πρὸς ταῦτα αἰδὼς, ἧς ἐξεληλαμένης τότε Ἀθήνηθεν, τί ἔδει τῷ Σωκράτει λόγου;

7. Νὴ Δία, ἵνα μὴ ἀποθάνῃ. Ἀλλ' εἰ τοῦτο ἐξ ἅπαντος εὐλαβητέον τῷ ἀγαθῷ ἀνδρὶ, ὥρα ἦν Σωκράτει μὴ τοῖς Ἀθηναίων δικασταῖς ἀπολογεῖσθαι, ἀλλὰ μήτε Μελήτῳ ἀπεχθάνεσθαι, μήτε ἐλέγχειν Ἄνυτον, μήτε παρέχειν πράγματα τοῖς ἁμαρτάνουσιν Ἀθηναίων, μηδὲ περιιέναι τὴν πόλιν, ἐντυγχάνοντα πάσαις ἀνδρῶν καὶ τύχαις καὶ τέχναις καὶ ἐπιτηδεύμασι καὶ ἐπιθυ-

ictibus, aut vulnere e stadio cum corona redeuntem, nec ullum pulchræ virtutis præ se vestigium ferentem, unguento tantum delibutum, palæstræ præfectus. Quare istis autem Atheniensibus causam probare suam conatus esset Socrates? tanquam judicibus scilicet? at injusti erant: tanquam prudentibus? at dementes erant: tanquam viris bonis? at improbi erant: tanquam benevolis? at succensebant Socrati: tanquam similibus? at dissimillimi erant: tanquam melioribus? at deteriores erant: tanquam deterioribus? at quando unquam deteriori causam suam probare conatus est melior? Quid autem pro se in causæ dictione attulisset? philosophum se negasset? mentitus esset: philosophum se confessus esset? hoc ipsum erat cur succenserent.

5. At nihil hercle horum ab eo dicendum fuit, sed diluendum erat crimen; falsum esse nempe, quod aut juventutem corrumperet, aut deos novos induceret. At quis unquam imperito artis ea persuadeat, quæ sine arte ea cognosci non possunt? Unde enim ea Atheniensibus peritia, ut quæ sit corruptela juventutis, quæ virtus, quid sit deus, quo pacto colendus, possent assequi? Neque enim hæc curant mille illi judices, quos faba creavit; nihil de his Solon scripsit; nihil de his venerandæ illæ Draconis præcepere leges; sed in jus vocare, deferre, accusare, rationem facti exposcere, juramentum calumniæ exigere aut præstare, ceteraque ejusmodi, hæc sunt de quibus curia, quam ibi Heliæam dicunt, pronunciat, ut puerorum corona, quando ludentes de talis suis inter se velitantur, quos invicem raptant, alii injuste auferentes, alii injuste amittentes: veritas autem et virtus vitæque probitas alios judices, alias leges, alios postulat patronos; quorum judicio vicit Socrates, coronam accepit, laudem meruit.

6. Quis vero non rideret et senem et philosophum, qui talis cum pueris luderet? aut quis unquam medicus febricitanti persuasit, famem sitimque conducere? aut intemperanti, malum esse voluptatem? aut quæstui intento, non in bonis esse quod petit? Id si posse fieri demus, etiam Socrates facile Atheniensibus persuadere potuit, virtutis cultum corruptelam non esse juvenum, nec qui vere deum noverit, circa deos peccare. Nam aut hæc juxta sciverunt cum Socrate; aut Socrates scivit, illi ignorarunt. Quodsi sciverunt, quid oratione opus fuit ad scientes? sin ignorarunt, non defensione illis opus fuit, sed scientia. Alias enim defensiones, testes, probationes, argumenta, certæ conjecturæ, quæstiones, pluraque ejusmodi, ut de quo dubitabatur in judicio manifesto appareat, evincere solent: virtus vero probitasque unum habet quo se tueatur, sui reverentiam, quæ quum eo tempore Athenis ejecta esset, quid oratione opus fuit Socrati?

7. Imo hercle, ut morti se subduceret. Atqui si omni modo vitanda bono viro mors est, aliud spectandum fuit Socrati; non ut Atheniensium judicibus causam oratione probaret suam, verum ut nec Melitum offenderet, nec Anytum redargueret, nec Atheniensium vitiis bellum indiceret, nec ut tanquam communis vitiorum censor durus et inexorabilis qui nihil humile, nihil blandum, nihil servile

μίαις, σωφρονιστὴν κοινὸν πικρὸν καὶ ἀπαραίτητον, μηδὲν ταπεινὸν, μηδὲ θωπικὸν, μηδὲ ἀνδραποδῶδες, μηδὲ ὑφειμένον πρὸς μηδένα λέγοντα. Εἰ δὲ θανάτου μὲν ἤδη τις καὶ ἐν πολέμῳ κατεφρόνησε, καὶ κυβερνήτης ἐν θαλάττῃ, ὀρέγονται δὲ ἕκαστοι τῶν ἐν ταῖς τέχναις ἀποθνήσκειν καλῶς σὺν τῇ τέχνῃ· ἦπου τὸν φιλόσοφον ἔδει λιποτάκτην γενέσθαι, καὶ λιπόνεων, καὶ φιλόψυχον, ῥίψαντα τὴν ἀρετὴν, ὡς ἐν πολέμῳ ἀσπίδα; Καὶ ταῦτα δρῶντα τίς ἂν αὐτὸν δικαστὴς ἐπῄνεσεν; ἢ τίς ἂν ἠνέσχετο τὸν Σωκράτην ἑστῶτα ἐν δικαστηρίῳ ταπεινὸν καὶ ἐπτηχότα, καὶ τὴν ἐλπίδα τοῦ ζῆν ἐρανιζόμενον παρ' ἄλλων; τοῦτο γάρ που τῆς ἀπολογίας τὸ σχῆμα ἦν. Ἢ λέγειν μὲν ἐχρῆν, ταπεινὸν δὲ οὐδὲν, οὔτε ἐπτηχὸς, οὔτε ὑφειμένον, ἀλλ' ἐλεύθερόν τι καὶ ἄξιον φιλοσοφίας; οὐχ ἀπολογίαν μοι λέγεις, ἀλλ' ὀργῆς ζωπύρωσιν καὶ φλεγμονήν. Πῶς γὰρ ἂν ἤνεγκε τοιαύτην ἀπολογίαν δικαστήριον πονηρὸν καὶ δημοκρατικὸν, καὶ ἐκδεδιῃτημένον ὑπ' ἐξουσίας, καὶ ἀνήκοον παρρησίας, καὶ κολακείᾳ διηνεκεῖ κεχρημένον; οὐ μᾶλλον ἢ ἀκόλαστον συμπόσιον νήφοντα ἄνδρα ἀφαιρούμενον μὲν τὸν κρατῆρα, ἀπάγοντα δὲ τὴν αὐλητρίδα, καθαιροῦντα δὲ τοὺς στεφάνους, παύοντα δὲ τὴν μέθην. Τοιγαροῦν ἐσιώπησεν ὁ Σωκράτης ἀσφαλῶς, ὅπου λέγειν οὐκ ἐξῆν καλῶς, φυλάξας μὲν τὴν ἀρετὴν, φυλαξάμενος δὲ τὴν ὀργὴν, καὶ παρασχὼν τοὔνειδος αὐτοῖς πικρὸν, ὅτι καὶ σιωπῶντος αὐτοῦ κατεδίκασαν.

8. Πάνυ γοῦν ἔδει τοῖς τότε Ἀθηναίων δικασταῖς λόγων. Σωκράτει γὰρ ἑβδομήκοντα μὲν ἐτῶν χρόνος, καὶ ἐν τούτῳ φιλοσοφία καὶ ἀρετὴ διηνεχὴς, καὶ ἄπταιστος βίος καὶ ὑγιὴς, καὶ δίαιτα εἰλικρινὴς, καὶ ὁμιλίαι χρησταὶ, καὶ ἐντεύξεις ὠφέλιμοι, καὶ συνουσίαι ἀγαθαί· ταῦτα μὲν αὐτὸν οὐκ ἐξείλετο ἐκ τοῦ δικαστηρίου, καὶ τοῦ δεσμωτηρίου, καὶ τοῦ θανάτου, ἀμφορεὺς δὲ ἔμελλε διαμετρηθεὶς πρὸς ῥητορείας καιρὸν βραχὺν ῥύσεσθαι τὸν Σωκράτην; Ἀλλ' οὔτε ἠδύνατο, οὔτε δυναμένου ἐδέξατο ἂν ὁ Σωκράτης. Ἄπαγε, ὦ Ζεῦ καὶ θεοὶ, ὅμοιον ὡς εἰ καὶ Λεωνίδην τὸν Σπαρτιάτην ἐκεῖνον ἠξίωσεν ἄν τις παραστὰς τοιοῦτος σύμβουλος ὑποχωρῆσαι βραχὺ, καὶ ἐνδοῦναι τῇ Ξέρξου ἐμβολῇ ὡς σφενδονήτης ὡπλισμένῳ· ὁ δὲ οὐκ ἐδέξατο, ἀλλ' αὐτοῦ κεῖσθαι σὺν τῇ ἀρετῇ καὶ τοῖς ὅπλοις μᾶλλον, ἢ ζῶν δεῖξαι τὰ νῶτα βασιλεῖ βαρβάρῳ. Τί τοίνυν ἦν ἄλλο ἡ Σωκράτους ἀπολογία, ἢ νώτων ἀποστροφὴ, καὶ φυγὴ βλημάτων, καὶ εὐπρεπὴς δειλία; Τοιγαροῦν ἔμεινε, καὶ τὴν ἐμβολὴν ἐδέξατο, καὶ ἠρίστευσεν· Ἀθηναῖοι δὲ ᾤοντο αὐτοῦ καταψηφίζεσθαι. Καὶ γὰρ Ξέρξης ᾤετο νικᾶν Λεωνίδην, ἀλλὰ Λεωνίδης μὲν ἀπέθνησκε, Ξέρξης δὲ ἡττᾶτο· καὶ Σωκράτης μὲν ἀπέθνησκεν, Ἀθηναῖοι δὲ κατεδικάζοντο, δικαστὴς δὲ ἦν αὐτοῖς θεὸς καὶ ἀλήθεια. Ἡ δὲ Σωκράτους κατὰ Ἀθηναίων γραφή· Ἀδικεῖ ὁ Ἀθηναίων δῆμος, οὓς μὲν Σωκράτης νομίζει θεοὺς, οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια ἐπεισφέρων· Σωκράτης μὲν γὰρ νομίζει Ὀλύμπιον τὸν Δία, Ἀθη-

aut demissum insusurraret cuiquam, totam circumiret urbem, hominumque cujuscunque generis fortunas, artes, instituta ac libidines examinaret libere. Quodsi miles sæpe aliquis mortem in bello contempsit, gubernator in mari, nec quisquam, qui in munere versatur aliquo, plus optat, quam ut mortem ei muneri convenientem cum laude oppetat : soline pulchrum erit philosopho ordinem in terra, classem in mari deserere, vitæque conservandæ causa virtutem non aliter, quam in bello clypeum abjicere? Hoc factum ejus quis laudasset judex? quis autem ferre potuisset stantem in senatu Socratem humilem, dejectum, vitæque suæ spem ab aliis emendicantem? neque enim alius defensionis fuisset habitus. Nisi quis putet dicendum quidem fuisse, sed humile nihil, nihil submissum, aut abjectum; sed liberum aliquid, sed philosophia dignum. Non defensionem mihi narras, sed iræ irritationem, et flabellum. Quomodo enim defensionem ejusmodi sustinuisset tribunal improbum, populare, nimia corruptum licentia, quod vix nomen libertatis norat amplius, et diuturnæ adulationi penitus insuerat? non magis quam ebrii homines virum ferrent in convivio sobrium pocula auferre sibi, tibicinam abducere, coronas eripere, ebrietatis denique causas præcidere. Tacuit igitur tuto Socrates, ubi loqui non poterat honeste : hac ratione virtutem servavit sibi integram, iram compressit, fœdamque illis labem inussit, etiam tacentem judicio damnare ausis.

8. Profecto vehementer necessaria apud illos tum judices Athenienses erat oratio. Annos septuaginta habebat Socrates, per quos in ipso conspiciebantur philosophia et virtus perpetua, vita sana et sine labe, victus purus, consuetudo proba, compellationes omnibus utiles, et amicitiæ integerrimæ : hæc omnia nec a judicum sententia, nec a vinculis, nec a morte eum vindicarunt; aquæ vero hydria, breve orationis spatium datura, absolvisset Socratem? Sed nec poterat illa hoc; nec si potuisset, admisisset Socrates. Averte, o Juppiter et omnes dii! hoc enim tale est, ut si quis consiliarius ejusmodi Leonidam illum Spartiatam adiisset, suasissetque ut paullum recederet, et primum Xerxis impetum, ut funditor gravis armaturæ militem, vitaret : at ille nihil audivisset, credo, sed ibidem cum virtute sua et armis terram mordere, quam superstes regi barbaro monstrare tergum maluisset. Quid ergo aliud futura erat Socratis defensio, quam tergum obvertere, quam fugere jacula, quam timor speciosus? Mansit igitur, impetum excepit, strenue rem gessit. Athenienses interim existimarunt damnatum a se Socratem, sicut victum a se Xerxes Leonidam. Atqui, Hercule, cecidit Leonidas, victus autem est Xerxes; mortuus est Socrates, damnati autem fuerunt Athenienses; judex eorum deus fuit et veritas. Accusatio vero, quam Atheniensibus intendit Socrates, hæc est : Peccant Athenienses, quoniam, quos putat Socrates deos, ipsi negant, aliosque novosque inducunt : Socrates enim Jovem Olympium existimat, Athenien-

ναῖοι δὲ Περικλέα· καὶ Σωκράτης μὲν πιστεύει τῷ Ἀπόλλωνι, Ἀθηναῖοι δὲ αὐτῷ ἀντιψηφίζονται. Ἀδικεῖ δὲ ὁ δῆμος καὶ τοὺς νέους διαφθείρων· οὗτος καὶ Ἀλκιβιάδην διέφθειρε, καὶ Ἱππόνικον, καὶ Κριτίαν, καὶ ἄλλους μυρίους. Ὦ γραφῆς ἀληθοῦς, καὶ δικαίου δικαστηρίου, καὶ καταδίκης πικρᾶς. Ὑπὲρ μὲν Διὸς ἀσεβουμένου λοιμὸς ἦλθε καὶ ἐκ Πελοποννήσου πόλεμος· ὑπὲρ δὲ νέων διαφθειρομένων Δεκέλεια, καὶ ἡ ἐν Σικελίᾳ τύχη, καὶ αἱ ἐν Ἑλλησπόντῳ συμφοραί. Οὕτω δικάζει θεὸς, οὕτω καταψηφίζεται.

ΛΟΓΟΣ Ι'.

Τίνες ἄμεινον περὶ θεῶν διέλαβον, ποιηταὶ ἢ φιλόσοφοι.

1. Δεινῶς γε οἱ ἄνθρωποι στασιωτικοὶ οὐ μέχρι πολιτείας μόνον, οὐδὲ ἀρχῆς, οὐδὲ τῶν ἐν μέσῳ κακῶν, ἀλλὰ καὶ ἐπὶ τὰ εἰρηνικώτατα τῶν ὄντων προεληλύθασι, ποιητικὴν καὶ φιλοσοφίαν. Χρῆμα διττὸν μὲν κατὰ τὸ ὄνομα, ἁπλοῦν δὲ κατὰ τὴν οὐσίαν, καὶ διαφέρον οὐδὲν ἑαυτοῦ· οἷον εἴ τις ἢ τὴν ἡμέραν ἄλλο τι ἡγήσαιτο πλὴν ἡλίου φῶς πῖπτον εἰς γῆν, ἢ τὸν ἥλιον ὑπὲρ γῆς θέοντα ἄλλο τι ἢ ἡμέραν· οὕτω τοι καὶ τὰ ποιητικῆς πρὸς φιλοσοφίαν ἔχει. Καὶ γὰρ ποιητικὴ τί ἄλλο ἢ φιλοσοφία, τῷ μὲν χρόνῳ παλαιὰ, τῇ δὲ ἁρμονίᾳ ἔμμετρος, τῇ δὲ γνώμῃ μυθολογική; καὶ φιλοσοφία τί ἄλλο ἢ ποιητικὴ, τῷ μὲν χρόνῳ νεωτέρα, τῇ δὲ ἁρμονίᾳ εὐζωνοτέρα, τῇ δὲ γνώμῃ σαφεστέρα; Δύο τοίνυν πραγμάτων χρόνῳ μόνον καὶ σχήματι ἀλλήλοις διαφερομένων πῶς ἄν τις διαιτήσαι τὴν διαφορὰν ἐν οἷς τι περὶ τοῦ θείου ἑκάτεροι λέγουσι καὶ οἱ ποιηταὶ καὶ οἱ φιλόσοφοι;

2. Ἦ τὸ σκέμμα τουτὶ ἐοικέναι φῶμεν τοιῷδε, οἷον εἴ τις καὶ ἰατρικὴν ἐνθυμηθεὶς τὴν πρώτην ἐκείνην πρὸς τὴν νέαν δὴ καὶ τοῖς νῦν σώμασιν ἐπιτεταγμένην, σκοποῖ τὸ ἐν ἑκατέρᾳ βέλτιον καὶ χεῖρον; Ἀποκρίναιτο γὰρ ἂν αὐτῷ ὁ Ἀσκληπιὸς, ὅτι τὰς μὲν ἄλλας τέχνας οὐ μεταποιοῦσιν οἱ χρόνοι (ὧν γὰρ ἡ αὐτὴ χρεία, ἀεὶ τούτων παραπλήσια καὶ τὰ ἔργα), ἰατρικὴν δὲ, ἣν χρὴ ἑπομένην τῇ κράσει τῶν σωμάτων, πράγματι οὐχ ἑστῶτι οὐδὲ ὡμολογημένῳ, ἀλλὰ ταῖς κατὰ τὴν δίαιταν τροφαῖς ἀλλοιουμένῳ καὶ μεταπίπτοντι, ἰάματα καὶ διαίτας αὐτῶν ἐξευρίσκειν ἄλλοτε ἄλλας, προσφόρους τῇ παρούσῃ τροφῇ. Μηδὲν οὖν ἡγοῦ τοὺς υἱέας τοὺς ἐμοὺς, τὸν Μαχάονα ἐκεῖνον καὶ τὸν Ποδαλείριον, ἧττόν τι εἶναι δεξιωτέρους ἰᾶσθαι τῶν αὖθις ἐπιτιθεμένων τῇ τέχνῃ, καὶ τὰ σοφὰ ταῦτα καὶ παντοδαπὰ ἰάματα ἐξευρηκότων· ἀλλὰ τότε μὲν ἡ τέχνη σώμασιν ὁμιλοῦσα οὐ θρυπτικοῖς, οὐδὲ ποικίλοις, οὐδὲ ἐκλελυμένοις πάντάπασι, ῥᾳδίως αὐτὰ μετεχειρίζετο, καὶ ἦν αὐτῆς ἔργον τι ἁπλοῦν

ἰούς τ' ἐκτάμνειν, ἐπί τ' ἤπια φάρμακα πάσσειν·

ses Periclem; Socrates credit Apollini, Athenienses contra judicium ejus calculum ferunt. Peccat et populus, quum juventutem corrumpit; hic est qui Alcibiadem pervertit, qui Hipponicum, qui Critiam, aliosque infinitos. O accusationem veram! o judicium æquum! o sententiam acerbam! Impietatem populi in Jovem optimum maximum pestis et illatum a Peloponnesiis bellum persecuta sunt; corruptelam juventutis Decelia et illa in Sicilia Hellespontoque calamitas. Ita judicat deus, ita condemnat.

DISSERTATIO X.

Utri melius de diis senserint, poetæ an philosophi.

1. Libentissime inter se contendunt homines, non de republica tantum, aut imperio, reliquisque quæ in medio versantur malorum; verum ita, ut nec a rebus omnium tranquillissimis abstinendum putaverint, poetice, dico, et philosophia. Quæ duo quidem sunt, nomen si species; unum, si essentiam et rem ipsam, adeo ut per se nihil differat: ut si quis aut diem aliud esse existimet quam solis lucem defluentem in terras, aut solis cursum supra terram aliud quam diem; eodem modo ad philosophiam se habet poetice. Quid enim aliud poetice est quam philosophia, tempore vetustior, harmonia metrica, argumento fabulosa? aut quid aliud philosophia quam poetice, tempore recentior, harmonia expeditior, argumento apertior? Inter hæc duo ergo, quæ tempore tantum inter se ac forma externa differunt, quisnam differentiam in iis, quæ de rebus divinis tradunt et poetæ et philosophi, dijudicet?

2. An similem hanc quæstionem esse dicemus, ac si quis medicinam illam primam cum hodierna, qua in curandis hujus ætatis corporibus medici utuntur, collatam consideret vitiaque utriusque inter se et virtutes contendat? Ad hanc quæstionem responderet Æsculapius, reliquas artes non mutari temporibus (quorum enim idem usus est, eadem aut similia semper sunt opera), sed medicinam mutari, quam temperamenta sequi corporum oporteat, rem nec diuturnam nec definitam, sed quæ alimentis quotidianis eorumque variatione semper mutetur, et remedia victusque rationem, prout præsentia requirunt alimenta, aliam atque aliam semper excogitare. Quare existimare noli meos illos filios, Machaonem Podaliriumque, minus quam ætatis posterioris et nostræ medicos, a quibus tam multa ac præclara remedia inventa sunt, in arte sua excelluisse: sed illo tempore quæ tractabant, minus delicata, minus varia, minus dissoluta erant corpora; quare et facilior eorum cura erat, neque aliud artis medicæ opus, quam

tollere corporibus jaculum, vulnusque fovere:

τελευτῶσα δὲ νῦν, ὑπολισθαινόντων αὐτῇ τῶν σωμάτων εἰς δίαιταν ποικιλωτέραν καὶ κρᾶσιν πονηράν, ἐξεποικίλθη τε καὶ αὐτή, καὶ μετέβαλεν ἐκ τῆς πρόσθεν ἁπλότητος εἰς παντοδαπὸν σχῆμα.

3. Φέρε καὶ ὁ ποιητικὸς ὁμοῦ καὶ ὁ φιλόσοφος ἀποκρινάσθω κατὰ τὸν Ἀσκληπιὸν ὑπὲρ τῶν ἐπιτηδευμάτων· οὗτος μὲν καὶ ἄγαν δεινοπαθῶν, εἴ τις ἡγήσαιτο Ὅμηρον καὶ Ἡσίοδον, ἢ, νὴ Δία, Ὀρφέα, ἢ ἄλλον τινὰ τῶν τότε ἀνδρῶν, ἧττόν τι εἶναι σοφώτερον Ἀριστοτέλους τοῦ Σταγειρίτου, ἢ Χρυσίππου τοῦ Κίλικος, ἢ Κλειτομάχου τοῦ Λίβυος, ἢ τῶν τὰ πολλὰ καὶ σοφὰ ταῦτα ἡμῖν ἐξευρηκότων· ἀλλὰ οὐχὶ καὶ τούτους ὁμοίως μὲν καὶ τὰ αὐτὰ δεινούς, εἰ μὴ καὶ μᾶλλον. Καθάπερ δὲ ἐπὶ τῶν σωμάτων, τὰ μὲν ἀρχαῖα ὑπὸ διαίτης χρηστῆς εὐμεταχείριστα ἦν τῇ τέχνῃ, τὰ δὲ αὖθις ἐδεήθη ἰατρικῆς ἀλλοιοτέρας· οὕτω καὶ ἡ ψυχὴ πρότερον μὲν δι' ἁπλότητα καὶ τὴν καλουμένην ταύτην εὐήθειαν ἐδεῖτο φιλοσοφίας μουσικῆς τινος καὶ πρᾳοτέρας, ἣ διὰ μύθων δημαγωγήσει αὐτὴν καὶ μεταχειριεῖται, καθάπερ αἱ τιτθαὶ τοὺς παῖδας διὰ μυθολογίας βαυκαλῶσι· προϊοῦσα δὲ εἰς δεινότητα, καὶ ἀνδριζομένη καὶ ὑποπιμπλαμένη ἀπιστίας καὶ πανουργίας, καὶ τοὺς μύθους διερευνωμένη, καὶ οὐκ ἀνεχομένη τῶν αἰνιγμάτων, ἐξεκάλυψέ τε καὶ ἀπέδυσε φιλοσοφίαν τοῦ αὑτῆς κόσμου, καὶ ἐχρήσατο γυμνοῖς τοῖς λόγοις· οἱ δ' εἰσὶν οὐδὲν ἀλλοιότεροι τῶν προτέρων οἱ ἔπειτα, πλὴν τῷ σχήματι τῆς ἁρμονίας, ἀλλ' αἱ περὶ θεῶν δόξαι ἀρξάμεναι ἄνωθεν διὰ πάσης φιλοσοφίας ἦλθον.

4. Ἐπίκουρον δὲ ἐξελῶ λόγου καὶ ποιητικοῦ καὶ φιλοσόφου, τοῖς δὲ ἄλλοις ἡ πραγματεία ἴση καὶ ἡ αὐτή· πλὴν εἰ μὴ νομίζεις Ὅμηρον ἐντετυχηκέναι τοῖς θεοῖς τοξεύουσιν, ἢ διαλεγομένοις, ἢ θύουσιν, ἤ τι ἄλλο δρῶσιν, οἷα περὶ αὐτῶν ἐκεῖνος ᾄδει. Οὐδὲ γὰρ Πλάτωνα ἡγητέον ἐντετυχηκέναι τῷ Διὶ ἡνιοχοῦντι καὶ φερομένῳ ἐπὶ πτηνοῦ ἅρματος, οὐδὲ στρατιᾷ θεῶν κατὰ ἕνδεκα λόχους κεκοσμημένῃ, οὐδέ γε δαινυμένοις τοῖς θεοῖς ἐν Διὸς τοὺς Ἀφροδίτης γάμους, ὅτε Πόρος καὶ Πενία λαθόντε ξυνηλθέτην τε καὶ Ἔρωτα ἐξ αὐτῶν ἐγεννησάτην· οὐδέ γε θεατὴν γενέσθαι Πυριφλεγέθοντός τε, καὶ Ἀχέροντος, καὶ Κωκυτοῦ, καὶ τῶν ἄνω καὶ κάτω ποταμῶν ῥεόντων ὕδατι καὶ πυρί· οὐδὲ τὴν Κλωθὼ ἰδεῖν καὶ τὴν Ἄτροπον, οὔτε ἐντετυχηκέναι ἑλιττομένῳ τῷ ἀτράκτῳ ἑπτὰ καὶ διαφόρους ἑλιγμούς. Ἀλλὰ καὶ τοῦ Συρίου τὴν ποίησιν σκόπει, τὸν Ζῆνα, καὶ τὴν Χθονίην, καὶ τὸν ἐν τούτοις Ἔρωτα, καὶ τὴν Ὀφιονέως γένεσιν, καὶ τὴν θεῶν μάχην, καὶ τὸ δένδρον, καὶ τὸν πέπλον· σκόπει καὶ τὸν Ἡράκλειτον, θεοὶ θνητοί, ἄνθρωποι ἀθάνατοι.

5. Πάντα μεστὰ αἰνιγμάτων, καὶ παρὰ ποιηταῖς, καὶ παρὰ φιλοσόφοις· ὧν ἐγὼ τὴν πρὸς τὸ ἀληθὲς αἰδῶ ἀγαπῶ μᾶλλον, ἢ τὴν παρρησίαν τῶν νεωτέρων· πραγμάτων γὰρ ὑπ' ἀνθρωπίνης ἀσθενείας οὐ καθορωμένων σαφῶς, εὐσχημονέστερος ἑρμηνεὺς ὁ μῦθος. Ἐγὼ δὲ

tandem vero, vario victui quum indulgerent corpora, minusque jam ob id bene temperata essent, ipsa quoque et varias ars formas induit, et pro simplicitate illa sua quoslibet assumpsit modos.

3. Agedum ergo instituti sui eodem cum Æsculapio modo rationem et poeta reddat, et philosophus : et ille quidem gravissimam fieri sibi dicat injuriam, si quis aut Homerum, aut Hesiodum, aut Orpheum, medius fidius, aliumve aliquem ævi illius hominem, minus, quam aut Stagiritam Aristotelem, aut Cilicem Chrysippum, aut Libycum Clitomachum, aliosque, qui tam multa postea ac præclara in philosophia nobis inventa tradiderunt, sapientes fuisse contendat; sed et illos non minus, nisi forte magis etiam, in iisdem illis excelluisse. Sicut autem antiqua illa victu suo solido et simplici facilius arti locum relinquebant, quæ post ea secuta sunt, varietate medicinæ opus habuerunt corpora : ita et animæ olim simplicitas, aut ut hi homines dicerent, ruditas, philosophiam requirebat musicam, magisque lenem, quæ fabularum eos jucunditate duceret et tractaret, ut alumnos suos nutriculæ fabulis sopiunt; mox processu temporis, una cum ætate facta acutior, virilem ætatem assecuta, missa simplicitate, diffidens penitus ac vafra, in fabulas inquirere cœpit, nec amplius obscuritatem illam ferre, sed velum philosophiæ detraxit, philosophiam mundo suo exuit, nudisque agebat verbis : ita ut a prioribus posteriora, nisi solo harmoniæ modo, non differant; quæ enim de diis traduntur antiquitus inventa, per totam postea philosophiam transierunt.

4. Præter Epicurum, quem unum excipio nec poetis merito nec philosophis annumerandum, una eademque omnibus agendi est ratio : nisi forte Homerum deos aut jaculantes, aut disserentes, [aut compotantes,] aut simile quid agentes invenisse existimes, qualia infinita de iis canit. Quin ne Platonem quidem existima invenisse Jovem aurigantem, volucrique vehentem curru, aut exercitum deorum undecim in acies distributum, aut deorum in Jovis domo convivia, quum Veneris nuptias celebrarent, et Porus Peniaque furtim congressi Amorem genuerunt; nec Pyriphlegethontem spectasse, et Acherontem, et Cocytum, aliosque qui sursum deorsumque ignem volvunt et aquam fluvios; non Clotho vidisse et Atropon, nec in eorum fuso, dum vertitur, septem illas diversas invenisse revolutiones. Sed et totam Syrii illius (Pherecydis) inspice poesin, Jovem, et Chthoniam, atque Amorem in illis; tum generationem Ophionei, pugnamque deorum, et arborem illam, ac peplum. Inspice et Heraclitum; deos mortales, homines immortales invenies.

5. Ænigmatum denique tam apud poetas, quam apud philosophos, plena sunt omnia; quorum ego occultam in tradenda veritate reverentiam pluris, quam recentiorum facio liberam audaciam; eorum enim, quæ ob imbecillitatem suam humana intueri perspicue nequit natura, decentior in-

εἰ μέν τι πλέον ἐθεάσαντο τῶν προτέρων οἱ ἔπειτα, μακαρίζω τοὺς ἄνδρας τῆς θέας· εἰ δὲ μηδενὶ πλεονεκτοῦντες κατὰ τὴν γνῶσιν, μετέβαλον αὐτῶν τὰ αἰνίγματα εἰς μύθους σαφεῖς, δέδια μή τις αὐτῶν ἐπιλάβηται ὡς ἐξαγορευόντων ἀπορρήτους λόγους. Τί γὰρ ἂν ἄλλο εἴη μύθου χρεία, ἢ λόγος περισκεπὴς ἑτέρῳ κόσμῳ; καθάπερ τὰ ἱδρύματα, οἷς περιέβαλλον οἱ τελεσταὶ χρυσὸν καὶ ἄργυρον καὶ πέπλους, ταύτῃ ἀποσεμνύνοντες αὐτῶν τὴν προσδοκίαν. Θρασεῖα γὰρ οὖσα ἡ ἀνθρωπίνη ψυχὴ, τὰ μὲν ἐν ποσὶν ἧσσον τιμᾷ, τοῦ δὲ ἀπόντος θαυμαστικῶς ἔχει· καταμαντευομένη δὲ τῶν οὐχ ὁρωμένων καὶ θηρεύουσα ταῦτα τοῖς λογισμοῖς, μὴ τυχοῦσα μὲν σπεύδει ἀνευρεῖν, τυχοῦσα δὲ ἀγαπᾷ ὡς ἑαυτῆς ἔργον.

6. Τοῦτο τοίνυν οἱ ποιηταὶ κατανοήσαντες, ἐξεῦρον ἐπ' αὐτῇ μηχανὴν ἐν τοῖς θείοις λόγοις, μύθους λόγου μὲν ἀφανεστέρους, αἰνίγματος δὲ σαφεστέρους, διὰ μέσου ὄντας ἐπιστήμης πρὸς ἄγνοιαν· κατὰ μὲν τὸ ἡδὺ πιστευομένους, κατὰ δὲ τὸ παράδοξον ἀπιστουμένους, καὶ χειραγωγοῦντας τὴν ψυχὴν ἐπὶ τὸ ζητεῖν τὰ ὄντα, καὶ διερευνᾶσθαι περαιτέρω. Ἔλαθον μέχρι πλείστου οἱ ἄνδρες οὗτοι, ἐπιβουλεύσαντες ἡμῶν ταῖς ἀκοαῖς, φιλόσοφοι μὲν ὄντες, ποιηταὶ δὲ καλούμενοι, ἀλλαξάμενοι χρήματος ἐπιφθόνου δημοτερπῆ τέχνην. Ὁ μὲν γὰρ φιλόσοφος βαρὺ καὶ πρόσαντες τοῖς πολλοῖς ἄκουσμα, ὡς ἐν πένησιν ὁ πλούσιος θέαμα βαρὺ, καὶ ἐν ἀκολάστοις ὁ σώφρων, καὶ ἐν δειλοῖς ἀριστεύς· οὐ γὰρ ἀνέχονται αἱ πονηρίαι τὰς ἀρετὰς ἐν αὐταῖς καλλωπιζομένας· ὁ δὲ ποιητὴς ἄκουσμα ἁβρὸν καὶ δήμῳ φίλον, ἀγαπώμενον μὲν καθ' ἡδονὴν, ἀγνοούμενον δὲ κατὰ τὴν ἀρετήν· καθάπερ δὲ οἱ ἰατροὶ τοῖς κακοσίτοις τῶν καμνόντων τὰ πικρὰ τῶν φαρμάκων ἀναδεύσαντες προσηνεῖ τροφῇ, ἀπέκρυψαν τὴν τοῦ ὠφελοῦντος ἀηδίαν· οὕτω καὶ ἡ παλαιὰ φιλοσοφία καταθεμένη τὴν αὐτῆς γνώμην εἰς μύθους καὶ μέτρα καὶ σχῆμα ᾠδῆς, ἔλαθε τῇ περιβολῇ τῆς ψυχαγωγίας κεράσασα τὴν ἀηδίαν τῶν διδαγμάτων.

7. Μὴ τοίνυν ἔρῃ, πότεροι κρεῖττον περὶ θεῶν διειλήφασι, ποιηταὶ ἢ φιλόσοφοι· ἀλλὰ σπονδὰς καὶ ἐκεχειρίαν τοῖς ἐπιτηδεύμασι ποιησάμενος, ὡς περὶ μιᾶς καὶ ὁμοφώνου τέχνης σκόπει· κἂν γὰρ ποιητὴν καλῇς, φιλόσοφον λέγεις· κἂν φιλόσοφον καλῇς, ποιητὴν λέγεις. Καὶ γὰρ ἀριστεῖς καλεῖς ὁμοίως μὲν τὸν Ἀχιλλέα μετὰ χρυσῆς καὶ ποιητικῆς ἀσπίδος στρατευόμενον, ὁμοίως δὲ καὶ τὸν Αἴαντα, κἂν ἐκ βύρσης φέρῃ σάκος· ἀμφότερα δὲ ἀριστευτικὰ καὶ ἐκπληκτικὰ ὁμοίως ἡ ἀρετὴ ποιεῖ, καὶ οὐδὲν ἐνταῦθα ὁ χρυσὸς πρὸς τὴν βύρσαν. Εἴκαζε δὴ κἀνταῦθα τὰ μὲν μέτρα καὶ τὴν ᾠδὴν χρυσῷ, τὸν δὲ ψιλὸν λόγον ὕλῃ δημοτικῇ· σκόπει δὲ μήτε τὸν χρυσὸν, μήτε τὴν βύρσαν, ἀλλὰ τὴν ἀρετὴν τοῦ χρωμένου. Ἀληθῆ λεγέτω, κἂν ποιητὴς λέγῃ, κἂν μῦθον λέγῃ, κἂν ᾄδων λέγῃ, ἕψομαι τοῖς αἰνίγμασι, καὶ διερευνήσομαι τὸν μῦθον, καὶ οὐκ ἐκστήσει με ἡ

terpres est fabula. Quodsi plus prioribus illis posteriores hi viderunt, gratulor hanc illis scientiam: sin nihilo plus quum sciverint, ænigmata tamen illorum in manifestius dicendi converterint genus; vereor ne quis reprehendere eos possit, quod occultas sacrasque evulgaverint scientias. Quid enim aliud sibi vult fabula, quam ut alio orationem circumtegat ornatu? non aliter quam mystæ solent auro argentoque ac vestibus suas induere imagines, quo majorem de iis exspectationem concitent. Ea enim humanæ mentis imprudentia est, ut, quæ omnibus exposita sunt, minoris faciat; quæ abstrusa, vehementer admiretur: res enim occultas conjectura solet aggredi, rationisque investigare beneficio, quas, priusquam invenit, studiose quærit; postquam invenit, tanquam suum opus amat.

6. Quod quum non fugeret poetas, ad tractandas res divinas invenerunt modum humanæ menti aptum, ipsam nimirum fabulam, quæ directa oratione minus perspicua, ænigmate dilucidior, in medio scientiæ esset atque ignorantiæ; ut partim crederetur, quod jucunda esset, partim non crederetur, quod miraculosa narraret, animumque semper ad rem ipsam ulterioremque investigationem tanquam manu deduceret. Atque illi ad tempus quidem non exiguum his quasi insidiis aures clam detinuerunt nostras, philosophi re, poetæ autem nomine, qui rem invidiosam suavissima temperabant arte, quæ simul esset popularis. Gravis enim molestaque est vulgo auditio sermonis philosophi, sicut inter pauperes dives ægre spectatur, inter intemperantes temperans, inter timidos vir fortis; nec enim in regno suo virtutem se efferre æquis fert animis improbitas: poetam vero audire jucundum vulgoque gratum est; in quo ut voluptatem amamus, ita virtutem, quæ latet, non satis intelligimus. Sicut autem ægris fastidientibus amara medicamina dulcedine aliqua imbuunt medici, quo salubris remedii acerbitatem occultent; ita et antiqua sapientia dum fabulis ac metris carminumque modulis sensus condit suos, jucunditate inducta illam præceptorum clam temperat acerbitatem.

7. Noli igitur quærere, utrum de diis melius poetæ an philosophi statuerint; quin potius inducias fac, fœdusque inter hasce duas feri facultates, neve aliter quam unam eandemque artem considera: sive enim poetam vocas, philosophum dicis; sive philosophum vocas, dicis poetam. Sicut utrumque virum fortem vocas, Achillem, qui aureo illo et poetice exornato militat clypeo, et Ajacem, quamvis e corio gestet scutum; quia et hunc et illum æque rei fortiter gerendæ aptum, æque metuendum virtus facit, nec aurum ibi plus valet corio. Compara hic etiam mensuram et modulationem cum auro, cum vulgari materia sermonem pedestrem: sed oculos neque in aurum neque in corium defigas; virtutem illius qui ea gerit, spectato unice. Vera dicat poeta, quamvis poetice dicat, quamvis fabulam dicat, quamvis carmine dicat, persequar obscuritatem ænigmatum, investigabo fabulam, neque me de veritatis via indaganda

ᾠδῇ· ἀληθῆ λεγέτω, κἂν ψιλῶς λέγῃ, δέξομαι καὶ ἀγαπήσω τὴν ῥᾳστώνην τῶν ἀκουσμάτων· ἐὰν δὲ ἀφέλῃς ἑκατέρου τὸ ἀληθὲς, καὶ τοῦ ποιητοῦ καὶ τοῦ φιλοσόφου, ἄμουσον μὲν τὴν ᾠδὴν ποιεῖς, μῦθον δὲ τὸν λόγον· ἄνευ δὲ τοῦ ἀληθοῦς μήτε μύθῳ ποιητοῦ διαπιστεύσῃς τὸ πάμπαν, μήτε φιλοσόφου λόγῳ.

8. Καὶ γὰρ Ἐπίκουρος λέγει μὲν λόγους, ἀλλὰ μύθων ἀτοπωτέρους· ὥστε ἔγωγε πιστεύω μᾶλλον Ὁμήρῳ περὶ Διὸς λέγοντι, ὅτι ψυχὰς δυοῖν ἀριστέοιν ἐπὶ πλάστιγγος χρυσῆς ἐταλάντευε,

Τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἀνδροφόνοιο,

ἀνατείνας τὰ ζυγὰ τῇ δεξιᾷ· ὁρῶ γὰρ τὴν εἱμαρμένην τῶν ἀνδρῶν συναπονεύουσαν τῇ Διὸς δεξιᾷ·

Οὐ γὰρ ἐμὸν παλινάγρετον, οὐδ' ἀπατηλὸν,
οὐδ' ἀτελεύτητον, ὅ, τι κεν κεφαλῇ κατανεύσω.

Αἰσθάνομαι τῶν Διὸς νευμάτων· διὰ τούτων γῆ μένει, καὶ ἀναχεῖται θάλαττα, καὶ ἀὴρ διαρρεῖ, καὶ πῦρ ἄνω θεῖ, καὶ οὐρανὸς περιφέρεται, καὶ ζῷα γίνεται, καὶ δένδρα φύεται· τῶν Διὸς νευμάτων ἔργα καὶ ἀνθρώπου ἀρετὴ καὶ εὐδαιμονία. Συνίημι δὲ καὶ Ἀθηνᾶς, νῦν μὲν τῷ Ἀχιλλεῖ ξυνισταμένης καὶ ἀπαγούσης τοῦ θυμοῦ τὸν ἄνδρα καὶ σπώσης ὀπίσω, νῦν δὲ τῷ Ὀδυσσεῖ παρισταμένης

ἐν πάντεσσι πόνοισι.

Ξυνίημι καὶ τοῦ Ἀπόλλωνος, τοξότης ὁ θεὸς καὶ μουσικός· καὶ φιλῶ μὲν αὐτοῦ τὴν ἁρμονίαν, φοβοῦμαι δὲ τὴν τοξείαν. Σείει δὲ καὶ Ποσειδῶν γῆν τριστόμῳ δόρατι, ξυνάγει καὶ Ἄρης στρατοπέδων τάξεις, καὶ ὁ Ἥφαιστος χαλκεύει· ἀλλ' οὐχ Ἀχιλλεῖ μόνῳ, πάσῃ διαπύρῳ χρείᾳ συντάττεται καὶ συνεργάζεται. Ταῦτα μὲν οἱ ποιηταὶ λέγουσι, ταῦτα δὲ καὶ οἱ φιλόσοφοι λέγουσιν· ὧν ἂν μεταβάλῃς τὰ ὀνόματα, εὑρήσεις τὴν ὁμοιότητα, καὶ γνωριεῖς τὸ διήγημα. Κάλει τὸν μὲν Δία νοῦν πρεσβύτατον καὶ ἀρχικώτατον, ᾧ πάντα ἕπεται καὶ πειθαρχεῖ· τὴν δὲ Ἀθηνᾶν, φρόνησιν· τὸν δὲ Ἀπόλλω, ἥλιον· τὸν δὲ Ποσειδῶ, πνεῦμα διὰ γῆς καὶ θαλάττης ἰὸν, οἰκονομοῦν αὐτῶν τὴν στάσιν καὶ τὴν ἁρμονίαν.

9. Κἂν ἐπὶ τὰ ἄλλα ἴῃς, εὑρήσεις πάντα μεστὰ, παρὰ μὲν τοῖς ποιηταῖς ὀνομάτων, παρὰ δὲ τοῖς φιλοσόφοις λόγων. Τὰ δὲ Ἐπικούρου τίνι μύθων εἰκάσω; τίς οὕτω ποιητὴς ἀργὸς καὶ ἐκλελυμένος καὶ θεῶν ἄπειρος; Τὸ ἀθάνατον οὔτε αὐτὸ πράγματα ἔχει, οὔτε ἄλλῳ παρέχει. Τίς μοι γένηται τοιοῦτος μῦθος; πῶς ἀναπλάσω τὸν Δία; τί δρῶντα, καὶ τί βουλευόμενον, καὶ ποίαις ἡδοναῖς συνόντα; Πίνει μὲν καὶ παρ' Ὁμήρῳ ὁ Ζεὺς, ἀλλὰ καὶ δημηγορεῖ, καὶ βουλεύεται, ὡς ἡ τῶν περὶ τὴν Ἀσίαν πραγμάτων χορηγία ἐκ βασιλέως ῥεῖ, καὶ ἡ τῶν Ἑλληνικῶν πραγμάτων χορηγία ἐκ τῆς Ἀθηναίων ἐκκλησίας ῥεῖ· βουλεύεται γὰρ ὑπὲρ μὲν

abducet carmen; vera dicat et philosophus, quamvis oratione nuda dicat, amabo amplectarque parabile hoc dicendi genus : si vero utrique veritatem et poetæ demas et philosopho, carmen removes a Musis; orationem facis fabulosam : sine veritate autem nec fabulæ prorsus poeticæ, neque orationi credas philosophicæ.

8. Oratione etiam Epicurus utitur, sed quæ omnem fabulæ absurditatem superet : quo fit ut magis ego Homero credam, quum Jovem duorum ait fortissimorum animas heroum lance aurea librasse,

Hectoris, atque tuam pariter, fortissime Achille,

dextraque jugum sustulisse : video enim fatum virorum pariter cum Jovis dextra nutare;

Nec enim mutabitur unquam,
quod capite annuero, nec falsum fine carebit.

Nutum Jovis intelligo, cujus beneficio terra stat immota, mare diffunditur, aer per omnia fluit, ignis sursum abit, cœlum in orbem versatur, creantur animalia, nascuntur arbores; nutus ejusdem opus etiam humana virtus est ac felicitas. Sic et Minervam agnosco, quæ modo Achilli assistit, iramque illius temperat, virum a tergo trahit; modo cum Ulysse versatur

in quocumque labore.

Etiam Apollinem agnosco, qui deus simul musicus et sagittator est; harmoniam ejus amo, sagittas timeo. Etiam Neptunus tridente terram movet, agmina Mars cogit, ærariam Vulcanus exercet; non soli Achilli tamen, sed quemlibet ignis usum tractat, omnia ejus subsidio fabricat. Hæc poetæ dicunt, hæc dicunt philosophi; quorum si nomina mutes, similitudinem invenies, argumenta eorum cognosces. Jovem antiquissimam vocato principemque mentem, quam sequuntur, cui parent omnia; Minervam prudentiam; Apollinem solem; Neptunum spiritum qui terram simul ac mare penetrat, eorumque simul harmoniam gubernat ac contentionem.

9. Sic ad reliqua si eas, omnia sub nominibus certis a poetis exprimi, simpliciter a philosophis narrari videbis. At quæ ab Epicuro dicuntur, cum qua tandem fabula conferam? quis tam socors ignavusque poeta, aut tam divinæ imperitus naturæ est? *Deus*, inquit, *nec habet ipse, nec cuiquam exhibet negotium.* Quam huic sententiæ similem excogitabo fabulam? quomodo depingam Jovem? quid aget? qua de re deliberabit? quibus se oblectabit voluptatibus? Bibit apud Homerum Juppiter, sed et concionatur, et deliberat; sicut rerum Asiaticarum moderatio ex Persarum rege pendet, Græcarum rerum ab Atheniensium populi conventu; nam

τῆς Ἀσίας ὁ μέγας βασιλεὺς, περὶ δὲ τῆς Ἑλλάδος ὁ Ἀθηναίων δῆμος· βουλεύεται καὶ περὶ νεὼς κυβερνήτης, καὶ περὶ στρατοπέδου στρατηγὸς, καὶ περὶ πόλεως νομοθέτης· καὶ ἵνα σωθῇ ναῦς, καὶ στρατόπεδον, καὶ γῆ, καὶ οἶκος, πράγματα μὲν ὁ κυβερνήτης ἔχει, πράγματα δὲ ἔχει ὁ στρατηγὸς, πράγματα δὲ ὁ νομοθέτης· ὑπὲρ δὲ οὐρανοῦ καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἄλλων μερῶν τίς, ὦ Ἐπίκουρε, βουλεύεται; τίς κυβερνήτης; τίς στρατηγός; τίς νομοθέτης; τίς γεωργός; τίς οἰκονόμος; Ἀλλ' οὐδὲ ὁ Σαρδανάπαλλος ἀπράγμων ἦν, ἀλλ' ἐντὸς θυρῶν καταχεκλεισμένος, ἐπὶ σφυρηλάτου κλίνης κείμενος ἐν γυναικῶν χορῷ, ἐβουλεύετο ὅμως, πῶς σωθῇ Νῖνος, καὶ πῶς Ἀσσύριοι εὐδαιμονῶσι· σοὶ δὲ ἡ Διὸς ἡδονὴ καὶ τῆς Σαρδαναπάλλου ἐκείνου ἀργοτέρα. Ὦ μύθων ἀπίστων, καὶ μηδεμιᾷ ποιητικῇ ἁρμονίᾳ πρεπόντων.

de Asia deliberat rex magnus, de Græcia populus Atheniensium: deliberat de nave gubernator, de exercitu imperator, de urbe legislator. Ita, ut navis et exercitus et regio et familia servetur, negotium habet gubernator, negotium habet imperator, negotium habet legislator; de cœlo vero, de terra, ac mari, aliisque universi partibus, quis, Epicure, deliberat? quis gubernator? quis imperator? quis legislator? quis agricola? quis dispensator? Atqui ne Sardanapallus quidem sine negotiis erat, qui quamvis clausis intus foribus maneret, quamvis malleo ducto in lectulo inter mulierum recubaret greges, de Nino nihilominus conservando, de Assyriorum prospero deliberabat statu; tibi vero Jovis voluptas etiam illa Sardanapalli est ignavior. O indignas fide et ab omni poetica alienas harmonia fabulas!

ΛΟΓΟΣ ΙΑ'.

Εἰ δεῖ εὔχεσθαι.

1. Ἀνὴρ Φρὺξ, ἀργὸς τὸν βίον, ἐραστὴς χρημάτων, λαμβάνει τὸν Σάτυρον, ὥς φησιν ὁ μῦθος, δαίμονα φίλοινον, κεράσας οἴνῳ κρήνην, εἰς ἣν φοιτῶν διψήσας ἔπινεν. Εὔχεται ὁ ἀνόητος Φρὺξ δαίμονι αἰχμαλώτῳ, εὔχεται δὲ εὐχὴν, οἵαν εἰκὸς ἦν καὶ τοῦτον αἰτεῖν, καὶ ἐκεῖνον τελεσιουργεῖν, γενέσθαι αὐτῷ τὴν γῆν χρυσῆν, καὶ τὰ δένδρα χρυσᾶ, καὶ τὰ λήϊα, καὶ τοὺς λειμῶνας, καὶ τὰ ἐν αὐτοῖς ἄνθη. Δίδωσι ταῦτα ὁ Σάτυρος. Ἐπεὶ δὲ αὐτῷ ἐκεχρύσωτο ἡ γῆ, λιμὸς εἶχε Φρύγας· καὶ ὁ Μίδας ὀδύρεται τὸν πλοῦτον, καὶ ποιεῖται παλινῳδίαν τῆς εὐχῆς, καὶ εὔχεται Σατύρῳ μὲν οὐκέτι, θεοῖς δὲ καὶ θεαῖς, ἐλθεῖν αὐτῷ τὴν ἀρχαίαν πενίαν, τὴν εὔφορον ἐκείνην καὶ πάμφορον καὶ καρποτρόφον, τὸν δὲ χρυσὸν ἀπελθεῖν εἰς ἐχθρῶν κεφαλάς. Ὁ μὲν ταῦτα εὔχετο ποτνιώμενος, ἐτελεῖτο δὲ οὐδὲν μᾶλλον. Ἐπαινῶ τὸν μῦθον τῆς χάριτος καὶ τῆς πρὸς τἀληθὲς ὁδοῦ. Τί γὰρ δὴ ἄλλο αἰνίττεται, ἢ ἀνοήτου ἀνδρὸς εὐχὴν ἐπ' οὐδενὶ χρηστῷ, εὐχομένου μὲν ἵνα τύχῃ, μεταγιγνώσκοντος δὲ ἐπειδὰν τύχῃ; Τὴν δὲ θήραν τοῦ Σατύρου, καὶ τὰ δεσμὰ, καὶ τὸν οἶνον ᾐνίξατο ὁ μῦθος· ὅτι οἱ μὲν ἀπατήσαντες, οἱ δὲ καὶ βιασάμενοι, τυχόντες ὧν ἐπεθύμουν, οὐχ ὧν εὔξαντο, ἀνατιθέασι θεοῖς τὴν δωρεὰν, οὐ παρ' ἐκείνων λαβόντες. Οὐδὲν γὰρ τῶν μὴ καλῶν δίδωσι θεός· ἀλλ' ἐστὶ ταῦτα δωρεὰ τύχης, ἄλογος ἀλόγου, οἷαι καὶ αἱ παρὰ τῶν μεθυόντων φιλοφροσύναι.

2. Τί δὲ Λυδὸς, ὁ τοῦ Φρυγὸς ἀνοητότερος; οὐχ εὔξατο μὲν τῷ Ἀπόλλωνι ἑλεῖν τὴν Περσῶν ἀρχὴν, καὶ ἐθεράπευε χρυσῷ πολλῷ τὸν θεὸν, ὥσπερ δωροδόκον δυνάστην; ἀκούων δὲ αὐτοῦ θαμὰ ἐκ Δελφῶν ἐπιστέλλοντος,

DISSERTATIO XI.

An sit precandum.

1. Homo quidam Phryx, ut est in fabula, vitæ desidis, pecuniæque amator, fontem vino inficit, ad quem levandæ sitis causa itabat Satyrus, vinosus dæmon: is bibit, atque ita capitur. Petit dementissimus Phryx ille a captivo deo votum, quod maxime et petere hunc, et perficere illum decebat, auream videlicet omnem sibi terram fieri, aureas arbores, segetes, prata, pratorumque flores. Annuit hæc Satyrus. Quumque jam terram haberet auream, annonæ penuria Phygas invadit. Ibi Midas divitias deplorare suas, preces aversari priores, nec vero jam Satyrum, ut prius, verum deos deasque precari omnes, ut priorem sibi fertilem illam fœcundamque ac fructuosam restituant paupertatem; aurum vero in hostium transferant capita. Ille quidem cum lacrimis hæc petebat, nihilominus tamen non assequebatur. Utrumque, tum leporem, tum veritatem, ad quam nos deducit, laudo in hac fabula. Quid enim aliud, quam dementissimi votum hominis, qui adversa sibi precatur, proponit; qui ut consequatur petit, damnat quum consecutus est? Jam captura vinculaque et vinum Satyri occulte hoc innuunt: multos esse qui petant, multos etiam qui violenter aliquid impetrent; qui si voti potiantur, imo potius cupiditatis suæ, a diis se hoc donum consecutos volunt, a quibus minime acceperunt. Nihil enim, quod bonum non sit, largitur deus; sed ut beneficia quæ ab ebriis accipimus, ita hæc insana insanæ fortunæ dona sunt.

2. Quid vero Lydus ille, ipso Phryge dementior? nonne ab Apolline Persarum regnum petit, magnaque deum vi auri demereri studet, nec secus cum illo agit, quam cum satrapa qui muneribus corrumpitur? et quum sæpius Delphis accepisset hoc oraculum,

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει,

ἐκδεχόμενος πρὸς ἡδονὴν τὸν χρησμὸν, διέβη Ἅλυν, καὶ κατέλυσε τὴν Λυδῶν μεγάλην ἀρχήν. Ἀκούω δὲ καὶ παρ' Ὁμήρῳ εὐχομένου Ἕλληνος ἀνδρὸς,

Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν, ἢ Τυδέος υἱὸν,
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης·

καὶ δηλαδὴ ὁ Ζεὺς ἐπιτελεῖ τὴν εὐχὴν,

Ἐκ δ' ἔθορε κλῆρος κυνέης, ὃν ἄρ' ἤθελον αὐτοὶ
Αἴαντος.

Καὶ τῷ μὲν Πριάμῳ εὐχομένῳ ὑπὲρ τῆς οἰκείας γῆς, βοῦς καὶ ὄϊς ὁσημέραι τῷ Διὶ καταθύοντι, ἀτελῆ τὴν εὐχὴν τίθησι· τῷ δὲ Ἀγαμέμνονι « ὑπέσχετο καὶ κατένευσεν » ἐπὶ τὴν ἀλλοτρίαν ἐλθόντι,

Ἴλιον ἐκπέρσαντ' εὐτείχεον ἀπονέεσθαι.

Καὶ ὁ Ἀπόλλων πρότερον μὲν οὐκ ἐπαμύνει τῷ Χρύσῃ ἀδικουμένῳ, ἐπεὶ δὲ πρὸς αὐτὸν ἐπαρρησιάσατο καὶ ἀνέμνησε τῆς κνίσης τῶν μηρίων, τότε τοὺς ἰοὺς ἀφίησιν εἰς τὸ Ἑλληνικὸν, ἐννῆμαρ ἐποιχόμενος αὐτοὺς καὶ ὀρεῖς καὶ κύνας.

3. Τί ταῦτα, ὦ ποιητῶν ἄριστε; λίχνον καὶ δωροδόκον τὸ θεῖον, καὶ μηδὲν διαφέρον τῶν πολλῶν ἀνθρώπων; καί σου τὸ ἔπος τοῦτο ἀποδεξόμεθα,

Στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί;

ἢ τοὐναντίον, ἄστρεπτον τὸ θεῖον καὶ ἀτενὲς καὶ ἀπαραίτητον; Μετατίθεσθαι γὰρ καὶ μεταγινώσκειν προσήκει μὴ ὅτι θεῷ, ἀλλ' οὐδὲ ἀνδρὶ ἀγαθῷ· ὁ γὰρ στρεπτὸς ἀνὴρ καὶ μετανοητικὸς, εἰ μὲν εἰς τὸ βέλτιον ἐκ τοῦ φαυλοτέρου μετατίθεται, πονηρῶς ἐβουλεύσατο· εἰ δὲ εἰς τὸ χεῖρον ἐκ τοῦ βελτίστου, πονηρῶς μετέθετο· τὸ δὲ θεῖον ἔξω πονηρίας. Καὶ γὰρ ἤτοι ὁ εὐχόμενος ἄξιος τυχεῖν ὧν ηὔξατο, ἢ οὐκ ἄξιος· εἰ μὲν οὖν ἄξιος, τεύξεται καὶ μὴ εὐξάμενος· εἰ δὲ οὐκ ἄξιος, οὐ τεύξεται οὐδὲ εὐξάμενος. Οὔτε γὰρ ὁ ἄξιος μὲν, παραλείπων δὲ τὴν εὐχὴν, διὰ τοῦτο οὐκ ἄξιος, ὅτι οὐχ ηὔξατο· οὔτε ὁ μὴ ἄξιος μὲν τυχεῖν, λαβεῖν δὲ εὐχόμενος, διὰ τοῦτο ἄξιος, ὅτι ηὔξατο· ἀλλὰ αὐτὸ τοὐναντίον, ὁ μὲν ἄξιος λαβεῖν, μὴ ἐνοχλῶν, τυχεῖν ἀξιώτερος· ὁ δὲ οὐκ ἄξιος, ἐνοχλῶν, καὶ διὰ τοῦτο οὐκ ἄξιος· καὶ τῷ μὲν ἀναθήσομεν αἰδῶ καὶ θάρσος, διὰ μὲν τὸ θαρρεῖν πιστεύοντι ὡς τευξομένῳ, διὰ δὲ τὴν αἰδῶ ἡσυχάζοντι, κἂν μὴ τύχῃ· τῷ δὲ ἀμαθίαν καὶ μοχθηρίαν, διὰ μὲν ἀμαθίαν εὐχομένῳ, διὰ δὲ μοχθηρίαν οὐκ ἀξιουμένῳ. Τί δὲ, εἰ στρατηγὸς ἦν ὁ θεὸς, κᾆτα ὁ μὲν σκευοφορεῖν ἄξιος ᾔτει τὸν στρατηγὸν ὁπλίτου χώραν, ὁ δὲ ὁπλιτεύειν ἐπιτήδειος τὴν ἡσυχίαν ἦγεν· ἆρα οὐ κατὰ τὴν χρείαν τῆς τάξεως τὸν μὲν ἀχθοφορεῖν εἴα, τὸν δὲ εἰς τοὺς ὁπλίτας ἔταττεν; Ἀλλὰ στρατηγὸς μὲν κἂν ἀγνοήσαι, κἂν δωροδοκήσαι, κἂν ἐξαπατηθείη· τὸ δὲ θεῖον οὐ τοιοῦτον· οὔτε οὖν εὐχομένοις δώσει παρὰ τὴν ἀξίαν, οὔτε οὐκ εὐχομένοις οὐ δώσει κατὰ τὴν ἀξίαν.

Crœsus Halyn penetrans magnam pervertet opum vim,

ex voto suo interpretatus est; quare et Halyn transit, et magnum Lydorum regnum evertit. Audio et apud Homerum Græcum quendam qui precatur,

Juppiter, Ajacis da, vel magni Diomedis,
divitis aut sortem regis prodire Mycenæ :

perficit votum Juppiter, et

Exsiliit galea sors, quam prodire petebant,
Ajacis.

Et Priamo quidem, qui pro terra sua precatur, boves quotidie ovesque Jovi mactat, votum irritum relinquit; contra Agamemnoni, qui alienam invadit terram,

promisitque, deditque,
mœnibus eversis Trojæ, ut remearet ad Argos.

Atque Apollo, qui antea Chrysæ injuriam non vindicabat, postquam hic libere eum increpuit, jussitque meminisse nidoris coxarum, quas obtulerat, tum demum sagittas suas in exercitum Græcorum emittit, ipsos et mulos et canes per novem dies continuos invadens.

3. Quid hæc sibi volunt, poetarum optime? an helluonem esse deum, et muneribus corrumpi, denique vulgi instar se habere? visne etiam, ut hoc tuum verum credamus,

Flectuntur numina sæpe?

an contra non flecti deum, sed propositi tenacem esse, nec precibus moveri? Mutari enim, aut pœnitentia duci, non deo tantum, sed ne bono quidem viro dignum est : homo enim, qui facile a proposito deducitur, mutatque sententiam, si a malo ad bonum abit, male consilium inierat; sin ad malum a bono, male consilium mutavit : in deum autem non cadit quod fit male. Jam qui petit, aut dignus est id consequi, aut indignus : si dignus est, consequetur etiamsi non petat; si indignus, non consequetur etiamsi petat. Neque enim qui dignus est et non precatur, ob id indignus est, quod non precetur; neque qui indignus est consequi, et consequi precatur, propterea dignus est quia est precatus : sed plane contra, qui consequi dignus est, nec deo molestiam exhibet, eo dignior est ut consequatur; qui vero indignus est et insuper molestus, etiam ob hoc ipsum indignus est. Et alteri quidem verecundiam fiduciamque tribuemus, ut qui propter fiduciam consecuturum se credat, propter verecundiam autem quiescat, quamvis non consequatur : alteri imperitiam cum improbitate; per imperitiam deos precanti, per improbitatem nihil impetranti. Quid enim? si imperator exercitus esset deus, peteretque ab eo, qui impedimentis tantum gestandis esset idoneus, cataphracti locum, contra, qui armis gravibus idoneus esset, quiesceret; an non e re exercitus hunc cum impedimentis relinqueret, illum ad cataphractos referret? Et tamen aut ignoratione labi potest imperator, aut muneribus corrumpi, aut fraude decipi; quæ in deum non cadunt : quare nec precantibus dabit, si indigni sunt; neque non precantibus negabit, si sunt digni.

4. Καὶ μὴν τῶν ὅσα οἱ ἄνθρωποι εὔχονται γενέσθαι, φησὶ, τὰ μὲν ἡ πρόνοια ἐφορᾷ, τὰ δὲ ἡ εἱμαρμένη καταναγκάζει, τὰ δὲ μεταβάλλει ἡ τύχη, τὰ δὲ οἰκονομεῖ ἡ τέχνη. Καὶ ἡ μὲν πρόνοια θεοῦ ἔργον, ἡ δὲ εἱμαρμένη ἀνάγκης, ἡ δὲ τέχνη ἀνθρώπου, ἡ δὲ τύχη τοῦ αὐτομάτου· διακεκλήρωνται δὲ τούτων ἕκαστον αἱ ὗλαι τοῦ βίου· ἃ τοίνυν εὐχόμεθα, ἢ εἰς πρόνοιαν συντελεῖ θεοῦ, ἢ εἰς εἱμαρμένης ἀνάγκην, ἢ εἰς ἀνθρώπου τέχνην, ἢ εἰς τύχης φοράν. Καὶ εἰ μὲν εἰς πρόνοιαν συντελεῖ, τί δεῖ εὐχῆς; Εἰ γάρ τοι προνοεῖ ὁ θεὸς, ἤτοι προνοεῖ τοῦ ὅλου, τῶν δὲ κατὰ μέρος οὐ φροντίζει (ὥσπερ οἱ βασιλεῖς σώζουσι τὰς πόλεις νόμῳ καὶ δίκῃ, οὐ διατείνοντες ἐφ' ἕκαστον τῇ φροντίδι), ἢ κἂν τοῖς ἐπὶ μέρους ἡ πρόνοια ἐξετάζεται. Τί δὴ φῶμεν; βούλει τοῦ ὅλου προνοεῖν τὸν θεόν; Οὐκ ἐνοχλητέον ἄρα τῷ θεῷ· οὐ γὰρ πείσεται, ἤν τι παρὰ τὴν σωτηρίαν αἰτῇς τοῦ ὅλου. Τί γὰρ εἰ καὶ τὰ μόρια τοῦ σώματος φωνὴν λαβόντα, ἐπειδὰν κάμνῃ τι αὐτῶν ὑπὸ τοῦ ἰατροῦ τεμνόμενον ἐπὶ σωτηρίᾳ τοῦ ὅλου, εὔξαιτο τῇ τέχνῃ μὴ φθαρῆναι; οὐχ ἀποκρινεῖται ὁ Ἀσκληπιὸς αὐτοῖς, ὡς Οὐχ ὑμῶν ἕνεκα, ὦ δείλαια, χρὴ οἴχεσθαι τὸ πᾶν σῶμα, ἀλλὰ ἐκεῖνο σωζέσθω, ὑμῶν ἀπολλυμένων; Τοῦτο καὶ τῷ σύμπαντι τούτῳ γίγνεσθαι φιλεῖ· Ἀθηναῖοι λοιμώττουσι, σείονται Λακεδαιμόνιοι, ἡ Θετταλία ἐπικλύζεται, ἡ Αἴτνη φλέγεται· ὧν σὺ μὲν τὴν διάλυσιν φθορὰν καλεῖς· ὁ δὲ ἰατρὸς οἶδε τὴν αἰτίαν, καὶ ἀμελεῖ εὐχομένων τῶν μερῶν, σώζει δὲ τὸ πᾶν· φροντίζει γὰρ τοῦ ὅλου. Ἀλλὰ καὶ τῶν κατὰ μέρος προνοεῖ ὁ θεός. Οὐδὲ ἐνταῦθα τοίνυν εὐκτέον. Ὅμοιον ὡς εἰ καὶ ἰατρὸν ᾔτει ὁ κάμνων φάρμακον ἢ σιτίον· τοῦτο γὰρ, εἰ μὲν ἀνύσιμον, καὶ μὴ αἰτοῦντι δώσει· εἰ δὲ ἐπισφαλὲς, οὐδὲ αἰτοῦντι δώσει. Τῶν μὲν δὴ κατὰ τὴν πρόνοιαν οὐδὲν οὔτε αἰτητέον, οὔτε εὐκτέον.

5. Τί δὲ τῶν κατὰ τὴν εἱμαρμένην; Ἦ κἀνταῦθα ἡ εὐχὴ γελοιότατον· θᾶττον γὰρ ἄν τις βασιλέα ἔπεισεν, ἢ τύραννον· τυραννικὸν δὲ ἡ εἱμαρμένη, καὶ ἀδέσποτον, καὶ ἀμετάστρεπτον· ἢ, καθάπερ ψάλιον ἐμβάλλουσα ταῖς τῶν ἀνθρώπων ἀγέλαις, βίᾳ σπᾷ, καὶ προσαναγκάζει συναπονεύειν ταῖς αὑτῆς ἀγωγαῖς· ὡς Συρακοσίους Διονύσιος, ὡς Πεισίστρατος Ἀθηναίους, καὶ Περίανδρος Κορινθίους, καὶ Θρασύβουλος Μιλησίους. Ἐν μὲν γὰρ δημοκρατίᾳ δύναταί τι καὶ πειθὼ, καὶ εὐχὴ, καὶ θεραπεία, καὶ λιταί· ἐν δὲ τυραννίδι ἡ βία κρατεῖ, ὡς ἐν πολέμῳ.

Ζώγρει, Ἀτρέος υἱέ· σὺ δ' ἄξια δέξαι ἄποινα.

Τίνα τοίνυν ἄποινα δόντες τῇ εἱμαρμένῃ ἐκλυσόμεθα ἑαυτοὺς τῆς ἀνάγκης καὶ τοῦ δεσμοῦ; τίνα χρυσόν; τίνα θεραπείαν; τίνα θυσίαν; τίνα εὐχήν; ἀλλ' οὐδὲ ὁ Ζεὺς αὐτὸς εὕρατο παρ' ἐκείνης ἀποτροπὴν, ἀλλ' ὀδύρεται·

Ὤμοι ἐγὼν, ὅτε μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν
Μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.

Τίνι θεῶν εὔχεται ὁ Ζεὺς ὑπὲρ τοῦ παιδός; Καὶ ἡ Θέτις βοᾷ·

Ὤμοι ἐγὼ δειλή· ὤμοι δυσαριστοτόκεια.

4. Et enimvero, quæcunque sibi evenire precantur homines, aut providentia regit, aut fatum cogit, aut fors mutat, aut postremo ars dispensat. Jam providentia dei, fatum necessitatis, ars hominis, fors fortuiti opus est; et horum quidem singula sibi sortitæ sunt variæ illæ, quibus vita humana agitur, formæ et species : proinde quæ precamur, aut ad providentiam dei, aut ad fati necessitatem, aut ad artem humanam, aut ad cursum fortunæ referenda sunt. Ac primo, ad providentiam si referantur, quid prece opus est? Si enim est dei providentia, ea aut universalia providet, singula vero negligit (sicut reges legibus ac jure urbes servant universas, ad singulorum mortalium curam non descendentes), aut etiam inter ea, quæ singula respiciunt, censetur. Quid igitur dicamus? vin' circa universa versetur providentia dei? Non ergo obtundendus erit; si enim quid petas quod cum salute pugnet universi, non impetrabis. Quid enim si singulæ corporis partes loqui incipiant, quotiesque aliqua illarum morbo infecta amputanda sit medico in salutem universi, postulet ab arte ne se corrumpat? an non responsurus illis est Æsculapius, Non æquum est vestra causa, miserrimæ, corpus interire totum; sed pereundum est vobis, ut illud conservetur? Idem in universo hoc fieri solet : pestis Athenienses, terræ motus Lacedæmonios exercet, Thessalos inundatio, ardet Ætna : horum tu interitum vocas corruptionem; novit vero causam medicus, nec respicit preces membrorum, sed conservat totum; totum enim illi curæ est. Verum deus etiam singula curat. Igitur ne sic quidem orandum est. Id tale esset, ac si medicamentum aliquis, aut cibum, a medico posceret æger : hoc enim, si prodest, vel non petenti dabit; si nocet, ne petenti quidem concedet. Eorum ergo, quæ a providentia fiunt, nec petendum, neque orandum quicquam est.

5. Quid autem quæ a fato? Nempe et hic perridiculæ sunt preces : facilius enim regem flexeris, quam tyrannum; tyranno autem simile est fatum, nec superiorem agnoscit, nec mutari potest. Hoc quasi frenum humano gregi injicit, quo violenter eos trahit, cogitque parere trahenti; sicut Syracusios Dionysius, Athenienses Pisistratus, Corinthios Periander, Thrasybulus Milesios. In populari enim statu aliquid suada potest, aliquid preces, obsequium aliquid, et supplicatio; in tyrannide vero vis regnum obtinet, ut in bello.

Me, precor, Atride, conserva, et præmia posce.

Quæ igitur fato persolvemus præmia, ut necessitate ejus nos expediamus et vinculo? quod aurum? quod obsequium? quam victimam? quas preces? quum nec Juppiter ipse invenerit quo eam averteret, sed hoc modo lamentetur :

Hei mihi, quod carum nobis Sarpedona natum
Fata Menœtiadæ manibus voluere necari.

Ad quem, quæso, deorum preces pro filio fundit Juppiter? Etiam Thetis exclamat :

Hei mihi, cui natus pariter præstansque miserque!

Τοιοῦτο χρῆμα ἡ εἱμαρμένη, ἡ Ἄτροπος, καὶ ἡ Κλωθὼ, καὶ ἡ Λάχεσις, ἄτρεπτον, καὶ ἐπικεκλωσμένον, καὶ διειληχὸς τοὺς ἀνθρωπίνους βίους. Πῶς ἂν οὖν τις εὔξαιτο ἀπαραιτήτῳ εἱμαρμένῃ;

6. Ἀλλ' οὐδὲ ἐν τοῖς κατὰ τύχην εὐκτέον, καὶ πολὺ μᾶλλον ἐνταῦθα οὐκ εὐκτέον· οὐδὲ γὰρ ἀνοήτῳ δυνάστῃ διαλεκτέον, ἔνθα οὐ βούλευμα οὐδὲ κρίσις οὐδὲ ὁρμὴ σώφρων οἰκονομεῖ τὴν ἀρχὴν, ἀλλὰ ὀργὴ, καὶ φορὰ, καὶ ἄλογοι ἕξεις, καὶ ἔμπληκτοι ὁρμαὶ, καὶ ἐπιθυμιῶν διαδοχαί. Τοιοῦτον ἡ τύχη, ἄλογον, ἔμπληκτον, ἀπροόρατον, ἀνήκοον, ἀμάντευτον, Εὐρίπου δίκην μεταρρέον, περιφερόμενον, καὶ οὐδεμιᾶς ἀνεχόμενον κυβερνήτου τέχνης. Τί ἂν οὖν τις εὔξαιτο ἀστάτῳ χρήματι, καὶ ἀνοήτῳ, καὶ ἀσταθμήτῳ, καὶ ἀμίκτῳ; Λοιπὸν δὴ μετὰ τὴν τύχην ἡ τέχνη. Καὶ τίς τέκτων εὔξεται περὶ κάλλους ἀρότρου, τὴν τέχνην ἔχων; ἢ τίς ὑφάντης περὶ κάλλους χλανίδος, τὴν τέχνην ἔχων; ἢ τίς χαλκεὺς περὶ κάλλους ἀσπίδος, τὴν τέχνην ἔχων; ἢ τίς ἀριστεὺς περὶ εὐτολμίας, τὴν ἀνδρείαν ἔχων; ἢ τίς ἀγαθὸς περὶ εὐδαιμονίας, τὴν ἀρετὴν ἔχων;

7. Τί τοίνυν ἐστὶν, ὑπὲρ ὅτου κἂν εὔξαιτο ἄν τις τοῖς θεοῖς, ὃ μὴ προνοίας ἔχεται, ἢ εἱμαρμένης, ἢ τέχνης, ἢ τύχης; Χρήματα αἰτεῖς; μὴ ἐνόχλει θεοῖς, οὐδὲν αἰτεῖς τῶν καλῶν· μὴ ἐνόχλει τῇ εἱμαρμένῃ, οὐδὲν αἰτεῖς τῶν ἀναγκαίων· μὴ ἐνόχλει τῇ τύχῃ, οὐ γὰρ τοῖς δεομένοις δίδωσι· μὴ ἐνόχλει τῇ τέχνῃ, ἀκούεις γὰρ Μενάνδρου λέγοντος,

Οὐ πάνυ τι γηράσκουσιν αἱ τέχναι καλῶς,
ἂν μὴ λάβωσι προστάτην φιλάργυρον.

Οὐχ ἔχει δὲ ὧδε; Χρηστὸς εἶ; μετάθου τὸν τρόπον, εὔξαιο μοχθηρίαις, ἐπιτήδευσον τὸ πρᾶγμα, καὶ πλοῦτον λάμβανε, πορνοβοσκῶν, ἢ καπηλεύων, ἢ ληϊζόμενος, ἢ πανουργῶν, ἢ ψευδομαρτυρῶν, ἢ συκοφαντῶν, ἢ δωροδοκῶν. Νίκην αἰτεῖς; ἣν δύνασαι λαβεῖν, ἐν πολέμῳ μὲν παρὰ μισθοφόρου, ἐν δικαστηρίῳ δὲ παρὰ συκοφάντου. Ἐμπορίαν αἰτεῖς; ἣν δίδωσι ναῦς, καὶ θάλαττα, καὶ πνευμάτων φορά· ἀγορὰ πρόκειται, ὤνιον τὸ χρῆμα. Τί τοῖς θεοῖς ἐνοχλεῖς; μηδὲν τὸ παρὰ τὴν ἀξίαν φοβηθῇς, καὶ πλουτήσεις, κἂν Ἱππόνικος ᾖς· νικήσεις, κἂν Κλέων ᾖς· αἱρήσεις, κἂν Μέλητος ᾖς. Ἐὰν δὲ εἰς τὰς πρὸς τοὺς θεοὺς παρέλθῃς εὐχὰς, εἰς δικαστήριον παρελήλυθας ἀκριβὲς καὶ ἀπαραίτητον· οὐδεὶς ἀνέξεταί σου θεὸς εὐχομένου τὰ μὴ εὐκτὰ, οὐδὲ δώσει τὰ μή σοι δοτά. Ἐξεταστὴς καὶ λογιστὴς ἐφέστηκε ταῖς ἑκάστου εὐχαῖς πικρὸς, εὐθύνων τῷ τοῦ συμφέροντος μέτρῳ τὰ σά· οὐδὲ αὐτὸν μεταχειριῇ ἀναβιβασάμενος ὥσπερ εἰς δικαστήριον τὰς ὀρέξεις τὰς σὰς ἐλεεινὰ φθεγγομένας, οἴκτειρον βοώσας, πολλὴν τὴν κόνιν καταχεομένας τῆς κεφαλῆς, εἰ δὲ οὕτω τύχοι, καὶ ὀνειδιζούσας τῷ θεῷ,

Εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα.

Ἀλλ' ὁ θεὸς λέγει, Ἐπὶ ἀγαθῷ αἰτεῖς; λάμβανε, εἰ ἄξιος ὢν αἰτεῖς· ταῦτα ἔχοντί σοι οὐδὲν εὐχῆς δεῖ, λήψῃ καὶ σιωπῶν.

Tale est fatum, Atropos, Clotho ac Lachesis, immutabile, semel definitum, cui credita est omnis humana vita. Quomodo ergo, quum inexorabile sit fatum, quisquam illi supplicet?

6. At neque, quæ a fortuna deveniunt, precibus petenda sunt, et multo quidem minus quam reliqua: nec enim cum principe insano agendum est, ubi nec consilium, nec judicium, nec temperatus affectus; sed furor, sed impetus, sed rationis expers habitus, sed insani motus animi, perpesque libidinum vicissitudo summæ præsunt rei. Talis est fortuna, sine ratione, insana, improvida, surda, nullis divinationibus obnoxia; sed quæ, Euripi instar, refluit et undique impellitur, nec ullam gubernatoris artem patitur. Qui igitur aliquis instabili, insanæ, inæquali, proculque a congressu hominum remotæ rei, preces commendet suas? Post fortunam sola ars restat. Quis autem faber pulchrum aratrum a diis petat, artem quum habeat? quis textor amiculum pulchrum, artem quum habeat? quis faber ferrarius pulchrum clypeum, artem quum habeat? quis homo fortis audaciam, virilem animum quum habeat? quis bonus felicitatem, virtutem quum habeat?

7. Quid ergo, quod nec ad providentiam, nec ad fatum, nec ad artem spectat, nec ad fortunam, petendum a diis relinquitur? Opes petis? noli deos obtundere, nihil boni petis: noli fatum obtundere, nihil necessarii petis: noli fortunam obtundere, nec enim subvenit egentibus: noli artem obtundere, Menandrum namque dicentem audis,

Misera senectus excipit
artes, ni dominum valde avarum invenerint.

An non ita res se habet? Vir bonus es? mores tuos muta, improbitatem cole, ea res curæ sit tibi, lucri causa leno esto aut caupo, prædo aut veterator, perfidus aut sycophanta, pretio æquum bonumque perverte. Victoriam petis? hanc in bello a stipendiario milite, in judicio impetrabis a sycophanta. In mercatura petis lucrum? hoc navis, et mare, ventorumque tibi perficient flamina; fori fortuna patet, venale est quod petis. De his quid deos obtundis? honestati renuncia, ditesces, vel si Hipponicus sis; in prælio superior evades, vel si Cleo sis; aut si Melitus, causa stabis. At si ad orandum accesseris deos, judicium intrasti severum et inexorabile: nec enim peti quæ petenda non sunt, ullus ferat deus; nec quæ danda non sunt, daturus est. Inquirit atque examinat singulorum preces austere, et ad utilitatis normam dirigit tua; neque illum flectes, si produxeris, ut vulgo fit in judiciis, cupiditates tuas flebiliter lamentantes, misericordiam implorantes, multum pulveris capiti inspergentes, atque adeo, quod interdum fieri solet, deo exprobrantes,

Si quando tua templa refeci.

Verum dicit deus; Bono fine petis? accipe, siquidem es dignus. Si eo es animo, nihil precibus opus est, etiam tacens accipies.

8. Ἀλλὰ Σωκράτης εἰς Πειραιᾶ κατῄει προσευξόμενος τῇ θεῷ, καὶ τοὺς ἄλλους προετρέπετο, καὶ ἦν ὁ βίος Σωκράτει μεστὸς εὐχῆς· καὶ γὰρ Πυθαγόρας ηὔξατο, καὶ Πλάτων, καὶ ὅστις ἄλλος θεοῖς προσήγορος. Ἀλλὰ σὺ μὲν ἡγεῖ τὴν τοῦ φιλοσόφου εὐχὴν αἴτησιν εἶναι τῶν οὐ παρόντων· ἐγὼ δὲ ὁμιλίαν καὶ διάλεκτον πρὸς τοὺς θεοὺς περὶ τῶν παρόντων, καὶ ἐπίδειξιν τῆς ἀρετῆς· ἢ, οἴει, τοῦτο ηὔχετο ὁ Σωκράτης, ὅπως αὐτῷ χρήματα γένηται, ἢ ὅπως ἄρξει Ἀθηναίων; πολλοῦ γε καὶ δεῖ. Ἀλλ' εὔχετο μὲν τοῖς θεοῖς, ἐλάμβανε δὲ παρ' ἑαυτοῦ, συνεπινευόντων ἐκείνων, ἀρετὴν ψυχῆς, καὶ ἡσυχίαν βίου, καὶ ζωὴν ἄμεμπτον, καὶ εὔελπιν θάνατον, τὰ θαυμαστὰ δῶρα, τὰ θεοῖς δοτά. Ἐὰν δέ τις παρὰ μὲν τῆς γῆς εὔπλοιαν αἰτῇ, παρὰ δὲ τῆς θαλάττης εὐκαρπίαν, καὶ παρὰ μὲν ὑφάντου ἄροτρον, παρὰ δὲ τέκτονος χλανίδα, ἄπεισιν ἀτελὴς καὶ ἄδωρος καὶ ἄτευκτος. Ὦ Ζεῦ, καὶ Ἀθηνᾶ, καὶ Ἄπολλον, ἐθῶν ἀνθρωπίνων ἐπίσκοποι, φιλοσόφων ὑμῖν μαθητῶν δεῖ, οἳ τὴν ὑμετέραν τέχνην ἐρρωμέναις ψυχαῖς ὑποδεξάμενοι ἄμητον βίου καλὸν καὶ εὐδαίμονα ἐκκαρπώσονται· ἀλλ' ἔστι σπάνιον μὲν τὸ τῆς γεωργίας ταύτης χρῆμα, μόλις δὲ καὶ ὀψὲ παραγινόμενον. Δεῖ γε μὴν τοῦ σπανίου τούτου καὶ ὀλίγου ἐναύσματος τῷ βίῳ ἄλλοτε ἐν ἄλλοις σώμασι φανταζομένου, ὡς ἐν νυκτὶ πολλῇ δεῖ φωτὸς ὀλίγου· τὸ γὰρ καλὸν ἐν ἀνθρωπίνῃ φύσει οὐ πολύ, φιλεῖ γε μὴν πρὸς τοῦ ὀλίγου τούτου σώζεσθαι τὰ πάντα. Ἂν δ' ἐξέλῃς τοῦ βίου φιλοσοφίαν, ἐξεῖλες αὐτοῦ τὸ ζώπυρον, τὸ ἔμπνουν, τὸ ζωτικόν, τὸ μόνον εὔχεσθαι ἐπιστάμενον· ὡς ψυχὴν σώματος ἐὰν ἀφέλῃς, ἔπηξας τὸ σῶμα· ὡς καρποὺς γῆς ἐὰν ἀφέλῃς, τὴν γῆν ἐξέτεμες· ὡς ἥλιον ἡμέρας, τὴν ἡμέραν ἔσβεσας.

ΛΟΓΟΣ ΙΒ'.

Τί ἐπιστήμη.

1. Τί ποτ' ἐστὶ τοῦτο, ᾧ διαφέρει ἄνθρωπος θηρίου; καὶ τί ποτέ ἐστιν, ᾧ διαφέρει ἀνθρώπου θεός; Ἐγὼ μὲν οἶμαι θηρίων μὲν ἀνθρώπους ἐπιστήμῃ κρατεῖν, θεῶν δὲ ἐλαττοῦσθαι μοχθηρίᾳ· θεὸς μὲν γὰρ ἀνθρώπου σοφώτερον, ἄνθρωπος δὲ θηρίου ἐπιστημονέστερον. Ἄλλο τι οὖν ἐπιστήμην σοφίας ἡγεῖ; Οὐ μὰ τὸν Δία, οὐ μᾶλλον ἢ ζωὴν ζωῆς· ἀλλὰ κοινὸν ὑπάρχον τὸ τῆς ζωῆς θνητῇ φύσει πρὸς τὸ ἀθάνατον, κατὰ μὲν τὴν ποιότητα ἰσομοιρεῖ, κατὰ δὲ τὴν βραχύτητα τοῦ βίου σχίζεται· θεοῦ μὲν γὰρ ζωὴ αἰώνιος, ἀνθρώπου δὲ ἐφήμερος. Ὥσπερ οὖν εἴ τις ἦν δύναμις ὀφθαλμοῖς ὁρᾶν ἀεί, καὶ ἀποτείνειν διηνεκῶς τὴν ὄψιν καὶ δέχεσθαι τὴν προσβολὴν τοῦ φωτός, καὶ μηδὲν αὐτοῖς δεῖν καλυπτόντων βλεφάρων, μηδὲ ὕπνου πρὸς ἀνάπαυλαν, μηδὲ νυκτὸς πρὸς ἠρεμίαν· κοινὸν μὲν ἦν τὸ ὁρᾶν ἐκείνοις τοῖς ὀφθαλμοῖς πρὸς ταύτην τὴν τῶν πολλῶν ὄψιν, διέφερε δὲ τῷ διηνεκεῖ· οὕτως ἀμέλει καὶ ἡ ἐπιστήμη, κοινόν τι

8. Atqui dices, In Piræeum ibat Socrates, ut preces suas deæ offerret, aliosque idem ut facerent, adhortabatur; nec aliud est Socratis vita, quam preces perpetuæ: etiam Pythagoras precatus est, ac Plato, et quisquis alius erat diis amicus. At tu, Hercules, preces philosophi petitionem eorum, quæ non habet, esse existimas; ego nihil aliud quam orationem esse puto, quam colloquium cum diis de bonis præsentibus, testimoniumque virtutis. Nisi forte divitias, aut Atheniensium magistratum, petiisse existimas Socratem. Ne dî sirint. Ille virtutem animi, tranquillitatem vitæ, mores inculpatos, plenam fiducia mortem, bona præclara, digna quæ donentur a diis, hæc ab illis petebat, quæ deinde a semet, illis concedentibus, sumebat ipse. Verum si quis a terra navigationem petat prosperam, a mari fructus uberes, a textore aratrum, penulam a fabro, inanis indonatusque abibit, repulsam feret. O Juppiter, Minerva, et Apollo, morum inspectores humanorum, non alios profecto quam philosophos habere vos discipulos decebat, qui artem vestram magno exciperent animo, ac vitæ messem colligerent pulchram ac felicem: at rara est hæc agriculturæ ratio; vix unquam, nec nisi sero, fructus ejus proveniunt. Raro tamen hoc et exiguo fomite, corporibus aliis aliter illucente, in vita humana opus est, sicut in multa nocte tenui luce; exiguum est enim in natura humana quod pulchrum est, et tamen ab exiguo hoc conservantur omnia. Quodsi e vita tollis philosophiam, fomitem ejus tollis, tollis id quod spirat et vivit; tollis id quod solum precari scit: sicut corpori animam si dempseris, rigidum et immobile reddidisti; terræ si ademeris fruges, eam excidisti; diei si solem, diem exstinxisti.

DISSERTATIO XII.

Quid sit scientia.

1. Quid est quod a bruto hominem distinguit? quid est quod ab homine distinguit deum? Ego reliquis animalibus antecellere scientia hominem judico, imbecillitatis causa esse infra deos; nam et homine sapientior deus est, et reliquis plus animalibus scit homo. Quid ergo, dicet aliquis, aliud scientiam vis esse quam sapientiam? Non magis quam vitam aliud quam vitam; quæ quum hominibus mortalibus cum deo communis sit immortali, qualitate eadem est, temporis vero brevitate distinguitur; deus enim semper vivit, homo in diem. Ut si, exempli gratia, dari aliquo in oculo facultas posset, quæ perpetuo aciem intenderet, lucem usque admitteret, nec palpebrarum involucro, nec relaxatione somni egeret, nec noctis quiete; huic oculo cum his nostris visus quidem communis esset, perpetuitate vero differret: ita deo hominique quum communis sit scientia,

οὖσα, διαφορὰν ὅμως ἔχει ἡ θεία πρὸς τὴν ἀνθρωπίνην. Καὶ τὴν μὲν θείαν τάχα καὶ αὖθις εἰσόμεθα· νῦν δὲ δὴ ἐπὶ τὰ γνωρίσματα ἴωμεν, τί ποτ' ἐστὶ τῷ ἀνθρώπῳ τὸ ἐπίστασθαι, καὶ εἰδέναι, καὶ μανθάνειν, καὶ ὅσα τοιαυτὶ λέγοντες ἕξιν τινὰ θεωρίας τῇ ψυχῇ προστίθεμεν.

2. Ἆρα πᾶν ὅπερ ἡ αἴσθησις ἀθροίσασα τῇ κατὰ βραχὺ θεωρίᾳ, ἐμπειρίαν τοῦτο ὀνομάζουσα, προσαγάγῃ τῇ ψυχῇ, καὶ μετὰ τοῦτο ἐπισφραγίσηται ὁ λογισμὸς τῇ ἐμπειρίᾳ, τοῦτο φῶμεν ἐπιστήμην εἶναι; οἷον τὸ τοιόνδε λέγω· οἱ πρῶτοι ἄνθρωποι οὔπω ναῦν εἰδότες, ἐρῶντες ἐπιμιξίας, ἀγόμενοι μὲν ὑπὸ τῆς χρείας, εἰργόμενοι δὲ ὑπὸ τῆς θαλάττης, εἶδον ὄρνιν ἐξ ἀέρος καταπτάντα νηχόμενον, εἶδον δὲ καὶ φορυτὸν φερόμενον κούφως ὑπὲρ τοῦ κύματος, ἤδη δέ που καὶ δένδρον ἀπενεχθὲν ἐκ ποταμοῦ εἰς κλύδωνα· καὶ τάχα μέν τις καὶ ἄκων κατενεχθεὶς, κινῶν τὰ ἄρθρα, ἐξενήξατο, τάχα δὲ καὶ ἑκὼν ἐν παιδιᾶς μέρει· ἀθροίσασα δὲ ἡ πεῖρα τὴν ἔννοιαν τοῦ πλοῦ σχεδίαν τινὰ φαύλην τὸ πρῶτον ἐξειργάσατο, ὕλην κούφην ξυνδεόντων, αὐτοσχέδιον ναῦν· κατὰ βραχὺ δὲ προϊοῦσα ἡ αἴσθησις ὁμοῦ τῷ λογισμῷ ἐσοφίσατο καὶ ἐξεῦρεν ὄχημα κοῖλον, ἐρεσσόμενόν τε, καὶ ἐξ ἱστίων πλέον, καὶ ὑπὸ ἀνέμων φερόμενον καὶ ὑπὸ οἰάκων εὐθυνόμενον, καὶ ἐπέτρεψεν αὐτοῦ τὴν σωτηρίαν ἐπιστήμῃ μιᾷ τῇ κυβερνητικῇ. Φασὶ δὲ καὶ ἰατρικὴν εὑρῆσθαι τὸ ἀρχαῖον ὡδί· κομίζοντες οἱ οἰκεῖοι τὸν κάμνοντα εἰς τῶν ἀγυιῶν τὴν ἐν τριβῇ, κατετίθεντο· ἐφιστάμενοι δὲ οἱ ἄνθρωποι, καὶ ἀνερωτῶντες τὸ ἄλγος ὅτῳ τὸ αὐτὸ ξυμπεσὸν, ἔπειτα ὤνατο ἢ ἐδωδῇ τινι, ἢ καύσας, ἢ τεμὼν, ἢ διαψήσας, παρετίθεντο ἕκαστοι ταῦτα τῷ κάμνοντι οἱ πεπονθότες πρότερον καὶ ὠφελημένοι· ἡ δὲ ὁμοιότης τοῦ πάθους συναθροίσασα τὴν τοῦ ὠφελήσαντος μνήμην τῇ κατ' ὀλίγον ἐντεύξει ἐπιστήμην ἐποίησε τὸ πᾶν. Οὕτω καὶ τεκτονικὴ συνέστη, καὶ χαλκευτικὴ, καὶ ὑφαντικὴ, καὶ γραφικὴ, ὑπὸ τῆς πείρας ἑκάστη χειραγωγουμένη.

3. Εἶεν· τοῦτο ἐπιστήμην φῶμεν, ἐθισμὸν ψυχῆς πρὸς ὁτιοῦν τῶν ἀνθρωπίνων ἔργων καὶ ἐπιτηδευμάτων· ἢ τοῦτο μὲν διατείνει καὶ ἐπὶ τὰ θηρία; καὶ αἴσθησις γὰρ καὶ πεῖρα οὐκ ἀνθρώπου ἴδιον· ἀλλὰ καὶ τὰ θηρία αἰσθάνεται, καὶ ἐκμανθάνει τι ὑπὸ τῆς πείρας, ὥστε καὶ τούτοις ὥρα μεταποιεῖσθαι σοφίας. Αἱ γέρανοι ἐξ Αἰγύπτου ὥρᾳ θέρους ἀνιστάμεναι, οὐκ ἀνεχόμεναι τὸ θάλπος, τείνασαι τὰς πτέρυγας ὥσπερ ἱστία, φέρονται διὰ τοῦ ἀέρος εὐθὺ τῆς Σκυθῶν γῆς· ἅτε δὲ οὐκ ἐν ῥυθμῷ ὂν τὸ ζῷον, ἀλλὰ ἐμβριθὲς μὲν τὰ μέσα, μακρὸν δὲ κατὰ τὸν αὐχένα, κοῦφον δὲ κατὰ τὸ οὐραῖον, ἀραιὸν δὲ κατὰ τὰς πτέρυγας, ἐσχισμένον δὲ κατὰ τὰ κῶλα, κλυδάζεται τὴν πτῆσιν, ὥσπερ ναῦς χειμαζομένη. Τοῦτο γνοῦσα ἡ γέρανος, ἢ αἰσθανομένη ἢ πειραθεῖσα, οὐ πρότερον ἀνίπταται, πρὶν ξυλλάβῃ λίθον τῷ στόματι ἕρμα εἶναι αὐτῇ πρὸς τὴν πτῆσιν. Ἔλαφοι ἐκ Σικελίας ἐπὶ Ῥηγίου περαιοῦνται, νηχόμεναι ὥρᾳ θέρους ἐπιθυμίᾳ καρπῶν· ἅτε δὲ ἐν μακρῷ πλῷ, ἐξασθε-

differt tamen in utroque. Et divinam quidem postea fortasse disseremus : nunc insistamus signis et notis, unde appareat quid in homine sit scire aliquid, cognovisse, addiscere, et quibus denique nominibus aliis habitum contemplandi tribuamus animæ.

2. Num ergo quodcunque longa singularium contemplatione paullatim a sensibus collectum (vulgo *experientiam* dicunt) quisque ad animum transfert, si ratione postea ipsoque usu confirmetur, scientiam dicamus? exempli ergo: primi mortalium, quum inventæ nondum essent naves, et commerciorum tamen amore ducerentur, quæ et necessitas exigebat, et prohibebat mare, avem forte fortuna e cœlo delapsam viderunt, quæ aquis innataret; aut leves quisquilias, quæ summis fluctibus facile veherentur; jam fere arborem quoque, quæ e fluvio in profundum ferretur; aliquis etiam forte invitus in aquam decidit, moxque movere membra cœpit et evasit; fortasse etiam volens et ludibundus hoc tentavit : ita paullatim experientia notionem navigandi collegit, cœpitque primum ratem quandam vilem ex colligata materia levi contexere, quasi navem extemporaneam : hoc modo paullatim dum sensus et magistra procederet ratio, excogitavit atque invenit vehiculum cavum, quod remi impellerent simul et vela ferrent, venti promoverent, clavus dirigeret; denique hujus conservationem uni scientiæ gubernandi commisit. Ferunt medicinam quoque antiquitus hoc modo esse inventam : ægrum sui propinqui in viam deferebant quæ potissimum frequentabatur : tum qui adstabant homines, de morbo quærebant, an in eundem aliquis aliquando inciderit, et an fuerit aut cibo aliquo, aut igne, aut ferro, aut frictione sanatus : ita cum ægro sua communicabant singuli qui ex similibus malis emersissent: atque similitudo morborum, remediorum simul colligens memoriam, paullatim in artem redegit id totum. Hoc modo etiam ars fabrilis, ferraria, textura, pictura, ortæ sunt, unaquæque ab experientia quasi manu ducta.

3. Sit ita : alicujus in homine operis aut instituti consuetudinem, animæ conciliatam, scientiam dicamus : an hoc cum brutis commune est homini? nec sensum certe, nec experientiam recte aliquis propriam dixerit homini; quia et sentire bestiæ, et sæpius tentando aliquid possunt addiscere, atque adeo eo modo sibi vindicabunt sapientiam. Grues æstivo tempore, quum calorem illius terræ amplius non ferunt, ex Ægypto sublimes discedunt, passisque veli in modum leniter alis, recta Scythiam versus per aerem feruntur; quum vero non ita concinna sit et æquilibris corporis eorum constitutio (in medio enim corpore gravior, collo est protensior; rursus, quæ caudam pars tangit, levior; quæ alas, inanior est; pedes denique dispasti sunt illis et divisi) necesse est ut non secus, quam navis quæ a ventis jactatur, fluctuet in aere. Id quum vel sensu, vel ipsa compertum habeat experientia, non prius in altum se attollit grus, quam lapidem assumpserit ore, qui illi saburræ instar est ad volatum. Cervæ æstivo tempore pascendi causa ex Sicilia circa Rhegium transmittunt; qui quum non exiguus sit tra-

νεῖ ἡ ἔλαφος ἀνέχουσα τὴν κορυφὴν ὑπὲρ τοῦ ὕδατος· κουφίζονται δὴ τὸν κάματον ὧδέ πως· νήχονται ἐπὶ μιᾶς τεταγμέναι, ἀλλήλαις ἑπόμεναι, ὥσπερ στρατόπεδον ἐπὶ κέρως βαδίζον· νήχονται δὲ, ἐπιθεῖσα ἑκάστη τὴν κορυφὴν τῇ τῆς ἡγουμένης ἰξύϊ· ἡ δὲ στρατηγοῦσα τῆς τάξεως, ἐπειδὰν κάμῃ, ἐπὶ οὐραῖον μεθίσταται, καὶ ἡγεῖται ἄλλη, καὶ οὐραγεῖ ἄλλη· ὡς ἐν τοῖς στρατοπέδοις Ξενοφῶν μὲν οὐραγεῖ, ἡγεῖται δὲ Χειρίσοφος· ὥστε καὶ στρατηγίας τακτικῆς μεταποιεῖται ταυτὶ τὰ θηρία.

4. Μήποτε οὖν αἴσθησις μὲν καὶ πεῖρα οὐκ ἀνθρώπινον, λόγος δὲ ἀνθρώπου ἴδιον· καὶ οὐδὲν ἂν εἴη ἄλλο ἐπιστήμη πλὴν βεβαιότης λόγου ὁδεύοντος κατὰ τὰ αὐτὰ, ἐκθηρωμένου τὰ συγγενῆ τῶν πραγμάτων, καὶ διακρίνοντος τὰ ἀνόμοια, καὶ τὰ ὅμοια συγκρίνοντος, καὶ τὰ οἰκεῖα συντιθέντος, καὶ τὰ συγκεχυμένα διαιροῦντος, καὶ τὰ ἀλλότρια χωρίζοντος, καὶ τὰ ἄτακτα συντάττοντος, καὶ τὰ ἀνάρμοστα ἁρμοζομένου. Τοιοῦτον γὰρ ἀμέλει καὶ ἀριθμητικὴ, καὶ γεωμετρία, καὶ μουσικὴ, καὶ ὅσαι ἄλλαι χειρουργίας ἀδεεῖς τῇ τοῦ λόγου ῥώμῃ ἐπεξῆλθον τοῖς αὐτῶν νοήμασι καὶ ἐξειργάσαντο. Καὶ μὴν Ὅμηρος οὐ ταύτας πρεσβυτάτας ἐπιστημῶν λέγει, παλαιὸς ἀνὴρ, καὶ ἀξιόχρεως δήπου πιστεύεσθαι, ἀλλὰ θαυμάζει τούτους μόνους, ὡς σοφούς,

jectus, fit tandem ut deficiant, ægreque supra aquam sustollant verticem : ergo hoc modo laborem illum allevant : sigillatim omnes natant ordine, ut alteram sequatur altera, non aliter quam in longam seriem instructus procedit exercitus; sequentis cujusque caput anterioris incumbit lateri, atque ita natant, dum defatigetur prima, quæ agmen ducit; quod quum fit, illa in tergo locatur; aliaque semper agmen ducit, alia a tergo est : sicut in castris tergo Xenophon, fronti præest Chirisophus. ut etiam in aciei instruendæ peritia aliquid sibi vindicent hæc animalia.

4. Unde sequi videtur, nec sensum nec experientiam, sed rationem proprium esse hominis : neque aliud quid scientia fuerit, quam firma ratio, quæ constanti norma procedit; cujus proprium est in res cognatas inquirere, res dissimiles separare, similes componere, proprias conjungere, confusas discernere, alienas distinguere, quæ denique sine ordine sunt, in ordinem redigere; quæ parum congruunt, quadrare. Ejusmodi revera sunt et arithmetice, et geometrice, et musice, aut si quæ aliæ non manuum opera, sed vi rationis suas notiones aggressæ sunt et perfecerunt. Quas Homerus tamen, et antiquus homo, et, ni fallor, fide dignissimus, neutiquam primo statuit loco; sed potius hos, tanquam solos sapientes, miratur,

Μάντιν, ἢ ἰητῆρα κακῶν, ἢ τέκτονα δούρων,
ἢ καὶ θέσπιν ἀοιδόν.

Aut vatem, medicumve, aut fabrum ligna secantem,
divinumve poetam.

Ὢ τῆς ἰσοτιμίας. Ὁ μάντις σοφὸς, καὶ ὁ τέκτων σοφὸς, καὶ ὁ Ἀπόλλων δήπου, καὶ ὁ ἰατρὸς, καὶ ὁ Ἀσκληπιὸς δήπου ὁμοίως τίμιος, καὶ ὁ Φήμιος. Μήποτ' οὖν Ὅμηρος μὲν ταῖς ἐπιστήμαις τὰς τιμὰς νέμει κατὰ τὴν εὕρεσιν μᾶλλον ἢ κατὰ τὴν χρείαν αὐτῶν; Ἡμῖν δὲ οὐ ταύτῃ θηρατέον, ἀλλὰ ὡδὶ λέγωμεν· ὅτι ἡ τοῦ ἀνθρώπου ψυχὴ τὸ εὐκινητότατον οὖσα τῶν ὄντων καὶ ὀξύτατον, κεκραμένη ἐκ θνητῆς καὶ ἀθανάτου φύσεως, κατὰ μὲν τὸ θνητὸν αὐτῆς ξυντάττεται τῇ θηριώδει φύσει, καὶ γὰρ τρέφει, καὶ αὔξει, καὶ κινεῖ, καὶ αἰσθάνεται· κατὰ δὲ τὸ ἀθάνατον τῷ θείῳ ξυνάπτει, καὶ γὰρ νοεῖ, καὶ λογίζεται, καὶ μανθάνει, καὶ ἐπίσταται· καθὸ δὲ ξυμβάλλουσιν αὐτῆς αἱ θνηταὶ φύσεις τῷ ἀθανάτῳ, τοῦτο πᾶν καλεῖται φρόνησις, διὰ μέσου οὖσα ἐπιστήμης πρὸς αἴσθησιν. Καὶ ἐστὶν ἔργον ψυχῆς, ὡς μὲν ἀλόγου, αἴσθησις· ὡς δὲ θείας, νοῦς· ὡς δὲ ἀνθρωπίνης, φρόνησις· ἀθροίζει δὲ αἴσθησις μὲν ἐμπειρίαν, φρόνησις δὲ λόγον, νοῦς δὲ βεβαιότητα· τὴν δὲ ἐξ ἁπάντων ἁρμονίαν ἐπιστήμην καλῶ· εἰ δέ τι δεῖ καὶ εἰκόνος τῷ λόγῳ, ἔστω ἡ μὲν αἴσθησις κατὰ τὴν ἐν τεκτονικῇ χειρουργίαν, ὁ δὲ νοῦς κατὰ γεωμετρίαν, ἡ δὲ φρόνησις οἷα καὶ τῶν ἀρχιτεκτόνων ἡ τέχνη, διὰ μέσου οὖσα γεωμετρίας καὶ τεκτονικῆς, πρὸς μὲν τὴν χειρουργίαν ἐπιστήμη τις οὖσα, πρὸς δὲ γεωμετρίαν ἐλαττουμένη κατὰ τὴν βεβαιότητα.

5. Διεῖληχε δὴ καὶ τὰς τῶν ἀνθρώπων δυνάμεις ἐπι-

O æqualitatem admirabilem! Et vates ergo sapiens est, et faber sapiens, et medicus sapiens : æqualis videlicet honor Apollini et Æsculapio et Phemio. Quare vide ne ex inventione magis, quam utilitate, artes æstimet Homerus. Nobis vero non eo modo est investiganda veritas, sed sic potius : Anima hominum res est, quæ et facillime movetur, et omnium est velocissima; constatque ex humana partim, partim ex divina natura : pars ejus quæ mortalis est, belluinam quam proxime attingit; nam et augmentum cum iis habet commune et nutrimentum, tum id quod movetur in ea et sentit : pars quæ immortalis est, ad divinam accedit; nam et intelligit, et ratione utitur, et discit, et scientiæ fit compos : jam qua natura ejus, quæ mortalis est, maxime ad immortalitatem accedit, id omne prudentiam vocamus; cui medium inter scientiam ac sentiendi facultatem locum tribuimus. Itaque opus animæ, qua ratione caret, est sensus; qua divina est, intellectus; qua humana est, prudentia : sensus autem experientiam colligit, prudentia rationem, certitudinem intellectus : hæc si apte inter se concinneque concurrant omnia, jam scientiam esse dico. Quodsi a simili confirmandum est quod dicimus, confer sensum cum fabrili opera, cum geometria intellectum, prudentiam cum architectonice, quæ ars, in medio sita geometriæ et fabrilis operæ, ad hanc collata scientia erit, ad illam vincetur certitudine.

5. Jam hæc tria, scientia, prudentia, et experientia, na-

στήμη, καὶ φρόνησις, καὶ ἐμπειρία. Καὶ ἡ μὲν ἐμπειρία, περὶ πῦρ καὶ σίδηρον καὶ ἄλλας ὕλας πραγματευομένη, παντοδαπὰς ἐρανίζει τὰς χρείας τοῦ βίου ταῖς εὐπορίαις τῶν τεχνῶν. Ἡ δὲ φρόνησις ἐπιτεταγμένη τοῖς τῆς ψυχῆς παθήμασι, καὶ οἰκονομοῦσα ταῦτα τῷ λογισμῷ, πρὸς μὲν ἐμπειρίαν ἐπιστήμης ἔχει λόγον, ἀπολείπεται δὲ ἐπιστήμης, καθόσον περὶ πρᾶγμα οὐχ ἑστὸς οὐδὲ ὡμολογημένον πραγματευομένη σχηματίζεται τῇ τούτου φύσει. Ὁ δὲ νοῦς τὸ τιμιώτατον ἐν ψυχῇ καὶ ἀρχικώτατον, καθάπερ ἐν πόλει νόμος, οὐκ ἐπ' ἀξόνων γεγραμμένος, οὐδὲ ἐπὶ στήλης ἐγκεχαραγμένος, οὐδὲ ὑπὸ ψηφισμάτων κεκυρωμένος, οὐδ' ὑπ' ἐκκλησίας κεχειροτονημένος, οὐδ' ὑπὸ δήμου ἐπῃνημένος, οὐδ' ὑπὸ δικαστηρίου δεδοκιμασμένος, οὐδ' ὑπὸ Σόλωνος ἢ Λυκούργου τεθείς· ἀλλὰ θεὸς μὲν ὁ νομοθέτης, ἄγραφος δὲ ὁ νόμος, ἀχειροτόνητος δὲ ἡ τιμή, ἀνυπεύθυνος δὲ ἡ ἐξουσία. Καὶ μόνος ἂν εἴη οὗτος νόμος· οἱ δὲ ἄλλοι, οἱ καλούμενοι, δόξαι ψευδεῖς καὶ διημαρτημέναι καὶ σφαλλόμεναι. Κατ' ἐκείνους τοὺς νόμους καὶ Ἀριστείδης ἔφευγε, καὶ Περικλῆς ἐζημιοῦτο, καὶ Σωκράτης ἀπέθνησκεν· κατὰ δὲ τὸν θεῖον τοῦτον νόμον καὶ Ἀριστείδης δίκαιος ἦν, καὶ Περικλῆς ἀγαθὸς ἦν, καὶ Σωκράτης φιλόσοφος. Ἐκείνων τῶν νόμων ἔργον δημοκρατία, καὶ δικαστήρια, καὶ ἐκκλησίαι, καὶ δήμου ὁρμαί, καὶ δημαγωγῶν δωροδοκίαι, καὶ τύχαι παντοδαπαί, καὶ συμφοραὶ ποικίλαι· τούτου τοῦ νόμου ἔργον ἐλευθερία, καὶ ἀρετή, καὶ βίος ἄλυπος, καὶ ἀσφαλὴς εὐδαιμονία. Ὑπ' ἐκείνων τῶν νόμων ἀθροίζεται μὲν τὰ δικαστήρια, πληροῦνται δὲ αἱ τριήρεις, ἐκπέμπονται δὲ οἱ στόλοι, τέμνεται γῆ, πολεμεῖται θάλαττα, Αἴγινα ἀνίσταται, Δεκέλεια τειχίζεται, Μῆλος ἀπόλλυται, Πλαταιαὶ ἁλίσκονται, Σκιώνη ἀνδραποδίζεται, Δῆλος καθαίρεται· ὑπὸ τούτων τῶν νόμων ἀρετὴ ἀθροίζεται, πληροῦται ψυχὴ μαθημάτων, οἰκεῖται οἶκος καλῶς, εὐνομεῖται πόλις, εἰρήνην ἄγει γῆ καὶ θάλαττα, οὐδὲν σκαιόν, οὐδὲ ἀπάνθρωπον, οὐδὲ βαρβαρικόν, πάντα εἰρήνης μεστά, καὶ ἐκεχειρίας, καὶ ἐπιστήμης, καὶ φιλοσοφίας, καὶ λόγων μουσικῶν.

6. Ὦ νόμοι νόμων πρεσβύτεροι, καὶ νομοθέται νομοθετῶν ἡμερώτεροι· οἷς ὁ μὲν ἑκὼν ὑπορρίψας ἑαυτόν, ἐλεύθερος, καὶ εὔπορος, καὶ ἀδεὴς ἐφημέρων νόμων καὶ ἀνοήτων δικαστῶν· εἰ δέ τινες παράνομοι ἐν τούτοις καὶ ὑβρισταὶ ἄνδρες, ἔχουσι τὴν δίκην, οὐκ Ἀθηναίων καταψηφιζομένων, οὐδὲ τῶν ἕνδεκα ἀπαγόντων, οὐδὲ τοῦ δημίου προσφέροντος τὸ φάρμακον, ἀλλ' αὐτόθεν ἐξ αὐτοφυοῦς καὶ ἑκουσίου μοχθηρίας·

Αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

Τοῦτον παραβὰς τὸν νόμον Ἀλκιβιάδης ἐδυστύχει, οὐχ ὁπότε αὐτὸν Ἀθηναῖοι ἐκ Σικελίας ἐκάλουν, οὐδ' ὁπότε ἐπηράσαντο αὐτῷ Κήρυκες καὶ Εὐμολπίδαι, οὐδ' ὁπότε ἔφευγεν ἔξω τῆς Ἀττικῆς· μικρὰ ταῦτα, καὶ καταδίκη εὐκαταφρόνητος (κρείττων γὰρ ἦν καὶ φεύγων Ἀλκιβιάδης τῶν οἴκοι μενόντων. οὗτος παρὰ Λακεδαιμονίοις

turalem in homine singulæ pro se promovere solent facultatem. Et experientia quidem circa ignem et ferrum reliquasque versatur materias, multarumque beneficio artium quælibet humanæ vitæ colligit commoda. Prudentia, quæ in animi affectionibus munus exercet suum, quas non aliter quam materfamilias ex rationis dirigit præscripto, si cum experientia conferatur, scientiæ vicem gerit; sin cum scientia, eo superatur, quod nec certam circa rem nec definitam versetur, ejusque semper se accommodet naturæ. At vero mens, summum animæ bonum, magnaque imperatrix, id in ea est, quod lex in urbe; non quæ in tabulis scribitur, aut columnis inciditur, aut decretis sancitur, aut concionis suffragiis sciscitur, aut a populo approbatur, aut in judicio recepta, aut a Solone lata est aut Lycurgo : ejus quippe legislator deus est, ipsa lex non scripta, et quæ nullis suffragiis auctoritatem debet suam, neque eorum, quæ jubet, cuiquam rationem reddit. Hæc sola lex est; reliquas vero, quas usus ita vocat, inanes merito opiniones vocaveris, male natas, falsas. Illis legibus Aristides debet quod exsulat; quod mulctatur, Pericles; Socrates, quod moritur : at si alteram hanc spectes, quæ divina est, justus Aristides erat, vir bonus Pericles, vir sapiens Socrates. Illarum opus est nimia populi potentia, judicia, conciones, cæci plebis impetus, principumque ejus corruptelæ, varii casus, incommoda plurima; hujus vero legis opus est libertas, virtus, tranquilla vita, stabilisque felicitas. Ex illarum præscripto frequenter in judicium curritur, triremes implentur, educuntur classes, terra vastatur, bello ardet mare, Ægina deficit, muro Decelia cingitur, perditur Melus, occupantur Platææ, Scione diripitur, Delos lustratur; ex harum vero virtus colligitur, præclaris impletur disciplinis animus, res privata honeste, publica præclaris regitur legibus, bellum nusquam est, ubique terra marique parta securitas, nihil usquam sinistrum, nihil inhumanum, nihil barbarum, pacis plena sunt omnia, omnia fœderum, ubique scientia viget, ubique sapientiæ studium, et liberales disciplinæ.

6. O legibus antiquiores leges! o legislatoribus mansuetiores legislatores! quibus si quis volens se submiserit, liber pariter divesque aget, nec quotidianis hisce legibus stultisque egebit judicibus : quicunque vero ab earum recesserint præscripto injusteque vixerint, pœnas illi subeunt; non quod Atheniensium damnentur suffragiis, aut ab undecimviris abducantur, aut denique e ministri publici manu venenum hauriant, minime; sed propria, sed innata, sed voluntaria improbitate sua;

Crimine nam periere suo pœnasque dedere.

Hanc legem ut transgressus est Alcibiades, infelix dicendus erat, non quum e Sicilia ab Atheniensibus ad dicendam causam vocaretur, non quum a sacris præconibus et ab Eumolpidis devoveretur, non quum Atticam relinqueret exul; vulgaria hæc sunt, levissimæ hæ pœnæ sunt (major enim et in exilio iis, qui manebant, erat Alcibiades; nam et apud

φεύγων εὐδοκίμει, οὗτος Δεκέλειαν ἐπετείχισεν, οὗτος Τισσαφέρνῃ φίλος, καὶ Πελοποννησίων ἡγεῖτο)· ἀλλ' ἡ ἀληθὴς Ἀλκιβιάδου δίκη πρεσβυτέρα μακρῷ, πρεσβυτέρου νόμου καὶ πρεσβυτέρων δικαστῶν. Ἡνίκα ἐξῆλθε Λυκείου, καὶ ὑπὸ Σωκράτους κατεγινώσκετο, καὶ ὑπὸ φιλοσοφίας ἐξεκηρύττετο· τότε φεύγει Ἀλκιβιάδης, τότε ἁλίσκεται. Ὢ καταδίκης πικρᾶς, καὶ ἀμειλίκτου ἀρᾶς, καὶ ἐλεεινῆς πλάνης. Τοιγαροῦν Ἀθηναῖοι μὲν αὐτὸν καὶ δεηθέντες κατεδέξαντο· φιλοσοφία δὲ, καὶ ἐπιστήμη, καὶ ἀρετὴ τοῖς ἅπαξ φεύγουσιν ἄβατος μένει καὶ ἀδιάλλακτος. Τοιοῦτον ἡ ἐπιστήμη, τοιοῦτον ἡ ἀμαθία.

7. Ἐγὼ δὲ καὶ τοὺς Μίνω νόμους ἐπιστήμην καλῶ, ἣν ἐδίδασκε μὲν ὁ Ζεὺς ἐν ἐνναετεῖ χρόνῳ, ἐμάνθανε δὲ ὁ Μίνως, εὐδαιμόνει δὲ τὸ Κρητῶν γένος. Καὶ τὴν Κύρου ἀρετὴν ἐπιστήμην καλῶ βασιλικὴν, ἣν ἐδίδασκε μὲν Κῦρος, Καμβύσης δὲ οὐκ ἐμάνθανεν, οὐδὲ Ξέρξης ἐμάνθανεν. Κῦρος μὲν γὰρ ἡγεῖτο Περσῶν, ὡς ποιμὴν θρεμμάτων, σώζων τὸ αἰπόλιον καὶ τρέφων, καὶ Μήδοις πολεμῶν, καὶ Βαβυλωνίους λαμβάνων, καὶ μηδενὶ ἐφιεὶς λύκῳ βαρβάρῳ καὶ ἅρπαγι ἀναμιχθῆναι τῇ ἀγέλῃ· Καμβύσης δ' ἦν καὶ αὖθις Ξέρξης ἐκ ποιμένων ἀγαθῶν πονηροὶ λύκοι, κείροντες τὴν ἀγέλην, καὶ τῆς ἐπιστήμης ἀπεληλαμένοι. Ἐγὼ καὶ τοὺς Λυκούργου νόμους ἐπιστήμην καλῶ μουσικήν. * *

ΛΟΓΟΣ ΙΓ'.

Πότερα χαλεπώτερα νοσήματα, τὰ τοῦ σώματος, ἢ τὰ τῆς ψυχῆς.

1. Ἄδεταί τι ἐξ ἀρχαίου ᾆσμα ἐν εὐχῆς μέρει,

Ὑγεία πρεσβίστα μακάρων,
μετὰ σοῦ ναίοιμι
τὸ λειπόμενον βιοτᾶς.

Ἐρωτῶ δὴ τὸν ποιητὴν τοῦ ᾄσματος, τίνα καὶ οὖσαν τὴν ὑγείαν ταύτην ξύνοικον αὐτῷ ἐλθεῖν παρακαλεῖ κατὰ τὴν εὐχήν. Ἐγὼ μὲν γὰρ ὑποπτεύω δαιμόνιόν τι εἶναι χρῆμα καὶ εὐχῆς ἄξιον· οὐ γὰρ ἂν εἰκῇ οὐδὲ ἐκ τοῦ προστυχόντος κατηξιώθη ᾠδῆς, καὶ ἔμεινεν ᾀδόμενον. Εἰ δὲ καὶ τοιοῦτόν ἐστιν, ὁποῖον αὐτὸ ὑποπτεύω εἶναι, ἀποκρινάσθω ἡμῖν ὑπὲρ τοῦ ποιητοῦ ὁ λόγος αὐτός· δύο γὰρ ὄντοιν ἐν τῇ τοῦ ἀνθρώπου ἁρμονίᾳ, ψυχῆς καὶ σώματος, εἰ μὲν οὐ πέφυκε ψυχὴ νοσεῖν, ἦν ἂν δήπου τὸ ᾆσμα τοῦτο εὐχὴ σώματος, τοῦ καὶ πεφυκότος νοσεῖν καὶ ὑγείας ἐρῶντος· εἰ δὲ ἀμφοῖν ὁμοίως συγκεχραμένων μὲν πρὸς τὸ κάλλιστον ὑπὸ τῆς φύσεως, ταραττομένων δὲ ὑπὸ τῆς παροινίας τῶν μερῶν, ἐπειδὰν πλεονεκτήσῃ τι ἐν αὐτοῖς, ὡς ἐν πόλει δῆμος ἢ τύραννος, κωλύει τὰ ἄλλα καὶ λυμαίνεται αὐτῶν τῇ συμμετρίᾳ, καλοῦμεν δὲ ἑκατέραν πλεονεξίαν, τὴν μὲν ψυχῆς, τὴν δὲ σώματος, καὶ πρὸς μὲν αὐτὸ ἑκάτερον ὁμοίως ὑγείας ἐνδεές, πρὸς δὲ τὸ πλησίον οὐ κατ' ἰσηγορίαν τάττεται· τὴν ποτέρου αὐτοῖν συμμετρίαν καὶ σωτηρίαν πρεσβίσταν

Lacedæmonios exul vixit cum gloria, postea et Deceliam munivit, et amicus Tissaphernis, et dux fuit Peloponnesiis), sed vera illa, de qua loquor, Alcibiadis pœna multo antiquior, ab antiquiore irrogata lege antiquioribusque judicibus. Quum Lyceum relinqueret, quum a Socrate damnaretur, quum a philosophia proscriberetur, tum exulare cœpit Alcibiades, tum capi. O proscriptionem gravem! o diras implacabiles! o miserrimum errorem! Igitur postea etiam cum precibus receperunt eum Athenienses; philosophia vero, et scientia, et virtus, quem semel proscripserunt, nunquam admittunt, nunquam in gratiam recipiunt. Talis est scientia, talis ignorantia.

7. Ego vero et Minois leges scientiam vocare non dubitem, quam novem annis Juppiter docuit, Minos didicit, cum bono suo Cretensium gens sequebatur. Ego et virtutem Cyri regiam dico scientiam, quam docebat quidem Cyrus, non discebat tamen Cambyses, non discebat Xerxes. Cyrus enim Persis haud secus imperabat, quam pecoribus pastor: ille saluti gregis prospicit et pabulo, ille in Medos bellum movet, ille Babylonios invadit; lupis vero barbaris et rapacibus ne aditum quidem ad gregem permittit. Cambyses vero, et postea Xerxes, erant pro bonis pastoribus lupi improbi, gregem deglubentes vel absumentes, longissime remoti a scientia. Ego et Lycurgi leges voco scientiam musicam. * *

DISSERTATIO XIII.

Corporisne, an animi, graviores sint morbi.

1. Jam inde antiquitus carmen quoddam canitur, quod votum continet hujusmodi,

Divarum dea Sanitas,
tecum sit mihi vivere,
vitæ quod superest meæ!

Velim equidem ex poeta carminis audire, quænam sit illa sanitas, cujus sibi optat voto suo contubernium. Ego quidem et divinam esse rem arbitror, et quæ merito precibus expetatur; nec enim verisimile est, aut frustra in cantico celebratam esse, aut sine ratione hoc ab omnibus hodieque cani. Quod nisi me augurium fallit, vereque de ea judico, respondeat nobis pro poeta ipsa ratio: nam duo quum sint quæ constituunt hominem, anima et corpus, si quidem probari posset nullum esse morbum animæ, necessario sequeretur corporis hoc votum esse, quod et potest natura sua in morbum incidere, et cupit bene valere. Sin vero ita se res habet, ut utrumque simul naturæ quidem beneficio quam aptissime sit mixtum, sed facillime singulorum insolentiâ concitari soleat membrorum, quum aliquod plus æquo sibi vindicat eorum, ut in urbe populus aut tyrannus, non sibi modo sed et aliis officit, totumque, quo inter se cohærent amicissime, vinculum dissolvit (non minus autem hæc quam illa injusta dicitur cupiditas, quamvis animæ altera, altera sit corporis, et respectu quidem sui utrique æque sanitate opus est, respectu vero alterius non eadem definiri potest æqualitas): quæro utrius congruentia salus-

μακάρων ὀνομάζωμεν; Ἵνα δὴ καὶ τὴν ἑκατέρου νόσον ἐκ τοῦ ἐναντίου θεασώμεθα, ποτέρα τῷ ἀνθρώπῳ μεῖζον κακὸν, φέρε δὴ οὑτωσὶ τὸ πᾶν διαιτήσωμαι.

2. Ψυχὴ καὶ σῶμα ὁ ἄνθρωπος, τὸ μὲν αὐτοῦ ἄρχον, τὸ δὲ ἀρχόμενον, ὡς ἐν πόλει ἄρχων καὶ ἀρχόμενος· καὶ ἔστι καὶ ὁ ἄρχων πόλεως μέρος, καὶ οἱ ἀρχόμενοι παραπλησίως· πότερον δὴ τῶν μερῶν τούτων πράττον κακῶς λυμαίνεται τῇ πόλει; Νοσείτω δῆμος ἐν δημοκρατίᾳ, ἀλλὰ Περικλῆς ὑγιαίνων, ἄρχων ἀγαθὸς, ἐπανορθοῖ τὴν τοῦ δήμου νόσον· νοσείτω Συρακοσίοις Διονύσιος τυραννικὴν νόσον, ἀλλ' ὁ δῆμος ὑγιαίνων ἐξασθενεῖ πρὸς τὴν σωτηρίαν. Βούλει δὴ τὸ μὲν σῶμα εἶναί σοι οἷον δῆμον, τὴν δὲ ψυχὴν ὥσπερ δυνάστην; θέασαι τοίνυν, καὶ παράβαλε τὴν εἰκόνα. Ὁ δῆμος πλέον ἢ ὁ ἄρχων, καὶ τὸ σῶμα πλέον ἢ ἡ ψυχή· δῆμος ἔμπληκτον, καὶ τὸ σῶμα ὅμοιον· δῆμος πολυμερὲς καὶ πολύφωνον καὶ πολυπαθὲς, * * δῆμος ἐξ ἀνομοίων πολλῶν καὶ παντοδαπῶν συγκεκραμένον, καὶ τὸ σῶμα ἐξ ἀνομοίων πολλῶν καὶ παντοδαπῶν συγκεκραμένον· δῆμος χρῆμα ὀξὺ ἐν ὀργαῖς, ἰσχυρὸν ἐν ἐπιθυμίαις, ὑγρὸν ἐν ἡδοναῖς, δύσθυμον ἐν λύπαις, χαλεπὸν ἐν θυμοῖς· ταὐτὰ καὶ σώματος πάθη, καὶ γὰρ ἐπιθυμητικὸν, καὶ αἰτητικὸν, καὶ φιλήδονον, καὶ ὁρμητικόν. Φέρε, καὶ τὸν ἄρχοντα τῷ ἄρχοντι εἰκάζωμεν. Ἄρχων ἐν πόλει προστακτικώτατον, καὶ τιμιώτατον, καὶ ἰσχυρότατον, ψυχὴ ἐν ἀνθρώπῳ προστακτικώτατον, καὶ τιμιώτατον, καὶ ἰσχυρότατον· ἄρχων τῇ φύσει φροντιστικώτατον, καὶ λογιστικώτατον, τὸ δὲ αὐτὸ καὶ ἡ ψυχή· ὁ ἄρχων αὐτεξούσιον, καὶ ἡ ψυχή. Τούτων τοίνυν οὕτως ἐχόντων, τὴν ποτέρου νόσον χαλεπωτέραν φήσομεν, καὶ ἐν ἀνθρώπῳ, καὶ ἐν πόλει; οὐ τὸ κρεῖττον νοσοῦν ἀνιαρότερον τῷ ὅλῳ; δῆμος μὲν γὰρ κάμνων, ὑγιαίνοντος ἄρχοντος, ἐν ἐλευθέρᾳ τῇ πόλει νοσεῖ· ἄρχοντος δὲ νοσοῦντος, δουλεία πόλεως. Συνελόντι δ' εἰπεῖν, ψυχὴ σώματος τιμιώτερον· τὸ δὲ τοῦ τιμιωτέρου ἀγαθὸν, μεῖζον· τὸ δὲ τῷ μείζονι ἀγαθῷ ἐναντίον, μεῖζον κακόν· ἀγαθὸν δὲ μεῖζον ὑγεία ψυχῆς ὑγείας σώματος· μεῖζον οὖν κακὸν νόσος ψυχῆς νόσου σώματος. Ὑγεία μὲν σώματος τέχνης ἔργον, ὑγεία δὲ ψυχῆς, ἀρετῆς ἔργον· νόσος ψυχῆς μοχθηρία, νόσος σώματος δυστυχία· ἑκούσιον ἡ μοχθηρία, ἀκούσιον ἡ δυστυχία· ἐλεεῖται τὰ ἀκούσια, μισεῖται τὰ ἑκούσια· τὰ ἐλεούμενα βοηθεῖται, τὰ μισούμενα κολάζεται· τὰ βοηθούμενα μέτρια, τὰ κολαζόμενα χείρω.

3. Πάλιν αὖ τὴν ὑγείαν ἐφ' ἑκατέρου σκόπει. Ἡ μὲν πάντων ἀδεὴς, ἡ δὲ πάντων ἐνδεής· ἡ μὲν εὐδαιμονίαν χορηγεῖ, ἡ δὲ κακοδαιμονίαν πορίζεται· ἡ μὲν ἄμοιρος κακοῦ, ἡ δὲ ἐπισφαλὴς εἰς μοχθηρίαν· τῇ μὲν ἀέναος ὑγεία, τῷ δὲ ἐφήμερος· τῇ μὲν βέβαιος, τῷ δὲ ἄστατος· τῇ μὲν ἀθάνατος, τῷ δὲ θνητή. Σκόπει καὶ τὰς νόσους. Νόσος σώματος εὐαπάλλακτος τῇ τέχνῃ, νόσος ψυχῆς δυσμετάβλητος τῷ νόμῳ· ἡ μὲν τὸν ἔχοντα ἀνιῶσα ποιεῖ πρὸς τὴν ἴασιν εἰκτικώτερον, ἡ δὲ ἐξαναλοῦσα τὸν ἔχοντα, ὑπερορᾷν τῶν νόμων παρασκευάζει· τῇ μὲν βοηθοῦσι θεοὶ, τὴν δὲ μισοῦσιν· πόλεμον οὐ κινεῖ

que *divarum dea* sit appellanda? Quare, ut ex collatione utriusque morbi constet de utroque, uter sit majus homini malum, hoc modo rem totam decidamus.

2. Homo totus anima et corpus est; illa imperat, hoc paret; quemadmodum in urbe est magistratus, est populus: non minus autem urbis pars est qui paret, quam qui imperat: utrius vero morbus plus nocet urbi? Laboret in statu populari populus; at recte valet Pericles, imperator optimus, et facile hunc populi morbum curabit: laboret Syracusanis morbo tyrannico Dionysius; populus valet, at rei conservandæ par non est futurus. Vin' igitur populum cum corpore, cum anima conferamus principem? hoc fac, et in utraque imagine contemplare et compone singula. Major est populus, quam imperator; et molis majoris corpus, quam anima: stolidus est populus, tale est corpus; populus est multiplex, nec diversa tantum loquitur, sed et sentit; [eodem modo corpus;] ex dissimilibus multis mixtus est populus et variis; eodem modo corpus; populi ira vehemens, libido violenta, voluptas est dissoluta, mœret sine spe, inflammatur sine modo: invenies eadem in corpore; nam et libidine facile accenditur, et quidvis petit, voluptatem sequitur, impetuosum est. Age, cum principe conferamus principem. Princeps in civitate lubenter sibi vindicat imperium, honorem, potestatem; anima in homine eadem appetit: princeps natura cogitabundus est, et ratione subducta colligit; eodem modo et anima: princeps sui juris est; ita et anima. Quæ quum ita sint, utrius graviorem censebimus esse morbum et in urbe et in homine? an non pars melior male affecta, plus nocet toti? salvo enim magistratu, æger populus in libera civitate ægrotat: at quando princeps male sanus est, servitutem servit civitas. Ut breviter dicam, anima corpori præfertur ab omnibus. Jam quod præfertur bonum, majus est; quod autem majori bono contrarium est, majus est malum: sanitas autem animæ corporis sanitate majus bonum est; morbus ergo animæ morbo corporis majus est malum. Et corporis sanitas artis opus est; animæ vero, virtutis: animæ morbus est improbitas; corporis, externa calamitas: voluntaria est improbitas, invito evenit calamitas: quæ invito eveniunt, misericordia; quæ a volente fiunt, odio persequimur: misericordiam auxilium, odium vero sequitur supplicium: jam quæ auxilio digna judicamus, meliora; quæ supplicio, pejora sunt.

3. Rursus sanitatem utriusque in utroque specta. Altera quidem omnibus eget, altera nullo: altera beatitudinem largitur, altera infelicitatem confert: altera mali immunis est, propendet fere ad improbitatem altera: alterius perpetua sanitas, alterius in diem est: alterius solida, alterius incerta est: immortalis alterius, mortalis alterius. Vide et morbos vicissim. Morbus corporis arte curatur facillime, malum animæ lege difficulter restituitur: alter dolore suo efficit, ut curari æger desideret; alter absumtum eo redigit, ut et leges contemnat: alteri subsidium a diis paratum est, alteri odium: nullius unquam belli causa morbus exstitit corporis, plu-

νόσος σώματος, διὰ δὲ ψυχῆς νόσον οἱ πολλοὶ πόλεμοι· οὐδεὶς νοσῶν τὸ σῶμα συκοφαντεῖ, ἢ τυμβωρυχεῖ, ἢ λῃΐζεται, ἤ τι ἄλλο δρᾷ κακὸν μέγα· * * νόσος σώματος ἀνιαρὸν τῷ ἔχοντι, νόσος ψυχῆς ἀνιαρὸν καὶ τῷ πλησίον.

4. Θέασαι τὸ λεγόμενον ὡδὶ σαφέστερον ἐπὶ πολιτικῆς εἰκόνος. Ἀθήνησιν ἐν δημοκρατουμένῃ πόλει, καὶ ἀκμαζούσῃ πλήθει ἀνδρῶν καὶ μεγέθει ἀρχῆς καὶ δυνάμει χρημάτων καὶ εὐπορίᾳ στρατηγῶν, ὑπὸ Περικλεῖ δυναστεύοντι, λοιμὸς ἐμπεσὼν, ἐξ Αἰθιοπίας ἀρξάμενος, καὶ καταβὰς διὰ τῆς βασιλέως γῆς, καὶ τελευτήσας ἐκεῖ, καὶ ἱδρυθεὶς αὐτόθι, ἔφθειρε τὴν πόλιν· συνεπελάμβανε δὲ τῇ τοῦ κακοῦ ἐπιδημίᾳ καὶ ἐκ Πελοποννήσου πόλεμος. Δῃουμένης δὲ τῆς γῆς, καὶ φθειρομένης τῆς πόλεως, καὶ ἀναλισκομένων τῶν σωμάτων, καὶ μαραινομένης τῆς δυνάμεως, καὶ ἀπαγορεύοντος τῇ πόλει τοῦ σώματος, εἷς ἀνὴρ, οἷον ψυχὴ πόλεως, ὁ Περικλῆς ἐκεῖνος, ἄνοσος καὶ ὑγιὴς μένων, ἐξώρθου τὴν πόλιν καὶ ἀνίστη, καὶ ἀνεζωπύρει, καὶ ἀντετάττετο τῷ λοιμῷ καὶ τῷ πολέμῳ. Θέασαι δὴ καὶ τὴν δευτέραν εἰκόνα. Ὅτε μὲν ὁ λοιμὸς ἐπέπαυτο, καὶ τὸ πλῆθος ἔρρωτο, καὶ ἡ δύναμις ἤκμαζε· τότε δὴ τὸ ἀρχικὸν μέρος τῆς πόλεως ἐνόσει νόσον δεινὴν καὶ ἐγγύτατα μανίας, καὶ κατελάμβανε τὸ πλῆθος, καὶ τὸν δῆμον συννοσεῖν προσηνάγκαζε. Ἦ γὰρ οὐχ οὗτος ὁ δῆμος καὶ Κλέωνι συνεμαίνετο, καὶ Ὑπερβόλῳ συνενόσει, καὶ Ἀλκιβιάδῃ συνεφλέγετο, καὶ τελευτῶν τοῖς δημαγωγοῖς συνετήκετο, καὶ συνεσφάλλετο, καὶ συναπώλλυτο, ἄλλου ἄλλοσε τὴν δειλαίαν καλοῦντος,

Δεῦρ' ἴθι, νύμφα φίλη, ἵνα θέσκελα ἔργα ἴδηαι;

καὶ δείκνυσι μὲν Ἀλκιβιάδης Σικελίαν, δείκνυσι δὲ Κλέων Σφακτηρίαν, καὶ ἄλλος ἄλλην γῆν ἢ θάλατταν, ὡς πυρέττοντι πηγὰς καὶ φρέατα. Ταῦτά ἐστιν ὑμῶν, ὦ πονηροὶ, τὰ θέσκελα ἔργα, φθορὰ καὶ ἀνάστασις, καὶ κακῶν ἀκμὴ, καὶ φλεγμονὴ νόσου. Τοῦτο δύναται καὶ ψυχῆς νόσος πρὸς σώματος νόσον παραβαλλομένη. Νοσεῖ σῶμα, καὶ ταράττεται, καὶ φθείρεται· ἀλλ' ἐὰν ἐπιστήσῃς αὐτῷ ψυχὴν ἐρρωμένην, ἀμελεῖ τῆς νόσου, καὶ ὑπερφρονεῖ τοῦ κακοῦ· ὡς Φερεκύδης ὑπερεφρόνει ἐν Σύρῳ κείμενος, τῶν μὲν σαρκῶν αὐτῷ φθειρομένων, τῆς δὲ ψυχῆς ἑστώσης ὀρθῆς, καὶ καραδοκούσης τὴν ἀπαλλαγὴν τοῦ δυσχρήστου τούτου περιβλήματος.

5. Φαίην δ' ἂν ἔγωγε, οὐδὲ ἀκούσῃ εἶναι τῇ γενναίᾳ ψυχῇ φθορὰν σώματος· οἷον εἰ καὶ δεσμώτην ἐννοήσαις ὁρῶντα σηπόμενον καὶ διαρρέον τὸ τειχίον τοῦ δεσμωτηρίου, ἀναμένοντα τὴν ἔκδυσιν καὶ τὴν ἐλευθερίαν τοῦ εἱργμοῦ, ἵνα ἐκ πολλοῦ καὶ ἀφεγγοῦς ζόφου, οὗ τέως κατορώρυκτο, ἀναβλέψῃ πρὸς τὸν αἰθέρα, καὶ ἐμπλησθῇ λαμπροῦ φωτός· ἢ οἴει ἄνδρα ἠσκημένον καλῶς καὶ διαπεπονημένον τῷ σώματι ταραχθῆναι ἂν τῶν χλανιδίων αὐτῷ διαρρηγνυμένων· ἀλλ' οὐκ ἂν ἀπορρίψαι αὐτὰ ἄσμενον, καὶ παραδοῦναι τὸ σῶμα τῷ ἀέρι, γυμνὸν γυμνῷ, φίλον φίλῳ, ἐλεύθερον ἐλευθέρῳ; Τί οὖν ἄλλο ἡγεῖ τῇ ψυχῇ εἶναι τὸ δέρμα τοῦτο καὶ τὰ

rimorum animæ: nemo corporis vitio sycophantias struit, aut tumulis mortuorum, aut viventium insidiatur bonis, aut atrox aliquod committit facinus, [sed animæ vitio;] denique morbus corporis illi tantum molestus est, qui eo afficitur; animæ morbus etiam viciniæ omni.

4. Quod ut magis intelligas, e republica aliqua spectato exemplum. Magistratu Athenis Pericle, quo tempore et populi potestas ea in urbe fuit summa, neque minor hominum frequentia, et tam imperii magnitudine, opumque vi, quam ducum copia militarium floreret respublica, urbem pestis invasit. Hæc pestis ex Æthiopia ortum sumpsit, per Persiam descendit, Athenis vero quasi statione fixa desedit, totamque gravissime urbem afflixit. Huic malo Peloponnesiacum accessit bellum. Ergo et ager ab hostibus diripi, et urbs interire, nec homines tantum, sed et imperii paullatim deflorescere potentia, totum denique malo suo civitatis corpus succumbere. Restabat unus vir, velut urbis anima, Pericles ille, qui, quum morbi immunis esset ipse, rempublicam afflictam consilio erexit ac sustinuit, exstinctam propemodum excitavit, solus denique cum peste congressus est et bello. Jam comparato alterum exemplum. Quum jam pestis desiisset, prorsus populus valeret, reipublicæ de integro floreret potentia; tunc magistratus morbo conflictari cœpit gravissimo et qui parum ab insania abesset: hic morbus et plebem invasit, et populum contagione sua infecit. Quid enim? nonne et insania Cleonis, et morbus Hyperboli, et ardor Alcibiadis infecere populum, donec cum ducibus postremo suis defecit paullatim, cecidit, interiit, dum alius alio afflictam civitatem vocaret,

Huc age, Nympha, veni, divinaque conspice gesta?

et ut febricitanti fontes qui monstrat et puteos; ita Siciliam Alcibiades, Sphacteriam Cleo, alius denique terram aliam ostendit aut mare. Hæc, scelesti, gesta vestra sunt, quæ divina dicitis; pernicies manifesta et eversio, mali vis maxima ac fomes morbi. Idem valet morbus animi, si cum morbo conferatur corporis. Fac laborare corpus, torqueri, corrumpi; præsit illi vegeta anima et robusta, facile morbum contemnit, facile contemnit malum. Sic Pherecydes quum in Syro insula decumberet, supra morbum tamen erat; et quum paullatim carnes ejus liquescerent, erecta tamen stabat anima, nec aliud quam tempus exspectabat, quo inutiles has deponeret exuvias.

5. Ausim ego dicere, ne invita quidem, quæ generosa sit, anima corpus corrumpi: ut si vinctum tibi proponas hominem, qui dum carceris sui putrescere ac defluere paullatim muros videt, et ruinam minari, stat tantisper, exitumque e vinculis exspectat et libertatem; ut e multa illa densaque, in qua adhuc sepultus jacuerat, caligine cœlum suum videat, puraque luce penitus fruatur. Nisi forte hominem, qui multis se validisque corporis ad robur exercuit laboribus, laceras quum vestes suas intuetur, commoveri posse animo arbitreris; ac non abjecturum eas potius libenter, ut corpus suum aeri, nudum nudo, amicum amico, liberum libero permittat. Quid autem aliud animæ respectu

ὀστᾶ καὶ τὰς σάρκας, ἢ χλανίδια ἐφήμερα, καὶ ῥακία ἀσθενῆ καὶ τρύχινα; Ταῦτα καὶ σίδηρος διαρρήγνυσι, καὶ πῦρ τήκει, καὶ ἕλκη ἐπινέμεται. Ἡ μὲν οὖν ἀγαθὴ ψυχὴ καὶ διαπεπονημένη καὶ ἠσκημένη ἀμελεῖ, καὶ ὡς τάχιστα ἐφίεται γυμνωθῆναι· ὥστε κἂν ἐπιφθέγξαιτό τις τῷ γενναίῳ ἀνδρὶ, νοσοῦντα τῷ σώματι θεασάμενος, τὸ τοῦ Ὀδυσσέως ἐκεῖνο,

Οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει·

Ἡ δὲ δειλὴ ψυχὴ κατορωρυγμένη ἐν σώματι, ὡς ἑρπετὸν νωθὲς εἰς φωλεὸν, φιλεῖ τὸν φωλεὸν, καὶ οὐδεπώποτε θέλει ἀπαλλαγῆναι αὐτοῦ, οὐδὲ ἐξερπύσαι, ἀλλὰ καιομένῳ συγκάεται, καὶ σπαραττομένῳ συσπαράττεται, καὶ ἀλγοῦντι τῷ σώματι συναλγεῖ, καὶ βοῶντι συμβοᾷ.

Ὦ ποῦς, ἀφήσω σε;

ὁ Φιλοκτήτης λέγει. Ἄνθρωπε, ἄφες, καὶ μὴ βόα, μηδὲ λοιδοροῦ τοῖς φιλτάτοις, μηδὲ ἐνόχλει τὴν Λημνίων γῆν.

Ὦ θάνατε παιάν·

εἰ μὲν ταῦτα λέγεις ἀλλαττόμενος κακὸν κακοῦ, οὐκ ἀποδέχομαι τῆς εὐχῆς· εἰ δὲ ἡγεῖ τῷ ὄντι τὸν θάνατον παιᾶνα εἶναι καὶ ἀπαλλακτὴν κακοῦ καὶ ἀπλήστου καὶ νοσεροῦ θρέμματος, ἡγεῖ καλῶς· εὔχου, καὶ κάλει τὸν παιᾶνα.

6. Καὶ δὴ φέρων με ὁ λόγος εἰς παράδειγμα ἐμβέβληκε σαφέστερον οὗ πάλαι ποθῶ ἐνδείξασθαι ὑμῖν. Ἐν γὰρ τοῖς Ἀχαιοῖς τότε ἦν που σώματα μυρία,

Ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ,

ὑγιῆ πάντα, ἄνοσα, καὶ ἰσχυρὰ, καὶ ἄρτια, τῷ τῶν πολεμίων τείχει περιχεόμενα ἐν δεκαέτει χρόνῳ ἐπέραινεν οὐδὲν, οὐχ ὁ Ἀχιλλεὺς διώκων, οὐχ ὁ Αἴας μένων, οὐχ ὁ Διομήδης ἀναιρῶν, οὐχ ὁ Τεῦκρος τοξεύων, οὐχ ὁ Ἀγαμέμνων βουλευόμενος, οὐχ ὁ Νέστωρ λέγων, οὐχ ὁ Κάλχας μαντευόμενος, οὐχ ὁ Ὀδυσσεὺς σοφιζόμενος. Ἀλλ' ὁ θεὸς λέγει· Ὦ καλὰ καὶ γενναῖα γῆς Ἑλλάδος θρέμματα, μάτην πονεῖτε, μάτην διώκετε, κενὰ τοξεύετε, κενὰ βουλεύεσθε· οὐ γὰρ ἂν ἄλλως ἕλοιτε τουτὶ τὸ τεῖχος, πρὶν ὑμῖν ἐπίκουρος ἔλθῃ ψυχὴ μὲν ἐρρωμένη, σῶμα δὲ νοσοῦν, ὀδωδὸς καὶ χωλεῦον, καὶ διαβεβρωμένον ὑπὸ τῆς νόσου. Οἱ δὲ ἐπείσθησαν τῷ θεῷ, καὶ ἤγαγον ἐκ Λήμνου σύμμαχον, ψυχὴν μὲν ὑγιᾶ, σῶμα δὲ νοσοῦν.

7. Εἰ δὲ βούλει, σκέψαι μεταβαλὼν τῆς ψυχῆς νόσον ἐν σώματι ὑγιεινῷ. Νοσεῖ ψυχὴ τὴν ἡδονῆς νόσον, τήκεται, καὶ μαραίνεται· τί χρήσῃ τῷ νοσοῦντι; τίς ὄνησις σώματος τοιαύτῃ ψυχῇ; Σαρδανάπαλλος νοσεῖ· οὐχ ὁρᾷς ὡς καὶ ἐπὶ τὸ σῶμα αὐτῷ τὸ κακὸν ἔρχεται; ἐντρίβεται ὁ δύστηνος, καὶ λεαίνεται, καὶ τὼ ὀφθαλμὼ συντήκεται, καὶ οὐκ ἀνεχόμενος τὴν νόσον, ἐπὶ πῦρ ἦλθεν. Νοσεῖ Ἀλκιβιάδης· πῦρ αὐτὸν ἐπινέμεται

esse hanc pellem, hæc ossa, has carnes, quam diei unius penulam, aut pannos tenues, vel scruta, arbitraris? Hæc et ferrum scindit, et ignis consumit, et depascuntur vulnera. Præclara igitur, multisque ac validis subacta laboribus negligit ea anima, neque aliud petit, quam ut actutum exuatur: ut merito aliquis, qui fortem corporis in morbo deprehendit virum, illud quod de Ulysse dicitur, de eo usurpare possit,

E pannis quantos genuum pater exhibet orbes!

Degener vero sepulta in corpore latet anima, lustrumque amat suum, non secus quam, quæ humi serpunt, lustra sua belluæ; nec mutat illud unquam, neque erepit; sed comburitur, discerpitur, dolet, ejulatur una cum corpore suo.

Ten', pes, relinquam?

inquit Philoctetes ille. Tu vero relinque eum, mi homo, ne clama, neve amicis propterea tuis maledicas, aut Lemniorum terræ infestus esto.

O mors, malorum medice!

hæc si quasi commutaturus cum malo malum dicis, votum tuum non accipio: sin revera existimas mortem non aliud quam medicum vindicemque improbi hujus esse corporis, quod nec expleri unquam potest nec convalescere, recte sentis; perge supplicare, medicum implora.

6. Verum enimvero ejus, quod dudum probare vobis studeo, disertius mihi exemplum ipsa sua sponte suppeditavit oratio. Vigebant enim inter Græcos infinita tum temporis corpora, quot

Vere novo frondes aut flores parturit annus;

quæ quum valerent optime, et sine morbo viverent ullo, robore præterea membrisque essent integris, hostium urbi circumfusi per decennium, laborem irritum habebant; nec quicquam effecit Achilles, dum hostes persequitur, nec Ajax dum sustinet, nec Diomedes dum mactat, non arcu Teucer, non consilio Agamemno, nec oratione Nestor, nec divinatione Calchas, nec dolis Ulysses. Verum deus illis, Audite, præstantissimi, inquit, Græciæ alumni, frustra laboratis, frustra fugatis hostem, frustra sagittas emittitis, frustra consilium initis: nec enim spes est ulla, hæc ut expugnetis mœnia, nisi auxilium impetretis ab homine, cujus recte valet anima, corpus vero graviter affectum male putet, claudicat, morbo exesum est. Illi dicto audientes sunt deo, sociumque belli e Lemno adducunt, hominem cui sana anima, ægrum esset corpus.

7. Jam vice versa, si placet, animæ morbum in sano considera corpore. Voluptatis morbo anima affligitur, liquitur, tabescit: quid facias hoc ægro? quid corpus prodest animæ ejusmodi? Hoc morbo Sardanapallus laborat: nonne vides gliscere malum et ad corpus quoque illi transire? fricat se miserrimus mortalium, et depilat, oculi libidine tabescunt, donec de morbo desperat suo, et in ignem semet jacit. Laborat et Alcibiades: magna vehemensque inflam-

πολὺ καὶ ἄγριον, καὶ τοὺς λογισμοὺς ἐπιταράττει ἐγγύτατα μανίας, καὶ περιφέρει πανταχοῦ, ἀπὸ μὲν Λυκείου ἐπὶ τὴν ἐκκλησίαν, ἀπὸ δὲ τῆς ἐκκλησίας ἐπὶ τὴν θάλατταν, ἀπὸ δὲ τῆς θαλάττης ἐπὶ Σικελίαν, κἀκεῖθεν εἰς Λακεδαίμονα, εἶτα παρὰ τοὺς Πέρσας, καὶ ἀπὸ Περσῶν ἐπὶ Σάμον, καὶ ἀπὸ Σάμου ἐπὶ τὰς Ἀθήνας, καὶ ἐπὶ τὸν Ἑλλήσποντον αὖθις, καὶ πανταχοῦ. Νοσεῖ Κριτίας νόσον πικρὰν καὶ παντοδαπὴν, καὶ οὐχ ἰάσιμον, ὡδὲ ἀνασχετὴν τῇ πάσῃ πόλει. Καίτοι τούτοις τὰ σώματα ὑγιῆ καὶ ἄρτια· ἁδρὸς μὲν γὰρ ὁ Σαρδανάπαλλος, καλὸς δὲ ὁ Ἀλκιβιάδης, ἰσχυρὸς δὲ ὁ Κριτίας· ἀλλὰ τὴν ὑγείαν ἐπὶ τούτων μισῶ. Νοσείτω Κριτίας, ἵνα μὴ τυραννῇ· νοσείτω Ἀλκιβιάδης, ἵνα μὴ ἐπὶ Σικελίαν Ἀθηναίους ἄγῃ· νοσείτω Σαρδανάπαλλος (βέλτιον γὰρ αὐτῷ διὰ νόσον κεῖσθαι μᾶλλον ἢ διὰ ἡδονήν), μᾶλλον δὲ φθειρέσθω πᾶς, ὅτῳ ἐπιρρεῖ ἀέναος πονηρία. Ὥσπερ γὰρ τὰ ἑρπηστικὰ τῶν ἑλκῶν τοῖς σώμασιν ἐμπεσόντα πρόσω νέμεται, καὶ τοῦ ὑγιαίνοντός τι ἀεὶ προσαπόλλυσι, καὶ πρὸς τὰς ἰάσεις ἀγριαίνει, ἕως ἂν ἡ τέχνη τὴν κρηπῖδα καὶ τὴν ἕδραν τοῦ νοσήματος ἐκτέμῃ· ὡς δὲ καὶ ὅτῳ ὕπουλος καὶ διαβεβρωμένη καὶ σαθρὰ οὖσα ἡ ψυχὴ ἐπινέμεται πρόσω τε καὶ τὰ πλησίον ἀεὶ καταλαμβάνει, ἐκτμητέον δὴ αὐτῆς καὶ ἀφαιρετέον τὰς δυνάμεις τῶν σωμάτων, ὡς ληστοῦ χεῖρας, ὡς ἀκολάστου ὀφθαλμοὺς, ὡς λίχνου γαστέρα. Κἂν γὰρ ἐπιστήσῃς τῇ νόσῳ δικαστὰς καὶ δεσμωτήρια καὶ δημίους, τὸ κακὸν φθάνει, καὶ ἕρπει, καὶ προλαμβάνει· ἀμήχανος γὰρ ἡ πονηρίας ὀξύτης, ἐπειδὰν ἅπαξ ἤθει ψυχῆς ἐμπεσοῦσα ἐπιλάβηται ὕλης πονηρᾶς, καὶ ἐξουσίας ἀδεοῦς, καὶ ἀνεπιτιμήτου τόλμης.

ΛΟΓΟΣ ΙΔʹ.

Τί τὸ δαιμόνιον Σωκράτους. Α.

1. Θαυμάζεις εἰ Σωκράτει συνῆν δαιμόνιον, φίλον, μαντικὸν, ἀεὶ παρεπόμενον, καὶ μόνον οὐ τῇ γνώμῃ αὐτοῦ ἀνακεκραμένον, ἀνδρὶ καθαρῷ μὲν τὸ σῶμα, ἀγαθῷ δὲ τὴν ψυχὴν, ἀκριβεῖ δὲ τὴν δίαιταν, δεινῷ δὲ φρονεῖν, μουσικῷ δὲ εἰπεῖν, εἰς δὲ τὸ θεῖον εὐσεβεῖ, ὁσίῳ δὲ τὰ ἀνθρώπινα; Τί δήποτε οὖν τοῦτο μὲν θαυμάζεις, γύναιον δὲ τὸ τυχὸν Δελφικὸν Πυθοῖ, ἢ Θεσπρωτὸν ἄνδρα ἐν Δωδώνῃ, ἢ Λίβυν ἐν Ἄμμωνος, ἢ Ἴωνα ἐν Κλάρῳ, ἢ Λύκιον ἐν Ξάνθῳ, ἢ Βοιωτὸν ἐν Ἰσμηνίου, τούτους ἅπαντας οὐ θαυμάζεις τῷ δαιμονίῳ ὅσαι ἡμέραι συγγιγνομένους, καὶ οὐ τὰ σφίσι μόνον πρακτέα ἢ μὴ γιγνώσκοντας, ἀλλὰ καὶ τοῖς ἄλλοις χρησμῳδοῦντας καὶ ἰδίᾳ καὶ δημοσίᾳ; ἢ διότι ἡ μὲν πρόμαντις καθίζουσα ἐπὶ τρίποδος, ἐμπιμπλαμένη δαιμονίου πνεύματος, χρησμῳδεῖ· ὁ δὲ ἐν Ἰωνίᾳ ὑποφήτης, ὕδωρ ἐκ πηγῶν ἀρυσάμενος καὶ πιὼν, μαντικῶς ἔχει· οἱ δὲ χαμεῦναι, καὶ ἀνιπτόποδες, ἐν Δωδώνῃ θεραπεύοντες δρῦν, παρ' ἐκείνης, ὡς ὁ Θεσπρωτῶν λόγος, μαθόντες χρησμῳδοῦσιν;

matio hominem depascitur, mentem turbat et ad furorem proxime adducit, huc illuc impellit, e Lyceo ad concionem, e concione ad mare, a mari in Siciliam, e Sicilia Lacedæmonem, e Lacedæmone ad Persas, a Persis Samum, Samo Athenas, Athenis iterum ad Hellespontum, et quo non tandem? Laborat et Critias gravi morbo varioque, quem nec sanare medicus, nec ferre potest urbs tota. His tamen nihilominus sana concedes esse corpora, membra integra; validus enim Sardanapallus, fortis Alcibiades, robustus est Critias : quorum tamen mihi non probatur sanitas. Æger sit Critias, quo ne tyrannidem exerceat; æger sit Alcibiades, quo ne in Siciliam Athenienses vehat; æger sit Sardanapallus (melius enim morbo decumbet, quam voluptate) : imo funditus potius intereat cui nova semper ac perpetua suppullulat improbitas. Nam ut vulnera ea, quæ serpunt, corpus si semel invaserint, pergunt semper, partesque sanas sensim progrediendo corrumpunt, et sanationi refragantur, donec fundamentum mali sedemque ars exciderit : eodem modo quum partem aliquam purulenta morboque infecta suo ac corrupta invasit anima, latiusque serpere et corripere vicina cœpit, excidendæ et procul ab ea removendæ sunt vires corporis vitiis idoneæ; ut in latrone manus, in libidinoso oculi, in helluone venter. Si judicem enim solummodo carceremque adhibere huic morbo paras et tortorem, frustra es; occupabit malum, serpetque semper, et gliscet : inexpugnabilis est enim improbitatis velocitas, postquam semel animam occupavit, in eaque dignam se materiam, licentiam nimirum impudentem atque effrenem invenit audaciam.

DISSERTATIO XIV.

Quid sit Socratis deus. I.

1. Miraris deum quendam adfuisse Socrati, amicum, et futuri præscium, comitem vitæ individuum, mentique illius tantum non infusum; homini, qui et corpore purissimus, et animo optimus, et vivendi ratione perfectissimus, et in dicendo esset suavissimus, qui pie cum deo, sancte cum hominibus versabatur? Cur hoc, inquam, miraris, nec miraris tamen vulgarem mulierculam Delphicam Pythone, aut virum Thesprotum Dodonæ, aut in Ammonis templo Libycum, aut Ionicum Clari, aut Lycium Xanthi, aut in Apollinis Ismenii æde Bœotum, aliosque multos quotidie cum deo agere; nec in rebus tantum suis, quid aut fugiendum sit aut sequendum, novisse, sed et aliis, qua publice, qua privatim, reddere oracula? an quia fatidica illa antistes tripodi insidet, divinoque afflata spiritu responsa edit? aut quia vates ille Ionicus, aqua e fontibus hausta et potata, futura discit? aut quia humicubæ illi et siccipedes Dodonæ quercum colunt, ejusque instinctu, ut Thesproti tradunt, et discunt futura, et aliis dicunt?

2. Ἐν Τροφωνίου γε μὴν (καὶ γὰρ τοῦτο μαντεῖόν ἐστιν ἐν Βοιωτίᾳ ἥρωος Τροφωνίου περὶ Λεβαδίαν πόλιν) ὁ δεόμενος συγγενέσθαι τῷ δαιμονίῳ, ἐνσκευασάμενος ὀθόνῃ ποδήρει καὶ φοινικίδι, μάζας τε ἐν χεροῖν ἔχων, εἰσδύεται ὕπτιος κατὰ στομίου στενοῦ· καὶ τὰ μὲν ἰδὼν, τὰ δὲ ἀκούσας, ἄνεισιν αὖθις ὑποφήτης αὐτάγγελος. Ἦν δέ που τῆς Ἰταλίας κατὰ τὴν μεγάλην Ἑλλάδα περὶ λίμνην Ἄορνον οὕτω καλουμένην μαντεῖον ἄντρον, καὶ θεραπευτῆρες τοῦ ἄντρου ἄνδρες ψυχαγωγοὶ, οὕτως ὀνομαζόμενοι ἐκ τοῦ ἔργου. Ἐνταῦθα ὁ δεόμενος ἀφικόμενος, εὐξάμενος, ἐντεμὼν σφάγια, χεάμενος χοὰς, ἀνεκαλεῖτο ψυχὴν ὅτου δὴ τῶν πατέρων ἢ φίλων· καὶ αὐτῷ ἀπήντα εἴδωλον, ἀμυδρὸν μὲν ἰδεῖν καὶ ἀμφισβητήσιμον, φθεγκτικὸν δὲ καὶ μαντικόν· καὶ συγγενόμενον ὑπὲρ ὧν ἐδεῖτο, ἀπηλλάττετο. Τοῦτό μοι δοκεῖ τὸ μαντεῖον καὶ Ὅμηρος γνοὺς, προσθεὶς τῷ Ὀδυσσεῖ τὴν ἐπ' αὐτῷ ὁδὸν, ἐκτοπίσαι τὸ χωρίον ποιητικῶς μάλα τῆς καθ' ἡμᾶς θαλάττης.

3. Εἰ δὲ ταῦτα ἀληθῆ, ὥσπερ ἐστὶ (καὶ σώζεται καὶ νῦν, τὰ μὲν αὐτὰ ἐκεῖνα οἷα ἦν, τῶν δὲ ἴχνη σαφῆ ἔτι λέλειπται τῆς περὶ αὐτὰ θεραπείας τε καὶ κομιδῆς), θαυμαστὸν εἰ ταῦτα μὲν οὐδεὶς ἡγεῖται ἄτοπά τε εἶναι καὶ ἔξω τρόπου, οὐδὲ ἀμφισβητεῖ περὶ αὐτῶν, ἀλλὰ τὴν πίστιν παραδοὺς τῷ χρόνῳ εἴσεισιν ἕκαστος μαντευσόμενος, καὶ ἀκούσας διαπιστεύει, καὶ πιστεύσας χρῆται, καὶ χρησάμενος τιμᾷ· εἰ δὲ ἀνὴρ φύσει τε κεχρημένος γενναιοτάτῃ, καὶ παιδείᾳ σωφρονεστάτῃ, καὶ φιλοσοφίᾳ ἀληθεστάτῃ, καὶ τύχῃ δεξιωτάτῃ, συγγίγνεσθαι τῷ δαιμονίῳ ἠξιώθη πρὸς τοῦ θεοῦ, θαυμαστὸν δοκεῖ καὶ ἄπιστον, καὶ τοῦτον, ὅσον αὐτῷ ἱκανὸν εἶναι, χρησμῳδεῖν, οὐχ Ἀθηναίοις, μὰ Δία, περὶ τῶν Ἑλληνικῶν κακῶν βουλευομένοις, οὐδὲ Λακεδαιμονίοις περὶ στρατείας μαντευομένοις, οὐδὲ εἴ τις Ὀλυμπίαζε ἀγωνιούμενος περὶ νίκης ἠρώτα, οὐδ' εἴ τις εἰς δικαστήριον καθιστάμενος, εἰ αἱρήσει, διεπυνθάνετο, οὐδ' εἴ τις ἤρα χρημάτων, εἰ πλουτήσει, οὐδ' ἄλλο τι τῶν ἐπὶ μηδεμιᾷ προφάσει ἀξιόχρεῳ πραγματευομένων, ὑπὲρ ὧν ὁσημέραι ἐνοχλοῦσιν οἱ ἄνθρωποι τοὺς θεούς (τάχα μὲν γὰρ καὶ ταῦτα ἦν ἱκανὸν καὶ τὸ Σωκράτους δαιμόνιον διειδέναι, εἴπερ ἦν μαντικόν· καὶ γὰρ ἰατρῶν ὅστις αὑτῷ ἱκανὸς καὶ ἄλλῳ, ὁ ἄριστος, καὶ τεκτόνων καὶ σκυτοτόμων καὶ τῶν ἄλλων ἑξῆς καὶ ἐπιστημῶν καὶ δυνάμεων)· ἀλλὰ ταύτῃ γε ὁ Σωκράτης ἐπλεονέκτει, τῷ νῷ ταῖς τῶν θεῶν φωναῖς συγγιγνόμενος, ὅτι τὰ αὑτοῦ ἐν καλῷ διατιθέμενος τῇ πρὸς τὸ δαιμόνιον συνουσίᾳ, τοῖς ἄλλοις ἀνεπιφθόνως τε καὶ ὅσα ἀνάγκη προσεφέρετο.

4. Εἶεν· τοῦτο μὲν, φήσει τις, πείθομαι, ὅτι κατ' ἀρετὴν τρόπου καὶ φύσεως γενναιότητα ἠξιώθη ὁ Σωκράτης δαιμονίου συνουσίας· τί δὲ καὶ ἦν τὸ δαιμόνιον, ποθῶ μαθεῖν. Ἐὰν πρῶτον, ὦ τὰν, ἀποκρίνῃ μοι, πότερον ἡγεῖ τι εἶναι δαιμονίων γένος ἐν τῇ φύσει, ὡς θεῶν, ὡς ἀνθρώπων, ὡς θηρίων, ἢ μή· γελοῖον γὰρ

2. Sed et in Trophonii antro (nam et hic circa urbem Lebadiam locus vaticiniis est destinatus, ab heroe dictus Trophonio) qui consulere deum vult, puniceo indutus talari amictu, libaque in manibus gestans, per angustum supinus ingreditur ostiolum, ubi nonnulla postquam vidit partim, partim audivit, erepit iterum, suus sibi effatorum interpres. Dicitur et in Italia circa magnam Græciam, non procul a lacu, quem Aornon vocant, antrum esse fatidicum, cui homines præsunt, qui ab animarum evocatione, quæ ibi fit, nomen habent. Huc qui oraculi causa venisset, precibus conceptis, cæsa victima, libaminibusque rite effusis, cujuscumque vellet, sive majorum, sive amicorum suorum, umbram ciebat : quo facto prodibat tenuis anima, nec visu facilis, nec cognitu, quæ tamen et voce prædita esset et divinandi peritia; quumque de iis, quæ quærebantur, respondisset, evanuit. Hoc oraculum novisse mihi Homerus quoque videtur, suumque eo deduxisse Ulyssem, quamvis poetica licentia locum illi longe extra mare nostrum assignarit.

3. Quodsi hæc vera sunt, sicut sunt revera, quum præsertim quædam illorum, sicut tum fuerant, adhuc serventur, in reliquis autem manifesta cultus illius religionisque supersint vestigia; illud tamen admiratione dignum est, neminem hæc quidem ut inepta aut absurda rejicere, aut in dubium vocare eorum potentiam; sola enim temporis præscriptione persuasus quivis oraculum petiturus intrat; quæ audivit, credit; postquam credidit, consulit; postquam consuluit, veneratur : si vero homo, qui indole sit generosissima, et institutione apte temperata, veræque semper addictus sapientiæ, nec fortunæ destitutus subsidio, hoc a deo immortali sit consecutus, ut dignus hujus, de quo agimus, dei consortio haberetur; mirum videtur et fide indignum, hunc etiam, quantum sibi satis esset, divinare potuisse; non ut Atheniensibus de malis Græciæ deliberantibus oracula redderet, aut Lacedæmoniis de expeditione consulentibus, aut si quis in Olympicis ludis aut in judicio certaturus de victoria quæreret, aut avarus de divitiis, aut alii de aliis ejusmodi parvæ rei negotiis, pro quibus quotidie deos obtundunt homines (non quod hæc fortasse ignoraverit deus Socratis, siquidem futurarum non ignarus esset rerum; nam et medicus, et faber, et coriarius, et in reliquis eodem modo facultatibus scientiisque, is optimus habetur, qui et sibi sufficit et aliis) : sed hoc præ reliquis Socrates, deorum voces contemplans mente, erat consecutus, ut primo vitam suam honeste, tanti comes numinis, institueret; aliis deinde, quoties necessitas ferret, sine invidia sese exhiberet.

4. Esto! dicet aliquis, hæc ita se habere concedo, Socratemque, qua virtute erat indolisque præstantia præditus, ad consortium dei admissum fuisse non nego; quis autem fuerit hic deus, scire velim. Si quidem prius, amice, respondeas, utrum esse in natura credas hujusmodi deos, quos dæmonas dicimus, sicut deos esse credis, sicut homines, sicut belluas, an vero contra; ridiculum enim sit,

ἂν ἐρωτᾶν, τί ἦν τὸ δαιμόνιον Σωκράτους, τὸ πᾶν ἀγνοοῦντα· οἷον εἰ καὶ νησιώτης ἀνὴρ, ἀθέατος τοῦ ἵππων γένους καὶ ἀμαθέστατος, ἀκούων ὅτι ἦν Μακεδόνι βασιλεῖ κτῆμα ὁ Βουκεφάλας, ὄχημα ἐκείνῳ μὲν τιθασὸν, τοῖς δὲ ἄλλοις ἄβατον, ἔπειτα ἀνερωτῴη, τί ἦν πρᾶγμα ὁ Βουκεφάλας· ἠπόρησε γὰρ ἂν ὁ διηγούμενος, πρὸς ἄνδρα ἀθέατον τῆς ἵππων φύσεως, εἰκόνος σαφοῦς.

5. Τί δὲ, οἱ νῦν ἀποροῦντες περὶ τοῦ δαιμονίου τοῦ Σωκράτους, Ὁμήρῳ οὐ συνεγένοντο διηγουμένῳ ταὐτὰ ἐκείνῳ ἃ διηγεῖτο; περὶ μὲν τοῦ Ἀχιλλέως, ὅτι ἐν ἐκκλησίᾳ στρατιωτικῇ δημηγορῶν, διενεχθεὶς πρὸς τὸν Ἀγαμέμνονα, σπώμενος τὸ ξίφος, ὡς παίσων, κωλύεται ὑπὸ δαιμονίου· Ἀθηνᾶν καλεῖ τὸ δαιμόνιον. Αὕτη γὰρ, φησὶν, ὀργιζομένῳ αὐτῷ παρεγένετο,

Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα.

Τὴν δὲ αὐτὴν ταύτην Ἀθηνᾶν λέγει ἐπὶ τοῦ Διομήδους· φησὶν,

Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
ὄφρ' εὖ γινώσκοις ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.

Πάλιν αὖ τῷ Τηλεμάχῳ, μέλλοντι συγγίγνεσθαι βασιλεῖ πρεσβυτέρῳ, αἰδουμένῳ καὶ ἀπορουμένῳ ὁ ἑταῖρος λέγει·

Τηλέμαχ', ἄλλα μὲν αὐτὸς ἐνὶ φρεσὶ σῇσι νοήσεις,
ἄλλα δὲ καὶ δαίμων ὑποθήσεται·

καὶ προστίθησι τὴν αἰτίαν τῆς παρὰ τοῦ δαιμονίου ἐλπίδος·

Οὐ γὰρ ὀΐω
οὐδέ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε.

Καὶ ἐπ' ἄλλου αὖθις,

Τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη.

Καὶ ἐπ' ἄλλου,

Τυδείδῃ Διομήδεϊ Παλλὰς Ἀθήνη
δῶκε μένος καὶ θάρσος.

Καὶ ἐπ' ἄλλου,

Γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν.

Ὁρᾷς τὸ πλῆθος τῶν συγγιγνομένων τῷ δαιμονίῳ.

6. Βούλει τοίνυν, τὸν Σωκράτην ἐάσας, Ὁμήρου πυθέσθαι, Τί σοι ταυτὶ ἐθέλει, ὦ ποιητῶν γενναιότατε; Τὸ μὲν γὰρ Σωκράτους δαιμόνιον ἓν καὶ ἁπλοῦν, καὶ ἰδιωτικὸν, οὐ δημοτικὸν, ἢ ποταμὸν διαβαίνοντα ἀνακαλούμενον, ἢ Ἀλκιβιάδου ἔρωτα ἀναβαλλόμενον, ἢ ἀπολογεῖσθαι βουλόμενον κωλῦον, ἢ ἀποθνήσκειν προαιρούμενον οὐ κωλῦον. Ὁμήρῳ δὲ τὸ δαιμόνιον συνίσταται οὔτε ἑνὶ, οὔτε ἐφ' ἑνὶ, οὔτε ἓν, οὔτε ἐπὶ σμικροῖς· ἀλλὰ καὶ παντοδαπὸν, καὶ πολλάκις, καὶ ἐν πολλοῖς ὀνόμασι, καὶ ἐν πολλοῖς φαντάσμασι, καὶ ἐν παντοδαπαῖς φωναῖς. Ἆρ' οὖν καὶ ἀποδέχῃ τι τούτων, καὶ ἡγεῖ τι εἶναι τὴν Ἀθηνᾶν, καὶ τὴν Ἥραν, καὶ τὸν Ἀπόλλωνα, καὶ

quod Socratis fuerit dæmonium scire velle, quum generis totius adhuc sis inscius. Id enim tale est, ac si aliquis, qui semper in insula vixisset, nec unquam equum vidisset ullum, et hujus animalis esset ignarissimus, regem Macedonum inter reliqua sua habere jumentum quoddam audiret, cui Bucephalo nomen esset, idque regem tantum sessorem pati, ab aliis conscendi non posse; atque is ibi, quid rei esset Bucephalus, scire vellet continuo. Quid enim? an non hic protinus hærere alterum cogeret, quia exemplum non inveniret idoneum, quo huic, qui in universum equum vidisset nullum, quid Bucephalus esset, respondere posset?

5. Quid ergo? qui nunc de Socratis dubitant dæmonio, nunquamne Homerum legerunt, ubi eadem cum illo ait? ac primum de Achille, qui in militari concione eo simultatis procedit cum Agamemnone, ut stricto ei gladio ictum intentet, donec a dæmonio cohibetur, quod Homerus ibi Minervam appellavit. Illa enim, inquit, irato huic astitit, et

A tergo flavos Pelidæ diva capillos
arripuit.

Eandem hanc rursus Minervam vocat, ubi de Diomede agit: dicit enim illa:

Eripui densam circum tibi lumina nubem,
ut pura in luce aspicias hominesque deosque.

Rursus Telemacho, quum regem seniorem aditurus verecundaretur, et quid dicturus acturusve esset subdubitaret, socius respondet:

Telemache, ipsa tibi tua mens nonnulla loquenti,
quædam etiam dæmon tibi dicet;

posteaque causam, cur hoc speret de dæmone, adjungit:

Non ego namque
te reor invitis natum aut adolescere divis.

Et de alio:

Indidit hanc illi mentem pulcherrima Juno.

Et de alio:

Tydidæ Diomedi flava Minerva
virtutem atque animos afflaverat.

Et de alio:

Atque agiles artus olli dat, crura manusque.

Vides quam multi fuerint qui dæmonii alicujus usi sint consortio.

6. Vis igitur, relicto Socrate, ex Homero quæramus, Quid hæc tandem sibi volunt, poetarum præstantissime? Siquidem ille, de quo loquimur, dæmon Socratis unus et simplex erat, privatus, non popularis; qui quum aut fluvium transire cogitat Socrates, revocare eum solet; aut quum Alcibiadem amare instituit, differre suadet; aut quum defensionem parat, non permittit; aut quum mori statuit, non repugnat. At vero Homericus non uni adest, neque uno in negotio, neque unus, neque in parvi momenti rebus; sed varius, sed sæpe; diversa nomina, diversam formam, diversas etiam assumit voces. Velim jam scire, an aliquid admittas horum, putesque Minervam esse ali-

Ἔριν, καὶ ὅστις ἄλλος δαίμων Ὁμηρικός; Μή με οἴου πυνθάνεσθαι εἰ τοιαύτην ἡγεῖ τὴν Ἀθηνᾶν, οἵαν Φειδίας ἐδημιούργησεν, οὐδὲν τῶν Ὁμήρου ἐπῶν φαυλοτέραν, παρθένον καλὴν, γλαυκῶπιν, ὑψηλὴν, αἰγίδα ἀνεζωσμένην, κόρυν φέρουσαν, δόρυ ἔχουσαν, ἀσπίδα ἔχουσαν· μηδὲ αὖ τὴν Ἥραν, οἵαν Πολύκλειτος Ἀργείοις ἔδειξε, λευκώλενον, ἐλεφαντόπηχυν, εὐῶπιν, εὐείμονα, βασιλικὴν, ἱδρυμένην ἐπὶ χρυσοῦ θρόνου· μηδέ γε αὖ τὸν Ἀπόλλωνα, οἷον γραφεῖς καὶ δημιουργοὶ εἰκάζουσι, μειράκιον γυμνὸν ἐκ χλαμυδίου, τοξότην, διαβεβηκότα τοῖς ποσὶν ὥσπερ θέοντα. Οὐ τοῦτο ἐρωτῶ, οὐδὲ ἡγοῦμαί σε φαῦλον εἶναι τἀληθῆ εἰκάζειν, ὥστε μὴ μεταβάλλειν τὸ αἴνιγμα εἰς λόγον· ἀλλ' εἰ τῷ ὄντι ἡγεῖ ταυτὶ τὰ ὀνόματα καὶ τὰ σώματα αἰνίττεσθαί τινας δαιμονίους δυνάμεις, καὶ συνισταμένας τῶν ἀνθρώπων τοῖς εὐμοιροτάτοις καὶ ὕπαρ καὶ ὄναρ. Εἰ μὲν γὰρ μηδεμίαν ἡγεῖ, ὥρα σοι καὶ Ὁμήρῳ πολεμεῖν, καὶ τὰ μαντεῖα ἀναιρεῖν, καὶ ταῖς φήμαις ἀπιστεῖν, καὶ τὰ ὀνείρατα ψέγειν, καὶ Σωκράτην δὲ ἐᾶν. Εἰ δὲ ταῦτα μὲν οὔτε ἄπιστα ἡγεῖ οὔτε ἀδύνατα, ἀπορεῖς δὲ περὶ Σωκράτους· μεταλαβὼν ἐρήσομαί σε, πότερα οὐχ ἄξιον ἡγεῖ τὸν Σωκράτην μοίρας δαιμονίου, ἢ τὸ δυνατὸν ἄλλοθι ἐνταῦθα ἐξασθενεῖ. Ἀλλὰ τὸ μὲν δυνατὸν διδοὺς, κἀνταῦθα δώσεις, τὸ δὲ ἄξιον οὐχ ἀφαιρήσεις τοῦ Σωκράτους. Εἰ τοίνυν καὶ δυνατὸν τὸ πρᾶγμα, καὶ ἄξιος Σωκράτης, λείπεται σοι μὴ περὶ Σωκράτους ἀμφισβητεῖν, ἀλλὰ καθόλου σκοπεῖν, τίς ἡ τοῦ δαιμονίου φύσις.

7. Καὶ τοῦτο μέν σοι παρ' ἐμοῦ καὶ αὖθις λελέξεται· νῦν δὲ ἴθι αὐτὸς πρὸς αὑτὸν ἐκκαθηράμενος ταυτηνὶ τὴν δόξαν, ἵνα σοι καὶ προτέλεια γένηται ταῦτα τοῦ μέλλοντος λόγου, ὅτι θεοὶ ἀνθρώποις ἀρετὴν καὶ κακίαν ἔνειμαν, ὥσπερ ἐν σταδίῳ ἀγωνισταῖς, τὴν μὲν ἆθλον μοχθηρίας φύσεως καὶ γνώμης πονηρᾶς, τὴν δὲ ἐπινίκιον γνώμης ἀγαθῆς καὶ φύσεως ἐρρωμένης, ὅταν κρατῶσι καλοκαγαθίᾳ. Τούτοις καὶ τὸ θεῖον ἐθέλει ξυνίστασθαί τε καὶ συνεπιλαμβάνειν τοῦ βίου, ὑπερέχον χεῖρα καὶ κηδόμενον· τὸν μὲν φήμαις σώζει, τὸν δὲ οἰωνοῖς, τὸν δὲ ὀνείρασι, τὸν δὲ φωναῖς, τὸν δὲ θυσίαις. Ἀσθενὴς γὰρ ἡ ἀνθρωπίνη ψυχὴ πρὸς πάντα ἐξικνεῖσθαι τοῖς λογισμοῖς, ἅτε περιβεβλημένη ἐν τῷ δεῦρο βίῳ πολλὴν καὶ σκοτεινὴν ἀχλὺν, καὶ ἐν πολλῷ ψόφῳ καὶ θορύβῳ τῶν δεῦρο κακῶν διατρίβουσα, καὶ ταραττομένη ὑπ' αὐτῶν. Τίς γὰρ οὕτω ταχὺς καὶ ἀσφαλὴς ὁδοιπόρων, ὡς μὴ ἐντυχεῖν βαδίζων χαράδρᾳ ἀφανεῖ, ἢ χάρακι ἀδήλῳ, ἢ κρημνῷ, ἢ τάφρῳ; τίς δὲ οὕτω κυβερνήτης ἀγαθὸς καὶ εὔστοχος, ὡς ἀπείρατος διελθεῖν κλύδωνος, καὶ ζάλης, καὶ πνευμάτων ἐμβολῆς, καὶ ἀέρος τεταραγμένου; τίς δὲ οὕτως ἰατρὸς τεχνικὸς, ὡς μὴ ἐπιταραχθῆναι ἀφανεῖ καὶ ἀνελπίστῳ νοσήματι, ἄλλου ἄλλοθεν ὑποφυομένου καὶ ὑποτεμνομένου τοὺς τῆς τέχνης λόγους; τίς δὲ ἀνὴρ οὕτως ἀγαθὸς, ὡς διελθεῖν βίον ἀπταίστως καὶ ἀσφαλῶς, ὡς σῶμα νοσερὸν, ὡς πλοῦν ἄδηλον, ὡς ὁδὸν διεσκαμμένων, καὶ μὴ δεηθῆναι ἐν τού-

quid, Junonem, Apollinem, Erin (Contentionem), vel si quis præterea sit dæmon Homericus. Nec hoc a me quæri nunc existimes, utrum talem esse arbitreris Minervam, qualis a Phidia expressa est, nulla parte Homerica inferior, virginem dico pulchram, cæsiis oculis, proceram, ægide præcinctam, cum galea, et hasta, et clypeo; aut Junonem, qualem eam Polycletus Argivis exhibuit, albis ulnis, cubitis eburneis, pulchris oculis, varia veste, forma regia, aureoque innixam throno; aut rursus Apollinem, qualis a pictoribus statuariisque fingitur, adolescentulum, qui e chlamyde nudum latus ostendit, cum arcu et sagittis, pedibusque paululum currentis in modum diductis. Non hoc quæro; neque enim tam humiliter de te sentio, ut putem te veritatem ipsam eruere, et quod occulte in fabula dicitur, in perspicuum mutare sensum non posse: sed an revera hæc nomina arbitreris et hæc corpora divinas quasdam designare potestates, quæ beatis animabus, sive in somnis, sive vigilantibus assistant. Quodsi nullum esse credas, erit tibi continuo et cum Homero pugnandum, et oracula tollenda, et deorum responsis fides detrahenda, et rejicienda somnia, et relinquendus Socrates. Sin his nec fidem demis, neque fieri posse negas, tantumque de Socrate dubitas: vicissim ex te quæram, utrum ex duobus malis concedere, aut Socratem divino indignum fuisse numine; aut, quod in aliis fieri potest, hic non posse. Atqui si fieri posse concedes, etiam hic concedes; neque Socratem indignum fuisse unquam probabis. Si igitur et fieri res ipsa possit, neque indignus sit Socrates, reliquum est ut non amplius peculiariter de Socrate quæras, sed in genere, qualis sit dæmonum natura, dispicias.

7. Quod paullo post etiam fiet a nobis: nunc ad te redi, conceptamque illam penitus opinionem excute, ut tibi hæc sint velut sacra quædam sequentis dissertationis primordia, deos nimirum virtutem vitiumque hominibus, non aliter quam in stadio athletis, tribuisse; hoc quidem ut flagitiosæ mentis indolisque malæ mercedem, illam contra probæ mentis erectæque indolis præmium, victoribus in probitatis et honestatis stadio. Hi sunt quibus divina lubenter assistit natura, quorum vitam promovet, quos manu sua protegit et defendit; alios namque ominibus, alios auguriis, hos insomniis, hos monitis, hos sacrificiis conservat. Fieri enim non potest, ut humana mens, quæ est ejus imbecillitas, præsertim quum in altera hac vita densissima in caligine multoque et assiduo præsentium malorum in tumultu versetur ac strepitu, a quibus perturbari eam necesse est, rationis vi omnia assequatur. Quis enim tam aut expeditus aut providus viator, ut non inter eundum vel in cæcam foveam, aut occultum palum, aut præcipitium incidat aliquod, aut scrobem? aut quis tam peritus providusque gubernator, ut mare sine fluctibus aut procellis, sine ventorum impetu, sine ulla perturbatione aeris possit transmittere? quis tam in arte sua versatus medicus, qui non interdum occulto aliquo insperatoque perturbari possit morbo, si præsertim plures, aliusque aliunde accedat, qui omnes ejus disciplinæ evertat regulas? aut quis vir tam bonus, qui inoffenso pede nulloque lapsu vitam possit percurrere, et evitare corporis morbos, navigationis ignota pericula, fossas in itineribus, ut non in his gubernatore, et

τοις κυβερνήτου καὶ χειραγωγοῦ θεοῦ; Καλὸν μὲν γὰρ ἡ ἀρετὴ, καὶ εὐπορώτατον, καὶ δραστικώτατον· ἀλλ' ἀνακέκραται ὕλῃ πονηρᾷ καὶ ἀσαφεῖ, καὶ μεστῇ πολλοῦ τοῦ ἀδήλου, ἣν δὴ καλοῦσιν οἱ ἄνθρωποι τύχην, χρῆμα τυφλὸν καὶ ἀστάθμητον. Ἀντιφιλοτιμεῖται τῇ ἀρετῇ, καὶ ἀντιστατεῖ, καὶ ἀνταγωνίζεται, καὶ πολλάκις αὐτὴν ἀντιταράττει. Ὡς νέφη αἰθέρια ὑποδραμόντα τὴν ἡλίου ἀκτῖνα ἀπέκρυψεν αὐτοῦ τὸ φῶς, καὶ ἔστι μὲν καὶ τότε ἥλιος καλὸς, ἀλλὰ ἡμῖν ἄδηλος· οὕτω καὶ ἀρετὴν ὑποτέμνεται τύχης ἐμβολὴ, καὶ καλὴ μὲν ἡ ἀρετὴ τά γε ἄλλα, ἐμπεσοῦσα δὲ εἰς νεφέλην ἄδηλον, ἐπισκιάζεται καὶ διατειχίζεται. Ἔνθα δὴ αὐτῇ θεοῦ δεῖ συλλήπτορος, καὶ συναγωνιστοῦ, καὶ παραστάτου.

8. Θεὸς μὲν οὖν αὐτὸς κατὰ χώραν ἱδρυμένος οἰκονομεῖ τὸν οὐρανὸν καὶ τὴν ἐν οὐρανῷ τάξιν. Εἰσὶ δ' αὐτῷ φύσεις ἀθάνατοι δεύτεραι, θεοὶ καλούμενοι δεύτεροι, ἐν μεθορίᾳ γῆς καὶ οὐρανοῦ τεταγμένοι· θεοῦ μὲν ἀσθενέστεροι, ἀνθρώπου δὲ ἰσχυρότεροι· θεῶν μὲν ὑπηρέται, ἀνθρώπων δὲ ἐπιστάται· θεῶν μὲν πλησιαίτατοι, ἀνθρώπων δὲ ἐπιμελέστατοι. Ἦ γὰρ ἂν τῷ διὰ μέσου πολλῷ τὸ θνητὸν πρὸς τὸ ἀθάνατον διετειχίσθη τῆς οὐρανίου ἐπόψεώς τε καὶ ὁμιλίας, ὅτι μὴ τῆς δαιμονίου ταύτης φύσεως, οἷον ἁρμονίας, κατὰ τὴν πρὸς ἑκάτερον συγγένειαν καταλαβούσης δεσμῷ τὴν ἀνθρωπίνην ἀσθένειαν πρὸς τὸ θεῖον κάλλος. Καθάπερ γὰρ, οἶμαι, τὸ βαρβαρικὸν τοῦ Ἑλληνικοῦ διήρηται φωνῆς συνέσει, ἀλλὰ τὸ τῶν ἑρμηνέων γένος τὰς παρ' ἑκατέρων φωνὰς ὑποδεχόμενον καὶ διαπορθμεῦον πρὸς ἑκατέρους, συνῆψεν αὐτῶν καὶ συνεκέρασε τὰς ὁμιλίας· οὕτω δ' ἂν καὶ τὸ δαιμόνων γένος ἐπίμικτον νοεῖται θεοῖς τε καὶ ἀνθρώποις. Τοῦτο γάρ ἐστι τὸ ἀνθρώποις φανταζόμενον, καὶ προσφθεγγόμενον, καὶ εἱλούμενον ἐν μέσῃ τῇ θνητῇ φύσει, καὶ ἐπωφελοῦν ὅσα ἀνάγκη δεῖσθαι θεῶν τὸ θνητῶν γένος. Πολλὴ δὲ ἡ δαιμόνων ἀγέλη·

> Τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ
> ἀθάνατοι, Ζηνὸς πρόπολοι·

οἱ μὲν ἰατροὶ νοσημάτων, οἱ δὲ τῶν ἀπόρων σύμβουλοι, οἱ δὲ τῶν ἀφανῶν ἄγγελοι, οἱ δὲ τέχνης συνεργάται, οἱ δὲ ὁδοῦ συνέμποροι· οἱ μὲν ἀστικοὶ, οἱ δὲ ἀγροικικοὶ, οἱ δὲ θαλάττιοι, οἱ δὲ ἠπειρωτικοί· εἴληχε δὲ ἄλλος ἄλλην ἑστίαν σώματος, ὁ μὲν Σωκράτην, ὁ δὲ Πλάτωνα, ὁ δὲ Πυθαγόραν, ὁ δὲ Ζήνωνα, ὁ δὲ Διογένην· ὁ μὲν φοβερὸς, ὁ δὲ φιλάνθρωπος, ὁ δὲ πολιτικὸς, ὁ δὲ τακτικός· ὅσαι φύσεις ἀνδρῶν, τοσαῦται καὶ δαιμόνων·

> Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
> παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας.

Ἐὰν δέ που μοχθηρὰν δείξῃς ψυχὴν, ἀνέστιος αὕτη καὶ ἀνεπιστάτητος.

medico, et manuductore opus habeat deo? Præclara res est, fateor, per se virtus, paratuque facillima, et in actionibus humanis efficacissima, verum in materie improba, incerta, plurimæ ambiguitatis plena versatur, quam *fortunam* dicunt homines, re cæca minimeque sibi æquali. Hæc cum virtute congreditur, virtuti resistit, cum virtute pugnat, sæpiusque illam ex adverso interveniens perturbat. Non aliter quam quum nebulæ sublimes occupant radios solares, ejusque nobis lumen eripiunt, manet quidem sol non minus, quam ante fuit, pulcher, nobis tamen non apparet; eodem modo virtutem intercipit fortunæ interventus; nec enim propterea minus per se pulchra est virtus, sed, tanquam cæcâ nebulâ, caligine obducitur obstruiturque. At tum potissimum adjutorem deum, sociumque certaminis ac defensorem requirit.

8. Jam certum est, deum ipsum eodem manere in loco dum cœlum regit, omniaque in eo ordinat ac disponit. Habet autem immortales potentias quasdam ab se secundas, quos vocant *deos medioxumos;* dii in medio terræ cœlique constituti: hi minus potentes sunt quam est deus, magis quam homines; deorum ministri, hominum præsides; diis proximi, hominum curatores diligentissimi. Maximo namque intervallo mortale ab immortali, et ab aspectu rerum cœlestium et consuetudine discluderetur, nisi eorum, quos dæmonas dicimus, interveniret natura, quæ, vinculi instar, ea, quam utraque habet, cognatione, non aliter quam in harmonia quadam, imbecillitatem humanam cum excellentia conjungeret divina. Non aliter arbitror, quam barbaros videmus a Græcis separatos esse ob linguæ intelligentiam mutuam, qua indigent: sed eam præbent interpretes, qui utrimque verba accepta utrisque deferunt, atque eo modo consuetudine eos conjungunt, miscentque inter se commerciis: ita fere ii, quos dixere dæmonas, communes esse intelliguntur inter deos hominesque. Hi sunt enim qui mortalibus sese offerunt, mortales affantur; qui media in natura hominum versantur, abundeque quicquid humanum ab diis desideret genus, solent præstare. Magnus eorum est numerus:

> Mille etenim tricies per terræ uberrima regna,
> gens immortalis, famuli Jovis.

Horum alii morbis medentur, alii in rebus ambiguis consilium dant, alii occulta nunciant, alii in exercendis auxilio sunt artibus, alii itinerum sunt comites; rursus alii urbani, alii sunt rustici, alii sunt marini, alii sunt terrestres; alius rursus aliud corpus quasi focum domesticum sortitus est, hic Socratem, ille Platonem, ille Pythagoram, Zenonem ille, ille Diogenem; hic terribilis est, ille hominum amantissimus; hic civilis, ille militaris: quot denique hominum sunt ingenia, tot et dæmonum sunt genera:

> Namque dei similes peregrinis sæpe colonis,
> quolibet induti percurrunt corpore terras.

At vero si animam mihi ostenderis impiam, scias illam neque incolam deum neque vitæ suæ habere præsidem.

ΛΟΓΟΣ ΙΕ'.

Ἔτι περὶ τοῦ Σωκράτους δαιμονίου.

1. Φέρε, ἐρώμεθα τὸ δαιμόνιον· φιλάνθρωπον γὰρ καὶ εἰωθὸς ἀποκρίνεσθαι διὰ σωμάτων ἀνθρωπίνων, ὡς ἡ Ἰσμενίου τέχνη διὰ τῶν αὐλῶν· ἐρώμεθα δὲ ὧδέ πως κατὰ τὸν Ὁμήρου Ὀδυσσέα·

Θεός νύ τοι, ἢ βροτός ἐσσι;
Εἰ μέν τις θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
οὐδὲν δεῖ λόγων, ἴσμεν γὰρ τὰ σά·
Εἰ δέ τις ἐσσὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσιν,

ἆρα τοιοῦτον χρῆμα, οἷον ὁμοπαθές τε εἶναι ἡμῖν καὶ ὁμόφωνον, καὶ ὁμογενὲς καὶ σύγχρονον· ἢ κατὰ μὲν τὴν δίαιταν ἐφέστιον τῇ γῇ, κατὰ δὲ τὴν οὐσίαν κρεῖττον αὐτῆς; Οὐ γὰρ σάρκες αἱ δαιμόνων φύσεις (ἀποκριτέον γάρ τοι ὑπὲρ αὐτῶν, κελεύουσι γάρ), οὐδὲ ὀστᾶ, οὐδὲ αἷμα, οὐδὲ ἄλλο τι σκεδαστὸν, ἢ λυόμενον, ἢ τηκόμενον, ἢ διαρρέον. Ἀλλὰ [τίς] μὴν οὑτωσὶ πρῶτον θεασώμεθα τὸ ἀναγκαῖον τῆς δαιμόνων οὐσίας. Τὸ ἀπαθὲς τῷ ἐμπαθεῖ ἐναντίον, καὶ τὸ θνητὸν τῷ ἀθανάτῳ, καὶ τὸ ἄλογον τῷ ἀλόγῳ, καὶ τὸ ἀναίσθητον τῷ αἰσθητικῷ, καὶ τὸ ἔμψυχον τῷ ἀψύχῳ. Πᾶν τοίνυν ψυχὴν ἔχον ἑκατέροιν συγκεκροτημένον· ἢ γὰρ ἀπαθὲς τὸ ἀθάνατον ἢ ἀθάνατον ἐμπαθὲς, ἢ ἐμπαθὲς θνητὸν, ἢ ἄλογον αἰσθητικὸν, ἢ ἔμψυχον ἀπαθές· καὶ διὰ τούτων ὁδεύει ἡ φύσις κατὰ βραχὺ ἀπὸ τῶν τιμιωτάτων ἐπὶ τὰ ἀτιμότατα καταβαίνουσα ἑξῆς. Ἐὰν δέ τι τούτων ἐξέλῃς, διέκοψας τὴν φύσιν· ὥσπερ ἐν ἁρμονίᾳ φθόγγων τὴν πρὸς τὰ ἄκρα ὁμολογίαν ἡ μέση ποιεῖ· ἀπὸ γὰρ τοῦ ὀξυτάτου φθόγγου ἐπὶ τὸν βαρύτατον ταῖς διὰ μέσου φωναῖς ἐπερειδομένην τὴν μεταβολὴν ἐμμελῆ ποιεῖ καὶ τῇ ἀκοῇ καὶ τῇ χειρουργίᾳ.

2. Τοῦτό τοι νόμιζε γίγνεσθαι καὶ ἐν τῇ φύσει, ὥσπερ ἐν ἁρμονίᾳ τελεωτάτῃ· καὶ τίθεσο θεὸν μὲν κατὰ τὸ ἀπαθὲς καὶ ἀθάνατον, δαίμονα δὲ κατὰ τὸ ἀθάνατον καὶ ἐμπαθὲς, ἄνθρωπον δὲ κατὰ τὸ ἐμπαθὲς καὶ θνητὸν, θηρίον δὲ κατὰ τὸ ἄλογον καὶ αἰσθητικὸν, φυτὸν δὲ κατὰ τὸ ἔμψυχον καὶ ἀπαθές. Καὶ τὰ μὲν ἄλλα ἡμῖν, τὸ νῦν ἔχον, κατὰ χώραν ἔστω· ἐπεὶ δὲ τῆς δαιμονίων φύσεως περισκοπούμεθα, ἣν φαμὲν μεσότητα εἶναι πρὸς ἄνθρωπον καὶ θεὸν, ἴδωμεν εἴ πῃ δυνατὸν ἐξελέσθαι αὐτὴν, καὶ διασῶσαι τὰ ἄκρα. Ἆρ' οὖν ὁ θεὸς ἀθάνατον μὲν, ἐμπαθὲς δέ; οὐδαμῶς· ἀλλὰ ἀθάνατον μὲν, ἀπαθὲς δέ. Τί δὲ ἄνθρωπος, θνητὸν μὲν, ἀπαθὲς δέ; οὐδὲ τοῦτο· ἀλλὰ θνητὸν μὲν, οὐ μὴν ἀπαθές. Ποῦ τοίνυν ἡμῖν οἰχήσεται τὸ ἀθάνατον ὁμοῦ καὶ ἐμπαθές; δεῖ γὰρ συστῆναι ἐξ ἀμφοῖν οὐσίαν κοινὴν, κρείττονα μὲν ἀνθρώπου, θεοῦ δὲ ἐλάττονα, εἰ μέλλει ἔσεσθαι τῶν ἄκρων πρὸς ἄλληλα ἀναλογία· δύο γὰρ πραγμάτων κεχωρισμένων τῇ φύσει, χωρισθήσεται καὶ ἡ ἐπιμιξία παντάπασιν, ἐὰν μή τις κοινὸς ὅρος ἀμφότερα ὑποδέξηται.

3. Οἷον τὸ τοιόνδε λέγω· καλοῦμέν τι πῦρ ξηρόν τε

DISSERTATIO XV.

Iterum quid sit deus Socratis.

1. Agedum, quæramus ex hoc deo (mire enim amat homines, soletque per eorum respondere corpora, sicut per tibias ars Ismeniæ); quæramus autem cum Homerico Ulysse hoc modo:

An deus es, mortali an semine natus?
Nam si forte deus, magno qui vivit Olympo,
nihil responso opus est, naturam tuam novimus;
Sin mage mortalis, quem terra amplectitur alma:

utrum talis es, ut eisdem, quibus nos, affectionibus sis obnoxius, voce eadem utaris, sicut nos nascaris et intereas, an vero, terrena omni major substantia, terram solummodo incolas? Nam neque ex carne constat dæmonum natura (jubent enim pro se ut respondeam), aut ex ossibus, aut sanguine, aut alio quovis, quod distrahi, dissolvi, liquescere possit, aut diffluere. At enim ante omnia necessitatem naturæ eorum hoc pacto videamus. Pugnant inter se impatibile et patibile, immortale et mortale, cum rationali irrationale, cum insensibili sensibile, cum inanimo animatum. Jam omne quod est animatum, ex duobus illis est conflatum; aut enim impatibile est et immortale, aut patibile et immortale, aut patibile et mortale, aut irrationale et sensibile, aut impatibile et animatum; atque his quidem gradibus a præstantissimis ad infima paullatim pervenit natura, ordineque descendit. Quodsi quid ex his omnibus tollis, naturam mutilasti: sicut in vocum harmonia fieri videmus, ubi, ut extremæ inter se conveniant, efficit media; quum enim ea, quæ inter acutissimum est gravissimumque tonum, differentia mediis innitatur vocibus, fit ut apte idoneeque et ut ars postulat tam quod ad auditum, quam quod ad motum, qui a manu est artificis, procedat illa mutatio.

2. Hoc igitur in natura quoque fieri existima, velut in harmonia perfectissima. Quare singula constitue hoc modo: deum immortalem esse et impatibilem, dæmonem immortalem esse sed patibilem, hominem, mortalem esse et patibilem, bestiam irrationalem sed sensu præditam, plantam animatam esse et patibilem. Et reliqua quidem inpræsentiarum omittamus: verum quoniam dæmonum consideramus naturam, quam medium quid inter deum hominesque esse diximus; videamus an auferri possit, et simul utrimque consistere extrema. An igitur deum immortalem dicemus esse, sed patibilem? minime; verum immortale quid, et quod a passione sit remotum. Jam quid de homine? mortale quid, nec passioni obnoxium? ne hoc quidem, sed mortale, et vehementer patibile. Quonam igitur abibit illud, quod immortale simul et patibile esse diximus? necesse est enim ex utroque constitui substantiam communem, quæ ut homine superior, ita inferior sit deo, si extremis convenire inter se velis; inter duo enim, quæ natura separata sunt, omnis, quæ inter utrumque est, separabitur communio, nisi communis aliquis utrumque jungat terminus.

3. Exempli gratia: ignem dicimus calidum aliquid et sic-

καὶ θερμόν· ἐναντίον δὲ θερμῷ μὲν ψυχρὸν, ξηρῷ δὲ ὑγρόν· ἀδύνατον δὴ μεταβάλλειν πῦρ εἰς ὕδωρ, καὶ ὕδωρ εἰς πῦρ· οὔτε γὰρ ψυχρὸν εἰς θερμότητα, οὔτε ὑγρὸν εἰς ξηρότητα μεταβάλλοι ἄν. Οὕτω δὴ τὸν τούτων πόλεμον μετεχειρίσατο ἡ φύσις· ἔδωκεν αὐτοῖς ὥσπερ ἐκεχειροφόρον τὸν ἀέρα, ὃς λαβὼν παρὰ μὲν τοῦ πυρὸς τὴν θερμότητα, παρὰ δὲ τοῦ ὕδατος τὴν ὑγρότητα, συνεκέρασεν αὐτῶν καὶ συνῆψε τὰς ὁμιλίας, καὶ γίνεται μεταβολὴ καὶ πρόσβασις, ἀπὸ μὲν τοῦ πυρὸς εἰς ἀέρα κατὰ θερμότητα, ἀπὸ δὲ τοῦ ἀέρος εἰς ὕδωρ κατὰ ὑγρότητα. Πάλιν αὖ ἀὴρ θερμόν τε καὶ ὑγρὸν, γῆ δὲ ψυχρόν τε καὶ ξηρόν· ἐναντίον δὲ ξηρότης μὲν ὑγρότητι, ψυχρότης δὲ θερμότητι· οὐκ ἂν οὖν μετέβαλλέ ποτε ἀὴρ εἰς γῆν, ὅτι μὴ τῆς φύσεως καὶ τούτοις δούσης τὴν τοῦ ὕδατος οὐσίαν διαιτῶσάν τε αὐτὰ καὶ ξυνάγουσαν, παρὰ μὲν ἀέρος λαβοῦσαν τὴν ὑγρότητα, παρὰ δὲ γῆς τὴν ψυχρότητα. Σκόπει δὴ τὸ πᾶν οὕτως συγκεφαλαιωσάμενος βραχεῖ λόγῳ· ἐπειδὴ ἕκαστον τούτων ἀνὰ δύο συνέστηκε φύσεων ἐναντίων, ὧν ἀεὶ τὴν ἑτέραν ἀφαιρῶν μοῖραν, προστιθεὶς τῶν ἔπειτα τῇ ἑτέρᾳ, καθ' ἥμισυ μὲν χωρίζεις ἑκατέρου ἑκάτερον, καθ' ἥμισυ δὲ συντάττεις ἑκατέρῳ ἑκάτερον, τοῦτον τὸν τρόπον τὰ ἐναντία ἀλλήλοις ἄμικτα ὄντα κοινωνεῖ ὅμως, καὶ ἀνακίρνανται καὶ πῦρ ἀέρι κατὰ θερμότητα, καὶ ἀὴρ ὕδατι κατὰ ὑγρότητα, καὶ ὕδωρ γῇ κατὰ ψυχρότητα, καὶ γῆ πυρὶ κατὰ ξηρότητα· οὕτω κἀνταῦθα κοινωνεῖ θεὸς μὲν δαίμονι κατὰ τὸ ἀθάνατον, δαίμων δὲ ἀνθρώπῳ κατὰ τὸ ἐμπαθὲς, ἄνθρωπος θηρίῳ κατὰ τὸ αἰσθητικὸν, θηρίον φυτῷ κατὰ τὸ ἔμψυχον.

4. Εἰ δὲ βούλει, καὶ τὴν οἰκονομίαν τοῦ σώματος θέασαι, ὡς οὐδὲ ἐνταῦθα ἡ φύσις μεταπηδᾷ ἀθρόως, ἀλλὰ καὶ ταύτῃ μεσοτήτων τινῶν δεῖ πρὸς τὴν χειραγωγίαν τῆς κράσεως τῶν σωμάτων· θρὶξ γάρ που καὶ ὄνυξ ὀστοῦ μαλακώτερον, καὶ νεύρου ἀραιότερον, καὶ αἵματος ξηρότερον, καὶ σαρκὸς τραχύτερον· συνελόντι δὲ εἰπεῖν, παντὶ χρήματι, ἐν ᾧ τὸ ἡρμοσμένον καὶ τεταγμένον, μεσότητος δεῖ, ἐν φωναῖς, ἐν χρόαις, ἐν χυμοῖς, ἐν σώμασιν, ἐν ῥυθμοῖς, ἐν σχήμασιν, ἐν πάθεσιν, ἐν λόγοις. Εἶεν· οὕτω τούτων ἐχόντων, εἰ ὁ μὲν θεὸς ἀπαθὴς καὶ ἀθάνατος, ὁ δὲ ἄνθρωπος θνητός τε καὶ ἐμπαθὴς, ἀνάγκη τὸ διὰ μέσου τούτων ἢ ἀπαθὲς θνητὸν εἶναι, ἢ ἀθάνατον ἐμπαθές· ὧν τὸ μὲν ἀδύνατον, οὐ γὰρ ἂν ξυνέλθοι ποτὲ οὐδὲ ὁμολογῆσαι τῷ θνητῷ τὸ ἀπαθές· λείπεται δὴ τὴν δαιμόνων φύσιν ἐμπαθῆ τε εἶναι καὶ ἀθάνατον, ἵνα τοῦ μὲν ἀθανάτου κοινωνῇ τῷ θεῷ, τοῦ δὲ ἐμπαθοῦς τῷ ἀνθρώπῳ.

5. Πῶς οὖν καὶ ἐμπαθὲς καὶ ἀθάνατον τὸ δαιμόνιον γένος, ὥρα λέγειν· καὶ πρῶτόν γε περὶ τοῦ ἀθανάτου. Τὸ φθειρόμενον πᾶν ἢ διαλύεται, ἢ ῥήγνυται, ἢ τήκεται, ἢ κόπτεται, ἢ μεταβάλλει καὶ τρέπεται· ἢ διαλύεται, ὡς πηλὸς ὑπὸ ὕδατος· ἢ ῥήγνυται, ὡς ὑπὸ ἀρότρου γῆ· ἢ τήκεται, ὡς ὑπὸ ἡλίου κηρός· ἢ κόπτεται, ὡς ὑπὸ σιδήρου φυτόν· ἢ μεταβάλλει καὶ τρέπε-

cum esse : pugnat calidum cum frigido, humidum cum sicco : fieri ergo non potest, ut in aquam convertatur ignis, et in ignem aqua; neque enim frigidum in calidum, nec siccum convertetur in humidum. Hanc pugnam ita conciliavit natura, ut pro sequestro illis daret aerem, qui accepto ab igne calido, ab aqua humido, conjunxit ea inter se et sociavit; fitque mutatio et transitus ab igne in aerem ipso calido, ab aere in aquam ipso humido. Rursus calidum quid humidumque aer, frigidum et siccum est terra; pugnat cum humiditate siccitas, cum caliditate frigiditas : nunquam ergo nec in terram aer converteretur, nisi et illis natura humidum dedisset, quod utriusque litem dirimit, utrumque conjungit, dum humiditatem ab aere, frigiditatem accipit a terra. Jam contemplare hoc totum, ut summatim tibi breviter propono : quum singula horum ex contrariis constent facultatibus binis, quarum semper alteram si demas partem, addasque reliquorum alteri, partim alterum separas ab altero, partim alterum cum altero conjungis; hoc modo quæ pugnabant inter se nec conjungi poterant, communicant tamen et miscentur, ignis aeri caliditate sua, aer aquæ humiditate sua, aqua terræ frigiditate sua, terra igni siccitate sua : sic in eo, de quo agimus, deus cum dæmone commune habet quod sit immortalis; dæmon cum homine, quod patibilis; homo cum bellua, quod sensibilis; bestia cum planta, quod sit animata.

4. Si vis, et corporis nostri dispositionem intuere : videbis hic etiam non statim transilire naturam, verum medio quodam esse opus, quo temperiem absolvat corporum : capillus namque et unguis osse mollior, nervo tenuior, sanguine siccior, carne est asperior; et, ut breviter dicam, quicquid apte compositum ordinatumque est, illud omne medium requirit, voces, colores, succi, corpora, rhythmi, figuræ, affectiones, sermones. Esto : his ita se habentibus, constat et immortalem esse deum et impatibilem, hominem et mortalem et patibilem; sequitur, quod inter duo hæc interjectum est, aut impatibile et mortale, aut immortale esse et patibile; quorum alterum fieri non potest; nec enim convenire queat aut congruere mortale et impatibile : restat ergo dæmonum naturam et patibilem esse et immortalem, ut alterum cum homine, alterum cum deo habeat commune; cum hoc quod est immortalis, cum illis autem quod sit passionibus obnoxia.

5. Jam res postulat ut, quo pacto sit patibile genus dæmonum, et tamen immortale, ostendamus : ac primum de immortalitate ejus. Quodcunque corrumpitur, id aut dissolvitur, aut frangitur, aut liquescit, aut scinditur, aut mutatur atque convertitur : nam aut dissolvitur, ut lutum ab aqua; aut frangitur, ut ab aratro terra; aut liquescit, ut a sole cera; aut scinditur, ut planta a ferro;

ται, ὡς ὕδωρ εἰς ἀέρα, καὶ ἀὴρ ἐς πῦρ. Δεῖ δὴ τὴν οὐσίαν τοῦ δαιμονίου, εἰ μέλλει ἔσεσθαι ἀθάνατος, μὴ διαλύεσθαι, μὴ σκεδάννυσθαι, μὴ ῥήγνυσθαι, μὴ τρέπεσθαι καὶ μεταβάλλειν, μὴ κόπτεσθαι· εἰ γὰρ πείσεταί τι τούτων, ἀπολεῖ τὸ ἀθάνατον. Πῶς δ' ἂν καὶ πάθοι, εἴπερ ἐστὶ τὸ δαιμόνιον αὐτὸ, ψυχὴ ἀποδυσαμένη τὸ σῶμα; ἣ γὰρ καὶ τῷ σώματι τῷ φύσει φθειρομένῳ παρέχει τὸ μὴ φθείρεσθαι, ἡνίκ' ἂν αὐτῷ συνῇ, πολλοῦ γε δεῖ φθαρῆναι αὐτήν. Ἐν γοῦν τῇ συστάσει τὸ μὲν σῶμα συνέχεται, ἡ δὲ ψυχὴ συνέχει. Εἰ δὲ καὶ τὴν ψυχὴν ἕτερόν τι συνέχει, ἀλλὰ μὴ αὐτὴ αὑτήν· τί τοῦτο ἔσται, καὶ τίς ἂν ἐπινοήσαι ψυχὴν ψυχῆς; Ὅταν γὰρ ἕτερον ὑφ' ἑτέρου σώζηται συνεχόμενον, ἀνάγκη που παύσασθαι τὴν συνοχὴν ἐπὶ πρᾶγμα προελθοῦσαν συνέχον μὲν ἄλλο, συνεχόμενον δ' ὑφ' ἑαυτοῦ· εἰ δὲ μὴ, ποῖ στήσεται ὁ λογισμὸς προϊὼν εἰς ἄπειρον; οἷον εἰ ξυνείη τις ὁλκάδα ἐν κλύδωνι ἐκ πέτρας ποθὲν καθωρμισμένην διὰ πολλῶν κάλων, ὧν ἕτερον ἐξ ἑτέρου συνεχόμενον τῇ ξυνδέσει τελευτᾷ ἐπὶ τὴν πέτραν, χρῆμα ἑστὸς καὶ ἑδραῖον.

6. Τοιοῦτον ἡ ψυχή· σῶμα ἐν σάλῳ ἀεὶ καὶ κλύδωνι νηχόμενον καὶ κραδαινόμενον καὶ σειόμενον συνέχει αὐτὴ, καὶ καθορμίζει, καὶ ἵστησιν· ἐπειδὰν δὲ ἀποκάμῃ τὰ νεῦρα ταυτὶ, καὶ τὸ πνεῦμα, καὶ τὰ ἄλλα τὰ ὥσπερ καλώδια, ἐξ ὧν τέως προσώρμιστο τῇ ψυχῇ τὸ σῶμα, τὸ μὲν ἐφθάρη καὶ κατὰ βυθοῦ ᾤχετο, αὐτὴ δὲ ἐφ' ἑαυτῆς ἐκνηξαμένη συνέχει τε αὑτὴν καὶ ἵδρυται. Καὶ καλεῖται ἡ τοιαύτη ψυχὴ δαίμων ἤδη, θρέμμα αἰθέριον, μετοικισθὲν ἐκ γῆς ἐκεῖ· ὥσπερ ἐκ βαρβάρων εἰς Ἕλληνας, καὶ ἐξ ἀνόμου καὶ τυραννουμένης καὶ στασιωτικῆς πόλεως εἰς εὐνομουμένην καὶ βασιλευομένην καὶ εἰρηνικὴν πόλιν. Ἐγγύτατα γάρ μοι δοκεῖ ἔχειν τὸ γιγνόμενον Ὁμηρικῇ εἰκόνι· οἷον φησὶν ἐκεῖνος χαλκεῦσαι τὸν Ἥφαιστον ἐπὶ χρυσῆς ἀσπίδος πόλεις δύο·

Ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε,

καὶ χοροὶ, καὶ παιᾶνες, καὶ δᾳδουχίαι· ἐν δὲ τῇ πόλεμοι, καὶ στάσεις, καὶ ἁρπαγαὶ, καὶ μάχαι, καὶ ὀλολυγαὶ, καὶ οἰμωγαὶ, καὶ στόνοι. Τοῦτο δύναται καὶ γῆ πρὸς αἰθέρα· ὁ μὲν γὰρ, εἰρηναῖόν τι χρῆμα, καὶ παιάνων μεστὸν καὶ θείων χορῶν, ἡ δὲ πολυφωνίας καὶ πολυεργίας καὶ διαφωνίας. Ἐπειδὰν γὰρ ἀπαλλαγῇ ψυχὴ ἐνδένθε ἐκεῖσε, ἀποδυσαμένη τὸ σῶμα, καὶ καταλιποῦσα αὐτὸ τῇ γῇ φθαρησόμενον, τῷ αὐτοῦ χρόνῳ καὶ νόμῳ δαίμων ἀντ' ἀνθρώπου, ἐποπτεύει μὲν αὔτη τὰ οἰκεῖα θεάματα καθαροῖς τοῖς ὀφθαλμοῖς, μήτε ὑπὸ σαρκῶν ἐπιπροσθουμένη, μήτε ὑπὸ χρωμάτων ἐπιταραττομένη, μήτε ὑπὸ σχημάτων παντοδαπῶν συγχεομένη, μήτε ὑπὸ ἀέρος θολεροῦ διατειχιζομένη, ἀλλὰ αὐτὸ κάλλος αὐτοῖς ὀφθαλμοῖς ὁρῶσα, καὶ γανυμένη· οἰκτείρουσα μὲν αὑτὴν τοῦ πρόσθεν βίου, μακαρίζουσα δὲ τοῦ παρόντος· οἰκτείρουσα δὲ καὶ τὰς συγγενεῖς ψυχὰς, αἳ περὶ γῆν στρέφονται ἔτι, καὶ ὑπὸ

aut mutatur convertiturque, ut aqua in aerem, aer in ignem. Requiritur ergo ad naturam dæmonis, si immortalis sit, ut nec dissolvi, nec dissipari, nec converti aut mutari, nec frangi possit aut scindi; si enim horum aliquid subeat, quid obstabit quominus immortalis esse desinat? Quomodo autem in ea conditione positus esse possit dæmon, quum sit anima quæ corpus exuit? nam si anima corpus adeo, quod natura sua corrumpitur, a corruptione tutum præstat, quam diu simul vivunt; absit ut corrumpi possit ipsa. In utriusque autem societate continetur corpus, continet anima. Quodsi aliud quid animam continet, non se ipsa; quid hoc erit, aut quis animam excogitabit animæ? Quoties enim alterum ita continetur ab altero, ut simul conservetur; necesse est aliquando hanc, ut ita dicam, desinere continentiam, quum ad illud perventum est, quod aliud continet, a se vero ipso continetur: quod nisi fiat, ubi ratiocinatio tandem desinet, quæ in infinitum procedet? Propone tibi, exempli gratia, navem, quæ mediis quidem in fluctibus versetur; sic tamen, ut plurimis rudentibus petræ cuidam sit adstricta, quorum alter alteri annexus, in petra ipsa, quæ firma est et immobilis, affixus desinit.

6. Talis res est anima: corpus, quod medio in æstu maris fluctibusque natans jactatur assidue impelliturque, continet illa, in tutum recipit, sistitque: simul vero ac nervi hi, spiritusque, et reliqua quæ tanquam retinacula sunt, quibus tam diu animæ adhæsit corpus, deficere incipiunt, perit illud et in profundum mergitur; illa contra sua sponte enatat, se ipsa continet, firmaque manet. Talis anima tum jam dæmon vocari incipit, res videlicet cœlestis, in illam coloniam e terra transcripta; ut si quis e barbaris ad Græcos, aut ex urbe, quæ sine legibus suis ex præscripto tyranni vivit, assiduisque agitatur factionibus, in aliam, quæ æquis legibus, justo rege, tranquilla pace fruitur, transferatur. Haud longe mihi abire ab Homerica imagine hæc res videtur. Vulcanum fingit ille aureo in clypeo duas sculpsisse urbes; in quarum altera

sunt convivia, festus et Hymen,

et tripudia, et cantus, tædarumque gestationes: in altera vero bella, contentiones, rapinæ, pugnæ, ululatus, luctusque et gemitus. Hoc ipsum inter terram interest ac cœlum: ibi enim longa ac profunda pax est, cantuque ac divinis choreis plena sunt omnia; hic vario dissonoque strepitu, infinitis negotiis dissensionibusque omnia miscentur. Quum ergo ex his locis eo se contulerit anima, corpusque suum exuerit, ac terræ corrumpendum reliquerit, suo tempore, sua lege jam dæmon ex homine, puris oculis spectacula intuetur sua, nulla corporis obducta caligine, nulla colorum turbata specie, nulla figurarum diversitate confusa, nulla aeris densitate interclusa; sed ita, ut ipsum pulchrum oculis intueatur suis, plenoque perfruatur gaudio: hic de vita præterita quum cogitat, vicem dolet suam; quum de præsenti, gaudet et gratulatur sibi: deplorat et cognatas animas, quæ adhuc in terris volvuntur; velletque, quo est

φιλανθρωπίας ἐθέλουσα αὐταῖς συναγελάζεσθαι, καὶ ἐπανορθοῦν σφαλλομένας. Προστέτακται δὲ αὐτῇ ὑπὸ τοῦ θεοῦ ἐπιφοιτᾶν τὴν γῆν, καὶ ἀναμίγνυσθαι πάσῃ μὲν ἀνδρῶν φύσει, πάσῃ δὲ ἀνθρώπων τύχῃ καὶ γνώμῃ καὶ τέχνῃ· καὶ τοῖς μὲν χρηστοῖς συνεπιλαμβάνειν, τοῖς δὲ ἀδικουμένοις τιμωρεῖν, τοῖς δὲ ἀδικοῦσι προστιθέναι τὴν δίκην.

7. Ἀλλ' οὐχὶ δαιμόνων πᾶς πάντα δρᾷ, ἀλλ' αὐτοῖς διακέκριται κἀκεῖ τὰ ἔργα, ἄλλο ἄλλῳ. Καὶ τοῦτό ἐστιν ἀμέλει τὸ ἐμπαθές, ᾧ ἐλαττοῦται δαίμων θεοῦ. Ὡς γὰρ εἶχον φύσεως, ὅτε περὶ γῆν ἦσαν, οὐκ ἐθέλουσι ταύτης παντάπασιν ἀπαλλάττεσθαι· ἀλλὰ καὶ Ἀσκληπιὸς ἰᾶται νῦν, καὶ ὁ Ἡρακλῆς ἰσχυρίζεται, καὶ Διόνυσος βακχεύει, καὶ Ἀμφίλοχος μαντεύεται, καὶ οἱ Διόσκουροι ναυτίλλονται, καὶ Μίνως δικάζει, καὶ Ἀχιλλεὺς ὁπλίζεται. Ἀχιλλεὺς νῆσον οἰκεῖ εὐθὺ Ἴστρου κατὰ τὴν Ποντικὴν θάλατταν, Ἀχιλλέως ναὸς, καὶ βωμοὶ Ἀχιλλέως· καὶ ἑκὼν μὲν οὐκ ἄν τις προσέλθοι, ὅτι μὴ θύσων· θύσας δὲ ἐπιβαίνει τῆς νεώς. Εἶδον ἤδη ναῦται πολλάκις ἄνδρα ἠΐθεον, ξανθὸν τὴν κόμην, πηδῶντα ἐν ὅπλοις· τὰ ὅπλα χρυσᾶ· οἱ δὲ εἶδον μὲν οὐδαμῶς, ἤκουσαν δὲ παιανίζοντος· οἱ δὲ καὶ εἶδον, καὶ ἤκουσαν. Ἤδη δέ τις καὶ κατέδαρθεν ἄκων ἐν τῇ νήσῳ, καὶ αὐτὸν Ἀχιλλεὺς ἀνίστησι, καὶ ἐπὶ σκηνὴν ἄγει, καὶ εὐωχεῖ· ὁ Πάτροκλος ᾠνοχόει, Ἀχιλλεὺς ἐκιθάριζεν, παρεῖναι δὲ ἔφη καὶ τὴν Θέτιν, καὶ ἄλλων δαιμόνων χορόν. Ὁ δὲ Ἕκτωρ κατὰ χώραν μένει, ὡς ὁ Ἰλιέων λόγος, καὶ φαντάζεται πηδῶν ἀνὰ τὸ πεδίον καὶ ἀστράπτων. Ἐγὼ δὲ τὸν μὲν Ἀχιλλέα οὐχ εἶδον, οὐδὲ τὸν Ἕκτορα· εἶδον δὲ καὶ Διοσκούρους ἐπὶ νεὼς, ἀστέρας λαμπροὺς, ἰθύνοντας τὴν ναῦν χειμαζομένην· εἶδον καὶ τὸν Ἀσκληπιὸν, ἀλλ' οὐχὶ ὄναρ εἶδον, νὴ τὸν Ἡρακλέα, ἀλλ' ὕπαρ.

erga homines amore, versari cum illis, labantesque fulcire. Munus hoc illis interea a deo impositum est, ut terram visant, cuicunque hominum generi, cuicunque fortunæ, animo atque arti assistant : hac lege, ut bonis auxilium ferant; qui injuria afficiuntur, ab ea vindicent; qui inferunt, puniant.

7. Verum non omnis dæmon agit omnia, sed et ibi singulis singula distincta sunt ministeria, aliud alii. Et hoc illud est, cur dæmonum genus patibile dicamus esse, quo quidem uni deo concedit. Id enim, cui singuli, quum adhuc in terris versarentur, maxime addicti fuerunt, ne hic quidem plane volunt omittere : etiam nunc medicinam exercet Æsculapius, robur Hercules, bacchatur Bacchus, divinat Amphilochus, navigant Castores, judicat Minos, Achilles armatur. Et Achilles quidem insulam circa mare Ponticum contra Istrum incolit : Achillis templum est, sunt Achillis aræ : nec facile quisquam eo, nisi rem divinam facturus, accesserit; ea autem rite peracta, in templum ascendit. Viderunt sæpenumero nautæ juvenem flava insignem coma, aureisque armis tripudium saltantem militare : alii ipsum quidem non viderunt, sed audiverunt cantantem ad arma; alii rursus et viderunt et audiverunt simul. Factum est etiam ut inscius aliquis in insula obdormierit, quem Achilles excitavit, in tentorium deduxit, epulo excepit : vinum Patroclus fundebat, citharam pulsabat Achilles; etiam Thetin adfuisse aiebat aliorumque chorum numinum. Hector vero, prout Ilienses tradunt, terram incolit suam; qui sæpenumero per campum saltare armisque fulgurare visus est. Equidem nec Achillem vidi, nec Hectorem : vidi autem in summa navis parte Castores, stellas lucidas, quæ navem in tempestate dirigebant; vidi et Æsculapium, non in somnis, per Herculem, sed vigilans.

ΛΟΓΟΣ ις'.

Εἰ αἱ μαθήσεις ἀναμνήσεις.

1. Ἀφίκετό ποτε Ἀθήναζε Κρὴς ἀνὴρ, ὄνομα Ἐπιμενίδης, κομίζων λόγον, οὑτωσὶ ῥηθέντα, πιστεύεσθαι χαλεπόν· ἐν τοῦ Διὸς τοῦ Δικταίου τῷ ἄντρῳ κείμενος ὕπνῳ βαθεῖ ἔτη συχνὰ, ὄναρ ἔφη ἐντυχεῖν αὐτὸς θεοῖς καὶ θεῶν λόγοις, καὶ ἀληθείᾳ, καὶ δίκῃ. Τοιαῦτα ἄττα διαμυθολογῶν ᾐνίττετο, οἶμαι, ὁ Ἐπιμενίδης, ὡς ἄρα ὁ ἐν γῇ βίος ταῖς τῶν ἀνθρώπων ψυχαῖς ὀνείρατι ἔοικε μακρῷ καὶ πολυετεῖ. Πιθανώτερος δ' ἦν ἂν καὶ τὰ Ὁμήρου ἔπη προστιθεὶς τῷ αὐτοῦ λόγῳ, ἃ περὶ ὀνείρων ἐκεῖνος. Λέγει γάρ που Ὅμηρος δύο εἶναι πύλας ἀμενηνῶν ὀνείρων, τὴν μὲν ἐξ ἐλέφαντος, τὴν δὲ ἐκ κεράτων· τοὺς μὲν οὖν διὰ κεράτων ἰόντας ἀτρεκεῖς τε εἶναι καὶ πιθανοὺς πιστεύεσθαι· τοὺς δὲ ἑτέρους σφαλεροὺς, καὶ ἀπατεῶνας, καὶ μηδὲν ὕπαρ ἐπὶ τὴν ψυχὴν φέροντας. Ταύτῃ τοι ἔτεινε καὶ ὁ Ἐπι-

DISSERTATIO XVI.

Utrum disciplinæ sint reminiscentiæ.

1. Cretensis quidam Athenas olim venit, Epimenides nomine, narrationem afferens, si simpliciter et nude referatur, difficilem ad credendum : Se, quum aliquando in Dictæi Jovis antrum secessisset, multos ibi annos alto sopore oppressum fuisse, et in somnis versatum cum diis et fruitum eorum manifestatione, veritate et justitia. Quali fabula nihil aliud videtur mihi indicare Epimenides, quam vitam hanc terrestrem animæ humanæ respectu nihil aliud quam longum multorumque annorum esse somnium : quod tamen persuasisset facilius, si Homeri versus, ubi de somniis poeta agit, suæ narrationi adjunxisset. Dicit enim ille alicubi, duas esse somniorum *caducorum* portas, alteram eburneam, corneam alteram : jam somnia illa, quæ per corneam transeunt, credi vera esse et fide digna; altera contra inania, et fallacia, nihilque, quod vigilanti in mentem venire possit, animo offerre. Eodem pertinebat etiam Epi-

μενίδου εἴτε μῦθος εἴτε καὶ ἀληθὴς λόγος. Ἐνύπνιον γάρ τι ἐστὶν ἀτεχνῶς οὑτοσὶ ὁ δεῦρο βίος, καθ' ὃν ἡ ψυχὴ κατορωρυγμένη ἐν σώματι ὑπὸ κάρου καὶ πλησμονῆς μόλις πως ὀνειρώττει τὰ ὄντα. Ἔρχονται δὲ ταῖς μὲν τῶν πολλῶν ψυχαῖς ὄνειροι δι' ἐλεφαντίνων πυλῶν· εἰ δέ που τίς ἐστι καθαρὰ ψυχὴ καὶ νηφάλιος, καὶ ὀλίγα ὑπὸ τοῦ δεῦρο κάρου καὶ τῆς πλησμονῆς ἐπιταραττομένη, εἰκός που ταύτῃ δι' ἑτέρων ἰόντα ἀπαντᾶν ὀνείρατα σαφῆ καὶ διακεκριμένα καὶ ἐγγύτατα τῷ ἀληθεῖ. Οὗτος ἦν ὁ Ἐπιμενίδου ὕπνος.

2. Πυθαγόρας δὲ ὁ Σάμιος πρῶτος ἐν τοῖς Ἕλλησιν ἐτόλμησεν εἰπεῖν, ὅτι αὐτῷ τὸ μὲν σῶμα τεθνήξεται, ἡ δὲ ψυχὴ ἀναπτᾶσα οἰχήσεται ἀθανὴς καὶ ἀγήρως· καὶ γὰρ εἶναι αὐτὴν, πρὶν ἥκειν δεῦρο. Ἐπίστευον δὲ αὐτῷ οἱ ἄνθρωποι ταῦτα λέγοντι, καὶ ὅτι ἤδη πρότερον γένοιτο ἐν γῇ ἐν ἄλλῳ σώματι, Εὔφορϐος δὲ εἶναι ὁ Τρὼς τότε. Ἐπίστευον δὲ ὧδε· ἀφίκετο εἰς Ἀθηνᾶς νεὼν, οὗ πολλὰ ἦν καὶ παντοδαπὰ ἀναθήματα, ἐν δὲ τοῖς καὶ ἀσπὶς, τὸ μὲν σχῆμα Φρυγία, ὑπὸ δὲ χρόνου ἐξίτηλος· εἶπεν οὖν ὅτι Γνωρίζω τὴν ἀσπίδα, ἀφεῖλετο δέ με ὅσπερ ἀπέκτεινε τότε ἐν Ἰλίῳ ἐν τῇ μάχῃ. Θαυμάσαντες οἱ ἐπιχώριοι τὸν λόγον, καθεῖλον τὸ ἀνάθημα, καὶ ἦν ἐπίγραμμα· « Παλλάδι Ἀθηνᾷ Μενέλεως ἀπὸ Εὐφόρϐου. » Εἰ δὲ βούλει, καὶ ἄλλον αὖ λόγον διέξειμί σοι. Προκοννησίῳ ἀνδρὶ τὸ μὲν σῶμα ἔκειτο ἔμπνουν μὲν, ἀλλ' ἀμυδρῶς καὶ ἐγγύτατα θανάτου· ἡ δὲ ψυχὴ ἐκδῦσα τοῦ σώματος, ἐπλανᾶτο ἐν τῷ αἰθέρι, ὄρνιθος δίκην, πάντα ὕποπτα θεωμένη, γῆν, καὶ θάλατταν, καὶ ποταμοὺς, καὶ πόλεις, καὶ ἔθη ἀνδρῶν καὶ παθήματα, καὶ φύσεις παντοίας· καὶ αὖθις εἰσδυομένη τὸ σῶμα καὶ ἀναστήσασα, ὥσπερ ὀργάνῳ χρωμένη, διηγεῖτο ἅττα εἶδέ τε καὶ ἤκουσε, παρ' ἄλλοις ἄλλα.

3. Τί δήποτ' οὖν Ἐπιμενίδης καὶ Πυθαγόρας καὶ Ἀριστέας ἐθέλουσιν αἰνίττεσθαι; ἄλλο τι ἢ τὴν σχολὴν τῆς ψυχῆς τοῦ ἀγαθοῦ ἀνδρὸς ἀπὸ τῶν τοῦ σώματος ἡδονῶν καὶ παθημάτων, ὅταν ἀπαλλαγεῖσα τοῦ περὶ ἐκεῖνο ταράχου, καὶ ἐπιστρέψασα εἰς ἑαυτὴν τὸν νοῦν, ἔμπαλιν ἐντυγχάνῃ τῷ ἀληθεῖ αὐτῷ, ἀφεμένη τῶν εἰδώλων; Τοῦτο ἔοικε μὲν ὕπνῳ καλῷ καὶ μεστῷ ἐναργῶν ὀνειράτων· ἔοικε δὲ ψυχῆς πτήσει μεταρσίῳ, οὐχ ὑπὲρ ἄκρων φερομένης τῶν ὀρῶν ἐν ἀχλυώδει καὶ ταραττομένῳ τῷ ἀέρι, ἀλλ' ὑπὲρ τοῦτον ὑψοῦ ἐν σταθερῷ αἰθέρι, γαλήνης καὶ ἠρεμίας αὐτὴν παραπεμπούσης ἀλύπως ἐπὶ τὸ ἀληθὲς, ἐπὶ τὴν ὄψιν. Τίς δὲ ὁ τῆς παραπομπῆς τρόπος, καὶ τί ἂν αὐτὴν ἐμμελῶς ὀνομάζοιμεν; ἆρά γε μάθησιν, ἢ Πλάτωνι ὁμοφώνως ἀνάμνησιν; ἢ δύο θησόμεθα ὀνόματα πράγματι ἑνὶ, μάθησιν καὶ ἀνάμνησιν; Τὸ δέ ἐστι τοιοῦτον, οἷον τὸ περὶ τὸν ὀφθαλμὸν πάθος· σύνεστι μὲν γὰρ αὐτῷ ἡ ὄψις ἀεὶ, ἤδη δέ που ὑπὸ συμφορᾶς ἐπιχυθεῖσα ἀχλὺς, καὶ ἀμφιέσασα τὸ ὄργανον, διετείχισεν αὐτοῦ τὴν πρὸς τὰ ὁρώμενα ὁμιλίαν· ἡ δὲ τέχνη παρελθοῦσα ὄψιν μὲν οὐκ ἐνεποίησε τῷ ὀφθαλμῷ, τὸ δὲ ἐνοχλοῦν παραναγαγοῦσα ἀπεκάλυψεν

menidis sive fabula sive vera historia. Somnium enim revera hæc vita nostra est, per quam animus in corpore hoc defossus præ sopore nimio et crapula vix unquam de veritate rerum somniat. Adveniunt autem animis plerisque somnia per eburneam portam : at si forte pura alicubi ac sobria sit anima, et quæ modice hac præsenti crapula, hoc sopore conturbatur, huic verisimile est alteram per portam advenire somnia, eaque ipsa manifesta ac distincta, veroque quam proxima. Hoc Epimenidis fuit somnium.

2. Primus vero Pythagoras Samius inter Græcos dicere ausus est, interiturum esse corpus suum, animam vero, mortis immunem seniique, evolaturam esse; priusquam enim huc veniret, exstitisse olim. Ac fidem habebant ei homines hæc narranti, et quod olim corpore alio in terra vixisset, nimirum Euphorbus Trojanus. Quippe hoc ita persuadebat : forte fortuna Minervæ templum intrabat, in quo multa variaque dona quum videret, inter alia clypeum forma Phrygium, vetustate jam detritum, invenit : hunc se novisse dixit; ad Ilium enim in prælio ab eo ereptum sibi fuisse, a quo et interfectus esset. Quæ verba quum vehementer admirarentur cives, detraxerunt clypeum, in quo inscriptionem hanc invenerunt : PALLADI MINERVÆ AB EUPHORBO MENELAUS. Si vis, et aliud tibi referam. Homo fuit Proconnesius, cujus corpus aliquamdiu humi jacebat, non plane quidem sine spiritu, ita tamen, ut vix quicquam superesset vitæ, mortique esset quam proximum : interim anima, relicto corpore, in cœlo adinstar avis errabat, omniaque infra se posita videbat, terram, mare, fluvios, urbes, mores hominum et affectiones, et naturas quaslibet; mox reversa, corpus intrabat denuo atque erigebat, quo velut instrumento usa, quæcunque usquam viderat, alia apud alios narrabat.

3. Quid ergo hæc Epimenidis, Pythagoræ et Aristeæ volunt sibi? aliudne existimas quam otium, quod vir bonus a voluptatibus reliquisque corporis affectionibus agit, quum a tumultu illius vindicata anima, penitus in se mentem convertit suam, atque ita denuo, relictis rerum simulacris, ipsam contemplatur veritatem? Nihil certe aliud hoc, quam suavis quidam somnus est, in quo somnia quamplurima, verissima tamen omnia, se nobis offerunt : non aliud, quam si alis quibusdam in altum noster erigeretur animus, et, non supra summa montium juga in caliginoso hoc et confuso aere, sed longe sublimius raperetur, ubi immutabilis est æther, a serenitate simul et quiete ad contemplationem veritatis leniter deductus. Quæ autem est tandem ea deducendi ratio, aut quo potissimum convenienter eam designabimus nomine? an disciplinam, an eodem cum Platone nomine *reminiscentiam* dicemus? an utrumque simul, hoc et illud, ut duo videlicet rei uni tribuamus nomina? Talis ea est ergo reminiscentia, quale illud, quod interdum oculo accidit; cui quum semper videndi adsit potentia, nonnunquam tamen caligo forte affusa aut tenebræ viam ipsam obsident, quæ ad res conspiciendas ducit et quasi consuetudinem earum oculo conciliat : accedit ergo ars, quæ licet videndi illi non tribuat potentiam, impedimentum tamen tollit, liberumque radiis egressum concedit. Puta animam

αὐτοῦ τὸν ἔξω δρόμον. Νόμιζε δὴ καὶ τὴν ψυχὴν ὄψιν τινὰ εἶναι διορατικὴν τῶν ὄντων φύσει καὶ ἐπιστήμονα· ὑπὸ δὲ τῆς τῶν σωμάτων συμφορᾶς ὑποκεχύσθαι αὐτῇ πολλὴν ἀχλὺν, ἣν καὶ συγχεῖν τὴν θέαν, καὶ ἀφαιρεῖσθαι τὴν ἀκρίβειαν, καὶ ἀποσβεννύναι τὸ οἰκεῖον φῶς· προσιόντα δὲ αὐτῇ τεχνίτην λόγον, ὥσπερ ἰατρὸν, οὐ προστιθέναι αὐτῇ φέροντα ἐπιστήμην, πρᾶγμα ὃ μήπω ἔχει, ἀλλ' ἐπεγείρειν ἣν ἔχει μὲν, ἀμυδρὰν δὲ καὶ ξυνδεδεμένην καὶ καρηβαροῦσαν.

4. Ὅνπερ οὖν τρόπον καὶ ταῖς κυούσαις προσάγουσα ἡ μαιευτικὴ τὰς χεῖρας σὺν τῇ τέχνῃ ὑποδέχεται τὸ κυούμενον, καὶ θεραπεύει τὰς ὠδῖνας, καὶ ἐξάγει τὸ τελεσφορηθὲν εἰς φῶς, καὶ ἀπαλλάττει τῆς ὀδύνης τὴν φέρουσαν· τοῦτον τὸν τρόπον καὶ λόγος μαιεύεται ψυχὴν κύουσαν καὶ ὠδίνων μεστήν· ἀλλὰ πολλαὶ ἀμβλισκάνουσιν, ἢ δι' ἀτεχνίαν τῶν μαιουμένων, ἢ διὰ σφοδρότητα τῶν ὠδίνων, ἢ διὰ ἀμβλύτητα τῶν σπερμάτων· ὀλίγαι δέ που καὶ σπάνιοι ψυχαὶ τελεσφόροι, ὧν τὰ ἔκγονα σαφῆ καὶ διηρθρωμένα καὶ γνήσια τῶν πρώτων πατέρων. Ὄνομα δὲ τῇ μὲν ψυχῆς κυήσει νοῦς, τῇ δὲ ὠδῖνι αἴσθησις, τῇ δὲ ἀποτέξει ἀνάμνησις· κύουσι δὲ πᾶσαι μὲν ψυχαὶ φύσει, ὠδίνουσι δὲ ἔθει, τίκτουσι δὲ λόγῳ. Ὥσπερ οὖν ἀδύνατον φῦναί τι ἄνευ σπέρματος, καὶ ἀλλοῖον ἢ οἷα τὰ σπέρματα, ἀλλ' ἄνθρωπον μὲν ἐξ ἀνθρώπου, βοῦν δὲ ἐκ βοὸς, καὶ ἐξ ἐλαίας ἐλαίαν, καὶ ἐξ ἀμπέλου ἄμπελον· οὕτω καὶ εἴ τι ἀληθὲς ἡ ψυχὴ ξυνίησι, ἀνάγκη ἀληθῆ εἶναι ταυτὶ τὰ σπέρματα ἐμπεφυτευμένα τῇ ψυχῇ· εἰ δὲ ἦν, καὶ ἀεὶ ἦν· ἀεὶ δὲ ὄντα, καὶ ἀθάνατα ἦν. Καὶ τοῦτό ἐστιν ἀμέλει τὸ περὶ τὰς ἐπιστήμας γιγνόμενον σπερμάτων ψυχῆς ἄνθος καὶ τελεσφόρησις· ὃ δὲ καλοῦσιν οἱ ἄνθρωποι ἄγνοιαν, τί ἂν εἴη ἄλλο ἢ ἀργία τῶν σπερμάτων;

5. Εἰ μὲν οὖν τοιοῦτόν ἐστιν ἡ ψυχὴ, οἷον καὶ τὸ σῶμα, θνητὸν καὶ φθειρόμενον, καὶ λυόμενον, καὶ σηπόμενον, οὐδὲν ἔχω περὶ αὐτῆς σεμνὸν εἰπεῖν· οὐδὲ γὰρ περὶ σώματος σεμνὸν οὐδὲν εἰπεῖν ἔχω· ἐφήμερον γὰρ τὸ θρέμμα καὶ ἀκροσφαλὲς, φερόμενον, ἄπιστον, ἀσαφὲς, καὶ ἔμπληκτον. Εἰ τοιοῦτον ἡ ψυχὴ, οὔτε τι οἶδεν, οὔτε ἀναμιμνήσκεται, οὔτε μανθάνει. Θᾶττον γὰρ ἂν φυλάξαι σφραγῖδος τύπους κηρὸς ὑπὸ ἡλίου τηκόμενος, ἢ ψυχὴ μάθημα, εἴπερ ἐστὶ σῶμα· πᾶν γὰρ σῶμα ῥεῖ, καὶ φέρεται ὀξέως, Εὐρίπου δίκην, ἄνω καὶ κάτω, νῦν μὲν ἐκ νηπιότητος εἰς ἥβην οἰδαῖνον, νῦν δὲ ἐξ ἥβης εἰς γῆρας ὑπονοστοῦν καὶ ὑποφερόμενον. Ἀλλ' οὐ τοιοῦτον χρῆμα εἶναι τὴν ψυχὴν μαντεύεται οὔτε Πυθαγόρας, οὔτε Πλάτων· ἀλλ' οὐδὲ ὁ πρὸ τούτων Ὅμηρος, ᾧ καὶ ἐν Ἅδου διαλέγονται αἱ ψυχαὶ, καὶ εἰσὶ μαντικαὶ τότε. Λέγει δέ που αὐτῷ καὶ ἀοιδὸς ἀνὴρ,

Αὐτοδίδακτος δ' εἰμὶ, θεοὶ δέ μοι ὤπασαν ὀμφήν.

Καὶ ἀληθῆ λέγει· αὐτοδίδακτον γάρ τι χρῆμα ἀτεχνῶς ἡ ψυχὴ, καὶ τὸ εἰδέναι παρὰ θεῶν τῇ φύσει εὖ ἔχον. Ἢ τὰ μὲν ἄλλα ζῷα αὐτοδίδακτα πρὸς τὰ αὐτῶν ἔργα, καὶ οὐδεὶς εἰπεῖν ἔχει διδασκάλους, οὐ λεόντων πρὸς

nostram talem esse videndi potentiam, quæ ea, quæ sunt natura, perspicit et cognoscit; huic propter corporum adjunctionem evenire ut caligo offusa eripiat aspectum, aciem obtundat, propriumque lumen exstinguat; accedere postea rationis artem, quæ tanquam medicus scientiam illi quidem non statim confert, rem quam nondum habet, sed eam quam habet, licet tenuem admodum et quasi colligatam aut vacillantem, erigit.

4. Sicut ergo gravidis artem simul manumque obstetricia admovet, fœtum excipit, parturitionis dolores mitigat, simulque fœtum jam maturum in lucem educit, puerperamque dolore liberat : eodem modo animæ gravidæ, jam partui propinquæ et doloribus plenæ obstetricatur ratio; at quamplurimæ vel obstetricum imperitia, vel dolorum vehementia, vel seminum ignavia abortiuntur; paucæ contra raræque ad finem suum perveniunt animæ, et edunt sobolem perfectam, membris probe distinctam, genuinam et primorum patrum similem. Ipsa autem animi conceptio *mens* dicitur, partitudo *sensus*, partus ipse *reminiscentia;* parturiunt vero animæ omnes natura, partitudines sensu sustinent, pariunt ratione. Sicut igitur nihil sine semine, nec aliud a semine, sed homo ex homine, bos e bove, olea ex olea, vitis e vite nascitur; sic etiam, si veritatem intelligat animus, necesse est vera illa esse, quæ animo insita sunt semina : quod si sunt, etiam semper fuerunt; si semper fuerunt, immortalia sunt. Ut nihil sit aliud scientiæ in animo ortus, quam quædam, ut ita dicam, eorum, quæ in animo sunt, efflorescentia seminum et ad maturitatem perfectio; quam contra ignorantiam dicunt, quid fuerit aliud, quam quidam quasi torpor seminum?

5. Quodsi corpori similis sit anima, morti videlicet obnoxia et corruptioni, si dissolvatur et putrescat, nihil habeo quod magnifice de ea loquar : sicut nec magnifice de corpore loqui possum : caduca namque illud, periculis proxima, fluxa, dubia, incerta, trepida res est. Si talis sit animus, nec scire quicquam, nec reminisci poterit, nec discere. Facilius enim cera sole liquefacta impressam sigilli imaginem servaret, quam disciplinam animus, si quidem sit corpus; mutatur enim corpus omne ac movetur, celeriterque, Euripi instar, sursum deorsum fertur, nunc ex infantia in pubertatem excrescens, nunc ex juventa in senectutem paullatim delabens. At enim talem esse animum, neque Pythagoræ, neque Platonis concedunt oracula : sed nec id judicavit, qui præcessit eos, Homerus, cui etiam apud inferos colloquuntur animæ, ac ne ibi quidem divinare desinunt. Idem fere dicit citharœdus ille apud eum alicubi :

Sponte mea didici, tribuerunt numina musam.

Nec fallitur : sponte enim discit animus, scientiamque a diis natura sua copiose consequitur. Nisi forte reliqua, quotquot sunt, animalia sponte opera sua cognoscere, nec præceptorem illis ullum inveniri dicamus, non ad fortitudinem leonibus, non ad fugam cervis, non ad cursum equis; ut aves

ἀλκὴν, οὐχ ἐλάφων πρὸς φυγὴν, οὐχ ἵππων πρὸς δρόμον. ἀλλὰ καὶ ὀρνίθων γένος αὐτοδίδακτον ἐπ' ἄκρων φυτῶν ἐμηχανήσαντο καλιάδας αὐτουργῷ τέχνῃ, καὶ ἀράχναι αὐτοφυεῖ μίτῳ θήρατρα ἐν ἀέρι, καὶ ἑρπετὰ φωλεοὺς, καὶ ἰχθύες χηραμοὺς, καὶ ὅσαι ἄλλων ζώων τέχναι πρὸς σωτηρίαν ἑκάστῳ γένει ξύμφυτοι· ἀνθρώπῳ δὲ ἄρα τῷ νοερωτάτῳ τῶν ὄντων ἐπίκτητον ἥξει τὸ εἰδέναι; Οὐκοῦν ἥξει πόθεν; ἀνάγκη γὰρ ἢ εὑρόντα εἰδέναι, ἢ μαθόντα· ὧν ἑκάτερον ἀσθενὲς, οὐχ ὑπούσης ἐπιστήμης φύσει· ὅτε γὰρ εὑρὼν πῶς ἂν χρήσαιτο τῷ εὑρεθέντι, μὴ γνωρίσας τὴν χρείαν αὐτοῦ; κἂν γὰρ ἠπειρώτης ἀνὴρ καθ' Ὅμηρον οἴακι ἐντύχῃ,

Φήσει ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ ὤμῳ·

ὅ τε μαθὼν παρὰ μὲν τοῦ οὐκ εἰδότος οὐκ ἂν μάθοι, παρὰ δὲ τοῦ εἰδότος κἂν μάθοι· ἐρήσομαι τὸν διδάξαντα, πῶς καὶ οὗτος ἔγνω; Οὐκοῦν καὶ οὗτος ἢ εὗρεν, ἢ ἔμαθεν· καὶ εἰ μὲν εὗρε, τὰ αὐτὰ ἐρήσομαι, πῶς ἐχρήσατο τῷ εὑρεθέντι, μὴ γνωρίσας; εἰ δὲ ἔμαθε παρ' ἄλλου, πάλιν ἡδὺ ἐκεῖνον διέρεσθαι. Καὶ ποῖ στησόμεθα, ἄλλον ἄλλου διδάσκαλον ἀνερωτῶντες; ἀφίξεται γάρ ποτε λογισμὸς προϊὼν ἐπὶ τὸν οὐ μαθόντα, ἀλλ' εὑρόντα· πρὸς ὃν τὰ αὐτὰ ἐκεῖνα ῥητέον.

6. Ἥκει τοίνυν ἡμᾶς ὁ λόγος φέρων ἐπὶ τὸ ζητούμενον. Ἡ δὴ γὰρ ψυχῆς εὕρεσις, αὐτογενής τις οὖσα, καὶ αὐτοφυὴς, καὶ ξύμφυτος, τί ἄλλο ἐστὶν ἢ δόξαι ἀληθεῖς ἐπεγειρόμεναι, ὧν τῇ ἐπεγέρσει τε καὶ συντάξει ἐπιστήμη ὄνομα; Εἰ δὲ βούλει, καὶ ταύτῃ εἴκαζέ μοι τὸ λεγόμενον, στρατιώτῃ πλανωμένῳ καὶ διακεχυμένῳ· ἢ καθ' Ὅμηρον μᾶλλον, νὺξ μὲν ἔστω καὶ ἡσυχία πολλὴ κατὰ τὸ στρατόπεδον, καὶ ὕπνος βαθὺς τῶν ἄλλων ἁπάντων κειμένων ἑξῆς·

Ἀλλ' οὐκ Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν,
ὕπνος ἔχεν·

ἀλλ' ἐπιὼν καὶ ἐξανιστὰς ἕκαστον καὶ συντάττων,

Ἱππῆας μὲν πρῶτα σὺν ἵπποισιν καὶ ὄχεσφιν,
πεζοὺς δ' ἐξόπιθεν στῆσεν πολέας τε καὶ ἐσθλοὺς,
ἕρκος ἔμεν πολέμοιο, κακοὺς δ' ἐς μέσσον ἔλασσεν.

Τοιοῦτον ἡγοῦ καὶ περὶ τὴν ψυχὴν γίγνεσθαι, νύκτα πολλὴν καὶ ὕπνον βαθὺν τῶν τῆς ψυχῆς νοημάτων· τὸν δὲ λόγον αὐτὸν, τὸν στρατηγὸν ὄντα, ἢ βασιλέα, ἢ ὅ,τι περ ὀνομάζων χαίρεις, ἐπιόντα τούτων ἕκαστον καὶ ἐπεγείροντα καὶ συντάττοντα. Κάλει δὲ τὸν μὲν ὕπνον λήθην, τὴν δὲ ἀνάστασιν αὐτῶν ἀνάμνησιν, μνήμην δὲ τὴν φυλακὴν καὶ τὴν σωτηρίαν τῶν συνταχθέντων. Γίγνεται δὲ ἡ ἀνάμνησις κατὰ βραχὺ, ἕτερον ἐξ ἑτέρου θηρευούσης τῆς ψυχῆς, καὶ χειραγωγουμένης ὑπὸ τοῦ παρόντος ἐπὶ τὸ μέλλον· ὁποῖον ἀμέλει περὶ τὰς τῶν δεῦρο πραγμάτων ἀναμνήσεις γίγνεται.

7. Ἄδει ὁ Δημόδοκος ἐν τῇ Φαιάκων δαιτὶ

Νεῖκος Ὀδυσσῆος καὶ Πηλείδεω Ἀχιλῆος.

Ὀδυσσεὺς παρὼν, ἀκούων τῆς ᾠδῆς, γνωρίσας δακρύει.

taceam, quæ in arborum culminibus spontanea arte nidos suos contexunt, araneasque, quæ spontaneo filo retia sua in aere suspendunt, sicut et lustra serpentes, et antra pisces sponte faciunt; quotquot denique animalium artes, singulæ generi suo, ad salutem tuendam a natura donatæ sunt: homini autem cunctorum animalium, quod ad intellectum attinet, facile principi, foris inductam tribuamus scientiam? Unde igitur inductam? alterum enim necesse est, ut aut invenerit quod scit, aut didicerit; quorum utrumque per se infirmum est, nisi naturâ adsit scientia. Qui invenit enim, quomodo utetur invento, si usum ignoret illius? Si enim mediterraneus aliquis, ut est apud Homerum, cuidam occurrat, qui temonem navis gestat, dicet,

Vannum hominem gestare humeris ingentibus illum.

Ille autem qui didicit, ex eo qui nescit, didicisse non potest; potest ex eo qui scit; quæram igitur de præceptore, quo pacto hic didicerit? Necesse est enim et hunc vel invenisse, vel didicisse: quodsi invenit, eadem rursus quæram, quo pacto uti potuit invento, si non intellexerit? sin ex alio didicit, libebit et hunc interrogare. Quando autem desinemus tandem quærere, quove loco consistet discendi ex aliis modus? necesse est enim tandem ad eum nos deducat, qui non didicit, sed invenit: cui eadem illa dicemus.

6. Atque ita sponte ad id quod quæritur nos deducit ratio. Nam animæ inventio, quæ spontanea, genuinaque, et agnata est nobis, quid est aliud quam opinionum in animo excitata veritas, quarum excitatio atque ordinatio scientia dicitur? Aut, si lubet, quod dico contemplare hac imagine, militis qui extra ordinem passim oberrat et vagatur: aut potius, Homero auctore, fingamus noctem esse quietemque in castris profundam, aliosque omnes ordine somno sepultos altissimo jacere;

At non Atriden pastorem Agamemnona gentis
detineat somnus:

sed ille ordine omnes excitet, aciemque instruat,

primos constituens equites cum curribu', fortes
a tergo pedites, belli pro sepe futuros:
in medio jubeat timidas procedere turmas.

Tale quid existima et in animo fieri nostro, noctem videlicet somnumque in ea, qui cogitationes ejus opprimat, oboriri profundum; rationem autem aut imperatorem esse, aut regem, vel quodcunque eam appellare velis, qui singulos adeat, sopitos excitet, excitatos ordine disponat. Somnum ipsum oblivionem, excitationem e somno reminiscentiam voca, curam vero conservationemque eorum, quos jam ordinavit ratio, memoriam. Excitatur autem paullatim reminiscentia, dum aliud ex alio inquirit anima, et a præsenti ad id, quod futurum est, quasi manu deducitur; cujusmodi aliquid etiam in actionum humanarum reminiscentiis videre licet.

7. A Demodoco in Phæacum convivio canitur

Lis Laertiaden Pelidenque inter Achillem.

Adest Ulysses, cantilenam audit, auditam agnoscit, lacri-

Ἆρ' οὖν οὐκ εἰκὸς, ἐπιλαβομένης αὐτῷ τῆς ψυχῆς τοιαύτης ἀρχῆς, ὁδεύειν ἐπὶ τὰ ἐκεῖ ἔργα, καὶ τὸ μὲν σῶμα αὐτῷ συμπίνειν τοῖς Φαίαξιν, αὐτοῦ μένον· τὴν δὲ ψυχὴν γίγνεσθαι τῆς μνήμης ἐκεῖ ἐν Ἰλίῳ ἀναπεμπαζομένης ἕκαστον ὧν εἶδε τέως, καὶ ἰοῦσαν ἐπὶ πολλὰ τῶν ἑαυτῆς θεαμάτων, ἀπὸ μικρᾶς ἀρχῆς; Ἤδη τις καὶ λύραν ἰδὼν ἐμνήσθη τῶν παιδικῶν τῶν χρησαμένων τῇ λύρᾳ· κοῦφον γάρ τι χρῆμα ἀνάμνησις καὶ εὔκολον. Καὶ ὥσπερ τὰ εὐκίνητα τῶν σωμάτων τοῦ χειρὶ προάγοντος δεῖται, καὶ παραλαβόντα τὴν ἐξ ἐκείνου ἀρχὴν φυλάττει ἐπὶ πολὺ τὴν κίνησιν· οὕτω καὶ ὁ νοῦς ἐπιλαβόμενος πρὸς μνήμην βραχείας ἀρχῆς, ἣν ἡ αἴσθησις αὐτῷ ὀρέγει, ἐπὶ πολλὰ χωρεῖ προϊὼν κατὰ ἀνάμνησιν. Ἕκαστον γὰρ οἶμαι τῶν ὄντων ἢ γεγονότων, οἷς ἡ ψυχὴ ἐνέτυχεν, ἀκολουθίαν ἔχει, ἢ κατὰ χρόνον, ὡς ἐπὶ ἡμέρᾳ νὺξ, καὶ ἐπὶ νεότητι γῆρας, καὶ ἐπὶ χειμῶνι ἔαρ· ἢ κατὰ πάθος, ὡς κάλλει ἔρως ἐπιγίνεται, καὶ προπηλακισμῷ ὀργὴ, καὶ ἡδονὴ εὐτυχίαις, καὶ λύπη συμφοραῖς· ἢ κατὰ τόπον,

Φᾶρίν τε, Σπάρτην τε, πολυτρήρωνά τε Θίσβην·

ἢ κατὰ νόμον,

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον,
Ἀρκεσίλαός τε, Προθοήνωρ τε, Κλόνιός τε·

ἢ κατὰ δύναμιν,

Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν, ἢ Τυδέος υἱὸν,
ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης.

8. Ἅτε οὖν ἐν προθύροις τῆς ψυχῆς αἱ αἰσθήσεις ἱδρυμέναι, ἐπειδάν τινος ἐφάψωνται ἀρχῆς, καὶ παραδῶσι τῷ νῷ, ἐπιλαβόμενος ταύτης, διορᾷ τὰ λοιπὰ, καὶ διεξέρχεται ἐπὶ τὰ ἀκόλουθα, ἢ χρόνῳ, ἢ φύσει, ἢ νόμῳ, ἢ τόπῳ, ἢ τιμῇ, ἢ δυνάμει. Ὥσπερ γὰρ ἐπὶ τῶν μακρῶν καὶ λεπτῶν δοράτων, ὁ τὸν στύρακα κλονήσας παρέπεμψε τὴν κίνησιν διὰ παντὸς τοῦ δόρατος μέχρι τῆς αἰχμῆς· καὶ ὥσπερ τῶν μακρῶν καὶ διατεταμένων κάλων ὁ διασείσας τὴν ἀρχὴν, παραδίδωσι τὴν κίνησιν τῷ ὅλῳ, βαδίζουσαν ἐπὶ τὸ πέρας· οὕτω καὶ τῷ νῷ βραχείας ἀρχῆς δεῖ πρὸς ἔννοιαν τῶν πραγμάτων ὅλων. Ὁ μὲν δὴ εὖ πεφυκὼς ἀνὴρ, καὶ πρὸς ἀρετὴν εὐδρομώτατος, αὐτὸς παρ' αὐτοῦ τὴν ἀρχὴν λαβὼν, πορεύεται, καὶ ἐφοδεύει, καὶ ξυλλαμβάνει, καὶ ἀναπεμπάζεται τῇ μνήμῃ τὰ τοῦ νοῦ θεάματα· ὁ δὲ ἧττον δεινὸς, δεῖται τοῦ Σωκράτους, αὐτοῦ μὲν διδάσκοντος οὐδὲν, διερωτῶντος δὲ καὶ διαπυνθανομένου, ὁ δὲ ἀποκρίνεται τἀληθῆ αὐτός. Τίς ἂν οὖν ἀποκρίνηται ἃ μήπω οἶδε; πλὴν εἰ μὴ καὶ τὸν βαδίζοντα, χειραγωγοῦντος ἑτέρου, φήσει τις μὴ βαδίζειν αὐτόν. Τί τοίνυν διαφέρει ὁ χειραγωγῶν τοῦ ἀνερωτῶντος, καὶ τί διαφέρει ὁ βαδίζων τοῦ ἀποκρινομένου; ὁ μὲν γὰρ ἑαυτῷ παρέχει τὴν ἐνέργειαν, ὁ δὲ ἐκείνῳ τὴν ἀσφάλειαν. Ἀλλ' οὔτε ὁ χειραγωγούμενος μανθάνει βαδίζειν, οὔτε ὁ ἀνερωτώμενος ἀποκρίνεσθαι μανθάνει· ἀλλ' ἑκάτερος, ὁ μὲν βαδίζει, δύναται γάρ· ὁ δὲ ἀποκρίνεται, οἶδε γάρ· ξυνεπιλαμβάνουσι δὲ πρὸς ἀσφάλειαν ἑκατέρῳ ἑκάτερος.

masque effundit. Quis igitur dubitet quin ab hoc tanquam principio ad reliqua, quæ ibi gesserat, ejus abierit animus, corpusque una cum Phæacibus ibidem loci potaverit, animus autem penitus abripiatur memoria, singula, quæ ibi ad Ilium viderat, ruminante, et infinita, quæ illo tempore conspexerat, tantula re admonitus, tanquam præsentia cernat iterum? Quid, quod sæpe aliquis lyram quum videt, de amasio suo cogitat, qui tractavit eam: agilis namque et expedita res est reminiscentia. Sicut enim ea quæ facile moventur corpora, motum tamen impulsumque manus requirunt, a quo initium quum semel acceperunt, diutissime eum conservant; sic mens nostra, ut in memoriam redeat, exiguum nacta principium, quod a sensibus accipit, longe lateque plurima reminiscitur. Res enim singulæ, sive præsentes eæ, sive ante actæ sint, quas semel contemplatus est animus, aliquo inter se cohærent modo; aut tempore, sicut noctem dies, juventutem senectus, ver æstas excipit; aut affectione, ut pulchritudinem amor, contumeliam ira, secundam fortunam gaudium, adversam mœror sequitur; aut loco, ut,

Pharinque, Spartamque, columbiferam quoque Thisben;

aut distributione,

Bœotis dux Peneleos et Leitus heros,
Arcesilausque, Prothoenorque, Cloniusque;

aut potentia,

Juppiter, Ajacis da vel magni Diomedis,
divitis aut sortem regis prodire Mycenæ.

8. Sensus igitur, qui tanquam in vestibulo constituti sunt animæ, simulac rei alicujus arripuerint initium, mentique tradiderint, mens vicissim hæc arripit, reliquaque hujus intuetur beneficio, donec ea quæ vel temporis, vel naturæ, vel distributionis, vel loci, vel honoris, vel potentiæ ratione inter se cohærent, omnia simul percurrit. Sicut enim in longa aliqua tenuique hasta fieri videmus, ut extremam qui partem concutit, motum illum ad alterum usque finem per totam diffundat; aut in longo protensoque fune, primam qui partem quatit, totum necessario, eunte ad finem usque motu illo, movet: ita etiam menti exiguo tantum ad recordationem rei totius opus est initio. Jam præclaræ indolis homo et ad virtutem natus, illud ab se sumit initium, viam ingreditur, mentisque contemplationes tanquam itinere instituto petit, quas et assequitur, et recordatione volvit, ac memoria: at qui minus a natura valet, Socrate opus habet, non qui doceat quicquam, sed tantum interroget atque examinet; ipse enim, quæ vera sunt, respondet. Quis autem respondebit quæ nunquam scivit? nisi quis hominem existimet, qui manu deducitur dum incedit, non incedere. Quid autem inter eum interest, qui manu ducit, et qui interrogat? aut eum, qui incedit, et qui respondet? alter enim a se actionem habet, alter confirmat illam et regit. Sed neque ille qui manu ducitur, discit incedere; neque qui interrogatur, discit respondere: verum uterque, alter quidem incedit, potest enim; alter respondet, novit enim; uterque autem utrumque confirmat et juvat.

9. Σῶμα μὲν βαδιστικὸν τῇ φύσει, ψυχὴ δὲ λογιστικὴ τῇ φύσει· εἰ δ' ἐστὶν ἀθάνατος, ὥσπερ ἐστὶν, ἀνάγκη που αὐτῇ τοῦτο ἐξ ἀϊδίου ἐνεῖναι, τὰς νοήσεις τε καὶ ἐπιστήμας τῶν πραγμάτων. Ἅτε δὲ, οἶμαι, διττῷ βίῳ ἡ ψυχὴ συνεχομένη, τῷ μὲν καθαρῷ καὶ διαυγεῖ καὶ ὑπὸ μηδεμιᾶς συμφορᾶς ἐνοχλουμένῳ, τῷ δὲ θολερῷ καὶ τεταραγμένῳ καὶ ἐν παντοίαις τύχαις φυρομένῳ· ἐνταῦθα μὲν ἀσαφείας ἐμπέπλησται, καὶ καρηβαρεῖ, αὐτὸ ἐκεῖνο τὸ τῶν μεθυόντων πάθος· τούτοις γάρ που φλεγμαίνουσα ἡ ψυχὴ ὑπὸ τοῦ ἀνέδην πότου, ἐγγύτατα μὲν τείνει μανίας· ἤδη δέ που ἀνακαλεῖται αὑτὴν, καὶ οὔτε ἀκριβῶς σφάλλεται, οὔτε σαφῶς λογίζεται, ἀλλ' ἐν μεθορίῳ μένει ἀγνοίας καὶ λογισμοῦ. Ἐπειδὰν δὲ ἀπαλλαγῇ ἡ ψυχὴ ἐνθένδε ἐκεῖσε, ὥσπερ ἐκ τῆς Κιμμερίων γῆς ἐπὶ λαμπρὸν αἰθέρα ἐξελθοῦσα, ἐλευθέρα μὲν γενομένη σαρκῶν, ἐλευθέρα δὲ ἐπιθυμιῶν, ἐλευθέρα νόσων, ἐλευθέρα συμφορῶν· τότε διορᾷ καὶ λογίζεται τἀληθῆ αὐτὰ, θεοῖς καὶ θεῶν παισὶ συγγιγνομένη ὑπὲρ ἄκραν τὴν οὐρανοῦ ἀψῖδα, συμπεριπολοῦσα καὶ συντεταγμένη στρατιᾷ θεῶν ὑφ' ἡγεμόνι καὶ στρατηγῷ τῷ Διΐ· καὶ μέμνηται μὲν ἀληθῶς τότε, ἀναμιμνήσκεται δὲ νῦν ἐκείνων· καὶ θαρσεῖ μὲν τότε, σφάλλεται δὲ νῦν. Ἡ δὲ ἐρρωμένη ψυχὴ καὶ χρηστῷ δαίμονι συγκεκληρωμένη, κἀνταῦθα ἀντέχει τῷ κυκηθμῷ, καὶ κατὰ δύναμιν ἀπαλλάττουσα αὑτὴν τῆς πρὸς τὸ σῶμα ὁμιλίας, τὴν μνήμην ἐγείρει ἐκείνων τῶν θεαμάτων, καὶ ἐκείνων τῶν ἀκουσμάτων. Τοῦτο ἄρα καὶ οἱ ποιηταὶ τὴν Μνημοσύνην αἰνίττονται Μουσῶν μητέρα, Μούσας μὲν τὰς ἐπιστήμας ὀνομάζοντες, ἠγάθεον χορὸν καὶ ἔργον Διὸς, ὑπὸ Μνημοσύνης δὲ γεννωμένας καὶ συνταττομένας. Θεραπεύωμεν τὰς Μούσας, θεραπεύωμεν τὴν Μνημοσύνην.

9. Corpus igitur a natura habet quod incedit; a natura habet, quod ratiocinatur, animus; qui si æternus est, ut est revera, necesse est ab æterno intellectus illi rerum inesse et scientias. Quoniam vero duplici, ut opinor, vita fruatur anima, altera pura, clarissima, nullis exercitata calamitatibus; altera turbida, concitata, diversisque fortunæ intricata casibus: hic dum versatur, obscuritate plurima perfusa est et caligine, et, quod temulenti solent, capitis vertigine laborat. Inter hæc quippe non secus quam immodica vini ingurgitatione exæstuans, non longe abest ab insania; nisi quod interdum se colligit, ut neque plane vacillet, neque omnino sincera utatur ratione, sed in ignorantiæ rationisque sedeat confinio. Postquam vero hinc illuc se subduxerit, tanquam e Cimmeriorum terra in ætheris splendorem translata, nec amplius cum corpore, concupiscentiis, morbis, aut ullis luctatur calamitatibus; tum demum veritatem ipsam perspicit, puraque ratione assequitur; tum in deorum deorumque filiorum recepta consortium supra summos cœli cum iis vagatur fornices, divinæque aciei adscribitur, cui imperator præest ac dux Juppiter; tunc integra utitur memoria, nunc tantum reminiscitur illorum; tunc confidit sibi, nunc errat tantum. Nihilominus etiam hic animus qui firmus est et bonum genium sortitus a turbis et tumultu se vindicat; relictoque quantum in se est corporis consortio, quæ vel vidit ibi vel audivit, ruminat memoria. Nec alia causa est cur Mnemosynen Musarum matrem esse tradant poetarum fabulæ; nihil enim aliud Musæ sunt illis, quam scientia, chorus videlicet divinus, opusque Jovis, quas producit ordinatque Mnemosyne. Colamus Musas, colamus Mnemosynen.

ΛΟΓΟΣ ΙΖ'.

Τί ὁ θεὸς κατὰ Πλάτωνα.

1. Περὶ μὲν δαιμόνων ἀμφισβητεῖν λόγον λόγῳ φέρω, καὶ ἀνέχομαι τὴν στάσιν, καὶ οὐδὲν δεινὸν οὐδὲ πλημμελὲς οὐδὲ ἔξω τρόπου ἡγοῦμαι δρᾶν τὸν ἀμφισβητοῦντα πρὸς ἑαυτὸν καὶ πρὸς ἄλλον, εἰ ἔστι τὸ δαιμόνιον, καὶ τί, καὶ ὁπόσον· καὶ γὰρ ἦν ἐνταῦθα τὸ μὲν ὄνομα ἄδηλον, ἡ δὲ οὐσία ἀφανὴς, ἡ δὲ δύναμις ἀμφισβητήσιμον. Νῦν δὲ δὴ τίς γένωμαι, περὶ θεοῦ λέγων; ποῖον κάλλος ῥημάτων περιβαλόμενος, ἢ ποῖον φῶς ἐξ ὀνομάτων σαφεστάτων πορισάμενος, ἢ τίνα ἁρμονίαν ᾠδῆς ἐκλόγου ἁρμοσάμενος, δείξαιμι ἂν ἐμαυτῷ καὶ ἄλλῳ τὸ νῦν ζητούμενον; Ὁπότε γὰρ οὐδὲ ὁ εὐφωνότατος τῶν ὄντων Πλάτων, εἰ καὶ πρὸς Ὅμηρον παραβάλλειν ἐθέλοις, οὔπω καὶ νῦν ἀξιόχρεως πιστεύεσθαι περὶ θεοῦ λέγων, ἀλλ' ἑτέρωθέν τις πυθέσθαι ποθεῖ τὴν Πλάτωνος δόξαν, σχολῇ γ' ἄν τις ἐπιτολμήσαι τῷ λόγῳ, νοῦν καὶ βραχὺν ἔχων· πλὴν εἰ μὴ καὶ ἀνδρὶ διψῶντι ποταμοῦ παρόντος

DISSERTATIO XVII.

Quid sit deus secundum Platonem.

1. De natura dæmonum rationem rationi dissidere facile patior, nec contentionem hanc reprehendo; tantum abest ut indignum quid, aut absonum absurdumve ab eo committi existimem, qui vel secum ipse, vel cum aliis de dæmone, an sit, quid, et quantus, inquirat: nam in hac quidem quæstione et nomen ipsum, de quo agitur, incertum est, et ejus, de quo quæritur, essentia abstrusa, et potestas controversa. Nunc autem, quum de deo dicere institui, quid agam potissimum? quo verborum assumto ornatu, qua nominum evidentissimorum luce comparata, qua carminis exquisiti harmonia mihi et aliis id, de quo nunc quæritur, ostendam? Si enim Plato, quo homine, etiam si cum Homero comparare velis, rerum natura nihil unquam vidit facundius, ne nunc quidem omnibus, quando de deo agit, ad fidem plane satisfecit; sed nonnemo reperitur, qui ex alio sententiam Platonis audire se postulet; ægerrime aliquis, cui quidem vel mica mentis insit, huic se disputationi parem judicaverit:

καθαροῦ καὶ πολλοῦ, ἰδεῖν ἡδίστου, καὶ πιεῖν προσηνεστάτου, καὶ θρέψαι γονιμωτάτου, ἄλλοθέν ποθεν ἐκ πηγῆς ἀσθενοῦς καὶ ἧττον τὰ αὐτὰ ἀγαθῆς ἀρυσάμενοι κομίζοιμεν τῷ διψῶντι ἀναγκαῖον ποτόν. Ὁποῖόν φασι τὴν γλαῦκα πάσχειν, πρὸς μὲν τὸν ἥλιον ἀμαυρουμένην, θηρεύουσαν δὲ ἐν νυκτὶ ἔκπυρον φῶς. Εἰ γάρ τις ἐς τὰς Πλάτωνος φωνὰς ἐμπεσὼν ἑτέρων δεῖται λόγων, καὶ εἴ τῳ τὸ ἐκεῖθεν φῶς ἀμαυρὸν δοκεῖ καὶ ἥκιστα μετέχον αὐγῆς σαφοῦς, οὗτος οὐδ' ἂν τὸν ἥλιον ἴδοι ἀνίσχοντα, οὐδὲ τὴν σελήνην λαμπρυνομένην, οὐδὲ τὸν Ἕσπερον καταδυόμενον, οὐδὲ τὸν Ἑωσφόρον φθάνοντα.

2. Ἔχ' ἀτρέμας· νῦν γάρ τοι ἠρέμα ἐννοῶ, οἷον ἂν εἴη τὸ πάθος τοῦ τοιοῦδε λόγου. Αὐτὸ ἐκεῖνο, οἷον τὸ τῶν μεταλλέων· οὗτοι γάρ που κόπτοντες τὴν γῆν, ὀρύσσοντες τὸν χρυσὸν, οὐχ ἱκανοὶ διαγιγνώσκειν τὴν τοῦ χρυσοῦ φύσιν, ἀλλὰ ἐστὶν ἔργον βασανίζον τὸν χρυσὸν ἐν πυρί. Εἰκάζω δὴ τὴν μὲν πρώτην ὁμιλίαν τῶν Πλάτωνος λόγων μετάλλῳ τινὶ ἀτεχνῶς χρυσοῦ· τὸ δὲ ἐπὶ τούτῳ ἑτέρας δεῖται τέχνης, ἣ τὸ ληφθὲν δοκιμάζουσα, καὶ ἐκκαθαίρουσα λόγῳ, οὐ πυρὶ, χρῆσθαι ἤδη δύναται ἀκηράτῳ καὶ βεβασανισμένῳ τῷ χρυσῷ. Εἰ τοίνυν δήλη μὲν ἡ μεταλλεία τοῦ ἀληθοῦς καὶ μεγαλόδωρος καὶ ἄφθονος, δεῖ δὲ ἡμῖν τέχνης ἑτέρας πρὸς βάσανον τοῦ ληφθέντος· φέρε, παρακαλῶμεν τὴν τέχνην ταύτην ξυνεπιλαβέσθαι ἡμῖν τοῦ παρόντος λόγου, τί ποτέ ἐστι τὸ θεῖον κατὰ Πλάτωνα σκοπουμένοις.

3. Εἰ οὖν ἔροιτο ἡμᾶς ἡ τέχνη φωνὴν λαβοῦσα, πότερα τοίνυν οὐχ ἡγούμενοι αὐτοί τι εἶναι θεῖον ἐν τῇ φύσει, οὐδὲ ἔχοντες καθάπαξ ἔννοιαν θεοῦ, ἀμφισβητοῦμεν περὶ Πλάτωνος· ἢ αὐτοί τινας ἔχοντες οἰκείας δόξας, ἕτερ' ἄττα ἡγούμεθα παρὰ ταύτας δοξάζειν ἐκεῖνον; κᾆτα ἡμῶν φασκόντων ἔχειν, ἀξιώσειεν ἀποκρίνασθαι ὁποῖόν τινα ἡγούμεθα εἶναι τὸν θεόν; τί τοίνυν, ὦ τὰν, ἀποκρινοίμεθα; ὅτι ἐστὶν ὁ θεὸς

Γυρὸς ἐν ὤμοιιν, μελανόχροος, οὐλοκάρηνος;

Καταγέλαστος ἡ ἀπόκρισις, κἂν εἰ μειζόνως χαρακτηρίζοις τὸν Δία, κυανᾶς μὲν ὀφρύας, χρυσᾶς δὲ χαίτας, ἐλελιζόμενον δὲ ὑπ' αὐτῶν τὸν οὐρανόν. Πάντα γάρ που τὰ τοιαῦτα ἀπορίᾳ ὄψεως, καὶ ἀσθενείᾳ δηλώσεως, καὶ γνώμης ἀμβλύτητι, ἐφ' ὅσον δύνανται ἕκαστοι ἐξαιρόμενοι τῇ φαντασίᾳ πρὸς τὸ κάλλιστον δοκοῦν, ** καὶ φιλόσοφοι καταμαντεύονται.

4. Εἰ δὲ συναγαγὼν ἐκκλησίαν τῶν τεχνῶν τούτων, κελεύοις ἅπαντας ἀθρόους διὰ ψηφίσματος ἑνὸς ἀποκρίνασθαι περὶ τοῦ θεοῦ· οἴει ἄλλο μὲν ἂν τὸν γραφέα εἰπεῖν, ἄλλο δὲ καὶ τὸν ἀγαλματοποιὸν, καὶ τὸν ποιητὴν ἄλλο, καὶ τὸν φιλόσοφον ἄλλο; Ἀλλ' οὐδὲ μὰ Δία τὸν Σκύθην, οὐδὲ τὸν Ἕλληνα, οὐδὲ τὸν Πέρσην, ἢ τὸν Ὑπερβόρειον. Ἀλλὰ ἴδοις ἂν ἐν μὲν τοῖς ἄλλα, ἐν δὲ τοῖς ἄλλα, καὶ οὐ ταὐτὰ ψηφιζομένους τοὺς ἀνθρώπους, πάντας δὲ πᾶσι διαφερομένους· οὐ τὸ ἀγαθὸν τὸ αὐτὸ πᾶσιν, οὐ τὸ κακὸν ὅμοιον, οὐ τὸ αἰσχρὸν, οὐ τὸ καλόν·

nisi forte idem agere velimus, quod ille, qui sitienti homini, cui fluvius adest limpidus plenusque, qui et visu jucundissimus, et gustu sit suavissimus, optimeque nutriat, aliunde ex tenui aliquo fonticulo, quique nulla ex parte cum superiori conferendus sit, potum necessarium afferat. Hoc plane est illud quod de noctua dicitur, quæ quum interdiu ad solem caliget, noctu lumen ab igne quærit. Si quis enim aliud dicendi genus requirit, quum in Platonica oratione versatur, aut si quis lucem ex illo prodeuntem obscuram minimeque illustrem arbitratur; idem ille nec solem quum oritur, nec lunam quum fulget, nec Hesperum quum occidit, nec Luciferum quum surgit, unquam videbit.

2. Subsiste paululum : nunc enim propemodum, qui sit ejusmodi dissertationis usus et quæ ratio, intelligo. Illud ipsum hic fit, quod in iis, qui metalla effodiunt : qui, quum terram ipsi cædant, aurum educant, ejus tamen naturam dignoscere non possunt; sed peculiaris res est admoto igne aurum explorare. Ego igitur primam Platonis lectionem similem facio meri auri fodinæ : quod deinde sequitur, aliam artem requirit, quæ examinare id, quod habet, et rationis, non ignis, subsidio purgare possit, atque ita aurum purum exploratumque satis ad usum suum convertere. Si nobis ergo veritatis ipsius, non minus quam auri, vena manifesta est, et quidem copiosa atque opulenta, nec minus tamen alia arte opus est, quæ quod haustum est exploret; age ejus artis in hac quæstione, in qua agitur, quid secundum Platonem sit deus, subsidium imploremus.

3. Fingamus ergo loqui posse hanc ipsam artem, atque ex nobis scire velle, quo animo ad hanc disputationem accedamus : utrum divinam omnino in rebus naturam esse ipsi non putantes, ac ne prima quidem dei cognitione imbuti, de Platone ejusque super numine decretis quæramus; an peculiaribus de deo opinionibus instructi, alia quædam illum statuere credamus? atque hoc fatentibus nobis, artem instare rursus, et scire a nobis velle, qualem nos esse deum judicemus : quid respondebimus, o bone? anne deum esse

Incurvis humeris, atrum, crispoque capillo?

Risu dignum merito ejusmodi responsum videbitur, quamvis augustiorem etiam formam des Jovi, *nigra supercilia* tribuens, *comam auream, quibus cœlum tremefaciat.* Hæc enim omnia ob imbecillitatem oculorum, sermonis penuriam, animi caliginem, [pictores, statuarii, poetæ] et philosophi deo assignant, quam quisque pulchritudinis concipere speciem poterat maximam, in eam quasi mentis imaginatione sublati.

4. Quodsi concionem cogas harum artium et uno decreto jubeas omnes de deo ex sua sententia decernere; putasne aliud pictorem, aliud statuarium, aliud poetam, aliud dicturum esse philosophum? Imo ne Scytha quidem, vel Græcus, vel Persa, vel Hyperboreus. Verum enimvero in aliis videbis alia, nec unquam eadem statuere homines, sed omnes dissentire ab omnibus : ita ut nec bonum idem sit omnibus, nec idem omnibus malum, nec idem turpe aut honestum. Vel leges atque jus in omnes ita partes trahun-

νόμος μὲν γὰρ δὴ καὶ δίκη ἄνω καὶ κάτω φύρεται διασπώμενα καὶ σπαρασσόμενα· μὴ γὰρ ὅτι γένος γένει ὁμολογεῖ ἐν τούτοις, ἀλλ' οὐδὲ πόλις πόλει, ἀλλ' οὐδὲ οἶκος οἴκῳ, οὐδὲ ἀνὴρ ἀνδρὶ, οὐδὲ αὐτὸς αὑτῷ·

Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων ἀνθρώπων,
οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν τε θεῶν τε.

5. Ἐν τοσούτῳ δὴ πολέμῳ καὶ στάσει καὶ διαφωνίᾳ ἕνα ἴδοις ἂν ἐν πάσῃ γῇ ὁμόφωνον νόμον καὶ λόγον, ὅτι θεὸς εἷς πάντων βασιλεὺς, καὶ πατὴρ, καὶ θεοὶ πολλοὶ, θεοῦ παῖδες, συνάρχοντες θεοῦ. Ταῦτα καὶ ὁ Ἕλλην λέγει, καὶ ὁ βάρβαρος λέγει, καὶ ὁ ἠπειρώτης, καὶ ὁ θαλάττιος, καὶ ὁ σοφὸς, καὶ ὁ ἄσοφος· κἂν ἐπὶ τοῦ ὠκεανοῦ ἔλθῃς τὰς ἠϊόνας, κἀκεῖ θεοὶ, τοῖς μὲν ἀνίσχοντες ἀγχοῦ μάλα, τοῖς δὲ καταδυόμενοι. Οἴει δὴ τούτοις Πλάτωνα ἀντιχειροτονεῖν καὶ ἀντινομοθετεῖν, ἀλλ' οὐχ ὁμόφωνον εἶναι καὶ ὁμοπαθῆ καλλίστης φωνῆς καὶ ἀληθεστάτου πάθους; Τί τοῦτο; ἥλιος ὀφθαλμὸς λέγει· τί τοῦτο; βρονταὶ ἀκοὴ λέγει· τί ταῦτα, ὡραῖα, καὶ καλὰ, καὶ περίοδοι, καὶ μεταβολαὶ, καὶ κράσεις ἀέρων, καὶ ζῴων γενέσεις, καὶ καρπῶν φύσεις; θεοῦ πάντα ἔργα ἡ ψυχὴ λέγει, καὶ τὸν τεχνίτην ποθεῖ, καὶ καταμαντεύεται τῆς τέχνης. Εἰ δὲ ἐξεγένοντο ἐν τῷ ξύμπαντι αἰῶνι δύο που καὶ τρεῖς, ἄθεον καὶ ταπεινὸν καὶ ἀναισθὲς γένος, καὶ πεπλανημένον μὲν τοῖς ὀφθαλμοῖς, ἐξηπατημένον δὲ ταῖς ἀκοαῖς, ἐκτετμημένον δὲ τὴν ψυχὴν, ἄλογον καὶ ἄγονον καὶ ἄκαρπον, ὡς ἄθυμος λέων, ὡς βοῦς ἄκερως, ὡς ὄρνις ἄπτερος, καὶ παρὰ τούτου ὅμως τοῦ γένους πεύσει τὸ θεῖον· ἴσασι γὰρ οὐχ ἑκόντες, καὶ λέγουσιν ἄκοντες· κἂν ἀφέλῃς αὐτοῦ τὸ ἀγαθὸν, ὡς Λεύκιππος· κἂν προσθῇς τὸ ὁμοπαθὲς, ὡς Δημόκριτος· κἂν ὑπαλλάξῃς τὴν φύσιν, ὡς Στράτων· κἂν δῷς τὴν ἡδονὴν, ὡς Ἐπίκουρος· κἂν μὴ εἶναι φῇς, ὡς Διαγόρας· κἂν ἀγνοεῖν τί φῇς, ὡς Πρωταγόρας.

6. Τούτους μὲν οὖν ἐῶμεν χαίρειν, οὐ δυναμένους ἐπαύρασθαι τοῦ ἀληθοῦς ὅλου καὶ ἀρτίου, ἰόντας δὲ ἐπ' αὐτὸ ἀσαφεῖς ὁδοὺς καὶ πεπλανημένας· αὐτοὶ δὲ δὴ τί δράσωμεν; ἀπείπωμεν, ἐκ τοῦ λοξοῦ οὐδὲ ἴχνη αὐτοῦ σκεψάμενοι, οὐδὲ ὅσον εἰδώλοις ἐντυχόντες; Ἀλλ' ὁ μὲν Ὀδυσσεὺς προσχὼν τῇ ξένῃ, εἰς περιωπὴν ἀνελθὼν, ἐσκέπτετο τὰ ἴχνη τῶν ἐχόντων,

Ἤ ῥ' οἵγ' ὑβρισταί τε καὶ ἄγριοι, οὐδὲ δίκαιοι,
ἦε φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής·

ἡμεῖς δὲ ἄρα οὐ τολμήσομεν ἀναβιβασάμενοι τὸν λογισμὸν εἴς τινα περιωπὴν ἄνω τῆς ψυχῆς περισχέψασθαι τὰ τοῦ θεοῦ ἴχνη, τίνα χώραν ἔχει, τίνα φύσιν· ἀγαπήσομεν δὲ ἀμυδρῶς ἰδόντες; Εἴθε μοι μαντεῖον ἦν ἐν Διὸς, ἢ Ἀπόλλωνος, οὐ λοξὰ χρησμῳδοῦν οὐδὲ ἀμφίβολα. Ἠρόμην ἂν τὸν θεὸν, οὐ τὸν Κροίσου λέβητα, τοῦ βασιλέων ἀνοητοτάτου καὶ μαγείρων δυστυχεστάτου, ἀλλ' οὐδὲ θαλάττης μέτρα, οὐδὲ ἀριθμὸν ψάμμου· ἠμέλησα δ' ἂν καὶ τῶν σεμνῶν τούτων ἐρωτημάτων, Ἐπίασι Μῆδοι, πῶς φυλάξομαι; κἂν ὁ θεὸς

tur, rapiuntur, vellicantur; ut non modo gens ulla cum gente, sed nec urbs cum urbe, nec familia cum familia, nec homo cum homine, nec unus aliquis interdum secum ipse consentiat in talibus:

Talis namque animi mens est mortalibus ægris,
qualem quoque die genitor jubet esse deorum.

5. In hac tanta pugna, contentione atque opinionum varietate, in eo tamen leges ubique terrarum atque opiniones convenire videbis, deum esse unum, regem omnium et patrem; huic multos additos esse deos, qui supremi illius filii sint et quasi in imperio collegæ. In eo Græcus cum barbaro, mediterraneus cum insulano, sapiens consentit cum stulto; ut si usque ad extrema Oceani littora processeris, hic quoque deos inventurus sis, qui non procul ab aliis oriuntur, ab aliis occidunt. Solum ergo Platonem existimas diversa ab his decernere, aut contrarias leges ferre? unum hunc a pulcherrima omnium voce abire, aut ad præsentissimam naturæ vim obbrutescere arbitraris? Quære ex oculis tuis, quid videant? respondebunt esse solem: quære ex auribus, quid audiant? respondebunt esse tonitru. Quære quænam sint hæc decora, et pulchra, et circuitus, et mutationes, et temperies aeris, et animalium generationes, et frugum naturæ? Dei universa sunt opera, dicet anima: et artificem amabit, et ipsam confitebitur artem. Quodsi ab omni ævo duo aut tres exstiterunt tam abjecti homines, ut sine deo et sine ullo sensu oberrarent, quorum neque lucem certam oculi, neque certum sonitum aures admitterent, animo vero ac præstantiore sui parte mutili essent; irrationale, sterile atque inutile hominum genus, ut si leonem sine stomacho, bovem sine cornibus, avem sine alis dicas; ex his nihilominus hominibus aliquid de divina natura intelliges; nam et inviti hoc sciunt, et inviti dicunt: in confesso est, quamvis cum Leucippo sentias, et bonum illi demas; quamvis cum Democrito, et affectibus humanis subjicias; quamvis naturam in locum ejus substituas cum Stratone; quamvis voluptatem addas cum Epicuro; quamvis esse omnino neges cum Diagora; quamvis, quid sit, dubitare te dicas cum Protagora.

6. Hos tamen mittamus potius, qui totam et integram veritatem assequi non possunt, sed incerta quadam fallacique via ad eam tendunt. Nos vero quid agemus? an despondebimus, postquam ex illis ambagibus ne vestigia quidem ejus quæsiverimus, nec vel simulacris occurrerimus aut umbris? Verum Ulysses, quum ignotam terram appulisset, speculam ascendit, ex qua incolarum vestigia observabat,

Agrestesne homines teneant, sine legibus ullis,
hospitiive fidem metuant, ac numina divûm:

nos vero an non exemplo illius in sublimem aliquam animi speculam rationis nostræ vim erigere conabimur, unde vestigia dei observemus, ut sciamus ubi sit et quali natura; sed contra sufficiet, si quasi per umbram ea viderimus? Utinam ad manum oraculum aliquod esset mihi, sive Jovis, sive Apollinis, quod aperte et manifeste, non oblique responderet. Quærerem ex deo illo non de Crœsi, regis dementissimi, aut potius infelicissimi coci, lebete, neque magis de maris spatio, aut arenarum numero; illa etiam sus deque haberem quæ majoris momenti deputantur, *Medi adventant, quo pacto evadam?* quid enim dei consilio opus est,

μὴ συμβουλεύῃ, τὰς τριήρεις ἔχω· Ἐπιθυμῶ Σικελίας, πῶς λάβω; κἂν γὰρ ὁ θεὸς μὴ κωλύῃ, ἡ Σικελία πολλή· ἐμοὶ δὲ σαφῶς ὁ Ἀπόλλων ἐκ Δελφῶν περὶ τοῦ Διὸς ἀποκρινάσθω, ἢ ὁ Ζεὺς αὐτὸς ὑπὲρ αὐτοῦ, ἤ τις ἐξ Ἀκαδημίας ὑποφήτης τοῦ θεοῦ, ἀνὴρ Ἀττικὸς, μαντικός· ἀποκρίνεται δὲ ὧδε.

7. Τῇ τοῦ ἀνθρώπου ψυχῇ δύο ὀργάνων ὄντων πρὸς σύνεσιν, τοῦ μὲν ἁπλοῦ, ὃν καλοῦμεν νοῦν, τοῦ δὲ ποικίλου καὶ πολυμεροῦς καὶ πολυτρόπου, ἃς αἰσθήσεις καλοῦμεν, συνῆπται μὲν αὐτῶν ἡ ἐργασία, κεχώρισται δὲ ἡ οὐσία· ὡς δὲ ταῦτα πρὸς ἄλληλα ἔχει, οὕτω κἀκεῖνα ὧν ἐστι ταῦτα ὄργανα· καὶ διαφέρει νοητὸν αἰσθητοῦ, ὅσον νοῦς αἰσθήσεως. Ἔστι δὲ τούτων κατὰ μὲν τὴν ὁμιλίαν θάτερον γνωριμώτερον, τὸ αἰσθητόν· τὰ δὲ νοητὰ ἄγνωστα μὲν ταῖς ὁμιλίαις, γνωριμώτερα δὲ τῇ φύσει· ζῷα γάρ που, καὶ φυτὰ, καὶ λίθοι, καὶ φωναὶ, καὶ χυμοὶ, καὶ ὀσμαὶ, καὶ σχήματα, καὶ χροιαὶ ὑπὸ τοῦ ἔθους ξυναγειρόμενα, καὶ τῇ καθ' ἡμέραν διαίτῃ ἀνακιρνάμενα, παρεσκεύακε τὴν ψυχὴν καὶ ἀναπέπεικε μηδὲν ἄλλο ἡγεῖσθαι εἶναι ὅτι μὴ ταῦτα· τὸ δὲ νοητὸν ἀπηλλαγμένον τῆς τούτων ἐπαφῆς καὶ ἐπερείσεως αὐτὸ καθ' ἑαυτὸ ὁρᾶσθαι πέφυκεν ὑπὸ τοῦ νοῦ, ὁ δὲ τῇ πάσῃ ψυχῇ ἐμπεφυτευμένος διασπᾶται ὑπὸ τῶν αἰσθήσεων, καὶ ταράττεται, καὶ ἀσχολίαν ἄγει, ὥστε μὴ διορᾶν τὰ αὑτοῦ θεάματα, ἤδη δὲ καὶ δημαγωγηθεὶς ἀναπείθεται, ὥστε συμφθέγγεσθαι ταῖς τῶν αἰσθήσεων φωναῖς, καὶ μηδὲν ἡγεῖσθαι ἄλλο εἶναι παρὰ τὰ ὁρατὰ καὶ ἀκουστὰ καὶ ὀσφραντὰ καὶ γευστὰ καὶ ἁπτά. Ὥσπερ οὖν ἐν συμποσίῳ μεστῷ κνίσης πολλῆς, καὶ οἴνου χεομένου, καὶ αὐλῶν ἤχου, καὶ συρίγγων, καὶ ψαλμάτων, καὶ θυμιαμάτων, ἀνδρὸς ἂν εἴη καρτερεῖν, συναγείραντος καὶ συστείλαντος καὶ τὰς αἰσθήσεις ἀποστρέφοντος πρὸς τὸ νηφάλιον καὶ κόσμιον· οὕτως ἀμέλει καὶ ἐν τῇ τῶν αἰσθήσεων πολυφωνίᾳ χαλεπὸν εὑρεῖν νήφοντα νοῦν, καὶ δυνάμενον προσβλέπειν τοῖς αὑτοῦ θεάμασι. Καὶ μὲν δὴ καὶ ἡ τῶν αἰσθητῶν φύσις, πολυειδής τε οὖσα, καὶ συμπεφορημένη, καὶ ῥέουσα, ἐν μεταβολῇ παντοίᾳ συνδιατίθησιν αὑτῇ τὴν ψυχὴν, ὥστε καὶ μεταβιβάζουσαν αὐτὴν ἐπὶ τὴν τοῦ νοητοῦ φύσιν, στάσιμόν τε οὖσαν καὶ ἑδραίαν, μὴ δύνασθαι διορᾶν ἀσφαλῶς ὑπὸ τοῦ σάλου καὶ τοῦ τάραχου κραδαινομένην· οἷόν που ξυμβαίνειν φιλεῖ καὶ τοῖς ἐκ νεὼς εἰς ἤπειρον ἀποβᾶσιν· μόγις γάρ που καὶ τούτοις ἵσταται τὸ σῶμα ὑπὸ τοῦ ἐν τῷ κλύδωνι ἔθους κινούμενόν τε, καὶ περιφερόμενον, καὶ σειόμενον

8. Ἐν ποτέρᾳ δὴ τῶν φύσεων τούτων τὸν θεὸν τακτέον; ἆρα οὐκ ἐν τῇ στασιμωτέρᾳ καὶ ἑδραιοτέρᾳ, καὶ ἀπηλλαγμένῃ τοῦ ῥεύματος τούτου καὶ τῆς μεταβολῆς; τί γὰρ ἂν καὶ τῶν ὄντων σταίη, ὅτι μὴ τοῦ θεοῦ ἐπαφησαμένου τῆς ἐκείνου φύσεως; Εἰ δέ σοι πρὸς τὸ πᾶν ὥσπερ τινὸς χειραγωγίας δεῖ, ἕπου τῷ λόγῳ. Ὁ δὲ ἡγήσεται διαιρούμενος τὰς γνωριμωτάτας φύσεις δίχα, καὶ τὴν ἑτέραν τὴν τιμιωτέραν τέμνων ἀεὶ, ἔστ' ἂν ἐφίκηται τοῦ νῦν ζητουμένου. Τῶν ὄντων τοίνυν τὰ

quum triremes habeam? *Siciliam possidere cupio, quo pacto potiar?* nam etiamsi deus non obstet, magna tamen est Sicilia: mihi vero Delphicus Apollo sine ullis ambagibus de Jove, aut ipse de se Juppiter respondeat, aut saltem aliquis ex Academia interpres dei, homo Atticus, divinandi non ignarus. Is autem respondet hoc modo.

7. Animæ humanæ quum duo ad percipiendum instrumenta concessa sint, quorum alterum est simplex, quem *intellectum*, alterum varium, multiplex, mutabile, quos *sensus* vocamus; duo hæc officio inter se conjuncta sunt, essentia et natura differunt: jam sicut hæc ipsa inter se habent, ita et illa quorum ea instrumenta sunt: quo fit ut et intellectus objecta tantum a sensuum objectis differant, quantum hic ab illis. Porro rursus, quemadmodum objecta sensuum in communi vita notiora sunt, objecta intellectus ignota; sic objecta intellectus rursus natura notiora sunt: ita ut animalia, plantæ, lapides, voces, sapores, odores, figuræ, colores, similia sensuum objecta, quæ longa consuetudine colliguntur et in quotidianam hanc vitam incurrunt, tantum apud animum nostrum effecerint, ita in partes suas eum traxerint, ut nihil aliud præter hæc usquam exstare existimet: contra intellectus objecta, longe a contactu et accessione sensuum remota, ipsa per se seorsum intellectui occurrunt, qui ipse quum toti animæ infusus sit, a sensibus distrahitur, turbatur, impeditur, quominus suis vacare possit objectis et visis internis; sed blanda quadam ac quasi populari vi eo adducitur, ut, quæcunque a sensibus dictantur, approbet, nec quicquam esse arbitretur, nisi quod aut videri, aut audiri, aut odorari, aut gustari, aut tangi possit. Sicut ergo in convivio nidoris plenissimo, et in quo vinum ubique funditur, tibiæ fistulæque cum assa voce concurrunt, magna odorum vis spargitur, viri sane fuerit se continere, viri qui in se collegerit et contraxerit animum, sensus ad sobrietatis temperantiæque normam revocet; ita revera in hac contentione sensuum difficillimum est sobriam invenire mentem, et quæ suis jugiter intenta sit objectis. Ut taceam sensuum quoque ita comparatam esse naturam, ut quum varia sit et e diversis conflata rebus, mutationique perpetuæ obnoxia; ita sui similem animam nostram efficiat, ut quoties ad intellectus objecta eorumque naturam, quæ solida est et stabilis, se accingat, toties ab hoc tumultu et his fluctibus ita agitetur, ut intueri ea firmiter non possit: vere quod illis accidere solet, qui e navi egressi primulum, terram tangunt; nam et illis corpus a diuturno isto fluctuum motu, cursu atque impulsu, ægre ad se redit et consistit.

8. Jam in utro horum deum ponemus? nonne in illo, quod stabile fixumque manet, quod remotum est ab hoc fluxu, his mutationibus? quum potissimum in rerum natura nihil sit usquam, quod consistere possit, nisi a deo fulciatur? Quodsi, ut ad summum pervenias, manuductione tibi opus est, sequere ea quæ dicentur. Perveniemus enim eo hac ratione, ut semper id, quod magis notum est natura, bifariam dividamus; atque ex his rursus id, quod præstantius est, secabimus, donec ad ejus perventum sit, de quo quæritur, essentiam. Sunt ergo eorum quæ exstant

μὲν ἄψυχα, τὰ δὲ ἔμψυχα· καὶ τὰ μὲν ἄψυχα, λίθοι καὶ ξύλα καὶ ὅσα τοιαῦτα· τὰ δὲ ἔμψυχα, φυτὰ καὶ ζῷα· κρεῖττον δ' ἔμψυχον ἀψύχου· τοῦ δ' ἐμψύχου τὸ μὲν φυτικὸν, τὸ δὲ αἰσθητικόν· τὸ αἰσθητικὸν τοῦ φυτικοῦ κρεῖττον· τοῦ δὲ αἰσθητικοῦ, τὸ μὲν λογικὸν, τὸ δὲ ἄλογον· κρεῖττον δὲ τὸ λογικὸν τοῦ ἀλόγου. Ἀλλὰ καὶ ἐν λογικῇ ψυχῇ, ἐπειδήπερ ἐστὶν ἡ πᾶσα ὥσπερ ἄθροισμά τι, θρεπτικὸν, αἰσθητικὸν, κινητικὸν, παθητικὸν, νοητικόν. Ὃν οὖν ἔχει λόγον τὸ ἔμψυχον πρὸς τὸ ἄψυχον, τὸν αὐτὸν τοῦτον ἔχει καὶ ἡ ἔννους ψυχὴ πρὸς τὴν ὅλην ψυχήν· καὶ δηλαδὴ ὡς κρεῖττον ἡ ἔννους ψυχὴ τῆς ἐξ ἁπάντων τούτων ἠθροισμένης. Ποῦ τοίνυν τούτων τὸν θεὸν τάττωμεν; πότερα ἐν τῷ ἀθροίσματι; ἀλλὰ εὐφημεῖν ἄξιον. Λείπεται δὴ ὥσπερ εἰς ἀκρόπολιν ἀναβιβασαμένους τῷ λόγῳ τὸν θεὸν ἱδρῦσαι κατὰ τὸν νοῦν αὐτὸν τὸν ἀρχηγικώτατον. Ἀλλὰ καὶ ἐνταῦθα διφυῆ ὁρῶ· τοῦ γὰρ νοῦ ὁ μὲν νοεῖν πέφυκεν, καὶ μὴ νοῶν· ὁ δὲ καὶ πέφυκε, καὶ νοεῖ· ἀλλὰ καὶ οὗτος οὔπω τέλειος, ἂν μὴ προσθῇς αὐτῷ τὸ καὶ νοεῖν ἀεὶ, καὶ πάντα νοεῖν, καὶ μὴ ἄλλοτε ἄλλα· ὥστε εἴη ἂν ἐντελέστατος, ὁ νοῶν ἀεὶ, καὶ πάντα, καὶ ἅμα.

9. Εἰ δὲ βούλει, τῇδε εἴκαζέ μοι τὸ λεγόμενον· τὸν μὲν θεῖον νοῦν τῷ ὁρᾶν, τὸν δὲ ἀνθρώπινον τῷ λέγειν· ὀφθαλμοῦ μὲν γὰρ βολὴ ὀξύτατον, ἀθρόως σπῶσα τὴν αἴσθησιν τοῦ ὁρωμένου· λόγου δὲ ἐνέργεια ἔοικε σχολαίῳ βαδίσματι. Μᾶλλον δὲ ταύτῃ εἰκαζέσθω· ὁ μὲν θεῖος νοῦς κατὰ τὴν παραβολὴν τοῦ ἡλίου πάντα ἐφορᾷ τὸν ἐν γῇ τόπον ἀθρόως, ὁ δὲ ἀνθρώπινος κατὰ τὴν πορείαν αὐτοῦ ἄλλοτε ἄλλα μέρη τοῦ ὅλου ἐπιπορευομένου. Τοῦτον μὲν δὴ ὁ ἐξ Ἀκαδημίας ἡμῖν ἄγγελος δίδωσι πατέρα καὶ γεννητὴν τοῦ ξύμπαντος· τούτου ὄνομα μὲν οὐ λέγει, οὐ γὰρ οἶδεν· οὐδὲ χρόαν λέγει, οὐ γὰρ εἶδεν· οὐδὲ μέγεθος λέγει, οὐ γὰρ ἥψατο. Φύσεις αὗται, σαρκῶν καὶ ὀφθαλμῶν συνέσεις· τὸ δὲ θεῖον αὐτὸ ἀόρατον ὀφθαλμοῖς, ἄρρητον φωνῇ, ἀναφὲς σαρκὶ, ἀπευθὲς ἀκοῇ, μόνῳ δὲ τῷ τῆς ψυχῆς καλλίστῳ καὶ καθαρωτάτῳ καὶ νοερωτάτῳ καὶ κουφοτάτῳ καὶ πρεσβυτάτῳ ὁρατὸν δι' ὁμοιότητα, καὶ ἀκουστὸν διὰ συγγένειαν, ὅλον ἀθρόον ἀθρόᾳ συνέσει παραγινόμενον. Ὥσπερ οὖν εἴ τις ἐπιθυμεῖ ἰδεῖν τὸν ἥλιον, οὐχὶ ταῖς ἀκοαῖς θηρᾶται αὐτοῦ τὴν σύνεσιν· οὐδὲ εἴ τις τῆς ἐν φωναῖς ἁρμονίας ἐρᾷ, τοῖς ὀφθαλμοῖς αὐτὴν μεταδιώκει· ἀλλ' ὄψις μὲν ἐρᾷ χρωμάτων, ἀκοὴ δὲ ἀκουστῶν· οὕτω καὶ νοῦς νοητὰ ὁρᾷ, καὶ νοητῶν ἀκούει.

10. Τοῦτ' ἔστιν ἀμέλει τὸ τοῦ Συρακοσίου αἴνιγμα· « Νοῦς ὁρῇ, καὶ νοῦς ἀκούει. » Πῶς οὖν ὁρᾷ νοῦς, καὶ πῶς ἀκούει; Ὀρθῇ τῇ ψυχῇ καὶ ἐρρωμένῃ πρὸς τὸ ἀκήρατον ἐκεῖνο φῶς ἀντιβλέπων, καὶ μὴ σκοτοδινιῶν, μηδὲ εἰς γῆν καταφερόμενος, ἀλλὰ ἀποφράττων μὲν καὶ τὰ ὦτα, ἀποστρέφων δὲ τὰς ὄψεις καὶ τὰς ἄλλας αἰσθήσεις ἔμπαλιν πρὸς ἑαυτὸν, καὶ ἐκλαθόμενος μὲν τῶν κάτω οἰμωγῶν καὶ στόνων καὶ ἡδονῶν καὶ δοξῶν καὶ τιμῆς καὶ ἀτιμίας, ἐπιτρέψας δὲ τὴν ἡγεμονίαν αὐτοῦ λόγῳ ἀληθεῖ καὶ ἔρωτι ἐρρωμένῳ· τῷ μὲν λόγῳ

alia animata, alia sine anima; sine anima, ut lapides, ligna et id genus alia; animata, ut plantæ et animalia : jam animatum præstat ei quod sine anima est; in animato aliud vegetativum, aliud sensitivum est; rursus sensitivum vegetativo est præstantius : in sensitivo aliud rationale, aliud rationis expers est; rursus rationale, id quod rationis expers est, antecedit. Sed et in anima rationali, quoniam tota quasi quædam est congeries, habetur nutritivum, sensitivum, motivum, passivum, intellectivum. Sicut ergo animatum ad illud, quod animæ expers est, se habet; ita intellectiva anima ad totam animam : ac sequitur, intellectivam esse præstantiorem ea, quæ ex illis quæ dixi omnibus conflata est. In utro igitur horum ponemus deum? an in multiplici illa congerie? Sed faveamus linguis. Reliquum est ergo, ut tanquam in arce aliqua sublimi, in principe intellectu, deum constituamus. Sed etiam hic duplicitatem video : est enim intellectus a natura ad intelligendum institutus, sed qui non agit; est recte comparatus et simul agens : sed ne hic quidem perfectus est, nisi hoc etiam adjeceris, ut et semper intelligat et omnia, neque alias alia : sic ille demum fuerit absolutissimus qui et semper, et omnia, et simul quæque intelligit.

9. Si placet, hac similitudine utaris ad illud quod dicimus : divinum intellectum cum visu confer, humanum cum sermone : nihil enim emissione oculi velocius est, quæ statim eodemque momento objectum suum sensu suo ad se attrahit; at sermonis operatio lento similis est gressui. Potior est autem hæc comparatio : divinus intellectus similis obtutui solis qui simul totum terræ spatium perlustrat; humanus vero motui ejus, quo alium aut alium vicissim locum totius occupat. Talem Academicus ille vates patrem et auctorem universi nobis dat : illius tamen nomen non edit, non enim audivit; nec colorem prodit, non enim vidit; neque magnitudinem describit, non enim attigit. Hæc enim similesque, quibus hæc conveniunt, naturæ corpore sentiuntur, oculis lustrantur : at divina nec videri oculis, nec efferri voce, nec tangi corpore, nec auditu potest percipi; quippe quæ sola illa parte animi, quæ pulcherrima, quæ purissima, quæ perspicacissima, quæ velocissima, quæ antiquissima est, pro ea quæ inter utrumque similitudine intercedit et cognatione quum audiri possit ac videri, tota mente simul tota perspicitur. Nam ut ille, qui videre cupit solem, auribus non venatur ejus cognitionem, neque, qui harmoniam vocis audire cupit, oculis eam sectatur; sed colores visus, auditus ea quæ audiri possunt, persequitur : ita intellectus, quæ intelligi debent, videt; quæ intelligi debent, audit.

10. Hoc est quod Syracusius poeta occulte innuebat, quum diceret : *Mens videt, mens audit.* Quomodo igitur mens videt? quomodo audit? Si firmo erectoque animo intemeratam illam lucem intueatur, neque hallucinetur unquam, aut in terram suam defluat : hoc fiet, si aures claudat, oculos reliquosque sensus in se convertat; si questus omnes terrenos et gemitus, si voluptatem et gloriam, si decus et infamiam ex animo deleat; atque, his relictis, itineris rationem veram amoremque solidum assumat, atque iis se committat : quorum altera, ratio nimirum, viam

φράζοντι ᾗ χρὴ ἰέναι, τῷ δὲ ἔρωτι ἐπισπωμένῳ, καὶ τοὺς πόνους τῆς πορείας πειθοῖ καὶ χάρισιν ἐπελαφρύνοντι· ἰόντι δὲ ἐκεῖσε, καὶ ἀφισταμένῳ τῶν κάτω, ἀεὶ τὰ πρόσθεν σαφῆ καὶ εὐλαμπέστατα καὶ τὴν τοῦ θεοῦ φύσιν προοιμιαζόμενα· καὶ πορευόμενος μὲν ἀκούει τὴν φύσιν τοῦ θεοῦ, ἀνελθὼν δὲ ὁρᾷ. Τέλος δὲ τῆς ὁδοῦ οὐχ ὁ οὐρανὸς, οὐδὲ τὰ ἐν τῷ οὐρανῷ σώματα (καλὰ μὲν γὰρ ταῦτα καὶ θεσπέσια, ἅτε ἐκείνου ἔγγονα ἀκριβῆ καὶ γνήσια, καὶ πρὸς τὸ κάλλιστον ἡρμοσμένα), ἀλλὰ καὶ τούτων ἐπέκεινα ἐλθεῖν δεῖ, καὶ ὑπερκύψαι τοῦ οὐρανοῦ ἐπὶ τὸν ἀληθῆ τόπον καὶ τὴν ἐκεῖ γαλήνην,

Ἐνθ' οὐκ ἔστ' οὔτ' ἄρ χειμὼν πολὺς, οὐδέ ποτ' ὄμβρῳ
δεύεται, ἀλλὰ μάλ' αἴθρη
πέπταται ἀννέφελος, λευκὴ δ' ἐπιδέδρομεν αἴγλη,

μηδενὸς ἐνοχλοῦντος τὴν θέαν πάθους σαρκίνου, οἷα δεῦρο ἐνοχλεῖ τὴν δειλαίαν ψυχὴν, ὅσον αὐτῇ τοῦ φρονεῖν ἔνεστιν, ὑπὸ τοῦ κυκηθμοῦ καὶ τοῦ θορύβου καταβάλλοντα. Πῶς γὰρ ἄν τις συνείη θεὸν ὑπὸ πλήθους ἐπιθυμιῶν καὶ λογισμῶν ἀλλοκότων ταραττόμενος; οὐ μᾶλλον, ἢ ἐν δημοκρατίᾳ πολυφώνῳ καὶ συντεταραγμένῃ συνείη ἄν τις νόμου καὶ ἄρχοντος·

Ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσῃ;

Καταπεσοῦσα γὰρ ἡ ψυχὴ εἰς τουτονὶ τὸν θόρυβον, καὶ δοῦσα ἑαυτὴν ἐπ' ἀμηχάνου φορεῖσθαι κύματος, νήχεται δυσέκνευστον πέλαγος· ἔστ' ἂν αὐτὴν φιλοσοφία ὑποδέξηται, ὑποβαλοῦσα τοὺς ἑαυτῆς λογισμοὺς, ὥσπερ τὸ κρήδεμνον τῷ Ὀδυσσεῖ ἡ Λευκοθέα.

11. Πῶς ἂν οὖν τις ἐκνήξαιτ' ἂν καὶ ἴδοι τὸν θεόν; Τὸ μὲν ὅλον, ὄψει τότε, ἐπειδὰν πρὸς αὐτὸν καλῇ. Καλέσει δὲ οὐκ εἰς μακρὰν, ἀνάμεινον τὴν κλῆσιν· ἥξει σοι γῆρας, ὁδηγοῦν ἐκεῖ· καὶ θάνατος, ὃν ὁ μὲν δειλὸς ὀδύρεται καὶ προσιόντα δέδιεν, ὁ δὲ ἐραστὴς τοῦ θεοῦ ἐκδέχεται ἄσμενος, καὶ προσιόντος θαρσεῖ. Εἰ δὲ καὶ νῦν ἤδη μαθεῖν ἐρᾷς τὴν ἐκείνου φύσιν, πῶς τις αὐτὴν διηγήσεται; Καλὸν μὲν γὰρ εἶναι τὸν θεὸν, καὶ τῶν καλῶν τὸ φανότατον· ἀλλ' οὐ σῶμα καλὸν, ἀλλ' ὅθεν καὶ τῷ σώματι ἐπιρρεῖ τὸ κάλλος· οὐδὲ λειμῶνα καλὸν, ἀλλ' ὁπόθεν καὶ ὁ λειμὼν καλός· καὶ ποταμοῦ κάλλος, καὶ θαλάττης, καὶ οὐρανοῦ, καὶ τῶν ἐν οὐρανῷ θεῶν, πᾶν τὸ κάλλος τοῦτο ἐκεῖθεν ῥεῖ, ὃν ἐκ πηγῆς ἀενάου καὶ ἀκηράτου. Καθόσον δὲ αὐτοῦ μετέσχεν ἕκαστα, καλὰ, καὶ ἑδραῖα, καὶ σωζόμενα· καὶ καθόσον αὐτοῦ ἀπολείπεται, αἰσχρὰ καὶ διαλυόμενα καὶ φθειρόμενα. Εἰ μὲν ταῦτα ἱκανὰ, ἑώρακας τὸν θεόν· εἰ δὲ μὴ, πῶς τις αὐτὸν αἰνίξηται; Ἐννόει γάρ μοι μήτε μέγεθος, μήτε χρῶμα, μήτε σχῆμα, μήτε ἄλλο τι ὕλης πάθος, ἀλλ' ὥσπερ ἂν εἰ καὶ σῶμα καλὸν ἀπεκρύπτετο πρὸς τὴν θέαν ὑπὸ ἐσθήτων πολλῶν καὶ ποικίλων, ἀπέδυσεν αὐτὸ ἐραστὴς, ἵνα εἰδῇ σαφῶς· οὕτω καὶ νῦν ἀπόδυσον καὶ ἄφελε τῷ λόγῳ τὴν περιβολὴν ταύτην, καὶ τὴν ἀσχολίαν τῶν ὀφθαλμῶν, καὶ τὸ καταλειπόμενον ὄψει, αὐτὸ ἐκεῖνο οἷον ποθεῖς.

12. Εἰ δὲ ἐξασθενεῖς πρὸς τὴν τοῦ πατρὸς καὶ δη-

ostendet; alter ducem se præbebit, atque suada sua et venustate omnes itineris molestias solabitur. Itaque illuc accedendo propius, quo a terra recedemus longius, semper, quod sequitur, magis magisque manifeste et perspicue se nobis offeret, ac divinæ quasi naturæ præludet : de qua inter ascendendum audiet; postquam ascenderit, eam videbit. Porro meta ipsa itineris non cœlum erit, nec quæ in eo sunt corpora (quamvis hæc quoque pulchra sint, et divinitatis plena, utpote vera ejus legitimaque progenies, et quam potest fieri pulcherrime composita et ordinata), sed et hæc sunt transcendenda, ipsumque supra cœlum caput proferendum, donec ad illum locum, qui verus finis est, ejusque serenitatem perveniamus,

Quam non fuscat hiems, nec multo semper ab imbre
tingitur : sed candidus aer
dispellit nebulas, et lux purissima cingit;

ubi nullus corporis hujus affectus, qui miserrimam hanc, dum in his terris versatur, animam exercet, et hoc omne, quod in ea vacare contemplationi potest, turbis suis et tumultu in præceps agit, contemplationi nostræ interveniet. Quem enim, quæso, tot cupiditates, tot curarum monstra, deum ejusque naturam intelligere patiantur, ac non continuo tumultu suo interturbent? non magis, quam in statu populari, quum diversa plebs fremit et fluctuat, legis vocem intelligere potest aliquis aut principis,

Namque virûm magno in fremitu quis verba loquentis
audiat?

Idcirco animus, quum in hunc tumultum incidit, semelque immensis hisce fluctuum vorticibus se dedit, mare hoc intranabile navigat; donec eum philosophia excipiat, rationemque illi suam, sicuti vittam Ulyssi Leucothea, substernat.

11. Ex hoc ergo mari quomodo emerges ac videre deum poteris? Ut verbo absolvam, conspicies tunc quum te ad se vocaverit; vocabit autem paullo post : tu modo mane, et exspecta, dum vocet; jam senectus aderit, quæ eo te deducet : jam mors aderit, quam imbelles deplorant, cujus adventum tremunt; quisquis contra deo jungi amat, cum gaudio præstolatur, forti animo excipit. Quodsi, etiam dum hic es, naturam ejus vis discere, quis eam enarrabit satis? Dicet nimirum, pulchrum esse deum et pulchrorum omnium pulcherrimum : non tamen corpus est pulchrum; sed id, unde corpori sua pulchritudo venit : nec pratum pulchrum; sed id, unde et prato sua pulchritudo est : denique quicquid in fluvio, aut in mari, quicquid in cœlo cœlestibusque diis pulchrum vocamus; id omne pulchrum, utpote ex perpetuo limpidissimoque fonte, inde dimanat. Tantum autem singula aut pulchritudinis aut stabilitatis aut diuturnitatis in se habent, quantum ex eo fonte trahunt : tantumque a pulchritudine recedunt, et ad dissolutionem et interitum suum tendunt, quantum ab eo abeunt. Si hæc sufficiunt, deum vidisti; si nondum, qua tandem imagine commode exprimi poterit? Cave enim, vel magnitudinem, vel colorem, vel figuram, aut simile quid, quod in materiam cadat, cogites : verum id, quod amator faceret, qui, si pulchrum aliquod corpus esset, cujus aspectum multæ variæque vestes eriperent, primum eas detraheret, ut plene cognoscere posset; idem tu nunc fac : amictum hunc, et quicquid oculos moratur, cogitatione detrahas; sic in eo quod restabit, id ipsum jam videbis, quod quæris.

12. Si vero imbecillior es, quam ut rerum omnium pa-

μιουργοῦ θέαν, ἀρκεῖ σοι τὰ ἔργα ἐν τῷ παρόντι ὁρᾶν, καὶ προσκυνεῖν τὰ ἔγγονα πολλὰ καὶ παντοδαπὰ ὄντα, οὐχ ὅσα Βοιώτιος ποιητὴς λέγει· οὐ γὰρ τρισμύριοι μόνον θεοὶ θεοῦ παῖδες καὶ φίλοι, ἀλλ' ἄληπτοι ἀριθμῷ· τοῦτο μὲν κατ' οὐρανὸν αἱ ἀστέρων φύσεις, τοῦτο δ' αὖ κατ' αἰθέρα αἱ δαιμόνων οὐσίαι. Βούλομαι δέ σοι δεῖξαι τὸ λεγόμενον σαφεστέρᾳ εἰκόνι. Ἐννόει μεγάλην ἀρχὴν, καὶ βασιλείαν ἐρρωμένην, πρὸς μίαν ψυχὴν βασιλέως τοῦ ἀρίστου καὶ πρεσβυτάτου συμπάντων νενευκότων ἑκόντων· ὅρον δὲ τῆς ἀρχῆς οὐχ Ἅλυν ποταμὸν, οὐδὲ Ἑλλήσποντον, οὐδὲ τὴν Μαιῶτιν, οὐδὲ τὰς ἐπὶ τῷ ὠκεανῷ ἠϊόνας· ἀλλὰ οὐρανὸν, καὶ γῆν, τὸν μὲν ὕψου, τὴν δ' ἔνερθεν· οὐρανὸν μὲν οἷον τεῖχός τι ἐληλαμένον ἐν κύκλῳ, ἄρρηκτον, πάντα χρήματα ἐν ἑαυτῷ στέγον, γῆν δὲ οἷον φρουρὰν καὶ δεσμοὺς ἀλιτρῶν σωμάτων· βασιλέα δὲ αὐτὸν δὴ τὸν μέγαν ἀτρεμοῦντα, ὥσπερ νόμον, παρέχοντα τοῖς πειθομένοις σωτηρίαν ὑπάρχουσαν ἐν αὐτῷ· καὶ κοινωνοὺς τῆς ἀρχῆς πολλοὺς μὲν ὁρατοὺς θεοὺς, πολλοὺς δὲ ἀφανεῖς, τοὺς μὲν περὶ τὰ πρόθυρα αὐτὰ εἱλουμένους, οἷον εἰσαγγελέας τινὰς καὶ βασιλεῖ συγγενεστάτους, ὁμοτραπέζους αὐτοῦ καὶ συνεστίους, τοὺς δὲ τούτων ὑπηρέτας, τοὺς δὲ ἔτι τούτων καταδεεστέρους. Διαδοχὴν ὁρᾷς καὶ τάξιν ἀρχῆς καταβαίνουσαν ἐκ τοῦ θεοῦ μέχρι γῆς. **

rentem artificemque lustrare possis; sufficiat in præsenti, quod opera ejus videas, quod filios ejus venereris. Sunt autem hi plurimi, et omnis fere generis, non tantum quot Bœotius poeta esse voluit: nec enim triginta tantum deorum millia, supremi illius filii et amici sunt, sed innumeri; partim cœlo stellarum corpora, partim in æthere dæmonum essentiæ. Sed ostendam tibi quod dico in clariore imagine. Finge animo magnum aliquod regnum, aut potentem principatum, in quo reliqui omnes actiones suas ad unius regis nutum, qui dignitate et majestate antecedat ceteris, sponte dirigant: limes hujus imperii sit non Halys fluvius, aut Hellespontus, non Mæotis, aut Oceani littora; sed cœlum supra, terra infra: et cœlum quidem validis compagibus muri ad instar circumcirca ductum esto, ut omnia amplexu suo continere possit; terra quasi custodia et carcer noxiorum corporum ponatur: in alto magnus rex ille immotus sedeat, tanquam lex et norma, populisque suis vitam et salutem tribuat in ipso positam; regni autem consortes sint dii multi, quorum alii videntur, alii oculis conspici non possunt; horum nonnulli tanquam statores quidam, regique genere proximi, circa vestibula versentur, mensæ ejusdem focique consortes; alii rursus, qui his subserviant; et rursus alii, qui infra hos sint. Vides catenam perpetuam, regnique seriem, quæ a deo ad terram usque descendat. **

ΛΟΓΟΣ ΙΗ'.

Εἰ τὸν ἀδικήσαντα ἀνταδικητέον.

1. Πότερον δίκᾳ τεῖχος ὕψιον
ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει
ἐπιχθόνιον γένος ἀνθρώπων,
δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.

Σὺ μὲν, ὦ Πίνδαρε, ἀμφισβητεῖς πρὸς ἑαυτὸν περὶ ἀπάτης καὶ δίκης, παραβάλλων χρυσὸν χαλκῷ· ποιητὴς γὰρ ἦσθα, καὶ δεινὸς ᾠδὴν συντιθέναι χορῷ, καὶ τυράννοις ποιεῖν ἐπινίκια ᾄσματα, καί σοι ἐμέλησεν ὀνομάτων μέτρου, καὶ ἁρμονίας μελῶν, καὶ ῥυθμοῦ σχημάτων· ἀνδρὶ δὲ ὅτῳ χορὸς μὲν καὶ ᾠδὴ καὶ ἡ ἐκ μελῶν ἡδονὴ χώραν ἔχει ὅσηνπερ καὶ τοῖς παισὶ τὰ ἀθύρματα, μέλει δὲ αὐτῷ μέτρου ψυχῆς καὶ ῥυθμοῦ καὶ μέλους καὶ σχήματος τοῦ περὶ τὰς πράξεις καὶ τὸν ἄλλον βίον, οὐδ' ἂν τὴν ἀρχὴν ἐς νοῦν ἔλθοι τουτὶ τὸ ἀπόρημα, « Πότερον δίκᾳ τεῖχος ὕψιον » ἢ μή· ἀλλ' οὑτωσὶ φαίη ἂν, μεταβαλὼν τὸ ᾆσμα τὸ σὸν, ὅτι « ναὶ δίκᾳ τεῖχος ὕψιον, ἢ σκολιαῖς ἀπάταις, ἀναβαίνει ἐπιχθόνιον γένος ἀνθρώπων. » Ἀλλ' ἀπρόσβατόν τι χρῆμα τῇ ἀπάτῃ ἡ δίκη, ὥσπερ τοῖς Ἀλωΐδαις ὁ οὐρανός· καὶ ὤνησεν αὐτοὺς οὐδὲν ἡ Ὄσσα ἐπιτεθεῖσα τῷ Ὀλύμπῳ, καὶ ὁ Ὄλυμπος τῷ Πηλίῳ, ἀλλὰ ἀπεῖχον τοῦ οὐρανοῦ ὅσον ἀπέχει ἀπάτη δίκης. Οὐκοῦν τῶν μὲν ἀγαθῶν ἡ δίκη, τῶν δὲ μοχθηρῶν ἡ ἀπάτη· καὶ δόκιμον μὲν ἡ δίκη, κίβδηλον δέ τι ἡ ἀπάτη· καὶ ἰσχυρὸν μὲν ἡ δίκη, ἀσθενὲς δὲ ἡ ἀπάτη· καὶ τὸ μὲν ὠφέλιμον, τὸ δὲ οὔ.

DISSERTATIO XVIII.

Utrum referenda sit injuria.

1. Murum altiorem justitiâ genus
mortale scandat, vafritiâve fraudis,
incerta fluctuat mihi mens,
nescia utri referat salutem.

Tu quidem, Pindare, tecum de justitia et fraude dubitas, nec metuis cum auro æs componere: nec mirum; poeta enim eras, cujus in eo omnis posita fuit industria, ut carmen aliquod choro componeres, regumque victorias lyra tua celebrares; itaque de vocabulorum mensura, deque concinnata versuum harmonia, et numerosa orationis forma sollicitus eras. Homini vero, qui chorum, carmina, totamque eam, quæ e canticis petitur, voluptatem eo loco habet, quo crepundia sua pueri; potiusque de animi sui mensura numerisque et modulatione cogitat, nec aliud curat, quam ut concinne et decore actiones suas totamque vitam instituat; huic ne in mentem quidem unquam veniet hæc quæstio, *Murumne altiorem justitiâ paret*, necne: sed contra carmen mutabit tuum, et hoc modo dicet: *Profecto justitiâ murum altiorem, non vafritiâ fraudis, mortale ascendit genus.* Imo vero plane inaccessa fraudi justitia est, non secus quam Aloidis cœlum; quos nihil juvit Ossa Olympo imposita, et Pelio Olympus, quominus a cœlo tantum abessent, quantum a justitia fraus abest. Ergo probi justitiam sibi vindicant, improbi fraudem, sicut proba et germana res est justitia, adulterina fraus; illa valida, hæc debilis; illa utilis, hæc contra.

2. Ὅτῳ δὴ μέλει δίκης, καὶ περιβέβληται τουτὶ τὸ Πινδάρου τειχίον, οὗτος ἕλοιτο ἄν ποτε ἀδικηθεὶς ἀμύνασθαι ἐκ τῆς ἴσης; Φέρ' ἴδω τί καὶ λέγω; μὴ γὰρ οὖν καὶ ἀδικεῖσθαι αὐτῷ θέμις ᾖ. Εἰ μὲν γὰρ τὸ ἀδικεῖν καὶ τὸ ἀδικεῖσθαι τοιοῦτόν ἐστιν, ὁποῖον τὸ τύπτειν καὶ τύπτεσθαι, καὶ τέμνειν καὶ τέμνεσθαι, οὐδὲν δεινὸν τὸν αὐτὸν καὶ δραστικὸν ὁμοῦ εἶναι ἀδικίας καὶ παθητικόν· εἰ δ' ἐνταῦθα ὁ αὐτὸς μὲν τῇ κοινότητι τῆς φύσεως ἐνέργειαν καὶ πάθος, ἑκάτερον αὐτῶν, καταδέχεται, ἔοικε δὲ τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι πολὺ μᾶλλον τῷ ὁρᾷν καὶ ὁρᾶσθαι (ὁρᾶται μὲν γὰρ τὸ μετέχον ὄψεως, τὸ δὲ ὁρώμενον οὐ πάντως καὶ ὁρᾷ), μᾶλλον οὑτωσὶ λέγωμεν, ὅτι ἔοικε τὸ ἀδικεῖν καὶ ἀδικεῖσθαι τῷ ἐλέγχειν καὶ ἐλέγχεσθαι. Ἐλέγχει μὲν γὰρ ὁ τὸ ἀληθὲς εἰδὼς, ἐλέγχεται δὲ ὁ ἀγνοῶν· καὶ ὡς οὐκ ἂν εἴη οὔτε τοῦ τἀληθὲς εἰδότος τὸ ἐλέγχεσθαι, οὔτε τοῦ ἀγνοοῦντος τὸ ἐλέγχειν, οὕτως οὐδὲ τὸ ἀδικεῖν εἴη ἂν καὶ τὸ ἀδικεῖσθαι τοῦ αὐτοῦ.

2. Quicunque ergo justitiam colet, et illo Pindari muro munitus stabit, num is optabit unquam injuria affectus par pari referre? Sed quid jam dico, quum fortasse ne possit quidem injuria affici justus? Si enim afficere injuria et affici est ejusmodi, quale ferire et feriri, scindere et scindi; nihil obstat quominus idem et faciat injuriam, et patiatur : sin contra in illis naturæ quadam communione idem actionem simul passionemque recipit quidem, sed injuria afficere et affici ita dicitur, ut videre et videri (quicquid enim videt, simul etiam videtur; non contra, quicquid videtur, etiam videt), ita potius decernamus : tale esse inferre injuriam et pati, quale arguere et argui. Arguit enim qui veritatem novit; arguitur qui ignorat : jam sicut neque ejus est argui, qui veritatem novit; neque arguere ejus, qui ignorat; ita neque injuria afficere et affici est ejusdem.

3. Ἐπεὶ τοίνυν οὐ τοῦ αὐτοῦ, ἀλλ' ἑτέρου, ὁ δὲ χρηστὸς τῷ πονηρῷ οὐχ ὁ αὐτός· ποτέρῳ πότερον προσθήσομεν; ἆρα τὸ μὲν ἀδικεῖν τῷ πονηρῷ, τὸ δὲ ἀδικεῖσθαι τῷ χρηστῷ; ἢ τὸ μὲν ἀδικεῖν τοῦ μοχθηροῦ, τὸ δὲ ἀδικεῖσθαι οὔπω δῆλον ὁποτέρου αὐτοῖν; Οὑτωσὶ δὲ θεασώμεθα. Ἀδικία ἐστὶν ἀφαίρεσις ἀγαθοῦ· τὸ δὲ ἀγαθὸν τί ἂν εἴη ἄλλο, ἢ ἀρετή; ἡ δὲ ἀρετὴ ἀναφαίρετον. Οὐκ ἀδικηθήσεται τοίνυν ὁ τὴν ἀρετὴν ἔχων, ἢ οὐκ ἔστιν ἀδικία ἀφαίρεσις ἀγαθοῦ· οὐδὲν γὰρ ἀγαθὸν ἀφαιρετὸν, οὐδὲ ἀπόβλητον, οὐδὲ ἑλετὸν, οὐδὲ ληϊστόν. Εἶεν· οὐκ ἀδικεῖται ὁ χρηστὸς οὔτε ** ὑπὸ τοῦ μοχθηροῦ, ἀναφαίρετος γάρ. Λείπεται τοίνυν ἢ μηδένα ἀδικεῖσθαι καθάπαξ, ἢ τὸν μοχθηρὸν ὑπὸ τοῦ ὁμοίου· ἀλλὰ τῷ μοχθηρῷ οὐδενὸς μέτεστιν ἀγαθοῦ, ἡ δὲ ἀδικία ἦν ἀγαθοῦ ἀφαίρεσις· ὁ δὲ μὴ ἔχων ὅ, τι καὶ ἀφαιρεθῇ, οὐδὲ εἰς ὅ, τι ἀδικηθῇ ἔχει.

3. Si ergo non ejusdem est, sed alterius, probus autem alter est ab improbo; utrum utri tribuemus? anne improbo, ut injuria afficiat; probo, ut afficiatur? an vero alterum quidem dabimus, improbi nimirum esse injuriam inferre; de altero adhuc dubitabimus, utrius sit pati? Quod ita videamus. Injuria est boni ereptio : bonum autem quid sit aliud, quam virtus? atqui virtus eripi non potest. Sequitur ergo, aut illum, qui virtutem habet, affici injuria non posse; aut injuriam non esse boni ereptionem : nam nullum bonum eripi, amitti, tolli, aut spoliari potest. Ponamus ergo hoc : non afficitur injuria probus * * neque ab improbo, quia eo quod habet spoliari non potest. Restat ergo, aut neminem injuria affici, aut improbum ab improbo tantum : atqui nullius boni particeps est improbus; diximus autem boni ereptionem esse injuriam : qui vero non habet, quo privari possit, ne habet quidem quo injuriam patiatur.

4. Μήποτε οὖν οὐ κατὰ τὴν ἀφαίρεσιν τοῦ πάσχοντος ἡ ἀδικία τέτακται, ἀλλὰ κατὰ τὴν γνώμην τοῦ δράσαντος· καὶ ὁ μοχθηρὸς ὑπὸ τοῦ μοχθηροῦ ἀδικεῖται, κἂν μὴ ἔχῃ τὸ ἀγαθόν· καὶ ὁ χρηστὸς ὑπὸ τοῦ μοχθηροῦ, κἂν ἔχῃ μὴ ἀφαιρετὸν τὸ ἀγαθόν. Ἀποδέχομαι τοῦ λόγου τῆς γνώμης τῷ ἡμαρτημένῳ προστιθέντος τὴν ἀδικίαν, μᾶλλον ἢ τῷ ἐπιτυχεῖ τοῦ ἔργου· καὶ γὰρ μοιχὸν κολάζει ὁ νόμος, οὐ τὸν δράσαντα μόνον, ἀλλὰ καὶ τὸν βουληθέντα· καὶ τοιχωρύχον τὸν ἐπιχειρήσαντα, κἂν μὴ φθάσῃ· καὶ προδότην τὸν μελλήσαντα, κἂν μὴ πράξῃ. Ἥξει τοίνυν ὁ σύμπας λόγος ἐς τὸ δέον. Ὁ μὲν γὰρ ἀγαθὸς οὔτε ἀδικεῖ, οὔτε ἀδικεῖται· οὐκ ἀδικεῖ μὲν διὰ τὴν βούλησιν, οὐκ ἀδικεῖται δὲ διὰ τὴν ἀρετήν. Ὁ δὲ μοχθηρὸς ἀδικεῖ μὲν, οὐκ ἀδικεῖται δέ· ἀδικεῖ μὲν διὰ μοχθηρίαν, οὐκ ἀδικεῖται δὲ διὰ τὴν ἀπορίαν ἀγαθοῦ. Ἔτι τοίνυν, εἰ μὲν ἀγαθὸν ἡ ἀρετὴ μόνον καὶ οὐκ ἄλλο τι, ὁ μοχθηρὸς τὴν ἀρετὴν οὐκ ἔχων οὐδ' εἰς ὅ, τι ἀδικηθῇ ἔχει· εἰ δὲ πρὸς τῇ ἀρετῇ καὶ ταυτὶ ἀγαθὰ τὰ περὶ σῶμα, καὶ τὴν ἐκτὸς τύχην καὶ περιβολὴν, ἀρετῆς μὴ παρού-

4. Nisi forte non ex privatione ejus qui afficitur, sed ex animo illius, qui intulit injuriam, ipsa metienda sit injuria : atque ita improbus injuria afficitur ab improbo, quamvis bonum non habeat; et probus item ab improbo, quamvis bonum ipsius eripi non possit. Accipio equidem solutionem hanc, quæ improbo instituto injuriam ascribit potius, quam actionis successui : sicut mœchum lex punit, non qui mœchatus est tantum, sed et qui voluit; et furem, qui tentavit furtum, licet non consummaverit; et proditorem, qui animum habuit, licet non perpetraverit. Sic disputatio omnis eo perveniet quo debebat. Neque afficit, neque afficitur injuria vir bonus : non afficit, quia ne vult quidem; non afficitur, quia virtute est præditus. Improbus contra afficit injuria, non afficitur : afficit, quia improbus est; non afficitur, quia bono caret. Etiam hoc accedit : si virtus solummodo bonum est, nec præter virtutem aliud; improbus, quia virtute caret, non habet quo injuriam patiatur : sin præter virtutem etiam alia, illa inquam quæ corporis bona dicuntur, et externa, quæ fortuna suppeditat, bona sunt; tamen si virtus absit, etiam hæc abesse

στης, βέλτιον ἀπεῖναι ταῦτα, ἢ μή· ὥστε οὐδ' ὣς ἀδικηθείη ἂν ὁ μοχθηρὸς, ἀφαιρούμενός τι τούτων, οἷς χρῆται κακῶς. Οὐκοῦν ἀδικεῖ μὲν, οὐκ ἀδικεῖται δὲ, προστιθέντων ἡμῶν τῇ βουλήσει τὸ ἄδικον.

5. Οὕτως ἐγὼ ἐπιχειρῶ νῦν· βούλεται μὲν ὁ μοχθηρὸς ἀδικεῖν, οὐ μὴν δυνατός· βουλόμενος δὲ, ἢ πρὸς τὸν ὅμοιον ἀποτείνεται, ἢ πρὸς τὸν κρείττονα. Τί δὲ τῷ κρείττονι δραστέον; ἢ ἀνταδικητέον τὸν μοχθηρόν; καὶ μὴν εἰς ὅ, τι ἀδικῆται οὐκ ἔχει· ἀπουσίᾳ γὰρ ἀγαθοῦ μοχθηρός ἐστιν. Οὔτ' οὖν κατὰ τὸ ἔργον ἀνταδικήσει ὁ νοῦν ἔχων τὸν μοχθηρὸν, οὐ γὰρ ἔχει εἰς ὅ, τι ἀδικηθήσεται· οὔτε κατὰ τὴν βούλησιν, οὐ γὰρ ἐθέλει ἀδικεῖν χρηστὸς ὢν, οὐ μᾶλλον ἢ αὐλητικὸς παρὰ μέλος αὐλεῖν. Καθόλου δὲ, εἰ τὸ ἀδικεῖν πονηρὸν, καὶ τὸ ἀνταδικεῖν ὅμοιον· οὐ γὰρ τῷ ὑπάρξαι πλεονεκτεῖ κατὰ πονηρίαν ὁ ἀδικῶν, ἀλλὰ τῷ ἀμύνασθαι ἐξισοῦται κατὰ μοχθηρίαν ὁ ἀνταδικῶν. Καὶ μὴν, εἰ ὁ ἀδικῶν κακῶς ποιεῖ, ὁ ἀντιποιῶν κακῶς οὐδὲν ἧττον ποιεῖ κακῶς, κἂν ἀμύνηται. Ὥσπερ γὰρ ὁ ἀποδιδοὺς χάριν τῷ προϋπάρξαντι οὐδὲν ἧττον εὖ ποιεῖ, κἂν προπεπονθὼς ᾖ· οὕτως ὁ μετατιθεὶς τὴν ἀμοιβὴν εἰς κάκωσιν οὐδὲν ἧττον κακῶς δρᾷ, κἂν προπεπονθὼς ᾖ.

6. Τί δὲ τοίνυν ἔσται καὶ πέρας τοῦ κακοῦ; Εἰ γὰρ ὁ ἀδικηθεὶς ἀμύνεται, ἀεὶ μεταβαίνει τὸ κακὸν ἀπ' ἄλλου πρὸς ἄλλον καὶ μεταπηδᾷ, καὶ διαδέξεται ἀδικία ἀδικίαν. Ὧ γὰρ δικαίῳ συγχωρεῖς τῷ παθόντι ἐπεξιέναι, τῷ αὐτῷ τούτῳ δικαίῳ ἐπαναχωρεῖ αὖθις ἀπ' ἐκείνου πρὸς τὸν αὐτὸν ἡ τιμωρία· τὸ γὰρ δίκαιον ἐπ' ἀμφοῖν ἴσον. Ὅσον, ὦ Ζεῦ, καὶ οἷον πεποίηκας, δικαιοσύνην ἐξ ἀδικημάτων; καὶ ποῖ βαδιεῖται τὸ κακὸν, καὶ ποῦ στήσεται; Οὐκ οἶσθα ὅτι πηγὴν ταύτην ἀέναον κινεῖς πονηρίας, καὶ γράφεις νόμον ἀρχέκακον τῇ πάσῃ γῇ; Τοῦτο γὰρ ἀμέλει ἐστὶ τὸ τῶν πάλαι κακῶν τοῖς ἀνθρώποις ἡγησάμενον, στόλων βαρβαρικῶν καὶ Ἑλληνικῶν ἐπ' ἀλλήλους περαιουμένων, ἁρπαζόντων, καὶ πολεμούντων, καὶ ληϊζομένων, προκάλυμμα ποιουμένων τῆς παρούσης ἀδικίας τὴν φθάσασαν. Φοίνικες ἐξ Ἄργους βασιλικὴν κόρην ἄγουσιν, Ἕλληνες ἐκ Κόλχων βαρβαρικὴν παρθένον ἄγουσι, καὶ αὖθις Φρύγες ἐκ Πελοποννήσου Λακωνικὴν γυναῖκα. Ὁρᾷς τὴν διαδοχὴν τῶν κακῶν, καὶ τὰς προφάσεις τῶν πολέμων, καὶ τὸν πολυπλασιασμὸν τῶν ἀδικημάτων. Τοῦτο καὶ τὴν Ἑλλάδα συνέτριψεν αὐτὴν, ἡ περὶ ἑαυτὴν δόξα ἀδικίας διαβαίνουσα ἐπὶ τοὺς πλησίον, καὶ ἄπαυστοι θυμοὶ, καὶ ὀργαὶ ἀθάνατοι, καὶ τιμωρίας ἔρως, καὶ ἀμαθία δίκης.

7. Ἀλλ' εἴπερ οἱ ἀδικούμενοι ἠπίσταντο, ὅτι τοῖς ἀδικοῦσι μέγιστον κακὸν ἡ ἀδικία αὐτὴ, τοῦτ' εἶναι πολέμου μεῖζον, καὶ τειχῶν ἀφαιρέσεως, καὶ γῆς δῃώσεως, καὶ τυραννίδος καταστάσεως· οὐκ ἂν ἐμπέπληστο ἡ Ἑλλὰς τοσούτων κακῶν. Ποτίδαιαν Ἀθηναῖοι πολιορκοῦσιν. Ἔασον, ὦ Λακεδαιμόνιε, μεταγνώσονταί ποτε· μὴ μιμήσῃ τὸ κακὸν, μὴ μεταλάβῃς τοῦ ψόγου· ἐὰν δὲ ἀγαπᾷς μὲν τὴν πρόφασιν

præstabit quam adesse: itaque ne sic quidem injuria afficietur improbus, si iis privetur, quibus non recte utitur. Ergo afficiet injuria, non afficietur, si ex animo metimur injuriam.

5. Jam sic equidem concludo: Inferre vult injuriam improbus, nec potest tamen: porro quum velit, necesse est aut similem sui petat, aut se meliorem. Quid vero aget melior? an injuria vicissim afficiet improbum? atqui illud, in quo locum habet injuria, non habet; quatenus enim bonum non habet, malus est. Ergo nec re ipsa vir prudens injuriam referet improbo, quia, quod injuriam patiatur, non habet; neque voluntate, quia non magis improbe agere vult, quum sit probus, quam imperite inflare tibiam tibicen peritus. Omnino autem, si simpliciter injuriam inferre improbum est, etiam referre injuriam huic simile est: non enim improbior est ille qui infert injuriam, eo quod incipit, sed is qui hanc illi ad se defendendum reddit, ei æquatur improbitate. Atqui si is, qui injuriam facit, male facit; qui malum malo compensat, non minus male facit, quamvis malum ulciscatur. Nam, ut qui beneficium reddit ei, a quo accepit prius, nihilo minus bene facit, quamvis acceperit prius; ita, qui remuneratur malum, non minus male facit, quamvis prius male acceptus sit.

6. Et quis erit, obsecro, finis mali? si enim perpetuo, qui injuria affectus est, malum malo compensat; necesse est ab uno ab alium transire et quasi transilire malum, atque ita usque injuriam excipiet injuria. Quoniam quo jure permittis ei, qui injuria affectus est, ut injuriam injuriæ auctori reddat; eodem jure redit iterum ad eundem vindicta: eadem enim juris in utroque ratio est. Quantum, proh Juppiter, et quale facinus admisisti! jus constituisti ex injuriis! quousque, quæso, se diffundet hoc malum? ubi desinet? Non vides perennem te hunc improbitatis fontem excitare, legemque ferre, quam primam malorum causam totum universum agnoscat? Non est aliud profecto, quod antiqua mala omnia hominibus invexit: hinc primum barbaræ et Græcæ classes ad conflictum transmiserunt mare; hinc raptus, bella, deprædationes, dum semper præsenti injuriæ priorem obtendunt. Phœnices Argivis regiam puellam ereptum eunt, Græci Colchis barbaram, rursum Phryges e Peloponneso Laconicam mulierem rapiunt. Vides seriem malorum, vides belli causas, et per ordinem scelerum cumulatum scelus. Non alia sunt quæ ipsam Græciam perdiderunt, quam injuriæ propriæ existimatio, quæ in finitimos quoque erupit; quam furor implacabilis, ira immortalis, vindictæ cupido, juris ignorantia.

7. Etenim si omnes, quos ex aliis injuria invasit, hoc persuadere sibi potuissent, injuriam ipsam iis, qui inferunt, malum esse maximum, eamque vel bello, vel ademptione murorum, vel populationibus terrarum atque incendiis, vel cujuslibet tyrannidis institutione, pœnam graviorem esse, nunquam tot tantisque calamitatibus redundasset Græcia. Potidæam Athenienses obsident. Permitte hoc illis, Spartane, brevi post eos cœpti pœnitebit: noli malum hoc imitari, noli eandem incurrere infamiam; si prætextum

καὶ ἐπὶ Πλαταιὰς ἔλθῃς, ἀπόλωλέ σοι Μῆλος νῆσος γείτων, ἀπόλωλεν Αἴγινα νῆσος φίλη, ἀπόλωλε Σκιώνη πόλις σύμμαχος· μίαν πόλιν λαβὼν πολλὰς πορθήσεις. Ὥσπερ γὰρ τῶν ἐπὶ χρηματισμῷ παραβαλλομένων ἐν θαλάττῃ οἱ τόκοι μεγάλοι τῶν δανεισμάτων, οὕτω καὶ τῶν ἐπεξιόντων τοῖς θυμοῖς οἱ τόκοι μεγάλοι τῶν συμφορῶν. Καὶ πρὸς τὸν Ἀθηναῖον λέγω, Σφακτηρίαν ἔχεις, ἀπόδος τῇ Σπάρτῃ τοὺς ἄνδρας· ἕως εὐτυχεῖς, σωφρόνησον· εἰ δὲ μὴ, τοὺς μὲν ἄνδρας ἕξεις, τὰς δὲ τριήρεις οὐχ ἕξεις. Λύσανδρος περὶ Ἑλλήσποντον εὐτυχεῖ, καὶ ἡ Σπάρτη μεγάλη, ἀλλὰ ἀπέχου Θηβῶν· εἰ δὲ μὴ, δακρύσεις τὴν ἐν Λεύκτροις τύχην, καὶ τὴν ἐν Μαντινείᾳ συμφοράν.

8. Ὦ δίκης ἀφανοῦς καὶ πλανωμένης. Διὰ τοῦτο ὁ Σωκράτης οὐχ Ἀριστοφάνει ὠργίζετο, οὐ Μελήτῳ ἐχαλέπαινεν, οὐχ Ἄνυτον ἐτιμωρεῖτο· ἀλλὰ ἐβόα μέγα, « Ἐμὲ δὲ Ἄνυτος καὶ Μέλητος ἀποκτεῖναι μὲν δύνανται, βλάψαι δὲ οὐ δύνανται· » οὐ γὰρ θέμις ἀγαθῷ ἀνδρὶ ὑπὸ πονηροῦ βλαβῆναι. Αὕτη φωνὴ δίκης, ἣν εἴπερ ἅπαντες ταύτην ἐφθέγγοντο, οὐκ ἂν ἦσαν αἱ τραγῳδίαι, οὐδὲ τὰ ἐπὶ τῇ σκηνῇ δράματα, οὐδ' αἱ πολλαὶ καὶ παντοδαπαὶ συμφοραί. Ὥσπερ γὰρ ἐπὶ τῶν τοῦ σώματος νοσημάτων χαλεπὰ τὰ ἑρπηστικὰ, καὶ δεῖ τούτοις ἐπικουρίας στασίμου, ἵνα τὸ περιλειφθὲν σωθῇ· οὕτως ἐπειδὰν ἐμπέσῃ οἴκῳ ἢ πόλει ἀδικίας ἀρχὴ, στῆναι δεῖ τὸ κακὸν, εἰ μέλλει τὸ περιλειφθὲν σωθήσεσθαι. Τοῦτο Πελοπίδας ἐξέτριψε, τοῦτο Ἡρακλείδας ἠφάνισε, τοῦτο τὴν Κάδμου οἰκίαν, τοῦτο Πέρσας ἀπώλεσε, τοῦτο Μακεδόνας, τοῦτο Ἕλληνας. Ὦ νοσήματος διηνεκοῦς, καὶ ἐπὶ πολλὰς περιόδους χρόνων καταλαβόντος τὴν γῆν.

9. Ἐπιτολμήσαιμι δ' ἂν ἔγωγε εἰπεῖν ὅτι, εἴπερ ἐστὶν ἀδικίας πρὸς ἀδικίαν ὑπερβολὴ, ὁ τιμωρῶν τοῦ προϋπάρξαντος ἀδικώτερος. Ὁ μὲν γὰρ ὑπὸ ἀμαθίας ἐπὶ τὸ ἀδικεῖν ἐλθὼν ἔχει τὴν δίκην ἐκ τοῦ ψόγου· ὁ δὲ ἐπεξιὼν, προσλαβὼν ἐκ τοῦ ὁμοίου τὸ ἄδικον, ἀφῄρηκεν ἐκείνου τὸ ἐπίψογον. Ὥσπερ γὰρ τῷ μαρίλης ἐμπεπλησμένῳ τὸν συμπλακέντα ἀνάγκη καὶ αὐτὸν συναισχῦναι τὸ σῶμα· οὕτω καὶ ὅστις ἀδίκῳ ἀνδρὶ συμπλέκεσθαι καὶ συγκυλινδεῖσθαι ἀξιοῖ, ἀνάγκη τοῦτον συναπολαύειν τοῦ κακοῦ, καὶ συναναπίμπλασθαι τῆς μαρίλης. Ἀθλητῇ μὲν οὖν ἀνδρὸς προσφερομένου ἀθλητοῦ ἐκ τῆς ἴσης ἀγωνίας καὶ φιλοτιμίας ἀποδέχομαι· ὁρῶ γὰρ αὐτοῖς ὁμοίαν μὲν τὴν φύσιν, παραπλησίαν δὲ τὴν μελέτην, ἰσότιμον δὲ τὴν ἐπιθυμίαν τοῦ νικᾶν· ὅταν δὲ ἀγαθὸς ἀνὴρ πονηρῷ συμπέσῃ, οὐκ ἐκ τῆς αὐτῆς παλαίστρας προσεληλυθὼς ἑκάτερος, οὐδὲ ὑπὸ τῷ αὐτῷ παιδοτρίβῃ ἀσκηθεὶς, οὐδὲ τὴν αὐτὴν τέχνην ἐκμαθὼν, οὐδὲ τοῖς αὐτοῖς παλαίσμασιν ἐντεθραμμένος, οὐδὲ τοῦ αὐτοῦ στεφάνου ἐρῶν, οὐδὲ τοῦ αὐτοῦ κηρύγματος· οἰκτείρω τὴν μάχην, ἄνισος ἡ ἀγωνία. Ἀνάγκη τὸν πονηρὸν κρατεῖν ἀγωνιζόμενον ἐν τοιούτῳ σταδίῳ, οὗ πονηροὶ μὲν θεαταὶ, ἄδικοι δὲ οἱ ἀθλοθέται. Ὁ δὲ ἀγαθὸς ἐν τούτοις ἄτεχνος καὶ

hunc amplecteris et Plataeas petis, periit tibi Melus vicina insula, periit amœnissima insularum Ægina, periit Scione urbs socia; pro una, quam cepisti, urbe multas evertes. Nam, ut illi, qui lucri causa maris periculo se committunt, magno fœnore se obstringunt; ita, qui in vindicando iræ indulgent, maximo se calamitatum fœnore involvunt. Rursus tibi, Atheniensis, dico, Sphacteriam expugnasti, captivos Spartanis redde; dum sors favet, modestiam in consilium adhibe : sin minus, homines servabis, triremes amittes. Lysander ad Hellespontum feliciter rem gerit, Sparta potens est, vide ne Thebas tangas : sin minus, adversam circa Leuctra fortunam lacrimabis, apud Mantineam calamitatem plorabis.

8. O justitiam conspectui se subtrahentem et vagam! Hoc est quod Aristophani non succensebat Socrates, nec indignabatur Melito, nec Anytum vindicabat; sed alta voce exclamabat, *Vitam eripere Anytus et Melitus mihi possunt, lædere non possunt :* non enim ab improbo detrimentum potest accipere vir bonus. Hæc ipsa justitiæ vox est; quæ si ab omnibus usurparetur, nulla tragœdia exstaret, nullam scenæ calamitatem ostenderent, vasta illa ac multiplex malorum seges ab humanis exularet rebus. Nam ut in corporum morbis ii maxime nocere constantemque medici opem requirere solent, qui ulterius serpunt, ut quod adhuc est immune, servetur; ita quum in familiam incidit aut rempublicam injustitiæ principium, cohiberi continuo debet, ut id, quod superest, vindicetur. Hoc est quod Pelopidas evertit, quod Heraclidas sustulit, quod totam Cadmi familiam, quod Persas, quod Macedonas, quod Græcos delevit. O morbum continuum, et qui per tot jam sæculorum circuitus terrarum orbem fatigat!

9. Non dubitabo equidem dicere, si quidem injuriarum altera sit altera major, magis improbum esse eum qui illatam ulciscitur, quam qui infert. Qui enim ex ignorantia juris injurius est, delicti sui præmium in infamia habet; at qui injuriam reddit, quum non minus injurius sit, infamiam illam in se derivat. Nam ut, qui fuligine imbutum tractat aut cum eo luctatur, necesse est suum quoque corpus inficiat; ita, qui cum improbo congreditur et quasi volutatur, necessario mali fit particeps, eadem imbuitur fuligine. Ego athletam, qui cum athleta ex æquo concurrit, ferre possum, neque studium utriusque reprehendo; video enim parem indolem, parem curam, parem in utroque victoriæ ardorem. At vero quoties cum improbo probus concurrit, non ex eadem uterque palæstra profectus, neque sub eodem magistro edoctus, nec eadem arte instructus, nec iisdem luctationibus innutritus, nec ejusdem coronæ competitor aut præconii; infelix hæc meo judicio pugna est, et congressus impar. Necessario enim superior evadit improbus in ejusmodi stadio, ubi et scelesti spectatores, et iniqui sunt judices. Hic enim vir bonus et ab arte destituitur, et a scien-

ἀμαθὴς, καὶ ἄπορος ἀπιστίας, καὶ πανουργίας, καὶ ἀπάτης, καὶ τῶν ἄλλων παλαισμάτων, ὑφ' ὧν μοχθηρία κρατύνεται καὶ ἰσχυρίζεται· ὥστε καὶ καταγέλαστος ἂν γίγνοιτο ἀντεπιχειρῶν ἀδικεῖν ὁ μὴ πεφυκὼς τὸν ἄδικον καὶ τῇ φύσει, καὶ τῇ τέχνῃ, καὶ τῷ ἔθει.

10. Ἀλλὰ διὰ τοῦτο, φαίη ἄν τις, ὁ δίκαιος ἀνὴρ προπηλακίζεται, καὶ συκοφαντεῖται, καὶ διώκεται, καὶ χρήματα ἀφαιρεῖται, καὶ εἰς δεσμωτήριον ἐμβάλλεται, καὶ φεύγει, καὶ ἀτιμοῦται, καὶ ἀποθνήσκει. Τί οὖν; εἰ καὶ οἱ παῖδες νόμους πρὸς ἀλλήλους θέμενοι, καθίσαντες δικαστήριον ἑαυτῶν, ὑπάγοιεν ἄνδρα κατὰ τοὺς αὐτῶν νόμους, κᾆτα, εἰ δόξαι ἀδικεῖν, ψηφίζοιντο αὐτὸν ἄτιμον εἶναι ἐν τῷ τῶν παίδων δήμῳ, δημεύοιεν δὲ αὐτοῦ τὰ παιδικὰ χρήματα, τοὺς ἀστραγάλους καὶ τὰ παίγνια· τί εἰκὸς πρᾶξαι τὸν ἄνδρα; ἢ οὐ καταγελάσεσθαι τοῦ τοιούτου δικαστηρίου αὐταῖς ψήφοις καὶ καταδίκαις αὐταῖς; Οὕτω καὶ ὁ Σωκράτης Ἀθηναίων κατεγέλα, ὡς παιδαρίων ψηφιζομένων καὶ κελευόντων ἀποθνήσκειν ἄνδρα θνητόν. Καὶ ἄλλος ὅστις ἀγαθὸς ἀνὴρ καὶ δίκαιος, καταγελάσεται γέλωτα ἀκραιφνῆ, ὁρῶν τοὺς ἀδίκους ἐπ' αὐτὸν ὡρμημένους σπουδῇ, οἰομένους τι δρᾶν, δρῶντας δὲ οὐδέν· ἀλλὰ καὶ ἀτιμαζόντων ἐκείνων, βοήσεται τὸ τοῦ Ἀχιλλέως,

Φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ·

καὶ ἀφαιρουμένων τὰ χρήματα, προήσεται ὡς παίγνια καὶ ἀστραγάλους τοῖς ἀφαιρουμένοις, καὶ ἀποθανεῖται ὡς ὑπὸ πυρετοῦ καὶ λίθου, οὐδὲν ἀγανακτῶν πρὸς τοὺς ἀποκτιννύντας.

lia; neque diffidentia, aut sutelis, aut dolis, aliisve instructus accedit artibus, quibus confirmatur ac robur assumit improbitas: ut nihil aliud quam risum excitaturus sit, qui cum improbo manum conferat, nec ingenio, nec arte, nec exercitatione ad hoc comparatus.

10. Sed hac ipsa de causa supplantatur vir bonus, dicet aliquis, calumniis sycophantiisque differtur, facultatibus exuitur, in vincula conjicitur, relegatur, infamia notatur, morti addicitur. Quid tum postea? si pueri, legibus inter se latis, pro tribunali sederent, atque ex earum legum præscripto virum aliquem in judicium vocarent, quem peccasse dicerent; et mox inter puerorum gentem infamem esse juberent, ejusque crepundia aliquot, talos puta et alia ludicra, hastæ subjicerent: quid facturum esse virum hunc putas? anne aliud quam ut rideat, ipsosque judices cum calculis suis et suffragiis explodat? Ita Athenienses ridebat Socrates, non aliter quam pueros, qui suffragio suo hominem mori juberent, quem natura jam ante jusserat mori. Neque aliud facturus est quilibet bonus probusque vir, quam ut risum rideat plenissimum, quoties improbos serio ad se ire videbit, quasi rem gesturos maximam, quum tamen nihil possint; sed et in media eorum contumelia illud Achillis exclamabit,

Regi superûm, puto, non contemptus abibo:

quodsi facultates quoque ejus auferre parent, eas ille non secus, quam si crepundia eripiant aut talos, dimissurus est, nec aliter morietur, quam si morbo aliquo, febri puta aut calculo, moriendum esset, neque mortis auctoribus succensebit.

ΛΟΓΟΣ ΙΘ'.

Εἰ μαντικῆς οὔσης, ἔστι τι ἐφ' ἡμῖν.

1. Ὅτε οἱ Μῆδοι ἐπὶ τὴν Ἑλλάδα ἐστρατεύοντο, ἐχρῶντο οἱ Ἀθηναῖοι τῷ θεῷ, τί χρὴ δρᾶν, ἐπιόντος αὐτοῖς βαρβαρικοῦ στόλου, ἵππου Μηδικῆς, ἁρμάτων Περσικῶν, ἀσπίδων Αἰγυπτίων· εἵποντο δὲ καὶ σφενδονῆται Κᾶρες, καὶ ἀκοντισταὶ Παφλαγόνες, καὶ πελτασταὶ Θρᾷκες, καὶ ὁπλῖται Μακεδόνες, καὶ Θετταλικὸν ἱππικόν· ἐχρῶντο οὖν τῷ θεῷ οἱ Ἀθηναῖοι, τί χρὴ δρᾶν, ἐπιόντος ταῖς Ἀθήναις τοσούτου κακοῦ. Ὁ δὲ αὐτοῖς χρᾷ φράττεσθαι τὸ ἄστυ ξυλίνῳ τείχει· Θεμιστοκλῆς λέγει ὅτι οἱ δοκεῖ τὸ ξύλινον τεῖχος αἱ τριήρεις εἶναι. Συνεδόκει ταῦτα τοῖς Ἀθηναίοις, καὶ ἀναστάντες ἐκ τοῦ ἄστεος ἐς τὸ τεῖχος τοῦ θεοῦ μετῳκίσθησαν. Εἰ οὖν οἱ Ἀθηναῖοι τότε τῷ μὲν θεῷ συμβουλεύεσθαι περὶ τούτων οὐκ ἤθελον, νοῦν δὲ ἔχοντι ἀνδρὶ καὶ δυναμένῳ ἐκλογίζεσθαι καὶ τὴν παροῦσαν δύναμιν, καὶ τὴν ἐπιοῦσαν παρασκευὴν, καὶ τὸν μέλλοντα κίνδυνον, καὶ τὴν ὑποφαινομένην ἀσφάλειαν· τί εἰκὸς συμβουλεῦσαι ἂν τὸν ἄνδρα τοῦτον καταδεέστερον τῆς χρησμῳδίας τοῦ θεοῦ; Ἐγὼ μὲν οἶμαι, οὐδὲ αἰνίγματος ἂν ἐδεήθη πρὸς αὐτοὺς, οὐδὲ τείχους ἀμφισβητησίμου· ἀλλ' εἶπεν

DISSERTATIO XIX.

Utrum, manente divinatione, aliquid sit in nostra potestate.

1. Quum Medorum exercitus Græciam invaderet, deum consulebant Athenienses, quid sibi faciendum esset, invadente ipsos classe barbarica, equitatu Medico, curribus Persicis, clypeis Ægyptiacis; sequebantur et funditores e Caria, et sagittarii e Paphlagonia, et velites e Thracia, et cataphracti e Macedonia, et equites e Thessalia: consuluerunt ergo deum illi, quidnam potissimum tanto invadente malo sibi faciendum esset. Deus oraculum dat illis, urbem ut ligneo muro cingerent. Videri sibi Themistocles ait, ligneo muro triremes designari. Res Atheniensibus placuit, relictaque urbe sua, in muros, quos oraculum jusserat, se contulerunt. Si ergo hoc in discrimine nihil oraculi voce sibi opus esse Athenienses putassent; sed prudentis potius viri, qui e re nata tum proprias vires, tum hostiles apparatus recte perpendere, nec minus de periculo, quam de fiducia, si quam in virtute sua repositam habebant, recte judicare potuisset: minusne sapienter eum hominem responsurum fuisse putamus, quam oraculum? Meo judicio nec obscure loqui opus fuisset, nec de ambiguo muro agere; sed hoc

ἂν ὧδέ πως· Ὦ Ἀθηναῖοι, τῶν μὲν λίθων καὶ τῶν οἰκοδομημάτων ἐξίστασθε τῷ βαρβάρῳ, αὐτοὶ δὲ πανοικησίᾳ, αὐτοῖς παισὶν, καὶ ἐλευθερίᾳ καὶ νόμοις, ἴτε ἐπὶ τὴν θάλατταν· ὑποδέξονται δὲ ὑμᾶς τριήρεις, ἱκαναὶ καὶ σώζειν φέρουσαι, καὶ νικᾶν μαχόμεναι.

2. Τί δήποτ' οὖν οἱ ἄνθρωποι ἐπὶ τὰ μαντεῖα παραγίγνονται, ἀμελήσαντες τῆς παρὰ τοῦ ὁμοίου συμβουλῆς; ἢ διότι γνώμη μὲν ἀνθρώπου ἐπισφαλὲς καὶ ἄπιστον καὶ ἐπίφθονον καὶ κίβδηλον καὶ οὐκ ἀεὶ ὅμοιον, καὶ οὐκ ἐν παντὶ εὔστοχον· τὸ δὲ θεῖον κατὰ μὲν τὴν ὑπεροχὴν πιστὸν, κατὰ δὲ τὴν ἀλήθειαν δόκιμον, κατὰ δὲ τὴν πεῖραν εὔστοχον, κατὰ δὲ τὴν τιμὴν ἀνεπίφθονον; Θεοῦ δὲ μαντεία καὶ ἀνθρώπου νοῦς (τολμηρὸν μὲν εἰπεῖν, φράσω δὲ ὅμως) χρῆμα συγγενὲς, καὶ εἴπερ τι ἄλλο ἄλλῳ ὅμοιον, οὐδὲν ἂν εἴη ἐμφερέστερον ἀρετῆς ἀνθρωπίνης γνώμῃ θεοῦ. Μὴ τοίνυν ἀπόρει, μήθ' ὅντινα τρόπον τὸ αὐτεξούσιον τῆς ἀνθρωπίνης γνώμης χρῆται μαντικῇ, μήθ' ὅπως, ἀληθευούσης τῆς μαντικῆς, δύναταί τι καὶ ἀνθρώπου γνώμη· περὶ γὰρ ὁμοίου πράγματος σκοπεῖς· τὸ γὰρ αὐτὸ ἐρωτᾷς, καὶ ἀπορεῖς, καὶ ἀναστρέφεις, ἐξὸν τὸ πᾶν διελέσθαι ὡς δεῖ· Οὔτε τὸ θεῖον πάντων εὔστοχον, οὔτε τὸ ἀνθρώπινον πάντων ἄστοχον.

3. Καὶ περὶ μὲν τοῦ ἀνθρωπίνου νόμου καὶ αὖθις ῥητέον· τὸ δὲ θεῖον δοκεῖ σοι γινώσκειν πάντα ἑξῆς, καὶ τὰ καλὰ καὶ τὰ αἰσχρὰ, καὶ τὰ τίμια καὶ τὰ ἄτιμα; Φείδομαι τῶν ῥημάτων, καὶ αἰδώς με τοῦ θεοῦ ἔχει· σεμνὸν γάρ τι τὸ πάντα εἰδέναι, καὶ ἀριθμὸν ψάμμων, καὶ θαλάττης μέτρα, καὶ ξυνιέναι ἀτόπου λέβητος ἑψομένου ἐν Λυδοῖς. Καὶ δηλαδὴ πᾶσι τοῖς δεομένοις θεσπίζει ὁ θεὸς τὸ ἀληθές. ** μαθεῖν καὶ συμφέρει, κἂν μέλλῃ ὁ μαθὼν, ἄδικος ὢν, πλεονεκτήσειν. Δεινῶς τινα πολυπράγμονα ἡγεῖ τὸν θεὸν, καὶ περίεργον, καὶ εὐήθη, καὶ μηδὲν τῶν ἐν τοῖς κύκλοις ἀγειρόντων διαφέροντα, οἳ δυοῖν ὀβολοῖν τῷ προστυχόντι ἀποθεσπίζουσιν. Ἐγὼ δὲ μὴ ὅτι θεὸν, ἀλλ' οὐδὲ ἄνδρα ἀγαθὸν ἀξιῶ ἐπιπηδᾶν τῷ ἀληθεῖ· οὐδὲν γὰρ σεμνὸν τὸ τἀληθῆ λέγειν, εἰ μὴ γίγνοιτο ἐπ' ἀγαθῷ τοῦ μαθόντος. Οὕτω καὶ ἰατρὸς νοσοῦντα ἐξαπατᾷ, καὶ στρατηγὸς στρατόπεδον, καὶ κυβερνήτης ναύτας, καὶ δεινὸν οὐδέν· ἀλλὰ ἤδη καὶ ψεῦδος ὤνησεν ἀνθρώπους, καὶ τἀληθὲς ἔβλαψεν. Εἰ μὲν οὖν ἄλλο τι ἡγεῖ εἶναι τὴν μαντικὴν, ἢ νοῦν θεῖον, διαφέροντα τοῦ ἀνθρωπίνου ἀκριβείᾳ καὶ βεβαιότητι, νόμιζε πολεμεῖν λόγον λόγῳ· εἰ δέ ἐστιν οὐδὲν ἀλλοιότερον ἢ ὅσον τὸ ἐξ ἡλίου φῶς τοῦ ἐκ πυρὸς, φῶς δὲ ἑκάτερον· ἀγάπα μὲν τὸ λαμπρότερον, μὴ ἀτίμαζε δὲ τῇ διαιρέσει τὸ ἀμαυρότερον. Ἀλλ' ἡγοῦ τὸ πᾶν τοῦτο ἁρμονίαν τινὰ εἶναι ὀργάνου μουσικοῦ, καὶ τεχνίτην μὲν τὸν θεὸν, τὴν δὲ ἁρμονίαν αὐτὴν ἀρξαμένην παρ' αὐτοῦ, δι' ἀέρος ἰοῦσαν, καὶ γῆς καὶ θαλάττης, καὶ ζώων, καὶ φυτῶν, ἐμπεσοῦσαν μετὰ τοῦτο εἰς πολλὰς καὶ ἀνομοίους φύσεις, συντάττειν τὸν ἐν αὐταῖς πόλεμον· ὡς κορυφαία ἁρμονία, ἐμπεσοῦσα εἰς πολυφωνίαν χοροῦ, συντάττει τὸν ἐν αὐτῇ θόρυβον.

potius modo ille sententiam suam proposuisset : Me auctore, hos lapides, Athenienses, quos videtis, et hos muros barbaro relinquatis; ipsi vero, cum tota familia vestra, vestrisque liberis, libertate item ac legibus, transite ad mare : hic vos triremes excipient, quæ tam capere vos et servare, quam pugnare et victoriam vobis parere poterunt.

2. Cur ergo ad oracula confugiunt homines, neglecto quod ab hominibus dari potest consilio? An quia consilium humanum, ut totum minus, minusque certum, ita invidiæ obnoxium est, nec probum usquequaque, aut sui simile esse, et ad finem suum pervenire solet; divinum contra, et præstantia sua fidem sibi, et veritate auctoritatem conciliat, nec unquam a scopo suo aberrat qui eo utitur, et invidiam humanam majestate sua excedit? Imo præscientia divina et mens humana (quamvis enim audacia sit in verbo, dicetur tamen) res cognatæ sunt; ut si quid aliud usquam, nihil sit similius, quam virtus hominis et mens dei. Noli ergo dubitare posthac, aut quomodo indoles humana, quum sit liberi arbitrii, divinatione utatur; aut quomodo, salva divinationis veritate, aliquid humana quoque mens servet quod in potestate sua sit positum; simillima enim sunt de quibus agis : idem est quod quæris, quod in dubium vocas, quod volvis et revolvis toties, quum sine ulla molestia totum, ut oportet, possis distinguere : Nec omnia ad finem suum divina dirigit potentia, nec ubique a fine suo aberrat homo.

3. Ac de humanæ quidem indolis lege alias : nunc illud audire ex te velim, utrumne scire omnia divinam mentem existimes, turpia et honesta, digna atque indigna. Sed parco verbis, quum reverentia me dei retrahat : res enim videlicet præclara est scire omnia, arenarum numerum, mensuram maris, tum si qui forte absurdus in Lydia lebes coquitur. Sine dubio omnibus, quicumque quærunt, verum respondet deus. [Ac verum] discere expedit omnibus, etiam si quis, natura injustus, ea doctrina ad aliena invadenda abutatur. Equidem ardelionem potius mihi narras, quam deum, mireque curiosum et quibusvis obsequentem : prorsus similem mendicis illis, qui in triviis stipem colligunt, et duobus obolis obvio cuique ventura prædicunt. Ego vero non deo tantum, sed et viro bono indignum esse puto, ut occasione qualibet verum dicere occupet; nec enim res per se præclara est verum dicere, nisi id cum utilitate fiat ejus qui audit. Ita sæpe medicus ægros, dux exercitum, gubernator fallit nautas; nec hoc in iis reprehenditur : imo mendacia sæpe profuerunt hominibus, nocuit contra veritas. Quare si aliud divinationem esse existimas, quam mentem divinam, quæ accurata stabilique scientia differt ab humana, eadem opera existimare potes rationem cum ratione pugnare. Sin contra fateris non aliter differre hæc duo, quam solis lumen a lumine ignis nostri, quum utrumque sit lumen; per me licet ut id, quod magis lucet, præferas, dummodo ne id, quod minus lucet, in divisione tua excludas. Quin potius sic statue : universum hoc harmoniam esse quandam instrumenti musici; cujus artifex sit deus; eam autem harmoniam incipere a deo, a deo per aerem, per terram, per mare, per animalia omnia transire et plantas : quia autem, simul ac digressa est a deo, diversas dissimilesque naturas invenit, iis se miscet, diversitatemque, quæ in illis est, conciliat ac componit; non aliter quam suprema harmonia diversitatem, quæ in toto choro est, moderatur ac temperat.

4. Τίς δὲ ὁ τρόπος τῆς θείας τέχνης, ὀνόματι μὲν εἰπεῖν οὐκ ἔχω, εἴσῃ δὲ αὐτῆς τὴν δύναμιν ἐξ εἰκόνος τοιᾶσδε. Ἤδη ποτὲ ἐθεάσω νεῶν ἐρύσεις ἐκ θαλάττης ἄνω, καὶ λίθων ἀγωγὰς ὑπερφυῶν κατὰ μέγεθος, παντοδαποῖς ἑλιγμοῖς καὶ ἀναστροφαῖς ὀργάνων, ὧν ἕκαστον πρὸς τὸ πλησίον τὴν ῥώμην νειμάμενον, ἕτερον ἐξ ἑτέρου διαδεχόμενον τὴν ἀγωγὴν, κινεῖ τὸ πᾶν· καὶ τὸ μὲν ὅλον ἔχει τὴν αἰτίαν τοῦ ἔργου, συνεπιλαμβάνει δέ τι αὐτῷ καὶ τὰ μερικά. Κάλει τοίνυν τεχνίτην μὲν τὸν θεὸν, ὄργανα δὲ τοὺς λογισμοὺς τοὺς ἀνθρωπίνους, τέχνην δὲ τὴν μαντικὴν, σπῶσαν ἡμᾶς ἐπὶ τὴν ἀγωγὴν τῆς εἱμαρμένης. Εἰ δέ σοι καὶ σαφεστέρας εἰκόνος δεῖ, νόει μοι στρατηγὸν μὲν τὸν θεὸν, στρατείαν δὲ τὴν ζωὴν, ὁπλίτην δὲ τὸν ἄνθρωπον, σύνθημα δὲ τὴν εἱμαρμένην, ὅπλα δὲ τὰς εὐπορίας, πολεμίους δὲ τὰς συμφορὰς, σύμμαχον δὲ τὸν λογισμὸν, ἀριστείαν δὲ τὴν ἀρετὴν, ἧτταν δὲ τὴν μοχθηρίαν, μαντικὴν δὲ τὴν τέχνην αὐτὴν τὴν ἐκ τῆς παρασκευῆς ἐπισταμένην τὸ μέλλον. Καὶ γὰρ κυβερνήτης ναῦν ἔχων, καὶ εἰδὼς τὰ ὄργανα, καὶ τὴν θάλατταν ὁρῶν, καὶ αἰσθανόμενος τῶν πνευμάτων, οἶδε τὸ ἀποβησόμενον· καὶ στρατηγὸς στρατόπεδον ἔχων, καὶ τὰ ὅπλα εἰδὼς, καὶ τῆς παρασκευῆς μεμνημένος, καὶ τῶν πολεμίων αἰσθανόμενος, οἶδε τὸ ἀποβησόμενον· καὶ ἰατρὸς τὸν κάμνοντα ἰδὼν, καὶ τῆς νόσου ξυνεὶς, καὶ τῆς τέχνης αἰσθανόμενος, οἶδε τὸ ἀποβησόμενον. Ὁρᾷς τὸ πλῆθος τῶν μάντεων, ὡς σαφὲς, ὡς τεχνικὸν, ὡς εὔστοχον. Εἰ μὲν οὖν τὸ ἐφ' ἡμῖν αὐτὸ ἦν καθ' αὑτὸ, ἀπήλλακτο δὲ εἱμαρμένης, οὐδὲν ἔδει μαντικῆς· εἰ δὲ ἀνακέκραται τὸ ἐφ' ἡμῖν τοῖς ὅλοις, μέρος ὅσον καὶ τοῦτο τῆς εἱμαρμένης, κατὰ μὲν τὸ ἀναγκαῖον ἡ μαντικὴ στήσεται, κατὰ δὲ τὸ δῆλον ἢ μὴ ἡ γνώμη βουλεύσεται.

5. Ἤδη δὲ καὶ τοῦ ἀναγκαίου ἡ γνώμη καὶ ἡ μαντικὴ δηλωτική. Πῶς καὶ τίνα τρόπον ἑκατέρα; Αὐχμοὺς μὲν, καὶ ἐπομβρίας, καὶ σεισμοὺς γῆς, καὶ πυρὸς ἐκβολὰς, καὶ πνευμάτων ἐμβολὰς, καὶ ἀέρων μεταβολὰς οὐ θεὸς οἶδε μόνος, ἀλλὰ καὶ ἀνθρώπων ὅσοι δαιμόνιοι. Οὕτω καὶ Φερεκύδης σεισμὸν Σαμίοις προεμήνυσε, καὶ Ἱπποκράτης Θετταλοῖς προσιόντα λοιμὸν, καὶ Τιμήσιος Κλαζομενίοις ἐκλείποντα ἥλιον, καὶ ἄλλος ἄλλο τι. Πῶς δὲ δὴ καὶ θεὸς τῶν ὅσα ἐφ' ἡμῖν καταμαντεύεται;

Μὴ σπεῖρε τέκνων ἄλοκα δαιμόνων ἄτερ,

ὁ θεὸς λέγει·

Ἢν γὰρ φυτεύσῃς παῖδ', ἀποκτενεῖ σ' ὁ φύς.

Ταῦτα λέγει μὲν, ἀλλὰ οἶδεν ἀνδρὶ συμβουλεύων ἀκολάστῳ καὶ ἀκρατεῖ μέθης, καὶ διὰ τοῦτο προλέγει τὴν συμφοράν· ἧς παρέσχε μὲν τὴν ἀρχὴν ὁ Λάϊος, ἐγνώρισε δὲ τὴν αἰτίαν ὁ θεός.

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει·

ὅτι μὲν διαβήσεται οὐ λέγει, τί δὲ πείσεται διαβὰς, λέγει. Εἰ δὲ ἀπαλλάξεις τῆς συμπλοκῆς καὶ διοικίσεις

4. Et modum quidem, quo divina hæc ars operatur, verbis exprimere non possum, delineatam tamen tali similitudine vim ejus poteris cognoscere. Vidistine unquam naves in terram subduci, aut ingentes saxorum moles impelli? quod variis instrumentorum motibus conversionibusque fieri solet, quorum singula vicinis vim addunt, et aliud de alio motum excipit, ut universum pondus promoveant. Hic enim quum tota instrumentorum compago id facere dicatur, aliquid tamen partes quoque conferunt. Ita statuas ipsum artificem esse deum, machinas rationes humanas, artem vero divinationem, quæ nos ad fatale decretum trahit. Quodsi magis etiam perspicuam similitudinem requiris, finge deum esse ducem, militiam vitam nostram, militem hominem, tesseram fatum, arma facultates homini concessas, inimicos calamitates, sociam belli rationem, victoriam virtutem, cladem improbitatem, divinationem vero esse eam artem, quæ ex apparatu præsenti futura conjiciat. Gubernator enim, si navem habeat, et instrumenta norit quæ requiruntur, si mare inspiciat, ventos observet, quid futurum sit novit: et dux, si exercitum habeat, et arma sua sciverit, et de necessario apparatu cogitaverit, et hostium adventum præviderit, quid futurum sit novit; et medicus, si ægrum videat, et morbum intelligat, et artis suæ sibi sit conscius, quid futurum sit novit. Vides quanta sit hariolorum copia, quam certa, quam artificiosa, quam prudens. Si igitur, quod in potestate nostra est, ex se ipso tantum penderet, non opus esset divinatione: verum si id ipsum cum toto cohæreat, tanquam pars quædam et ipsa fati, id quod necessitati subjicitur, divinationem statuet; quod vel certitudinem vel incertitudinem rei futuræ respicit, consultationi subjicietur.

5. Quid quod fati etiam necessitatem humana mens cum divinatione aperit? Quomodo, dices, utraque? Sane siccitates, pluviarum copiam, et terræ motus, et eruptiones ignium, et ventorum impetus, et mutationes aeris, non deus prævidet tantum, sed et divini ingenii viri. Ita terræ motum Pherecydes Samiis, et imminentem pestem Thessalis Hippocrates, et defectum solis Clazomeniis Timesius, aliusque aliud prædixit. Quomodo contra, quæ in potestate nostra sunt, prædicit deus?

Ne liberis incumbito, invito deo,

ait deus:

Natus parentem namque mactabit suum.

Hæc dicit quidem, non ignorat tamen intemperanti et vinoso homini consilium se dare, ideoque futuram calamitatem prædicit: cujus causam quidem præbuit Laius, sed deus unde eventura sit præviderat.

Crœsus Halyn penetrans magnam pervertet opum vim:

transiturum eum esse non dicit; sed quid post transitum eventurum ei sit, dicit. Quodsi oraculum divinum mea-

μαντικὴν θεοῦ καὶ ἀνθρώπου νοῦν, καὶ διέλυσας ἁρμονιῶν τὴν μουσικωτάτην.

6. Οἶκος οὗτος εἷς θεῶν καὶ ἀνθρώπων, οὐρανὸς καὶ γῆ, δυοῖν ἑστίαι καὶ ὀχήματα ἀθάνατα· ὧν τὸν μὲν νέμονται θεοὶ καὶ θεῶν παῖδες, τὴν δὲ ὑποφῆται θεῶν ἄνθρωποι, οὐ χαμαιεῦναι, καθ' Ὅμηρον, οὐδὲ ἀνιπτόποδες, ἀλλὰ ἄνω εἰς τὸν οὐρανὸν δρῶντες ὀρθῇ τῇ ψυχῇ καὶ ἀνηρτημένοι τῇ γνώμῃ πρὸς τὸν Δία. Διέλαχον δὲ αὐτῶν τοὺς βίους ἐπιστάται θεοί· γῆν τε γὰρ θεοὶ ἐπιβόσκονται, σώζοντες τὰ τῆς γῆς ἔγγονα, οὐχ ὁρώμενοι, οὐδὲ τοξεύοντες, ἢ τιτρωσκόμενοι·

Οὐ γὰρ σῖτον ἔδουσ', οὐ πίνουσ' αἴθοπα οἶνον·

ἄνθρωποι δὲ εἰς τὸν οὐρανὸν ἀφορῶντες, ᾗ θέμις ὁρᾶν τὸν τοῦ Διὸς πυριλαμπῆ οἶκον, οὐ χρυσοῖς, καθ' Ὅμηρον, κόσμοις καὶ κόροις δᾷδας μετὰ χεῖρας φέρουσι λαμπόμενον, ἀλλὰ ἡλίῳ καὶ σελήνῃ καὶ τῶν τούτοις συντεταγμένων ἀκμαίῳ πυρὶ καταφεγγόμενον. Στρατὸν ὁρᾷς ἡγεμόνων ἀγαθῶν καὶ θεραπόντων ἀναγκαίων· τοῦτό μοι φύλαττε τὸ σύνθημα, καὶ ὄψει μὲν τὴν μαντικήν, συνήσεις δὲ τὴν ἀρετήν, γνωριεῖς δὲ τὴν ἑκατέρου ἐπιμέλειαν καὶ κοινωνίαν καὶ πολιτείαν.

7. Ὁρᾷς τὸν ἀνθρώπινον βίον, οὐχ ἑδραῖον, οὐδὲ ἠπειρωτικόν, ἀλλὰ νεὼς ὁλκάδος δίκην ἐν πελάγει πλατεῖ περαιούμενον· σώζει δὲ αὐτὴν οὐ μόνον κυβερνήτου τέχνη, ἀλλὰ καὶ πνευμάτων καιροί, καὶ ὑπηρεσία ναυτῶν, καὶ εὐκολία ὀργάνων, καὶ θαλάττης φύσις. Τάττε δέ μοι κατὰ μὲν τὰ ὄργανα καὶ τὰς ὑπηρεσίας τοὺς λογισμοὺς τῆς ψυχῆς, κατὰ δὲ θάλατταν καὶ τὰ πνεύματα τὸ ἄδηλον τῶν ἀνθρωπίνων, κατὰ δὲ τὸ προορατικὸν τῆς κυβερνητικῆς τέχνης τὸ εὔστοχον τῆς μαντικῆς. Εἰ δέ σου ἀντερείδει τῷ λογισμῷ τῆς πολιτείας ἡ κρᾶσις, ἀκούσῃ Πλάτωνος ὡδὶ λέγοντος, ὡς « Θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα κυβερνῶσι τὰ ξύμπαντα· ἡμερώτερόν γε μὴν τρίτον ἐπὶ τούτοις προσθεῖναι δεῖν ἕπεσθαι, τὴν τέχνην. Καιρῷ γὰρ χειμῶνος συλλαβέσθαι κυβερνητικήν, ἢ μή, μέγα πλεονέκτημα ἔγωγ' ἂν θείην. »

8. Ταῦτά μου τὰ μαντεύματα τὴν ψυχὴν ταράττει, καὶ οὔτε καθαρῶς εἰς ὑπεροψίαν ἄγει τῆς μαντικῆς, οὔτε καθαρῶς τοῖς λογισμοῖς διαπιστεύει· ἀλλ' ὥσπερ τῶν ἀμφιβίων ζώων οἱ ὄρνιθες κοινωνοῦσι τοῦ ἐν ἀέρι δρόμου τοῖς μεταρσίοις **, τοιαύτην ὁρῶ καὶ τῷ ἀνθρώπῳ τὴν διαγωγὴν τοῦ βίου, ἀμφίβιον καὶ κεχραμένην ὁμοῦ ἐξουσίᾳ καὶ ἀνάγκῃ· οἷα γένοιτ' ἂν καὶ δεσμώτῃ ἀνδρὶ ἐξουσία ἑπομένῳ αὐθαιρέτως τοῖς ἄγουσιν· ὥστε ἐγὼ ὑποπτεύω μὲν τὴν ἀνάγκην, ὀνομάσαι δὲ αὐτὴν εὐπόρως οὐκ ἔχω. Κἂν γὰρ πεπρωμένην φῶ, ὄνομα λέγω πλανώμενον ἐν ἀνθρώπων δόξαις· τίς γὰρ ἡ πεπρωμένη; ποίας φύσεως; τίνος οὐσίας;

Εἰ μέν τοι θεός ἐσσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,

οὐδὲν τῶν δεινῶν σὸν ἔργον, οὐδὲ καθ' εἱμαρμένην αἱ ἀνθρώπιναι συμφοραί· οὐ γὰρ θέμις ἀνάπτειν θεῷ αἰτίαν κακοῦ.

temque humanam inter se distrahis et velut diversa distinguis, plane dissolvisti harmoniam conjunctissimam.

6. Non aliam domum habent, præter hanc, quam vides, dii hominesque, cœlum dico et terram : quæ sunt duorum generum lares, duorum sedes immortalis : alterum dii deorumque liberi, alteram deorum incolunt interpretes, non illi quidem *humicubæ*, ut ab Homero vocantur, aut *illotipodes*, sed qui sursum oculos in cœlum erigant recta mente et ab Jove toto animo dependeant. Horum vitæ dii præsident : hi terram pervadunt, ejusque progeniem conservant; ceterum nec videntur, nec in bello (ut Poeta vult) jaculantur, aut vulnerantur,

Nec Cererem tractant, nec rubri munera Bacchi.

Homines vero tollunt in cœlum oculos, et qua licet, splendidam Jovis domum intuentur; quæ non, ut illa apud Homerum, auro adornata est, *nec pueris qui ardentes manu tædas ferunt;* sed sole lunaque et reliquorum, qui hos comitantur, illustri fulgentem igne. Exercitum ex optimis ducibus necessariisque militibus vides : hanc mente serva tesseram, et videbis quid sit divinatio, intelliges virtutem humanam, utriusque officium mutuum et quid commune habeant, denique eorum velut civitatem cognosces.

7. Vides humanam vitam, non stabilem illam nec in continenti constitutam, sed quæ tanquam navis oneraria immensum mare trajicit : hanc non gubernatoris tantum ars conservat, sed et ventorum commoditas, et ministerium nautarum, et instrumentorum agilitas, et natura maris. Cum instrumentis ergo et ministerio confer rationem animi, cum mari et ventis rerum humanarum incertitudinem, cum prudentia gubernatoris divinationis certitudinem. Quodsi reipublicæ hujus temperamentum refragatur ratiocinationi tuæ, Platonem audies, qui ita scribit : *Deus, et cum deo fortuna, opportunitasque, humana gubernant omnia; ut autem mitius agamus, præstabit tertiam his ducem adjicere, artem. Quoties namque tempestas oritur, multo meliore loco navem esse existimo, si artis peritum gubernatorem habeat, quam si non habeat.*

8. Hæc oracula animum perturbant meum, neque permittunt, ut vel plane divinationem contemnam, aut firmiter ratiocinationibus adhæream : sed sicut aves cum reliquis, quæ ancipitis naturæ sunt, hoc commune habent, quod in aere volent, ** talem video vitam esse nostram, quam ducimus, ancipitem, mixtamque necessitate simul et libertate. Ea autem libertas talis est, qualis in homine vincto, qui sponte sequitur lictores; itaque necessitatem illam videre mihi videor, apte tamen exprimere non possum. Si enim Parcam dicam, voce utar, in qua hominum opiniones ludunt. Quid enim est Parca? cujus naturæ? quæ est ejus essentia?

Si dea sis, cœlique habitas sublimia templa;

minime reprehendi debet quod a te fit, neque Parcæ humanæ miseriæ causa, quia nulli deo ascribi illa debet, tribuenda est.

Εἰ δέ τις ἐσσὶ βροτῶν, τοὶ ἐπὶ χθονὶ ναιετάουσι,

ψεύδεται μὲν ὁ Ἐλπήνωρ λέγων,

Ἀσέ με δαίμονος αἶσα κακή·

ψεύδεται δὲ ὁ Ἀγαμέμνων λέγων,

Ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐρινύς.

9. Ἔοικε δὲ καὶ ταυτὶ τὰ ὀνόματα εἶναι μοχθηρίας ἀνθρωπίνης εὔφημοι ἀποστροφαὶ, ἀναθέντων αὐτῆς τὴν αἰτίαν τῷ δαιμονίῳ, καὶ ταῖς Μοίραις, καὶ ταῖς Ἐρινύσιν· αἱ δὲ ἐν μὲν ταῖς τραγῳδίαις ἐχέτωσαν χώραν (οὐ νεμεσῶ τοῖς ποιηταῖς τῶν ὀνομάτων), ἐν δὲ τῷ βίου δράματι μήποτε. Ταῦτα τὰ κενὰ, ἥ τε Ἐρινὺς, καὶ ἡ Αἶσα, καὶ οἱ δαίμονες, καὶ ὅσα ἄλλα δι' ἀνοίας εἱμαρμένης ὀνόματα, ἔνδον ἐν τῇ ψυχῇ καθειργμένα, καὶ τὸν Ἀγαμέμνονα ἐνοχλεῖ,

Ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισε·

ταῦτα καὶ τὸν Ἐλπήνορα εἰς μέθην ἄγει, ταῦτα καὶ τὸν Θυέστην ὠθεῖ ἐπὶ τὸν τοῦ ἀδελφοῦ γάμον, ταῦτα καὶ τὸν Οἰδίποδα ἐπὶ τὸν τοῦ πατρὸς φόνον· ταῦτα καὶ τὸν συκοφάντην ἐπὶ τὰ δικαστήρια, καὶ τὸν λῃστὴν ἐπὶ τὴν θάλατταν, καὶ τὸν ἀνδροφόνον ἐπὶ τὸ ξίφος, καὶ τὸν ἀκόλαστον ἐφ' ἡδονάς. Αὗται πηγαὶ συμφορῶν ἀνθρωπίνων· ἐντεῦθεν ῥεῖ τὸ τῶν κακῶν πλῆθος, ὡς ἀπὸ τῆς Αἴτνης τὸ πῦρ ῥεῖ, ὡς ἐξ Αἰθιοπίας ὁ λοιμὸς ῥεῖ· καὶ τὸ μὲν πῦρ ἐπὶ γῆν ῥεῖ, καὶ ὁ λοιμὸς μέχρι τῶν Ἀθηνῶν προελθὼν ἔστη· οἱ δὲ ὀχετοὶ τῆς μοχθηρίας πολλοὶ καὶ ἀέναοι, καὶ δεόμενοι μαντείων πολλῶν καὶ χρησμῶν μυρίων. Τίς ἂν οὖν ἁμάρτοι μαντευόμενος τί τέλος μοχθηρίας, τί τέλος ἀπιστίας, τί τέλος ἀκολασίας; Ταῦτα καὶ Σωκράτης προὔλεγεν, οὐχ ὁ Ἀπόλλων μόνον· διὰ τοῦτο ὁ Ἀπόλλων ἐπῄνει Σωκράτην, ὅτι ἦν ὁμότεχνος αὐτῷ.

ΛΟΓΟΣ Κ'.

Τίσι χωριστέον τὸν κόλακα τοῦ φίλου.

1. Πρόδικος μὲν Ἡρακλέα ἄγει ἐν τῷ μύθῳ ἄρτι ἡβάσκοντα καὶ ἀνδριζόμενον ἐπὶ διττὰς ὁδοὺς, Ἀρετὴν καὶ Ἡδονὴν ἐπιστήσας ἡγεμόνας ἑκατέρᾳ τῇ ὁδῷ· ἡ μὲν αὐτῷ σοβαρὰ τῶν ἡγεμόνων, [ἡ δὲ] εὐσχήμων ἰδεῖν, βαδίζουσα ἠρέμα, φθεγγομένη μουσικῶς, βλέμμα πρᾶον, ἀμπεχόνη ἁπλῆ· ἡ δὲ δευτέρα, θρυπτικὴ, ἐπίχριστος, χλανιδίοις ἐξηνθισμένη, βλέμμα ἰταμὸν, βάδισμα ἄτακτον, φωνὴ ἄμουσος. Ταῦτα ὁρᾷ καὶ ὁ Ἡρακλῆς, ἅτε Διὸς παῖς, καὶ ἀγαθὸς τὴν φύσιν, καὶ χαίρειν τῇ Ἡδονῇ φράσας, ἐπιτρέπει ἑαυτὸν τῇ Ἀρετῇ ἄγειν. Φέρε καὶ ἡμεῖς πλάττωμεν μῦθον, διττὰς ὁδοὺς, καὶ ἄνδρα ἀγαθὸν, καὶ ἡγεμόνας ταῖν ὁδοῖν, ἀντὶ μὲν τῆς Ἀρετῆς τὸν φίλον, ἀντὶ δὲ τῆς Ἡδονῆς τὸν κόλακα. Οὐκοῦν

Sin hominum quisquam, tellurisque incola nostræ,

mentitur Elpenor, quum dicit,

Læsit me mala scæva dei :

mentitur et Agamemno, quum dicit,

Mei nil criminis est hic,
sed Jovis, et Parcæ, quæque aera lustrat Erinnys.

9. Hæc quoque nomina aperte nihil aliud sunt quam humanæ improbitatis speciosus prætextus, quæ culpam suam in deos, in Parcas, in Erinnyas conferre solet : quæ in tragœdiis ut locum habeant, per me licet; nec enim cum poetis de nominibus contendo; in vitæ autem scena utinam ne fiat. Inania hæc, Erinnys, et mala Scæva, et dæmones, et si qua alia vocabula fato per dementiam dantur, intus in animo inclusa, non exstantia in rebus, ea sunt quæ Agamemnonem turbant,

Quum nihili fecit, Græcûm qui maximus armis;

ea sunt quæ in ebrietatem Elpenora, in fratris nuptias Thyesten, Œdipum in patris cædem impellunt; ea sunt quæ sycophantam in judicium, piratam in mare, homicidam in ferrum, intemperantem in voluptates trahunt. Hi sunt calamitatum humanarum fontes; hinc non aliter, quam ex Ætna ignis, ex Æthiopia pestis, mala illa defluunt : hoc interest tamen, quod ignis ille in terram defluit, pestis quum Athenas usque pervenit, substitit : at scelerum torrentes et innumeri sunt, et perennes, ideoque plurimis responsis, plurimis opus est oraculis. Nemo ergo meo judicio errabit, qui ex oraculo quærat aliquo, quis improbitatis, quis perfidiæ, quis intemperantiæ finis futurus sit. De his vero Socrates non minus olim respondebat, quam Apollo; et propterea Socratem, tanquam collegam suum, laudabat Apollo.

DISSERTATIO XX.

Quomodo ab adulatore amicus debeat distingui.

1. Prodicus in fabula quam finxit Herculem puberem virilesque gerentem animos in bivio statuit, utrique viæ tanquam duces Virtutem et Voluptatem præficit : quarum ducum altera venerabili gravitate, formoso vultu, modesto incessu, modulata voce, aspectu mansueto, veste simplici ab eo inducitur; altera vero lasciva, fucata, veste florida, vultu impudentissimo, incomposito gradu, voce inconcinna. Hæc animadvertit etiam Hercules, ut qui et Jovis esset filius, et indolis præclaræ; quare Voluptati res suas sibi habere jubet, ducemque sequitur Virtutem. Hoc exemplo et nos fabulam fingamus, viamque itidem statuamus duplicem, et virum bonum; hujus viæ duces pro Virtute amicum, pro Voluptate adulatorem po-

καὶ τούτῳ διαφερέτων σχήματι καὶ βλέμματι καὶ ἀμπεχόνῃ καὶ φωνῇ καὶ βαδίσματι· ὁ μὲν ὡς ἥδιστος ἰδεῖν ὢν, ὁ δὲ ὡς ἀληθέστατος· καὶ ὁ μὲν σεσηρὼς, ὀρέγων δεξιὰν, παρακαλείτω τὸν ἄνδρα ἕπεσθαι αὐτῷ, ἐπαινῶν, καὶ κυδαίνων, καὶ ἀντιβολῶν, καὶ δεόμενος, καὶ διηγούμενος ἐκτόπους τινὰς ἡδονὰς, εἰ λαβὼν αὐτὸν ἄξει, λειμῶνας ἀνθοῦντας, καὶ ποταμοὺς ῥέοντας, καὶ ὄρνιθας ᾄδοντας, καὶ αὔρας προσηνεῖς, καὶ δένδρα ἀμφιλαφῆ, καὶ λείας ὁδοὺς, καὶ δρόμους εὐπετεῖς, καὶ κήπους εὐθαλεῖς, ὄγχνας ἐπ' ὄγχναις, καὶ μῆλα ἐπὶ μήλοις, καὶ σταφυλὴν σταφυλῇ ἐπιφυομένην· ὁ δὲ ἕτερος τῶν ἡγεμόνων λέγῃ μὲν ὀλίγα, τὰ δὲ ἀληθῆ αὐτὰ, ὅτι πολλὴ μὲν τῆς ὁδοῦ ἡ τραχεῖα, ὀλίγη δὲ εὐπετὴς, καὶ χρὴ τὸν ἀγαθὸν ὁδοιπόρον ἥκειν παρεσκευασμένον, ἵνα δεῖ πόνου, μοχθήσοντα, τὴν δὲ ῥᾳστώνην ἐκ περιουσίας ληψόμενον.

2. Ταῦτά τοι λεγόντων ποτέρῳ πείσεται, καὶ ποίαν ἄπεισιν; Ἀποκρινώμεθα τῷ ποιητῇ τοῦ μύθου, ὅτι εἰ μὲν Ἀσσύριός τις οὗτος εἴη κακοδαίμων ἀνὴρ, ἢ Φοῖνιξ Στράτων, ἢ Νικοκλῆς ὁ Κύπριος, ἢ ὁ Συβαρίτης ἐκεῖνος, τὸν μὲν καὶ μισήσει τῶν ἡγεμόνων, καὶ ἡγήσεταί τινα εἶναι ἄξεινον καὶ ἀηδῆ καὶ ἄμουσον, τὸν δὲ ἕτερον χαρίεντα καὶ προσηνῆ καὶ φιλάνθρωπον δεινῶς. Ἀγέτω δὴ λαβὼν τὸν ἄνδρα τοῦτον ὁ καλὸς ἡγεμών· οὐκοῦν ἄξει τελευτῶν ἢ ἐπὶ πῦρ, ὡς τὸν Ἀσσύριον· ἢ ἐπὶ πενίαν, ὡς τὸν Φοίνικα· ἢ ἐπὶ δεσμὰ, ὡς τὸν Κύπριον, καὶ ἐπί τι ἄλλο διὰ ψευδοῦς ἡδονῆς ἀληθὲς κακόν. Εἰ δὲ εἴη ἀνὴρ κατὰ τὸν Ἡρακλέα, αἱρήσεται τὸν ἀληθῆ τῶν ἡγεμόνων, τὸν φίλον, ὥσπερ ἐκεῖνος τὴν Ἀρετήν.

3. Καὶ ὁ μὲν μῦθος ὡδὶ τελευτᾷ· μεταβαλὼν δὲ ὁ λόγος πρὸς αὐτὸν σκοπείτω τῷ ἄν τις διακρίναι τὸν κόλακα τοῦ φίλου. Τὸν μὲν γὰρ χρυσὸν βασανίζει λίθος προστριβόμενον αὐτῇ, φιλίας δὲ δὴ καὶ κολακείας τίς ἔσται βάσανος; Ἆρα τὸ ἐξ ἑκατέρου τέλος; Ἀλλ' εἰ ἀναμενοῦμεν τὸ τέλος, ἄλλη βλάβη φθήσεται τὴν γνῶσιν· δεῖ δὲ κρῖναι, πρὶν ἄρξασθαι χρῆσθαι· ἐὰν δὲ ὑστερῇ τῆς χρήσεως ἡ κρίσις, ὁ χρήσασθαι φθάσας καὶ μεταγνοὺς εἰς οὐδὲν δέον τὴν κρίσιν κατατίθεται. Βούλει τοίνυν ἡδονῇ καὶ λύπῃ κρινοῦμεν τὸν φίλον καὶ τὸν κόλακα; Καὶ μὴν καὶ ὁ κόλαξ ὑπερβολὴν λαβὼν ἀνιαρότατον καὶ ἐπαχθέστατον, καὶ ὁ φίλος ἥδιστον εὐψυχίαν προσλαβών. Μήποτε οὖν βλάβῃ καὶ ὠφελείᾳ τοὺς ἄνδρας κριτέον. Ἀμφισβητήσιμον καὶ τοῦτο λέγεις· ὁ μὲν γὰρ κόλαξ, κἂν βλάψῃ, ἢ εἰς χρήματα ἐζημίωσεν, ἢ εἰς ἡδονὴν ἐξέχεεν· ὧν τὸ μὲν εἰς χρήματα κουφότατον, τὸ δὲ εἰς ἡδονὴν τερπνότατον· διὰ δὲ φιλίας πολλοὶ ἤδη καὶ φυγῆς ἐκοινώνησαν, καὶ ἀτιμίας συναπέλαυσαν, καὶ θανάτῳ περιέπεσον.

4. Τῷ οὖν διακρινοῦμεν τὸν κόλακα τοῦ φίλου, εἰ μήτε τῷ τέλει, μήτε ἡδονῇ, μήτε βλάβῃ; Φέρε χωρὶς ἑκάτερον θεασώμεθα. Ἆρά γε ὁ πρὸς ἡδονὴν ὁμιλῶν, φίλος; Καὶ πάνυ εἰκός· καὶ μὴν εἰ ἐχθρὸς ὁ λύπης παρασκευαστικὸς, φίλος ἂν εἴη ὁ ἡδονῆς παρασκευαστι-

namus. Et hi inter se differant habitu, vultu, veste, voce, incessu, ita ut alter aspectu quam jucundissimus appareat; alter nihil præter id quod est præ se ferat: alter renidens, dextera protensa, crebris laudibus, blanditiis, precibus, obsecrationibusque ad se invitet hominem, mirasque, si se ducem sequatur, voluptates describat, locum videlicet ubi prata floribus rideant, labantur fluvii, volucres canant, auræ spirent leniter, arbores plurimis amictæ foliis terram vestiant, planæ semitæ, latissima sint curricula, sed et horti floridissimi, ubi *pyra pyris, mala malis, uvæ subnascantur uvis;* alter contra dux pauca dicat, sed vera, maximam nimirum viæ partem esse salebrosam, minimam facilem, necesse esse itaque, ut vir bonus, qui committere se illi postulet, ita se comparet, ut quum opus sit, laborem ferre possit, si quid planum expeditumque occurrat, id in lucro reponat.

2. Hæc uterque si dicat, utri credet? utram viam inibit? Respondeamus fabulæ auctori: Si quidem homo ille aliquis ex corrupto Assyriorum grege futurus est, aut Phœnicius Strato, aut Cyprius Nicocles, aut qualis fuit Sybarita ille, alterum e ductoribus pessime etiam oderit, nec aliud, quam agrestem, austerum atque invenustum putabit esse; alterum contra elegantem, suavem, mireque humanum judicabit. Demus ergo a præclaro illo, si diis placet, ductore deduci hunc hominem: dubium non est quin in ignem cum Assyrio, aut in paupertatem cum Phœnice, aut in vincula cum Cyprio, eum deducturus sit; in aliud denique verum malum, ad quod falsa perducere voluptas solet. Sin aliquis similis Herculi futurus est, verum certe ductorem, id est amicum, præferet; sicut Hercules Virtutem.

3. Et hic quidem finis sit fabulæ; qua seposita, sermo noster ad se redeat, et videat quomodo ab amico discerni adulator possit. Et aurum quidem admotum sibi index lapis explorat, amicitiam vero et adulationem quid tandem explorabit? An finis utriusque? Atqui si finem exspectabimus, malum præveniet, priusquam verum dignoscamus: oportet vero judicare, priusquam utamur; nam si judicium præcedat usus, quum usum præmaturum pœnitentia excipit, nihil prodest adhibuisse judicium. Vis ergo dolore potius ac voluptate eos distinguamus? At vero et adulator, si modum excedat, molestissimus esse solet et gravissimus; amicus contra, si hilaritatem adjungat amicitiæ, jucundissimus. Vereor igitur ut illi utilitate et damno sint distinguendi. Sed et hic scrupulus occurrit: adulator enim cui nocet, ejus aut opes consumit, aut in voluptatem eum præcipitat; quorum alterum, pecuniæ jactura, levissimum, alterum etiam cum voluptate conjunctum est: amicitiæ vero gratia multi sæpe et in exilio amicos comitati sunt, et infamiam cum illis subierunt, et mortem eorum causa pertulerunt.

4. Quid igitur restat quo ab amico adulatorem separabimus, si nec finis sufficit, nec voluptas, nec damnum, aut contraria? Age, seorsum utrumque inspiciamus. Num is qui id agit, ut nobis sit suavis et gratus, amicus est? Omnino sic videtur esse; si enim inimicus is est, qui doloris nobis causa est; is, qui præcipue nobis voluptatis causa

κώτατος. Τὸ δὲ οὐχ οὕτως ἔχει· καὶ γὰρ ἰατρῶν ὁ φιλανθρωπότατος, λυπηρότατος, καὶ στρατηγῶν ὁ ἀκριβέστατος, καὶ κυβερνητῶν ὁ ἀσφαλέστατος. Φιλοῦσι δέ που καὶ παῖδας πατέρες, καὶ διδάσκαλοι μαθητάς· καὶ τί ἂν εἴη ἀνιαρότερον, ἢ παιδὶ πατὴρ, καὶ μαθητῇ διδάσκαλος; ἐπεὶ καὶ Ὀδυσσεὺς ἐφίλει δήπου τοὺς ἑαυτοῦ ἑταίρους, ὃς πολλὰ καὶ δεινὰ ἀνέτλη,

Ἀρνύμενος ἥν τε ψυχὴν, καὶ νόστον ἑταίρων·

ἀλλ' ἐντυχὼν ἀνδρῶν γένει ἀκολάστῳ καὶ φιληδόνῳ, οἳ διῆγον, καθάπερ τὰ θρέμματα,

Λωτὸν ἐρεπτόμενοι μελιηδέα

(οὕτω γάρ που τὴν ἡδονὴν ὀνομάζει Ὅμηρος), ἀναμιχθέντας αὐτοῦ τοὺς ἑταίρους τῇ τούτων τρυφῇ, καὶ γευσαμένους τῆς ἀτοπίας τοῦ λωτοῦ, ἄκοντας καὶ δακρύοντας λαβὼν ἐπὶ ναῦν ἄγει. Ἀλλ' οὐχ ὁ Εὐρύμαχος τοῖς μνηστῆρσι τοιοῦτος, ἀλλὰ τοῦ ἑτέρου γένους τοῦ κολακευτικοῦ, οἵου σιάλους σῦς, ἢ αἶγας εὐτραφεῖς συγκατακόπτειν αὐτοῖς, καὶ τοῦ οἴνου ἄδην συνεκροφεῖν, καὶ συγκυλινδεῖσθαι ἐᾶν τῆς νυκτὸς θεραπαινιδίοις, καὶ κείρειν οἶκον ἀνδρὸς βασιλέως, καὶ δὴ ἐπιβουλεύειν τῷ γάμῳ.

5. Βούλει δὴ συνελὼν τὸν μὲν κόλακα κατὰ τὴν μοχθηρίαν τάξαι, τὸν δὲ φίλον κατὰ τὴν ἀρετὴν, λύπην δὲ καὶ ἡδονὴν χαίρειν ἐᾶν; οὔτε γὰρ τὸ φιλεῖν ἡδονῆς ἀτυχὲς, οὔτε τὸ κολακεύειν λύπης ἄμοιρον, ἀλλ' ἑκάτερον ἐν ἑκατέρῳ φύρεται, καὶ ἡδονὴ ἐν φιλίᾳ, καὶ λύπη ἐν κολακείαις· ἐπεὶ καὶ αἱ μητέρες καὶ αἱ τιτθαὶ φιλοῦσι τὰ βρέφη, καὶ πρὸς ἡδονὴν αὐτὰ θεραπεύουσι, καὶ οὐχ ἀφαιρήσεις αὐτῶν τὸ φιλεῖν διὰ τὴν ἡδονήν. Ὁ Ἀγαμέμνων τῷ Μενελάῳ παραινεῖ,

Πάντας κυδαίνειν, μηδὲ μεγαλίζεο θυμῷ·

ἦ, οἴει, κολακείαν αὐτῷ ὑποτίθεται; Ὁ Ὀδυσσεὺς, ἐκνηξάμενος τῆς θαλάττης εἰς τὴν Φαιάκων γῆν, γυμνὸς διαναστὰς ἐκ τῆς εὐνῆς, ἐντυχὼν παιζούσαις κόραις, τὴν βασιλίδα γνωρίσας, Ἀρτέμιδι εἰκάζει αὐτὴν, καὶ αὖθις φυτῷ καλῷ, καὶ οὐδεὶς ἂν διὰ ταῦτα κόλακα εἴποι τὸν Ὀδυσσέα· προθέσει γὰρ καὶ χρείᾳ καὶ διαθέσει ψυχῆς ὁ κόλαξ διακρίνεται τοῦ φίλου. Καὶ γὰρ ὁ ἀριστεὺς ὅπλοις χρῆται καὶ ὁ μισθοφόρος, καὶ οὐδεὶς αὐτῶν εἰκάζει τὰ ἔργα κατὰ τὴν χειρουργίαν, ἀλλὰ χωρίζει τὴν ἑκατέρου χρείαν κατὰ τὴν πρόθεσιν· ὁ μὲν γὰρ διασωστικὸς διὰ τὴν φιλίαν, ὁ δὲ μισθαρνικὸς τῶν βουλομένων· καὶ ὁ μὲν αὐθαίρετος, ὁ δὲ ὤνιος· καὶ ὁ μὲν τοῖς ἐνσπόνδοις πιστὸς, ὁ δὲ καὶ τοῖς φίλοις ἄπιστος.

6. Ταύτῃ νόμιζε καὶ τὸν κόλακα διαφέρειν τοῦ φίλου, καὶ συμπίπτειν μὲν ἑκάτερον ἑκατέρῳ πολλάκις εἰς τὰς αὐτὰς πράξεις καὶ τὰς ὁμιλίας, διαφέρειν δὲ ἑκάτερον ἑκατέρου τῇ χρείᾳ καὶ τῷ τέλει, καὶ τῇ διαθέσει τῆς ψυχῆς. Ὁ μὲν γὰρ φίλος τὸ φαινόμενον αὐτῷ ἀγαθὸν εἰς κοινὸν καταθέμενος τῷ φίλῳ, ἐάν τε λυπηρὸν τοῦτο ᾖ, ἐάν τε ἡδὺ, συναπολαύει αὐτῷ ἐκ τῆς ἴσης· ὁ δὲ κό-

est, amicus erit. Et tamen aliter se res habet. Medicus quippe, qui consultum maxime vult homini, maximi subinde doloris illi causa est; eodem modo et imperator peritissimus, et gubernator tutissimus. Amant et liberos patres, et discipulos præceptores : quid tamen molestius sæpe est, quam filio pater, et discipulo præceptor? quandoquidem Ulysses quoque haud dubie socios amabat suos, qui tam multa dictu aspera, perpessu gravia pertulit,

Dum sibi, dum sociis, reditum pariterque salutem apparat :

ubi tamen cum populo libidini voluptatique dedito, qui pecudum instar vivebant,

Lotum gustantes mellitam

(ita namque voluptatem Homerus vocat), rem sibi esse videt; non dubitat socios suos, quos jam illorum luxuries afflaverat, quos jam loti illius portentosa ceperat suavitas, invitos flentesque ad navem trahere. Talis non est inter procos Eurymachus, sed alterius illius generis, quos adulatores dicimus, qui non dubitat cum sociis pinguissimas sues caprasque bene pastas mactare, vinum assidue exhaurire, permittere illis ut noctu cum ancillulis volutentur, regis tanti domum evacuare, ejus denique connubio insidias struere.

5. Vis ergo, ut paucis rem absolvamus, dolore et voluptate relicta, cum improbitate adulator, cum virtute jungatur amicus? Nam nec voluptate amicitia caret, nec dolore adulatio; sed utrumque utrique, et amicitiæ voluptas, et adulationibus dolor est admixtus : nam et matres et nutriculæ liberos suos diligunt, et in eorum educatione voluptatem sibi parant, nec propterea eas amare negabis. Suadet Menelao Agamemno,

Ut, fastu posito, cuivis persolvat honorem :

censen' hoc velle eum, ut aduletur? Ulysses postquam e mari in Phæacum terram pernatando emerserat, nudusque e strato suo, ubi delituerat, consurgebat, puellas ibi invenit ludentes, inter quas ut reginam agnoscit, cum Diana eam, et rursus cum pulchra planta confert; nec quisquam tamen propterea adulari dicet Ulyssem : ex proposito enim, et usu, et instituto animi ab amico adulator distinguitur. Nimirum uterque, et qui virtutis studio, et qui mercedis causa militat, armis utitur; nec tamen de operibus eorum ab externa quisquam actione judicat, quum pro instituti ratione usum utriusque potius distinguat : alter enim servare amicum solet, quia est amicus; alter se mercede cuilibet addicit; alter in eo quod agit suæ spontis est, alter venalis; alter iis fidem servat, cum quibus fœdus contraxit, alter ne iis quidem cum quibus amicitiam.

6. Ita adulatorem ab amico differre puta : ambobus enim sæpius accidit ut eodem modo agant, eodem modo cum amicis vivant; quum tamen alter ab altero, tam ex usu, quam ex fine, et ex animi proposito sit discernendus. Amicus enim id, quod bonum existimat, sive id dolorem illi postea, sive voluptatem afferat, cum amico communicat, et ex æquo fruitur; adulator ex præscripto suæ libidinis, quicquid

λαξ ἐπακολουθῶν τῇ αὑτοῦ ὀρέξει οἰκονομεῖ τὴν ὁμιλίαν πρὸς τὸ ἴδιον πλεονέκτημα· καὶ ὁ μὲν φίλος ὀρέγεται τοῦ ἴσου, ὁ δὲ κόλαξ τοῦ ἰδίου· καὶ ὁ μὲν ἰσοτιμίας κατὰ τὴν ἀρετήν, ὁ δὲ πλεονεξίας κατὰ τὴν ἡδονήν· καὶ ὁ μὲν ἰσηγορίας κατὰ τὴν ὁμιλίαν, ὁ δὲ ταπεινότητος κατὰ τὴν θεραπείαν· ὁ μὲν ἀληθείας ἐν τῇ κοινωνίᾳ, ὁ δὲ ἀπάτης· καὶ ὁ μὲν ὠφελείας τῆς εἰς τὸ μέλλον, ὁ δὲ χάριτος τῆς ἐν τῷ παρόντι· ὁ μὲν δεῖται μνήμης ὧν ἔπραξεν, ὁ δὲ λήθης ὧν ἐπανούργησεν· ὁ μὲν ὡς κοινῶν κήδεται, ὁ δὲ ὡς ἀλλότρια λυμαίνεται· ὁ μὲν φίλος καὶ εὐτυχίας κοινωνὸς κουφότατος, καὶ συμφορῶν κοινωνὸς ἰσότατος· ὁ δὲ κόλαξ εὐτυχίας μὲν κοινωνὸς ἀπληστότατος, ἐν δὲ ταῖς συμφοραῖς ἀμικτότατος. Φιλία μὲν ἐπαινετόν, κολακεία δὲ ἐπονείδιστον· φιλία γὰρ ἑκατέρου πρὸς ἑκάτερον ἴσην ἔχει τὴν ἀντίδοσιν, ἡ δὲ κολακεία χωλεύει· ὁ γάρ του ἐνδεὴς θεραπεύων τὸν ἔχοντα κατὰ τὴν χρείαν, καθόσον οὐκ ἀντιθεραπεύεται, ἐλέγχει τὸ ἄνισον. Ὁ φίλος λανθάνων δυστυχεῖ, ὁ κόλαξ μὴ λανθάνων. Φιλία βασανιζομένη κρατύνεται, κολακεία ἐλεγχομένη θραύεται· φιλία χρόνῳ αὔξεται, κολακεία χρόνῳ ἐλαττοῦται· φιλία χρείας ἀδεής, κολακεία χρείας ἐνδεής. Εἰ δέ ἐστι καὶ ἀνθρώποις πρὸς θεοὺς ἐπιμιξία, ὁ μὲν εὐσεβὴς φίλος θεῷ, ὁ δὲ δεισιδαίμων κόλαξ θεοῦ· καὶ μακάριος ὁ εὐσεβής, φίλος θεοῦ, δυστυχὴς δὲ ὁ δεισιδαίμων, κόλαξ θεοῦ.

cum amico agit, ad lucrum suum dirigit: amicus æqualitatem, proprium bonum spectat adulator; alter æqualitatem in virtute, alter lucrum in voluptate; alter paritatem in congressu, alter humilitatem in cultu; alter veritatem in familiaritate, alter fraudem; alter utilitatem in posterum, alter in præsens delectationem; alterius beneficia in memoriam ei revocanda sunt, alterius fraus oblivione sepelienda; alter quæ amici sunt ut communia curat, alter ut aliena consumit; amici et in secundis rebus familiaritas gratissima est, et in adversis sortem ex æquo fert; adulator neque secundis rebus expleri potest, neque in adversis usquam apparet. Amicitia laude, vituperio digna est adulatio; amicitia par pari rependit utrimque, adulatio claudicat: qui enim egestate adductus, ut id consequatur quod deesse sibi videt, alterum colit, inæqualem se fateatur necesse est, quatenus non vicissim ab illo colitur. Amicus, si ignoratur; adulator, nisi ignoratur, miser est. Amicitia, si exploratur, confirmatur; adulatio, si exploratur, perit: amicitia tempore crescit, adulatio tempore minuitur; amicitia nullius unquam eget, alicujus semper adulatio. Quodsi qua hominibus cum diis consuetudo est, homo pius amicus dei est, superstitiosus adulator dei: et beatus quidem vir pius, qui amicus dei est; miser, superstitiosus, qui adulator dei.

7. Ὅνπερ οὖν τρόπον ὁ μὲν θαρσῶν τῇ ἀρετῇ πρόσεισι τοῖς θεοῖς ἄνευ δέους, ὁ δὲ ταπεινὸς διὰ μοχθηρίαν μετὰ πολλοῦ δέους, δύσελπις, καὶ δεδιὼς τοὺς θεούς, ὥσπερ τοὺς τυράννους· τοῦτον, οἶμαι, τὸν τρόπον καὶ πρὸς ἀνθρώπους εὔελπι μὲν καὶ θαρσαλέον ἡ φιλία, δύσελπι δὲ καὶ ἐπτηχὸς ἡ κολακεία. Τυράννῳ οὐδεὶς φίλος, βασιλεῖ δὲ οὐδεὶς κόλαξ· βασιλεία δὲ τυραννίδος θειότερον. Εἰ δέ ἐστιν ἡ φιλία ἰσότης τρόπου, τὸ δὲ μοχθηρὸν οὔτε αὐτὸ αὑτῷ οὔτε τῷ χρηστῷ ἴσον, ὁ μὲν ἀγαθὸς τῷ ἀγαθῷ φίλος, ἴσος γάρ· ὁ δὲ κόλαξ τοῦ μὲν ἀγαθοῦ πῶς ἂν εἴη κόλαξ; οὐ γὰρ ἂν λάθοι· τοῦ δὲ μοχθηροῦ κόλαξ ὤν, εἰ μὲν εἴη ἴσος ἐκείνῳ, οὐκ ἂν εἴη κόλαξ, οὐ γὰρ ἀντέχεται κολακεία ἰσηγορίας· εἰ δὲ οὐκ εἴη ἴσος, οὐκ ἂν εἴη φίλος. Ἀλλὰ καὶ τῶν πολιτειῶν ἡ μὲν ἀριστοκρατία φιλίας μεστή, δημοκρατία δὲ κολακείας ἀνάπλεως· κρείττων δὲ ἀριστοκρατία δημοκρατίας. Οὐδεὶς ἐν Λακεδαίμονι Κλέων ἦν, οὐδὲ Ὑπέρβολος, κόλακες πονηροὶ τρυφῶντος δήμου. Ἀλλὰ Καλλίαν μὲν ἐν Διονυσίοις ἐκωμῴδει Εὔπολις, ἰδιώτην ἄνδρα ἐν συμποσίοις κολακευόμενον, ὅπου τῆς κολακείας τὸ ἆθλον ἦν κύλικες καὶ ἑταῖραι καὶ ἄλλαι ταπειναὶ καὶ ἀνδραποδώδεις ἡδοναί· τὸν δὲ δῆμον αὐτὸν τὸν τῆς Εὐπόλιδος στωμυλίας θεατὴν ποῦ τις ἐλθὼν κωμῳδήσει, ἐν ποίῳ θεάτρῳ, ποίοις Διονυσίοις; καὶ τοὺς πολλοὺς ἐκείνους κόλακας, οἷς τὰ ἆθλα ἦν οὐ ταπεινά, οὐδὲ μέχρι γαστρὸς καὶ ἀφροδισίων ἥκοντα, ἀλλὰ αἱ τῆς Ἑλλάδος συμφοραί; Εἰ δὲ ἤθελον Ἀθηναῖοι, παρωσάμενοι τοὺς κόλακας, πείθεσθαι Περικλεῖ καὶ Νικίᾳ, εἶχον ἂν δημαγωγοὺς ἀντὶ κολάκων φίλους.

7. Quemadmodum autem alter virtute sua fretus sine metu accedit ad deos, alter improbitatis suæ conscientia dejectus, multo cum timore, sine ulla fiducia venit, nec aliter deos, quam tyrannos timet: eodem, ut arbitror, modo coram hominibus spei plena, plena fiduciæ est amicitia; sine spe et fiducia est adulatio. Amicum nullum tyrannus, adulatorem nullum rex habet; regnum autem propius ad deum, quam tyrannis, accedit. Quodsi amicitia morum est æqualitas, improbitas vero nec sibi ipsi nec bono æqua est, vir bonus viro bono amicus est, quia est æqualis; adulator contra viri boni quomodo adulator esse possit, quum latere virum bonum non possit adulator? improbi vero ut sit adulator, si æqualis illi fuerit, non amplius adulator erit, nec enim pares affectat adulatio; quodsi æqualis non erit, minime erit amicus. Sic et inter reipublicæ formas ea quæ optimatum dicitur, plena est amicitiæ, popularis contra status plenus adulationis est; melior autem optimatum, quam popularis status est. Nullus apud Lacedæmonios Cleon erat aut Hyperbolus, luxuriantis populi adulatores improbi. Dionysiis quidem Eupolis perstringebat Calliam, privatum hominem, qui in conviviis adulatores habebat, ubi adulationis præmia erant calices et scorta, et aliæ voluptates sordidæ ac serviles; ipsum populum, qui dicacitatis Eupolidis spectator erat, in qua comœdia, in quo theatro, quibus Dionysiis perstringemus? ubi adulatores illos plurimos, quibus non vulgaria præmia et quæ ventris venerisque voluptates non excederent, proposita fuerunt; verum ipsa Græciæ calamitas? Quos si rejicere, Niciæque ac Pericli morem gerere Atheniensium voluisset populus, non adulatores, sed amicos habuisset magistratus suos.

8. Ἂν δὲ ἐπὶ τὰς μοναρχίας ἔλθῃς, κολακεύει καὶ Ξέρξην Μαρδόνιος, βάρβαρος βάρβαρον, ἀνόητος ἀνόητον, δειλὸς οἰκέτης δεσπότην τρυφῶντα. Τὰ δὲ τῆς κολακείας τέλη, ἀνίσταται ἡ Ἀσία, μαστιγοῦται ἡ θάλαττα, Ἑλλήσποντος ζεύγνυται, Ἄθως ὀρύττεται· τέλος δὲ τῆς σπουδῆς ἧττα, καὶ φυγὴ, καὶ θάνατος αὐτοῦ τοῦ κόλακος. Κολακεύουσι καὶ Ἀλέξανδρον Μακεδόνες· τῆς δὲ κολακείας τὰ ἔργα ἀναξυρίδες Περσικαὶ, καὶ προσκυνήσεις βαρβαρικαὶ, καὶ λήθη τοῦ Ἡρακλέους καὶ τοῦ Φιλίππου καὶ τῆς Ἀργεαδῶν ἑστίας. Τὰς δὲ τυραννίδας τί χρὴ λέγειν; ὅπου γὰρ δέος καὶ ἐξουσία δεσποτικὴ τὸ ἀρχόμενον ἄγχει, ἀνάγκη δεῦρο κολακείαν μὲν ἀνθεῖν, φιλίαν δὲ κατορωρύχθαι. Ἔστι καὶ ἐν ἐπιτηδεύμασι καὶ τέχναις κολακείας ἰδεῖν, ὁμοίους μὲν ταῖς τέχναις κατὰ τὸ σχῆμα, ἀνομοίους δὲ κατὰ τὰ ἔργα. Ἐκολάκευσεν ἀνθρώπους καὶ μουσικὴ νόθος, ὅτε Δωριεῖς τὴν πάτριον ἐκείνην καὶ ὄρειον μουσικὴν καταλιπόντες, ᾗ συνῆσαν ἐπ' ἀγέλαις καὶ ποίμναις, Ἰακῶν αὐλημάτων καὶ ὀρχημάτων ἐρασταὶ γενόμενοι, ἐνόθευσαν ὁμοῦ τῇ μουσικῇ καὶ τὴν ἀρετήν. Ἐκολάκευσεν ἀνθρώπους καὶ ἰατρικὴ νόθος, ὅτε τὴν Ἀσκληπιοῦ καὶ τὴν Ἀσκληπιαδῶν ἴασιν καταλιπόντες οὐδὲν διαφέρουσαν ἀπέφηναν τὴν τέχνην ὀψοποιικῆς, πονηρὰν κόλακα πονηρῶν σωμάτων. Κολακεύει καὶ συκοφάντης ῥήτορα, λόγον λόγῳ ἐπανιστὰς, καὶ ἐπιτειχίζων τὸ ἄδικον τῷ δικαίῳ, καὶ τὸ αἰσχρὸν τῷ καλῷ. Κολακεύει καὶ σοφιστὴς φιλόσοφον· οὗτος μὲν κολάκων ἀκριβέστατος. * *

ΛΟΓΟΣ ΚΑ'.

Τίς ἀμείνων βίος, ὁ πρακτικὸς ἢ ὁ θεωρητικός. Ὅτι ὁ πρακτικός.

1. Χαλεπὸν εὑρεῖν ἀκριβῆ βίον, ὥσπερ καὶ ἄνδρα· ἀλλὰ παντὶ ἀνακέκραται ἔνδειά τις πρὸς τὸ ἄκρως καλὸν, καὶ πλεονεκτεῖ ἕτερος ἑτέρου, ὅτῳ ἂν ἐλάττω τὰ ἐνδέοντα ᾖ. Καὶ ἴδοις ἂν τὸν μὲν γεωργικὸν μακαρίζοντα τοὺς ἀστικοὺς, ὡς συνόντας βίῳ χαρίεντι καὶ ἀνθηρῷ· τοὺς δὲ ἀπὸ τῶν ἐκκλησιῶν καὶ τῶν δικαστηρίων, καὶ τοὺς πάνυ ἐν αὐτοῖς εὐδοκίμους, ὀδυρομένους τὰ αὑτῶν, καὶ εὐχομένους ἐπὶ σκαπάνῃ βιῶναι καὶ γηδίῳ σμικρῷ. Ἀκούσῃ δὲ τοῦ μὲν στρατιωτικοῦ τὸν εἰρηνικὸν εὐδαιμονίζοντος, τοῦ δὲ ἐν εἰρήνῃ τὸν στρατιωτικὸν τεθηπότος. Καὶ εἴ τις θεῶν, ὥσπερ ἐν δράματι ὑποκριτὰς, ἀποδύσας ἕκαστον τοῦ παρόντος βίου καὶ σχήματος μεταμφιέσει τὰ τοῦ πλησίον, αὖθις αὖ οἱ αὐτοὶ ἐκεῖνοι ποθήσουσι μὲν τὰ πρότερα, ὀδυροῦνται δὲ τὰ παρόντα. Οὕτω δυσάρεστόν τι ἐστὶν ὁ ἄνθρωπος κομιδῇ, καὶ φιλαίτιον, καὶ δεινῶς δύσκολον, καὶ οὐδὲν τὰ αὑτοῦ ἀσπάζεται.

2. Καὶ τὰς μὲν τῶν πολλῶν ὀρέξεις τε καὶ δυσαρεστήσεις τί χρὴ σκοπεῖν; οὐ μᾶλλον ἢ τὰς τῶν θρεμμάτων· τοὺς δὲ ἐν φιλοσοφίᾳ καὶ πάνυ ἄν τις ἢ μέμψαιτο, ἢ οἰκτείραι, οἳ κομῶντες ἐπὶ φρονήσει καὶ τέχνῃ βίου καὶ ἐπι-

8. Jam ad monarchias si eas, Xerxen Mardonius, barbarus barbarum, demens dementem, luxuriosum dominum adulatur servus imbellis. Cujus adulationis vide quis sit finis : evertitur Asia, mare flagellatur, Hellespontus jungitur, Athos perfoditur; et postremo, ne quid desit, omnes hos labores consequitur debellatio, fuga, et adulatoris ipsius mors. Adulantur et Alexandrum Macedones; cujus adulationis effectus sunt braccæ Persicæ, adoratio barbarica, Herculis ac Philippi totiusque Argeadarum laris oblivio. Nam tyrannides quid recensere opus est? ubi enim timor atque herilis potentia subditos premit, necesse est adulationem florere, amicitiam sepultam esse. Atqui non ibi tantum, sed in studiis quoque et artibus adulationem grassari videas, quæ in speciem eodem modo artes tractat, re ipsa tamen longe abest. Ita musica spuria adulatione sua homines infecit, quum Dores relicta patria illa sua musa agresti, quam inter greges suos pecudesque tractabant, Ionum modos tibiarum et tripudia amare cœperunt, atque ita una cum musica etiam adulterarunt virtutem. Quin eodem quoque modo medicina spuria adulatione sua infecit mortales, quum, relicta Æsculapii Asclepiadarumque medendi disciplina, homines novam ex ea artem effecerunt, culinariæ simillimam, corporum pessimorum adulatricem pessimam. Etiam sycophanta adulatione sua oratorem inficit, quum rationem rationi opponit, justoque injustum, et honesto id quod turpe est superstruit. Inficit et philosophum adulatione sua sophista : et hic quidem adulatores superat omnes. * *

DISSERTATIO XXI.

Vita activa, an contemplativa sit melior. Activa.

1. Difficile est invenire vitam undequaque perfectam, sicut et hominem : nullam enim facile dixeris, cui non desit aliquid ad perfectionem summam; semperque ea potior dicenda est reliquis, cui quam minimum deest. Sic urbanorum felicitatem prædicat agricola, quod jucundam hilaremque vitam agant; contra qui in concionibus et judiciis versantur, maximaque in iis auctoritate pollent, sortem deplorant suam, neque aliud quam cum rastris parvoque rem habere rusculo optant. Militem audies vitam pacificam laudibus in cœlum efferre; eum contra, qui non est expertus bellum, militarem admirari. Quodsi deus aliquis singulis vitam, quam agunt, præsentisque conditionis habitum, ut in scena fieri solet, exuat, quæque nunc aliorum sunt, pro iis induat; rursus ipsi illi optabunt priora, præsentia contra deplorabunt. Ita nihil est quod facile probent homines; quin contra queruli semper et morosi vitam transigunt, nec, quæ propria illis sors esse voluit, amplectuntur.

2. Et vulgi quidem vota ac fastidia nihil necesse est referre; non magis hercle quam pecudum aut brutorum : sed philosophos merito accuses, aut infelices judices; qui quum nihil aliud jactent, quam prudentiam, recte vivendi artem,

στήμῃ λόγου, οὔπω γε νῦν παύονται στασιάζοντες πρὸς αὑτοὺς καὶ πρὸς ἄλλους, καὶ ἀμφισβητοῦντες ποίῳ σχήματι βίου φέροντες αὑτοὺς ἐγχειριοῦσιν, ἀλλὰ ἀτεχνῶς ἐοίκασι κυβερνήταις παρεσκευασμένοις μὲν πρὸς πλοῦν καλῶς μεγέθει ὁλκάδος καὶ κατασκευῇ ὑγιεῖ, καὶ πλήθει ὀργάνων, καὶ ὑπηρεσίας ἀκριβείᾳ, καὶ τέχνης ἀσφαλείᾳ, καὶ ἕρματος συμμετρίᾳ· ἐν δὲ τῇ τοῦ πλοῦ χρείᾳ πλανωμένοις, καὶ ἀποροῦσι πῇ τράπωνται, πολλῶν μὲν ὑποφαινομένων λιμένων, πάντων δὲ ἀπιστουμένων. Τοὺς μὲν οὖν ἄλλους ἐῶμεν χαίρειν αὐτοῖς βίοις, τὸν μὲν ἐν ἡδονῇ τηκόμενον, τὸν δ' ἐν γῇ πονούμενον, τὸν δὲ ἐν θαλάττῃ πλανώμενον, τὸν δὲ ἐν ὅπλοις μισθοφοροῦντα, τὸν δὲ ἐν ἐκκλησίαις βοῶντα, τὸν δὲ ἐν δικαστηρίοις φυρόμενον· ὥσπερ δὲ ἐν ἀγῶνι σωμάτων οἱ μὲν ἀσθενεῖς καὶ παρὰ τὸ εἰκὸς ἐπιτολμήσαντες τῇ τοῦ νικᾶν ἐλπίδι ταχὺ ἀπεῖπον, οἱ δὲ ἐφάμιλλοι ἀρετῇ μένουσι καὶ καρτεροῦσι, καὶ διαγωνίζονται περὶ τῆς νίκης· οὕτω κἂν τῇ τῶν βίων ἀγωνίᾳ οἱ μὲν ἄλλοι ἡμῖν ἐκκηρυχθέντες τε καὶ ἀπαγορεύσαντες οἰχέσθωσαν· ὁ δὲ θεωρητικὸς καὶ ὁ πρακτικὸς, ἐφαμίλλω ὄντε καὶ ἀμφισβητησίμω, δεῦρο ἰόντων ἀγωνιουμένω τὰ νῦν τῷ λόγῳ. Πότερος τοίνυν πρότερος ἡμῖν τοῖς δικασταῖς τὰ αὑτοῦ δίεισιν; Ἐγὼ μὲν οἶμαι, ὅτι ὁ πρακτικός· θαρσαλέος γὰρ, καὶ ἰτητικώτερος, καὶ ἐθὰς ὁμιλεῖν τοῖς πολλοῖς.

3. Λέγοι δὲ ὧδε. Εἴ τις ἡμᾶς παριόντας εἰς τὸν βίον, ὥσπερ ἄρχων πόλεως ἢ οἰκιστὴς, οὐκ εἴα βαδίζειν εἴσω πυλῶν, πρὶν πυθέσθαι τί ἑκάστῳ ἔργον, καὶ τίνα ἕκαστος ἥκει χρείαν εἰς κοινὸν φέρων τῇ πόλει, οἶμαι ἂν εἰπεῖν τὸν μὲν οἰκοδόμον, ὅτι λίθους ἐν τάξει διὰ τέχνης ἁρμόσας, πρός τε χειμῶνα καὶ θάλπος ἀποχρῶντα μηχανήσεται τοῖς οἰκοῦσιν ἐρύματα· τὸν δὲ ὑφάντην, ὅτι μίτοις καὶ στημονίοις σὺν ὕφει ἐσθήματα ἐργασάμενος, σκέπην ὁμοῦ ποριεῖ καὶ εὐσχημοσύνην τοῖς σώμασι· τέκτων δὲ ἄροτρον φήσει, ἢ σκίμποδα, ἤ τι ἄλλο τῶν ὅσα ἡ τέχνη παρέχει, ξυνεισφέρειν· καὶ ὁ χαλκεὺς, ὅσα χαλκοῦ ἢ σιδήρου δεῖται πολεμιστήριά τε καὶ εἰρηναῖα τῆς τέχνης ἔργα. Καὶ ὅσα πρὸς ἡδονὴν δημιουργεῖται, καὶ ταῦτα ὡς τὸ εἰκὸς εἰσδέξεται· γραφέας μὲν καὶ δημιουργοὺς ἀγαλμάτων, ἐπὶ εὐφροσύνῃ ὀφθαλμῶν· μυροπώλας δὲ καὶ ὀψοποιοὺς, χυμῶν καὶ ὀδμῶν δημιουργοὺς γενναίους· καὶ ὅσαι δι' αὐλημάτων, ἢ δι' ᾠδῆς, ἢ ψαλμάτων, ἢ χορῶν τὸ τερπνὸν μηχανῶνται τῇ ἀκοῇ. Ἤδη δέ τις καὶ ἐπὶ γελοίου χρείᾳ παρελεύσεται, καὶ ἄλλος ἐπὶ θαυμάτων, καὶ ἄλλος λόγων· Ὁμήρῳ δὲ καὶ τὸ τοῦ Νιρέως κάλλος χώραν ἔσχε καὶ ταῦτα ἐν στρατοπέδῳ. Ἀσύμβολος δὲ, ὡς ἔπος εἰπεῖν, παρέρχεται οὐδεὶς εἰς τὸν βίον· ἀλλ' ὁ μὲν χρείαν τινὰ παρεχόμενος, ὁ δὲ τέχνην, ὁ δὲ ἡδονήν.

4. Εἶεν. Εἰς τί τούτων τὸ τοῦ φιλοσόφου ἔργον καταστησόμεθα; ὅτι μὲν γὰρ οὐκ ἀχρεῖος ἡμῖν οὐδὲ κηφὴν παρέρχεται, ἄνθρωπος δὲ ὢν ξύννομος καὶ συνεργάτης κοινοῦ νόμου, παντὶ δῆλον. Τί δέ ἐστί ποτ' αὐτῷ τὸ τῆς κοινωνίας συμβόλαιον, καὶ ποῦ τάττομεν τὸν

usumque rationis, nondum tamen sibi temperare possunt, quin tam inter se quam cum aliis rixentur, ac de vitæ genere, quam ingressuri sint, contendant: sed idem mihi agere videntur, quod gubernatores solent, qui quum omnia quæ ad navigationem pertinent, præclare comparaverint, navem justæ magnitudinis et apparatu firmissimam, instrumentorum copiam, remigum exactum obsequium, accuratam artis peritiam, aptumque saburræ onus; in ipsa tamen navigatione errant, nec satis quo eundum sit inveniunt; quum multos quidem portus videant, nullum tamen certum. Reliquos igitur cum sua vivendi ratione prætermittamus; quales sunt, qui in voluptatibus liquescunt, qui terram exercent, qui in mari errant, qui stipendia merentur, qui in concionibus clamant, qui in judiciis volutantur: quemadmodum in corporum certaminibus homines infirmi, et qui sola victoriæ spe plus audent quam per vires ipsis licet, cito deficiunt; at qui virtute pares in certamen descendunt, constanter perdurant ac de victoria contendunt: ita in hoc vitæ certamine reliquos omnes ejectos esse a nobis et succubuisse putemus; solaque interea contemplativa inter se vita et activa, tanquam æmuli duo, et qui de victoria contendere debeant, in præsentia concurrere ab nobis finguntor. Utra ergo prior in hoc judicio nostro causam suam aget? Activa, opinor equidem, quod præsentis est animi, et confidentior, et quod versari cum populo consuevit.

3. Quam ita causam suam agere fingamus: Si quis, ubi primum vitam hanc ingredimur singuli mortalium, quasi imperator urbis aut conditor, nascentes exciperet, qui pedem inferre portis non permitteret, priusquam vel opus uniuscujusque, vel quam in commune reipublicæ bonum utilitatem conferre possint singuli, audisset e nobis: responsuros arbitror eos, qui domos ædificant, suum esse lapides affabre componere, atque ex iis munimenta, quibus ab injuria æstus frigorisque tuti esse possint homines, exstruere; textores, licio se et subtemine contextis vestes conficere, quæ simul et tegant et exornent corpora; faber lignarius aratrum se afferre dicet, aut grabatum, et si quid præterea ab arte illius exspectatur; ferrarius, quæcunque ex ære aut ferro tam belli quam pacis fieri solent instrumenta. Etiam illa, quæ voluptatis tantum causa fiunt, ut verisimile est, admittentur: pictores et statuarii, quorum ars oculos oblectat; unguentarii et coqui, qui in succis et odoribus parandis strenue elaborant; tum quotquot vel tibiis, vel cantu, vel cithara, vel choreis, aurium student voluptati. Sed et aliquis ut morionem, aliquis ut mirionem agat, intrabit, alius ut verbis delectet et sermonibus; Homerus adeo Nirei formæ locum dedit, idque mediis in castris; ut recte dici possit: nemo sine aliqua symbola in vitam hanc intrat, quin aut usum aliquem, aut artem præbeat, aut voluptatem.

4. Esto. Jam in quo horum ponemus opus philosophi? neque enim solum hunc sine utilitate ulla tanquam fucum intrasse, sed ut sociale animal, et qui ad communem legem vitæ aliquid conferre possit, non minus, quam reliqui, omnibus manifestum est. Quam ergo rem dicemus philosophum cum societate esse depactum, et quo in ordine hunc

ἄνδρα; εἰς τοὺς δημιουργοὺς ὡς τὸν Τυχίον, εἰς τοὺς ὀψοποιοὺς ὡς Μίθαικον, εἰς τοὺς εὐφραίνοντας ὡς Φρυνίωνα, εἰς τοὺς γελωτοποιοὺς ὡς Φίλιππον, εἰς τοὺς δημαγωγοὺς ὡς Κλέωνα; ἢ ἄφυλος καὶ ἀνέστιος ἡμῖν ἀνὴρ πλανήσεται; Ἀλλ' ἔστι μέν τι αὐτοῦ ἔργον· ὅ, τι δέ ἐστι τοῦτο, οὐκ ἴσμεν. Ἡσυχίαν ἄγω, φησί, καὶ ἀνασκοπῶ πρὸς ἐμαυτὸν τὰ ὄντα, καὶ ἀληθείας ἐμπίμπλαμαι. Μακάριος τῆς πολλῆς σχολῆς. Σύ μοι δοκεῖς καὶ νεὼς ἐπιβὰς μὴ ὅτι κυβερνήτης γενέσθαι, ἀλλ' οὐδὲ ἐρέτης, οὐδέ τις τῶν διαθεόντων καὶ ξυνεπιλαμβανόντων τῇ σωτηρίᾳ τῆς νεώς, ἀλλ' οὐδὲ ἐπιβάτης εὐκίνητος, οἷος ἢ καλωδίου ἐπιλαβέσθαι, ἢ προσάψασθαι κώπης ἐν γαλήνῃ· ἀλλά τις τῶν εἰκῇ κειμένων καὶ φερομένων, αὐτὸ τοῦτο, ἄχθος νεώς. Ἢ οἴει ἧττόν τι δεῖσθαι πόλιν τῶν ξυλληψομένων αὐτῇ πρὸς τὴν σωτηρίαν ἢ ναῦν ἐν θαλάττῃ; καὶ πολύ γε, οἶμαι, μᾶλλον· ἐν νηὶ μὲν γὰρ ὀλίγον τὸ ἐνεργὸν, ὁ δὲ φόρτος πολύς· πόλις δέ ἐστι πρᾶγμα ἀνακεχραμένον ἐκ πάντων ξυνεργατῶν· καθάπερ καὶ ἡ τοῦ σώματος χρεία, πολυμερής τε οὖσα καὶ πολυδεὴς, σώζεται τῇ συντελείᾳ τῶν μερῶν πρὸς τὴν ὑπηρεσίαν τοῦ ὅλου· φέρουσι πόδες, ἐργάζονται χεῖρες, ὁρῶσιν ὀφθαλμοὶ, ἀκούουσιν ἀκοαὶ, καὶ τἄλλα, ἵνα μὴ διατρίβω λέγων.

5. Εἰ δὲ θελήσαι λογοποιὸς Φρὺξ μῦθον πλάττειν, ὅτι ἄρα δυσχεράνας ὁ ποὺς τῷ ἄλλῳ σώματι, καὶ ἀπαγορεύσας πρὸς τὸν κάματον, φέρων καὶ αἰωρῶν μετέωρον τοσοῦτον ἄχθος, σχολὴν ἄγειν καὶ ἡσυχίαν ἐπανείλετο· ἢ αὖ τὼ γομφίω ὡς ἀλοῦντε καὶ ἐργαζομένω τροφὴν τοσούτῳ ὄχλῳ σαρκῶν κἆτα ἔροιντο ἀπειπαμένω τὸ ἔργον τὸ αὑτῶν σκοπεῖν· εἰ ταῦτα ἅμα γίγνοιτο, ἄλλο τι ἢ φθαρήσεται ὁ ἄνθρωπος ἐν τῷ μύθῳ; Τοιοῦτο ἀμέλει ἐστὶ τὸ περὶ τὴν κοινωνίαν τὴν πολιτικὴν γιγνόμενον· εἰ γὰρ ἐθελήσαι ἕκαστος ὄκνῳ τοῦ πωλεῖν ἀφέμενος τοῦ παράγειν, ἐπαναχωρεῖν ἐκ τῆς κοινωνίας πρὸς τὴν αὑτοῦ σχολὴν, τί κωλύει διαλυθῆναι τὸ πᾶν καὶ φθαρῆναι; ἢ τὰ μὲν ἰσχυρὰ τῶν οἰκοδομημάτων τῇ πρὸς ἄλληλα ξυννεύσει τῶν ἐν αὐτοῖς λίθων ξυνδέδεται καὶ ἕστηκε καὶ μένει, εἰ δὲ ἐξέλοις ὁτιοῦν τῆς ἁρμονίας, διαλύσεις τὸ πᾶν· τὸν δὲ ξύμπαντα βίον οὐχ ἡγεῖ τὴν σωτηρίαν ἔχειν ἐκ τῆς πρὸς ἑαυτὰ ξυννεύσεως τῶν ἐν αὐτῷ μερῶν; Καὶ τῶν μὲν ἄλλων τοῦ πράττειν ἐξισταμένων οὐδεὶς λόγος· οὐδὲ γὰρ ὁ Θερσίτης λιποταχτῶν ἐλύπησεν ἂν τὸ Ἑλληνικόν· ὁ δὲ Ἀχιλλεὺς ὁ μηνίσας καὶ ἐπὶ σκηνῆς ἀναπαυόμενος, καὶ δοὺς αὑτὸν σχολῇ καὶ κιθάρᾳ καὶ τῇ ᾠδῇ, ἀνέπλησε τὸ στρατόπεδον πολλῶν κακῶν· οὗ γὰρ παρόντος ὠφελεῖσθαι ὑπάρχει, ἀπόντος τούτου βλάπτεσθαι ἀνάγκη. Καὶ τὸ νῦν ὁ θεωρίαν καὶ ἀλήθειαν καὶ σχολὴν ἀσπαζόμενος τίς ἂν εἴη ἄλλος, ἢ ὁ φρόνιμος καὶ νοῦν ἔχων; Ἀλλὰ τί οὖν; μὴ ὁ κυβερνητικώτατος ἐξίσταται τῆς αὑτοῦ ἕδρας τοῖς ἀτεχνοτάτοις; καὶ ὁ στρατηγικὸς ἐξίσταται τῆς ἀρχῆς τοῖς ἀναρχοτάτοις; Τί δὲ καὶ τὴν ἀρχὴν σεμνὸν τὸ τἀληθῆ εἰδέναι, καὶ τεταμιεῦσθαι ἐν τῇ ψυχῇ θησαυρὸν ἄγονον καὶ ἀργὸν καὶ ἄκαρπον, μηδὲν αὐτῆς ὀνίνασθαι

virum ponemus? inter operariosne cum Tychio, an inter coquos cum Mithæco, inter miriones [?] cum Phrynione, inter ridiculos cum Philippo, aut populi principes cum Cleone? an vero solus hic sine tribu lareque, quod dici solet, vagabitur? Habet certe et ille opus suum; quanquam, quodnam id sit, ignoramus. Si ex ipso quæras, Otium, dicet, ago, solusque mecum rerum naturam contemplor, multaque veritate me pasco. Næ tu beatus es cum hoc otio tuo, o noster: siquidem si navem conscendisses, quantum intelligo, non tantum gubernatoris, sed ne remigis quidem fungi velles munere; imo nec juvare eos qui discurrunt, et aliquid ad salutem navis conferunt; nec saltem agiles vectores imitari, qui quamvis nautæ non sint, interdum tamen aut rudentem tangunt, aut, si magna sit tranquillitas, remum in manus sumunt: verum ex eorum numero, qui sine ullo usu jacent et vehuntur, plane nihil aliud, quam pondus, quod dici solet, navis. Nisi forte existimes, minus auxilio egere civitatem ut tueri se possit, quam navem in mari: imo vero illa multo magis, ut arbitror: in navi enim pauci sunt qui aliquid agunt, sarcina autem plurimum spatii explet: at civitas nihil aliud est quam res ex meris operis mutuis composita et conflata: sicut corporis ratio multas habet partes, neque paucis eget, quæ dum singulæ aliquid ad obsequium totius conferunt, totum servatur; sustinent pedes, operantur manus, vident oculi, audiunt aures, atque *ita* deinceps, ne sim prolixior.

5. Jam ponamus, a Phrygio illo fabulatore fingi fabulam, in qua pes introducatur, qui reliquis corporis partibus succenseat, negetque se labori amplius suppeditare posse, tantoque oneri ferendo esse diutius, ideoque otiari et quiescere in posterum velle; vel etiam dentes molares, se cibum tantæ moli carnium molere et præparare non posse, atque ita operi suo intenti esse omittant: quod si ab omnibus simul membris fieret, quem alium fabulæ finem exspectas, quam ut homo moriatur? Eodem modo in communi hoc reipublicæ corpore agitur; in quo, si singuli tædio commercii nihil reliquis suppeditent, sed abrupta societate in otia quisque recedere incipiat, quid obstabit quominus totum pereat ac dissolvatur corpus? An arbitraris, firma ædificia, quam diu inter se cohærent lapides, vincta manere et consistere; sin minimum e tota compage tollas, tota dissolvi: universæ vero vitæ salutem non ex apta inter se partium commissione pendere? Præterea, si alii cessare incipiant, nemo adhuc sentit, sicut Thersites discessu suo e castris Græcos non turbasset; Achilles contra, dum irascitur, dum in tentorio suo quiescit, dum otio, dum cithara et cantu animum oblectat suum, plurimis exercitum implevit malis; cujus enim juvare potest præsentia, illius nocere necessario debet absentia. Jam in eo quod nunc agimus, qui contemplari, veritati operam dare, otiari amat, quis est nisi vir prudens et sapiens? Quid ergo? num in navi qui optime gubernare scit locum suum aliis cedit minime ejus rei peritis? et imperatorius vir imperium suum tradit iis, qui imperare nesciunt? Præterea non possum videre, quid omnino minus cum gloria ac dignitate sit conjunctum, quam ut veritatem cognoscat, sterilemque in animo suo thesaurum, inertem atque infœcundum colligat, qui neque ipse utilitatem inde

μέλλοντα μηδὲ ὠφελήσειν ἑτέρους; πλὴν εἰ μὴ καὶ ἀκοὴ καλὸν, ἵνα ἔχωμεν, οὐχ ἵνα ἁρμονίας καὶ φωνῆς συνῶμεν· καὶ ὄψις καλὸν, ἵνα ἔχωμεν, οὐχ ἵνα ἴδωμεν τὸ τοῦ ἡλίου φῶς· καὶ ὁ πλοῦτος καλὸν, κἂν ἔχῃ τις αὐτὸν κατορύξας ἐν γῇ, θησαυρὸν ἀργόν.

6. Συνελόντι δ' εἰπεῖν, τίς ὄνησις τοῦ εἰδέναι εἰς ἅπερ συντελεῖ τὸ εἰδέναι; τίς χρεία ἰατρῷ τῆς τέχνης, μὴ ὑγιάζοντι κατὰ τὴν τέχνην; τίς χρεία Φειδίᾳ τῆς τέχνης, μὴ προστιθέντι αὐτὴν τῷ ἐλέφαντι καὶ τῷ χρυσῷ; Σοφὸς ἦν δήπου καὶ ὁ Νέστωρ· ἀλλὰ ὁρῶ τὰ τῆς σοφίας ἔργα, σωτηρίαν στρατοπέδου, εἰρήνην πόλεως, παίδων πειθὼ, δήμου ἀρετήν. Σοφὸς ἦν ὁ Ὀδυσσεύς· ἀλλ' ὁρῶ τὰ ἔργα, τοῦτο μὲν ἐν γῇ, τοῦτο δὲ ἐν θαλάττῃ·

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων.

Καὶ πρὸς τούτῳ ἔτι ἦν σοφὸς ὁ Ἡρακλῆς· ἀλλὰ οὐχ αὑτῷ σοφὸς, ἀλλὰ ἐπὶ πᾶσαν γῆν καὶ θάλατταν ἡ σοφία ἔτεινεν. Οὗτος ὁ θηρίων καθαρτὴς, οὗτος ὁ τυράννων σωφρονιστὴς, ὁ δουλείας ἐλευθερωτὴς, ὁ ἐλευθερίας νομοθέτης, ὁ δικαιοσύνης βεβαιωτὴς, εὑρετὴς νόμων, ἀληθευτὴς λόγων, κατορθωτὴς ἔργων. Εἰ δὲ ἤθελεν ὁ Ἡρακλῆς ἐπαναχωρήσας καθ' ἡσυχίαν βιοῦν, καὶ σχολὴν ἄγειν, καὶ διώκειν σοφίαν ἀπράγμονα, ἦν ἂν δήπου ἀνθ' Ἡρακλέους σοφιστὴς, καὶ οὐδεὶς ἂν αὐτὸν ἐτόλμησεν εἰπεῖν παῖδα Διός. Οὐδὲ γὰρ ὁ Ζεὺς σχολὴν ἄγει· ἦ γὰρ ἂν ἐπαύσατο καὶ οὐρανὸς περιφερόμενος, καὶ γῆ τρέφουσα, καὶ ποταμοὶ ῥέοντες, καὶ δεχομένη θάλαττα, καὶ ὧραι ἀμείβουσαι, καὶ Μοῖραι διαλαγχάνουσαι, καὶ Μοῦσαι ᾄδουσαι· ἐπαύσαντο δ' ἂν καὶ αἱ ἀνθρώπων ἀρεταὶ, καὶ ζώων σωτηρίαι, καὶ καρπῶν γενέσεις, καὶ τὸ πᾶν τοῦτο αὖθις ἂν περὶ αὑτῷ σφαλλόμενον συνεχύθη καὶ συνεταράχθη. Ἀλλ' ἡ Διὸς πραγματεία ἄτρυτος οὖσα καὶ διηνεκὴς καὶ ἀκοίμητος, καὶ μηδέποτε ἀπαγορεύουσα, μηδὲ ἐπαναχωροῦσα τοῦ ἑαυτῆς ἔργου, ἀέναον χορηγεῖ τὴν σωτηρίαν τοῖς οὖσιν. Οὕτω που καὶ βασιλέων τοῖς ἀγαθοῖς καὶ Διὶ ὁμοίοις παραινεῖ δι' ὀνειράτων ὁ Ζεύς·

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.

7. Πρὸς ταῦτα ἀπιδὼν ὁ φιλόσοφος, μὴ τὸν Δία μιμείσθω, μὴ τὸν Ἡρακλέα, μὴ τοὺς ἀγαθοὺς βασιλεῖς, μὴ τοὺς ἄρχοντας· ἀλλὰ βιούτω βίον ἀνδρὸς ἐν ἐρημίᾳ γεννηθέντος, μονωτὴν βίον, οὐκ ἀγελαστικὸν, Κυκλώπειον βίον, οὐκ ἀνθρώπινον. Ἀλλὰ καὶ τούτοις ἔφερε μὲν ἡ γῆ πυροὺς καὶ κριθὰς,

Οὔτε φυτεύουσιν χερσὶν φυτὸν, οὔτ' ἀρόωσιν·

ἀλλὰ θεμιστεύει ἕκαστος ὅμως καὶ παίδων καὶ γυναικῶν, καὶ οὐ παντάπασιν ἀπράγμων ἦν. Τὸ δὲ ὅλον, ἀπραγμοσύνη τίνος ἄλλου εἴη πλὴν νεκροῦ; Εἰ μὲν οὖν τὸ πράττειν ἔρημον ἦν ἀρετῆς, καλῶς εἶχε, διώκοντας τὴν

sit hausturus, neque profuturus aliis : nisi forte auditus quoque pulcher videtur tibi, ut eo præditus sis tantum, non ut concentum aliquem percipias aut vocem; aut visus, ut eo præditus sis tantum, non ut solis lumen aspicias; aut divitiæ, licet apud aliquem sine ullo usu in terra jaceant defossæ.

6. Eodem modo scientiæ, ne singula commemorem, quis usus esse potest, si sciamus modo in quibus prosit scientia? quid enim medicum juvat scientia, nisi ex præscripto ejus ægrotum sanet? quid Phidiam ars sua, nisi ebori eam admoveat et auro? Sapiens erat etiam Nestor; video tamen effectum illius sapientiæ, conservationem exercitus, pacem civitatis, liberorum obsequium, populi virtutem. Sapiens erat Ulysses; sed opera ejus video, terra marique gesta :

Multorum mores populorum vidit, et urbes,
ipse suam servans animam, reditumque suorum.

Sapiens etiam Hercules erat; non sibi tamen soli, sed ut per terras omnes, omnia et maria ipsius sapientia diffunderetur. Hic enim ille est qui tot feras sustulit, tyrannos in officio continuit, servientibus libertatem peperit, liberis leges tulit, justitiam confirmavit, statuta sanciit, qui denique veritatem in verbis, in agendo regiam secutus est viam. Quodsi procul a societate hominum vitam ducere in quiete et otio, si sapientiam sine rebus gestis sequi maluisset Hercules; pro Hercule revera sophista fuisset, nec quisquam eum Jovis filium dicere esset ausus. Quia nec ipse Juppiter otiatur : nam cum eo et moveri cœlum, et nutrire terra, et fluere fluvii, et mare recipere aquas, et vices suas mutare anni tempestates desinerent; nec Parcæ denique munus sortiri suum, nec Musæ canere pergerent; cessaret etiam virtus hominum, et vita reliquorum animalium, et fructuum fœcunditas; totum denique universum hoc in se abire denuo et confundi inciperet. Nunc vero administratio Jovis indefessa, perpetua ac vigilantissima quum sit, nec unquam deficiat, aut ab opere suo recedat, perpetuæ quoque conservationis rebus creatis causa est. Hoc est cur bonos reges Jovique quam simillimos moneat in somnis Juppiter :

Turpe viro totam prudenti stertere noctem,
cui populi commissa salus et munera tanta.

7. Hæc quum animadverterit philosophus, jam nec Jovem, nec Herculem, nec reges bonos imitetur; sed vitam potius hominis in solitudine nati, desertam, a societate alienam ducat, vitam Cyclopum, non hominum. At his etiam ipsis quum terra (ut poeta ait) triticum ferret, hordeumque,

quum nemo sereret, curvoque instaret aratro,

nihilominus *singuli uxoribus suis et liberis leges dictabant,* nec nihil erat quod agerent. Nihil enim omnino agere, cui, quæso, conveniat, nisi mortuo? Quodsi actio virtutem in se non reciperet, præstaret sane virtutem sequi,

ἀρετὴν, ἀπολείπεσθαι αὐτοῦ· εἰ δ' ἐστὶν ἀνθρώπου ἀρετὴ οὐ λόγος, ἀλλ' ἔργον, καὶ πρᾶξις ἐν κοινωνίᾳ, καὶ χρῆσις βίου πολιτικὴ, διωκτέον ταῦτα, μεθ' ὧν ἄν τις καὶ τὴν ἀρετὴν λάβοι.

Τὴν μὲν γὰρ κακότητα καὶ ἰλαδόν ἐστιν ἑλέσθαι,

ὁ Βοιώτιος ποιητὴς λέγει·

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.

Καλός γε ὁ ἀγωνιστὴς ἡμῖν ἀνιδρωτὶ στεφανοῦσθαι ἐθέλων.

8. Ἀλλὰ τῷ προσαπτομένῳ πραγμάτων κίνδυνος ἕπεται, καὶ ζημία, καὶ ἐπιβουλαὶ, καὶ φθόνοι, καὶ φυγαὶ, καὶ θάνατοι, καὶ ἀτιμίαι. Φέρε οὖν, εἰ καὶ τῷ κυβερνήτῃ ὁ λογισμὸς οὗτος ἦν, ὅτι τὸ πλεῖν ἐπισφαλὲς, κινδύνων μεστὸν καὶ πόνων, καὶ πολλοῦ τοῦ ἀδήλου, καὶ χειμώνων, καὶ πνευμάτων· φέρε, εἰ καὶ τῷ στρατηγῷ τοιοῦτος λογισμὸς ἦν, ὅτι ἄδηλοι μὲν αἱ τοῦ πολέμου τύχαι, τὸ δὲ σφαλερὸν ἐπ' ἀμφοῖν ἴσον, ἐν ποσὶ δὲ ὁ κίνδυνος, καὶ ὁ θάνατος πλησίον· τί τοίνυν ἐκώλυεν ἐκ τούτων τῶν λογισμῶν ἄπλουν μὲν εἶναι τὴν θάλατταν, ἐλευθερίας δὲ μηδὲ ὄναρ μετέχειν τοὺς πολλοὺς ἀπορίᾳ στρατηγῶν, τὸν δὲ ξύμπαντα βίον εἶναι μηδὲν σκωλήκων διαφέροντα, δειλὸν καὶ ἀργὸν καὶ ἐπτηχότα; Σαρδαναπάλλου μοι βίον λέγεις, Ἐπικούρου μοι βίον λέγεις. Ἀντιθῶμεν αὐτοῖς, Κῦρον μὲν Σαρδαναπάλλῳ, τὸν Πέρσην τῷ Ἀσσυρίῳ, ὃς, ἐξὸν αὐτῷ σχολὴν ἄγειν καὶ καθ' ἡσυχίαν βιοῦν, εἵλετο ἐλευθεροῦν τὸ Περσῶν γένος, πονῶν καὶ στρατευόμενος καὶ διψῶν καὶ λιμώττων, καὶ μὴ ἀνεὶς τὸν κάματον, μήτε νύκτωρ, μήτε μεθ' ἡμέραν. Ἀντίθες καὶ Ἐπικούρῳ πολλοὺς, Ἕλληνι Ἕλληνας· ἐκ μὲν Ἀκαδημίας Πλάτωνα, ἐκ δὲ στρατοπέδου Ξενοφῶντα, ἐκ δὲ τοῦ Πόντου Διογένην.

9. Οὐκοῦν ὁ μὲν ὑπὲρ ἀνδρὸς φίλου, φυγάδος καὶ πένητος, μεγάλῃ καὶ ἰσχυρᾷ τυραννίδι ἀντετάξατο, γῆν πολλὴν βαδίζων, καὶ πελάγη περαιούμενος, καὶ ἀπεχθανόμενος τῷ τυράννῳ, καὶ ἐκπίπτων, καὶ κινδυνεύων, ἵνα μὴ προδῷ τὸ φιλοσοφίας ἦθος· ἐξῆν δέ που αὐτῷ ἐν Ἀκαδημίᾳ θεωρεῖν, καὶ ἀληθείας ἐμπίμπλασθαι. Ξενοφῶντα δὲ καλεῖ μὲν Πρόξενος, παραπέμπει δὲ ὁ Ἀπόλλων, συνεκπέμπει δὲ ὁ Σωκράτης ἐκ τῆς πολλῆς σχολῆς καὶ θεωρίας, ἐπὶ στρατείαν, καὶ στρατηγίαν, καὶ σωτηρίαν Ἑλλήνων μυρίων. Τὰ δὲ Διογένους τί χρὴ λέγειν; ὃς ἀφέμενος τῆς αὐτοῦ σχολῆς περιῄει ἐπισκοπῶν τὰ τῶν πλησίον, οὐκ ἀργὸς οὐδὲ ἠμελημένος ἐπιστάτης· ἀλλὰ κατὰ τὸν Ὀδυσσέα ἐκεῖνον,

Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
τόν ῥ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασκεν·

ἀλλ' οὐδ' ἑαυτοῦ ἀπείχετο, ἀλλ' ἐκόλαζε καὶ παρεῖχεν ἑαυτῷ πράγματα,

Αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσσας,
σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών.

actionem omittere; at si contra virtus non in verbis, sed in opere atque in actione, quæ societatem respicit humanam, et in civilis usu vitæ consistit, hæc potissimum sequenda sunt, cum quibus ipsa quoque virtus haberi possit.

Nam cuivis homini vitium sese oggeret ultro,

ut Bœotius poeta ait; at

Virtutem posuere dei sudore parandam.

Bellum hercle nobis athletam, qui sine sudore coronam postulet!

8. Atqui, dices, eum qui in reipublicæ administratione versatur, periculum sequitur, damna, insidiæ, invidia, exilium, mors, et infamia. Quid si cogitare eodem modo gubernator incipiat, infidam esse plenamque periculorum navigationem et laborum; multa esse incerta in ea, tempestatem undique imminere, et ventos? quid si cogitare idem imperator incipiat ambiguos esse belli exitus, periculum æquum utrique, discrimina maxima esse in proximo, vicinam mortem? hæc si illi cogitent, quicquamne obstabit quominus nemo in mari naviget, libertatem suam ne per somnium quidem, imperatorum penuria, vulgus tueatur; omnes denique vitam lumbricis similem, timidam inertemque inter metus transigant? Sardanapalli vitam dicis, Epicuri vitam narras. Opponamus his alios, Sardanapallo quidem Cyrum, Persam Assyrio, qui quum otiose posset tranquilleque vivere, laborare tamen maluit, expeditiones suscipere, sitire sæpe, sæpe esurire, nec ullis aut noctu, aut interdiu, abstinere molestiis, quo Persarum gentem in libertatem vindicaret. Oppone et Epicuro alios multos, Græco Græcos; ex Academia Platonem, e castris Xenophontem, e Ponto Diogenem.

9. Plato unius amici pauperis causa, qui in exilium conjectus erat, cum tanta tyranni congressus est potentia, terram multam peragrans, maria pervectus, iram tyranni subiit, ab eo explosus est, pericula adiit, ne vel tantillum præter philosophi officium faceret: quum tamen in Academia sua contemplari et veritatis studio sese explere posset. Xenophontem ex longo otio rerumque contemplatione ad militiam munusque imperatorium, et ad conservanda tot Græcorum millia, vocat Proxenus, emittit Apollo, et cum Apolline Socrates. Nam de instituto Diogenis quid necesse est dicere? qui relicto otio suo vicinas gentes adiit, non segnis, mehercules, aut ignavus morum inspector: verum qualis Ulysses ille,

Qualemcunque virum regum de stirpe videret
lenibus hunc verbis adstans retinebat euntem;
quem vero e populo clamantem et vana moventem,
hunc sceptro percussit:

adeo ut nec ipse sibi parceret; verum a se ipse pœnas exigebat, multasque ipse sibi exhibebat molestias;

Sese etiam crebro percussit verbere multo,
injecitque humeris pannosum fortis amictum.

10. Ἔω λέγειν, ὅτι ὁ μὲν ἀγαθὸς ἀνὴρ πράττων καὶ μὴ ἐπαναχωρῶν, μηδὲ ἐξιστάμενος τοῖς μοχθηροῖς, ἑαυτὸν ἂν σώζοι, καὶ τοὺς ἄλλους ἐπὶ τὸ βέλτιστον τρέποι· ἐπαναχωρῶν δὲ καὶ δεικνὺς τὰ νῶτα, θρασύτητος μὲν καὶ ἀπειροκαλίας καὶ τόλμης τὸ μοχθηρὸν πᾶν ἂν ἀπέπλησε, τὸ δὲ ἑαυτοῦ προΐεται.

Ποῖ φεύγεις μετὰ νῶτα βαλὼν, κακὸς ὥς, ἐν ὁμίλῳ;

Μένε, καὶ ἵστασο, καὶ ἀνέχου τῶν βλημάτων, καὶ μηδὲν ἐκπλαγῇς· δειλὸν τὸ τῶν πολεμίων στρατόπεδον, κενὰ τὰ βλήματα, ἐπιόντα σε οὐδεὶς δέξεται, φεύγοντα πάντες βαλοῦσιν, ὡς τὸν Αἴαντα οἱ Τρῶες, ὡς τὸν Σωκράτην Ἀθηναῖοι ἔβαλον, καὶ οὐκ ἀπέσχοντο αὐτοῦ, πρὶν κατέβαλον. Πῶς ἂν οὖν τις βιῴη ἀσφαλῶς ἐν μέσοις ὢν τοῖς πολεμίοις; οὐδὲν γὰρ πολεμιώτερον ἀνδρὸς ἀρετῇ μοχθηρίας ἀμφιλαφοῦς. Συνυποσταλεὶς, φησὶν ὁ Σωκράτης, ὑπὸ τειχίον, τοὺς ἄλλους ὁρῶν ζάλῃ καὶ ἀμηχανίᾳ κυκωμένους. Δεῖξον, ὦ Σώκρατες, ἀσφαλὲς τειχίον, ἔνθα στὰς ὑπερόψομαι τῶν βλημάτων· ἐὰν δέ μοι τοιοῦτον τειχίον λέγῃς, ᾧ καὶ σὺ ὑπεστάλης, ὁρῶ τὰ βλήματα, Ἀνύτους πολλοὺς, Μελήτους πολλούς· ἁλώσιμον τὸ τειχίον.

ΛΟΓΟΣ ΚΒʹ.

Ὅτι ὁ θεωρητικὸς βίος ἀμείνων τοῦ πρακτικοῦ.

1. Ἀλλ' εἰ μὲν δίκην ἐφεύγομεν, ἠχθόμεθα ἂν τῷ δικαστῇ μὴ παρέχοντι ἑκατέρῳ ἐκ τῆς ἴσης τὴν ἀπολογίαν, ἀλλ' ἐοικότι τυράννῳ μᾶλλον ἢ δικαστῇ· ἐπεὶ δὲ ἡ μὲν ἐν δικαστηρίοις ψῆφος καὶ τύχη ἔξω τοῦ κατὰ φιλοσοφίαν ἤθους καὶ τρόπου, κατήγορος δὲ λόγος λόγου, φίλος φίλου, ἐπὶ θήρᾳ τοῦ ἀληθοῦς γίγνεται γοῦν, καὶ δικαστηρίῳ τινὶ ἔοικεν ἡ τοιαύτη βάσανος· φέρε, δῶμεν τήμερον τὴν ἀπολογίαν τῷ ἑτέρῳ τῶν λόγων, καὶ τῶν ἀνδρῶν τῷ θεωρητικῷ, ἀτεχνῶς ὥσπερ ἐπὶ δικαστῶν καθισταμένῳ καὶ ἀποτεινομένῳ πρὸς τὴν γραφήν. Καὶ ἡ μὲν γραφὴ τοιάδε τις ἔστω, ἢ ὅτι ἐγγυτάτω· Ἀδικεῖ Ἀναξαγόρας, γεγονὼς μὲν ἐν τῇ Κλαζομενίων γῇ καὶ πόλει, καὶ μετασχὼν ἱερῶν καὶ ὁσίων, καὶ νόμων, καὶ τροφῆς, καὶ τῶν ἄλλων, ὧν καὶ οἱ λοιποὶ Κλαζομένιοι, ἐπαναχωρῶν δὲ ὥσπερ ἐκ θηρίων, καὶ μήτε ταῖς ἐκκλησίαις ἀναμιγνύμενος, μήτε εἰς Διονύσια ἀπαντῶν, μήτε εἰς δικαστήρια, μήτε ἄλλοθι Κλαζομενίοις, ἀλλὰ αὐτῷ ἡ μὲν γῆ μηλόβοτος, ἡ δὲ ἑστία ἄοικος, διατελεῖ δὲ καθ' αὑτὸν τὴν θαυμαστὴν σοφίαν, ἄνω καὶ κάτω στρέφων καὶ διερευνώμενος.

2. Ἡ μὲν δὴ γραφὴ ταύτῃ ἐχέτω. Ἀπολογείσθω δὲ Ἀναξαγόρας ὧδέ πως· Ὅτι μὲν πολλοῦ δέω ἀδικεῖν ὑμᾶς, ὦ ἄνδρες Κλαζομένιοι, εὖ τοῦτο οἶδα· οὔτε γὰρ εἰς χρημάτων λόγον ἐπλημμελεῖσθέ τι ὑπ' ἐμοῦ, οὔτε τὸ ἐμαυτοῦ μέρος ἀδοξοτέραν ὑμῖν τὴν πόλιν ἐν τοῖς Ἕλλησι παρασκευάζω· ἔν τ' αὖ τοῖς πρὸς ἕκαστον

20. Ut illud prætermittam, posse virum bonum, si in agendo perseveret, nec retro eat, aut improbis cedat, et salutis sibi auctorem esse, et alios quoque in optima vita constituere; contra si cedat tergaque ostendat, haud dubie temeritatem insolentiamque atque audaciam improbis addere, propriam vero salutem prodere.

Quo fugis, ut timidus, verso inter prœlia tergo?

Mane, consiste, perfer ictus, timere cave : imbellis est hostium exercitus, ictus irriti : ultro si hostem petas, nemo impetum sustinebit tuum; si fugias, omnes unum hoc petent caput, sicut Ajacem Trojani, sicut Socratem Athenienses petebant, qui non prius desierunt, quam solo virum allisissent. Quomodo ergo secure aliquis in mediis vivet hostibus; quum præsertim nihil sit infestius virtuti hominum, quam improbitatis undique circumfusæ copia? In arcem te recipito, ait Socrates, unde reliquos jactari et palantes ire videas. Ostende nobis arcem aliquam tutam, o Socrates, in qua ictus possimus adversariorum contemnere : nam si qualis ea est, in quam temet ipse recepisti, talem mihi quoque ostendas, video unde peti possim; video Anytos multos, multos Melitos : expugnari potest hoc munimentum.

DISSERTATIO XXII.

Vitam contemplativam activæ præferendam esse.

1. Quid si coram judice nos accusaret aliquis, nonne graviter ferremus, si non ex æquo utrique nostrûm agendi potestatem judex faceret, sed tyrannum imitaretur potius? Quum autem calculi judiciorum et fortunæ longe a philosophica ratione et consuetudine absint, hoc tamen conveniat, quod et hic ratio rationi, amicus amico, veritatis inquirendæ studio adversetur; quum illud igitur cum judiciorum ratione hæc inquirendæ veritatis ratio commune habeat : age concedamus hodie defensionem alteri partium, alterique illorum hominum, quem contemplativa delectat vita, qui non aliter, ac si coram judicibus agendum esset, magna vi animi accusationem a se demoliatur. Sit autem hæc, aut simillima huic accusatio : Improbissime agit Anaxagoras, qui quum in Clazomeniorum urbe terraque vivat, iisdem sacris, cærimoniis, legibus, nutrimento, ceterisque omnibus, quibus reliqui Clazomenii, utatur; tamen ab iis, sicut a feris, se subducit, nec in concionibus inter illos apparet, neque in festis Liberi, neque in judiciis, aut ullo in loco cum civibus suis conspicitur; sed et agros suos ovibus depascendos domumque desertam relinquit, solusque secum præclaram illam, si diis placet, philosophiam sursum deorsumque ventilat et scrutatur.

2. Atque hæc quidem sit accusatio. Cui in hunc fere modum respondeat Anaxagoras : Equidem nihil minus objici mihi posse, o Clazomenii, quam ut ulla in re injuriam vobis faciam, id vero certo scio : nec enim fortunas unquam vestras præter jus et æquum imminui; tum autem ne obscurior per me inter Græcos vestra esset respublica, id vero

ὁμῶν συμβολαίοις ἀλυπότατον ἐμαυτὸν παρέχειν οἶμαι καὶ μέτριον· τῶν τε νόμων τῶν κειμένων, καὶ τῆς πολιτείας, ὑφ' ἧς κοσμούμεθα, οὐκ ἔστιν ὅτου ἐλάττω ἔχω λόγον. Λείπεται δὴ, εἰ μηδὲν ἀδικῶν ὑμᾶς ἐγὼ ἐν τοῖς καθ' ἡμέραν ἐμαυτοῦ διαιτήμασι καὶ τῷ τοῦ βίου σχήματι, γνώμῃ ἔτι ἁμαρτάνω, τοῦ μὲν ἔχειν αἰτίαν, ὡς ἀδικῶ δημοσίᾳ τὴν πόλιν, ἀφεῖσθαί με, τυχεῖν δὲ εἰς τὰ ἐμαυτοῦ ἴδια διδασκάλων, ἀλλ' οὐ κατηγόρων. Φράσω δὴ πρὸς ὑμᾶς, οἷον τοὐμὸν πρᾶγμα ἐστὶν, οὐδὲν ὑποστειλάμενος, εἰ καὶ μέλλει γέλωτα ὀφλισκάνειν τὸ ἐνθύμημα τοὐμὸν ῥηθέν. Ἐγὼ γὰρ, ὅτι μέν ἐστι πολλοῦ ἄξιον δύναμις ἐν πόλει; καὶ κοινωνία βίου, καὶ ἔργων ἐπιφάνεια, καὶ χρῆσις πραγμάτων, σαφῶς οἶδα· εὖ γε μὴν ἐπίσταμαι ταυτὶ τὰ πολλοῦ ἄξια, μετὰ μὲν τρόπου ἀρετῆς καὶ καλοκαγαθίας, εἰς μέγα πάνυ συντελοῦντα τῷ σχόντι· εἰ δὲ μὴ, εἰς τοὐναντίον κατασμικρύνοντα καὶ καταβάλλοντα, καὶ μηδὲ τὸ λαθεῖν τοῖς ἔχουσι, μοχθηροῖς οὖσι, παρεχόμενα. Ἐκλαμπρύνουσι γὰρ αἱ δυνάμεις τοὺς ἄνδρας· καθ' ὅσον δ' ἄν τις ἁμάρτῃ τοῦ καλοῦ, κατὰ τοσοῦτον αὐτοὺς ἐξήλεγξαν. Εἰ μὲν δή τις γνώμης ἔχοι καλῶς, τὴν ἐπιφάνειαν ἐν τῷ ἀσφαλεῖ κτησάμενος, τῆς δυνάμεως ὤνατο· εἰ δὲ ταύτῃ ἐνδέων ἐπιθοῖτο οἷς αὕτη χρῆται, ἀνάγκη πολλὴ ἀμαθίᾳ τέχνης καὶ ἀπορίᾳ ὀργάνων σφαλῆναι τὸν χρώμενον. Ταῦτά τοι ἐννοῶν, ἡγούμην φροντιστέον εἶναί μοι μᾶλλον ἄλλου, μὴ λάθω, προσιὼν παρὰ δύναμιν τοῖς κοινοῖς, πταίων περὶ αὐτὰ καὶ σφαλλόμενος. Οὐδὲ γὰρ εἰ ἐν χορῷ ξυνᾴδειν ὑφ' ὑμῶν ἐταττόμην, ἠδίκουν ἄν, πρὶν ἔχειν φωνῆς ἐμμελῶς, οὐκ ἐθέλων ἐγκαταμίγνυσθαι τῷ χορῷ. Διά τοι ταῦτα τῆς μὲν γῆς, ὅπως μοι ἕξει καλῶς, ὀλίγα ἐφρόντιζον· κατεθέμην δὲ ἐμαυτὸν φέρων εἰς τοῦτον τὸν βίον, ἐξ οὗ τὸ εἰδέναι τῇ ψυχῇ παραγενόμενον, ὥσπερ φῶς ὀφθαλμοῖς, τὴν ἀσφάλειαν τῇ λοιπῇ πορείᾳ παρασκευάσει. Τοῦτό γε μὴν τὸ φῶς κτητόν ἐστιν, οὐχ οἷς τε λέγομεν Παναθηναίοις καὶ αἱ ὁδοὶ αἱ ἐπ' αὐτὴν τετμημέναι, οὐ λῆροι, οὐδὲ φλυαρίαι, οὐδ' ἐπιμέλειαι γεωργικαὶ, οὐδὲ ἀγοραῖοι σπουδαὶ, οὐδὲ δημώδεις κοινωνίαι· ἀλλ' ἀληθείας ἔρως, καὶ ἡ τῶν ὄντων θέα, καὶ ἡ περὶ ταῦτα φιλοτιμία. Ταύτῃ νομίσας ἰέναι δεῖν, εἰπόμην τοῖς ἄγουσι λόγοις, καὶ τὰ ἴχνη τῆς ὁδοῦ διεσκόπουν.

3. Καὶ τὰ μὲν ἐμὰ ταύτῃ ἔχει· ὅτι δὲ καὶ περὶ ὑμᾶς τὰ ἄριστα καὶ τὰ δικαιότατα βουλεύομαι ταύτῃ ἰὼν, νῦν ἐρῶ. Τὰ γὰρ κοινὰ σώζεσθαι φιλεῖ, οὐχ ἐὰν τὰ τείχη ὑμῖν ἀραρότα ᾖ, οὐδὲ νεώσοικοι σωζόμενοι, οὐδὲ νῆες αὐταὶ πλέουσαι, οὐδέ γε στοαὶ, καὶ ἄλση, καὶ γυμνάσια, καὶ τεμένη, καὶ πομπεῖα (ταῦτα γὰρ δὴ εἰ καὶ μὴ οἱ πολέμιοι, μηδὲ πῦρ, μηδὲ ἄλλη τις συμφορὰ, ἀλλ' ὅ γε χρόνος λαβὼν οἰχήσεται)· τὸ δὲ σῶζον τὰς πόλεις ἡ ἁρμονία, καὶ ὁ τῆς πολιτείας κόσμος. Φημὶ κἀγώ. Ταῦτα δὲ ὑπὸ τῆς εὐνομίας γίγνεται, τὴν δὲ εὐνομίαν ἡ τῶν χρωμένων ἀρετὴ φυλάττει, τὴν δὲ ἀρετὴν διδόασιν οἱ λόγοι, τοὺς δὲ λόγους ἡ ἄσκησις, τὴν δὲ ἄσκησιν ἡ ἀλήθεια, τὴν δὲ ἀλήθειαν ἡ περὶ αὐτὴν σχολή. Οὐ

serio operam dedi : in negotiis porro et ea quæ cum singulis intercedit societate neque molestum ullo modo me, opinor, vobis exhibeo, neque alium quam decet : nec leges, eaque, cujus ex præscripto vivimus, reipublicæ forma nulla ex parte a me contemnuntur. Superest ergo, si neque quotidiana hac mea consuetudine, neque vitæ institutæ ratione vos lædo, et tamen judicio falli videor; ut ab hoc saltem crimine, quo publice in urbem vestram injurius esse dicor, absolvar, nec accusatores, sed præceptores potius, qui privatim vitæ meæ consulant, a vobis impetrem. Quare statui nihil in tota causa mea vos celare, quamvis non dubitem vix sine risu argumentum meum vos audituros esse. Ego certe, quanta res sit præesse civitati, cum omnibus versari, luci hominum actiones suas consecrare, rerum usum subire, probe perspectum habeo : sed nec illud ignoro, quod hæc ipsa, quæ tam præclara sunt, si virtus accedat et probitas, sicut multum ei prosunt, qui præditus sit iis; ita, si secus, deprimunt contra et dejiciunt, neque vel hoc, ut improbitatem suam velare possit, permittunt. In aperto namque hominem constituunt munera publica : simul autem quantum a boni viri officio aliquis recedit, in tantum ejus crimina omnium oculis exponunt. Quare si quis consilii dexteritate actionum suarum splendorem in tuto ponere scivit, huic multum prodest civilis potestas; qui vero mentis consiliique inops, quæ in ea requiruntur, aggreditur, eum necesse est præ ignorantia artis et instrumentorum inopia decipi, nec recte ea potestate uti. Hæc quum cogitarem, mihi id præcipue curandum esse putavi, ne si imparatus ad rempublicam accederem, imprudens in administratione ejus lapsarem atque impingerem. Neque enim, si in choro a vobis constitutus essem, ut cum reliquis canerem, injuriam cuiquam facerem, si, priusquam vocem exercuissem satis, ab eo abstinerem. Propterea de agris meis, quo pacto eos recte colerem, non admodum sollicitus fui; sed hanc amplexus sum vitam, ex qua scientia animo, sicut lux oculis, accederet, et quicquid reliquum est itineris, tutum præstaret. Quæ certe lux non comparatur illis, quæ vulgo vocamus, Panathenaicis : neque viæ, quæ ad eam ducunt, nugæ sunt et ineptiæ, neque agricultura est, aut forenses curæ, aut popularia commercia; sed veritatis amor, naturæ contemplatio, et intenta circa eam studia. Quum hac igitur via mihi eundum putarem, solam rationem, quæ eo duceret, secutus sum, quæque in via adhuc vestigia prisca restabant, diligenter observavi.

3. Et hæc quidem, quod ad institutum meum. Restat ut ostendam me hac via vobis quoque egregie pro officio consulere. Scitis salutem in eo verti reipublicæ, non ut muri vobis firmiter ædificati sint, nec ut navalia stent tuta, nec ut naves ipsæ mare peragrent, nec ut sint porticus, ut luci, ut gymnasia, ut fana, ut vasa sacra (hæc enim, ut ab hostibus, ut ab igne aliaque simili calamitate tuta sint, tamen tempus consumet) : sed ut ipsa apte temperata, bene sit constituta : in hoc vertitur salus urbis. Fateor : at hoc bonæ leges efficiunt, bonas leges virtus civium conservat, virtutem parit eruditio, eruditionem exercitatio, exercitationem veritas, veritatem otium in ejus investigatione collocatum. Nec enim est profecto aliud, quo virtus pa-

γάρ ἐστιν, οὐκ ἔστιν ἄλλο ὄργανον, ᾧ κτητὸν ἀρετή, πλὴν ἀληθὴς λόγος, ὑφ' οὗ παροξύνεται ἡ ψυχὴ καὶ ζωπυρεῖται, καὶ οὐκ εἰδυῖα μὲν μανθάνει, μαθοῦσα δὲ φυλάττει ἃ ἔμαθεν, φυλάττουσα δὲ χρῆται, χρωμένη δὲ οὐ σφάλλεται. Τοῦτο ἡ διατριβή, τοῦτο ἡ σχολή, ἀληθείας μελέτη, καὶ τέχνη βίου, καὶ ῥώμη λόγου, καὶ παρασκευὴ ψυχῆς, καὶ ἄσκησις καλοκαγαθίας. Εἰ μὲν οὖν ταῦτα ἐπ' οὐδὲν συντελεῖ τῶν καλῶν, ἢ συντελοῦντά γε οὐ δεδίδακται οὐδὲ ἤσκηται, ἀλλ' εἰκῇ καὶ ὡς ἔτυχε παραγιγνόμενα, σκηνὴ τὸ χρῆμα, εἰσαγγελίας ἄξιον ὄντα φῄς. Εἰ δὲ τοῦτο μὲν οὐδεὶς φήσει, οὐχ οὕτω μέμηνεν, ἀλήθειαν δὲ καὶ ὑγιῆ λόγον, καὶ ἀρετήν, καὶ γνῶσιν νόμου καὶ δίκης, οὐκ ἔστιν ἑτέρως λαβεῖν, ἢ περὶ αὐτὰ πραγματευόμενον, οὐ μᾶλλον ἢ τὰ σκυτοτομικὰ μὴ περὶ αὐτὰ ἄγοντας σχολήν, ἢ τὰ χαλκευτικὰ μὴ πρὸς τῷ βαύνῳ καὶ τῷ πυρὶ διημερεύοντας, ἢ τὰ κυβερνητικὰ μὴ θαλαττουργοῦντας καὶ ναυτιλλομένους· πράττοντες μὲν ταῦτα ἀδικοῦμεν οὐδέν, ἀπολειπόμενοι δὲ αὐτῶν, καὶ μηλόβοτον ἐῶντες τὴν ψυχὴν καὶ ἄγονον, ἦμεν ἂν γραφῆς ἄξιοι καὶ εἰσαγγελίας. Ἐγὼ μέν, ἃ νομίζω καὶ δίκαια ἅμα καὶ ἀληθῆ εἶναι, ἀπελογισάμην πρὸς ὑμᾶς, ὦ ἄνδρες Κλαζομένιοι· ἀξιῶ δὲ ὑμᾶς μὴ αὐτόθεν διενέγκαι τὴν ψῆφον, ἀλλ' ἐπισχεῖν τὸ νῦν ἔχον, αὐτόπτας δὲ καὶ θεατὰς γενομένους τῶν αὐτῶν ἐμοί, εἰ μέν τι χρηστὸν περιγίγνεσθαι δόξετε διδαχθέντες ἔργῳ, ἀφεῖναι τῆς γραφῆς· εἰ δὲ μή, τότε ὑμεῖς μὲν ψηφιεῖσθε τὰ ὑμῖν δοκοῦντα, ἡμεῖς δὲ καὶ ὣς περὶ αὐτῶν καλῶς βουλευσόμεθα.

4. Ταῦτα λέγοντος καὶ ἀπολογιζομένου τοῦ Ἀναξαγόρου, γελάσονται, ὡς τὸ εἰκός, οἱ Κλαζομένιοι· οὐ γὰρ δὴ πιθανώτερός γε δόξει εἶναι τῆς γραφῆς, ἀληθῆ δὲ οὐδὲν ἧττον αὐτῷ λελέξεται, κἂν ἐκεῖνοι καταψηφίσωνται. Εἰ δέ πού τις οἷος δικαστοῦ χώραν ἔχειν μὴ κυάμῳ λαχών, ἀλλ', ἧπερ δὴ χειροτονία δικαστοῦ μόνη, αὐτῷ τῷ εἰδέναι· πρὸς τοῦτον οὐχ ὡς ἀδικῶν, οὐδ' ὡς φεύγων γραφήν, ἀπολογιεῖται, εἴτε Ἀναξαγόρας ἐν Κλαζομεναῖς, εἴτε ἐν Ἐφέσῳ Ἡράκλειτος, εἴτε ἐν Σάμῳ Πυθαγόρας, εἴτε ἐν Ἀβδήροις Δημόκριτος, εἴτε ἐν Κολοφῶνι Ξενοφάνης, εἴτε ἐν Ἐλέᾳ Παρμενίδης, εἴτε ἐν Ἀπολλωνίᾳ Διογένης, εἴτε τις ἄλλος τῶν δαιμονίων ἐκείνων ἀνδρῶν· ἀλλ' ἐξ ἰσοτιμίας οὑτωσὶ πείθων καὶ διαλεγόμενος, συνετὰ συνετοῖς λέγων, καὶ πιστὰ πιστοῖς, καὶ ἔνθεα ἐνθέοις· ὅτι τῇ τοῦ ἀνθρώπου ψυχῇ ἔνειμε θεὸς δυνάμεις τρεῖς καὶ χώρας καὶ φύσεις, ὥσπερ τινὰ ἀθροίζων ξυνοίκησιν πόλεως· ἧς τὸ μὲν ἄρχον καὶ προβουλευόμενον εἰς ἀκρόπολιν ἀναγαγών, ἱδρύσας αὐτοῦ, πλέον οὐδὲν αὐτῷ προσέταξε λογισμοῦ· τὸ δ' ἀκμάζον, καὶ πράττειν δεινόν, καὶ τελεσιουργεῖν ἱκανὸν τὰ βουλευθέντα, συνῆψέ τε καὶ ξυνεκέρασε δι' ὑπηρεσίας προσταγμάτων τῷ βουλευτικῷ· τρίτον δ' αὖ, τὸ ἀργὸν τοῦτο πλῆθος, καὶ ἀκόλαστον, καὶ βάναυσον, καὶ μεστὸν μὲν ἐπιθυμιῶν, μεστὸν δὲ ἐρώτων, μεστὸν δὲ ὕβρεως, μεστὸν δὲ ἡδονῶν παντοδαπῶν, τρίτην ἔχειν μοῖ-

retur, instrumentum, quam vera ratio, a qua exacuitur animus et accenditur; ita, quæ ignorat discit, quæ didicit conservat, quæ conservat ad usum confert, in usu non fallitur. Hæc est illa meditatio, hoc illud quod accusatis otium, veritatis studium, ars vitæ, rationis robur, animæ præparatio, probitatis exercitatio. Hæc si cuncta nihil ad virtutem honestamque conferunt vitam, aut si conferunt, non tamen institutione ad ea consequenda aut exercitatione opus est, si quidem temere et fortuito nobis contingunt; quod facimus res scenica est et inanis species, atque adeo delatione digna, ut vis. Quodsi nemo tam insanus est, ut hoc dicat; nemo, qui non fateatur veritatem rectamque rationem et virtutem, legum præterea justitiæque scientiam, non aliter quam multo circa ea studio comparari posse (sicut nullus sutor esse potest, qui non prius huic arti vacavit; nec ferrarius faber, qui non diu prius circa caminum et ignem hæsit; nec gubernator, qui nunquam navigavit, nunquam tractavit mare), nos quoque in neminem injurii sumus, dum hæc agimus : contra, si hæc negligerentur a nobis, nostrumque animum pro deserto jacere ac sterili pateremur, merito accusandi, merito deferendi in jus essemus. Et ego quidem, quæ vera simul et æqua esse existimo, vobis respondi, viri Clazomenii : a vobis autem peto, ne in præsenti quicquam statuatis; sed tantisper judicium differatis, dum eadem hæc studia mecum ipsi inspexeritis : e quibus si quam ad vos utilitatem redundare ipsa re experiemini, me ut absolvatis; sin minus, vos quidem, quod videbitur, judicabitis, ego vero ne sic quidem bono consilio ea in re destituar.

4. Orationem hanc defensionemque Anaxagoræ, ut verisimile est, ridebunt Clazomenii; nec enim magis credendus esse videbitur, quam accusatores : nihilominus tamen, vel damnatus ab illis, vera dixisse censendus est. Si quis vero judex sedere possit, quem non faba creaverit, sed scientia, quæ sola est legitima judicis creatio; apud hunc vel idem ille Anaxagoras Clazomenis, vel Ephesi Heraclitus, vel in Samo Pythagoras , vel Abderis Democritus, vel Colophone Xenophanes, vel Eleæ Parmenides, vel Apolloniæ Diogenes, aliusve aliquis ex divinis illis viris, non sicut noxii solent, aut rei, causam suam aget; sed ex æquo, ut res fert, orabit; sapientibus rationibus apud sapientem, veris apud verum, divinis apud divinum judicem utetur; his nimirum : Triplicem animæ humanæ facultatem deus immortalis tribuit, triplicemque sedem et naturam; non aliter quam si una in urbe diversos congregasset homines : quarum primam, cui imperium, cui prudentiam tribuit, in ipsa arce locavit ac constituit, neque illi aliud præter munus assignavit rationis : alteram, cui vigorem quendam externum concessit et efficaciam, quæ in actione eorum, quæ jam deliberata sunt, versatur, ut promptius priori illi, quæ deliberat, morem gereret, cum ea conjunxit et quasi connexuit; tertiam vero, quæ nihil aliud est, quam iners quædam, intemperans, illiberalis multitudo, quæ cupiditatibus, amoribus, petulantia, voluptate non una diffluit, tertio loco constituit; quam vere possis segnem,

ραν, οἷον δῆμόν τινα ἀργὸν, καὶ πολύφωνον, καὶ πολυπαθῆ, καὶ ἔμπληκτον. Ταύτῃ δὴ νενεμημένης τῆς ψυχῆς, τῇ οἰκονομίᾳ τῆς τοῦ ἀνθρώπου συντάξεως στάσις ἐγγίγνεσθαι φιλεῖ, αὐτὸ ἐκεῖνο τὸ ἐν πόλεσι πάθος. Ὧν ἡ μὲν εὐδαίμων πόλις βασιλεύεται, τῶν ἄλλων μερῶν εἰκόντων, κατὰ τὸν τοῦ θεοῦ νόμον, τῷ δυναμένῳ καὶ πεφυκότι ἐξηγεῖσθαι. Ἡ δὲ ταύτης ἐλλιπεστέρα κατ' εὐδαιμονίαν πόλις, ἀριστοκρατίαν ὀνομάζουσα τὴν τῶν ἐν δυνάμει ξυνεληλυθότων ἀρχὴν, ἐλάττων μέν ἐστι βασιλευομένης, κρείττων δὲ δημοκρατουμένης, ἰσχυρὰ μέν τις καὶ πρακτικὴ, κατὰ τὴν Λακωνικὴν, ἢ Κρητικὴν, ἢ Μαντινικὴν, ἢ Πελληνικὴν, ἢ Θετταλικὴν πολιτείαν ἱσταμένη, φιλότιμος δὲ ἄγαν καὶ φιλόνεικος, καὶ δύσερις, καὶ πολυπράγμων, καὶ ἰτητικὴ, καὶ θαρσαλέα. Τρίτον δ' αὖ πολιτείας γένος, ᾗ ὄνομα μὲν εὔφημον δημοκρατία, τὸ δὲ ἀληθὲς ὀχλοκρατία, κατὰ τὴν Ἀττικὴν, ἢ Συρακοσίαν, ἢ Μιλησίαν, ἤ τινα ἄλλην πλήθους ἰσχὺν, πολύφωνόν τε καὶ ἀκόλαστον καὶ παντοδαπόν.

ε. Τριῶν δὴ πολιτειῶν τρία ταῦτα μιμήματα βίων ἴδοις ἂν ἐν ἀνθρώπου ψυχῇ· κατὰ μὲν τὸ βουλευτικὸν καὶ ἀρχικὸν καὶ ἐκποδὼν τῇ πράξει τε καὶ χειρουργίᾳ, τὸ θεωρητικὸν ψυχῆς γένος· τὸ δὲ πρακτικὸν, δεύτερον δευτέροις τιμώμενόν τε καὶ δοκιμαζόμενον· τήν τε ἐν ἀνδρὶ δημοκρατίαν οὐ χαλεπὸν ἰδεῖν· πολὺ γὰρ τὸ τῆς πολιτείας τοῦτο γένος ἐπινέμεται πᾶσαν ψυχήν. Καὶ τοῦτο μὲν ἐατέον καὶ ἀποχειροτονητέον τοῦ ἀρίστου· θεωρίαν δὲ πράξει παραβαλλομένην, ἑκατέραν τυγχάνουσαν τοῦ καλοῦ, τὴν μὲν θεωρίαν κατὰ τὴν γνῶσιν, τὴν δὲ πρᾶξιν κατὰ τὴν ἀρετὴν, ποτέραν προτιμητέον; Ἀποκρίνεται ὁ λόγος, ὅτι εἰ μὲν κατὰ τὴν χρείαν αὐτὴν ἱστάμεθα, προτιμητέον τὴν πρᾶξιν· εἰ δὲ κατὰ τὴν αἰτίαν τοῦ γενομένου καλῶς, προτιμητέον τὴν θεωρίαν. Ὥστε καὶ σπονδὰς ἑκατέρῳ σπεισάμενοι, νείμωμεν τὰς δυνάμεις καὶ τὸ σχῆμα τοῦ βίου τοῖς ἀνδράσιν ἢ κατὰ φύσιν, ἢ καθ' ἡλικίαν, ἢ κατὰ τύχην. Καὶ γὰρ φύσει διαφέρει ἕτερος ἑτέρου· ὁ μὲν ἐν πράξει ἐξασθενῶν, εὐχερὴς δέ τις ὢν κατὰ τὴν ψυχὴν πρὸς θεωρίαν· ὁ δὲ ἐν μὲν θεωρίᾳ καματηρὸς ὢν, πράττειν δὲ ἐρρωμένος. Διίστησι δὲ καὶ ἡλικία τοὺς ἄνδρας· νεότητος μὲν γὰρ ἡ πρᾶξις· Ὅμηρος λέγει, κἀγὼ πείθομαι,

Νέῳ δέ τε πάντ' ἐπέοικεν.

Νέος μὲν γὰρ ὢν ὁ φιλόσοφος πραττέτω, λεγέτω, πολιτευέσθω, στρατευέσθω, ἀρχέτω. Καὶ γὰρ οἱ Πλάτωνος ἐπὶ Σικελίαν δρόμοι καὶ πόνοι, καὶ περὶ Δίωνα σπουδὴ, κατὰ τὴν ἀκμὴν ἐγίγνοντο τῆς ἡλικίας· γηράσαντα δ' αὐτὸν ὑπεδέξατο Ἀκαδήμεια, καὶ βαθεῖα σχολὴ, καὶ λόγοι καλοὶ, καὶ θεωρία ἄπταιστος, ἐν πολλῇ καὶ ἀμφιλαφεῖ ἀληθείᾳ καταθέμενον τὸ τοῦ βίου τέλος. Καὶ Ξενοφῶντα νεανιευόμενον μὲν ἐν τοῖς ἔργοις φιλῶ, γηράσκοντα δὲ ἐν τοῖς λόγοις ἐπαινῶ. Διίστησι δὲ ἤδη καὶ τύχη· τὸν μὲν γὰρ δυνάμει καὶ πράξει ἀναγ-

multivocam, mutabilem, insanamque plebeculam dicere. Ad hunc modum quum sit anima dispertita, in hac hominis totius coagmentatione recte disponenda, non aliter quam in urbibus, oriri solet seditio. Jam ex urbibus ea, quæ beatissima est, regio paret imperio, reliquaque pars hominum ex præscripto divino ei cedit, qui et imperare potest, et in hoc natus est. Quæ paullo minus beata est, ea imperium summatum aliquot, penes quos præcipue est potestas, aristocratiam vocat; quæ, ut regno cedit, ita populari statu melius est constituta, potens, rebusque gerendis idonea; qualis aut Laconicæ, aut Creticæ, aut Mantinicæ, aut Pellenicæ, aut Thessalicæ est constitutio reipublicæ, ceterum ambitiosa nimis, turbida, seditiosa, quæ et multorum satagat, et temerarie multa agat et audacter. Tertia forma est, cui speciosum fecere nomen democratiam, quum revera nihil sit, quam summa plebis infimæ potestas; qualis vel Attica, vel Syracusia, vel Milesia, aut si quod aliud multitudinis imperium, in se divisa est, intemperans, inconstansque.

5. Tribus his reipublicæ formis tria in animo nostro respondent velut ex illis expressa vivendi genera: parti primæ illi, unde consilia proficisci diximus, et qua imperamus, quæ ab actione externa et operatione est remota, contemplativum: secundum genus tam hic, quam ibi, cui secundus honos tribuitur, activum est: at vero democratiam invenire in homine nullo negotio possumus; plurima enim hujus reipublicæ formæ vestigia per totam animam diffusa sunt. Quod postremum in præsentia prætermittemus, quandoquidem de primo loco in certamen venire non debet. Sed si activam cum contemplativa conferamus, quum utraque bonum consequatur, altera per scientiam, altera per virtutem; utram præferemus? Respondet ipsa ratio, si usum spectemus ex eoque solo dignitatem æstimemus, actionem præferendam esse; si causam rei bene gerendæ, contemplativam. Quare melius alteram alteri conciliabimus, si tam ipsius animæ potentias, quam vivendi genera hominibus vel pro natura singulorum, vel pro ætate, vel pro fortuna distinguemus. Primo enim non una aut eadem omnium hominum natura est: alius enim, infirmus actionique impar, ad contemplandum promptam expeditamque habet animam; alius contemplando cito defatigatur, actioni contra sufficit. Secundo ætas quoque non una eademque homines distinguit: juventuti enim convenit actio; quod Homerus voluit, cui assentior, quum dixit,

Decet quodcumque juventam.

Philosophus ergo, dum est juvenis, agat, dicat, rempublicam administret, militet, imperet. Nam et crebri illi Platonis in Siciliam discursus, crebrique labores, et quicquid Dionis causa egit, in ipso ætatis flore acciderunt; senectutem contra ejus Academia, profundum otium, pulcherrimæ disciplinæ, atque inoffensa excepit contemplatio, in multo denique atque amplo veritatis studio extremum vitæ finem posuit. Ita Xenophontem amo, qui in actione juventutem; laudo, qui in sapientiæ contemplatione senectutem egit. Postremo nec fortuna una eademque: alii enim potentiam

νεία περιέβαλε, τὸν δὲ σχολῇ καὶ ἡσυχίᾳ προσηνεῖ· ὧν τὸν μὲν ἐπαινῶ ἐν τῷ ἀναγκαίῳ ἀνδριζόμενον, τὸν δὲ καὶ μακαρίζω καὶ ἐπαινῶ, μακαρίζω μὲν τῆς σχολῆς, ἐπαινῶ δὲ τῆς ἱστορίας.

6. Ἀλλὰ τὸν μὲν ἐκ τῆς Εὐρώπης ἐπὶ τὴν Ἀσίαν πλέοντα, ἵνα ἴδῃ τὴν Αἰγυπτίων γῆν, καὶ τοῦ Νείλου τὰς ἐκβολὰς, ἢ πυραμίδας ὑψηλὰς, ἢ ὄρνεις ξένους, ἢ βοῦν, ἢ τράγον, μακαρίζομεν τῆς θέας· κἂν ἐπὶ τὸν Ἴστρον τις ἔλθῃ, κἂν τὸν Γάγγην ἴδῃ, κἄν τις αὐτόπτης γένηται Βαβυλῶνος κειμένης, ἢ τῶν ἐν Σάρδεσι ποταμῶν, ἢ τῶν ἐν Ἰλίῳ τάφων, ἢ τῶν ἐν Ἑλλησπόντῳ τόπων· καὶ τῆς Ἀσίας ἐπὶ τὴν Ἑλλάδα περαιοῦνται στόλοι, ἢ ἐπὶ τὰς Ἀθήνησι τέχνας, ἢ ἐπὶ τοὺς Θήβησι θυμοὺς, ἢ ἐπὶ τοὺς ἐν Ἄργει τόπους. Ὁμήρῳ δὲ καὶ Ὀδυσσεὺς σοφὸς διὰ πολλὴν πλάνην·

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω.

Τὰ δὲ Ὀδυσσέως θεάματα ἢ Θρᾷκες ἦσαν, ἢ Κίκονες οἱ ἄγριοι, ἢ Κιμμέριοι οἱ ἀνήλιοι, ἢ Κύκλωπες οἱ ξενοκτόνοι, ἢ γυνὴ φαρμακὶς, ἢ τὰ ἐν Ἅδου θεάματα, ἢ Σκύλλα, ἢ Χάρυβδις, ἢ Ἀλκινόου κῆπος, ἢ ἡ Εὐμαίου αὐλή· πάντα θνητὰ, πάντα ἐφήμερα, πάντα ἄπιστα. Τὰ δὲ τοῦ φιλοσόφου ἀνδρὸς θεάματα τῷ εἰκάσω; Ὀνείρῳ νὴ Δί' ἐναργεῖ, καὶ πανταχοῦ περιφερομένῳ· οὗ τὸ μὲν σῶμα οὐδαμοῦ στέλλεται, ἡ δὲ ψυχὴ πρόεισιν ἐπὶ πᾶσαν γῆν, ἐκ γῆς ἐπ' οὐρανὸν, πᾶσαν μὲν περαιουμένη θάλατταν, πᾶσαν δὲ διερχομένη γῆν, πάντα δὲ ἀέρα διιπταμένη, συνθέουσα ἡλίῳ, συμπεριφερομένη σελήνῃ, συνδεδεμένη τῷ τῶν ἄλλων ἄστρων χορῷ, καὶ μονονουχὶ τῷ Διὶ συνοικονομοῦσα τὰ ὄντα καὶ συντάττουσα. Ὢ στόλου μακαρίου, καὶ θεαμάτων καλῶν, καὶ ὀνείρων ἀληθινῶν.

ΛΟΓΟΣ ΚΓ'.

Εἰ καλῶς Πλάτων Ὅμηρον τῆς πολιτείας παρῃτήσατο.

1. Ἦλθεν εἰς Σπάρτην Συρακόσιος σοφιστὴς, οὐ κατὰ τὴν Προδίκου καλλιλογίαν, οὐδὲ κατὰ τὴν Ἱππίου κενεολογίαν, οὐδὲ κατὰ τὴν Γοργίου ῥητορείαν, οὐδὲ κατὰ τὴν Θρασυμάχου ἀδικίαν, οὐδὲ κατ' ἄλλην πραγματείαν λόγου παρεσκευασμένος· ἀλλ' ἦν τῷ Συρακοσίῳ σοφιστῇ ἡ τέχνη αὐτὸ ἔργον, κεχραμένον ὁμοῦ χρείᾳ καὶ ἡδονῇ. Τὰ γὰρ ὄψα καὶ τὰ σιτία ἡδυσμάτων συμμετρίαις καὶ κράσεσι καὶ ποικιλίαις, καὶ τῇ διὰ πυρὸς ὁμιλίᾳ, αὐτὰ ἑαυτῶν προσφορώτατα εἶναι παρεσκεύαζε· καὶ ἦν πολὺ τὸ Μιθαίκου κλέος ἐν τοῖς Ἕλλησι κατὰ ὀψοποιίαν, ὥσπερ τὸ Φειδίου κατὰ ἀγαλματουργίαν. Ἧκε δὴ καὶ εἰς τὴν Σπάρτην οὗτος ἀνὴρ δυναστεύουσαν τότε, ἐν ἀρχούσῃ τῇ πόλει καὶ δύναμιν γενναίαν περιβεβλημένῃ εὔελπις ὢν εὐδόκιμον αὐτῷ φανεῖσθαι τὴν τέχνην. Τὸ δὲ ἦν ἄρα οὐ τοιοῦτον· ἀλλὰ τῶν Λακεδαιμονίων τὰ τέλη ἀνακαλεσάμενοι τὸν

actionumque necessariarum præbuit materiem; alii quietem otiumque lene indulsit: quorum alterum laudo, quod, ubi necesse est, virum se exhibeat; alterum et laudo et beatum judico: beatum otii causa judico, laudo scientiæ.

6. Etenim si quis modo ex Europa in Asiam trajicit, ut Ægypti situm, et Nili ostia, aut altissimam pyramidum molem, aut aves peregrinas, aut bovem videat, aut hircum; beatum propterea eum judicamus: item, si qui Istrum, aut Gangem spectatum abeunt; si qui Babylonis eversæ ruinas, aut Sardianos amnes, aut sepulchra Trojana, aut oram Hellesponti propriis usurpare oculis gestiunt; quam multæ ex Asia classes in Græciam, vel ad artes Atticas, vel ad iras Thebanas, vel ad Argivorum loca celebrata perlustranda trajiciunt! Homero Ulysses longi erroris causa sapiens vocatur, quod

Multorumque hominum mores lustrarat et urbes.

Et tamen quid Ulysses præter Thracas, barbarosque Ciconas, aut tenebricosos Cimmerios, aut mactatores advenarum Cyclopas, aut mulierem veneficam, infernasque imagines, aut Scyllam, Charybdinque, aut hortos Alcinoi, aut Eumæi stabulum lustrarat; quæ momentanea, caduca, fabulosa sunt omnia? Hominis vero philosophi spectacula cui comparabo? Somnio, mehercules, evidentissimo, in quo ubique circumferri nobis videmur: in quo quidem corpus eundem servat locum, animus vero exit per totam terram, e terra in cœlum fertur, mare universum circuit, universam humum pervagatur, universum aerem pervolitat; ubi cum sole currit una, cum luna circumfertur, cum cetero astrorum choro circumagitur, et propemodum cum Jove universa regit et ordinat. O peregrinationem beatam! o spectacula pulchra! o somnia verissima!

DISSERTATIO XXIII.

An recte Homerum e republica sua dimiserit Plato.

1. Spartam olim veniebat Syracusanus quidam sophista, qui neque elegantiam dicendi cum Prodico, neque inanem garrulitatem cum Hippia, neque artificium orationis cum Gorgia, neque injustitiæ patrocinium profitebatur cum Thrasymacho, nec in ulla denique liberalium disciplinarum parte versabatur; contra vero tota Syracusii hujus sophistæ ars in ipsa actione, et quidem tali, quæ cum usu pariter quotidiano ac voluptate esset conjuncta, ponebatur. Obsonia quippe et cibos variis condimentis apte concinneque compositis, igni admotos gratiores, quam per se erant, efficiebat; ut propemodum non minor jam esset apud Græcos in hac arte gloria Mithæci, quam in statuaria Phidiæ. Spartam ergo se contulit bonus ille vir, quo tempore illa reliquis adhuc imperabat urbibus nobilemque illam suam integram servabat potentiam; huic urbi artem quam profitebatur gratissimam futuram sperans. Quæ spes eum vehementer frustrata est: magistratus namque Lacedæmonii statim ad

ἄνδρα, ἐκέλευον αὐτῷ ἐξιέναι τῆς Σπάρτης αὐτίκα μάλ' εἰς ἄλλην γῆν καὶ ἀνθρώπους ἄλλους (ἐφίεμεν γὰρ ὑπὸ τοῦ πονεῖν δεῖσθαι τροφῆς ἀναγκαίας μᾶλλον ἢ τεχνικῆς, καὶ τὰ σώματα ἔχειν ἀκολάκευτα καὶ ἁπλᾶ, καὶ μηδὲν ὀψοποιοῦ δεόμενα, οὐ μᾶλλον ἢ τὰ τῶν λεόντων), ἀπιέναι δὲ ἐκεῖσε, ἔνθα καὶ εἰκὸς τιμηθήσεσθαι αὐτῷ τὴν τέχνην, δι' ἡδονῆς καὶ χρείας τοὺς δημιουργοὺς αὐτῆς ἀσπαζομένων. Οὕτω Μίθαικος ἐξῆλθε Σπάρτης αὐτῇ τέχνῃ· παρεδέξαντο δὲ αὐτὸν οὐχ ἧττον οἱ ἄλλοι Ἕλληνες, κατὰ τὴν ἑαυτῶν ἡδονὴν ἀσπαζόμενοι, οὐ κατὰ τὴν παρὰ Λακεδαιμονίοις ἀτιμίαν ὑπεριδόντες.

2. Εἰ δὲ δεῖ καὶ ἄλλας παρακαλέσαι εἰκόνας τῷ παρόντι λόγῳ σεμνοτέρας τῆς Μιθαίκου τέχνης· Θηβαῖοι αὐλητικὴν ἐπιτηδεύουσι, καὶ ἔστιν ἡ δι' αὐλῶν μοῦσα ἐπιχώριος τοῖς Βοιωτοῖς· Ἀθηναῖοι λέγειν, καὶ ἐστὶν ἡ περὶ τοὺς λόγους σπουδὴ τέχνη Ἀττική· παιδεύματα Κρητικὰ θῆραι, ὀρειβασίαι, τοξεῖαι, δρόμοι· τὰ Θετταλικὰ ἱππική, τὰ Κυρηναϊκὰ διφρεῖαι, τὰ Αἰτωλικὰ λῃστεῖαι· ἀκοντίζουσιν Ἀκαρνᾶνες, πελτάζουσι Θρᾷκες, νησιῶται πλέουσι. Ἐὰν δὲ μεταθῇς τὰ ἐπιτηδεύματα ἄλλων πρὸς ἄλλους, νοθεύσεις τὰς τέχνας. Τί γὰρ δεῖ ἠπειρώταις νεῶν, ἢ ἀμούσοις αὐλῶν, ἢ ὀρείοις ἵππων, ἢ πεδιάδα οἰκοῦσι δρόμων, ἢ ὁπλίταις τόξων, ἢ τοξόταις ἀσπίδων; Ὥσπερ οὖν ἐνταῦθα διεκληρώσαντο τὰς τέχνας οἱ τόποι, ἢ αἱ φύσεις τῶν χρωμένων, ἢ αἱ φιλίαι τῶν ἀπ' ἀρχῆς ἐπιτηδευθέντων, καὶ οὐ ταὐτὰ ἑκάστοις, οὔτε πᾶσι τίμιον διότι ἐνίοις, οὔτε ἄτιμον τισὶν ὅτι μὴ πᾶσιν, ἀλλὰ εὐδοκιμεῖ ἕκαστον κατὰ τὴν χρείαν τῶν λαβόντων· τί κωλύει τοὺς τῆς καλῆς ταύτης πόλεως πολίτας, οὓς Πλάτων θρεψάμενος τῷ λόγῳ ὑπὸ νόμοις ξένοις καὶ οὐ καθωμιλημένοις τῷ τῶν πολλῶν ἔθει κατῴκισεν, αὖθις αὖ λόγῳ ἔχειν καὶ τούτους ἐπιχώρια ἄττα αὐτῶν νόμιμά τε καὶ ἐπιτηδεύματα, ξυμπεφυκότα τῇ ἐκ παίδων τροφῇ, τιμώμενα μὲν αὐτοῖς κατὰ τὴν χρείαν αὐτῶν ἐκείνων, οὐχ ἀτιμαζόμενα δὲ παρὰ τοῖς ἄλλοις ἐπεὶ μὴ κἀκείνοις ἥρμοσεν; Εἰ μὲν γὰρ πόλιν πόλει παραβάλλοιμεν, καὶ πολιτείαν πολιτείᾳ, καὶ νόμους νόμοις, καὶ νομοθέτην νομοθέτῃ, καὶ τροφὴν τροφῇ· ἔχοι ἄν τινα ἡμῖν λόγον ἡ ἐξέτασις τοιάδε, διερευνωμένοις τὸ παρ' ἑκάστοις ἐνδέον· εἰ δέ τις μέρος τοῦ ὅλου ἀποτεμόμενος, καθ' αὑτὸ σκοποῖ διὰ μαρτύρων τῶν χρωμένων τούτῳ, ἢ μή· οὕτω γ' ἂν καὶ τὰ ἄλλα πάντα, οἷς ἄνθρωποι χρῶνται, κατ' ἴσον ἂν τύχοι τιμῆς καὶ ἀτιμίας, καὶ διατελοῖ ἐν ἀμφισβητησίμῳ κρίσει πλανώμενα. Καὶ γὰρ αἱ τροφαί, καὶ τὰ φάρμακα, καὶ τὰ διαιτήματα, καὶ τἆλλα ὅσα τῇ τῶν ἀνθρώπων χρείᾳ ἀνακέκραται, οὐ πᾶσιν ἑξῆς ὅμοια πάντα, ἀλλὰ τὸ αὐτὸ ἤδη τὸν μὲν ἔβλαψε, τὸν δὲ ὤνησε, καὶ τὸν μὲν εὔφρανε, τὸν δὲ ἠνίασεν· ἕκαστον γὰρ τούτων ἡ χρεία, καὶ ὁ καιρός, καὶ ἡ ὑπόθεσις τοῦ βίου ἕτερα ἑτέρῳ φαίνεσθαι ποιεῖ.

3. Οὕτω τοίνυν ἐχόντων τούτων, μεταβάντες αὖ περὶ Ὁμήρου σκοπῶμεν ἀδεκάστως μάλα, οὐθ' ὅστις Πλά-

se vocaverunt hominem, jusseruntque finibus suis excedere, aliamque in terram, populumque eum se conferre, quem probabile esset artem ejus honore prosecuturum, et ob voluptatem et usum antistites ejus amplexurum: se enim statuisse, si quo condimento cives egerent, non aliunde id, quam e labore esse mutuandum, ideoque necessario tantum cibo, non artificioso sibi opus esse; quippe quum in nutriendis corporibus nullis illecebris, sed potius simplicitate quadam victus uterentur, quæ non magis, quam leonum corpora, egere condimentis existimabant. Ita Mithæcus cum arte sua Sparta excessit; nec tamen minus propterea reliquis acceptus fuit Græcis, quorum pro voluptatis suæ studio singuli amplexi sunt eum, non pro contemptu Lacedæmoniorum rejecerunt.

2. Quodsi et ab aliis videntur artibus non paullo, quam hæc Mithæci fuit, honestioribus exempla esse desumenda: scimus Thebanos tibiarum cantu delectari, et hanc musam quasi vernaculam esse Bœotis: Athenienses eloquentiæ operam dant, ut vere oratorium studium dici possit ars Attica: disciplina Cretensium est venari, montes superare, sagittare, currere; Thessalorum studia equitare, Cyrenensium aurigari, Ætolorum prædari; jaculo Acarnanes, pelta valent Thraces, insulani navigant. Quodsi aliorum studia ad alios transferas, perit natura atque usus singulorum. Quid enim navibus mediterraneo opus est; aut tibiis, qui inflare eas nescit; aut equo, qui in montibus, aut curriculis, qui in campestri terra habitat; aut arcu cataphracto, aut sagittario clypeo? Sicut igitur in illis diversas artes diversa loci populique ingenia, aut diversa consuetudo, amo que coi suetudinis sortita sunt, nec eadem omnibus conveniunt; neque quicquam aut omnibus gratum, quia quibusdam est; aut quia non omnibus gratum, invisum quibusdam; sed pro usu hominum laudatur unumquodque: quid vetat eos, qui tam præclaræ reipublicæ cives futuri sunt, quos in libris suis Plato sub novis legibus, et quæ nihil cum vulgaribus commune habent, eduxit et in civitatem coegit, vicissim habere, per eandem fictionem, hos quoque consuetudines quasdam, leges et instituta, quibus a teneris innutriti sint ipsi, quæ ab ipsis in honore habeantur ob usum proprium, neque apud alios, quibus ea non conveniant, contemnantur? Si enim urbem unam cum altera, aut cum republica rempublicam, aut leges cum legibus, aut cum legislatore legislatorem, aut cum educatione educationem conferre nobis esset propositum; non sine ratione institui posset talis quæstio, ut exploremus quid deesset singulis. At vero si quis partem totius segregratam sumat, eamque seorsum intueatur, deque ea ex hominibus, qui vel usi ea, vel non usi sunt, inquirat: ita fortasse fieri possit, ut omnia, quibus utuntur homines, æque ab honore et infamia distent, nec decerni queat utrum alteri sit præferendum. Quippe et educationes, et remedia, et vivendi rationes, aliaque, quæ in quotidiano hominum versantur usu, non omnibus eadem sunt prorsus; sed unum sæpe idemque huic conducit, illi nocet; huic jucundum, illi molestum est: facile enim aut usus, aut occasio, aut vitæ institutum efficit, ut unumquodque horum aliud alii esse videatur.

3. Quæ quum ita sint, ad Homerum transeamus, ac de eo disquiramus quam justissime, non qui Platonem ament,

τωνι χαίρει ἀτιμάζων Ὅμηρον, οὔθ' ὅστις Ὅμηρον θαυμάζει μεμφόμενος Πλάτωνι· οὐ γὰρ διακεκλήρωται οὐδὲ ἀπέσχισται ἑκάτερον θατέρου· ἀλλ' ἔξεστί που καὶ τὰ Πλάτωνος τιμᾶν, καὶ θαυμάζειν Ὅμηρον. Ἔξεστι δὲ ὧδε· πόλιν οἰκίζει Πλάτων τῷ λόγῳ, οὐ Κρητικὴν, οὐδὲ Δωρικὴν, οὐδὲ Πελοποννησίαν, οὐδὲ Σικελικὴν, οὐδὲ μὰ Δί' Ἀττικήν· ἢ γὰρ ἂν τοιαύτην οἰκίζων πόλιν, μὴ ὅτι Ὁμήρου ἂν ἐδεήθη μόνου, ἀλλὰ καὶ πρὸς Ὁμήρῳ Ἡσιόδου καὶ Ὀρφέως, καὶ εἴ τις ἄλλη παλαιὰ μοῦσα ποιητικὴ κατεπᾴδειν ἱκανὴ τὰς τῶν νέων ψυχὰς καὶ δημαγωγεῖν, καὶ ἡδονῇ συνήθει ἀνακιρνάναι πράως ἀληθεῖς λόγους· ἀλλ' ἔστιν αὐτῷ ξυνοίκησις καὶ ἡ πολιτεία γιγνομένη λόγῳ, κατὰ τὸ ἀκριβέστατον μᾶλλον ἢ χρειωδέστατον· ὅνπερ τρόπον καὶ τοῖς τὰ ἀγάλματα τούτοις διαπλάττουσιν, οἳ πᾶν τὸ παρ' ἑκάστου καλὸν συναγαγόντες, κατὰ τὴν τέχνην ἐκ διαφόρων σωμάτων ἀθροίσαντες εἰς μίμησιν μίαν, κάλλος ἓν ὑγιὲς καὶ ἄρτιον καὶ ἡρμοσμένον αὐτὸ αὑτῷ ἐξειργάσαντο· καὶ οὐκ ἂν εὕρες σῶμα ἀκριβὲς κατὰ ἀλήθειαν ἀγάλματι ὅμοιον. Ὀρέγονται μὲν γὰρ αἱ τέχναι τοῦ καλλίστου, αἱ δὲ ἐν ποσὶν ὁμιλίαι καὶ χρεῖαι ἀπολείπονται τῶν τεχνῶν. Οἶμαι δὲ, εἰ καί τις ἦν ἐν ἀνθρώποις δύναμις πλαστικὴ σωμάτων σαρκίνων, ξυμφορήσαντες ἂν οἱ δημιουργοὶ τὰς δυνάμεις ξυμμέτρως γῆς καὶ πυρὸς, καὶ τῶν ὅσα τούτοις ἁρμοσθέντα τε καὶ ὁμολογήσαντα συνίστησι τὴν σωμάτων φύσιν, ἀπέφηναν ἂν, ὥς γε εἰκὸς, σῶμα ἀδεὲς φαρμάκου καὶ μαγγανευμάτων καὶ διαιτημάτων ἰατρικῶν. Εἰ οὖν τις ἐκείνων τινὸς τῶν δημιουργῶν ἀκούσας νομοθετοῦντος τοῖς ὑπ' αὐτοῦ πλασθεῖσι τῷ λόγῳ· ὅτι ἄρα δεήσονται οὐδὲ Ἱπποκράτους ἰωμένου σφᾶς, ἀλλὰ χρὴ στέψαντας ἐρίῳ τὸν ἄνδρα καὶ χρίσαντας μύρῳ ἀποπέμπειν παρ' ἄλλους, εὐδοκιμήσοντα ἐκεῖ ὅπου τὴν τέχνην παρακαλεῖ ἡ νόσος· κἆτα ἀγανακτοίη πρὸς αὐτὸν, ὡς ἀτιμάζοντα τὴν Ἀσκληπιοῦ καὶ τὴν Ἀσκληπιαδῶν τέχνην· ἆρα οὐ καταγέλαστος ἂν γίγνοιτο, αἰτίαν προσφέρων τῷ μὴ κατὰ ἀτιμίαν παραιτουμένῳ ἰατρικὴν, ἀλλὰ μήτε κατὰ χρείαν δεομένῳ αὐτῆς, μήτε καθ' ἡδονὴν ἀσπαζομένῳ;

4. Δύο γὰρ ὄντων τούτων, ὑφ' ὧν Ὅμηρος καὶ Ἡσίοδος καὶ ὅστις ἄλλος ἐν ἁρμονίᾳ ποιητικῇ εὐδόκιμοι ἦσαν, χρείας καὶ ἡδονῆς, κατ' οὐδέτερον αὐτοῖν ἐπιτήδεια τὰ ἔπη τῇ Πλάτωνος πολιτείᾳ, οὔτε κατὰ τὴν χρείαν, οὔτε κατὰ τὴν ἡδονήν. Ἥ τε γὰρ χρεία ξυνελήλαται αὐτοῖς εἰς τροφὴν ἀκριβῆ καὶ ἀκούσματα ἀναγκαῖα, οὐδὲν αὐθαίρετον, οὐδὲ αὐτεξούσιον, οὐδὲ οἷον ἂν δέξαιντο παρὰ μητέρων παῖδες ὑπὸ φήμης ἀλόγου πλασθέντα μῦθον. Οὐδὲν γὰρ εἰκῇ, οὐδὲ ἐκ τοῦ προστυχόντος, οὔτε ἄκουσμα, οὔτε παίδευμα, οὔτε ἄθυρμα παρέλθοι ἂν εἰς τοιαύτην πόλιν, ὥστε καὶ δεηθῆναι Ὁμήρου, τὰς οὔσας περὶ θεῶν δόξας ἐμμελῶς μεγαλύνοντος, καὶ τρέποντος τὰς τῶν πολλῶν ψυχὰς ἐκ ταπεινῆς φαντασίας εἰς ἔκπληξιν. Τοῦτο γάρ τοι δύναται ποιητοῦ λόγος ἐμπεσὼν ἀκοαῖς τεθραμμέναις

rejiciant Homerum; nec qui Homerum mirentur, Platonem non ferant : non enim alterum ab altero divisum est et quasi separatum; quum simul et Platonis scripta colere, et mirari Homerum liceat. Id autem fiet hoc modo : civitatem contemplatione instituit Plato, non Creticam, neque quam aut Dores, aut Peloponnesii, aut Siculi, aut denique Athenienses incolerent : ita quippe si instituisset, non Homero tantum opus habuisset, sed cum hoc et Hesiodo et Orpheo et si qua præterea antiqua musa est, quæ juventutis animos suaviter mulcere ac delinire, et cum voluptate, quam quærunt juvenes, molliter miscere veritatem posset : sed, ut dixi, exemplum tantum civitatis, exemplum tantum rerum ejus publicarum ostendit; magis accuratum quam usui accommodatum. Idem quod statuarii nostri faciunt, qui quum e singulis corporibus, quæ in iis pulchra sunt, cogant et ex tam diversis in unam imaginem artis lege colligant, unam pulchritudinem, sanam, concinnam, partibus undique conspirantibus et congruis exprimunt: nam in rerum natura invenire non poteras corpus adeo exactum, ut imagini æquipararetur. Artes quippe absolute pulchrum quærunt, quum quotidianus usus longe minus accuratus sit. Quodsi quis hoc concederet hominibus, ut humanum corpus fabricare possent; dubium non est, ut equidem arbitror, quin terræ ignisque qualitates, cum aliis, quæ apte conjunctæ inter se et temperatæ humanum corpus constituunt, ita absolute miscerent novi illi artifices, ut nec remediis ullis, nec lenociniis, nec præscriptionibus medicis in victu illis opus esset. Jam si aliquis ex his artificibus unum audiret, qui leges præscriberet hominibus quos fecisse eum fingimus, et inter cetera hoc quoque : nihil illis ne Hippocratis quidem medicina opus fore, quare hominem lana coronatum (quod de Homero Plato dicit) unguentoque delibutum, ad alios mitterent; ibi enim locum et honorem habituram illius artem, ubi vocet morbus : si hæc, dico, audiret aliquis, nec æquo ferret animo, quod Æsculapii, quod Asclepiadarum artem contemneret; nonne oppido ridicule eum accusare videretur, qui artem medicam rejiceret, non quam contemneret, sed quam neque usui sibi nec voluptati esse posse sciret?

4. Quum enim sint duo, a quibus Homerus Hesiodusque et si qui alii a poetica celebrari solent harmonia, utilitas nimirum et voluptas; neutro horum ad rempublicam Platonis conferre eorum quicquam possunt carmina, nec utilitate, dico, nec voluptate. Nam utilitatem si spectes, tota ea in educatione accurata et salubribus ibi monitis consistit; quare neque ullam dicendi audiendique quæ velis libertatem aut licentiam admittit; nec ullam ibi fabulam ex matribus suis pueri hauriunt, quam ipsæ prius a rumore vano hauserunt. Nullum enim dictum, nulla disciplina, nulla delectatio temere et sine certa ratione eam intrat rempublicam; ne ergo ibi Homerum requiri putes, qui conceptas de diis opiniones cum quadam numerorum elegantia in majus tollit, humilesque et demissas vulgi cogitationes ad summam admirationem rapit. Hæc enim propria poetici sermonis vis est, ut male institutorum

κακῶς, περιβομβεῖν αὐτὰς, καὶ μὴ παρέχειν σχολὴν διαπιστεύειν τοῖς εἰκῇ θρυλουμένοις λόγοις· ἀλλ' εἰδέναι μὲν ὅτι ποιητικὴ πᾶσα αἰνίττεται, καταμαντεύεσθαι δὲ τῶν αἰνιγμάτων μεγαλοπρεπῶς, κατὰ τὴν θεῶν δίκην. Ὁπόθεν δὲ ἐξελήλαται τὸ ταπεινὸν πᾶν καὶ τὸ ἠμελημένον, τί δεῖ ἐνταῦθα τοιούτου φαρμάκου; Τὸν Ἀνάχαρσιν ἐκεῖνον ἤρετο Ἕλλην ἀνὴρ, εἰ ἔστιν αὐλητικὴ ἐν Σκύθαις· ὁ δὲ, Οὐδὲ ἄμπελοι, ἔφη. Ἄλλη γὰρ ἄλλην παρακαλεῖ ἡδονὴν, καὶ ἐστὶ ξυμφυὲς τὸ χρῆμα, καὶ ἄπαυστον, καὶ ἀέναον, ἐπειδὰν ἄρξηται ῥεῖν· καὶ μία μηχανὴ πρὸς σωτηρίαν, στῆσαι τὰς πηγὰς, καὶ ἀποφράξαι τὴν ἡδονῶν γένεσιν. Ἡ δὴ τοιαύτη πόλις, ἣν συνεστήσατο ὁ Πλάτων, ἄβατος ἡδονῇ καὶ θεαμάτων καὶ ἀκουσμάτων· ὥστε οὔτε εἰ ποιητικὴ παρασκευαστικὸν ἡδονῆς, εἰσδέξαιτο ἂν αὐτὴν, καὶ πολὺ μᾶλλον κατὰ τὴν χρείαν.

5. Ἐῶ λέγειν ὅτι καὶ τῶν ἐν ἀνθρώποις γενῶν οὐ λόγῳ μόνον πλαττόμεναι πόλεις, ἀλλὰ καὶ ἔργῳ γενόμεναι πολλαὶ καὶ πολιτευθεῖσαι ὑγιῶς, καὶ ξυνοικισθεῖσαι νομίμως, ἀγνοοῦσι τὸν Ὅμηρον. Ὀψὲ μὲν γὰρ ἡ Σπάρτη ῥαψῳδεῖ, ὀψὲ δὲ καὶ ἡ Κρήτη, ὀψὲ δὲ καὶ τὸ Δωρικὸν ἐν Λιβύῃ γένος· ἐπαινοῦνται δὲ οὐκ ὀψὲ, ἀλλ' ἐκ παλαιᾶς ἀρετῆς. Τὰ δὲ τῶν βαρβάρων τί χρὴ λέγειν; σχολῇ γὰρ ἂν ἐκεῖνοι τὰ Ὁμήρου μάθοιεν, ἀλλ' εὕροις ἂν ὅμως καὶ ἐν βαρβάροις ἀρετὴν ἀπεσχισμένην τῶν Ὁμήρου ἐπῶν· ἢ γὰρ ἂν καὶ τὸ τῶν ῥαψῳδῶν γένος τὸ ἀνοητότατον εὐδαιμόνει κατὰ τὴν συνουσίαν τῆς τέχνης· τὸ δὲ οὐχ οὕτως ἔχει. Καλὰ μὲν γὰρ τὰ Ὁμήρου ἔπη, καὶ ἐπῶν τὰ κάλλιστα, καὶ φανότατα, καὶ ᾄδεσθαι Μούσαις πρέποντα· ἀλλ' οὐ πᾶσι καλὰ, οὐδὲ ἀεὶ καλά· οὐδὲ γὰρ τῶν ἐν μουσικῇ μελῶν εἷς νόμος, οὐδὲ εἷς χρόνος. Καλὸν μὲν ἐν πολέμῳ τὸ Ὄρθιον, καλὸν δὲ ἐν συμποσίῳ τὸ Παροίνιον, καὶ καλὸν μὲν Λακεδαιμονίοις τὸ Ἐμβατήριον, καλὸν δ' Ἀθηναίοις τὸ Κύκλιον, καὶ καλὸν μὲν ἐν διώξει τὸ Ἐγκελευστικὸν, καλὸν δὲ ἐν φυγῇ τὸν Ἀνακλητικόν· ἡδεῖα μὲν πᾶσα μοῦσα, ἀλλὰ τὸ τῆς χρείας οὐχ ὅμοιον πᾶσιν. Ἂν τοίνυν καθ' ἡδονὴν κρίνῃς Ὅμηρον, δεινὰ δρᾷς· εἰσκυκλεῖς ποιητῶν χορὸν ἀκόλαστον καὶ βακχεύοντα, κρατοῦντα ἡδονῇ τῆς Ὁμήρου ᾠδῆς. Ἀποχειροτονεῖς τῆς ἡδονῆς τὸν ἄνδρα; Ἡδὺς μὲν γὰρ, ἡδὺς, ἀλλὰ τὸ κάλλος ἀκμαιότερον τῆς ἡδονῆς, καὶ μὴ παρέχον σχολὴν εὐφραίνεσθαι, ἀλλὰ ἐπαινεῖν· ἀλλ' ἔπαινος σὺν ἡδονῇ μὲν, ἀλλ' οὐχ αὐτὸ ἡδονή. Εἰ δὲ καθ' ἡδονὴν τὰ Ὁμήρου ἀσπαζόμεθα, ὡς αὐλήματα, ὡς κιθαρίσματα, ἐξελαύνεις Ὅμηρον οὐκ ἐκ τῶν Πλάτωνος τροφίμων μόνον, ἀλλὰ καὶ ἐκ τῶν Λυκούργου, καὶ ἐκ τῶν Κρητικῶν, καὶ παντὸς χωρίου καὶ πάσης πόλεως, ὅπου μετὰ ἀρετῆς εὐδοκιμοῦσιν οἱ πόνοι.

hominum aures ita suo strepitu detineat occupetque, ut de temere fusis fabulis dubitandi otium non detur : sed ante omnia id quod res est cogitent, poetam omnem obscure scribere, atque ea ipsa ænigmata magnificentius accipi debere, secundum dignitatem deorum. At vero in ea urbe, in qua nihil plebeium, nulli negligentiæ locus est, quid hoc remedio est opus? Græcus quidam ex Anacharside illo celeberrimo quæsisse dicitur, essentne tibiæ in Scythia : ille, Nec vites, inquiebat. Voluptas enim alia aliam trahit, alia cum alia cohæret; quæ res quum semel fluere cœpit, nunquam desinit, nunquam inhiberi potest : nec aliud ad salutem restat remedium, quam fontem ipsum sistere, ortum voluptatis impedire. Talis igitur quum sit Platonis respublica, nullam oculorum auriumve delectationem admittit : ex quo sequitur, nec poeticen, si voluptatem parit, in hanc rempublicam admissum iri; multo autem minus ob utilitatem admitteretur.

5. Ut omittam multas exstitisse inter homines non imaginarias, sed veras respublicas, quæ et optime essent constitutæ optimisque uterentur legibus, quæ tamen Homerum ignorarent. Nuper enim Sparta recitare versus ejus cœpit, nuper Cretes, nuper qui in Libya sunt Dores; qui tamen omnes non nuper, sed antiquitus a virtute commendati fuerunt. Nec enim de barbaris necesse est dicere, quos non vereor ne versus Homeri didicisse putes; et tamen virtutem apud barbaros invenies, quam Homericæ poesi minime debent : quod nisi ita se haberet, beatissimi ob perpetuum artis usum rhapsodi essent, quos omnium hominum constat esse dementissimos; atqui longe aliter se res habet. Pulchra sunt, fateor, Homeri poemata, longeque omnium pulcherrima, maximeque illustria, et revera digna quæ a Musis canantur; non tamen omnibus pulchra, nec pulchra semper; nec enim in musicis modulationibus unus tonus est, nec unum tempus idoneum omnibus. Pulchrum in bello id quod *Orthion* vocant; pulchrum in convivio, quod *Parœnion* dicitur; pulchrum apud Lacedæmonios, quod *Embaterion;* pulchrum apud Athenienses, quod *Cyclion* appellant; pulchrum ei, qui hostem insequitur, quod *Enceleusticon;* pulchrum illi, qui fugit, quod *Anacleticon* vocant : jucunda est omnis ars musica, sed non idem omnium usus. Quodsi Homerum ex voluptate æstimas, rem atrocem facis : examen ingens lascivorum nobis furiosorumque immittis poetarum, qui in hac quidem parte Homero sunt præferendi. Tun' suffragio tuo jucunditatem Homero non concedis? Jucundus, fateor, jucundus est; sed longe major ejus pulchritudo, quæ lectori non permittit ut delectetur, sed ut laudet tantum : laus autem ut cum voluptate conjuncta est, ita non est ipsa voluptas. At si non aliud in Homeri scriptis quam voluptatem amplectimur, ut in tibiæ, ut in citharæ cantibus; jam non ex Platonis tantum alumnis, sed et ex Lycurgi, et Cretensium, omnique regione et civitate Homerum exigis, ubi cum virtute labor laudatur.

ΛΟΓΟΣ ΚΔʹ.

Τίς ἡ Σωκράτους ἐρωτική. Α.

1. Κορινθίῳ ἀνδρὶ, ὄνομα Αἰσχύλῳ, παῖς ἦν Ἀκταίων, μειράκιον Δωρικὸν, ὥρᾳ διαφέρον. Ἐρᾷ Ἀκταίωνος νεανίας Κορίνθιος, γένους τῶν Βακχιαδῶν· Βακχιάδαι δὲ Κορίνθου ἐδυνάστευον. Ὡς δὲ ἐσωφρόνει τὸ μειράκιον καὶ ὑπερεφρόνει ὑβριστοῦ ἐραστοῦ, ἐκώμασεν εἰς Ἀκταίωνος ὁ ἐραστὴς ὁμοῦ τοῖς Βακχιάδαις νεανίσκοις· οἱ θαρσοῦντες μέθῃ καὶ τυραννίδι καὶ ἔρωτι, εἰσπεσόντες εἰς τὸ δωμάτιον, οἱ μὲν ἐπειρῶντο ἀπάγειν, οἱ δὲ οἰκεῖοι κατέχειν· σπώμενον τὸ μειράκιον ὑπ' ἀμφοῖν, βίᾳ διαφθείρεται ἐν χερσὶν αὐτῶν. Καὶ εἰκάσθη τὸ ἐν Κορίνθῳ τοῦτο πάθος τῷ Βοιωτίῳ διὰ τὴν ὁμωνυμίαν τῶν μειρακίων, ἀπολομένου ἑκατέρου, τοῦ μὲν ὑπὸ κυνῶν ἐν θήρᾳ, τοῦ δὲ ὑπὸ ἐραστῶν ἐν μέθῃ. Περιάνδρῳ τῷ Ἀμβρακιώτῃ τυράννῳ παιδικὰ ἦν μειράκιον πολιτικὸν, ἅτε δὲ οὐ σὺν δίκῃ τὴν ὁμιλίαν συστησαμένῳ, ὕβρις ἦν τὸ χρῆμα, οὐχ ἔρως· θαρσῶν δὲ ὁ Περίανδρος τῇ ἐξουσίᾳ, παροινεῖ εἰς τὸ μειράκιον. Ἡ δὲ παροινία αὕτη Περίανδρον μὲν ἔπαυσεν ὑβρίζοντα, τὸ δὲ μειράκιον ἐποίησεν ἐξ ἐρωμένου τυραννοκτόνον. Αὕτη δίκη ἀδίκων ἐρώτων.

2. Βούλει σοι λέγω καὶ τοῦ ἑτέρου τρόπου τῶν ἐρώτων τοῦ δικαίου μίαν γέ τινα ἢ δευτέραν εἰκόνα; Μειρακίῳ Ἀττικῷ δύο ἦσαν ἐρασταὶ, ἰδιώτης καὶ τύραννος· ὁ μὲν δίκαιος ἦν διὰ ἰσοτιμίαν, ὁ δὲ ἄδικος δι' ἐξουσίαν· ἀλλὰ τό γε μειράκιον ὄντως ἦν καλὸν καὶ ἐρᾶσθαι ἄξιον, ὥστε ὑπεριδὸν τοῦ τυράννου τὸν ἰδιώτην ἠσπάζετο. Ὁ δὲ ὑπ' ὀργῆς ἄλλα τε ἀμφοτέρους προὐπηλάκισε, καὶ ἀδελφὴν Ἁρμοδίου Παναθηναίοις ἥκουσαν ἐπὶ τὴν πομπὴν κανηφοροῦσαν ἐξήλασεν ἐπ' ἀτιμίᾳ. Διδόασι δίκην ἐκ τούτου Πεισιστρατίδαι, καὶ ἦρξεν ἐλευθερίας Ἀθηναίοις ὕβρις τυράννου, καὶ μειρακίου θάρσος, καὶ ἔρως δίκαιος, καὶ ἐραστοῦ ἀρετή. Ἐλευθεροῖ τὰς Θήβας Ἐπαμεινώνδας ἀπὸ Λακεδαιμονίων στρατηγήματι ἐρωτικῷ. Μειρακίων πολλῶν καλῶν ἐρασταὶ ἦσαν Θήβησι πολλοὶ νεανίαι· ὅπλα δοὺς Ἐπαμεινώνδας τοῖς ἐρασταῖς καὶ τοῖς ἐρωμένοις, συνέταξε λόχον ἱερὸν τοῦ ἔρωτος, δεινὸν καὶ ἄμαχον, καὶ συνασπίζοντα ἀκριβῶς, καὶ ἄρρηκτον· οἷον οὔτε ὁ Νέστωρ περὶ τὸ Ἴλιον συνεστήσατο, ὁ δεινότατος τῶν στρατηγῶν, οὔτε Ἡρακλεῖδαι περὶ Πελοπόννησον, οὔτε Πελοποννήσιοι περὶ τὴν Ἀττικήν. Ἔδει γὰρ ἕκαστον τῶν ἐραστῶν ἀριστεύειν, καὶ διὰ φιλοτιμίαν ἐν ὄψει τῶν παιδικῶν μαχόμενον, καὶ δι' ἀνάγκην ὑπερμαχοῦντα τῶν φιλτάτων. Ἦν δὲ καὶ τὰ μειράκια ἐφάμιλλα ταῖς ἀρεταῖς τοῖς ἐρασταῖς, ὥσπερ ἐν θήρᾳ σκύλακες συμπαραθέοντες τοῖς πρεσβυτέροις τῶν κυνῶν.

3. Τί δή μοι βούλεται ὁ Ἐπαμεινώνδας καὶ ὁ Ἁρμόδιος, καὶ οἱ περὶ τοῦ ἀδίκου ἔρωτος λόγοι; Ὅτι πρᾶγμα διττὸν, τὸ μὲν ἀρετῆς ἐπήβολον, τὸ δὲ μοχθηρίᾳ συμπεφυκὸς, φωνῇ μιᾷ οἱ ἄνθρωποι ἐπονομάζοντες ἔρωτα, οὑτωσὶ καλοῦντες καὶ τὸν θεὸν καὶ τὴν νόσον,

DISSERTATIO XXIV.

De amatoria Socratis. I.

1. Homini cuidam Corinthio, nomine Æschylo, delicatus erat Actæon, Doricus adolescens, admodum formosus. Hunc Actæonem deperire forte juvenis Corinthius cœpit, e Bacchiadarum genere, qui tum temporis Corinthi imperabant. Quum autem castus adolescens esset, amantemque libidinosum negligeret, nocte quadam cum aliquot ejusdem familiæ juvenibus in domum Actæonis comessatum venit; ubi ebrietatis suæ et regiæ potestatis et amoris fiducia, in conclave irruunt et abducere adolescentem conantur, propinquis eum retinentibus, donec utrinque in diversa distractus miser adolescentulus in manibus eorum exspiravit. Quod Corinthiorum facinus cum altero illo cœpit conferri, quod in Bœotia, accidit, non alia de causa, quam quod idem utrique adolescenti nomen esset, quum alter in venatione a canibus, alter in vino discerptus esset ab amantibus. Periander, Ambraciotarum tyrannus, civis cujusdam filium in deliciis habebat, quo quum præter jus fasque abuteretur, fœda potius libido, quam amor dici debebat. Ergo Periander fretus potestate sua, contumeliose admodum adolescentem tractat; at ea res libidini ejus finem attulit, simulque adolescentem ex catamito tyrannicidam fecit. Talis plerumque pœna improbum amorem excipit.

2. Visne vicissim alterius amoris, qui legitimus est, unum et alterum tibi afferam exemplum? Adolescens quidam Atticus amatores habebat duos, privatum hominem et tyrannum; quorum alter vir probus erat, conditionis suæ memor; alter improbus, potentiæ fiducia; sed adolescens ille vere pulcher erat et amore dignus; quare tyrannum contempsit, privatum hominem amplexus est. Quare succensus ille, præter alias injurias queis utrumque affecit, sororem Harmodii, quæ Panathenæorum festo ad gerendum canistrum veniebat, cum ignominia ejecit. Hujus facinoris pœnam statim Pisistratidæ dedere, causaque Atheniensibus libertatis fuit contumeliosa tyranni libido, adolescentis audacia, probusque amor, et amatoris virtus. Epaminondas amatorio stratagemate Thebas in libertatem a Lacedæmoniis vindicavit. Erant Thebis multi pulchri adolescentuli, qui amabantur; multi pulchri juvenes, qui amabant: utrisque arma in manus Epaminondas dat, ex utrisque sacram cohortem instruit amatoriam, miræ virtutis planeque inexpugnabilem, accurate juncto et conferto agmine, perrumpi nesciam: qualem neque imperatorum sollertissimus Nestor in Trojano agro, neque in Peloponnesiaco Heraclidæ, neque in Attico instruxere Peloponnesii. Necesse enim fuit amatores singulos vel existimationis suæ causa, quod in oculis adolescentulorum pugnarent; vel necessitatis, quod singuli amicissimum defenderent, strenue rem gerere. Vehemens rursus æmulatio fortium gestorum adolescentulos pungebat, ut cum amatoribus sibi suis paria facerent, sicut in venatione catuli, qui cum majoribus canibus una currunt.

3. Quæ ergo causa est, cur Epaminondam adducam et Harmodium? cur de contrario amore agam? Ut intelligas rem duplicem, quarum altera virtutis particeps, altera cum improbitate conjuncta est, uno nomine amorem ab hominibus dici, eadem voce et deum significantibus, et morbum:

καλλωπίζονται μὲν οἱ μοχθηροὶ ἐρασταὶ διὰ τὴν πρὸς τὸν θεὸν ὁμωνυμίαν, ἀπιστοῦνται δὲ οἱ χρηστοὶ διὰ τὸ ἀμφίβολον τοῦ πάθους. Ἀλλ' ὥσπερ εἰ τοὺς ἀργυρογνώμονας ἐξετάζειν ἔδει, ὁπότερος αὐτῶν γνωριστικὸς τοῦ δοκίμου καὶ μὴ, τὸν μὲν πρὸ τοῦ δοκίμου τὸ φαινόμενον ἀσπαζόμενον πόρρω πάνυ ἐτίθεμεν τῆς τέχνης, τὸν δὲ τἀληθῆ αὐτὰ γνωρίζοντα, τοῦτον καὶ συνιέναι αὐτῆς· ταύτῃ καὶ τὴν ἐρωτικὴν προσθῶμεν φέροντες, ὥσπερ τινὶ νομίσματι, τῇ τοῦ καλοῦ φύσει. Ἐὰν γὰρ τούτου τὸ μὲν ᾖ φαινόμενον καλὸν, οὐχ οὕτως ἔχον, τὸ δὲ καλὸν καὶ ὂν καὶ φαινόμενον· ἀνάγκη τοὺς μὲν τοῦ φαινομένου κάλλους καὶ μὴ ὄντος γλιχομένους νόθους τινὰς εἶναι καὶ κιβδήλους ἐραστὰς, τοὺς δὲ τοῦ καὶ ὄντος καὶ φαινομένου γνησίους ἐραστὰς κάλλους ἀληθινοῦ.

4. Εἶεν. Ἐπεὶ ταύτῃ βασανιστέον τε καὶ ἀθρητέον τὸν ἐρωτικὸν καὶ λόγον καὶ ἄνδρα, ἐπιτολμητέον τοι καὶ περὶ Σωκράτους ἐκλογίσασθαι, τί ἦν αὐτῷ ταυτὶ τὰ θρυλούμενα ἐν τοῖς λόγοις, ὁποῖα ἅττα φησὶ περὶ αὐτοῦ ἐκεῖνος· ὅτι ἐστὶ θεράπων τοῦ ἔρωτος, καὶ λευκὴ στάθμη πρὸς τοὺς καλοὺς, καὶ τὴν τέχνην δεινός. Ἀλλὰ καὶ διδασκάλους ἐπιγέγραπται τῆς τέχνης, Ἀσπασίαν τὴν Μιλησίαν, καὶ Διοτίμαν τὴν Μαντινικήν· καὶ μαθητὰς λαμβάνει τῆς τέχνης, Ἀλκιβιάδην τὸν γαυρότατον, καὶ Κριτόβουλον τὸν ὡραιότατον, καὶ Ἀγάθωνα τὸν ἁβρότατον, καὶ Φαῖδρον τὴν θείαν κεφαλὴν, καὶ Λύσιν τὸ μειράκιον, καὶ Χαρμίδην τὸν καλόν. Ἀποκρύπτεται δὲ οὐδὲν τῶν τοῦ ἔρωτος, οὔτε ἔργον, οὔτε πάθος, ἀλλὰ ἔοικε πάντα ἐξῆς παρρησιαζομένῳ· πηδᾶν μὲν αὐτῷ τὴν καρδίαν ἐπὶ Χαρμίδῃ καὶ ἰδίειν τὸ σῶμα, ἐπτοῆσθαι δὲ καὶ ἐνθουσιᾶν, καθάπερ τὰς Βάκχας, ἐπὶ Ἀλκιβιάδῃ· ἐπεστρέφθαι δὲ ἐπ' Αὐτόλυκον τὰ ὄμματα, ὥσπερ ἐν νυκτὶ ἐπὶ φέγγος. Πόλιν δὲ οἰκίζων ἀγαθῶν ἀνδρῶν, τιθεὶς νόμους τοῖς ἀριστεῦσιν οὐ στέφανον οὐδὲ εἰκόνας, τὰς Ἑλληνικὰς φλυαρίας, δωρεῖται· ἀλλ' ἐξεῖναι φιλεῖν τῷ ἀρίστῳ, εἰ δή τινα ἂν θέλῃ, τῶν καλῶν. Ὦ τοῦ θαυμαστοῦ γέρως. Αὐτὸς δὲ δὴ τὸν ἔρωτα, ἀναπλάττων ἐπ' αὐτῷ μῦθον, οἷον καὶ εἶναι λέγει; αἰσχρὸν ἰδεῖν, καὶ πένητα, ἐγγυτάτω τῆς ἑαυτοῦ τύχης, ἀνυπόδητον, χαμαιεύνην, ἐπίβουλον, θηρευτικὸν, φαρμακέα, σοφιστὴν, γόητα, ἀτεχνῶς οἷα εἰς αὐτὸν Σωκράτην ἔσκωπτον ἐν Διονυσίοις οἱ κωμῳδοί. Ἔλεγε δὲ ταῦτα μόνον οὐκ ἐν μέσοις τοῖς Ἕλλησιν, ἀλλὰ καὶ οἴκοι καὶ δημοσίᾳ, ἐν συμποσίοις, ἐν Ἀκαδημίᾳ, ἐν Πειραιεῖ, ἐν ὁδῷ, ὑπὸ πλατάνῳ, ἐν Λυκείῳ. Καὶ τὰ μὲν ἄλλα ἅπαντα ἀποποιεῖται εἰδέναι, καὶ τοὺς περὶ ἀρετῆς λόγους, καὶ τὰς περὶ θεῶν δόξας, καὶ τὰ ἄλλα ἅπαντα, ἐφ' οἷς οἱ σοφισταὶ ἐκόμων· τὴν δὲ ἐρωτικὴν τέχνην ὑποδὺς, ταύτης καὶ ἐπιστήμων εἶναι, καὶ πραγματεύεσθαι περὶ αὐτὴν ἔλεγε.

5. Τί βούλεται τῷ Σωκράτει ταυτὶ τὰ κομψὰ, εἴτε αἰνίγματα, εἴτε εἰρωνεύματα; Ἀποκρινάσθω ἡμῖν ὑπὲρ τοῦ Σωκράτους Πλάτων, ἢ Ξενοφῶν, ἢ Αἰσχίνης, ἤ τις ἄλλος τῶν ὁμοφώνων αὐτῷ. Ἐγὼ μὲν γὰρ θαυμάζω καὶ ἐκπλήττομαι, ὅπως τὰ μὲν Ὁμήρου ἔπη τῆς θαυ-

quo fit ut improbi amatores se efferant, quasi aliquid cum deo commune habeant, nomen videlicet; non credantur contra boni, quia ambiguitas affectus illius imponit. Quare quod faceremus, si duo nobis exploraudi essent argentarii, uter eorum probum numum calleat aut non calleat: alterum namque, qui probo numo præferret eum, qui videretur tantum, nec esset, procul a scientia abesse diceremus; alterum contra, qui ipsum verum intelligeret, peritum esse concederemus: eodem modo scientiam amandi in ipsius pulchri natura, tanquam in numo quodam explorando, versari dicamus. Si enim pulchrum duplex est; quorum alterum videtur esse nec est, alterum et videtur et est: necesse est eos, qui pulchrum illud ambiunt, quod videtur nec est, spurios et adulterinos amatores esse; contra, qui illud quod et videtur et est, veros amatores esse et verum pulchrum amare.

4. Esto. Quando igitur una hæc sit explorandi ratio, qua et de homine et de sermone amatorio sit judicandum; audeamus et de Socrate rationes serere; ut sciamus, quid illa sibi velint, quæ toties in disputationibus suis de se ipso dicit, quum *amoris famulum se* vocat, quum *albam lineam in judicanda puerorum pulchritudine*, quum *artis* hujus sibi vindicat *scientiam*. Immo etiam magistras hujus disciplinæ suas agnoscit, Aspasiam Milesiam, et Diotimam Mantinicen; ac discipulos ejusdem assumit, elatissimum Alcibiadem, et venustissimum Critobulum, et delicatissimum Agathonem, et *divinum* illud, ut vocat, *caput* Phædrum, et adolescentulum Lysin, et formosum illum Charmidem. Neque ullam amatoriam aut actionem, aut affectum dissimulat, sed libere omnia ordine effundit: *Charmidis amore palpitare sibi cor* dicit, *et sudare corpus; percelli et furere non secus, quam Bacchæ solent, amore Alcibiadis; ad Autolycum non aliter, quam noctu ad lumen aliquod, sibi conversos oculos*. Rursus in sua, quam ex optimis civibus constituit, republica quum sancit leges, præmia virtutis non coronas aut statuas, nænias illas Græcorum, largitur; sed ut præstantissimo liceat pulchrum osculari adolescentulum, quem ipse voluerit. O præmium admirabile! Jam in fabula, quam de amore finxit ipse, quomodo descripsit eum? turpem videlicet aspectu, pauperem, ejusdem fere fortunæ cujus ipse esset, discalceatum, humicubum, insidiatorem, qui semper venaretur aliquid, veneficum, sophistam, præstigiatorem denique: plane qualia ipsi Socrati Dionysiis objicere solebant poetæ comici. Et hæc quidem propemodum in medio Græcorum omnium, sed et privatim et publice, in conviviis, in Academia, in Piræeo, in via, sub platano dicebat sua, et in Lyceo. Adde quod reliquarum rerum negat se scire quicquam, nec quæ de virtute, nec quæ de diis traduntur, neque quicquam denique eorum, quæ cum fastu profitebantur sophistæ; solum tamen amatoriæ scientiæ nomen artemque sibi vindicat, in ea quotidie occupari se fatetur.

5. Quid sibi volunt istæ Socratis elegantiæ, sive ænigmata, sive delusiones? Respondeat nobis pro Socrate vel Plato, vel Xenophon, vel Æschines, ejusve familiarium alius quivis. Ego certe miror et obstupesco, quum cogito, Socratem ex admirabili illa sua republica procul ab educatione juvenum,

μαστῆς πολιτείας καὶ τροφῆς τῶν νέων ἀπεπέμψατο αὐτῷ Ὁμήρῳ, ἐρίῳ στεφανώσας τὸν ποιητὴν καὶ χρίσας μύρῳ, αἰτιασάμενος τὴν παρρησίαν τῶν ἐπῶν· ὅτι ὁ Ζεὺς πεποίηται αὐτῷ τῇ Ἥρᾳ μισγόμενος ἐν τῇ Ἴδῃ, νεφέλης αὐτοὺς καλυπτούσης ἀθανάτου, καὶ Ἄρεως καὶ Ἀφροδίτης συνουσία, καὶ Ἡφαίστου δεσμὰ, καὶ θεοὶ πίνοντες, καὶ γελῶντες θεοὶ ἄσβεστον γέλωτα, καὶ Ἀπόλλων φεύγων, καὶ Ἀχιλλεὺς διώκων,

> Αὐτὸς θνητὸς ἐὼν, θεὸν ἄμβροτον,

καὶ ὀδυρόμενοι θεοί·

> Ὤμοι ἐγὼν, ὅτε μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν,

ὁ Ζεὺς λέγει· καὶ αὖθις αὖ,

> Ὤμοι ἐγὼ δειλὴ, ὤμοι δυσαριστοτόκεια,

ἡ Θέτις λέγει· καὶ ὅσα ἄλλα ἐπὶ τούτοις Ὅμηρος μὲν ᾐνίξατο, Σωκράτης δὲ ἐμέμψατο· αὐτὸς δὲ δὴ Σωκράτης ὁ ἐραστὴς μὲν σοφίας, πενίας δὲ κρείττων, ἡδονῆς δὲ ἐχθρὸς, ἀληθείας δὲ φίλος, οὕτω σφαλεροὺς καὶ κινδυνώδεις λόγους ταῖς αὑτοῦ ὁμιλίαις ἀνεκέρασεν, ὥστε τὰ Ὁμήρου αἰνίγματα πόρρω πάνυ εἶναι τῆς αἰτίας, τοῖς ἐκείνου παραβαλλόμενα. Αὐτίκα γὰρ ὁ μὲν περὶ τοῦ Διὸς τοιαῦτα ἀκούσας, καὶ τοῦ Ἀπόλλωνος, καὶ τῆς Θέτιδος, καὶ τοῦ Ἡφαίστου, καταμαντεύεται τοῦ λόγου, ὡς φησὶ μὲν ταῦτα, ἕτερα δὲ αἰνίττεται· καὶ παρεὶς τῇ ἀκοῇ τὸ τερπνὸν, συναγωνίζεται τῷ ποιητῇ, καὶ συνεξαίρεται τῇ φαντασίᾳ, καὶ συναναπλάττει τὸν λόγον, ἀπιστῶν ὁμοῦ καὶ χαίρων τῇ τῆς μυθολογίας ἐξουσίᾳ. Ὁ δὲ Σωκράτης ἡμῖν ἐπ' ἀληθείᾳ διατεθρυλημένος, ἐπισφαλέστερος ἐν οἷς αἰνίττεται, διὰ τὸ ἀξιόπιστον μὲν ἐν τοῖς λόγοις, δυνατὸν δὲ τῇ μιμήσει, ἀνόμοιον δ' ἐν τοῖς ἔργοις. Οὐδὲν γὰρ αὐτὸς αὑτῷ ὅμοιος ὁ Σωκράτης ἐρῶν τῷ σωφρονοῦντι, καὶ ὁ ἐκπληττόμενος τοὺς καλοὺς τῷ ἐλέγχοντι τοὺς ἄφρονας· ὁ Λυσίου τῶν ἐρωτικῶν ἀντίτεχνος, ὁ Κριτοβούλου ἁπτόμενος, ὁ ἀπὸ κυνηγεσίου τῆς Ἀλκιβιάδου ὥρας παραγινόμενος, ὁ Χαρμίδην τεθηπώς. Πῶς γὰρ ὅμοια ταῦτα φιλοσόφῳ βίῳ; οὐ τῇ πρὸς τὸν δῆμον παρρησίᾳ, οὐδὲ τῇ πρὸς τοὺς τυράννους ἐλευθερίᾳ, οὐδὲ τῇ ἐπὶ Δηλίῳ ἀριστείᾳ, οὐδὲ τῇ πρὸς τοὺς δικαστὰς ὑπεροψίᾳ, οὐδὲ τῇ ἐπὶ τὸ δεσμωτήριον ὁδῷ, οὐδὲ τῇ πρὸς τὸν θάνατον παρασκευῇ· πολλοῦ γε καὶ δεῖ. Εἰ μὲν γὰρ ἀληθῆ ταῦτα, εὐφημεῖν ἄξιον· εἰ δὲ αἰνίττεται δι' αἰσχρῶν ῥημάτων πράξεις καλὰς, δεινὸν καὶ σφαλερὸν τὸ χρῆμα. Τὸ γὰρ ὑποβαλεῖν αἰσχρῷ καλὸν, καὶ τὰ ὠφελοῦντα διὰ τῶν βλαπτόντων ἐπιδείκνυσθαι, οὐχ ὠφελεῖν βουλομένου ἔργον (τὸ γὰρ ὠφελοῦν ἀφανές) ἀλλὰ βλάπτειν· πρόχειρον γὰρ τοῦτο. Ταῦτα οἶμαι Θρασύμαχον ἂν εἰπεῖν, ἢ Καλλίαν, ἢ Πῶλον, ἢ ὅστις ἄλλος τῇ Σωκράτους φιλοσοφίᾳ ἐπολέμει.

6. Φέρ' ἐπαμύνωμεν τῷ λόγῳ, μὴ κενὰ φλυαρῶμεν. Καὶ δή μοι δοκῶ βούλεσθαι μὲν ταῦτα, δύνασθαι δὲ ἧττον· χρὴ δὲ ὁμοῦ τῷ βούλεσθαι καὶ δύνασθαι. Ὧδε τοίνυν δράσωμεν περὶ ῥᾳστώνην τοιαύτην τῶν λόγων,

lana coronatum et unguento delibutum ablegasse Homerum cum suis carminibus, non aliam ob causam, quam licentiam illam, qua in poesi sua usus est: ut quum Jovem inducit, qui sub immortali nebula Junonem suam amplectitur in Ida monte; ut quum Martis Venerisque congressum, et Vulcani describit vincula; quum deorum compotationes, et effusos risus, quod Apollo fugiat, Achilles persequatur,

> Mortali de stirpe, deum:

quod dii lamententur;

> Hei mihi, Sarpedon, animi lux unica nostri,
> occidit,

ait Juppiter; et rursus,

> Hei mihi, cui natus pariter præstansque miserque,

Thetis dicit; et cetera, quæ ab Homero alia mente dicuntur, reprehenduntur a Socrate. Ipse tamen Socrates, ille philosophiæ amator, paupertatis contemptor, voluptatis inimicus, amicus veritatis, lubricos adeo periculososque disputationibus suis miscuit sermones, ut a crimine longissime absint fabulæ Homericæ, si cum illis conferantur. Statim enim quicunque ejusmodi vel de Jove, vel de Apolline, vel de Thetide, vel de Vulcano dicta audit, auguratur in his aliud verba dicere, aliud significari: itaque auribus voluptatem indulget, animo vero cum poeta certat, et imaginationem suam altius attollit, et ipse quoque quasi adjuvat figmentum, mythici commenti licentiâ gaudens simul eidemque (ad verbum intellecto) diffidens. At vero Socrates, qui ubique a veritatis commendatur studio, magis periculosas fingit fabulas, quia persuadent ejus argumentationes, vim habet ipsius morata rerum expressio et pictura, vita autem ejus plane sibi dispar videtur. Quid enim dissimilius Socrate, quum de amore, et de temperantia loquitur? quum ad pulchrorum aspectum quasi percussus deficit, et libidinosos reprehendit? quum amatoriam Lysiæ orationem refutat, quum Critobulum tangit, quum Alcibiadis florem venatus redit, quum Charmidem obstupescit? Qui enim hæc sapientis vitam referant? non referunt ipsius præsentiam animi, qua populum; libertatem, qua reges tangit; neque virtutem, qua ad Delium hostes; magnitudinem animi, qua judices suos contemnit, neque supremum illud iter, quum carcerem intrat; aut denique illum animum quo se ad mortem parat: plurimum vero abest. Nam si hæc simpliciter dicit ut cogitat, taceo, ne quid gravius dicam; sin oratione turpi res honestas designat, mirum et periculosum hoc est. Neque enim honestum turpi velare, et ea quæ prosunt, sub iis quæ nocere possunt, abscondere, videtur ejus esse, qui prodesse vult (quippe quod prodesse potest, non apparet), sed qui nocere mavult, quod factu est facillimum. Hæc opinor Thrasymachum fuisse dicturum, aut Calliam [*Calliclem*], aut Polum, aut si quis præterea Socraticæ philosophiæ fuit adversarius.

6. Age ergo illis, ne nugemur quæ ad rem non conducunt, sic respondeamus: quamvis longe supra vires nostras sit hæc voluntas; quum voluntati adesse debeat facultas. Sic itaque agamus circa hanc Socratis negligentiam et secu-

οἷον καὶ οἱ εἰς τὰ δικαστήρια εἰσαγγελλόμενοι· οἱ κινδυνεύοντες οὐ περὶ τοῦ πράγματος ἀπολογοῦνται μόνον, ὑπὲρ ὅτου ἡ εἰσαγγελία ἐγένετο, ἀλλ' ἠρέμα εἰς ἄλλους ἀξιοχρεωτέρους τρέπουσι τὴν αἰτίαν, τῇ πρὸς ἐκείνους κοινωνίᾳ κατασμικρύνοντες τὰ αὑτῶν. Οὐκοῦν καὶ ἡμεῖς περὶ Σωκράτους, εἰ μὲν ὀρθῶς ταῦτα ἔδρα ἢ μή, σκοπεῖν ἀναθησόμεθα σμικρὸν ὅσον, τὸ νῦν ἔχον, λέγωμεν δὲ ὡδὶ πρὸς τουτουσὶ τοὺς δεινοὺς κατηγόρους· ὅτι Ἡμῖν δοκεῖτε, ὦ ἄνδρες, ἀτοπώτεροι εἶναι συκοφάνται Ἀνύτου καὶ Μελήτου· ἐκεῖνοι μέν γε ἀδικεῖν γραψάμενοι Σωκράτην, καὶ τοὺς νέους διαφθείρειν, καὶ ὅτι μὲν Κριτίας ἐτυράννησε, τοῦτο ἀδικεῖν ἔλεγον τὸν Σωκράτην, καὶ ὅτι Ἀλκιβιάδης ἐξύβριζε, καὶ ὅτι τὸν ἥττω λόγον κρείττω ποιεῖ, καὶ ὀμνύει τὴν πλάτανον καὶ τὸν κύνα· τῶν δὲ ἐρωτικῶν τῶν Σωκράτους ἀπέσχοντο καὶ οἱ δεινοὶ οὗτοι συκοφάνται. Ἀλλ' οὐδὲ Ἀριστοφάνης τὰ Σωκράτους ἐν Διονυσίοις κωμῳδῶν, ὁ δεινότατος τῶν κατηγόρων, ἐλοιδορήσατο τῷ ἔρωτι τοῦ Σωκράτους· καίτοι πένητα εἰπών, καὶ ἀδολέσχην, καὶ σοφιστήν, καὶ πάντα μᾶλλον ἢ κακῶς ἐρῶντα. Οὐ γὰρ ἦν, ὡς ἔοικε, τὸ πρᾶγμα οὔτε τοῖς συκοφάνταις, οὔτε τοῖς κωμῳδοῖς ἐπιλήψιμον.

7. Διὸ δὴ τὸ μὲν Ἀθηναίων θέατρον καὶ τὸ δικαστήριον ἐκεῖνο διαπέφευγε, πρὸς τουτουσὶ δὲ τοὺς νυνὶ κατηγόρους (οὐ γάρ εἰσιν ἐκείνων ἀμαχώτεροι) διαγωνισώμεθα τὸ πρῶτον τῇδε· ὡς οὐχ ἴδιον Σωκράτους τὸ ἐρωτικὸν ἐπιτήδευμα, ἀλλὰ μακρῷ πρεσβύτερον. Μάρτυρα δὲ αὐτὸν Σωκράτην παραστησώμεθα, ἐπαινοῦντα μὲν τὸ ἔργον καὶ θαυμάζοντα, ἐξομνύμενον δὲ αὐτοῦ τὴν εὕρεσιν. Ἐπιδειξαμένου γὰρ αὐτῷ τοῦ Μυρρινουσίου Φαίδρου λόγον ὑπὸ Λυσίου τοῦ Κεφάλου συγγεγραμμένον ἐρωτικόν, οὐκ ἔφη θαυμάζειν, πλῆρες τὸ στῆθος ἔχων, ὥσπερ ἀγγεῖον, ἀλλοτρίων ναμάτων, ἤπου Σαπφοῦς τῆς καλῆς (οὕτω γὰρ αὐτὴν ὀνομάζων χαίρει διὰ τὴν ὥραν τῶν μελῶν, καίτοι μικρὰν οὖσαν καὶ μέλαιναν) ἢ Ἀνακρέοντος, φησί, τοῦ σοφοῦ. Τὸν δὲ ἐν τῷ Συμποσίῳ λόγον, εἰς ἔρωτα ἔπαινον, Μαντινικῇ γυναικὶ ἀνατίθησιν· ἀλλὰ εἴτε Μαντινική, εἴτε καὶ Λεσβία τις ἦν ἡ τοῦ λόγου μήτηρ, πάντως γε οὐχ ἴδιοι τοῦ Σωκράτους ἐρωτικοὶ λόγοι, οὐδὲ πρώτου· θεασώμεθα γὰρ οὕτως ἀπὸ Ὁμήρου ἀρξάμενοι.

8. Οὗτος γάρ μοι δοκεῖ πολυφωνότατος ὢν καὶ δεινὸς ὁμοῦ τοῖς καλοῖς τὰ αἰσχρὰ ἱστορεῖν, τὰ μὲν ὅπως ἔχωμεν, τὰ δὲ ὅπως φεύγωμεν, τὰ μὲν ἄλλα εὐήθως πάνυ καὶ ἀρχαίως ἐκδιδάσκειν, ἰᾶσθαι καὶ ἡνιοχεῖν καὶ τάττειν στράτευμα· ἐν νόσῳ μὲν παραινῶν ἐγχριμφθῆναι τὸν ἐπὶ λαιᾷ ἵππον, κυκεῶ δὲ Πραμνίου διδοὺς τοῖς κάμνουσι, τοὺς δὲ κακοὺς ἐν μέσῳ τάττων τῶν ἀγαθῶν, καὶ τοὺς ἱππεῖς διακρίνων τῶν πεζῶν· ἦ γὰρ ἂν γέλωτα ὄφλοι τὰ σοφὰ ταῦτα τοῖς νῦν τακτικοῖς, καὶ ἰατροῖς, καὶ ἡνιόχοις· τὰ δὲ τοῦ ἔρωτος πάντα ἑξῆς δίεισι, καὶ ἔργα, καὶ ἡλικίας, καὶ εἴδη, καὶ πάθη, τὰ καλά, τὰ αἰσχρά, τὸν σώφρονα ἔρωτα, τὸν ἀκόλαστον, τὸν δίκαιον, τὸν ὑβριστήν, τὸν ἐπιμανῆ, τὸν

ritatem in sermonibus de amore, quemadmodum solent in judiciis rei; qui in periculo constituti, non de sola re ea, de qua in judicium vocantur, respondent; sed sensim in alios, quorum major est auctoritas, culpam derivant, ut facinus a se commissum ita elevent, si tales in societatem ejus venire ostendant. Ita nos quoque, rectene an contra hæc fecerit Socrates, inquirere aliquantum in præsenti differamus; ac hoc potius modo violentis illis accusatoribus respondeamus : Videmini mihi, viri optimi, ineptius calumniari Socratem, quam aut Anytus aut Melitus : illi quippe crimina nonnulla quum Socrati objicerent, et quod juventutem corrumperet, et quod Critias tyrannum egerit, Alcibiades contumeliose ageret, quod ex inferiore et improba ratione superiorem et probam faceret, quod postremo per platanum juraret, et canem : verum amatoriam Socratis, licet tam graves fuerint calumniatores, accusare non sunt ausi. Sed nec Aristophanes, asperrimus accusatorum ejus, quum Dionysiis omnia Socratis traduceret, in amorem tamen ejus ullum vibravit dicterium; quanquam pauperem eum vocabat, et inepte garrulum, et sophistam, quidvis denique potius, quam ut male amare eum diceret. Videtur enim hoc in eo supra calumniatorum omnium et comicorum fuisse reprehensionem.

7. Quare et theatrum Atheniensium et judicium illius temporis hæc accusatio prorsus effugit; in præsentia tamen cum ævi hujus calumniatoribus, qui antiquis illis non sunt validiores, nobis ita agendum erit, ut primo ostendamus iis, non fuisse amatoriam Socratis inventum, sed longe antiquius. Hujus rei testem age ipsum excitemus Socratem, qui quum admiretur artem et commendet, inventionem tamen ejus ejuret. Quum enim Phædrus Myrrhinusius amatoriam Lysiæ Cephali filii orationem illi recitasset; negat se mirari talia, quum ipse, non secus ac dolium aliquod, aliorum liquoribus plenum habeat pectus, ut puta *pulchræ* illius Sapphus (sic enim a carminum pulchritudine vocare amat, quum exigua alias fuerit et fusca) aut *sapientissimi*, inquit, Anacreontis. Rursus illustrem in Convivio orationem, encomium amoris, Mantinicæ cuidam feminæ acceptum fert; verum sive Mantinica fuerit, sive Lesbia illius orationis mater, certum est non proprios esse Socrati neque ab eo primo profectos sermones de amore. Quod ut appareat, demonstrationis ab Homero initium faciamus.

8. Quo quum nemo majore copia et arte honesta, quæ tenenda, turpia, quæ vitanda sunt, proposuisse videatur; invenies tamen admodum simpliciter et antiqua ruditate in disciplinis versari reliquis; sicut quum de medicina, de aurigandi arte, de instruenda acie agit; equum sinistrum metæ proxime admovendum esse monens, potionem mixtam e vino Pramnio ægris propinans, imbelles in medio fortium locans, equitesque distinguens a peditibus : hæc tam præclara, si diis placet, nostri temporis tactici, medici, aurigæ, risu exciperent : at quando de amore agit, nihil est quod non ordine describat, effectus, ætatem idoneam, species, affectiones, ejus honesta, turpia ejus, amorem castum, amorem impudicum, amorem probum, amorem libidinosum, amorem furiosum, amorem sedatum; ut in

πρᾷον· καὶ ἔστιν ἐν τοιούτοις οὐκέτι ἀρχαῖος, ἀλλὰ τεχνίτης δεινὸς,

Οἷοι νῦν βροτοί εἰσιν.

Αὐτίκα ἐν πρώτῳ λόγῳ ἐπὶ αἰχμαλώτῳ ἐρασταὶ δύο, ὁ μὲν θρασὺς καὶ ἐπιμανὴς, ὁ δὲ ἥμερος καὶ ἐμπαθής· ὁ μὲν ἀποφλογοῦται τὰ ὄμματα, καὶ λοιδορεῖται πᾶσι καὶ ἀπειλεῖ· ὁ δὲ ἀναχωρεῖ ἐφ' ἡσυχίας, καὶ δακρύει κείμενος, καὶ ἀλύει, καὶ ἀπελεύσεσθαι φησὶ, καὶ οὐκ ἄπεισιν. Ἄλλη εἰκὼν ἀκολάστου ἔρωτος· τοιοῦτος αὐτῷ ὁ Ἀλέξανδρος, οἷος ἐκ μάχης ἐπανιέναι εἰς τὸν θάλαμον καὶ ἀεὶ μοιχῷ ἐοικέναι. Ἔστιν αὐτῷ καὶ δίκαιος ἔρως παρ' ἀμφοῖν ἴσος, οἷον ὁ τῆς Ἀνδρομάχης καὶ τοῦ Ἕκτορος· ἡ μὲν πατέρα καὶ ἀδελφὸν καλεῖ τὸν ἄνδρα καὶ ἐραστὴν, καὶ πάντα δὴ τὰ φίλτατα ὀνόματα· ὁ δὲ οὔτε μητρὸς τοσουτονὶ αὐτῷ μέλειν, ὅσον ἐκείνης, λέγει. Ἔδειξε καὶ τὸν χαμαιεύνην ἔρωτα ἐπὶ τῆς Ἥρας καὶ τοῦ Διός· καὶ τὸν ὑβριστὴν ἐπὶ τῶν μνηστήρων· καὶ τὸν γόητα ἐπὶ τῆς Καλυψοῦς· καὶ τὸν φαρμακέα ἐπὶ τῆς Κίρκης· καὶ τὸν ἀνδρεῖον ἐπὶ τῷ Πατρόκλῳ, τὸν πόνῳ κτητὸν καὶ χρόνῳ, καὶ μέχρι θανάτου προερχόμενον, νέων καὶ καλῶν ἀμφοτέρων, καὶ σωφρόνων, τοῦ μὲν παιδεύοντος, τοῦ δὲ παιδευομένου· ὁ μὲν ἄχθεται, ὁ δὲ παραμυθεῖται· ὁ μὲν ᾄδει, ὁ δὲ ἀκροᾶται· ἐρωτικὸν δὲ καὶ τὸ τυχεῖν ἐθέλοντα ἐξουσίας πρὸς μάχην, δακρῦσαι ὡς οὐκ ἀνεξομένου τοῦ ἐραστοῦ· ὁ δὲ ἐφίησι, καὶ τοῖς αὐτοῦ ὅπλοις κοσμεῖ, καὶ βραδύνοντος περιδεῶς ἔχει, καὶ ἀποθανόντος ἀποθανεῖν ἐρᾷ, καὶ τὴν ὀργὴν κατατίθεται· ἐρωτικὰ δὲ καὶ τὰ ἐνύπνια, καὶ τὰ ὀνείρατα, καὶ τὰ δάκρυα, καὶ τὸ τελευταῖον δῶρον ἤδη θαπτομένῳ ἡ κόμη. Ταῦτα μὲν τὰ Ὁμήρου ἐρωτικά.

9. Ἡσιόδῳ δὲ ἀείδουσιν αἱ Μοῦσαι τί ἄλλο ἢ γυναικῶν ἔρωτας καὶ ἀνδρῶν, καὶ ποταμῶν ἔρωτας καὶ * βασιλέων * καὶ φυτῶν; Τὸν δὲ Ἀρχιλόχου ἔρωτα (ὑβριστὴς γάρ) χαίρειν ἐῶ. Ὁ δὲ τῆς Λεσβίας (εἴ τοι χρὴ πρεσβύτερα τοῖς νέοις εἰκάσαι) τί ἂν εἴη ἄλλο, ἢ αὐτὸ, ἡ Σωκράτους τέχνη ἐρωτική; Δοκοῦσι γάρ μοι τὴν καθ' αὑτὸν ἑκάτερος φιλίαν, ἡ μὲν γυναικῶν, ὁ δὲ ἀρρένων, ἐπιτηδεῦσαι. Καὶ γὰρ πολλῶν ἐρᾷν ἔλεγον, καὶ ὑπὸ πάντων ἁλίσκεσθαι τῶν καλῶν· ὅ, τι γὰρ ἐκείνῳ Ἀλκιβιάδης καὶ Χαρμίδης καὶ Φαῖδρος, τοῦτο τῇ Λεσβίᾳ Γυριννὼ καὶ Ἀτθὶς καὶ Ἀνακτορία· καὶ ὅ, τι περ Σωκράτει οἱ ἀντίτεχνοι, Πρόδικος καὶ Γοργίας καὶ Θρασύμαχος καὶ Πρωταγόρας, τοῦτο τῇ Σαπφοῖ Γοργὼ καὶ Ἀνδρομέδα· νῦν μὲν ἐπιτιμᾷ ταύταις, νῦν δὲ ἐλέγχει, καὶ εἰρωνεύεται αὐτὰ ἐκεῖνα τὰ Σωκράτους. « Τὸν Ἴωνα χαίρειν, » φησὶν ὁ Σωκράτης· « Πολλά μοι τὰν Πολυανακτίδα παῖδα χαίρειν, » Σαπφὼ λέγει. Οὐ προσιέναι φησὶν ὁ Σωκράτης Ἀλκιβιάδῃ, ἐκ πολλοῦ ἐρῶν, πρὶν ἡγήσατο ἱκανὸν εἶναι πρὸς λόγους· « Σμικρά μοι παῖς ἔτι φαίνεο κοὐ χαρίεσσα, » Σαπφὼ λέγει. Κωμῳδεῖ σχῆμά που καὶ κατάκλισιν σοφιστοῦ· καὶ αὕτη, « Τίς δὲ ἀγροιῶτιν ἐπεμμένα στολήν. » Τὸν

ejusmodi rebus non amplius antiquitatem redoleat, sed artifex sit singularis, si compares

Quales nunc homines.

Ecce statim in principio operis amatores introducit duos captivæ mulieris, quorum alter audax est et furiosus; alter lenior quidem, hujus tamen perturbationis haud immunis: alter ex oculis flammam jacit, omnibusque maledicit et minatur ordine; alter tacite recedit, humi lacrimans procumbit, et temere oberrat, discessurum denique se ait, quum tamen maneat. Alia est impudici amoris imago; quam in Paride Homerico habes, qui prælio se subducit, thalamum intrat, et ubique mœcho est similis. Invenies apud illum et castum amorem, qui utrimque mutuo respondet, quem in Hectore habes et Andromache; quæ viro suo et amatori Hectori patris fratrisque, et si qua præterea amicissima sunt, tribuit nomina; hic vicissim ne de matre quidem sua se tam sollicitum esse ait, quam de illa. Idem poeta ostendit etiam venereum amorem in concubitu Junonis et Jovis; et libidinosum in procis; illecebrosum in Calypsone; veneficum in Circe: virilem in Patroclo, labore et tempore partum, et ad mortem usque perdurantem, quorum uterque juvenis, uterque pulcher, uterque castus est; alter instruit, alter instruitur; alter dolet, solatur alter; alter canit, auscultat alter: in quibus affectum amatorium hoc quoque exprimit, quod quum pugnæ potestatem sibi optet Patroclus, lacrimet tanquam non impetraturus hoc ab amante, qui tamen et concedit illi et suis armis illum ornat; sed et cunctante eo metuit, et mortuo mori ipse quoque optat, iramque suam deponit: amatoriæ sunt et nocturnæ visiones ejus, et somnia, et lacrimæ illæ, donum postremo ultimum, quod sepulcro impendit, capillus. Hæc sunt amatoria Homeri.

9. Jam apud Hesiodum quid aliud Musæ canunt, quam virorum mulierumque amores, amores fluviorum [et animalium] et plantarum? Nam Archilochi amorem, qui sit impudicus et petulans, facile prætereo. Sapphus vero (si quidem antiquiora cum recentioribus conferre fas est) amor quid est aliud, quam hoc ipsum, amatoria ars Socratis? Videntur enim mihi uterque propriam sibi et convenientem sexui suo propensionem animi sequi, hic quum viros, illa quum mulieres amat. Uterque plurimos se amare fatetur, et ab omnibus formosis facillime capi: quod enim Alcibiades illi, et Charmides, et Phædrus; hoc Lesbiæ erat Gyrinno, Atthis, et Anactoria: et quod Socrati æmuli illi Prodicus, Gorgias, Thrasymachus et Protagoras; hoc Sapphoni Gorgo et Andromeda; interdum namque increpat illas, interdum arguit, et ubique urbana illa Socratis ipsa quoque utitur dissimulatione. *Ionem salvere jubeo,* ait Socrates; *Plurimum salvere Polyanactidæ filiam jubeo*, ait Sappho. Negat se Alcibiadem, quem diu ante amarat, priusquam e colloquiis suis fructum haurire posset, accedere velle Socrates; *Parva mihi adhuc puella videre, nec matura gratiæ,* ait Sappho. Ille habitum alicubi et discubitum sophistæ perstringit; hæc alicubi canit; *Quænam rustica tu-*

Ἔρωτα φησὶν ἡ Διοτίμα τῷ Σωκράτει, οὐ παῖδα, ἀλλὰ ἀκόλουθον τῆς Ἀφροδίτης καὶ θεράποντα εἶναι· λέγει που καὶ Σαπφοῖ ἡ Ἀφροδίτη ἐν ᾄσματι, « Σύ τε καλὸς θεράπων Ἔρως. » Ἡ Διοτίμα λέγει, ὅτι θάλλει μὲν ἔρως εὐπορῶν, ἀποθνήσκει δὲ ἀπορῶν· τοῦτο ἐκείνη ξυλλαβοῦσα εἶπε, « γλυκύπικρον καὶ ἀλγεσίδωρον. » Τὸν ἔρωτα Σωκράτης σοφιστὴν λέγει· Σαπφὼ, « μυθοπλόκον. » Ἐκβακχεύεται ἐπὶ Φαίδρῳ ὑπὸ τοῦ ἔρωτος· τῇ δὲ ὁ ἔρως « ἐτίναξε τὰς φρένας, ὡς ἄνεμος κατ' ὄρος δρυσὶν ἐμπεσών. » Μέμφεται τῇ Ξανθίππῃ ὀδυρομένῃ, ὅτι ἀπέθνησκεν· ἡ δὲ τῇ θυγατρί; « Οὐ γὰρ θέμις ἐν μουσοπόλων οἰκίᾳ θρῆνον εἶναι, οὐκ ἄμμι πρέποι τάδε. » Ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν, καὶ ἐπαινεῖ πάντας· μεστὰ δὲ αὐτοῦ τὰ ᾄσματα τῆς Σμέρδιος κόμης, καὶ τῶν Κλεοβούλου ὀφθαλμῶν, καὶ τῆς Βαθύλλου ὥρας. Ἀλλὰ κἀν τούτοις τὴν σωφροσύνην ὅρα· » Ἔραμαί τοι συνηβᾶν, φησὶ, χαρίεν γὰρ ἔχεις ἦθος· » καὶ αὖθις, « καλὸν εἶναι τῷ ἔρωτι τὰ δίκαια, » φησίν. Ἤδη δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο· « Ἐμὲ γὰρ λόγων εἵνεκα παῖδες ἂν φιλοῖεν· χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι. » Τοῦτο καὶ περὶ Σωκράτους Ἀλκιβιάδης ἔλεγεν, εἰκάζων αὐτοῦ τὴν χάριν τοῖς Ὀλύμπου καὶ Μαρσύου αὐλήμασι· Τίς ἂν, ὦ θεοὶ, μέμψαιτο ἐραστὴν τοιοῦτον πλὴν Τιμάρχου;

ΛΟΓΟΣ ΚΕ'.

Ἔτι περὶ ἔρωτος. Β.

1. Ἀναλαβόντες αὖθις αὖ τοὺς περὶ ἔρωτος λόγους, ὥσπερ ἀρχὴν μακρᾶς ὁδοῦ, μετ' ἀνάπαυλαν βαδίζωμεν ἐπὶ τὸ τέλος, ἡγεμόνας παρακαλέσαντες τῆς ὁδοῦ Ἑρμῆν τὸν λόγιον, καὶ Πειθὼ, καὶ Χάριτας, καὶ τὸν Ἔρωτα αὐτόν. Οὐ γάρ τι σμικρὸν οὐδ' ὑπὲρ τῶν τυχόντων τὸ κινδύνευμα· παραθεῖ μὲν γὰρ τῇ λεωφόρῳ τοῦ περὶ ἔρωτος λόγου κρημνὸς βαθὺς, καὶ χρὴ δυοῖν θάτερον, ἢ καλῶς ἐρῶντας ἰέναι ἀσφαλῶς, ἢ ἐκτραπομένους τῆς ὁδοῦ κακῶς ἐρᾶν καὶ ἐνεχθῆναι κατὰ τοῦ κρημνοῦ. Τοῦτό τοι δείσας καὶ Σωκράτης ἐκεῖνος, εὑρὼν τὸ πάθος ἐνακμάζον τῇ τε ἄλλῃ Ἑλλάδι, καὶ πολὺ μάλιστα ταῖς Ἀθήναις, καὶ μεστὰ πάντα ἀδίκων ἐραστῶν καὶ μειρακίων ἐξηπατημένων, οἰκτείρας τοῦ πάθους ἑκατέραν τὴν ἀγέλην, καὶ μήτε παῦσαι δυνάμενος τὴν ὕβριν νόμῳ (οὐ γὰρ ἦν Λυκοῦργος, οὐδὲ Σόλων, οὐδὲ Κλεισθένης, οὐδέ τις ἄλλος τῶν [διὰ] δύναμιν ἀρχικὴν πιστευομένων ἐν τοῖς Ἕλλησι) μήτε δι' ἐξουσίας βιάσασθαι πρὸς τὰ κρείττω (Ἡρακλέους γὰρ αὐτοῖς πρὸς τοῦτο ἔδει, ἢ Θησέως, ἤ τινος ἄλλου σωφρονιστοῦ ἰσχυροῦ), μήτε πεῖσαι λόγῳ (ἀπειθὲς γὰρ χρῆμα ἐπιθυμία προσλαβοῦσα οἶστρον, καὶ προελθοῦσα ἐγγύτατα μανίᾳ)· οὕτω δὴ ὁ Σωκράτης τὸ μὲν ὑπεριδεῖν παντάπασι τῶν νεανίσκων καὶ τῶν μειρακίων οὐκ ἠνέσχετο οὐδὲ πρὸς τὴν σωτηρίαν

nica induta [*deliniat*]? Amorem memorat Diotima Socrati non filium, sed pedissequum esse Veneris et famulum; apud Sapphonem alicubi Venus in carmine ait, ***Et tu, pulcherrime famule, Amor.*** Rursus Diotima ait, florere amorem, quum abundat; mori, quum eget; illa utrumque conjungit, quum *amorem dulceamarum* vocat et *dona* ait *dare, sed molesta.* Socrates amorem *sophistam* vocat; Sappho *verborum architectum.* Phædri amore, *tanquam bacchico furore, concitari se* ait Socrates; illa vero, ***Amor mihi mentem,*** inquit, ***impulit, venti instar, qui montanis incidit quercubus.*** Socrates Xanthippen perstringit, lamentantem quod jamjam moriturus erat; illa filiæ suæ scribit, ***Nefas in Musæ cultorum domo luctum esse, neque id nobis sit dignum.*** Sed et Teii sophistæ ars ejusdem indolis ejusdemque modi est; nam et formosos omnes amat, et laudat omnes : plenæ sunt ejus odæ Smerdis comarum, et Cleobuli luminum, et floris Bathylli. Sed in his etiam vide mihi castitatem poetæ : ***Lubet deliciari tecum,*** inquit, ***mire enim venustis es moribus;*** et rursus, ***Pulchrum est in amore, quod justum est.*** Sed et alicubi artem suam detexit : ***Me,*** inquit, ***pueri verborum meorum causa dilexerint; venusta enim iis cano, venusta possum dicere.*** Idem de Socrate Alcibiades dicebat, quum venustatem ejus cum Olympi Marsyæque tibiis et cantu confert. Quis talem, o dii, amatorem reprehendere possit præter Timarchum?

DISSERTATIO XXV.

Iterum de amore. II.

1. Resumamus iterum eandem de amore disputationem, tanquam magni itineris principium, et interposita quiete ad finem contendamus; quod ut fieri possit, duces viæ nobis advocabimus facundiæ præsidem Mercurium, Suadam, Gratias, ipsumque Amorem. Nec enim parvum est certamen, aut de re levi institutum : quandoquidem usitatam viam rationum quæ de amore concipiuntur, præcipitium comitatur profundissimum; ut alterum necesse sit, vel ut recte ames, tutoque viam hanc absolvas; aut ut de via deflectens secus ames, et in præceps feraris. Quod quum timeret noster Socrates, videretque morbum hunc cum in aliis Græciæ partibus, tum præcipue Athenis dominari, plenaque esse omnia amatoribus qui deciperent, adolescentibus qui deciperentur, miseratus est in utroque grege miserum hunc affectum; quumque rem tam impudicam lege vindicare non posset (neque enim Lycurgus erat, aut Solon, aut Clisthenes, aut alius aliquis eorum e numero, quibus Græci imperium in se permittunt), neque vi eos ad meliorem frugem cogere posset (hoc enim vel Herculis fuisset, vel Thesei, aut si quis alius robustus fuit morum castigator), neque rationibus persuadere (quia nihil est cui difficilius persuaderi possit, quam libido, præsertim si furiis quibusdam agitata quam proxime ad furorem accedat) : Socrates igitur neque amatores negligendos sibi neque amatos putavit, aut de salute eorum desperandum esse; excogita-

αὐτῶν ἐξέκαμεν, ἐξεῦρε δὲ μηχανὴν ἑκουσίου ἀγωγῆς τοιάνδε τινά.

2. Φράσω δὲ αὐτὴν κατὰ τοὺς τοῦ Φρυγὸς λόγους μῦθον πλάττων. Ποιμὴν ἀνὴρ καὶ μάγειρος ἐβάδιζον ἄμφω κοινὴν ὁδόν· ἰδόντες δὲ ἐκ ποίμνης ἄρνα εὐτραφῆ πλανώμενον, ἀπολειφθέντα τῶν συννόμων, ὤσαντο ἐπ' αὐτὸν ἄμφω. Ἦν ἄρα τότε ὁμόφωνα καὶ τὰ θηρία τοῖς ἀνθρώποις. Ἐρωτᾷ ὁ ἀμνὸς, τίς ὢν ἑκάτερος ἐθέλει αὐτὸν μεταχειρίσασθαι καὶ ἄγειν. Ὡς δὲ ἐπύθετο τἀληθῆ αὐτὰ, τὴν ἀμφοῖν τέχνην, φέρων ἑαυτὸν ἐπιτρέπει τῷ ποιμένι· [λέγων πρὸς τὸν μάγειρον,] Σὺ μὲν γὰρ δήμιός τις εἶ καὶ μιαιφόνος τῆς ἀρνῶν ποίμνης, τούτῳ δὲ ἐξαρκέσει ἂν καλῶς τὰ ἡμέτερα ἔθη. Εἴκαζε, εἰ βούλει, κατὰ τὸν μῦθον, τοὺς μὲν ἐραστὰς ἐκείνους μαγείροις πολλοῖς, τὸν δὲ Σωκράτην ποιμένι ἑνὶ, τὰ δὲ μειράκια τὰ Ἀττικὰ θρέμμασι πλανωμένοις, ὁμοφώνοις ἀληθῶς, οὐ κατὰ τὴν ἐν τοῖς μύθοις ἐξουσίαν. Τί ἂν οὖν δράσαι ὁ ποιμὴν οὗτος ὁρῶν τοὺς δημίους τῆς τῶν μειρακίων ὥρας ἐφιεμένους καὶ δρόμῳ ἐπ' αὐτὴν ὠθουμένους; ἆρα ἀνέξεται καὶ τὴν ἡσυχίαν ἄγων στήσεται; οὕτω μὲν εἴη ἂν μιαιφονώτερος αὐτῶν τῶν δημίων. Οὐκοῦν θεύσεται, καὶ κοινωνήσει τοῦ δρόμου, καὶ διώξεται σὺν αὐτοῖς, οὐκ ἐπὶ τῇ ἴσῃ. Καί τις ἰδὼν τῶν ἀπείρων τῆς τέχνης καὶ τῆς αἰτίας τοῦ δρόμου, αὐτὸ ἐκεῖνο οἰήσεται, ἐπ' ὀλέθρῳ καὶ τοῦτον θεῖν· ἐὰν δὲ ἀναμείνῃ τὸ τέλος, ἐπαινέσεται τὸν δρόμον, καὶ μιμήσεται τὴν σπουδὴν, καὶ θαυμάσει τὸν θηρευτὴν, μακαρίσει τὴν ἄγραν. Διὰ τοῦτο καὶ ὁ Σωκράτης ἐρᾶν ἔλεγε, καὶ πάντων ἐρᾶν· καὶ ἐκοινώνει τοῦ δρόμου, καὶ ἐδίωκε τοὺς καλοὺς, καὶ τοὺς συνεραστὰς ἔφθανε, καὶ τοὺς δημίους ὑπετέμνετο. Καὶ γὰρ ἦν αὐτῶν καὶ πονεῖν ἱκανώτερος, καὶ ἐρᾶν δεινότερος, καὶ λαμβάνειν εὐστοχώτερος· καὶ πάνυ εἰκότως. Τοῖς μὲν γὰρ ἄλλοις ὁ ἔρως ἦν ὄνομα ἐπιθυμίας ἐν ἡδοναῖς πλανώμενον, ἀρχὴ δὲ αὐτοῦ ἄνθος σώματος ἐρχόμενον εἰς ὀφθαλμοὺς, καὶ δι' αὐτῶν ἐπὶ τὴν ψυχὴν ῥέον· ὁδοὶ γὰρ κάλλους οἱ ὀφθαλμοί· τῷ δὲ Σωκράτει ὁ ἔρως ἦν κατὰ μὲν τὴν σπουδὴν τοῖς ἄλλοις ὅμοιος, κατὰ δὲ τὴν ἐπιθυμίαν διαφέρων, κατὰ δὲ τὴν ἡδονὴν σωφρονέστερος, κατὰ δὲ τὴν ἀρχὴν εὐστοχώτερος, ἀρχὴ δὲ αὐτοῦ ψυχῆς ἄνθος ἐν σώματι διαφαινόμενον. Οἷον εἰ ξυνείης καὶ ποταμοῦ κάλλος λειμῶνι ἐπιρρέον, καλὰ μὲν τὰ ὑπ' αὐτῷ ἄνθη, λαμπρυνόμενα δὲ ὑπὸ τοῦ ὕδατος πρὸς τὴν ὄψιν· τοῦτο δύναται καὶ ψυχῆς ἄνθος ἐμπεφυτευμένον σώματι καλῷ, ἐκλαμπρύνεται ὑπ' αὐτοῦ, καὶ ἐκλάμπει, καὶ διαφαίνεται. Καὶ ἔστι σωμάτων ὥρα οὐδὲν ἄλλο, ἢ μελλούσης ἀρετῆς ἄνθος, καὶ οἱονεὶ προοίμιον κάλλους ὡραιοτέρου. Ὥσπερ γὰρ τοῦ ἡλίου προανίσχει τις αὐγὴ ὑπὲρ ἄκρων ὀρῶν, ἀγαπητὸν ὀφθαλμοῖς θέαμα διὰ τὴν προσδοχίαν τοῦ μέλλοντος· οὕτω καὶ τῆς λαμπρᾶς ψυχῆς προανίσχει τις ὥρα ὑπὲρ ἄκρων τῶν σωμάτων, ἀγαπητὸν φιλοσόφοις θέαμα διὰ τὴν προσδοχίαν τοῦ μέλλοντος.

3. Ἀλλὰ Θετταλὸς μὲν ἀγαπήσει πωλίον, καὶ Αἰ-

vit ergo artem hujusmodi, quæ eorum animos sponte et lubentes duceret.

2. Eam autem ego exponam per apologum in morem Phrygii senis confictum. Pastor quidam et lanio simul carpebant eandem viam: inter eundum evenit ut agnum pinguissimum seorsum a grege suo viderent aberrantem: accurrit uterque. Agnus ergo (nam tum temporis humano more bruta etiam loquebantur) interrogat quis uterque eorum esset, et uter vellet ipsum prehendere ac ducere. Ubi, quod res erat, cognovit, artem utriusque, pastori se tradit: lanioni contra, Tu vero, inquit, carnifex es, gregisque nostri crudelis mactator; huic vero egregie sufficiet nostra vita. Confer, si placet, ex præscripto hujus fabulæ amatores illos cum multis lanionibus; Socratem cum pastore uno; adolescentulos Atticos cum pecoribus, quæ a grege suo aberrant; nam et hi eodem more inter se loquuntur, revera tamen, neque pro fabularum licentia. Quid ergo facturus est hic pastor, quum carnifices illos formæ insidiari adolescentulorum videbit magnoque impetu accurrere? an permittet hoc tacitusque astabit? ita ipsis crudelior tortoribus esset. Imo curret, ut illi; insequetur eodem modo, sed alio fine. Et tamen imperitus aliquis, qui artem, quam uterque profitetur, ignorat, aut qui causam currendi nescit, currere utrumque in perniciem putabit agni, donec finem videbit; tum enim hujus cursum laudabit, imitari conabitur diligentiam, admirabitur hunc venatorem, beatam judicabit ipsam prædam. Quare amare se profitebatur Socrates, et amare quidem omnes; currebat etiam cum ceteris, sectabatur formosos, rivales suos prævertebat, omnesque carnificum præcidebat conatus. Nam ipsis et laboris erat patientior, et amoris peritior, et ad capiendum dexterior: jure quidem meritoque. Alteris enim amor libidinis nomen erat, quod in mediis sine certa sede errat voluptatibus, cujus fons et origo est flos corporis, qui oculos intrat, ex oculis in animam dilabitur; prima enim via, qua pulchritudo sese insinuat, sunt oculi: at vero Socratis amor diligentia studioque consequendi similis erat reliquis, cupidine differebat; si voluptatem spectes, temperantior: si principium, vero scopo propinquior: principium enim et origo ei erat pulchritudo animæ, quæ in corpore perlucet. Ut si pulchrum cogites fluvium, qui pratum irrigat; sub quo flores, quamquam per se pulchri, splendidiores tamen per aquæ pelluciditatem oculis accidunt: idem potest flos animæ pulchro innatus corpori; illustratur ab eo, elucet, splendorem suum transfundit. Est autem nihil aliud pulchritudo corporis, quam futuræ flos virtutis, et majoris quasi pulchritudinis præludium. Sicut enim solis exortum fulgor quidam in summitate montium præcedit, quo vehementer delectantur oculi, quia aliud venturum exspectant; ita animæ splendorem splendor aliquis in extremis corporis partibus præcedit, quo plurimum delectantur philosophi, quia aliud mox venturum in eo cernunt.

3. Sed Thessalus equi pullum amabit, Ægyptius vitu-

γύπτιος πόρτιν, καὶ Σπαρτιάτης σκύλακα· φιλάνθρωπος δ' ἀνὴρ καὶ φιλοθρέμμων τοῦ ζώου τούτου, οὐ κατὰ γεωργὸν Αἰγύπτιον, οὐδὲ κατὰ ἱππικὸν Θετταλὸν, οὐδὲ κατὰ κυνηγέτην Λακωνικόν; Τούτοις μὲν γὰρ ἡ θεραπεία προμνᾶται τοῖς ζώοις πόνους· ὁ δὲ ἐραστὴς ὁ φιλάνθρωπος θεραπεύει τὰ παιδικὰ ἐπὶ κοινωνίᾳ τῆς ἀρετῆς, θεραπεύει δὲ ἐπιλεξάμενος τὰ ἐπιτηδειότατα, ἐπιτήδεια δὲ εἰς προσδοκίαν ἀρετῆς τὰ κάλλιστα. Τὸ δὲ κάλλος, τὸ αὐτὸ ὂν, ἀλλοιότερον μὲν φαίνεται μοχθηροῖς ὀφθαλμοῖς, ἀλλοιότερον δὲ ἐρασταῖς νομίμοις· καὶ γὰρ τὸ ξίφος, τὸ αὐτὸ ὂν, ἀλλοιότερον μὲν φαίνεται τῷ ἀριστεῖ, ἀλλοιότερον δὲ τῷ δημίῳ· καὶ τὴν Πηνελόπην ἀλλοίως μὲν Ὀδυσσεὺς ὁρᾷ, ἀλλοίως δὲ ὁ Εὐρύμαχος· καὶ τὸν ἥλιον ἄλλως μὲν ὁρᾷ Πυθαγόρας, ἄλλως δὲ Ἀναξαγόρας, Πυθαγόρας μὲν ὡς θεὸν, Ἀναξαγόρας δὲ ὡς λίθον· καὶ τὴν ἀρετὴν ἄλλως μὲν διώκει Σωκράτης, ἄλλως δὲ Ἐπίκουρος, Σωκράτης μὲν ὡς εὐδαιμονίας ἐραστὴς, Ἐπίκουρος δὲ ἡδονῆς. Οὕτω καὶ καλὸν σῶμα ἄλλως μὲν διώκει Σωκράτης, ἄλλως δὲ Κλεισθένης· Σωκράτης μὲν ὡς ἀρετῆς ἐραστὴς, Κλεισθένης δὲ ὡς ἡδονῆς.

4. Ὁπόταν τοίνυν ἀκούσῃς ἐρῶντα μὲν τὸν φιλόσοφον, ἐρῶντα δὲ καὶ τὸν μοχθηρὸν ἄνδρα, μὴ προσείπῃς τὸ γιγνόμενον ὀνόματι ἑνί. Ὁ μὲν ἐφ' ἡδονὴν οἰστρεῖ, ὁ δὲ κάλλους ἐρᾷ· ὁ μὲν ἄκων νοσεῖ, ὁ δὲ ἑκὼν ἐρᾷ· ὁ μὲν ἐπ' ἀγαθῷ ἐρᾷ τοῦ ἐρωμένου, ὁ δὲ ἐπ' ὀλέθρῳ ἀμφοῖν· ἐκείνου τοῦ ἔρωτος ἀρετὴ ἔργον, τοῦδε τοῦ ἔρωτος ἔργον ὕβρις· ἐκείνου τοῦ ἔρωτος φιλία τέλος, τούτου τοῦ ἔρωτος ἔχθρα τέλος· ἄμισθος ὁ ἔρως ἐκεῖνος, μισθοφόρος ὁ ἔρως οὗτος· ἐκεῖνος ὁ ἔρως ἐπαινετὸς, ἐπονείδιστος οὗτος· ἐκεῖνος Ἑλληνικὸς, βαρβαρικὸς οὗτος· ἐκεῖνος ἄρρην, ἁπαλὸς οὗτος· ἐκεῖνος ἑστὼς, πτηνὸς οὗτος, ἀβέβαιος. Ἐκεῖνον τὸν ἔρωτα ἐρῶν ἀνὴρ, φίλος θεῷ, φίλος νόμῳ, μεστὸς αἰδοῦς, μεστὸς παρρησίας· ἐκεῖνος καὶ μεθ' ἡμέραν τὸν ἐρώμενον περιέπει καὶ ἀγάλλεται τῷ ἔρωτι, καὶ ἐν γυμνασίῳ συμπλέκεται, καὶ ἐν δρόμῳ συνθεῖ, καὶ ἐν θήρᾳ συγκυνηγετεῖ, καὶ ἐν πολέμῳ συναριστεύει, καὶ ἐν ἀτυχίαις συνατυχεῖ, καὶ ἀποθανόντι συναποθνήσκει· καὶ οὐδὲν αὐτῷ δεῖ πρὸς τὴν συνουσίαν οὐ νυκτὸς, οὐχ ἐρημίας. Ὁ δὲ ἕτερος ἐραστὴς θεοῖς μὲν ἐχθρὸς, πλημμελὴς γάρ· ἐχθρὸς δὲ καὶ νόμῳ, παράνομος γάρ· ἀθαρσὴς, δύσελπις, αἰδοῦς ἄπορος, ἐρημίᾳ φίλος καὶ νυκτὶ καὶ φωλεοῖς· μηδαμοῦ ἂν ἐθέλων ὀφθῆναι συνδιημερεύων τοῖς παιδικοῖς, φεύγων ἥλιον, διώκων νύκτα καὶ ὀμίχλην,

Ποιμέσιν οὔ τι φίλην,

κλέπτῃ δὲ ἀγαθήν. Ὁ μὲν ποιμένι ἔοικεν, ὁ δὲ κλέπτῃ ἔοικεν, καὶ λανθάνειν εὔχεται· οἶδε γὰρ τὸ κακὸν ὃ δρᾷ, ἀλλὰ εἰδὼς ὑφ' ἡδονῆς ἕλκεται. Καὶ γὰρ ἐν τοῖς εὐκάρποις φυτοῖς ὁ μὲν γεωργὸς τημελῶς πρόσεισιν, ὁ δὲ κλέπτης ἐμπεσὼν δρέπει καὶ λυμαίνεται καὶ σπαράττει.

5. Καλὸν σῶμα ὁρᾷς ἀνθοῦν καὶ ἔγκαρπον· μὴ

lum, Spartiata catulum; at qui hominem amat, qui hoc animal deperit, num ab Ægyptio agricola, aut equite Thessalo, aut venatore Laconico superabitur? His enim animalibus illa cultura laborem in posterum præparat : quum amator hominis, qui adolescentem colit, nihil aliud quam communionem virtutis habeat propositam; quod ut fieri possit, ad colendum eligit ex omnibus maxime idoneos; idonei autem ad virtutem consequendam sunt qui maxime sunt pulchri. Jam pulchritudo quum sit eadem, alia tamen videtur oculis improbis, alia legitimis amatoribus : sicut ensis quum idem sit, alius tamen videtur viro forti, alius carnifici : sicut Penelopen aliter Ulysses videt, aliter Eurymachus : sicut solem aliter videt Pythagoras, aliter Anaxagoras; Pythagoras ut deum, Anaxagoras ut lapidem : sicut virtutem aliter sequitur Socrates, aliter Epicurus; Socrates enim ut beatitudinis amator, Epicurus ut voluptatis. Eodem modo pulchrum corpus aliter sequitur Socrates, aliter Clisthenes; Socrates enim ut virtutis, ut voluptatis amator Clisthenes.

4. Quum ergo audies amare philosophum, audies amare hominem improbum; cave utramque rem eodem dicas nomine. Alter namque in libidinem fertur, alter pulchritudinem amat; alter invitus æger est, alter sponte amat; alter bona illius spectat quem amat, alter cum pernicie amat utriusque; illius amoris virtus, hujus opus est insolentia; illius amoris finis est amicitia, hujus odium hostile : ille amor gratuitus, hic mercenarius est; ille encomio, hic vituperio dignus est; ille Græcus, hic barbaricus est; ille virilis, hic effeminatus est; ille stat, hic volat nec unquam diuturnus est. Qui illo amore captus est, deo carus, carus legi, plenus pudoris, plenus libertatis est; ille etiam interdiu amasium complectitur, et amore se oblectat, cum eo in gymnasio luctatur, in stadio currit, in venatione laboris comitem, in bello virtutis socium se præbet, in infortunio est consors infortunii; si moriendum est, una moritur; denique ad congressum nec nocte opus habet, nec solitudine. Alter contra amator diis inimicus, libenter enim peccat; inimicus legis, legem enim transgreditur; diffidens, exspes, impudens, solitudinem, noctem, loca tenebrosa captat; nunquam luce palam cum amasio versari audet, solem fugit, noctem sequitur et caliginem,

Quam non pastor amat,

sed fur diligit. **Alter enim pastori, alter furi similis est, optat enim latebras : malum namque, quod agit, non nescit; et quum non nesciat, tamen a voluptate trahitur. Sic ad fructiferas arbores caute accedit agricola; fur violenter carpit læditque plantas ac frangit.**

5. Pulchri corporis florem fructumque vides; cave pol-

χράνῃς, μὴ μιάνῃς, μὴ προσάψῃ τοῦ ἄνθους· ἐπαίνεσον, ὡς ὁδοιπόρος φυτόν ποτε·

Τοῖον Ἀπόλλωνος παρὰ βωμῷ.
φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα.

Φεῖσαι τοῦ φυτοῦ τοῦ Ἀπόλλωνος καὶ τοῦ Διός, ἀνάμεινον τοὺς καρποὺς, καὶ ἐρασθήσῃ δικαιότερον. Οὐ χαλεπὸν τὸ ἔργον· οὐ γὰρ Σωκράτους μόνον· οὐδὲ φιλοσόφου μόνον. Ἤδη καὶ Σπαρτιάτης ἀνὴρ οὐκ ἐν Λυκείῳ τραφεὶς, οὐδὲ ἐν Ἀκαδημίᾳ γυμνασάμενος, οὐδὲ ἐν φιλοσοφίᾳ πεπαιδευμένος, ἐντυχὼν μειρακίῳ βαρβαρικῷ μὲν, ἀλλ' ἄκρως καλῷ καὶ ἀνθοῦντι ἄρτι, ἠράσθη μὲν αὐτοῦ· πῶς δ' οὐκ ἔμελλεν; ἀλλ' οὐ περαιτέρω τῶν ὀφθαλμῶν. Ἐπαινῶ τῆς ἀριστείας τὸν Ἀγησίλαον μᾶλλον, ἢ τὸν Λεωνίδην μαχίμων· ἀμαχώτερος γὰρ ὁ ἔρως ἦν τοῦ βαρβάρου, καὶ τὰ τοῦ ἔρωτος βλήματα τιτρώσκει μᾶλλον ἢ τὰ Καδούσια ἢ τὰ Μηδικά. Τοιγαροῦν ὁ Ξέρξης μὲν ἐπέβη Λεωνίδου κειμένου, καὶ παρῆλθεν ἔσω Πυλῶν· Ἀγησιλάῳ δὲ μέχρι τῶν ὀφθαλμῶν προελθὼν ὁ ἔρως, ἐνταῦθα ἔστη ἐπὶ θύραις τῆς ψυχῆς· μεῖζον τὸ ἔργον· δίδωμι τὰ ἀριστεῖα. Ταῦτα δρῶντα ἐπαινῶ τὸν Ἀγησίλαον μᾶλλον, ἢ Τισσαφέρνην διώκοντα, ἢ Θηβαίων κρατοῦντα, ἢ τὰς μάστιγας καρτεροῦντα· ἐκεῖνα μὲν γὰρ ἦν τῆς τῶν σωμάτων τροφῆς καὶ παιδαγωγίας, ταῦτα δὲ ἔργα ψυχῆς τῷ ὄντι ἠσκημένης καὶ μεμαστιγωμένης.

ΛΟΓΟΣ Κϛ'.

Ἔτι περὶ τῆς Σωκράτους ἐρωτικῆς. Γ.

1. Σμερδίης Θρᾷξ ὑπὸ Ἑλλήνων ἁλοὺς, μειράκιον βασιλικὸν, ὀφθῆναι γαῦρον, ἐκομίσθη δῶρον τυράννῳ Ἴωνι, Πολυκράτει τῷ Σαμίῳ. Ὁ δὲ ἥσθη τῷ δώρῳ, καὶ ἐρᾷ Πολυκράτης Σμερδίου, καὶ αὐτῷ συνερᾷ ὁ Τήϊος ποιητὴς Ἀνακρέων. Καὶ Σμερδίης παρὰ μὲν Πολυκράτους ἔλαβε χρυσὸν καὶ ἄργυρον, καὶ ὅσα εἰκὸς ἦν μειράκιον καλὸν παρὰ τυράννου ἐρῶντος· παρὰ δὲ Ἀνακρέοντος ᾠδὰς καὶ ἐπαίνους, καὶ ὅσα εἰκὸς ἦν παρὰ ποιητοῦ ἐραστοῦ. Εἰ δή τις παραβάλλοι ἔρωτα ἔρωτι, τυραννικὸν ποιητικῷ· πότερος ἂν αὐτοῖν φανείη ἐνθεώτερος, καὶ οὐράνιος, καὶ ἄξιος Ἀφροδίτης ἐπονομάζεσθαι, καὶ ἔργον εἶναι θεοῦ; Ἐγὼ μὲν οἶμαι κρατεῖν ἂν τὸν Μούσαις καὶ Χάρισιν ἀνακεκραμένον μᾶλλον, ἢ τὸν ἀνάγκῃ καὶ δέει. Ὁ μὲν γὰρ αἰχμαλώτῳ ἔοικεν, ἢ μισθοφόρῳ οὐ πάνυ τι εὐτυχεῖ· ὁ δὲ ἐλευθέρῳ καὶ Ἕλληνι.

2. Διόπερ μοι δοκεῖ οὐδὲ ἐν τοῖς βαρβάροις πάνυ τι ἐπιχωριάσαι τὰ τοῦ ἔρωτος. Ὅπου γὰρ τὸ μὲν πλῆθος δουλεύει, τὸ δὲ ἄρχον δεσπόζει, τὸ διὰ μέσου ἐνθένδε ἐξῄρηται, τὸ ἰσήγορόν τε καὶ ἰσότιμον καὶ ξύννομον. Ὁ δὲ ἔρως οὐδενὶ οὕτως πολεμεῖ ὡς ἀνάγκῃ καὶ δέει· καὶ ἔστι χρῆμα γαῦρον, καὶ δεινῶς ἐλεύθερον, καὶ τῆς Σπάρτης αὐτῆς ἐλευθερώτερον. Μόνον γάρ τοι τῶν

luas, cave temeres, cave florem tangas: lauda potius, ut viator plantam olim:

Sic propter Apollinis aram
germen adhuc teneræ conspexi surgere palmæ.

Parce Apollinis Jovisque plantæ, exspecta fructus, ac tum rectius amabis. Non difficile hoc est; nec enim Socrates tantum hoc potuit, nec solius est philosophi. Scimus Spartiatam quendam, qui nec in Lyceo enutritus, nec in Academia institutus, nec in philosophia eruditus esset, occurrisse adolescentulo, quamvis barbaro, tamen formoso admodum, et qui in ipso ætatis flore esset; quem amavit quidem: quidni enim amaret? nunquam tamen ultra oculos et aspectum. Ego pluris Agesilaum ob hanc fortitudinem facio, quam Leonidam ob pugnas: magis namque inexpugnabilis amor erat quam rex barbarus; et amoris tela altius penetrant, quam Cadusia aut Medica. Quare Xerxes mortuum calcavit Leonidam, Pylasque ingressus est: at Agesilao quum ad oculos tantum usque processisset amor, in ipsis foribus animi hæsit ac remansit, quod majoris virtutis est. Ego illi præmium trado. Hoc ego in rebus Agesilai magis laudo, quam quum Tissaphernem insequitur, quum Thebanos superat, quum flagra perfert: illa namque ad corporis educationem institutionemque pertinebant; hæc contra vere exercitati animi multisque flagris subacti signa fuerunt.

DISSERTATIO XXVI.

De eadem Socratis amatoria. III.

1. Smerdies, natione Thrax, et prosapiæ et formæ regiæ puer, a Græcis captus, dono mittitur tyranno Ionico, Polycrati nimirum Samio. Quo munere in tantum hic delectatus est ut puerum vehementer amaret, in quo rivalem habuit poetam Teium, Anacreontem. Et a Polycrate quidem aurum argentumque dono accepit Smerdies, aliaque ejusmodi, quæ puerum formosum a rege amatore accipere æquum est; ab Anacreonte contra carmina ac laudes, et quæcunque ab amatore poeta æquum est. Si quis jam utrumque amorem, regium dico poeticumque, inter se componere velit; utrum eorum divinum magis cœlestemque, utrum Venere dignum, sanctum et dei opus visum iri existimas? Ego illum præferendum arbitror, quem Musæ Gratiæque temperant, ei quem necessitas et metus. Alter enim homini captivo, aut infelici similis est mercenario; alter libero et Græco.

2. Quam esse causam arbitror, cur vix inveniri apud barbaros amor soleat. Ubi enim multitudo servit, rex aut optimates imperant, ibi totum illud medium, quod auctoritate, quod dignitate ac societatis lege inter se par est, penitus sublatum est. Nihil autem amori magis inimicum est, quam metus et necessitas; est enim generosum aliquid amor et ingenuum, ipsaque Sparta magis liberum. Solus enim

ἐν ἀνθρώποις ἔρως, ἐπειδάν τῳ καθαρῶς ξυγγένηται, οὐ πλοῦτον τέθηπεν, οὐ τύραννον δέδιεν, οὐ βασίλεια ἐκπλήττεται, οὐ δικαστήριον φυλάττεται, οὐ φεύγει θάνατον· οὐ θηρίον αὐτῷ δεινὸν, οὐ πῦρ, οὐ κρημνὸς, οὐ θάλαττα, οὐ ξίφος, οὐ βρόχος· ἀλλὰ καὶ τὰ ἄπορα αὐτῷ εὐπορώτατα, καὶ τὰ δεινὰ εὐμαχώτατα, καὶ τὰ φοβερὰ εὐπετέστατα, καὶ τὰ χαλεπὰ εὐχολώτατα. Ποταμοὶ πάντες περάσιμοι, χειμῶνες πλοϊμώτατοι, ὄρη εὐδρομώτατα· πανταχοῦ θαρσεῖ, πάντων ὑπερορᾷ, πάντων κρατεῖ. Πολλοῦ γε ἄξιον τὸ ἐρᾶν, τοιοῦτον ὄν. Ἐγὼ μὲν οἶμαι καὶ εὔξασθαί τινα νοῦν ἔχοντα μηδαμοῦ ἀπαλλαγῆναι αὐτοῦ, εἰ μέλλοι ὁμοῦ ἐρῶν ἐλεύθερός τ' εἶναι καὶ ἀδεὴς καὶ ἄπταιστος.

3. Δέδια δὲ μὴ οὐ τοιοῦτον ᾖ πᾶσιν ἑξῆς, ἀλλά τις ὁμοιότης ἐπιτηδεύματος αἰσχροῦ ὑποδῦσα ἔργον καλὸν, τῇ πρὸς αὐτὸ εἰκασίᾳ καλλωπιζομένη τυγχάνῃ μὲν τῆς φαντασίας ὁμοίας, τοῦ δὲ τέλους ἀστοχῇ. Μιμεῖταί που καὶ φαρμακοπώλης ἰατρὸν, καὶ συκοφάντης ῥήτορα, καὶ σοφιστὴς φιλόσοφον. Καὶ πανταχοῦ εὕροις ἂν ξυμφυὲς ἀγαθῷ κακὸν, πολλῷ τῷ ὁμοίῳ ἀνακεκραμένον, ἢ προαιρέσει χωριζόμενον, ὡς ὁ ῥήτωρ τοῦ συκοφάντου· ἢ τέλει, ὡς ὁ ἰατρὸς τοῦ φαρμακέως· ἢ ἀρετῇ, ὡς ὁ φιλόσοφος τοῦ σοφιστοῦ· προαίρεσις δὲ καὶ ἀρετὴ καὶ τέλος ὀλίγοις γνώριμα. Ὅταν οὖν ἐν ἐπιτηδεύμασι διπλοῖς καὶ ἀμφιβόλοις τὰ μὲν ὅμοια οὐκ ἀπῇ, τὰ δ' ἀνόμοια προσῇ, ἀνάγκη κατὰ τὸ ἀγνοούμενον οὐ δυναμένοις χωρίζειν τὰς τέχνας, κατὰ τὸ εἰκαζόμενον αὐτὰς συνάπτειν.

4. Μήποτ' οὖν καὶ περὶ ἔρωτος ταύτῃ κριτέον, καὶ ἡγητέον αὐτὸν εἶναι ὄνομα κοινὸν ἐν μεταιχμίῳ ἀρετῆς καὶ κακίας τεταγμένον, ὑπ' ἀμφοῖν μὲν δημαγωγούμενον, σχηματιζόμενον δὲ πρὸς ἑκατέραν, ὁποτέρᾳ ξυγγένοιτο, τῷ τῆς ἐπαγομένης πάθει προσονομάζεσθαι. Καὶ μὴν τῆς ψυχῆς δίχα νενεμημένης, ὡς ὁ Πλάτωνος φησὶ λόγος, ἧς τῷ μὲν τῶν μερῶν ὄνομα λόγος, τῷ δὲ πάθος· ἀνάγκη τὸν ἔρωτα, εἰ μὲν κακία εἴη, πάθος τι εἶναι ἔρημον λόγου· εἰ δέ τι τῶν καλῶν, δυοῖν θάτερον, ἢ κατὰ τὸν λόγον τετάχθαι πάθους ἀπηλλαγμένον, ἢ κατὰ τὸ πάθος λόγῳ συμπεπλεγμένον. Καὶ εἰ μὲν ὁ ἔρως φιλίας ἐστὶν ὁρμὴ, καὶ ὄρεξις τοῦ ὁμοίου πρὸς τὸ ὅμοιον ἅπτοντος φύσει, καὶ ἀνακραθῆναι αὐτῷ ὀρεγομένου (πάθος ἂν εἴη τοῦτο, οὐ λόγος), δεῖ προστεθῆναι τῷ πάθει τούτῳ ἐπιστάτην λόγον, ἵνα ἀρετὴ γένηται, καὶ μὴ νόσος. Καθάπερ γὰρ ἐπὶ τῆς τῶν σωμάτων κράσεως, καὶ ἡ ὑγεία πάθος τί ἐστιν ὑγρῶν καὶ ξηρῶν, καὶ ψυχρῶν καὶ θερμῶν δυνάμεων, ἢ ὑπὸ τέχνης συγκραθεισῶν καλῶς, ἢ ὑπὸ φύσεως ἁρμοσθεισῶν τεχνικῶς· ἂν δὲ ἀφέλῃς τῆς φύσεως ἢ τῆς τέχνης, τὸ μὲν πάθος συνετάραξας, τὴν δὲ ὑγείαν ἐξήλασας· οὕτως ἀμέλει καὶ ἐπὶ τοῦ ἔρωτος, πάθος μὲν ὁμοίως ἐστὶ, κἂν ἔχῃ λόγον· ἐὰν δὲ ἀφέλῃς τὸν λόγον, ἐπετάραξας αὐτοῦ τὴν συμμετρίαν, καὶ νόσον ἐποίησας τὸ πᾶν.

5. Ἔστω δὴ ὁ ἔρως ὄρεξίς τις ψυχῆς, ἀλλὰ τῇ ὀρέξει ταύτῃ χαλινοῦ δεῖ, καθάπερ ἵππου θυμῷ. Ἐὰν δὲ

omnium, quæ hominibus adesse solent, amor, si cui pure ac sine labe ulla hæserit, nec opes admiratur, nec reges metuit, nec regiam stupet, nec judicium horret, aut mortem vitat; non bellua ulla, non ignis, non præceps locus, non mare, non ensis, non laqueus, illi metum incutit: sed et invia penetrat, et periculosa superat; et quæ alii metuunt, facile contemnit; et quæ aliis difficilia videntur, facile efficit. Fluvios facile tranat, tempestate facile navigat, in montibus facile currit; ubique præsenti est animo, omnia despicit, omnia in potestate habet. Res quantivis pretii est amor, quando talis est. Equidem arbitror, optaturum esse sapientem virum, ne unquam ab eo amor recedat, si quidem una cum illo libertatem, securitatem, animique firmitatem consecuturus sit.

3. Vereor tamen ne omnibus omnino talis sit, sed potius res fœda quæ pulcherrimæ habitum induat, externaque similitudine sola se efferat; ut ipsam quidem consequatur imaginem, multum tamen absit a fine. Imitatur etiam agyrta medicum, sycophanta oratorem, sophista philosophum. Ita ubique invenies malum bono adhærere, et ob similitudinis speciem, quam habet sæpe multam, cum eo coalescere; quum tamen vel proposito distinctum sit, ut orator a sycophanta; vel fine, ut medicus ab agyrta; vel virtute, ut philosophus a sophista: verum pauci propositum, finem, virtutem perspecte intelligunt. Quando ergo duæ artes ambiguæ concurrunt, quibus et similitudo quædam et dissimilitudo est, necesse est eos, qui secundum dissimilitudinem, ignoratam quippe, separare artes non possunt, ex eo, quod simile est, conjungant.

4. Videamus ergo an non eodem modo de amore sit judicandum, nomen nimirum esse medium, quod virtutem inter improbitatemque quasi in limite consistat, ut tam ab hac, quam ab illa suaviter alliciatur; utriusque formam, utriusque nomen, prout alteri earum adhæreat, sibi assumat. Quum autem duæ sint, ut Plato docet, partes animæ, quarum altera ratio, altera affectus dicitur: necesse est amorem, si quidem sit vitium, affectum esse sine ratione; sin virtus, e duobus alterum; ut vel ad rationem referatur et ab affectu plane separetur; aut ad affectum referatur, qui rationi sit conjunctus. Quodsi amor nihil est aliud, quam amicitiæ quidam impetus atque appetitus, quo simile natura sua ad simile pertrahitur et cum eo permisceri cupit (id autem affectus erit, non ratio), necesse erit ut huic affectui præficiatur ratio, quo virtus fiat, non morbus. Sicut in corporum nostrorum temperamentis fieri videmus, ubi sanitas nihil est quam affectio quædam ex humido et sicco, frigido et calido vel artis beneficio apte composita, vel naturæ artificio temperata; quodsi quid naturæ demas vel arti, affectionem illam turbas, ipsam sanitatem evertis: eodem modo amor, quamvis accedat ratio, affectio esse non desinit; sin rationem tollas, temperamentum illud aptum confundis, nihilque aliud, quam morbum, efficis.

5. Sit igitur amor quidam appetitus animæ: at is freno indiget, non minus quam equus generosus. Nam si quocun-

ἐπιτρέψῃς τῇ ψυχῇ φέρεσθαι, αὐτὸ ἐκεῖνο, κατὰ τὴν Ὁμηρικὴν εἰκόνα, ἵππον ἀνῆκας ἀδηφάγον διὰ πεδίου χροαίνειν καὶ ὑβρίζειν, οὐκ ἐπὶ λουτρὰ νόμιμα, οὐδὲ ἐπὶ δρόμους τεχνικοὺς θέοντα, ἀχάλινον, ἀδέσποτον. Ἀλλὰ αἰσχρὸν μὲν θέαμα ἵππος ἄφετος, αἰσχρὸν δὲ ἄκουσμα ὑβριστὴς ἔρως. Οὗτός ἐστιν ὁ ἔρως ὁ τοὺς κρημνοὺς πηδῶν, οὗτος ὁ ποταμοὺς περῶν, ὁ ξίφος λαμβάνων, ὁ ἅπτων βρόχον, ὁ μητρυιᾷ ἐπιτιθέμενος, ὁ προγόνοις ἐπιβουλεύων, ὁ παράνομος, ὁ ἔμπληκτος, ὁ ἄδωρος· οὗτος ὁ ἐν σκηναῖς τραγῳδούμενος, ὁ ἐν μύθοις μισούμενος, μεστὸς Ἐρινύων, μεστὸς δακρύων, οἴμοι βοῶν καὶ στένων, ὀλίγα μὲν εὐτυχῶν, ἐπαιρόμενος δὲ παρὰ τὴν ἀξίαν, καὶ τρεπόμενος παντοδαπὰς τροπὰς καὶ αἰφνιδίους, ἐπὶ σαρκῶν ἡδονὰς συντεταμένος, καὶ φλεγμαίνων σῶμα σώματι ἀναμιγνύειν, καὶ προσφυόμενος οὔτε τινὰ εὐσχήμονα οὔτε νόμιμον οὔτε ἐρωτικὴν τῷ ὄντι ξυνυφήν. Ἐπισπᾶται δὲ αὐτὸν κάλλους φήμη οἰστρούμενον, ὑπὸ δὲ τῆς ἀγνοίας πλανώμενον.

6. Ὁ δὲ τούτῳ ἐναντίος, μόνῳ τῷ τίκτοντι εἰς γένεσιν τοῦ ὁμοίου ἀπὸ ὀρέξεως ἐμφύτου μετὰ δικαιοσύνης ξυνών, καὶ διορίζων τὸ θῆλυ· οὗτος θεῶν Γαμηλίων τε καὶ Ὁμογνίων καὶ Γενεθλίων θεσμός, ἐπὶ πάσῃ ζῴων φύσει τεταγμένος· τῶν μὲν αὐτομάτων εἰς τὴν κοινωνίαν ὑπὸ οἰκείου ἔρωτος ἐν ὥρᾳ τοῦ γεννᾶν ἰόντων· τῶν δὲ καὶ διὰ τέχνης ἐπιστάτου ποιμενικῆς τε, καὶ αἰπολικῆς, καὶ βουφόρβου, καὶ ἱπποκόμου, ζευγνύντων ἑκάστων κατὰ φύσιν τὰ αὐτῶν θρέμματα, καὶ διακρινόντων αὖθις δέει ὕβρεως·

Χωρὶς μὲν πρόγονοι, χωρὶς δὲ μέτασσαι,
χωρὶς δ' αὖθ' ἕρσαι·

ἡ δὲ τῶν ἀνθρώπων ἀγελαιοτρόφος ἐπιστάτις, βασιλικὴ καὶ ποιμενικὴ τέχνη, οὐδεμίαν ἐξεύροι ἂν ἄλλην ὕβρεως ἀρωγὸν μηχανήν, πρὶν ἄν τις ἑκὼν εἴξῃ τῷ λόγῳ, καὶ τὴν ψυχὴν παραδῷ ποιμαίνειν αἰδοῖ καὶ σωφροσύνῃ. Ὥσπερ γὰρ ἄλλο ἄλλῳ ζῴῳ ἀλέξημα ἥκει παρὰ τῆς φύσεως εἰς τὸν αὐτοῦ βίον, ὑφ' οὗ σώζεται, λέουσιν ἀλκή, ἐλάφοις δρόμοι, θῆραι κυσίν, καὶ τῷ μὲν διερῷ γένει αἱ νήξεις, τῷ δὲ μεταρσίῳ αἱ πτήσεις, τῷ δὲ ἰλυσπωμένῳ οἱ φωλεοί· ὧδε καὶ τοῖς ἀνθρώποις, τὰ ἄλλα ἐλαττουμένοις τῶν ἁπάντων (καὶ γὰρ ἀλκὴν ἀσθενέστατοι, καὶ θεῖν βράδιστοι, καὶ ἀνίπτασθαι ἀδύνατοι, καὶ νήχειν ἀσθενεῖς, καὶ φωλεύειν ἀμήχανοι), λόγον δὲ αὐτοῖς θεὸς ἔδωκε πρὸς τὰς ἁπάντων εὐπορίας ἀντίρροπον, ὑποβάλλων αὐτῷ τὴν ἐρωτικὴν ὄρεξιν, ὡς χαλινῷ ἵππον, ὡς τοξότῃ τόξον, ὡς οἴακι ναῦν, καὶ τεχνίτῃ ὄργανον. Ὅ τε οὖν λόγος αὐτὸς αὑτοῦ ἀμβλύτατος, ἀνέραστος ὤν· ὅ τε ἔρως αὐτὸς αὑτοῦ ἐμπληκτότατος, ἀπειθέστατος ὢν τῷ λόγῳ. Ἔστι δὲ ἡ πειθὼ συζυγία ἔρωτος καὶ λόγου πρὸς τὸ καλὸν ὁρμωμένων, καὶ λαμπρυνομένων ἐπ' αὐτὸ πολλῷ δρόμῳ. Ὁ δὲ οἰόμενος ἐν τῇ σαρκῶν φύσει κατορωρύχθαι τὸ καλὸν, ἡδονὴν κάλλους ἀλλάττεται, καὶ ἐξαπατᾶται ὑπ' αὐτῆς· πιθανὸν γὰρ κακὸν ἡδονὴ καὶ κολακείας ἀνάπλεων.

que volet, animum abire permittes, non aliud agis, ut Homerica imagine utar, quam si *equum* bene nutritum *per campum exsultare* ac ferocire sinas; ut nec lavacra petat quæ debet, non cursus a domitore præscriptos exerceat; sed sine habenis, sine ullo passim feratur rectore. Atqui ut ingratum est spectare equum solutum, ita fœdum audire libidinosum amorem. Hic ille amor est, qui rupes transilit, fluvios tranat, gladios arripit, laqueos nectit, novercam invadit, insidiatur privignis, exlex, furiosus, donum exitiosum; hic est quem tragœdiæ in scenis depingunt, qui in fabulis accusatur, Furiarum plenissimus, plenissimus lacrimarum; hic est qui lamentatur, qui gemit, qui raro felix est, qui præter æquum bonumque effertur, mutationibus omnimodis et repentinis obnoxius, corporis voluptatibus unice intentus, qui corpus corpori miscere ardet, qui neque honestum, neque legitimum, neque amatorium vere petit complexum. Trahit eum pulchritudinis nomen, attonitum, ignoratione veræ pulchritudinis vagantem.

6. Huic alter qui contrarius est, sola spe fœtus, juste ac legitime naturalique inflammatus cupidine, cum solo fœcundo sexu coit, ut simile producat, gentemque muliebrem a nostra separat. Hæc est lex, quam Nuptiales, quam Gentilicii, quam Natalicii constituere divi, toti animalium naturæ communiter imposita: quorum alia sponte sua, quum ad justam pervenere ætatem, proprii amoris stimulo congrediuntur; alia rectrice arte junguntur, quod a pastoribus, caprariis, bubulcis, equisonibus fieri videmus; quorum nemo est quin pro naturæ ratione pecudes suas vel committat, vel rursus segreget, ne in petulantiam res abeat:

euntque seorsum
Jam natæ, mediæque, suis a matribus agnæ.

Illa vero, quæ humano generi alma præest, regia ac pastoralis ars, nullum nostræ protervìæ remedium habet, nisi prius rationi homo cedat, animumque ipse suum verecundiæ temperantiæque, tanquam pastoribus duobus, tradat pascendum. Nam ut animalia alia aliud vitæ suæ a natura præsidium habent, a quo conservantur, sicut robur leones, cursum cervi, venandi artem canes; quæ genera in aqua vivunt, natant; quæ in aere, volant; quæ repunt, lustra incolunt: ita et hominibus, qui in reliquis quidem omnibus ab aliis vincuntur (nam et viribus infirmissimi, et cursu sunt tardissimi, volare non possunt, natare vix queunt, lustra sibi non fodiunt), verum rationem, quæ pro ceteris omnibus est commoditatibus, his deus concessit; rationi autem appetitum amoris subjecit, sicut equum frenis, sagittario arcum, navem gubernaculo, artifici denique instrumentum. Nam et ratio maxime imbecilla est, nisi amor accedat; et amor insolenter furiosus, nisi rationi obsequatur. Est autem obsequium nihil aliud, quam amoris simul rationisque conjugium, quæ una simulque ad pulchrum feruntur, ingentique cursu ad hoc decore contendunt. Jam qui id in corpore sepultum esse putant, voluptatem pro pulchro sequuntur, et deluduntur ab illa: malum est enim plenum blanditiarum, ac quod quidvis facile persuadeat, voluptas.

7. Τοῦτο καὶ μειράκιον Τρωϊκὸν βουκολοῦν τέως καὶ περὶ τὴν Ἴδην πλανώμενον, οὐκ ἀνασχόμενον τὰς οἴκοι ἡδονὰς, ἐπὶ θάλατταν ἐκ τῶν ὀρῶν καταβιβασάμενον, εἰς ναῦν ἐνθέμενον, ἐπὶ Πελοποννήσου ἐπεραίωσε, λῃστὴν ἐραστήν. Οὐ γὰρ ἦν περὶ τὴν Ἀσίαν σῶμα ἄλλο καλὸν, οὐ Τρωϊκὸν, οὐ Δαρδανικὸν, οὐχ Ἑλλησπόντιον, οὐ Λύδιον, ὁμόφωνον τῷ ἐραστῇ, ἐν τοῖς αὐτοῖς ἤθεσί τε καὶ νομίμοις τεθραμμένον· ἀλλ' ἐπὶ τὴν Σπάρτην καὶ τὸν Εὐρώταν ἔρχεται κωμαστὴς διαπόντιος, ἐξ ὀνείρων ἐραστὴς, καὶ ἀδικεῖ τὸν ὑποδεξάμενον, καὶ ἀνθίστησι, καὶ διαλύει γάμον Ἑλληνικόν. Ὦ λίχνου ἔρωτος, καὶ ἀδίκων ἐνυπνίων, καὶ ὀφθαλμῶν πονηρῶν, καὶ ἡδονῆς ἡγεμόνος πολλῶν κακῶν. Οὕτω καὶ Ξέρξην τὸν μέγαν ἐκεῖνον, τὸν ἐν Σαλαμῖνι καὶ Πλαταιαῖς τοῖς Ἕλλησι παραταξάμενον, τοσούτων σωμάτων θεατὴν καὶ δεσπότην γενόμενον, οὐκ ἐπηγάγετο εἰς ἔρωτα οὐχ Ἰνδικὴ κόρη ὑψηλὴ, οὐδὲ Μηδικὴ τιαραφόρος, οὐδὲ Μαρδονικὴ μιτρηφόρος, οὐδὲ Καρικὴ ὡπλισμένη, οὐδὲ Λυδία ᾄδουσα, οὐκ Ἰωνικὴ, οὐχ Ἑλλησποντία· ἀλλ' ἐπὶ Ἄμηστριν ἦξε τὴν τοῦ παιδὸς γαμετήν. Ὦ κακίστου ἔρωτος, ὃς παραλιπὼν τὰ ἐδώδιμα, ἐπὶ τὰ πικρὰ ἦλθε καὶ ἄβρωτα, ὑπ' ἀκολάστου ἐξουσίας εἰς τὴν τοῦ φιλεῖν δύναμιν ὑβριζούσης. Ὅταν γὰρ ψυχῆς ἀφέλῃς μὲν τὸ εἰδέναι, παράσχῃς δὲ τὸ δύνασθαι, δίδως τοῖς ἁμαρτήμασιν ἐπιρροὴν καὶ ἐξουσίαν καὶ δρόμον. Ἄφελε Ἀλεξάνδρου μὲν τὴν Πριάμου δύναμιν, καὶ τὸ ἐκεῖ θάρσος, καὶ μένει βουκολῶν καὶ τὴν Ἑλένην οὐκ ὀνειρώττει. Ἄφελε Ξέρξου τὴν ἐξουσίαν, καὶ Ἄμηστρις οὐκ αἰσχρά ἐστι καὶ ἐν ἰδιώταις;

8. Τυραννὶς ἀκόλαστος, ὅταν ἀπῇ μὲν ὁ λόγος, οἱ δὲ ὀφθαλμοὶ λιγνεύωσιν· ὧν ἐὰν ἀφέλῃς τὴν ἐξουσίαν, οὔτε Κριτόβουλος Εὐθυδήμῳ προσκνήσασθαι ἐρᾷ, οὔτε Αὐτολύκῳ Καλλίας, οὔτε Ἀγάθωνι Παυσανίας, οὔτε ἄλλος ἄλλῳ. Διὰ τοῦτο ἐγὼ ἐπαινῶ τὸν Κρητῶν νόμον, καὶ τὸν Ἠλείων μέμφομαι. Τὸν μὲν Κρητικὸν ἐπαινῶ τῆς ἀνάγκης, τὸν δὲ Ἠλείων μέμφομαι τῆς ἐξουσίας. Κρητικῷ μειρακίῳ αἰσχρὸν ἀνέραστον εἶναι, Κρητικῷ νεανίσκῳ αἰσχρὸν προσάψασθαι παιδικῶν. Ὦ νόμου κεκραμένου καλῶς σωφροσύνῃ καὶ ἔρωτι. Τὰ δὲ Ἠλείων οὐ λέγω, τὰ δὲ Λακεδαιμονίων λέγω. Ἐρᾷ Σπαρτιάτης ἀνὴρ μειρακίου Λακωνικοῦ, ἀλλ' ἐρᾷ μόνον ὡς ἀγάλματος καλοῦ· καὶ ἑνὸς πολλοὶ, καὶ εἷς πολλῶν. Ἡ μὲν γὰρ ἐξ ὕβρεως ἡδονὴ ἀκοινώνητος πρὸς ἀλλήλους· ὁ δὲ ἐξ ὀφθαλμῶν ἔρως κοινωνικὸς μόνος, καὶ ἐπὶ πάσας ἐξικνούμενος φύσεις ἐρωτικάς. Τί γὰρ ἂν εἴη ὡραιότερον τοῦ ἡλίου, καὶ ἐρασταῖς πολυαρκέστερον; ἀλλ' ὅμως ἐρῶσιν ἡλίου οἱ πάντων ὀφθαλμοί.

9. Ἐν Λοκροῖς τοῖς Ἰταλιώταις ἔφηβος ἦν καλὸς, καὶ νόμος καλὸς, καὶ ἐρασταὶ πονηροί· ἐρᾶν μὲν ἠναγκάζοντο ὑπὸ τοῦ κάλλους, εἴργοντο δὲ ὑπὸ τοῦ νόμου κακῶς ἐρᾶν· οἰστρούμενοι δὲ ὑπὸ τοῦ πάθους πρὸς τὴν ὕβριν, τὸν μὲν ἔφηβον οὐκ ἔπεισαν (νόμιμος γὰρ ἦν), ἦξαν δὲ οἱ δυστυχεῖς ἐπὶ βρόχον πάντες ἑξῆς. Ἄξιοι μὲν θανάτου· τί γὰρ δεῖ ζῆν ἄνδρα μηδὲ ὀφθαλμῶν

7. Hoc est quod Trojanum adolescentulum, qui semper in Ida oberraverat bubulcus, quia voluptates concoquere domesticas non poterat, ex monte suo ad mare pertraxit, navique impositum in Peloponnesum transvexit, prædonem verius quam amatorem. Nec enim aliud, si diis placet, pulchrum corpus in tota reperiri Asia poterat, non Troicum, non Dardanicum, non Hellesponticum, aut Lydium, quod cum lingua amatoris, cum moribus ejus et educatione conveniret : Spartam ergo Eurotamque petit, comessator transmarinus, et qui ex somnis amare didicerat : atque hospitem suum lædit, hostem sibi facit, Græcum solvit connubium. O amorem delicatum, o somnium improbum, o scelestos oculos, multorumque auctorem malorum voluptatem! Sic etiam magnum illum Xerxen, qui ad Salaminem Platæasque cum Græcis congressus est, qui tot pulchra quotidie spectabat et in potestate habebat corpora, movere non potuit aut in amorem sui pertrahere femina ulla Indica cum proceritate sua, neque Medica cum tiara, neque Mardonica [Dardanica?] cum mitra, neque Carica cum armis, neque Lydia cum cantu suo, non Ionica denique ulla, aut Hellespontica, sed Amestrin filii sui conjugem petit. O improbissimum amorem, qui neglectis cibis legitimis, amaros adversosque gustui requirit, idque nimiæ licentiæ vitio, quæ veram potentiam amoris in vim et violentiam vertit! Quoties enim scientiam demis, potentiam tribuis animo, simul flagitiis accessum licentiamque concedis, ac viam quasi paras. Demas Paridi potentiam Priami, fiduciamque ex eo : boves suos pascet, de Helena ne somniabit quidem. Deme Xerxi licentiam : Amestris et deformis et plebeiæ instar erit feminæ.

8. Effert sese regia potestas, si ratio absit, oculi autem lasciviant. Quibus licentiam si demas, neque Euthydemo affricari Critobulus, neque Autolyco Callias, neque Agathoni volet Pausanias, neque alius alii. Hoc est cur legem Cretensium laudem, damnem Eleorum. Cretensem necessitatis causa laudo, Elei reprehendo licentiam. Puero Cretensi turpe habetur non amari, juveni Cretensi turpe habetur tangere puerum amatum. O legem castitate simul et amore pulchre temperatam! De Eleis nihil dico, de Lacedæmoniis loquar. Amat Spartiata puerum Laconicum, sed non secus quam pulchram imaginem; amant unum multi, unus multos. Voluptas libidinosa quippe societatem non admittit; amor qui ex aspectu venit, eximie socialis est, seseque ad omnia, quæ amari possunt, extendit. Quid, ut hoc utar, sole pulchrius? quid pluribus sufficit amatoribus? et tamen solem diligunt omnium oculi.

8. Locris, Italiæ urbe, pulcher erat puer, pulchra lex, amatores improbi : quos forma pueri in amorem pertrahebat, inhoneste contra amare lex vetabat; quumque impulsu amoris ad explendam stimularentur libidinem, nec quod volebant a puero impetrare possent (honestus enim erat), miseri illi suspendio vitam ordine omnes finierunt. Digni hac morte mehercule : cur enim vivat homo, cui male cum suis

ἀνεχόμενον; Ἄγαλμα μέν τις ἰδὼν καὶ ἐπαινέσας τὸ κάλλος, οὐκ ἐδεήθη βρόχου· ἀλλὰ κἂν ἵππον ἴδῃ ἱππικὸς ἀνὴρ καὶ τοῦ κάλλους ἐπαινέσῃ, καὶ κτήσασθαι μὴ δυνηθῇ, οὐ δεῖται βρόχου· ἐξαρκεῖ δὲ καὶ τῷ γεωργῷ, κἂν ἐν γειτόνων ἴδῃ φυτὸν καλὸν, ἡ ὄψις αὐτή· ἐξαρκεῖ καὶ τῷ θηρευτῇ, κἂν παρ' ἄλλῳ ἴδῃ σκύλακα ὡραῖον, ἡ ὄψις αὐτή· καὶ οὐδεὶς τούτων θανατᾷ δι' ἀπορίαν τῶν κτημάτων. Ἐρῶσι καὶ οἱ φιλοχρήματοι χρυσοῦ μᾶλλον, ἢ οἱ ἐρασταὶ σωμάτων, καὶ συγκατορύττεσθαι ἐθέλουσι τῷ χρυσῷ μᾶλλον, ἢ τοῖς σώμασιν οἱ ἐρασταί· ἀλλ' οὐδεὶς θανατᾷ τούτων, ἐὰν μὴ τύχῃ χρυσοῦ. Οὐδὲ γὰρ ὁ Πέρσης βασιλεὺς ἧψε βρόχον ἀτυχήσας χρυσίου, ὁ πάντων χρηματιστῶν ἀκορεστότατος καὶ ἐπιμανέστατος, ὃς ἄρχων τοσαύτης γῆς, καὶ ἐν τοσαύταις ἡδοναῖς φυρόμενος, ὅσαι πληροῦσι βασιλέως ἀκολάστου ὀρέξεις, ἐπεβούλευσε νεκροῦ τάφῳ. Φήμη δὲ αὐτὸν ἐπεσπάσατο χρυσοῦ κατορωρυγμένου σὺν τῷ νεκρῷ, καὶ ἐτυμβωρύχει ὁ μέγας βασιλεὺς, ὁ τὴν τιάραν ἔχων, καὶ τὸν μὲν χρυσὸν οὐχ εὗρεν, ἐπίγραμμα δὲ ἔνδοθεν ἐπὶ τῷ τάφῳ, ὁ νεκρὸς λέγει· « Ὦ πάντων ἀνθρώπων ἀπληστότατε, ὃς ἔτλης νεκροῦ θιγεῖν δι' ἔρωτα χρυσοῦ. » Τοῦτο εἴποι ἂν καὶ Ἕλλην λόγος πρὸς Ἕλληνα ἄνδρα ἐπὶ ὕβριν σαρκῶν ὑπὸ ἀκορέστου ἐπιθυμίας ὁρμηθέντα, ὅταν αὐτὸν ἐπισπάσηται φήμη κάλλους κατορωρυγμένου ἐν σώματι· Ὦ πάντων ἀνθρώπων ἀνοητότατε, νεκρὸν ἀνορύττεις· οὐ γὰρ ἂν ἔτλης θιγεῖν σαρκὸς ἄρρενος, ἀθίκτου χρήματος σαρκὶ ἄρρενι. Ἄδικος ἡ μῖξις, ἄγονος ἡ συνουσία· ἐπὶ πετρῶν σπείρεις, ψάμμους ἀροῖς. Μετένεγκε τὰς εὐφροσύνας ἐπὶ τὴν φύσιν, τρέψον ἐπὶ τὴν γεωργίαν τοὺς ὀφθαλμοὺς, ἐγκάρποις ἥσθητι ἡδοναῖς,

Ὥς κε μὴ ἄσπερμος γενεὴ μετόπισθεν ὄληται.

sibi oculis convenit? Qui statuam videt, ejusque laudat pulchritudinem, non recurrit ad laqueum; et eques, qui equum videt et a forma laudat, nec tamen consequi potest, non remedium a reste petit; sufficit agricolæ, si vel in vicini agro pulchram plantam videat, aspectus ipse; sufficit venatori, si vel apud alium videt catulum pulchrum, hoc ipsum quod videt: nec quisquam horum est qui mortem optet, si consequi quod videt non possit. Amant vehementius aurum avari, quam amatores corpora, ac mallent sepeliri una cum auro avari, quam cum corporibus amantes: nec tamen quisquam avarus a morte remedium petit, si non consequatur aurum. Sicut nec ipse Persarum rex, quo nullus negotiator unquam magis inexplebilis fuit, aut furiose avarus, quum auri consequendi spe excidisset, laqueum nexuit sibi; qui quum tot terris imperaret, tot in voluptatibus, quot explendæ luxuriosissimi cujusque regis cupidini sufficere debebant, volutaret sese, mortui hominis tumulo insidiatus est. Auri enim cum mortuo sepulti fama eum induxerat, atque ita magnus rex cum sua sibi tiara sepulcrorum perfossor factus est; et aurum quidem non invenit, sed inscriptionem in sepulcro hujusmodi ex persona mortui: *O mortalium omnium avarissime, qui propter auri amorem mortuum tangere ausus es.* Idem merito dicat Græca philosophia Græco homini, qui pulchritudine, quam in corpore sepultam esse audivit, inductus ad explendam insatiabilem animi libidinem feratur: O hominum omnium dementissime, mortuum effodis: neque enim aliter corpus viri tangere auderes, quod a viro tangi nefas est. Scelestus est iste coitus, infœcundus complexus; in saxis seris, arenam aras. Ad ea quæ natura præscribit voluptatem converte tuam; ad veram agriculturam oculos converte; gaudia te delectent haud sterilia:

Ne stirps intereat posthac sine semine nobis.

ΛΟΓΟΣ ΚΖ'.

Ἔτι περὶ ἔρωτος. Δ.

1. « Οὐκ ἔστ' ἔτυμος λόγος, » λέγει που τῶν αὐτοῦ ᾀσμάτων ὁ Ἱμεραῖος ποιητὴς, ἐξομνύμενος τὴν ἔμπροσθεν ᾠδὴν, ἐν ᾗ περὶ τῆς Ἑλένης εἰπεῖν φησιν οὐκ ἀληθεῖς λόγους· ἀναμάχεται οὖν ἐπαίνῳ τὸν ἔμπροσθεν ψόγον. Δοκῶ δή μοι, κατὰ τὸν ποιητὴν ἐκεῖνον, δεήσεσθαι καὶ αὐτὸς παλινῳδίας ἐν τοῖς περὶ τοῦ ἔρωτος λόγοις· θεὸς γὰρ καὶ οὗτος, καὶ οὐχ ἧττον τῆς Ἑλένης ἐπιτιθέναι δίκην τοῖς πλημμελοῦσιν εἰς αὐτὸν ἐρρωμενέστατος. Τί δὴ οὖν ἐστι τὸ πλημμέλημα, ὅπερ καὶ ἀναμαχέσασθαι δεῖν φημὶ ἡμᾶς; Δεινὸν καὶ μέγα καὶ δεόμενον γενναίου ποιητοῦ καὶ τελεστοῦ, εἰ μέλλοι τις ἱκανῶς ἐξευμενιεῖσθαι ἀδέκαστον δαίμονα, οὐ τρίποδας ἑπτὰ δοὺς, οὐδὲ χρυσοῦ τάλαντα δέκα, οὐδὲ γυναῖκας Λεσβιάδας, οὐδὲ ἵππους Τρωϊκοὺς, ἀλλὰ λόγον λόγῳ, πονηρὸν χρηστῷ καὶ ψευδῆ ἀληθεῖ, ἐξαλείψας.

2. Τοιαύτην φασὶ καὶ τὸν Ἀνακρέοντα ἐκεῖνον τὸν Τήϊον ποιητὴν δοῦναι δίκην τῷ ἔρωτι. Ἐν τῇ τῶν

DISSERTATIO XXVII.

De eodem amore. IV.

1. *Non est verus sermo ille,* alicubi in carminibus suis poeta Himeræus ait; ubi priorem odam, in qua falsa de Helena scripsisse se fatetur, revocat: quare novo præconio prius illud vituperium evertit. Ego quoque, exemplo illius poetæ, in his de amore disputationibus retractanda mihi quædam video; nam hic quoque deus est, nec minus quam Helena nominis sui contemptum ulciscendi potentissimus. Quod ergo est delictum illud, quod a nobis esse retractandum dixi? Grave, mehercule, nec vulgare, et in quo eximio vel poeta sit opus, vel sacerdote, si velit integerrimo deorum satisfacere penitus; non (ut apud Homerum) tripodibus datis septem, aut talentis auri decem, aut Lesbicis mulieribus, aut Trojanis equis; sed sermonem sermone, improbum probo, falsum vero, delens et evertens.

2. Tales Teium quoque Anacreontem illum pœnas dedisse amori aiunt. Nutrix quædam in Panionio, quod Ionum

Ἰώνων ἀγορᾷ, ἐν Πανιωνίῳ ἐκόμιζε τιτθὴ βρέφος· ὁ δὲ Ἀνακρέων βαδίζων, μεθύων, ᾄδων, ἐστεφανωμένος, σφαλλόμενος, ὠθεῖ τὴν τιτθὴν σὺν τῷ βρέφει, καί τι καὶ εἰς τὸ παιδίον ἀπέρριψε βλάσφημον ἔπος· ἡ δὲ γυνὴ ἄλλο μὲν οὐδὲν ἐχαλέπηνε τῷ Ἀνακρέοντι, ἐπεύξατο δὲ τὸν αὐτὸν τοῦτον ὑβριστὴν ἄνθρωπον τοσαῦτα καὶ ἔτι πλείω ἐπαινέσαι ποτὲ τὸ παιδίον, ὅσα νῦν ἐπηράσατο. Τελεῖ ταῦτα ὁ θεός· τὸ γὰρ παιδίον ἐκεῖνο δὴ αὐξηθὲν γίγνεται Κλεόβουλος ὁ ὡραιότατος, καὶ ἀντὶ μικρᾶς ἀρᾶς ἔδωκεν ὁ Ἀνακρέων Κλεοβούλῳ δίκην δι' ἐπαίνων πολλῶν.

3. Τί κωλύει δὴ καὶ ἡμᾶς ἀναμαχέσασθαι τήμερον, καὶ κατὰ τὸν Ἀνακρέοντα ἐκεῖνον δοῦναι δίκην τῷ ἔρωτι αὐτοὺς ἑκόντας γλώττης ἀδίκου; Τὸ γὰρ φάναι ὅτι ὁ ἔρως ἐπὶ μοιχείαν ἀνάπτει, ὥσπερ τὸν Ἀλέξανδρον, ἢ ἐπὶ παρανομίαν, ὡς τὸν Ξέρξην, ἢ ἐπὶ ὕβριν, ὡς Κριτόβουλον, καὶ ἀνατιθέναι θεῷ πρᾶγμα ἄθεον, πῶς οὐ πλημμελές; Οὑτωσὶ δὲ αὐτὸ θεασώμεθα. Ὁ ἔρως ἄλλου του ἔρως, ἢ κάλλους ἐστίν; Οὐδαμῶς· σχολῇ γὰρ ἂν εἴη ἔρως, εἰ μὴ κάλλους εἴη. Ὁπότ' οὖν λέγομεν ἐρᾶν χρημάτων Δαρεῖον, ἢ Ξέρξην τῆς Ἑλλήνων γῆς, ἢ Κλέαρχον πολέμου, ἢ Ἀγησίλαον τιμῆς, ἢ Κριτίαν τυραννίδος, ἢ Ἀλκιβιάδην Σικελίας, καὶ Γύλιππον χρυσίου· ἆρα κάλλος τι δρῶντες ἐμφαινόμενον, τὴν πρὸς αὐτὸ ἐπαγωγὴν ἔρωτα ἐπονομάζοντες, ἕκαστον τούτων ἐρᾶν φαμέν, τὸν μὲν τοῦδε, τὸν δὲ τοῦδε, ἄλλον ἄλλου; Πολλοῦ γε καὶ δεῖ· ἦ γὰρ ἂν τὰ αἴσχιστα τῶν ἐν ἀνθρώποις πραγμάτων τῷ μὴ προσήκοντι ὀνόματι ἐπικοσμοῦντες πλημμελοῖμεν ἂν εἰς τὸ ἀληθὲς αὐτό. Πῶς γὰρ ἢ ἐν χρήμασι κάλλος τῷ πάντων πραγμάτων κακίστῳ, ἢ ἐν πολέμῳ τῷ πάντων ἀβεβαιοτάτῳ, ἢ ἐν τυραννίδι τῷ πάντων ἀγριωτάτῳ, ἢ ἐν χρυσῷ τῷ πάντων γαυροτάτῳ; Σικελίαν δὲ εἴ μοι λέγοις, ἢ τὴν Ἑλλήνων γῆν, ἐλπίδας λέγεις ἡδονῶν, κάλλος δὲ οὐδαμοῦ· οὐδ' εἴ μοι νὴ Δία τὴν Αἰγυπτίων γῆν λέγοις τὴν τὰς πυραμίδας ἔχουσαν τὰς μεγάλας, καὶ τὸν πολὺν ποταμόν, οὐδὲ Βαβυλῶνα αὐτὴν εὐτειχοτάτην, οὐδὲ Μηδίαν τὴν εὐιπποτάτην, οὐδὲ τὴν Φρυγῶν γῆν τὴν εὐβοτωτάτην, οὐδὲ Σάρδεις τὰς εὐχρυσοτάτας. Ἕκαστον γὰρ τούτων τοσούτου δεῖ εἶναι καλὸν, ὅσουπερ καὶ ἡδύ· μᾶλλον μὲν ἡδὺ τῷ δυναμένῳ πορίσασθαι ἐξ αὐτοῦ ἡδονὴν, ἢ καλὸν τῷ μὴ δυναμένῳ ἐξ αὐτοῦ ὄνασθαι· οὐδὲν γὰρ καλὸν ἐπιβλαβὲς, οὐδὲ σφαλερὸν, οὐδὲ εἰς μοχθηρίαν συντελοῦν, οὐδὲ εἰς δυστυχίαν ἄγον, οὐδὲ εἰς συμφορὰν χειραγωγοῦν, οὐδὲ εἰς μετάγνωσιν τελευτῶν.

4. Εἶεν. Ὁ ἔρως ἡμῖν κάλλους ἦν ἔρως· ὁ δὲ ἐρῶν ἄλλου του, καὶ μὴ κάλλους, ἡδονῆς ἐρᾷ. Ἀφαιρῶμεν δὲ, εἰ βούλει, τοὔνομα, καὶ ἐπιθυμεῖν λέγωμεν τοῦτον, ἀλλ' οὐκ ἐρᾶν, ἵνα μὴ τῇ περὶ τὴν φωνὴν παρανομίᾳ καὶ τὸ πρᾶγμα ὑπαλλάξαντες λάθωμεν, ἀλλ' οὐ τοὔνομα μόνον. Ἔστω τοίνυν ἔρως μὲν κάλλους, ἐπιθυμία δὲ ἡδονῆς. Ὁ τοίνυν κάλλους ἐρῶν ἆρα οὐκ ἐπιθυμεῖ αὐτοῦ; καὶ μάλα· σχολῇ γὰρ ἂν εἴη τι ἄλλο ὁ ἔρως, εἰ μὴ ὄρεξίς τις. Παραιτοῦμαι δὲ τοὺς σοφοὺς τῆς

forum est, infantem gestabat: occurrit illi ebrius et cantans cum corona Anacreon qui inter vacillandum una cum infante nutricem protrudit; et, quasi hoc satis non esset, in puerum quoque ipsum convicium aliquod torquet: nutrix sine alia offensionis nota precatur, ut homo tam insolens totidem et pluribus aliquando verbis puerum laudaret, quam jam vituperasset. Votum perfecit deus; idem namque puer adolescit, fitque pulcherrimus ille Cleobulus, cui Anacreon quam plurimis laudibus pro exiguo convicio dedit pœnas.

3. Quid vetat etiam nos nostra retractare hodie, et Anacreontis illius exemplo non invitos improbissimæ linguæ pœnas dare amori? Probare enim velle, amorem fomitem esse adulterii, ut in Paride; vel flagitii, ut in Xerxe; vel libidinis, ut in Critobulo; atque ita quicquid impium est deo illi ascribere, quis neget summæ improbitatis esse? Quod ut appareat, hoc modo agamus. Putasne, alius rei amorem, quam pulchritudinis amorem esse? Minime vero: nihil minus enim quam amor esset, nisi circa ipsum pulchrum versaretur. Scire ergo velim, quum Darium amare pecunias dicimus, aut Xerxem Græcorum terram, aut Clearchum bellum, aut honorem Agesilaum, aut Critiam tyrannidem, aut Alcibiadem Siciliam, aut Gylippum aurum; manifestamne aliquam pulchritudinem videamus, cujus spe atque illecebris, qui amor a nobis dicitur, singuli impellantur, ut alium hoc, alium aliud amare dicamus? Absit vero: eo enim modo, quæcunque apud homines turpissima sunt, alieno exornaremus nomine, atque ipsi vim inferremus veritati. Quis enim pulchrum aut honestum vel in divitiis, omnium pessima re, vel in bello, omnium incertissima, vel in tyrannide, omnium crudelissima, vel in auro, omnium superbissima, ponet? Quodsi mihi Siciliæ amorem dicis, aut Græciæ, spem quidem voluptatum dicis, minime tamen ipsum pulchrum exprimis; neque magis hercle si Ægyptum mihi commemores cum ingentibus illis pyramidibus magnoque suo flumine, aut ipsam Babylonem, quæ a muris præstantissimis; aut Mediam, quæ ab equis; aut Phrygiam, quæ a pascuis; aut Sardes, quæ ab auro commendantur. Hæc omnia enim tantum absunt a vera pulchritudine, quantum remota sunt ab jucunditate: magis jucunda ei qui voluptatem ex illis haurit, quam pulchra illi cui prodesse non possunt: nihil enim pulchrum dici potest, quod cum damno aut periculo conjunctum est, quod flagitia patrat, quod in miseriam, quod in calamitatem hominem deducit, quod in pœnitentiam desinit.

4. Esto. Diximus amorem ipsius pulchri amorem esse; ut qui aliud amet, quam pulchrum, necessario amet voluptatem. Mutemus, si placet, verbum, eosque, qui voluptatem sequuntur, non *amare*, sed *concupiscere* dicamus; ne vocis illegitimo usu rem adeo ipsam, non verbum modo mutemus. Amor igitur nobis pulchrum spectet, voluptatem spectet concupiscentia. Quid ergo? qui quod pulchrum est amat, an non concupiscit quoque idem? sane vero; siquidem nihil aliud amor est, quam rei alicujus appetitus. Ve-

τῶν ὀνομάτων θήρας, εἰ τὸ αὐτὸ νῦν μὲν ὄρεξιν, νῦν δὲ ἐπιθυμίαν καλῶ· ἐγὼ γάρ τοι τά τε ἄλλα, καὶ ἐν τῇ τῶν ὀνομάτων ἐλευθερίᾳ, πείθομαι Πλάτωνι. Ἔστω δὲ, εἰ βούλονται, ὄρεξις, καὶ μὴ ἐπιθυμία, ὁ ἔρως. Διῃρήσθω δὲ τῇδε· ἐὰν μὲν ἐπὶ τὸ καλὸν φαινόμενον ἡ ψυχὴ ἄξῃ, ἔρως καλείσθω τοῦτο, οὐκ ἐπιθυμία· ἐὰν δὲ μὴ, ἐπιθυμία καλείσθω τοῦτο, οὐκ ἔρως. Τί οὖν; εἰ ἀκόλαστος ὁ σοφιστὴς τῇ τοῦ φαινομένου προσθήκῃ χρώμενος, τὸ ἡδὺ τοῦτο φῇ φαντάζεσθαι αὐτῷ καλὸν, ἐρᾷν καὶ τούτῳ συγχωρήσομεν; καὶ πάλιν αὖ, εἴ τις ἀποβλέψας εἰς τοὺς τῷ ὄντι ἐραστὰς τοὺς πρὸς τὸ καλὸν ὡρμημένους, καὶ θεασάμενος τὸ ἐν τῇ ὀρέξει τοῦ κάλλους ἡδὺ, διὰ τὴν ἐπιμιξίαν τῆς ἡδονῆς ἐπιθυμεῖν καὶ τούτους φῇ, ἀλλ᾽ οὐκ ἐρᾷν· πῇ ἂν ταῦτα ἡμῖν διακριθείη; εἰ γὰρ τά τε ἡδέα φαντάζεται καλὰ, τά τε καλὰ ἀνακέκραται ἡδοναῖς, κίνδυνος οὕτω καὶ τὴν ἐπιθυμίαν τῷ ἔρωτι ἐπιμιχθῆναι. Βούλει τοίνυν τοῦ μὲν καλοῦ ἀφαιρῶμεν τὸ φαινόμενον, ἵνα μήποτε λάθῃ σχηματισαμένη πρὸς αὐτὸ ἡ ἡδονή· τῆς δὲ ἡδονῆς οὐκ ἔτι; Τὸ μὲν γὰρ καλὸν, τίμιον ὂν, κατὰ τὴν αὐτοῦ φύσιν εἶναι δεῖ καλὸν, ἵνα καὶ ἐράσμιον ᾖ· τῇ δὲ ἡδονῇ ἀπόχρη φαίνεσθαι, καὶ μὴ οὔσῃ· τῇ γὰρ τοῦ πεπονθότος εὐφροσύνῃ λαμβάνουσα τὴν σύστασιν, οὐ τῇ αὐτῆς φύσει, ἱκανῶς ἕξει, ἐὰν τὸ δοκεῖν ὑπάρχῃ, αὐτῇ καὶ μὴ οὔσῃ.

5. Οἷον τὸ τοιόνδε λέγω (αἰσθάνομαι γάρ τοι ἐμαυτοῦ γλίσχρως τὸ πρᾶγμα διελομένου, καὶ δεομένου εἰκόνος)· σῶμά που τραφῆναι ἀδύνατον, ὅτι μὴ σιτίων προσφορᾷ, καὶ ἐργασίᾳ ὀδόντων, καὶ σπλάγχνων ὑποδοχῇ, καὶ τῇ ἔνδον οἰκονομίᾳ, προσγινομένης αὐτῷ τῆς ὑποτροφῆς. Ἦσαν δέ που κατὰ τὸν ἐπὶ Κρόνου, φασὶ, βίον αἱ τροφαὶ τοῖς ἀνθρώποις φηγοὶ καὶ ὄγχναι· καὶ διὰ τοῦτο ἐπεφημίσθη φέρειν ἡ γῆ τοὺς καρποὺς αὐτομάτους, ὅτι αὐτοῖς οὐδὲν ἔδει γεωπονίας, ἐξ αὐτοφυοῦς τροφῆς βιοτεύουσιν. Ἐὰν τοίνυν προσθῇς ὀψοποιὸν καὶ ἡδύσματα, καὶ τροφὴν ποικίλην, ἄλλῳ ἄλλην, χαρυκείαν Σικελικὴν, καὶ Συβαριτικὴν χλιδὴν, καὶ Περσικὴν τρυφὴν, πάντα ταῦτα ἐρεῖς ἡδονῆς ὀνόματα· καὶ κοινὸν μὲν πᾶσι τὴν τροφὴν ἐρεῖς, ἴδιον δὲ ἑκάστῳ τὴν ἡδονὴν, καὶ κατὰ φύσιν μὲν τὴν τροφὴν, κατὰ τέχνην δὲ τὴν ἡδονήν. Κἂν μεταθῇς τραπέζας, τὴν Σικελικὴν τοῖς Πέρσαις καὶ τὴν Περσικὴν Σικελιώταις, τροφὴ μὲν ὁμοίως ἑκατέροις ἑκατέρα, τὸ δὲ τῆς ἡδονῆς ὑπαλλαχθὲν, δι᾽ ἀήθειαν εἰς λύπην μετέβαλε. Γίγνεται τοίνυν ἡ μὲν τροφὴ κατὰ τὴν οὐσίαν τοῦ τρέφειν δυναμένου, ἡ δὲ ἡδονὴ κατὰ τὸ πάθος τοῦ ἥδεσθαι εἰθισμένου.

6. Τὸ δὲ ἔθος ἄλλο ἄλλῳ. Αὐτίκα Ἕλληνες μὲν, καὶ Πέρσαι, καὶ Λυδοὶ, καὶ Φοίνικες, καὶ εἴ τι δὴ ἄλλο γένος, φυτευσάμενοι ἀμπέλους, πονηθέντες περὶ αὐτὰς, ἐξελόμενοι τὸν βότρυν, εὐτρεπίσαντες τὸν οἶνον, παρεσκευάσαντο ποτὸν, κατὰ μὲν τὴν χρείαν οὐκ ἀναγκαῖον, κατὰ δὲ τὴν ἡδονὴν ἀκμαιότατον. Σκυθῶν δὲ οἱ μὲν πολλοὶ γάλακτι βιοτεύουσιν, ὅσα οἱ ἄλλοι ἐπὶ οἴνῳ· τοῖς δὲ αἱ μέλιτται καθηδύνουσι τὸ πόμα, ἐπὶ πετρῶν καὶ δρυῶν διαπλάττουσαι τοὺς σίμβλους· εἰσὶ

niam ab iis peto qui verba anxie rimari solent, si rem eandem nunc appetitum, nunc concupiscentiam dico; nam cum in aliis, tum in libertate verborum, assentior Platoni. Sit autem, hoc si volent, appetitus, non concupiscentia, amor. Distinguatur interim hoc modo : quoties ad id, quod bonum et honestum esse apparet, nos impellit animus, amor id dicatur, non concupiscentia : sin contra, concupiscentia dicatur, non amor. Quid ergo? si intemperans ille sophista speciem voluptati addat, sibique suave illud pulchrum videri dicat, an et hunc amare concedemus? aut contra, si quis ad illos respiciens, quos vere amare dicimus, qui nihil præter ipsum pulchrum habeant propositum, et videns illam voluptatem, quæ in appetitu pulchri consistit, ob mutuum hujus voluptatis fructum hos quoque concupiscere dicet, non amare : quo tandem modo hæc duo distinguemus? Nam si et ea, quæ jucunda sunt, pulchra videntur, et quæ pulchra sunt, cum voluptate cohærent; metuo ne sic cum amore confundere concupiscentiam cogamur. Vis igitur pulchro demamus speciem, ne sub habitu ipsius nos decipiat voluptas; voluptati vero suam relinquamus? Quod enim pulchrum est, quum honore dignum censeatur, suapte natura pulchrum esse oportet, quo et amabile sit : voluptati satis est videri, licet non sit; illa enim, quum in lætitia hominis, qui ea fruitur, non ipsa per se subsistat, sufficit, si videatur esse, nec sit tamen.

5. Quod dico, tale est (satis enim jejune hanc mihi rem dividere videor, et exemplo egere) : corpus nostrum nutriri non potest, nisi admoveatur cibus, cibum conficiant dentes, confectum recipiant intestina, receptus digeratur, alimento corpori usque suppetente. Jam tempore, ut aiunt, Saturni homines fagi pirique alebant : unde manavit, ut terra fruges sua sponte proferre diceretur; quod nihil opus agricultura esset, sed quicquid per se produceret, eo vitam suam sustinerent homines. His appone coquos, appone condimenta, appone diversas ciborum delicias, aliis alias, jus Siculorum, et quicquid Sybaritarum luxuries, quicquid Persarum excogitavit mollities : hæc omnia uno nomine voluptatem dices; et cibos quidem omnibus communiter, peculiarem singulis voluptatem dabis, et naturæ cibum, artem ascribes voluptati. Quodsi apparatum mutaveris, ut Persis Siculum, Siculis apponas Persicum, nutrimentum utrisque utrumque relinques; voluptatem vero, quia cum eorum id pugnat consuetudine, in molestiam verteris. Quippe cum respectu substantiæ ejus, quod nutrire potest, fit nutrimentum; voluptas vero, prout afficitur ille, qui hoc aut illo delectari consuevit.

6. Consuetudo autem alia est alii. Exempli gratia, Græci, Persæ, Lydi, Phœnices, et si quæ gentes aliæ, vites serere, easque sedulo colere, e vitibus uvam carpere, ex uva vinum exprimere, parare potum, si usum respicias, non necessarium; si voluptatem, præstantissimum. Scytharum plerique lacte utuntur, similiter atque illi alii vino : quibusdam apiculæ, quæ e rupibus aut arboribus alveolos suos suspendunt, potum condiunt : sunt qui Nympharum

δὲ, οἳ τῇ παρὰ τῶν Νυμφῶν ὀχετείᾳ καὶ ἐπιρροῇ οὐδὲν λυμαίνονται, ἀλλ' αὐτοφυεῖ προσχρῶνται ποτῷ ὕδατι· ἓν δέ τι, οἶμαι, Σκυθῶν γένος πίνουσι μὲν ὕδωρ, ἐπειδὰν δὲ αὐτοῖς δέῃ τῆς κατὰ μέθην ἡδονῆς, νήσαντες πυρὰν, θυμιῶντες εὐώδεις βοτάνας, περικαθίσαντες ἐν κύκλῳ τῇ πυρᾷ, ὥσπερ κρατῆρι, εὐωχοῦνται τῆς ὀδμῆς, καθάπερ οἱ ἄλλοι τοῦ ποτοῦ, καὶ μεθύσκονταί γε ὑπ' αὐτῆς, καὶ ἀναπηδῶσι, καὶ ᾄδουσι, καὶ ὀρχοῦνται.

7. Τί δή μοι βούλεται ἡ περίοδος τοῦ λόγου; ἐνδείξασθαι ὑμῖν διάκρισιν καλοῦ καὶ ἡδονῆς. Τίθει γάρ μοι κατὰ μὲν τὸ ἀναγκαῖον καὶ τὸ αὐτοφυὲς τῆς τροφῆς καὶ τοῦ ποτοῦ τὸ καλὸν αὐτὸ, ὅπερ εἶναι δεῖ, καὶ μὴ δοκεῖν μόνον· κατὰ δὲ τὸ ποικίλον καὶ ἐπίκτητον τῶν ἄλλων ἄλλους ἄλλως εὐφραινόντων, τὴν ἡδονὴν δοκεῖν γὰρ εἶναι δεῖ ταύτην μόνον. Οὕτω δὴ τούτων ἐχόντων, γίγνεται ὁ μὲν ἔρως λόγος, καὶ ἀρετὴ, καὶ τέχνη· λόγος μὲν κατὰ τὴν ἀλήθειαν, ἀρετὴ δὲ κατὰ τὴν διάθεσιν, τέχνη δὲ κατὰ τὴν εὐστοχίαν τοῦ καλοῦ· ἐπιθυμίαι δὲ ἡδονῶν, ἄλογοι, ἀλόγων. Ἐπεὶ τοίνυν τὸ καλὸν εἶναι δεῖ καλὸν, ἵν' ἔρωτα ποιῇ· ποῖόν τι εἶναι αὐτὸ φῶμεν, καὶ πῶς ποιοῦν; Βούλει σοι λέγω κατὰ τὴν Σωκράτους μαντείαν; ὡς τὸ καλὸν αὐτὸ ἄρρητον ὂν καὶ ὀφθαλμῶν κρεῖττον ἡ ψυχὴ τεθεαμένη πάλαι, καὶ ὀνειρώττουσα αὐτοῦ τὴν μνήμην, ἐν τῇ δεῦρο συνουσίᾳ οὐ πάντῃ ἐναργῶς ὁρᾷ, ἅτε ἀπολελειμμένη αὐτοῦ καὶ τῷ χωρίῳ καὶ τῇ τύχῃ, καὶ ἀπεξενωμένη ἐκείνων τῶν θεαμάτων εἰς τὸν ἐν γῇ τόπον, καὶ περιβεβλημένη πολλὴν καὶ παντοδαπὴν ὕλην, ὑφ' ἧς ταράττεται, συνδεδεμένη ἀσαφεῖ βίῳ καὶ συγκεχυμένῳ, καὶ μεστῷ ταράχου καὶ πλημμελείας πολλῆς· ἡ δέ γε τοῦ καλοῦ φύσις ἀρξαμένη ἐκεῖθεν κάτεισι δεῦρο πρόσω ἰοῦσα ἠρέμα, καὶ ἀμβλυνομένη μᾶλλον, καὶ ἀπολείπουσα τὴν ἀρχαίαν ἀκμήν.

8. Καθάπερ τῶν ποταμῶν οἱ γενναιότατοι ἐξιόντες ἐπὶ τὴν θάλατταν κατὰ μὲν τὴν πρώτην ἐκβολὴν σώζουσι τὸ ῥεῦμα ἀμιγὲς ἄλλῃ φύσει πικροτέρᾳ, καὶ τοῖς ναύταις θαλαττίοις προσπλεύσασιν ἀκραιφνὲς ποτόν· προελθόντες δὲ οἱ ποταμοὶ πόρρω καὶ εἰσπεσόντες εἰς πέλαγος πλατὺ, καὶ παραδόντες τὸ ῥεῦμα ἀνέμοις καὶ κύμασι καὶ ζάλῃ καὶ κλύδωνι, ἠφάνισαν δι' ἐπιμιξίαν τὴν ἀρχαίαν φύσιν· οὕτω καὶ τὸ κάλλος τὸ ἄρρητον καὶ ἀθάνατον ἔρχεται μὲν πρῶτον δι' οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ σωμάτων, καὶ εἰσπεσὸν ἐκεῖ, ἀκραιφνὲς μένει καὶ ἀμιγὲς καὶ ὁλόκληρον· ἐπειδὰν δὲ ὑπεκχύψῃ τοῦ οὐρανοῦ εἰς τὸν δεῦρο τόπον, ἀμβλύνεται καὶ ἀμαυροῦται· καὶ μόλις ἂν αὐτοῦ γνωρίσαι τὴν ἐπιρροὴν ναύτης θαλάττιος, ὁρῶν αὐτὴν ἀμυδρὰν ἐν γῇ πλανωμένην καὶ ἀνακεχραμένην ἀλλοτρίᾳ φύσει· ὁ δὲ συνήθης τῷ ποταμῷ, διὰ μνήμης ἔχων τὴν ἐκείνου φύσιν, ἐπειδὰν ἐντύχῃ καὶ γνωρίσῃ καὶ ἴχνος αὐτοῦ φανῇ, ὥσπερ ὁ Ὀδυσσεὺς πρὸς ἀποθρώσκοντα καπνὸν, σκιρτᾷ, καὶ φλογοῦται, καὶ φαιδρύνεται, καὶ ἐρᾷ. Τοῦ δὲ κάλλους τούτου ἔλθοι μὲν ἄν τις μοῖρα καὶ ἐπὶ ποταμὸν εὐροώτατον, καὶ ἐπὶ φυτὸν εὐβλαστότατον, καὶ ἐπὶ ἵππον

rivos laticesque aquarum non inficiunt, sed ut natura suppeditavit eas, ita adhibent : est et unum quoddam, nisi fallor, peculiare Scytharum genus, qui aquam quidem bibunt, quotiescumque tamen voluptatis causa inebriari volunt, pyram struunt maximam, in qua herbas urunt odoriferas; hanc pyram in orbem circumsident tanquam craterem, eoque odore non secus, quam alii vini cyathis se invitant, donec probe ebrii exsilire, canere, tripudiare incipiunt.

7. Sed quid mihi vult tam longa oratio? Discrimen ostendere volebam quod intercedit inter pulchrum et jucundum. Refer ergo cibos illos, de quibus diximus, et potus necessarios sponteque natos ad id quod honestum dicimus; quod esse debet, non videri tantum : varietatem contra ceterorum, quæ sunt ascititia, quæ aliâ suavitate afficiunt alios, ad voluptatem; quæ satis est si videatur tantum, nec sit revera. Quæ quum ita se habeant, videbis amorem idem esse, quod est ratio, quod virtus, quod ars; ratio, quod ad veritatem ejus; virtus, quod ad naturam; ars, quatenus honestum et spectat et consequitur : cupiditates vero voluptatum, cum ipsæ, tum qui eas alunt, procul a ratione absunt. Quum ergo pulchrum oporteat esse pulchrum, ut amorem excitet; quale illud dicemus esse, aut quo pacto excitare amorem? Visne ex oraculis Socraticis tibi respondeam? Ipsum pulchrum, quod nec humana voce exprimi, nec oculis conspici potest, vidisse olim animam nostram, atque inde in hac vita, non secus, quam in somnio aliquo, exiguam ejus conservare memoriam, quum vix quasi per rimam illud nunc intueatur; quod tam loco quam conditione longe ab eo remota sit, et a pulcherrimo illo procul distracta speculo, depressa in terram, multis variisque inquinata sordibus, a quibus turbatur, in hac colluvie vitæque confusione devincta, in qua nihil præter tumultus assiduos improbitatesque intuetur. At vero ipsius pulchri natura illinc principium ducit, illinc huc defertur, paullatimque descendens, minus semper minusque apparet, veramque illam vim suam amittit.

8. Non aliter quam fluvii nobilissimi, quum in mare se exonerant, primo gustum aquæ suæ sine ulla amaritudine retinent, nautisque per mare advenientibus purum præbent potum; postquam vero ulterius promoti in altum pervenerint mare, aquamque suam ventis, fluctibus marinoque æstui ferendam dederint, antiquum gustum suum in confusione ea amittunt : eodem modo pulchrum illud ineffabile, illud immortale pulchrum, primum per cœlum cœlestiaque corpora descendit, in quibus adhuc integrum manet, purum putumque, et nulla sui parte minus; quando autem, cœlo relicto, hæc loca versus incipit descendere, minuitur paullatim et obscuratur. Itaque sicut fluvium vix amplius agnoscit in mari nauta marinus; ita neque pulchri influxum homo crassior, tenuissima ejus in terra sparsa vestigia videns aliis immista rebus : at vero, qui fluvium diu prius cognovit, totamque ejus naturam animo impressit, simul atque in eum inciderit eumque agnoverit, atque adeo si vel vestigium apparuerit ejus, non aliter quam Ulysses *ad fumum de patria surgentem*, exsultat, gaudio accenditur, exhilaratur, amatque. Hujus pulchritudinis partem aliquam exiguam fluvius valde purus, planta splendide florida, equus

γενναιότατον, ἀλλ' ὅ, τι περ κάλλους ἀργότατον καὶ ἀμβλύτατον· εἰ δέ τίς ἐστιν αὐτοῦ ἀμιγὴς ἐπιφοιτῶσα τὴν γῆν, ἴδοις ἂν ταύτην οὐκ ἄλλοθι ἢ ἐν ἀνθρώπῳ, τῷ καλλίστῳ καὶ νοερωτάτῳ γηΐνων σωμάτων, καὶ τῷ ψυχῆς μεμοιραμένῳ συγγενοῦς αὐτῷ τῷ καλῷ. Καὶ διὰ τοῦτο ὁ νοῦν ἔχων, ἄγαλμα μὲν ἰδὼν, ἐπαινεῖ τὴν τέχνην, ἀλλ' οὐκ ἐρᾷ τοῦ ἀγάλματος· καὶ φυτὸν ἰδὼν, ἐπαινεῖ τοῦ καρποῦ, ἀλλ' οὐκ ἐρᾷ τοῦ φυτοῦ· καὶ ποταμὸν ἐπαινεῖ τῆς πρᾳότητος, ἀλλ' οὐκ ἐρᾷ τοῦ ποταμοῦ· ἐν δὲ ἀνθρώπῳ ἐπειδὰν ἴδῃ κάλλος ἔμπνουν καὶ νοερὸν καὶ ἀρετὴν προοιμιαζόμενον, καὶ τὴν μνήμην ἐγείρει, καὶ ἐρᾷ, πρόφασιν μὲν, τοῦ δρωμένου, τὸ δὲ ἀληθὲς, ἐρᾷ κάλλους ἀληθεστέρου. Διὰ ταῦτα καὶ Σωκράτης ἑώρα τὰ καλὰ τῶν σωμάτων, καὶ ταχέως ἔβλεπεν, καὶ πάντα ἔβλεπεν· οὐκ ἐλάνθανε δὲ αὐτὸν κάλλος, οὐκ ἐν παλαίστρᾳ καταδεδυκὸς, οὐκ ἐν Ἀκαδημείᾳ πλανώμενον, οὐκ ἐν συμποσίοις εὐωχούμενον· ἀλλ' οἷα θηρευτὴς δεινὸς, διὰ σωμάτων ἀνθρωπίνων διετέλει μεμνημένος κάλλους ἀληθινοῦ.

valde generosus, sibi vindicare possunt, sed inertissimam modo et vehementer obtusam pulchritudinis speciem. Si quæ tamen ejus ad terram usque perveniant intaminatæ reliquiæ, non facile alibi eas, quam in homine, qui forma et ratione inter omnia mortalia excellit corpora, qui anima præditus est, quam merito pulchri illius cognatam dixeris, invenias. Propterea qui sapit, statuam quum videt, laudat in ea artem, non tamen amat statuam; et plantam qui videt, laudat eam ob fructum, non tamen amat plantam; et in fluvio aquæ tranquillitatem laudat, non tamen amat fluvium: in homine vero, quum videt pulchritudinem vivam, mente præditam, virtutis futuræ prænunciam, continuo memoriam suscitat, et amat, specie quidem, rem visam; revera autem, pulchritudinem veriorem. Hæc causa est cur tam diligenter inspiceret pulchra corpora Socrates, tam cito pulchritudinem animadverteret, neque negligeret ullum; non ulla enim, sive ea in palæstra versaretur, sive in Academia oberraret, sive in conviviis comessaretur, eum pulchritudo præteribat; non secus quippe, quam venator peritus, per humana corpora in memoriam veræ illius pulchritudinis usque redibat.

ΛΟΓΟΣ ΚΗ'.

Ὅτι πάσης τῆς διὰ λόγων εὐφροσύνης ἡ διὰ φιλοσόφων λόγων ἀμείνων.

1. Διηγεῖται Ὅμηρος περὶ Ὀδυσσέως, ὅτι χήτει νεὼς ἐπὶ σχεδίας πλέων, χειμῶνος ἐπιγενομένου, σκεδασθείσης τῆς σχεδίας, νηχόμενος ὑποβαλλούσης αὐτῷ κρήδεμνον τῆς Λευκοθέας, ἐκπεσὼν εἰς τὴν Φαιάκων γῆν, ἱκετεύσας βασιλικὴν παρθένον, κομισθεὶς ὑπ' αὐτῆς εἰς τὸ ἄστυ, τυχὼν αἰδοῦς παρ' Ἀλκίνου, κοινωνεῖ τῆς ἑστίας τοῖς Φαιάκων ἀρίστοις, καὶ μετὰ τοῦτο ἐνάρχεται τῶν πρὸς τὸν Ἀλκίνουν λόγων ὡδί πως· Ἀλκίνοε βασιλεῦ, καλὸν μὲν ἀκούειν ἀοιδοῦ ἀγαθοῦ, οἷος οὗτος, τὴν τέχνην θεῖος· τί γὰρ ἂν εἴη χαριέστερον τέλος δήμου εὐθυμουμένου, καὶ δαιτυμόνων οἶκοι, ᾠδῆς ἀκροωμένων, καθημένων ἑξῆς, καὶ τραπέζης ἀφθόνου, καὶ κρατῆρος μεστοῦ; Ἐρωτῶ δὴ τὸν Ὀδυσσέα· Τί ἡγεῖ εἶναι τὴν εὐφροσύνην, ὦ σοφώτατε ἀνδρῶν; τράπεζαν μεστὴν κρεῶν καὶ σίτου, καὶ κρατῆρα πλήρη, καὶ οἶνον διαχεόμενον, καὶ ἐπὶ τούτοις ᾄδοντα ἀοιδὸν, οἵας ἐκεῖνος ᾠδὰς ᾖδεν,

Νεῖκος Ὀδυσσῆος καὶ Πηλεΐδεω Ἀχιλῆος·

ἢ αὖ κοῖλον ἵππον, ἔνθα εἰσδύντες οἱ ἄριστοι τῶν Ἑλλήνων, εἰς τὸ ἄστυ εἰσενεχθέντες, προχυθέντες τοῦ ἵππου, μεθύουσιν ἐπιθέμενοι, εἷλον τὸ ἄστυ;

Τοῦτό τί σοι κάλλιστον ἐνὶ φρεσὶν εἴδεται εἶναι;

2. Δεινός τις εἶ, ὦ σοφώτατε Ὀδυσσεῦ, ἐπαινέτης εὐφροσύνης δημωδεστάτης, οἵαν καὶ βάρβαρος ἀνὴρ ἐπαινέσαι, καὶ ἄρτι ἐκ Βαβυλῶνος ἥκων, συνήθης πολυτελεῖ τραπέζῃ καὶ οἴνῳ χεομένῳ πολλῷ καὶ ᾠδῇ αὐτοσχεδίῳ· καὶ ταῦτα, ὡς φῄς, ὑπεριδὼν παρ' ἄλλοις

DISSERTATIO XXVIII.

Omni sermonum voluptate majorem esse eam quæ ex philosophicis sermonibus percipitur.

1. Refert Homerus, Ulyssem, quum navem non haberet, in rati extemporanea navigasse; quæ quum vi subito exortæ tempestatis dissiparetur, accepisse a Leucothoe vittam, qua innixus navigare cœpit, donec tandem Phæacum terram appulit; ubi regis filiam invenit, a qua precibus suis hoc impetravit, ut ab ea in urbem deduceretur, Alcinoum regem sibi propitium haberet, contubernio ab eo juxta ac Phæacum primates exciperetur, tandemque orationem ad regem habet, cujus hoc fere est initium: Equidem res pulcherrima est, rex Alcinoe, præstantem, qualis hic est, audire citharœdum. Quid enim assequi in vita possis beatius, quam summam populi hilaritatem; longumque domi spectare convivarum ordinem, quos omnes cantus delectat; quam mensam probe instructam, plenos vini calices? Mihi ita libet interrogare Ulyssem: Velim ex te scire, vir sapientissime, quid esse arbitreris voluptatem? mensamne carnibus ciboque plenam, plenum calicem, magnam vini copiam, et, ne quid desit, citharœdum, qui eodem, quo ille, modo,

Et Laertiadæ magni et certamen Achillis,

aut equum concavum canat, quo conditi deferuntur in urbem Græcorum principes, quam, egressi ex equo, vino sepultam invadunt et capiunt?

Hoccine præ cunctis adeo tibi dulce videtur?

2. Næ tu, sapientissime Laertiade, laudibus miris voluptatem commendas nobis plane trivialem, qualem commendaret etiam barbarus aliquis, qui recens Babylone rediret, ubi sumptuosas epulas, vini largam copiam, et ex tempore fusas cantiunculas mirari didicisset: tu, inquam, qui

τοῦ μελιηδέος λωτοῦ καὶ τῆς Σειρήνων ᾠδῆς. Μήποτε οὖν ἔοικέν τι Ὅμηρος αἰνίττεσθαι ἄλλο κρεῖττον, ἢ ὁποῖον τὰ ἔπη λέγοι οὑτωσὶ ἀκούσαντι εὐθύς. Τὸ γάρ τοι κειμένων σιτίων ἀμφιλαφῶν καὶ οἴνου πολλοῦ, ταῦτα μὲν ἐπιθεῖναι ταῖς τραπέζαις, καὶ τὸν οἶνον τῷ κρατῆρι ἐγχέαι, ἐπαινεῖν δὲ τοὺς δαιτυμόνας ἐν τοσαύταις ἡδοναῖς ἀκροωμένους τοῦ ἀοιδοῦ σπουδῇ, εὐσχήμονά τινα ἔοικεν εὐωχίαν διηγεῖσθαι ἡμῖν, οἵαν μιμήσεται ἄν τις νοῦν ἔχων, μεταθεὶς τὰς ἡδονὰς ἀπὸ τῶν αἰσχίστων ἐπὶ τὰ κοσμιώτατα, ἀπὸ τῆς γαστρὸς ἐπὶ τὰς ἀκοάς· ἢ οὐδὲ τοῦτο ἀπόχρη, εὐωχεῖν τὰς ἀκοὰς εἰκῇ καὶ ἀνέδην,

Αὐλῶν συρίγγων τ' ἐνοπῇ,

καὶ ἀνθρώπων ὁμάδῳ, ἀλλὰ κἀνταῦθα τέχνης δεῖ κατακοσμούσης τὴν ἀκοῆς εὐωχίαν ἁρμονίᾳ δεξιᾷ.

3. Καὶ τίς ἂν ἡμῖν ἡ τοιαύτη ἁρμονία γένοιτο; Ἀγαπῶ μὲν γὰρ ἔγωγε τὴν ἐκ μελῶν ἡδονὴν προσιοῦσαν ταῖς ἀκοαῖς, ἢ δι' αὐλῶν ἐμπνεομένων, ἢ διὰ λύρας κρουομένης, ἢ δι' ἄλλου του μουσικοῦ ὀργάνου δυναμένου χορηγεῖν καὶ ἐπιπέμπειν ἡμῖν προσηνὲς μέλος· δέδια δέ, μὴ ταυτὶ τὰ μέλη ἡδονὴν μέν τινα ἔχῃ κεκραμένην ὑπὸ τέχνης καλῶς, ἄσημα δὲ ὄντα καὶ ἄλογα καὶ ἄφωνα μηδὲν μέγα τῇ ψυχῇ εἰς εὐφροσύνην συντελῇ. Εἰ γάρ τις ἐθέλοι παραβαλεῖν τὴν ἐκ μελῶν ἡδονὴν τῇ τῶν λόγων, ἐοίκοι ἂν ὁ μὲν λόγος σιτίοις, τὸ δὲ μέλος ὀδμαῖς· ὧν τὰ μὲν εἰς ὑποτροφὴν προσφορώτατα, ὀδμὴ δέ, κἂν εὐοδμῇ, κιβδηλότατόν ἐστι χρῆμα, καὶ ἐν τροφῇ ἀσθενέστατον. Εὐωχητέον οὖν τὰς ἀκοάς, τρέφοντας ὁμοῦ, τὰς μὲν ὀδμὰς ταύτας τὰς ἐκ τῶν μελῶν παραπεμπομένους, τὰ δὲ ἐκ λόγων σιτία προσάγοντας αὐταῖς. Ἐπεὶ τοίνυν λόγῳ, καὶ οὐκ ἄλλῳ τῳ, χαίρειν εἰκὸς δαιτυμόνας δεξιούς, τίνας καὶ λόγους αὐτοῖς παραθήσομεν φέροντες; Ἆρα οἳ μὲν μιμοῦνται τὰς ἐν δικαστηρίοις ἔριδας, καὶ φιλονεικίας ἐπιτεχνήσεις καὶ μάχας, κρατύνοντες μὲν τὰ ἄδικα, ἐπικοσμοῦντες δὲ τὰ αἰσχρά, κιβδηλεύοντες τἀληθῆ, ὑγιὲς δὲ οὐδέν, οὐδὲ ἄδολον, οὐδὲ ἐν τῷ τῆς φύσεως ἐπιχωρίῳ μένειν ἐῶντες; ἀλλ' αὐτὸ ἐκεῖνο, οἷόν περ οἱ τῶν ἀνδραπόδων κάπηλοι, οἳ σώματα παραλαβόντες ἁπλᾶ ὑφ' ἡλίῳ καθαρῷ καὶ ἀέρι ἐλευθέρῳ τεθραμμένα, σκιατροφοῦντες ταῦτα καὶ λεαίνοντες, λυμαίνονται αὐτῶν τὴν ἀπ' ἀρχῆς δημιουργίαν, ἣν ἡ φύσις αὐτοῖς περιέβαλε κρείττονα τέχνης. Τοιοῦτον γάρ τι ἀμέλει καὶ οἱ πρὸς τὰς δίκας εἰλούμενοι δρῶσιν.

4. Ἀλλὰ τά γε τούτων μιμήματα, πρὸς τῷ κίβδηλα εἶναι καὶ σκυθρωπὰ κομιδῇ, καὶ εὐωχουμέναις ψυχαῖς οὐ πάνυ τι ἀκούειν ἐπιτήδεια· ὡς ἐγὼ οὐδὲ τὰ Αἰνιάνων θεάματα ἐπαινῶ, ὅσα ἐν πότῳ εὐφραίνονται Αἰνιᾶνες, οἱ μὲν δρῶντες, οἱ δὲ ὁρῶντες. Ἄνδρες δύο μιμοῦνται μάχην, ὑπαυλοῦντος ἄλλου· ὁ μὲν αὐτοῖν γεωργός τέ ἐστι καὶ ἀροῖ, ὁ δὲ λῃστὴς καὶ ὅπλα ἔχει, κεῖται δὲ καὶ τῷ γεωργῷ τὰ ὅπλα ἀγχοῦ· ἐπειδὰν δὲ ὁ λῃστὴς ἔλθῃ, ἀφέμενος ὁ γεωργὸς τοῦ ζεύγους, δραμὼν

aliis in locis, ut narrare soles, loti suavitatem et cantum Sirenum potuisti contemnere. Quare vide ne altius quiddam innuere Homerus velit, quam quod sic negligenter audienti prima fronte indicare ipsi versus videntur. Nimirum quum omne ciborum genus vinumque copiosum præsto sit, illis mensas onerare, his implere crateres, et inter has omnes voluptates laudare convivas, qui suavissimum cantum studiose auscultent: hoc honestiorem aliquam nobis voluptatem narrare videtur, qualem imitari debet vir sapiens, ut voluptates a minus honestis partibus ad magis decora transferat, a ventre ad aures videlicet: nisi fortasse ne hoc quidem sufficere arbitreris, ut temere aliquis et sine modo,

et tibiæ atque tubæ cantu,

hominumque strepitu aures detineat; sed hic quoque ars requiratur aliqua, quæ dextra quadam harmonia aurium epulas exornet.

3. Verum enimvero cujusmodi futura est talis harmonia? Nec enim negare possum, quin et ipse ex modulatione auribus se insinuante summam voluptatem capiam, sive tibiam inflet, sive lyram pulset aliquis, aut si quod aliud musicum instrumentum dulces sonos modulari iisque trahere nos possit. Vereor tamen, ne hæc modulatio voluptatem quidem aliquam, ipsa arte pulchre temperatam, offerat; quia tamen sine significatione ulla, sine verbis est et vocibus, nihil dignum animæ delectatione conficiat. Si quis enim eam, quæ ex sola modulatione constat, voluptatem cum altera illa, quæ ex oratione verbisque hauritur, velit conferre; hanc cibis, illam odori similem esse videbit: quorum illi quidem validissime nutriunt; odor vero, etiam suavissimus res,est instabilissima, et ad nutriendum nihil confert aut parum: at vero ita aures nostræ oblectandæ sunt, ut simul pascantur; quod fiet, si odorem harmoniæ dimittamus, verborum vero cibum illis largiamur. Quum ergo nulla re alia, quam sermone, præstantes convivas oblectari posse sit certum; restat ut, quo sermonum genere excipiendi sint, id quoque sciamus. An talibus qui judiciorum lites, artesque fori contentiosas et velitationes imitantur, qui injusta fulciunt, inhonesta adornant, vera adulterant, nihil denique sanum aut sincerum afferunt, nihil in naturæ præscripto manere sinunt? plane ut mancipiorum mangones solent, qui si genuina corpora, sub puro sole liberoque nutrita aere acceperint, in umbra educant ea et depilant; donec primitivam illis formam eripiant, quam a natura acceperunt meliorem ea quam ars præstare potest. Plane simile quid agunt forenses illi rabulæ.

4. Hæc vero imitatione expressa, præterquam quod adulterina sunt et valde molesta, ne apta quidem sunt convivantium animis ad audiendum. Itaque nec Ænianum laudare possum spectacula, quibus illi in conviviis, alii, agendo, alii spectando, oblectare se solent. Duo viri ad tibiæ modos pugnæ simulacra cient: alter eorum agricolam imitatur et arat; alter prædonem, et armatus est: habet et agricola in promptu arma sua, qui, simul ac prædo appropinquare incipit, relicto aratro suo, arma in manum sumit, cum præ-

ἐπὶ τὰ ὅπλα, συμπεσόντες μάχονται, παίοντες τὰς ὄψεις, καὶ μιμούμενοι τραύματα καὶ πτώματα· θεάματα οὐ συμποτικά. Ἐπαινῶ πρὸ τούτων τὸν Περσικὸν νόμον τὸν ἀρχαῖον, δι' ὃν Πέρσαι τῆς ἐλευθερίας ἐπελάβοντο. Ἀνέκειντο τοῖς Πέρσαις αἱ βουλαὶ εἰς τὰς εὐωχίας, ὥσπερ τοῖς Ἀθηναίοις εἰς τὰς ἐκκλησίας, καὶ σπουδαστικώτερον ἦν συμπόσιον Περσικὸν ἐκκλησίας Ἀττικῆς· ἐκεῖ μὲν γὰρ νόμος κολάζων τὴν μέθην ἐπήγειρεν αὐτῶν τὰς ἀρετὰς τῇ εὐωχίᾳ, καθάπερ ἔλαιον πῦρ, ἐπιχέων τῇ ψυχῇ συμμέτρως, μὴ τελείως σβεννὺς αὐτῆς τὸ φιλότιμον, μήτε ἐξάπτων τῆς χρείας περαιτέρω· ἐνταῦθα δὲ οἱ νήφοντες οὗτοι δημαγωγοί, μηδενὸς αὐτοῖς ἐφεστῶτος νόμου κολάζοντος τὴν ἐξουσίαν τῶν λόγων, ἐξωρχοῦντο ἐν ταῖς ἐκκλησίαις πάσης μέθης ἀκολαστότερον.

5. Τὰ μὲν οὖν τῶν Περσῶν καὶ τὰ Ἀττικὰ ἐῶμεν, ἐπανάγωμεν δὲ αὖθις ἐπὶ τὰ ἡμέτερα. Λόγοις τοιγαροῦν εὐωχητέον τὰς ἀγαθὰς ψυχάς, καὶ οὐ δικανικοῖς λόγοις, φησὶν ὁ λόγος. Τίσι μήν; ἆρα οἳ τὰς ψυχὰς ἐπὶ τὸν πρόσθεν χρόνον ἀναβιβασάμενοι, παρέχουσιν αὐταῖς τὴν θέαν τῶν γενομένων πάλαι; Προσηνὲς γὰρ ἡ ἱστορία, καὶ τὸ μηδὲν καμόντα πανταχοῦ περιπολεῖν, πάντα μὲν χωρία ἐποπτεύοντα, πᾶσι δὲ πολέμοις ἐκ τοῦ ἀσφαλοῦς παραγιγνόμενον, μῆκος δὲ ἀμήχανον χρόνου ἐν βραχεῖ ἀναλεγόμενον, πλῆθος δὲ ἄπειρον πραγμάτων ἐν ὀλίγῳ μανθάνοντα, τὰ Ἀσσύρια, τὰ Αἰγύπτια, τὰ Περσικά, τὰ Μηδικά, τὰ Ἑλληνικά· νῦν μὲν πολεμοῦσιν ἐν γῇ παραγινόμενον, νῦν δὲ ἐν θαλάττῃ ναυμαχοῦσιν, νῦν δὲ ἐν ἐκκλησίαις βουλευομένοις· μετὰ Θεμιστοκλέους ναυμαχοῦντα, μετὰ Λεωνίδου παττόμενον, καὶ μετὰ Ἀγησιλάου διαβαίνοντα, καὶ μετὰ Ξενοφῶντος σωζόμενον· ξυνερῶντα Πανθείᾳ, συνθηρῶντα Κύρῳ, συμβασιλεύοντα Κυαξάρει. Εἰ δὲ καὶ Ὀδυσσεὺς σοφός, ὅτι πολύτροπος ἦν, καὶ

Πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,
ἀρνύμενος ἥν τε ψυχὴν καὶ νόστον ἑταίρων·

πολύ που σοφώτερος ὁ τῶν μὲν κινδύνων ἐξιστάμενος, τῆς δὲ ἱστορίας ἐμπιμπλάμενος. Χάρυβδιν ὄψεται, ἀλλ' οὐχ ἐν ναυαγίῳ· Σειρήνων ἀκούσεται, ἀλλ' οὐ δεδεμένος· Κύκλωπι ἐντεύξεται, ἀλλ' εἰρηνικῷ. Εἰ δὲ καὶ Περσεὺς εὐδαίμων, ὅτι πτηνὸς ἦν καὶ περιεφέρετο ἐν τῷ αἰθέρι πάντα ἐποπτεύων τὰ ἐν γῇ παθήματα καὶ χωρία· πολὺ τῶν Περσέως πτερῶν ἡ ἱστορία κουφότερον καὶ μετεωρότερον, ἣ λαβοῦσα τὴν ψυχὴν περιφέρει πανταχοῦ, οὐκ ἀργῶς οὐδὲ ἠμελημένως δεικνύουσα, ἀλλὰ καὶ ἄνδρα γενεαλογεῖ [καὶ ποταμόν]· « Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων. »

Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·

Γενεαλογεῖ καὶ πόλιν· « Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ εἰσπλέοντι τὸν Ἰόνιον κόλπον, προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρβαροι· »

Ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο.

done concurrit; ibi faciem alterius ferit alter; hic vulnerat, ille vulneratur; hic sternit, ille cadit: minime dignum convivio spectaculum. Cui ego longe antiquum Persarum morem prætulerim, quo libertatem suam consecuti sunt. Deliberare in conviviis Persæ, sicut in concionibus Athenienses, solebant: et erant magis seria apud Persas convivia, quam apud Athenienses comitia: quum enim illorum lex ebrietatem vindicaret, virtutem eorum lautis epulis incitabat, ut oleum flammam, et moderate irrigabat animos, ut nec ardorem eorum penitus restingueret, nec ultra tamen, quam necesse esset, accenderet. Athenis vero oratores publici, quum nulla apud eos lex nimiam illam verborum reprimat licentiam, quovis temulento homine liberius in concionibus insaniebant.

5. Sed Persas jam Atheniensesque relinquamus; rursus ad nostra redeamus. Sermonibus ergo pascendi sunt honesti animi, non forensibus tamen sermonibus, sermo noster inquit. Quibus ergo? num iis qui ad superiorum cogitationem temporum eos revocent, resque jam olim gestas spectandas proponant? Jucunda sane res est historia, et sine labore ullo passim divagari, omnes locos intueri, omnibus bellis sine periculo interesse, infinitum temporis spatium in momentum contrahere, infinitas res gestas brevi cognoscere, quæ ab Assyriis, quæ ab Ægyptiis, quæ a Persis, quæ a Medis, quæ a Græcis facta sunt; bello nunc terrestri, nunc marino, nunc concionum videri interesse consiliis; cum Themistocle in mari, cum Leonide in terra pugnare, cum Agesilao (in Asiam) trajicere, cum Xenophonte incolumem redire; amare cum Panthea, venari cum Cyro, regnare cum Cyaxare. Quodsi sapiens ea de causa Ulysses dicitur, quod vafer esset, et

Multorum mores hominum lustrasset et urbes,
dum sibi, dum sociis reditum pariterque salutem
apparat;

multo sapientior est, qui extra periculum historiæ lectione sese explet. Charybdin videbit, sed sine naufragio; Sirenas audiet, sed sine vinculis; cum Cyclope aget, sed miti et pacato. Et si eo nomine felix fuisse Perseus judicatur, quod passim alarum vagaretur beneficio, ex æthere totam terræ naturam, omnia intueretur loca: multo et levior et sublimior his Persei alis habenda est historia, quæ arreptum passim circumfert animum nostrum, nec nudas ei simplicesque res ostendit, sed et hominum origines recenset [et fluviorum]. Quale est illud: *Crœsus Lydus erat genere, Alyattis filius, rex vero populorum:* et,

A Jove nam primum deduxit Dardanus ortum.

Et urbium origines: *Epidamnus urbs est ad dextram sita Ionium sinum petentibus, cui finitimi sunt Taulantii, gens barbara:* et,

Urbs Ephyre posita est Argi anterioribus oris.

Γενεαλογεῖ δὲ καὶ ποταμόν· « Ὃς ῥέων ἐκ μεσημβρίης πρὸς βορέην ἄνεμον εἰς τὸν Εὔξεινον πόντον καλεόμενον ἐκδιδοῖ· »

Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.

Τοῦτο τὸ ἄκουσμα ἐφήμερον τὸ τῶν ἀνθρώπων γένος καὶ φθειρόμενον ταχὺ καὶ ἀπολλύμενον καὶ ὑπορρέον, τῇ μνήμῃ σώζει, καὶ τὰς ἀρετὰς φυλάττει, καὶ τὰς πράξεις ταῖς δόξαις ἀθανάτους ποιεῖ. Διὰ τοῦτο ὁ Λεωνίδης ᾄδεται οὐχ ὑπὸ Λακεδαιμονίων μόνον τῶν τότε, καὶ ὁ Θεμιστοκλῆς ἐπαινεῖται οὐχ ὑπὸ Ἀθηναίων ἐκείνων· μένει δὲ καὶ ἡ Περικλέους στρατηγία καὶ νῦν ἔτι, καὶ ἡ Ἀριστείδου δικαιοσύνη· δίδωσι Κριτίας καὶ νῦν δίκην, φεύγει καὶ νῦν Ἀλκιβιάδης. Συνελόντι δὲ εἰπεῖν, οἱ καθ' ἱστορίαν λόγοι τῷ μὲν ἀνηκόῳ τερπνότατον καθ' ἡδονὴν, τῷ δὲ εἰδότι ἐπαγωγότατον κατὰ ἀνάμνησιν.

6. Τίς ἂν οὖν γένοιτο ψυχαῖς εὐωχία λόγων ταύτης προσηνεστέρα; Χαλεπὸν μὲν εἰπεῖν καὶ ἀντιτάξασθαι πολλῷ καὶ γενναίῳ λογοποιῷ, ῥητέον δὲ ὅμως, ὅτι καλὴ μὲν ὑμῶν ἡ ἁρμονία καὶ ᾄδεσθαι προσηνὴς, ἄλλο δὲ ποθεῖ ἡ ἐπιεικὴς ψυχὴ, καὶ οὐχ οἷον παρέχεσθαι ὑμῖν. Τί γὰρ σεμνὸν ἡ μνήμη τῶν πάλαι κακῶν, τῷ μήπω μαθόντι, ὅπως ταῦτα φυλακτέον; ἢ τί πλέον Ἀθηναίοις ἐγένετο διὰ τὴν ἱστορίαν τὴν Ἀττικήν; ἢ τί πλέον Ἁλικαρνασεῦσι διὰ τὴν ἱστορίαν τὴν Ἰωνικήν; ἢ τί Χῖοι διὰ ταύτην εὐδαιμονέστεροι; Εἰ μὲν γὰρ ἀποκρίναντες τὰ καλὰ τῶν αἰσχρῶν, τὰ μὲν ἀπέκρυπτον, τὰ δὲ ἱστόρουν, ἦν ἄν που τῇ ψυχῇ ὄνησις κατὰ μίμησιν τῶν ἱστορημένων, καθάπερ ὀφθαλμοῖς κατὰ μίμησιν γραφῆς· νῦν δὲ ἀναμὶξ εἰσφύρεται πάντα ἐν τοῖς λόγοις, καὶ πλεονάζει τὰ χείρω, καὶ κρατεῖ τὰ αἰσχρά· καὶ τὸ πολὺ τῆς ἱστορίας πλεονέκται τύραννοι, καὶ πόλεμοι ἄδικοι, καὶ εὐτυχίαι ἄλογοι, καὶ πράξεις πονηραὶ, καὶ συμφοραὶ ἀγνώμονες, καὶ περιστάσεις τραγικαί· ὧν σφαλερὰ μὲν ἡ μίμησις, βλαβερὰ δὲ ἡ μνήμη, ἀθάνατος δὲ ἡ δυστυχία. Ἐγὼ δὲ ποθῶ πρὸς τὴν εὐωχίαν τροφὴν λόγων ὑγιεινῶν, καὶ ἀνόσου τοιούτου δέομαι σιτίου, ἀφ' οὗ καὶ Σωκράτης ὑγίανε, καὶ Πλάτων, καὶ Ξενοφῶν, καὶ Αἰσχίνης.

7. Ἐπιθυμεῖ ἡ ἀνθρώπου ψυχὴ, καὶ δέδιε, καὶ λυπεῖται, καὶ φθονεῖ, καὶ ἄλλοις συνέχεται παντοδαποῖς καὶ ἀλλοκότοις παθήμασι· στάσιν ὁρᾷς πικρὰν καὶ ἀκήρυκτον· τοιοῦτόν μοι διηγοῦ τὸν πόλεμον, τὸν δὲ Μηδικὸν ἔα· ταύτην μοι διηγοῦ τὴν νόσον, τὸν δὲ λοιμὸν ἔα. Εἰπὲ, τίνι ἐπιτρέψω τὴν στρατηγίαν καὶ τὴν ἴασιν; Ἱπποκράτην δὲ ἔα τοῖς σώμασιν καὶ Θεμιστοκλέα τῇ θαλάττῃ· λέγε τὸν ψυχῆς ἰατρὸν, λέγε τὸν στρατηγόν. Κἂν ἀπορῇς ἀνδρῶν, ἐπὶ τοὺς θεοὺς ἴθι. Ἔρου μὴ περὶ γῆς δῃουμένης, μηδὲ περὶ θαλάττης λῃστευομένης, μηδὲ περὶ τειχῶν πολιορκουμένων, μηδὲ περὶ σωμάτων φθειρομένων· σμικρὰ ταῦτα, ἐφήμερα ταῦτα. Τμηθήσεται λήϊον, κἂν Πελοποννήσιοι ἀπόσχωνται· λῃστευθήσεται θάλαττα, κἂν Ἀθηναῖοι μὴ ναυμαχῶσιν·

Sed et fluviorum origines : *(Halys) qui a meridianis partibus septentrionem versus fluens, in pontum se exonerat, quem Euxinum vocant :* et,

Quem Xanthum divi dicunt, hominesque Scamandrum.

Sola harum rerum narratio est, quæ genus mortale, quod tam caducum est, tam perit, deficit, defluit cito, memoriæ beneficio sospitat, virtutes ejus conservat, immortali gloria actiones ejus compensat. Hoc est cur Leonides non a Lacedæmoniis illius ævi tantum celebretur; non tantum ab Atheniensibus, quos ætas illa tulit, Themistocles laudetur : manet etiam nunc Periclis imperium, manet justitia Aristidis; Critias adhuc pœnas luit, Alcibiades adhuc in exilium abit. Et, ut verbo absolvam, narratio historica et eos, qui primo legunt, mirifica voluptate oblectat; et eos, qui jam legerunt, jucundissima cogitatione reficit.

6. Quæ igitur e sermone ullo peti voluptas possit magis grata animo? Sane difficile est copioso adeo et præclaro historiarum scriptori se opponere : dicendum tamen est : pulcherrima quidem est et cum suavitate celebratur, o historici, vestra compositio; alia est tamen, quam quæ a vobis præberi possit, animi honesti voluptas. Quid enim præteritorum malorum juvat recordatio, nisi prius, quo pacto vitanda ea sint, cognoveris? aut quid commodi Athenienses ex Attica, aut ex Ionica Halicarnassenses hauserunt historia? quæ felicitas ex historia Chiis accessit? Si enim honesta possent ab improbis distinguere, et prætermittere hæc, illa describere; non minus fortasse rerum gestarum animum juvaret imitatio, quam oculos juvat imitatio pictoris : nunc promiscue in historiam infarciuntur omnia, major pars in deterioribus moratur, vincunt turpia : ubique fere in historia rapaces tyrannos, injusta bella, absurdas felicitates, facinora scelesta, calamitates indignas, tragicos casus invenies; quorum imitatio periculosa, memoria damnosa, æterna est miseria. Ego, ut plenam voluptatem consequar, sanis pasci volo sermonibus, sanum requiro cibum, talem quali Socrates, aut Plato, aut Xenophon, aut Æschines id consecuti sunt ut usque sani essent.

7. Libidine, metu, mœrore, invidia, aliisque multiplicibus et miris anima humana torquetur affectibus. Vides contentionem duram, contentionem implacabilem; tale bellum mihi describe, Medicum vero relinque; talem mihi morbum narra, pestem vero prætermitte. Dic mihi, quem hujus belli ducem quæram, quem morbi hujus inveniam medicum; Hippocratem vero corporibus relinque, marinis præliis Themistoclem : dic aliquem animi medicum, dic aliquem ducem. Si inter homines non invenias, inter deos quære. Ne verba facias vel de terra, quod vastetur; vel de mari, quod a piratis infestetur; aut quod obsideatur urbs ab hostibus, aut plurimi morbo intereant : pusilla hæc sunt, caduca hæc sunt. Vastari enim seges tua poterit, quamvis Peloponnesii abstineant; a piratis infestabitur mare,

καταβαλεῖ τὰ τείχη, καὶ εἰ μὴ Φίλιππος, ἀλλ' ὁ χρόνος· φθαρήσεται τὰ σώματα, κἂν ἀπέλθῃ ὁ λοιμός· ἀνδρὸς δὲ ἀρετὴ,

πάλιν ἐλθεῖν οὔτε λῃστὴ,
οὔθ' ἑλετή.

Περὶ ταύτης ἔρου δὴ, ὅτε ψυχὴ τέμνεται, λῃστεύεται, πολιορκεῖται, νοσεῖ. Χρησμοῦ σοι δεῖ, μαντείας σοι δεῖ, εὖξαι τῷ θεῷ·

Κλῦθί μευ, ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας,

κλῦθι, ὦ Ἄπολλον, καὶ Ζεῦ, καὶ εἴ τις ἄλλος θεὸς ἰατικὸς ψυχῆς νοσούσης,

εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δήποτέ τοι κατὰ πίονα μηρί' ἔκηα.

Ἀκούσεται ὁ Ἀπόλλων τοιαῦτα εὐχομένου θᾶττον, ἢ τοῦ Χρύσου. Οὐ γὰρ ἐπὶ λοιμὸν παρακαλεῖς τὸν θεὸν, οὐδὲ ἐπὶ τοξείαν ὀϊστῶν θανατηφόρων, οὐδὲ ἐπὶ φθορὰν κυνῶν καὶ ἀνδρῶν καὶ ὀρέων· οὐ γὰρ ταῦτα ἔργα μουσικοῦ θεοῦ, καὶ σοφοῦ καὶ μαντικοῦ. Ὅμηρος δὲ αὐτῷ προσέθηκε τὴν φήμην, αἰνιττόμενος τὴν ἡλίου ἀκτῖνα δι' ἀέρος χωροῦσαν ὀϊστοῦ θᾶττον, ἀκρατοτέραν τῆς τῶν σωμάτων συμμετρίας. Ἐμοὶ δὲ ᾀδέτω εἴτε καὶ Ὅμηρος, εἴτε Ἡσίοδος, εἴτε τις ἄλλος ποιητὴς δαιμόνιος, θεὸν Παιᾶνα ψυχῆς παθημάτων. Ἄξια ταῦτα τοῦ Ἀπόλλωνος, ἄξια τοῦ Διός.

quamvis in mari classem non habeant Athenienses; mœnia tua si Philippus non evertet, certe tempus; interibunt homines, quamvis pestis remittat:

At virtus hominis nunquam reparabilis ulli est.

De hac deos consule, quoties invadi, spoliari, oppugnari animam videbis, aut a morbo tentari. Hic oraculo deorum, hic responso opus habes, hic deum precare:

Exaudi, arcitenens, qui Chrysen, sancte, tueris;

audias, precor, Apollo, et Juppiter, aut si quis præterea deus es, qui morbos animi curare soles,

Si quando haud uno templum tibi munere cinxi,
pinguiaque in mediis adolevi viscera flammis.

Citius has preces, quam Chrysæ, Apollo audiet. Nec enim petes ut pestem immittat, ut sagittas letales emittat, ut canes, ut homines, ut mulos exstinguat; quæ minime illo deo, quem musicæ, quem sapientiæ, quem divinationi præesse voluerunt, digna sunt. Homerus autem, qui hoc illi tribuit, nihil aliud in animo habuit, quam solares radios, qui quavis sagitta velocius per aerem feruntur, quavis purissima corporis constitutione simpliciores sunt. Mihi vero vel Homerus, vel Hesiodus, vel si quis alius poeta divinus est, deum canat qui mederi possit morbis animi. Hæc Apolline digna sunt, hæc digna sunt Jove.

ΛΟΓΟΣ ΚΘ'.

Τίνες λυσιτελέστεροι πόλει, οἱ προπολεμοῦντες, ἢ οἱ γεωργοῦντες. Ὅτι οἱ προπολεμοῦντες.

I. Ἔχεις εἰπεῖν, τίνας ὀνομάζει Ὅμηρος ἐν τοῖς ἔπεσι διογενεῖς, καὶ θεοῖς εἰκέλους, καὶ λαῶν ποιμένας, καὶ ἄλλα ὅσα ποιητὴν εἰκὸς ἀποσεμνύνοντα τοῖς ὀνόμασιν ἀρετὴν ἀνδρός; ἆρα τοὺς ἐπὶ σκαπάνῃ καὶ αὔλακι πρὸς τῇ γῇ διαπονουμένους, δεινοὺς ἀροῦν, ἀγαθοὺς φυτεύειν, ἐν ἀμήτῳ δεξιοὺς, ἐν ὀρχάτῳ φιλοπόνους; ἢ τούτων μὲν οὐδὲ τὴν ἀρχὴν ἠξίωσεν καταμῖξαι τὰ ἔργα τῇ αὐτοῦ ᾠδῇ, ὅτι μὴ νησιώτῃ γέροντι ἀναθεὶς αὐτὰ, ἐκπεπτωκότι τῆς ἀρχῆς ὑπὸ ὑβριστῶν νέων, ἐν γουνῷ οἰνοπέδου ἀλωῆς ἐπὶ φύλλων χαμαὶ βεβλημένων ὥρᾳ θέρους ἀναπαυομένῳ; Οἱ δὲ μακάριοι αὐτῷ ἄνδρες, οὓς ἐκεῖνος ἐπαινῶν χαίρει, ἕτεροί εἰσιν ἐξ ἑτέρων ἐπιτηδευμάτων καὶ ἔργων· ἢ Ἀχιλλεὺς διώκων, ἢ Αἴας μονομαχῶν, ἢ Τεῦκρος τοξεύων, ἢ Διομήδης ἀριστεύων, ἤ τις ἄλλος τῶν δεινῶν τὰ ἀριστευτικά. Μεστὰ δὲ αὐτῷ τὰ ἔπη ἀσπίδων μεγάλων, καὶ κορύθων φαεινῶν, καὶ δοράτων μακρῶν, καὶ ἁρμάτων καλῶν, καὶ ἵππων θεόντων, καὶ ἀγαθῶν κτεινόντων, καὶ δειλῶν κτεινομένων. Τὸν μὲν γὰρ Ἀγαμέμνονα αὐτὸν τὸν τῶν Πανελλήνων βασιλέα οὐκ ἔσχεν ἑτέρως ἐπαινέσαι, ἢ τὸν αἰχμητὴν προσθεὶς τῷ βασιλεῖ, ὡς μόνον δὴ τοῦτο ἔργων ἀρχικώτατον· καί φησιν, ὅτι ἦν ὁ Ἀγαμέμνων ἀμφότε-

DISSERTATIO XXIX.

Utri in republica utiliores sint, milites, an agricolæ. Milites esse utiliores.

1. Possisne dicere, qui sint illi quos Homerus in poesi sua *Jove genitos, diis similes, pastoresque populorum* vocat, ut alia omittam nomina, quibus in extollenda alicujus virtute uti solent poetæ? eosne qui terram stiva et ligone exercent, qui arare, qui plantare, qui messem colligere, vitem ordinare eleganter possunt? an potius has similesque curas ne leviter quidem in poematis suis attingere dignatus est; nisi quatenus insulano seni qui a contumeliosis juvenibus regno suo ejectus erat, ea tribuit, quem

in vitiferæ procul ubere terræ

in frondibus humi defusis æstivo tempore quiescere fecit? At vero quos beatos dicit, quos commendare solet Homerus, alii sunt, quorum alia sunt opera, alia studia: aut Achilles est, quum hostem insequitur; aut Ajax, quum singulari certamine congreditur; aut Teucer, quum sagittis, aut Diomedes, quum animi virtute excellit; aut si quis alius, qui strenue rem bellicam solet gerere. Nihil enim in toto ejus opere audis, nisi magnos clypeos, splendidas galeas, longas hastas, pulchros currus, equos currentes, et, ut verbo absolvam, viros fortes qui mactant, timidos qui mactantur. Quid quod ipsum Agamemnonem, communem omnium Græcorum principem, laudare non potuit aliter quam ut bellatorem simul eum regemque dicat, quasi hoc unum opus sit maxime dignum imperio? utrumque enim

ρον, βασιλεὺς καὶ αἰχμητὴς ἀγαθός. Ἐπεὶ καὶ ὁ Μενέλαος βασιλεὺς μὲν ἦν, οὐχ ἧττον ἢ ὁ Ἀγαμέμνων, μαλθακὸς δὲ αἰχμὴν, καὶ διὰ τοῦτο ὀλίγον αὐτῷ μετέδωκε ποιητικῆς εὐφημίας Ὅμηρος. Ὅ γε μὴν Ἀγαμέμνων οὗτος, τί ἦν ἂν ἐπικλεέστερος τῶν ἄλλων, εἰ κατὰ τὸ Ἄργος μένων, γῆν ἀγαθὴν ἔχων, γεωργῶν τὴν γῆν, ἀπέφηνεν αὐτὴν εὐκαρποτέραν τῆς Αἰγυπτίας; Τοῦ μὲν γὰρ Ὀδυσσέως ἀκούεις αὐτοῦ σεμνολογουμένου περὶ τῆς Ἰθάκης·

Τρηχεῖ', ἀλλ' ἀγαθὴ κουροτρόφος,

φησίν. Οἶδε γάρ που, ἅτε σοφὸς ὢν, ὅσον διαφέρει ὁ τῆς ἀνδρείας καρπὸς οὗτος, πυρῶν καὶ κριθῶν, καὶ εἴ τις ἄλλη ὑποτροφὴ γῆς.

2. Ὅμηρον ἐῶ· τάχα γὰρ καὶ δυσχεράναις ἂν τῷ λόγῳ προφερομένῳ σοι μάρτυρα φιλοπόλεμον. Βούλει σοι τὰ δεύτερα ἐπ' ἐκείνῳ λέγω τὰ Λακωνικὰ, ἢ τὰ Ἀττικὰ, ἢ τὰ Κρητικὰ, ἢ τὰ Περσικά; Τὴν Σπάρτην ἐπαινεῖς, ὡς εὐνομωτάτην. Ὁ δὲ Λυκοῦργος οὐ σοῦ δήπου ἐπαινέτου δεήσεται· ὁ γὰρ Ἀπόλλων φθάνει λέγων πρὸς αὐτόν·

Δίζω, ἤ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον.

Ὁ τοίνυν Λυκοῦργος οὗτος, ὃν ὁ θεὸς εἰκάζει θεῷ, τιθεὶς τῇ Σπάρτῃ νόμους, συμβουλευσάμενος τῷ Ἀπόλλωνι, ποῖόν τι πολιτείας ἦθος καταστήσαιτο τοῖς αὐτοῦ θρέμμασιν, ἆρα γεωργικὸν, καὶ ταμιευτικὸν, ταπεινὸν καὶ γλίσχρον, καὶ ἐργαστικὸν, τὰ σμικρὰ ταῦτα· ἢ ταῦτα μὲν οἱ Εἵλωτες αὐτῷ ἔχουσι καὶ ὁ ἀνδραποδώδης ὅμιλος καὶ οἱ περίοικοι Λακεδαιμονίων, τὸ δὲ καθαρῶς Σπαρτιατικὸν, ἄφετον ἐκ γῆς ὂν καὶ ὄρθιον, καὶ πρὸς ἐλευθερίαν τεθραμμένον, μαστιγούμενον καὶ τυπτόμενον, καὶ ἐν θήραις καὶ ὀρειβασίαις καὶ ἄλλοις παντοδαποῖς πόνοις παιδευόμενον, ἐπειδὰν ἱκανῶς τοῦ καρτερεῖν ἔχῃ, ἐπὶ αἰχμῇ καὶ ἀσπίδι τεταγμένον, ὑπὸ στρατηγῷ τῷ νόμῳ προμαχεῖν τῆς ἐλευθερίας, καὶ τὴν Σπάρτην σώζειν, καὶ τῷ Λυκούργῳ συναγωνίζεται καὶ πείθεται τῷ θεῷ; Εἰ δὲ ἐγεώργουν Λακεδαιμόνιοι, τίς ἂν ὑπὲρ αὐτῶν Λεωνίδας ἐν Θερμοπύλαις παρετάξατο; τίς ἂν Ὀθρυάδας ἐν Θυρέᾳ ἠρίστευσεν; Ἀλλ' οὐδὲ Βρασίδας γεωργὸς ἦν, οὐδ' ὁ Γύλιππος ἐκ ληΐου ὁρμηθεὶς Συρακοσίους ἔσωζεν, οὐδὲ Ἀγησίλαος ἐξ ἀμπέλων ὁρμηθεὶς Τισσαφέρνους ἐκράτει, καὶ τὴν βασιλέως γῆν ἔτεμνεν, καὶ Ἴωνας καὶ Ἑλλήσποντον ἠλευθέρου· οὐχ ἀπὸ σμινύης ὁ Καλλικρατίδας, οὐχ ἀπὸ σκαπάνης ὁ Λύσανδρος, οὐχ ἀπὸ ἀρότρου ὁ Δερκυλλίδας. Θητικὰ ταῦτα, Εἱλωτικὰ ταῦτα ὑπὸ ἀσπίδων σώζεται, τούτων δόρατα ὑπερμαχεῖ, ταῦτα δουλεύει τοῖς κρατοῦσιν. Αὕτη ἡ ἐν ὅπλοις ἀρετὴ καὶ τὴν Ἀθηναίων γῆν ἔτεμνεν, καὶ τὴν Ἀργείων ἐδῄου, καὶ Μεσσηνίους ἐλάμβανεν· ἐπεὶ δ' ἐξέκαμεν αὕτη τοῖς Σπαρτιάταις, τὰ μὲν ὅπλα ἀπέθεντο, ἐγένοντο δὲ ἐξ ἐλευθέρων γεωργοί.

3. Ἐλεύθεροι Κρῆτες πότε; ὅτε ὅπλα εἶχον, ὅτε ἐτόξευον, ὅτε ἐθήρων. Δοῦλοι πότε; ὅτε καὶ γεωργοί.

facit Agamemnonem, *fortem et regem et bellatorem.* Nam et Menelaus rex non minus erat, quam Agamemno, verum remissior in bello; quæ causa est, cur tam parcus in exornandis poetarum more ejus laudibus fuerit Homerus. Illum vero, de quo loquimur, Agamemnonem, putasne gloria et existimatione nominis reliquis antestare potuisse, si Argis manere, ubi optimam habebat terram, eam colere, et Ægyptiis, quam habent, fœcunditatis laudem præripere maluisset? Audis ipsum Ulyssem, qui his verbis Ithacen suam prædicat:

Aspera, sed nutrix hominum bona.

Minime enim fugit eum, utpote sapientem, longe majores esse fortitudinis fructus, quam aut triticum, aut hordeum, aut si qui alius terræ cibus est.

2. Homerum relinquam; metuo enim ne parum gratum sit tibi, si testimonio utar hominis, qui plus, quam par est, fortasse bello delectetur. Vin' jam post Homerum, Laconum, Atticorum, Cretensium, aut Persarum consideremus rempublicam? Præclaras videlicet Spartæ leges laudas. Atqui ne eget quidem præconio tuo Lycurgus; quem prius his verbis Apollo allocutus fuerat:

Quæro, tene deum compellem, hominemve, Lycurge.

Ille ergo Lycurgus, quem deo similem deus ipse pronunciat, quum leges civibus suis ferret, postquam oraculum Apollinis adierat, ut cognosceret ex eo, quam republicæ potissimum formam populo suo constitueret, num illam constituit, quæ magnam partem ex agricolis constaret, quæ parcam, humilem, restrictamque amplectitur vitam, quæ in minutis et abjectis illis actionibus versatur: an potius hæc et similia Helotis servilique hominum turbæ et Lacedæmoniorum finitimis reliquit, vera autem et legitima Spartani conditio, erecti animi, educatio ad libertatem, flagra et verbera, exercitatio in venationibus, montanis itineribus aliisque infinitis laboribus, et, postquam satis jam tolerantiæ assuefacti essent, cum hasta clypeoque in acie, sub lege duce, pro libertate pugnare et pro Spartæ salute, an non hæc potius pro Lycurgo faciunt, deo morem gerunt? Quodsi agricolæ fuissent Spartani omnes, quis unquam ad Thermopylas Leonidas pro iis in acie stetisset? quis unquam Othryadas ad Thyream virtutis suæ specimen dedisset? Sed nec Brasidas erat agricola; nec, qui Syracusas servavit, recens ex arvorum cultu Gylippus veniebat; nec a vitibus suis Agesilaus Tissaphernem domuit, terramque regiam populatus est, Ionas ipsumque Hellespontum in libertatem vindicabat; non a bidente Callicratidas, non a ligone Lysander, non ab aratro Dercyllidas. Servis sunt, Helotis digna sunt opera, quæ clypei tuentur, pro quibus arma pugnant, quæ serviunt victoribus. Sed hæc militaris virtus agrum Atticum toties vastavit, Argivorum terram diripuit, Messenios subegit; qua virtute simul ac destitui cœperunt Spartani, armis suis depositis, ex liberis hominibus agricolæ facti sunt.

3. Cretenses quando liberi fuerunt? quum arma gererent, quum sagittare gauderent, quum venari. Servi quando?

Ἐλεύθεροι Ἀθηναῖοι πότε; ὅτε Καδμείοις ἐπολέμουν, ὅτε καὶ Ἴωνας ἐξέπεμπον, ὅτε καὶ Ἡρακλείδας ὑπεδέχοντο, ὅτε Πελασγοὺς ἐξέβαλλον. Δοῦλοι πότε; ὅτε Πεισιστρατίδαι τὸν δῆμον ἐξοπλίσαντες γεωργεῖν ἠνάγκαζον. Αὖθις δὲ ἐπελθόντος αὐτοῖς στόλου Μηδικοῦ, τῆς μὲν γῆς ἐπελάθοντο, ἐπὶ δὲ τὰ ὅπλα ἔδραμον, καὶ μετ' αὐτῶν τὴν ἐλευθερίαν ἀνελάμβανον. Οὐ γεωργῶν Κυναίγειρος τὰς Ἀθήνας ἠλευθέρου, οὐχ ἐν ἀμήτῳ Καλλίμαχος τοὺς Μήδους ἐξέβαλλεν, οὐχ ἐν γεωργοῖς ἐστρατήγει Μιλτιάδης. Ὁπλιτῶν τὰ ἔργα, μαχομένων τὸ κράτος, νικώντων ἡ ἐλευθερία. Ἐπεὶ δὲ καὶ τῆς θαλάττης ἔδει, χαίρειν τῇ γῇ φράσαντες, καὶ παραδόντες πυρὶ τὴν ἐκεῖ ἑστίαν, καὶ μόνα ὑπολιπόμενοι τὰ ὅπλα, εἰς τὰς τριήρεις μετῳκίσθησαν. Ἔπλεεν πόλις Ἀττικὴ καὶ ἠπειρώτης δῆμος, καὶ πλέων ὁμοῦ ἐναυμάχει, καὶ ναυμαχῶν ἐκράτει, καὶ κρατῶν εἶχε καὶ τὴν γῆν καὶ τὴν θάλατταν. Ἐπαινῶ καὶ Περικλέα τῆς στρατηγίας, ὃς ἀμελήσας τῶν γεωργῶν, καὶ δρῶν τεμνομένας τὰς Ἀχάρνας, ἐφύλαττε τὰς Ἀθήνας ἐλευθέρας· μενούσης γὰρ τῆς ἐλευθερίας, ἡ γῆ μένει, τὰ φυτὰ μένει, τὰ λήϊα.

4. Ἔα μοι τὰ Ἑλληνικὰ, ἴθι ἐπὶ τοὺς βαρβάρους. Γεωργοῦσιν Αἰγύπτιοι, πολεμοῦσι Σκύθαι· ἀνδρεῖον τὸ Σκυθικὸν, δειλὸν τὸ Αἰγύπτιον· ἐλεύθερον τὸ Σκυθικὸν, δοῦλον τὸ Αἰγύπτιον. Γεωργοῦσιν Ἀσσύριοι, πολεμοῦσι Πέρσαι· δουλεύουσιν Ἀσσύριοι, βασιλεύουσι Πέρσαι. Ἐπολέμουν Λυδοὶ πρότερον, ἐγεώργουν αὖθις Λυδοί· ἐλεύθεροι μὲν ὄντες ἐπολέμουν, δουλεύσαντες δὲ ἐπὶ γεωργίαν ἐτράποντο. Μέτιθι ἐπὶ τὰ ζῶα· καὶ γὰρ ἐνταῦθα ὄψει ἐλευθερίαν καὶ δουλείαν, καὶ βίον ἐξ ἀρετῆς, καὶ ἐκ γῆς βίον. Βοῦς ἀροῖ, ἵππος ἀθλεύει· ἐὰν δὲ μεταθῇς τὰ ἔργα, παρανομεῖς περὶ τὴν φύσιν. Τὰ δειλὰ ποιηφάγα, τὰ ἰσχυρὰ ἀγρευτικά. Ἔλαφος ποιηφαγεῖ, λέων ἀγρεύει· σπερμολογεῖ κολοιὸς, ἀγρεύουσιν ἀετοί· δοῦλα μὲν τὰ σπερμολόγα καὶ ποιηφάγα, ἐλεύθερα δὲ τὰ ἀγρευτικά.

5. Εἰ δὲ καὶ τοὺς περὶ θεῶν μύθους παραδεκτέον, οὐ γεωργὸς ὁ Ζεὺς, οὐδὲ Ἀθηνᾶ, οὐδὲ ὁ Ἀπόλλων, οὐδὲ ὁ Ἐνυάλιος, οἵπερ βασιλεύτατοι τῶν θεῶν. Ἀλλ' ὀψὲ μὲν Δημήτηρ γεωργεῖ μετὰ πολλὴν πλάνην, ὀψὲ δὲ Διόνυσος μετὰ τὸν Κάδμον καὶ τὸν Πενθέα, ὀψὲ ὁ Τριπτόλεμος μετὰ τὸν Ἐριχθόνιον καὶ τὸν Κέκροπα. Εἰ δὲ καὶ τῆς Κρόνου ἀρχῆς ἐπελαβόμεθα, τίς ἂν ἡμῖν γεωργίας λόγος; Ἀλλ' οὐδὲ νῦν δεῖ γεωργίας· οὐ γὰρ ἐξέχαμεν ἡ γῆ τοὺς καρποὺς αὐτομάτους φέρουσα· φέρει μὲν τροφὴν, φηγοὺς καὶ ὄγχνας· φέρει δὲ ποτὸν αὐτοφυὲς, Νεῖλον καὶ Ἴστρον καὶ Ἀχελῷον καὶ Μαίανδρον, καὶ ἄλλους κρατῆρας ἀενάους ναμάτων καθαρῶν καὶ νηφαλίων. Γεωργοῦσι ταῦτα οὐ πρεσβύτης Ἰκάριος, οὐδὲ Βοιώτιος ἀνὴρ, ἢ Θετταλικός· ἀλλ' ἥλιος αὐτὸς, καὶ σελήνη θάλπουσα, καὶ ὄμβροι τρέφοντες, καὶ ἄνεμοι διαπνέοντες, καὶ ὧραι ἀμείβουσαι, καὶ γῆ βλαστάνουσα. Οὗτοι γεωργοὶ ἀθάνατοι ἐγκάρπων, σιτίων καὶ δένδρων, καὶ μηδὲν ἀνθρωπίνης τέχνης προσδεο-

quum agriculturæ operam darent. Quando liberi fuerunt Athenienses? quum Cadmeos oppugnarunt, Ionas in colonias miserunt, Heraclidas exceperunt, ejecerunt Pelasgos. Servi quando? quum, ereptis armis, Pisistratidæ populum in agriculturam incumbere coegerunt. Qui rursus, quum Medorum ipsos aggrederetur classis, neglecta terra sua, arma in manum sumpserunt, armis libertatem suam vindicarunt. Agricola non fuit Cynægirus, qui Athenas liberavit; neque rusticus Callimachus, qui Medos ejecit; neque agricolis præfuit Miltiades. Ab armatis præclara facinora eduntur, pugna victoriam, victoria parit libertatem. Postea ubi mare vocabat, terræ valedixerunt, domos igni remisere, servatisque solum armis, in triremes migrarunt. Totæ Athenæ navigabant, gens mediterranea in mari erat, ubi et navigando pugnavit, et navali pugna vicit, et vincendo terram suam, suum rursus vindicavit mare. Laudo et Periclem de principatu, qui, agricolis neglectis, quum vastari cerneret Acharnas, libertatem conservabat Atheniensibus : salva enim libertate, salva terra, salvæ plantæ, salvæ sunt segetes.

4. Relinque Græcos, et ad barbaros transi. Agricolæ sunt Ægyptii, milites Scythæ : fortes Scythæ, meticulosi Ægyptii. Agricolæ sunt Assyrii, milites Persæ : serviunt Assyrii, imperant Persæ. Lydi olim milites erant, postea agricolæ fuerunt : quam diu liberi fuerunt, militarunt; quum servire didicissent, ad agriculturæ studium iverunt. Perge ad animalia : nam et in his libertatem invenies, et servitutem; vitam ex fortitudine, vitam de terra. Bos arat, equus certat; quodsi eorum opera permutas, naturæ injuriam facis. Quæ timidissima sunt, vitam herbis sustentant; quæ fortissima, venantur. Herbis cervus vivit, venatur leo; fruges legunt graculi, aquilæ venantur : quæ fruges legunt, serviunt; serviunt quæ herbis pascuntur; libera sunt quæ venantur.

5. Quodsi et fabulis deorum credendum est, neque Juppiter, neque Minerva, aut Apollo, aut Mars, qui inter omnes deos maxime regales sunt, agricolarum more vivunt. Sed sero multosque post errores terram colere Ceres incepit; sero Bacchus exstitit post Cadmum et Pentheum; sero Triptolemus post Erichthonium, post Cecropem. Quodsi Saturni etiam regnum videamus, quis usus ibi artis illius? Quanquam ne nunc quidem eo opus esse video; nec enim plane terra spontaneos ferre fructus desiit : quin et hodie cibum profert, fagos pirosque; quin et hodie potum genuinum præbet, Nilum, Istrumque, Acheloum, et Mæandrum, aliosque crateras perennes, qui purum nobis sobriumque suppeditant humorem. Colit hæc non senex Icarius, nec Bœotius vir aut Thessalus; sed sol ipse, sed lunæ tepor, sed imbres almi, venti perspirantes, tempestatum vicissitudines, terræ fœcunditas. Hi sunt immortales agricolæ frugiferarum vel segetum vel arborum, quæ nulla hominum

μένων· ταύτην τὴν γεωργίαν οὐδεὶς παύει, οὐ λοιμὸς, οὐ λιμὸς, οὐ πόλεμος,

Ἀλλὰ τά γ' ἄσπαρτα καὶ ἀνήροτα πάντα φύονται.

Ἐὰν δὲ ἐπιθυμῇς Λιβυκοῦ λωτοῦ, καὶ Αἰγυπτίων πυρῶν, καὶ ἐλαίας Ἀττικῆς, ἢ ἀμπέλου Λεσβίας, μετατίθης τὴν τέχνην εἰς διακονίαν ἡδονῆς.

6. Τὸ δ' ὅλον παραβάλλεις πόνους ἐλευθέρους ἀναγκαίοις πόνοις, καὶ ἐλευθέραν ἀρετὴν ἀναγκαίᾳ γεωργίᾳ· οὐ γὰρ εἰρήνην παραβάλλεις πολέμῳ· εἰ γὰρ τοιοῦτόν ἐστιν ἡ γεωργία, ἄφελε τοὺς πολέμους, γεωργῶμεν πάντες· πᾶς τις ῥίψας δόρυ, ἐπὶ σμινύην ἴτω, ἀριστευέτω ἐν γῇ, κρατείτω ἐν γεωργοῖς, κηρύττωμεν τὸν ἄνδρα τῆς εὐκαρπίας·

Οὗτος ἐν ἀνθρώποις νικηφόρος, οὗτος ἄριστος.

Νῦν δὲ μεστὰ πάντα πολέμου καὶ ἀδικίας· αἱ γὰρ ἐπιθυμίαι πλανῶνται πανταχοῦ, περὶ πᾶσαν γῆν τὰς πλεονεξίας ἐπεγείρουσαι, καὶ πάντα μεστὰ στρατοπέδων ἐπὶ τὴν ἀλλοτρίαν ἰόντων. Κάλλος ᾄδεται γυναικὸς Πελοποννησίας· πλέει βάρβαρος ἀνὴρ ἐπ' αὐτὴν ἀπὸ τῆς Ἴδης, οὐ γεωργὸς, ἀλλὰ γεωργοῦ ἡμερώτερος καὶ σχολαίτερος καὶ εἰρηνικώτερος, ποιμὴν καὶ βουκόλος. Ἐπιθυμεῖ Καμβύσης τῆς Αἰγυπτίων γῆς· πόλεμον ἡ ἐπιθυμία διανέστησεν. Ἐπιθυμεῖ Δαρεῖος τῆς Σκυθῶν γῆς· πολεμοῦνται Σκύθαι. Μεταβαίνει ἡ ἐπιθυμία ἐπ' Ἐρέτριαν καὶ Ἀθήνας· καὶ μετὰ τῆς ἐπιθυμίας οἱ στόλοι, Ἐρέτρια σαγηνεύεται, ἐπιπλεῖται Μαραθών. Ἐπιθυμεῖ ἡ Ξέρξου γυνὴ θεραπαινίδων Λακωνίδων καὶ Ἀτθίδων καὶ Ἀργειάδων· καὶ δι' ἐπιθυμίαν γυναικὸς ἐξαρτύονται στόλοι διαπόντιοι, ἡ Ἀσία ἐξοικίζεται, ἡ Εὐρώπη ἀνίσταται. Ἐπιθυμοῦσιν Ἀθηναῖοι Σικελίας, ἐπιθυμοῦσι Λακεδαιμόνιοι Ἰωνίας, ἐπιθυμοῦσι Θηβαῖοι ἡγεμονίας.

7. Ὦ ἐρώτων πικροτάτων τῇ Ἑλλάδι, ποῦ τις ἐλθὼν μετὰ ἀσφαλείας γεωργῇ; ποῦ δὲ εὕρῃ τὸ χρύσεον εἰρήνης πρόσωπον; ποῖον γῆς μέρος ἐραστὰς οὐκ ἔχει;

Ἄσκρῃ χεῖμα κακῇ, θέρει ἀργαλέῃ·

ἴωμεν ἐπὶ τὴν Ἄσκρην. Ἀλλ' αἰγειροφόρος ἡ Βοιωτία. Λιβύη πόρρω μὲν, ἀλλὰ εὔβοτος. Ὑπερόριος ἡ Ἰνδῶν γῆ, ἀλλὰ καὶ αὕτη ἐξεῦρε Μακεδόνα ἐραστὴν, διὰ πολλῶν γενῶν καὶ πολέμων βαδίζοντα ἐπ' αὐτήν. Ποῖ τις τράπηται, ποῦ τις εὕρῃ γεωργίαν ἀσφαλῆ; Πάντα μεστὰ πολέμων, πάντα ὅπλων. Τοιγαροῦν

Εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω,
εὖ δέ τις ἵπποισιν δεῖπνον δότω ὠκυπόδεσσιν.

Καλὸν ἡ γεωργία, καλὸν, ἐὰν μεῖναι δυνηθῇ, ἐὰν σχολῆς τύχῃ, ἐὰν φυλακὴν ἔχῃ· δέδια δέ τοι μὴ τοῦτο ᾖ τὸ καλὸν, τὸ τοὺς πολέμους κινοῦν καὶ τὰς στάσεις. Λέγει τις παλαιὸς ἀνὴρ, « Μάλιστα γὰρ τῆς γῆς, » φησὶν, « ἡ ἀρίστη ἀεὶ τὰς μεταβολὰς τῶν οἰκητόρων « ἐλάμβανε· τὴν γοῦν Ἀττικὴν, διὰ τὸ λεπτόγεων εἶναι,

arte indigent: hanc agriculturam nec fames, nec pestis, nec bellum ipsum inhibet;

Sed sine sementi curvoque hæc crescit aratro.

Verum si Libycam lotum, aut triticum Ægyptium, aut Atticam olivam, aut vitem Lesbicam desideras; artem transducis ad voluptatis studium.

6. Ut verbo dicam, labores ingenuos cum servilibus, ingenuam fortitudinem cum servili confers agricultura: nec enim pacem confers cum bello; nam si talis est agricultura et idem sonat cum pace, tollatur bellum, terram colamus omnes: hastam quivis abjiciat, et ligonem sumat, virtutem in terram convertat, excellat inter agricolas, præconium illi fœcunditatis tribuamus:

Hic homines inter victor, dux maximus his est.

At nunc bello omnia, omnia injustitiæ plena sunt; ubique enim cupiditates oberrant, ubique immoderatum habendi appetitum excitant, ubique exercitus qui alienam terram invadunt. Celebratur mulieris cujusdam ex Peloponneso forma: continuo barbarus homo ab Ida usque adnavigat petitum eam, non agricola, sed qui mitiores agricolis esse solent, magisque otio et quieti addicti, magis pacis studiosi, pastor et bubulcus. Terram Ægyptiorum Cambyses concupiscit: bellum excitat illa cupiditas. Terram Scytharum Darius petit: oppugnantur Scythæ. Transit Eretriam cupiditas et Athenas: et una cum cupiditate classis, Eretria obsidetur, classe invaditur Marathon. Lacænas, Atticas et Argivas ancillas uxor Xerxis desiderat: muliebris hujus cupiditatis causa transmarina classis instruitur, deseritur Asia, turbatur Europa. Siciliam Athenienses appetunt, Ioniam Lacedæmonii, imperium Thebani.

7. O noxias vehementer Græciæ cupiditates! quem dabis locum ubi secure agricultura exerceri possit? aut ubi aureum tandem pacis vultum invenies? quæ pars terræ non abs aliquo petitur?

Ascra æstate gravis, hieme est infesta:

eatur ergo Ascram. Imo vero populis abundat Bœotia. Libya remota est, sed pasturæ pecudum idonea. Remotissima est Indorum regio, nec minus amatorem suum invenit Macedonem illum, qui post multas alias gentes, post multa bella eo tandem pervenit. Quo abire vis, ubi securam tutamque agriculturam invenias? Omnia bellis, omnia plena sunt armis. Quamobrem,

Hastam quisque sibi, clypeumque in bella parato,
cornipedisque tui pastu præsepia comple.

Res præclara est agricultura; præclara, fateor, si manere possit, si otium impetret, si ab alio custodiatur: nunc metuo, ne hæc ipsa res tam præclara sit, quæ ubique bella, quæ seditiones excitat. Ait quippe antiquus quidam scriptor: *Terra uberrima quæque maxime incolarum vicissitudini est obnoxia; Atticam contra, quod sterilis est, sine*

« ἀστασίαστον οὖσαν, ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί » Ἀκήκοας πῶς πόλεμος γίνεται. Μὴ γεώργει, ἄνθρωπε, ἔα τὴν γῆν ἀκαλλώπιστον, αὐχμῶσαν· στάσιν κινεῖς, πόλεμον κινεῖς.

ullo motu ab iisdem perpetuo hominibus habitata est. Audisti quo pacto bella oriri soleant. Cave agrum colas, quisquis es, mi homo; desertam incultamque terram relinque tuam: aliter contentioni das ansam, excitas bellum.

ΛΟΓΟΣ Λ'.

Ὅτι γεωργοὶ τῶν προπολεμούντων λυσιτελέστεροι.

1. Ἐπαμύνωμεν τῷ δήμῳ τῶν γεωργῶν, ἐπείπερ λόγῳ τὰ νῦν γίγνεται ἡ δίαιτα, καὶ οὐχ ὅπλοις· εἰ δὲ καὶ ὅπλων δέοι, τάχα που φανεῖται καὶ ὁ γεωργὸς οὐδὲν τοῦ ὁπλίτου ἀσθενέστερος. Ἀλλὰ τοῦτο μὲν καὶ αὖθις σκεψόμεθα· λόγῳ δὲ δὴ τὰ νῦν, καὶ οὐχ ὅπλοις, κριτέον τοὺς ἄνδρας· καὶ οὐκ εὐλαβητέον οὔτε Ὅμηρον μαρτυροῦντα, οὔτε ὅστις Ὁμήρου εὐφωνότερος. Εἰ δέ τοι καὶ τοῦτο δέοι, καὶ αὐτοὶ ἀναβιβασόμεθα ἐκ τοῦ Ἑλικῶνος ποιητὴν ἄλλον οὐδὲν ἀδοξότερον τοῦ Ὁμήρου, μεμφόμενον τῷ νῦν γένει,

Οἱ πρῶτοι κακοεργὸν ἐτεκτήναντο μάχαιραν,
εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.

Τὸ γάρ τοι τὰ τοιαῦτα ἐπαινεῖν, ἀνδρὸς ἂν εἴη δυσχερεστέρου τῷ βίῳ τῆς τοῦ πολεμεῖν χρείας· ἧς κἂν ἀφέλῃς τὸ ἄδικον, ἐλεεινὸν αὐτῆς τὸ ἀναγκαῖον.

2. Οὑτωσὶ δὲ θεασώμεθα. Τῶν ἀνθρώπων οἱ μὲν δίκαιοι, οἱ δὲ ἄδικοί εἰσιν. Πολεμοῦσι δὲ ἄρα οἱ δίκαιοι τοῖς δικαίοις οὐδαμῶς· ἴσοι γὰρ ταῖς γνώμαις ὄντες, τί ἂν τοῦ πολεμεῖν δέοιντο; Πολεμοῦσιν οὖν οἱ ἄδικοι ἢ τοῖς δικαίοις, ἢ τοῖς ὁμοίοις· ἄνισοι γὰρ καὶ πρὸς ἀλλήλους, καὶ πρὸς τοὺς δικαίους. Πολεμοῦσι δὲ καὶ ἀσθενεῖς, ὀρεγόμενοι τοῦ ἴσου· οἱ δὲ ἰσχυροί, τοῦ πλέονος. Εἶεν. Τρία ταυτὶ συστήματα ἡμῖν πεφώρακεν ὁ λόγος· ὧν τὸ μὲν ἐκεχειρίαν ἀεὶ πρὸς ἑαυτὸ καὶ σπονδὰς ἄγει, τὸ δίκαιον· τοῖν δὲ ἄλλοιν πολεμεῖ ἑκάτερον, τὸ μὲν αὐτὸ αὑτῷ, τὸ δὲ τῷ δικαίῳ. Φαίνεται τοίνυν ὁ πόλεμος τοῖς μὲν δικαίοις ἀναγκαῖος ὤν, τοῖς δὲ ἀδίκοις ἑκούσιος. Καὶ περὶ μὲν τῶν ἀδίκων τί χρὴ σκοπεῖν; οὐ γὰρ δέος, μή τις αὐτοῖς προσθῇ ἐπαίνου μοῖραν. Ἐπεὶ δὲ οἱ δίκαιοι οὐ βουλήσει πολεμοῦσιν, ἀλλὰ ἀνάγκῃ, ἢ σωφρονίζοντες τὸ ἄδικον πᾶν, ὥσπερ ὁ Ἡρακλῆς· ἢ ἐπιόντας ἀμυνόμενοι, ὡς τοὺς Μήδους οἱ Ἕλληνες· πότερα δέξαιντο ἂν οἱ αὐτοὶ οὗτοι, ἀπηλλαγμένοι τῆς τοῦ πολεμεῖν ἀνάγκης ἀφῃρῆσθαι καὶ τὴν ἐν ὅπλοις ἀρετήν, ἢ σὺν τῷ ἀβουλήτῳ τῆς χρείας τὸ ἀναγκαῖον τῆς ἀρετῆς ἔχειν; Ἐγὼ μὲν οἶμαι θάτερον, τὸ πρότερον. Καὶ γὰρ οἱ ἰατροί, εἴπερ δίκαιοι εἶεν καὶ φιλάνθρωποι, εὔξαιντο ἂν ἀπολωλέναι τὴν τέχνην σὺν ταῖς νόσοις.

3. Φέρε καὶ ἐπὶ γεωργίας θεασώμεθα, εἰ τοῦτον αὐτοῖς ἔχει τὸν τρόπον, ὅνπερ καὶ ἡ ἐν τῷ πολεμεῖν χειρουργία. Ἅπτονται ἄνθρωποι γῆς, οἱ μὲν σὺν δίκῃ, οἱ δὲ ἄνευ δίκης· σὺν δίκῃ μὲν κατὰ χρείαν καρποῦ, δίκης δὲ ἄνευ ἐπὶ χρηματισμῷ. Εἴη ἂν οὖν κἂν-

---

DISSERTATIO XXX.

Agricolas utiliores esse militibus in republica.

1. Agedum agricolis auxilium feramus, quandoquidem non armis, sed verbis tantum hæc res cernitur; quamvis nec agricolam dubitemus, si ad arma veniendum sit, minus quam militem tueri partes suas posse. De quo alias videbimus: nunc verbis, dico, non armis litem hanc inter illos homines dijudicemus: nec enim Homeri testimonium, aut si quis illo etiam facundior sit, nimis reverendum putamus. Quo si etiam opus sit, possumus nos e medio Helicone adducere poetam alium, non minoris, quam Homerus sit, auctoritatis, hoc seculum accusantem,

Qui primi manibus gladios fecere, viarum
insidias, ab aratro edere juvencos.

Nam ejusmodi res qui laude dignas judicet, homo sit oportet vitæ humanæ, quam ipsum bellum est, infestior; cui si demas omne quod injustum est, necessitatem tamen relinquis miserandam.

2. Quod hoc modo apparebit. Hominum alii probi, alii improbi sunt. Probi autem cum probis nequaquam pugnant; quomodo enim qui idem sentiunt, inter se potuerint pugnare? Restat ergo ut vel cum probis, vel cum sui similibus pugnent improbi; quia neque secum illis, nec cum justis convenit. Rursus pugnant illi qui inferiores sunt, ut iis, qui plus habent, adæquentur; et qui plus possunt, ut plus consequantur. Esto. Deprehendit ratiocinatio nostra hæc tria hominum genera: quorum prius inducias ac pacem semper agit secum, neque bellum novit, quos probos dicimus; duo reliqua pugnant semper, alterum secum, alterum cum probis. Unde apparet, bellum probis necessitate imponi, sponte suscipi ab improbis. Jam de improbis quid opus est agere? quum non sit verendum, ne quis eos laudet. Probi vero, quum non ex instituto bellum gerant, sed coacti (aut enim ut in officio quicquid usquam improborum est contineant, quod ab Hercule est factum, bellum suscipiunt; aut ut impetum hostilem propulsent, quod in Medos factum est a Græcis), utrum malle eos existimas: ut una cum belli necessitate virtute quoque bellica careant, an ut cum invito ejus usu necessitatem retineant virtutis? Ego prius illud arbitror. Quis enim dubitat quin medicus, qui quidem sit probus, sit etiam misericors, artem suam velit periisse una cum morbis?

3. Jam videamus an eodem modo et agricolæ se habeat labor, quo belli administratio. Terræ colendæ homines se dedunt, vel cum justitia, vel sine ea: cum ea, qui fructuum utilitatem spectant; sine ea, qui lucrum habent propositum. Hoc tantum observetur, non hic de omni agriculturæ studio

ταῦθα ἡ δίαιτα οὐ ξυλλήβδην περὶ πάσης γεωργίας. Ἀλλὰ ἐπεὶ καὶ τοῦτο κοινὸν δικαίων καὶ μή, κοινὸν δ' ἦν καὶ τὸ πολεμεῖν ἑκατέρῳ τῷ γένει· δέος μὴ λάθῃ ἐξαπατήσας ἡμᾶς ὁ λόγος οὗτος, οὐ γεωργικῷ τὸ πολεμικόν, ἀλλὰ τῷ δικαίῳ τὸ ἄδικον παραβαλεῖν ἐθέλων. Δικαίους οὖν ἄμφω ὑποθέμενοι, καὶ τὸν πολεμικὸν καὶ τὸν γεωργικόν, τὸν μὲν ὑπ' ἀνάγκης ἐπὶ τὸ πολεμεῖν ἰόντα, τὸν δὲ ὑπὸ χρείας γεωργεῖν ἠναγκασμένον, οὕτως σκοπῶμεν περὶ ἑκατέρου. Καίτοι τί ταῦτα λέγω; εἰ γὰρ ἐπ' ἀμφοῖν τὸ δίκαιον ἴσον, καὶ τὸ καλὸν ἴσον, καὶ ὁ ἔπαινος ἴσος, καὶ ἀπίασιν ἡμῖν ἄμφω νικηφόροι. Βούλει τοίνυν, ἀφελὼν τὸ δίκαιον ἑκατέρου, τὸ ἄδικον προσθεὶς οὕτω σκοπεῖν; Ἀλλὰ κἀνταῦθα ἐπ' ἀμφοῖν ἡ κακία ἐπανισουμένη τὸν ἔπαινον ἐξ ἀμφοῖν ἀφαιρεῖ. Τῷ ἂν οὖν τις κρίναι τὸ λεγόμενον, βούλει σοι φράσω; Καὶ δὴ λέγω. Μαντεύεταί μοι ἡ ψυχή, κατὰ τοὺς Πλάτωνος λόγους, εἶναί τι ἀνθρώπων γένος, μήτε ἀρετῆς κομιδῇ ἐπήβολον, μήτ' εἰς κακίαν ἐσχάτην παντάπασιν ἐκκεχυλισμένον, βιοτεῦον δὲ ἐν δόξαις ὀρθαῖς, τροφῇ καὶ παιδεύσει ὑπὸ νόμῳ σώφρονι πολιτευόμενον. Τοῦτο τοίνυν τῶν ἀνθρώπων τὸ γένος διελόντες δίχα, τὸ μὲν παραδόντες τῇ γῇ, τὸ δὲ εἰς τὰ ὅπλα ἀποπέμψαντες, ἅτε ἀμφίβολον ὂν καὶ ἐν μεταιχμίῳ ἀρετῆς καὶ κακίας καθωρμισμένον, θεασώμεθα ἀπὸ τῶν ἐπιτηδευμάτων ἑκάτερον, ὑπὸ ἑκατέρου πότερον ἐφ' ὁπότερον ἄγεται θᾶττον. Θεασώμεθα δὲ ουτωσί.

4. Μέγιστον ἀνθρώπῳ κακὸν ἐπιθυμία. Πότερον ἐπιθυμίας ἐργαστικώτερον, πόλεμος, ἢ γεωργία; Καὶ μὴν τὸ μὲν ἀκόρεστον, τὸ δὲ φειδωλόν· ἀκόρεστον μὲν ὁ πόλεμος, φειδωλὸν δὲ ἡ γεωργία. Καὶ τὸ μὲν παντοδαπὸν ὁ πόλεμος, ἁπλοῦν ἡ γεωργία· καὶ τὸ μὲν ἄδηλον, τὸ δὲ ὡμολογημένον. Τί γὰρ ἂν εἴη ἀδηλότερον τῆς ἐν πολέμῳ τύχης; βέβαιος δὲ ὁ ἐν γῇ πόνος. Πόλεμος ὑπ' εὐτυχίας μάλιστα θρασύνεται, ἡ δὲ γεωργία ὑπ' εὐχαρπίας σωφρονίζεται. Εἰ δὲ καὶ ὁ θυμὸς ἀνθρώπῳ σύνοικος, χαλεπὸς καὶ δεόμενος πολλῆς παιδαγωγίας, τί ἂν ᾖ θυμοῦ παρασκευαστικώτερον πολέμου καὶ ὅπλων; τί δὲ γεωργίας ἠπιώτερον; Πρός γε μὴν τὰς ἀρετὰς αὐτὰς οὕτως ἔχει ἑκάτερον. Καὶ πρῶτόν γε πρὸς σωφροσύνην· ὅπλα ἔχων ἀνήρ, ὁ μὲν ἰσχυρὸς ἰταμώτερος, ὁ δὲ δειλὸς σφαλερώτερος· καὶ ὁ μὲν θρασὺς ἰταμώτερος, ὁ δὲ ἀσθενὴς θρασύτερος, ὁ δὲ φιλήδονος ἀκολαστότερος. Γεωργῶν ἀνήρ, ὁ μὲν ἰσχυρὸς εὐκαρπότερος, ὁ δὲ ἀσθενὴς ὑγιεινότερος, ὁ δὲ δειλὸς ἀσφαλέστερος, ὁ δὲ φιλήδονος σωφρονέστερος. Εἰ δὲ καὶ πρὸς δικαιοσύνην ἐξετάζοις, πόλεμος μὲν διδάσκαλος ἀδικίας, γεωργία δὲ δικαιοσύνης. Ὁ μὲν γὰρ πλεονέκτης τέ ἐστι καὶ ἐπὶ τὰ ἀλλότρια ἄγει, καὶ αὐτὸς αὑτοῦ κράτιστα ἔχει, ἐπειδὰν τὰ μέγιστα ἀδικῇ καὶ ἀδικῶν εὐστοχῇ. Παρὰ δὲ γεωργίας ἴση μὲν ἡ ἀντίδοσις, δικαία δὲ ἡ ὁμιλία. Θεραπεύεις φυτόν, τὸ δὲ ἀντιδίδωσι καρπούς· θεραπεύεις λήϊον, τὸ δὲ εὐτροφεῖ· τημελεῖς ἄμπελον, ἡ δὲ εὐοινεῖ· τημελεῖς ἐλαίαν,

agi. Verum quando agricultura non minus, quam bellum, utrique generi, probis dico improbisque, sit communis; videndum est ne disputando decipiamur, neque cum agricultura bellum, sed cum injustitia justitiam conferamus. Primo igitur hoc ponimus, justum utrumque esse, et qui bellum gerit, et qui terram colit; quorum alter coactus bellum gerit, alter utilitate adductus terram colit: atque ita utrumque conferamus. Verum quid hæc dico? nam si utrumque æque justum, æque honestum est, æquam uterque laudem merebitur, atque ita victor erit uterque. Vis ergo, ut pro justitia utrique injustitiam reponamus, atque ita disputemus? Sed et hoc modo, si improbitatem utrique parem tribuamus, laudem quoque adimemus utrique. Quomodo ergo hæc controversia recte dijudicabitur? Visne ut ostendam tibi? Fiet. Dictat mihi animus, ut apud Platonem est, quoddam esse genus hominum, quod nec virtute excellit, nec improbitati penitus se astrinxit, quatenus a rectis opinionibus non aversum est penitus, sed sub bona lege bene institutum educatumque est. Hoc hominum genus, tanquam ambiguum, tanquam in medio virtutis vitiique constitutum, bifariam dividamus; ut alios terræ relinquamus, alios in castra mittamus; in hoc genere utriusque studium spectemus, utrum magis ad virtutem, utrum magis ad improbitatem, vel hunc vel illum impellat. Videamus autem hoc modo.

4. Maximum homini malum est cupiditas. Utrum cupiditatem facilius generat, bellum, an agricultura? Atqui alterum insatiabile esse constat, frugale alterum; insatiabile est bellum, frugalis est agricultura. Maxima belli est varietas, simplex est terræ studium; alterius ambigua, alterius certissima est ratio. Quid enim belli fortuna minus certum est? terræ vero cultus semper est sui similis. Fausto belli successu efferuntur animi; fructuum ubertas moderatiorem efficit agricolam. Quodsi bilis et iracundia, res molestæ difficilesque, et quæ ægre in officio contineri possunt, semper comitantur hominem; quis major iracundiæ fomes est quam bellum et arma? quid contra agricultura mitius? Jam ad virtutes ipsas utrumque ita se habet. Ac primo ad temperantiam: qui arma tractat, si vir fortis est, fit temerarius; si imbellis, periculo se exponit: non enim minus, qui jam audax est, fit temerarius, quam qui imbellis est, fit audacior; qui voluptates ante amavit, fit dissolutior. In agricultura contra, qui fortis est, frugibus magis abundat; qui infirmus, valetudine magis prospera utitur; qui meticulosus est, prudentius agit; qui voluptati addictus fuit, fit continentior. Si justitiam quoque spectes, bellum injustitiæ magister est, agricultura magistra justitiæ. Bellum enim cum alterius injuria plura semper quærit, alterius bonis semper imminet, ac tum demum finem suum plenissime consequi putatur, quum maximam intulit injuriam, quum per nefas voti sui potuit potiri. In agricultura tantundem datur et accipitur, justissimeque in ea agitur. Si plantam colis, planta fructum reddit: segetem colis; seges fœcunditate sua par pari rependit: vitem curas; vitis magnam vini copiam persolvit: oleam educas,

ἡ δὲ εὐανθεῖ. Φοβερὸς γεωργὸς οὐδενὶ, πολέμιος οὐδενὶ, φίλος πᾶσιν, ἄπειρος αἵματος, ἄπειρος σφαγῆς, ἱερὸς καὶ παναγὴς θεῶν ἐπικαρπίων καὶ ἐπιληναίων καὶ ἀλώων καὶ προηροσίων· ἴσος μὲν ἐν δημοκρατίᾳ, ὀλιγαρχίαν δὲ καὶ τυραννίδα πάντων μάλιστα μισεῖ γεωργία. Οὐ γὰρ ταύτης θρέμματα ὁ Διονύσιος, οὐδὲ ὁ Φάλαρις, ἀλλ' ἑκάτερος ἀπὸ τῶν ὅπλων.

5. Ἑορταῖς γε μὴν καὶ μυστηρίοις καὶ πανηγύρεσι ποῖον πλῆθος ἐπιτηδειότερον; οὐχ ὁ μὲν ὁπλίτης ἑορταστὴς ἄμουσος, ὁ δὲ γεωργὸς ἐμμελέστατος; καὶ ὁ μὲν μυστηρίοις ἀλλότριος, ὁ δὲ οἰκειότατος; καὶ ὁ μὲν ἐν πανηγύρει φοβερώτατος, ὁ δὲ εἰρηναιότατος; Δοκοῦσι δέ μοι μηδὲ τὴν ἀρχὴν συστήσασθαι ἑορτὰς καὶ τελετὰς θεῶν ἄλλοι τινὲς, ἢ γεωργοί· πρῶτοι μὲν ἐπὶ ληνῷ στησάμενοι Διονύσῳ χορούς, πρῶτοι δὲ ἐπὶ ἅλῳ Δήμητρι ὄργια, πρῶτοι δὲ τὴν ἐλαίας γένεσιν τῇ Ἀθηνᾷ ἐπιφημίσαντες, πρῶτοι δὲ τῶν ἐκ γῆς καρπῶν τοῖς δεδωκόσι θεοῖς ἀπαρξάμενοι· οἷς εἰκὸς χαίρειν τοὺς θεοὺς μᾶλλον, ἢ Παυσανίᾳ τὴν δεκάτην ἀποθύοντι, ἢ Λυσάνδρῳ τὴν δεκάτην ἀνατιθέντι· ἐκ πολέμων αἱ ἀπαρχαὶ, ἐκ συμφορῶν αἱ εὐσέβειαι. Γεωργῶν δὲ φιλάνθρωποι μὲν αἱ εὐχαὶ, εὔφημοι δὲ αἱ θυσίαι, ἀπ' οἰκείων πόνων, ἄμοιροι συμφορῶν, ἄμοιροι κακῶν.

6. Εἰ δὲ δὴ καὶ πρὸς σοφίαν ἀντεξεταστέον τοὺς ἄνδρας, ἐρώμεθα ἑκάτερον. Οὐκοῦν ὁ μὲν ἐν πολέμῳ σοφὸς, κοσμῆσαι δεινὸς

ἵππους καὶ ἀνέρας ἀσπιδιώτας,

τὸ ἀκοσμότατον τῶν ἐν ἀνθρώποις πραγμάτων καὶ σκυθρωπότατον· ὁ δὲ ἐν γεωργίᾳ σοφὸς,

Πληϊάδων Ἀτλαγενέων περιτελλομενάων

ἀμήτου ἄρχεται,

ἀροτοῖο δὲ, δυσομενάων·

μέλει δὲ αὐτῷ καὶ ἐνιαυτοῦ ὡρῶν, καὶ σελήνης δρόμου, καὶ ἄστρων ἐπιτολῆς, καὶ ὄμβρου μέτρων, καὶ πνευμάτων καιροῦ. Εἰ δὲ σωμάτων ἀρετῇ τοὺς ἄνδρας κριτέον καὶ ἀνδρείᾳ πόνων, ὀλίγοι μὲν τῷ στρατιώτῃ οἱ καιροὶ τοῦ πονεῖν, τῷ δὲ γεωργῷ διηνεκεῖς· ὑπαίθριος ἀεὶ, ἡλίῳ φίλος, συνήθης νιφετῶν, πεπηγὼς, νηλίπους, αὐτουργὸς, εὔπνους, ὀξὺς δραμεῖν, ἰσχυρὸς φέρειν· εἰ δέ που καὶ δεήσαι μάχης, ὄψει στρατιώτην ἠσκημένον πόνοις ἀληθινοῖς, οἵων ἐπειράθη Δαρεῖος ἐπὶ Μαραθῶνα ἐλθών. Ἦν γὰρ τότε Ἀθηναίοις στρατιωτικὸν, οὐχ ὁπλιτικὸν, οὐ τοξικὸν, οὐ ναυτικὸν, οὐχ ἱππικὸν, ἀλλὰ κατὰ δήμους νενεμημένον· οἳ καὶ γεωργοῦντες, ἐπιπλεύσαντος αὐτοῖς βαρβαρικοῦ στόλου ἐπὶ Μαραθῶνα, ἐκ τῶν ἀγρῶν ἔδραμον, στρατιῶται ἐργαζόμενοι, ὁ μὲν σμινύην ἔχων, ὁ δὲ ὑννιμάχος, ὁ δὲ θεριστηρίῳ ἀμυνόμενος. Ὦ στρατιωτικοῦ καλοῦ, καὶ αὐτουργοῦ, καὶ μεστοῦ ἐλευθερίας· ὦ γῆς καὶ γεωργίας καλὰ καὶ γενναῖα θρέμματα, ὡς ὑμῶν ἐπαινῶ μὲν τὰς ἀρετὰς, ἐπαινῶ δὲ καὶ τὰ ὅπλα, οἷς ὑπὲρ τῆς οἰκείας

floret olea feliciter. Nemini metum incutit agricola, nulli hostis est, amicus omnibus, sanguinis expers, expers cædis; sacer devotusque diis frugum, diis vindemiarum, diis areæ, arationis inspectoribus diis; in populari reipublicæ statu omnibus æqualis est agricola; nihil æque ac paucorum imperium tyrannidemque odit agricultura : cujus minime sunt alumni Dionysius, aut Phalaris, sed utrumque arma produxerunt.

5. Jam vero in festis, in sacris, in solemni conventu, utri tibi præstare videntur? an non miles est inelegans plane festi celebrator, aptissimus autem agricola? nonne miles a sacris alienissimus, natus ad ea agricola? nonne miles in conventu solemni maxime metuendus, summam pacem præ se fert agricola? Ut existimem, primos omnium et solos festa deorum et mysteria instituisse agricolas. Hi primi tripudia ad torcularia instituerunt Baccho, primi in areis sacra Cereri, primi de oleæ inventione gratias Minervæ egerunt, primi diis terræ frugum suarum primitias, a quibus acceperunt, consecrarunt. Quæ gratiora fuisse diis certum est, quam decimæ quas aut Pausanias aut Lysander obtulit; quorum e bello primitiæ, quorum pietas ex aliorum miseriis processit. Contra agricolarum mitissima sunt vota, religiosissimæ victimæ e proprio labore depromptæ, sine calamitate ullius, sine ullius malo.

6. Quodsi etiam sapientia utrorumque contra comparanda est, exploremus et hic utrosque. Ergo alterius sapientia est in bello, ut equitatum instruat,

ut clypeis armatorum agmina jungat,

quo in humanis rebus nihil est aut tetrius aut acerbius; alterius circa terræ studium occupatur,

Pleiades quoties Atlantis pignora surgunt,

messem incipit,

quum cedunt, sumit aratrum;

spectat et anni tempestates, et lunæ cursum, et astrorum ortum, et imbrium modos, et ventorum tempora. Sin et corporis virtus et in subeundis laboribus utrorumque inspicienda est patentia, minimum, quo opus exerceat, militi relictum est tempus; nullum non sibi vindicat agricola : semper sub dio versatur, soli amicus, nivibus assuetus, bene compacto corpore, pedibus nudis, operis sui administrator ipse, facile respirans, velox quum currendum, robustus quum aliquid ferendum est. Quodsi bellum forte vocet, videbis militem veris, non umbraticis exercitum laboribus, qualem ad Marathonem expertus est Darius. Milites enim tum temporis Athenienses habebant, non qui cum cataphractis in acie stetissent, aut sagittam emittere didicissent, nec qui in mari, aut ex equis pugnassent : verum ipsi populi tributim divisi, meri agricolæ, appellente Marathonem classe barbarorum, passim accurrerunt, milites agricolæ, quorum hic ligone armatus erat, alter vomere pugnabat, tertius cum falce in hostem ferebatur. O pulchrum nativumque exercitum! o ingenuos viros! o pulchri præstantesque terræ atque agriculturæ alumni! quam virtutes vestras admiror! quam arma vestra laudo, quibus pro terra

γῆς ἐμαχέσασθε, ὑπὲρ ἀμπέλων ἃς ἐκάμετε, ὑπὲρ ἐλαιῶν ἃς ἐφυτεύσασθε. Ἀπὸ τοιούτων πάλιν ἐπὶ τὴν γῆν ἤλθετε, ἐκ πολέμων γεωργοί, ἐκ γεωργῶν ἀριστεῖς. Ὢ τῆς καλῆς ἀντιδόσεως.

7. Ἀλλὰ Πέρσαις μὲν αἱ παλλακίδες ἕπονται, ἵνα μάχωνται καλῶς ὑπὲρ τῶν φιλτάτων· γεωργὸς δὲ ἀνὴρ οὐκ ἀμυνεῖται καλῶς ὑπὲρ τῶν φιλτάτων, ὑπὲρ ἀμπέλου τεμνομένης, ὑπὲρ ἐλαίας κοπτομένης, ὑπὲρ λῃίου δῃουμένου; Ἐὰν δὲ παραβάλῃς τῷ στρατιωτικῷ τούτῳ τὰ ὕστερα, εὑρήσεις μὲν πλείστους, ἀλλ' οὐ νικηφόρους· ὁπλίτας, ἀλλὰ μισθοφόρους, ὁπλίτας ἐσκιατροφημένους, ὁπλίτας ὑβριστάς, ἐν Σικελίᾳ ἡττωμένους, ἐν Ἑλλησπόντῳ λαμβανομένους. Τὰ δὲ Περσικὰ εἰ λέγοις, στρατιωτικόν μοι καὶ τοῦτο λέγεις ἐκ γεωργίας. Πότε γάρ, πότε Μῆδοι μὲν ἡττῶνται, κρατοῦσι δὲ Πέρσαι; Ὅτε Πέρσαι μὲν ἐγεώργουν ἔτι, Μῆδοι δ' ἐπολέμουν, τότε ἦλθεν αὐτοῖς ἄγων Κῦρος στρατιωτικὸν ἐν Πασαργάδαις ἐνησκημένον γῇ τραχείᾳ, ὑπ' αὐτουργίᾳ στρατιώτας διαπεπονημένους· ἀλλ' ἐπεὶ γεωργοῦντες ἐπαύσαντο οἱ Πέρσαι, καὶ τῆς γῆς ἐπελάθοντο καὶ τῶν ἀρότρων καὶ τῶν ἀμητηρίων, τότε ἀπέβαλον καὶ τὰς ἀρετὰς ὁμοῦ τοῖς ὀργάνοις.

vestra pugnastis, pro vinetis quæ coluistis, pro olivetis quæ plantastis! Talibus rebus gestis rursus ad terram vestram rediistis, ex militibus agricolæ, ex agricolis milites fortissimi. O mutationem pulchram!

7. Persas si in exercitu sequuntur suæ pellices, ut pro carissimis corporibus fortiter pugnent, an minus strenue agricola a carissimis suis, a vite scilicet, si abscindatur, olea, si eruatur, segete, si incendatur, calamitatem ac vastitiem avertet? Si cum hoc exercitu Marathonico posteriores conferas, invenies numero maximos, at non victores; rite armatos, sed mercede conductos, milites umbraticos, milites petulantes, qui vincuntur in Sicilia, capiuntur in Hellesponto. Quodsi ad Persas venias, etiam hos milites agricultura dedit. Quando enim vincuntur Medi, vincunt Persæ? Quum adhuc agros suos colebant Persæ, Medi militabant, venit Cyrus, qui Pasargadis exercitum, quem ibidem in aspera exercuerat terra, adducit, milites qui manu propria laborem quemlibet didicerant perferre : at quum rusticari desierunt Persæ, quum terram neglexerunt, quum aratra sua, quum falces; tum cum instrumentis suis pariter ipsam quoque abjecerunt virtutem.

ΛΟΓΟΣ ΛΑ'.

Ὅτι οἱ σύμφωνοι τοῖς ἔργοις λόγοι ἄριστοι.

1. Ἦλθεν εἰς Ἕλληνας ἐκ τῆς Σκυθῶν γῆς τῶν ἐκεῖ βαρβάρων ἀνὴρ σοφὸς σοφίαν οὐ πολυρρήμονα οὐδὲ λάλον· ἀλλ' ἦν αὐτῆς τὸ κεφάλαιον βίος ἀκριβής, καὶ γνώμη ὑγιής, καὶ λόγος βραχύς, εὔστοχος, ἐοικὼς οὐ πελταστῇ μισθοφόρῳ ἀπροοράτως θέοντι, ἀλλ' ὁπλίτῃ βάδην ἰόντι καὶ κινουμένῳ ἀσφαλῶς. Ἐλθὼν δὲ Ἀθήναζε, ἐντυγχάνει αὐτόθι ὁπλίτῃ μὲν οὐδενί, πελτασταῖς δὲ πολλοῖς· καὶ τὸν μὲν τούτων δρόμον καὶ τὴν πτοίαν τοῦ παντὸς ἐδέησεν ὁ Ἀνάχαρσις ἐπαινέσαι. Περιῄει δὲ τὴν Ἑλλάδα ἐν κύκλῳ, ποθῶν ἰδεῖν σοφίαν στάσιμον καὶ ἑδραίαν. Καὶ εἰ μέν που καὶ ἄλλοθι ἐξεῦρεν, εἰπεῖν οὐκ ἔχω· εὗρε δ' οὖν ἐν Χηναῖς, σμικρῷ καὶ ἀσθενεῖ πολίσματι, ἄνδρα ἀγαθόν· ὄνομα ἦν αὐτῷ Μύσων. Ἀγαθὸς δὲ ἦν ἄρα ὁ Μύσων οἶκον οἰκῆσαι καλῶς, καὶ γῆν τημελῆσαι δεξιῶς, καὶ γάμου προστῆναι σωφρόνως, καὶ παῖδα ἐκθρέψαι γεννικῶς. Καὶ ἐξήρκεσε τῷ Σκύθῃ ξένῳ μηκέτι σοφίαν ζητεῖν λαλιστέραν, παρόντων ἔργων, ἃ τότε ἀκριβῶς ἅπαντα διεσκόπει. Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῆς θέας, λέγει πρὸς αὐτὸν ὁ Χηνεὺς Μύσων· Διὰ ταῦτά τοι, ὦ Ἀνάχαρσι, καὶ σοφοὶ δοκοῦμεν, οὐκ οἶδα ὅπως, τοῖς ἀνθρώποις εἶναι· εἰ δὲ ἐγὼ σοφὸς ταῦτα ἐπιτηδεύων, ποῖ ποτε οἰχήσεται φερόμενον τὸ μὴ σοφόν; Ἠγάσθη μάλα τοῦ Ἕλληνος ξένου ὁ Ἀνάχαρσις τὴν ἀφθονίαν τῶν ἔργων καὶ τὴν φειδὼ τῶν λόγων.

2. Ἦσαν δέ που καὶ οἱ Πυθαγόρου λόγοι ἐοικότες τοῖς νόμοις, βραχεῖς καὶ ἐπίτομοι· τὰ δὲ ἔργα μακρὰ

DISSERTATIO XXXI.

Sermones, qui operibus respondent, esse optimos.

1. Venit in Græciam olim e Scythia barbarus quidam, quales terra illa habet, qui sapientiam profiteretur verbosam minime aut loquacem, sed cujus non alius finis esset, quam accurata vitæ ratio, mens sana, sermo brevis, sed acutus; planeque similis non peltastis illis, qui sine ordine in exercitu discurrunt, sed cataphractæ, qui et lente et provide incedit. Athenas ille quum venisset, talem cataphractam invenit neminem, sed multos peltastas, quorum discursus tumultusque nullo modo probare Anacharsis poterat. Quare, relicta urbe, totam statuit lustrare Græciam, ut videret sicubi stabilem fixamque inveniret sapientiam. Quod an alibi potuerit nescio; in ignobili certe parvoque oppidulo Chenis, virum bonum invenit, cui nomen erat Myson. Hic Myson nihil aliud noverat, quam familiam recte administrare, terram perite colere, conjugium pudice tueri, educare liberos ingenue. Suffecit hoc Scythæ hospiti, neque porro sapientiam sibi verbosam quærendam putavit, quum invenisset ipsa opera, in quorum contemplatione tum defixus hæsit. Quumque jam satis perspexisset singula, dixit illi Chenensis iste Myson : Hæc sunt, mi Anacharsi, quorum causa, nescio sane quomodo, sapientes nos vocant homines; quodsi his rebus agendis nomen sapientis mereor, non video quid non sapiens dici debeat. Utrumque vehementer admiratus est Anacharsis in Græco hospite, et operum abundantiam, et paucitatem verborum.

2. Sic et Pythagoræ verba plane legibus similia erant, brevia nimirum et concisa; actiones contra prolixæ ac per-

καὶ διηνεχῆ, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν μηδαμοῦ τὴν ψυχὴν ἀνιέντα, μηδὲ εἰς ῥαθυμίαν χαλῶντα. Ὥσπερ γὰρ ἐν ταῖς τῶν μελῶν ἁρμονίαις τὸ παραλειφθὲν, κἂν σμικρὸν ᾖ, διαλύει τὸν κόσμον τοῦ μέλους· οὕτω κἂν τῇ τοῦ βίου ἁρμονίᾳ, εἴπερ μὴ ἐκμελὴς ἡμῖν ἔσται μηδὲ εἰκῇ διαπεραινόμενος, ὁμολογίαν εἶναι δεῖ ἔργου καὶ λόγου, καὶ μήτε τὰ ἔργα εἰς ἀφάνειαν κομιδῇ ξυνεληλάσθαι, μήτε τοὺς λόγους ὑπὲρ τὰ ἔργα χωρεῖν, ὥσπερ ἐξ ἀγγείου ** στενὸν ἀποχεομένους, ἀλλ' ἑκάτερα ἑκατέροις συντεταγμένα ἰσομέτρητά τε καὶ ἰσοχειλῆ εἶναι. Ὅστις οὖν τῆς ἁρμονίας ταύτης ἐρᾷ, καὶ ἐθέλει ἠχεῖν τὸν τῶν ἔργων φθόγγον, οὗτος ἄν ποτε ἐπ' εὐγλωττίᾳ σεμνύνοιτο; Πολλοῦ μοι δοκεῖ δεῖν. Οὐδὲ γὰρ τοὺς ταὼς, ἡδίστους ὄντας ὀρνίθων ἰδεῖν, μακαρίσαι ἄν τις τοῦ κάλλους, οὐδὲν αὐτοῖς εἰς εὐπτησίαν συντελοῦντος, ἥπερ ἐστὶν ὀρνίθων ῥώμη. Καὶ τῶν ἀηδόνων τῆς ᾠδῆς, ὅσα μὲν ἐς ἡδονὴν ἀκοῆς, ἀποδεχόμεθα· τὸ δὲ ἡμῖν τερπνὸν, ἀσύμβολον ἐκείναις εἰς σωτηρίαν.

3. Αἰετοῦ κλάγξαντος, ἢ λέοντος βρυχησαμένου, γνωρίσαι ἄν τις τῷ λυπηρῷ τῆς ἀκοῆς τὴν ῥώμην τοῦ φθεγγομένου. Εἰ δὲ μὴ φαυλότερον ἦχος ἀνδρὸς μηδὲ ἀσθενέστερον ἐλέγξαι τὸ τοῦ λέγοντος ἦθος βρυχηθμοῦ λέοντος καὶ αἰετῶν κλαγγῆς· ἆρα οὐκ ἄξιον ἐκθηρᾶσθαι τῇ ἀκοῇ, πότερον ἀηδὼν τὸ φθεγγόμενον, γλῶττα δειλὴ καὶ ᾠδὴ ἐφίμερος, ἢ αἰετὸς, ἤ τι ἄλλο ζῷον ἄρρεν καὶ θυμοῦ μεστόν; Ἀλλ' ὁ μὲν Ζώπυρος ἐκεῖνος δεινὸς ἦν τῇ προσβολῇ τῶν ὀφθαλμῶν, τοῖς τοῦ σώματος τύποις ἐντυγχάνων, γνωρίζειν τὸ ἦθος, καὶ καταμαντεύεσθαι τῆς ψυχῆς διὰ τῶν ὁρωμένων, μαντείαν ἀσαφῆ· τίς γὰρ ἐπιμιξία πρὸς ὁμοιότητα ψυχῆς καὶ σώματος; Εἰ δ' ἔστι μαντείαν ἐπὶ ψυχῇ θέσθαι οὐ διὰ ἀμυδρῶν οὐδὲ ἀσθενῶν συμβόλων, τοῖς μὲν ὀφθαλμοῖς παραχωρητέον τὴν χρωμάτων τε καὶ σχημάτων καὶ τῆς ἐν τούτοις ἡδονῆς καὶ ἀηδίας ὁμιλίαν, τῇ δὲ ἀκοῇ ἐξιχνευτέον τὸ τῆς ψυχῆς ἦθος, οὐ κατὰ τοὺς τῶν πολλῶν λογισμοὺς, οἷς ἀπόχρη πρὸς ἔπαινον λόγου γλῶττα εὔτροχος, ἢ ὀνομάτων δρόμος, ἢ ῥήματα Ἀττικὰ, ἢ περίοδοι εὐκαμπεῖς, ἢ ἁρμονία ὑγρά· τὰ δ' ἐστὶ πάντα, κατὰ τὸν ἐν Διονύσου ποιητὴν, « Ἐπιφυλλίδες, καὶ στωμύλματα, χελιδόνων μουσεῖα, λωβηταὶ τέχνης. »

4. Ποῖον οὖν ἐστι τὸ ἐν λόγοις καλόν; φαίη ἄν τις. Μήπω με, ὦ 'τὰν, ἔρῃ· ὄψει γὰρ αὐτὸς, ἐπειδὰν ἰδεῖν δυνηθῇς. Οὐδὲ γὰρ τῷ Κιμμερίῳ διηγήσασθαι δύναταί τις τὸ τοῦ ἡλίου κάλλος, οὐδὲ τῷ ἠπειρώτῃ τὴν θάλατταν, οὐδ' Ἐπικούρῳ τὸν θεόν· οὐ γὰρ δι' ἀγγέλων ἡ ἱστορία ἔρχεται, ἀλλ' ἐπιστήμης πρὸς ταῦτα δεῖ· μέχρι δὲ ἄπεστι τὸ εἰδέναι, ἀνάγκη πλανᾶσθαι καὶ τὰς κρίσεις. Καὶ γὰρ τῶν ἐκ γῆς φυομένων παντοδαπὸς μὲν θεατὴς ὁδοιπόρος, ὁ δὲ γεωργὸς, ὑγιής· ὁ μὲν ἄνθος ἐπαινεῖ φυτῶν, ὁ δὲ μέγεθος, ἢ σκιὰν, ὁ δὲ χρόαν, τῷ δὲ γεωργῷ ὁ καρπὸς τὸν ἔπαινον μετὰ τῆς χρείας ἔχει. Εἰ μὲν δή τις καθ' ὁδοιπόρον πλησιάζει τῷ λόγῳ, οὐ νεμεσῶ τῆς ἡδονῆς παρατρέχοντι ἐπαινεῖν· εἰ δὲ κατὰ

petuæ, ut quæ nec noctu neque interdiu remitterent animum aut otiosum esse sinerent. Sicut autem in concentu musico, si vel minimum prætermittis, tota solvitur cantus ratio; sic in hoc vitæ concentu, nisi plane inconcinnum esse velis et inutilem, necesse est verbis actiones respondere, neque vel has penitus latere, vel illa actiones plane obruere, velut ex capaci vase in angustum defusa : sed utraque utrisque comparata ejusdem mensuræ et æque plena esse debent. Putasne ergo eum qui hoc delectetur concentu, qui ipsa vult audiri opera, verborum ornatu se jactaturum? Minime mehercules. Nemo enim quum pavones videt, qui ex omnibus tamen avibus intuentium maxime oblectant oculos, præcipue in iis pulchritudinem miratur, quippe quæ nihil ad volandum illis conferat, in quo sola avium vis est et robur. Rursus lusciniæ cantum singulari cum voluptate audimus; et tamen, quod nos delectat, nihil illis ad conservationem sui confert.

3. Contra clangore aquilæ ac leonis rugitu quamvis offendantur aures nostræ, ex hoc ipso tamen de robore eorum judicamus. Quod si non minus efficax oratio hominis, nec minus comparata ad mores dicentis prodendos quam rugitus leonis aut aquilarum clangor, nonne operæ pretium videtur diligenter in consilium adhibere aures, ut sciamus an luscinia sit quæ loquitur, lingua nimirum imbellis et quæ amorem sonet et excitet; an vero aquila, aliudve animal masculum spiritusque plenum? Aiunt Zopyrum illum, intuitu solo de exterioribus corporis notis, mores singulorum valuisse judicare, et ex eo, quod oculi vident, totam animæ constitutionem esse auguratum : fallaci augurio; quid enim cum anima similitudinis intercedit corpori? Quodsi signa possunt constitui neque obscura, neque incerta, quæ explorent animam; relinquendum est oculis, ut de coloribus, de figuris, prout vel delectantur iis, vel offenduntur, judicent, solis vero auribus de indole animæ concedendum est judicium; non secundum opinionem plurimorum, quibus sufficit ad dilaudandam orationem sive lingua prompta, sive dictio volubilis, seu voces Atticæ, sive periodi rotundæ, sive compositio mollis; quæ omnia nihil aliud sunt secundum poetam comicum, quam *inutiles racemuli, et loquacitas, hirundinum musea, dedecus styli.*

4. Quid ergo est quod in oratione censeri debeat pulchrum? dicat aliquis. Nondum, mi homo, id ex me quære; ipse enim videbis, quando videre poteris. Nec enim solis pulchritudinem Cimmeriis, aut maris naturam mediterraneis, aut Epicuro dei essentiam facile est describere : quia nunquam nuda narratione harum rerum intellectus infunditur, sed scientiam afferre secum aliquam oportet; quamdiu autem abest scientia, falli quoque et errare judicium tuum est necesse. Ita eorum quæ e terra nascuntur, vagus spectator est viator; sanus autem et verus, agricola : illorum enim alius florem plantæ, alius magnitudinem, alius umbram laudat, aut colorem; solus agricola ab usu et fructu eam commendat. Si quis ergo viatoris more degustare obiter sermonem velit, voluptatem hanc illi libenter concedo, ut prætervolans aliqua ejus laudet; si paria facere vult agricolis, laudem non

τοὺς γεωργοὺς τάττεται, οὐκ ἀνέχομαι τῶν ἐπαίνων, πρὶν ἄν μοι καὶ τὴν χρείαν τῶν ἐπαινουμένων φράσῃ.

5. Λέγε, τίνας εἶδες καρποὺς ἐν τῷ λόγῳ, τίνας ἔλαβες, πῶς ἔχοντας; ἐπειράθης, ἐξήτασας, εἰ τελεσιουργοὶ καὶ γόνιμοι ἑτέρων καρπῶν; ἐξέφυσέ τί σοι ἡ ψυχὴ ἀπ' αὐτῶν χρηστὸν καὶ ἔγκαρπον; ἢ ὄγχνη μὲν ἐπὶ ὄγχνῃ γηράσκει, καὶ ἐπὶ μήλῳ μῆλον, καὶ σταφυλὴ σταφυλῇ ἐπιφύεται, καὶ σῦκον σύκῳ· λόγου δὲ ἄρα ἐφήμερος μὲν ἡ γένεσις, ἄσπερμος δὲ ὁ καρπὸς, καὶ οὐ τρόφιμος, οὐδὲ ἀνακιρνάμενος τῇ ψυχῇ,

> Ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει, ἠΰτ' ἔλαιον;

Ταύτην μοι διήγησαι τὴν γεωργίαν, τοὺς δὲ ἐπαίνους ἔα. Ἐὰν γὰρ ἀφέλῃς αὐτῶν τὴν χρείαν, ὑποπτεύω τὴν αἰτίαν, καὶ τὸν ἐπαινέτην ἐλεῶ, καὶ τὸν ἔπαινον μέμφομαι. Τοῦτον τὸν ἔπαινον φθέγγεται τὰ μέρη τῆς ψυχῆς τὰ ἀκόλαστα, τὰ κρίνειν ἀσθενῆ, τὰ ἀπατᾶσθαι πεφυκότα·

> Οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς
> τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν.

Ὁρᾷς τοῦ ἐπαίνου τὴν μοχθηρίαν, ἀντικαταλλασσομένου γύναιον ἓν, καὶ τὴν ἀπ' αὐτοῦ ἡδονὴν, Ἑλληνικῶν καὶ Τρωϊκῶν κακῶν. Ἔστι κἀνταῦθα ἐπαινέτης τοιοῦτος, ἐπειδάν τις ἐντυχὼν ἀκολάστῳ λόγῳ, τὸ μὲν ἀπατηλὸν αὐτοῦ μὴ γνωρίσῃ, τὸ δὲ ἡδὺ στέρξῃ, κατὰ βραχὺ ὑποφερόμενος ταῖς καθ' ἡμέραν ἡδοναῖς ἀψοφητὶ, ὥσπερ τῶν πλεόντων οἱ πνευμάτων μὲν ἐξ οὐρίας πρὸς τὸν ἀληθῆ δρόμον οὐ τυχόντες, ῥεύματι δὲ γαληνῷ δι' ἀκυμάντου τῆς θαλάττης εἰς ἠϊόνας ἐρήμους ἢ ῥαχίας δυσχερεῖς ἐκπεπτωκότες· μετὰ τοῦτο προσηνέχθη λαθὼν ἀμαθίᾳ, καὶ μετὰ τοῦτο ὑπὸ φιληδονίας, πάσης ἠϊόνος ἐρημοτέροις χωρίοις καὶ πάσης ῥαχίας δυσχερεστέροις, ἀγαπῶν τὴν πλάνην καὶ χαίρων τῇ ψυχαγωγίᾳ· ὥσπερ οἱ πυρέττοντες, ἐμπιπλάμενοι ποτοῦ καὶ σιτίων παρὰ τοὺς τῆς τέχνης νόμους· παρατιθέντες γὰρ κακὸν κακῷ, νόσῳ πόνους, αἱροῦνται ἡδόμενοι νοσεῖν μᾶλλον, ἢ πονοῦντες ὑγιασθῆναι. Καί τις ἤδη ἰατρὸς εὐμήχανος ἀνεκέρασε βραχεῖαν ἡδονὴν τῷ ἀλγεινῷ τῆς ἰάσεως· ποριστὴς δὲ ἡδονῆς, καὶ παντοίας ἡδονῆς, οὔτε ὁ Ἀσκληπιὸς, οὔτε οἱ Ἀσκληπιάδαι, ἀλλ' ὀψοποιῶν τὸ ἔργον. Οὐδὲν δὲ σεμνότερον ἀκόλαστος λόγος τῶν τῆς γαστρὸς κολακευμάτων· ἐὰν γὰρ τούτου ἀφέλῃς μὲν τὸ ὠφελοῦν, τὸ τερπνὸν δὲ προσθῇς, ἰταμὸν καὶ ἄκρατον ἰσοτιμίαν καὶ ἰσηγορίαν χειροτονεῖς λόγου πρὸς τὰ αἰσχρὰ πάντα, ὅσα δι' αἰσθήσεων ἐπὶ ψυχὴν ἔρχεται, ὑφ' ἡδονῆς παραπεμπόμενα.

6. Ἀλλὰ τοὺς μὲν ὀψοποιοὺς τούτους τοῖς συμποσίοις ἐῶμεν, καὶ γαστρὸς καὶ ἀκοῆς ὑπηρέτας πονηρούς· ἡμῖν δὲ δεῖ λόγου ὀρθοῦ καὶ διανεστηκότος, μέγα βοῶντος, καὶ τὰς ψυχὰς αὐτῷ συνεπαίροντος ὑπὲρ τὴν γῆν ἄνω, καὶ ὅσα περὶ γῆν παθήματα ἡδονῶν καὶ ἐπιθυμημάτων, καὶ φιλοτιμιῶν καὶ ἐρώτων, καὶ ὀργῆς καὶ λύπης καὶ μέθης ἐχόμενα· ὧν συμπάντων κρείττονα χρὴ γενέσθαι

admittam, nisi usum eorum, quæ commendat, protinus etiam exponat.

5. Responde, quos fructus aut videris in oratione, aut perceperis, qui sint qualesque? satisne eos tentasti, explorasti si sint maturi et fœcundi, ut alios ex iis exspectare possis? num animus tibi bonum quid fructuosumque ab iis peperit? Nisi forte pirum quidem (ut Homerus ait) non senescit, nisi novum adveniat; nec malum, nisi aliud succedat; et uva uvæ succrescit, ficus ficui : sermo autem solus simul nascitur et perit, fructusque orationis nec semen ullum habet, nec vim nutriendi, neque interiora animæ penetrat;

> Sed tantum leviter supra natat, instar olivi?

Hanc mihi agriculturam expone, laudes vero tuas tibi serva. Si enim de utilitate eorum nihil dicas, vitium suspicari incipio, laudatoris me miseret, laudem non agnosco. Id generis enim laudes proferre intemperantes animæ partes solent, quæ nec recte judicare possunt, et facillime decipiuntur :

> Haud equidem indignum est Phrygios fortesque Pelasgos
> conjuge pro tali diuturnos ferre labores.

Vides hujus laudis improbitatem, quæ mulierculam unam et perceptam ex ea voluptatem omnibus Græcorum Trojanorumque opponit molestiis. Ejusmodi laudatores etiam in vita nostra invenies, si orationem audiamus lascivam, cujus nec perspicere fraudem, nec jucunditatem non amare possumus, quum ab ipsis paullatim voluptatibus quotidie abripiamur, neque sentiamus tamen, sicut illi, qui vento secundo in navigatione recta non utuntur, sed sola maris tanquillitate freti in placido serenoque æquore, tandem in desertum littus aliquod aut scopulum impingunt : paullo post in imperitiam impingimus, ac deinde a voluptatum studio in loca omni littore desertiora, omni caute difficiliora delabimur, errorem nostrum amantes et jucunditate delectati : plane ut ii qui febricitant, cibis et potu contra præscriptum medicorum sæpe se distendunt; quamvis enim malo malum, morbo addunt morbum, ægrotare tamen cum voluptate malunt, quam cum labore convalescere. Et tamen peritus medicus aliquid interdum voluptatis cum remediorum miscet molestiis; solam vero illius et maximam habere rationem, nec Æsculapii, nec Asclepiadarum, sed unice coquorum est. Neque enim altius quiddam illis ventris lenociniis est suavis, sed vitiosa oratio; cui si utilitatem demas, jucunditatem addas, improbam plane atque impotentem concedes potestatem, et æqualitatem cum inhonestis omnibus, quæ per exteriores sensus ad animam irrepunt duce voluptate.

6. Quare comessationibus potius ejusmodi coquos relinquamus, pessimos et ventri et auribus ministros; nos orationem altam erectamque quæramus, quæ masculam edat vocem, animosque secum nostros longe supra terram omnesque in terra repentes voluptates cupidinesque, studia et libidines, qualia sunt ira, luctus, ebrietas, extollat. His omnibus superiorem esse oportet verum et philosophico

τὸν τῷ φιλοσόφῳ λόγῳ συνανιστάμενον ῥήτορα ἀληθῆ, οὐκ ἀργὸν, οὐδὲ ἐκλελυμένον, οὐδ' ἐπίχριστον κατὰ τὴν τέχνην, οὐδὲ ἐν δικαστηρίῳ μόνον ἐν ἀμφιβόλῳ ἐπικουρίᾳ τεταγμένον· ἀλλὰ πανταχοῦ καὶ ἐν ἅπαντι ἐξεταζόμενον, ἐν μὲν ἐκκλησίαις σύμβουλον φρόνιμον, ἐν δὲ δικαστηρίοις ἀγωνιστὴν δίκαιον, ἐν δὲ πανηγύρεσιν ἀγωνιστὴν σώφρονα, ἐν δὲ παιδείᾳ διδάσκαλον ἐπιστήμονα· οὐ περὶ Θεμιστοκλέους μόνον τοῦ μηκέτι ὄντος, οὐδ' ἐν Ἀθηναίοις τοῖς τότε, οὐδ' ὑπὲρ ἀριστέως τοῦ μηδαμοῦ, οὐδὲ κατὰ μοιχοῦ λέγοντα μοιχὸν ὄντα, οὐδὲ κατὰ ὑβριστοῦ ὑβριστὴν ὄντα· ἀλλ' ἀπηλλαγμένον τῶν παθῶν τούτων, ἵνα γένηται κατήγορος ἀδικημάτων ἀληθής. Τοιοῦτος ἐξ ἀγαθῆς παλαίστρας ἀγωνιστὴς γίγνεται, λόγων μεστὸς ἀκολακεύτων καὶ ἠσκημένων ὑγιῶς, καὶ δυναμένων ἄγειν πειθοῖ καὶ βίᾳ ἐκπληκτικῇ τὸ πλησιάζον πᾶν.

7. Εἰ δὲ καὶ ἡδονῆς πρὸς τὴν ἀγωγὴν ταύτην δεησόμεθα, καὶ Τυρταίου δότω μοί τις ἡδονὴν, οἵαν καὶ ἐπὶ σάλπιγγος, ἁρμονίαν ἐν μέσοις τοῖς ὁπλίταις τεταγμένην καὶ ἐξορμῶσαν τὰς ψυχὰς τῷ μέλει· τοιαύτης δέομαι ἡδονῆς λόγου, ἣ φυλάξει μὲν αὐτοῦ τὸ μέγεθος, οὐ προσθήσει δὲ τὴν αἰσχύνην· τοιαύτης δέομαι ἡδονῆς, ἣν οὐκ ἀπαξιώσει ἡ ἀρετὴ ὀπαδὸν αὐτῇ γίνεσθαι. Ἀνάγκη γὰρ παντὶ τῷ φύσει καλῷ συντετάχθαι χάριτας, καὶ ὥραν, καὶ πόθον, καὶ εὐφροσύνην, καὶ πάντα δὴ τὰ τερπνὰ ὀνόματα. Οὕτω καὶ ὁ οὐρανὸς οὐ καλὸς μόνον, ἀλλὰ καὶ ἥδιστον θεαμάτων, καὶ θάλαττα πλεομένη, καὶ λήϊα καρποτρόφα, καὶ ὄρη δενδροτρόφα, καὶ λειμῶνες ἀνθοῦντες, καὶ νάματα ῥέοντα. Ἥδιστον ἦν θέαμα ὁ Ἀχιλλεὺς (πῶς δὲ οὐκ ἔμελλεν;) οὐ διὰ τὴν ξανθὴν κόμην· καὶ γὰρ ὁ Εὔφορβος εὐκόμης ἦν, τῷ δὲ Ἀχιλλεῖ τὸ καλὸν ἥδιστον ἦν ὑπὸ τῆς ἀρετῆς ἐξαπτόμενον. Ἥδιστον ἐν ποταμοῖς θέαμα ὁ Νεῖλος, ἀλλ' οὐ δι' ἀφθονίαν ὕδατος, καὶ γὰρ ὁ Ἴστρος εὔνεως· ἀλλὰ ὁ Ἴστρος οὐ γόνιμος, ὁ δὲ Νεῖλος γόνιμος. Ἥδιστον θέαμα ὁ Νεῖλος, ἀλλ' οὐ τολμῶ παραπεμψάμενος τὴν ἀρετὴν τοῦ θεοῦ ἡδονὴν αὐτῷ ἐπιφημίσαι. Ἐγὼ καὶ τῶν Φειδίου ἀγαλμάτων αἰσθάνομαι μὲν τῆς ἡδονῆς, ἐπαινῶ δὲ τὴν τέχνην· καὶ τῆς Ὁμήρου ᾠδῆς συνίημι μὲν τῆς ἡδονῆς, ἀλλ' ἐκ τῶν σεμνοτέρων αὐτὴν ἐπαινῶ. Ἀλλ' οὐδὲ τὸν Ἡρακλέα ἔγωγε ἡγοῦμαι ἄγευστον καὶ ἀμέτοχον ἡδονῆς διαβιῶναι· οὐ πείθομαι παντάπασι τῷ Προδίκῳ· ἀλλ' εἰσὶ γὰρ καὶ ἀνδρὸς ἡδοναὶ παραμυθούμεναι τοὺς δι' ἀρετῆς πόνους, οὐ διὰ σαρκῶν, οὐδέ γε δι' αἰσθήσεων ἐπίρρυτοι· ἀλλ' αὐτοφυεῖς τινες, καὶ ἔνδοθεν διανιστάμεναι, ἐθιζομένης τῆς ψυχῆς χαίρειν τοῖς καλοῖς καὶ ἔργοις καὶ ἐπιτηδεύμασι καὶ λόγοις. Οὕτω καὶ ὁ Ἡρακλῆς ἔχαιρεν ἐπὶ τὸ πῦρ ἰών· καὶ Σωκράτης ἔχαιρεν ἐν τῷ δεσμωτηρίῳ μένων καὶ πειθόμενος τῷ νόμῳ. Παραβάλλωμεν τὴν Σωκράτους κύλικα ἐκείνην τῇ Ἀλκιβιάδου· πότερος αὐτῶν ἔπινεν ἀλυπότερον, Ἀλκιβιάδης τὸν οἶνον, ἢ τὸ φάρμακον Σωκράτης;

sermone assurgentem rhetorem, non ignavum, dissolutum, vel artificiose fucatum, neque qui controversiunculis tantum in judicio et ambiguis causis operam suam addicere possit; sed ubique et quovis loco probatum, prudentem in concionibus consiliarium, justum in judiciis patronum, in publicis hominum conventibus oratorem modestum, in aliis instituendis doctum præceptorem : non ut quædam de Themistocle, qui jam diu abiit, disserere possit, aut apud sæculi illius Athenienses loqui, aut ducem aliquem, qui nusquam reperitur, commendare, multo minus in scortatores scortator ipse, aut de contumelioso contumeliosus ipse declamet; sed ut prius his vitiis ipse sit immunis, quo verus vitiorum accusator esse possit. Talis luctator ex proba sapientiæ palæstra prodit, cujus sermo adulatione omni caret, sano modo exercitatus, violenta quadam suada proximum quemque in sententiam suam pertrahere valens.

7. Quodsi in ejusmodi suada voluptatem aliquis requiri putet aliquam, is mihi det illam quam Tyrtæus excitabat, qualis est in tubæ clangore, harmoniam quæ in armatorum instructa acie auditur et animos concentu suo erigit: talem in oratione requiro voluptatem, quæ magnitudinem ejus conservet, nec opprobrium addat; talem requiro voluptatem, quam pedissequam suam esse non dedignetur virtus. Necesse est enim, ut omnia, quæ natura pulchra sunt, suas gratias, suam venustatem habeant, leporem suum, et delectationem, et si qua præterea sunt jucunda nomina. Ita cœlum non modo pulchrum, sed omnium spectaculorum est jucundissimum, sicut mare navigationi idoneum, segetes fructiferæ, montes arboribus vestiti, prata florida, liquidi aquarum cursus. Jucundissimus visu Achilles erat (quidni enim esset?) non tamen ob flavam cæsariem; nam et Euphorbum commendabat coma, verum pulchritudinem Achillis virtutis illustrabat splendor et suavissimam reddebat. Jucundissimus visu inter fluvios Nilus est; non ob aquæ copiam tamen, nam et Ister magnas naves fert; verum minus fœcundus Ister est, fœcundissimus Nilus. Sane jucundissimus visu est Nilus : tamen voluptatem potius quam virtutem tam divino ascribere non ausim fluvio. Ego et in Phidiæ statuis spectandis voluptatem sentio, artem tamen potius laudo : et in Homeri carmine voluptatem percipio; majora tamen sunt quæ in eo admiror. Ego ne ipsum quidem Herculem sine voluptatibus vixisse puto; nec enim omnino assentiri possum Prodico. Nam et masculæ sunt voluptates, quæ virtutis molestias solari solent; non quæ in corpore sentiuntur, nec quæ per sensus influunt externos; sed quæ nobiscum nascuntur, quæ in interioribus animæ partibus exsultant, quoties illa honestis sive actionibus, sive studiis, sive sermonibus insuevit. Ita tum quoque gaudebat Hercules quum ignem adiret: ita Socrates gaudebat, quum in carcere esset et legibus morem gereret patriis. Conferamus illum Socratis calicem cum Alcibiadis cratere; uter eorum bibit securius, Alcibiadesne vinum, an venenum Socrates?

ΛΟΓΟΣ ΛΒ'.

Εἰ ἔστι καθ' Ὅμηρον αἵρεσις.

1. Βούλομαι καθ' Ὅμηρον αὐτὸν παρακαλέσαι ἐπὶ τὸν λόγον, τίνα μέντοι θεῶν ἢ τὴν αὐτὴν ἐκείνῳ, τὴν Καλλιόπην;

> **Ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ πλάγχθη·**

οὐ γῆν ἄξενον ἐπιπορευόμενος, οὐδὲ θάλατταν χαλεπὴν περαιούμενος, οὐδὲ ἀνθρώποις ἀγρίοις συμφερόμενος· ἀλλὰ ταῦτα μὲν αὐτῷ οἱ μῦθοι ἔχουσιν· αὐτὸς δὲ τῇ ψυχῇ, κούφῳ χρήματι καὶ πολυπλανεστέρῳ τῶν σωμάτων, πανταχοῦ περιεφέρετο, πάντα ἐπεσκόπει, ὅσα οὐρανοῦ κινήματα, ὅσα γῆς παθήματα, θεῶν βουλάς, ἀνθρώπων φύσεις, ἡλίου φῶς, ἄστρων χορόν, γενέσεις ζῴων, ἀναχύσεις θαλάττης, ποταμῶν ἐκβολάς, ἀέρων μεταβολάς, τὰ πολιτικά, τὰ οἰκονομικά, τὰ πολεμικά, τὰ εἰρηνικά, τὰ γαμήλια, τὰ γεωργικά, τὰ ἱππικά, τὰ ναυτικά, τέχνας παντοίας, φωνὰς ποικίλας, εἴδη παντοδαπά, ὀλοφυρομένους, ἡδομένους, πενθοῦντας, γελῶντας, πολεμοῦντας, ὀργιζομένους, εὐωχουμένους, πλέοντας· ὥστε ἔγωγε εἰς τὰς Ὁμήρου φωνὰς ἐμπεσὼν οὐκ ἔχω παρ' ἐμαυτοῦ τὸν ἄνδρα ἐπαινέσαι, ἀλλὰ κἀνταῦθα δεήσομαι αὐτοῦ ἐπιδοῦναί μοι τῶν ἐπῶν, ἵνα μὴ διαφθείρω τὸν ἔπαινον ψιλῷ λόγῳ·

> **Ἔξοχα δή σε βροτῶν, ὦ Ὅμηρ', αἰνίζομ' ἁπάντων,**
> **ἤ σέ γε Μοῦσα δίδαξε Διὸς παῖς, ἤ σέ γ' Ἀπόλλων.**

Τὰ δὲ Μουσῶν καὶ Ἀπόλλωνος διδάγματα οὐδὲ τὴν ἀρχὴν θέμις ἄλλο τι ὑπολαβεῖν, ἢ ἀφ' ὧν ψυχὴ εἰς κόσμον καθίσταται. Τοῦτο δὲ τί ἂν εἴη ἄλλο ἢ φιλοσοφία; ταύτην δὲ τί ἄλλο ὑποληψόμεθα ἢ ἐπιστήμην ἀκριβῆ θείων τε πέρι καὶ ἀνθρωπίνων, χορηγὸν ἀρετῆς καὶ λογισμῶν καλῶν καὶ ἁρμονίας βίου καὶ ἐπιτηδευμάτων δεξιῶν;

2. Τῆς δὲ ἐπιστήμης ταύτης τὸ κεφάλαιον, τέως μὲν παντοδαποῖς περιβεβλημένον σχήμασι, μετεχειρίζετο τὰς τῶν ἐντυγχανόντων ψυχὰς διδασκαλίοις ἀλύποις, τῶν μὲν τελετὰς καὶ ὀργιασμούς τινας ἐπιφημισάντων τοῖς αὐτῶν λόγοις, τῶν δὲ μύθους, τῶν δὲ μουσικήν, τῶν δὲ καὶ μαντικήν. Καὶ κοινὸν μὲν ἦν ἅπασι τὸ ὠφελοῦν, ἴδιον δὲ τὸ σχῆμα τοῦ λόγου. Χρόνῳ δὲ ὕστερον ὑπὸ σοφίας οἱ ἄνθρωποι νεανιευόμενοι, ἀποκαλύψαντες ταυτὶ τὰ τοῦ λόγου προκαλύμματα, ἀπέφηναν φιλοσοφίαν γυμνὴν καὶ ἐξωνειδισμένην καὶ πάγκοινον, καὶ πρόχειρον εἰς συνουσίαν παντί τῳ, ὄνομα μόνον ἔργου καλοῦ πλανώμενον ἐν δυστήνοις σοφίσμασι. Τοιγαροῦν τὰ μὲν Ὁμήρου καὶ Ἡσιόδου ἔπη, καὶ πᾶσα ἡ παλαιὰ μοῦσα ἐκείνη καὶ ἔνθεος, μύθου χώραν ἔχει, καὶ ἀγαπᾶται αὐτῶν ἡ ἱστορία μόνον καὶ τὸ προσηνὲς τῶν ἐπῶν καὶ τὸ εὐανθὲς τῆς ἁρμονίας, ὡς αὐλήματα, ὡς κιθαρίσματα· παρορᾶται δὲ τὸ ἐν αὐτοῖς καλόν, καὶ ἀποχειροτονεῖται τῆς ἀρετῆς.

DISSERTATIO XXXII.

An sit secundum Homerum definita in philosophia opinio.

1. Libet Homeri ipsius exemplo ad hanc dissertationem advocare, at quodnam numen præter eandem illam quam ipse solet, Calliopen?

> **Dic mihi, Musa, virum sapientem, quique vagatus plurima conspexit:**

non quod inhospitalem terram peragraverit, aut infestum mare transmiserit, aut cum feris agrestibusque vixerit hominibus: hæc enim in fabulis tantum suis referre ille solet, de quo loquor; ipse vero animo, qui levissimus est, faciliusque quam corpus locum loco commutat, ubique vagatus est, perlustravit omnia, quæ in cœlo moventur, quæ in terra mutantur, deorum consilia, hominum naturas, solis lumen, siderum choros, generationem animalium, refluum maris gremium, fluviorum ostia, aeris diversitatem; civitatum gubernationem, administrationem domuum, quæ ad bellum, quæ ad pacem pertinent; nuptialia, rustica, equestria, nautica, artes quascunque, diversissimas linguas, diversas rerum species; lamentantes, gaudentes, lugentes, ridentes, bellantes, irascentes, epulantes, navigantes. Itaque ego, quum in Homericam inciderim eloquentiam, jam me sentio imparem ejus laudibus; quare tutius videtur hic quoque ab ipso versus mutuari aliquot, ne soluta hac oratione laudes ejus videar deterere:

> **Certe præ quovis hominum mihi magnus, Homere, es,**
> **seu te Calliope docuit, seu flavus Apollo.**

Musarum vero et Apollinis disciplinam absit ut aliam putemus esse quam qua in ordinem suum animus redigitur. Ea autem quid possit esse aliud quam philosophia? philosophiam vero quid aliud quam accuratam divinarum humanarumque rerum scientiam putemus esse; quæ virtutem, quæ præclaras rationes, quæ aptam vitæ concinnitatem moresque inducit temperatos?

2. Hujus scientiæ professio et scopus variis olim sub figuris latebat, quibus sine ulla austeritate animos sibi commissos tractabat simul docebatque; quum alii mysteria, alii occulta sacra disciplinam suam appellarent, alii fabularum, alii musices, alii postremo divinationis nomine eam induerent. Ita quum utilitatem omnes spectarent unam, non una tamen dicendi utebantur figura. Postea vero nimia sapientiæ copia quum lascivire inciperent homines, cœperunt et velum hoc sapientiæ detrahere; ita philosophiam amictu suo spoliarunt, philosophiam in contemptum adduxerunt, cuivis eam objecerunt, cuivis tanquam scortum prostituerunt; neque aliud, quam solum rei nomen reliquerunt, quod ipsum ineptæ quædam cavillationes occuparunt. Eo igitur deventum est, ut Homeri Hesiodique carmina, totaque antiqua illa et divina musa, pro fabulis habeantur; nec aliud in iis, quam narrationes nudas, quam numerorum suavitatem, quam harmoniæ elegantiam, sicut in tibia aliqua aut cithara, nunc vulgo mirantur: quod vero solum in iis admiratione est dignum, negligitur nec

Καὶ Ὅμηρος μὲν ἀποκηρύττεται φιλοσοφίας, ὁ ἡγεμὼν τοῦ γένους. Ἀφ' οὗ δὲ τὰ ἐκ Θρᾴκης καὶ Κιλικίας σοφίσματα εἰς τὴν Ἑλλάδα παρέδυ, καὶ ἡ Ἐπικούρου ἄτομος, καὶ τὸ Ἡρακλείτου πῦρ, καὶ τὸ Θαλοῦ ὕδωρ, καὶ τὸ Ἀναξιμένους πνεῦμα, καὶ τὸ Ἐμπεδοκλέους νεῖκος, καὶ ὁ Διογένους πίθος, καὶ τὰ πολλὰ τῶν φιλοσόφων στρατόπεδα ἀντιτεταγμένα ἀλλήλοις καὶ ἀντιπαιωνίζοντα· λόγων μὲν πάντα μεστὰ καὶ ψιθυρισμάτων, σοφιστῶν σοφισταῖς συμπιπτόντων· ἔργου δὲ ἐρημία δεινή, καὶ τὸ θρυλούμενον τοῦτο, τὸ ἀγαθὸν, ὑπὲρ οὗ διέστηκε καὶ διεστασίασται τὸ Ἑλληνικὸν, οὐδεὶς ὁρᾷ.

3. Καὶ μὴν τὰ παλαιὰ ἐκεῖνα, ἐν οἷς ἔτι ἡ Ὁμήρου ᾠδὴ δυναστεύει, γενναῖα καὶ ἀληθῆ καὶ γνήσια φιλοσοφίας θρέμματα ἐπαίδευέν τε καὶ ἐξέτρεφεν. Ἐκείνης τῆς ᾠδῆς θρέμμα ἦν Πλάτων· κἂν γὰρ ἐξομόσηται τόνδε διδάσκαλον, ὁρῶ τὰ γνωρίσματα, καὶ συνίημι τῶν σπερμάτων·

Κείνου τοι τοιοίδε πόδες, τοιαίδε τε χεῖρες,
ὀφθαλμῶν τε βολαὶ, κεφαλή τ' ἐφύπερθέ τε χαῖται,

ὥστε καὶ ἐπιτολμήσαιμι ἂν εἰπεῖν ἔγωγε, ἐμφερέστερον εἶναι Πλάτωνα Ὁμήρῳ μᾶλλον, ἢ Σωκράτει, κἂν τὸν Ὅμηρον φεύγῃ, κἂν διώκῃ τὸν Σωκράτην. Μή με οἰηθῇς τὰς Πλάτωνος φωνὰς εἰκάζειν Ὁμήρῳ, καὶ τὰ ὀνόματα, καὶ τὰ ῥήματα (ἔστι μὲν γὰρ καὶ ταῦτα ἐκεῖθεν, ἐκείνης τῆς ἁρμονίας ἀπορροὴ, ὡς ἐξ ὠκεανοῦ ἡ Μαιῶτις, ὡς ἐκ τῆς Μαιώτιδος ὁ Πόντος, ὡς ἐκ τοῦ Πόντου ὁ Ἑλλήσποντος, ὡς ἐξ Ἑλλησπόντου ἡ θάλασσα), ἀλλὰ τὴν γνώμην τῇ γνώμῃ προσάγω, καὶ τὴν συγγένειαν ὁρῶ. Καὶ τοῦτο μέν σοι καὶ αὖθις παρ' ἐμοῦ λελέξεται· ἐπανάγωμεν δὲ τὸν λόγον ἐπὶ τὴν Ὁμήρου γνώμην, διεξιόντες περὶ αὐτῆς τὰ εἰκότα.

4. Δοκεῖ μοι Ὅμηρος, φύσει τε κεχρημένος ἐνθεωτάτῃ καὶ φρονήσει δεινοτάτῃ καὶ ἐμπειρίᾳ πολυτροπωτάτῃ, φιλοσοφίᾳ ἐπιθέμενος δημοσιεῦσαι ταύτην τοῖς Ἕλλησιν ἐν ἁρμονίᾳ τῇ τότε εὐδοκίμῳ· αὕτη δ' ἦν ἡ ποιητική· οὔτε δὲ Ἰωνικὴν ταύτην ἐθελῆσαι εἶναι αὐτῷ, οὔτε ἀκριβῶς Δώριον, οὔτε Ἀττικήν· ἀλλὰ κοινὴν τῆς Ἑλλάδος. Ἅτε οὖν ξύμπασι διαλεγόμενος, ἀθροίσας ἀναμὶξ τὴν Ἑλλάδα φωνὴν καὶ ἀνακερασάμενος εἰς σχῆμα ᾠδῆς, τὰ ἔπη εἰργάσατο προσηνῆ τε ἅμα εἶναι καὶ ξυνετὰ πᾶσι, καὶ κεχαρισμένα ἑκάστοις. Ἐνθυμηθεὶς δὲ, ὅτι ὀλίγον μὲν τὸ ξυνετὸν ἐν ἅπαντι, τὸ δὲ πολὺ δημαγωγεῖσθαι φιλεῖ, οὐδετέρῳ τῷ γένει ἀποκεκριμένην τὴν ποίησιν ἐξειργάσατο· καθάπερ ὁ Ἡσίοδος, χωρὶς μὲν τῶν ἡρώων, ἀπὸ γυναικῶν ἀρχόμενος, καταλέγων τὰ γένη, ὅστις ἐξ ἧς ἔφυ· χωρὶς δὲ αὐτῷ πεποίηνται οἱ θεῖοι λόγοι, ἅμα τοῖς λόγοις θεογονία· χωρὶς δ' αὖ ὠφελεῖ τὰ εἰς τὸν βίον, ἔργα τε ἃ δραστέον, καὶ ἡμέραι ἐν αἷς δραστέον. Οὐχ οὕτω τὰ Ὁμήρου ἔχει, οὐδὲ ἀποκέκριται ἕκαστα χωρὶς, οὐδ' αὖ φύρεται ἀκρίτως πάντα ἐν πᾶσιν· ἀλλά γε ἦν τὸ σχῆμα αὐτῷ τοῦ λόγου, οἱ μῦθοι, οὓς ἔχουσιν οἱ Τρωϊκοὶ λόγοι

virtutis nomine dignum censetur. Ita Homerus e philosophorum ejicitur numero, philosophorum princeps. Ex quo enim sophisticæ illæ ex Thracia Ciliciaque invasere Græciam ineptiæ, Epicuri atomi, ignis Heracliti, aqua Thaletis, Anaximenis spiritus, discordia Empedoclis, Diogenis dolium, aliaque infinita philosophorum, quæ inter se pugnant semper et concurrunt, agmina; omnia verborum plena cœperunt esse, nihil præter sibilos sophistarum inter se contendentium ubique audis; actio vero ipsa virtutis pro deserta jacet, et nusquam illud, quod omnes in ore habent, de quo tota concertat Græcia, ipsum dico bonum, invenies.

3. Verumtamen antiqua illa, quæ plane adhuc redolet Homerum, sapientiæ ratio generosos verosque ac genuinos philosophiæ protulit eduxitque alumnos. Illius musæ alumnus erat Plato: licet enim præceptorem hunc ejeret, vestigia ejus conspicio tamen, semen illius disciplinæ cognosco:

Sic gressum, sic ille manus, sic ora ferebat,
talis cæsaries, et pulchri luminis ardor,

ut dicere non dubitem, Homero magis similem Platonem esse, quam ipsi Socrati, quamvis Homerum fugere, Socratem sequi videatur velle. Noli existimare, me dictionem Platonicam cum Homerica, verba cum verbis, nomina cum nominibus conferre (tametsi et hæc ex eodem illo fonte musico, sicut ex oceano Mæotis, ex Mæotide Pontus, ex Ponto Hellespontus, ex Hellesponto mare nostrum defluxerunt), sed mentem utriusque cum alterius mente comparo et sententiarum affinitatem noto. Qua de re postea commodius a me dicetur; nunc orationem ad Homeri institutum reflectamus, de eo quæ par est disserentes.

4. Videtur mihi Homerus, quum et divina naturæ indole et judicio exquisitissimo et singulari rerum omnium esset præditus experientia, philosophiæ se dedisse et sub illa, quæ tum temporis placebat, modulatione cum Græcis eam communicasse. Illa autem erat poetice: hanc ita proposuit, ut nec Ionicam, nec Doricam esse vellet meram aut Atticam; sed quæ toti esset communis Græciæ. Quippe quum omnibus loqueretur, omnes quoque Græciæ totius linguas in unam aliquam poeseos formam simul et contulit et miscuit: quo quidem illud est consecutus, ut et accepta essent omnibus quæ scriberet, et perspicua, singulis vero jucunda. Rursus quum in toto genere humano paucissimos esse sciret qui bene judicarent, maximam vero partem populariter duci malle; nec in horum, nec in illorum peculiariter gratiam poesin divisit suam: quod ab Hesiodo est factum, qui primum in opere peculiari heroum familias et genera recensuit, initioque a mulieribus facto, quo e genere, quibus e matribus, oriundi essent singuli, demonstrat; rursus separatim conscripsit theologiam, cum qua deorum generationem conjungit; separatim item quæ ad vitam moresque formandos faciunt conscripsit, et opera quæ agenda sunt, et dies quibus agi debent. Non eo modo Homerus scripsit; nec enim singula in eo aut distincta seorsum, aut omnia inter se confusa sunt: verum est operis totius forma, sub qua latent reliqua, fabulosa narratio, quam tractat car.

καὶ τὰ τοῦ Ὀδυσσέως παθήματα· μέμικται δὲ ἐν αὐτοῖς καὶ θεολογία σαφὴς, καὶ πολιτείας ἦθος, καὶ ἀρεταὶ ἀνθρώπων, καὶ μοχθηρίαι, καὶ παθήματα, καὶ συμφοραὶ, καὶ εὐτυχίαι· καὶ τούτων ἕκαστον ὑποθέσεις οἰκείας ἔχει, οἷον εἰ ξυνίης παναρμόνιόν τι ὄργανον, παντοδαπὰς ἱὲν φωνὰς, πάσας δὲ ἀλλήλαις ὡμολογημένας. Μᾶλλον δὲ οὕτως· ἤδη που ἐθεάσω ἄθροισμα ὀργάνων, αὐλὸν ἠχοῦντα, καὶ λύραν ψαλλομένην, καὶ ᾠδὴν χοροῦ, καὶ σάλπιγγα ἀναμὶξ, καὶ σύριγγα, καὶ ἄλλ' ἄττα ὀργάνων εἴδη καὶ ὀνόματα· ὧν ἕκαστον πεποίηται μὲν κατὰ οἰκείαν τέχνην, συντέτακται δὲ πρὸς τὸ πλησίον κατὰ κοινὴν μοῦσαν.

5. Συνελόντι δ' εἰπεῖν, ἡ Ὁμήρου ποίησις τοιάδε τίς ἐστιν, οἷον εἰ καὶ ζωγράφον ἐννοήσαις φιλόσοφον, Πολύγνωτον, ἢ Ζεῦξιν, μὴ γράφοντα εἰκῇ· καὶ γὰρ τούτῳ ἔσται τὸ χρῆμα διπλοῦν, τὸ μὲν ἐκ τῆς τέχνης, τὸ δὲ ἐκ τῆς ἀρετῆς· κατὰ μὲν τὴν τέχνην, τὰ σχήματα καὶ τὰ σώματα εἰς ὁμοιότητα τοῦ ἀληθοῦς διασώζοντι· κατὰ δὲ τὴν ἀρετὴν, εἰς μίμησιν τοῦ κάλλους τὴν εὐσχημοσύνην τῶν γραμμάτων διατιθέντι. Ταύτῃ μοι καὶ τὰ Ὁμήρου σκόπει, ὡς ἔστι χρῆμα διπλοῦν, κατὰ μὲν τὴν ποιητικὴν ἐντεταγμένον εἰς μύθου σχῆμα, κατὰ δὲ φιλοσοφίαν εἰς ζῆλον ἀρετῆς καὶ ἀληθείας γνῶσιν συντεταγμένον. Αὐτίκα πεποίηται αὐτῷ ἐν τοῖς λόγοις μειράκιον Θετταλικὸν καὶ ἀνὴρ βασιλικὸς, Ἀχιλλεὺς καὶ Ἀγαμέμνων· ὁ μὲν ὑπ' ὀργῆς εἰς ὕβριν προφερόμενος ὁ Ἀγαμέμνων, ὁ δὲ Ἀχιλλεὺς προπηλακισθεὶς μηνιῶν· εἰκόνες παθῶν, νεότητος καὶ ἐξουσίας. Ἀντίθες τοι ἑκατέρῳ τὸν Νέστορα, παλαιὸν τῷ χρόνῳ, ἀγαθὸν φρονεῖν, δεινὸν εἰπεῖν. Πάλιν αὖ Θερσίτης πεποίηται αὐτῷ αἰσχρὸς ἰδεῖν, φωνὴν ἐπεσβόλος, γνώμην ἄτακτος· οἷος εἶναι εἰκὼν ἀκολάστου δήμου. Ἀλλ' ἀντίθες καὶ τούτῳ ἄνδρα ἀγαθὸν, ἡγεμόνα ἀκριβῆ, ἐπιπορευόμενον·

Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα ἐφεύροι,
τὸν ῥ' ἀγανοῖς ἐπέεσσιν ἐρητύσασκε παραστάς·
ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασκεν.

Ἆρά σοι οὐ δοκεῖ αὐτὸ τοῦτο εἶναι ὁ Σωκράτης, τοὺς μὲν βασιλικοὺς καὶ ἐξόχους ἄνδρας ἀγανοῖς λόγοις γεραίρων καὶ ἀποδεχόμενος, Τίμαιόν τινα, ἢ Παρμενίδην, ἢ ἄλλον βασιλικὸν ξένον·

Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,

τοῦτον ἐλαύνων τῷ λόγῳ, Θρασύμαχόν τινα, ἢ Πῶλον, ἢ Καλλικλέα, ἤ τινα ἄλλον λωβητῆρα καὶ ἐπεσβόλον;

6. Πάλιν αὖ ἐπανίωμεν ἐπὶ τὸν Ὅμηρον, καὶ τοὺς παρ' αὐτῷ βαρβάρους· καὶ γὰρ ἐνταῦθα ὄψει ἀρετὴν καὶ κακίαν ἀντιτεταγμένας ἀλλήλαις· ἀκόλαστον μὲν τὸν Ἀλέξανδρον, σώφρονα δὲ τὸν Ἕκτορα· δειλὸν τὸν Ἀλέξανδρον, ἀνδρεῖον τὸν Ἕκτορα· κἂν τοὺς γάμους αὐτῶν ἐξετάζῃς, ὁ μὲν ζηλωτὸς, ὁ δὲ ἐλεεινός· ὁ μὲν ἐπάρατος, ὁ δὲ ἐπαινετός· ὁ μὲν μοιχικὸς, ὁ δὲ νόμιμος.

men de rebus Trojanis et alterum de Ulyssis laboribus : ita tamen, ut divinæ res manifeste et politica ratio immisceantur, tum virtutes hominum et vitia, affectiones, fortunæ tam adversæ quam secundæ : quæ omnia tamen in proprio et apto argumento tractantur; non aliter quam si instrumentum excogitasses musicum, quod omnigenas simul harmonias ederet, quæ omnes inter se convenirent. Aut ita potius : haud dubie jam audivisti multa simul instrumenta, tibiæ sonum, lyræ vocem, chori cantum, cumque his tubam fistulamque, et si qua alia instrumentorum aut nomina, aut genera sunt, cum humanæ vocis concentu, una inter se misceri; quorum singula quum peculiari fiant arte, tamen ita temperata sunt cum singulis, communem ut efficiant musam.

5. Et, ut brevius dicam, talis est Homeri poesis, qualis pictura futura erit, Polygnoti puta aut Zeuxidis, si simul pictores illi fiant philosophi, et nihil pingant temere : duplicem enim sibi scopum proponent, quorum alter artem, alter spectabit virtutem; quod ad artem, ut figuræ ac corpora veritatem naturæ referant; quod ad virtutem, ut congrui linearum ductus ipsam diligenter repræsentent pulchritudinem. Ita et de Homeri judica libris, duo in iis esse spectanda; quorum alterum ad poesin pertinet, et fabulæ speciem refert; alterum ad philosophiam, ad virtutem commendandam et cognoscendam veritatem compositum. Verbi causa introducuntur ab eo duo homines, alter Thessalicus adolescens, alter rex, ætate major, Achilles et Agamemno; quorum hic præ nimia ira in contumeliam erumpit, Achilles contumelia affectus incipit irasci : habes diversorum effigies affectuum, juventutis alterum, alterum potentiæ. Oppone utrique Nestorem, ætate provectum, prudentiæ singularis, admirabilis facundiæ. Rursus inducitur ab eo Thersites, visu deformis, lingua maledicus, mente incomposita; ut plane populi effrenis agnoscas imaginem. Oppone et huic virum bonum, ducem perfectum, qui ordines obit :

Hic quemcunque virum regum de stirpe videret,
lenibus hunc verbis astans retinebat euntem;
quem vero e populo clamantem et vana moventem,
hunc sceptro percussit.

An non videtur tibi hic esse Socrates planissime, qui regales principesque viros lenibus verbis demulcet et excipit, utputa Timæum, aut Parmenidem, aliumve regium hospitem :

Quem vero e populo clamantem et vana moventem
aspicit,

hunc oratione aspera increpat, puta Thrasymachum aliquem, aut Polum aut Calliclem, aut si quis alius conviciator et maledicus?

6. Rursus ad Homerum redeamus ad ejusque barbaros : nam hic virtutes et vitia inter se opposita videbis; intemperantiam Paridis, temperantiam Hectoris; timiditatem Paridis, fortitudinem Hectoris : quin et conjugium eorum si consideres, alter hac in parte felix, alter miseratione dignus est; alter detestandus, laudandus alter; alter adulter, alter legitimus maritus est. Considera et reliquas virtutes viritim

Θέασαι δὲ καὶ τὰς ἄλλας ἀρετὰς νενεμημένας κατ' ἄνδρα, τὴν μὲν ἀνδρείαν κατὰ τὸν Αἴαντα, τὴν δὲ ἀγχίνοιαν κατὰ τὸν Ὀδυσσέα, τὸ δὲ θάρσος κατὰ τὸν Διομήδην, τὴν δὲ εὐβουλίαν κατὰ τὸν Νέστορα· Ὀδυσσέα αὐτὸν οὗτος ἄρα εἰκόνα ἡμῖν ὑποτίθεται χρηστοῦ βίου καὶ ἀρετῆς ἀκριβοῦς, ὥστε καὶ ἀπέδωκεν αὐτῷ ἥμισυ μέρος τῶν αὐτοῦ ἔργων. Καὶ ταῦτα μέν, ὡς συλλήβδην εἰπεῖν, ἴχνη βραχέα μακρῶν λόγων.

7. Εἰ δ' ἔτι χρὴ καὶ περὶ θεῶν ὀλίγα ἄττα δείγματα τῆς Ὁμήρου γνώμης ἐνέγκασθαι, ἑνὶ τῷ παρὰ Πλάτωνος, ὥσπερ εἰκόνι, τὰ λοιπὰ εἰκάζωμεν, κατὰ τὸ ἦθος τοῦ λόγου, τὰ πρεσβύτερα τοῖς νεωτέροις· ἐπείπερ ταύτῃ κριτέον. « Ὁ γὰρ δὴ μέγας ἐν οὐρανῷ Ζεύς, » λέγει που καὶ ὁ Πλάτων· καὶ ὀχεῖται αὐτῷ ὁ Ζεὺς ἐπὶ πτηνοῦ ἅρματος, καὶ ἡγεῖται θεῶν. Ὁμήρῳ δὲ ὁ στρατηγός, ὁ Ζεύς, λέγει·

Μήτε τις οὖν θήλεια θεὸς τόδε, μήτε τις ἄρσην
πειράτω διακέρσαι ἐμὸν ἔπος· ἀλλ' ἅμα πάντες
αἰνεῖτ', ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα.

Καὶ μετὰ τοῦτο αὐτῷ καὶ τὸ ἅρμα ζεύγνυται, καὶ οἱ ἵπποι θέουσιν

Ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.

Ζεύγνυται δὲ καὶ Ποσειδῶνι ἅρμα ἐν θαλάττῃ·

Βῆ δ' ἐλάαν ἐπὶ κύματ', ἄταλλε δὲ κήτε' ὑπ' αὐτῷ.

Ἔχει δὲ καὶ ὁ Ἅδης αὐτῷ τρίτην ἀρχήν. Τριχθὰ δὲ Ὁμήρῳ δέδασται τὰ πάντα· Ποσειδῶν μὲν ἔλαχε

Πολιὴν ἅλα ναιέμεν αἰεί,

Ἅδης δὲ ἔλαχε « ζόφον ἠερόεντα », Ζεὺς δὲ οὐρανόν. Ὢ τῆς δικαίας καὶ φιλοσόφου νομῆς.

8. Εὕροις δ' ἂν καὶ ἄλλας παρ' Ὁμήρῳ ἀρχὰς καὶ γενέσεις παντοδαπῶν ὀνομάτων, ὧν ὁ μὲν ἀνόητος ὡς μύθων ἀκούει, ὁ δὲ φιλόσοφος ὡς πραγμάτων. Ἔστιν αὐτῷ καὶ ἀρετῆς ἀρχή· ἀλλὰ Ἀθηνᾶ λέγεται, καὶ τῷ ἔχοντι παρίσταται « ἐν πάντεσσι πόνοισιν. » Ἔστι καὶ ἔρωτος· ἀλλὰ τὴν αἰτίαν ἡ Ἀφροδίτη ἔχει, καὶ τοῦ κεστοῦ κρατεῖ, καὶ μεταδίδωσι τοῦ πόθου. Ἔστι καὶ τέχνης· ἀλλ' ὁ Ἥφαιστος τὴν αἰτίαν ἔχει, καὶ τοῦ πυρὸς κρατεῖ, καὶ μεταδίδωσι τῆς τέχνης. Ἄρχει δὲ αὐτῷ καὶ Ἀπόλλων χοροῦ, καὶ Μοῦσαι ᾠδῆς, καὶ Ἄρης πολέμου, καὶ Αἴολος πνευμάτων, καὶ Ὠκεανὸς ποταμῶν, καὶ Δημήτηρ καρπῶν· καὶ οὐδὲν μέρος Ὁμήρῳ ἄθεον, οὐδὲ δυνάστου ἄπορον, οὐδὲ ἀρχῆς ἔρημον, ἀλλὰ πάντα μεστὰ θείων λόγων, καὶ θείων ὀνομάτων, καὶ θείας τέχνης. Κἂν ἐπὶ τὰ στοιχεῖα ἔλθῃς καὶ τὸν τούτων πόλεμον, ὄψει μάχην ἐν τῷ Τρωϊκῷ πεδίῳ, οὐ Τρώων καὶ Ἀχαιῶν, καὶ ὀλλύντων καὶ ὀλλυμένων, αἵματι ῥεούσης τῆς γῆς· ἀλλὰ πυρὸς καὶ ποταμοῦ μάχην, τοῦ μὲν οἰδαίνοντος καὶ ἀνισταμένου λαμπρῷ καὶ συνεχεῖ τῷ κύματι, τοῦ δὲ ταῖς δίναις ἐμπίπτοντος ἀκμαίᾳ ῥιπῇ, φλέγοντος μὲν τὰς κόμας καὶ τὸ κάλλος τοῦ ποταμοῦ, ἰτέας καὶ μυρίκας καὶ λωτὸν καὶ θρύον, φλέγοντος δὲ αὐτοῦ τὰ φορήματα καὶ τὰ θρέμματα,

divisas; fortitudinem Ajaci, sollertiam Ulyssi, audaciam Diomedi, consilii prudentiam Nestori tribuit; ipsum Ulyssem hic nobis probæ vitæ absolutæque virtutis imaginem proposuit, quare alteram illi operum suorum partem inscripsit. Et hæc quidem, ut paucis absolvam, nihil aliud, quam quædam eorum, quæ ab eo multis proponuntur, sunt vestigia.

7. Quodsi et de diis nonnulla, e quibus Homeri institutum appareat, afferenda sunt, cum unico Platonis exemplo, tanquam imagine quadam, conferemus reliqua, ex orationis nostræ more, antiqua cum recentioribus, siquidem hoc potissimum modo debet judicium fieri. *Magnus namque in cælo Juppiter,* ait Plato alicubi; Jovemque introducit, qui alato invehitur curru, deosque ducit reliquos. Apud Homerum imperator reliquorum ita loquitur Juppiter:

Ne quis, sive deus, seu sit dea, gaudeat illos
sermones nobis evertere; sed mea quisque
consilia probet, ut confestim facta sequantur.

Et cum dicto currus illi jungitur, et equi currunt

Veloces, pulchreque aurato crine comantes.

Etiam Neptuno in mari currus jungitur:

Sic fluctus petit, hic exsultant maxima cete.

Pluto illi tertium regnum obtinet. Trifariam enim Homero divisa sunt omnia: Neptuno tribuitur,
canis ut vivat semper in undis;
Pluto incolit
tristes caliginis umbras;
Juppiter vero cœlum. O accuratam divisionem vereque philosophicam!

8. Sunt et alia apud Homerum diversarum rerum principia et ortus, quæ dementes pro fabulis habent, philosophi pro rebus gravissimis. Invenies apud eum virtutis principium; sed sub Minervæ nomine, quæ præstantibus viris *in quocunque labore* fert subsidium. Est et amoris; sed Veneri ascribitur, quam cesto præficit, quæ amorem immittit. Est et artium; sed hoc Vulcani est, qui igni præficitur, qui artes hominibus tradit. Sic Apollo choreas orditur, Musæ cantum, bellum Mars, ventos producit Æolus, fluvios Oceanus, fruges Ceres: ut nulla pars naturæ totius sit Homero sine diis, sine præfecto, sine imperio; sed omnia divinis rationibus, omnia divinis nominibus, omnia divinis abundent artibus. Quod si elementa eorumque spectes discordiam, videbis pugnam in Trojano campo, non Trojanos inter et Achivos, non cædentes inter cadentesque, sanguine inundata terra: sed ignis et fluvii, quorum alterum intumescere videbis magnisque ac crebris assurgere undarum fluctibus; alterum violento impetu ipsis fluvii incumbere vorticibus, comasque ejus ac totum ornatum amburere, salices videlicet et myricas, lotumque et juncos; tum et quæ fert ille urentem, et alumnos ejus;

Τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες, οἳ κατὰ δίνας,
οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα.

Ἄπαυστος δ' ἂν ἦν ὁ πόλεμος οὗτος, ἀλλὰ ἡ Ἥρα σπένδεται καὶ διαλύει τὸν πόλεμον, καὶ τὰ στοιχεῖα συνάγει. Ἔα μοι ταυτὶ τὰ αἰνίγματα· σκόπει τὰ σὰ, τὰ ἀνθρώπινα.

9. Οὗτός σοι πολιτείας τρόπος οὐκ ἐν Πειραιεῖ πλαττόμενος, οὐδὲ ἐν Κρήτῃ νομοθετούμενος, ἀλλ' ἐπὶ προφάσει ἡρωϊκῇ ὑπὸ φιλοσόφου δεικνύμενος, δι' οἰκονομίας ἡρωϊκῆς· ἄρχοντες αὐτουργοὶ, προβουλευόμενοι· ἀριστεῖς ἀγαθοὶ, προπολεμοῦντες· γυνὴ σώφρων, ἀντιταττομένη ὑβρισταῖς νεανίαις· βασιλεὺς δίκαιος, ξενοδοχῶν ἀλήτην ξένον· ἀνὴρ σώφρων, παντοίαις συμφοραῖς ἀντιτεχνώμενος. Δείξω δέ σοι καὶ πολιτείας, ἀλλήλαις ἀντιτεταγμένας, δημιουργίας διττὰς, Ὁμήρου μὲν λόγῳ, Ἡφαίστου δὲ χρυσῷ· « ἐν τῇ μέν ῥα γάμοι τε, » καὶ ᾠδὴ, καὶ χοροὶ, καὶ δικάζοντες βασιλεῖς, καὶ ἑπόμενοι λαοί·

Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύο στρατοὶ εἵατο λαῶν.

Κἂν ἀπιστῇς τῷ πλάσματι, οὐκ ἀπορήσεις λόγων ἀληθεστέρων. Αὗταί σοι νησιωτικαὶ πόλεις, ἡ μὲν Φαιάκων, ἡ δὲ Ἰθακησίων· τῶν μὲν ἄρχει αἰδὼς, τῶν δὲ ὕβρις· τῶν μὲν βασιλεῖς ἔννομοι, τῶν δὲ ἄδικοι μνηστῆρες· οἱ μὲν τὸν βασιλέα « ἐρχόμενον θεὸν ὣς εἰσορόωσιν », οἱ δὲ τοῦ βασιλέως ἐπιβουλεύουσι τῷ γάμῳ· τέλος δὲ ἑκατέροις, τοῖς μὲν εὐφροσύνη διηνεκὴς, καὶ βίος ἄλυπος, καὶ ὑποδοχὴ ξένων, καὶ θαλάττης στόλοι, καὶ γῆς καρποί· τοῖς δὲ ἑτέροις ὄλεθρος ἀθρόος ἐν αὐταῖς ταῖς ἡδοναῖς. Τοῦτο τέλος μοχθηρίας ὑβριζούσης, τοῦτο τέλος ἀνεπιτιμήτου ἐξουσίας. Αὐτόν γε μὴν τὸν Ὀδυσσέα οὐχ ὁρᾷς, ὡς παντοίαις συμφοραῖς ἀντιτεχνώμενον ἀρετὴ σώζει, καὶ τὸ δι' ἐκείνην θάρσος; Τοῦτο αὐτῷ τὸ ἐν Κίρκης μῶλυ, τοῦτο τὸ ἐν θαλάττῃ κρήδεμνον, τοῦτο τῶν Πολυφήμου χειρῶν τὸν ἄνδρα ἐξάγει, τοῦτο ἐξ ᾅδου ἀνάγει, τοῦτο πήγνυσι σχεδίαν, τοῦτο πείθει Ἀλκίνουν, τοῦτο ἀνέχεται βαλλόντων μνηστήρων, Ἴρου παλαίοντος, Μελανθίου ὑβρίζοντος, τοῦτο ἐλευθεροῖ τὴν ἑστίαν, τοῦτο τιμωρεῖ τῷ γάμῳ, τοῦτο ἄνδρα ποιεῖ διογενῆ καὶ θεοῖς εἴκελον, οἷον ἀξιοῖ Πλάτων εἶναι τὸν εὐδαίμονα.

ΛΟΓΟΣ ΛΓ.

Εἰ τέχνη ἡ ἀρετή.

1. Καὶ πῶς ἄν τις τοῦ φιλοσόφου ἀποδέξαιτο, ἄλλο τι τὴν ἀρετὴν λέγοντος εἶναι, καὶ μὴ τέχνην; Σχολῇ γὰρ ἂν εἴη τέχνη τι ἄλλο, εἴπερ μὴ ἡ ἀρετή· πλὴν εἰ μὴ ἄροτρον μὲν τέχνης ἔργον, καὶ ἀσπὶς τέχνης, καὶ ναῦς, καὶ τειχίον· τὸ δὲ τούτοις χρώμενον καὶ ἐπιστατοῦν καὶ παρέχον τὴν ἑκάστου χρείαν ἅπαντι τῷ ἔχοντι εἰς δέον, καὶ τὴν ἐξ ἁπάντων ὠφέλειαν συντάτ-

Anguillæ, piscesque alii, qui flumine pulchro
hinc atque hinc duxere choros, torrentur ubique.

Nec componi pugna nisi Junonis interventu potuisset, quæ contentionem dirimit, bellum componit, elementa conjungit. Sed prætermitte mihi hanc allegoriam; ea potius quæ tua sunt, quæ ad hominem spectant, contemplare.

9. Hæc tibi reipublicæ forma non in Piræeo fingitur, neque in Creta sancitur; sed a philosopho poeta heroicorum exemplorum specie, heroica operis forma, delineatur : hic principes qui ipsi res gerunt, consultantes videbis; hic belli duces præstantissimos, qui in acie præcedunt; hic castam mulierem, oppositam libidinosissimis juvenibus; hic regem probum, qui erronem excipit hospitio; virum sapientem, qui omnimodis calamitatibus suas opponit artes. Ostendam tibi et respublicas duas, plane inter se oppositas, opera duo ab Homero verbis, auro expressa a Vulcano : in altera nuptiæ et cantus vigent, et tripudia, reges judicant, populus circumstat;

Ast aliam cingunt urbem duo castra virorum.

Hoc si non satis manifestum videtur tibi commentum, aliud apud eum habebis manifestius exemplum. Sunt duæ insulanæ urbes, altera Phæacum, Ithacensium altera : in illa verecundia, in hac obtinet contumelia; in illa reges justi, in hac injusti proci; illi regem venientem dei instar venerantur, hi regis insidiantur uxori : sed et finis illis est diversus; his hilaritas perpetua, vita secura, hospitalitas, in mari classes, in terra fructus; illi in ipsis suis voluptatibus radicitus pereunt. Hic exitus contumeliosam excipit nequitiam, hic immoderatæ licentiæ finis est. Ipsum vero Ulyssem nonne vides quo pacto omnimodis molestiis conflictantem servet virtus et concepta ob eam fiducia? Hoc est enim illud apud Circen moly, hæc est vitta illa qua in mari sustentatur, hoc Polyphemi manibus eripit virum, hoc ab inferis reducit, hoc ratem illi fabricat, hoc Alcinoo persuadet, hoc procorum ictus patienter perfert, hoc Iro parem in lucta reddit, hoc Melanthii contumeliis, hoc domum illi liberat, matrimonium vindicat, hoc virum efficit *Jove genitum, diis similem*, qualem Plato vult esse felicem.

DISSERTATIO XXXIII.

An virtus sit ars.

1. Quis vero philosophum audiat, qui aliud virtutem esse dicat, quam artem? Equidem non video, quomodo aliud quidquam ars dici possit, si non possit virtus : nisi forte aratrum artis opus esse existimes, aut clypeum, aut navem, aut murum; id autem, quod his utitur, præest his, quod horum usum singulorum eos, qui possideant, ex artis præscripto docet, et utilitatem, quam ex his omnibus per-

τον εἰς κοινὸν τέλος, τοῦτο δή που τὴν ἀτεχνίαν φήσομεν. Δεινόν γε, ὦ θεοί, καὶ δεινοῦ πέρα, εἰ ὁ μὲν κεραμεὺς ἐπὶ τέχνῃ μανθάνει, καὶ ὁ σκυτοτόμος, καὶ ὁ τέκτων· ὁ δὲ φιλόσοφος μανθάνει μέν, καὶ τὸ τέλος αὐτῷ ἡ ἀρετὴ ἔχει, ἔστι δὲ τοῦτο οὐ τέχνη, ἀλλά τι μάθημα ὑπὸ ἀτεχνίας διδασκόμενον.

2. Καλῶς· ἔχε ἀτρέμας· οὐ γὰρ ἀτόπως ὑφηγῇ, οὐδὲ ἀτέχνως, μὰ Δία. Ἐγὼ δέ σου τὴν μὲν τέχνην ἐπαινῶ, τὸ δὲ κεφάλαιον αὐτῆς φέρε ἴδω τί καὶ λέγεις. Κεραμεύς, φῄς, κεραμεύειν μανθάνει τέχνῃ, καὶ σκυτοτόμος σκυτοτομεῖν, καὶ τεκταίνειν τέκτων. Ἐγὼ δέ σοι ταυτὶ μὲν δίδωμι, μανθάνειν ἕκαστον τῶν δημιουργῶν, ἃ μανθάνει δρᾶν, τέχνῃ· τῆς δὲ τέχνης ἑκάστης οὐκ εἶναι τέλος τὸ μαθεῖν τὴν τέχνην παρ' ἄλλου ἄλλον. Τὴν μὲν γὰρ διαδοχὴν τοῦ εἰδέναι μάθησις ποιεῖ· ἡ δὲ χρεία τῶν τεχνῶν, οὐχ ὑπὸ τέχνης γενέσθαι τέχνην, ἀλλ' ὑπὸ μὲν κεραμέως ἀμφορέα, ὑπὸ δὲ αὐλητοῦ αὔλημα, ὑπὸ δὲ στρατηγοῦ νίκην. Τούτων δὲ ἑκάστῳ ἄλλο τι παρὰ τὴν τέχνην, τέχνης τέλος, καὶ οὐ τέχνη· οὐ γὰρ ὅ, τι μὴ τέχνη, καὶ ἀτεχνία εὐθύς. Ἀτεχνία μὲν γὰρ ἀφαίρεσις τέχνης, ἔνθα δεῖ τέχνης· οὐ τέχνη δέ, τὸ ὑπὸ τέχνης μὲν γεγονός, ἕτερον δὲ ὂν παρὰ τὴν τέχνην.

3. Ἆρ' ἡγεῖ με σαφῶς λέγειν, ἢ φραστέον σοι οὑτωσὶ ἐνδηλότερον; Καλεῖς τινα τέχνην ἰατρικήν, καὶ ἄλλην αὖ ἀγαλματουργικήν· τέλος δὲ ἑκατέρας, οὔτε ἰατρικῆς ἰατρική, οὔτε ἀγαλματουργικῆς ἀγαλματουργία· ἀλλὰ ἄγαλμα μὲν ἀγαλματουργίας, ὑγίεια δὲ ἰατρικῆς. Τί οὖν; ἄλλο τι εἶναι ἡγεῖ τὴν ἀρετήν, ἢ ψυχῆς ὑγίειάν τε καὶ εὐσχημοσύνην; Οὑτωσὶ δὲ αὐτὸ σκέψαι· ψυχῇ καὶ σώματι καὶ λίθῳ, τρισὶ τούτοις ἐπινείμας τέχνας τρεῖς, ὧν αἱ μὲν ὗλαι κόσμου ἐνδεεῖς, ἡ δὲ τέχνη προσαγαγοῦσα ἑκάστη ἑκάστῳ τὸ οἰκεῖον σχῆμα, περιέβαλε τὸν μὲν λίθον ῥυθμοῖς καὶ σχήμασιν, εἰς μορφῆς εἶδος· τὸ δὲ σῶμα ἁρμονίαις καὶ κράσεσιν, εἰς ὑγιείας μέτρον· τὴν δὲ ψυχὴν συμμετρίαις καὶ εὐκινησίαις, εἰς ἀρετῆς κόσμον. Κἂν καλῇς τι τούτων τέχνην, τὸ τοῦ δράσαντος ὄνομα τῷ ποιηθέντι ὑπ' ἀφελείας προστιθείς, οὕτω μοι δοκεῖς καλεῖν, ὥσπερ ἂν εἰ καὶ ἥλιον καλοῖς τὴν ἐξ ἡλίου αὐγήν, ἑτέραν οὖσαν τοῦ ἡλίου, ποίημα ἡλίου, οὐκ αὐτὸ ἥλιον.

4. Καὶ μὲν δὴ καὶ ἀμφοτέρωθεν σκόπει τὸ λεγόμενον. Ἐξετάζωμεν, τί μὲν τέχνη, τί δὲ ἀρετή. Τέχνην τοίνυν ἄλλο τι ἡγεῖ, ἢ λόγον ἐπὶ τέλος ἰόντα; τὸν μὲν διὰ χειρουργίας σώματι ἀπεργαζόμενον ὃ καλοῦμεν ποίημα, [ἢ] οἷον οἰκίαν οἰκοδόμου, καὶ ναυπηγοῦ ναῦν, καὶ γραφέως εἰκόνα· τὸν δὲ αὖ πράξεώς τινος ἐργαστικόν, οὐκ ἄνευ σώματος ἀπεργαζόμενον, ἀλλ' οἷον ἐν μὲν στρατηγίᾳ νίκην, ἐν δὲ ἰατρικῇ ὑγίειαν, ἐν δὲ πολιτικῇ δικαιοσύνην· τρίτον δ' αὖ τεχνῶν εἶδος, αὐτὸν λόγον ἄνευ σωμάτων ἐφ' ἑαυτοῦ κρατυνόμενον, καὶ περὶ αὐτὸν τὴν πραγματείαν ἔχοντα, ὁποῖαι τέχναι γεωμετρικαὶ καὶ ἀριθμητικαί, καὶ ὅσαις τὸ τέλος διανοητικόν, αὐτὸ τοῦτο, οὔτε δὴ πρακτικόν, οὐδὲ ποιητι-

cipere debeant, communem eundemque ad finem referre ostendit, hoc vero artis expers esse dicamus. Mirum, dii boni, et plus quam mirum, si figulus, si cerdo ac faber certam ad artem opus suum referre discant; philosophus vero discat quidem, nec alium sibi finem, quam virtutem, proponat; id ipsum tamen non ars, sed diversa quædam ab arte sit dicenda institutio.

2. Pulchre, mehercules: quiescas. Non enim absurdum mihi exordium videtur tuum, per Jovem, neque imperitum. Laudo artem tuam; summam tamen ejus, age videamus, qualem esse tu dicas. Figulus, inquis, opus suum efficere discit arte, et cerdo suum, et suum faber. Ego vero minime hoc tibi negaverim, singulos opifices discere ea, quæ efficere discunt, per artem: artium antem singularum non eum esse finem statuo, ut ab alio discat eas alius. Scientiæ namque successionem disciplina efficit; ipse vero artis usus non est, ut ab arte ars fiat, sed ut amphora a figulo, tibiæ cantus a tibicine, ab imperatore efficiatur victoria. His enim omnibus præter artem finis propositus est alius ab arte; non enim continuo quod ars non est, artis est privatio. Quodsi ars auferatur, ubi arte opus est, id erit artis privatio; non est autem ars, quod ab arte fit quidem, aliud tamen est ab arte.

3. Utrum satis manifeste tibi loqui videor, an planius hoc modo dicendum erit? Est ars aliqua, quam medicam dicis; est alia, quam statuariam: harum utriusque finis est, non medica ars medicæ, nec statuaria statuariæ; verum hujus quidem statua, illius vero sanitas. Quid ergo? aliudne virtutem esse putas quam sanitatem rectamque animi habitudinem? Hoc modo autem quod dico collige: tribus his, animæ, corpori, et lapidi, tres diversas tribue artes; eas autem nudam fac materiem esse, quæ adhuc forma careat, itaque ars peculiarem addat singulis formam; ac primo lapidi concinnitatem figuramque, ut esse facies incipiat; corpori aptam dispositionem humorumque mixtionem, ut ad sanitatem temperatum sit; animæ postremo congruentiam aptam habilitatemque, ut virtute sit ornata. Quodsi aliquid ex his tribus artem voces, ipsique operi nomen, quod auctoris est, præ simplicitate nimia tribuas; non aliud mihi facere videris, quam si splendorem solis solem voces, qui alius ab ipso sole est, effectus solis, non sol ipse.

4. Sed potius utrimque id, de quo agimus, considerato. Inquiramus, quid sit ars, quid sit virtus. Aliudne artem esse arbitraris, quam rationem quæ ad finem suum tendit? quæ modo per corpus et manuum operationem efficit quod opus dicimus, sicut domum architectus, navem naupegus, imaginem pictor: modo illa actionem quandam peragit, quæ et ipsa sine corpore non efficitur, sicut imperator victoriam, sanitatem medicus, justitiam vir civilis. Tertia species artium est, quæ ipsam per se rationem et sine corporibus in opere suo occupatam sibi vindicant; quales geometricæ arithmeticæque sunt, et si quæ alia est, cujus finis est mera intelligentia, quæ neque ad actionem spe-

κόν. Εἶεν. Τριῶν ὄντων τέχνης γενῶν, κατὰ ποῖον αὐτῶν τὴν ἀρετὴν τάξομεν, εἴπερ τέχνη; κατὰ τὸ ποιητικόν; οὐδὲ αὐτὸς φήσεις. Ἀλλὰ ἀμφισβητήσιμον ἔσται σοι τὸ τῆς πράξεως πρὸς τὴν θεωρίαν; Ἐγὼ δὲ οὐδέτερον μὲν ἀφαιρῶ τῆς ἀρετῆς· ἀλλ' ἑκάτερον ἑκατέρῳ ἀνακεράσας, ἐπιμετρήσας τι ἐπὶ τούτοις καὶ ἄλλο, τὸ ἐξ ἁπάντων ξυστὰν ἕτερον εἶναι φημὶ ἑκάστου, ἀφ' ὧν συνέστη· οἷον εἴ τις τὸ τοῦ ἀνθρώπου σῶμα πῦρ εἶναι λέγοι, ἢ γῆν, ἢ ἀέρα, ἢ νὴ Δία ὕδωρ· εἴποιμι ἂν δήπου, ὡς οὔτε πῦρ ἐστι τὸ σῶμα, οὔτε γῆ, οὔτε ἀήρ, οὔτε ὕδωρ· τὸ γὰρ ἐξ ἁπάντων μιχθὲν οὐκ ἔστιν ἕκαστον ἐκείνων, ἀφ' ὧν ἐμίχθη.

5. Πῶς οὖν ἀρετὴ μετέχουσα θεωρίας καὶ πράξεως οὐκ ἔστι τέχνη; Ταύτῃ μοι λέγοντι ἐφέπου. Λέξω δὲ οὐχ ἐμαυτοῦ λόγον, ἀλλ' ἐξ Ἀκαδημείας ὁρμηθέντα, καὶ ἐπιχώριον τῆς Πλάτωνος μούσης τε καὶ ἑστίας· ἀπεδέξατο δὲ αὐτὸν καὶ Ἀριστοτέλης αὐτός. Ἐγὼ δὲ καὶ πορρωτέρω ἐπανάγω· ὑποπτεύω γὰρ ἐξ Ἰταλίας Ἀθήναζε ἐλθεῖν τὸν λόγον, Πυθαγορείων τινῶν ἐμπορίαν ταύτην καλὴν στειλαμένων εἰς τὴν ἀρχαίαν Ἑλλάδα. Ὁ δ' οὖν λόγος ταύτῃ ἔχει. Ἡ τοῦ ἀνθρώπου ψυχὴ νενέμηται δίχα κατὰ πρώτην νομήν· καὶ τὸ μὲν αὐτῆς ἐστι λόγος, τὸ δὲ πάθος· τούτων δὲ ἑκάτερον πονηρῶς ἔχον, καὶ κινούμενον ἀτάκτως, συλλήβδην καλεῖται ὀνόματι ἑνὶ τῷ αἰσχίστῳ, κακία προσαγορευόμενον. Γίγνονται δὲ αἱ πηγαὶ καὶ αἱ γενέσεις τοῦ αἰσχροῦ τούτου ἐκ τῆς θατέρου τῶν μορίων πλημμύρας τε καὶ ἐπιρροῆς, ἐπειδὰν τὰ πάθη ζέσαντα ἐπικλύσῃ τὴν ψυχήν, καὶ τὰς τοῦ λόγου βλαστήσεις τε καὶ ἐκφύσεις ἐπιταράξῃ. Καθάπερ τῶν ποταμῶν οἱ χειμέριοι, ὑπὲρ τὰς νομίμους ὁδοὺς ἀναχεόμενοι ἐπὶ γεωργίαν ἀροτοῦ καὶ φυτουργίας, ἐπεβόλωσαν τὴν σωτηρίαν τῶν ἔργων καὶ τὸν κόσμον· οὕτω καὶ ἡ ψυχὴ ὑπὸ ἀμετρίας παθῶν ἐξίσταται τῶν λογισμῶν, καὶ δόξαι τότε αὐτῇ ψευδεῖς καὶ πονηραὶ παρὰ τὴν αὐτῆς φύσιν διανίστανται, αὐτὸ ἐκεῖνο τὸ τῶν μεθυόντων πάθος, οἷς ἡ πλησμονὴ ἐπεγείρασα τὰ ἔνδον νοσήματα, ὥσπερ ἐκ φωλεοῦ ἑρπετά, συγχεῖ τὸν νοῦν, καὶ φθέγγεσθαι προσαναγκάζει τὰς τῶν ἑρπετῶν τούτων φωνάς.

6. Εἰ δέ σοι καὶ σαφεστέρας εἰκόνος δεῖ, ὀχλοκρατίᾳ τινὶ εἰκαστέον τὴν τῆς ψυχῆς πονηρίαν· ἐπειδὰν πόλεως τὸ μὲν ἐπιεικὲς πᾶν βιασθὲν δουλεύῃ, τὸ δὲ ἀνόητον καὶ παντοδαπὸν ἐπιχειρῇ ἄρχειν, ὑπὸ ἐξουσίας ἀδεοῦς θρασυνόμενον· ἀνάγκη γάρ που τὴν τοιαύτην πόλιν πολύφωνόν τε εἶναι καὶ πολυμερῆ καὶ πολυπαθῆ, καὶ μεστὴν παντοδαπῶν ἐπιθυμημάτων, ἀκόλαστον μὲν ἐν ἡδοναῖς, ἀκατάσχετον δὲ ἐν ὀργαῖς, ἄμετρον δὲ ἐν τιμαῖς, ἀστάθμητον δὲ ἐν εὐτυχίαις, δυσανάκλητον δὲ ἐν συμφοραῖς. Ὅταν Περικλῆς μὲν οἴχηται, φεύγῃ δὲ Ἀριστείδης, ἀποθνήσκῃ δὲ Σωκράτης, ἀνίστηται δὲ Νικίας, ἐπιθυμῇ δὲ Κλέων μὲν Σφακτηρίας, Θράσυλλος δὲ Ἰωνίας, Ἀλκιβιάδης δὲ Σικελίας, καὶ ἄλλος ἄλλης γῆς ἢ θαλάττης, συνεπιθυμῇ δὲ αὐτῷ πλῆθος ἀργὸν καὶ ἄτακτον καὶ μισθοφόρον, πανταχοῦ

ciat, neque ad opus. Esto. Quum ergo tria sint artium genera, virtutem ad quodnam referemus, siquidem ea ars est? an ad eas quæ opus efficiunt? Ne ipse quidem dices. At inter actionem et contemplationem incertus hæsitabis? Ego neutrum quidem demo virtuti; sed ita utrumque utrique misceo, ut et aliquid aliunde admetiar : quod quum feci, aliud id, quod ex omnibus constat, a singulis, e quibus constat, esse dico. Ut si quis, exempli causa, humanum corpus ignem esse dicat, aut terram, aut aerem, aut, si diis placet, aquam; ego ignem negarem esse, negarem terram, negarem aerem, negarem aquam : quod enim ex omnibus est mixtum, aliud est a singulis, ex quibus mixtum est.

5. Cur ergo virtutem dico, quamvis et actionis et contemplationis sit particeps, non esse artem? Sequere quæ in hanc rem sum dicturus. Non autem meum est, quod afferam, sed jam olim ex Academia deducta sententia, nata in familia Platonis, ejusque musico lepore non indigna, quam et ipse admisit Aristoteles. Quanquam ego latius etiam originem extendam illius; ut qui suspicer ex Italia Athenas venisse, nec alios, quam Pythagoricorum quosdam, fuisse qui primi præclaram hanc mercem in antiquam advexerint Græciam. Ea autem est talis. Bifariam anima hominis primo omnium dividitur : hujus altera pars ratio, altera affectus est; quarum utraque si male habeat et inordinate moveatur, uno simul nomine fœdissimo *improbitas* dicitur. Fontes autem primaque turpitudinis hujus causa ex illuvie quasi et exundatione partis alterius exsistit, quotiescunque ille affectuum fervor animum inundat et pullulantem quasi et efflorescentem rationis vim confundit. Non aliter quam hiberni torrentes solent, qui si legitimum suum semel excesserint alveum, sataque ac plantas agricolarum invadunt, et operum vitam et cultum omnem obruunt : eodem modo immodicis turbata affectibus anima rationis præscriptum excedit, falsæque in ea improbæque opiniones, et quæ cum natura ejus pugnant, efferre se incipiunt; plane hoc ipsum, quod ebriis evenire solet : nimia enim illis crapula morbos, qui intus latent, educit, non secus quam e latibulis suis proserpentes bestias; atque ita mentem confundit, eamque voces non suas, sed ejusmodi belluarum, cogit proferre.

6. Quodsi manifestiore etiam res illustranda est exemplo, lubet cum populari imperio improbitatem conferre animi, quando nimirum eo urbis res rediit, ut optimi quique in servitutem redacti parere cogantur, demens vero multorumque capitum populus, cui nimios addidit spiritus licentia, habenas sibi vindicet; necesse est enim talem urbem varias in voces, plurimas in partes, in affectus diversissimos, in cupiditates innumerabiles divisam esse, intemperantem in voluptatibus, in iracundia præcipitem, in ambiendis honoribus immodicam, in secunda fortuna immodestam esse, in adversa mentem prorsus abjicere. Ubi Pericles abiit, exulat Aristides, moritur Socrates, in expeditionem cogitur ire Nicias; ab altera parte Sphacteriam ambire Cleo incipit, Ioniam Thrasyllus, Siciliam Alcibiades, aliamque alius terram aut mare; eorumque cupiditatibus plebs otiosa, incomposita, mercenaria, et quæ facile quovis

περιφερόμενον· ἀνάγκη τὰς ἐπιθυμίας ταύτας δουλείας γεννᾶν, καὶ συμφορὰς, καὶ τυραννίδα, καὶ πάντα δὴ τὰ ἔκτοπα ὀνόματα. Εἰσὶ καὶ ἐν ψυχῇ δημαγωγοὶ πονηροὶ, καὶ δῆμος ἀκόλαστος, Ἀλκιβιάδαι πολλοὶ καὶ Κλέωνες, τὴν δειλαίαν οὐκ ἐῶντες ψυχὴν ἀτρεμεῖν καὶ παραχωρεῖν τῷ ἐν αὐτῇ λόγῳ καὶ νόμῳ. Αὕτη τῆς ἐν ἀνθρώπῳ πολιτείας μοχθηρία.

7. Ἀρετὴ δὲ, ἧσπερ εἵνεκεν τοὺς πολλοὺς λόγους κατεστησάμεθα, ἔμπαλιν ἔχει αὐτὸ ἐκεῖνο κατὰ τὴν Λακωνικὴν πολιτείαν, ἧς τὸ τοιοῦτο μὲν πλῆθος ἄρχεται, τὸ δὲ ὀλίγον καὶ ἐπιεικὲς ἄρχει· καὶ τὸ μὲν σώζει, τὸ δὲ σώζεται· καὶ τὸ μὲν προστάττει, τὸ δὲ πείθεται· τὸ δὲ ἐξ ἀμφοῖν ἔργον, ἐλευθερία· ἑκάτερον δὲ ἑκατέρου ἐνδεὲς, καὶ τὸ ἄρχον τῶν ἀρχομένων, καὶ τὸ ἀρχόμενον τῶν σωζόντων. Καὶ περὶ ψυχὴν τὴν ἔχουσαν καλῶς, τὸν αὐτὸν τρόπον, σώζει μὲν ὁ λόγος, σώζεται δὲ τὰ πάθη· καὶ μετρεῖ μὲν ὁ λόγος, μετρεῖται δὲ τὰ πάθη, τὸ δὲ ἐξ ἀμφοῖν ἔργον, ἐλευθερία. Τάττε δή μοι πᾶν, ὅσον θεωρητικὸν τέχνης εἶδος, κατὰ τὸν λόγον· τὸ δὲ ὑπ' αὐτοῦ κοσμούμενον, κατὰ τὰ πάθη· καὶ τὸ μὲν σοφίαν κάλει, ἐπιστήμην οὖσαν· τὸ δὲ ἀρετὴν, ὑπὸ ἐπιστήμης γινόμενον. Ἐὰν δὲ μεταθῇς τὰ ὀνόματα, καὶ τὴν ἐπιστήμην ἀρετὴν καλῇς, ἐρήσομαί σε, ὑπὸ τίνος αὕτη γέγονεν· ἐκεῖνο γὰρ ἔσται ἡ ἐπιστήμη, οὐ τὸ ὑπ' αὐτῆς γενόμενον. Τέχνην τεχνῶν τὴν ἐπιστήμην καλεῖς; ἀκήκοα. Ἐπιστήμην ἐπιστημῶν; μανθάνω, καὶ ἀποδέξομαι τοῦ λόγου, ἐὰν ἕν τί μοι δῷς μικρὸν πάνυ. Τέχνην τεχνῶν τὴν τέχνην λέγε, ἐπιστήμην ἐπιστημῶν τὴν ἐπιστήμην λέγε· ἀπαλλάγηθι τοῦ ἑτέρου μέρους, καὶ σπένδομαι τῷ λόγῳ. Εἰ δὲ τὴν ἐπιστήμην φυλάττων καὶ ἐξαίρων τὰ πάθη, τὸ τούτων σχῆμα τῇ ἐπιστήμῃ δίδως· ὅμοιον δρᾷς ὡς εἴ τις τὴν Φειδίου φυλάξας τέχνην, τὴν ὕλην ἀφελὼν προσθείη τῇ τέχνῃ τὸ τῆς ὕλης ὄνομα. Ἐπιστήμην ἄρχειν βούλει βίου καλοῦ; Οὔ. Ἀρχέτω λόγος· ἄρχειν βούλει; Ἔστω κοίρανος οὗτος εἷς,

Ὦ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.

Ἀλλ' ἄρχει τίνων; τίνας αὐτῷ δίδως ὑπηρέτας; τίνας χειρουργοὺς τῶν πράξεων; Τὸ σῶμα. Εὐθὺς ὅρα τί δρᾷς· διαπηδᾷς τὴν τάξιν τῶν ἀρχομένων, ἀπὸ τοῦ στρατηγοῦ ἐπὶ τοὺς σκευοφόρους. Οὐχ ὁρᾷς τὸν κόσμον; ὁ στρατηγὸς, εἶτα οἱ λοχαγοὶ, καὶ μετὰ τούτους οἱ ἐνωμοτάρχαι, εἶτα οἱ ὁπλῖται, οἱ πελτασταὶ, οἱ τοξόται· καταβαίνει ἠρέμα ἡ ὑπηρεσία ἀπὸ τοῦ ὅλου* *, ἀπὸ τῶν ἀρίστων ἐπὶ τὰ φαυλότατα.

8. Ἀλλ' ὁρῶ τὸ πρόχειρον δὴ τοῦτο· ὁ θεὸς οἰκονομεῖ τὸ πᾶν τοῦτο καλῶς καὶ τεχνικῶς καὶ ἐπιστημόνως. Τί δὲ οὐ μέλλει; τί οὖν, μᾶλλον ἢ ἐπιστήμη ἡ ἀρετή; Εἰ μὲν γὰρ τὴν ἐπιστήμην τοῦ θεοῦ ἀρετὴν καλεῖς, οὐ νεμεσῶ τῶν ὀνομάτων· οὐ γάρ ἐστι θεῷ, καθάπερ ἀνθρώπῳ, τῆς ψυχῆς τὸ μὲν ἄρχον, τὸ δὲ ἀρχόμενον· ἀλλ' ἁπλοῦν τὸ θεῖον, αὐτὸ ὅ, τι περ νοῦς καὶ ἐπιστήμη καὶ λόγος. Εἰ δὲ ἐν τῇ κράσει τοῦ κρείττονος πρὸς τὸ χεῖ-

impellitur, subscribit: his eas cupiditates necesse est servitutem, calamitates inducere, et tyrannidem, et si qua sunt alia nomina quæ horrorem incutiunt. Eodem modo et in animo multi sunt rerum agendarum auctores pessimi, populusque intemperans, multi Alcibiadæ, multi Cleones, qui nec quiescere, nec rationi suæ et legi parere miserrimam sinunt animam. En rerum in animo humano constitutionem pravam et vitiosam.

7. At vero virtus, cujus causa tam multa verba fecimus, contra se habet, plane ut Lacedæmoniorum respublica, in qua tali sub imperio vivit populus, minima pars eaque optima imperat; altera conservat, conservatur altera; altera jubet, paret altera; quodque utraque efficit et consequitur, libertas est; eget vero altera pars alterâ, tam quæ imperat eâ quæ paret, quam quæ paret conservatione ejus et tutela quæ imperat. In anima bene constituta eodem agitur modo: ratio est quæ conservat et tuetur; qui conservantur et præsidio egent, sunt affectus : moderatur ratio, moderatione egent affectus; ex utroque animi libertas procedit. Jam mihi tu quodlibet artis genus, quod in contemplatione versatur, ad rationem refer; quod ab ea tanquam materia adornatur, ad affectus : et alterum quidem *sapientiam* voca, quæ est scientia; alterum vero *virtutem,* quæ a scientia producitur. Quodsi nomina transponas, ipsamque scientiam virtutem voces; quæram ex te, unde virtus procedat: illud enim (sapientia) scientia dici debet, non quod ex ipsa procedit. Artem artium scientiam vocas? audio. Scientiam scientiarum? intelligo, neque adversabor, modo unum, idque exiguum, concedas mihi. Artem artium dic artem, scientiam scientiarum dic scientiam; partem alteram dimitte, nec futura est inter nos contentio. Si enim scientiam servas, affectiones vero tollis, et quod iis convenit, scientiæ tribuis; perinde facis, ac si quis Phidiæ servet artem, tollat materiam, nomenque, quod materiæ debetur, tribuat arti. Visne scientiam vitæ bene degendæ præesse? Non hoc volo. Imperet ratio. Visne ut imperet? Sit hæc unica regina,

Saturni dedit hoc cui filius uni.

Sed quibus imperabit? quos illi trades satellites? quorum utetur opera? Corporis. Statim vide quid committas: interrumpis eorum qui parere debent ordinem : a duce recta transis ad calones. Nescis quo ordine instruantur exercitus? præcedit dux exercitus, sequuntur manipuli ductores, post hos enomotarchæ, post hos cataphracti, deinde peltati, mox sagittarii; ministerium enim paullatim descendit ab...., ab optimis ad deterrimos.

8. Sed video in promptu esse quid sis dicturus. Deus hoc totum pulchre summaque cum arte gubernat et scientia. Quidni faceret? quid ergo? an ideo scientia magis est virtus? Equidem si scientiam dei dixeris virtutem, nihil de nominibus contendam; neque enim in deo, sicut in homine, altera pars est quæ paret, altera quæ imperat; sed est simplicissimum divinitas, illud ipsum quod mens, scientia ac ratio. Si vero in societate ejus quod præstantius est, cum dete-

ρον, τὸ τοῦ ἀρχομένου ὄνομα μετατίθῃς πρὸς τὸ κρεῖττον, μέχρι μὲν τῆς φωνῆς ἀνέχομαι, τὸ δὲ πρᾶγμα οὐ δίδωμι. Ἀρετὴν τὴν ἐπιστήμην, εἰ βούλει, κάλει, ἀλλ' ἐπιστήμην τὴν ἀρετὴν μὴ κάλει. Καὶ γὰρ ψευδὴς ὁ λόγος καὶ ἐπισφαλής, νὴ Δία, εἴ τις ἔσται τοῖς ἀνθρώποις πίστις, ὅτι θεωρημάτων ἀριθμοὶ καὶ μαθήματα ἄττα ἐπὶ τὴν ψυχὴν ἐλθόντα τὴν ἀρετὴν αὐτοῖς συνεισάγει. Πολλοῦ μέντ' ἂν ἦν ἄξιον τὸ τῶν σοφιστῶν γένος, τὸ πολυμαθὲς τοῦτο καὶ πολυλόγον καὶ πολλῶν μεστὸν μαθημάτων, καπηλεῦον ταῦτα, καὶ ἀπεμπολοῦν τοῖς δεομένοις. Ἀγορὰ πρόκειται ἀρετῆς, ὤνιον τὸ χρῆμα.

9. Εἰ δ' οἱ μὲν λόγοι σαφεῖς καὶ πρόχειροι, καὶ μεστὰ πάντα διδασκάλων καὶ μαθημάτων, ἀντιτυπεῖ δὲ ἔνδοθεν ταῖς τῶν λόγων ὁδοῖς παθήματα χαλεπὰ καὶ ἄγρια, καὶ ἐθισμοὶ φαῦλοι, καὶ ἀσκήσεις ἄδικοι, καὶ ἐπιθυμίαι ἀλλόκοτοι, καὶ τροφαὶ πονηραί· ἐνθυμητέον ὅτι φύσεως δεῖ πρῶτον χρηστῆς, ὥσπερ κρηπῖδος ἀνισταμένῳ τειχίῳ· καὶ μετὰ τοῦτο τροφῆς καὶ ἔθους πρὸς σωτηρίαν τῆς φύσεως· ὑφ' ὧν φιλία τῇ ψυχῇ ἐγγίγνεται πρὸς τὰ καλὰ πάντα, συντρεφομένη τοῖς χρόνοις, καὶ συνθέουσα ταῖς ἡλικίαις· ἐπὶ δὲ τούτοις προσελθεῖν δεῖ τέχνην, ἐπισφραγιζομένην βεβαιότητι τὰ τῶν παθῶν μέτρα. Οὕτω γίγνεται εὐδαίμων ψυχή, καὶ βίος ὑγιής, καὶ δόξαι ὀρθαί, ὑπὸ ἁρμονίας καὶ κράσεως συνταττόμεναι. Ταῦτα νομοθετεῖ θεός, ταῦτα ἀποφαίνει ἄνδρα ἀγαθόν· ἀγωγὴ παθῶν ὑπὸ τοῦ λόγου, καὶ πειθαρχία πρὸς ἐπιστήμην ἑκούσιος· μοχθηρία δὲ χρῆμα ἀκούσιον, ὑφ' ἡδονῆς ἑλκόμενον.

ΛΟΓΟΣ ΛΔ'.

Πῶς ἄν τις ἄλυπος εἴη.

1. Πῶς ἄν τις ἀλυπίαν τῇ ψυχῇ περιποιήσαιτο; ἢ δεῖ κἀνταῦθα ἰατροῦ, καθάπερ ἐν ταῖς τοῦ σώματος ὀδύναις, καὶ πρὸς τῷ ἰατρῷ φαρμάκων τινῶν, καὶ διαίτης κεχραμένης πρὸς ὑγίειαν καλῶς; Τίς ἂν οὖν ἡμῖν γένοιτο ψυχῆς ἰατρός, καὶ ποῖα τὰ φάρμακα, καὶ ποῖος τῆς διαίτης αὐτῆς τρόπος; Ἐγὼ μὲν ὑπὸ φιλίας πρὸς τὰ ἀρχαῖα πάντα οὐ διαιρῶ τὰς τέχνας, πείθομαι δὲ τοῖς ποιηταῖς, ὅτι ἦν ἐν Πηλίῳ ἀνὴρ ἰατρικός· Χείρωνα αὐτὸν καλοῦσιν, ἡ δὲ τέχνη τῷ Χείρωνι ἦν τείνουσα ἐφ' ἑκάτερα· καὶ γὰρ τὸ σῶμα ἐξεπόνει τῶν προσιόντων αὐτῷ εἰς τὸ ἀκρότατον τοῦ ὑγιεινοῦ θήραις καὶ ὀρειβασίαις καὶ δρόμοις καὶ εὐναῖς ἐπὶ στιβάδων καὶ σιτίοις ἐξ ἄγρας καὶ πώμασιν ἐκ ναμάτων· καὶ τὴν ψυχὴν ἐπεμελεῖτο μηδὲν ἀπολείπεσθαι τῶν σωμάτων, εὐκινησίᾳ λογισμῶν καὶ τῷ ἀνδρώδει τῶν παθημάτων· καὶ διὰ τοῦτο ἄρα ἰατρικώτατός τε καὶ δικαιότατος ὁμοῦ ἔδοξεν εἶναι ὁ αὐτός, δύο ὀνόματα τέχνῃ μιᾷ ἐπιφημισάντων τῶν ποιητῶν. Εἰ δὲ ἐν τῷ παρόντι διεστασίασται πρὸς ἑαυτὴν ἡ τέχνη, μήπω σοι τοῦτο θαυμαστὸν φανῇ, πρὶν ἄν μοι δείξῃς καὶ τὴν τέχνην

riore, ejus quod paret, ad id quod præstantius est, transferas nomen; verbo quidem tenus hoc admittam, in re ipsa nihil mutabo. Concedam ut scientiam voces virtutem, si ita videatur; at virtutem cave dicas scientiam. Falluntur enim vehementer et periculose errant homines, si persuadeant sibi, aut eam quæ in theorematis versatur arithmeticam, aut similes alias virtutem secum ad animam afferre scientias. Næ quantivis pretii, si hoc esset, sophistæ nostri essent, multiscii hi, dico, et multiloqui, qui disciplinis abundant, disciplinas cauponantur, mercede eas vendunt cuilibet. Nundinationem illi virtutis instituunt, venalis prostat apud eos virtus.

9. Quodsi ubique sese offert, ubique ad manum est scientia, disciplinarumque ac præceptorum plena sunt omnia; intus vero in animo asperi ferinique resultant affectus, consuetudines pravæ, exercitationes improbæ, cupiditates monstrosæ, educationes scelestæ, quæ resistunt viamque disciplinis non permittunt liberam; vides quid sequatur: naturam videlicet requiri primo commodam, non aliter, quam in surgente muro requiritur fundamentum; post naturam educatio assuefactioque veniat, quæ conservet eam ac confirmet; unde in animo idem excitatur ad præclara omnia amor et animi propensio, una cum annis crescens, ætatum vitæ comes: postremo his et artem accedere oportet, quæ certum affectibus statuat figatque modum. Hoc modo felicitatem animus, sanitatem consequitur vita; hinc opiniones proficiscuntur rectæ, quæ ex harmonia quadam aptoque inter se consistunt temperamento. Hæc sunt quæ lege deus sancit, hæc virum perficiunt bonum: ut obsequantur affectus rationi, nec invitæ agnoscant ducem scientiam: improbitas vero invitis nobis ingruit et voluptatis ductui debetur.

DISSERTATIO XXXIV.

Quomodo quis sine dolore esse possit.

1. Velim scire qua potissimum ratione a dolore vindicari possit animus: an etiam hic, quemadmodum in corporis doloribus fieri videmus, medico est opus; neque medico tantum, sed et remediis, et accurate ad sanitatem temperata victus ratione? Quis igitur erit potissimum hic animæ nostræ medicus, quæ remedia, quæ victus ei conducibilis ratio? Ego antiquitati tantum tribuo, ut has artes non dividam, sed potius credam poetis. Volunt illi, Pelio in monte vixisse hominem medicinæ scientem, cui Chiron nomen fuerit; Chironi huic artem fuisse quæ utrumque ageret: quoscumque enim in disciplinam suam receperat, eos omni laborum genere, venationibus, montanis itineribus, cursibus, humi decumbendo, cibis ferinis, fluviali potu ad summam perducebat sanitatem: rursus hoc agebat, ne ulla in parte corpori cederet anima, neque minus celeriter mentis aciem intenderet, neque minus fortiter affectibus resisteret: neque alia est causa, cur duo nomina uni arti poetæ tribuerent, et quod Chiron tam medicus optimus quam vir justissimus simul ferretur. Quodsi hoc tempore divisa et in plures partes divulsa ars est, noli id mirari, priusquam

μίαν τε οὖσαν καὶ ἠθροισμένην, ἀλλ' οὐ διαλαχοῦσαν τοῦ σώματος τὰ χωρία, ἄλλην ἄλλο τι, τὴν μὲν ὀφθαλμούς, τὴν δὲ ὦτα, τὴν δὲ ἄλλο τι μόριον, καὶ κινδυνεύουσαν, κατασμικρυνομένην ἑκάστοτε εἰς λεπτὰ καὶ ἀγεννῆ μόρια, ἀφανισθῆναι παντάπασι· καθάπερ τὴν Μακεδόνων φασὶν ἀρχὴν ἐμπεσοῦσαν εἰς ἄνδρας πολλούς, οὐκ ἀξιουμένους βασιλείας ὅλης, μετὰ τὸν Ἀλέξανδρον.

2. Τί δὴ οὖν ὁ Χείρων ἦλθεν ἡμῖν δεῦρο ἐπὶ τὸν λόγον; Φέρε, ἴδω μετὰ σοῦ, εἰ μὴ ἐν δέοντι. Εἴπερ γάρ μοι καλεῖς τι ὀδύνην σώματος, (καλεῖς μέντοι,) αὕτη τοίνυν εἰ μὲν ἐξ ἴσου τὸ σῶμα ὑποδύσαιτ' ἄν, καὶ ἀνακραθεῖσα ἐπιεικῶς ὅλῳ διετάραξεν αὐτοῦ τὴν κατὰ φύσιν οὐσίαν, καθάπερ σίδηρον πῦρ, αὐτὸ τοῦτο ἐκαλοῦμεν πῦρ· ὑποκοριζόμενοι δ' οἱ ἰατρικοὶ μετέβαλον τοὔνομα, ὡς ἔλαττον ἡμῖν τὸ δεινὸν φανούμενον, εἰ πυρετὸς καλοῖτο, ἀλλὰ μὴ πῦρ. Ἕτερον δ' αὖ ἐστιν ὀδύνης γένος, ἐπειδὰν μόριον μὲν ᾖ τὸ τὴν αἰτίαν ἔχον καὶ τὴν πηγὴν τοῦ νοσήματος, ὁρμηθὲν δὲ ἐντεῦθεν τὸ δεινὸν συνελκύσῃ τε καὶ συνεπισπάσηται τῇ ὀδύνῃ καὶ τὸ ἄλλο σῶμα πᾶν· καὶ ἔστιν οὕτω δή τις ὀξύτατος ὁ τοῦ ἀλγεῖν δρόμος ἐπὶ τὸ ὑγιαῖνον ἀπὸ τοῦ κάμνοντος, ὡς μάθοις ἂν τῷ προσπταίσματι ἄκρῳ τῷ ποδί· ἐκ γὰρ ὀνύχων, φασίν, ἐπὶ τὴν κεφαλὴν τὸ ἀλγεινὸν ἐν ἀκαρεῖ θεῖ. Τοῦτο δὲ οἴει γίγνεσθαι ἄν, εἰ μὴ ἐτύγχανεν ἡ ψυχὴ διειληφυῖα τὸ σῶμα πᾶν πάντοθεν, καὶ ἀνακεκραμένη αὐτῷ, καθάπερ τὸ φῶς τῷ ἀέρι; ἢ μᾶλλον οὑτωσὶ λέγωμεν· καθάπερ αἱ τῶν θυμιαμάτων ὀδμαὶ καὶ τοῖς πόρρω οὖσι προσέβαλον, ἀνακεράσασαι τὸν διὰ μέσου ἀέρα τῇ εὐωδίᾳ· ἢ καθάπερ τὰ χρώματα ἐν ὀφθαλμοῖς πόρρωθεν ἔρχεται ὡς ἐπιγράψαντα καὶ ταῦτα τὸν ἀέρα τῇ αὑτῶν φύσει· ταύτῃ νόμιζε καὶ τὴν ψυχὴν πανταχοῦ διεληλυθέναι, καὶ μηδὲν εἶναι ἄψυχον σώματος μέρος· τρίχας δὲ καὶ ὄνυχας ἐξαιρῶ λόγου, ὡς καὶ τῶν δένδρων τὰ φύλλα· καὶ γὰρ ταῦτά ἐστιν, ὅσα ἐν φυτοῖς τὰ ἀναισθητότατα. Οὕτω δὴ πρὸς τὸ σῶμα ἡ ψυχὴ ἔχουσα, ἀνακέκραται αὐτοῦ ταῖς λύπαις καὶ ταῖς ἡδοναῖς. Καὶ τὸ ἀλγεῖν ἔστιν αἰτία μὲν σώματος, ψυχῆς δὲ πάθος. Μία μὲν δὴ αὕτη χορηγία ὀδύνης τῷ ἀνθρώπῳ. Δευτέρα δὲ ἥδε, ἔμπαλιν αὖθις αὖ πρὸς τὴν προτέραν ἔχουσα· ἀπὸ γὰρ τῆς ψυχῆς αὕτη ἄρχεται, καὶ τελευτᾷ ἐπὶ τὸ σῶμα. Ψυχῆς γοῦν καμούσης λύπῃ, συγκάμνει τὸ σῶμα καὶ ὑποτήκεται· τοῦτο μὲν ἐκ τῶν ὀφθαλμῶν ἀπολεῖβον δάκρυα, τοῦτο δὲ πᾶν ὠχραινόμενον καὶ ἰσχναινόμενον· ὁποῖα αἱ ἐξ ἐρώτων λῦπαι ἀπεργάζονται, καὶ αἱ διὰ πενίαν τρυχώσεις, καὶ αἱ διὰ πένθη ἀκομιστίαι. Ἀποπέμπουσι δὲ τῷ σώματι ὀδύνας καὶ θυμοὶ καὶ ὀργαὶ καὶ φθόνοι, καὶ τῶν τῆς ψυχῆς παρὰ μέλος κινημάτων οὐδὲν ὅ, τι οὔ.

3. Τί δὴ οὖν τούτων ἐπιμέμνημαι; Ὅτι τὸ ἀλγεῖν καὶ ἀπὸ ψυχῆς σώματι ἐπιπεμπόμενον, καὶ ἀπὸ σώματος ἐπὶ ψυχὴν παραγινόμενον, εἰκότως ἄρα δέοιτο ἂν καὶ ἰατρικῆς μιᾶς πρὸς ἀλυπίαν, καθὰ ὁ Εὔριπος κυβερνητικῆς μιᾶς πρὸς εὔπλοιαν. Καὶ τοῦτο μὲν ταύτῃ

mihi ostenderis, hanc ipsam medicinæ artem unam esse ac conjunctam; ac non potius aliam ejus partem aliis in corporis partibus occupari, quarum hæc oculos curet, illa aures, alia vero membrum aliud; ut metuendum sit, ne in minutas toties ignobilesque divisa partes nihil omnino tandem futura sit; non aliter quam regnum Macedonicum post Alexandrum legimus ad plures devolutum esse, quorum nemo par erat toti imperio tenendo.

2. Sed qua de causa Chironis paullo ante mentionem fecimus? Age, videamus unà num præter rem. Primum haud dubie concedis esse dolorem corporis. Is igitur si totum æquabili modo corpus subiret et fere per universum diffusus naturalem ejus constitutionem perturbaret, tanquam per ferrum diffusus ignis, hoc ipso nomine *ignem* vocaremus eam febrem: sed Græcorum medici, quasi minus esse nobis malum videatur nomine diminutivo appellatum, *igniculum* pro igne dixerunt. Rursus alia doloris hujus species est, quoties una pars corporis fons totius morbi est et causa; ita ut malum ex hac parte se diffundat, totumque corpus reliquum in consensum trahat simul et abripiat, ita ut doloris ejus fiat particeps: id quoties accidit, celerrime ab ægra parte ad sanam solet transitus fieri; quod apparet, si extremam pedis partem offendas: momento enim temporis, ab unguibus, ut vulgo dicitur, ad caput usque dolor diffunditur. Putasne hoc futurum, nisi corpus undique complexa esset anima; nisi toti corpori, non aliter quam lux aeri, permixta esset anima? an potius ita hoc dicamus: Sicut in suffitibus fieri solet, ut eorum odor fragrantiæ suæ suavitate medio interfusus aeri etiam ad eos, qui longissime absunt, diffundatur; aut ut colores ad oculorum eminus perveniunt aciem, quasi pingentes prius aerem interjectum tinctu proprio: ita existima animam quoque passim penetrare, neque ullam immunem illius esse corporis partem. Capillos tantum excipio et ungues, quorum alia est ratio; quæ non aliter se habent, quam in arboribus frondes; nam hæ minimo in plantis sensu sunt præditæ. Eo modo quum ad corpus se habeat anima, doloribus quoque ejus imbuitur et voluptatibus. Sic dolor causam quidem habet in corpore, sed est affectio animæ. Hæc igitur prima est origo doloris in homine. Secunda, quæ directe cum superiori pugnat, ab anima incipit, desinit in corpus. Quoties igitur tristatur anima, afficitur cum ea corpus et tabescit. Hoc est quod lacrimas ex oculis dimittit, hoc est quod pallere solet, quod attenuari: sicut in iis fieri videmus, quos amor excruciat, quos paupertas conficit, quos mœror squalore inficit. Quid quod et excandescentia, et ira, et invidia dolores suos ex anima transferunt ad corpus, nullusque non animi perturbati motus?

3. Sed quorsum hæc pertinent? Ut appareat, dolorem, sive ab anima ad corpus, sive a corpore ad animam transeat, una eademque medicina tollendum esse; sicut una gubernandi arte Euripus feliciter navigatur. Et hæc qui-

μοι ἔστω ἀποπεφασμένον. Τὴν δὲ ἰατρικὴν αὐτὴν, ἥτις ἀμυνεῖται τὰ δεινὰ ἀμφοτέρωθεν ἐπιόντα, τίς ἡμῖν λέξει; Ἐγὼ μὲν γὰρ ἀπορῶ, εἴ τινα ἐξευρήσω δεινὸν τὴν τέχνην, κατὰ τὸν Χείρωνα ἐκεῖνον, ἵνα μοι διπλᾶ τἀγαθὰ ἔλθῃ· καὶ οὔτε πιστεύω τῷ τεχνιτεύματι (τὸ γὰρ ἔργον μέγα, τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου ὑψηλότερον), οὔτε ἀπιστῶ κομιδῇ. Τί γὰρ οὐκ ἂν ἐθελήσασα πάντολμος ψυχὴ ἐπιτεχνήσαιτο;

4. Διὰ μέσου δὴ ἥκων πίστεως καὶ ἀπιστίας, [καὶ] πρὸς ἄγνοιαν τοῦ εἰδέναι τῇδέ μοι δοκῶ διαιτήσειν τὴν στάσιν. Ὑποπτεύω τοι μίαν μὲν εἶναι τὴν τέχνην, μὴ μέντοι δυοῖν, ψυχῆς καὶ σώματος· ἀλλὰ τῇ πραγματείᾳ τοῦ κρείττονος τὴν τοῦ ἑτέρου ἐλάττωσιν ἐξιωμένην. Ὑπῆλθε γάρ με λέγοντα ὁμοῦ τὸ τοῦ Σωκράτους πρὸς τὸν Χαρμίδην, οὐκ αὐτὸ ἐκεῖνο, ἡ Θρᾴκιος ἐπῳδὴ, ἀλλὰ ἀντιστρόφως. Ὁ μὲν γὰρ φησὶ σὺν τῷ ὅλῳ ἰᾶσθαι καὶ τὸ μέρος, καὶ ἀδύνατον εἶναι σωτηρίαν παραγίνεσθαι τῷ μορίῳ, πρὶν καὶ τῷ παντὶ ἔλθῃ· ὀρθῶς λέγων, κἀγὼ πείθομαι, ὅσα γε ἐπὶ σώματος· ἐν δὲ τῇ ψυχῆς καὶ σώματος συζυγίᾳ ἀντιστρόφως φημὶ ἔχειν. Ὧ γὰρ ἂν τὸ μέρος καλῶς ἔχῃ, ἀνάγκη τὸ πᾶν τούτῳ ἔχειν καλῶς, οὐχ ὁποτερονοῦν τοῖν μεροῖν, θάτερον δέ· ἡ γὰρ τοῦ χείρονος πρὸς τὸ κρεῖττον ὁμιλία ἐκ τῆς τοῦ κρείττονος σωτηρίας ἀνάπτει τὸ χεῖρον· ἢ σοὶ δοκεῖ ἄνθρωπος ὑγιαίνων τῇ ψυχῇ λόγον τινὰ ποιεῖσθαι προσπεσούσης ὀδύνης ἐκ τραυμάτων ἢ τινος ἄλλης κακουχίας σωμάτων; οὐδαμῶς μὰ Δία. Ἐκείνην δὴ τὴν ἰατρικὴν μαστευτέον καὶ βασανιστέον, καὶ ἐκείνην τὴν ὑγίειαν ποριστέον καὶ ἐκθηρατέον· ᾗ τάχα μὲν καὶ περὶ τουτὶ τὸ σῶμα ῥᾳστώνη ἕψεται, εἰ δὲ μὴ, πάντως γε ἡ ὑπεροψία τῶν ἐν αὐτῷ δεινῶν.

eo modo a nobis probata habentor. Ipsam vero medicinam, quæ utraque curet, tam quæ hinc, quam quæ illinc oriuntur mala, quis ostendet nobis? Ego certe an peritum usquam et similem Chironi invenire possim vehementer dubito, cujus arte utrumque simul bonum consequar; et quamvis non omnino confidam (opus enim magnum et ipsa Ossa Olympoque majus est), non tamen penitus de arte despero. Quid enim non assequi possit, modo velit, ausa quidvis experiri anima?

4. Interim dum anceps et credo et diffido, hoc modo mihi videor litem, quæ est scientiæ cum inscitia, esse disceptaturus. Unam eademque esse artem puto, non tamen quæ utrique conveniat, et animæ et corpori, sed præstantioris partis cura curari et deteriorem. Inter dicendum enim in mentem mihi venit illud, quod Charmidi dicebat Socrates; quamvis non ipsum illud, quod in Thracia illa, ut vocat, incantatione erat, sed in contrarium versum. Ille enim una cum toto ait sanari partem, nec fieri posse, ut conservatio parti contingat, nisi prius contingat toti: quod verum esse non nego, et assentior ipsi, quantum ad corpus; at vero ubi anima conjuncta cum corpore consideratur, hæc contra se habere dico. Bene enim se habere totum necesse est, cujus pars bene habet; non utralibet, sed præstantior: in societate enim deterioris cum meliori ex conservatione melioris dependet deterius. Nisi forte putes, hominem cui bene constituta sit anima, dolorem aliquem ex vulneribus aut alia quapiam ægritudine corporea respicere posse. Minime, per Jovem. Hæc igitur quærenda medicina est, hæc exploranda; ea comparanda, ea venanda est sanitas: quam statim corporis sequetur sanitas; si non, certe malorum, quibus corpus affligitur, solidus contemptus.

ΛΟΓΟΣ ΛΕ'.

Τί τέλος φιλοσοφίας.

1. Ὁ μὲν Κροτωνιάτης ἐρᾷ κοτίνου Ὀλυμπικῆς, ὁ δὲ Ἀθηναῖος νίκης τριηρικῆς, ὁ δὲ Σπαρτιάτης ὁπλιτικῆς, ὁ Κρητικὸς θήρας, ὁ Συβαρίτης χλιδῆς, ὁ Θηβαῖος αὐλῶν, ὁ Ἴων χορῶν· καὶ ἔτι δ' αὖ ὁ μὲν χρηματιστὴς χρυσοῦ, ὁ δὲ φίλοινος μέθης, ὁ δὲ μουσικὸς ἔρωτος, ὁ δὲ φιλῳδὸς μελῶν, ὁ δὲ ῥήτωρ λόγων· τουτὶ δὲ τὸ θρέμμα, ὃν καλοῦσιν οἱ ἄνθρωποι φιλόσοφον, πότερον ἀνέραστος ἡμῖν ἐστι πάντων χρημάτων; Ἦ λίθου ἂν εἴη ὁ βίος, μή τί γε ζῴου ὁρῶντος καὶ ἐμπνεομένου καὶ κινουμένου καὶ φρονοῦντος, ἔχοντος ὁρμὰς καὶ αἰσθήσεις καὶ ὀρέξεις. Ἀλλὰ ἐφίεται μέν τινος, εἰπεῖν δὲ οὐκ ἔχει ξυλλήβδην ὀνόματι ἑνὶ, ὅτου ἐρᾷ. Εὐδαιμονίας, φησί. Μακάριος τῆς εὐηθείας, εἰ οἴει τῶν παιδικῶν ἐκστήσεσθαί σοι ἕνα γέ τινα τῶν ἐκ τοῦ καταλόγου ἀνδρῶν, ἀλλ' οὐκ ἀποκρίνεσθαι ἕκαστον, ὡς εὐδαιμονίας εἵνεκα ὁ μὲν ἀθλεῖ, ὁ δὲ πίνει, ὁ δὲ χρηματίζεται, ὁ δὲ κυνηγετεῖ, ὁ δὲ γεωργεῖ, ὁ δὲ πολε-

DISSERTATIO XXXV.

Quis philosophiæ sit finis.

1. Crotoniata oleastrum amat Olympicum, navali victoria Atheniensis delectatur, Spartiata pedestri, venatione Cres, Sybarita luxu, Thebanus tibiis, Ionicus choris; mercator aurum, vinosus vinum, elegantiores homines amores, qui cantu delectatur, cantum, dicendi studium orator sequitur. Scire igitur velim, an hoc animal, quod philosophum dicunt homines, nulla prorsus re delectetur. Quæ lapidis profecto vita fuerit; nedum ut animal, cui videre, cui spirare, cui moveri, cui sapere contingit, quod appetitu, sensu, cupiditatibus impellitur, hoc deceat. Sed est fortasse quod appetat, uno tamen nomine exprimere non potest suum studium. Beatitudo est, inquit. Felicem vero simplicitatem tuam, si ex omnibus, quos jam commemoravimus, vel unum in suis, quas persequitur, voluptatibus, cessurum tibi esse existimes, ac non responsuros esse pro se singulos, hunc quod certet, hunc quod compotetur, hunc quod negotietur, hunc quod venetur, hunc quod agriculturæ,

μεῖ, ὁ δὲ ἐρᾷ, ὁ δὲ ᾄδει, ὁ δὲ λέγει. Ἦ, οἴει, ὁ Σαρδανάπαλλος ἐκεῖνος ὁ τὸ σῶμα ἐντετριμμένος, καὶ τὼ ὀφθαλμὼ ἐκτετηκὼς, καὶ τὴν χαίτην διαπεπλεγμένος, καὶ ἐν πορφυρίσι κατορωρυγμένος, καὶ ἐν βασιλείοις κατακεκλεισμένος, καὶ παλλακίσιν ἀναμεμιγμένος, ἄλλο τι ἐδίωκεν, οὐκ εὐδαιμονίαν; οὐ γὰρ δὴ κακοδαίμων ἑκὼν ἦν. Τί δέ; ὁ Πέρσης ὁ τὰ Αἰγυπτίων ἱερὰ ἀφανίζων πυρὶ, καὶ λοιδορούμενος τῷ ποταμῷ, καὶ καταθύων τὸν βοῦν τὸν Ἆπιν, ἄλλο τι ἢ καὶ οὗτος ἐπὶ ταὐτὸ σπεύδων ταῦτα ἔδρα; ὁ μὲν γὰρ Ξέρξης καὶ ἀμφισβητῆσαι ἄν μοι δοκεῖ πρὸς τὸν Δία περὶ εὐδαιμονίας, τοσοῦτον αὐτὸν οἶμαι ἐπειλῆφθαι αὐτῆς· καὶ ὅτι αὐτῷ ἡ Ἀσία πρὸς τὴν Εὐρώπην ξυνεδεῖτο θαλαττίαις ὁλκάσιν εἰς γεφύρας σχῆμα ἐφημέρῳ δεσμῷ· καὶ μὴν Ὁμήρῳ ὁ Ποσειδῶν τῷ Διὶ ἰσοτιμίαν ἄγει· παρὰ δὲ τούτου, ὡς ᾤετο, καὶ πληγὰς λαμβάνει, εἰς δεσμωτήριον ἐμβάλλεται.

2. Τί λέγω βασιλεῖς βαρβάρους; οὐχ ὁρᾷς τὸν Πεισίστρατον τὸν Ἕλληνα, τὸν Ἀθηναῖον, ἐπὶ τὴν ἀκρόπολιν ἀεὶ θέοντα, ὥσπερ τῆς εὐδαιμονίας αὐτῷ κατορωρυγμένης ἐκεῖ σὺν τῇ ἐλαίᾳ τῇ παλαιᾷ, κἂν ἐκπέσῃ, μὴ ἀνεχόμενον καθ' ἡσυχίαν ζῆν; Πολυκράτην μὲν γὰρ οὐδὲ τὸ ἐξ Αἰγύπτου νουθέτημα ἔπεισε μὴ φρονεῖν μέγα ἐπὶ εὐδαιμονίᾳ, ὅτι ἐκέκτητο θάλατταν Ἰωνικὴν, καὶ τριήρεις πολλὰς, καὶ σφενδόνην καλὴν, καὶ Ἀνακρέοντα ἑταῖρον, καὶ παιδικὰ Σμερδίην. Ἀλλ' οἶδε μὲν ἐοίκασιν οἱ δυνάσται ἐξηπατημένοις ὑπὸ ἁβρότητος καὶ ἡδονῆς, εὐπροσώπων κακῶν· Ὁμήρου δὲ οὐκ ἀκούεις ἐγκωμιάζοντος τοὺς Αἰακίδας, ὅτι ἦσαν ἄνδρες

Πολέμῳ κεχαρηότες, ἠύτε δαιτί;

Καὶ τί ἂν εἴη πολέμου ἀχαριστότερον; ἀλλὰ καὶ ὡς τὸ ἄχαρι δήπου πρᾶγμα ἔτυχε καὶ τοῦτο οὐ φαύλων ἐραστῶν. Οἷος ἦν καὶ ὁ Φίλιππος αὖθις ποτὲ, ᾧ κατὰ Μακεδονίαν ἐξὸν μένειν, καὶ ζῆν ἐπὶ τοῖς Ἀμύντου ἀγαθοῖς, καὶ τῇ Περδίκκου εὐδαιμονίᾳ, ἐζήτει ταύτην περιιὼν ἄλλοθι, ὥσπερ ἐκπεπτωκυῖαν τῆς Μακεδόνων γῆς· καὶ διὰ τοῦτο, ὡς ἔοικε, Τριβαλλοῖς ἐπολέμει, Ἰλλυριοῖς ἐπῄει, ἐπολιόρκει Βυζάντιον, κατέσκαπτεν Ὄλυνθον, Ἀθηναίους ἐξηπάτα, Θετταλοῖς συνετίθετο, Θηβαίοις ἐσπένδετο, Ἐλάτειαν ἐλάμβανε, Φωκέας ἀνίστη, ἐπιώρκει, ἐψεύδετο, ἐπηροῦτο· οὐδὲν ἦν Φιλίππῳ ἀπώμοτον, οὐ ῥῆμα, οὐκ ἔργον, οὐκ αἰσχύνη, οὐκ ἀδοξία. Ἐρώμεθα τὸν Φίλιππον, Τίνος ἀντικαταλλάττῃ πόνους τοσούτους, καὶ κινδύνους πραγμάτων, καὶ πηρώσεις ὀμμάτων; κακοδαιμονίας ἐρᾷς; Γελοῖον τὸ ἐρώτημα. Ἀλλ' οὐχ εὗρε δήπου τὸ ζητούμενον ὁ Φίλιππος. Ἀλλ' ἐξανέστησεν αὐτὸν ἡ εὐδαιμονία. Καὶ διὰ τοῦτο ὁ Ἀλέξανδρος χαίρειν τῇ Εὐρώπῃ φράσας, ὡς ἐρήμῳ ἀγαθῶν, εἰς τὴν Ἀσίαν ἐκπεραιοῦται, ὑποπτεύων τὴν εὐδαιμονίαν ἢ ἐν Σάρδεσιν ἐν τῷ χρυσῷ ψήγματι κατορωρύχθαι, ἢ ἐν Καρίᾳ ἐν τοῖς Μαυσωλοῦ θησαυροῖς, ἢ ἐν τοῖς Βαβυλωνίων

hunc quod militiæ nomen dederit, alium quod amet, alium quod canat, alium quod dicat, solius hæc agere causa beatitudinis. Nisi forte illum ipsum Sardanapallum existimes, cum infucato isto corpore, cum oculis palantibus, cum implexa cæsarie, qui in purpura defossus, in regia sua conclusus, in media pellicum turba versatur, aliud quid proposuisse sibi, præter beatitudinem; nec enim volens infelix fuit. Quid, ille rex Persarum, qui templa Ægyptiorum igne consumit, qui sacro fluvio conviciatur, qui Apin mactat, aliud, quum hæc faceret, quam beatitudinem et ipse sectatus est? Ego quidem Xerxem vel cum ipso Jove de beatitudine audacter certare potuisse non dubito: tanta videlicet ejus copia potitus erat, quod Europam Asiamque marinis navibus tanquam ponte jungebat, brevi quidem et mox perituro vinculo: atque adeo, quum apud Homerum dignitatis sit Neptunus cum Jove ejusdem, ab hoc, ut tum sibi persuadebat, vapulat, in vincula conjicitur.

2. Quid reges commemoro barbaros? nonne Pisistratum vides, qui et Græcus et Atheniensis est, quo studio in arcem quotidie currat, non aliter ac si beatitudinem ibi suam cum antiqua Minervæ olea defossam putaret; et licet voto frustretur, non tamen propterea quiescit? Quid, quod Polycratem ne Ægyptium quidem illud monitum continere potuit quo minus se efferret magnificeque de felicitate sentiret sua, quod Ionicum mare possideret et in eo plurimas triremes, quod palam annuli pretiosam, quod in amicis Anacreontem, in deliciis haberet Smerdien? Sed fortasse venia danda est illis principibus, quod a luxu et voluptate speciosis decepti videantur malis. At vero non audis, quibus laudibus Æacidas Homerus [*Hesiodus*] prosequatur, quos dicit

Non secus atque epulis, gaudere horrentibus armis?

Jam quid bello minus est amabile? et tamen res tam odiosa, tam invisa, non postremæ sortis amatores habuit. Qualis postea Philippus fuit, qui quum in Macedonia manere, in Amyntæ bonis, in Perdiccæ felicitate vitam potuisset agere; alibi eam per ambages plurimas, tanquam ex Macedonia extorrem, quærere maluit: hujus videlicet causa cum Triballis pugnavit, Illyrios invasit, Byzantium obsedit, Olynthum evertit, Athenienses fefellit, cum Thessalis se conjunxit, cum Thebanis fœdus iniit, Elateam occupat, Phocenses perdit, pejerat, mentitur, mutilatur: nullum tam scelestum aut dictum aut factum erat, a quo abstinendum sibi Philippus putaret, ne dedecus quidem, aut infamia. Quæramus ex Philippo, Cujus rei gratia tantum subis molestiarum, tot in rebus gerendis pericula, mutilationem oculorum? infelicitatem tibi proponis? Ridiculum est hoc quærere. At enim quod quærebat non inveniebat. Nihilominus tamen eum impulit non aliud quam felicitas. Hujus causa et Alexander Europam, tanquam bonorum omnium sterilem, relinquendam sibi putavit, in Asiamque transivit; quasi vero Sardibus inter auri ramenta, aut in Caria inter Mausoli thesauros, aut in Babyloniorum muris, aut in Phœni-

τείχεσιν, ἢ ἐν τοῖς Φοινίκων λιμέσιν, ἢ ἐν ταῖς Αἰγυπτίων ἠϊόσιν, ἢ ἐν ταῖς Ἀμμωνίων ψάμμοις. Οὐκ ἐξήρκεσε δ' αὐτῷ οὐ Δαρεῖος φεύγων, οὐκ Αἴγυπτος ληφθεῖσα, οὐκ Ἄμμων πατήρ, οὐ Βαβυλὼν ἁλοῦσα· ἀλλ' ἐπὶ τὴν Ἰνδῶν γῆν ἔδραμεν αὐτοῖς ὅπλοις. Ἐρώμεθα τὸν Ἀλέξανδρον τὴν αἰτίαν τοῦ δρόμου. Τί ποθεῖς; τίνος ἐρᾷς; ἐπὶ τί σπεύδεις; Ἄλλο τι φησὶν, ἢ εὐδαιμονίαν;

3. Ἔα μοι τοὺς βασιλεῖς καὶ τοὺς δυνάστας. Τὰ δημοτικὰ οὐχ ὁρᾷς; ὡς πᾶς ἀνὴρ πανταχόθεν ἐπὶ ταὐτὸ θεῖ; ὁ μὲν γῆς ἁπτόμενος, ὁ δὲ περὶ θάλατταν πραγματευόμενος, ὁ δὲ περὶ πολέμους ἀσχολούμενος, ὁ δὲ περὶ λόγους σχολὴν ἄγων, ὁ δὲ γάμον λαμβάνων, ὁ δὲ παῖδας τρέφων, ὁ δὲ λῃστεύων, ὁ δὲ ὑβρίζων, ὁ δὲ δωροδοχῶν, ὁ δὲ μοιχεύων, ὁ δὲ μισθοφορῶν; κινδυνώδεις ὁδοὺς καὶ σφαλερὰς οἱ πολλοὶ ἰόντες, ἐπ' αὐτῶν τῶν κρημνῶν καὶ τῶν βαράθρων· οὓς οἰκτείραι ἄν τις· τοῦτο δὲ οὐκ ἂν λάθωσι. Καὶ οὗτοι μὲν σπουδαστικοί τινες τοῖς βίοις· τὸ δὲ ἀργὸν καὶ ἀλύον τοῦτο πλῆθος, ἆρα καὶ τοῦτο προήκατο τὴν τοῦ ἀγαθοῦ ἐλπίδα; οὐδαμῶς μὰ Δία. Οὐ γὰρ ἂν οὔτε οἱ κόλακες πράγματα εἶχον τὰς τῶν πλουσίων ἐπιθυμίας θεραπεύοντες, οὔτε οἱ βωμολόχοι τῶν θαμβῶν καὶ γελώτων ἐχθηρώμενοι γενέσεις τε καὶ ἀγωγάς, οὔτε οἱ τὰ θαύματα ἐπιδεικνύμενοι, ἐκκλώμενοί τε καὶ στρεβλούμενοι τὰ σώματα, οὔτε ἄλλος ἄλλο τι ἐπιμηχανώμενος σπουδῇ, κἂν μάταιον ᾖ.

4. Ἦλθεν εἰς Βαβυλῶνα ἀνὴρ Ἴων παρὰ τὸν μέγαν βασιλέα, τέχνην τινὰ ἐπιδεικνύμενος διαφέρουσαν εὐμηχανίᾳ· μάζας στέατι ποιούμενος μικρὰς στρογγύλας, κατὰ βελόνης ὀρθίου πόρρωθεν ἀφιεὶς, τῆς βελόνης ἄκρας ἐτύγχανε· καὶ ᾤετο δήπου μέγα εἶναι αὐτῷ ἀγαθὸν τὴν εὐστοχίαν τῆς βελόνης, οὐχ ἧττον ἢ ὁ Ἀχιλλεὺς τὴν τῆς μελίας τῆς ἐκ τοῦ Πηλίου. Καὶ ἐν Λιβύῃ ἀνὴρ Λίβυς, Ψάφων ὄνομα, ἐραστὴς εὐδαιμονίας οὐ ταπεινῆς μὰ Δία, οὐδὲ τῆς περιθεούσης ταύτης, ἀλλὰ ἤθελε γὰρ θεὸς εἶναι δοκεῖν· ξυλλαβὼν οὖν τῶν ᾠδικῶν ὀρνίθων πολλοὺς, ἐδίδασκεν ᾄδειν τοὺς ὄρνιθας ΜΕΓΑΣ ΘΕΟΣ ΨΑΦΩΝ· καὶ ἠφίει αὖθις ἐπὶ τὰ ὄρη. Οἱ δὲ αὐτοί τε ᾖδον, καὶ οἱ ἄλλοι ὄρνιθες ἐθιζόμενοι τῇ φωνῇ. Λίβυες δὲ θείαν νομίσαντες εἶναι τὴν φήμην, ἔθυον Ψάφωνι, καὶ ἦν αὐτοῖς θεὸς ὑπὸ ὀρνίθων κεχειροτονημένος· οὐδὲν οἶμαι τοῦ Περσικοῦ φαυλότερος, ὃν οὐ πρότερον προσεκύνησαν Πέρσαι, πρὶν αὐτὸν ἐχειροτόνησεν ἐπὶ τὴν ἀρχὴν ὑβριστὴς ἵππος.

5. Οὕτως ἄρα οὐδὲν ἕτερον ἑτέρῳ ὁμολογεῖ τῶν ἀνθρωπίνων, ἀλλὰ πάντες ἔρωτος κοινωνοῦντες ἑνὸς τοῦ πρὸς τὸ ἀγαθὸν, ἵενται πολλὰς καὶ παντοδαπὰς ὁδοὺς, ἄλλος ἄλλης πράξεως νενεμημένος καὶ μοῖραν καὶ τύχην. Καὶ κοινὸς μὲν πᾶσιν ὁ τοῦ ἀγαθοῦ πόθος, τυγχάνει δὲ τοῦ ζητουμένου οὐδὲν μᾶλλον ἄλλος ἄλλου· ἀλλὰ ὥσπερ οἱ ἐν σκότῳ χρυσὸν καὶ ἄργυρον μαστεύοντες, ἄποροι ὄντες τοῦ τὸ θηρώμενον ἐλέγξοντος, φθόγγῳ, βρίθει καὶ ἐπαφῇ ἄπιστον εἰκασίαν λαβόντες, περιπίπτοντες ἀλλήλοις καὶ διαδάκνοντες, οὔτε ἀφιέναι τολμῶσι, μὴ

cum portubus, aut Ægyptiorum littoribus, aut in Ammoniorum arenis defossa jaceret felicitas. Quid quod nihil illi satis esse potuit, non Darii fuga, non Ægypti expugnatio, non Ammon pater, non Babylonis deditio, quominus cum exercitu in Indiam excurreret? Quæramus causam ex Alexandro, cur tantopere discurrerit. Quid petis? quid proponis tibi? quid tam studiose sequeris? Aliudne dicit præter beatitudinem?

3. Reges relinquamus et principes. Nonne eadem in plebe vides? nonne eodem omnes festinant undique? an alio fine hunc terra, illum mare occupatum tenet? alius militare, alius literis vacare mavult? hic uxorem ducit, ille liberos nutrit? alius ex rapto vivit, alius contumeliis gaudet, munera captat alius, alium stupra delectant, alius mercede addicit operam? Quorum plerique difficilem plenamque periculorum ingrediuntur viam, et, ut verius dicam, per præcipitia et manifestas abyssos incedunt; qui licet infelices judicentur ab aliis, sponte hoc et non ignari faciunt. Et tamen omnes, quos hactenus diximus, aliquid in vita agere videntur: quid jam de otiosis illis, qui sine certo vitæ scopo oberrant passim, dicendum putas? an hos sine spe aliqua boni consequendi vivere arbitraris? Non, ita me deus amet. Nam neque adulatores tanto negotio divitum inservirent libidini; nec scurræ admirationes et risus tam diligenter excitare et movere tentarent; nec membra sua inflecterent ac distorquerent circulatores, ut artes suas venditarent et miracula; neque alius denique quivis, qui magno labore nugas agit.

4. Babylonem venit ad magnum regem homo quidam natione Ionicus, qui mirificam quandam vellet ostentare artem: pilulas ex farina conficiebat parvas, rotundas; eas tam certo ictu in mucronem acus ex distanti loco dirigebat, ut nunquam ab acie ejus aberraret, neque minus magnifice de hac acu sua ejusque arte sentiebat, quam Achilles de hasta sua, ex Pelio monte desecta. Rursus in Libya quidam ejus regionis fuit, Psaphon nomine, qui felicitatem ambiret, non parvam quandam, mehercules, aut quam vulgus hoc affectat; sed ut videri deus posset: plurimas itaque aves canoras collegit, easque canere hæc verba docuit: MAGNUS DEUS PSAPHON; atque ita edoctas rursus in montes dimittebat. Itaque tum ipsæ hæ, tum reliquæ aves, vocem earum sæpe auditam imitatæ, hoc canebant. Ibi Libyes, qui divinum hoc augurium esse judicabant, Psaphoni continuo rem sacram facere; atque ita comitiis avium Libycus deus designatus est Psaphon; hac in parte nihil, puto, regi Persarum inferior, quem non prius adorare Persæ voluerunt, quam ab libidinoso equo in regia sede constitutus esset.

5. Sic quum nihil in rebus sit humanis, in quo non diversum aliquid ab alio invenias; in eo tamen convenit omnibus, quod communi amore bonum prosequuntur omnes, varia autem eo diversaque via tendunt; nec ullus est propemodum, qui vel idem agat, vel fortunam eandem sequatur. Sic quum omnibus unus sit idemque boni ipsius amor insitus, non tamen hic magis quod quærit, quam ille, consequitur: sed ut qui noctu aurum aut argentum quærunt, neque habent, quo quod quæritur accurate dignoscant, sed ex sonitu, pondere et tactu conjecturam faciunt incertam, pugnis sæpe et dentibus inter se velitantur; dum nemo,

ὅρα ἔχωσιν, οὔτε παύσασθαι πονούμενοι, μὴ ἄρα οὐκ ἔχωσιν· ἔνθα δὴ θόρυβος, καὶ στάσεις, καὶ παρακελεύσεις, καὶ φωναὶ ζητούντων, στενόντων, διωκόντων, ὀδυρομένων, ἁρπαζόντων, ἀφαιρουμένων· καὶ βοῶσι μὲν πάντες καὶ παιωνίζουσιν, ὡς δῆτα ἐντετυχηκότες τῷ ἀγαθῷ, ἔχει δὲ οὐδείς, ὑπὸ δὲ ἀπιστίας τὰ τοῦ πλησίον ἕκαστος ῥήματα διερευνᾶται.

6. Τοῦτο τὸ πάθος ταράττει τὴν γῆν καὶ τὴν θάλατταν, τοῦτο ἀθροίζει τὰς ἐκκλησίας, τοῦτο συνάγει τὰ δικαστήρια, τοῦτο πληροῖ τὰ δεσμωτήρια, τοῦτο πήγνυσι ναῦς, τοῦτο τριήρεις καθέλκει, τοῦτο πολέμους συνάπτει, τοῦτο ἀνεβίβασεν ἐπὶ ἵππους ἱππέας, ἐπὶ ἅρματα ἡνιόχους, ἐπὶ ἀκρόπολιν τυράννους. Διὰ τοῦτο ξεναγοί, διὰ τοῦτο μισθοφόροι,

Ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει,
τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας.

Καὶ ἄλλων μυρίων κακῶν ἀνέχονται οἱ ἄνθρωποι δι' οὐδὲν ἄλλο, ἢ δι' ἐλπίδα ἀγαθοῦ καὶ ἄγνοιαν. Ἐνέφυσε γάρ τι ὁ θεὸς ζώπυρον τῷ τῶν ἀνθρώπων γένει τῆς προσδοκίας τοῦ ἀγαθοῦ, ἀπέκρυψε δὲ αὐτοῦ τὴν εὕρεσιν·

Ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος·

οὐ γὰρ ἐξαπατήσει με Ὅμηρος τῷ ὀνόματι. Ὁρῶ τὸ μῶλυ, καὶ συνίημι τοῦ αἰνίγματος, καὶ σαφῶς οἶδα, ὡς χαλεπὸν εὑρεῖν τὸ χρῆμα τοῦτο

Ἀνδράσι γε θνητοῖσι· θεοὶ δέ τε πάντα ἴσασιν.

7. Νῦν δὲ τοῖς ἀνθρώποις περὶ μὲν ἀτόπου λέβητος ὁ Ἀπόλλων λέγει ἑψομένου ἐν Λυδοῖς, καὶ τὸ ξύλινον τεῖχος λέγει, καὶ τὸν στένυγρον ἰσθμόν, καὶ σεισμὸν μέλλοντα, καὶ ἐπιόντα πόλεμον, καὶ κατιόντα λοιμόν· τὸν δὲ τούτων πρεσβύτερον χρησμὸν οὐ λέγει, ὅπως πόλεμος μὴ γένηται, πῶς τείχους μὴ δεηθῶ, πῶς λοιμὸν μὴ φοβηθῶ. Ἀλλ' ὁ μὲν Ἀπόλλων ταῦτα ἐκ Δελφῶν οὐ λέγει, οὐδὲ ὁ Ζεὺς ἐκ Δωδώνης λέγει, οὐδὲ ἐξ ἄλλης γῆς ἄλλος θεός· φιλοσοφία δὲ λέγει. Ὦ χρησμοῦ καλοῦ, καὶ μαντικῆς πολυωφελεστάτης· πείσομαι τῇ χρησμῳδίᾳ, ἐὰν ὡμολογημένην ταύτην ἴδω. Ἀστασίαστόν μοι χρησμὸν λέγε· τοιαύτης δέομαι μαντικῆς, ᾗ πεισθεὶς βιώσομαι ἀσφαλῶς. Ποῖ πέμπεις τὸ τῶν ἀνθρώπων γένος; τίνας ὁδούς; ἐπὶ ποῖον τέλος; ἓν τοῦτο ἔστω, κοινὸν ἔστω. Νῦν δὲ καὶ φιλοσοφίας ὁρῶ πολλὰς ἀποικίας, ἄλλον ἀλλαχοῦ στελλόμενον· ὡς ἐπὶ Βοιωτίαν Κάδμον, ὡς Ἀρχίαν ἐπὶ Συρακούσας, ὡς Φάλανθον ἐπὶ Τάραντα, ὡς Νηλέα ἐπὶ Μίλητον, ὡς Τληπόλεμον ἐπὶ Ῥόδον. Ἦ τὴν μὲν γῆν ἀνάγκη νενεμῆσθαι τοῖς τόποις, καὶ οἰκεῖν ταύτης ἄλλους ἄλλην μοῖραν· τὸ δὲ ἀγαθὸν ἕν, ἀνέμητον, ἄφθονον, ἀνενδεές, πολυαρκὲς πάσῃ φύσει λογικῇ καὶ διανοητικῇ· ὡς ἥλιος εἷς ἀγαθὸν ἓν φύσεως ὁρατικῆς, καὶ μουσικὴ μία ἀγαθὸν ἓν φύσεως ἀκουστικῆς, καὶ ὑγίεια μία φύσεως σαρκίνης. Ἀλλὰ τοῖς μὲν ἄλλοις ζῴοις κατ' ἀγέλην

quod in manu habet, vult dimittere, ne forte habeat, neque a quærendo abstinere, ne forte non habeat : hinc tumultus oritur et contentio, hinc clamores diversi, dum alii adhortantur, alii quærunt, alii gemunt, alii insequuntur alios, alii lamentantur, alii rapiunt, aliis eripitur : sæpe omnes clamant præ gaudio, et victoriam canunt, tanquam bonum omnes repererint, quum tamen habeat nemo, sed increduli singuli in verba inquirant singulorum.

6. Hoc est illud quod terram turbat et mare; hoc est quod conciones convocat, judicia cogit, implet carceres, naves fabricat, triremes deducit, bellorum conflictus parit; hoc est quod equis suis equites, aurigas curribus, arcibus imponit tyrannos. Hinc mercede conducti duces, hinc milites,

Qui mactent homines; urbem depascitur ignis,
abducunt pueros alii, comptasque maritas.

Infinita denique alia mala sunt, quæ propterea sustinent homines, quod sperent bonum, et ignorent. Exspectationem namque boni, tanquam scintillam aliquam, mortalium animis insevit deus; inventionem vero abscondidit :

Nigra illi radix, par flos albedine lactis :

non enim me decipiet Homerus, quamvis alio utatur nomine. Scio quid sibi velit illud Moly; intelligo quod obscurius ab eo dicitur; nec me latet, quam difficilis inventu hæc res sit

Mortali generi; superi namque omnia norunt.

7. Nunc hominibus de frivolo nescio quo lebete, qui apud Lydos coquitur, oracula reddit Apollo, de muro ligneo, de isthmi angustiis, de futuro terræ motu, de imminente bello, de pestilentiæ adventu : quæ vero his omnibus antiquiora sunt oracula, quo pacto vitari bellum possit, quo pacto muro ne opus quidem habeamus, quo pacto pestem ne timeamus quidem, sola hæc reticet : de his neque ex Delphis Apollo, neque ex Dodona Juppiter, neque alia ex terra oracula mittit alius deorum aliquis : quæ de his respondeat, sola philosophia est. O pulchra oracula! o divinationem multo utilissimam! cui hac conditione credam, ut nullam in ea ambiguitatem deprehendam. Peto certum, peto sine repugnantia ulla oraculum : ego, quod vitæ securæ transigendæ rationem doceat, oraculum requiro. Quo mittis mortale genus? per quas vias? quem ad finem? sit modo unum, sit modo omnibus commune. Nunc vero multas video philosophiæ colonias, aliumque mitti alio, sicut in Bœotiam Cadmus, Syracusas Archias, Tarentum Phalanthus, Miletum Neleus, Rhodum versus Tlepolemus. Nisi forte terram diversis locis distingui, aliosque aliam ejus occupare partem, necesse est; bonum vero est unum, inseparabile, copiosum, nullius rei egenum, tale denique, ut omnibus, qui ratione menteque sunt præditi, sufficiat abunde : sicut sol unus unum est bonum omnibus qui vident; musica una bonum unum omnibus, qui audiunt; una sanitas omnibus, qui carne sunt vestiti. Verum reliquis

ἑκάστην ἀποκέκριται πρὸς σωτηρίαν ἀγαθὸν ἕν, καὶ κοινωνεῖ ἴσου βίου καὶ τέλους ἑνὸς τὰ ὅμοια τοῖς ὁμοίοις, ἕκαστα ἑκάστοις, τὰ πετόμενα, τὰ βαδίζοντα, τὰ ἕρποντα, τὰ τὴν ὑγρὰν δίαιταν ἀσπαζόμενα, τὰ σαρκοφάγα, τὰ ποιηφάγα, τὰ καρποφάγα, τὰ ἀγελαστικὰ, τὰ ἥμερα, τὰ ἄγρια, τὰ εὔκερω, τὰ ἄκερω· κἂν μεταθῇς τοὺς βίους, παρανομεῖς περὶ τὴν φύσιν. Τὴν δὲ τῶν ἀνθρώπων ἀγέλην, τὴν σύννομον, τὴν ἡμερωτάτην, τὴν κοινωνικωτάτην, τὴν λογικωτάτην, κινδυνεύει διαλύειν καὶ διασπᾶν οὐχ ἐπιθυμία δημώδης μόνον, οὐδὲ ὀρέξεις ἄλογοι, οὐδὲ ἔρωτες κενοί· ἀλλὰ καὶ τὸ βεβαιότατον τῶν ὄντων φιλοσοφία, πολλοὺς καὶ αὕτη δήμους ποιεῖ καὶ νομοθέτας μυρίους, διασπᾷ καὶ διασχίδνησι τὴν ἀγέλην, καὶ πέμπει ἄλλον ἀλλαχοῦ, Πυθαγόραν μὲν ἐπὶ μουσικὴν, Θαλῆν δὲ ἐπὶ ἀστρονομίαν, Ἡράκλειτον δὲ ἐπὶ ἐρημίαν, Σωκράτην δὲ ἐπὶ ἔρωτας, Καρνεάδην δὲ ἐπὶ ἄγνοιαν, Διογένην ἐπὶ πόνους, Ἐπίκουρον ἐφ' ἡδονήν. Ὁρᾷς τὸ πλῆθος τῶν ἡγεμόνων; ὁρᾷς τὸ πλῆθος τῶν συνθημάτων; ποῖ τις τράπηται; ποῖον αὐτῶν καταδέξωμαι; τίνι πεισθῶ τῶν παραγγελμάτων;

ΛΟΓΟΣ ΛϚʹ.

Εἰ προηγούμενος ὁ τοῦ Κυνικοῦ βίος.

1. Βούλομαί σοι κατὰ τὴν τοῦ Λυδοῦ σοφίαν ποιῆσαι μῦθον· διαλέξονται δέ μοι ἐν τῷ μύθῳ οὐχ ὁ λέων, οὐδὲ ὁ ἀετὸς, οὐδὲ τὰ τούτων ἔτι ἀφωνότερα, αἱ δρύες, ἀλλ' ὡδί μοι λελέξεται· Ζεὺς ἦν καὶ οὐρανὸς καὶ γῆ· οὐρανῷ μὲν πολῖται θεοὶ, τὰ δὲ γῆς θρέμματα οἱ ἄνθρωποι οὔπω ποτὲ ἐν φωτὶ ἦσαν. Καλεῖ δὴ Ζεὺς Προμηθέα, καὶ αὐτῷ προστάττει κατανεῖμαι τῇ γῇ ἀποικίαν, ζῷον ἁπλοῦν, κατὰ μὲν τὴν γνώμην ἐγγύτατα ἡμῖν τοῖς θεοῖς, τὸ δὲ σῶμα αὐτῶν ἔστω λεπτὸν, καὶ ὄρθιον, καὶ σύμμετρον, καὶ ἰδεῖν ἥμερον, καὶ χειρουργεῖν εὔχολον, καὶ βαδίζειν ἀσφαλές. Πείθεται ὁ Προμηθεὺς Διὶ, καὶ ποιεῖ ἀνθρώπους, καὶ οἰκίζει τὴν γῆν. Οἱ δὲ ἐπεὶ γενέσεως ἐπελάβοντο, οὐ χαλεπῶς διέζων· καὶ γὰρ τροφὴν αὐτοῖς ἀποχρῶσαν γῆ παρείχετο, καὶ λειμῶνας δασεῖς, καὶ ὄρη κομῶντα, καὶ καρπῶν χορηγίαν, ὅσα γῆ φέρειν φιλεῖ μηδὲν ὑπὸ γεωργῶν ἐνοχλουμένη· παρείχοντο δὲ καὶ αἱ Νύμφαι κρήνας καθαρὰς καὶ ποταμοὺς διειδεῖς, καὶ ἄλλων ναμάτων εὐπόρους τε καὶ δαψιλεῖς πηγάς· πρὸς δὲ καὶ θάλπος μὲν ἐξ ἡλίου τοῖς σώμασι περιχεόμενον συμμέτρως αὐτὰ παρεμυθεῖτο, αὖραι δὲ ἐκ ποταμῶν ὥρᾳ θέρους ἐπιπνέουσαι ἀνέψυχον αὐτοῖς τὰ σώματα· περιμάχητον δ' ἦν τούτων οὐδὲν ἐν ἀφθόνῳ τῇ τῶν αὐτομάτων χορηγίᾳ διαιτωμένοις. Δοκοῦσι δέ μοι καὶ οἱ ποιηταὶ ἐγγύτατα εἶναι τῷ ἡμετέρῳ τούτῳ μύθῳ, ὑπὸ Κρόνῳ θεῶν βασιλεῖ τοιοῦτόν τινα αἰνιττόμενοι βίον, ἀπόλεμον, ἀσίδηρον, ἀφύλακτον, εἰρηνικὸν, ἀπεριμάχητον, ὑγιεινὸν, ἀνενδεᾶ· καὶ τὸ χρυσοῦν γένος τοῦτο, ὡς ἔοικεν, ὁ Ἡσίοδος καλεῖ, νεανιευόμενος πρὸς ἡμᾶς.

animalibus, prout in greges suos divisa sunt genera, unum cuique ad conservationem sui seorsum concessum est bonum, eaque genera æqualem vitam ducunt, eundem finem sequuntur omnia quæ inter se sunt similia, cum singulis singula; ea quæ volant, ea quæ incedunt, quæ repunt, quæ in aquis degunt, quæ carnibus, quæ herbis pascuntur; quæ gregatim vivunt; quæ mansueta, quæ agrestia sunt; quæ cornuta, quæ cornuum expertia: quorum si vitam mutas, vim infers naturæ. At vero humanum gregem, qui maxime societate conservatur, omnium maxime mansuetus est, communitate gaudet maxime, ratione præ ceteris est præditus, non solum vulgares cupidines, et brutales appetitus, vanique amores disjungere possunt ac divellere; sed et illa, quæ omnium rerum stabilissima habetur, philosophia in plures populos studiosos sui secat, innumeris eos legislatoribus tradit, totum gregem dissipat, alium ablegat alio, Pythagoram ad musicam, ad astronomiam Thalen, in solitudinem Heraclitum, ad amores Socratem, ad ignorationem Carneadem, ad labores Diogenem, ad voluptatem Epicurum. Videsne magnam ducum copiam? videsne tesserarum diversitatem? quo me vertam? cui me tradam? cujus imperiis me dicto audientem dabo?

DISSERTATIO XXXVI.

An præferenda sit cynici vita.

1. Statui tibi Lydi illius sapientis exemplo concinnare fabulam; cujus interlocutores erunt, non leo, aut aquila, nec, a qua etiam minus vocem exspectes, quercus aliqua; verum hoc modo procedet: Olim erat Juppiter, et cum Jove cœlum et terra, et cœlo quidem cives dii erant, alumni vero terræ nondum lucem viderant homines. Vocat igitur Promethea Juppiter, jubetque, novam in terras coloniam deducat, animal simplex, cui ingenium diis proximum, corpus tenue, erectum, aptaque proportione conditum, vultum mitem, manus ad agendum promptas, gressum firmum tribueret. Morem gerit Jovi Prometheus, homines fabricat, eosque in terra locat. Qui ubi nati erant, facillime vivebant, quum cibum illis abunde terra suppeditaret; adessent prata pulchre vestita, montes comantes, fructuum copia, et quæcunque nondum infestata ab agricolis ferre solet tellus: præbebant etiam purissimos Nymphæ fontes, et illimes fluvios, aliarumque scaturigines lympharum plenas et uberes: accedebat tepor solis, qui modice circumvolitans restaurabat corpora; tum e fluviis æstivo tempore suspirantes membra illis refrigerabant auræ: ad hæc omnia accessus erat liberrimus, in uberrima spontaneæ felicitatis viventibus copia. Videntur mihi ad hanc fabulam nostram quam proxime accessisse etiam poetæ; qui sub Saturno deorum rege vitam fuisse talem occulte innuunt, sine bello, sine ferro, sine ulla custodia, paci deditam, sine ulla simultate, salubrem, nullius rei immunem; neque aliud videtur esse, quod aureum ab Hesiodo vocatur sæculum, qui ad nostrum hoc alludit.

2. Ἐμοὶ δὲ ὁ μῦθος ἀπελθὼν ἐκποδὼν, καὶ γενόμενος ἐκ μύθου αὐτὸ τοῦτο λόγος, προϊὼν παραβαλλέτω βίον βίῳ, τῷ προτέρῳ τὸν δεύτερον, εἴτε σιδηροῦν τις αὐτὸν, εἴτε καὶ ἄλλῃ πῃ ὀνομάζων χαίρει, ἡνίκα ἤδη κληρουχήσαντες οἱ ἄνθρωποι τὴν γῆν, ἐπενέμοντο αὐτῆς ἄλλος ἄλλην μοῖραν, περιβάλλοντες αὐτοῖς ἕρκη καὶ τειχία, καὶ τὰ σώματα σπαργάνοις μαλθακοῖς καθειλίξαντες, καὶ τὼ πόδε σκύτεσι χαρακώσαντες, καὶ χρυσὸν οἱ μὲν τοῖς αὐχέσιν, οἱ δὲ ταῖς κεφαλαῖς, οἱ δὲ τοῖς δακτύλοις περιαρτήσαντες, εὔφημόν τινα καὶ εὐπρόσωπον δεσμὸν, καὶ στέγας οἰκοδομησάμενοι, καὶ κλεῖδας καὶ αὐλείους καὶ προπύλαια ἄττα ἐπιστήσαντες· καὶ παρέχοντες τῇ γῇ πράγματα, μεταλλεύοντες αὐτὴν καὶ σκάπτοντες καὶ ὀρύττοντες· καὶ μηδὲ τὴν θάλατταν κατὰ χώραν ἐῶντες, ἀλλὰ ἐπιτειχίσαντες καὶ ταύτῃ σκάφη πολεμιστήρια καὶ πορευτικὰ καὶ ἐμπορευτικά· καὶ μηδὲ τοῦ ἀέρος ἀπεχόμενοι, ἀλλὰ καὶ τοῦτον ληϊζόμενοι, τὰς ὀρνίθων ἀγέλας ἰξῷ καὶ ἕρκεσι καὶ παντοδαπαῖς μηχαναῖς σαγηνεύοντες· ἀποσχόμενοι δὲ μήτε τῶν ἡμέρων ζώων δι' ἀσθένειαν, μήτε τῶν ἀγρίων διὰ δέος, ἀλλὰ αἵματι καὶ φόνῳ καὶ λύθρῳ παντοδαπῷ γαστριζόμενοι· καὶ ἀεί τι ταῖς ἡδοναῖς εὑρίσκοντες νέον, καὶ τῶν ἑώλων ὑπερορῶντες, κα· διώκοντες μὲν τὰ τερπνὰ, περιπίπτοντες δὲ τοῖς λυπηροῖς· πλούτου μὲν ὀρεγόμενοι, ἀεὶ δὲ τὸ παρὸν ἐνδεέστερον ἡγούμενοι τοῦ ἀπόντος, καὶ τὸ κτηθὲν ἔλαττον τοῦ προσδοκωμένου· δεδιότες μὲν ἔνδειαν, πληρωθῆναι δὲ μὴ δυνάμενοι φοβούμενοι μὲν θάνατον, μὴ φροντίζοντες δὲ τοῦ ζῆν· εὐλαβούμενοι μὲν νόσους, τῶν δὲ νοσερῶν οὐκ ἀπεχόμενοι· ὑποπτεύοντες μὲν ἄλλους, ἐπιβουλεύοντες δὲ τοῖς πλείστοις· δεινοὶ μὲν πρὸς τοὺς ἀνόπλους, δειλοὶ δὲ πρὸς τοὺς ὡπλισμένους· μισοῦντες μὲν τυραννίδα, τυραννεῖν δὲ αὐτοὶ ἐπιθυμοῦντες· ψέγοντες μὲν τὰ αἰσχρὰ, τῶν δὲ αἰσχρῶν οὐκ ἀπεχόμενοι· τὰς εὐτυχίας θαυμάζοντες, τὰς ἀρετὰς μὴ θαυμάζοντες· τὰς δυστυχίας ἐλεοῦντες, οὐκ ἀπεχόμενοι τῶν μοχθηρῶν· ἐν μὲν ταῖς εὐπραγίαις τολμηταὶ, ἐν δὲ ταῖς δυσπραγίαις ἀνάκλητοι· μακαρίζοντες μὲν τοὺς τεθνηκότας, γλιχόμενοι δὲ τοῦ ζῆν· μισοῦντες μὲν τὸ ζῆν, φοβούμενοι δὲ ἀποθανεῖν· προβεβλημένοι μὲν τοὺς πολέμους, εἰρήνην δὲ ἄγειν μὴ δυνάμενοι· ἐν μὲν δουλείᾳ ταπεινοὶ, ἐν δὲ ἐλευθερίᾳ θρασεῖς· ἐν μὲν δημοκρατίᾳ ἀκατάσχετοι, ἐν δὲ τυραννίδι ἐπτηχότες· παίδων μὲν ἐπιθυμοῦντες, γενομένων δὲ ὀλιγωροῦντες· εὐχόμενοι μὲν τοῖς θεοῖς ὡς δυναμένοις ἐπαρκεῖν, καταφρονοῦντες δὲ ὡς οὐ δυναμένων τιμωρεῖν· καὶ δεδιότες μὲν ὡς κολάζοντας, ἐπιορκοῦντες δὲ ὡς οὐδὲν ὄντας.

3. Τοιαύτης τοίνυν στάσεως καὶ διαφωνίας τὸν δεύτερον τοῦτον κατεχούσης βίον, τίνι δῶμεν τὰ νικητήρια φέροντες; τίνα, ποῖον αὐτῶν φῶμεν ἁπλοῦν εἶναι βίον, καὶ ἀπερίστατον, καὶ ἐλευθερίας ἐπήβολον; καὶ ποῖον οὐχ ἁπλοῦν, ἀλλὰ ἀναγκαῖον, καὶ ἐλεεινὸν, καὶ περιστάσεων γέμοντα; Φέρε ἐξ ἑκατέρων ἡκέτω τις ἡμῖν ἀνὴρ ἐπὶ διαιτητὴν τὸν λόγον· ὁ δὲ αὐτῶν ἐρέσθω ἑκά-

2. Porro ut fabula facessat, et in serium sermonem transeat oratio; cum vita conferamus vitam, cum priori posteriorem (sive ea ferrea, sive quocunque alio sit dicenda nomine), quum jam dividere inter se terram cœpere homines: ibi alius aliam sibi sumere partem, quam limitibus ac muris distinguebant; corpora mollibus involvere fasciis, pedes pellibus munire; aurum alii collo, alii capiti, alii digitis aptare, honestas speciosasque compedes; ædes struere, claves excogitare, fores et vestibula quædam attollere: porro terræ negotium facessunt, dum eam auri argentique studio rimantur, ligonibus invertunt ac fodiunt; neque mare quiescere sinunt, sed in illud naves modo bellicas, modo vectorias struunt et mercenarias; neque ab aere se abstinent, sed et hunc spoliant, dum visco linoque greges avium, et qua non arte? præveniunt; nec a cicuribus animalibus virium defectu, nec a feris metu abstinent, sed cæde, sed sanguine, sed cruore quolibet ventrem farciunt; et novam semper voluptatem excogitant, veterem contemnunt, et, dum jucunditatem sectantur, in miseriam incidunt; divitias semper appetunt, ita tamen ut semper minora judicent quæ habent, quam queis carent, et quod possident, eo quod exspectant; egestatem semper timent, expleri nunquam possunt; mortem metuunt, vitam negligunt; morbos vitant, nec a morbidis abstinent; quosdam suspectos habent, plerisque ipsi insidias struunt; feroces cum inermibus, cum armatis timidi; tyrannidem odio habent, eandem tamen affectant ipsi; turpia vituperant, nec tamen iis se abstinent; felicitatem mirantur, non mirantur virtutes; miserantur infortunia, nec tamen fugiunt improba; in secundis audaculi, in adversis plane projecti; beatos prædicant mortuos, vitam tamen expetunt; oderunt vivere, mori reformidant, bella aversantur, pacem agere non possunt; in servitute abjecti, in libertate confidentes; in populari republica dissoluti, in tyrannide timidi; liberos cupiunt, natos vero negligunt; deos invocant, tanquam dare possint quibus egeant, eosdem contemnunt, quasi punire nescirent; deos timent, ut qui perjuria vindicent, pejerant autem, quasi nihil essent.

3. Tantus igitur quum tumultus, tanta discordia secundam hanc vitam invaserit, utri palmam dabimus? utram simplicem, successusque et libertatis compotem dicemus esse? utram contra minime talem, sed coactam, miserandam, infortuniorum plenam? Agedum ex utraque hominem advocemus, ad disputationem nostram, tanquam ad arbitrum, veniat; et illa quidem utrumque examinet, ac prius quidem

τερον, καὶ πρῶτόν γε τὸν πρῶτον, τὸν γυμνὸν ἐκεῖνον καὶ ἄοικον καὶ ἄτεχνον, τὸν πάσης τῆς γῆς πολίτην καὶ ἐφέστιον· ἐρέσθω δὲ ἀντιτιθεὶς αὐτῷ τὸν τοῦ δευτέρου βίον καὶ τρόπον, πότερα αἱρεῖται μένειν ἐν τῇ πρόσθεν τροφῇ καὶ ἐλευθερίᾳ, ἢ τὰς τοῦ δευτέρου ἡδονὰς λαβὼν σὺν ταύταις καὶ τὰ λυπηρὰ ἔχειν; Ἴτω δὴ μετὰ τοῦτον ὁ ἕτερος, ἀντιτιθέτω δὲ αὐτῷ ὁ δικαστὴς τὴν τοῦ προτέρου δίαιταν καὶ ἐλευθερίαν· καὶ ἐρέσθω, πότερα αἱρεῖται τὰ αὐτοῦ ἔχειν, ἢ μετατίθεται καὶ μετοικίζεται ἐπὶ τὸν εἰρηναῖον ἐκεῖνον βίον καὶ ἄφετον καὶ ἀδεῆ καὶ ἄλυπον; Τίς τῶν ἀνδρῶν αὐτομολεῖ; τίς μετοικεῖ; τίς ἑκὼν ἀλλάττεται βίον βίου;

4. Τίς οὕτως ἀνόητος καὶ δύσερως καὶ κακοδαίμων ἀνήρ, ὥστε διὰ φιλίαν μικρῶν καὶ ἐφημέρων ἡδονῶν, καὶ ἀγαθῶν ἀμφισβητησίμων, καὶ ἀδήλων ἐλπίδων, καὶ ἀμφιβόλων εὐτυχημάτων, μὴ ἀνασκευάσασθαι, μηδὲ ἀνοικίσαι αὐτὸν εἰς ὡμολογημένην εὐδαιμονίαν; καὶ ταῦτα, εἰδὼς ὅτι ἀπαλλάξεται πολλαπλασίων κακῶν, ἃ τῷ δευτέρῳ τρόπῳ καὶ βίῳ ἀναπεφυρμένα, πῶς οὐ περιστατικὴν ποιεῖ κακοδαίμονά τε τὴν διαγωγὴν τοῦ βίου καὶ σφόδρα ἀτυχῆ; Ὥστε εἰκάσαιμ' ἂν ἔγωγε ἑκάτερον τῶν βίων, τὸν μὲν γενναῖον τοῦτον καὶ παντοδαπὸν, δεσμωτηρίῳ χαλεπῷ κακοδαιμόνων ἀνδρῶν καθειργμένων ἐν ἀφεγγεῖ μυχῷ, πολὺν μὲν τοῖς ποσὶ σίδηρον περιβεβλημένων, βαρὺν δὲ κλοιὸν περὶ τῷ αὐχένι, κἀκ ταῖν χεροῖν ἐξηρτημένων δεσμὰ δυσχερῆ, ῥυπώντων καὶ ἀγχομένων καὶ ῥυττομένων καὶ στενόντων· ὑπὸ δὲ χρόνου καὶ ἔθους εὐημερίας τινὰς ἑαυτοῖς ἔνδον καὶ εὐθυμίας μηχανωμένων, μεθυσκομένων ἐνίοτε ἐν τῷ δεσμωτηρίῳ, καὶ ᾀδόντων ἀναμὶξ, καὶ γαστριζομένων, καὶ ἀφροδισιαζόντων, καὶ μηδὲ ἠρέμα ἑκάστου ἐμπιμπλαμένων διὰ δέος καὶ ἀπιστίαν καὶ μνήμην τῶν παρόντων κακῶν· ὥστε ἀκούσαι ἄν τις παρ' ἑκάστῳ δεσμωτηρίῳ οἰμωγῆς ὁμοῦ καὶ ᾠδῆς, καὶ στόνου καὶ παιᾶνος. Τὸν δὲ ἕτερον αὖ βίον εἰκάζω ἀνδρὶ ἐν καθαρῷ φωτὶ διαιτωμένῳ, λελυμένῳ τὼ πόδε καὶ τὼ χεῖρε, καὶ τὸν αὐχένα πανταχοῦ περιστρέφοντι, καὶ τὰς ὄψεις πρὸς τὸν ἥλιον ἀνατείνοντι, καὶ τοὺς ἀστέρας ὁρῶντι, καὶ διακρίνοντι νύκτα καὶ ἡμέραν, καὶ τὰς ὥρας τοῦ ἔτους ἀναμένοντι, καὶ τῶν ἀνέμων αἰσθανομένῳ, καὶ ἀέρα σπῶντι καθαρὸν καὶ ἐλεύθερον· ἀπεστερημένῳ δὲ τῶν ἔνδον ἐκείνων ἡδονῶν ὁμοῦ τοῖς δεσμοῖς, μὴ μεθυσκομένῳ, μηδὲ ἀφροδισιάζοντι, μὴ γαστριζομένῳ, μὴ στένοντι, μὴ παιωνίζοντι, μὴ ᾄδοντι, μὴ οἰμώζοντι, μὴ ἐμπιμπλαμένῳ, ἀλλ' ὅσον ἀποζῆν λεπτῷ καὶ διερριγνημένῳ τὴν γαστέρα. Τίνα τῶν εἰκόνων μακαρίσωμεν, τίνα οἰκτείρωμεν τῶν βίων, τίνα ἑλώμεθα; τὸν ἐν τῷ δεσμωτηρίῳ, τὸν μικτὸν ἐκεῖνον, τὸν ἀσαφῆ, πικραῖς καὶ ἐλεειναῖς ἡδοναῖς δελεασθέντες,

Ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν,

ἡδομένων ὁμοῦ καὶ στενόντων; Μή σύ γε, ὦ δειλαία ψυχή.

priorem illum, qui nudus, sine lare, sine arte, quasi terræ totius civis et colonus obambulat: examinet autem opponens ei vitam secundi illius et agendi modum, ex eoque quærat utrum malit, in priorine persistere victu et libertate, an vero voluptates alterius una cum incommodis ejusdem sequi. Accedat deinde et alter, cui judex prioris vita illius rationem opponat et libertatem, quæratque utrum malit, suane servare, an mutet locum sedemque et in tranquillam illam liberamque, metus simul dolorisque immunem se transferat; Uter transfuga vult fieri? uter coloniam mutare? uter lubenti animo vitam commutare?

4. Quis ita demens, malique cupidus, quis tam iratis natus diis, qui minimarum caducarumque voluptatum, dubiorum bonorum, speique incertæ, et ambiguæ felicitatis causa castra mutare, et transferre se in certissimam felicitatem nolit? quum præsertim non ignoret, quam multis carere malis possit, quæ quum secundæ huic vitæ adhæreant, omnibus modis incertam miseramque vivendi et calamitosam efficiunt conditionem? Ita ut ego vitam utramque conferre soleam, primo, hanc scilicet præclaram variamque cum miserorum hominum molestissimo carcere, qui quum in obscuro aliquo detineantur angulo, ubi multo ferro crura, collum gravibus numellis, onerosis manus vinculis premantur, atque ita in sordibus, in cruciatu, et gemitibus vitam exigant; processu tamen temporis paullatim et consuetudinis, securitatem sibi quandam in ipso carcere hilaritatemque machinantur animi; nam et inebriantur interdum in carcere, et canunt promiscue, et ventrem cibo distendunt, aut veneri indulgent, neque tamen secure his omnibus explere se possunt, quin metuant, quin felicitati suæ diffidant, quin de præsentibus malis cogitent; ita ut in singulis carceribus ululatum simul cum cantu, gemitum cum pæane audias. Alteram contra vitam confero cum homine, qui in luce versatur purissima, qui manus pedesque vinculis immunes habet, collum libere quo vult inflectit, oculos recta in solem intendit, sidera intuetur, noctem a die distinguit, singulas anni tempestates exspectat, ventos sentit, liberumque ac purum trahit aerem; ita quidem ut voluptatibus simul illorum qui intus sunt in carcere, et vinculis sit immunis, non inebrietur, non scortetur, non helluetur, non gemat, sed nec moduletur, non canat, sed nec lamentetur, neque cibis se ingurgitet, sed quantum naturæ lex patitur, ventre sit sobrio et castigato. Utram igitur de illis exemplis vitam beatam, utram miseratione dignam judicabimus, utram censebimus eligendam? illamne, quæ in carcere agitur, mixtam ambiguamque, amaris miserandisque decepti voluptatibus,

Hic ubi mille homines simul exsultantque gemuntque,

qui voluptate pariter afficiuntur et gemunt? Absit vero a te, miserrima anima.

5. Ἀπολείπουσά μοι ταυτασὶ τὰς εἰκόνας αὐτοῖς μύθοις, ἴθι ἐπ' ἄνδρα, οὐ κατὰ τὴν Κρόνου ἀρχὴν βιοτεύσαντα, ἀλλ' ἐν μέσῳ τῷ σιδηρῷ γένει, ἐλευθερωθέντα ὑπὸ τοῦ Διὸς καὶ τοῦ Ἀπόλλωνος. Ἦν δὲ οὗτος οὐκ Ἀττικὸς, οὐδὲ Δωριεὺς, οὐκ ἐκ τῆς Σόλωνος τροφῆς, οὐδ' ἐκ τῆς Λυκούργου παιδαγωγίας (οὐ γὰρ χειροτονοῦσι τὰς ἀρετὰς οἱ τόποι οὐδὲ οἱ νόμοι), ἀλλὰ ἦν μὲν Σινωπεὺς ἐκ τοῦ Πόντου· συμβουλευσάμενος δὲ τῷ Ἀπόλλωνι τὰς περιστάσεις πάσας ἀπεδύσατο, καὶ τῶν δεσμῶν ἐξέλυσεν αὐτὸν, καὶ περιῄει τὴν γῆν ἄφετος, ὄρνιθος δίκην νοῦν ἔχοντος, οὐ τύραννον δεδιὼς, οὐχ ὑπὸ νόμου κατηναγκασμένος, οὐχ ὑπὸ πολιτείας ἀσχολούμενος, οὐχ ὑπὸ παιδοτροφίας ἀγχόμενος, οὐχ ὑπὸ γάμου καθειργμένος, οὐχ ὑπὸ γεωργίας κατεχόμενος, οὐχ ὑπὸ στρατείας ἐνοχλούμενος, οὐχ ὑπὸ ἐμπορίας περιφερόμενος· ἀλλὰ τούτων ἁπάντων τῶν ἀνδρῶν καὶ τῶν ἐπιτηδευμάτων κατεγέλα, ὥσπερ ἡμεῖς τῶν σμικρῶν παίδων, ἐπειδὰν ὁρῶμεν αὐτοὺς περὶ ἀστραγάλους σπουδάζοντας, τύπτοντας καὶ τυπτομένους, ἀφαιροῦντας καὶ ἀφαιρουμένους· αὐτὸς δὲ βασιλέως ἀφόβου καὶ ἐλευθέρου δίαιταν διαιτώμενος, οὐκ ἐπιτρίβων ἐν χειμῶνι Βαβυλωνίους, οὐδὲ Μήδοις ἐνοχλῶν ὥρᾳ θέρους, ἀλλ' ἐκ τῆς Ἀττικῆς ἐπὶ τὸν Ἰσθμὸν, καὶ ἀπὸ τοῦ Ἰσθμοῦ ἐπὶ τὴν Ἀττικὴν αὖθις ὁμοῦ ταῖς ὥραις μετανιστάμενος. Βασίλεια δ' ἦν αὐτῷ τά τε ἱερὰ καὶ τὰ γυμνάσια καὶ τὰ ἄλση· πλοῦτος δὲ ἀφθονώτατος καὶ ἀσφαλέστατος καὶ ἀνεπιβούλευτος, γῆ τε πᾶσα, καὶ οἱ ἐν αὐτῇ καρποὶ, καὶ κρῆναι γῆς ἔγγονοι, παντὸς Λεσβίου καὶ Χίου πώματος δαψιλέστεραι· καὶ φίλος ἦν καὶ συνήθης τῷ ἀέρι, ὥσπερ οἱ λέοντες, καὶ οὐκ ἀπεδίδρασκε τὰς ὥρας τοῦ Διὸς, οὐδὲ ἀντεμηχανᾶτο αὐτῷ, τοῦ μὲν χειμῶνος τεχνιτεύων θάλπος, τοῦ δὲ θέρους ἀναψύχεσθαι ποθῶν· ἀλλ' οὕτως ἄρα ἐθὰς ἦν τῇ τοῦ παντὸς φύσει, ὥστε ἐκ τοιαύτης διαίτης ὑγιεινός τε ἦν καὶ ἰσχυρὸς, καὶ κατεγήρα εἰς τὸ ἀκρότατον, μηδὲν φαρμάκων δεηθεὶς, μὴ σιδήρου, μὴ πυρὸς, μὴ Χείρωνος, μὴ Ἀσκληπιοῦ, μὴ Ἀσκληπιαδῶν, μὴ μάντεων μαντευομένων, μὴ ἱερέων καθαιρόντων, μὴ γοήτων ἐπᾳδόντων. Πολεμουμένης δὲ τῆς Ἑλλάδος, καὶ πάντων πᾶσιν ἐπιτιθεμένων,

Οἳ πρὶν ἐπ' ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα,

ἐκεχειρίαν ἦγε μόνος, ἐν ὡπλισμένοις ἄοπλος, ἐν μαχομένοις ἔνσπονδος πᾶσιν· ἀπείχοντο δὲ αὐτοῦ καὶ οἱ ἄδικοι, καὶ οἱ τύραννοι, καὶ οἱ συκοφάνται. Ἤλεγχε μὲν γὰρ τοὺς πονηροὺς, ἀλλ' οὐ λόγων σοφίσμασιν, ὅσπερ ἐλέγχων ἀνιαρότατος· ἀλλὰ ἔργα ἔργοις παρατιθεὶς ἑκάστοτε, ὅσπερ ἐλέγχων ἀνυσιμώτατος καὶ εἰρηνικώτατος· καὶ διὰ τοῦτο οὔτε Μέλητός τις ἐπὶ Διογένην ἀνέστη, οὔτε Ἀριστοφάνης, οὐκ Ἄνυτος, οὐ Λύκων.

6. Πῶς οὖν οὐ προηγούμενος τῷ Διογένει ὁ βίος οὗτος, ὃν ἑκὼν εἵλετο, ὃν Ἀπόλλων ἔδωκεν, ὃν ὁ Ζεὺς ἐπῄνεσεν, ὃν οἱ νοῦν ἔχοντες θαυμάζουσιν; ἢ ἄλλο τι ἡγού-

5. Quin potius similitudines has cum fabulis relinque, rectaque virum adi, qui non Saturni regis tempore, sed in medio hoc sæculo ferreo vixit, quem dii duo, Juppiter et Apollo, liberali causa asseruerunt manu. Erat hic nec Atticus, nec Doricus, neque Solonis alumnus, neque ex Lycurgi disciplina (non enim virtutem suffragio suo aut locus ullus creat, aut lex), sed erat Sinopensis Ponticus : qui adhibito in consilium Apolline, omnibus se vitæ exuit necessitatibus, omnibus se expedivit vinculis, totamque terram liber et suus, non secus quam avis ratione prædita, circumiit; ita ut nec tyrannum ullum metueret, nec ab ulla cogeretur lege, neque ulli reipublicæ otium transcriberet suum, non liberorum educatione oppressus, non nuptialibus astrictus vinculis, non agriculturæ intentus, non militaribus turbatus curis, nec rei augendæ studio discurrens; sed hos omnes cum curis suis non aliter ridebat, quam nos solemus puerulos, quos talis suis serio intentos ferire ac feriri, spoliare et spoliari ab aliis videmus : ipse vero regis securi liberique vitam agebat, non ut hieme Babylonios premeret, æstatis tempore Medos fatigaret; sed ex Attica Isthmum, rursus, relicto Isthmo, Atticam una cum anni tempestate petebat. Regiæ illius templa erant, gymnasia, et luci sacri; divitiæ maximæ certissimæque, neque ullis obnoxiæ insidiis, universa cum fructibus suis terra, tum fontes terræ filii, omni Lesbio Chioque largiores nectare : amicus præterea et familiaris erat aeri, sicut leonum corpora, neque Jovis se subducere tempestatibus volebat, nec cum eo luctabatur, ut calorem hieme moliretur, frigus æstate desideraret : sed ita naturæ universi assueverat, ut hoc vivendi genere et sanitatem sibi pararet et robur, vitamque quam longissime extenderet, neque interim aut medicorum egeret remediis, aut ferro, aut igne, aut Chirone, aut Æsculapio, aut Asclepiadis haberet opus, non oraculis vatum, non lustratione sacerdotum, non præstigiatorum incantamentis. Jam quum gravissimo bello arderet Græcia, sibique omnes insultarent mutuo,

Consueti inter se miserando cernere Marte,

solus inducias agebat, inter armatos inermis, inter bellantes fœderatus omnium : manum ab eo abstinebant improbi omnes, et tyranni, et sycophantæ. Arguebat enim scelestos, non tamen verborum captiunculis, quod reprehendendi genus esse solet molestissimum; sed ut plurimum re ipsa ipsaque vita vitam eorum arguebat, quod reprehendendi genus est efficacissimum minimeque asperum : propterea nec Melitus ullus, nec ullus Aristophanes, aut Anytus, nullus Diogenem invasit Lyco.

6. Quid ergo obstaret quominus reliquis omnibus præferenda hæc vita esset Diogeni, quam sponte sua elegerat, quam Apollo dederat, commendarat Juppiter, quam omnes

μεθα εἶναι τὴν περίστασιν, ἢ χρῆσιν πράξεως οὐκ αὐθαίρετον τῷ ἔχοντι; Ἔρου δὴ τὸν γεγαμηκότα, τίνος εἵνεκα γαμεῖ· παίδων φησί· τὸν παιδοτροφοῦντα, τίνος εἵνεκα ἐτεκνώσατο· διαδοχῆς ἐρᾷ· τὸν στρατευόμενον, πλεονεξίας ἐρᾷ· τὸν γεωργοῦντα, καρπῶν ἐρᾷ· τὸν χρηματιζόμενον, εὐπορίας ἐρᾷ· τὸν πολιτευόμενον, τιμῆς ἐρᾷ. Τῶν δὲ ἐρώτων τούτων οἱ πολλοὶ ἀμβλισκάνουσι, καὶ εἰς τοὐναντίον περιίστανται, καὶ εὐχῆς ἔργον ἡ ἐπιτυχία, οὐ γνώμης οὐδὲ τέχνης. Ἕκαστος δὴ τῶν ταῦτα αἱρουμένων περίστασίν τινα διαπεραίνεται τοῦ βίου, καὶ ταλαιπωρίας ἀνέχεται οὐκ ἀκουσίου, οὐδὲ δι' ἄγνοιαν τῶν αὐθαιρέτων ἀγαθῶν. Τίνα γὰρ ἂν τις καὶ φαίη τούτων ἐλεύθερον; τὸν δημαγωγόν; δοῦλον λέγεις πολλῶν δεσποτῶν· τὸν ῥήτορα; δοῦλον λέγεις πικρῶν δικαστῶν· τὸν τύραννον; δοῦλον λέγεις ἀκολάστων ἡδονῶν· τὸν στρατηγόν; δοῦλον λέγεις ἀδήλου τύχης· τὸν πλέοντα; δοῦλον ἀσταθμήτου τέχνης· τὸν φιλόσοφον; ποῖον λέγεις; ἐπαινῶ μὲν γὰρ καὶ Σωκράτην, ἀλλ' ἀκούω λέγοντος· Πείθομαι τῷ νόμῳ, καὶ ἑκὼν ἐπὶ τὸ δεσμωτήριον ἄπειμι, καὶ λαμβάνω τὸ φάρμακον ἑκών. Ὦ Σώκρατες, ὁρᾷς τί φῄς; ἑκών, ἢ πρὸς ἀκουσίους τύχας εὐπρεπῶς ἵστασαι; Πειθόμενος νόμῳ. Τίνι; εἰ μὲν γὰρ τῷ τοῦ Διός, ἐπαινῶ τὸν νομοθέτην· εἰ δὲ τῷ Σόλωνος, τί βελτίων ἦν Σόλων Σωκράτους; Ἀποκρινάσθω μοι καὶ Πλάτων ὑπὲρ φιλοσοφίας, εἰ μηδεὶς αὐτὸν ἐπετάραξε, μὴ Δίων φεύγων, μὴ Διονύσιος ἀπειλῶν, μὴ τὰ Σικελικὰ καὶ τὰ Ἰώνια πελάγη, ἄνω καὶ κάτω πρὸς ἀνάγκην διαπλεόμενα. Κἂν ἐπὶ Ξενοφῶντα ἔλθω, βίον καὶ τοῦτον ὁρῶ μεστὸν πλάνης, καὶ τύχης ἀμφιβόλου, καὶ στρατείας κατηναγκασμένης, καὶ στρατηγίας ἀκουσίου, καὶ φυγῆς εὐπρεποῦς. Ταύτας τοίνυν φημὶ τὰς περιστάσεις διαφεύγειν ἐκεῖνον τὸν βίον, δι' ὃν καὶ Διογένης ὑψηλότερος ἦν καὶ Λυκούργου καὶ Σόλωνος καὶ Ἀρταξέρξου καὶ Ἀλεξάνδρου, καὶ ἐλευθερώτερος αὐτοῦ τοῦ Σωκράτους, οὐ δικαστηρίῳ ὑπαχθείς, οὐδὲ ἐν δεσμωτηρίῳ κείμενος, οὐδὲ ἐκ τῶν συμφορῶν ἐπαινούμενος.

ΛΟΓΟΣ ΛΖ'.

Εἰ συμβάλλεται πρὸς ἀρετὴν τὰ ἐγκύκλια μαθήματα.

1. Σωκράτης ἐν Πειραιεῖ διαλεγόμενος πολιτικοῖς ἀνδράσιν ἀναπλάττει τῷ λόγῳ, καθάπερ ἐν δράματι, πόλεώς τε καὶ πολιτείας ἀγαθῆς εἰκόνα, καὶ τίθεται νόμους, καὶ παῖδας τρέφει καὶ φρουροὺς τῇ πόλει **, μουσικῇ καὶ γυμναστικῇ παραδοὺς τὰ τῶν πολιτῶν σώματα καὶ τὰς ψυχάς· παραστήσας ἀμφοῖν τοῖν μαθημάτοιν διδασκάλους ἀγαθούς, ἐκκρίτους, ὥσπερ ἀγέλης ἡγεμόνας, φύλακας ὀνομάζων τοὺς ἡγεμόνας· ὄναρ, οὐχ ὕπαρ, ὡς δόξαι ἄν τινι τῶν ἀγροικοτέρων, ξυνιστὰς πόλεις. Ἀλλὰ γὰρ τῆς παλαιᾶς φιλοσοφίας ὁ τρόπος οὗτος ἦν, ἐοικὼς τοῖς χρησμοῖς. Εἰ δὲ βούλει, τὸν μὲν Σωκράτην ἐῶ· τὸν δὲ Ἀθηναῖον παρακαλῶμεν ξένον ἀποκρίνεσθαι ἡμῖν· καὶ γὰρ αὖ καὶ τούτου ἀκούω ἐν

sapientes admirantur? an aliud esse putamus fortunæ incommodum, præter usum actionis eventumque ex arbitrio auctoris non pendentem? Quære ex eo qui uxorem duxit, cur id fecerit; respondebit, Liberorum causa: ex eo qui liberos educat, cur eos genuerit; successioni studet: ex eo qui militat; ampliori fortunæ studet: ex rustico; fructibus studet: ex negotiatore; facultatibus augendis studet; ex eo qui rempublicam tractat; studet honori. Omnes hi fines evanescunt utplurimum, et in contrarium abeunt; neque artis, aut sapientiæ, sed voti est felicitas. Quare singuli, qui hæc proponunt sibi, difficultatem quandam experiuntur vitæ, miseriamque sustinent non involuntariam, neque ex ignoratione eorum quæ per se petenda sunt bonorum. Quem enim ex hoc numero dixerit aliquis esse liberum? præfectumne reipublicæ? servum dicis non unius domini; patronumne? servum dicis asperorum judicum; tyrannumne? servum dicis effrenissimarum voluptatum; imperatoremne? servum dicis incertæ fortunæ; nautamne? servum indefinitæ artis; philosophumne? qualem dicis? Socratem quidem laudo, sed dicentem audio: Legi morem gero, volens carcerem peto, volens cicutam bibo. Videsne quid dicas, o noster Socrates? volensne, an vero invitus occurris fortunæ fortiter? Legi pareo. At cui legi? si Jovis, legislatorem laudo; sin Solonis, qua in re Socrati præferendus erat Solon? Respondeat mihi pro philosophia etiam Plato, an nemo eum turbaverit, non exilium Dionis, non minæ Dionysii, nec Sicula aut Ionica maria, quæ toties coactus sursumque deorsumque cursitans transmisit. Quodsi ad Xenophontem abeo, hanc quoque vitam erroris plenissimam, ambiguæ fortunæ, expeditionis coactæ, imperii haud sponte suscepti, et exilii speciosi video. Horum ergo casuum omnium immunem istam dico esse vitam: ob quam et supra Lycurgum, et Solonem, et Artaxerxen, et Alexandrum constitutus fuit Diogenes; libertate vero etiam Socratem antecessit, non delatus in judicio, nec in carcere detentus, neque laudem consecutus ex miseria.

DISSERTATIO XXXVII.

An ad virtutem aliquid artes liberales conferant.

1. Socrates in disputatione illa, quam in Piræeo cum civilibus viris habuit, optimæ reipublicæ imaginem, non secus quam in dramate aliquo, oratione effingit; nam et leges condit, et liberos educat, et custodes civitati ponit, musica gymnasticaque arte corpora simul animosque civium efformans: quod ut melius fiat, magistros utriusque disciplinæ præstantissimos, egregios, tanquam totius gregis duces, præficit, quos custodes nominat: eum autem vereor ne aliquis paullo agrestior magis in somniis, quam revera, constituere urbes dicat. Verum non alia fuit antiquæ philosophiæ ratio, quæ non multum differebat ab oraculis. Sed si placet, relinquam Socratem, ac potius ab altero illo Atheniensi cive petamus, ut nobis respondeat; nam hunc

Κρήτῃ διαλεγομένου, ἐν Διὸς τοῦ Δικταίου τῷ ἄντρῳ, Μεγίλλῳ τῷ Λακεδαιμονίῳ, καὶ Κλεινίᾳ τῷ Κνωσίῳ, πόλει Δωρικῇ οἰκιζομένῃ τιθέντος νόμους, ἵνα πείθωνται τὸ Κρητῶν γένος μουσικὴν εἰς τὰ τῆς ἀνδρείας ἐπιτηδεύματα εἰσοικίσαι, καὶ ἡμερῶσαι τὸν θυμὸν τῷ μέλει· ἵνα μὴ κολοβὸς αὐτοῖς ἡ ἀρετὴ μηδὲ ἀτελὴς γίγνηται, πρὸς τὸν μὲν ἔξω πόλεμον παρασκευάζουσα καρτερεῖν καλῶς καὶ ἀνέχεσθαι πονουμένους, καὶ ἀποθνήσκειν μένοντας, πρὸς δὲ τὸν ἐν τῇ ψυχῇ τὸν στασιωτικὸν μηδεμίαν παρασκευὴν πορισαμένη τοῖς αὐτῆς θρέμμασιν·

2. Πῶς τοῦτο λέγεις, ὦ ξένε Ἀττικέ; οὕτω τὸ ἀγαθὸν ἡμῖν στενὸν καὶ γλίσχρον καὶ δύσληπτον, καὶ ἄδηλον καὶ πραγματείας πολλῆς ἐμπεπλησμένον, ὥστε οὐκ ἂν αὐτοῦ τύχοιμεν, ὅτι μὴ τερετίζοντες καὶ ψάλλοντες, καὶ τὰς ἐν γεωμετρίᾳ γραμμὰς ἄνω καὶ κάτω καταγράφοντες, καὶ τριβόμενοι ἐν τούτοις, ὥσπερ ἄλλο τι ἐθέλοντες, ἀλλ' οὐκ ἄνθρωποι ἀγαθοὶ εἶναι; πρᾶγμα κατὰ μὲν τὴν χρείαν ὑψηλὸν καὶ μέγα καὶ ἐγγύς που τινὸς θείας ἀρετῆς, κατὰ δὲ τὴν κτῆσιν οὐ χαλεπὸν τῷ ἅπαξ ἐθελήσαντι εἶξαι τῷ καλῷ, καὶ πρὸς τὰ αἰσχρὰ ἀντιβλέψαι. Ἀποκρίνεται ὁ Ἀθηναῖος ξένος, ὅτι καὶ πόλεως τὸ καλούμενον δὴ τοῦτο νόμος ἄνευ πειθοῦς τῶν χρωμένων σύγγραμμά ἐστιν ἄλλως κενόν· δεῖ δὴ αὐτῷ τοῦ δήμου πειθομένου ἑκόντος· ὁ δὲ ἐν τῇ ψυχῇ δῆμος πολὺς καὶ ἔμπληκτος· ἀλλ' ἐπειδὰν ἅπαξ εἴξας ὁμολογήσῃ τῷ νόμῳ, καὶ ἕπηται ᾗ αὐτὸς ἐπικελεύῃ, τοῦτο ἂν εἴη τὸ χρῆμα πολιτεία ψυχῆς ἡ ἀρίστη, ἣν καλοῦσιν οἱ ἄνθρωποι φιλοσοφίαν.

3. Φέρε δή, νομοθέτου δίκην παρίτω φιλοσοφία, ψυχὴν ἄτακτον καὶ πλανωμένην κοσμήσουσα, καθάπερ δῆμον· παρακαλείτω δὲ ξυλλήπτορας ἐσομένας αὐτῇ καὶ ἄλλας τέχνας, οὐ βαναύσους, μὰ Δία, οὐδὲ χειρουργικάς, οὐδὲ οἵας συντελεῖν τὰ φαῦλα ἡμῖν· ἀλλὰ τὴν μὲν τὸ σῶμα τῇ ψυχῇ παρασκευάζουσαν ὄχημα εὐπειθὲς καὶ ἐρρωμένον τοῖς προστάγμασιν ὑπηρετεῖν, γυμναστικὴν ταύτην ὀνομάζουσα· τὴν δὲ ἄγγελον τῶν τῆς ψυχῆς διανοημάτων, ῥητορικὴν ταύτην ὀνομάζουσα· τὴν δέ,

ἀγαθὴν τιθήνην καὶ τροφὸν γνώμης νέας,

ποιητικὴν ταύτην ὀνομάζουσα· τὴν δὲ ἡγεμόνα τῆς ἀριθμῶν φύσεως, ἀριθμητικὴν ταύτην ὀνομάζουσα· τὴν δὲ καὶ λογισμῶν διδάσκαλον, λογιστικὴν ταύτην ὀνομάζουσα· γεωμετρίαν δὲ καὶ μουσικήν, ξυνερίθω τε καὶ ξυνίστορε φιλοσοφίας, τῶν αὐτῆς νείμασα ἑκάστῃ μέρος τοῦ πόνου.

4. Καὶ περὶ μὲν τῶν πόνων τάχα δὴ ἑξῆς διέξειμι· νῦν δὲ δὴ μουσικῆς πέρι, τοῦ πρεσβυτάτου τῶν ἐν ψυχῇ ἐπιτηδευμάτων, προχειρισάμενοι λέγωμεν τὰ εἰκότα· ὡς ἔστι καλὸν μὲν καὶ ἀνδρὶ ἑνὶ μουσική, καλὸν δὲ αὖ καὶ πόλει καὶ γένει ξύμπαντι, ᾧ τῶν θεῶν μοίρᾳ μουσικὴν συνέβη ἐπιτηδευθῆναι. Οὔ τι τοι λέγω τὴν δι' αὐλῶν καὶ ᾠδῆς καὶ χορῶν καὶ ψαλμάτων, ἄνευ λόγου

quoque in Creta, in Dictæo Jovis antro, cum Lacedæmonio Megillo et Cnossio illo Clinia disserentem audio, quum Doricæ civitati, de cujus tum fundatione agebatur, leges condit, suadetque Cretensibus, ut inter reliqua, quibus ad virtutem excitantur cives, musicam quoque admittant, ejusque modulatione vehementes animi componerent motus, ne mutila eorum ulla ex parte aut imperfecta esset virtus : quod fieret si, quo modo externum quidem bellum tolerare fortiter ac sustinere possent, et morerentur in ipso pugnæ loco, doceret eos, seditioni vero internæ, qua fluctuare solet animus, nullum civibus suis præscriberet remedium :

2. Quid ais vero, hospes Attice? tamne tibi angusta, tam lubrica ac difficilis videtur ea, quæ ad bonum deducit, via, tam incerta multisque obsessa molestiis, ut nisi quis cantillet, et minuriat, totosque dies in geometrico pulvere lineas sursum deorsum deducat, in talibusque rebus se exerceat, pervenire ad bonum nequeat; quasi aliud quid nobis esset propositum, quam ut viri boni fiamus? quum profecto bonum et honestum, si usum spectes, res magna sit et sublimis et divinæ prope affinis virtuti; si, quo comparatur, modum, facillima ei, qui semel honesto locum dederit, turpi vero bellum indixerit. Respondebit Atheniensis hospes : Id quod legem vocant in republica, nisi accedat civium obsequium, frustra ferri ac rogari; oportere igitur ut sponte parere velit populus : eum vero, qui in animo nostro est, populum varium esse et insanum; qui si semel legi consenserit, locumque ei dederit, et quo jusserit cœperit sequi, tum demum præstantissimam obtinere in animo reipublicæ formam, quam philosophiam vocant homines.

3. Quare censeo ut philosophiam hanc advocemus, quæ legislatoris instar tumultum erroremque animi, tanquam populi alicujus, componat : assumito autem artium aliarum subsidium, non e numero illarum, hercule, quas sedentarias aut mechanicas dicimus, quibusque ad vilia illa quotidiana utimur; sed illam primo, quæ corpus ita præparet, ut promptum animæ vehiculum validumque ad obeunda ejus imperia esse possit, quam gymnasticam dicat; alteram rursus, quæ animi conceptiones efferat, quam rhetoricen vocet; tertiam, quæ

Juveniles animos educet, nutrix bona,

quam poeticen appellet; quartam, quæ numerorum rationem præeat, quam arithmeticen nominet; quintam, quæ supputandi, quam calculatoriam nuncupet; hanc aliæ duæ, geometria ac musica, sequantur, sociæ philosophiæ atque arcanorum ejus consciæ, quarum singulis illa suorum operum partem convenientem tribuit.

4. De quibus posterius forte dicturi sumus : nunc de musica, ut instituimus, quæ omnium animi disciplinarum antiquissima est, ea quæ par videtur dicamus; eam nimirum et singulis hominibus et totis conducere urbibus et gentibus, quibus deorum munere exercitium ejus est concessum. Non de ea nunc ago, quæ tibiis, aut cantiunculis, aut pedum motibus, aut sola vocis inflexione sine verbis animum

ἐπὶ τὴν ψυχὴν ἰοῦσαν, τῷ τερπνῷ τῆς ἀκοῆς τιμηθεῖσαν. Ταύτην μὲν γὰρ ἔοικεν ἡ ἀνθρωπίνη ἀγαπήσασα πλημμέλεια, ἑπομένη τῷ ἡδεῖ φαινομένῳ, νοθεῦσαι διὰ τοῦ ἔρωτος τούτου τὴν ἀκρίβειαν τῆν μουσικῆς. Τὸ γὰρ νῦν ἔχον ἐξίτηλος ἡμῖν γενομένη οἴχεται, ἀποδυσαμένη τὸ αὑτῆς κάλλος, τὸ ὑγιὲς ἐκεῖνο καὶ ἀρχαῖον, ἐξαπατῶσα ἡμᾶς καθάπερ ἑταίρας ἐπίχριστον, οὐχ αὐτοφυὲς ἄνθος, καὶ εἰδώλῳ τινὶ μουσικῆς ξυνόντες λανθάνομεν, αὐτὴν ἐκείνην τὴν ἀληθῆ καὶ ἐκ τοῦ Ἑλικῶνος μοῦσαν, τὴν Ὁμήρῳ φίλην, τὴν Ἡσιόδου διδάσκαλον, τὴν Ὀρφέως μητέρα, οὔτε ἔχοντες οὔτε εἰδότες· ἡ δὲ παρανομία, κατὰ σμικρὸν συμφορηθεῖσα ἡμῖν, τὴν ψυχὴν εἰς τὸν ὄλισθον τοῦτον κατέσπασε καὶ ἰδίᾳ καὶ δημοσίᾳ· ὅτε Δωριεῖς μὲν οἱ ἐν Σικελίᾳ, τὴν ὄρειον ἐκείνην καὶ ἀφελῆ μουσικὴν οἴκοι καταλιπόντες, ἣν ἐπὶ ἀγέλαις καὶ ποίμναις εἶχον, Συβαριτικῶν αὐλημάτων ἐρασταὶ γενόμενοι, καὶ ὄρχησιν ἐπιτηδεύσαντες, οἵαν ὁ αὐλὸς ἠνάγκαζεν Ἰώνων, ἀφρονέστεροι μὲν τὸ εὐφημότατον, ἀκολαστότεροι δὲ τὸ ἀληθέστατον, ἐγένοντο. Ἀθηναίοις δὲ ἡ μὲν παλαιὰ μοῦσα χοροὶ παίδων ἦσαν καὶ ἀνδρῶν, γῆς ἐργάται κατὰ δήμους ἱστάμενοι, ἄρτι ἀμητοῦ καὶ ἀρότου κεκονιμένοι, ᾄσματα ᾄδοντες αὐτοσχέδια· μεταπεσοῦσα δὲ ἡσυχῇ ἐπὶ τέχνην ἀκορέστου χάριτος ἐν σκηνῇ καὶ θεάτροις, ἀρχὴ τῆς περὶ πολιτείαν αὐτοῖς πλημμελείας ἐγένετο. Ἡ δὲ ἀληθὴς ἁρμονία, ἣν ᾄδει μὲν ὁ Μουσῶν χορὸς, ἐξάρχει δὲ αὐτῆς ὁ Ἀπόλλων ὁ μουσηγέτης, σώζει μὲν ψυχὴν μίαν, σώζει δὲ οἶκον, σώζει πόλιν, σώζει ναῦν, σώζει στρατόπεδον.

5. Εἰ δὲ Πυθαγόρᾳ πειθόμεθα, ὥσπερ καὶ ἄξιον, καὶ μελῳδεῖ ὁ οὐρανὸς, οὐ κρουόμενος, ὥσπερ λύρα, οὐδὲ ἐμπνεόμενος, ὥσπερ αὐλὸς, ἀλλ' ἡ περιφορὰ τῶν ἐν αὐτῷ δαιμονίων καὶ μουσικῶν σωμάτων, σύμμετρός τε οὖσα καὶ ἀντίρροπος, ἦχόν τινα ἀποτελεῖ δαιμόνιον. Τῆς ᾠδῆς ταύτης τὸ κάλλος θεοῖς μὲν γνώριμον, ἡμῖν δὲ ἀναισθὲς, δι' ὑπερβολὴν μὲν αὐτοῦ, ἔνδειαν δὲ ἡμετέραν. Τοῦτό μοι δοκεῖ καὶ Ἡσίοδος αἰνίττεται, Ἑλικῶνά τινα ὀνομάζων ζάθεον καὶ χοροὺς ἠγαθέους ἐν αὐτῷ, κορυφαῖον δὲ εἴτε Ἥλιον, εἴτε Ἀπόλλωνα, εἴτε τι ἄλλο ὄνομα φανοτάτῳ καὶ μουσικῷ πυρί. Ἡ δέ γε ἀνθρωπίνη, καὶ περὶ τὴν ψυχὴν ἰοῦσα, τί ἂν εἴη ἄλλο, ἢ παιδαγώγημα τῶν τῆς ψυχῆς παθημάτων, τὸ μὲν ἐξᾷττον αὐτῆς καὶ φερόμενον κατεπᾴδουσα, τὸ δὲ παρειμένον καὶ ἐκλελυμένον ἔμπαλιν ἐπαίρουσα καὶ παροξύνουσα; Δεινὴ μὲν γὰρ ἐπελαφρῦναι οἶκτον, δεινὴ δὲ ἀμβλῦναι ὀργὴν, δεινὴ δὲ ἐπισχεῖν θυμὸν, ἀγαθὴ ἐπιθυμίαν σωφρονίσαι, καὶ λύπην ἰάσασθαι, καὶ ἔρωτα παραμυθήσασθαι, καὶ συμφορὰν κουφίσαι· ἀγαθὴ καὶ ἐν θυσίαις παραστάτις, καὶ ἐν δαιτὶ σύσσιτος, καὶ ἐν πολέμῳ συστράτηγος· δεινὴ δὲ καὶ ἐν ἑορταῖς εὐφρᾶναι, καὶ ἐν Διονυσίοις κωμάσαι, καὶ ἐν τελεταῖς ἐπιθειάσαι· δεινὴ καὶ πολιτείας ἦθος κεράσαι τῷ μέτρῳ. Οὕτω Βοιωτοὺς τοὺς ἀγροίκους αὐλὸς ἐπιτηδευόμενος ἡμέρωσε, καὶ ποιητὴς Πίνδαρος συνῳδὸς τῷ αὐλῷ· καὶ Σπαρτιάτας ἤγειρε τὰ Τυρταίου ἔπη, καὶ Ἀργείους τὰ Τελε-

penetrat, nec aliud quam aurium voluptatem habet cur celebretur. Hanc enim amplexa esse videtur animi humani corruptio, dum jucunditatis sequitur speciem, et, ut gratificetur huic libidini, veram illam in spuriam illegitimamque mutasse musicen. Hodie certe ex nostris sublata est oculis, positaque antiqua illa sinceraque sua pulchritudine, imponit nobis, sicut fucatus, haud verus, meretricis nitor; nescimus enim nos spectrum quoddam retinere musicæ, veram autem illam Heliconiam Musam, quæ amica Homeri, magistra Hesiodi, Orphei mater fuit, nos neque habere, neque novisse : verum illegitima usurpatio, paullatim sese insinuans, nostrum quum publice, tum privatim in errorem hunc pertraxit animum : ex quo Dores qui Siciliam incolunt, simplicem illam agrestemque musicen, qua inter greges suos pecudesque utebantur, domi reliquerunt, ac pro ea tibias Sybariticas amare, ad Ionicas saltare cœperunt; unde dementiores, ut lenissime dicam, sed ut vere, intemperantiores facti sunt. Antiqua Atheniensium musa nihil aliud quam chori puerorum virorumque erant, agricolæ in populos divisi, qui adhuc a semente sua et messe obsiti pulvere incomposita quædam et extemporanea canebant carmina; ab his quum paullatim ad artem, quæ voluptatem habet prorsus insatiabilem, scenicam et theatralem deflecteret, hoc corrumpendæ fuit reipublicæ principium. At vera illa harmonia, quam musarum canit chorus, dux earum inchoat Apollo, singulorum animos conservat, totas domos conservat, conservat urbem, conservat navem, conservat exercitum.

5. Quodsi Pythagoræ, ut par est, credimus, cœlum quoque modulationem edit; non quod ut lyra pulsetur, aut inflетur ut tibia, sed quod circuitu suo divina illa musicaque, quæ in eo sunt, corpora congruo aptoque cœlestem quandam excitent harmoniam : cujus quidem cantus pulchritudinem noverunt dii, nos non sentimus, tam quod nimia ejus est excellentia, quam quod tanta est nostra imbecillitas. Neque aliud mea sententia occulte innuere Hesiodus voluit, quum Heliconem quendam (ab ἑλιγμῷ i. e. volutatione dictum) statuit divinum, divinosque in ipso choros, quibus præsidem sive Solem facit, sive Apollinem, sive quocunque nomine clarissimum illum ignem, qui in hac harmonia agit principem, appellare libuerit. At vero humana illa nostra, quæ circa animum versatur, quid aliud est quam custos ejus et magistra; quæ affectibus præest illius, ut si qui nimium se efferant et exsultent, eos demulceat; si qui remissi nimium et dissoluti sint, eos exacuat denuo excitetque? Hæc est quæ facillime luctum levat, facillime iram cohibet, optime cupiditates temperat, dolores mitigat, amores solatur, adversam sublevat fortunam; optima hæc in sacrificiis comes, in epulis convictrix, imperatrix in bello; hæc est quæ maxime in festis reficit, in Bacchanalibus saltat, in mysteriis afflat homines: hujus præcipuum quoque opus est modulatione sua apte rempublicam temperare. Ita agrestes Bœotorum mores tibiæ studium et tibiæ aptatum Pindari carmen mitigavit; sic Tyrtæi numeri Spartanos, Argivos

σίλλης μέλη, καὶ Λεσβίους ἡ Ἀλκαίου ᾠδή· οὕτω καὶ Ἀνακρέων Σαμίοις Πολυκράτην ἡμέρωσε, κεράσας τῇ τυραννίδι ἔρωτα, Σμερδίου καὶ Κλεοβούλου κόμην, καὶ αὐλοὺς Βαθύλλου, καὶ ᾠδὴν Ἰωνικήν.

6. Τὰ δὲ τούτων ἀρχαιότερα εἰς τί χρὴ λέγειν; Ὀρφεὺς ἐκεῖνος ἦν μὲν Οἰάγρου παῖς καὶ Καλλιόπης αὐτῆς, ἐγένετο δὲ ἐν Θρᾴκῃ ἐν τῷ Παγγαίῳ ὄρει· νέμονται δὲ τοῦτο Θρᾳκῶν οἱ Ὀδρύσαι, ὄρειον γένος, λῃσταὶ καὶ ἄξενοι· ἀλλ' εἵποντό γε Ὀδρύσαι ἑκόντες ἡγεμόνι Ὀρφεῖ, καλῇ κηλούμενοι τῇ ᾠδῇ. Τοῦτο ἄρα δρῦς καὶ μελίας ἐγένετο ἄγειν, εἰκαζόντων τὸ ἀγεννὲς τοῦ τῶν κηλουμένων τρόπου ἀψύχοις σώμασιν. Ἄλλος ἦν περὶ Βοιωτίαν κιθαριστὴς γενναῖος, οὐ λίθους, οὐδὲ οἷον ὁ μῦθός φησι, προσαγόμενος τῇ τέχνῃ (πῶς γὰρ ἂν γένοιτο ἐξ ᾠδῆς τεῖχος;) ἀλλ' ὑπὸ μέλει ἐμβατηρίῳ καὶ τακτικῷ συναγαγὼν εἰς φάλαγγα τοὺς Βοιωτῶν νέους τεῖχος ἄμαχον ταῖς Θήβαις περιέβαλεν· οἷον τεῖχος καὶ Σπαρτιάταις ἐμηχανήσατο Λυκοῦργος, ἐπιτάξας τοῖς νέοις αὐλὸν ἡγεμόνα ἐν ταῖς μάχαις· οἱ δὲ ἐπείθοντο, καὶ ἐπολέμουν ἐν χοροῦ νόμῳ. Τοῦτον ἔχων καὶ Θεμιστοκλῆς τὸν αὐλὸν εἰς τὰς ναῦς ἐνεβίβασε τὰς Ἀθήνας, οἱ δὲ ὑπ' αὐλῷ οἱ μὲν ἤρεσσον, οἱ δὲ ἐμάχοντο, ἐνίκων δὲ ἄμφω, ξυνεπήχουν δὲ καὶ αἱ θεαὶ τῷ χορῷ Ἐλευσινόθεν. Ἐκεῖθεν ἐπινίκια ἕστηκεν, ἐκεῖθεν τρόπαια Λακωνικὰ καὶ Ἀττικά, θαλάττια καὶ ἠπειρωτικά, μετ' ἐπιγραμμάτων καλῶν· τοῦτον τὸν χορὸν ἐνίκων μὲν Λακεδαιμόνιοι, ἐδίδασκε δὲ Λεωνίδης.

7. Καὶ τί δεῖ πλείω λέγειν, ἢ μουσικῆς πέρι ἀπομηκύνειν; ἀγαθὴ μὲν γὰρ εἰρήνης ξυνεργός, ἀγαθὴ δὲ ἐν πολέμῳ παραστάτις, ἀγαθὴ δὲ ἐν πολιτείᾳ ξύνοικος, ἀγαθὴ δὲ καὶ παίδων τροφός. Ταχεῖα γὰρ τῶν αἰσθήσεων ἡ ἀκοή, καὶ ὀξέως ἐπὶ τὴν ψυχὴν τὰ γνωσθέντα ἀναπέμπουσα, καὶ προσαναγκάζουσα συμφθέγγεσθαι καὶ συνορμᾶν τοῖς αὐτῆς πάθεσιν. Ὅθεν ἄμουσοι ψυχαὶ καὶ ἐκμελεῖς, παντὶ τῷ ἡδεῖ φαινομένῳ ἐνδιδοῦσαι, οὐδαμῶς ἄν ποτε γένοιντο μέτοχοι ὀρθοῦ νόμου, μουσικὴν δὲ ὀνομάζουσι τὴν αὐτῶν ἡδονὴν δι' ὁμοιότητα οὐ τοῦ τέλους, ἀλλὰ τῆς περὶ τὰ μέλη πραγματείας· οἷον εἴ τις καὶ ἰατρικὴν καλοῖ τέχνην, ἀπεληλαμένην μὲν τοῦ ὑγιεινοῦ, περὶ δὲ τὰ αὐτὰ φάρμακα ἐξεταζομένην. Οὕτως ἀμέλει καὶ γεωμετρίαν, τὸ γενναιότατον φιλοσοφίας μέρος, οἱ μὲν πολλοὶ τὸ φαῦλον, καὶ ἐπὶ τῷ φαύλῳ τέλει, μέχρι τοῦ περὶ τὴν χρείαν ἀναγκαίου δοκοῦντος προσίενται, διαμετρῆσαι γῆν, καὶ ἀναστῆσαι τειχίον, καὶ πᾶν ὅσον εἰς χειρουργίαν αὐτὴ συντελεῖ, δοκιμάζοντες, πρόσω δὲ οὐχ ὁρῶντες· ἡ δὲ οὐχ οὕτως ἔχει, πολλοῦ γε καὶ δεῖ· οὐ γὰρ ἂν ᾠκεῖτο χεῖρον ἡ γῆ, μὴ διαμετρουμένων αὐτὴν ἀκριβῶς πενήτων γεωργῶν. Ἀλλὰ τοῦτο μὲν εἴη ἄν τι τῶν ἐν γεωμετρίᾳ τὸ φαυλότατον· τὸ δ' ἔργον αὐτό, ὥσπερ τι ὀξυωπὲς τῆς διανοίας φάρμακον, ῥώμην αὕτη οὐκ ἀγεννῆ παρασκευάζει πρὸς τὴν θέαν τῶν ὅλων· ἀθέατοι δὲ οἱ πολλοὶ τῆς χρείας ταύτης, καθάπερ εἴ τις ἠπειρώτης ἀνὴρ ναῦν ἰδὼν ἐν λιμένι, ἀγασθεὶς τοῦ σοφίσματος ἔνδον τῇ νηὶ

Telesillæ modi, Lesbios Alcæi cantus excitarunt; sic et Polycratem Samiis mitiorem reddidit Anacreon, ejus tyrannidi amorem, Smerdiæ et Cleobuli comam, tibias Bathylli, et Ionicos immiscens cantus.

6. Jam antiquiora his quid attinet dicere? Celeberrimus ille Orpheus Œagri et Calliopes ipsius erat filius, natus in Thraciæ monte Pangæo : hunc Thracum populi incolunt, quos Odrysas dicunt, homines agrestes, latrociniis addicti, inhospitales : tamen cantus voluptate deliniti Orpheum, tanquam ducem, lubenter secuti sunt Odrysæ. Hoc erat videlicet quercus et fraxinos ducere; feritatem enim ignobilem eorum, quos hac capi voluptate videbant, inanimi contulerunt corpori poetæ. Alius in Bœotia citharœdus erat præstantissimus, non saxa, neque illa quæ fabula vult, arte ad se adducens (quomodo enim cantu strui posset murus?) sed bellica militarique modulatione in acie Bœoticam juventutem ordinabat, atque ita inexpugnabili muro Thebas cingebat : qualem apud Spartiatas quoque suos excogitavit Lycurgus, qui tibiam pro duce militari juventuti in prœliis præire voluit; cui illi obsequebantur et in chori modum saltantes pugnabant. Talis fuit et Themistoclis tibia, qua ipsas Athenas in naves deduxit; Athenienses autem ad tibiæ modos remigabant alii, alii pugnabant. Utrique igitur populi vincebant; et huic choro ex Eleusine applaudebant deæ. Hinc tot illa victoriarum monumenta; hinc Laconica Atticaque tropæa, mari terraque parta, cum inscriptionibus pulcherrimis erecta fuerunt : in hoc choro Lacedæmonii vincebant, hunc Leonides docebat.

7. Quid autem pluribus opus est dictis, aut de musica ulterius agendum? quum sit optima pacis administra, optima belli comes, optima reipublicæ socia, optima puerorum nutrix. Velocissimus namque inter sensus auditus est, et celerrime, quæ percepit, cum anima communicat, suisque eam convenire ac consentire cogit affectionibus. Quo fit ut animi a vera musica alieni, quique quamvis voluptatis pro ea amplectuntur speciem, nunquam rectæ legis fiant participes; et tamen musicam dicunt voluptatem suam, non finis respectu, sed quod circa modulorum rationem utraque similiter versetur : non aliter ac si quis medicinam, quæ minime curet sanitatem, sed in iisdem remediis quibus vera occupetur, artem vocare velit. Sic et geometriam, nobilissimam tamen philosophiæ partem, plerique hominum non nisi ex vilissima ejus parte vilissimoque fine, quatenus necessarius ejus usus videtur, admittunt, eatenus probantes, ut terram metiatur, murum attollat, in eo denique quicquid mechanicis artibus confert, ceterorum ratione habita nulla : quum tamen non iste ejus sit usus : absit vero; nec enim minus terra habitabitur, nisi eam accurate pauperes aliquot distinguant agricolæ; sed hæc vilissima tantum ejus pars est. At vero, sicut remedia quædam visum oculorum acuunt, ita proprium illius opus est vim quandam eximiam ad totius Universi contemplationem intellectui nostro suppeditare : quem quidem usum ejus pauci oppido viderunt unquam; non aliter ac si mediterraneus homo, nave forte aliqua in portu conspecta, miratus hoc inventum, ibi

χρῷτο, πάντα κινῶν τὰ ὄργανα, τοῦτο οἰόμενος εἶναι τέλος τῆς νεώς.

8. Φαίη δ' ἂν, οἶμαι, πρὸς αὐτὸν ἡ Ἀθηνᾶ, ἡ εὑρέτις τοῦ ἔργου τούτου· Ὁρᾷς πέλαγος πλατὺ καὶ ἄπειρον, κεχυμένον ὑπὲρ τῆς γῆς, συνάπτον αὐτῆς τὰ τέρματα, ὧν πρόσθεν οὐδὲ ἀκοὴν εἶχές τε οὐδὲ ἐλπίδα τῆς θέας; ἑκάστῳ δὲ εἷς ἦν τόπος γνώριμος, ὥσπερ οἱ φωλεοὶ τοῖς ἑρπετοῖς· φιλία δὲ, καὶ ἐπιμιξία, καὶ κοινωνία, καὶ ἀμοιβὴ τῆς παρ' ἑκάστοις εὐπορίας, ἐκποδὼν ἦν, ἕως ὑμῖν τὸ σόφισμα τοῦτο ἐμηχανησάμην τὴν ναῦν. Τοῦτό σε τὸ ὄχημα ἀράμενον, ὄρνιθος δίκην, διαπτήσεται πανταχοῦ· εἰ δὲ ἀπιστεῖς, πείρᾳ μάθε τοῦτο. Καὶ περὶ γεωμετρίας λέγει τις θεῶν, ἢ ἐκείνη ἡ θεὸς ἡ Ἀθηνᾶ λέγει· Ἐκεῖσε βλέψον· ὁρᾷς τουτὶ τὸ ὑπὲρ κεφαλῆς θέαμα, τὸ καλὸν, τὸ ποικίλον, ἐληλαμένον περὶ γῆν ἐν κύκλῳ, καὶ περὶ αὐτὴν ἑλιττόμενον, μεστὸν ἄστρων, ἥλιον φέρον, σελήνην ἔχον; Τοῦτο ὅ, τι μέν ἐστιν οὐκ οἶσθα, δοκεῖς δὲ ὁρᾶν καὶ εἰδέναι. Ἀλλὰ ἐγώ σε, ὦ οὗτος, ἀνάξω κεῖσε ἠπειρώτην ὄντα, ὄχημά σοι πηξαμένη κοῦφον, παραδοῦσα γεωμετρίᾳ, ἥ σε τὰ μὲν πρῶτα ἔνδον ἐν τῷ λιμένι ὀχήσει, ἐθίζουσα ἀνέχεσθαι τῆς πορείας, καὶ μὴ ἰλιγγιᾶν πρὸς τὸ πέλαγος, μηδὲ ἀποδειλιᾶν πρὸς τὸ πέλαγος· ἔπειτα ἀγαγοῦσα ἔξω τοῦ λιμένος, εἰς καθαρὸν καὶ εὔδρομον τὸ τῶν ὄντων πέλαγος ἀνάξει, κεῖσε

Ὅθι τ' Ἠοῦς ἠριγενείης
οἰκία καὶ χοροί εἰσι, καὶ ἀντολαὶ ἠελίοιο,

καὶ σελήνης αὐγαὶ καὶ τῶν ἄλλων ἀκηράτων σωμάτων. Ἕως δὲ ἀθέατος τούτων εἶ, μένεις εὐδαιμονίας ἀμέτοχος, ἄμοιρος.

ΛΟΓΟΣ ΛΗ'.

Εἰ γένοιτό τις θείᾳ μοίρᾳ ἀγαθός.

1. Ὅμηρος μὲν πρὸς τὸν Τηλέμαχον διαλεγόμενος ἐν προσώπῳ Νέστορος, οὑτωσὶ περὶ αὐτοῦ λέγει·

Οὐ γὰρ ὀΐω
οὔ σε θεῶν ἀέκητι γενέσθαι τε τραφέμεν τε·

ὁ δὲ αὐτὸς καὶ τοὺς ἀγαθοὺς ἅπαντας δίους καλεῖ, διότι ἦσαν, οἶμαι, οὐ κατὰ τέχνην ἀγαθοὶ, ἀλλὰ ἔργον Διός. Ὑποπτεύω δὲ αὐτοῦ καὶ τὰ ἔπη, ἃ περὶ τοῦ Δημοδόκου λέγει, ὅτι ἦν αὐτῷ πεποιημένα μὲν εἰς τὴν αὑτοῦ τύχην, ἀνακείμενα δὲ τῷ Δημοδόκῳ. Ἔχει δὲ τὰ ἔπη ὧδέ πως·

Τὸν πέρι Μοῦσα φίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε·
ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἡδεῖαν ἀοιδήν.

Ἐγὼ δὲ αὐτῷ περὶ μὲν τῆς ᾠδῆς συντίθεμαι, περὶ δὲ τῆς συμφορᾶς οὐ συντίθεμαι· οὐ γὰρ μουσικὸν τὸ δῶρον. Ἀπίθανος δὲ καὶ ὁ Δημόδοκος, οὑτωσὶ περὶ αὑτοῦ λέγων·

Αὐτοδίδακτος δ' εἰμὶ, θεοὶ δέ μοι ὤπασαν ὀμφήν.

navis armamenta versare incipiat, hunc ejus usum esse et finem arbitratus.

8. Huic, credo, homini ipsa operis inventrix Minerva responderet : Videsne mare illud latum, immensum, diffusumque supra terram, cujus fines conjungit, de quibus antehac ne fando quidem audisti, quos ne visurum quidem te sperabas? hactenus enim unum tantum singuli cognitum habuistis locum, sicut lustrum suum reptilia : amicitia vero, commercia, rerumque, quibus singuli abundant loci, inter se commutatio, nusquam erant, donec hoc inventum excogitavi vobis, quod vocamus navem. Hoc te vehiculum suscepto, avis instar, velociter quocunque volabit : si dubitas, re ipsa experire. Eodem modo et de geometria, sive Minerva, sive alia aliqua dea, hunc in modum dicit : Agedum, sursum specta : videsne illud, quod capiti nostro imminet, spectaculum; illud tam pulchrum, tam varium, quod terram circuit, terram circumvolvitur; quod astris undique cinctum, quod solem et lunam gerit? Illud quid sit ignoras, etsi te videre ac scire existimas. Ego vero, mi homo, quum in terra continenti vixeris hactenus, eo te deducam : vehiculum enim tibi fabricabo levissimum, dum te geometriæ trado; quæ primum in ipso portu te circumvehet, ut paullatim vectioni assuescas, nec ad subitum maris conspectum nausees, aut [tempestatem] metuas : unde postea, relicto portu, in purum illud perviumque totius universi te deductura est mare, donec perveneris

Matutæ ubi limina pulchra,
et choreæ, et domus, et surgentis lumina Phœbi,

et lunæ splendor reliquorumque purissimorum illorum corporum. Quam diu vero hæc nondum vidisti, veræ beatitudinis es immunis, expers.

DISSERTATIO XXXVIII.

An aliquis divinitus bonus fiat.

1. Homerus sub persona Nestoris cum Telemacho disserens hæc de eo dicit :

Non ego namque
te reor invitis natum aut adolescere divis.

Idem ille bonos viros omnes *dios* vocat; quia, ut opinor, bonum illud non arti debebant, sed ab Jove erant consecuti. Quin et suspicor, eum versus illos, quos alicubi de Demodoco scripsit, de sua ipsius fortuna scripsisse, Demodoco vero applicuisse tantum. Habent autem illi hoc modo :

Dilexit quem Musa, deditque malumque bonumque;
namque dedit dulces, erepto lumine, cantus.

In his ego illi de carmine quidem concedo, de calamitate aliter sentio : quæ indignum Musis donum est. Neque magis credo Demodoco, qui hæc de se dicit :

Sponte mea didici, tribuerunt numina vocem.

Καὶ πῶς ἐσσὶ, ὦ βέλτιστε ἀοιδῶν, αὐτοδίδακτος, παρὰ θεῶν τὴν ὀμφὴν ἔχων, οἵπερ διδασκάλων ἀπταιστότατοι; Ἀποκρίνεται ὁ Δημόδοκος ὅπερ ἂν τῶν πλουσίων οἱ πατρῷον λαβόντες κλῆρον πρὸς τοὺς χρηματιστὰς ἀποκρίναιντο· ὡς ἔστιν αὐτοῖς αὐτογενὴς ὁ πλοῦτος, οὐ παρ' ἄλλων τέχνῃ καὶ πόνῳ συνενηνεγμένος.

2. Ἐπεὶ καὶ τὸν Ἡσίοδον τί οἰόμεθα ποιμαίνοντα περὶ τὸν Ἑλικῶνα ἐν Βοιωτίᾳ, ᾀδούσαις ταῖς Μούσαις ἐντυχόντα, ὀνειδισθέντα τῆς τέχνης τῆς ποιμενικῆς, παρ' αὐτῶν λαβόντα δάφνης κλάδους, εὐθὺς ᾄδειν, γενόμενον ποιητὴν ἐκ ποιμένος, ὥσπερ φασὶ τοὺς κορυβαντιῶντας, ἐπειδὰν ἀκούσωσιν αὐλοῦ, ἐνθουσιᾶν, τῶν προτέρων λογισμῶν ἐξισταμένους; Πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ ᾐνίξατο, οἶμαι, ὁ Ἡσίοδος τὸ αὐτοφυὲς τῆς αὐτοῦ τέχνης, ἀναθέμενος αὐτοῦ τὴν αἰτίαν τῷ Μουσῶν χορῷ· ὥσπερ ἂν εἰ καὶ χαλκευτικὸς γενόμενός τις τέχνης ἄνευ ἀνετίθετο Ἡφαίστῳ φέρων τὸ αὐτόματον τῆς δημιουργίας. Τί δὲ οἱ Κρῆτες; ἦ σοι οὐ δοκοῦσιν ὑπὸ βασιλεῖ τῷ Μίνωϊ κοσμηθέντες καλῶς, ἀγασθέντες τῆς ἀρετῆς, διδάσκαλον αὐτῷ ἐπιφημίσαι τὸν Δία; εἶναι μὲν αὐτόθι ἐν τῇ Ἴδῃ ἄντρον Διός, φοιτῶντα δὲ τὸν Μίνω δι' ἐνάτου ἔτους, συγγιγνόμενον τῷ Διὶ, μανθάνειν παρ' αὐτοῦ τὰ πολιτικά. Οὗτοι Κρητῶν λόγοι.

3. Ἐγένετο καὶ Ἀθήνησιν ἀνὴρ Ἐλευσίνιος, ὄνομα Μελησαγόρας· οὗτος οὐ τέχνην μαθὼν, ἀλλ' ἐκ Νυμφῶν κάτοχος, θείᾳ μοίρᾳ σοφὸς ἦν καὶ μαντικὸς, ὡς ὁ Ἀθηναίων λόγος. Ἦλθεν Ἀθήναζε καὶ ἄλλος, Κρὴς ἀνὴρ, ὄνομα Ἐπιμενίδης, οὐδὲ οὗτος ἔσχεν εἰπεῖν αὐτῷ διδάσκαλον· ἀλλ' ἦν μὲν δεινὸς τὰ θεῖα, ὥστε τὴν Ἀθηναίων πόλιν κακουμένην λοιμῷ καὶ στάσει διεσώσατο ἐκθυσάμενος· δεινὸς δὲ ἦν ταῦτα, οὐ μαθὼν, ἀλλ' ὕπνον αὐτῷ διηγεῖτο μακρὸν καὶ ὄνειρον διδάσκαλον. Ἐγένετο καὶ ἐν Προκοννήσῳ ἀνὴρ φιλόσοφος, ὄνομα Ἀριστέας· ἠπιστεῖτο δὲ αὐτῷ ἡ σοφία τὰ πρῶτα, διότι μηδένα αὐτῆς διδάσκαλον προὔφερεν. Πρὸς οὖν δὴ τὴν τῶν ἀνθρώπων ἀπιστίαν ἐξεῦρε λόγον· ἔφασκε τὴν ψυχὴν αὐτῷ καταλιποῦσαν τὸ σῶμα, ἀναπτᾶσαν εὐθὺ τοῦ αἰθέρος, περιπολῆσαι τὴν γῆν τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον, καὶ νήσους πάσας, καὶ ποταμοὺς, καὶ ὄρη, γενέσθαι δὲ τῆς περιπολήσεως αὐτῇ τέρμα τὴν Ὑπερβορέων γῆν· ἐποπτεῦσαι δὲ πάντα ἑξῆς νόμαια καὶ ἤθη πολιτικὰ, καὶ φύσεις χωρίων, καὶ ἀέρων μεταβολὰς, καὶ ἀναχύσεις θαλάττης, καὶ ποταμῶν ἐκβολὰς, γενέσθαι δ' αὐτῇ καὶ τὴν τοῦ οὐρανοῦ θέαν πολὺ τῆς νέρθεν σαφεστέραν. Καὶ ἦν πιθανώτερος λέγων ταῦτα ὁ Ἀριστέας μᾶλλον, ἢ Ἀναξαγόρας, ἢ Ξενοφάνης ἐκεῖνος, ἤ τις ἄλλος τῶν ἐξηγησαμένων τὰ ὄντα ὡς ἔχει· οὐ γάρ που σαφῶς ἠπίσταντο οἱ ἄνθρωποι τὴν ψυχῆς περιπόλησιν, οὐδὲ οἷστισιν ὀφθαλμοῖς ἕκαστα ὁρᾷ, ἀλλὰ ἀτεχνῶς ἀποδημίας τινὸς ᾤοντο τῇ ψυχῇ δεῖν, εἰ μέλλοι ὑπὲρ ἑκάστου φράσειν τὰ ἀληθέστατα.

4. Βούλει τοίνυν Ἀριστέαν μὲν καὶ Μελησαγόραν καὶ Ἐπιμενίδην καὶ τὰ τῶν ποιητῶν αἰνίγματα τοῖς μύθοις ἐῶμεν, ἐπὶ δὲ τοὺς φιλοσόφους τὴν γνώμην τρέ-

Quomodo, quæso, vates optime, sponte tua didicisti, qui ab diis hanc canendi artem accepisse te fateris; qui soli præceptores errare non possunt? Responderit hisce Demodocus, quod divites, qui ex hæreditate opes suas consecuti sunt, respondeant homini, quem rei quærendæ intentum viderent: spontaneas se opes possidere, nulla aut arte congestas aut labore.

2. Quid vero? an et Hesiodum putabimus, quum in Bœotia circa Heliconem pasceret, canentibusque occurreret Musis, quæ pastoritiam artem illi exprobrabant, accepto ab iis lauri ramo statim cecinisse, statim ex pastore poetam evasisse? sicut vulgo eos aiunt, quos corybantiare dicimus, si tibiam audiant, e priore mentis statu devolvi, divinoque subito furore corripi? Multum vero abest. Nihil aliud, ut arbitror, indicare Hesiodus voluit, quam naturæ beneficio eam se artem consecutum esse, cujus beneficii fontem originemque ad Musas referre voluit; plane ut si quis ferrariam sine præceptore consecutus, Vulcano statim ascriberet artem quam suamet opera didicisset. Quid autem Cretes? nonne videntur tibi, quum pulchris a Minoe instructi essent legibus, virtutemque admirarentur viri, præceptorem ei assignasse Jovem, fabulantes, antrum in Ida sua fuisse Jovi sacrum, quod novem annis continuis Minos accederet, ubi opera usus Jovis civilem hauserit prudentiam? Hoc aiunt Cretenses.

3. Fuit etiam Athenis vir quidam patria Eleusinius, cui Melesagoræ nomen: hic, ut Athenienses referunt, sine arte ulla, a Nymphis inspiratus, divinitus sapiens erat et vates. Alius Athenas venit, Cretensis, nomine Epimenides, qui et ipse nullum artis suæ præceptorem afferre poterat: et tamen tanta illi divinarum rerum erat scientia, ut Atheniensium civitatem a peste simul seditionibusque, quibus conflictabatur, sacrorum expiatione vindicaverit; hanc tamen scientiam tantam didicisse se negabat, neque aliunde, quam a somno somnioque longissimo, hausisse se illam dicebat. Fuit et in Proconneso philosophus quidam, cui Aristeæ nomen erat; cujus quidem sapientiæ primo omnes derogabant, quod nullum ejus præceptorem proferret. Hic incredulitati hominum tale adhibuit remedium: animam dixit suam, relicto corpore, recta cœlum petiisse, unde totam Græcorum barbarorumque terram, omnes circumiisset insulas, fluvios et montes, finem autem hujus circuitionis suæ in Hyperboreis finibus fuisse; hinc se ritus omnes, omnium rerumpublicarum observasse mores, terrarum omnium naturam, mutationes aeris, alluviones maris, fluviorum ostia, quin et cœlum ipsum multo quam inferiora evidentius spectasse. Et tamen plus fidei hoc ipso Aristeas consecutus est, quam Anaxagoras, aut Xenophanes ille, aut si quis alius res ipsas, ut habebant, proposuit; nec enim satis peregrinationem illam internam animæ aut oculos ipsi proprios, quibus lustrat omnia, intelligebant homines; sed revera peregrinandum ei existimabant, qui de singulis rebus, prout se habent, loqui vellet.

4. Vin' igitur, relicto Aristea cum Melesagora et Epimenide, relictis poetarum fabulis et ænigmatis, ad philosophos, qui a Lyceo et Academiæ amœnitate nomen habent,

φῶμεν, τουτουσὶ τοὺς ἐκ Λυκείου καὶ Ἀκαδημείας τῆς καλῆς; οὐ γὰρ μυθολόγοι, οὐδ' αἰνιγματώδεις, οὐδὲ τερατείαν ἀσπαζόμενοι, ἀλλ' ἐν δημοτικῇ λέξει τε καὶ διανοίᾳ εἰθισμένῃ ** αὐτῶν τόν γε ἡγεμόνα πρῶτον ὡδέ πως· Ὅτι μὲν ἐπιστήμην τιμᾷς παντὸς μᾶλλον, ὦ Σώκρατες, ἀκούω μέν σου πολλάκις διατεινομένου, προξενοῦντος τοὺς νέους ἄλλον ἄλλῳ διδασκάλῳ· ὅς γε καὶ εἰς Ἀσπασίας τῆς Μιλησίας παρακελεύῃ Καλλίᾳ τὸν υἱὸν πέμπειν, εἰς γυναικὸς ἄνδρα· καὶ αὐτὸς τηλικοῦτος ὢν παρ' ἐκείνην φοιτᾷς, καὶ οὐδὲ αὕτη σοι ἀρκεῖ διδάσκαλος, ἀλλ' ἐρανίζῃ παρὰ μὲν Διοτίμας τὰ ἐρωτικά, παρὰ δὲ Κόννου τὰ μουσικά, παρὰ δὲ Εὐήνου τὰ ποιητικά, παρὰ δὲ Ἰσχομάχου τὰ γεωργικά, παρὰ δὲ Θεοδώρου τὰ γεωμετρικά. Καὶ ταῦτα μέν σου τὰ εἴτε οὖν εἰρωνεύματα, εἴτε καὶ ἀνδρίσματα, ἐπαινῶ, ὅπως ἄν τις αὐτῶν ἀποδέχηται. Ἀλλ' ἐπειδὰν ἀκούω σου πρὸς Φαῖδρον διαλεγομένου, ἢ Χαρμίδην, ἢ Θεαίτητον, ἢ Ἀλκιβιάδην, ὑποπτεύω σε μὴ πάντα ἐπιστήμῃ νέμειν, ἀλλ' ἡγεῖσθαι τοῖς ἀνθρώποις πρεσβύτερον εἶναι διδάσκαλον τὴν φύσιν· καὶ τοῦτο εἶναι, ὅπερ οὑτωσὶ φαύλως ὑπεῖπάς που ἐν τοῖς λόγοις, θείᾳ μοίρᾳ δεδόσθαι μοι πρὸς Ἀλκιβιάδην ὁμιλίαν, καὶ πάλιν αὖ Φαῖδρον καλεῖς τὴν θείαν κεφαλήν, καὶ περὶ Ἰσοκράτους που κατεμαντεύσω ἐν τοῖς λόγοις νέου ὄντος κομιδῇ. Τί ταῦτά σοι ἐθέλει, ὦ Σώκρατες; Εἰ βούλει, σὲ μὲν ἐῶ, τὸν δὲ ποιητὴν τῶν λόγων τουτωνὶ τὸν ἐξ Ἀκαδημίας φίλον μέτειμι· ὁ δὲ ἡμῖν δεομένοις μάλα ἀποκρινέσθω, εἰ καὶ θείᾳ μοίρᾳ γένοιντ' ἂν ἀγαθοὶ ἄνδρες. Αὐτὸ τοῦτο, ἄνδρες ἀγαθοί, οὐ ποιηταί, λέγω, ἵνα μή μοι προφέρῃς τὸν Ἡσίοδον· οὐδὲ μάντεις, ἵνα μὴ τὸν Μελησαγόραν λέγῃς· οὐδὲ καθαρταί, ἵνα μὴ διηγήσῃ Ἐπιμενίδην· ἀλλὰ ἀφελὼν ἑκάστου τὸ τῆς τέχνης ὄνομα, τὴν ἀρετὴν προσθείς, ᾗ ἄνθρωποι ἀγαθοὶ τὰ ἀνθρώπων ἔργα, οἶκόν τε οἰκονομεῖν δεξιῶς, καὶ ἐν πόλει πολιτεύεσθαι καλῶς· περὶ ταύτης φάθι, εἰ γένοιτ' ἄν τινι ἄνευ τέχνης θεόσδοτος. Ἦ καὶ σὲ κατὰ χώραν ἐάσω· ἀποκρινεῖται δὲ ὁ λόγος αὐτὸς αὑτῷ, ὡς ἀνὴρ ἀνδρί, ἀπαυθαδιζόμενος ὡδέ πως;

5. Ὦ σχέτλιε, τί ταῦτα ληρεῖς, ὃς ἡγεῖ τὸ καλλιστεῦον τῶν ἀνθρωπίνων ἀγαθῶν παρὰ μὲν ἀνθρώπου τέχνης τάχιστα ἥξειν, ἐκ δὲ θείας ἀρετῆς ἀπορώτατα; Καίτοι μαντικήν, καὶ τελεστικήν, καὶ ποιητικήν, καὶ καθάρσεις, καὶ χρησμῳδίας, ξυλλήβδην ἅπαντα, οὐκ ἂν εἴποις ἀντάξια εἶναι τῆς ἀρετῆς· εἶτα ἐκεῖνα μὲν ἡγεῖ θείᾳ τινὶ ἐπιπνοίᾳ ψυχαῖς ἀνθρωπίναις ἀνακίρνασθαι, τὸ δὲ τούτων σπανιώτερον, τὴν ἀρετήν, ἔργον εἶναι τέχνης θνητῆς; Ἦ πολλοῦ ἄξιον νομίζεις τὸ θεῖον, πρὸς μὲν τὰ φαῦλα καλῶς καὶ ἀφθόνως παρεσκευασμένον, πρὸς δὲ τὰ κρείττω ἄπορον. Οὔπω λέγω, ὡς εἴπερ ἐκείνῳ ἕκαστον τελεσιουργεῖται, πᾶσα ἀνάγκη καὶ τὸ κρεῖττον. Οὐ γὰρ ὥσπερ ὁ χαλκευτικὸς οὐκ ἂν τέκτονα ἐκδιδάξαι, οὐδὲ ὥσπερ ὁ γεωργὸς κυβερνητικῆς ἄπειρος, καὶ ὁ κυβερνήτης ἰατρικῆς, ἄλλος ἄλλης, ὁ μὲν ἔμπειρος τέχνης, ὁ δὲ ἄπειρος τῆς αὐτῆς, οὕτω καὶ

animum convertamus? siquidem hi nec fabulas, nec rerum verborumque obscuritatem, neque vanitatem amant; sed in sermone populari, sensu aperto et consueto [se continent. Compellabimus autem] primo principem eorum ita fere: Equidem scientiam, o Socrates, rebus a te omnibus præferri sæpe asseverantem audio, quum præsertim alios ex juventute aliis deleges præceptoribus; atque adeo, ut Milesiæ Aspasiæ filium suum tradat erudiendum, suadeas Calliæ, marem feminæ. Quin et tu, tantus natu, disciplinam ejus frequentas; nec magistra ea tibi sufficit, sed a Diotima amatoriam, a Conno musicen, ab Eveno poeticen, ab Ischomacho agriculturam, a Theodoro discis geometriam. Et hæc quidem, sive serio et ingenue abs te, sive dissimulandæ, ut soles, scientiæ dicantur, prout quis accipere ea velit, sane laudo. Contra ubi tua cum Phædro, aut Charmide, aut Theæteto, aut Alcibiade colloquia audio, non omnia judicare possum te institutioni tribuere, sed antiquiorem esse hominibus magistram ipsam naturam arbitratum esse: et hoc nimirum esse, quod alicubi in sermonibus tuis satis obiter innuere videris, qui *divinitus mandatum tibi* ais, *ut cum Alcibiade verseris;* et alibi Phædrum vocas *divinum caput,* et alibi in colloquiis de Isocrate quamvis adolescente admodum vaticinaris. Quid sibi volunt ista, o noster Socrates? Quodsi vis, a te quidem abeo, atque ad ipsum, qui hæc tibi tribuit, auctorem illum ex Academia amicum transibo tuum; hunc, ut nobis de hac quæstione, an nimirum divinitus fiant viri boni, sententiam suam exponat, vehementer rogabo. Boni, inquam, viri, non aliud; nec enim poetæ dico, ne Hesiodum proferas; nec vates, ne Melesagoram dicas; neque expiatores, ne Epimenidem mihi narres: sed sublato artis, qua singuli excellere possunt, nomine, eam virtutem illis adde, qua homines in opere suo præstantissimi evadunt, ut recte familiæ præsint, honeste in republica versentur: de hac interroga, utrum sine arte cuiquam divinitus contingat. An te quoque relinquam; meliusque ipsa sibi respondebit ratio, tanquam vir viro, libere et audacter? hoc nimirum modo:

5. Quid hæc nugaris, hominum miserrime, qui sentire videris, id quod in humanis præcipuum est bonis, ab humana quidem arte facillime provenire, divino vero munere difficillime? Et tamen artem divinandi, mysticam scientiam, poeticen, expiationes, oracula, omnia hæc simul non tanti esse, quanti sit sola virtus, ipse fateberis; ac nihilominus illa divino afflatu insinuare sese humanis putes animis, quod vero his rarius est, virtutem dico, artis esse humanæ? Præclare, si diis placet, de deo judicas, quem in parvi momenti rebus splendide munificum, in præstantissimis facis parcissimum. Ut omittam, si illa singula perficiantur a deo, necesse esse ut ea quoque quæ sunt meliora. Nec enim quemadmodum ferrariæ magister artis lignarium non efficiat, aut quemadmodum gubernandi agricola, gubernator medicinæ ignarus est, aliusque aliam artem aut tenet, aut ignorat; ita una arte circumscribitur deus: sed si quid

ὁ θεὸς ἐν περιγραφῇ μένει τέχνης μιᾶς· ἀλλ' εἴπερ τι παρ' ἐκείνου ἔλθῃ, πρὸς μὲν ἀνθρωπίνης ψυχῆς δύναμιν τέχνης ἂν εἴη μέτρον, πρὸς δὲ θείας ἐπιστήμης παρασκευὴν μόριον τοῦ ὅλου. Ὅρα δή, μή σοι θεός, ᾗ τὰ τοιαῦτα δύναται κληρουχεῖν καὶ νέμειν, πολὺ τούτων πρότερον ἀρετὴν νέμειν καὶ δύναιτο καὶ ἐθέλοι.

6. Οὑτωσὶ δὲ αὐτὸ σκέψαι· Τὸ θεῖον πάντως πῃ τίθεσαι τελεώτατον καὶ αὐταρκέστατον καὶ ἰσχυρότατον· ὡς, εἴ τι ἀφέλοις, λυμανεῖ τῷ ὅλῳ. Εἰ γὰρ μὴ τέλεον, οὐχ αὔταρκες· εἰ δὲ οὐχ αὔταρκες, οὔπω τέλεον· εἰ δὲ μὴ αὔταρκες, μήτε τέλεον, πῶς ἰσχυρόν; Αὔταρκες δὲ ὂν καὶ τέλεον καὶ ἰσχυρόν, κατὰ μὲν τὴν τελεότητα τὰ ἀγαθὰ βούλεται, κατὰ δὲ τὴν αὐτάρκειαν ἔχει, κατὰ δὲ τὴν ἰσχὺν δύναται· βουλόμενος δὲ δὴ καὶ ἔχων καὶ δυνάμενος, κατὰ τί μὴ δῷ; Ὁ μὲν γὰρ ἔχων, οὐ διδούς, οὐ βούλεται· ὁ δὲ βουλόμενος, οὐχ ἔχων, οὐ δύναται· ὁ δὲ ἔχων καὶ βουλόμενος πῶς οὐ δύναται; Οὐκοῦν εἴπερ ἔχει τἀγαθά, τὰ τελεώτατα ἔχει· τελεώτατον δὲ ἡ ἀρετή· δίδωσι τοίνυν, ὃ ἔχει. Ὥστε οὐ δέος, μὴ ἄλλο τι ἀγαθὸν εἰς ἀνθρώπους ἔλθῃ, μὴ παρὰ θεοῦ ὁρμηθέν· ἀλλὰ μὴν εἰ οὐδέν ἐστιν ἄλλο ἀνθρώποις ἀγαθόν, ὃ μὴ παρὰ θεῶν ἔρχεται, τίν' οὖν τρόπον ἀρετὴ παρὰ θεοῦ ἔρχεται; Πέφυκε τὸ ἀνθρώπινον πᾶν ἐξ ἀρχῆς δίχα, τὸ μὲν εἰς ἀρετῆς ἐπιτηδειότητα, τὸ δὲ εἰς μοχθηρίας· ὧν ἡ μὲν μοχθηρία ἐνδεὴς τοῦ κολάζοντος, ἡ δὲ ἀρετὴ τοῦ σώζοντος. Μοχθηρὰ μὲν γὰρ φύσις τυχοῦσα ἐπιστάτου χρηστοῦ, νόμου καὶ ἔθους, τὸ ἄλυπον τῷ πλησίον περιεβάλετο, καὶ πλεονεκτεῖ οὐκ ἐν μοίρᾳ ἀγαθῶν, ἀλλ' ἐν ἐλαττώσει βλάβης· αἱ δὲ ἄρισται ψυχῆς φύσεις ἀμφισβητήσιμοι, ἐν μεθορίᾳ τῆς ἄκρας ἀρετῆς πρὸς τὴν ἐσχάτην μοχθηρίαν καθωρμισμέναι, δέονται ξυναγωνιστοῦ θεοῦ καὶ ξυλλήπτορος τῆς ἐπὶ θάτερα τὰ κρείττω ῥοπῆς καὶ χειραγωγίας. Ὁ μὲν γὰρ ἐπὶ τὰ αἰσχρὰ ὄλισθος αὐτοφυοῦς ἀσθενείας ἔργον, ἣ καὶ τὰς ἐπιεικεῖς ψυχὰς κολακεύουσα διὰ ἡδονῶν καὶ ἐπιθυμημάτων εἰς τὰς αὐτὰς ὁδοὺς ταῖς μοχθηραῖς συγκαθέλκει.

7. Ἀκούσῃ γοῦν τοῦ Διὸς αὐτοῦ λέγοντος,

Ὢ πόποι, οἷον δή νυ θεοὺς βροτοὶ αἰτιόωνται·
ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι, οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

Περὶ δὲ τῶν ἀγαθῶν ἀνθρώπων οὐκ ἀκούσῃ τοιοῦτον οὐδὲν λέγοντος, οὐδὲ ἀπωθουμένου τὴν αἰτίαν, οὐδὲ ἀποτιθεμένου τὴν φροντίδα, ἀλλ' αὐτὸ τοὐναντίον·

Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην,
οὗ πέρι μὲν πρόφρων κραδίη, καὶ θυμὸς ἀγήνωρ
ἐν πάντεσσι πόνοισι, φιλεῖ δέ ἑ Παλλὰς Ἀθήνη;

Τίς οὖν οὐκ ἂν εἴποι τὸν Ὀδυσσέα ἀγαθὸν εἶναι θείᾳ μοίρᾳ, οὗ μέμνηται μὲν ὁ Ζεύς, κήδεται δὲ ἡ Ἀθηνᾶ, ἡγεῖται δὲ ὁ Ἑρμῆς, ἔραται δὲ Καλυψώ, σώζει δὲ ἡ Λευκοθέα; Εἰ δὲ ἀγαθὸς ἦν, ὥσπερ ἦν, διότι

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω,

καὶ

Πολλὰ δ' ὅγ' ἐν πόντῳ πάθεν ἄλγεα ὃν κατὰ θυμόν·

ab illo veniat, animi nostri respectu ars est suo modo perfecta; si cum divinæ conferatur scientiæ copia, pars est totius. Vide igitur ne deus tibi, quandoquidem hæc ita in potestate habet et distribuit, multo prius quam illa virtutem dare et possit et velit.

6. Id autem vide hoc modo: Numen divinum non dubito quin perfectissimum, sibi plene sufficiens, potentissimum statuas; ut, si unum demas aliquid, necesse sit ut corruat totum. Si enim perfectum non est, nec sibi sufficiens erit; si non sufficiens sibi, nec perfectum: quodsi nec sufficiens sibi nec perfectum, quomodo potens? Si autem et sufficiens sibi, et perfectum est, et potens; qua perfectum est, vult bonum; qua sufficiens sibi, habet bonum; qua potens, præstare potest bonum: si autem et vult, et habet, et potest; quidni det? Qui enim habet nec dat, non vult; qui vult nec habet, non potest; qui vero et habet et vult, cur non possit? Siquidem ergo bona habet, perfecta habet; perfectissimum autem est virtus; dat ergo, quod habet. Ut non sit existimandum, aliud ullum, quam quod ab eo proficiscitur, bonum hominibus contingere; ergo, si revera nullum sit bonum, quod non a diis ad homines descendat, quomodo tandem virtus sola a deo proficisci dicitur? Humanum omne genus duplicem ab initio sortitum est naturam; aut enim virtuti, aut improbitati magis idoneum nascitur; harum altera reprimi, altera debet conservari. Naturæ enim improbæ probus si contingat rector, qualis lex aut consuetudo est, hoc acquiret ut vicinam partem non lædat; ita proficit eatenus, non ut boni aliquid faciat, sed ut minus mali: at vero, quæ naturam optimam sortitæ sunt animæ, in medio virtutis summæ summæque improbitatis constitutæ, auxilio subsidioque dei opus habent, qui arreptas ad alteram illam meliorem partem ducat et impellat. Nam ut facile in deteriorem labantur semitam, ab innata sibi infirmitate habent, quæ probis quoque animabus voluptatum cupidinumque adblanditur illecebris, secumque in easdem cum improbis vias abripit.

7. Et hoc est cur illud ex Jove audias:

Eheu, quam falsis accusant numina dictis!
ascribunt superis homines mala, quum tamen ipsi
criminibus propriis sibi talia damna crearint.

De bonis vero nihil tale ex ipso audies hominibus; nunquam probitatis illorum causam esse se negat, nunquam illorum curam deponit; sed omnino contra:

Ast ego divini non obliviscar Ulyssis:
namque olli præsens animus victorque pericli,
qua sors dura vocat; quem Pallas diligit ipsa.

Quis ergo Ulyssem divinitus bonum virum esse neget, cujus Juppiter meminit, quem Minerva diligit, Mercurius ducit, amat Calypso, servat Leucothea? Quodsi bonus fuit, sicut revera fuit, quia

Multorum mores hominum lustravit et urbes,
inque mari multos tulit alta mente dolores;

πῶς οὐ θείᾳ μοίρᾳ αὐτῷ συνηνέχθη τὰ γυμνάσια, ἀφ' ὧν ἀγαθὸς καὶ ἦν καὶ ἔδοξεν; περιστήσαντος αὐτῷ τοῦ δαιμονίου ἀνταγωνιστὰς πολλούς, τῶν μὲν βαρβάρων τὸ Τρωϊκὸν, τοῦ δὲ Ἑλληνικοῦ τοὺς ἀρίστους Παλαμήδην καὶ Αἴαντα, τῶν δὲ οἴκοι τοὺς ἰσχυροτάτους καὶ ἀκολαστοτάτους, Κυκλώπων τὸν ἀγριώτατον, Θρᾳκῶν τοὺς ἀξενωτάτους, φαρμακίδων τὴν δεινοτάτην, θηρίων τὴν πολυκεφαλωτάτην, θάλατταν πολλὴν, χειμῶνα χαλεπὸν, συνεχῆ ναυάγια· προσαναγκάσας ἀλᾶσθαι καὶ πτωχεύειν, ῥάκη ἀμπισχόμενον, καὶ μετὰ ταῦτα αἰτοῦντα ἀκόλους, παλαίοντα, λακτιζόμενον, παροινούμενον. Ὧν ἕκαστον αὐτῷ διὰ φιλίαν θεὸς προὔβαλεν· οὐχ ὁ Ποσειδῶν, ὀργιζόμενος,

ὅτι οἱ υἱὸν φίλον ἐξαλάωσεν·

οὐδὲ ὁ Ἥλιος μηνιῶν τῶν βοῶν. Μὴ τοσαύτη μήτε Ποσειδῶνα ἔχοι φιλία πρὸς ἄνθρωπον ἄγριον καὶ παῖδα ἄξενον, μήτε τὸν Ἥλιον πτωχεία καὶ φειδὼ βοῶν· ἀλλὰ γὰρ τοῦ Διὸς ταῦτα ἦν τὰ προστάγματα. Ἦ γὰρ οὐχ οὗτός ἐστιν ὁ καὶ τὸν Ἡρακλέα τὸν αὐτοῦ παῖδα μὴ ἐάσας ἀργὸν καὶ τρυφῶντα, ἀλλὰ ἐξελκύσας τῶν ἡδονῶν· καὶ εἰς μὲν ἐκείνας τὸν Εὐρυσθέα ἐμβαλὼν, τῷ δὲ Ἡρακλεῖ ἐπιστήσας κάπρους καὶ λέοντας, καὶ δυνάστας, καὶ τυράννους, καὶ λῃστὰς, καὶ ὁδοὺς μακρὰς, καὶ γῆν ἔρημον, καὶ ποταμοὺς ἀπόρους; ἢ νύκτα μὲν ἠδύνατο ποιῆσαι ὁ Ζεὺς τριπλῆν ἐκ μιᾶς, ὃν δὲ ἐν τῇ νυκτὶ ταύτῃ ἐποιήσατο, τῶνδε τοῦ βίου πόνων οὐχ ἠδύνατο ἐξελέσθαι; Ἀλλ' οὐκ ἤθελεν· οὐ γὰρ θέμις Διὶ βούλεσθαι ἄλλο τι ἢ τὸ κάλλιστον. Οὕτως ἦν καὶ ὁ Ἡρακλῆς ἀγαθὸς, καὶ Διόνυσος, καὶ ὁ Ὀδυσσεύς. Καὶ ἵνα μὴ πόρρω σε ἀπάγω τῶν ἐν ποσὶ, τὸν Σωκράτην αὐτὸν οἴει γενέσθαι τέχνῃ ἀγαθὸν, ἀλλ' οὐ θείᾳ μοίρᾳ; ἢ κατὰ μὲν τὴν τέχνην ἐγένετο ἂν λιθοξόος, παῖς παρὰ πατρὸς λαβὼν τὸν κλῆρον· κατὰ δὲ τὴν τοῦ θεοῦ χειροτονίαν τὴν μὲν τέχνην διώσατο, τὴν δὲ ἀρετὴν ἐλάμβανεν.

quis deum neget hæc ipsa ei objecisse exercitia, quibus vir bonus et dici meruit, et re ipsa fuit? quum adversarios illi numen objecerit tam multos, inter barbaros, Trojanos; inter Græcos, duces primarios, Palamedem et Ajacem; domi petulantissimos robustissimosque juvenes; foris Cyclopum ferissimum, Thracum inhospitales maxime, veneficarum callidissimam, belluam plurimis capitibus metuendam; mare perpetuum, tempestates asperas, crebra naufragia; quod errare, quod mendicare, pannis cingi, panis frusta petere coegerit; luctari denique, calcibus cædi, in vino contumelias mille pati. Quæ omnia benevolentiæ ergo objecit illi deus; non Neptunus, iratus,

abstulerat cari quod lumina nati;

non Sol boum suorum causa offensus. Absit ut vel Neptunus ferum hominem inhospitalemque tanti fecerit filium; aut Soli tanta fuerit penuria et boum cura tam sordida: nimirum hæc mandata erant Jovis. Nonne enim is ipse est, qui filium suum Herculem, ne in otio luxuque torpesceret, e mediis eduxit voluptatibus, in quas Eurystheum mittere maluit; Herculi contra apros, leones, principes, tyrannos, latrones, vias longissimas, desertas terras, invios denique objecit fluvios? nisi forte arbitreris, Jovem una de nocte tres potuisse efficere; quem vero ea nocte genuerat, tantis vitæ laboribus præstare immunem haud potuisse. Atqui noluit; nec enim fas est aliud velle Jovem quam quod est honestissimum. Hac via et Hercules evasit bonus, et Bacchus, et Ulysses. Sed ne longius te a præsentibus abducam, ipsumne Socratem arte potius bonum evasisse putas, quam divinitus? nonne potius ita dicendum: pro arte sua futurus fuisset lapicida, filius patris hæreditatem cernens: at divino electus suffragio arti renunciavit, virtutem amplexus est.

ΛΟΓΟΣ ΛΘ.

Εἰ ἔστιν ἀγαθὸν ἀγαθοῦ μεῖζον. Ἐν ᾧ ὅτι οὐκ ἔστιν.

1. Οὐδὲ τοῦ Ὁμήρου ἔγωγε ἀποδέχομαι, τῷ Λυκίῳ Γλαύκῳ μεμφομένου ἀμείβοντι ὅπλα χρυσᾶ πρὸς τὰ τοῦ Διομήδους χαλκᾶ ὄντα καὶ ἐννεάβοια, ἑκατομβοίων ἐλαττουμένῳ. Χρηματιστὴς γὰρ ἂν τοῦτό γε αἰτιάσαιτο ἐν δίκῃ,

Ἀρχὸς ναυτάων, οἵ τε πρηκτῆρες ἔασιν,

« φόρτου τε μνήμων, κερδέων τε ἁρπαλέων· » μή τί γε ἀνὴρ ποιητικὸς καὶ ἀξιῶν μαθητὴς εἶναι τῆς Καλλιόπης, ᾗ μηδὲν θέμις μήτε ἐπαινεῖν τῶν αἰσχρῶν, μήτε ψέγειν τῶν καλῶν. Εἰκὸς δήπου τὸν Γλαῦκον, εἴπερ ἦν Ἱππολόχου τοῦ Βελλεροφόντου τοῦ Σισύφου τοῦ Αἰόλου, ἀγαθῶν ἁπάντων, ἐντυχόντα ἀνδρὶ, ἐχθρῷ δο-

DISSERTATIO XXXIX.

An sit bonum bono majus. Non esse.

1. Ego ne Homerum quidem audio, quum Glaucum illum Lycium accusat, quod aurea arma cum Diomedis commutaverit æneis et quæ novem boum pretio essent, centum bubus dignorum faciens detrimentum. Mercatori hanc querelam relinquamus, qui hoc non immerito faciat;

Scilicet intentus lucro, navisque magister,

mercibus attentus et quæstui avaro: quæ longe abesse a poeta debent, qui magistram sibi Calliopen fuisse vult, quam neque turpia laudare fas est, nec pulchra vituperare. Imo probabile erat Glaucum, si quidem patrem Hippolochum, avum Bellerophontem, proavum Sisyphum, abavum Æolum, viros omnes præstantissimos, habuit, quum

χοῦντι κατὰ τὴν τοῦ πολέμου τύχην, φίλῳ δὲ κατὰ τὴν τῶν πατέρων ξενίαν, ξυμβαλλόμενον φιλίαν αὖθις καὶ ἀνακαλούμενον τὴν προγενῆ οἰκειότητα, συμμετρήσασθαι τῷ καιρῷ καὶ μὴ τῇ ἀξίᾳ τῶν ὅπλων τὴν ἀνταλλαγήν· μὴ λογισμοὺς συντιθέντα χρυσοῦ καὶ χαλκοῦ, καθάπερ οἱ ἐκ Λήμνου οἰνιζόμενοι,

Ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ,
ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτοῖσι βόεσσι.

Μέχρι μὲν γὰρ τῆς χρείας τῆς ἐν ποσὶν ἔχει λογισμοὺς ἡ ἀντίδοσις, καὶ τὸ πλέον πρὸς τοὔλαττον τῷ ἀντισταςίῳ ἐν τοῖς ἀνομοίοις κατὰ τὴν τιμὴν ἐξετάζεται. Κἂν ἐγκεκαλυμμένος γοῦν τις γνοίη, ὅτι τὸ τάλαντον τῶν δέκα μνῶν πολλαπλάσιον, καὶ ἡ δραχμὴ τοῦ ὀβολοῦ τιμαλφεστέρα· καὶ ἐν κτήσει γῆς καὶ κατὰ τὸν Ἡρόδοτον οἱ μὲν γεωργοὶ ὀργυιαῖς διαμετροῦνται τὴν γῆν, οἱ δὲ τούτων ἀμφιλαφέστεροι σταδίοις, οἱ δὲ τούτων πολὺ γεωργικώτεροι, σχοινίοις, καθάπερ οἱ Αἰγύπτιοι· καὶ ἐν κτήσει θρεμμάτων πολυκτεανώτερος τοῦ Πολυφήμου ἦν ὁ Δάρδανος,

Τοῦ τρισχίλιοι ἵπποι ἕλος κάτα βουκολέοντο.

Ἀλλ' ἐπειδάν τις τὰς χρείας παρωσάμενος ἀντεξετάζῃ αὐταῖς τὰ ἀγαθὰ, εὕροι ἂν, οἶμαι, ταύτας μὲν καιρῷ, καὶ νόμῳ, καὶ ἡδοναῖς, καὶ ἔθεσι, καὶ τύχαις, ἄνω καὶ κάτω εἰς τιμὴν καὶ ἀτιμίαν μεταβαλλομένας· τὸ δὲ ἀγαθὸν, ἑδραῖον, βέβαιον, ἀκλινὲς, ἰσόρροπον, κοινὸν, ἀνέμητον, ἄφθονον, ἀνενδεὲς, μήτε αὔξησιν χωροῦν, μήτε ἐνδείας ἀνεχόμενον· τό, τε γὰρ αὐξόμενον προσθήκῃ αὔξεται· (ἀλλ' εἰ μὲν ἀγαθὸν ἀγαθῷ προσελήλυθεν, οὐδὲν μᾶλλον τῇ προσθήκῃ νόει ἀγαθὸν τὸ ἀγαθὸν, ἦν γὰρ ἀγαθὸν καὶ πρότερον· εἰ δὲ οὐχ ἀγαθὸν ἦν τὸ προσελθὸν εἰς αὔξησιν, δεινὸν λέγεις, εἰ ἔσται τι ἀγαθὸν μεῖζον προσθήκῃ κακοῦ·) τό, τε ἐνδεὲς ἐλλείψει ἐνδεές· ἀλλ' εἰ μὲν τοῦ ἀγαθοῦ ἀπουσίᾳ ἐνδεῖ τὸ ἀγαθὸν, οὐχ ἦν ἀγαθὸν, ὁπότε ἐνέδει· εἰ δὲ ἑτέρῳ ἐνδεῖ, καὶ μὴ τῷ ἀγαθῷ, οὐ λυπεῖ τὸ ἀγαθὸν ἡ ἔλλειψις.

2. Τί δὲ, οὐχὶ καὶ ταύτῃ σκοπεῖς τὸ λεγόμενον; Καλεῖς τι ὑγείαν σώματος; τί δὲ οὐ μέλλεις; καλεῖς δὲ καὶ νόσον; Φέρε οὖν διαλαβὼν ἑκάτερον φάθι. Οὐχ ἡ μὲν ὑγεία μέτρον τι ἐστὶ τῆς τῶν σωμάτων εὐαρμοστίας, ἐπειδὰν ὁμολογήσῃ τῇ πρὸς τὸ ἄριστον κράσει τἀναντία, πρὸς ὕδωρ πῦρ, καὶ γῆ πρὸς ἀέρα, καὶ ἑκάτερον αὖθις αὖ πρὸς ἑκάτερον, καὶ πάντα πᾶσιν; Ἔστιν οὖν ὅπως ποικίλον τι σοὶ ἡ ὑγεία ἔσται, καὶ παντοδαπὸν, οὐχὶ δὲ ἁπλοῦν καὶ ὡμολογημένον; Ἐπειδὰν γὰρ μέτρον εἴπῃς, στάσιν λέγεις· οὐδὲν γὰρ τῶν συμμέτρων μεταχωρεῖν φιλεῖ ἐφ' ἑκάτερα, ἀλλ' εἰσὶν αὐτῶν ἀκριβεῖς οἱ ὅροι. Ἡ δ' αὖ νόσος τί ἄλλο ἐστὶν, ἢ διάλυσις καὶ ταραχὴ τῆς ἐν σώματι ἐκεχειρίας, ἐπειδὰν αὖθις συμπεσόντα ἀλλήλοις τὰ τέως περ ἡρμοσμένα πολεμῇ καὶ ταράττῃ, καὶ λυμαίνηται ὑπ' αὐτῶν τὸ σῶμα κλονούμενόν τε καὶ σπαραττόμενον καὶ σειόμενον; Ἔστιν οὖν ὅπως τὸν πόλεμον τοῦτον ἡγήσῃ ἁπλοῦν καὶ ἕνα;

homini occurreret, qui in bello quidem hostis, amicus autem antiquo hospitalitatis jure esset, cumque eo de integro fœdus inire, veteremque illam majorum suorum revocare familiaritatem vellet, occasione, non pretio, permutationem æstimare armorum, neque aurum et æs anxie inter se componere, ut illi qui ex Lemno vinum sibi comparant,

Quorum pars illud ferro mercatur, et ære,
tergoribus pars taurinis, ipsisque juvencis.

Intra usum enim quotidianum consistit compensatio, majusque minori in iis, quæ pretio differunt, oppositum æqua lance expenditur. Nemo est enim qui non vel obductis oculis scire possit, talentum multo plus valere quam minas decem, sicut pretio suo obolum excedit drachma; et qui [pauperes] sunt agricolæ, secundum Herodotum, terram passibus metiuntur; qui vero his laxius incolunt, stadiis; qui his etiam ampliores agros colunt, sexaginta stadiorum mensuris, *funibus,* agunt, quemadmodum Ægyptii; et in possessione pecudum opulentior Polyphemo erat Dardanus,

Cujus equi ter mille paludem pascere circum.

Si quis vero, usus ratione habita nulla, ipsa bona contendat, inveniet, ni fallor, illum et tempore et lege, et diversa voluptate, et consuetudine, et fortuna, perpetuo sursum deorsum fluctuare et mutare pretium; bonum vero stabile esse, firmum, immotum, æquilibre, commune, individuum, copiosum, nullius egenum, ut nec augeri possit, nec defectum admittat: quicquid enim augetur, accessione augetur; (at si bonum bono accedat, cave accessione hoc bonum magis bonum esse existimes; nam et prius erat bonum: quodsi non est bonum quod accedit, mirari lubet si bonum aliquid majus futurum putas accessione mali:) et quod deficit, qua deficit, deficere dicitur: at si boni defectu bonum deficit, non est bonum, quum deficit; sin alterius defectu, non ipsius boni, non nocet bono hic defectus.

2. Quid? anne sic etiam intelligas quod dico? Estne aliquid quod sanitatem vocas corporis? et quidni esset? estne aliquid quod morbum? De utroque igitur separatim responde. Nonne corporis apte dispositi constitutionem certam, quum optima temperie contraria inter se consentiunt, sanitatem dicis: ut si aqua et ignis, terra et aer, rursus utrumque cum utroque, omniaque cum omnibus conveniant? an idcirco varia res aut diversimoda ac non simplex potius et definita, videtur tibi sanitas? Nam simulac compositionem ei aptam tribuis, stabilitatem ejus fateris; nihil enim bene compositum ab altero transire amat ad alterum, imo contra certos in se atque accuratos habet terminos. Contra morbus, quid aliud est quam dissolutio perturbatioque fœderis illius in corpore, quoties rursus inter se contendunt singula, et, quæ prius apte composita erant, bellum gerunt ac tumultuantur, ab iisque jactatur, discerpitur, concutitur, donec pessumdetur, corpus? Tune ergo uniforme simplex-

Ὀλίγου μέντ' ἂν ἦν ἡ ἰατρικὴ ἀξία. Νῦν δὲ τὸ πολυμερὲς καὶ πολύφωνον τοῦ τῶν σωμάτων πολέμου, ἃς καλοῦμεν νόσους, ἐγέννησε τέχνην παντοδαπὴν, καὶ μεστὴν ὀργάνων ποικίλων, καὶ πολλῶν φαρμάκων, καὶ σιτίων, καὶ διαιτημάτων. Κἂν ἐπὶ μουσικὴν ἔλθῃς, τὸ μὲν ἡρμοσμένον κἀνταῦθα ἓν, οὔτε κρεῖττον αὐτὸ αὑτοῦ γιγνόμενον, οὔτε ἔλαττον· τὸ δὲ ἀνάρμοστον πολὺ, καὶ παντοδαπὸν, καὶ διῃρημένον. Οὕτω καὶ χορὸς ὁμολογήσας μὲν, εἷς ὁμοφωνίᾳ· μὴ ὁμολογῶν δὲ, σχίζεται καὶ διαχεῖται καὶ σκεδάννυται, καὶ πλῆθος γίγνεται. Οὕτω καὶ τριήρης, ἐρεσσομένη ὑπ' αὐλῷ, τὴν πολυχειρίαν συνάπτει τῇ ὁμοιότητι τῆς εἰρεσίας· ἐὰν δὲ ἀπαλλάξῃς τὸν αὐλὸν, διέλυσας αὐτῆς τὴν χειρουργίαν. Οὕτω καὶ ὑφ' ἡνιόχῳ ἅρμα εὐθύνεται κοινῷ δρόμῳ καὶ θυμῷ ἑνί· ἐὰν δὲ ἀφέλῃς τὸν ἡνίοχον, ἐσκέδασας τὸ ἅρμα. Οὕτω καὶ στρατόπεδον συντάττεται ὑπὸ συνθήματι ἑνί· ἐὰν δὲ ἀφέλῃς τὸ σύνθημα, διέλυσας τὴν φάλαγγα εἰς πλήθους φύσιν.

3. Τί τοίνυν ἀγαθὸν σωμάτων; ὑγίεια. Κακόν; νόσος. Ἓν μὲν ἡ ὑγίεια, πολλαὶ δὲ αἱ νόσοι. Τί ἐν μουσικῇ τὸ ἀγαθόν; ἁρμονία. Ἓν μὲν τὸ ἡρμοσμένον, πολλὴ δὲ ἡ ἀναρμοστία· καὶ ἐν χορῷ ἓν μὲν ἡ ὁμολογία, παντοδαπὸν δὲ ἡ διαφωνία· καὶ ἐν τριήρει ὁ μὲν αὐλὸς ἓν, πολλὴ δὲ ἡ ἀπείθεια· καὶ ἐν ἅρματι, ἡνιόχου τέχνη, ἓν μὲν τοῦτο, παντοδαπὸν δὲ ἡ ἀτεχνία. Τί δὲ ἐν φάλαγγι; φυλακὴ συνθήματος· ἓν μὲν τοῦτο, παντοδαπὴ δὲ ἡ ἀναρχία. Ἐν μὲν οὖν τῇ τοῦ ἑνὸς φύσει ὑπερβολὰς καὶ ἐνδείας οὐχ ὁρῶ· στάσιμος γὰρ αὕτη, καὶ μηδένα ἀνεχομένη δρόμον μήτε εἰς φυγὴν μήτε εἰς δίωξιν· ὅταν δὲ εἰς πλήθους ἀριθμὸν ἐμπέσω, δύναμαι τότε διαμετρεῖσθαι τὰς φύσεις· καὶ γὰρ ὁδοῦ μακρᾶς τὸ μὲν τέρμα ἓν, πολλαὶ δὲ αἱ ἀποστάσεις. Ἐὰν ἐπὶ Βαβυλῶνα ἴῃς, πλησιαίτερος μὲν τοῦ Ἀρμενίου ὁ Ἀσσύριος, καὶ τοῦ Λυδοῦ ὁ Ἀρμένιος, καὶ τοῦ Ἴωνος ὁ Λυδὸς, καὶ τοῦ νησιώτου ὁ Ἴων· ἀλλ' οὐδεὶς ἐν Βαβυλῶνι οὔπω, οὐχ ὁ Ἀσσύριος, οὐχ ὁ Ἀρμένιος, οὐχ ὁ Λυδὸς, οὐχ ὁ Ἴων, οὐχ ὁ νησιώτης. Κἂν ἐπὶ Ἐλευσῖνα ἴῃς, Πελοπόννησος αὕτη, εἶτα Ἰσθμὸς, εἶτα Μέγαρα· ἀλλὰ ἀμύητος εἶ, κἂν ἐν Μεγάροις ᾖς, ὁμοίως τῷ Πελοποννησίῳ· μέχρι μήπω τῷ ἀνακτόρῳ προσελήλυθας, ἀμύητος εἶ. Νόμιζε δὴ καὶ τὸν βίον ὁδόν τινα εἶναι μακρὰν, ἐπ' Ἐλευσῖνα ἢ Βαβυλῶνα ἄγουσαν, τέρμα δὲ δὴ τῆς ὁδοῦ τὰ βασίλεια αὐτὰ καὶ ἀνάκτορα, καὶ τὴν τελετήν· ὑπὸ δὲ πλήθους ὁδοιπόρων μεστὴν τὴν ὁδὸν θεόντων, ὠθιζομένων, καμνόντων, ἀναπαυομένων, κειμένων, ἐκτρεπομένων, πλανωμένων· πολλαὶ γὰρ αἱ παρατριβαὶ καὶ ἀπατηλαὶ, ὧν αἱ μὲν ἄλλαι ἐπὶ κρημνοὺς καὶ βάραθρα ἄγουσιν, αἱ δὲ ἐπὶ τὴν Σειρήνων, αἱ δὲ ἐπὶ τοὺς Λωτοφάγους, αἱ δὲ ἐπὶ τὸν Κιμμερίων δῆμον· μία δέ πού τις στενὴ καὶ ὄρθιος καὶ τραχεῖα, καὶ οὐ πολλοῖς πάνυ ὁδεύσιμος, ἐπ' αὐτὸ ἄγει τὸ τῆς ὁδοῦ τέρμα, ἣν μόγις καὶ μετὰ πραγμάτων σὺν πολλῷ πόνῳ καὶ ἱδρῶτι ἀνύουσι χαματηραὶ καὶ ἐπίπονοι ψυχαὶ, καὶ ἐπιθυμοῦσαι τοῦ χωρίου, καὶ ἐρῶσαι τῆς τελετῆς, καταμαντευό-

que existimas haberi posse hoc bellum? Næ res parvi pretii esset medicina. Nunc diversitas illa varietasque belli illius in corpore, quem morbum dicimus, artem produxit variam, quæ instrumentis abundat variis, et remediis diversis, diversamque cibi ac victus rationem continet. Ad musicam si venias, apta compositio et hic unica est, quæ nunquam aut melior est, aut deterior se ipsa; contraria vero multiplex est aut potius omnigena ac divisa. Eodem modo chorus qui consentit voce, per hunc concentum unus est; si dissentit, scinditur, diffunditur, separatur, fit multitudo denique. Eodem modo et triremis, quæ ad tibiæ modos a remigibus impellitur, diversas manus pari studio conjungit remigandi; quodsi tibiam tollis, opus remigum dissolvis. Ita et currus ab auriga communi cursu unoque impetu equorum impellitur; tolle aurigam, dissipabitur currus. Nec aliter una sub tessera disponitur exercitus; tolle tesseram, solves exercitum et turbam efficies.

3. Quod ergo bonum est corporum? sanitas. Quod malum? morbus. Una est sanitas, multi sunt morbi. Quid in musica bonum est? harmonia. Unum aliquid est harmonia, multiplex vocum dissidium. Ita in choro unum aliquid est concentus, multiplex vocum discordia; in triremi unum aliquid est vox tibiæ, multiplex inobedientia; in curru unum aliquid est aurigæ ars, multiplex imperitia. Quodnam in acie est bonum? tesseræ observatio; quæ simplex est, sicut multiplex confusio. In hoc igitur uno simplicique nec excessum, nec defectum video; stabilis natura illius est, nunquam e loco suo vel in hanc, vel in illam abit partem, ut vel fugiat aliquid vel sectetur: contra si in multitudinis numerum incidero, jam dividere naturas possum singulorum; sicut in magna via terminus unus est, multa sunt intervalla. Si Babylonem petas, propinquior Armenio est Assyrius, rursus Armenius quam Lydus, Lydus quam Ion, Ion quam insulanus; nemo tamen jam in Babylone est, non Assyrius, non Armenius, non Lydus, non Ion denique, aut insulanus. Si Eleusina proficisceris, proxima est hæc Peloponnesus, deinde Isthmus, deinde Megara; sed adhucdum non initiatus es, quamvis Megara usque perveneris, æque atque ille qui in Peloponneso manet: donec ad ipsum templum non accesseris, es non initiatus. Cogita eodem modo vitam hanc longam quandam viam esse, quæ Babylonem, aut Eleusina deducat; terminum hujus esse regiam ipsam, et templum, et initiationem; plenam viatorum esse hanc viam, quorum alii currunt, alii se mutuo impellunt, alii laborant, quiescunt alii, alii jacent, alii e via deflectunt, oberrant alii: deviæ enim fallacesque viæ occurrunt plurimæ, quarum aliæ in rupes altissimosque hiatus, aliæ ad Sirenas, aliæ ad Lotophagos, aliæ ad Cimmerios deducunt. Una tamen est angusta, acclivis atque aspera, eaque paucissimis trita, quæ ad ipsam itineris deducit metam; quam ægre nec sine maximis molestiis multoque sudore diligentes quædam et labori assuetæ absolvere conantur animæ, quod et loci flagrent cupidine, iisque initiari gestiant sacris, quorum jam ante animo quasi divi-

μεναι αὐτῆς τὸ κάλλος· ἐπειδὰν δὲ ἀφίκωνται ἐκεῖ, παυσάμεναι τοῦ πονεῖν, παύονται τοῦ πάθους. Τίς γὰρ ἄλλη τελετὴ μυστικωτέρα, καὶ τίς ἄλλος τόπος σπουδῆς ἄξιος; Ταύτην ἔχει τοῖς ἀνθρώποις τὴν χώραν τὸ ἀγαθὸν, ἣν τοῖς ἀμυήτοις Ἐλευσὶν ἔχει. Μυήθητι, ἐλθὲ, ἐπίβηθι τοῦ χωρίου, λάμβανε τὰ ἀγαθὰ, καὶ οὐ ποθήσεις ἄλλο μεῖζον.

4. Ἐὰν δὲ τὸ ἀγαθὸν ἐπονομάζῃς τῇ τῶν μὴ ἀγαθῶν φύσει, ὑγιείας σωμάτων καὶ εὐμορφίας, καὶ περιβολὴν χρυσοῦ καὶ ἀργύρου, καὶ δόξαν προγόνων, καὶ τιμὴν πολιτικὴν, πράγματα ἡδοναῖς μᾶλλον ἢ ἀγαθοῖς μετρεῖσθαι πεφυκότα· ἐξαγορεύεις τὰ μυστήρια, πλημμελεῖς περὶ τὸ θεῖον. Τοιούτων ἀγαθῶν μεταλαβεῖν ποθεῖς, οἵων καὶ Ἀλκιβιάδης μυστηρίων, μεθύων δᾳδοῦχος, καὶ ἐκ συμποσίου ἱεροφάντης, καὶ ἐν παιδιᾷ τελεστής. Ἀγαθὸν δὲ ἀγαθοῦ ἀπορρητότερον οὐκ ἂν εὕροις μᾶλλον, ἢ κάλλος κάλλους ὡραιότερον· ἐὰν γάρ τι τούτων ἀφέλῃς, οὐκ ἔτι καλὸν οὐδὲ ἀγαθὸν τὸ μήπω ἀγαθόν. Οὐχ ὁρᾷς τὸν ὑπὲρ κεφαλῆς τοῦτον οὐρανὸν, καὶ τὰ ἐν αὐτῷ ἄστρα, καὶ τὸν ὑπ' αὐτῷ αἰθέρα, καὶ τὸν ὑπὸ τούτῳ ἀέρα, καὶ τὴν ὑπ' αὐτῷ θάλατταν; διαμέτρησον αὐτῶν τὰς φύσεις. Τοῦτο γῆ, μέρος τοῦ ὅλου, πλατὺ, καὶ πολυτρόφον, καὶ δενδροφόρον, καὶ ζῳοτρόφον· ἀλλ' ἐὰν πρὸς τὴν θάλατταν ἐξετάζῃς, ἔλαττον θαλάττης, καὶ θάλαττα ἀέρος ἔλαττον, καὶ ἀὴρ αἰθέρος, καὶ αἰθὴρ οὐρανοῦ. Μέχρι τούτου τὰ μέρη πρόεισιν, ὑπερβάλλοντα καὶ ὑπερβαλλόμενα· ἐὰν δὲ ἔλθῃς ἐκεῖ, στήσεται ὁμοῦ τῷ μεγέθει καὶ τὸ κάλλος. Τί γὰρ ἂν εἴη οὐρανοῦ ὡραιότερον; τί ἄστρων περιλαμπέστερον; τί ἡλίου ἀκμαιότερον; τί σελήνης εὐτροφώτερον; τί τῶν ἄλλων χορῶν εὐτακτότερον; τί τῶν θεῶν αὐτῶν τιμιώτερον;

5. Κινδυνεύουσι δὲ οἱ ἄνθρωποι, καθάπερ τοῖς ἀγαθοῖς, οὕτω καὶ τοῖς θεοῖς, ζυγοστατεῖν τὰς τιμάς. Τίς οὗτος; Ζεύς. Ἀρχέτω. Τίς οὗτος; Κρόνος. Δεδέσθω. Ἥφαιστος; χαλκευέτω. Ἑρμῆς; Ἀγγελλέτω. Ἀθηνᾶ; Ὑφαινέτω. [ὡς Πελοποννησίοις ἐπέσθωσαν.] Ἀγνοοῦσι γὰρ, οἶμαι, ὡς θεοῖς πᾶσιν εἷς νόμος καὶ βίος καὶ τρόπος, οὐ διῃρημένος, οὐδὲ στασιωτικός· ἄρχοντες πάντες, ἡλικιῶται πάντες, σωτῆρες πάντες, ἰσοτιμίᾳ καὶ ἰσηγορίᾳ συνόντες τὸν πάντα χρόνον· ὧν μία μὲν ἡ φύσις, πολλὰ δὲ τὰ ὀνόματα. Ὑπὸ γὰρ ἀμαθίας αὐτῶν τὰς ὠφελείας τὰς ἑαυτῶν ἕκαστοι ἐπονομάζομεν ἄλλος ἄλλῃ κλήσει θεοῦ· καθάπερ καὶ τὰ μέρη τῆς θαλάττης, Αἰγαῖον τοῦτο, Ἰόνιον ἐκεῖνο, Μυρτῷον ἄλλο, Κρισαῖον ἄλλο, ἡ δ' ἐστὶ μία, ὁμογενὴς, καὶ ὁμοπαθὴς, καὶ συγκεκραμένη. Οὕτω καὶ τἀγαθὸν, ἓν ὂν καὶ ὅμοιον αὐτῷ καὶ ἴσον πάντοθεν, ὑπὸ ἀσθενείας τῆς πρὸς αὐτὸ καὶ ἀγνωσίας ταῖς δόξαις διαιρούμεθα. Πλουτεῖ Καλλίας, μακάριος τῶν ἀγαθῶν· ἀλλὰ Ἀλκιβιάδης Καλλίου ὡραιότερος. Ἀντιθῶμεν τἀγαθὰ, πλοῦτον κάλλει· ποῖον αὐτῶν ἑκατόμβοιον; ἐννεάβοιον ποῖον; πότερον ἑλώμεθα; πότερον εὐξόμεθα; Οὐκοῦν ὁ μὲν Φοῖνιξ καὶ ὁ Αἰγύπτιος τὸ Καλλίου ἀγαθὸν εὔξεται· ὁ δὲ Ἠλεῖος καὶ ὁ Βοιώτιος,

nant præstantiam; ad quæ simul ac pervenerint, labore suo defunctæ quiescunt, eo quod desiderarunt potitæ. Quænam alia initiatio potest esse sanctior; quis præ illo locus visu dignus? Quod autem iis, qui nondum initiati sunt, est Eleusin, id hominibus est ipsum bonum. Initiare, agedum, locum conscende, bona ejus amplectere; neque majus unquam aliud optabis.

4. Quodsi boni nomen illis, quæ bona non sunt, tribuas; qualia et corporis sanitas, et forma, et auri argentique ornamenta sunt, et decus majorum, et honor civilis, et ejusmodi, quæ voluptatis potius quam boni norma exigenda sunt: eliminas mysteria, deum ipsum offendis. Talia sunt, quorum particeps vis esse, bona, qualia Alcibiadis mysteria, quum ebrius facem gestat, post compotationem sacerdotem agit, per ludum jocumque res sacras exprimit. Bonum vero bono non magis est mysticum, quam pulchrum pulchro pulchrius; nam si demas aliquid, non jam erit bonum, aut pulchrum, quod nondum plene bonum est. Nonne vides cœlum hoc, quod capiti nostro imminet, et quæ in eo sunt sidera? nonne et hunc, qui sub cœlo est, ætherem, et qui sub æthere est, aerem, et quod sub aere est, mare? divide hæc omnia. Hæc est terra, pars universi, lata, alma, arbores producens, nutriens animalia. Eam si cum mari conferas, mari minor est, sicut mare minus aere, aer æthere, æther cœlo. Eatenus procedit partium ordo, semperque est quod vincit, et quod vincitur; illo ubi perveneris, nec magnitudo amplius, nec pulchritudo procedit. Quid enim aut cœlo dari potest pulchrius, aut sideribus illustrius, aut sole magis vegetum, aut luna magis almum, aut choro illo reliquo magis eleganter dispositum? quid denique magis, quam dii, venerabile?

5. Et tamen homines, sicut bona distinguunt, ita diis quoque ipsis honores dividunt et quasi lance expendunt. Quis hic? Juppiter. Imperet. Quis hic? Saturnus. Vinciatur. Vulcanus? Ferrariam exerceat. Mercurius? Nuncia perferat. Minerva? Texat. Nimirum ignorant, ut arbitror, diis omnibus legem unam, unam vitam, mores eosdem esse, non diversos, neque pugnantes; imperant omnes, ejusdem ætatis sunt omnes, saluti nostræ student omnes, eadem omnes dignitate, eadem auctoritate in æternum vivunt: quorum una est natura, multa sunt nomina. Nam per nostram de iis ignorantiam fit ut ea, quæ singulis nobis præstare solent, subsidia exprimamus, alius alia appellatione dei: non secus ac maris partes singulæ, alia Ægæum, Ionicum alia, alia Myrtoum, alia sinus Crissæus dicitur; quum tamen unicum sit mare, ejusdem generis, naturæ ejusdem, partibus suis commistum. Eodem modo bonum quoque, quod unum sibique simile et æquale est undique, pro ingenii imbecillitate nostri atque ipsius boni ignorantia, in opiniones varias distraximus. Dives est Callias, felix his bonis; sed pulchrior est Callia Alcibiades. Age conferamus inter se hæc bona, divitias cum pulchritudine: utrum eorum centum pretio boum, utrum novem æstimabis? utrum eligemus? utrum optabimus? Phœnicius Ægyptiusque Calliæ, Eleus contra et Bœotius Alcibiadis optabit bo-

τὸ Ἀλκιβιάδου. Εὐγενὴς Παυσανίας, ἀλλ' ἐνδοξότερος Εὐρυβιάδης. Ἀντιθῶμεν εὐδοξίᾳ γένος· τίς κρατεῖ; τίνι δῶμεν τὰ νικητήρια φέροντες; Σωκράτης πένης, Σωκράτης αἰσχρὸς, Σωκράτης ἄδοξος, Σωκράτης δυσγενὴς, Σωκράτης ἄτιμος. Πῶς γὰρ οὐχ αἰσχρὸς καὶ ἄτιμος καὶ δυσγενὴς καὶ ἄδοξος καὶ πένης ὁ τοῦ λιθοξόου, ὁ σιμὸς, ὁ προγάστωρ, ὁ κωμῳδούμενος, ὁ εἰς δεσμωτήριον ἐμβαλλόμενος, ἀποθνήσκων ἐκεῖ, ἔνθα καὶ Τιμαγόρας ἀπέθανεν; Ὢ τῆς ἐρημίας τῶν ἀγαθῶν· ὀκνῶ γὰρ εἰπεῖν πλῆθος κακῶν. Τί τούτοις ἀντιθῶμεν; τί φῶμεν; Παράβαλλε τοῖς ἀνταγωνισταῖς τὸν Σωκράτην ἐν κτήσει ἀγαθῶν· οὐχ ὁρᾷς ἡττώμενον ἐν πλούτῳ Καλλίου, ἐν σώματι Ἀλκιβιάδου, ἐν τιμῇ Περικλέους, ἐν δόξῃ Νικίου, ἐν θεάτρῳ Ἀριστοφάνους, ἐν δικαστηρίῳ Μελήτου; Μάτην ἄρα αὐτῷ ὁ Ἀπόλλων τὰ νικητήρια ἔδωκε, μάτην ἐπεψηφίσατο.

num. Nobilis Pausanias, at plus gloriæ consequebatur Eurybiades. Conferamus nobilitatem cum gloria : uter vincet? utri palmam dabimus? Socrates pauper, Socrates deformis, Socrates inglorius vixit, Socrates nullis majoribus, honoribus nullis. Quomodo enim non deformis, sine honore, nobilitate, gloria, opibusque viveret, qui et lapicidæ fuit filius, et simus, et ventricosus; qui delusus in comœdiis, in carcerem conjectus est; qui eodem, quo Timagoras, exstinctus est loco? O magnam bonorum penuriam! nec enim dicere audeo malorum copiam. Quid his opponemus? quid dicemus? Certet cum illis possessione bonorum Socrates : nonne vides eum divitiis a Callia, corpore ab Alcibiade, honore a Pericle, gloria superari a Nicia; in theatro Aristophani, in judicio cedere Melito? Frustra ergo Apollo illi palmam, frustra ei assensum suum detulit.

ΛΟΓΟΣ Μ'.

Εἰ ἔστιν ἀγαθὸν ἀγαθοῦ μεῖζον. Ἐν ᾧ ὅτι ἐστίν.

1. Ἀλλ' ἐπεὶ τὸν Ὅμηρον αἰτιᾷ μεμφόμενον τῷ Γλαύκῳ τῆς ἀμοιβῆς· πότερα καὶ σοὶ ὑπὲρ τοῦ Ὁμήρου ἀπολογητέον, ἢ Ὁμήρῳ ὑπὲρ τοῦ Γλαύκου; Τούτῳ νὴ Δία· τιμητέος γάρ μοι καὶ πρὸ τῶν ἄλλων Ὅμηρος, μή τί γε πρὸ δικαστοῦ σου. Ὧδε τοίνυν ὁ Γλαῦκος λέγει· Εἰ μέν τι, ὦ Ὅμηρε, ἔλαττον ἦν ἀγαθὸν ἀγαθοῦ, ἦν ἔλαττον μείζονος· εἰκότως ἄρα σοι εἶχεν αἰτίαν ὁ Ζεὺς, ὡς τὰς φρένας μοι λυμαινόμενος· ἐν δὲ χρυσοῦ καὶ χαλκοῦ ἀλλαγῇ μήπω πάνυ αἰτιάσῃ μήτε τὸν Δία, μήτε ἐμέ· οὐδὲν γὰρ οὔτε τῷ λαβόντι χρυσὸς πλέον, οὔτε τῷ ἀλλαξαμένῳ ὁ χαλκὸς ἔλαττον· ἀλλὰ ἀμφοτέροις καλῶς ἔχει ἑκάτερα, ἐν τῷ ἀνίσῳ τῆς ὕλης ἰσοστάσια τῇ γνώμῃ δοθέντα. Καὶ ὁ μὲν Γλαῦκος ἡμῖν ἀπίτω ἐκποδών· ἡκέτω δὲ ὁ Ὀδυσσεὺς ὁ τούτου σοφώτερος, ἀποδειξόμενος ἡμῖν τὴν αὑτοῦ γνώμην, ἣν περὶ ἀγαθῶν κτήσεως ἔχει. Ἦ γὰρ οὐχ οὗτός ἐστιν ὁ μακαρίζων μὲν τὸν Ἀλκίνου οἶκον τῆς εὐφροσύνης καὶ τῆς ᾠδῆς, συνευχόμενος δὲ τῇ Ναυσικάᾳ ὁμόφρονα αὐτῇ ξυστῆναι γάμον, εὐδαιμονίζων δ' αὖ τῆς ἀθανασίας τὴν Καλυψώ; Οἶμαι δὲ αὐτὸν, εἰ καὶ παρ' ἄλλον τινὰ ἀφίκετο τῶν οὐ κατ' ᾠδὴν καὶ κατὰ δαῖτα εὐδαιμόνων, οὐδὲ τῶν μακαρίων κατὰ ἁρμονίαν γάμου, ἀλλὰ τὰ ἔτι τούτων μείζονα ἀγαθὰ κεκτημένων, εἰπεῖν ἂν καὶ περὶ ἐκείνων τὰ εἰκότα. Ἐπεὶ δὲ καὶ τὸ κάλλος μοι προφέρεις, ὡς ἐν μέτρῳ ἑνὶ τὴν χώραν ἔχον, φέρε καὶ περὶ τούτου σοι βραχέα ἄττα ἀποκρίνωμαι. Δοκεῖς γάρ μοι, γενόμενος ἐν χώρᾳ τοῦ Τρωϊκοῦ ποιμένος, ἀφικομένου παρὰ σὲ Ἑρμοῦ πομπῇ Διὸς, ἄγοντος θεὰς τρεῖς πρὸς δικαστήν σε, προστάττοντος βραβεῦσαι περὶ κάλλους αὐταῖς, ἡσθεὶς τῇ Ἀφροδίτῃ, καθάπερ ἐκεῖνος, καταδικάσαι ἂν αἶσχος τῆς Ἥρας καὶ τῆς Ἀθηνᾶς. Εἰ γὰρ ἓν μὲν τὸ ἐν κάλλει καλὸν, κρατεῖ δὲ ἐκ τῶν τριῶν μία, ἀνάγκη τὰς ἡττωμένας αἰσχρῶς ἔχειν.

DISSERTATIO XL.

An bonum bono sit majus. Esse.

1. At enimvero quandoquidem Homerum accusas, qui Glauci permutationem vituperaverat; utrum tibi ipsi pro Homero, an Homero potius pro Glauco respondendum erit? Huic potius mehercules : vel reliquis enim judicibus omnibus mihi præferendus Homerus est, nedum tibi. Quare ita Glaucus dicat : Si quidem, Homere, bonum bono minus esset, minus esset majore : ac tum merito abs te accusaretur Juppiter, qui mentem alienasset meam; at in auri enimvero argentique permutatione cave aut Jovem nimium, aut me accuses ; quia neque plus habuit qui aurum accepit, neque minus cui æs traditum est : verum cum utroque præclare actum est; siquidem materiæ illa inæqualitas æqualitate propositi, quo alter dedit alteri, compensata est. Et Glaucus quidem abeat nobis; veniatque illo sapientior Ulysses, ut suum de bonorum possessione judicium exponat nobis. An non hic ille est qui hilaritatem cantumque in Alcinoi domo miratur, qui cum Nausicaa optat ut nuptiæ ei contrahantur unanimes, qui immortalitatem Calypsus prædicat? Eum ego existimo, si præterea ad alium venisset aliquem, cujus non in cantu et epulis, nec in conjugali copula, sed majoribus longe bonis, posita fuisset felicitas, etiam de his, quæ dicenda erant, dicturum fuisse. Quoniam autem inter reliqua pulchritudinem quoque adducis mihi, quam existimas uno tantum eodemque gradu id ipsum esse, video requiri ut de hoc etiam breviter respondeam tibi. Videris enim mihi, si eodem cum Trojano illo pastore loco fuisses, missusque a Jove ad te venisset Mercurius, qui judicio tuo tres illas divas stitisset, ut pro formæ excellentia deferres uni præmium, Venerem admiratus, sicut ille, Junonem Minervamque, tanquam deformes, damnaturus fuisse. Quippe si unum in pulchritudine sit pulchrum, vincatque una ex tribus reliquas; necesse est eas, quæ vincuntur, esse turpes.

2. Μή σύ γε, ὦ δικαστῶν εὐδαιμονέστατε, ἀλλὰ φειδὼ ἔχε ὀνομάτων αἰσχρῶν, καὶ ἠρέμα κάτιθι ἐκ τῶν ἄκρων ἐπὶ τὰ ἔσχατα· ἵνα μὴ τὸν Ὅμηρον αὖθίς σοι προφέρω, λευκώλενον τὴν Ἥραν λέγοντα, καὶ ῥοδόπηχυν τὴν Ἠῶ, καὶ τὴν Ἀθηνᾶν γλαυκῶπιν, καὶ ἀργυρόπεζαν τὴν Θέτιν, καὶ Ἥβην καλλίσφυρον· ὧν οὐδεμιᾶς ἀφαιρήσει τὸ κάλλος, κἂν ἐν μέρει ᾖ, εὔφημός γε ἐθέλων εἶναι τὰ θεῖα, καὶ ἥκιστα πλημμελής. Ἀκούεις δ' αὐτοῦ διηγουμένου χορὸν ἀγρευτικόν, παιζούσας ἐν ὄρει τὰς Νύμφας, ἐξηγουμένης τῆς Ἀρτέμιδος·

Πασάων δ' ὕπερ ἥγε κάρη ἔχει ἠδὲ μέτωπα,

φησί· καί,

Ῥεῖα δ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι.

Ἦ που καταγελᾷς τοῦ Ὁμήρου, προτιμῶντος μὲν Νυμφῶν κατὰ κάλλος Ἄρτεμιν; Ἀκούεις δὲ αὐτοῦ καὶ περὶ τοῦ Μενελάου κάλλους τοιαυτὶ λέγοντος· ὅτε ἔφη τρωθέντος ῥυῆναι τὸ αἷμα κατὰ τοῦ μηροῦ, ἔπειτα εἰκάζει τὸ τοῦ μηροῦ κάλλος γυναικὸς τέχνῃ ἐλέφαντα χραινούσης φοίνικι, « ἵπποις εἶναι παρήϊον· »

Τοῖοί τοι, Μενέλαε, μιάνθην αἵματι μηροὶ

« εὐφυεῖς, » φησί, « καὶ κνῆμαι καὶ σφυρά. » Τοῦ δὲ Ἀγαμέμνονος αὖθις αὖ ἐπαινῶν τὸ κάλλος, οὐκ ἐδεήθη εἰκόνος Λυδίας, ἢ Καρικῆς, οὐδὲ ἐλέφαντος ὑπὸ γυναικὸς βαρβάρου φοίνικι ἐξηνθισμένου· ἀλλὰ εἰκάζει αὐτοῦ τῷ Διὶ τὴν κεφαλὴν καὶ τὰ ὄμματα, ᾧ καὶ δῆλον, ὡς καλλίων ὁ Ἀγαμέμνων ἦν· τῷ μὲν γὰρ ἦν τὸ κάλλος περὶ τὴν κεφαλὴν καὶ τὰ ὄμματα, τῷ δὲ ἀμφὶ τοὺς μηροὺς καὶ τὰ σφυρά· ὁ δὲ τὰ κρείττω καλός, καλλίων· ὁ δὲ τὰ ἥττω καλός, οὔπω μὲν αἰσχρός, καλὸς δὲ ἧττον. Τί δέ, ἐν τῷ στρατοπέδῳ τῷ Ἑλληνικῷ οὐ διέφερε μὲν ὥρᾳ ὁ Ἀχιλλεύς, εἶχε δὲ τὰ δεύτερα ὁ Νιρεύς; δικαστῇ δέ σοι, ἀπολειπόμενος ὁ Νιρεὺς τοῦ Ἀχιλλέως, οὐδὲν ἦν διαφέρων τοῦ Θερσίτου; Καὶ ἵνα μὴ περὶ κάλλους σοι μόνον διαλέγωμαι, οὐχ ἀμφισβητεῖ τῷ Ἀχιλλεῖ περὶ ἀνδρείας ὁ Αἴας, οὐδὲ τῷ Αἴαντι ὁ Διομήδης, οὐδὲ τῷ Διομήδει ὁ Σθένελος, οὐδὲ τῷ Σθενέλῳ ὁ Μενεσθεύς· ἀλλ' οὐδεὶς διὰ τοῦτο τὴν ἀρετὴν ἀφαιρεῖ τοῦ Μενεσθέως διὰ τὸν Σθένελον, οὐδὲ τοῦ Σθενέλου διὰ τὸν Διομήδην, οὐδὲ τοῦ Διομήδους διὰ τὸν Αἴαντα, οὔτε τοῦ Αἴαντος διὰ τὸν Ἀχιλλέα· ἀλλ' ἔστι κἀνταῦθα ἡ ὁδὸς τῆς ἀρετῆς οὐ διαπηδῶσα τὰς διὰ μέσου φύσεις, ἀλλὰ κατιοῦσα ἠρέμα ἀπὸ τῶν ἀρίστων ἐπὶ τοὺς καταδεεστέρους.

3. Καὶ ἵνα ποτὲ ἀπαλλαγῶμεν τῶν σωμάτων, οἷς ἀναμέμικται ἡ ῥώμη καὶ τὸ κάλλος· εἰ τὴν Ἀνδρομάχην τῇ Πηνελόπῃ ἀντεξετάζοις, οὐχὶ σώφρων μὲν ἑκατέρα καὶ φίλανδρος; προτιμήσεις δὲ τὴν Πηνελόπην, οὐχ ὅσα γυναικὸς βαρβαρικῆς Ἑλληνίδα, ἀλλὰ τῷ περιόντι κατὰ τὴν ἀρετὴν τὸ πλεῖον νέμων. Συμβουλεύει δὲ καὶ ὁ Νέστωρ τῷ Ἀγαμέμνονι· ἆρ' ἀνοήτῳ φρόνιμος; ἢ οὐκ ἂν ἐθελήσαις τὸν τῶν Πανελλήνων

2. Cave hoc modo agas, beatissime judicum: quin potius abstine a calumniis, sensimque potius a summis descende ad infima: ne Homerum denuo impingam tibi, qui nimirum *albas* Junoni *ulnas*, *roseos* Auroræ *cubitos*, *cæsios* Minervæ *oculos*, *pedes* Thetidi *argenteos*, Hebæ *pulchra* tribuit *calcanea;* quibus omnibus, nisi parum reverenter de diis loqui velis atque in eas peccare, pulchritudinem suam relinques, licet in parte sit tantum. Audis eundem describere agrestem Nympharum chorum, quæ in montibus, Diana duce, ludunt:

Illa caput frontemque ipsam supereminet omnes;

et mox addit:

Pulchræ omnes, quamvis facile internoscere divam.

An Homerum ridebis, qui Dianæ formam præferat Nympharum? Audis vero eundem de Menelai quoque forma similiter loquentem: ubi videlicet ex vulnere ejus sanguis per femur destillat, pulchritudinem femoris cum arte confert mulieris, quæ purpureo colore in habenas equi ebur inficit:

Sic, Menelae, tibi femora erubuere cruore

pulchra, inquit, *et suræ et malleoli.* Contra quum Agamemnonis commendat formam, minime opus habet a Lydia Caricaque imagine, aut muliere barbara, quæ purpura imbuit ebur, comparationem desumere; sed cum Jove caput ejus oculosque confert, ex quo sequitur, pulchriorem Menelao fuisse Agamemnonem; alterius enim in capite oculisque, alterius in femoribus malleolisque pulchritudo consistebat: cujus autem in potioribus partibus pulchritudo est, is pulchrior; cujus contra in minus præcipuis, pulcher minus, nondum tamen est deformis. Quid, in exercitu Græcorum an non primas pulchritudinis sibi partes Achilles, secundas Nireus vindicabat? Atqui, te judice, Nireus, quod Achille minus pulcher erat, ideo nihil differebat ab Thersite. Et ne de sola pulchritudine nunc tecum agam, ad Achillis fortitudinem non accedit Ajax, neque Diomedes ad Ajacis, nec ad Diomedis Sthenelus, nec ad Stheneli Menestheus; et tamen nemo Stheneli causa fortem negat esse Menestheum, aut Diomedis causa Sthenelum, aut Ajacis Diomedem, aut Achillis Ajacem: est enim hic quoque certus virtutis progressus, qui in medio positas non transilit qualitates, sed pedetentim a præcipuis descendit ad inferiores.

3. Verum enimvero, ut a corporibus jam abeamus, in quibus robur ac pulchritudo considerantur; si Andromachen contendas cum Penelope, nonne casta utraque, utraque viri amantissima videbitur? et tamen præpones Penelopen; non ut barbaræ Græcam, sed quod excellentiæ virtutis id quod plus est existimes deberi. Agamemno consilio Nestoris utitur, num ut prudentis imprudens? an nolis communi Græcorum omnium regi, quem *Jove genitum,*

βασιλέα, τὸν διογενῆ καὶ λαῶν ποιμένα, καθυβρίσαι δυσφήμῳ αἰτίᾳ; ἀλλὰ καὶ ὡς ἐδέησεν αὐτῷ φρονίμῳ ὄντι φρονιμωτέρου συμβούλου, τοῦ Νέστορος. Πείθω δέ σε οὐδέν τι μᾶλλον περὶ τῶν ἀρετῶν διαλεγόμενος, τὰ ὅμοια τοῖς ὁμοίοις, τῷ ἀνίσῳ κατὰ τὴν μετουσίαν, εἰς ὑπεροχῆς καὶ ἐλαττώσεως μοῖραν παραβαλεῖν ἐθέλων· ὅς γε καὶ τὴν ὑγίειαν ἡγεῖ ἁπλοῦν τι εἶναι. Τί δέ ἐστιν ἁπλοῦν παντὸς ἧττον; αἱ γὰρ τῶν σωμάτων φύσεις πολὺ τῶν τῆς ψυχῆς ἀμφιλαφέστεραι εἰς ὑγείας μέτρον· καὶ αὐτὸ τοὐναντίον, ὁ μὲν διώκων ἀκρότητα ἐν ὑγιεινῷ διώκει πρᾶγμα φεῦγον, καὶ οὔτε Ἀσκληπιῷ οὔτε Χείρωνι ἐξ ἐπιδρομῆς ἁλώσιμον· ὁ δὲ ἐν τῷ ἀνίσῳ τοῦ ἐφικτοῦ τὸ ληφθὲν ἀγαπῶν, εὐγνωμονέστερος μὲν πρὸς τὴν τέχνην, οὐκ ἀνέλπιστος δὲ πρὸς τὴν ἀκρότητα. Οὕτω τοι κἀν τοῖς ἀγαθοῖς ἔχει. Τριῶν γὰρ ὄντων οἷς ἄν τις διαιτήσαι τὸ παρὸν τουτὶ τὸ σκέμμα, ἑνὸς μὲν τείνοντος ἐπὶ τὸ ἀληθὲς αὐτὸ, δευτέρου δὲ ἐπὶ τὸ δυνατὸν, τρίτου δὲ ἐπὶ τὸ ὠφέλιμον, καθ' ἕκαστον τούτων σκεψώμεθα, ἀνατρέψαντες αὐτῶν τὴν ἀκολουθίαν, ἀπὸ τοῦ ὠφελίμου ἀρξάμενοι· μήπω γὰρ δυνατὸν ἔστω μηδὲ ἀληθὲς τὸ λεγόμενον, ὡς ἔστιν ἀγαθὸν ἀγαθοῦ μεῖζον· ἀλλὰ ἴδωμεν αὐτοῦ τὸ ὠφέλιμον· πολλὰ γάρ που καὶ τῶν οὔτε ἀληθῶν οὔτε δυνατῶν ὠφέλησε πιστευθέντα.

4. Οὐχ ὁ μὲν Σωκράτης παράγων τὸ ἀγαθὸν καὶ περιγράφων αὐτοῦ τὴν οὐσίαν ἐν τῷ ἀρίστῳ μόνῳ, διέσκαψε καὶ διετείχισε τὴν ἐλπίδα τῶν πολλῶν τῆς ἐπ' αὐτὸ ὁδοῦ; Ὁ δὲ ὑποβάθρας διδοὺς, καὶ ἀναπαύλας διὰ μέσου καὶ ἀναγωγὰς πολλὰς, προὔπεμψε πόῤῥω πάνυ ὡς τευξόμενον τοῦ μετρίου, παρεμυθήσατο δὲ τῇ ἐπιτυχίᾳ τὸν προελθόντα ὡς ἤδη προσεληλυθότα τῷ ἀρίστῳ· ἀνεκήρυξε δὲ τὸν ἀφικόμενον εἰς τὸ ἄκρον, ὡς ἐν ἀγαθοῖς ἄριστον. Ὁ δὲ ἕτερος τῶν λόγων οὐχὶ τὸν μὲν ἀριστέα ἐν δειλοῖς στεφανοῖ, τὸν δὲ ἰσχυρὸν ἐν ἀσθενεστάτοις; καὶ τὸ ὅλον ἀνταγωνιστὰς τοῖς ἀρίστοις οὐ δίδωσιν, οὐδὲ ἐλέγχει τὰς ἀρετὰς ἐν τοῖς ὁμοίοις. Καὶ τοῦ μὲν ὠφελίμου παύομαι, τὸ δὲ δυνατὸν ἤδη σκοπῶ. Χρυσὸν μὲν τὸν διαφέροντα ἐλέγχει χρυσὸς ἥττων, οὐ μόλιβδος· καὶ ἄργυρον ἄργυρος, καὶ χαλκὸν χαλκός. Καὶ πάντων ἁπλῶς γίγνονται αἱ ἐξετάσεις ἐν τῇ παραβολῇ τοῦ ὁμοίου μὲν κατὰ τὴν οὐσίαν, ἀνομοίου δὲ κατὰ τὴν ὑπεροχήν. Τὸ δὲ ἀγαθὸν εἰς τὰ κακὰ αὐτὰ ἐμβαλὼν οὕτως ἐξετάζεις· καὶ πῶς οὐ φανεῖταί σοι τὸ σμικρότατον τῶν ἀγαθῶν ἐν χώρᾳ τοῦ ἀρίστου; Ὡς γὰρ ἐν νυκτὶ φῶς ἐκ πυρὸς τοῦ δι' ἡμέρας φανέντος ἀκμαιότερον ὑπὸ πολλοῦ τοῦ περικεχυμένου σκότους ἐλεγχόμενον, ἐν δὲ ἡλίῳ τὸ αὐτὸ ἀμυδρὸν καὶ ἀσθενὲς πρὸς ἀνταγωνιστὴν ἰσχυρότερον· οὕτως ἀμέλει καὶ τὸ ἀγαθὸν, τοῖς μὲν κακοῖς συνεξεταζόμενον, καὶ τὸ τυχὸν, ἄριστον καὶ μέγιστον καὶ ἐξοχώτατον, ὡς ἐν πολλῷ ζόφῳ μικρὸν ζώπυρον, ἐν πολλῇ νυκτὶ ὀλίγον φῶς· ἐὰν δὲ παράσχῃς αὐτῷ πρὸς τὰ ὅμοια δρόμον καὶ ἅμιλλαν, τότε ὄψει τὸ ἄριστον ὄντως· νῦν δὲ συγχεῖς τὴν κρίσιν καὶ ταράττεις. Οὐχ

quem *pastorem populorum* poeta vocat, ignominiosam adeo causam reddendo insultare? et tamen prudens quum esset ipse, prudentioris consilio Nestoris opus habuit. Videor autem nihilo magis quod volo tibi esse persuasurus de virtutibus, dum disputatione mea id efficere studeo, ut bona similia cum similibus, prout quæque majore vel minore mensura adsint alicui, secundum abundantiam aut defectum compares : tibi inquam, qui vel sanitatem arbitreris esse rem in se unam et simplicem. Qua quid minus simplex possit dici, non video; quum ad sanitatis constitutionem multo plures corporis ratio differentias admittat, quam animæ; itaque plane contra, ac tu dicis, qui supremum in sanitate corporis sibi proponit terminum, rem sequitur fugitivam, et quam nec Æsculapius nec Chiron sine negotio consecuturi sunt : qui vero, inæqualitatem in arte considerans, eo est contentus quod attingi potest; et æquius de arte sentit, nec de summo desperat termino. Eodem modo res se habet in bonis. Quum enim tria sint quæ ad eam, de qua nunc agitur, quæstionem solvendam faciunt, quorum primum ad ipsam veritatem, secundum ad potentiam, tertium ad utilitatem rei, intuendam spectet, singula eorum videamus, ita tamen ut inverso ordine primum de utilitate agamus. Interea respectu ejus quod fieri potest, id quod quæritur, et veritatis, in dubio maneat : id autem est, bonumne bono sit majus ; sed utilitatem ejus primo videamus. Multa enim, quæ neque vera sunt, neque fieri possunt, si credantur tantum, utilitatem afferunt.

4. Nonne Socrates, dum bonum quasi amovet et essentiam ejus eo solo, quod optimum est, circumscribit, vulgi spem omnem a petenda virtute excludit et tanquam fossa aut muro intercipit? Contra qui gradus quosdam statuit, qui in media via deverticula relinquit et recessus multos, modica sperantem viatorem pertrahit longissime, successu autem consolatur eum qui jam egressus est, tanquam jam accesserit ad optimum : ad quod cui postea pervenire contigit, eum vero, tanquam inter bonos optimum, pronunciat victorem : quum vice versa altera opinio illa athletam primarium inter timidos coronet, robustissimum inter imbelles ; et, ut verbo absolvam, nec adversarios in certamine dat fortissimis, nec virtutes in similibus explorat. Et hoc quidem de utilitate : jam considerabo potentiam. Aurum præstantissimum deterius aurum distinguit, non plumbum; et ab argento argentum, æs ab ære probatur. Breviter, quicquid confertur, ejusdem substantiæ sit necesse est, dignitatis alterius. Tu vero bona primum cum malis permisces ac deinde inter se comparas et exploras : sic quomodo fieri poterit ut non bonum minimum eo loco tibi esse videatur, quo est maximum? Nam ut noctu lumen, quod ab igne accenditur, magnæ illius, quæ circumcirca est, caliginis causa majus videtur esse, quam quod interdiu ardet; idemque si cum sole tanquam majore adversario velis contendere, obscurum propemodum est et nullum : ita si cum malo bonum conferatur, quamvis sit minimum, optimum nihilominus præstantissimumque videbitur; ut in densa caligine scintilla parva, ut in nocte multa lumen parvum : verum si cum simili illud currere et certare permittas, tunc revera, quod præstantissimum est, discernes; ut autem nunc

ὁρᾷς καὶ τὴν σελήνην, ἄστρον ἀμφίβιον πρὸς νύκτα καὶ ἡμέραν, ἐν μὲν νυκτὶ λαμπράν, μετὰ δὲ ἡλίου ἀμαυράν; Οὐκοῦν ἐν ἡμέρᾳ ἥλιος κρατεῖ, τὸ ἄριστον καὶ ἀκμαιότατον τῶν ἐν οὐρανῷ σωμάτων· ἐν δὲ νυκτὶ σελήνη κρατεῖ, τὸ ἀσθενέστατον. Καὶ τοίνυν καὶ τὸ ἀγαθὸν, ἐὰν μὲν εἰς νύκτα καὶ ζόφον καὶ ἀφέγγειαν κακῶν ἐμβάλῃς, κρατεῖ τὸ ἀμαυρότατον· ἐὰν δὲ παραθῇς ἀγαθὰ ἀγαθοῖς, ἀνάγκη κρατεῖν τὰ περιλαμπέστερα.

5. Παύομαι τοῦ δυνατοῦ, καὶ ἐπὶ τὸ ἀληθὲς μέτειμι. Τὸν γὰρ τοῦ ἀνθρώπου βίον ἆρα ἄλλο τι ἡγητέον ἢ διαγωγὴν ζωῆς συγκεκραμένην ἐκ ψυχῆς καὶ σώματος καὶ τύχης; Ἐκ δὲ τῆς τούτων ἁρμονίας κραθέντων καλῶς, ἑκάστου εἰς τὸ ἀκρότατον τῆς ἑαυτοῦ ῥώμης ἀφιγμένου, τὸ ἄθροισμα τοῦτο εὐδαιμονίαν κλητέον· ἀρχούσης μὲν τῆς ψυχῆς στρατηγοῦ δίκην, ὑπηρετοῦντος δὲ τοῦ σώματος στρατιώτου δίκην, συνεργούσης δὲ τῆς τύχης ὅπλων δίκην· ἐξ ὧν ἁπάντων τὸ νικᾶν ἔρχεται. Ἐὰν δὲ ἀφέλῃς τὴν τύχην, τὸν στρατιώτην ἐξοπλίζεις· κἂν τὸν στρατιώτην ἀφέλῃς, ἀποχειροτονεῖς τὸν στρατηγόν· τιμιώτερον δὲ καὶ στρατιώτης ὅπλων, καὶ στρατιώτου στρατηγός. Ἐὰν δὲ δυοῖν θάτερον, ἢ τὸν στρατηγὸν τιμῶν τὰ λοιπὰ ἀτιμάσῃς, τί χρήσεται ὁ στρατηγὸς τῇ τύχῃ; ἢ κἂν ταῦτα εἰσάγων ἰσοτιμίαν νέμῃς, τί χρήσεται τύχῃ τῷ στρατηγῷ; Ἀρχέτω ἡ ψυχὴ, στρατευέτω τὸ σῶμα, συναγωνιζέσθω ἡ τύχη· πάντα ἐπαινῶ, πάντα δέχομαι· ἀλλὰ τὴν ἰσοτιμίαν αὐτῶν ἀφαιρῶ. Οὐχ ὁρᾷς καὶ τὸν ἐν θαλάττῃ πλοῦν, ἔνθα ὁ μὲν κυβερνήτης ἄρχει, ὡς ψυχὴ σώματος· ἡ δὲ ναῦς ἄρχεται, ὡς ὑπὸ ψυχῆς σῶμα· τὰ δὲ πνεύματα ἐπιρρεῖ, ὡς ταῖς ἀρεταῖς ἡ τύχη; Ἐὰν δὲ χειμὼν ἐπιγένηται, καὶ μένῃ μὲν ἡ ναῦς, μένῃ δὲ ὁ κυβερνήτης, ἐλπὶς σωτηρίας, κἂν οἴχηται ἡ ναῦς ὀρθὰ, ἢ καταδύσηται, διὰ τῆς τέχνης· ἐὰν δὲ ἀπὸ τοῦ κυβερνήτου ἄρξῃ, καὶ ἐκεῖνον ἀφέλῃς, ἀχρεῖος μὲν ἡ ναῦς, κἂν μένῃ· ἀχρεῖος δὲ ἡ ἐπιρροὴ τῶν πνευμάτων, κἂν φέρῃ. Καὶ διὰ τοῦτο ἐν μὲν θαλάττῃ καὶ νηῒ καὶ πλῷ τιμιώτατον ὁ κυβερνήτης, καὶ μετὰ τοῦτον ἡ ναῦς, καὶ μετὰ ταύτην ἡ ἔξωθεν ἐπικουρία· ἐν δὲ τῷ τοῦ βίου τούτου δρόμῳ τιμιώτατον μὲν ἡ ψυχὴ, μετὰ δὲ ταύτην τὸ σῶμα, καὶ τρίτον ἡ τύχη· τὰ δὲ τοῦ τιμιωτέρου ἀγαθὰ τῶν ἧττον τιμίων τιμιώτερα.

6. Ἐγὼ καὶ τῶν αἰσθήσεων τὴν ἰσοτιμίαν ἀφαιρῶ. Τυφλὸς ἦν Ὅμηρος, ἀλλ' ἤκουε τῆς Καλλιόπης· κωφὸς ἦν Ἄτυς, ἀλλ' ἑώρα τὸν ἥλιον. Μετάθες τὰς συμφοράς· ἀκουέτω Ἄτυς μὴ ὁρῶν, βλεπέτω Ὅμηρος μὴ ἀκούων· Ἄτυϊ μὲν οὐκ ᾄσεται ἡ Καλλιόπη, Ὁμήρου δὲ οὐκ ἀφαιρήσεις τὴν διδάσκαλον. Ἐγὼ καὶ τῶν θεῶν τὴν ἰσοτιμίαν ἀφαιρῶ· πείθομαι γὰρ Ὁμήρῳ λέγοντι·

Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·

τιμῆς οὐκ ἴσης, οὐδὲ γὰρ ἀρχῆς ἴσης· οὐ γὰρ ἴση ἡ νομὴ οὐρανοῦ πρὸς θάλατταν, καὶ θαλάττης πρὸς

agis, judicium confundis et perturbas. Nonne et lunam vides, quæ noctis et diei sidus commune est, nocte satis splendidam, si sol accedat, hebescere? Sic interdiu sol vincit splendore suo, qui inter cœlestia corpora præstantissimus est potentissimusque; noctu vero luna, omnium obscurissima. Ita et bonum, si in nocte, in tenebris, in caligine malorum collocaveris, eminebit, quamvis obscurum; si bonis bona compares, necesse est eminere illud quod est splendidissimum.

5. Hactenus de potentia: ad veritatem transeo. Aliudne hanc vitam esse putas quam transitum quendam vitalem ex anima, corpore, fortunaque simul temperatum? Quæ omnia si apte inter se jungantur, singulaque ad summum suarum virium gradum perveniant, totum id simul felicitas nuncupandum; ita ut anima imperet pro duce, pareat corpus pro milite, adjuvet fortuna tanquam arma; ex quibus omnibus victoria consequitur. Quodsi fortunam hinc tollas, arma demes militi; sin militem, exauctorabis ducem: et tamen pluris est miles quam arma, pluris dux quam miles. Si vero alterutrum facis, ut vel reliquis neglectis, solum ducem colas, quomodo fortuna dux utetur? aut si omnia hæc admittis eodemque loco habes, quomodo duce utetur fortuna? Imperet animus, militet corpus, auxilium ferat fortuna: cuncta probo, cuncta admitto, dum ne eodem loco habeas omnia. Quid, nonne navigationem vides marinam, in qua gubernator, sicut anima in corpore, imperat; navis, ut corpus animæ, paret; venti in navem, ut in virtutes fortuna, impetum faciunt? Quodsi tempestas oriatur, dum gubernator adhuc superstes est, et superstes navis, sive ea recte feratur, sive exitium minitetur, spes adhuc salutis est in arte: at si a gubernatore incipias, eumque tollas, nihil prodest navis, quamvis sit superstes; nihil ventus, quamvis sit secundus. Propterea in mari, in navi et navigatione præcipuum est gubernator, post hunc navis, post navem subsidium externum: in hoc vitæ cursu præcipuum est anima, post animam corpus, post corpus fortuna; bona autem præcipuarum partium pluris sunt quam bona reliquarum.

6. Ego nec in sensibus fero æqualitatem. Cæcus Homerus erat, et tamen Calliopen audiebat; surdus erat Atys, et tamen solem videbat. Permuta calamitates utriusque; audiat Atys, et ne videat; videat Homerus, et ne audiat; Atyi non canet Calliope, magistram illam suam non eripies Homero. Ego nec in diis æqualitatem fero: Homero enim assentior, quum ait:

Cuncta
in tria divisit, nec quisquam immunis honore est:

honor non æqualis est, nec enim æquale est imperium: sicut nec æqualis est divisio cœli cum mari, aut maris cum inferis;

ἄδην· θεὸς δὲ ὁμοίως καὶ Κρόνου παῖς, καὶ Ἅδης, καὶ Ποσειδῶν, καὶ Ζεύς· καὶ γὰρ Λύσανδρος Σπαρτιάτης, ἀλλὰ Ἀγησίλαος Ἡρακλείδης. Ἐγὼ δὲ κατὰ τὰς ἀρετὰς καὶ τὰ γένη προτιμῶ· οὐ γὰρ ὁ μὲν πωλοδάμνης εὐγενείας ἱππικῆς ἐρᾷ,

Ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς
δῶχ' υἷος ποινὴν Γανυμήδεος, οὕνεκ' ἄριστοι
ἵπποι ἔσαν,

ὁ δὲ θηρευτὴς εὐγενείας σκυλάκων ἐρᾷ, φιλάνθρωπος δὲ καὶ φιλοθρέμμων τοῦ ζώου τούτου, οὐκ ἐξετάσει τὰ γένη· λέγων οὐκ Ἀρτοξέρξην τὸν Ξέρξου (δειλόν μοι γένος λέγεις), οὐδὲ Ἱππίαν τὸν Πεισιστράτου (πονηρόν μοι γένος λέγεις), οὐδὲ Κροῖσον τὸν Ἀλυάττου (ἀσθενὲς λέγεις)· ἐὰν δὲ Λεωνίδαν λέγῃς καὶ Ἀγησίλαον, γνωρίζω τὴν ἀρετήν, καὶ μέμνημαι τοῦ Ἡρακλέους, καὶ ἐπαινῶ τὴν εὐγένειαν. Εἴθε μοι καὶ τὸ Ἀριστείδου γένος ἦν Ἀθήνησιν, εἴθε τὸ Σωκράτους· ἐτίμησα ἂν τούτους ὡς Ἡρακλείδας, ὡς Περσείδας, ὡς εὐπατρίδας. Ἢ ποταμῶν μὲν ῥεύματα, ἐὰν καθαρὰ ἐκ πηγῶν ἔλθῃ, καὶ φυτὰ ἐπαινεῖς, κἂν γηράσκῃ μὲν αὐτῶν τὰ σώματα, μένῃ δὲ τὰ σπέρματα· εὐγένειαν δὲ ἀνθρωπίνην οὐκ ἐπαινέσεις, ἐὰν ἀρξαμένη ἀπὸ τῆς ἀρετῆς, ὡς ἐκ πηγῆς καθαρᾶς, γνήσιος μένῃ, ἀνεπίμικτος μένῃ; Καὶ μέχρι μὲν ταύτης ἀνδρίζῃ, καὶ ἀξιόπιστος εἶ λέγων· ἐὰν δέ σου καὶ περὶ πλούτου πυνθάνωμαι, τί φῄς; ποῖ τὸ πρᾶγμα τάττεις; ἐν ποίῳ χορῷ; Λέγε γυμνῇ τῇ κεφαλῇ τὰς τῆς ψυχῆς φωνάς· λέγε, τί φῂς τὸν πλοῦτον; Κακόν; τί οὖν ἐρᾷς; Ἀγαθόν; τί οὖν φεύγεις;

Ἡ γλῶττ' ὀμώμοσ', ἡ δὲ φρὴν ἀνώμοτος.

Ἀλλ' οὐδέτερον ἡγεῖ, οὐκ ἀγαθόν, οὐ κακόν· ἀλλ' ἐν μεθορίᾳ καὶ χώρᾳ μέσῃ. Τήρησον αὐτὸ ἀδιάφορον, μὴ προέλθῃς περαιτέρω, μὴ ὑπερβῇς τοὺς ὅρους. Ἂν δ' ὑπαλλάξας τὸ ὄνομα ἀγαθὸν μὲν μὴ καλῇς, προηγούμενον δὲ καλῇς· τὴν μὲν φωνὴν μετέβαλες, τὴν δὲ τιμὴν δίδως.

ΛΟΓΟΣ ΜΑ'.

Τοῦ θεοῦ τὰ ἀγαθὰ ποιοῦντος, πόθεν τὰ κακά.

1. Φασὶ τὸν Μακεδόνα Ἀλέξανδρον, ἀφικόμενον εἰς Ἄμμωνος, προσειπόντος αὐτὸν τοῦ Ἄμμωνος παῖδα, πιστεῦσαι τῷ θεῷ, κατὰ τὴν Ὁμήρου φήμην, πατέρα αὐτὸν θεῶν καὶ ἀνθρώπων ὀνομάζοντος· ἀποδεξάμενος δὲ τοῦ μαντείου, ἄλλο μὲν ἠξίωσεν οὐθὲν τὸν πατέρα μετὰ τοῦτο ἔρεσθαι, οὐ περὶ τῆς Δαρείου φυγῆς, οὐ περὶ τῆς μελλούσης μάχης, οὐ περὶ τῆς Ἑλλάδος κακουμένης, οὐ περὶ τῆς Ἀσίας κυκωμένης· ἀλλ', ὥσπερ αὐτῷ τῶν ἄλλων καλῶς ἐχόντων, ἠρώτα τὸν θεὸν περὶ τοῦ Νείλου, ὁπόθεν ὁρμηθεὶς ἐπὶ Αἰγύπτου κάτεισι. Πάνυ γοῦν αὐτῷ τούτου ἐνέδει πρὸς εὐδαιμονίαν, καὶ μαθόντι εἶχεν ἂν καλῶς. Οὐδ' εἰ μὰ Δία πρὸς τῷ

et tamen eodem modo et Pluto, et Neptunus, et Juppiter dii sunt et Saturni filii : sicut quidem Lysander Spartanus est, at Agesilaus Heraclida. Ego et respectu virtutis genus generi praefero. Nam si equorum domitor nobilitatem in equis amat,

Troi quos Juppiter olim
praestantes dederat, pretium Ganymedis adempti;

et venator nobilitatem amat in catulis : nonne qui homines amat, hominum educationi intentus est, tanto magis in eorum genus inquiret? non dico ut ille, *Artaxerxes filius Xerxis;* ignavum mihi genus narras; nec, *Hippias Pisistrati*, improbum mihi narras genus; nec, *Craesus Alyattei;* imbelle narras : at si Leonidam, si Agesilaum dicis, virtutem agnosco, Herculem cogito, nobilitatem approbo. Utinam Athenis Aristidis, utinam Socratis genus exstaret! non minus hos quam Heraclidas, non minus quam Persidas honorarem, non minus quam patricios. Nam si fluvios laudas, qui ex fontibus suis labuntur puri; si plantas, quarum postquam corpora exaruerunt, manent adhuc semina : nobilitatem in hominibus non laudabis, quae ex virtute, tanquam puro fonte, orta generositatem retinet intemeratam? Et hactenus quidem virum te judico, hactenus fide digna loqueris : verum si de opibus ex te quaeram, quid de iis sentias, quo loco ponas, in quo ordine? Loquere audacter, quod animo judicas; dic quid eas existimes. Malum? cur ergo sequeris? Bonum? cur ergo eas fugis:

Juravit lingua, mentem injuratam gero.

At neutrum esse existimas, nec bonum, nec malum; sed inter utrumque, medio in loco ponis. Hoc ipsum serva, indifferens; vide ne transgrediaris ultra, ne limites transilias. Nam si, mutato nomine, bonum quidem non voces, sed *productum* (aut praecipuum); nomen quidem mutasti, honorem tamen etiam tum concedes.

DISSERTATIO XLI.

Quum deus bona faciat, unde sint mala.

1. Alexandrum aiunt Macedonem, quum Jovis Ammonis accessisset templum, atque ab eo filii appellatus esset nomine, credidisse deo, idque ex Homeri sententia, qui Jovem *deum hominumque patrem* dicit; accepto autem eo oraculo, nihil amplius e patre suo voluisse quaerere, non de Darii fuga, non de imminente pugna, non de Graeciae calamitatibus, nec de Asia conturbata; sed, tanquam reliqua ipsi omnia bene haberent, de Nilo rogasse, e quibus videlicet ortus fontibus in Ægyptum deferatur. Hoc enim unum, si diis placet, ad felicitatem illi deerat, eoque cognito, sat beatus futurus erat Alexander! quum mehercules non si cum Nilo ipsum quoque Istrum, aut oceanum, et

Νείλῳ τὸν Ἴστρον ἔγνω, ἢ τὸν ὠκεανὸν αὐτὸν, εἴτε τις ἐστὶ ποταμοῦ φύσις περὶ πᾶσαν γῆν εἰλουμένου, εἴτε ἀρχαὶ τῆς δεῦρο καὶ πηγαὶ θαλάττης, εἴτε λίμνη ὑποδεχομένη τὰς ἡλίου καταδύσεις καὶ σελήνης, εἴτε ἄλλο τι, οἷον οἱ ποιηταὶ καταμαντεύονται· ἐξὸν τοὺς μὲν ποταμοὺς ἐᾶν ῥεῖν, ὁπόθεν αὐτοὺς ἀφῆκεν, αὐτὸν δὲ ἐπὶ Ἄμμωνα ἀφικόμενον, ἢ ἐπὶ τὴν Θεσπρωτῶν γῆν καὶ τὴν ἐκεῖ δρῦν, ἢ ἐπὶ τὸν Παρνασσὸν καὶ τὴν Πυθοῖ χρησμῳδίαν, ἢ ἐπὶ τὸν Ἰσμηνὸν καὶ τὴν ἐκεῖ φωνὴν, ἢ ἐπὶ Δῆλον καὶ τοὺς ἐκεῖ χορούς, ἢ εἴ που ἄλλο τι μαντεῖον ἦν φθεγματικὸν τῆς Ἑλλάδος ἢ τῆς βαρβάρου γῆς, δεῖσθαι τοῦ Διὸς καὶ τοῦ Ἀπόλλωνος ἐπιδοῦναι χρησμὸν ἕνα κοινὸν καὶ δημόσιον τῷ πάντων ἀνθρώπων γένει. Ἦ γὰρ ἂν κοινωφελεστέραν θεωρίαν ἐστείλαντο οἱ ἄνθρωποι τήνδε, μᾶλλον ἢ Δωριεῖς περὶ Πελοποννήσου μαντευόμενοι, ἢ Ἀθηναῖοι περὶ Ἰωνίας πυνθανόμενοι, ἢ Κορίνθιοι περὶ Σικελίας ἀνερωτῶντες.

2. Φέρε μιμησάμενοι τοὺς θεωροὺς ἐκείνους τοὺς κοινοὺς, τοὺς ὑπὲρ τοῦ γένους ἐπὶ τὰ μαντεῖα σταλέντας, ἐρώμεθα τὸν Δία, τίς τῶν ἀνθρωπίνων ἀγαθῶν πατὴρ καὶ χορηγὸς, τίνες ἀρχαὶ, τίνες πηγαὶ, πόθεν ὁρμηθέντα ῥεῖ. Ἢ τούτων μὲν πέρι οὐδὲν δεῖ τὸν θεὸν ἐνοχλεῖν, αἰσθανομένους τῆς χορηγίας, καὶ ὁρῶντας τὴν αἰτίαν, καὶ συνιέντας τὴν πηγὴν, καὶ τὸν πατέρα καὶ ποιητὴν εἰδότας, τὸν οὐρανοῦ ἁρμοστὴν, τὸν ἡλίου καὶ σελήνης ἀγωγέα, τὸν κορυφαῖον τῆς τῶν ἄστρων περιφορᾶς καὶ δινήσεως καὶ χορείας καὶ δρόμου, τὸν ὡρῶν ταμίαν, τὸν πνευμάτων οἰκονόμον, τὸν ποιητὴν θαλάττης, τὸν δημιουργὸν γῆς, τὸν ποταμῶν χορηγὸν, τὸν καρπῶν τροφέα, τὸν ζῴων γεννητὴν, τὸν γενέθλιον, τὸν ὑέτιον, τὸν ἐπικάρπιον, τὸν πατρῷον, τὸν φυτάλμιον, οὗ ὁ νοῦς ἀρραγὴς ὢν καὶ ἄτρυτος καὶ ἐπὶ πάσας ἐξικνούμενος φύσεις ἀμηχάνῳ τάχει, ὡς προσβολὴ ὄψεως, πᾶν κοσμεῖ ὅτου ἂν ἐπαφήσηται· καθάπερ καὶ αἱ παρ' ἡλίου ἀκτῖνες προσπεσοῦσαι τῇ γῇ λαμπρύνουσιν αὐτῆς τὸ καταληφθὲν πᾶν. Τίς δέ ἐστιν ὁ τῆς ἐπαφῆς ταύτης τρόπος, ἐγὼ μὲν εἰπεῖν οὐκ ἔχω· ᾐνίξατο δὲ αὐτὴν ἠρέμα Ὅμηρος,

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων.

Ὁμοῦ δὲ τῷ Διὸς νεύματι γῆ ξυνέστη, καὶ ὅσα γῆς θρέμματα, καὶ θάλασσα ξυνέστη, καὶ ὅσα θαλάττης γεννήματα, καὶ ἀὴρ ξυνέστη, καὶ ὅσα ἀέρος φορήματα, καὶ οὐρανὸς ξυνέστη, καὶ ὅσα ἐν οὐρανῷ κινήματα. Ταῦτα ἔργα τῶν Διὸς νευμάτων. Μέχρι τούτων ἀδεής εἰμι χρησμῳδίας· καὶ Ὁμήρῳ πείθομαι, καὶ πιστεύω Πλάτωνι, καὶ οἰκτείρω τὸν Ἐπίκουρον.

3. Ἐὰν δὲ εἰς τὰς τῶν κακῶν ἐννοίας παρέλθω, πόθεν ταῦτα παρέδυ δεῦρο; τίνες αἱ τῶν κακῶν πηγαὶ ἢ γενέσεις; πόθεν ἀρξάμενα ἔρχεται; ἐξ Αἰθιόπων, ὡς ὁ λοιμός; ἐκ Βαβυλῶνος, ὡς ὁ Ξέρξης; ἐκ Μακεδονίας, ὡς ὁ Φίλιππος; οὐ γὰρ ἐξ οὐρανοῦ μὰ Δία, οὐκ ἐξ οὐρανοῦ· φθόνος γὰρ ἔξω θείου χοροῦ ἵσταται. Ἐνταῦθα

quæcunque de illo dicuntur, cognita habuisset, quicquam hoc illi conferre potuisset: an nimirum fluvius ille sit qui universam ambit terram, an mediterranei maris fons et principium, an palus potius, in quam sol et luna occidere soleant, et id genus alia, quæ poetæ vaticinantur. Imo poterat fluvios eorumque aquas in eam abire partem sinere, in quam deus eos abire voluit; ipse vero, quum Ammonem adiisset, aut Thesprotos eorumque quercum, aut Parnassum ejusque oraculum Pythicum, aut Ismenium Apollinem ejusque responsum, aut Delum ejusque choros, aut si quod aliud in tota Græcia, aut in barbarorum terra, fatidicum erat delubrum, ibi aut a Jove, aut ab Apolline, universum ac commune toti humano generi precibus suis impetrasse oraculum. Plus mehercle cunctis contulisset hæc legatio hominibus, quam quum de Peloponneso Dores consuluerunt, aut de Ionia Athenienses interrogarunt, aut de Sicilia quæsiverunt Corinthii.

2. Quid si nos ergo legatos illos imitemur, quos communi gentis humanæ nomine ad oraculum mitti finximus, atque ex Jove hoc quæramus: Quis hominibus bonorum pater est et auctor, quæ principia, qui fontes, unde huc deferuntur? Nisi de his forte similibusque rebus non obtundendus est deus, quum præsertim ipse appareat earum moderandarum apparatus, quum oculis occurrat origo earum, et ipse se nobis fons offerat, quum patrem horum omnium opificemque noverimus; illum dico, qui cœli disposuit ordinem, qui solem lunamque aurigatur, siderum circuitus certosque lapsus et choreas cursusque voce sua motuque, tanquam præcentor aliquis in choro, moderatur; qui anni distinguit tempora, ventos gubernat, mare formavit, fabricavit terram, fluvios emisit, fructus educat, animalia gignit; qui Natalicius, Pluvius, Fructifer, Patrius, Progenitor a nobis dicitur; cujus mens solida, individua et nunquam fatigata, incredibili velocitate, tanquam oculi intuitus, quodcunque tangit, ornat atque illustrat; non secus ac radii solares in terram ubi inciderunt, quamcunque ejus invasere partem, eam collustrant. Qualis autem sit potens illa tangendi ratio, mihi non datum est dicere; Homerus tamen occulte eam innuit, inquiens:

Dixerat hæc, nigrisque oculis Saturnia proles
annuit.

Una cum nutu Jovis terra constitit, et quicquid terra educat; mare constitit, et quicquid mare producit; aer constitit, et quicquid aer fert; cœlum constitit, et quicquid in cœlo movetur. Omnia hæc Jovis nutus perfecit. Hactenus nullum oraculum requiro: Homero fidem habeo, Platoni credo, Epicuri me miseret.

3. Quodsi vicissim ad mala me converto et de iis cogito: unde ea tandem huc pervenerunt? qui fontes eorum, quæ origo? unde principia ceperunt? an ex Æthiopia cum peste? aut Babylone cum Xerxe? aut ex Macedonia cum Philippo? non enim e cœlo, mehercules, non e cœlo: exulat enim illinc invidia. Hic certe, hic oraculo opus habeo; consulamus

τοίνυν, ἐνταῦθά μοι δεῖ χρησμῳδίας, ἐρώμεθα τοὺς θεούς· Ζεῦ καὶ Ἄπολλον, καὶ ὅστις ἄλλος θεὸς μαντικὸς καὶ κηδεμὼν τῆς τῶν ἀνθρώπων ἀγέλης, δεομένοις εἴπατε, τίς κακῶν ἀρχὴ, τίς αἰτία, πῶς φυλαξόμεθα, πῶς λάθωμεν;

Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ὑπαλύξαι.

Ἢ οὐχ ὁρᾶτε ὅσα τὰ δεινὰ εἰς τὰς ἀνθρωπίνας κῆρας ἐμπεπτωκότα περὶ γῆν στρέφεται, παντοίων στόνων καὶ ὀδυρμῶν ἐμπιμπλάντα τὴν γῆν; Στένει μὲν τὸ ἀνθρώπου σῶμα τὰς ἐπιτετειχισμένας αὐτῷ νόσους ὀδυρόμενον, καὶ τὸ ἀκροσφαλὲς τῆς σωτηρίας, καὶ τὸ ἄδηλον τοῦ βίου. Τίς γὰρ ἡλικίας καιρὸς ἀνυπεύθυνος ἀνθρωπίνῳ σώματι; οὐ γενόμενον μὲν εὐθὺς καὶ ἀποσπασθὲν ἐκ μητέρων, ὑγρὸν καὶ ἰλυῶδες καὶ διαρρέον, ὀδυρμῶν καὶ κνυζημάτων ἀνάπλεων; προϊὸν δὲ καὶ εἰς ὥραν ἀναφυόμενον, ἔμπληκτον καὶ ἀκρατές· κἂν εἰς ἥβην προέλθῃ, ὑπὸ φλεγμονῆς ἀκατάσχετον· κἂν εἰς γῆρας ἔλθῃ, κατὰ βραχὺ νεκρούμενον καὶ ἀποσβεννύμενον, ἐνδιαίτημα τῇ ψυχῇ ἀχρειότατον, δυσάρεστον, δύστηνον, δύσεργον, οὐχ ὄμβρων ἀνεχόμενον, οὐ πνευμάτων, οὐχ ἡλίου, μεμφόμενον ταῖς ὥραις τοῦ οὐρανοῦ, καὶ ἀντιστρατηγοῦν τῷ Διί. Χειμὼν οὗτος· ἀμπέχεται· θέρος τοῦτο· ἀναψύχει· πληρωθὲν μὲν κενώσεως, κενωθὲν δὲ πλησμονῆς ὀρεγόμενον· Εὐρίπου καὶ ἀμπώτεως δίκην, μηδέποτε ἑστὸς, μηδέποτε ἀτρεμοῦν, ἀκόρεστον, ἀκατάσχετον, ἀδηφάγον, ἐνδεὲς ἀμπεχόνης, δεόμενον ὑποδημάτων, ἀλειμμάτων, φαρμάκων, λουτρῶν. Ἓν σῶμα θεραπεύουσι χεῖρες πολλαὶ καὶ τέχναι πολλαί· χιλίας δὲ ἵππους ἱπποφορβὸς εἷς, καὶ τοσαῦτα μῆλα ποιμὴν εἷς, καὶ τοσούτους βοῦς βουφορβὸς εἷς. Καὶ οὐδὲ τὰ τοσαῦτα ἱκανά· τίς γὰρ ἀνθρωπίνη μηχανὴ λοιμοῦ προσβολὰς ἀλέξασθαι, ἢ ἀνασχεῖν ὄμβρους ἐξ οὐρανοῦ καταφερομένους, ἢ στῆσαι γῆν σειομένην, ἢ σβέσαι πῦρ ἐκ γῆς ἀνιστάμενον; Ὁρᾷς τὸν δρόμον καὶ τὴν διαδοχὴν τῶν κακῶν, καὶ τὴν συνέχειαν τῶν κινδύνων·

Οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.

Κἂν ἐπὶ τὴν ψυχὴν ἔλθῃς, κἀκεῖ ὄψει ὄχλον νοσημάτων τῇ ψυχῇ ἐπιχεόμενον· ἐὰν λύπην ἀπώσῃ, φόβος ὑπορρεῖ· ἂν ἀπέλθῃ φόβος, ὀργὴ ἀνίσταται· ἂν παύσηται ὀργὴ, φθόνος ἔπεισιν· παρὰ πόδας τὰ δυσχερῆ, ἐν γειτόνων τὰ κακά· ἀνοχὴ δὲ ἀκριβὴς οὐδεμία.

4. Τί ἂν οὖν πρὸς ταῦτα ἀποκρίναιτο ὁ Ζεὺς, ἢ ὁ Ἀπόλλων, ἤ τις ἄλλος μαντικὸς θεός; Ἀκούσωμεν τοῦ ὑποφήτου λέγοντος·

Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσι.

Τίς οὖν ἡ τῆς ἀτασθαλίης αἰτία; Οὐρανοῦ καὶ γῆς δυοῖν ἑστίαιν τὴν μὲν ἄμοιρον ἡγητέον κακῶν, τὴν δὲ ἐξ ἀμφοῖν ἐπιμεμιγμένην· ἢ τὰ μὲν ἀγαθὰ ἐπίρρυτα ἐκ τῆς ἑτέρας, τὰ δὲ κακὰ ἐξ αὐτοφυοῦς μοχθηρίας ἀνίσταται. Διττὴ καὶ αὕτη, ἡ μὲν ὕλης πάθος, ἡ δὲ ψυχῆς ἐξου-

ergo deos: Juppiter, et Apollo, aut si quis praeterea deus fatidicus es, qui humani generis curam geris, hanc nobis quæstionem explicate; unde malorum est initium, quæ causa, quo pacto vitare ea aut effugere possimus?

Nulla etenim invidia est longe mala cuncta fugare.

Aut non videtis quanto numero illa passim circa terram versentur, quam multis et variis luctibus suspiriisque terram impleant; quæ omnia tanquam fato quodam vitam humanam comitantur? Deplorat morbos suos, a quibus obsidetur, hoc corpus humanum; deplorat incertam valetudinis conditionem, ambiguitatem vitæ. Quæ namque ætas, quod tempus est, quo non a malo oppugnetur aliquo corpus nostrum? nonne simulac natum est et a matribus recens evulsum, adhuc humidum, luto sordibusque diffluens vagitu omnia complet ac lacrimis? Postea si ad ætatis florem adolescat, fervore et intemperie agitur; si perveniat ad pubertatem, præ libidine nullis consiliis in officio contineri potest, nullis monitis; si ad senectutem, paullatim moritur et exstinguitur; nihil denique aliud, quam inutile morosumque fit ac difficile animæ hospitium, quod nec imbres fert amplius, nec ventos, nec solem; de omnibus cœli tempestatibus conqueritur, et cum ipso Jove in certamen venit. Hiems advenit; veste multa tegitur: æstas est; refrigerari petit: cibis si se repleverit, evacuare se optat; si evacuaverit, rursus se replet: denique, ut Euripus aliquis aut maris refluxus, nunquam consistit, nunquam quiescit; insatiabile est, contumax est, vorax est; vestibus eget, eget calceis, unctionibus eget, eget medicamentis, eget lavacris: et quum mille equos equiso unus, infinitas oves pastor unus, infinitos boves unus regat bubulcus; uni corpori manus plurimæ, plurimæ inserviunt artes. Quin ne hæc quidem sufficiunt omnia. Quam enim hactenus artem invenire potuerunt homines, qua aut pestem avertere, aut cœlo cadentem vim pluviæ cohibere, aut terræ motum sistere, aut ignem e terra surgentem possent exstinguere? Vides malorum seriem successionemque mutuam, vides continuationem periculorum:

Nil homine est quod alat tellus infirmius uno.

Quodsi ad animam venias, videbis et hic morborum agmen, quibus obsidetur ea: si mœrorem absterseris, metus succedit; si metus recesserit, ira excitatur; si ira desinit, invidia accedit: ante pedes est calamitas, in vicinia mala sunt, nec ulla unquam certa quies contingit.

4. Quid, quæso, ad ista aut Juppiter, aut Apollo respondebit, aut alius fatidicus deus? Audiamus quid eorum interpres dicat:

Ascribunt superis homines mala, quum tamen ipsi
criminibus propriis sibi talia damna crearint.

Quæ est ergo improbitatis hujus causa? Quum cœlum et terra duæ sint sedes diversæ, alteram omnis mali immunem, alteram ex utroque mixtam esse existimandum est; ita ut bona quidem terræ e cœlo veniant, mala vero ex innata illi improbitate oriantur. Improbitas quoque duplex est; aut

σία. Ῥητέον δὲ δὴ τὰ πρῶτα ὑπὲρ τῆς προτέρας. Ὕλην ὁρᾷς ὑποβεβλημένην δημιουργῷ ἀγαθῷ· ἧς τὸ μὲν κοσμηθὲν ἥκει παρὰ τῆς τέχνης· εἰ δέ τι ἀκρατῶς ἑαυτῶν τὰ ἐν γῇ ἔχοντα πάσχει πλημμελές, ἀναίτιόν μοι τὴν τέχνην τίθει· βούλησις γὰρ οὐδεμία τεχνίτου ἄτεχνος, οὐδὲ γὰρ νομοθέτου ἄδικος· ὁ δὲ θεῖος νοῦς ἀνθρωπίνης τέχνης εὐστοχώτερος. Καθάπερ οὖν ἐν ταῖς τῶν τεχνῶν χειρουργίαις τὰ μὲν ἡ τέχνη προηγουμένως δρᾷ στοχαζομένη τοῦ τέλους, τὰ δὲ ἕπεται τῇ χειρουργίᾳ, οὐ τέχνης ἔργα, ἀλλ' ὕλης πάθη, σπινθῆρές τε ἐξ ἄκμονος, καὶ ἐκ βαύνου αἰθαλώσεις, καὶ ἄλλο ἐξ ἄλλης πάθος, ἀναγκαῖον μὲν τῇ ἐργασίᾳ, οὐ προηγούμενον δὲ τῷ τεχνίτῃ· οὕτως ἀμέλει καὶ ὅσα περὶ γῆν πάθη γίνεται, ἃς καλοῦμεν κακῶν ἀνθρωπίνων ἐμβολάς, ἐνταῦθα ἡγητέον ἀναίτιον [καὶ] τὴν τέχνην, εἶναι δὲ ταῦτα τῆς τοῦ ὅλου δημιουργίας ὥσπερ τινὰς ἀναγκαίας καὶ ἑπομένας φύσεις· ἃ δὲ ἡμεῖς καλοῦμεν κακὰ καὶ φθοράς, καὶ ἐφ' οἷς ὀδυρόμεθα, ταῦτα ὁ τεχνίτης καλεῖ σωτηρίαν τοῦ ὅλου· μέλει γὰρ αὐτῷ τοῦ ὅλου, τὸ δὲ μέρος ἀνάγκη κακοῦσθαι ὑπὲρ τοῦ ὅλου. Λοιμώττουσιν Ἀθηναῖοι, σείονται Λακεδαιμόνιοι, ἡ Θετταλία ἐπικλύζεται, ἡ Αἴτνη φλέγεται. Καὶ πότε Ἀθηναίοις ἀθανασίαν ὁ Ζεὺς ὑπέσχετο; ἐὰν γὰρ ἀπέλθῃ ὁ λοιμός, Ἀλκιβιάδης ἐπὶ Σικελίαν οὐκ ἄγει; Πότε Λακεδαιμονίοις ὑπέσχετο γῆν ἄσειστον; πότε Θετταλοῖς γῆν ἄκλυστον; πότε Σικελιώταις γῆν ἄπυρον; Μόρια ταῦτα σωμάτων. Ὁρᾷς οὖν τὰ πάθη, ἃ σὺ μὲν καλεῖς φθοράν, τεκμαιρόμενος τῇ τῶν ἀπιόντων ὁδῷ· ἐγὼ δὲ σωτηρίαν, τεκμαιρόμενος τῇ διαδοχῇ τῶν μελλόντων. Μεταβολὴν ὁρᾷς σωμάτων καὶ γενέσεως, ἀλλαγὴν ὁδῶν ἄνω καὶ κάτω, κατὰ τὸν Ἡράκλειτον· καὶ αὖθις αὖ ζῶντας μὲν τὸν ἐκείνων θάνατον, ἀποθνήσκοντας δὲ τὴν ἐκείνων ζωήν. Ζῇ πῦρ τὸν γῆς θάνατον, καὶ ἀὴρ ζῇ τὸν πυρὸς θάνατον· ὕδωρ ζῇ τὸν ἀέρος θάνατον, γῆ τὸν ὕδατος. Διαδοχὴν ὁρᾷς βίου καὶ μεταβολὴν σωμάτων, καινουργίαν τοῦ ὅλου.

5. Ἴθι δὴ καὶ ἐπὶ τὴν τῶν ἄλλων ἀρχήν, τὴν αὐτοφυῆ, ἣν ἡ ψυχῆς ἐξουσία κυΐσκει τε καὶ τελεσφορεῖ, ᾗ ὄνομα μοχθηρία. Αὐτοῦ τοῦ ἑλομένου αἰτία, θεὸς ἀναίτιος· ἐπεὶ γὰρ ἔδει γῆν γενέσθαι μὲν ἔγκαρπον, καὶ ζῳοτρόφον, καὶ πολυθρέμμονα, ἔχειν δὲ ἐν ἑαυτῇ κακὰ ἔνδον καθειργμένα, ἐξεληλαμένα τοῦ οὐρανοῦ, εἰς τὸν δεῦρο τόπον ἐμίγη. Θεὸς δὲ πολλὰς καὶ παντοδαπὰς ζῴων κληρουχίας **, δίχα αὐτῶν τὴν πρώτην φύσιν διελόμενος, τὴν μὲν εἶναι παντοδαπὴν ἐν τοῖς βίοις καὶ ποικίλην τοῖς σώμασιν, ἄλογον, ἄφρονα, ἀλληλοφθόρον, ἀνόητον θεοῦ, ἀρετῆς ἄμοιρον, ὑπ' αἰσθήσεως ἐφημέρου βοσκομένην καὶ δημαγωγουμένην, ἰσχυρὰν μὲν τῷ σώματι, ἀμήχανον δὲ τῷ λογισμῷ· τὴν δὲ ἑτέραν αὖ τὴν ἀνθρωπίνην ἔμπαλιν ὁμογενῆ καὶ ξύννομον καὶ μίαν, ἀσθενῆ μὲν τῷ σώματι, ἄρρηκτον δὲ τῷ λόγῳ, συνετὴν θεοῦ, πολιτείας μέτοχον, κοινωνίας ἐρῶσαν, δίκης καὶ νόμου καὶ φιλίας γεγευμένην. Ἔδει δὲ ἄρα τὸ γένος τοῦτο κρεῖττον μὲν εἶναι τῆς ἐν γῇ πάσης ἀγέλης,

enim corrupta materiæ affectio est, aut animæ licentia. Ac de priori quidem prius dicendum est. Vides materiam, circa quam versatur artifex optimus : quæ si quod ornamentum accipit, id totum arti acceptum est ferendum; sin vero quædam in terris, quum ea non sint sui juris, aliquid ab arte alienum admittunt, cave in causa esse dicas artem : nunquam enim magis artificis ab arte, quam legislatoris a justitia, consilium discedit : ut omittam, divinam mentem multo certius quam humanam artem, scopum suum attingere. Sicut autem in mechanicis artibus quædam consulto ipsa ars agit, dum finem suum respicit; quædam sua sponte sequuntur opus, quæ non artis opera, sed affectiones sunt materiæ, ut quum scintillæ ab incude, e fornace favillæ, et ex alia materie aliud accidit, quod operis respectu necessarium est, opifici tamen non est propositum : eodem modo in terrenis illis malis, quæ humanis intervenire rebus dicimus, liberanda omni culpa ars est, et existimandum, nihil aliud ea, quam necessarias quasdam esse et consentaneas in universi totius fabrica vires : ea vero, quæ nos mala, quas corruptiones dicimus, quæ lugemus, ea conservationem totius vocat opifex; quia totum respicit, cujus conservandi causa necesse est corrumpi partem. Peste Athenienses affliguntur, motu terræ Lacedæmonii, inundantur Thessali, Ætna accenditur. At vero quando Atheniensibus immortalitatem promisit Juppiter? nam si pestis desinat, nonne in Siciliam Alcibiades vehere potest populum? Quando Lacedæmoniis pollicitus est terram a motu immunem? aut ab inundatione Thessalis? aut Siculis ab igne? Sunt hæc quasi partes corporum et membra. Eorum vides affectiones, quas tu vocas corruptionem, quia ea quæ intereunt respicis; ego conservationem, qui ea, quæ succedent iis et sequentur. Vides mutationem corporum et generationis continuæ : quæ nihil sunt aliud quam quædam, ut Heraclitus dicebat, modo sursum modo deorsum currens semita, ut alius alterius vivat mortem, alius alterius vitâ moriatur. Ex interitu terræ ignis oritur, ex ignis interitu oritur aer; ex aeris interitu aqua oritur, ex aquæ interitu oritur terra. Vides successionem vitæ universalis, vides commutationem corporum, quæ universum constituunt perpetuo novum.

5. Jam ad alterum malorum principium transi, ad illud quod nobis innatum est, quod animæ licentia tanquam mater concipit et consummat, cui improbitati nomen est. Hanc qui assumit, ejus est culpa : deum extra noxiam relinquat. Quum enim terram creari necesse esset, quæ et fruges daret et animantes, multaque educaret alia, eamque oporteret ipsa intra se continere mala; factum est ut illa cœlo ejecta hunc sibi vindicarent locum. Ceterum diversa et omnigena deus [constituit] animalia, quorum primam bifariam divisit naturam; ut altera omni et vivendi ratione et corporum forma dissimilis inter se esset et diversa, sine ratione aut prudentia, ita ut alterum in perniciem alterius natum, divinæ naturæ nescium, virtutis exsors, soloque sensu in diem gauderet et duceretur; corporis viribus emineret, intellectu autem nihil posset : altera vero, quæ est hominum, ejusdem esset generis, socialis, atque una; corpore quidem imbecillis, ratione vero inexpugnabilis, dei capax, civilis administrationis compos, consortii amans, justitiæ, legum et amicitiæ habens gustum. Quod quidem genus omnibus, quæ terram quidem colerent, præstare ani-

ἔλαττον δὲ, οἶμαι, θεοῦ. Τὴν δὲ ἐλάττωσιν αὐτοῦ οὐδὲ θάνατος ἄρα παρέξεσθαι ἔμελλεν· ὃν γὰρ καλοῦσιν οἱ πολλοὶ θάνατον, αὐτὸ τοῦτο ἦν ἀθανασίας ἀρχὴ, καὶ γένεσις μέλλοντος βίου, τῶν μὲν σωμάτων τῷ αὐτῶν νόμῳ καὶ χρόνῳ φθειρομένων, τῆς δὲ ψυχῆς ἐπὶ τὸν αὐτῆς τόπον καὶ βίον ἀνακαλουμένης. Τοῦτον δὴ τῆς ἀνθρωπίνης ἐνδείας πρὸς τὸ θεῖον ἐξεῦρε θεὸς τρόπον· ἐπιθεὶς τὴν ψυχὴν γηΐνῳ σώματι, ὡς ἡνίοχον ἅρματι, παραδοὺς τὰς ἡνίας τῷ ἡνιόχῳ, ἀφῆκε θεῖν, ἔχουσαν μὲν παρ' αὐτοῦ ῥώμην τέχνης, ἔχουσαν δὲ καὶ ἀτεχνίας ἐξουσίαν. Ἡ δὲ ἐπειδὰν ἐπιβῇ ἁρμάτων καὶ λάβηται τῶν ἡνιῶν, ἡ μὲν εὐδαίμων καὶ μακαρία ψυχὴ καὶ μεμνημένη τοῦ ἐπὶ τὸ ὄχημα ἑαυτὴν ἐμβιβασαμένου θεοῦ καὶ ἡνιοχεῖν προστάξαντος, ἔχεται τῶν ἡνιῶν, καὶ ἄρχει τοῦ ἅρματος, καὶ κολάζει τὰς τῶν ἵππων ὁρμάς· οἱ δέ εἰσιν ἀτεχνῶς παντοδαποὶ, ἄλλος ἀλλαχοῦ θεῖν διωρμημένοι, ὁ μὲν αὐτῶν ἀκόλαστος καὶ ἀδηφάγος καὶ ὑβριστὴς, ὁ δὲ θυμώδης καὶ ἰτητικὸς καὶ ἔμπληκτος, ὁ δὲ νωθὴς καὶ ἐκλελυμένος, ὁ δὲ ἀνελεύθερος καὶ σμικρόφρων καὶ ταπεινός. Οὕτως ἅρμα ἐστασιασμένον ταράττει τὸν ἡνίοχον. Κᾆτα ἣν μὲν κρατήσῃ αὐτοῦ, κατὰ τὴν τοῦ δυναστεύοντος ἵππου ῥύμην ἄξων φέρεται· νῦν μὲν τῷ ἀκολάστῳ ἵππῳ πᾶν τὸ ἅρμα ξυμφερόμενον αὐτῷ ἡνιόχῳ ἐπὶ ὕβρεις καὶ παροινίας καὶ λαγνείας, καὶ ἄλλας οὔτε εὐσχήμονας οὔτε εἰλικρινεῖς ἡδονάς· νῦν δὲ τῷ θυμικῷ ἐπὶ κακώσεις παντοδαπάς· **

malibus, deo autem minus oportebat esse, ut arbitror. Et quamvis mortale creatum esset, nihil tamen propterea de ejus præstantia decessurum erat, quum id, quod vulgus mortem vocat, nihil aliud sit quam immortalitatis exordium, futuræ vitæ natalis : quandoquidem sua lege suoque tempore corpora quidem intereunt, animæ vero ad locum suum suamque vitam revocantur. Id vero, quo humana a divina vinceretur natura, tale excogitavit deus : animam quum mortali corpori imposuit, tanquam aurigam plaustro, traditis aurigæ in manum habenis, cursu suo ferri permisit : vim illi præterea roburque addidit, ut arte sua vel uti posset, si vellet, vel abuti, si mallet. Ibi felix, et quam vere beatam dicas, anima, memor illius a quo currui imposita est frenosque accepit, nimirum dei, habenas manu arripit, currum regit, impetumque castigat equorum : at illi in diversa prorsus ruunt, aliusque alio contendit; alius enim in intemperantiam, ingluviem et insolentiam; alius in bilem, temeritatemque et insaniam propendet; alius tardus ac mollis, alius illiberalis ac dejecti humilisque est animi. Ita currus in diversa distractus aurigam turbat. Inde si aurigam auferant equi, ibi potentioris equi impetum axis sequitur : qui si intemperantiæ addictus est, una cum auriga ipso in libidinem, vinolentiam, ac venerem, aliasque nec honestas nec sinceras voluptates abripitur : sin ferox, in ærumnas quaslibet et calamitates; **

Μαξίμου Τυρίου πλατωνικοῦ φιλοσόφου πίναξ τῶν λόγων τῶν περιεχομένων ἐν τῇ βίβλῳ.

		Editionis Davisii paginae.	Pristinus ordo. Editio prior Davisii.
I.	α'. Περὶ ἡδονῆς, ὅτι εἰ καὶ ἀγαθὸν, ἀλλ' οὐ βέβαιον. Α'.	3-11.	XXXI. p. 325-333.
II.	. . . . Β'.	13-19.	XXXII. p. 333-339.
III.	. . . . Γ'.	19-29.	XXXIII. p. 339-349.
IV.	β'. Τί τέλος φιλοσοφίας.	31-39.	XXXIV. p. 349-357.
V.	γ'. Ὅτι ἔστι καὶ ἐκ τῶν περιστάσεων ὠφελεῖσθαι.	41-49.	XXXV. p. 357-367.
VI.	δ'. Πῶς ἄν τις πρὸς φίλον παρασκευάσαιτο.	51-61.	XXXVI. p. 367-377.
VII.	ε'. Ὅτι πρὸς πᾶσαν ὑπόθεσιν ἁρμόσεται ὁ τοῦ φιλοσόφου λόγος. (ΜΑΞΙΜΟΥ ΦΙΛΟΣΟΦΟΥΜΕΝΑ. α'.)	61-79.	XXXVII. p. 377-393.
VIII.	ϛ'. Εἰ θεοῖς ἀγάλματα ἱδρυτέον. (β'.)	79-91.	XXXVIII. p. 393-405.
IX.	ζ'. Εἰ καλῶς ἐποίησε Σωκράτης μὴ ἀπολογησάμενος. (γ'.)	91-101.	XXXIX. p. 405-415.
X.	η'. Τίνες ἄμεινον περὶ θεῶν διέλαβον, ποιηταὶ ἢ φιλόσοφοι. (δ'.)	103-113.	XXIX. p. 301-313.
XI.	θ'. Εἰ δεῖ εὔχεσθαι. (ε'.)	115-127.	XXX. p. 313-325.
XII.	ι'. Τί ἐπιστήμη. (ϛ'.)	127-137.	XL. p. 415-425.
XIII.	ια'. Πότερα χαλεπώτερα νοσήματα, τὰ τοῦ σώματος ἢ τῆς ψυχῆς. (ζ'.)	139-149.	XLI. p. 425-435.
XIV.	ιβ'. Τί τὸ δαιμόνιον Σωκράτους. Α'. (η').	151-163.	XXVI. p. 265-277.
XV.	. . . . . Β'. (θ'.)	163-173.	XXVII. p. 277-287.
XVI.	ιγ'. Εἰ αἱ μαθήσεις ἀναμνήσεις. (ι'.)	175-189.	XXVIII. p. 287-301.
XVII.	ιδ'. Τίς ὁ θεὸς κατὰ Πλάτωνα. (ια'.)	189-207.	I. p. 3-19.
XVIII.	ιε'. Εἰ τὸν ἀδικήσαντα ἀνταδικητέον. (ιβ'.)	209-219.	II. p. 19-29.
XIX.	ιϛ'. Εἰ μαντικῆς οὔσης ἔστι τι ἐφ' ἡμῖν. (ιγ'.)	221-233.	III. p. 29-39.
XX.	ιζ'. Τίσιν χωριστέον τὸν κόλακα τοῦ φίλου. (ιδ'.)	233-243.	IV. p. 39-49.
XXI	ιη'. Τίς ἀμείνων βίος, ὁ πρακτικὸς ἢ ὁ θεωρητικός. Ὅτι ὁ πρακτικός. (ιε'.)	245-259.	V. p. 49-61.
XXII.	ιθ'. Ὅτι ὁ θεωρητικὸς βίος ἀμείνων τοῦ πρακτικοῦ. (ιϛ'.)	259-271.	VI. p. 61-73.
XXIII.	κ'. Εἰ καλῶς Πλάτων Ὅμηρον τῆς πολιτείας παρῃτήσατο. (ιζ'.)	273-283.	VII. p. 73-81.
XXIV.	κα'. Τίς ἡ Σωκράτους ἐρωτική. Α'. (ιη'.)	283-299.	VIII. p. 81-97.
XXV.	. . . . Β'. (ιθ'.)	299-307.	IX. p. 97-105.
XXVI.	. . . . Γ'. (κ'.)	309-321.	X. p. 105-117.
XXVII.	. . . . Δ'. (κα'.)	321-331.	XI. p. 117-125.
XXVIII.	κβ'. Ὅτι πάσης τῆς διὰ λόγων εὐφροσύνης ἡ διὰ φιλοσόφων λόγων ἀμείνων. (κβ'.)	333-343.	XII. p. 125-137.
XXIX.	κγ'. Τίνες λυσιτελέστεροι πόλει, οἱ προπολεμοῦντες, ἢ οἱ γεωργοῦντες. Ὅτι οἱ προπολεμοῦντες. (κγ'.)	345-355.	XIII. p. 137-145.
XXX.	κδ'. Ὅτι γεωργοὶ τῶν προπολεμούντων λυσιτελέστεροι. (κδ'.)	355-365.	XIV. p. 145-155.
XXXI.	κε'. Ὅτι οἱ σύμφωνοι τοῖς ἔργοις λόγοι ἄριστοι. (κε'.)	365-375.	XV. p. 155-165.
XXXII.	κϛ'. Εἰ ἔστι καθ' Ὅμηρον αἵρεσις. (κϛ'.)	377-391.	XVI. p. 165-177.
XXXIII.	κζ'. Εἰ τέχνη ἡ ἀρετή. (κζ'.)	391-401.	XXII. p. 177-187.
XXXIV.	κη'. Πῶς ἂν τις ἄλυπος εἴη. (κη'.)	403-407.	XVIII. p. 187-191.
XXXV.	κθ'. Τί τέλος φιλοσοφίας. (κθ'.)	409-419.	XIX. p. 191-203.
XXXVI.	λ'. Εἰ προηγούμενος ὁ τοῦ κυνικοῦ βίος. (λϛ'. sic.)	421-433.	XX. p. 203-213.
XXXVII.	λα'. Εἰ συμβάλλεται πρὸς ἀρετὴν τὰ ἐγκύκλια μαθήματα. (λζ'.)	433-445.	XXI. p. 213-223.
XXXVIII.	λβ'. Εἰ γένοιτό τις θείᾳ μοίρᾳ ἀγαθός. (λη'.)	445-457.	XXII. p. 223-233
XXXIX.	λγ'. Εἰ ἔστιν ἀγαθὸν ἀγαθοῦ μεῖζον. Ἐν ᾧ ὅτι οὐκ ἔστιν. (λθ'.)	457-467.	XXIII. p. 233-243.
XL.	λδ'. Εἰ ἔστιν ἀγαθὸν ἀγαθοῦ μεῖζον. Ἐν ᾧ ὅτι ἐστίν. (μ'.)	469-481.	XXIV. p. 243-253.
XLI.	λε'. Τοῦ θεοῦ τὰ ἀγαθὰ ποιοῦντος, πόθεν τὰ κακά. (μα'.)	481-493.	XXV. p. 253-263.

INDEX

NOMINUM ET RERUM.

(Latinus numerus *tomum Reiskianum*, arabicorum prior *dissertationem*, posterior designat *paginam Reiskianam*, in summo margine nostro indicatam.)

A.

Abdera urbs, I, 22, 427.
Abradatæ uxor, Panthea, II, 28, 61.
Acarnanes jaculandi periti, I, 23, 440.
Acharnæ, II, 29, 77.
Achelous fluvius ab Ætolis cultus, I, 8, 130. *Memoratur* II, 29, 80.
Acheron, fluvius infernalis, I, 10, 173.
Achilles otiari non potuit, I, 5, 76. Eum ab interficiendo Agamemnone Minerva cohibet, I, 14, 257. Achillis insula, I, 15, 282; in ea post mortem sæpe visus est, *ibid.* Quomodo exercitui suo nocuerit, I, 21, 406. Ab Homero laudatus, II, 29, 70. Ejus laus, II, 31, 112. Fortior fuit Ajace, II, 40, 258.
Actæon Corinthius ab amatoribus discerptus, I, 24, 453.
Actiones verbis debent respondere, II, 31, 101.
Adulatio amicitiæ imago, I, 6, 94; ejus plena est democratia, I, 20, 391.
Adulator ab amico quomodo distinguendus, I, 20, 384.
Adulatoriæ artes, I, 20, 393.
Æacidæ, II, 35, 165.
Æetæ regis navis, I, 1, 7.
Ægæum mare, II, 39, 250.
Ægina insula, I, 12, 223; 18, 350.
Ægiochus Juppiter, I, 1, 8.
Ægyptii cur Nilum colant, I, 8, 130; eorum superstitio, *ib.* 136. Rei bestiariæ et agriculturæ addicti, II, 25, 9. Quomodo agros metiantur, II, 39, 238. Sunt timidi, II, 29, 78. Ægyptii clypei, I, 19, 358. Ægyptium triticum, II, 29, 81.
Ægyptus ab Alexandro subacta, II, 35, 168. Ægypti litora, *ib.* 167.
Ænianum spectacula, II, 28, 58.
Ænigma Epicharmi, I, 17, 330.
Ænigmatice scribunt et philosophi et poetæ, I, 10, 175.
Æolii modi, I, 7, 101.
Æolus abavus fuit Glauci Homerici, II, 39, 237.
Æschines Socratis discipulus, I, 24, 463; II, 28, 66.
Æschylus Corinthius, I, 24, 452.
Æsculapium vidit Maximus, I, 15, 283.
Æsopus, fabularum scriptor, I, 3, 28; 21, 404; II, 25, 4; ejus fabulæ quales fuerint, I, 3, 28; ejus fabula de leone, cerva et vulpe, I, 3, 29.
Ætna, mons ignivomus, I, 7, 125; 11, 197; 19, 377; II, 41, 285.
Ætoli Acheloum cur coluerint, I, 8, 130. Prædando operam dant, I, 23, 440.
Africa est fertilis, II, 29, 83.
Agamemno : ab eo interficiendo Achillem Minerva cohibet, I, 14, 257. Quomodo ab Homero laudetur, II, 29, 70; eo prudentior fuit Nestor, II, 40, 259, 260.
Agatho, discipulus Socratis in arte amatoria, I, 24, 460; fuit Pausaniæ amasius, II, 26, 27.
Agesilaus Lysandro invidet, I, 6, 97. Ejus gesta in Asia, II, 29, 75; ejus amor laude fuit dignissimus, II, 25, 13. Honoris fuit amans, II, 27, 36; ab Hercule originem ducit, II, 40, 268.
Agesipolis Agin odit, I, 6, 97.
Agis, I, 6, 97.
Agricolæ qui immortales, II, 29, 80. Deorum festa primi celebrarunt, II, 30, 93; eorum sacrificia diis gratiora sunt, quam militum, *ibid.*
Agriculturæ et belli differentiæ, II, 30, 90-92. Eam Ischomachus Socratem docet, II, 38, 225.
Ajax tardus, I, 7, 111; fuit fortior Diomede, II, 40, 259.
Alcæus Lesbios carminibus excitavit, II, 37, 209.
Alcibiades a Socrate amatus, I, 3, 40; 24, 467, 478; eum non Socrates, sed Athenienses ipsi corruperunt, I, 9, 166. Quando infelix fuerit, I, 12, 225; ab Eumolpidis devotus, *ibid.*; ab eo Decelea munita est, I, 12, 226; amicus fuit Tissaphernis, *ibid.*; dux fuit Peloponnesiorum, *ibid.*; animi morbo laboravit, quamvis sano corpore præditus, I, 13, 244, 245. Fuit discipulus Socratis in arte amatoria, I, 24, 460. Siciliæ fuit appetens, II, 27, 36; in exilium pulsus, II, 28, 64; ejus mysteria fœda, II, 39, 247. Fuit pulchrior, quam Callias, II, 39, 251.
Alcinous : ejus horti, I, 22, 435. Ulyssem hospitio excipit, II, 38, 52; ejus domum Ulysses miratur, II, 40, 255.
Alexander Homericus impudici amoris imago, I, 24, 475; fuit intemperans et timidus, II, 32, 127.
Alexander Magnus Indorum terram invadit, I, 8, 139; II, 29, 83. Quibus rebus inhiarit, II, 35, 167. Eum Macedones adulantur, I, 20, 392; eo superior fuit Diogenes, II, 36, 196. Quid Jovem Ammonem, cujus filius videri volebat, interrogarit, II, 41, 272. Ejus successores, II, 34, 155.
Aloidæ gigantes, I, 18, 340.
Alpheus fluvius, I, 7, 103.
Alyattes, pater Crœsi, II, 28, 61.
Amasis, rex Ægypti, I, 5, 73; Polycrati amicitiam renunciat, I, 5, 74.
Amatoriam artem solam se scire dixit Socrates, I, 24; 462; eam Diotima Socratem docet, II, 38, 225.
Amatoriam orationem Lysiæ Socrates refutat, I, 24, 466.
Ambracia, I, 22, 453.
Amestris, nurus (*imo* uxor) Xerxis, II, 26, 25, 26.
Amicitia viros deo similes reddit, I, 6, 85; quo nomine inter deos vocetur, I, 6, 86; quomodo comparanda, I, 6, 92; ejus plena est aristocratia, I, 20, 391.
Ammon. *Vide* Juppiter.
Ammoniorum arenæ, II, 35, 167.
Amor et spes contubernales cogitationum humanarum, I, 7, 112; ejus parentes, I, 10, 172; duplex est, I, 24,

456; II, 26, 15, 18. Quomodo Socrates eum descripserit, I, 24, 461, 462; quomodo Sappho eum vocet, I, 24, 480. Amor vulgaris describitur, II, 25, 7; philosophicus quomodo ab eo differat, *ib.* 11, 12. Quare apud barbaros non inveniatur, II, 26, 16; equo comparatur, *ib.* 20. Amor improbus et impudicus describitur, *ib.* 20, 21. Amoris honesti descriptio, *ib.* 21, 22. Amoris et cupidinis differentia, II, 27, 39, 40, 46.

Amphilochus vates, I, 15, 281.

Amphion cur dictus Thebanam arcem musica condidisse, II, 37, 211.

Amyntas, pater Philippi, II, 35, 166.

Anacharsidis sapientia qualis, II, 31, 98, 99. Mysonem invisit et miratus est, II, 31, 99, 100. Ejus responsum, I, 23, 448.

Anacleticon, carmen fugientium, I, 23, 450.

Anacreon : ejus et Socratis eadem est ars amatoria, I, 24, 481. Smerdien amat, II, 26, 15; quam pœnam Amori dederit, II, 27, 34; a Polycrate amatus, II, 35, 165; Polycratem odis mitiorem reddit, II, 37, 209.

Anactoria a Sapphone amata, I, 24, 478.

Anaxagoras a Clazomeniis accusatus fingitur, I, 22, 418; ejus defensio, I, 22, 419, 426. Solem putavit esse lapidem, II, 25, 10.

Anaximenis spiritus, II, 31, 119.

Andromache et Hector, I, 24, 475; eam Penelope castitate superat, II, 40, 259.

Andromeda, æmula Sapphonis in arte amatoria, I, 24, 478.

Anima humana, deo simillima, I, 8, 133; ejus descriptio, I, 12, 220; e mortali et immortali parte est composita, *ibid.*; ejus præstantissima pars, mens, describitur, I, 12, 222. Principi comparatur, I, 13, 232, 233. Ejus morbi graviores sunt, quam corporis, I, 13, 233—243; ejus et corporis morbi inter se comparantur, *ibid.* 235—238. Animæ vestimentum corpus humanum dicitur, *ibid.* 240. Animæ morbi vulneribus corporis latius serpentibus comparantur, I, 13, 246; anima est immortalis, I, 15, 277—280; 16, 305; II, 41, 289; animæ, corporum vinculis solutæ, fiunt dæmones, I, 15, 278—280; animæ somnium vita esse dicitur, I, 16, 286. Anima puerperæ, ratio obstetrici comparatur, *ibid.* 292; anima non est corporea, *ibid.*, 294, 295; animas apud inferos loquentes et vaticinantes facit Homerus, *ibid.* 295; animæ quæ inventio propria, *ibid.* 298; ejus vita duplex est, *ibid.* 305; duo habet instrumenta, quibus aliquid percipiat, I, 17, 320; ejus facultas triplex, I, 22, 427; ejus indoles quomodo investiganda, II, 31, 103; ejus vitia democratiæ comparantur, virtus aristocratiæ, II, 33, 144, 146; anima bifariam divisa, II, 33, 142; duci militari comparatur, II, 40, 265; anima gubernatori navis, corpus navi, fortuna ventis comparatur, II, 40, 266.

Animalibus cur singulis deus arma ad sui defensionem concesserit, hominibus nulla, I, II, 25, 26; animalia quæ timida, quæ fortia, II, 29, 78; animalibus singulis bonum quoddam est inditum, quo vitam conservent, II, 35, 177.

Animus humanus cum mari comparatur, I, 1, 15; eum qualis oratio movere possit, I, 7, 122.

Antisthenes, Socratis discipulus, I, 7, 124.

Anytus, Socratis accusator, I, 9, 150, 152, 154; I, 24, 470, *et alibi.*

Apaturia, festum Atheniensium, I, 3, 46.

Apin, Ægyptiorum numen, mactat Cambyses, II, 35, 163.

Apollo laudat Socratem, I, 9, 154; 19, 378; Musicus et sagittarius simul fuit, I, 10, 182; ab eo Crœsus Persarum regnum petit, I, 11, 190; ab artificibus quomodo pingatur, I, 14, 260. Ejus oraculum, Græcis in bello Persico datum, de muro ligneo, I, 19, 358; ab eo Lycurgus laudatur, II, 29, 72.

Apollonia urbs, I, 22, 427.

Aqua Thaletis, II, 31, 119.

Arabes deum suum quo simulacro colant, I, 8, 142.

Arbor Pherecydis, I, 10, 174.

Arcesilaus, dux Bœotorum in bello Trojano, I, 16, 303.

Archias, Syracusarum conditor, II, 35, 175.

Archilochi amor impudicus, I, 24, 477.

Argeadæ (regia stirps Macedoniæ), I, 20, 393

Argivæ mulieres, II, 29, 82.

Argivos in bellum excitat Telesilla, II, 37, 209.

Argolicum apium (præmium in ludis Nemeis), I, 7, 108.

Argos, I, 18, 349; 22, 434; II, 29, 71.

Ariæus insidias struit Xenophonti, I, 5, 79.

Aristeas quam fabulam de anima sua circumvagante narrarit, I, 16, 288; II, 38, 222, 223.

Aristides Justus, II, 28, 64.

Aristippus purpura inditus, æque temperans, ac Diogenes, I, 7, 125.

Aristocratia amicitiæ, democratia adulationis plena est, I, 20, 391.

Aristophanes Socratem in comœdia exagitat, I, 9, 154; 24, 470.

Aristoteles, II, 33, 142.

Armenia, II, 39, 244.

Armis fortuna secunda comparatur, II, 40, 265.

Ars quid sit, 33, 140; quot artium genera, II, 33, 140, 141.

Artoxerxes Xerxis filius, II, 269; quamdiu voluptatis summæ expers fuerit, I, 5, 75; eo superior fuit Diogenes, II, 36, 196.

Asclepiadæ, II, 31, 108; 36, 192, *et alibi.*

Ascra, II, 29, 83.

Aspasia Milesia, Socratis magistra in arte amatoria, I, 24, 459. *Conf.* II, 38, 225.

Assyrii fuerunt agricolæ et servi, II, 29, 78. Assyriæ voluptates, I, 1, 16.

Athei revera erant nulli, I, 17, 318.

Athenæ : ejus urbis status sub Pericle, I, 13, 236; a Pisistratidarum tyrannide quomodo liberatæ, I, 24, 455.

Athenienses : eorum voluptates, I, 3, 46; artibus celebres, I, 22, 434; cur Ilissum coluerint, I, 8, 130; artis dicendi fuerunt studiosi, I, 23, 440; quando liberi fuerint, et quando servi, II, 29, 76; eorum mala in bello Peloponnesiaco, I, 9, 166.

Athos mons a Xerxe perfossus, I, 20, 392.

Atlas ab Afris cultus, I, 8, 141; ejus descriptio, *ibid.*

Atomi Epicuri, II, 31, 119.

Atthis, a Sapphone amata, I, 24, 478.

Attica oliva, II, 29, 81.

Attica sterilis, II, 29, 84.

Atys (Crœsi) surdus, II, 40, 267.

Avernus lacus, I, 14, 250; juxta eum erat νεκυομαντεῖον Homero notum, I, 14, 250, 251.

Aves ad tibiam cantare quidam docuit, I, 7, 117. Avem Ægyptii colunt, I, 8, 136.

Aureum seculum, II, 36, 181.

Autolycus, amasius Socratis, I, 24, 461, et Calliæ, II, 26, 27.

B.

Babylon, egregiis muris cincta, II, 27, 38; 35, 167; ea delectatur Xerxes, I, 3, 42; ejus rudera, I, 22, 433 Via ex Græcia Babylonem, II, 39, 244.

Bacchiadæ, nobiles Corinthii, I, 24, 453

Bacchicæ voluptates, I, 3, 39.

Bacchus : ejus voluptates in sacris repræsentantur, I, 3, 39; ei quid ab agricolis consecretur, I, 8, 129; II, 30, 93; quando agriculturæ operam dare inceperit, II, 29, 79. *Memoratur* II, 38, 235.
Barbari omnes deos agnoscunt, I, 8, 135; signa varia diis consecrarunt, *ibid.*
Bathyllus, Anacreontis amasius, I, 24, 481; ejus tibiæ (?), II. 37, 209.
Bellerophontes fuit avus Glauci Homerici, II, 39, 237.
Bellum voluptatibus non caret, I, 3, 46; Peloponnesiacum, I, 9, 166; bellum non gerunt justi cum justis, II, 30, 86; nisi sit necessarium, a viris bonis non geritur, *ib.* 87; belli et agriculturæ differentiæ, II, 30, 90-92.
Bestiæ tentando discere quædam possunt, I, 12, 213.
Bœotia populis arboribus abundat, II, 29, 83.
Bœoti pulchros deperibant, II, 39, 252; a Pindaro excoluntur, II, 37, 209
Bonum suum homo difficulter investigare potest, I, 1, 2; bona mera nulli homini contingunt, I, 5, 71; bona et mala non sunt omnibus eadem, I, 17, 316; bona omnia a deo veniunt, II, 38, 230; bonum quid sit in acie, II, 39, 244; bona quæ vocantur externa, revera non sunt bona, II, 39, 247—253; bonum bono non est majus, *ib.* 240—248; bonum bono esse majus utile est, et possibile, et verum, II, 40, 261—267.
Bovem Ægyptii pro deo colunt, I, 8, 136.
Brasidas, dux Lacedæmoniorum, II, 29, 75
Bucephalus Alexandrum tantum sessorem passus, I, 14, 255.
Byzantium Philippus obsidet, II, 35, 166.

C.

Cadmeos bello petunt Athenienses, II, 29, 76.
Cadmus, II, 29, 79; in Bœotiam coloniam ducit, II, 35, 175.
Cadusii, inter milites Xerxis, II, 25, 14.
Calchas vates, I, 6, 83; 13, 243.
Callias, Socratis discipulus, I, 7, 125; 24, 468; eum Eupolis in comœdia perstringit, I, 20, 391; fuit amator Autolyci, II, 26, 27; ei Socrates suadet, ut Aspasiæ Milesiæ filium suum erudiendum tradat, II, 38, 225; fuit dives, II, 39, 251.
Callicles, II, 32, 127.
Callicratidas, dux Lacedæmoniorum, II, 29, 75; qua ratione voluptatem sit sectatus, I, 3, 45.
Callimachus, dux Atheniensium, I, 5, 81; Medos ejecit, II, 29, 76.
Calypso: ejus amor, I, 24, 475; eam Ulysses ob immortalitatem beatam prædicat, II, 40, 255.
Cambyses, Cyro deterior, lupo comparatur, I, 12, 227; Ægyptum appetit, II, 29, 82; Apin, Ægyptiorum numen, mactat, *etc.*, II, 35, 163.
Cappadoces montem pro deo colunt, I, 8, 144.
Cares funditores, I, 19, 358. Carica mulier armata, II, 26, 25.
Caria, II, 35, 167.
Carneades nihil percipi posse docet, II, 35, 178.
Carthaginiensis juvenis. *Vide* Hanno.
Castores, stellas lucidas in malo navis, vidit Maximus, I, 15, 283.
Cecrops, monstrum poeticum, I, 4, 63; 5, 81; II, 29, 79.
Celænæ, locus Phrygiæ, I, 8, 143.
Celtæ Jovem colunt in quercu, I, 8, 142.
Centaurorum allegorica significatio, I, 4, 62—64.
Cephalus, pater Lysiæ, I, 24, 472.
Ceres agriculturæ dedita, II, 29, 79; ei orgia celebrant agricolæ, II, 30, 93.
Cervæ quomodo maria trajiciant, I, 12, 215.
Ceryces (sacri præcones) Athenis, I, 12, 225.
Charmides a Socrate amatus, I, 3, 40; 24, 467, 478; fuit discipulus Socratis in arte amatoria, I, 24, 460.
Chenæ, oppidum parvum Græciæ, II, 31, 99.
Chii divitiis affluentes, I, 3, 44. *Memorantur* II, 28, 65.
Chimæræ, monstra poetica, I, 4, 63.
Chirisophus dux in reditu Decemmillium, I, 12, 216.
Chironis ars medica, II, 34, 153.
Choaspis aquam bibebant Persarum reges, I, 3, 42; 4, 54.
Chryses, II, 28, 68.
Chrysippus philosophus, Cilix, I, 10, 170.
Chthonia, in opere Pherecydis, I, 10, 174.
Cicones, gens barbara, I, 22, 434.
Cilicia, II, 32, 119.
Cimmeriorum terra, I, 16, 306. *Conf.* I, 22, 435; 31, 105, 39, 246.
Cinadon regibus Spartanis insidiatur, I, 6, 97.
Circes amor, I, 24, 475.
Clarus, locus Ioniæ, ubi oraculum fuit, I, 14, 248.
Clazomenæ, urbs, I, 22, 427. Clazomenii, *ibid.* 418, 426.
Clearchus belli fuit amans, II, 27, 36.
Cleobulus, Anacreontis amasius, I, 24, 481; II, 27, 34; 37, 209; de eo historia, II, 27, 34.
Cleon, dux Atheniensium, I, 5, 73; 13, 327, 21, 402; fuit adulator, I, 20, 391.
Clinias Cnossius, II, 36, 198.
Clisthenes legislator, II, 25, 2.
Clisthenes impudicus, II, 25, 10.
Clitomachus Libs, philosophus, I, 10, 170
Clonius, dux Bœotorum in bello Trojano, I, 16, 303
Cnossus, urbs Dorica, II, 34, 198.
Cocytus, fluvius infernalis, I, 10, 173.
Colchi, I, 18, 349.
Colophon, urbs, I, 22, 427.
Connus leno? I, 4, 56. Connus musicam Socratem docet, II, 38, 225.
Corinthii voluptatibus deditі, I, 3, 44; in Siciliam miserunt colonos, II, 41, 274.
Corpus : corporis humani laudes, I, 8, 134, 135; cum populo confertur, I, 13, 232; generosa anima non invita corrumpitur, *ibid.* 239; animæ vestimentum dicitur, *ibid.* 240; quomodo nutriatur, I, 27, 42; militi comparatur et navi, *ibid.* 165.
Creta, II, 32, 132; 37, 198.
Cretenses quibus studiis operam dent, I, 23, 440; eorum lex de amatoribus, II, 26, 27; eorum musica, II, 37, 198; quando liberi fuerint, quando servi, II, 29, 76.
Cretica respublica, I, 22, 429.
Crissæus sinus, II, 39, 251.
Critias tyrannus Atheniensium, I, 4, 55; discipulus Socratis, I, 7, 125; eum non Socrates, sed Athenienses ipsi corruperunt, I, 9, 166; animi morbo laboravit, quamvis sano corpore præditus, I, 13, 245; tyrannidis fuit amans, II, 27, 36. *Memoratur* II, 28, 64.
Critobulus, discipulus Socratis, I, 7, 125, in arte amatoria, I, 24, 460, 466.
Critobulus (*vel potius* Critias), Euthydemi amator, II, 26, 26.
Crocodilus ab Ægyptia nutritus muliere ejus filium vorat, I, 8, 138.
Crœsus a Cyro captus, I, 5, 73. *Conf.* I, 3, 42. Persarum regnum ab Apolline petit, I, 11, 190; ejus lebes, I, 19, 362.
Cyaxares rex, II, 28, 61.
Cyclion, genus carminis apud Athenienses, I, 23, 450.

Cyclopes, hospitum occisores, I, 22, 435.
Cynægirus, dux Atheniensium, I, 5, 81; Athenas liberavit, II, 29, 76.
Cynica vita est optima, II, 36, 190—196.
Cyrenenses aurigando delectantur, I, 23, 440.
Cyrus pastori comparatur, I, 12, 227; Sardanapallo opponitur, I, 21, 413. Cyri nasturtium, I, 4, 53.

D.

Dædalus sibi filioque alas addens inepte agit, I, 2, 22.
Dæmon: Socratis dæmon qualis fuerit, I, 14, 259. Dæmonum natura, I, 14, 266, 267; 15, 276—281. Dæmones sunt varii generis, I, 14, 268; eorum munia, I, 14, 268; 15, 281; revera exsistunt, I, 15, 271; quod argumentis probatur, *ibid.* 271—276; interdum falluntur, I, 19, 361.
Dardania; unde Dardanicus, II, 26, 24.
Dardanus, II, 28, 63; pecorum abundantia Polyphemum superat, II, 39, 238.
Darius (Hystaspis) pecuniæ amans, (Nitocridis) sepulcrum effodit, II, 26, 31; 27, 36; Scythiam bello petit, II, 29, 82.
Darius (Codomannus) fugit Alexandrum, II, 35, 168; 41, 272.
Decelia muro cincta, I, 9, 166; I, 12, 223; et quidem ab Alcibiade, *ibid.* 226.
Delus purgata, I, 12, 224. Chori ibi, II, 41, 274.
Demagogi Atheniensium quales, II, 28, 60.
Democratia adulationis plena est, I, 20, 391.
Democritus Abderita, I, 22, 427; quid de deo senserit, I, 17, 318.
Dercyllides, dux Lacedæmoniorum, II, 29, 75.
Deus cur singulis animalibus arma ad sui defensionem concesserit, hominibus nulla, I, 2, 25, 26. Ei simillima est anima humana, I, 8, 133; eum omnes barbari agnoscunt, I, 8, 135; ejus providentia res omnes conservat, I, 10, 182; 21, 409; II, 41, 275; non nisi bona largitur, I, 11, 189; pœnitentia non ducitur, *ibid.* 193; ad eum preces frustra funduntur, *ibid.* 193—205; duci exercitus comparatur, *ibid.* 194; 19, 365; ejus providentia qualis sit, *ibid.* 195, 196; sine ejus adjumento virtutem nemo colere potest, I, 14, 264, 265; ei forma tribuitur, quæ hominibus videtur pulcherrima, I, 17, 314. Deum esse unum, qui cæteris præsit, omnes arbitrantur, *ibid.* 316. Deus quid, et quomodo investigandus, *ibid.* 325—338; ejus filii qui sint, *ibid.* 336. Deus est tantum unus, licet varia sint nomina, II, 39, 250; mundum formavit, II, 41, 275; non est auctor mali, *ibid.* 277. Deos marinos quomodo honorent nautæ, I, 8, 128. Deorum pugna, opus Pherecydis, I, 10, 174. Deos virtutem pariter ac vitium hominibus tribuisse, I, 14, 263. Dii Nuptiales, Gentilicii, Natalicii, II, 26, 22.
Diagoras deum esse negat, I, 17, 319.
Dianæ quæ sacra, I, 8, 129. Diana inter nymphas, II, 40, 257.
Dictæi Jovis spelunca, I, 15, 284.
Difficile est bonum esse, antiquum dictum, I, 1, 1.
Dio exul, amicus Platonis, II, 36, 195.
Diogenes cynicus voluptatem continuam in vita obtinuit, I, 3, 42; magis, quam omnes alii, voluptatem consectatus est, *ibid.* 43; Epicuro opponitur, I, 21, 413; ejus dolium, II, 31, 119 *et alibi;* optimam vitæ rationem est secutus, II, 36, 190—196; Lycurgo, Solone, Artoxerxe et Alexandro fuit superior, *ibid.* 196; Socratem libertate antecellit, *ibid.*
Diogenes Apolloniata, I, 22, 427.
Diomedes ab Homero laudatus, II, 29, 70; fortior fuit Sthenelo, infirmior Ajace, II, 40, 259.
Dionysia, dies festi Atheniensium, I, 6, 97; verno tempore celebrati, I, 3, 46; quibus ludi scenici aguntur, I, 7, 101. *Memorantur* II, 37, 208.
Dionysius, Syracusiorum tyrannus, I, 11, 198; minatur Platoni, II, 36, 195; morbo tyrannico laborat, I, 13, 231.
Dioscuri. *Vide* Castores.
Diotima Mantinice, Socratis magistra in arte amatoria, I, 24, 459; II, 38, 225.
Disciplinæ sunt reminiscentiæ, I, 16, 294—303.
Discordiæ et pugnæ Græcorum inter se, I, 6, 91. Discordia Empedoclis, II, 31, 119.
Diversis vitæ generibus et studiis diversi homines delectantur, I, 23, 440—443.
Divinæ virtuti cur humana cedat, I, 6, 86.
Divinatio non tollit libertatem, I, 19, 364—375.
Dodonæ quercus, I, 14, 249; oraculum, II, 35, 175.
Dolium Diogenis, II, 31, 119.
Dolor corporis duplex, II, 34, 155; unde oriatur, *ibid.* 157; si sana est anima, non est flocci faciendus, II, 36, 160.
Dores Sicilienses, musica mutata, virtutem corruperunt, I, 20, 393; II, 37, 204.
Dores Libyci, I, 23, 449.
Draco immensæ magnitudinis ab Indis cultus, I, 8, 140.
Draconis leges severæ, I, 9, 158

E.

Ebur India profert, I, 4, 53.
Elateam capit Philippus, II, 35, 166
Elea urbs, I, 22, 427.
Elei: eorum lex improba de amatoribus, II, 26, 27; pulchritudinem mirabantur, II, 39, 252.
Eleusis, II, 37, 212; 38, 221; 39, 245, 247.
Elpenor, I, 19, 375, 376.
Embaterium, genus carminis apud Lacedæmonios, I, 23, 450.
Empedoclis discordia, II, 31, 119.
Enceleusticum, carmen in persequendis hostibus usitatum, I, 23, 450.
Enyalius, II, 29, 79.
Epaminondas exercitu amatorio Thebas liberavit, I, 24, 455.
Epeus fabricandi peritus, I, 6, 83; fuit infirmus, I, 7, 111.
Ephyre urbs, II, 28, 63.
Epicharmi ænigma, I, 17, 330.
Epicurus: ejus philosophia cum nave Æetæ regis confertur, I, 1, 7; non est ferendus, I, 4, 51; nec poeta fuit, nec philosophus, I, 10, 171; ejus oratio fabulis est absurdior, I, 10, 181; quid de deo senserit, I, 17, 318; ei Plato, Xenophon et Diogenes opponuntur, I, 21, 413; ejus atomi, II, 31, 119.
Epidamnus urbs, II, 28, 63.
Epimenides finxit, se per multos annos alto sopore oppressum fuisse, I, 16, 285; II, 38, 222; quid ea fabula denotarit, I, 16, 286; Athenas peste et seditionibus liberavit, II, 38, 222.
Equus Trojanus, II, 27, 53.
Eretria, I, 8, 136; II, 29, 82.
Erichthonius, I, 5, 81; II, 29, 79,
Evenus poeticam Socratem docet, II, 38, 225.
Eumæi stabulum, I, 22, 435.
Eumolpidæ sacerdotes Alcibiadem devovent, I, 12, 225.
Euphorbum Trojanum se fuisse Pythagoras statuit, I, 16, 287; bene comatus fuit Euphorbus, II, 31, 112.

Eupolis Calliam in comœdia perstringit, I, 20, 391.
Euripo fortuna comparatur, I, 11, 200.
Eurotas fluvius a Spartanis cultus, I, 8, 130. *Memoratur* II, 26, 24.
Eurybiades Pausaniam gloria superat, II, 39, 252.
Eurymachus, procus Penelopes, I, 20, 385 ; II, 25, 10.
Eurystheus, II, 38, 235.
Euthydemus, Critobuli (*imo* Critiæ) amasius, II, 26, 26.
Experientia artes inventæ, I, 12, 211, 212, 213 ; homini non est propria, *ibid.* 213.

F.

Fabula Æsopi de leone, cerva et vulpe, I, 3, 29 ; Maximi Tyrii de pastore, lanione et agno, II, 25, 4, 5; de Prometheo, II, 26, 179 *sqq.* Fabularum usus in poesi, I, 10, 171, 176—178.
Fatum, tyranno comparatum, precibus flecti nequit, I, 11, 198, 199; ejus prætextu utuntur homines, ut improbitatem suam tegant, I, 19, 375—377,
Felicitas sola variis hominum studiis appetitur, II, 35, 161 *sqq. per totam dissert.;* quid sit, II, 40, 265.
Fluvii cur divino cultu sint honorati, I, 8, 130.
Forenses sermones conviviis non sunt apti, II, 28, 57—60.
Fortuna principi insano et euripo comparatur, I, 11, 200; ejus descriptio, *ibid.;* virtuti adversatur, I, 14, 265 ; fortuna secunda comparatur armis, II, 40, 265; et ventis, *ib.* 266.
Furiæ quæ sint, I, 6, 98.

G.

Ganges, Indiæ fluvius, I, 22, 433.
Generatio æquivoca non datur, I, 16, 293.
Geometria est scientia, I, 12, 217 ; ejus finis, II, 38, 214.
Geryones, monstrum poeticum, I, 4, 63.
Glauci permutatio apud Homerum, I, 6, 88 ; II, 39, 236; 40, 253, 254.
Gorgias, orator, I, 23, 437 ; fuit æmulus Socratis in arte amatoria, I, 24, 478.
Gorgo, æmula Sapphonis in arte amatoria, I, 24, 478.
Gorgones, monstra poetica, I, 4, 63.
Græci : eorum discordiæ et pugnæ inter se, I, 6, 91 ; eorum simulacris deorum humana est forma, I, 8, 133; bonis viris vita defunctis sacra faciunt, I, 8, 137. Græci cujusdam preces apud Homerum, I, 11, 190. Græci vites coluerunt, II, 27, 43 ; cur adversus Medos bellum gesserint, II, 30, 87.
Gruum sapientia, I, 12, 214.
Gylippus, auri appetens, II, 27, 36 ; Syracusios servavit, II, 29, 75.
Gymnopædiæ, dies festi Lacedæmoniorum, I, 6, 97.
Gyrinno, a Sapphone amata, I, 24, 478.

H.

Halicarnassenses, II, 28, 65.
Haloa, dies festi Atheniensium, I, 3, 46.
Hanno leonem mansuetum reddidit, ideoque ab Carthaginiensibus est interfectus, I, 2, 23.
Harmodius, adolescens Atticus, a duobus amatus, I, 24, 454.
Hebe, II, 40, 256.
Hector : ejus anima terram Trojanam incolit, I, 15, 283. Hector et Andromache, I, 24, 475; fuit temperans et fortis, II, 32, 127.
Helena : de ea Palinodia Stesichori, II, 27, 32.
Heliæa, curia Atheniensium, I, 9, 158.
Helicon mons, II, 37, 203, 207; 38, 219.
Helotæ Lacedæmoniorum agros colunt, II, 29, 73.
Heraclidas excipiunt Athenienses, II, 29 76. Heraclidæ reges Lacedæmoniorum, II, 40, 269.
Heraclitus Ephesi, I, 22, 427 ; ejus dictum, I, 10, 155 ; ejus ignis, II, 31, 119 ; solitudo (?), II, 35, 178 ; ejus sententia de rerum mutationibus, II, 41, 285.
Hercules voluptatis consequendæ causa labores exantlavit, I, 3, 38, 39; eum labores in cœlo collocarunt, I, 5, 78 ; fuit sapiens, I, 21, 409 ; ejus encomium, *ibid.* Hercules Prodicius, I, 20, 378 ; quem in finem bellum gesserit, II, 30, 87; voluptatis non fuit expers, II, 31, 113; cur ei tam multi labores contigerint, II, 38, 235,
Hesiodus æque philosophus fuit, ac Aristoteles, aut Chrysippus, I, 10, 170; quid Musæ ei canant, I, 24, 476; ejus Opera, II, 32, 123; cur dicat, se a Musis edoctum fuisse, II, 38, 220.
Himeræus poeta (Stesichorus) : ejus palinodia, II, 27, 32.
Hippias, vanus orator, I, 23, 437.
Hippocrates Thessalis pestem imminentem prædixit, I, 19, 367. *Memoratur* I, 23, 446; II, 28, 66.
Hippolochus, pater Glauci Homerici, II, 39, 237.
Hipponicum non Socrates, sed Athenienses ipsi corruperunt, I, 9, 166. Ditissimus erat, I, 11, 203.
Hircum Ægyptii divino bonore prosequuntur, I, 8, 136.
Historiæ laus, II, 28, 61—64; philosophiæ cedit, II, 28, 66—68.
Historici in quibus reprehendendi, II, 28, 65.
Histriones personas varias agendo nihil absurdi committunt, I, 7, 98, 99.
Homerus quid Glauco Lycio exprobret, I, 6, 88 ; optimis philosophis est comparandus, I, 10, 170; quos sapientes judicet, I, 12, 218 ; quare e Platonis civitate sit ejectus, I, 23, 447 ; eum respublicæ quædam ignorarunt, *ibid.* 449; eum non legunt barbari, *ibid.;* artis amatoriæ fuit peritus, I, 24, 474—476 ; bellatores tantum laudat, II, 29, 70 ; ejus encomium, II, 32, 115, 116 ; fuit philosophorum princeps, *ibid.* 119; quare omnibus Græciæ dialectis sit usus, *ibid.* 122 ; ejus carmina sunt philosophica, *ibid.;* in iis duo sunt spectanda, *ibid.* 125 ; ejus theologia, *ibid.* 128, 129 ; cur bonos viros *dios* vocet, II, 38, 258 ; de se ipso sub persona Demodoci locutus est, *ibid.;* fuit cæcus, II, 40, 267.
Homo bonum suum difficulter investigare potest, I, 1, 2. Homines monstrosi in Pelio, Thessaliæ monte, ex poetarum fictione, I, 4, 62. Homo superior bestiis, inferior diis, I, 12, 209 ; hominum miseriæ, II, 41, 278—281; eorum præstantia præ bestiis, II, 41, 288.
Humana virtus cur divinæ cedat, I, 6, 86.
Hyacinthia, dies festi Lacedæmoniorum, I, 6, 97.
Hyperbolus, dux Atheniensium, I, 13, 237; fuit adulator, I, 20, 391.
Hyperboreus, I, 17, 315.

I.

Icarius senex, II, 29, 80.
Ida, mons, in quo Juppiter cultus est, I, 8, 129. *Confer* I, 24, 464 ; II, 26, 24; 29, 82. Cretensis, II, 38, 221.
Ignis a Persis cultus, I, 8, 135 Heracliti ignis, II, 31, 119.
Ilissus fluvius ab Atheniensibus divinis honoribus cultus, I, 8, 130.
Illyrios adoritur Philippus, II, 35, 166.
Imago hominis voluptatibus dediti, I, 4, 58.
India ebur profert, I, 4, 53.
Indorum terram Alexander Magnus bello invadit, I, 8, 139; II, 29, 83.
Ingenio præstantes judicio minus valent, I, 4, 47.

Injuria non cadit in virum bonum, I, 18, 343—345; non est referenda, I, 18, 346—357; fons et origo est omnium malorum, I, 18, 348, 349.
Intellectus duplex, I, 17, 327.
Inventio quæ animæ propria, I, 16, 298.
Ionas in coloniam emittunt Athenienses, II, 29, 76; 41, 274.
Ionica mollities, I, 3, 32. Ionici modi, I, 7, 101; II, 37, 205.
Ionis cujusdam ars, II, 35, 169.
Ionium mare, II, 36, 195; 39, 250.
Ischomachus agriculturam Socratem docet, II, 38, 225.
Ismenias tibicen, I, 15, 270.
Ismenius Apollo, I, 14, 248; II, 41, 274.
Isocrates, II, 38, 226.
Ister a Scythis divino honore cultus, I, 8, 130. *Memoratur* II, 31, 113, *et alibi*.
Isthmiis in ludis præmium pinus, I, 7, 107.
Isthmus, II, 39, 245.
Ithace, Ulyssis patria, II, 29, 71.
Ithacensium et Phæacum respublicæ quid differant, II, 32, 135.

J.

Judicium Maximi de Socratis amore, I, 3, 41.
Juno a Polycleto quomodo sit expressa, I, 14, 260.
Juppiter Ægiochus, I, 1, 8; quomodo Jovi similes fiant homines, I, 6, 83 *sqq.*; cur Juppiter dictus sit deorum atque hominum pater, I, 6, 84, 85; quomodo in montibus cultus sit, I, 8, 129; a Celtis cultus, ejusque simulacrum, *ibid.* 142; quid allegorice significet, I, 10, 183. Jovis Dictæi spelunca, I, 15, 284. Sarpedonem Juppiter lamentatur, I, 24, 464. Ammon pater Alexandri, II, 35, 168; cur Alexandrum vocarit filium, II, 41, 271, 272; eum quid Alexander interrogarit, *ibid.* 272. Ejus vis, opera et qualitates, II, 41, 275, 276.
Justi cum justis bella non gerunt, II, 30, 86.
Justus Aristides, II, 28, 64.

L.

Lacedæmon cur tam diu libera, I, 5, 81.
Lacedæmonii, duris exercitationibus corpora affligentes, voluptatem sectantur, I, 3, 44; eorum amor pudicus, II, 26, 27.
Laconica respublica, I, 22, 429.
Laconicus venator, II, 25, 9.
Lapis quadrangularis ab Arabibus cultus, I, 8, 142.
Lasthenes ob pedum velocitatem celebris, I, 7, 110, 111.
Lebadia urbs Bœotiæ, I, 14, 249.
Lebes Crœsi, I, 19, 362.
Leitus, dux Bœotorum in bello Trojano, I, 16, 303.
Lemnus, I, 13, 244; II, 39, 237.
Leonem Hanno cicurem mansuetumque reddidit, quapropter a civibus suis capitis supplicium luit, I, 3, 22, 23.
Leonides, dux Lacedæmoniorum, qua ratione voluptatem sit sectatus, I, 3, 45; a Xerxe superatus et interfectus, I, 9, 164, 165. *Memoratur* II, 25, 14; *et* 29, 75.
Lesbica vitis, II, 29, 81; 36, 191; Lesbici vini præstantia I, 3, 44; Lesbicæ mulieres, II, 27, 33.
Lesbii ab Alcæo in bellum excitati, II, 37, 209.
Leucippus quid de deo senserit, I, 17, 318.
Leucothea, I, 17, 333; II, 28, 52.
Leuctra, locus, ubi Lysander male rem gessit, I, 18, 351.
Lex, cui nemo parere vult, frustra fertur, II, 37, 200.
Libya pascuis abundans, II, 29, 83.
Libyca lotus, II, 29, 81.
Libyes a Psaphone delusi, II, 35, 171. Libyes hesperii: miraculum apud eos, I, 8, 140.
Locrensium in Italia lex de amatoribus, II, 26, 28; Locris improbi amatores laqueos sibi pararunt, *ibid.*
Locrus Patroclus, I, 6, 90.
Lotophagi, II, 39, 246.
Lupis comparantur Cambyses et Xerxes, I, 12, 227.
Luxuria Syracusas calamitatibus afflixit, I, 1, 17; voluptatem violat, I, 3, 32.
Lyceum, Athenis, II, 25, 13; 38, 224, *et* .
Lycii montem Olympum pro deo colunt, I, 8, 143.
Lycon, accusator Socratis, I, 9, 152, 154; II, 36, 193.
Lycurgus: ejus leges, I, 12, 228; ab Apolline est laudatus, II, 29, 72; Lacedæmonios ad bellum instituit, II, 29, 74; eo superior fuit Diogenes, II, 36, 196.
Lydi vites coluerunt, II, 27, 43; quum liberi essent, milites, quum servi, agricolæ fuerunt, II, 29, 78.
Lydus (Æsopus), II, 36, 178.
Lysander: ei Agesilaus invidet, I, 6, 97. Ad Hellespontum rem bene gerit, I, 18, 351; sed male ad Leuctra et Mantineam, *ibid.*; non fuit agriculturæ deditus, II, 29, 75; prædæ decimam sacravit, II, 30, 93.
Lysiæ orationem amatoriam Socrates refutat, I, 24, 466.
Lysis, discipulus Socratis in arte amatoria, I, 24, 460.

M

Macedones Alexandrum adulantur, I, 20, 392. Macedones cataphracti, I, 19, 358.
Machaon, medicus præstantissimus, I, 6, 83; 10, 169.
Mæander fluvius a Phrygibus pro deo cultus est, I, 8, 143. *Conf.* II, 29, 80.
Mæotis palus a Mæotis divino honore culta, I, 8, 144; ex Oceano oritur, II, 32, 121.
Mala non a deo veniunt, I, 11, 189, 190; eorum origo, II, 41, 277—289; eorum multitudo et varietas, *ibid.* 278—281.
Mantinea, locus, ubi Lysander rem male gessit, I, 18, 351.
Mantinica respublica, I, 22, 429. *Conf.* Diotima
Marathon, I, 5, 81; II, 29, 82; 30, 95.
Mardonica (?) mulier mitram gerens, II, 26, 25.
Mardonius Xerxen adulatur, I, 20, 392.
Mardus homo, I, 5, 75.
Mare: ejus silentium est suspectum, I; 1, 14; idem est mare, sed partes ejus singulæ diversis nominibus appellantur, II, 39, 250, 251; mare nostrum ex Hellesponto defluit, II, 32, 121.
Marsyam et Mæandrum fluvios Phryges divinis honoribus prosequuntur, I, 8, 143; de iis fluviis mira, *ibid.* *et* 144.
Marsyas tibicen, I, 24, 482.
Massagetæ Tanaim divinis honoribus colunt, I, 8, 144.
Mausoli thesauri, II, 35, 167.
Maximus Tyrius quid de Socratis amore judicarit, I, 3, 41; se ipsum amplissimo præconio ornat, I, 7, 115, 116; Dioscuros vigilans vidit (nempe stellulas in malo navis), et Æsculapium, I, 15, 283; ejus fabula de pastore, lanione et agno, II, 25, 4, 5; Platonem in omnibus sequitur, II, 27, 40; instrumentis musicis delectatur, I, 28, 55, 56.
Medi: cur adversus eos bellum gesserint Græci, II, 30, 87.
Media, equis celebris, II, 27, 38; I, 19, 358.
Medica tiara, I, 4, 50; II, 26, 25. Medicæ deliciæ, I, 3, 32.
Medicina antiqua cur simplex, I, 10, 169, 170; quomodo inventa sit medicina, I, 12, 212, 213. Medicina spuris homines adulatur, I, 20, 294.
Megara, II, 39, 245.

Megillus Lacedæmonius, II, 36, 198.
Melesagoras Eleusinius, vates, II, 38, 221.
Melesias cantor, I, 4, 57.
Melitus, accusator Socratis, I, 9, 150, 152, 154; 24, 470.
Melus insula, I, 12, 223; 18, 350.
Mendacia non semper illicita sunt, I, 19, 363; interdum prosunt, veritas nocet, *ibid.*
Mendicus Homericus, I, 4, 55. Mendici in triviis futura prædicentes, I, 19, 362.
Menelaus cur ab Homero non admodum laudetur, II, 79, 71.
Menestheus instruendæ aciei peritus, I, 6, 83; minus fortis quam Sthenelus, II, 40, 259.
Meno proditor, I, 5, 80.
Mens, animæ humanæ pars præstantissima, describitur, I, 12, 222; cur intellectualibus objectis ægre possit vacare, I, 17, 323—325; quomodo videat et audiat, *ibid.* 330.
Mera bona nulli contingunt homini, I, 5, 71.
Metempsychosin Pythagoras statuit, I, 16, 287.
Midas Satyrum cepit, I, 11, 187; ejus votum, *ibid.* 188; quid allegorice significet, *ibid.* 189.
Milesiorum vestimenta pretiosa, I, 3, 44. Milesia respublica, I, 22, 430.
Mileti conditor fuit Neleus, II, 35, 175.
Milo viribus insignis, I, 7, 110.
Miltiades, dux Atheniensium, agriculturæ non fuit deditus, II, 29, 76.
Minerva Achillem ab interficiendo Agamemnone cohibet, I, 14, 257; a Phidia quomodo sit expressa, I, 14, 260; sic vocatur virtutis principium apud Homerum, II, 32, 130; fuit navis inventrix, II, 37, 214.
Minos leges a Jove accepisse dicitur, I, 12, 226; II, 38, 221.
Mithæcus coquus, I, 4, 56; 21, 402; ejus mores describuntur, I, 23, 437; Lacedæmone expulsus a reliquis Græcis libenter excipitur, *ibid.* 439.
Mnemosyne cur Musarum mater sit dicta, I, 16, 307.
Moly quid sit apud Homerum, II, 32, 136; 35, 174.
Monarchia optima regiminis forma, I, 22, 429.
Mons : montium cacumina Jovi sacra, I, 8, 129; montem Cappadoces pro deo colunt, I, 8, 144.
Morbus : ei comparatur tyrannis, I, 13, 231; morbi animæ graviores sunt, quam corporis, *ibid.* 233—243. Morbi animæ et corporis inter se comparantur, *ibid.* 235—238; morbo animi laborabant Sardanapallus, Alcibiades et Critias, quamvis sanis corporibus præditi, *ibid.* 244—245; morbi animæ vulneribus corporis latius serpentibus comparantur, *ibid.* 246. Morbus corporis quid sit, II, 39, 241; eorum ortus, *ibid.* 241, 242.
Musarum mater Mnemosyne, I, 16, 307.
Musica spuria, I, 20, 393. Musica omnium disciplinarum antiquissima est, II, 37, 202. Musica Atheniensium antiqua quid fuerit, *ibid.* 205; hæc antiqua musica postmodum corrupta est, *ibid.* Musica sphærarum, *ibid.* 206. Musicæ laus, *ibid.* 208, 212; Bœotos mites reddidit, II, 39, 209.
Musicis instrumentis Maximus Tyrius delectatur, II, 28, 55, 56.
Musicus et sagittarius simul fuit Apollo, I, 10, 182.
Myrmidones, gens, I, 5, 76.
Myrtoum mare, II, 39, 250.
Mysonis sapientia, II, 31, 99, 100.
Mysteria ab Atheniensibus autumno celebrata, I, 3, 46. Mysteria Alcibiadis, II, 39, 241.

N.

Navigandi ars quomodo inventa, I, 12, 211, 212.
Navigationi vita humana comparatur, II, 40, 266, 267.
Navis Æetæ regis, I, 1, 7; navi corpus humanum comparatur, II, 40, 266.
Nausicae : cum ea Ulysses nuptias se contrahere posse optat, II, 40, 255.
Neleus Mileti conditor, II, 35, 175.
Nemo sorte sua contentus est, I, 21, 395, 396.
Neptunus quid allegorice denotet, I, 10, 183.
Nestor silere non potuit, I. 5, 76; fuit equitandi peritus, I, 6, 83; eum Thersites imitatur, I, 6, 85; fuit sapiens, I, 21, 408; ejus laudes, II, 32, 126; fuit prudentior, quam Agamemno, II, 40, 259, 260.
Nicias, dux Atheniensium, I, 5, 73; II, 39, 253.
Nicocles Cyprius in vincula conjectus est, I, 20, 382
Nilus : eum arvis, postquam arata sunt et semine conspersa, inducunt Ægyptii, I, 5, 71; ab Ægyptiis divino honore cultus est, I, 8, 130; quare visu sit jucundus, II, 31, 113; de ejus origine Alexander Jovem Ammonem consuluit, II, 41, 272.
Ninus urbs (quæ in sacris literis Ninive vocatur), I, 10, 186.
Nireus formosus, I, 6, 83; 21, 400.
Nisæus equus, I, 4, 53.
Nitocris. *Vide* Darius.
Noctua ab igne noctu lumen quærit, I, 17, 310.
Nulli homini mera contingunt bona, I, 5, 71.

O.

Odoribus dives est Arabia, I, 4, 53.
Odrysas, gentem agrestem atque ferocem, Orpheus cantibus delinivit, II, 37, 210.
Œagrus, pater Orphei, II, 37, 209.
Œdipus patris occisor, I, 19, 376.
Olympiæ et in aliis publicis conventibus fœdera indicebantur, I, 6, 95; in ludis Olympicis præmium oleaster, I, 7, 107.
Olympus mons, in quo Juppiter cultus est, I, 8, 129; ignem emittit, I, 8, 143.
Olympus, tibicen antiquus, I, 24, 482.
Olynthum evertit Philippus, II, 35, 166.
Ophionei generatio, in poesi Pherecydis, I, 10, 174.
Oraculum Apollinis, Græcis in bello Persico datum, de muro ligneo, I, 19, 358.
Oratio qualis hominis animum movere possit, I, 7, 122.
Orœtes cepit Polycratem, I, 5, 73.
Orpheus æque sapiens fuit, ac præstantissimi philosophi, I, 10, 170; fuit Œagri et Calliopes filius, II, 37, 209; cur perhibeatur quercus duxisse, *ibid.* 210.
Orthion, carmen militare, I, 23, 450.
Ossa mons, I, 18, 340; II, 34, 159.
Othryades, dux Lacedæmoniorum, qua ratione voluptatem sit sectatus, I, 3, 45; de Thyrea pugnat, II, 29, 75.

P.

Pactolus aurum fundit, I, 4, 53.
Pæderastia in Græcia damnata est, II, 25, 2.
Pæones quo simulacro solem colant, I, 8, 142.
Palamedes, I, 7, 99; II, 38, 234.
Panathenæa, festi dies Atheniensium, I, 3, 46; 6, 97; 24, 454.
Panem quibus honoribus mactent pastores, I, 8, 129.
Pangæus mons in Thracia, II, 37, 210.
Panionium, Ionum forum, II, 27, 34.
Panthea, uxor Abradatæ, II, 28, 61.
Paphii quo simulacro Venerem coluerint, I, 8, 143.
Paphlagones sagittarii, I, 19, 358.
Parmenides Eleates, I, 22, 427 : II, 32, 127.
Parœnion, carmen conviviis aptum, I, 23, 450.

Partheniæ, I, 6, 97.
Pasargadæ, parva provincia Persarum, I, 4, 53; II, 30, 98.
Patrocli amor, I, 6, 90 (*ubi dicitur* vir Locrus), I, 24, 475, 476.
Pausanias fuit Agathonis amator, II, 26, 27; prædæ decimam obtulit, II, 30, 93; eum Eurybiades gloria superat, II, 39, 252.
Pelasgos expellunt Athenienses, II, 29, 76.
Pelion, mons Thessaliæ, in quo homines monstrosos habitasse poetæ fingunt, I, 6, 62. *Memoratur idem* I, 18, 341; II, 34, 153. Inde hasta Achillis, II, 35, 170.
Pellenica respublica, I, 22, 429.
Peloponnesiacum bellum, I, 9, 166.
Peloponnesiorum dux fuit Alcibiades, I, 12, 226.
Peloponnesus, II, 39, 245.
Peneleos, dux Bœotorum in bello Trojano, I, 16, 303.
Penelope Andromachen castitate superat, II, 40, 259.
Peneus fluvius a Thessalis divino bonore cultus, I, 8, 130.
Penia (Paupertas) et Poros (Divitiæ), parentes Amoris, I, 10, 172.
Pentheus, II, 29, 79.
Peplus, in opere Pherecydis, I, 10, 174.
Perdiccas, rex Macedoniæ, II, 35, 166.
Periander, Corinthiorum tyrannus, I, 11, 198. Periander, Ambraciæ tyrannus, ab amasio interficitur, I, 24, 454.
Pericles, Olympius vocatus, I, 9, 165; quis Athenarum status sub eo fuerit, I, 13, 236; ejus memoria historiæ beneficio adhuc viget, II, 28, 64; libertatem Atheniensibus conservat, II, 29, 77.
Persæ ignem colunt, I, 8, 135; templa et simulacra Græcorum inflammarunt, *ibid.* Eorum regnum Crœsus ab Apolline petit, I, 11, 190. Vites colebant, II, 27, 43; inter pocula de rebus seriis consultabant, II, 28, 59; eorum leges ebrietatem puniebant, *ibid.;* fuerunt bellicosi, II, 29, 78; quare in exercitu habuerint concubinas, II, 30, 97.
Persarum regibus deliciæ quænam ex singulis provinciis advectæ, I, 4, 53. Regiam cum anni temporibus mutant, II, 36, 191.
Persicum essedum, I, 4, 50; I, 19, 358. Persicus luxus, II, 27, 43.
Perseus alatus omnia loca perlustrat, II, 28, 61; ejus alis historia comparatur, *ibid.*
Persidæ, II, 40, 269.
Pestis Atheniensis, I, 9, 166; 11, 197; 13, 236; II, 41, 285.
Phæacum terram appellit Ulysses, II, 28, 52. Phæacum et Ithacensium respublicæ qui differant, II, 32, 135.
Phædrus, a Socrate amatus, I, 3, 40; 24, 478; fuit discipulus Socratis in arte amatoria, I, 24, 460.
Phalanthus Ephoris insidiatur, I, 6, 97; Tarentum condit, II, 35, 175.
Pharis, nomen loci, I, 16, 303.
Phemius, I, 12, 219.
Pherecydes Syrius: ejus liber quid contineat, I, 10, 174; carne liquescente non doluit, I, 13, 238; Samiis terræ motum prædixit, I, 19, 367.
Phidias, statuarius insignis, I, 98, 149, 150; 23, 438; quomodo Minervam finxerit, I, 14, 260; ejus statuæ ob artem sunt laudandæ, II, 31, 113.
Philippus, rex Macedoniæ, belli fuit amans, II, 35, 166.
Philippus scurra, I, 21, 402.
Philosophia: eam qui laudat, amplectetur, I, 7, 116; ejus præcipua pars præceptorem requirit, et qualis is præceptor esse debeat, I, 7, 121. Philosophia veterum erat ænigmatica, I, 10, 171; II, 32, 117, 118; philosophia historiæ præstat, II, 28, 64 *sqq.;* quid sit, II, 32, 117; 37, 201; ejus finis, II, 35, 175.
Philosophus quomodo explorandus, I, 7, 125; tam philosophi, quam poetæ, ænigmatice scribunt, I, 10, 175; philosophi soli sciunt, quæ preces ad deum sint fundendæ, I, 11, 208; eorum contemplationes somnio comparantur, I, 22, 435; philosophus num aliqua re delectetur, II, 35, 161; philosophorum variæ sunt sectæ, II, 35, 177, 178.
Phocenses destruit Philippus, II, 35, 166.
Phœnices vites coluerunt, II, 39, 252. Eorum portus, 35, 167.
Phryges Marsyam et Mæandrum, fluvios, divinis honoribus prosequuntur, I, 8, 143.
Phrygia, pascuorum ubertate clara, II, 27, 38.
Phrynion, I, 21, 402.
Pindarus poeta Bœotos excoluit, II, 37, 209.
Pisistratidæ Athenienses agris colendis incumbere coegerunt, II, 29, 76.
Pisistratus, Atheniensium tyrannus, I, 11, 198; II, 35, 165. Hippiæ pater, II, 40, 269.
Platææ captæ, I, 12, 223.
Plato sublimitatem suam Homero debet, I, 3, 41; ejus res adversæ, I, 5, 79; quid de precibus ejus statuendum sit, I, 11, 206; fuit vir eloquentissimus, I, 17, 309; Epicuro opponitur, I, 21, 413; multa passus est, ut exulantem amicum reduceret, *ibid.* 413, 414; ejus itinera in Siciliam, I, 22, 432; senex factus otio se tradidit, *ibid.*; ejus civitas qualis fuerit, I, 23, 444, 447, 448; II, 37, 198; in usurpandis nominibus libertatem sibi vindicavit, II, 27, 40; Homero fuit similis, II, 32, 120; Diogene fuit infelicior, II, 36, 195.
Podalirius, medicus præstantissimus, I, 10, 169.
Pœnæ, deæ, I, 7, 98.
Poetæ pariter atque philosophi ænigmatice scribunt, I, 10, 175; poetæ de diis eadem sentiunt ac philosophi, *ibid.* 183.
Poetice eadem, ac philosophia, I, 10, 167, 177.
Poetici sermonis propria vis, I, 23, 447, 448.
Polus, I, 24, 468; II, 32, 127.
Polyanactidæ filia, apud Sapphonem, I, 24, 478.
Polycletus, I, 9, 150; Junonem quomodo expresserit, I, 14, 260.
Polycrates: ejus voluptates, I, 1, 16; ab Orœte fuit captus, I, 5, 73; ei Amasis amicitiam renunciat, I, 5, 74; Smerdien amat, II, 26, 15; 35, 165; ejus felicitas, II, 35, 165; eum Anacreon odis mitiorem reddit, II, 37, 209.
Polydamas ob robur clarus, I, 7, 110.
Polygnotus pictor, II, 32, 125.
Polyphemum pecorum abundantia Dardanus superat, II, 39, 238.
Polypus marinus, I, 4, 58.
Polyzelus, dux Atheniensium, I, 5, 81.
Pontus Euxinus ex Mæotide oritur, II, 32, 121.
Poros. *Vide* Penia.
Porus ab Alexandro captus, I, 8, 139.
Potidæam Athenienses obsident, I, 18, 350.
Præceptorem requirit philosophiæ præcipua pars, I, 7, 121.
Preces Græci cujusdam apud Homerum, I, 11, 190 Preces ad deum frustra funduntur, I, 11, 193—205; iis fatum flecti nequit, I, 11, 199; quid de precibus Socratis, Pythagoræ et Platonis sit statuendum, I, 11, 206.
Proconnesus, II, 38, 222.
Prodici fabula de Hercule, I, 20, 378; elegans orator fuit Prodicus, I, 23, 437; fuit æmulus Socratis in arte amatoria, I, 24, 478.

Prometheus homines formasse fingitur, II, 36, 180.
Protagoras, deus quid sit, dubitat, I, 17, 319; fuit æmulus Socratis in arte amatoria, I, 24, 478.
Proteus quomodo ab Homero describatur, I, 7, 100.
Providentia dei qualis sit, I, 11, 195, 196.
Proxenus in expeditionem vocat Xenophontem, I, 21, 414.
Prudentia verum hominis est bonum, I, 4, 61; quid sit, I, 12, 220.
Psaphonis Libyci ars, qua effecit, ut deus haberetur, II, 35, 170.
Pugnæ et discordiæ Græcorum inter se, I, 6, 91.
Pulchritudo corporis futuram virtutem denotat, II, 25, 8; pulchritudo humana ipsius pulchri est imago, II, 27, 50.
Pulchro an pulchrior, II, 40, 255—258.
Pulchrum ex deo ortum ducit, I, 17, 334, 335; II, 27, 48; est duplex, I, 24, 458; pulchrum ipsum ab anima nostra olim erat visum, II, 27, 46.
Pyriphlegethon, fluvius infernalis, I, 10, 173.
Pythagoras, purpura indutus, I, 7, 127; quid de precibus ejus statuendum sit, I, 11, 260; primus inter Græcos docuit præexsistentiam et immortalitatem animarum, I, 16, 287; quomodo hominibus persuaserit, se fuisse Euphorbum, *ibid.*; solem deum esse arbitratus est, II, 25, 10; ejus sapientia apophthegmatica, II, 31, 101; 35, 178.
Pythagorei, II, 33, 142.
Pythicis in ludis præmium malum, I, 7, 108.

Q.

Quercus fuit simulacrum Jovis apud Celtas, I, 8, 142; quercus Dodonæa, I, 14, 249; II, 41, 273.

R.

Ratio homini propria, I, 12, 217; obstetrici comparatur, I, 16, 292.
Regis barbari infelix navigatio, I, 1, 8-12.
Reminiscentia quomodo fiat, I, 16, 300-305.
Res humanæ cum fluviis comparantur, I, 7, 103.
Respublica quibus rebus servetur, I, 22, 423. Respublicæ quædam Homerum ignorarunt, I, 23, 449.
Rhegium, I, 12, 215.
Rhodus: in eam insulam Tlepolemus coloniam ducit, II, 35, 176.

S.

Sagittarius et musicus simul fuit Apollo, I, 10, 182.
Salmonei historia, I, 6, 85.
Sanitas quid sit, II, 39, 241.
Sapientes quos Homerus judicet, I, 12, 218.
Sapientia et scientia unum idemque, I, 12, 210.
Sappho quare pulchra dicta sit a Socrate, I, 24, 472; ejus amor qualis sit, *ib.* 477; ejus amasiæ et æmulæ, *ib.* 478; hujus et Socratis eadem est ars amatoria, *ib.* 478, 479; quomodo Amorem vocet, *ib.* 480.
Sarambus caupo, I, 4, 56.
Sardanapallus: ejus voluptates, I, 1, 16; I, 3, 32; exustus, *ib.* 42; animi morbo laborat, quamvis sano corpore præditus, I, 13, 244. Non prorsus sine negotiis erat, I, 10, 186; ei Cyrus opponitur, I, 21, 413.
Sardes auro abundant, II, 27, 38; 35, 167.
Sarpedonem Juppiter lamentatur, I, 24, 464.
Saturni tempore quo alimento homines usi sint, II, 27, 42; eodem tempore quam vitam homines egerint, II, 36, 181.
Satyrus, vinosus dæmon, a Mida captus, I, 11, 187, 188.
Scamander fluvius, II, 28, 63.
Scientia et sapientia unum idemque, I, 12, 210. Scientia quid sit, *ibid.* 217, 221; est animæ insita, I, 16, 296—300.
Scione, urbs Thraciæ, I, 12, 223; 18, 350.
Scirhophoria, dies festi Atheniensium, I, 3, 46
Scythæ cur Istrum divino honore colant, I, 8, 130; eorum potus, II, 27, 44; quomodo inebrientur, *ibid.*; fuerunt bellicosi et fortes, II, 29, 78.
Scythiam Darius bello petit, II, 29, 82.
Seculum aureum, II, 36, 181.
Sermones qui conviviis conveniant, II, 28, 57—68.
Siculæ mensæ, I, 3, 32; II, 27, 42
Siculum mare, II, 36, 195.
Silentium maris est suspectum, I, 1, 14.
Simulacra quare inventa, I, 8, 131, 147; quibus sint inutilia, *ibid.* 132; variis modis variisque ex materiis sunt confecta, *ibid.* 133; apud omne hominum genus in usu sunt, *ibid.* 145; eorum varietas non damnanda, *ibid.* 149.
Sinopensis ex Ponto (Diogenes), II, 35, 190.
Sisyphus fuit proavus Glauci Homerici, II, 39, 237.
Smerdies, Thrax, Anacreontis et Polycratis amasius, I, 24, 81; II, 26, 15; 37, 209.
Smindyrides luxuriosus (a Clisthene) rejectus, I, 3, 42.
Socrates ob voluptatem pulchros amavit, I, 3, 40, 41; ejus res adversæ, I, 5, 79; II, 39, 252; pauperes tantum ad philosophiæ studium incitavit, I, 7, 123; ejus accusatores, I, 9, 150, 152, 154; non invitus decessit, I, 9, 153; recte fecit, quod accusatus non responderit, I, 9, 153—166; ab Apolline laudatur, I, 9, 154; 19, 378; ejus laudes, I, 9, 163; quid de precibus ejus statuendum sit, I, 11, 206; ejus dæmon qualis fuerit, I, 14, 259; quomodo erga accusatores suos se gesserit, I, 18, 351; ejus magistræ et discipuli in arte amatoria, I, 24, 459, 460; quomodo amorem descripserit, *ibid.* 461, 462; amatoriam artem solam se scire dicit, *ibid.* 462; amatoriam Lysiæ orationem refutat, *ibid.* 466; ejus amasii et æmuli in arte amatoria, *ibid.* 478; quem finem in amore sibi proposuerit, II, 25, 6; 27, 51; qualis fuerit ejus amor, II, 25, 7; aliter, quam Epicurus, virtutem sequitur, *ibid.* 10; omnes pulchros amavit, II, 27, 51; eum Diogenes libertate antecellit, II, 36, 196; Calliæ suadet, ut Aspasiæ Milesiæ filium erudiendum tradat, II, 38, 225; ejus magistri, *ibid.*; divinitus bonus factus est, II, 38, 235; non recte fecit, quum virtutem ad id, quod optimum est, restringeret, II, 40, 262.
Solem divinis honoribus colunt Pæones, I, 8, 142.
Solone superior fuit Diogenes, II, 36, 196; nec deterior Socrates, *ibid.* 195.
Somniorum portæ, I, 16, 286; somnium animæ vita esse dicitur, *ibid.*; somnio contemplationes philosophorum comparantur, I, 22, 435.
Sorte sua nemo contentus est, I, 21, 395, 396.
Spartæ leges præclaræ, II, 29, 72.
Spartani cur Eurotam divinis honoribus affecerint, I, 8, 130; catulis gaudent, II, 25, 9,
Spelunca fatidica prope lacum Avernum, I, 14, 250. Jovis Dictæi spelunca, I, 15, 284.
Sperchius fluvius, I, 7, 103.
Spes et amor contubernales cogitationum humanarum, I, 7, 112.
Sphacteria, I, 13, 238; ab Atheniensibus capta, I, 18, 351.

Spiritus Anaximenis, II, 31, 119.
Stabulum Eumæi, I, 22, 435.
Sthenelus fortior fuit Menestheo, infirmior Diomede, II, 40, 259.
Strato, philosophus, quid de Deo senserit, I, 17, 318.
Strato, Sidoniorum rex, luxuria pauper factus, I, 20, 382.
Studiis et vitæ generibus diversis diversi homines delectantur, I, 23, 440—443.
Suada, II, 25, 2.
Superstitiosi et pii quæ sit differentia, I, 20, 389.
Sybaris luxuria erat perdita, I, 1, 16; II, 27, 42.
Sybarita quidam, I, 20, 382.
Sybariticarum voluptatum quis exitus, I, 1, 16. Sybariticæ saltationes, I, 3, 32; tibiæ, II, 37, 204.
Syracusii molles, I, 3, 44; eorum voluptates, I, 1, 17. Syracusas condidit Archias, II, 35, 175; servavit Gylippus, II, 29, 75.
Syrus insula, I, 13, 238.

T.

Tanais fluvius, Massagetis pro deo cultus, I, 8, 144.
Tantali fabula explicatur, I, 4, 54.
Tarentum condidit Phalanthus, II, 35, 175.
Taulantii, gens barbara, II, 28, 63.
Taxilis cum Poro dissidium, et utriusque fortuna, I, 8, 139.
Telephus, I, 7, 99, 126, 127.
Telesilla Argivos modis suis animavit, II, 37, 209.
Terræ motus Lacedæmone, II, 41, 285.
Teucer, sagittis valens, ab Homero laudatus, II, 29, 70.
Thales: ejus aqua, II, 31, 119; fuit astronomus, II, 35, 178.
Thebæ, I, 22, 434.
Thebani tibiarum cantu delectantur, I, 23, 440; eorum exercitus amatorius, I, 24, 455.
Themistoclis suasu Athenienses, urbe relicta, naves conscenderunt, I, 19, 358; II, 29, 77; 37, 211.
Theodorus geometriam Socratem docet, II, 38, 225.
Thersites Nestorem imitatur, I, 6, 85; fuit deformis, I, 7, 111; ejus vitia, II, 32, 126.
Theseus, II, 25, 3.
Thesprotæ, I, 13, 248; II, 41, 273.
Thessali Peneum fluvium cur honore divino prosequantur, I, 8, 130; arte equitandi delectantur, I, 23, 440; 19, 358; eos Philippus aggreditur, II, 35, 166.
Thessalia inundatione afflicta, II, 41, 285.
Thessalica respublica, I, 22, 429.
Thetis, II, 40, 256.
Thisbe, nomen loci, I, 16, 303.
Thraces pelta scite utuntur, I, 23, 440; 19, 358. Thracica incantatio, II, 34, 159.
Thrasybulus, Milesiorum tyrannus, I, 11, 199.
Thrasyllus Ioniam cupiebat, II, 33, 145.
Thrasymachus, injustus causidicus, I, 23, 437; fuit æmulus Socratis in arte amatoria, I, 24, 468. *Memoratur* II, 32, 127.
Thyestes, I, 19, 376.
Thyrea, nomen loci, de quo pugnarunt Lacedæmonii et Argivi, II, 29, 75.
Tiara Medica, I, 4, 50.
Timæus, II, 32, 127.
Timagoras, morte muictatus, II, 39, 252.
Timarchus (contra quem Æschines orationem scripsit), I, 24, 482
Timesius solis defectum Clazomeniis prædixit, I, 19, 368.
Tissaphernes perjurus, I, 5, 79; ejus amicus fuit Alcibiades, I, 12, 226; ab Agesilao est fugatus, II, 25, 14; 29, 75.
Titormus corporis mole et robore insignis, I, 7, 110.
Tlepolemus in insulam Rhodum coloniam ducit, II, 35, 176.
Triballi, gens, cum qua Philippus bellum gessit, II, 35, 166.
Triptolemus quando agriculturæ operam dare inceperit, II, 29, 79.
Trojanus equus, II, 27, 53.
Trophonii antrum et mores a consulentibus usitati, I, 14, 249.
Tuba Tyrrhenica, I, 3, 47.
Tychius, I, 21, 401.
Tydeus parvus, I, 7, 111.
Tyrtæus carminibus Spartanos excitavit, II, 31, 111; 37, 209.

U. V.

Variis modis variisque ex materiis confecta sunt deorum simulacra, I, 8, 133.
Veneris quod simulacrum inter Paphios, I, 8, 143. Veneris nuptias celebrant dii in ædibus Jovis, I, 10, 172.
Ventis fortuna comparatur, II, 40, 266.
Verbis actiones respondere debent, II, 31, 101.
Veritatem scire aliquando non præclarum, I, 19, 362; veritas interdum nocet, mendacia prosunt, I, 19, 363.
Vestimenta Milesiorum, I, 3, 44; animæ vestimentum corpus humanum dicitur, I, 13, 240.
Viæ, seu itineri, vita humana comparatur, II, 39, 245.
Vini Lesbici præstantia, I, 3, 44.
Virtus ob futuram ex ea voluptatem eligitur, I, 3, 34; virtuti divinæ cur humana cedat, I, 6, 86; virtutem pariter ac vitium deos hominibus tribuisse, I, 14, 263; virtutem sine dei adjumento nemo colere potest, *ibid.* 264, 265; virtus non est ars, II, 33, 142; divinitus conceditur, II, 38, 230—235; virtutes non sunt pares, II, 40, 259, 260.
Vita omni ex parte felix esse non potest, I, 5, 66—75; somnio est similis, I, 16, 286; vita animæ duplex est, I, 16, 305; vita humana militiæ comparatur, I, 19, 365; est respublica, ibid. 372; vitæ hominum corruptæ et vitiosæ descriptio, II, 36, 182—185; vita humana itineri, seu viæ, comparatur, II, 39, 245; item navigationi, II, 40, 266, 267.
Vites quæ gentes coluerint, II, 27, 43.
Vitiorum ortus, II, 33, 143.
Ulysses periculis carere non potuit, I, 5, 76; fuit sapiens, I. 21, 408; quid innuat, quum epulas et calices meri plenos laudet, II, 28, 54, 55; divinitus bonus fuit, II, 38, 233; unde factum sit, ut tam multos labores subierit, *ib.* 233, 234.
Universum hoc harmonia quædam est instrumenti musici, I, 19, 363.
Voluptas perfecta et omnibus numeris absoluta num exsistat, I, 1, 13; voluptas non est stabilis, *ib.* 15, 16; quum stabilis et perpetua non sit, bonum esse non potest, I, 2, 18, 19; nec finis hominum, *ib.* 27; ejus laudes, I, 3, 30 *sqq.*; ejus amor homini est naturalis, *ib.* 30, 32; voluptas est hominum conservatrix, *ib.* 31; quod omnibus animalibus communis est, propterea non est vituperanda, *ib.* 33; rebus omnibus præferenda, *ib.* 36; ejus consequendæ causa Hercules labores gravissimos exantlavit, *ib.* 38, 39; voluptates Bacchicæ, *ib.* 39; voluptatem Diogenes magis, quam omnes alii, consectatus est, *ib.* 43; voluptatibus dediti fuerunt Corinthii, *ib.* 44; voluptates Atheniensium, *ib.* 46; voluptatibus bella non carent, *ib.*; voluptatis amor philosophum non

decet, I, 4, 49; voluptas diutius durans est molesta, *ib.* 59; voluptatis expers non fuit Hercules, II, 31, 113; voluptates virtutem sequuntur, *ib.* 114.

X.

Xanthippe, Socratis uxor, I, 9, 155; 24, 480.
Xanthus fluvius, II, 28, 63. Xanthus urbs Lyciæ cum oraculo, I, 14, 248.
Xenophanes Colophonius, II, 22, 427; I, 38, 223.
Xenophon quæ exantlaverit in reditu Decemmillium, I, 5, 79; postremo agmini præest, I, 12, 216. Epicuro opponitur I, 21, 413; infelix fuit præ Diogene, II, 36, 195.
Xerxes Babylone delectatur, I, 3, 42; lupo comparatur, I, 12, 227; montem Athon perfodit, I, 20, 392; filii uxorem amavit, II, 26, 25; Græciæ fuit appetens, II, 27, 36; pater Artoxerxis, II, 269; cum Jove videtur certare posse de felicitate, II, 35, 164.

Z.

Zeno philosophus, I, 14, 268.
Zeuxis pictor, I, 9, 150; II, 32, 125.
Zopyrus, physiognomon, II, 31, 103.

INDEX SCRIPTORUM

QUORUM VERBIS UTITUR MAXIMUS, ALIQUOTIES TACITO NOMINE.

Æschylus, I, 13, 241

Æsopus, I, 3, 28.

Anacreon, I, 24, 481.

Aratus, II, 30, 85.

Ariphron Sicyonius (Pæan in sanitatem), I, 13, 229.

Aristophanes, II, 31, 104.

Epicurus, I, 10, 184.

Euripides, I, 19, 368.

Herodotus, II, 28, 62, 65; 39, 238.

Hesiodus, I, 14, 268; II, 29, 83; 30, 94; 36, 181; 37, 207.

Homerus, I, 1, 6, 11, 15, 16; 10, 181, 182; 16, 295, 300, 303; 17, 313, 316, 332, 333; 19, 371; 20, 385, 386, II 26, 32; 29, 80; 30, 94; 32, 115, 126, 129, 130; 35, 165, 36, 189; 37, 217; 38, 217, 218; 39, 236, 237, 239; 40, 268; 41, 277, 278.

Menander, I, 11, 202.

Oracula, I, 11, 190; 19, 368, 369; II, 29, 72.

Pindarus, I, 18, 338.

Plato, I, 6, 93; 19, 373; 24, 459, 460. 463, 478, 480, 482.

Sappho, I, 24, 472, 478, 479, 480, 481.

Stesichorus (Palinodia), II, 27, 32.

Thucydides, II, 28, 63; 29, 84.

THEOPHRASTI

CHARACTERES.

ΘΕΟΦΡΑΣΤΟΥ
ΧΑΡΑΚΤΗΡΕΣ.

ΠΡΟΟΙΜΙΟΝ.

[ΘΕΟΦΡΑΣΤΟΣ ΠΟΛΥΚΛΕΙ.

Ἤδη μὲν καὶ πρότερον πολλάκις ἐπιστήσας τὴν διάνοιαν ἐθαύμασα, ἴσως δὲ οὐδὲ παύσομαι θαυμάζων, τί γὰρ δήποτε, τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης, καὶ πάντων τῶν Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν ἡμῖν οὐ τὴν αὐτὴν τάξιν τῶν τρόπων ἔχειν. Ἐγὼ γάρ, ὦ Πολύκλεις, συνθεωρήσας ἐκ πολλοῦ χρόνου τὴν ἀνθρωπίνην φύσιν, καὶ βεβιωκὼς ἔτη ἐννενήκοντα ἐννέα, ἔτι δὲ ὡμιληκὼς πολλαῖς τε καὶ παντοδαπαῖς φύσεσι, καὶ παρατεθεαμένος ἐξ ἀκριβείας πολλῆς τούς τε ἀγαθοὺς τῶν ἀνθρώπων καὶ τοὺς φαύλους, ὑπέλαβον δεῖν συγγράψαι ἃ ἑκάτεροι αὐτῶν ἐπιτηδεύουσιν ἐν τῷ βίῳ. Ἐκθήσω δέ σοι κατὰ γένος ὅσα τε τυγχάνει γένη τρόπων τούτοις προσκείμενα, καὶ ὃν τρόπον τῇ οἰκονομίᾳ χρῶνται. Ὑπολαμβάνω γάρ, ὦ Πολύκλεις, τοὺς υἱεῖς ἡμῶν βελτίους ἔσεσθαι, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων τοιούτων, οἷς παραδείγμασι χρώμενοι αἱρήσονται τοῖς εὐσχημονεστάτοις συνεῖναί τε καὶ ὁμιλεῖν, ὅπως μὴ καταδεέστεροι ὦσιν αὐτῶν. Τρέψομαι δὲ ἤδη ἐπὶ τὸν λόγον· σὸν δὲ παρακολουθῆσαί τε καὶ εἰδῆσαι εἰ ὀρθῶς λέγω. Πρῶτον μὲν οὖν ποιήσομαι [τὸν λόγον ἀπὸ] τῶν τὴν εἰρωνείαν ἐζηλωκότων, ἀφεὶς τὸ προοιμιάζεσθαι καὶ πολλὰ περὶ τοῦ πράγματος λέγειν. Καὶ ἄρξομαι πρῶτον ἀπὸ τῆς εἰρωνείας καὶ ὁριοῦμαι αὐτήν· εἶθ' οὕτως τὸν εἴρωνα διέξειμι, ποῖός τίς ἐστι, καὶ εἰς τίνα τρόπον κατενήνεκται· καὶ τὰ ἄλλα δὴ τῶν παθημάτων, ὥσπερ ὑπεθέμην, πειράσομαι κατὰ γένος φανερὰ καταστῆσαι.]

PROŒMIUM MONACENSE.

[Πολλάκις, ὦ Πολύκλειδες, ἐπιστήσας τὴν διάνοιαν ἐθαύμασα τί δήποτε, τῆς Ἑλλάδος ὑπὸ τὸν αὐτὸν ἀέρα κειμένης καὶ πάντων Ἑλλήνων ὁμοίως παιδευομένων, συμβέβηκεν οὐ τὴν αὐτὴν ἔχειν τάξιν τῶν τρόπων. Ἤδη δὲ ἐννέα ἐπὶ τοῖς ἐννενήκοντα βιοὺς ἔτη, καὶ ποικίλοις τήν τε φύσιν καὶ γνώμην ἀνθρώποις ὡμιληκώς, δεῖν ᾤμην γραφῇ παραδοῦναι τῶν τ' ἀγαθῶν καὶ φαύλων τὰ ἤθη, καὶ ὅσα ἐν τῷ βίῳ ἐπιτηδεύουσιν ἕκαστοι. Ἴσως ἔσονται βελτίους ἡμῶν οἱ παῖδες, καταλειφθέντων αὐτοῖς ὑπομνημάτων, οἷς παραδείγμασι χρώμενοι αἱρήσονται συνεῖναι καὶ συνομιλεῖν τοῖς εὐσχημονεστέροις.]

THEOPHRASTI
NOTATIONES MORUM.

PROŒMIUM.

[THEOPHRASTUS POLYCLI.

Sæpe equidem jam ante, quum hac de re attentius cogitare cœpissem, miratus sum, sed nec mirari fortasse desinam, quid caussæ sit cur, quum Græcia omnis eidem cœlo subjecta sit, et quum eodem modo Græci omnes instituantur, non omnes tamen iisdem moribus utamur. Ego siquidem, mi Polycles, quum a multo tempore hominum naturas essem contemplatus (quippe qui annos nonaginta novem jam vixerim, et cum multis atque omnis generis naturæque hominibus sim versatus), quum, inquam, diligentia magna et probos simul et improbos homines considerassem atque inter se comparassem; faciendum duxi, ut, quæ sit vitæ degendæ utrorumque ratio, hoc scripto complecterer. Exponam autem tibi generatim, cum omnes morum species, quibus illi sunt præditi, tum qui sit illorum vitæ quotidianæ modus. Liberos enim nostros, mi Polycles, fore meliores existimo, si monumenta ipsis hujuscemodi reliquerimus, quæ sibi pro exemplo proponentes, optime moratos quosque sint electuri, quibuscum versentur et consuescant, ut in viros tandem nihilo illis deteriores evadant. Sed jam ad rem ipsam me accingam. Tuum erit, ad ea, quæ dicam animum advertere, et, an recte dicam, pernoscere. Igitur missis præfationibus et iis quæ multa poterant de re afferri, initium dicendi faciam ab illis, qui cavillationem amplexi sunt, vitiumque ipsum primo definiam, deinde cavillatorem hominem describam, qualis sit, et qui ejus mores. Postea vero alias quoque animi affectiones generatim, ut proposuimus, explicare conabimur.]

ALIUD PROŒMIUM.

[Sæpe, mi Polyclides, quum animum ad eam rem intenderim, sum miratus quid caussæ sit quare, quum Græcia eidem cœlo subjecta sit eodemque modo Græci omnes instituantur, non iisdem illi utantur moribus. Jam autem, nonaginta novem annos natus et cum omnis naturæ atque animi versatus hominibus, meum esse putabam ut et bonorum et malorum mores scripto complecterer, quæ singulorum vitæ agendæ sit ratio. Hoc fortasse juvabit posteros nostros, quos meliores fore spero, si relinquamus ipsis monumenta, quæ pro exemplo sibi proponentes, optime moratos quosque sint electuri ad consuetudinem et convictum.]

ΠΡΩΤΟΣ

ΕΙΡΩΝΕΙΑΣ.

Ἡ μὲν οὖν εἰρωνεία δόξειεν ἂν εἶναι, ὡς τύπῳ λαβεῖν, προσποίησις ἐπὶ χεῖρον πράξεων καὶ λόγων· ὁ δὲ εἴρων τοιοῦτός τις, οἷος προσελθὼν τοῖς ἐχθροῖς ἐθέλειν λαλεῖν, οὐ μισεῖν· καὶ ἐπαινεῖν παρόντας, οἷς ἐπέθετο λάθρα, καὶ τούτοις συλλυπεῖσθαι ἡττωμένοις· καὶ συγγνώμην δὲ ἔχειν τοῖς αὐτὸν κακῶς λέγουσι· καὶ ἐπὶ τοῖς καθ' ἑαυτοῦ λεγομένοις **· καὶ πρὸς τοὺς ἀδικουμένους καὶ ἀγανακτοῦντας πρᾴως διαλέγεσθαι· καὶ τοῖς ἐντυγχάνειν κατὰ σπουδὴν βουλομένοις προστάξαι ἐπανελθεῖν, καὶ προσποιήσασθαι ἄρτι παραγεγονέναι, καὶ ὀψὲ γενέσθαι αὐτὸν, καὶ μαλακισθῆναι· καὶ μηδὲν ὧν πράττει ὁμολογῆσαι, ἀλλὰ φῆσαι βουλεύεσθαι· καὶ πρὸς τοὺς δανειζομένους καὶ ἐρανίζοντας, ὡς ** οὐ πωλεῖ· καὶ μὴ πωλῶν φῆσαι πωλεῖν· καὶ ἀκούσας τι, μὴ προσποιεῖσθαι, καὶ ἰδὼν, φῆσαι μὴ ἑωρακέναι· καὶ ὁμολογήσας, μὴ μεμνῆσθαι· καὶ τὰ μὲν σκέψεσθαι φάσκειν, τὰ δὲ οὐκ εἰδέναι, τὰ δὲ θαυμάζειν, τὰ δ' ἤδη ποτὲ καὶ αὐτὸς οὕτω διαλογίσασθαι. Καὶ τὸ ὅλον δεινὸς τῷ τοιούτῳ τρόπῳ τοῦ λόγου χρῆσθαι, Οὐ πιστεύω, Οὐχ ὑπολαμβάνω, Ἐκπλήττομαι· καὶ λέγειν ἑαυτὸν ἕτερον γεγονέναι· Καὶ μὴν οὐ ταῦτα πρὸς ἐμὲ διεξῄει· Παράδοξόν μοι τὸ πρᾶγμα· Ἄλλῳ τινὶ λέγε· Ὅπως δέ σοι ἀπιστήσω, ἢ ἐκείνου καταγνῶ, ἀποροῦμαι. [Ἀλλ' ὅρα μὴ σὺ θᾶττον πιστεύῃς τοιαύτας φωνὰς καὶ πλοκὰς καὶ παλιλλογίας ὗ χεῖρόν ἐστιν εὑρεῖν οὐδέν· τὰ δὴ τῶν ἠθῶν μὴ ἁπλᾶ, ἀλλ' ἐπίβουλα φυλάττεσθαι μᾶλλον δεῖ ἢ τοὺς ἔχεις.]

PRIMA

CAVILLATIONIS.

Cavillatio igitur, si quis brevi definitione complecti velit, est cum factorum tum dictorum fraudulenta fictio. Homo autem cavillator talis est, qui ad inimicos suos adeat et sermones cum iis conferre velit, non amplius odisse: quique illos, quibus clam struit insidias, præsentes laudet, et, si vincantur, eorum vicem doleat. Si quis ipsi male dicat, ei ignoscit: jactaque in se convicia [negligit]; cum iis etiam, qui, quod injuriam ab ipso passi sint, quiritant, blande benigneque loquitur. Eos, qui ipsum confestim conventum velint, jubebit redire iterum: nunc se modo advenisse fingit, aut sero venisse; nunc, ægrotare se. Quidquid agit, clam id habet, et se adhuc deliberare dicit. Pecuniam mutuo rogantibus, aut eranum ab ipso exigentibus, ** Nihil vendo, inquit: e contrario quum nihil vendit, tum vendere se adfirmabit. Quum quid audiverit, se non audivisse finget; quum quid viderit, negabit vidisse. Pactus aliquid, negabit se meminisse. De aliis dicit se cogitaturum, alia nescire, mirari alia: de quibusdam se quoque jam ante similiter cogitasse. Denique frequens omnino in ejus ore hujusmodi est oratio: Non credo; Non puto; Obstupesco: sese etiam alium factum esse dicet. Item, Atqui non hæc erat ipsius apud me oratio: Res mihi videtur mira et fidem omnem superare: Quære alium cui ista narres: Tibine credam, an illius damnem fidem, nescio. [At tu cave levius credas vocibus istiusmodi et involucris simulationum et dictis eodem recidentibus: quæ deprehendisse utile est. Enimvero mores hominum non simplicium, sed insidiosorum, magis quam viperas fugere debemus.]

Β′

ΚΟΛΑΚΕΙΑΣ.

Τὴν δὲ κολακείαν ὑπολάβοι ἄν τις ὁμιλίαν αἰσχρὰν εἶναι, συμφέρουσαν δὲ τῷ κολακεύοντι· τὸν δὲ κόλακα τοιοῦτόν τινα, ὥστε πορευόμενον ἅμα εἰπεῖν, Ἐνθυμῇ ὡς ἀποβλέπουσι πρὸς σὲ οἱ ἄνθρωποι; τοῦτο οὐδενὶ τῶν ἐν τῇ πόλει γίνεται πλὴν ἢ σοί· ηὐδοκίμεις χθὲς ἐν τῇ στοᾷ· πλειόνων γὰρ ἢ τριάκοντα ἀνθρώπων καθημένων, καὶ ἐμπεσόντος λόγου τίς εἴη βέλτιστος, ἀπ' αὐτοῦ ἀρξαμένους πάντας ἐπὶ τὸ ὄνομα αὐτοῦ κατενεχθῆναι· καὶ ἄλλα τοιαῦτα λέγων ἀπὸ τοῦ ἱματίου ἀφελεῖν κροκύδα· καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ἀπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι· καὶ ἐπιγελάσας δὲ εἰπεῖν, Ὁρᾷς; ὅτι δυεῖν σοι ἡμερῶν οὐκ ἐντετύχηκα, πολιῶν ἔσχηκας τὸν πώγωνα μεστόν· καίπερ εἴ τις καὶ ἄλλος ἔχεις πρὸς τὰ ἔτη μέλαιναν τὴν τρίχα. Καὶ λέγοντος δὲ αὐτοῦ τι, τοὺς ἄλλους σιωπᾶν κελεῦσαι· καὶ ἐπαινέσαι δὲ ἀκούοντος· καὶ ἐπισημήνασθαι δὲ, εἰ παύεται, Ὀρθῶς. Καὶ σκώψαντι ψυχρῶς ἐπιγελάσαι, τό τε ἱμάτιον ὦσαι εἰς τὸ στόμα, ὡς δὴ οὐ δυνάμενος κατασχεῖν τὸν γέλωτα. Καὶ τοὺς ἀπαντῶντας ἐπιστῆ-

II

ADULATIONIS.

Adulationem vero putet aliquis esse turpem vitæ quotidianæ consuetudinem, quæ adulatori conducat. Adulator autem is est, qui, si cum aliquo ambulet, ei dicat, « Viden' ut omnes in te oculos convertunt? fit hoc nemini ex omnibus civibus, præterquam tibi. Heri in porticu magnum bonæ existimationis tuæ fructum capiebas: nam quum homines ibi plus quam triginta sederent, sermoque incidisset, quis civium esset optimus; et orsos ab ipso, et in ejusdem nomen simul omnes recidisse. » Hæc iste loquens aliaque his similia, ex illius vestimentis, cui assentatur, floccos solet eximere. Quodsi qua vel palea vel festuca a vento acta illius capillamento adhæserit, tollit adulator; et simul renidens, En, inquit, quia biduo hoc ego te non vidi, ut canitie barba tibi est referta; atqui tu sane, qui id ætatis homo sis, habes, si quis alius, capillos nigros. Jam si aliquid dicat ille, hic vero silentium omnibus imperare, in os laudare, et quando pausam facit, Dictum bene, acclamare. Quodsi quem ille frigide perstrinxerit, arridebit tamen adulator, vestemque in os sibi

ναι κελεῦσαι, ἕως ἂν Αὐτὸς παρέλθῃ. Καὶ τοῖς παιδίοις μῆλα καὶ ἀπίους πριάμενος, εἰσενέγκας δοῦναι, ὁρῶντος αὐτοῦ, καὶ φιλήσας δὲ εἰπεῖν, Χρηστοῦ πατρὸς νεόττια. Καὶ συνωνούμενος δὲ κρηπῖδας, τὸν πόδα εἶναι φῆσαι εὐρυθμότερον τοῦ ὑποδήματος. Καὶ πορευομένου πρός τινα τῶν φίλων, προδραμὼν εἰπεῖν, ὅτι Πρὸς σὲ ἔρχεται, καὶ ἀναστρέψας, ὅτι Προήγγελκα. Ἀμέλει δὲ καὶ τὰ ἐκ γυναικείας ἀγορᾶς διακονῆσαι δυνατὸς ἀπνευστί. Καὶ τῶν ἑστιωμένων πρῶτος ἐπαινέσαι τὸν οἶνον· καὶ παραμένων εἰπεῖν, Ὡς μαλακῶς ἐσθίεις· καὶ ἄρας τι τῶν ἀπὸ τῆς τραπέζης, φῆσαι, Τουτὶ ἄρα ὡς χρηστόν ἐστι. Καὶ ἐρωτῆσαι, μὴ ῥιγοῖ, καὶ εἰ ἐπιβάλλεσθαι βούλεται· καὶ ἔτι ταῦτα λέγων περιστεῖλαι αὐτόν. Καὶ μὴν πρὸς τὸ οὖς προσπίπτων διαψιθυρίζειν· καὶ εἰς ἐκεῖνον ἀποβλέπων τοῖς ἄλλοις λαλεῖν. Καὶ τοῦ παιδὸς ἐν τῷ θεάτρῳ ἀφελόμενος τὰ προσκεφάλαια αὐτὸς ὑποστρῶσαι. Καὶ τὴν οἰκίαν φῆσαι εὖ ἠρχιτεκτονῆσθαι, καὶ τὸν ἀγρὸν εὖ πεφυτεῦσθαι, καὶ τὴν εἰκόνα ὁμοίαν εἶναι. [Καὶ τὸ κεφάλαιον, τὸν κόλακά ἔστι θεάσασθαι πάντα καὶ λέγοντα καὶ πράσσοντα, ᾧ χαριεῖσθαι ὑπολαμβάνει.]

Γ'

ΑΔΟΛΕΣΧΙΑΣ.

Ἡ δὲ ἀδολεσχία ἐστὶ μὲν διήγησις λόγων μακρῶν καὶ ἀπροβουλεύτων· ὁ δὲ ἀδολέσχης τοιοῦτός ἐστιν, οἷος ὃν μὴ γιγνώσκει, τούτῳ παρακαθεζόμενος πλησίον, πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον· εἶτα ὃ τῆς νυκτὸς εἶδεν ἐνύπνιον, τοῦτο διηγήσασθαι· εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ τὰ καθ' ἕκαστα διεξελθεῖν. Εἶτα δὴ προχωροῦντος τοῦ πράγματος, λέγειν ὡς πολὺ πονηρότεροί εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων· καὶ ὡς ἄξιοι γεγόνασιν οἱ πυροὶ ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπιδημοῦσι ξένοι· καὶ τὴν θάλατταν ἐκ Διονυσίων πλόϊμον εἶναι· καί, εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ πλεῖον, τὰ ἐν τῇ γῇ βελτίω ἔσεσθαι· καὶ ὅτι ἀγρὸν εἰς νέωτα γεωργήσει· καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν· καὶ ὡς Δάμιππος μυστηρίοις μεγίστην δᾷδα ἔστησε· καὶ πόσοι εἰσὶ κίονες τοῦ Ὠδείου, καί, Χθὲς ἤμεσα· καί, Τίς ἐστιν ἡμέρα σήμερον; καὶ ὡς Βοηδρομιῶνος μέν ἐστι τὰ μυστήρια, Πυανεψιῶνος δὲ τὰ Ἀπατούρια, Ποσειδεῶνος δὲ τὰ κατ' ἀγροὺς Διονύσια. Καὶ ἂν ὑπομένῃ τις αὐτόν, μὴ ἀφίστασθαι. [Παρασείσαντα δὴ δεῖ τοὺς τοιούτους τῶν ἀνθρώπων καὶ διαράμενον ἀπαλλάττεσθαι, ὅστις ἀπύρετος βούλεται εἶναι· ἔργον γὰρ συναρκεῖσθαι τοῖς μήτε σχολὴν μήτε σπουδὴν διαγιγνώσκουσιν.]

Δ'

ΑΓΡΟΙΚΙΑΣ.

Ἡ δὲ ἀγροικία δόξειεν ἂν εἶναι ἀμαθία ἀσχήμων· ὁ δὲ ἄγροικος τοιοῦτός τις, οἷος κυκεῶνα πιὼν εἰς ἐκκλη-

indet, quasi risum tenere non queat. In via, si qui fiant obvii, sistere gradum jubet, donec Ipse transierit. Mala etiam, et pyra, ab se empta, domum liberis illius afferre, et, spectante ipso, dare moris habet : atque adeo ipsos osculatus, Probi patris pullitiem! ait. Crepidas ementi si comes adsit, pedem dicet ipsius calceo esse concinniorem. Adeunte illo ad amicorum aliquem, cursu præire assentator, et huic quidem, Venit ille, inquit, ad te : statimque reversus, Ego, ait, de tuo adventu præmonui. Sane etiam, quæcumque ad muliebre forum pertinent, didicit iste omnia sedulo et properans ministrare. Atque ex omnibus convivis vinum primus laudare : et convivatori adhærens dicere, Ut tu molliter comedis! et de iis, quæ mensæ sunt apposita, aliquid attollens, Hoc vero, ait, quam bonum est! Quærere etiam amat, numquid ille frigeat; numquid tegi adhuc et amplius amiciri velit : et quidem hæc dicens, circumponit ei vestem. Præterea ad aurem hominis se inclinat, eique aliquid insusurrat : in eundem etiam, dum alios alloquitur, oculos defixos habet. Pulvinos in theatro puero ademptos, ipse substernit. Domum ait bene et ingeniose fuisse dimensam et ædificatam; agrum diligenter consitum; imaginem per esse similem. [In summa, assentatorem semper videas et facere omnia et dicere, quæ grata fore putat.]

III

GARRULITATIS.

Garrulitas est longorum et inconsideratorum sermonum effutitio. Garrulus autem ejusmodi est, qui vel apud ignotum, juxtim ei assidens, uxoris suæ laudes prædicare instituat; deinde, quod præcedenti nocte somniaverit, id narret; tum, quæcumque in cœna sibi fuerint apposita, omnia sigillatim recenseat. Mox vero, ubi incaluerit, homines hujus sæculi dicet esse antiquis multo deteriores; frumenta in foro vili venisse pretio; peregrinos esse in urbe quamplurimos; mare statim a Dionysiis patere navibus : et, si Juppiter pluerit amplius, eorum quæ terra conduntur, meliorem fore proventum : seque agrum suum in sequentem annum esse culturum : ait etiam, vivendi rationes esse perdifficiles : et, quum mysteria agitarentur, Damippum facem omnium maximam statuisse. Quærit etiam, quot sint Odei columnæ : et, Heri, ait, vomui : et, Quotus hic est mensis dies? narrabit etiam Mysteria mense Boedromione, Apaturia Pyanepsione, Posideone, quæ ruri agitantur Dionysia, celebrari. Quodsi quis patientem se præbeat, numquam ille ab eo discedat. [Id genus homines demissis manibus grandique gradu fugiat oportet, quisquis febre carere volet. Difficile est enim cum iis durare, qui neque otii neque negotii tempora distinguere norunt.]

IV

RUSTICITATIS.

Rusticitas vero inhumanitas indecora videri queat. Rusticus est, qui, hausto cinno agresti, in concionem populi

σίαν πορεύεσθαι, καὶ τὸ μύρον φάσκειν οὐδὲν τοῦ θύμου ἥδιον ὄζειν· καὶ μείζω τοῦ ποδὸς τὰ ὑποδήματα φορεῖν· καὶ μεγάλῃ τῇ φωνῇ λαλεῖν. Καὶ τοῖς μὲν φίλοις καὶ οἰκείοις ἀπιστεῖν, πρὸς δὲ τοὺς αὑτοῦ οἰκέτας ἀνακοινοῦσθαι περὶ τῶν μεγίστων· καὶ τοῖς παρ' αὐτῷ ἐργαζομένοις μισθωτοῖς ἐν ἀγρῷ πάντα τὰ ἀπὸ τῆς ἐκκλησίας διηγεῖσθαι. Καὶ ἀναβεβλημένος ἄνω τοῦ γόνατος καθιζάνειν, ὥστε τὰ γυμνὰ αὐτοῦ φαίνεσθαι· καὶ ἐπ' ἄλλῳ μὲν μηδενὶ μήτε θαυμάζειν μήτε ἐκπλήττεσθαι ἐν ταῖς ὁδοῖς· ὅταν δὲ ἴδῃ βοῦν ἢ ὄνον ἢ τράγον, ἑστηκὼς θεωρεῖν. Καὶ προαιρῶν δέ τι ἐκ τοῦ ταμείου, δεινὸς φαγεῖν καὶ ζωρότερον πιεῖν· καὶ τὴν σιτοποιὸν πειρῶν λαθεῖν· κᾆτ' ἀλέσαι μετ' αὐτῆς τοῖς ἔνδον πᾶσι καὶ αὑτῷ τὰ ἐπιτήδεια. Καὶ ἀριστῶν δὲ ἅμα τοῖς ὑποζυγίοις ἐμβαλεῖν τὸν χόρτον· καὶ κόψαντος τὴν θύραν ὑπακοῦσαι αὐτὸς, καὶ τὸν κύνα προσκαλεσάμενος καὶ ἐπιλαβόμενος τοῦ ῥύγχους, εἰπεῖν, Οὗτος φυλάττει τὸ χωρίον καὶ τὴν οἰκίαν. Καὶ τὸ ἀργύριον δὲ, παρά του λαβὼν, ἀποδοκιμάζειν, λίαν μὲν λυπρὸν εἶναι, καὶ ἕτερον ἅμα ἀλλάττεσθαι. Καὶ εἴ τῳ ἄροτρον ἔχρησεν ἢ κόφινον ἢ δρέπανον ἢ θύλακον, ταῦτα τῆς νυκτὸς [ἐξαιτεῖν], κατὰ ἀγρυπνίαν ἀναμιμνησκόμενος. Καὶ εἰς ἄστυ καταβαίνων, ἐρωτῆσαι τὸν ἀπαντῶντα, Πόσου ἦσαν αἱ διφθέραι καὶ τὸ τάριχος; καὶ εἰ σήμερον ὁ ἀγὼν νουμηνίαν ἄγει· καὶ εἰπεῖν εὐθὺς, ὅτι βούλεται καταβὰς ἀποκείρασθαι. Καὶ ἐν βαλανείῳ δὲ ᾆσαι· καὶ εἰς τὰ ὑποδήματα δὲ ἥλους ἐγκροῦσαι· καὶ τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι παρ' Ἀρχίου τοὺς ταρίχους.

prodeat, et thymo non suavius fragrare ungentum dicat. Calceos gestat pede grandiores; voce etiam alta loqui suevit. Amicis necessariisque suis parum fidit; de rebus maximis ad famulos refert: quæcumque in concione audivit, ea omnia mercenariis suis, qui ruri apud ipsum opus faciunt, enunciat. . Sæpe etiam veste ita supra genu subducta sedet, ut denudatæ corporis partes conspici queant. In via aliorum quidem nihil admiratur, neque ulla re percellitur; sed si bovem, asinum, aut hircum viderit, ibi homo gradum sistere et contemplari. Quumque aliquid e promptuaria cella depromit, decerptum inde frustum vorat, et vinum meracius potat; ancillam autem panificam clam attrectat; deinde cum illa molit ad victum tum sibi tum universæ familiæ necessarium. Inter prandendum jumentis pabulum objicit: et, si quis fores pulset, ipse auscultat, vocato etiam cane, et ejus rostro manu prehenso, Hic, inquit, et agrum et domum custodit. Argentum, si quod ab aliquo acceperit, tenue nimis esse dicens, solet rejicere, et simul cum alio ipse permutare. Aratrum si cui forte utendum dederit, aut cophinum, aut falcem, aut saccum, nocte intempesta illa [repetet], si per insomnium fuerit eorum recordatus. In urbem quum venit, obvium quemque interrogans, Quanti, ait, pelles et salsamenta venibant? et numquid hodie caussa ipsius novilunium agat; et statim addit se, ut in urbem advenerit, tondere velle. Idem cantare in balneo, et clavis calceos suffigere, et, quia eadem via erat, ab Archia salsamenta emere, ac portare ipse, moris habet.

Ε′

ΑΡΕΣΚΕΙΑΣ.

Ἡ δὲ ἀρέσκειά ἐστι μὲν, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις οὐκ ἐπὶ τῷ βελτίστῳ ἡδονῆς παρασκευαστική· ὁ δὲ ἄρεσκος ἀμέλει τοιοῦτός τις, οἷος πόῤῥωθεν προσαγορεύσας, καὶ ἄνδρα κράτιστον εἰπὼν, καὶ θαυμάσας ἱκανῶς, ἀμφοτέραις ταῖς χερσὶ μὴ ἀφιέναι· καὶ μικρὸν προπέμψας, καὶ ἐρωτήσας πότε αὐτὸν ὄψεται, ἔτι ἐπινεύων ἀπαλλάττεσθαι. Καὶ παρακληθεὶς δὲ πρὸς δίαιταν, μὴ μόνον ᾧ πάρεστι βούλεσθαι ἀρέσκειν, ἀλλὰ καὶ τῷ ἀντιδίκῳ, ἵνα κοινὸς εἶναι δοκῇ· καὶ τοὺς ξένους δὲ εἰπεῖν, ὡς δικαιότερα λέγουσι τῶν πολιτῶν. Καὶ κεκλημένος δὲ ἐπὶ δεῖπνον, κελεῦσαι καλέσαι τὰ παιδία τὸν ἑστιῶντα, καὶ εἰσιόντα φῆσαι σύκου ὁμοιότερα εἶναι τῷ πατρί· καὶ προσαγαγόμενος φιλῆσαι, καὶ παρ' αὑτὸν καθίσαι· καὶ τοῖς μὲν συμπαίζειν αὐτὸς, λέγων Ἀσκὸς, Πέλεκυς· τὰ δὲ ἐπὶ τῆς γαστρὸς ἐᾶν καθεύδειν ἅμα θλιβόμενος. [Reliqua in Char. XXI.]

V

BLANDITIÆ.

Blanditia, si quis eam definire velit, est consuetudo voluptatem parans nullo cum commodo. Blandus vero is est, qui e longinquiore spatio aliquem salutare, et virum appellare præstantissimum, et observantiam significare soleat, et utraque manu prehensum non dimittat: sed aliquantisper prosecutus, ubi quæsivit, quando sit illum visurus, nutu etiam valedicens ab eo discedat. Idem captus arbiter non ei tantum, cui adest, sed adversæ etiam parti gratificari studebit, ut communis habeatur. Peregrinos quoque justiora, quam cives suos, loqui dicit. Ad cœnam invitatus, convivii dominum, ut liberos suos vocet, rogabit: atque illis ingredientibus, negabit ficum ficui tam esse similem, quam illi sint patri: deinde eos ad se vocabit, osculatusque, sibi assidere jubebit: et cum aliis jocans et colludens, En utrem, inquiet, En securim: alios ventri incumbentes dormire, quamvis onere gravetur, sinet.

Ϛ'

ΑΠΟΝΟΙΑΣ.

Ἡ δὲ ἀπόνοιά ἐστιν ὑπομονὴ αἰσχρῶν ἔργων καὶ λόγων· ὁ δὲ ἀπονενοημένος τοιοῦτός τις, οἷος ὀμόσαι ταχὺ, κακῶς ἀκοῦσαι καὶ λοιδορηθῆναι δυνάμενος, τῷ ἤθει ἀγοραῖός τις καὶ ἀνασεσυρμένος καὶ παντοποιός· ἀμέλει δυνατὸς καὶ ὀρχεῖσθαι νήφων τὸν κόρδακα καὶ προσωπεῖον μὴ ἔχων ἐν κωμικῷ χορῷ· καὶ ἐν θαύμασι δὲ τοὺς χαλκοὺς ἐκλέγειν, καθ' ἕκαστον παριών· καὶ μάχεσθαι τοῖς τὸ σύμβολον φέρουσι καὶ προῖκα θεωρεῖν ἀξιοῦσι. Δεινὸς δὲ καὶ πανδοχεῦσαι, καὶ πορνοβοσκῆσαι, καὶ τελωνῆσαι, καὶ μηδεμίαν ἐργασίαν αἰσχρὰν ἀποδοκιμάσαι, ἀλλὰ κηρύττειν, μαγειρεύειν, κυβεύειν, τὴν μητέρα μὴ τρέφειν, ἀπάγεσθαι κλοπῆς, τὸ δεσμωτήριον πλείω χρόνον οἰκεῖν ἢ τὴν αὑτοῦ οἰκίαν. Καὶ τοῦτο δ' ἂν εἶναι δόξειε τῶν περιισταμένων τοὺς ὄχλους καὶ προσκαλούντων, μεγάλῃ τῇ φωνῇ καὶ παρεῤῥωγυίᾳ λοιδορουμένων καὶ διαλεγομένων πρὸς αὐτούς· καὶ μεταξὺ οἱ μὲν προσίασιν, οἱ δὲ ἀπίασι, πρὶν ἀκοῦσαι αὐτοῦ· ἀλλὰ τοῖς μὲν τὴν ἀρχὴν, τοῖς δὲ συλλαβὴν, τοῖς δὲ μέρος τοῦ πράγματος λέγει, οὐκ ἄλλως θεωρεῖσθαι ἀξιῶν τὴν ἀπόνοιαν αὐτοῦ, ἢ ὅταν ᾖ πανήγυρις. Ἱκανὸς δὲ καὶ δίκας τὰς μὲν φεύγειν, τὰς δὲ διώκειν, τὰς δὲ ἐξόμνυσθαι, ταῖς δὲ παρεῖναι, ἔχων ἐχῖνον ἐν τῷ προκολπίῳ καὶ ὁρμαθοὺς γραμματιδίων ἐν ταῖς χερσίν· οὐκ ἀποδοκιμάζων δὲ οὐδ' ἅμα πολλῶν ἀγοραίων στρατηγεῖν, καὶ εὐθὺς τούτοις δανείζειν, καὶ τῆς δραχμῆς τόκον τρία ἡμιωβόλια τῆς ἡμέρας πράττεσθαι, καὶ ἐφοδεύειν τὰ μαγειρεῖα, τὰ ἰχθυοπώλια, τὰ ταριχοπώλια, καὶ τοὺς τόκους ἀπὸ τοῦ ἐμπολήματος εἰς τὴν γνάθον ἐκλέγειν. [Ἐργώδεις δέ εἰσι τὸ στόμα εὔλυτον ἔχοντες πρὸς λοιδορίαν, καὶ φθεγγόμενοι μεγάλῃ τῇ φωνῇ, ὡς συνηχεῖν αὐτοῖς τὴν ἀγορὰν καὶ τὰ ἐργαστήρια.]

VI

VECORDIÆ.

Vecordia est, per quam aliquis et facere quidvis et loqui contra honestatem sustinet. Homo autem vecors is est, qui jusjurandum facile suscipiat; qui male audire ac conviciis proscindi susque deque habeat. Moribus est veteratoris callidi improbique, et hominis spurci, ac quidvis audentis. Atque adeo non pudebit eum, saltare cordacem etiam sobrium, et in comico choro non personatum: et quum præstigiæ spectantur, ad quemque spectantium adire et stipem æream exigere: ac si quis tesseram adferens, gratis spectare postulet, cum eo rixabitur. Cauponiam quoque exercere, leno, ac portitor coactorque esse solet, et qui a nullo turpi artificio se abstineat; præco erit; coquus erit; aleator erit; matri suæ alimenta denegabit; furti etiam convictus, obtorto collo rapietur, atque in carcere diutius quam in suis ædibus habitabit. Est etiam iste ex iis, qui turbam circa se sistunt et obvios ad se vocant, quibuscum voce magna et præfracta rixantur et sermones serunt; atque illi interea partim accedunt, partim discedunt, priusquam, quid sibi ille velit, audierint; dum ille aliis principium, aliis vix syllabam, aliis partem aliquam de re tota refert, non aliter, quam in celebri hominum conventu, profligatum ac perditum ingenium suum spectari postulans. Litibus etiam, partim, quæ ipsi intenduntur, partim, quas ipse aliis intendit, solet esse implicitus. atque in aliis absentiam suam jurejurando interposito excusare, ad alias judicio se sistere, in sinu quidem scrinium, præ manibus vero forensium libellorum fasciculos habens. Quin etiam, quæ ejus est insignita impudentia, ducem se rabularum forensium multitudini præbet: ac mox illis pecunia fœnori data, pro usura drachmæ cujusque ternos semiobolos in dies exigit: sæpe etiam popinas et macella, ubi pisces ac salsamenta veneunt, pererrat: nec non quos e nundinatione sua nummos conficit, solet eos in buccam condere. [Sunt sane istiusmodi homines admodum molesti, quorum quidem os ad conviciandum facile solvitur, atque id voce ita contenta, ut eorum clamoribus et forum et omnes tabernæ personent.]

Z'

ΛΑΛΙΑΣ.

Ἡ δὲ λαλιὰ, εἴ τις αὐτὴν ὁρίζεσθαι βούλοιτο, εἶναι ἂν δόξειεν ἀκρασία τοῦ λόγου· ὁ δὲ λάλος τοιοῦτός τις, οἷος τῷ ἐντυγχάνοντι εἰπεῖν, ἂν ὁτιοῦν πρὸς αὐτὸν φθέγξηται, ὅτι οὐδὲν λέγει, καὶ ὅτι αὐτὸς πάντα οἶδε, καὶ, ἂν ἀκούῃ αὐτοῦ, μαθήσεται· καὶ μεταξὺ δὲ ἀποκρινομένου, ὑποβάλλειν εἴπας, Σὺ μὴ ἐπιλάθῃ ὃ μέλλεις λέγειν· καὶ, Εὖγε ὅτι με ὑπέμνησας· καὶ, Τὸ λαλεῖν ὡς χρήσιμόν που· καὶ, Ὃ παρέλιπον· καὶ, Ταχύ γε συνῆκας τὸ πρᾶγμα· καὶ, Πάλαι σε παρετήρουν, εἰ ἐπὶ τὸ αὐτὸ ἐμοὶ κατενεχθήσῃ· καὶ ἑτέρας ἀρχὰς τοιαύτας πορίσασθαι, ὥστε μηδὲ ἀναπνεῦσαι τὸν ἐντυγχάνοντα. Καὶ ὅταν γε τοὺς καθ' ἕνα ἀποκναίσῃ, δεινὸς καὶ ἐπὶ τοὺς ἀθρόους καὶ συνεστηκότας πορευθῆναι, καὶ φυγεῖν ποιῆσαι μεταξὺ χρηματίζοντας· καὶ εἰς τὰ διδασκαλεῖα δὲ καὶ εἰς τὰς παλαίστρας εἰσιών, κωλύειν τοὺς παῖδας

VII

LOQUACITATIS.

Loquacitas autem, si quis eam definire velit, sermonis intemperantia esse videatur. Loquax vero is est, qui soleat ei, quocum verba facit, dicere, quidquid ille narrare inceperit, Nihil dicis: se rem omnem probe tenere: illum, si operam sibi dare velit, intellecturum. Deinde respondentem interpellans, Tu, ait, ne obliviscaris eorum, quæ dicturus eras; et, Factum bene, quod in memoriam revocasti; et, Quam juvat interdum sermones mutuos serere! et, Quod præterii; et, Celeriter tu quidem rem percepisti; et, Pridem exspectabam, an eodem mecum recideres; aliaque hujusmodi initia loquendi captans, ne respirare quidem eos sinit, quibuscum loquitur. Ac postquam singuli sunt ab eo ita enecti, tum ad eos accedere non veretur, qui plures una coierunt, eosque, de rebus seriis agentes, in fugam vertere. Sed et ludos ac palæstras ingressus, ut ne tantum pueri ad·

προμανθάνειν τοσαῦτα, καὶ προσλαλεῖν τοῖς παιδοτρίβαις καὶ διδασκάλοις· καὶ τοὺς ἀπιέναι φάσκοντας δεινὸς προπέμψαι καὶ ἀποκαταστῆσαι εἰς τὴν οἰκίαν. Καὶ πυθόμενος τὰς ἐκκλησίας ἀπαγγέλλειν· προσδιηγήσασθαι δὲ καὶ τὴν ἐπ' Ἀριστοφῶντός ποτε γενομένην τῶν ῥητόρων μάχην, καὶ τὴν Λακεδαιμονίοις ὑπὸ Λυσάνδρου· καὶ οὕς ποτε λόγους αὐτὸς εἶπεν εὐδοκιμήσας ἐν τῷ δήμῳ· καὶ κατὰ τῶν πληθῶν γε ἅμα διηγούμενος κατηγορίαν παρεμβαλεῖν, ὥστε τοὺς ἀκούοντας ἤτοι ἐπιλαθέσθαι ἢ νυστάξαι ἢ μεταξὺ καταλιπόντας ἀπαλλάττεσθαι. Καὶ συνδικάζων δὲ, κωλῦσαι κρῖναι· καὶ συνθεωρῶν, θεάσασθαι· καὶ συνδειπνῶν φαγεῖν, λέγων ὅτι χαλεπὸν τῷ λάλῳ ἐστὶ σιωπᾷν, καὶ ὡς ἐν ὑγρῷ ἐστιν ἡ γλῶττα, καὶ ὅτι οὐκ ἂν σιωπήσειεν, οὐδ' εἰ τῶν χελιδόνων δόξειεν ἂν εἶναι λαλίστερος. Καὶ σκωπτόμενος ὑπομεῖναι καὶ ὑπὸ τῶν αὐτοῦ παιδίων, ὅταν αὐτὸν ἤδη καθεύδειν βουλόμενα κελεύῃ, λέγοντα ἄττα λαλεῖν τι ἡμῖν, ὅπως ἂν ἡμᾶς ὕπνος λάβῃ.

Η'

ΛΟΓΟΠΟΙΙΑΣ.

Ἡ δὲ λογοποιία ἐστὶ σύνθεσις ψευδῶν λόγων καὶ πράξεων ὧν βούλεται ὁ λογοποιῶν· ὁ δὲ λογοποιὸς τοιοῦτός τις, οἷος ἀπαντήσας τῷ φίλῳ, εὐθὺς καταβαλὼν τὸ ἦθος καὶ μειδιάσας ἐρωτῆσαι, Πόθεν σύ; καὶ, Λέγεις τι; καὶ, Πῶς; ἔχεις περὶ τοῦδε εἰπεῖν καινόν; καὶ ἐπιβαλὼν ἐρωτᾷν, Μὴ λέγεταί τι καινότερον; καὶ μὴν ἀγαθά γέ ἐστι τὰ λεγόμενα. Καὶ οὐκ ἐάσας ἀποκρίνασθαι, εἰπεῖν, Τί λέγεις; οὐδὲν ἀκήκοας; δοκῶ μοί σε εὐωχήσειν καινῶν λόγων· καὶ ἔστιν αὐτῷ ἢ στρατιώτης ἢ παῖς Ἀστείου τοῦ αὐλητοῦ, ἢ Λύκων ὁ ἐργολάβος, παραγεγονὼς ἐξ αὐτῆς τῆς μάχης, οὗ φησιν ἀκηκοέναι· (αἱ μὲν οὖν ἀναφοραὶ τῶν λόγων τοιαῦταί εἰσιν αὐτοῦ, ὧν οὐδεὶς ἂν ἔχοι ἐπιλαβέσθαι·) διηγεῖται δὲ τούτους φάσκων λέγειν, ὡς Πολυσπέρχων καὶ ὁ βασιλεὺς μάχῃ νενίκηκε, καὶ Κάσανδρος ἐζώγρηται· καὶ ἂν εἴπῃ τις αὐτῷ, Σὺ δὲ ταῦτα πιστεύεις; φήσει, τὸ πρᾶγμα βοᾶσθαι γὰρ ἐν τῇ πόλει, καὶ τὸν λόγον ἐπεντείνειν, καὶ πάντα συμφωνεῖν· ταὐτὰ γὰρ λέγειν περὶ τῆς μάχης, καὶ πολὺν τὸν ζωμὸν γεγονέναι· εἶναι δὲ αὐτῷ καὶ σημεῖον τὰ πρόσωπα τῶν ἐν τοῖς πράγμασιν· ὁρᾷν γὰρ αὐτῶν πάντων μεταβεβληκότα. Λέγει δ' ὡς καὶ παρακήκοε παρὰ τούτοις κρυπτόμενόν τινα ἐν οἰκίᾳ ἤδη πέμπτην ἡμέραν, ἥκοντα ἐκ Μακεδονίας, ὃς πάντα ταῦτα εἶδε. Καὶ ταῦτα πάντα διεξιὼν, πῶς οἴεσθε; [πιθανῶς] σχετλιάζει, λέγων, δυστυχὴς Κάσανδρος! ὢ ταλαίπωρος! ἐνθυμῇ τὸ τῆς τύχης; ἀλλ' οὖν ἰσχυρὸς γενόμενος· καὶ, Δεῖ δὲ αὐτὸν σὲ μόνον εἰδέναι· πᾶσι δὲ τοῖς ἐν τῇ πόλει προσδεδράμηκε λέγων. [Τῶν τοιούτων ἀνθρώπων τεθαύμακα, τί ποτε βούλονται λογοποιοῦντες· οὐ γὰρ μόνον ψεύδονται, ἀλλὰ καὶ ἀλυσιτελῶς ἀπαλλάττουσι· πολλάκις γὰρ αὐτῶν οἱ μὲν ἐν τοῖς βαλανείοις

discant, solet efficere, verba interea cum corporum exercitatoribus seu pædotribis, et ludimagistris funditans. Si quis discedere se velle dicat, comitari ille, et domum usque deducere ac prosequi. Si forte, quid sit in concione actum, resciverit, id aliis postea narrabit: tum de oratorum certamine, quod prætore Aristophonte commissum est, longam narrationem contexet, item, de ea pugna quæ a Lacedæmoniis per Lysandrum est pugnata: et si quid ipse unquam pro concione cum aliqua sua laude dixerit. Atque hæc narrans, simul in vulgus invehetur: idque tanto cum audientium tædio, ut eorum alius, quæ ab ipso dicuntur, oblivioni statim mandet, alius dormitet, alius loquentem adhuc deserat discedatque. Denique, sive ad judicandum cum alio sedeat, judicare; sive ad spectandum, spectare; sive ad cibum sumendum, cibum sumere, consessorem impediet: Quippe, inquit, loquaci durum est tacere: linguam enim tanquam in udo habet: atque adeo præ quavis hirundine garrulus videri malit, quam tacere. Adeo se irrideri fert patienter, idque vel a puerulis suis, qui somnum petituri, jubeant ipsum aliquid sibi narrantem verba facere: ut ita nobis, inquiunt, somnus obrepat.

VIII

FAMIGERATIONIS.

Famigeratio est factorum dictorumque ad arbitrium ipsius fingentis confictio. Famigerator autem is est, qui obvius amico factus, statim blando vultu ac renidens interroget, Unde tu? et, Narrasne aliquid? et, Quid? habesne super hoc novi quidquam? et pergens interrogare, Nihilne, inquit, novi dicitur? atqui fausta sane sunt et læta quæ vulgo narrantur. Tum autem prius quam ille respondeat, Quid ais? inquit; nihilne audivisti? ergo ego te, sicut video, rerum novarum epulis laute excipiam. Ac statim est illi aut miles aliquis, aut Astei tibicinis puer, aut manceps Lyco, qui ex ipso prælio sit reversus, a quo se dicat audiisse, (auctores siquidem ille tales eorum, quæ dictitat, profert, quos nemo queat arguere): refert autem, accepisse se ab illis, Polysperchontem cum rege (Arrhidæo) prælio vicisse, et Cassandrum vivum in hostium potestatem venisse. Quod si quis ei dicat, Tu autem hæc credis? Haud dubie, inquiet; rem enim clarissima omnium voce tota urbe ferri; rumorem crescere; omnes congruere; eadem enim de prælio ab omnibus narrari: magnum nimirum ea pugna fartum esse factum: idque se ex eorum etiam vultu, qui rem gerunt publicam, colligere; quem viderit ipsis omnibus immutatum. Addit deinde se inaudisse, quemdam, qui ex Macedonia advenerit, quique omnibus, quæ gesta sunt, interfuerit, quintum jam diem ab illis domi occultari. Atque ubi hæc commemoravit, miserationes adjicit: at scin' quomodo et quam persuasibiliter? O infelicem, inquiens, Cassandrum! o virum ærumnosum! En Fortuna quid possit! At fuit certe Cassander præpotens! Te vero, ait, hoc soli tibi scire oportet. Ipse autem ad civium unumquemque propere accurrit, ut ei narret. [Equidem mirari soleo, quid sibi homines hoc genus falsis rumoribus fingendis spargendisque velint: quæ res, ut taceam mendacii turpitudinem, non raro ipsis incommoda evenit. Factum est enim sæpe, ut dum isti fa-

περιστάσεις ποιούμενοι, τὰ ἱμάτια ἀποβεβλήκασιν· οἱ δ' ἐν τῇ στοᾷ πεζομαχίᾳ καὶ ναυμαχίᾳ νικῶντες, ἐρήμους δίκας ὠφλήκασιν· εἰσὶ δ' οἳ καὶ πόλεις λόγῳ κατὰ κράτος αἱροῦντες παρεδειπνήθησαν. Πάνυ δὴ ταλαίπωρον αὐτῶν ἐστι τὸ ἐπιτήδευμα· ποίᾳ γὰρ οὐ στοᾷ, ποίῳ δὲ ἐργαστηρίῳ, ποίῳ δὲ μέρει τῆς ἀγορᾶς οὐχ ἐνδιημερεύουσιν, ἀπαυδᾶν ποιοῦντες τοὺς ἀκούοντας, οὓς οὕτω καταπονοῦσι ταῖς ψευδολογίαις;]

balneis concursus facerent, vestes interea suas furto amitterent; alii, dum in porticu, aut pedestri aut navali prælio vincunt, quod vadimonium non stitissent, graviter multati sunt; quibusdam etiam, dum urbes verbis suis fortiter caperent, cœna interea loci periit. Enimvero miserrima est istorum vita et conditio : nam quæ porticus est, quæ officina, quæ fori pars, in qua dies non traducant integros, magno cum audientium, quos falsis suis narrationibus obtundunt, tædio?]

Θ'

ΑΝΑΙΣΧΥΝΤΙΑΣ.

Ἡ δὲ ἀναισχυντία ἐστὶ μέν, ὡς ὅρῳ λαβεῖν, καταφρόνησις δόξης αἰσχροῦ ἕνεκα κέρδους· ὁ δὲ ἀναίσχυντος τοιοῦτος, οἷος πρῶτον μὲν ὃν ἀποστερεῖ, πρὸς τοῦτον ἀπελθὼν δανείζεσθαι· εἶτα θύσας τοῖς θεοῖς, αὐτὸς μὲν δειπνεῖν παρ' ἑτέρῳ, τὰ δὲ κρέα ἀποτιθέναι ἁλσὶ πάσας· καὶ προσκαλεσάμενος τὸν ἀκόλουθον, δοῦναι ἀπὸ τῆς τραπέζης ἄρας κρέας καὶ ἄρτον, καὶ εἰπεῖν, ἀκουόντων πάντων, Εὐωχοῦ, Τίβιε! Καὶ ὀψωνῶν δὲ ὑπομιμνήσκειν τὸν κρεωπώλην, εἴ τι χρήσιμος αὐτῷ γέγονε· καὶ ἑστηκὼς πρὸς τῷ σταθμῷ, μάλιστα μὲν κρέας, εἰ δὲ μή, ὀστοῦν εἰς τὸν ζυγὸν ἐμβαλεῖν· καὶ ἐὰν μὲν λάβῃ, εὖ ἔχει· εἰ δὲ μή, ἁρπάσας ἀπὸ τῆς τραπέζης χολίκιον, ἅμα γελῶν ἀπαλλάττεσθαι. Καὶ ξένοις δὲ αὐτοῦ θέαν ἀγοράσας, μὴ δοὺς τὸ μέρος, θεωρεῖν· ἄγειν δὲ καὶ τοὺς υἱεῖς εἰς τὴν ὑστεραίαν καὶ τὸν παιδαγωγόν. Καὶ ὅσα ἐωνημένος ἄξιά τις φέρει, μεταδοῦναι κελεῦσαι καὶ αὐτῷ. Καὶ ἐπὶ τὴν ἀλλοτρίαν οἰκίαν ἐλθὼν δανείζεσθαι κριθάς, ποτὲ δὲ ἄχυρα, καὶ ταῦτα χρήσαντας ἀναγκάσαι ἀποφέρειν πρὸς αὐτόν. Δεινὸς δὲ καὶ πρὸς τὰ χαλκεῖα τὰ ἐν τῷ βαλανείῳ προσελθών, καὶ βάψας ἀρύταιναν, βοῶντος τοῦ βαλανέως, αὐτὸς αὑτοῦ καταχέασθαι, καὶ εἰπεῖν, ὅτι λέλουται, ἀπιών· κἀκεῖνο, Οὐδεμία σοι χάρις.

IX

IMPUDENTIÆ.

Impudentiam definire licet famæ neglectum turpis quæstus gratia. Impudens autem is est, qui solet, pecuniam mutuo rogaturus, ad eum accedere, cujus aliquid per fraudem detineat : deinde, quum sacra diis facit, carnes victimæ suæ, sale aspersas, condit, ipse apud alium cœnans : atque ibi pedissequum suum compellans, sublatis de mensa carnium frusto et pane, in omnium auribus, Tu, Tibie, inquit, epulare hilariter. Quando obsonatur, lanium meminisse jubet, si ulla unquam in re fuerit de eo bene meritus; deinde autem trutinæ assistens, principio quidem carnes, sed si id non possit, os saltem aliquod in lancem injiciet : quod si auferre queat, id optime; si non, tum ille e mensa vel aliquod intestinorum frustum rapiet et cum risu discedet. Jam si peregrinis apud se devertentibus locum in theatro ad spectandum emerit, ipse quoque, nullo pro capite suo dato ære, spectatum veniet : quin etiam liberos suos cum pædagogo eorum secum postero die ducere non dubitabit. Quæcumque autem parvo empta ferentem aliquem viderit, sibi quoque communicari jubebit. Et ubi ad ædes alienas venerit, vel hordeum, vel, si usus ita tulerit, paleam mutuaturus, eos coget, a quibus acceperit, id quod dederint, domum sibi apportare. Sæpe etiam in balneis ad ahena accedens, postquam arytænam mersam replevit, sese ipse, non sine magno balneatoris clamore, perfundit; dein discedens, Lavi, inquit : et illud, Ego tibi gratiam nullam!

Ι'

ΜΙΚΡΟΛΟΓΙΑΣ.

Ἡ δὲ μικρολογία ἐστὶ φειδωλία τοῦ διαφόρου ὑπὲρ τὸν καιρόν· ὁ δὲ μικρολόγος τοιοῦτός τις, οἷος ἐν τῷ μηνὶ ἡμιωβόλιον ἀπαιτεῖν [ἐλθὼν] ἐπὶ τὴν οἰκίαν· καὶ συσσιτῶν ἀριθμεῖν τὰς κύλικας πόσας ἕκαστος πέπωκε· καὶ ἀπάρχεσθαι ἐλάχιστον τῇ Ἀρτέμιδι τῶν συνδειπνούντων. Καὶ ὅσα μικροῦ τις πριάμενος λογίζεται, πάντα φάσκειν εἶναι ἄγαν. Καὶ οἰκέτου χύτραν ἢ λοπάδα κατάξαντος, εἰσπρᾶξαι ἀπὸ τῶν ἐπιτηδείων. Καὶ τῆς γυναικὸς ἐκβαλούσης τρίχαλκον, οἷος μεταφέρειν τὰ σκεύη καὶ τὰς κλίνας καὶ τὰς κιβωτούς, καὶ διφᾶν τὰ καλύμματα. Καὶ ἐάν τι πωλῇ, τοσούτου ἀποδόσθαι, ὥστε μὴ λυσιτελεῖν τῷ πριαμένῳ. Καὶ οὐκ ἂν ἐᾶσαι οὔτε συκοτραγῆσαι ἐκ τοῦ αὑτοῦ κήπου,

X

SORDIDÆ PARSIMONIÆ.

Sordida parsimonia est studium parcendi sumptibus ultra modum. Sordide parcus is est, qui nondum finito mense semiobolum usuram exigat a debitore, ipse domum ejus ventitans; et in convivio, quot quisque calices educat, numeret : qui etiam ex omnibus convivis Dianæ minima libamenta offerat. Jam quæcumque ei quispiam fert impensa, etsi parvo empta, nimio tamen constare dicet. Si famulus ollam aut patinam fregerit, de ejus demenso tantum detrahet, quanti erat quod fractum est. Quodsi uxor trichalcum amiserit, ille vero omnem supellectilem, lectos etiam atque capsas loco movebit, et omnia stragula scrutabitur. Quidquid vendit, tanti vendit, ut emptori ea res cedere bono non queat. Ficum de suo horto neminem gu-

οὔτε διὰ τοῦ αὐτοῦ ἀγροῦ πορευθῆναι, οὔτε ἐλάαν ἢ φοίνικα τῶν χαμαὶ πεπτωκότων ἀνελέσθαι. Καὶ τοὺς ὅρους δὲ ἐπισκοπεῖσθαι ὁσημέραι, εἰ διαμένουσιν οἱ αὐτοί. Δεινὸς δὲ καὶ ὑπερημερίαν πρᾶξαι καὶ τόκον τόκου. Καὶ ἑστιῶν δημότας, μικρὰ τὰ κρέα κόψας παραθεῖναι· καὶ ὀψωνῶν, μηδὲν πριάμενος εἰσελθεῖν. Καὶ ἀπαγορεῦσαι τῇ γυναικὶ, μήτε ἅλας χρωννύειν, μήτε ἐλλύχνιον, μήτε κύμινον, μήτε ὀρίγανον, μήτε οὐλὰς, μήτε στέμματα, μήτε θυηλήματα· ἀλλὰ λέγειν, ὅτι τὰ μικρὰ ταῦτα πολλά ἐστι τοῦ ἐνιαυτοῦ. Καὶ τὸ ὅλον δὲ τῶν μικρολόγων καὶ τὰς ἀργυροθήκας ἐστὶν ἰδεῖν εὐρωτιώσας καὶ κλεῖς ἰωμένας, καὶ αὐτοὺς δὲ φοροῦντας ἐλάττω τῶν μηρῶν τὰ ἱμάτια, καὶ ἐκ ληκυθίων μικρῶν πάνυ ἀλειφομένους, καὶ ἐν χρῷ κειρομένους, καὶ τὸ μέσον τῆς ἡμέρας ὑπολυομένους, καὶ πρὸς τοὺς γναφεῖς διατεινομένους, ὅπως τὸ ἱμάτιον αὐτοῖς ἕξει πολλὴν γῆν, ἵνα μὴ ῥυπαίνηται ταχύ.

ΙΑ'

ΒΔΕΛΥΡΙΑΣ.

Οὐ χαλεπὸν δέ ἐστι τὴν βδελυρίαν διορίσασθαι· ἔστι γὰρ παιδιὰ ἐπιφανὴς καὶ ἐπονείδιστος. Ὁ δὲ βδελυρὸς τοιοῦτος, οἷος ἀπαντήσας γυναιξὶν ἐλευθέραις ἀνασυράμενος δεῖξαι τὸ αἰδοῖον· καὶ ἐν θεάτρῳ κροτεῖν, ὅταν οἱ ἄλλοι παύωνται· καὶ συρίττειν οὓς ἡδέως θεωροῦσιν οἱ λοιποί· καὶ ὅταν σιωπήσῃ τὸ θέατρον, ἀνακύψας ἐρυγεῖν, ἵνα τοὺς καθημένους ποιήσῃ μεταστραφῆναι. Καὶ πληθούσης τῆς ἀγορᾶς προσελθὼν πρὸς τὰ κάρυα ἢ τὰ μύρτα ἢ τὰ ἀκρόδρυα, ἑστηκὼς τραγηματίζεσθαι ἅμα τῷ πωλοῦντι προσλαλῶν. Καὶ καλέσαι δὲ τῶν παριόντων ὀνομαστί τινα, ᾧ μὴ συνήθης ἐστὶ, καὶ σπεύδοντα δέ που ὁρῶν, [περιμεῖναι κελεῦσαι]. Καὶ ἡττημένῳ δὲ μεγάλην δίκην ἀπιόντι ἀπὸ τοῦ δικαστηρίου προσελθεῖν καὶ συνησθῆναι· καὶ ὀψωνεῖν αὐτὸς, καὶ αὐλητρίδας μισθοῦσθαι, καὶ δεικνύειν δὲ τοῖς ἀπαντῶσι τὰ ὠψωνημένα, καὶ παρακαλεῖν ἐπὶ ταῦτα· καὶ διηγεῖσθαι προστὰς πρὸς κουρεῖον ἢ μυροπώλιον, ὅτι μεθύσκεσθαι μέλλει. [Reliqua in Char. XXX. Sequentia ex Char. XIX assumta.] Καὶ εἰς ὀρνιθοσκόπου τῆς μητρὸς ἐξελθούσης, βλασφημῆσαι· καὶ εὐχομένων καὶ σπενδόντων, ἐκβαλεῖν τὸ ποτήριον καὶ γελάσαι, ὡς τεράστιόν τι πεποιηκώς. Καὶ αὐλούμενος δὲ κροτεῖν ταῖς χερσὶ μόνος τῶν ἄλλων, καὶ συντερετίζειν, καὶ ἐπιτιμᾶν τῇ αὐλητρίδι μὴ ταχὺ παυσαμένῃ· καὶ ἀποπτύσαι δὲ βουλόμενος, ὑπὲρ τῆς τραπέζης προσπτύσαι τῷ οἰνοχόῳ.

ΙΒ'

ΑΚΑΙΡΙΑΣ.

Ἡ μὲν οὖν ἀκαιρία ἐστὶν ἐπίτευξις λυποῦσα τοὺς ἐντυγχάνοντας· ὁ δὲ ἄκαιρος τοιοῦτός τις, οἷος ἀσχο-

stare siverit; neminem per fundum suum transire, aut ullam cadivam olivam palmulamve auferre. Quotidie terminos inspectat suos, ecquid immoti eodem loco iidem maneant. Porro autem debitum si quis die præstituta non solverit, pœnam pro mora, atque adeo usuræ usuram solet exigere. Populares convivio accipiens, minutas adponet carnes: quumque ad obsonandum exierit, sæpe vacuus domum revertetur. Uxori solet edicere, ne cuiquam salem, aut ellychnium, aut cuminum, aut origanum, vel etiam farris quidquam, vel corollam ullam, vel libum ullum commodet: Magnam enim, inquit, parva hæc tandem in anno summam efficiunt. In summa, sordidorum istorum hominum loculos videas situ obsitos, claves ferrugine illitas: ipsos quin etiam videre licet vestes gestare quæ femora non tegunt; guttulos, ex quibus unguntur, parvulos habere; capite esse ad cutem attonso; calceos medio die exuere; et cum fullonibus obnixe agere, ut ad poliendam suam vestem cretæ multum adhibeant, ne sordes nimis cito contrahat.

XI

IMPURITATIS PERDITÆ.

Impuritatem perditam definire non est difficile: est siquidem jocus ludusve rudis et flagitiosus. Impurus vero is est, qui, si in liberas mulieres incidat, veste subducta, pudenda illis ostendat. In theatro, reliquis desinentibus, ipse solus plaudere pergit; et quos reliqui libenter spectant, ipse sibilis consectatur; et, toto theatro ad spectandum intento, ipse resupinato corpore ructat, ut eorum qui sedent oculos in se avertat. Ac, quando maxime frequens est forum, ad nuces, myrtos et reliquos omnis generis fructus accedens, ibique stans, de iis comedit, sermones interea cum eorum venditore serens. Neque dubitat prætereuntium aliquem, nulla sibi familiaritate junctum, nominatim compellare: et, si quem aliquo properantem videat, jubebit exspectare. Solet etiam ad eum, qui in grandis pecuniæ judicio causa ceciderit, redeuntem e judicio accedere, et ei gratulari: quumque sibi obsonia emerit, et tibicinas conduxerit, ut cuique obvius fuerit factus, obsonia illi ostendere, et ad ea invitare: idemque ad tonstrinam aut tabernam unguentariam astans narrat, velle se mox ad ebrietatem usque bibere. Quumque ad aruspicem mater exierit, lingua interea non favere neque a malis verbis se abstinere moris habet. Sæpe etiam, dum vota libationesque fiunt, pateram sibi e manibus elabi sinit, et simul risum tollit, quasi aliquid fecerit portentosum. Tibicines si audiat, unus inter omnes manibus plaudere, atque eorum etiam modulos inepta imitatione effingere; dein tibicinam, quod cito finem non fecerit, increpare: et dum vult exspuere, ultra mensam eum, qui pocula in convivio ministrat, conspuit.

XII

INTEMPESTIVITATIS.

Intempestivitas est congressio molesta iis quibuscum congrediaris. Homo autem intempestivus is est, qui, ad

λουμένῳ προσελθὼν ἀνακοινοῦσθαι· καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην κωμάζειν πυρέττουσαν· καὶ δίκην ὠφληκότα ἐγγύης προσελθὼν, κελεῦσαι αὐτὸν ἀναδέξασθαι· καὶ μαρτυρήσων παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου· καὶ κεκλημένος εἰς γάμους, τοῦ γυναικείου γένους κατηγορεῖν· καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντας ἄρτι, παρακαλεῖν εἰς περίπατον. Δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν πλείω διδόντα ἤδη πεπρακότι· καὶ ἀκηκοότας καὶ μεμαθηκότας ἀνίστασθαι ἐξ ἀρχῆς διδάσκων. Καὶ πρόθυμος δὲ ἐπιμεληθῆναι, ἃ μὴ βούλεταί τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι· καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόκον ἀπαιτήσων· καὶ μαστιγουμένου δὲ οἰκέτου, παρεστὼς διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτε παῖς οὕτω πληγὰς λαβὼν ἀπήγξατο. Καὶ παρὼν διαίτῃ, συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι. Καὶ ὀρχησάμενος ἅψασθαι ἑταίρου μηδέπω μεθύοντος.

ΙΓ′

ΠΕΡΙΕΡΓΙΑΣ.

Ἀμέλει περιεργία δόξειεν ἂν εἶναι προσποίησίς τις λόγων καὶ πράξεων μετ' εὐνοίας· ὁ δὲ περίεργος τοιοῦτός τις, οἷος ἐπαγγέλλεσθαι ἀναστὰς ἃ μὴ δυνήσεται· καὶ ὁμολογουμένου τοῦ πράγματος δικαίου εἶναι, ἔν τινι στὰς ἐλεγχθῆναι. Καὶ πλείω δὲ ἐπαναγκάσαι τὸν παῖδα κεράσαι ἢ ὅσα δύνανται οἱ παρόντες ἐκπιεῖν· καὶ διεγείρειν τοὺς μαχομένους, καὶ οὓς οὐ γιγνώσκει· καὶ ἀτραποῦ ἡγήσασθαι, εἶτα μὴ δύνασθαι εὑρεῖν οὗ πορεύεται· καὶ τὸν στρατηγὸν δὲ προσελθὼν ἐρωτῆσαι, πότε μέλλει παρατάττεσθαι, καὶ τί μετὰ τὴν αὔριον παραγγέλλει. Καὶ προσελθὼν τῷ πατρὶ εἰπεῖν, ὅτι ἡ μήτηρ ἤδη καθεύδει ἐν τῷ δωματίῳ. Καὶ ἀπαγορεύοντος τοῦ ἰατροῦ, ὅπως μὴ δώσῃ οἶνον τῷ μαλακιζομένῳ, φῆσαι βούλεσθαι διάπειραν λαμβάνειν εὐτρεπίσαι τὸν κακῶς ἔχοντα. Καὶ γυναικὸς δὲ τελευτησάσης, ἐπιγράψαι ἐπὶ τὸ μνῆμα τοῦ τε ἀνδρὸς αὐτῆς καὶ τοῦ πατρὸς καὶ τῆς μητρὸς καὶ αὐτῆς τῆς γυναικὸς τοὔνομα, καὶ ποταπή ἐστι, καὶ προσεπιγράψαι, ὅτι Οὗτοι πάντες χρηστοὶ ἦσαν. Καὶ ὀμνύναι μέλλων, εἰπεῖν πρὸς τοὺς παρεστηκότας, ὅτι Καὶ πρότερον πολλάκις ὀμώμοκα.

ΙΔ′

ΑΝΑΙΣΘΗΣΙΑΣ.

Ἔστι δὲ καὶ ἡ ἀναισθησία, ὡς ὅρῳ εἰπεῖν, βραδυτὴς ψυχῆς ἐν λόγοις καὶ πράξεσιν· ὁ δὲ ἀναίσθητος τοιοῦτός τις, οἷος λογισάμενος ταῖς ψήφοις καὶ κεφάλαιον ποιήσας ἐρωτᾷν τὸν παρακαθήμενον, Τί γίνεται; Καὶ δίκην φεύγων, καὶ ταύτην εἰσιέναι μέλλων, ἐπιλαθόμενος εἰς ἀγρὸν πορεύεσθαι. Καὶ θεωρῶν ἐν τῷ θεάτρῳ, μόνος καταλείπεσθαι καθεύδων. Καὶ πολλὰ φαγὼν, καὶ τῆς

amicum occupatum accedens, velit re communicata cum illo deliberare; quique ad amicam suam, febri laborantem, veniat comessatum. Solet etiam eum, qui fuerit ex sponsu condemnatus, adire rogans ut pro se quoque intercedere velit. Et ad dicendum testimonium tunc venit, quum res est judicata. Ad nuptias vocatus, in mulierum genus invehitur. Eos, qui e longinquo itinere modo advenerunt, ad deambulandum secum invitat. Re jam vendita, emptorem adducit, qui pluris sit empturus. Sæpe etiam e medio hominum sibi assidentium surgit, ut rem illis, orsus a capite, exponat, quam omnes jam audiverint ac pernorint. Et quæ nolit quidem aliquis, sed denegare tamen erubescit, ad illa curanda promptus est. Ad eos, qui sacra faciunt et epulas concelebrant, accedit usuram exacturus. Quodsi, præsente eo, famulus cædatur, sibi quoque puerum aliquando fuisse narrabit, qui similiter virgis cæsus se suspenderit. Idem captus arbiter, duos litigantes, quorum uterque rem transigi optat, inter se committet. Denique in saltatione socium manu prehendit, qui nondum sit vino madidus.

XIII

SEDULITATIS INEPTÆ.

Περιεργία sive Sedulitas inepta est dictorum factorumque simulatio cum significatione benevolentiæ. Mores inepte seduli hominis ejusmodi sunt : facile surgens e medio, in se recipit, quibus præstandis par non sit. Rem, quæ omnium confessione justa est, in aliquo inhærens, in dubitationem vocat et convincitur. Puerum vini amplius miscere cogit, quam quantum omnes, qui adsunt, convivæ queant ebibere. Contendentes pugnantesque invicem instigat, vel non notos sibi. Solet etiam viam præire, cujus quidem exitum mox invenire nequeat : et ad ductorem exercitus accedens, rogare, quando sit aciem ad dimicandum instructurus : nec non, quid in perendinum diem imperet. Et ad patrem veniens, En, inquit, mater in cubiculo jam dormit. Ac quum vini usu medicus interdixerit ægroto, hic dabit, periculum se facturum dicens, an possit efficere ut ægrotus melius habeat. Quodsi uxor obierit, monumento ejus et mariti, et patris, et matris, et ipsius uxoris nomina inscribet, itemque cujas sit; tum hoc elogium insuper adjiciet, SINGULARI OMNES ISTI PROBITATE ERANT. Idem, si ad jusjurandum adigatur, conversus ad astantes, Ego vero, inquit, jam ante sæpius juravi.

XIV

STUPIDITATIS.

Stupiditatem quoque definire possis, ut sit animi tarditas, seu dicendum, seu faciendum sit aliquid. Stupidus vero is est, qui sedens ad calculos, postquam rationes putavit et summam subduxit, roget eum, qui sibi assidet, Summa quanta est? Ac quum ei litem aliquis intenderit, ubi ad diem illum ventum est, quo disceptari caussa debet, ejus oblitus, in agrum proficiscitur. Sæpe etiam sedens in theatro ad spectandum, discedentibus aliis, somno obrutus

νυκτὸς ἐπὶ θᾶκον ἀνιστάμενος, ὑπὸ κυνὸς τῆς τοῦ γείτονος δηχθῆναι. Καὶ λαβών τι καὶ ἀποθεὶς αὐτὸς, τοῦτο ζητεῖν, καὶ μὴ δύνασθαι εὑρεῖν. Καὶ ἀπαγγέλλοντός [τινος] αὐτῷ, ὅτι τετελεύτηκέ τις αὐτοῦ τῶν φίλων, ἵνα παραγένηται, σκυθρωπάσας καὶ δακρύσας εἰπεῖν Ἀγαθῇ τύχῃ! Δεινὸς δὲ καὶ, ἀπολαμβάνων ἀργύριον ὀφειλόμενον, μάρτυρας παραλαβεῖν· καὶ, χειμῶνος ὄντος, μάχεσθαι τῷ παιδὶ, ὅτι σικύους οὐκ ἠγόρασε. Καὶ τὰ παιδία ἑαυτοῦ παλαίειν ἀναγκάζων καὶ τροχάζειν, εἰς κόπους ἐμβάλλειν. Καὶ ἐν ἀγρῷ αὐτὸς φακῆν ἕψων, δὶς ἅλας εἰς τὴν χύτραν ἐμβαλὼν ἄβρωτον ποιῆσαι. Καὶ ὕοντος τοῦ Διὸς εἰπεῖν, Ἡδύ γε τῶν ἄστρων νομίζειν ὅ τι δὴ καὶ οἱ ἄλλοι λέγουσι πίσσης. Καὶ λέγοντός τινος, Πόσους οἴει κατὰ τὰς Ἠρίας πύλας ἐξενηνέχθαι νεκρούς; πρὸς τοῦτον εἰπεῖν, Ὅσοι ἐμοὶ καὶ σοὶ γένοιντο.

solus ibi relinquitur. Idem, quum se cibis ingurgitarit, noctu surgens, ut ad sellas eat, in vicini canem incidit, a quo mordetur. Idem, quod acceperit ipse ac recondiderit, id ipsum quærere solet, reperire autem non potest. Quumque nunciatur illi, obiisse aliquem ex familiaribus ipsius, ut veniat exsequias, tum ille, vultu ad mœstitiam composito, lacrimas etiam fundens, Quod felix, inquit, faustumque sit! Debitas autem pecunias recipiens, etiam testes sibi asciverit: et vigente hieme, cum famulo, quod cucumeres non emerit, jurgatur. Puerulos quin etiam suos, ut lucta se exerceant, cursu contendant, usque ad fatigationem cogere solet. In agro, lentem ipse coquens, sale bis in ollam injecto, ut mandi nequeat, efficit. Et quum ab Jove pluit, Sane quam, inquit, suave siderum ..... quod quidem ceteri dicunt picis (?). Rogatus ab aliquo, quot putet Ferali Porta elatos mortuos; Quot utinam, respondens ait, ego et tu haberemus!

ΙΕ'

ΑΥΘΑΔΕΙΑΣ.

Ἡ δὲ αὐθάδειά ἐστιν ἀπήνεια ὁμιλίας ἐν λόγοις· ὁ δὲ αὐθάδης τοιοῦτός τις, οἷος ἐρωτηθεὶς, Ὁ δεῖνα ποῦ ἐστιν; εἰπεῖν, Πράγματά μοι μὴ πάρεχε. Καὶ προσαγορευθεὶς, μὴ ἀντιπροσειπεῖν· πωλῶν τι, μὴ λέγειν τοῖς ὠνουμένοις, πόσου ἂν ἀποδοῖτο, ἀλλ' ἐρωτᾶν, Τί εὑρίσκει; Καὶ τοῖς τιμῶσι καὶ πέμπουσιν εἰς τὰς ἑορτὰς εἰπεῖν, ὅτι οὐκ ἂν γεύσιτο διδομένων. Καὶ οὐκ ἔχειν συγγνώμην οὔτε τῷ ἀπώσαντι αὐτὸν ἀκουσίως, οὔτε τῷ ὤσαντι, οὔτε τῷ ἐμβάντι. Καὶ φίλῳ δὲ ἔρανον κελεύσαντι εἰσενεγκεῖν, εἰπὼν ὅτι οὐκ ἂν δοίη, ὕστερον ἥκειν φέρων, καὶ λέγειν ὅτι ἀπόλλυσι καὶ τοῦτο τὸ ἀργύριον. Καὶ προσπταίσας ἐν τῇ ὁδῷ, δεινὸς καταράσασθαι τῷ λίθῳ· καὶ ἀναμεῖναι οὐκ ἂν ὑπομεῖναι πολὺν χρόνον οὐθένα· καὶ οὔτε ᾆσαι, οὔτε ῥῆσιν εἰπεῖν, οὔτε ὀρχήσασθαι ἂν ἐθελῆσαι. Δεινὸς δὲ καὶ τοῖς θεοῖς μὴ ἐπεύχεσθαι.

XV

CONTUMACIÆ SIVE FEROCITATIS.

Contumacia est verborum in congressionibus et vitæ quotidianæ usu duritas. Homo contumax ita est comparatus, ut, si quis ex ipso sciscitetur, Ubi est ille? respondeat, Ne sis mihi molestus. Salutatus, salutare invicem negligit. Quumque aliquid vendit, indicare quidem merces suas, interrogatus: Quanti? non dignatur: verum ipse potius emptorem interrogat, quid pretii mereat. Iis qui fercula ipsi honoris caussa mittunt in festos dies, dicere solet, se donata ne gustare quidem. Si quis illum, vel invitus, aut expulerit, aut pepulerit, aut pede presserit, non est exorabilis. Et quum amico dixerit, collationem pecuniæ ab ipso petenti, nihil se daturum, postea ipse ultro afferet, dicetque velle se hanc quoque pecuniam perdere. In via, si ad lapidem offenderit, maledicet illi. Et, ut aliquando subsistat alicujus exspectandi caussa, nunquam tamen diutius cuiquam præstolabitur. Idem, ut cantet in convivio, aut vice sua recitet, aut saltet, adduci non potest. Postremo diis ipsis vota facere non curat.

IϚ'

ΔΕΙΣΙΔΑΙΜΟΝΙΑΣ.

Ἀμέλει ἡ δεισιδαιμονία δόξειεν ἂν εἶναι δειλία πρὸς τὸ δαιμόνιον· ὁ δὲ δεισιδαίμων τοιοῦτός τις, οἷος [ἐπὶ χοῶν του] ἀπονιψάμενος τὰς χεῖρας καὶ περιῤῥανάμενος ἀπὸ ἱεροῦ, δάφνην εἰς τὸ στόμα λαβὼν, οὕτω τὴν ἡμέραν περιπατεῖν. Καὶ τὴν ὁδὸν ἐὰν παραδράμῃ γαλῆ, μὴ πρότερον πορευθῆναι, ἕως διεξέλθῃ τις, ἢ λίθους τρεῖς ὑπὲρ τῆς ὁδοῦ διαβάλῃ. Καὶ ἐὰν ἴδῃ ὄφιν ἐν τῇ οἰκίᾳ, [ἐὰν μὲν παρείαν, Σαβάζιον καλεῖν, ἐὰν δὲ] ἱερὸν, ἐνταῦθα [ἡρῷον] εὐθὺς ἱδρύσασθαι. Καὶ τῶν λιπαρῶν λίθων τῶν ἐν ταῖς τριόδοις παριὼν ἐκ τῆς ληκύθου ἔλαιον καταχεῖν, καὶ ἐπὶ γόνατα πεσὼν καὶ προσκυνήσας ἀπαλλάττεσθαι. Καὶ ἐὰν μῦς θύλακον ἀλφίτων διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν, ἐρωτᾶν,

XVI

SUPERSTITIONIS.

Superstitionem sane definire possumus, meticulosum erga numen affectum. Superstitiosus vero is est, qui, *si quando inferiæ mittuntur*, lotis manibus, et lustrali aqua aspersus ex sacro loco, folium lauri ore prehensum tenens, integrum diem ita ambulet. Si viam mustela, eo ingrediente, transcurrerit, non ante progredietur, quam alius prior transierit, aut ipse tres lapides trans viam miserit. Serpentem si viderit in ædibus, *si est pareas serpens, Sabazium appellabit; si* sacer, nulla mora *heroum* eo loco exstruet. Lapides unctos, qui sunt in triviis, solet præteriens oleo ex ampulla perfundere, nec prius discedere, quam, posito genu, eos fuerit veneratus. Quodsi mus forte farinæ follem arroserit, adit ad interpretem, et quid facto

τί χρὴ ποιεῖν· καὶ ἐὰν ἀποκρίνηται αὐτῷ, ἐκδοῦναι τῷ σκυτοδέψῃ ἐπιῤῥάψαι, μὴ προσέχειν τούτοις, ἀλλ' ἀποτραπεὶς ἐκθύσασθαι. Καὶ πυκνὰ δὲ τὴν οἰκίαν καθᾶραι [δεινὸς, Ἑκάτης φάσκων ἐπαγωγὴν γεγονέναι· κἂν γλαῦκα βαδίζοντος αὐτοῦ [ἀνακραγοῦσαν] ταράττεσθαι, καὶ εἰπὼν, Ἀθηνᾶ κρείττων! παρελθεῖν οὕτω·] καὶ οὔτε μνήματι ἐπιβῆναι, οὔτε ἐπὶ νεκρὸν ἐλθεῖν, οὔτε ἐπὶ λεχὼ [ἐθελῆσαι, ἀλλὰ τὸ μὴ μιαίνεσθαι συμφέρον αὐτῷ φῆσαι εἶναι. Καὶ ταῖς τετάρταις δὲ καὶ ταῖς ἑβδομάταις προστάξας οἶνον ἕψειν τοῖς ἔνδον, ἐξελθὼν ἀγοράσαι μυρσίνας, λιβανωτὸν, πόπανα· καὶ εἰσελθὼν εἴσω στεφανοῦν τοὺς Ἑρμαφροδίτους ὅλην τὴν ἡμέραν.] Καὶ ὅταν ἐνύπνιον ἴδῃ, πορεύεσθαι πρὸς τοὺς ὀνειροκρίτας, πρὸς τοὺς μάντεις, πρὸς τοὺς ὀρνιθοσκόπους, ἐρωτήσων τίνι θεῷ ἢ θεᾷ εὔχεσθαι δεῖ. Καὶ τελεσθησόμενος πρὸς τοὺς Ὀρφεοτελεστὰς κατὰ μῆνα πορεύεσθαι μετὰ τῆς γυναικός· ἐὰν δὲ μὴ σχολάζῃ ἡ γυνὴ, μετὰ τῆς τιτθῆς καὶ τῶν παίδων· [καὶ [τῶν] περιῤῥαινομένων ἀπὸ θαλάττης ἐπιμελῶς δόξειεν ἂν εἶναι. Κἄν ποτε ἐπίδῃ σκορόδῳ ἐστεμμένον τῶν] ἐπὶ ταῖς τριόδοις [ἐπελθόντων], κατὰ κεφαλῆς λούσασθαι, καὶ ἱερείας καλέσας, σκίλλῃ ἢ σκύλακι κελεῦσαι αὐτὸν περικαθᾶραι· μαινόμενόν τε ἰδὼν ἢ ἐπίληπτον, φρίξας εἰς κόλπον πτύσαι.

ΙΖ′

ΜΕΜΨΙΜΟΙΡΙΑΣ.

Ἔστι δὲ ἡ μεμψιμοιρία ἐπιτίμησις περὶ τῶν προσηνῶς διδομένων· ὁ δὲ μεμψίμοιρος τοιόσδε τις, οἷος, ἀποστείλαντος μερίδα τοῦ φίλου, εἰπεῖν πρὸς τὸν φέροντα, Ἐφθόνησάς μοι τοῦ ζωμοῦ καὶ τοῦ οἰναρίου, οὐκ ἐπὶ δεῖπνον καλέσας. Καὶ ὑπὸ τῆς ἑταίρας καταφιλούμενος εἰπεῖν, Θαυμάζω εἰ σὺ καὶ ἀπὸ ψυχῆς με φιλεῖς. Καὶ τῷ Διὶ ἀγανακτεῖν, οὐ διότι ὕει, ἀλλὰ διότι ὕστερον. Καὶ εὑρὼν τύχῃ ἐν τῇ ὁδῷ βαλλάντιον, εἰπεῖν, Ἀλλ' οὐ θησαυρὸν εὕρηκα οὐδέποτε. Καὶ πριάμενος ἀνδράποδον ἄξιον, καὶ πολλὰ δεηθεὶς τοῦ πωλοῦντος, Θαυμάζω, εἰπεῖν, εἴ τι ὑγιὲς οὕτως ἄξιον ἐώνημαι. Καὶ πρὸς τὸν εὐαγγελιζόμενον, ὅτι Υἱός σοι γέγονεν, εἰπεῖν, ὅτι Ἂν προσθῇς, καὶ τῆς οὐσίας τὸ ἥμισυ ἄπεστιν, ἀληθῆ ἐρεῖς. Καὶ δίκην νικήσας καὶ λαβὼν πάσας τὰς ψήφους, ἐγκαλεῖν τῷ γράψαντι τὸν λόγον, ὡς πολλὰ παραλελοιπότι τῶν δικαίων. Καὶ ἐράνου εἰσενεχθέντος παρὰ τῶν φίλων, καὶ φήσαντός τινος, Ἱλαρὸς ἔστω, Καὶ πῶς; εἰπεῖν, ὅτε δεῖ τὸ ἀργύριον ἀποδοῦναι ἑκάστῳ, καὶ χωρὶς τούτων χάριν ὀφείλειν, ὡς εὐηργετημένον.

---

sit opus, eum percontatur : qui si respondeat, cerdoni nimirum tradendum esse illum follem, ut sarciatur; superstitiosus iste, neglecto arioli responso, religioni rem habens, sacrificio omen expiabit. Solet etiam domum crebro purificare, *dicens, Hecaten inductam esse. Si noctua obstrepit iter facienti, percellitur, nec pergit quin dixerit, Minerva superior!* Nec sepulcrum insistere, neque ad defunctorum justa accedere, neque item ad ullam umquam *vult* puerperam, *sed utile sibi esse dicit non pollui. Quartis quibusque et septimis diebus mensis domesticis vinum ut coquant imperat; ipse egressus emit myrrhæ ramulos, thus et popana; domum reversus ibi Hermaphroditos coronat per totum diem.* Insomnium porro si viderit, pergere ille ad somniorum interpretes, ad divinos, ad augures, sciscitaturus, cui deo, cui deæ vota sint facienda. Et ut sacris initietur, ad Orpheotelestas quot mensibus cum uxore, aut si uxori non vacet, cum nutrice et filiolis suis itat. *Etiam inter illos eum conspicias, qui sedulo se marina aqua aspergunt. Et si quando eorum, qui* ad trivia *accedere solent, quempiam allio coronatum conspicit*, aqua in caput aspersa se lustrat : piatricibus quin etiam ascitis, jubet se squillæ aut catuli circumlatione purgari. Quodsi quem mente captum, aut comitialem viderit, solet inhorrescens in sinum sibi despuere.

XVII

INIQUÆ QUERULITATIS.

Querulitas iniqua est querela quæ fit in rebus cum benevolentia oblatis. Hominis autem queruli mores istiusmodi sunt, ut, si ad eum amicus portionem aliquam e convivio miserit, dicat ei qui afferat : Hoc illud est, quod ego ad cœnam non sum vocatus : invidisti nimirum mihi jusculum et villum tuum. Et quum illum amica etiam et etiam suaviatur, Miror, inquit, si tu ex animo ista mihi des basia. Idem Jovi succenset, non propterea quod pluat, sed quod serius. Et quum in via crumenam invenit, Ego vero, ait, thesaurum nullus unquam reperi. Similiter, quum parvo mancipium emerit, utpote exorato multis precibus venditore, Mirum sane, inquit, si tantulo emi quod sit alicujus pretii. Jam si quis lætum illum nuncium ipsi afferat, Filiolo, inquiens, auctus es : Adjice, ait ille, Et dimidia bonorum pars tibi periit; tum, quod res est, dixeris. Idem, postquam in judicio omnium calculis vicit, nihilominus tamen de eo conqueritur, qui orationem scripsit, quam pro se habuit, ut qui multa ipsius justa omiserit. Jam si ad sublevandam ipsius egestatem amici pecunias contulerint, et dicat deinde aliquis, Nunc esto hilaris : Quo pacto esse possum? inquiet : quum et singulis sua sit pecunia reddenda; et hoc amplius, gratiæ cuique, tanquam pro accepto beneficio, habendæ.

ΙΗʹ

ΑΠΙΣΤΙΑΣ.

Ἔστιν ἀμέλει ἀπιστία ὑπόληψίς τις ἀδικίας κατὰ πάντων· ὁ δὲ ἄπιστος τοιοῦτός τις, οἷος ἀποστείλας τὸν παῖδα ὀψωνήσοντα, ἕτερον παῖδα πέμπειν πευσόμενον πόσου ἐπρίατο. Καὶ φέρειν αὐτὸς τὸ ἀργύριον, καὶ κατὰ στάδιον [καθίζων] ἀριθμεῖν πόσον ἐστί. Καὶ τὴν γυναῖκα τὴν αὑτοῦ ἐρωτᾷν κατακείμενος, εἰ κέκλεικε τὴν κιβωτὸν, καὶ εἰ σεσήμανται τὸ κυνούχιον, καὶ εἰ ὁ μοχλὸς εἰς τὴν θύραν τὴν αὐλείαν ἐμβέβληται· καὶ ἐὰν ἐκείνη φῇ, μηδὲν ἧττον αὐτὸς ἀναστὰς γυμνὸς ἐκ τῶν στρωμάτων καὶ ἀνυπόδητος, τὸν λύχνον ἅψας, ταῦτα πάντα περιδραμὼν ἐπισκέψασθαι, καὶ οὕτω μόλις ὕπνου τυγχάνειν. Καὶ τοὺς ὀφείλοντας αὐτῷ ἀργύριον μετὰ μαρτύρων ἀπαιτεῖν τοὺς τόκους, ὅπως μὴ δύναιντο ἔξαρνοι γενέσθαι· καὶ τὸ ἱμάτιον δὲ ἐκδοῦναι δεινὸς, οὐχ ὃς βέλτιστα ἐργάσεται, ἀλλ' ὅταν ᾖ ἄξιος ἐγγυητὴς τοῦ γναφέως. Καὶ ὅταν ἥκῃ τις αἰτησόμενος ἐκπώματα, μάλιστα μὲν μὴ δοῦναι· [ἂν δ' ἄρα τις οἰκεῖος ᾖ καὶ ἀναγκαῖος, ὄνομ' ἐντυπώσας καὶ στήσας καὶ σχεδὸν ἐγγυητὴν λαβὼν, χρῆσαι]. Καὶ τὸν παῖδα δὲ ἀκολουθοῦντα κελεύειν αὐτοῦ ὄπισθεν μὴ βαδίζειν, ἀλλ' ἔμπροσθεν, ἵνα φυλάττηται αὐτὸν, μὴ ἐν τῇ ὁδῷ ἀποδράσῃ. Καὶ τοῖς εἰληφόσι τι παρ' αὐτοῦ καὶ λέγουσι, Πόσου καὶ τίθου· οὐ γὰρ σχολάζω πέμπειν, [εἰπεῖν,] [Μηδὲν πραγματεύου· ἐγὼ γὰρ, ἂν σὺ [μὴ] σχολάσῃς, συνακολουθήσω].

XVIII

DIFFIDENTIÆ.

Diffidentia est, per quam omnes fraudis suspectos habemus. Diffidens autem is est, qui si ad emenda obsonia puerum miserit, alium mox mittat, qui percontetur, quanti ille emerit. Pecunias portat ipse, et singulis stadiis *desidens* numerat quantum sit. Cubans in lecto, uxorem interrogat, an capsam bene clauserit; an probe sit arca obsignata; an vestibuli foribus pessulus sit obditus : ac licet affirmet illa, nihilo tamen secius, e lecto surgens, nudus ac discalceatus, accensa lucerna, obit illa singula, et inspicit ac vix ita tandem somno se dedit. Ad debitores suos, fœnus sortis exacturus, cum testibus accedit; ne infitias videlicet ire possint. Vestem poliendam dealbandamque non ei dare solet, qui fullo sit optimus; sed ei, qui fidejussorem præbere possit idoneum. Quodsi quis pocula ab ipso commodato roget, solet ille, maxime quidem, non dare : *sed si familiaris est et necessarius qui illa petat, et nomen inscribit vasi, et ponderat, et vero interdum sponsorem quoque arcessit; ac tum demum commodat.* Puerum a pedibus jubet non a tergo sequi, sed ante se ambulare; ne possit ille inter eundum fugam capessere, hac ratione cavens. Postremo iis, qui, quum aliquid ab ipso sumserint, dicunt illi, Subduc summam et refer in rationes; non est enim otium mittendi, *Noli*, ait, *negotia tibi facessere; ipse enim, tuis si otium non est, te sequar.*

ΙΘʹ

ΔΥΣΧΕΡΕΙΑΣ.

Ἔστιν ἡ δυσχέρεια ἀθεραπευσία σώματος, λύπης παρασκευαστική· ὁ δὲ δυσχερὴς τοιοῦτός τις, οἷος λέπραν ἔχων καὶ ἀλφὸν καὶ τοὺς ὄνυχας μεγάλους περιπατεῖν· καὶ φῆσαι, ταῦτα εἶναι αὐτῷ συγγενικὰ ἀῤῥωστήματα, ἔχειν γὰρ [αὐτοῦ] καὶ τὸν πατέρα καὶ τὸν πάππον, [καὶ οὐκ εἶναι ῥᾴδιον εἰς τὸ γένος ὑποβάλλεσθαι]. Ἀμέλει δὲ δεινὸς καὶ ἕλκη ἔχειν ἐν τοῖς ἀντικνημίοις, καὶ προσπταίσματα ἐν τοῖς δακτύλοις, καὶ ταῦτα μὴ θεραπεῦσαι, ἀλλ' ἐᾶσαι θηριωθῆναι· καὶ τὰς μασχάλας θηριώδεις καὶ δασείας ἔχειν ἄχρι ἐπὶ πολὺ τῶν πλευρῶν· καὶ τοὺς ὀδόντας μέλανας καὶ ἐσθιομένους, ὥστε δυσέντευκτος εἶναι καὶ ἀηδής· καὶ τὰ τοιαῦτα. Ἐσθίων ἀπομύττεσθαι· ἅμα δ' ἀρξάμενος προσλαλεῖν καὶ ἀποῤῥίπτειν ἀπὸ τοῦ στόματος, ἅμα πιὼν προσερυγγάνειν· [ἀναπίπτοντος ἐν τοῖς στρώμασι μετὰ τῆς γυναικὸς αὐτοῦ κοιμᾶσθαι]. Ἐλαίῳ σαπρῷ ἐν βαλανείῳ χρώμενος [σφύζεσθαι]. Καὶ [χιτωνίσκον παχὺν καὶ] ἱμάτιον [σφόδρα λέπτον καὶ] κηλίδων μεστὸν ἀναβαλόμενος, εἰς ἀγορὰν ἐξελθεῖν. [Reliqua leguntur in fine Char. XI.]

XIX

FŒDITATIS.

Fœditas est corporis incuria et illuvies hominibus molesta. Homo fœdus is est, qui lepra et vitiligine laborans, unguesque habens prælongos, inter homines versetur : ac dicat, gentiles sibi esse hos morbos; nam et patrem *suum* et avum fuisse eis obnoxios; *neque facile quenquam alienum posse in ipsius familiam sese ingerere.* Solet etiam ulcera in tibiis, et in digitis tubercula ex offensione contracta habens, nullam eis medicinam facere; sed sinere, donec incurabilia reddantur. Axillas ferarum more hirsutas, pilis magnam laterum partem occupantibus, habet; dentes vero nigros atque exesos, ut molestus sit et insuavis cum eo congressus; et alia his convenientia. Nares inter comedendum mungit; et quum edere inceperit, colloqui, et ex ore quædam emittere solet; inter bibendum, eructare : *deinde satis appotus in ipsis stragulis triclinii cum uxore sua concumbit.* Oleo in balneis rancido utens *se agitare non veretur.* Et *subucula crassa et* veste *vehementer trita et* maculis inquinata amictus, in forum prodit.

Κ′

ΑΗΔΙΑΣ.-

Ἔστιν ἡ ἀηδία, ὡς ὅρῳ περιλαβεῖν, ἔντευξις λύπης ποιητικὴ ἄνευ βλάβης· ὁ δὲ ἀηδὴς τοιοῦτός τις, οἷος ἐγείρειν ἄρτι καθεύδοντα εἰσελθὼν, ἵνα αὐτῷ λαλῇ καὶ ἀνάγεσθαι ἤδη μέλλοντας κωλύειν, καὶ προσελθὼν δεῖσθαι ἐπισχεῖν ἕως ἂν ἀποπατήσῃ. Καὶ τὸ παιδίον τῆς τιτθῆς ἀφελόμενος, μασσώμενος σιτίζειν αὐτὸς, καὶ ὑποκορίζεσθαι ποππύζων, [καὶ πανοῦργον τοῦ πάππου καλῶν]. Καὶ ἐσθίων ἅμα διηγεῖσθαι, ὡς ἐλλέβορον πιὼν ἄνω καὶ κάτω καθαρθείη, καὶ ζωμοῦ τοῦ παρακειμένου ἐν τοῖς ὑποχωρήμασιν αὐτῷ μελαντέρα ἡ χολή. Καὶ ἐρωτῆσαι δὲ δεινὸς ἐναντίον τῶν οἰκείων, [Εἰπὲ μάμμη, ὅτ' ὤδινες καὶ] ἔτικτές με, ποία [τις] ἡμέρα, [καὶ ὑπὲρ αὐτῆς δὲ λέγειν, ὡς ἡδύς ἐστι· καὶ ἀμφότερα οὐκ ἔχοντα οὐ ῥάδιον ἄνθρωπον συλλαβεῖν.] Καὶ * * * ὅτι ψυχρὸν ὕδωρ παρ' αὐτῷ λακκαῖον, [ὥστε [ἀεὶ τὸν οἶνον] εἶναι ψυχρόν·] καὶ ὡς κῆπος λάχανα πολλὰ ἔχων καὶ ἁπαλὰ, [καὶ μάγειρος εὖ τὸ ὄψον σκευάζων·] καὶ ξενίζων δὲ, ὅτι ἡ οἰκία αὐτοῦ πανδοχεῖόν ἐστι· [μεστὴν γὰρ ἀεί· καὶ τοὺς φίλους αὐτοῦ εἶναι τὸν τετρημένον πίθον· εὖ ποιῶν γὰρ αὐτοὺς οὐ δύνασθαι ἐμπλῆσαι·] καὶ δεῖξαι τὸν παράσιτον αὐτοῦ, ποῖός τις [ἐστι, τῷ συνδειπνοῦντι]· καὶ παρακαλῶν δὲ ἐπὶ τοῦ ποτηρίου [εἰπεῖν,] ὅτι [τὸ] τέρψον τοὺς παρόντας [παρεσκεύασται, καὶ ὅτι αὐτὴν, ἐὰν κελεύσωσιν, ὁ παῖς μέτεισι παρὰ τοῦ πορνοβοσκοῦ ἤδη, Ὅπως πάντες ὑπ' αὐτῆς αὐλώμεθα καὶ εὐφραινώμεθα].

ΚΑ′

ΜΙΚΡΟΦΙΛΟΤΙΜΙΑΣ.

Ἡ δὲ μικροφιλοτιμία δόξειεν ἂν εἶναι ὄρεξις τιμῆς ἀνελεύθερος· ὁ δὲ μικροφιλότιμος τοιοῦτός τις, οἷος σπουδάσαι, ἐπὶ δεῖπνον κληθεὶς, παρ' αὐτὸν τὸν καλέσαντα κατακείμενος δειπνῆσαι· καὶ τὸν υἱὸν ἀποκεῖραι ἀναγαγὼν εἰς Δελφούς· καὶ ἐπιμεληθῆναι δὲ, ὅπως αὐτῷ ὁ ἀκόλουθος Αἰθίοψ ἔσται· καὶ ἀποδιδοὺς μνᾶν ἀργυρίου, καινὸν ποιῆσαι ἀποδοῦναι. [Καὶ κολοιῷ δὲ ἔνδον τρεφομένῳ δεινὸς κλιμάκιον πρίασθαι, καὶ ἀσπίδιον χαλκοῦν ποιῆσαι, ὃ ἔχων ἐπὶ τοῦ κλιμακίου ὁ κολοιὸς πηδήσεται.] Καὶ βοῦν θύσας, τὸ προμετωπίδιον ἀπαντικρὺ τῆς εἰσόδου προσπατταλεῦσαι, στέμμασι μεγάλοις περιδήσας, ὅπως οἱ εἰσιόντες ἴδωσιν, ὅτι βοῦν ἔθυσε. Καὶ πομπεύσας δὲ μετὰ τῶν ἱππέων, τὰ μὲν ἄλλα πάντα δοῦναι τῷ παιδὶ ἀπενεγκεῖν οἴκαδε, ἀναβαλόμενος δὲ θοἰμάτιον [ἐν τοῖς μύωψιν] ἐς τὴν ἀγορὰν περιπατεῖν. Καὶ κυναρίου δὲ [Μελιταίου] τελευτήσαντος, αὐτῷ μνῆμα καὶ στηλίδιον ποιήσας ἐπιγράψαι ΚΛΑΔΟΣ ΜΕΛΙΤΑΙΟΣ. Καὶ ἀναθεὶς δακτύλιον χαλκοῦν ἐν τῷ Ἀσκληπιείῳ, τοῦτον ἐκτρίβειν στεφανῶν, καὶ ἀλείφειν ὁσημέραι. Ἀμέλει δὲ καὶ συνδιοικήσασθαι παρὰ τῶν πρυτάνεων,

XX

INSUAVITATIS SIVE TÆDII.

Tædium, si definire velis, est molestus absque damno congressus. Homo tædiosus est, qui vix incipientem dormire excitet, ingressus ut cum eo colloquatur; et qui iis, qui in eo jam sunt ut navim solvant, moram afferat, accedens et exspectare jubens, donec ventrem exoneraverit. Infantem etiam puerum nutrici suæ adimens, ipse mansum ei cibum in os inseret, et blandule compellans, poppysmis permulcebit *et patris ..... vocabit.* Inter edendum narrat, se, helleboro accepto, quæ in visceribus hærerent, ejecisse dejecisseque : tum addit, in effusis bilem fuisse jure apposito magis atram. *A matre,* præsentibus familiaribus, quæsiverit, *Dic mater, quando parturiebas et* edebas me, qualisnam illa erat dies? *deinde pro ea sibi responderit, At quam suavi sum simplicitate! quasi vero homo qui non utraque fert, illa facile possit assequi ....* Idem [in lauto convivio] narrat, domi sibi esse aquam in cisterna frigidam, *ut vinum ipsi sit, quando velit, frigidum;* et hortum qui olera ferat multa et tenera; *denique coquum qui eximie condiat obsonia.* Et quum peregrinos hospitio excipit, domum suam dicit esse publicum deversorium; *nam nullo non tempore esse plenam; porro, amicos suos esse pertusum illud in fabulis dolium; non posse enim se beneficiis illos explere;* deinde parasitum suum producit et monstrat *convivæ* qualis sit; et in compotatione convivas excitans addit, *Paratum est* quod oblectabit præsentes; *quum primum jusseritis, ilico puer ab lenone arcesset tibicinam, quæ nos omnes cantu et lætitia perfundat.*

XXI

FRIVOLÆ AMBITIONIS.

Μικροφιλοτιμία, quam possis Latine dicere ineptam ac circa res parvas versantem ambitionem, ea est honoris cupido illiberalis. Homo vero inepte ambitiosus is est, qui ad cœnam vocatus, convivatori ipsi studeat adsidere; qui filium Delphos abducat, ubi comam ponat; qui operam det, ut pedissequum habeat genere Æthiopem; qui etiam, si minam argenti velit solvere, laboret ut reddat in aspero. *Atque adeo, si forte graculum intus alit, scalulam emerit ei et clypeolum confici jusserit æneum, quem tenens in scalula graculus exsultet.* Et si bovem sacrificarit, solet anteriorem capitis ejus partem, magnis redimitam sertis, pro foribus, in ipso introitu, figere; ut intelligant, quicumque ingredientur, esse ab ipso bovem mactatum. Atque ubi pompam cum equitibus duxit, reliquis omnibus puero traditis, qui ea domum referat, ipse cum trabea *et calcaribus* in forum pergit, atque ibi deambulat; quumque illi parvulus canis *Melitensis* fuerit mortuus, monumentum ei faciet, ascriptis etiam in columella his verbis : SURCULUS MELITENSIS. Jam quum æreum annulum in Æsculapii templo consecrarit, appensis subinde novis coronis, totum atteret, et unguentis oblinet quotidie. Sane etiam cum Pry-

ὅπως ἀπαγγείλῃ τῷ δήμῳ τὰ ἱερά· καὶ παρεσκευασμένος λαμπρὸν ἱμάτιον καὶ ἐστεφανωμένος παρελθὼν εἰπεῖν, Ὦ ἄνδρες Ἀθηναῖοι, ἐθύομεν οἱ πρυτάνεις τῇ μητρὶ τῶν θεῶν· καὶ τὰ μὲν ἱερὰ αἴσια καὶ καλά, καὶ ὑμεῖς δέχεσθε τὰ ἀγαθά· καὶ ταῦτα ἀπαγγείλας, ἀπιὼν διηγήσασθαι οἴκαδε τῇ ἑαυτοῦ γυναικὶ, ὡς καθ' ὑπερβολὴν εὐημερεῖ..... [Ex Char. V.] Καὶ πλειστάκις δὲ ἀποκείρασθαι, καὶ τοὺς ὀδόντας λευκοὺς ἔχειν, καὶ τὰ ἱμάτια δὲ χρηστὰ μεταβάλλεσθαι, καὶ χρίσματι ἀλείφεσθαι. Καὶ τῆς μὲν ἀγορᾶς πρὸς τὰς τραπέζας προσφοιτᾶν, τῶν δὲ γυμνασίων ἐν τούτοις διατρίβειν, οὗ ἂν ἔφηβοι γυμνάζωνται· τοῦ δὲ θεάτρου καθῆσθαι, ὅταν ᾖ θέα, πλησίον τῶν στρατηγῶν. Καὶ ἀγοράζειν αὐτὸν μὲν μηδὲν, ξένοις δὲ εἰς Βυζάντιον ἐπιστάλματα, καὶ Λακωνικὰς κύνας εἰς Κύζικον, καὶ μέλι Ὑμήττιον εἰς Ῥόδον· καὶ ταῦτα ποιῶν τοῖς ἐν τῇ πόλει διηγεῖσθαι. Ἀμέλει δὲ καὶ πίθηκον θρέψαι δεινὸς, καὶ τίτυρον κτήσασθαι, καὶ Σικελικὰς περιστερὰς, καὶ δορκαδείους ἀστραγάλους, καὶ Θουριακὰς τῶν στρογγύλων ληκύθους, καὶ βακτηρίας τῶν σκολιῶν ἐκ Λακεδαίμονος, καὶ αὐλαίαν ἔχουσαν Πέρσας ἐνυφασμένους· καὶ αὐλίδιον παλαιστριαῖον κόνιν ἔχον, καὶ σφαιριστήριον· καὶ τοῦτο περιιὼν χρᾷν ἀεὶ τοῖς φιλοσόφοις, τοῖς σοφισταῖς, τοῖς ὁπλομάχοις, τοῖς ἁρμονικοῖς ἐπιδείκνυσθαι· καὶ αὐτὸς ἐν ταῖς ἐπιδείξεσιν ὕστερον ἔπεισιν, ἐπὶ [τῷ εἰπεῖν τινα] τῶν θεωμένων πρὸς ἕτερον, ὅτι Τούτου ἐστὶν ἡ παλαίστρα.

tanibus comparabit et impetrabit ab iis, ut populo renunciare possit eventum rei divinæ : itaque candidatus, et coronatus in concionem prodit, et infit : Nos prytanes, o Athenienses, Matri Deûm sacra rite fecimus, et perlitavimus : vos igitur fausta hæc excipite. His ita renunciatis, domum revertitur : deinde uxori narrat, sibi prospere supra modum res succedere...... Comam sæpius solet tondere; dentes nitidos habere; vestes quæ usui adhuc esse possint, mutare; unguento se perlinere. Ac fori quidem in eam maxime partem ventitat, ubi sunt argentariorum mensæ; gymnasia vero illa frequentat, in quibus se ephebi exercent; in theatro autem juxta ipsos prætores sedet. Idem in foro ipse quidem nihil sibi emit, sed hospitibus, qui Byzantii sunt, mittenda munera emptitat; et Laconicas canes, quas Cyzicum; et mel Hymettium, quod Rhodum mittat : atque hæc se facere narrat civibus suis. Præterea solet idem simiam domi alere; phasianam avem emere, et columbas Siculas, et talos e dorcadum cornu, et Thuriacas ampullas ex illis quæ forma sunt rotunda, item scipiones ex incurvis Lacedæmone advectos, nec non aulæum cui sint Persæ intexti : habet etiam idem parvulum atrium ad luctas pulvere respersum, et sphæristerium : et has ædium suarum partes solet ille obvio cuique, vel e philosophorum grege, vel sophistarum, vel eorum qui se armis, aut musico cantu exercent, commodare, ut ibi artis suæ periculum faciant; quod quidem dum illi faciunt, ipse postea supervenit, quo spectatorum alius alii dicat, Eccum tibi, cujus est hæc palæstra!

ΚΒ'

ΑΝΕΛΕΥΘΕΡΙΑΣ.

Ἡ δὲ ἀνελευθερία ἐστὶ περιουσία ἀφιλοτιμίας δαπάνης ἔχουσα· ὁ δὲ ἀνελεύθερος τοιοῦτός τις, οἷος νικήσας τραγῳδοῖς ταινίαν ἀναθεῖναι ξυλίνην τῷ Διονύσῳ, ἐπιγράψας αὑτοῦ τὸ ὄνομα· καὶ ἐπιδόσεων γινομένων ἐκ τοῦ δήμου, ἀναστὰς σιωπῇ ἐκ τοῦ μέσου ἀπελθεῖν. Καὶ ἐκδιδοὺς αὑτοῦ θυγατέρα, τοῦ μὲν ἱερείου, πλὴν τῶν ἱερῶν, τὰ κρέα ἀποδίδοσθαι· τοὺς δὲ διακονοῦντας ἐν τοῖς γάμοις οἰκοσίτους μισθώσασθαι. Καὶ τριηραρχῶν τὰ τοῦ κυβερνήτου στρώματα ἐπὶ τοῦ καταστρώματος ὑποστορέννυσθαι, τὰ δὲ αὑτοῦ ἀποτιθέναι. [Καὶ τὰ παιδία δὲ δεινὸς μὴ πέμψαι εἰς διδασκάλου, ὅταν ᾖ τὰ παιδομουσεῖα, ἀλλὰ φῆσαι κακῶς ἔχειν, ἵνα μὴ συμβάλλωνται.] Καὶ ἐξ ἀγορᾶς δὲ ὀψωνήσας, τὰ κρέα αὐτὸς φέρειν καὶ τὰ λάχανα ἐν τῷ προκολπίῳ· καὶ ἔνδον μένειν, ὅταν ἐκδῷ θοἰμάτιον ἐκπλῦναι. Καὶ φίλου ἔρανον συλλέγοντος [καὶ διειλεγμένου αὐτῷ, προσιόντα] προϊδόμενος, ἀνακάμψας ἐκ τῆς ὁδοῦ [κύκλῳ] οἴκαδε πορευθῆναι. Καὶ [τῇ γυναικὶ δὲ τῇ ἑαυτοῦ προῖκα εἰσενεγκαμένῃ] μὴ πρίασθαι θεραπαίνας, ἀλλὰ μισθοῦσθαι εἰς τὰς ἐξόδους [τὰς γυναικείας παιδίον συνακολουθῆσον. Καὶ τὰ ὑποδήματα ἥλων ἐμπλήξει κεκαττυμένα φορεῖν, καὶ λέγειν, ὅτι κέρατος οὐδὲν διαφέρει.] Καὶ ἀναστὰς τὴν οἰκίαν ἐκκορῆσαι καὶ τὰς κλίνας καλ-

---

XXII

ILLIBERALITATIS.

Illiberalitas est nimius quidam, præ studio parcendi sumtibus, famæ contemtus. Illiberalis autem is est, qui, si e tragico certamine victoriam reportarit, tæniam Baccho ligneam consecret, in qua nomen ipsius sit inscriptum : qui etiam, quum necessario reipublicæ tempore, pecuniæ a civibus extra ordinem conferuntur, in concione surgens tacite de medio recedat. Filiam suam nuptum collocans, mactatæ victimæ carnes omnes, iis exceptis, ex quibus fiunt sacra, vendit; et ad ministrandum in nuptiis mercede conductos adhibet, qui suo quisque cibo domo allato vescantur. Triremi præfectus, quam instruxit, gubernatoris stragulis tabulata sternet, suis interea uti parcens. *Idem puerulos suos eo die non mittit in scholam, quo festa scholastica celebrantur, ægrotos esse dicens, quo ne symbolam conferant.* E foro, postquam obsonatus est, rediens, carnes ipse gestat, atque olera in sinu. Vestem quando a sordibus purgandam locavit, domi tantisper se continet. Quod si quis amicorum ejus eranum colligat *et hoc se facturum in colloquio ante ipsi significarit,* eum si *accedentem ad se* præviderit, statim deflectens ex itinere instituto, *per ambages* domum tendit. *Uxori suæ, quæ dotem ipsi attulit,* pedissequas emit ille quidem nullas; sed, quæ in publicum prodeuntem *per pomparum dies comitetur,* mercede conducit *ancillulam. Idem soleas gestat clavis probe suppactas, et dicere solet, Nihil hæc differunt ab ungulæ firmitate.* Mane ubi surrexit, domum ipse verrit, lectosque detergit. Et consi-

λῦναι· καὶ καθεζόμενος παραστρέψαι τὸν τρίβωνα, ὃν αὐτὸς φορεῖ.

dens pallium vile, quod portat ipse, complicare (et substernere sibi).

ΚΓ'

ΑΛΑΖΟΝΕΙΑΣ.

Ἀμέλει δὲ ἡ ἀλαζονεία δόξειεν ἂν εἶναι προσδοχία τις ἀγαθῶν οὐκ ὄντων· ὁ δὲ ἀλαζὼν τοιοῦτός τις, οἷος ἐν τῷ διαζεύγματι ἑστηκὼς διηγεῖσθαι ξένοις, ὡς πολλὰ χρήματα αὐτῷ ἐστιν ἐν τῇ θαλάττῃ· καὶ περὶ τῆς ἐργασίας τῆς δανειστικῆς διεξιέναι, ἡλίκη, καὶ αὐτὸς ὅσα εἴληφε [καὶ ἀπολώλεκε· καὶ ἅμα ταῦτα πλεθρίζων πέμπειν τὸ παιδάριον ἐπὶ τὴν τράπεζαν, δραχμῆς αὐτῷ κειμένης]. Καὶ συνοδοιπόρου δὲ ἀπολαύσας, ἐν τῇ ὁδῷ [δεινὸς] λέγειν, ὡς μετ' Εὐάνδρου ἐστρατεύσατο, [καὶ ὡς αὐτῷ εἶχε·] καὶ ὅσα λιθοκόλλητα ποτήρια ἐκόμισε· καὶ περὶ τῶν τεχνιτῶν τῶν ἐν τῇ Ἀσίᾳ, ὅτι βελτίους εἰσὶ τῶν ἐν τῇ Εὐρώπῃ, ἀμφισβητῆσαι, [καὶ ταῦτα ψοφῆσαι, οὐδαμοῦ ἐκ τῆς πόλεως ἀποδεδημηκώς]. Καὶ γράμματα δὲ εἰπεῖν ὡς πάρεστι παρὰ Ἀντιπάτρου, τρίτον δὴ λέγοντα παραγίνεσθαι αὐτὸν εἰς Μακεδονίαν· καὶ διδομένης αὐτῷ ἐξαγωγῆς ξύλων ἀτελοῦς, εἰπεῖν ὅτι ἀπείρηται, ὅπως μηδ' ὑφ' ἑνὸς συκοφαντηθῇ· [Περαιτέρω φιλοσοφεῖν προσῆκε Μακεδόσι.] Καὶ ἐν τῇ σιτοδείᾳ δὲ ὡς πλείω ἢ πέντε τάλαντα γένοιτο αὐτῷ τὰ ἀναλώματα, διδόντι τοῖς ἀπόροις τῶν πολιτῶν· [ἀνανεύειν γὰρ οὐ δύνασθαι·] καὶ ἀγνώστων δὲ παρακαθημένων, κελεῦσαι θεῖναι τὰς ψήφους [ἕνα αὐτῶν] καὶ ποσοῦν αὐτάς· εἶθ' ἑξακοσίους [ἐξαριθμήσας] κατὰ μνᾶν, καὶ προστιθεὶς πιθανῶς ἑκάστοις τούτων ὀνόματα, ποιῆσαι δέκα τάλαντα· καὶ τοῦτο φῆσαι εἰσενηνοχέναι εἰς ἐράνους αὐτόν· καὶ τὰς τριηραρχίας εἰπεῖν ὅτι οὐ τίθησιν, οὐδὲ τὰς λειτουργίας ὅσας λελειτούργηκε. Καὶ προσελθὼν δὲ τοῖς ἵππους τοὺς ἀγαθοὺς πωλοῦσι, προσποιήσασθαι ὠνητιᾶν· καὶ ἐπὶ τὰς κλίνας ἐλθὼν, ἱματισμὸν ζητῆσαι εἰς δύο τάλαντα, καὶ τῷ παιδὶ μάχεσθαι, ὅτι τὸ χρυσίον οὐκ ἔχων αὐτῷ ἀκολουθεῖ. Καὶ ἐν μισθωτῇ οἰκίᾳ οἰκῶν, φῆσαι ταύτην εἶναι τὴν πατρῴαν πρὸς τὸν μὴ εἰδότα· καὶ ὅτι μέλλει πωλεῖν αὐτὴν, διὰ τὸ ἐλάττω εἶναι αὐτῷ πρὸς τὰς ξενοδοχίας.

XXIII

OSTENTATIONIS.

Ostentatio dici queat inanis bonorum quorundam, quæ non adsint, prædicatio, alios in eam opinionem adducere studens. Ostentator autem ejusmodi est, qui in mole portus stans, peregrinis narret, multam se pecuniam trajectitiam habere : et de toto fœnebri quæstu longos sermones habeat, quantus ille sit, explicans, et quæ ipse lucra inde fecerit, *quæ damna : et de his dum (gloriatur), puerum ad mensarium mittit, apud quem drachmam fortasse collocatam habet.* Inter eundum, viæ comitem nactus, se sub Evandro [Alexandro] in nobili expeditione meruisse narrabit; *et quam familiariter eo fuerit usus;* et quam multa inde gemmata pocula reportarit : Asiaticos etiam artifices Europæis esse præstantiores, dissentientibus aliis, contendet : *quæ omnia crepabit, quum non usquam sit ex urbe peregre profectus.* Deinde literas ab Antipatro sibi esse allatas memorabit, quæ ipsum jam tertio invitent ut in Macedoniam veniat : præterea se, quum esset sibi materiæ concessa immunis exportatio, oblato beneficio uti noluisse, ut omnes omnium calumnias effugeret : *At longius, inquit, providere debebant Macedones (eo modo invidiæ me objicientes).* Eundem se in caritate annonæ amplius quinque talenta pauperibus civibus largientem insumsisse : *sibi enim datum non esse ut renuat.* Quodsi ignotis adsideat, *unum* aliquem *eorum* jubebit ponere calculos, et illorum quibus aliquid erogarit numerum inire : deinde sexcentos (enumerans), quorum unicuique dederit minam, nominibus singulorum probabiliter additis, efficiet ut decem talentorum summa tandem colligatur : quam omnem summam se inopibus sublevandis impendisse affirmabit; Et tamen, addit, in hac ratione non duco instructas a me triremes, quibus præfui; et alia, quibus reipublicæ caussa sum functus, munia sumtuosa. Idem, ad eos accedens, qui generosos equos vendunt, velle se emere simulat; et, in eam fori partem progressus, ubi tricliniares lecti cum veste stragula veneunt, vestem sibi ostendi jubet duûm talentorum, et puerum, quod se sine auro sequatur, graviter objurgat. Denique, in conducta domo habitans, si cum aliquo sermonem habeat, qui id ignoret, paternas esse has ædes dicet : quas ipse, quod sint ad hospites excipiendos angustiores, vendere cogitet.

ΚΔ'

ΥΠΕΡΗΦΑΝΙΑΣ.

Ἔστι δὲ ὑπερηφανία καταφρόνησίς τις πλὴν αὑτοῦ τῶν ἄλλων· ὁ δὲ ὑπερήφανος τοιόσδε τις, οἷος τῷ σπεύδοντι, ἀπὸ δείπνου ἐντεύξεσθαι φάσκειν ἐν τῷ περιπατεῖν· καὶ εὖ ποιήσας, [μὴ] μεμνῆσθαι [φάσκειν]· καὶ βιάζεσθαι ἐν ταῖς ὁδοῖς τὰς διαίτας κρίνειν [καὶ ἐν[τυχὼν] τοῖς ἐπιτρέψασι· καὶ χειροτονούμενος ἐξόμνυσθαι τὰς ἀρχὰς, οὐ φάσκων σχολάζειν]. Καὶ προσελθεῖν πρό-

---

XXIV

SUPERBIÆ.

Superbia est aliorum omnium, præterquam sui, contemtus. Homo superbus talis est : si quis eum propere conventum velit, a cœna se illum conventurum dicet, inter ambulandum. Si fuerit de quoquam bene meritus (atque ille gratias acturus accesserit), dicet se non meminisse. Arbiter captus, partes coget ut in via arbitrium suum accipiant *aut ubicumque casu offenderit illos qui litem suam ei permiserint. A populo creatus magistratum ejurabit, sibi non esse otium affirmans.* Prior ad

τερος οὐδενὶ θελῆσαι· καὶ τοὺς πωλοῦντάς τι καὶ μεμισθωμένους δεινὸς κελεῦσαι ἥκειν πρὸς αὐτὸν ἅμ' ἡμέρᾳ· καὶ ἐν ταῖς ὁδοῖς πορευόμενος μὴ λαλεῖν τοῖς ἐντυγχάνουσι, κάτω κεκυφώς· ὅταν δὲ αὐτῷ δόξῃ, [ἄνω πάλιν]. Ἑστιῶν τοὺς φίλους, αὐτὸς μὴ συνδειπνεῖν, ἀλλὰ τῶν ὑφ' αὑτόν τινι συντάξαι αὐτῶν ἐπιμελεῖσθαι. Καὶ προαποστέλλειν δὲ, ἐπὰν πορεύηται, τὸν ἐροῦντα, ὅτι προσέρχεται· καὶ οὔτ' ἐπ' ἀλειφόμενον αὐτὸν, [οὔτε λουόμενον,] οὔτε ἐσθίοντα ἐᾶσαι ἂν εἰσελθεῖν. Ἀμέλει δὲ καὶ λογιζόμενος πρός τινα, τῷ παιδὶ συντάξαι τὰς ψήφους διωθεῖν, καὶ κεφάλαιον ποιήσαντι γράψαι αὐτῷ εἰς λόγον. Καὶ ἐπιστέλλων μὴ γράψαι, ὅτι Χαρίζοιο ἄν μοι, ἀλλ' ὅτι Βούλομαι γενέσθαι· καὶ, Ἀπέσταλκα πρός σε ληψόμενος· καὶ, Ὅπως ἄλλως μὴ ἔσται, καὶ, Τὴν ταχίστην.

ΚΕ'

ΔΕΙΛΙΑΣ.

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ἂν εἶναι ὕπειξίς τις ψυχῆς ἔμφοβος· ὁ δὲ δειλὸς τοιοῦτός τις, οἷος πλέων τὰς ἄκρας φάσκειν ἡμιολίας εἶναι· καὶ κλυδωνίου γενομένου, ἐρωτᾶν, εἴ τις μὴ μεμύηται τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου ἀνακύπτων (μὲν) πυνθάνεσθαι, εἰ μεσοπορεῖ, καὶ τί αὐτῷ δοκεῖ τὰ τοῦ θεοῦ· καὶ πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι φοβεῖται ἀπὸ ἐνυπνίου τινός· καὶ ἐκδὺς διδόναι τῷ παιδὶ τὸν χιτωνίσκον· καὶ δεῖσθαι πρὸς τὴν γῆν προσάγειν αὐτόν. Καὶ στρατευόμενος δὲ [πεζῇ, ἐκβοηθοῦντάς τε] προσκαλεῖν [κελεύων] πρὸς αὑτὸν στάντας πρῶτον περιιδεῖν, καὶ λέγειν, ὡς ἔργον διαγνῶναί ἐστι, πότεροί εἰσιν οἱ πολέμιοι· καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας, εἰπεῖν πρὸς τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς σπουδῆς ἐπελάθετο, καὶ τρέχειν ἐπὶ τὴν σκηνήν· [καὶ] τὸν παῖδα ἐκπέμψας καὶ κελεύσας προσκοπεῖσθαι, ποῦ εἰσιν οἱ πολέμιοι, καὶ ἀποκρύψας αὐτὴν ὑπὸ τὸ προσκεφάλαιον, εἶτα διατρίβειν πολὺν χρόνον [ὡς ζητῶν]· καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν τινὰ προσφερόμενον τῶν φίλων, προσδραμὼν καὶ θαῤῥεῖν κελεύσας, [ὑπολαβὼν φέρειν·] καὶ τοῦτον θεραπεύειν καὶ περισπογγίζειν, καὶ [παρακαθήμενος ἀπὸ τοῦ ἕλκους τὰς] μυίας σοβεῖν, καὶ πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις· καὶ τοῦ σαλπιστοῦ δὲ τὸ πολεμικὸν σημήναντος, καθήμενος ἐν τῇ σκηνῇ [εἰπεῖν], Ἄπαγ' ἐς κόρακας, οὐκ ἐάσεις τὸν ἄνθρωπον ὕπνου λαβεῖν πυκνὰ σημαίνων; Καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος, ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι, καὶ διηγεῖσθαι, ὡς κινδυνεύσας ἕνα σέσωκε τῶν φίλων· καὶ εἰσάγειν πρὸς τὸν κατακείμενον σκεψομένους τοὺς δημότας καὶ φυλέτας· καὶ τούτων ἅμα ἑκάστῳ διηγεῖσθαι, ὡς αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

---

quemquam accedere nolet. Eos, qui vendunt aliquid ipsi, vel aliquid rerum illius conduxerunt, jubere non veretur, ut prima luce ad se veniant. Dum per vias ingreditur, obviorum neminem alloquitur, caput semper demittens; nonnunquam, si visum aliquando ei fuerit, *contra alte attollens.* Amicos convivio excipiens, ipse cum illis non cœnat, sed eorum alicui, quos habet in potestate, ut convivarum curam habeat, præcipit. Quum ad aliquem visit, præmittit qui dicat, Ille advenit. Quando vel aliptæ dat operam, *vel lavatur,* vel cibum sumit, neminem ad se sinit introire. Quin etiam, si cum aliquo rationes purgat, puero imperat, ut calculos raptim trajiciat : et ubi summam fecerit, ut alteri ferat expensum. In epistolis nunquam sic scripserit, Feceris mihi rem gratam : sed, Hoc fieri volo, et Misi ad te, ut accipiam; item, Ne aliter fiat, vide : et, Quam primum.

XXV

TIMIDITATIS.

Enimvero timiditas videri queat dejectio animi meticulosa. Homo timidus ejusmodi est : navigans dicet, promontoria esse piraticas naves; ad minimam fluctuum agitationem quæret, sintne, qui navigant, omnes initiati. Ex gubernatore cœlum suspiciens quærit, an medium cursum teneat navis, et quid a deo speret aut metuat : et assidenti narrat, se ex insomnio terreri; indusium deinde exuit, et puero tradit; nautas, ut se ad terram admoveant, orat. In *pedestri* militia idem commilitones, *qui jam in eo sunt ut pugnam conserant,* ad se vocat, circumspicere jubens prope se stantes, et, Opus est, inquit, ut dignoscatis prius, utri illorum sint hostes. Deinde clamore audito, et visis qui caderent, astantibus dicit, se præ festinatione oblitum esse spatham sumere; et in tentorium curriculo se recipit; puerum inde mittit, jussum, ubi sint hostes, diligenter speculari : interea spatham sub pulvino abscondit; deinde *velut in ea quærenda* longum tempus terit. Jam ex tentorio videns vulneratum aliquem ex amicis deferri, accurrit, et habere bonum animum jubet, *suscipit et fert ipse;* hunc curat, et saniem spongia effingit, et *assidens a vulnere* muscas abigit; quidvis denique potius facit, quam ut cum hostibus pugnet. Æneatore subinde classicum canente, sedens ipse in tentorio, Abi, inquit, in malam rem! hunc hominem paullum somni capere non sines, qui adeo frequenter signum des? Ac sanguine de alieno vulnere plenus, ad reversos e pugna accedit narrans, se cum suo periculo unum ex amicis servasse; et ad jacentem tribules ejus popularesque introducit, qui eum visant : simul horum singulis narrat, se illum suis ipsius manibus in tentorium portasse.

ΚϚʹ

ΟΛΙΓΑΡΧΙΑΣ.

Δόξειεν ἂν εἶναι ἡ ὀλιγαρχία φιλαρχία τις ἰσχυρῶς κράτους γλιχομένη· ὁ δὲ ὀλιγαρχικὸς τοιοῦτος, οἷος τοῦ δήμου βουλομένου τῷ ἄρχοντι τινὰς [προσαιρεῖσθαι] τῆς πομπῆς τοὺς συνεπιμελησομένους, παρελθὼν ἀποφήνασθαι, [ὡς δεῖ αὐτοκράτορας τούτους εἶναι· κἂν ἄλλοι προβάλλωνται δέκα, λέγειν, Ἱκανὸς εἷς ἐστιν.] Καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέχειν, ὅτι

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω·

τῶν δ' ἄλλων μηδὲν ἐπίστασθαι. Ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις τῶν λόγων χρήσασθαι, ὅτι Δεῖ [αὐτοὺς] ἡμᾶς συνελθόντας [περὶ τούτων] βουλεύσασθαι, καὶ ἐκ τοῦ ὄχλου καὶ τῆς ἀγορᾶς ἀπαλλαγῆναι, καὶ παῦσαι τοὺς ἀρχαῖς πλησιάζοντας. Καὶ ὑπὸ [τούτων αὐτὸς] ὑβριζόμενος [ἢ ἠτιμωμένος, ὅτι Ἢ τούτους] δεῖ ἢ ἡμᾶς οἰκεῖν τὴν πόλιν. Καὶ [τὸ] μέσον δὲ τῆς ἡμέρας ἐξιὼν [καὶ τὸ ἱμάτιον ἀναβεβλημένος,] καὶ μέσην κουρὰν κεκαρμένος, καὶ ἀκριβῶς ἀπωνυχισμένος, σοβεῖν, τοὺς τοιούτους λόγους [λέγων], [Διὰ τοὺς συκοφάντας] οὐκ οἰκητέον ἐστὶν ἐν τῇ πόλει· καὶ ὡς Ἐν τοῖς δικαστηρίοις δεινὰ πάσχομεν ὑπὸ τῶν δικαζομένων· [καὶ ὡς θαυμάζει τῶν πρὸς τὰ κοινὰ προσιόντων, τί βούλονται· καὶ ὡς ἀχάριστόν ἐστι [τὸ πλῆθος καὶ ἀεὶ] τοῦ νέμοντος καὶ διδόντος·] καὶ ὡς αἰσχύνεται ἐν τῇ ἐκκλησίᾳ, ὅταν τις παρακάθηται αὐτῷ λεπτὸς καὶ αὐχμῶν· [καὶ εἰπεῖν, Πότε παυσόμεθα ὑπὸ τῶν λειτουργιῶν καὶ τῶν τριηραρχιῶν ἀπολλύμενοι;] καὶ ὡς μισητὸν τὸ τῶν δημαγωγῶν γένος, τὸν Θησέα πρῶτον φήσας τῶν κακῶν τῇ πόλει γεγονέναι [αἴτιον· τοῦτον γὰρ ἐκ δώδεκα πόλεων καταγαγόντα * * λυθεῖσαι * βασιλείαν· καὶ δίκαια παθεῖν· πρῶτον γὰρ αὐτὸν ἀπολέσθαι ὑπ' αὐτῶν·] καὶ τοιαῦτα ἕτερα πρὸς τοὺς ξένους καὶ τῶν πολιτῶν τοὺς ὁμοιοτρόπους [καὶ ταὐτὰ προαιρουμένους].

XXVI

OLIGARCHIÆ.

Videri possit oligarchia, vehemens esse honorum et potentiæ cupiditas. Oligarchi, sive optimatis, hi sunt mores: quum populus magistratui in curatione pompæ socios addere constituit, prodit ipse, *debere eos suæ auctoritatis esse* pronuncians *nec rationibus reddendis obnoxios; ac si decem viros alii proponant, dicit, Sufficit unus.* Homeri versuum tenet solum hunc unum:

Non multos regnare bonum est; rex unicus esto;

reliquorum omnium nihil scit. Solet quoque hoc genus sermonibus uti: Oportet *nos soli* in unum collecti *de hisce* consulamus, et turba hac forensi nos liberemus, aditumque illi ad magistratus præcludamus. *Ex his* si qui *ipsum* injuria affecerint *aut honoribus ejus illuserint, Aut horum,* inquit, esse debet aut nostrum, hanc urbem incolere. Meridie prodit in publicum, *pallio concinne collecto,* tonsuræ medio genere detonsus, unguibusque cum cura præcisis, jactans se per forum, aitque, *Propter sycophantas* nemo habitare potest in hac urbe; et, In judiciis plurimum nobis a litigantibus negotii facessitur; *præterea se mirari quid sibi velint qui ad res publicas administrandas accedant; et, ingratam esse multitudinem; semper ex præbente et largiente pendentem;* item, pudore sibi frontem suffundi, quotiescumque ipsi in concione aliquis assideat male habitus et squalidus. *Etiam hoc dicit: Quando tandem desinemus exhauriri præbitionibus publieis et instruendis triremibus?* et, universum oratorum genus, qui in republica versantur, odio dignum esse: ipsum Theseum, horum malorum omnium civitati exstitisse *auctorem: illum enim, plebe ex duodecim oppidis in urbem deducta, regiam potestatem deposuisse: atque condignas dedisse pœnas; nam primum ipsum periisse ab istis.* Hos atque ejusmodi sermones ille habet apud hospites civiumque illos qui iisdem moribus sunt *et eandem sectam sequuntur.*

ΚΖʹ

ΟΨΙΜΑΘΙΑΣ.

Ἡ δὲ ὀψιμαθία φιλοπονία δόξειεν ἂν εἶναι ὑπὲρ τὴν ἡλικίαν· ὁ δὲ ὀψιμαθὴς τοιοῦτός τις, οἷος ῥήσεις μανθάνειν ἑξηκονταέτης γεγονώς, καὶ ταύτας λέγων παρὰ πότον, ἐπιλανθάνεσθαι. Καὶ παρὰ τοῦ υἱοῦ μανθάνειν τὸ ἐπὶ δόρυ καὶ ἐπὶ ἀσπίδα [καὶ ἐπὶ οὐράν· καὶ εἰς ἡρῷα συμβάλλεσθαι τοῖς μειρακίοις, καὶ λαμπάδα τρέχειν. Ἀμέλει δέ, κἂν που κληθῇ εἰς Ἡρακλεῖον, ῥίψας τὸ ἱμάτιον, τὸν βοῦν αἱρεῖσθαι, ἵνα τραχηλίσῃ. Καὶ προσανατρίβεσθαι εἰσελθὼν εἰς τὰς παλαίστρας. Καὶ ἐν τοῖς θαύμασι τρία ἢ τέτταρα πληρώματα ὑπομένειν, τὰ ᾄσματα ἐκμανθάνων. Καὶ τελούμενος τῷ Σαβαζίῳ, σπεῦσαι, ὅπως καλλιστεύσῃ, παρὰ τῷ ἱερεῖ. Καὶ ἐρῶν ἑταίρας καὶ κριοὺς προσβάλλων ταῖς

XXVII

SERÆ INSTITUTIONIS.

Seræ institutionis appetentia est desiderium capiendi cultus melioris, vergente jam ætate. Ejusmodi homini hæc conveniunt: annos sexaginta natus poetarum versus memoriæ mandat; et hos ad pocula recitare incipiens, obliviscitur. Discit a filio, quomodo fiat in acie conversio ad dextra, quomodo item ad sinistra, *quomodo retrorsum. Cum adolescentibus symbola confert ad heroum festa celebranda, et facem gestans cursum cum iis peragit. Atque adeo, si forte ad Herculis festum vocatus est, abjecto pallio, bovi manum injicit, ut cervicem rumpat. Et cum juvenibus luctatur, palæstras ingressus. Quando præstigiæ exhibentur, sustinet dum ter aut quater colligatur corona, cantus joculatorum ediscens. Sabazii sacris initiatur, et operam dat apud sacerdotem, ut pulchrum se exhibeat. Idem amat, et amicæ*

θύραις, καὶ πληγὰς εἰληφὼς ὑπ' ἀντεραστοῦ, δικάζεσθαι.] Καὶ εἰς ἀγρὸν ἐφ' ἵππου ἀλλοτρίου κατοχούμενος, ἅμα μελετᾷν ἱππάζεσθαι, καὶ πεσὼν τὴν κεφαλὴν κατεαγέναι. [Καὶ ἐν δεκά [ταις * αὐ]ληταῖς συνάγειν τοὺς μετ' αὐτοῦ συνάξοντας.] Καὶ μακρὸν ἀνδριάντα παίζειν πρὸς τὸν ἑαυτοῦ ἀκόλουθον· καὶ διατοξεύεσθαι καὶ διακοντίζεσθαι [τῷ τῶν παίδων παιδαγωγῷ], καὶ ἅμα μανθάνειν [κελεύειν] παρ' αὐτοῦ, ὡς ἂν καὶ ἐκείνου μὴ ἐπισταμένου. Καὶ παλαίων δ' ἐν τῷ βαλανείῳ πυκνὰ τὴν ἕδραν στρέφειν, [ὅπως πεπαιδεῦσθαι δοκῇ. Καὶ ὅταν [παρ]ῶσι γυναῖκες, μελετᾷν ὀρχεῖσθαι, αὐτὸς αὑτῷ τερετίζων].

ΚΗ'

ΚΑΚΟΛΟΓΙΑΣ.

Ἔστι δὲ ἡ κακολογία ἀγὼν τῆς ψυχῆς εἰς τὸ χεῖρον ἐν λόγοις· ὁ δὲ κακολόγος τοιόσδε τις, οἷος ἐρωτηθείς, Ὁ δεῖνα τίς ἐστι; καθάπερ οἱ γενεαλογοῦντες, εἰπεῖν, Πρῶτον ἀπὸ τοῦ γένους αὐτοῦ ἄρξομαι [τούτου· ἔστι δὲ ἡ γενεαλογία ἥδε·] ὁ μὲν πατὴρ ἐξ ἀρχῆς Σωσίας ἐκαλεῖτο· ἐγένετο δ' ἐν τοῖς στρατιώταις Σωσίστρατος, ἐπειδὴ εἰς τοὺς δημότας ἐνεγράφη * * ἡ μέντοι μήτηρ εὐγενὴς Θρᾷττα ἐστί· [καλεῖται γοῦν ἡ ψυχὴ Κρινοκόρακα,] τὰς δὲ τοιαύτας φασὶν ἐν τῇ πατρίδι εὐγενεῖς εἶναι· αὐτὸς δὲ οὗτος, ὡς ἐκ τοιούτων γεγονώς, κακὸς [καὶ] μαστιγίας. [Καὶ ἱκανὸς δὲ πρός τινα εἰπεῖν, Ἐγὼ δήπου τὰ τοιαῦτα οἶδα, ὑπὲρ ὧν σὺ πλανᾷ πρὸς ἐμέ·] καὶ ἐπὶ τούτοις διεξιὼν φῆσαι, Αὗται αἱ γυναῖκες ἐκ τῆς ὁδοῦ τοὺς παριόντας συναρπάζουσι· [καὶ οἰκία τις αὕτη τὰ σκέλη αἴρεσθαι· οὐ μὲν οὖν λῆρός ἐστι τὸ λεγόμενον, ἀλλ' ὥσπερ [κύνες] αἱ γυναῖκες ἐν ταῖς ὁδοῖς συνέχονται· καὶ τὸ ὅλον, ἀνδρολάλοι τινές, καὶ αὐταὶ [κατὰ] τὴν θύραν τὴν αὔλειαν ὑπακούουσιν. Ἀμέλει δὲ] καὶ κακῶς ἑτέρων λεγόντων συνεπιλαμβάνεσθαι εἰπών, Ἐγὼ δὲ τοῦτον τὸν ἄνθρωπον πλέον πάντων μεμίσηκα· καὶ γὰρ εἰδεχθής τις ἀπὸ τοῦ προσώπου ἐστὶ, τῇ δὲ πονηρίᾳ οὐδὲν ὅμοιον· σημεῖον δέ· τῇ γὰρ αὐτοῦ γυναικὶ [τάλαντον εἰσενεγκαμένη προῖκα, καὶ ἐξ ἧς παιδίον αὐτῷ γέγονε,] τρεῖς χαλκοὺς εἰς ὄψον δίδωσι, καὶ τῷ ψυχρῷ λούεσθαι ἀναγκάζει τῇ τοῦ Ποσειδῶνος ἡμέρᾳ. Καὶ συγκαθήμενος [δὲ] δεινὸς περὶ τοῦ ἀναστάντος εἰπεῖν, [καὶ ἀρχήν γε εἰληφὼς μὴ ἀποσχέσθαι μηδὲ τοῖς οἰκείοις αὐτοῦ λοιδορεῖσθαι·] καὶ πλεῖστα περὶ τῶν φίλων καὶ οἰκείων κακὰ εἰπεῖν καὶ περὶ τῶν τετελευτηκότων, κακῶς λέγειν [ἀποκαλῶν παῤῥησίαν καὶ δημοκρατίαν καὶ ἐλευθερίαν, καὶ τῶν ἐν τῷ βίῳ ἥδιστα τοῦτο ποιῶν. Οὕτως ὑπὸ τῆς ἰδίας κακίας ἠρεθισμένος μανικοὺς καὶ ἐξεστηκότας ἀνθρώπους τοῖς ἤθεσι ποιεῖ.]

---

portas vecte arietat; deinde ab rivali verberibus oneratus, judicem adit. **Dum rus pergit, alieno equo vectus, equitandi artem simul meditatur, cadens vero caput contundit.** ***In festis diebus qui decimi dicuntur, cum tibicinibus convocat eos, quibuscum epuletur.*** **Solet etiam altam statuam [?] ludere cum pedissequo suo: et arcu jaculisque certare** ***cum puerorum suorum pædagogo,*** **quem simul hæc ab ipso discere jubet, quasi ille etiam ipse non jam calleat. Idem luctans adeo in balneo, nates subinde agitat crebro,** ***ut probe instituti speciem habeat. Mulieres sicubi adsunt, saltando se exercet, ipse sibi cantillans.***

XXVIII

MALEDICENTIÆ.

Maledicentia est animi contentio in pejorem partem de aliis loquendi. Maledicus ita est moratus : si interrogetur, Ille quis est? non secus atque ii, qui stemma aliquod enarrant, dicit, Primum ab ipso genere hujus ordiar : *est autem hic ordo generis istius :* pater hujus primum vocabatur Sosias : dum inter milites versabatur, dici cœpit Sosistratus : deinde quum unus e populo inter adscriptitios est factus * * Mater tamen, nobilis Thressa est : *vocatur enim animula illa, Crinocoraca;* id autem genus mulieres domi esse nobiles aiunt. Iste vero ipse, ut talibus parentibus natus, nequam est *et* verbero. *Colloquenti hæc dicere sustinet : Ego vero pulchre novi cujusmodi hæc sint, de quibus tu mihi imponere studes;* ac pergit illa sigillatim exponens, Hæ sunt mulieres, quæ prætereuntes de via rapiunt; *et domus illa ejusmodi, in qua crura tollantur : non temere est quod dico; sed tanquam canes illæ mulieres in viis cohærent, nihil nisi virorum captatrices; atque ipsæ stant ad januam anticam auscultantes.* Aliis de absente detrahentibus, ilico idem facit ipse quoque, et ait, Ego etiam hunc hominem omnium odi maxime : etenim si faciem spectes, turpis est, quem merito oderis; si improbitatem, nihil ei simile. Hinc autem ita esse scias : uxori suæ, *quæ talentum ei dotem attulit, ex qua filiolum suscepit,* tres æris nummulos in obsonium dare solet, et cogit ut Posideone mense lavet frigida. Moris etiam habet, sedens inter plures, de eo qui discessit loqui : *semel autem initio facto, ne a familiarissimis quidem abstinet quin eos maledictis differat;* ac plurima de amicis et familiaribus male loquitur, adeo etiam de mortuis, detractionem suam *appellans ingenuitatem et statum popularem et libertatem; nihil in vita habens lætius et jucundius sibi. Sic propria sua pravitate excitatus et stimulatus ille homines alios furiosos et dissolutos moribus fingit.*

ΚΘ'.

ΦΙΛΟΠΟΝΗΡΙΑΣ.

[Ἔστι δὲ ἡ φιλοπονηρία ἐπιθυμία κακίας· ὁ δὲ φιλοπόνηρός ἐστι τοιόσδε τις, οἷος ἐντυγχάνειν τοῖς ἡττημένοις καὶ δημοσίους ἀγῶνας ὠφληκόσι, καὶ ὑπολαμβάνειν, ἐὰν τούτοις χρῆται, ἐμπειρότερος γενήσεσθαι καὶ φοβερώτερος. Καὶ ἐπὶ τοῖς χρηστοῖς εἰπεῖν, Ὡς γίνεται· καὶ φῆσαι, ὡς οὐθείς ἐστι χρηστὸς, καὶ ὁμοίους πάντας εἶναι. Καὶ ἐπισκῆψαι δὲ, ὃς χρηστός ἐστι· (καὶ) τὸν πονηρὸν δὲ εἰπεῖν ἐλεύθερον. Ἐὰν βούληταί τις εἰς π*** καὶ (?), τὰ μὲν ἄλλα ὁμολογεῖν ἀληθῆ ὑπὲρ αὐτοῦ λέγεσθαι ὑπὸ τῶν ἀνθρώπων, ἔνια δὲ ἀγνοεῖν· [καὶ] φῆσαι μὲν αὐτὸν εὐφυῆ καὶ φιλέταιρον καὶ ἐπιδέξιον, καὶ διατείνεσθαι δὲ ὑπὲρ αὐτοῦ, ὡς οὐκ ἐντετύχηκεν ἀνθρώπῳ ἱκανωτέρῳ. Καὶ εὔνους δὲ εἶναι τῷ ἐν ἐκκλησίᾳ λέγοντι ἢ ἐπὶ δικαστηρίῳ κρινομένῳ· καὶ προσκαθήμενος δὲ εἰπεῖν δεινὸς, ὡς οὐ δεῖ τὸν ἄνδρα, ἀλλὰ τὸ πρᾶγμα κρίνεσθαι· καὶ φῆσαι αὐτὸν κύνα εἶναι τοῦ δήμου· φυλάττειν γὰρ αὐτὸν τοὺς ἀδικοῦντας· καὶ εἰπεῖν, ὡς οὐχ ἕξομεν τοὺς ὑπὲρ τῶν κοινῶν συναχθεσθησομένους, ἂν τοὺς τοιούτους προώμεθα. Δεινὸς δὲ καὶ προστατῆσαι φαύλων, καὶ συνεδρεῦσαι ἐν δικαστηρίοις ἐπὶ πονηροῖς πράγμασι, καὶ κρίσιν κρίνων ἐκδέχεσθαι τὰ ὑπὸ τῶν ἀντιδίκων λεγόμενα ἐπὶ τὸ χεῖρον. [Καὶ τὸ ὅλον φιλοπονηρία ἀδελφή ἐστι τῆς πονηρίας. καὶ ἀληθές ἐστι τὸ τῆς παροιμίας, τὸ ὅμοιον πρὸς τὸ ὅμοιον πορεύεσθαι.]]

XXIX

CONSECTATIONIS IMPROBORUM.

Consectatio improborum est studium pravitatis. Homo autem improborum consectator hisce moribus est: convenire solet condemnatos et qui in publicis judiciis caussa ceciderunt, fore existimans, his si consuescat, ut rerum experientia augeatur et metuatur magis. De probis quum narratur, dicit, Ut solet fieri; et neminem esse præ alio probum ait, sed similes inter se omnes. Reprehendit adeo eum qui probus est; improbum autem dicit liberum. Si quis (de homine male apud omnes audiente sententiam ipsius scire) cupit, cetera quidem quæ de eo vulgo ferantur, vera fatebitur, esse tamen quæ ignorentur : hinc egregia eum indole, amicorum studiosum et valde scitum esse dicet, et asseverabit, se haud unquam incidisse in hominem illo præstantiorem. Idem favet unicuique qui vel in concione caussam suam dicit, vel in judicio reus agitur; adeoque assidens ei prædicat, non hominem judicari oportere, sed rem; et, canem hunc esse populi; hunc enim arcere et propulsare qui injuriam inferre parent : et addit, Non habebimus qui reipublicæ vicem doleant, si tales viros deseramus. Solet etiam patronus esse improborum, et consilia conferre in judiciis ad res malas, et in lite judicanda in pejorem partem accipere quæ ab adversariis proferuntur. [In universum improborum consectatio est soror improbitatis; et veritati affine est quod in proverbio dicitur, simile se conferre ad simile.]

Λ'

ΑΙΣΧΡΟΚΕΡΔΕΙΑΣ.

[Ἡ δὲ αἰσχροκέρδειά ἐστι περιποίησις κέρδους αἰσχροῦ· ἔστι δὲ τοιοῦτος ὁ αἰσχροκερδὴς, οἷος ἑστιῶν ἄρτους ἱκανοὺς μὴ παραθεῖναι· καὶ δανείσασθαι παρὰ ξένου παρ' αὐτῷ καταλύοντος· καὶ διανέμων μερίδας, φῆσαι, δίκαιον εἶναι διμοιρον τῷ διανέμοντι δίδοσθαι, καὶ εὐθὺς αὐτῷ νεῖμαι.] Καὶ οἰνοπωλῶν, κεκραμένον τὸν οἶνον τῷ φίλῳ ἀποδόσθαι. Καὶ ἐπὶ θέαν τηνικαῦτα πορεύεσθαι, ἄγων τοὺς υἱεῖς, ἡνίκα προῖκα ἀφιᾶσιν οἱ θεατρῶναι. Καὶ ἀποδημῶν δημοσίᾳ, τὸ μὲν ἐκ τῆς πόλεως ἐφόδιον οἴκοι καταλιπεῖν, παρὰ δὲ τῶν συμπρεσβευτῶν δανείζεσθαι. Καὶ τῷ ἀκολούθῳ μεῖζον φορτίον ἐπιθεῖναι ἢ δύναται φέρειν, καὶ ἐλάχιστα ἐπιτήδεια [τῶν] ἄλλων παρέχειν. Καὶ ξενίων δὲ μέρος τὸ αὐτοῦ ἀπαιτήσας ἀποδόσθαι. Καὶ ἀλειφόμενος ἐν τῷ βαλανείῳ, καὶ εἰπὼν, Σαπρόν γε τὸ ἔλαιον ἐπρίω, τῷ παιδαρίῳ, τῷ ἀλλοτρίῳ ἀλείφεσθαι. Καὶ τῶν εὑρισκομένων χαλκῶν ἐν ταῖς ὁδοῖς ὑπὸ τῶν οἰκετῶν δεινὸς ἀπαιτῆσαι τὸ μέρος, κοινὸν εἶναι φήσας τὸν Ἑρμῆν. [Καὶ ἱμάτιον ἐκδοῦναι πλῦναι, καὶ χρησάμενος παρὰ γνωρίμου, ἐφελκύσαι πλείους ἡμέρας, ἕως ἂν ἀπαιτηθῇ· καὶ] τὰ τοιαῦτα. Φειδωνίῳ

XXX

CUPIDITATIS LUCRI TURPIS.

Αἰσχροκέρδεια est appetitio lucri turpis. Homo autem turpilucricupidus talis est, qui amicos accipiens, non tantum panis, quantum sufficit, apponat; et ab hospite apud ipsum deversante pecuniam sumat mutuam. Portiones dividens in mensa, justum esse dicit, ut ei, qui dividit, detur dupla; quam statim sibi sumit. Cauponans, amico dilutum vinum vendet. Ludos tum demum ibit spectatum, filios quoque suos adducens, quando theatrorum redemptores gratis spectari permittunt. Quum legatus peregre proficiscitur, viaticum quod publice accepit, relinquit domi, et a sociis legationis mutuo rogat. Famulo itineris comiti sarcinas imponit ultra quam ille ferre valeat, ad victum autem ipse minima omnium præbet. Lautia si cum aliis acceperit, suam portionem petit et vendit. In balneis lavans, puerulo appellato, Nam hercle tu, inquit, oleum nimis rancidum mercatus es; et simul alieno se inungit. Quodsi quos servi numos æreos, ut fit, in via reppererint, partem inde sibi poscet, illud usurpans, Mercurium esse communem. Quando pallium fulloni dedit lavandum, et familiaris interea commodavit ei suum utendum, diem de die extrahet quominus reddat, donec flagitetur; et quæ

μέτρῳ τὸν πύνδακα ἐγκεκρουμένῳ μετρεῖν αὐτὸς τοῖς ἔνδον τὰ ἐπιτήδεια σφόδρα ἀποψῶν. Ὑποπρίασθαι φίλου [διδόντος πρὸς τρόπου], [καὶ] ἐπιβαλὼν ἀποδόσθαι. Ἀμέλει δὲ καὶ χρέος ἀποδιδοὺς τριάκοντα μνῶν, ἔλαττον τέτρασι δραχμαῖς ἀποδοῦναι. [Καὶ τῶν υἱῶν δὲ μὴ πορευομένων εἰς τὸ διδασκαλεῖον διὰ (τὴν) ἀῤῥωστίαν, ἀφαιρεῖν τοῦ μισθοῦ κατὰ λόγον· καὶ Ἀνθεστηριῶνα μῆνα ὅλον μὴ πέμπειν αὐτοὺς εἰς τὰ μαθήματα, διὰ τὸ θέας εἶναι πολλάς, ἵνα μὴ τὸν μισθὸν ἐκτίνῃ. Καὶ παρὰ παιδὸς κομιζόμενος ἀποφοράν, τοῦ χαλκοῦ τὴν ἐπικαταλλαγὴν προσαπαιτεῖν· καὶ λογισμὸν δὲ λαμβάνων παρὰ τοῦ χειρίζοντος, ***] Καὶ φράτορας ἑστιῶν, αἰτεῖν τοῖς αὑτοῦ παισὶν ἐκ τοῦ κοινοῦ ὄψον· τὰ δὲ καταλειπόμενα ἀπὸ τῆς τραπέζης ἡμίση τῶν ῥαφανίδων ἀπογράφεσθαι, ἵνα οἱ διακονοῦντες παῖδες μὴ λάβωσι. [Συναποδημῶν δὲ μετὰ γνωρίμων χρήσασθαι τοῖς ἐκείνων παισί, τὸν δ' ἑαυτοῦ ἔξω μισθῶσαι, καὶ μὴ ἀναφέρειν εἰς τὸ κοινὸν τὸν μισθόν. Ἀμέλει δὲ καὶ συναγόντων παρ' αὐτῷ, ἀποθεῖναι τῶν παρ' ἑαυτοῦ διδομένων ξύλων, φακῶν, καὶ ὄξους, καὶ ἁλῶν, καὶ ἐλαίου τοῦ εἰς τὸν λύχνον. Καὶ γαμοῦντός τινος τῶν φίλων καὶ ἐκδιδομένου θυγατέρα, πρὸ χρόνου τινὸς ἀποδημῆσαι, ἵνα μὴ προπέμψῃ προσφοράν. Καὶ παρὰ τῶν γνωρίμων τοιαῦτα κιχρᾶσθαι, ἃ μήτ' ἂν ἀπαιτήσαι, μήτ' ἂν ἀποδιδόντων ταχέως ἄν τις κομίσαιτο.]

sunt his similia. Phidonia mensura, cui quidem fundum sit collisum et introrsus adactum, domesticis suis demensum admetitur, perquam studiose radens. Si quis ipsi amicus vili pretio addicit aliquid, ille clam emit et pluris deinde vendit. Idem si triginta forte minarum debitum solvat, ut quattuor tamen drachmæ de solido desiderentur, operam dabit. Filiis per ægrotationem in scholam non euntibus, mercedi partem detrahit pro dierum ratione; per totum vero Anthesterionem eos in ludum non mittit, ob feriarum frequentiam, quo ne hujus mensis mercedem solvat. Ab servo pensionem accipiens, collybum insuper exigit, quo æs permutet; et rationes putans cum eo qui rem domesticam ipsi vel rusticam administrat * * Et quando tribules convivio accipit, solet pueris suis obsonia ex communi postulare; et qui de mensa tolluntur dimidiati rhaphani, scripto mandat, ne ministrantes pueri eos capiant. Cum familiaribus si peregre proficiscitur, illorum utitur servis, suum autem mercede foris locat, eam mercedem minime conferens in commune. Quodsi collatitia cœna apud eum sumitur, eorum quæ de symbolis præbet, lignorum, fabarum, aceti, salis, olei in lucernam, aliquid seponit. Quum amicorum unus nuptias parat et elocat filiam, paullulo tempore ante abit peregre, quo ne munusculum ipsi sit mittendum. A familiaribus ejusmodi res mutuatur, quas neque repetierit quisquam, neque, si reddat alter, facile acceperit.

INDICULUS NOMINUM.

Æsculapii templum, *Char.* 21, *l.* 48.
Æthiops pedissequus, 21, 36.
Alexander [*codices* Evander], 23, 13.
Anthesterione mense multæ feriæ, 30, 8.
Antipater, 23, 19.
Apaturia Pyanepsione mense acta, 3, 40.
Archias salsamentarius, 4, 28.
Aristophon prætor, 7, 5.
(Arrhidæus) rex Macedonum, 8, 34.
Asiani artifices, 23, 15.
Asteus tibicen, 8, 30.
Bacchus, 22, 31.
Byzantium, 21, 14.
Cassander captivus, 8, 35; fortis, *ib.* 46.
Crinocoraca, muliebre nomen apud Thraces, 28, 22.
Cyzicum, 21, 15.
Damippus, 3, 36.
Delphi, 21, 35.
Diana: ei libamenta offeruntur in conviviis, 10, 40.
Dionysia, 3, 33; rustica Posideone mense celebrantur, *ib.* 41.
Evander? *vide* Alexander.
Græciæ, sub eodem cœlo sitæ, mores varii, *procem.*
Hecates ἐπαγωγή, 16, 4.
Herculis festum, 27, 43.
Hermaphroditi, 16, 12.
Homerus, 26, 9.
Hymettium mel, 21, 15.
Lacedæmon: scipiones incurvi Lacedæmone advecti, 21, 20.
Laconicæ canes, 21, 14.
Lyco manceps, 8, 30.
Lysandri victoria, 7, 6.
Macedonia, 23, 20, 22.
Mater Deûm, 21, 4.
Melitensis canis, 21, 4 6, 48.
Mercurius communis, κοινὸς Ἑρμῆς, 30, 48.
Minerva invocata, 16, 6.
Mysteria Boedromione celebrantur, 3, 39.
Odei columnæ, 3, 38.
Orpheotelestæ, 16, 16.
Persæ aulæo intexti, 21, 21.
Phidonia mensura, 30, 50.
Polycles, (amicus Theophrasti), *procem. In altero* Polyclides.
Polysperchon victor, 7, 34.
Porta Feralis (Ἠρίαι πύλαι) Athenis, 14, 14.
Rhodus, 21, 15.
Sabazii mysteria, 27, 48.
Sabazius, 16, 44.
Siculæ columbæ, 21, 18.
Sosias, 28, 19.
Sosistratus, 28, 20.
Theseus auctor democratiæ, plebem ex duodecim oppidis in unum colligens, 26, 29-32.
Thressa mulier, 28, 22.
Thuriacæ ampullæ rotundæ, 21, 19. Tibius, 9, 18.